Agi denique inquiunt de Symbolo, quod est in Ecclesia *commune*: adeoque non ipsi quidquam adjici a Romano pontifice debuisse, prætermisso D cæterorum patriarcharum consilio. At primis Ecclesiæ sæculis. *apostolorum Symbolo*, quod intemeratum servabat Romana Ecclesia, voces plures propter hæreses prodeuntes inseruerunt Orientales, inconsulta sine dubio sede apostolica. Formulam *Nicænam* privati in Oriente episcopi aliquibus additamentis auxere, eamque sic auctam approbarunt *centum et quinquaginta Orientales antistites*, in concilio Constantinopolitano, quin Romanum pontificem aliosque Occidentis episcopos consulerent. Prævio nullo cum Occidentalibus consilio, tradi in Oriente primum cœpit in baptismate Symbolum *Nicænum*, relicto *apostolico*, ac deinde *Constantinopolitanum*, relicto Nicæno: quod etiam inter sacræ Liturgiæ partes relatum est. Hæc agere Orientalibus licuit, sede Romana inconsulta: neque tamen sedes ipsa Romana suam ipsis communionem negavit unquam. Cur pari jure Occidentales Ecclesiæ non uterentur? Cur *voculam unam* rectæ fidei consonam, quæ pari jure pro rerum circumstantiis adjici potuit, ac deinceps poterit, scissionis prætextum fecere Græci?

**226** At Romanus demum pontifex votis annuit *Latinorum* episcoporum, ut in Occidentis duntaxat Ecclesiis vox *Filioque* recitaretur in Symbolo: adjectamque vocem ipsa Romana admisit sua in Ecclesia, prisco more relicto: decretoque nullo, ut idem peragerent, Græcos aliosque Orientales astrinxit. In synodo Lugdunensi œcumenica, anno 1274 celebrata, Latini simulque Græci intra Missarum solemnia concinere quidem, *Qui ex Patre Filioque procedit*, ut unam utriusque Ecclesiæ concordiam in fide profiterentur: at Michaeli Palæologo imperatori non abnuit Romanus pontifex, postulanti *ut Ecclesia sua* (Orientalis) *Symbolum semper dicat, prout dicebat illud ante schisma usque in hodiernum diem*. Dixerunt quoque in synodo Florentina Græci sessione 25, repugnante Latinorum nemine: *Additionem nequaquam omnino nos recipimus: sed concedimus vobis, ut eam habeatis in Ecclesiis vestris.* Quæ sequuntur, affero demum ipsorum Græcorum verba: « Dicimus, Symbolum a vobis (Latinis) explicatum necessitate cogente: et vocem illam, *ex Filio*, non esse *aliam fidem*, aut aliquod additamentum (fidei adversum), sed piam, et nostri Symboli explanationem: et esse utrumque Symbolum pium, et ejusdem sententiæ, ut in Ecclesia Romana recitetur sicuti vos dicitis, et in Orientali ut nos dicimus; atque ita faciendam unionem. » Faxit Deus, ut inconcussum fidei dogma docili demum mente excipiant Græci, et innoxiam ad Symbolum additionem intelligant ac profiteantur.

OCR ABK / FR

ini, Avitus Viennensis, 156 *et seq*. Damasus papa, 154, 155. Gennadius, 156. Gregorius Magnus, 176. Hilarius Pictaviensis, 155, 156. Hispani episcopi, 172, 173. Hormisdas papa, 176. Leo Magnus, 173. Leo III, 187.

Professiones fidei, aliæ Symbolum Constantinopolitanum auctum continentes, aliæ instar Symboli editæ. Agathonis papæ in synodo sexta œcumenica, 166, 168. Basilii Ancyrani in synodo septima œcumenica, 166. Gregorii Magni, 176. Leonis III, 182, 183. Orientalium episcoporum ad Cyrillum Alexandrinum, 161, 165, 167. Petri Nicomediensis episcopi, 166. Tarasii patriarchæ Constantinopolitani, 166. Theodori Jerosolymitani, *ibid*. Aliæ in ordinatione episcopi Græci, 166. Et in Libro diurno Romanorum pontificum, 187.

Protoapostolarius, quis apud Græcos, 43.

Protovestiarius, 31.

Protovestiarissa, 126.

Ptolemais urbs, 17.

Q

Quadragesimale jejunium Græci agunt septem hebdomadibus, 35.

R

Reccaredus rex additionem vocis, *Filioque*, ad Symbolum in Hispania promovet, 176.

Ricciolius J. Baptista, veram et accuratam regulam tradit, annos mundi Constantinopolitanos reducendi ad Julianos, 20.

Romana Ecclesia additionem vocis *Filioque* non recipit, 187 *ac deinceps*.

Romani et Romæi dicti Græci, maxime Constantinopolitani, 16. Latinos non raro ipsi Græci vocant Romanos aut Romæos, *ibid*.

Russi annos ab aliquo tempore computant a Kalendis Januarii, 21.

S

Sardicense concilium vetat aliam præter Nicænam edi fidei formulam, 150. Quo sensu, 151. Utique Græcis adverso, *ibid*.

Schisma Græcorum sub Michaele Cerulario, et ejus vera causa ambitio, ac de jurisdictione dissidium, 204, 217 *et seq*. Prætextus, 205 *et seq*., 218 *et seq*.

Sergius III papa, vocem *Filioque* non adjecit ad Symbolum, 211.

Sergius patriarcha Constantinopolitanus, 216 *et seq*.

Sisinnius patriarcha Constantinop., 217.

Stauropegii jus, 61.

Symbolum apostolorum Africanum, 144. Ancyranum, 146. Aquileiense, 142, 143. Hierosolymitanum, 147. Hispaniense, 145. Orientale, *ibid*. Ravennatense, 141. Romanum, 141, 148. Taurinense, 142. Vulgatum, seu commune, 148. Nicænum, 149. In baptismatis administratione usurpatum, *ibid*. Magis minusque aliquibus vocibus auctum in Ecclesiis, Alexandrina, 163; Antiochena, 150; apud Epiphanium, quod posteà dictum est Constantinopolitanum, 150, 151; Hierosolymitana, 149; Philadelphiensi, 157. Hæreticis additamentis auctum a Nestorio, 157. Constantinopolitanum, 153. Origo ejus, 151, 169. Usus ejusdem in baptismate, 157. Dictum Nicænum, 158, 164, 165, 170. In usum Ecclesiæ communem, cæteris prætermissis formulis, deductum maxime post synodum Chalcedonensem, 164, 169 *et seq*. Inter partes sacræ Liturgiæ ab Orientalibus orthodoxis, et ab Occidentalibus assumptum, 171, 172, 177. Sæculo nono, Leonis III ætate ac deinceps, Romana in Ecclesia non canebatur in Liturgia Symbolum Constantinopolitanum, 187 *et seq*. Eoque minus cum additione vocis *Filioque*, *ibid*. Imo neque legebatur in eadem Liturgia sine cantu, 191 *et seq*. Legi aut cani cœptum sæculo undecimo sub Benedicto VIII, 207, 211. An antea traditum catechumenis in Ecclesia Romana, *ibid*. Aliud est, Symbolum Constantinopolitanum super catechumenos, et per illos recitari in baptismate, 215.

T

Thealdus vicecomes, postea Gregorius papa X, 43. Michaelem Palæologum hortatur ad unionem Ecclesiarum, 44. Romæ coronatur, e Syria redux, 45. Indicit concilium Lugdunense, *ibid*. Legatos dirigit Constantinopolim, *ibid*. Concilium Lugduni celebrat, 56.

Theodorus Lascaris III imperator vita decedit, 31.

Thomas Hierosolymorum patriarcha favet Latinis monachis montis Oliveti, 186.

Timotheus patriarcha Constantinopol. Nicænum Symbolum recitari in Liturgia jubet, 171.

Toletana synodus III prima, quæ Symbolum particula, *Filioque*, auxit Ecclesiæ sæculo sexto cadente, 177.

Tomus a Gregorio Cyprio scriptus et reprehensus, 1, 1. A Joanne Becco refutatus, 102.

Triclinium Alexiacum, 25, 95. Colloquium de fide ibi habitum, *ibid*.

Trosleiana synodus, sub Heriveo Remensi episcopo, de processione Spiritus sancti a Filio, 204.

Tyrinæ, Dominica, eodem atque quinquagesima apud Latinos 95. Dicta a caseo adhuc permisso apud Græcos, *ibid*. In ea oblationes paratæ pro missa præsanctificatorum, *ibid*.

V

Vossius Gerardus Joannes emendatus, 211.

Vox *Filioque* addita ad Symbolum Constantinopolitanum, 139. Joannis Becci judicium, 140, 141. Mens etiam Petri Antiocheni, *ibid*. Non addita ad Symbolum tempore Damasi papæ et synodi Constantinopolitanæ, 154. Neque ætate sancti Maximi et synodi sextæ œcumenicæ, 175. Neque lecta in synodo septima œcumenica, 175, 183, 184, 185. Addita vero primum in Ecclesiis Hispanicis sæculo VI cadente, 177. Tum vero in Gallicanis et Germanis Ecclesiis, et in regno Italiæ sub Carolo Magno, 178 *et seq*., 188, 189. Hæc additio vindicata a Paulino Aquileiensi patriarcha, 179, 180. Cum hac additione Symbolum legebant, aut canebant in liturgia monachi Latini montis Oliveti : hinc a Græcis exagitati, 181, 182. Additio eadem nec legebatur, neque canebatur, in Ecclesia Romana, Caroli Magni tempore ac deinceps, 187 *et seq*. Neque toto Photiano tempore, 198 *et seq*. Addita vero sæculo undecimo, 204. Benedicto VIII scilicet sedem tenente, et imperante Henrico I, 207 *et seq*.

W

Walafridus Strabo Symbolum in liturgia frequentari cœptum refert, post Felicis et Elipandi damnationem, 189, 190. Emendatus, 190, 195.

---

## IN SEQUENTIA

# GEORGII CYPRII SCRIPTA

## MONITUM.

(Ans. Bandurius in *Imperio Orientali*, tom. II, p. 939).

Nicephorus Gregoras perstringit paucis, nec satis enarrat, quæ causa fuerit, qua Georgius, seu Gregorius Cyprius, Byzantino patriarchatu cedere cogeretur. Cuncta vero fuse et ad longum Georgius Pachymeres recitat libro primo et secundo Historiæ Andronici Palæologi : quorum hæc summa est : Convocato propter quasdam de patriarcha Cyprio Joannis Becci expostulationes, episcoporum

clericorum et monachorum, necnon procerum imperii, coram imperatore cœtu seu concilio, cui Gregorius ipse Constantinopolitanus et Athanasius Alexandrinus præerant, accersiti Beccus ejusque socii Constantinus Melitiniota et Georgius Metochita, deo Spiritus sancti processione disputaverunt. Cumque præter quemdam Nysseni Gregorii locum, quo Spiritus διὰ τοῦ προσεχῶς, *per illum qui proxime et contigue est ex Patre procedere* dicitur, alterum ex Joanne Damasceno protulissent, quo asseritur Pater διὰ Λόγου προβολεὺς ἐκφαντορικοῦ Πνεύματος, *per Verbum esse manifestantis Spiritus productor;* hicque genuinus et sincerus esset agnitus, neque de processione alia quam de sempiterna intelligendus veniret, in miras ambages schismatici conclusi sunt. Conventu soluto ne Beccus cum suis vicisse videretur, patriarchæ Gregorio data provincia est libelli condendi, quo Damasceni dictum a Becci et Latinorum sententia alienum ostenderetur, conciliareturque cum istis aliis ejusdem doctoris verbis, Ἐκ δὲ Υἱοῦ τὸ Πνεῦμα οὐ λέγομεν, *Ex Filio autem Spiritum non dicimus.* Scriptus a Cyprio tomus, in ecclesia lectus fuit, quem imperator, et ipse patriarcha, nonnullique alii subscriptionibus suis munierunt; multis tamen refragantibus, qui nec minis nec tormentis adduci potuerunt ut subscriberent. Quorum renitentiæ hæc causa erat, quod in tomo enuntiaretur, priore Damasceni loco significari Patrem esse Spiritus per Verbum productorem, non ut Spiritus per Verbum exsistat, sed ut per illud effulgeat. Verba quippe tomi hæc erant, quæ refert Leo Allatius in *Vindicis Syn. Ephes.* cap. 60, ex orat. 4 Josephi Bryennii de Trinitate: Εἰ καὶ γὰρ διὰ τοῦ Υἱοῦ παρά τισι τῶν ἁγίων ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον εἴρηται, τὴν εἰς ἀΐδιον ἔκφανσιν ἡ λέξις ἐνταῦθα, οὐ τὴν εἰς τὸ εἶναι καθαρῶς σημαίνειν βούλεται· *Licet enim apud sanctos aliquos per Filium procedere Spiritum sanctum affirmetur, dictum hoc progressum in æternam effulsionem, non ad hoc ut sit, pure et proprie significat:* alia libelli ejusdem excerpta post Bryennium Allatius addit in eumdem sensum convenientia. Plura vero legi possunt apud Beccum, qui Cyprii tomum opusculis duobus confutavit, quæ exstant in secundo volumine *Græciæ orthodoxæ* (1). Qui patriarchæ tomum improbabant, non capiebant, inquit Pachymeres, quid tandem discriminis esset inter productionem Spiritus sancti ad existentiam, et processionem ad sempiternam exsplendescentiam: eo maxime quod Ecclesiæ doctores divinarum personarum Filii et Spiritus sancti emanationes ex Patre seu processiones ἐκφάνσεις *effulgentias,* plerumque vocitarent: unde illi concludebant, datam a Gregorio expositionem Latinorum causæ favore magis, quam nocere. Editum igitur contra se tomum, ubi primum Beccus accepit, calamum adversus illum strinxit, ac, præter Byzantinorum spem, qui nihil nisi inconditas furentis animi voces ab eo præstolarentur, solidissima confutatione crucem adversariis fixit, tantamque patriarchæ schismatico conflavit invidiam, ut omnes illum in ipsius Joannis Becci, cujus olim socius fuerat, sententiam conspirasse arbitrarentur. Nec ab re quidem; quippe cum, præter illa quæ post Allatium attuli, alium sensum non reddant altera hæc tomi verba quæ apud Beccum leguntur oratione. I Ἀλλὰ δι' Υἱοῦ καὶ ἐξ Υἱοῦ φυσικῶς ὑπάρχειν, οὐμενοῦν δι' Υἱοῦ καὶ ἐξ Υἱοῦ καὶ ἐξ Υἱοῦ τὴν ὕπαρξιν ἔχειν οἱ εἰρηκότες Πατέρες τὸ Πνεῦμα ἔφησαν· *Patres dixerunt Spiritum per Filium et ex Filio naturaliter existere: non item per Filium et ex Filio existentiam habere.* Quasi vero *per Filium ex Filio existere* non idem sonet, atque, *per Filium et ex Filio existentiam habere.* etc., vice versa. Quid distinctione ista stolidum magis excogitari possit? Legatur Beccus t. II, *Græc. orthod.*, pag. 232. Alia vero rursum ex eodem tomo pessimæ doctrinæ plena strenuus iste rei catholicæ defensor et patronus carpit, quorum hoc præ cæteris minime prætermittendum censui. Scilicet aiebat Cyprius: Μηδὲν καινὸν εἶναι μηδὲ τῆς τῶν Γραφῶν συνηθείας ἀλλότριον, ἐὰν τὸ πνευματικὸν χάρισμα ἅγιον ὁμωνύμως Πνεῦμα καλεῖται· καὶ τὴν ἐνέργειαν ἔστιν ὅτε οἰκειοῦσθαι τὴν τοῦ ἐνεργοῦντος κλῆσιν, ὡς ἡ τοῦ ἡλίου λαμπηδὼν καὶ αὐτὴ πολλάκις τὴν τοῦ ἡλίου· *Nihil esse novi, neque a Scripturæ consuetudine alienum, ut spirituale donum Spiritus sanctus appellatur: quin imo actionem aliquando sibi nomem agentis asciscere, veluti splendor et radius sol sæpenumero nuncupatur.* Quibus verbis significabat æternam Dei actionem, sempiternum lumen divinum, quæ tribus personis communia sunt, *Spiritum sanctum* quandoque appellari. Id quod explicatius ipse declarat in fragmento alterius, ni fallor, operis *Contra Beccum,* quod mihi suppeditavit codex regius 2953, et cujus magnam partem alibi recitavi in dissertatione critico-historica *De processione Spiritus sancti.* Atqui hæc præambulam Gregorii Palamæ impietatem continebant, divinam operationem, quam θειότητα *Deitatem,* appellabat, re a Dei essentia distinctam, deoque et personis tribus coæternam esse, ipsamque creaturis ratione præditis communicari contendentis. Quocirca Beccus æmuli sui erratum arguit allato capite integro Theodori Abucaræ, quod inter edita vicesimum septimum est, et quo nihil disertius Palamiticæ insaniæ opponi possit. Hanc autem divini luminis et operationis a divina essentia distinctionem tunc primum, cum ante audita non fuisset, auctore Cyprio invectam fuisse his verbis Joannes Beccus testatur: Ὁ δὲ τῆς ἀληθείας, ὥς φησι, γενναῖος ἐκδικητὴς συκοφάντας ἡμᾶς καὶ τῶν ἁγίων ἀποστό-

(1) Et in superiori tomo nostro. Edit. Patr.

OCR ABK / FR

λων ὑβριστὰς, τοὺς οὕτω τὴν θεολογικὴν μετιόντας ὁδὸν, τί ἂν παρ' ἡμῖν κληθείη αὐτὸς ὁ οἴκοθεν καὶ ἀπὸ κοιλίας νέας ἄρτι δογμάτων φωνὰς τῇ τοῦ Θεοῦ εἰσηγούμενος ἐκκλησίᾳ· *At veritatis, qualem se ipse dicit, præclarus vindex, qui calumniatores et sanctorum conviciatores nos vocat, qui hac ratione res theologicas tractamus, quinam a nobis ipse compellabitur, qui ex propriis suis, et nunc primum e ventre novellas placitorum voces in Ecclesia Dei proferre aggreditur?* Testimonium istud Becci obiter attuli, quo evincerem, nequaquam eum, dum patriarcha Constantinopolitanus esset, Palamam ejusque errores proscripsisse, tametsi id Combefisio nostro, quando secundam novissimi sui Auctarii partem edebat, persuasum fuit: quin potius Palamæ Cyprium prævivisse, ejusque hæresim suis in scriptis contra Beccum præformasse. Quamobrem Joannes ille patriarcha, a quo Gregorium Palamam primum fuisse damnatum Cyparissiotus tradidit, aut Joannes Glycos fuit, aut potius Joannes Calecas Aprenus, Esaiæ successor, quod cum historiis Cantacuzeni et Nicephori Gregoræ consentaneum prorsus est. Joannis Becci adversus tomum lucubrationes animos adversariis Gregorii addiderunt, ut ardentioribus studiis contra illum insurgerent. Horum præcipui erant Joannes Chilas, metropolita Ephesinus, Daniel Cyzicenus, et Theoleptus Philadelphiensis, cum quibus se Musalo magnus logotheta adjunxit. Leo Allatius lib. II De consens., cap. 11, col. 513, libellum Græce Latineque edidit, quem Chilas imperatori contra tomum obtulit. Quod in causa fuit ut Cyprius tomi sui expositionem scriberet, quæ nunc primum prodit ex cod. Reg. 3442. In ea expositione contendere pergit, aliam esse personæ divinæ Spiritus sancti processionem ad existendum, et aliam ad effulgendum: primam innui a Scriptura et Patribus, quando Spiritus dicitur a Patre procedere; secundam, quando a Patre per Filium. Cæterum Joannem Beccum perjurii accusat, et libellum recitat, quem ille, ad efferatos adversum se plebeculæ animos placandos, Josepho patriarchæ dederat, subscripseratque, ceu Latinorum dogmati abrenuntiaret et abdicationem suam approbaret. Qua vero mente Beccus id gessisset, ipsemet declaravit initio disceptationis suæ, quam in concilio coram imperatore ipsum habuisse narravi, quæque horum omnium motuum causa exstitit. Insuper vero Theoleptus Cyzicenus patriarchæ Gregorio objecit, in tomo vestigia reperiri impiæ doctrinæ Marci Monachi, qu librum nuper evulgaverat, in quo nomen προβολεὺς *productor*, ambiguo perinde sensu usurpatum narrat Pachymeres, ὡς καὶ αὐτὸς ὀμωνομίζει τὴν λέξιν προβολεύς. Hunc Marcum alienigenam fuisse, non Græcum, idem historicus tradit, et quantum ex inscriptione confessionis Gregorii, de qua mox dicetur, colligitur, ex Hebræo Christianus factus fuerat, ac subinde monachus. Ex quo revincitur amplius error viri illius alioqui doctissimi, qui Marcum hunc eumdem esse putavit ac Marcum Ephesium qui post centum et quinquaginta annos contra Latinos disputavit in synodo Florentina. Ejus quidem errori favere videtur, quod in indice Bibliothecæ Scoriacensi legatur, Γρηγορίου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Κυπρίου ἀπολογία εἰς τὴν ἐπιστολὴν Μάρκου τοῦ Ἐφέσου, *Gregorii patriarchæ Constantinopolitani Cyprii apologia in epistolam Marci Ephesii*. Verum librarii oscitantia vel imperitia actum est, ut vox τοῦ Κυπρίου *Cyprii*, interjecta sit: cum hoc opus reddendum sit Gregorio protosyncello, qui postremus Byzantinorum patriarcharum fuit, ante captam a Turcis civitatem: nisi tamen pro Μάρκου τοῦ Ἐφέσου scribendum fuerit, Ἰωάννου τοῦ Ἐφέσου *Joannis Ephesii*, Chilæ scilicet adversarii Gregorii Cyprii; quod obiter a me dictum sit. Atqui Marcus ille monachus exiguum volumen quod scripserat, emendatum jactabat, et approbatum a patriarcha, cuicum arctissima necessitudine jungebatur. Qua re factum est, ut statim atque Marci liber emissus in publicum fuit, Gregorius Cyprius ejus auctor censitus sit. Quam criminationem patriarcha ut repelleret, *Confessionem*, quam dixi, *fidei* condidit, qua Marci dogmata exsecratus est. Id quod etiam in altero supplice ad Andronicum imperatorem libello præstitit. Interim qui pro Gregorio stabant, Athanasium Alexandrinum, imperatore annuente, compellant ut tomo subscribat: quod tamen ille facere noluit; causatus sibi satis otii et facultatis non esse ad singulas ejus voces explorandas, eo maxime quod Constantinopolitanorum mores et sensus perspectos non haberet. His commotus imperator, ardens suum erga Cyprium studium temperare cœpit, eique colloquium publicum exoranti, in quo mentem planius suam explicaret, annuit primum, mox vero mutata sententia abnuit veritus ne idem accideret quod in anteriore cum Becco disputatione, ex qua res Ecclesiæ nihilo pacatiores evaserant. Quin imo Andronicus misit, qui sedis abdicationem ab ipso poscerent. Jam enim Cyprius e patriarchali domo in Hodegorum monasterium migraverat, in quo scribendis pro sua defensione libris vacabat. Posthac autem, ne patriarcha inauditus damnaretur, publicum conventum imperator edixit, in quo lecta est illius *Confessio fidei*, et ab omni pravæ doctrinæ suspicione immunis judicata. Nihilominus Ephesinus metropolita et Cyzicenus palam protestati sunt, minime se in communionem posse venire cum homine qui certis de causis hæresis invidia aspersus esset. Cui sententiæ quia pertinaciter adhærescebant, nec imperatoris monitis et adhortationibus cesserant, in separatas custodias uterque missus est, e quibus nonnisi post annos aliquot, et vix ægre educti sunt. At Theoleptus Philadelphiensis omnem offensionem hanc ex solo Marci libro acceptam prætexens, Gre-

OCR ABK / FR

gorium rectæ fidei alumnum judicatum iri dixit, si Marci doctrinam detestaretur (disertius utique quam in confessione et in libello ad imperatorem). Quod quidem a Cyprio præstitum fuisse, Pachymeres non narrat: sed, cum hæc ille audisset, gratiis actis imperatori, postera die cessionis libellum dedisse. Rursum vero imperator, collectis iterum synodis, operam ponebat, ut tomus saltem emendaretur et exponeretur; id quod tamen selecti ad hoc operis viri conficere nullatenus potuerunt, cum de germano Damasceni sensu tradendo inter eos nequaquam conveniret. Τέλος, inquit sæpe laudatus Pachymeres, ἐπεὶ οὐκ ἦν συμφωνεῖν ἐπὶ τῇ τοῦ γράμματος διορθώσει, ὑπεξεῖλον τέλεον τὴν ἐξήγησιν, κρεῖττον ἡγησάμενοι μὴ ὅλως τὸ ῥητὸν ἐξηγεῖσθαι, ἢ ἐξηγουμένους ἀναῤῥίπτειν κίνδυνον. Ac consulto prorsus: nam præter Becci expositionem, qua sincerior altera non occurrebat, ut, positis præjudiciis, sentiunt omnes qui in libris ejus legendis operam ponunt. Cyprius, in Apologia quam pro suo tomo iterum scripsit, illos adversarios refellit, utique schismaticos, nec a Joanne Ephesio, Daniele Cyziceno, et Theolepto Philadelphiensi diversos, qui Joannis Damasceni dictum, *προβολεὺς διὰ Λόγου ἐκφαντορικοῦ Πνεύματος*, *manifestantis Spiritus per Verbum productor*, sic interpretarentur, ac si *διὰ Λόγου*, *per Verbum*, *δι' Υἱοῦ*, *per Filium*, apud sanctos Patres idem sonaret, atque *σὺν τῷ Λόγῳ cum Verbo*, *μετὰ τοῦ Υἱοῦ cum Filio*, *ἅμα τῷ Υἱῷ una cum Filio*: quam quidem postremam interpretationem tum Patrum sententiis, tum grammaticæ legibus et usui contrariam pluribus ostendit et evincit. Interim vero Joannes Beccus, præter libros adversus Gregorii Cyprii tomum quos citavi, quatuor alios ad Constantinum, Melitiniotam utique, scripsit, quibus ejusdem tomi expositionem a Cyprio adornatam, confutavit. Hos etiam Leo Allatius cum aliis edidit t. II *Græciæ orthodoxæ*. Gregorii vero Cyprii opuscula, quæ in codicibus Regiis, ac præsertim 3442, reperi, hic subjicienda censui, quo rerum gestarum series melius a studioso lectore percipiatur.

---

# ΕΚΘΕΣΙΣ ΤΟΥ ΤΟΜΟΥ ΤΗΣ ΠΙΣΤΕΩΣ

## ΚΑΤΑ ΤΟΥ ΒΕΚΚΟΥ

### ΠΑΡΑ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΚΑΙ ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΥΡΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ, ΟΥΤΙΝΟΣ ΕΠΕΛΑΒΟΝΤΟ ΤΙΝΕΣ, ΚΑΙ ΓΕΓΟΝΕ ΠΡΟΣ ΕΚΕΙΝΟΥΣ Η ΑΠΑΝΤΗΣΙΣ ΙΣΧΥΡΑ.

---

A Ἔσχε μὲν ἡ ἐπισυμβᾶσα πρὸ μικροῦ ταραχή τε καὶ ζάλη τῇ Ἐκκλησίᾳ πατέρα οἷον καὶ ἀρχηγὸν αὐτὸν ἐκεῖνον τὸν ἀντικείμενον φθόνῳ τῆς τῶν ἀνθρώπων σωτηρίας ἀεὶ βαλλόμενον, καὶ τὰ ταύτην ἀπείργοντα ζητεῖν τι πραγματεύεσθαι οὐδέποτε ἀφιστάμενον. Οὐ μὴν δὲ ἀλλὰ καὶ ἀνθρώπους ἔσχεν εἰ καὶ μὴ ἀρχηγοὺς τὰ πρῶτά τ' αἰτίας ἔχοντας, ὑπηρέτας δ' οὖν ὅμως καὶ ὄργανα τοσαῦτα ἐκ προαιρέσεως εἰς αὐτὴν τελέσαντας, ὁπόσα δὴ κἀκεῖνος ἐβούλετο. Εἰρήνη μὲν οὖν τὸ κατ' ἀρχὰς καὶ οἰκονομία τις ἀκίνδυνος καὶ ἐπὶ συμφέροντι δῆθεν τῷ ἡμετέρῳ οὐκ οὖσα τοιαύτη ταῖς ἀληθείαις, ἐπιψηφίζεται σκοπὸς τῇ πράξει. Καὶ προτείνεται τοῦτο καθάπερ τι δέλεαρ ἀνθρώπων ἐφέλκον πρὸς τὸ κρυπτόμενον. Προτείνεται δὲ μεθ' ὑποσχέσεων καὶ ἀρῶν τῶν φρικωδεστάτων, καὶ λόγων ἐνόρκιων τοῦ μὴ ἂν αὐτοῖς ἄλλο τι βούλεσθαι τὴν διάνοιαν, ἢ B ὅπερ αὐτὰ ταῦτα μετὰ τοῦ ἀζημίου καὶ ἀκινδύνου εἶτουν ἀναμαρτήτου δηλοῖ. Εἶτα βραχὺς ὁ μετὰ ταῦτα χρόνος, καὶ ἀραὶ μὲν ἐκεῖναι καὶ ὅρκοι ὡσπερεὶ ἐπὶ παντὶ μᾶλλον ἑτέρῳ δὴ τῷ δὲ συνέστησαν ἀμελοῦνται. Καταδύεται δὲ οἷον εἰς γῆν τὸ τῆς εἰρήνης καὶ οἰκονομίας ὄνομα, καὶ τῆς τέως αὐτοῖς ἐκείνης δοκούσης κρείττονος πραγματείας· ἀνακύπτει δὲ τὰ τῆς κακουργίας ῥήματά τε καὶ πράγματα· καὶ τολμᾷ τις ἐν ἡμῖν λέγειν, ὅτι καὶ ἐκ τοῦ Υἱοῦ τὸ

A Πνεῦμα ἐκπορεύεται, ὥσπερ ἀμέλει καὶ ἐκ τοῦ Πατρός· ὅτι καὶ ὁ Μονογενὴς αἴτιος αὐτοῦ, καθὰ δὴ καὶ ὁ τὸν Μονογενῆ γεννήσας Πατήρ. Κἀντεῦθεν ἀρχὴν ἡ ταραχὴ λαμβάνει, καὶ ὁ μέγας λοιπὸν κατὰ τῆς Ἐκκλησίας ἀναῤῥιπίζεται πόλεμος. Ὅτι μὲν οὖν τὸ προσφάτως διαταράξαν ἡμᾶς ἔκφυλον τουτὶ δόγμα οὐ πρόσφατόν ἐστι τὴν γένεσιν, καὶ παρ' ἄλλοις ταύτην ἐσχηκὸς, οὐχ ἡμῖν, πάντες τε ἴσασι σχεδὸν, καὶ ἀναδιδάσκειν οὐ χρή· πλὴν μετενήνεκται δεῦρο οἷά τις ὑπερόριος λύμη, καὶ ἤκμασε χρόνον ἐφ' ἱκανόν. Ἰσχὺν δὲ αὐτῷ ἐνακμάζειν τοσοῦτον Ἰωάννης παρέσχεν ὁ Βέκκος ὑποδοχεὺς αὐτῷ καὶ οἷον ἄρουρά τις οὐκ ἀφυὴς ἐκθρέψαι γενόμενος, ἀρδόμενος, ὡς μὲν ἐγὼ φαίην, ἐκ τοῦ πονηροῦ καὶ τῶν τῆς ἀνομίας χειμάῤῥων, ὡς δὲ ἐκεῖνος ψευδόμενος ἔλεγεν, ἐκ τῶν Βίβλων τῶν ἱερῶν, κακούρ- B γως ἀνελίττων αὐτὰς, καὶ σπερμολογῶν ἐκεῖθεν καὶ ἱεροσυλῶν, καὶ τὸν νοῦν ἅμα μὲν τῆς Γραφῆς κλέπτων, ἅμα δὲ καὶ τῶν ἐπιπολαίως ἀκροωμένων αὐτοῦ, ἢ καὶ πρὸς τοὺς ἐκείνου χρυσοῦς ἀφορώντων. Πλὴν ὄγδοον μὲν τῷ κακῷ τῷδε ἰσχύοντι καὶ ἐμπολιτευσαμένῳ τοῖς ὧδε σχεδὸν ἠνύετο ἔτος. Τοσοῦτον δὲ κἀκεῖνος τὴν εἰς τὸν πατριαρχικὸν θρόνον ἆθλον τῆς οὐ καλῆς ἐπικαρπίας εἶχεν ἐνίδρυσιν, καὶ τῇ Ἐκκλησίᾳ παρ' ὅλον τοῦτον τὸν χρόνον Θεοῦ συγχωροῦντος δι' ἁμαρτιῶν πάντων πλῆθος, ᾧ δὴ



OCR ABK / FR

μόνῳ τὸν ἀπαθῆ παροργίζομεν ἀθλίως ἔχειν ὑπῆρχε καὶ καρτερεῖν τὰ δεινότατα. Τὸ δὲ μετὰ ταῦτα παρακαλεῖται Θεὸς ἐφ' ἡμῖν τοῖς δούλοις αὐτοῦ, καὶ ἵλεων ἐνορᾷ, καὶ ἀνίστησι βασιλέα, τούτῳ δὴ μόνῳ δοκοῦντα ζῆν, ὥστε πράττειν τὰ δοκοῦντα Θεῷ, καὶ τὴν Ἐκκλησίαν, ὥσπερ πάλαι τὴν πεπτωκυῖαν καὶ κατεσκαμμένην σκηνὴν Δαβίδ, ἀνίστησι δι' αὐτοῦ. Καὶ γίνεται μὲν ἐκ τοῦ μέσου ὁ τὴν πονηρίαν καὶ τὰ ζιζάνια ὑποδεξάμενος καὶ αὐξήσας ἄνθρωπος, παῤῥησίαν δὲ τὸ γνήσιον τοῦ Πνεύματος λαμβάνει δόγμα, καὶ ἄδεια τοῦ λοιποῦ τοῖς ὄντως μετατιθέναι τὴν θεοφιλῆ πολιτείαν ἐθέλουσιν ἐπὶ τῷ τῆς πίστεως οἰκοδομεῖν θεμελίῳ. Ἀλλὰ γὰρ καλὸν καὶ σωτήριον, καὶ κρείττονος ἔργον οἰκονομίας φροντίσαι καὶ τῆς ἑξῆς ἀσφαλείας τῇ Ἐκκλησίᾳ, καὶ τὸ ἀκλόνητον αὐτῇ πᾶσι τρόποις περιποιήσασθαι, ἵν' εἴ τις αὐτὴν καὶ αὖθις θεοστυγὴς ἄνθρωπος διασαλεύειν ἐπιχειροίη, μάταιος ἀπελέγχηται, τῷ στεῤῥῷ λόγῳ τῆς ἡμῶν εὐσεβείας ἀποκρουόμενος. Γένοιτο δ' ἂν ἱκανῶς τοῦτο, εἰ δύο ταῦτα ἐπέλθῃ πράττειν ἡμῖν, τό θ' ἡμέτερον καὶ ὀρθόδοξον δηλονότι διατρανῶσαι δόγμα, καὶ οἱονεὶ ἐφ' ὑψηλῆς καθάπερ τινὰ εὐσεβείας ἐνιδρῦσαι στήλην, ὡς εἴη πᾶσι κατάδηλον, πόῤῥωθεν ὁρώμενον, καὶ εἰς ἑαυτὸ τοὺς τῆς ψυχῆς ὀφθαλμοὺς ἐπιστρέφον, καὶ δεύτερον τὸ πονηρὸν καὶ ὀλέθριον, εἴτουν ἀλλότριον, γνώριμον καταστῆσαι, ὅπως ἐμφανὲς καὶ τοῦτο γενόμενον ἀποστρεφομένους αὐτὸ τοὺς πάντας τό γε ἐξ ἡμῶν ἔχῃ καὶ βδελυττομένους καὶ τὸν ἐξ αὐτοῦ σπουδῇ διαφεύγοντας κίνδυνον.

Ἡμεῖς τοίνυν οὕτω γλώττῃ ὁμολογοῦμεν ὡς καὶ τῇ καρδίᾳ πιστεύομεν. Πιστεύομεν δὲ ὡς ἄνωθεν καὶ ἐκ Πατέρων ἐδιδάχθημεν. Ἐδιδάχθημεν δὲ καὶ πιστεύομεν εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε καὶ ἀοράτων, ἄναρχον μὲν καὶ ἀγέννητον καὶ ἀναίτιον, ἀρχὴν δὲ φυσικὴν καὶ αἰτίαν Υἱοῦ καὶ Πνεύματος. Πιστεύομεν καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν, τὸν ἀχρόνως καὶ ἀῤῥεύστως ἐξ αὐτοῦ ὁμοούσιον αὐτῷ γεννηθέντα, δι' οὗ τὰ πάντα ἐγένετο. Πιστεύομεν καὶ εἰς τὸ πανάγιον Πνεῦμα, τὸ ἐξ αὐτοῦ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ συμπροσκυνούμενον Πατρὶ καὶ Υἱῷ, ὡς συναΐδιον καὶ σύνθρονον, καὶ ὁμοούσιον, καὶ ὁμόδοξον, καὶ τῆς κτίσεως συνδημιουργόν. Πιστεύομεν τὸν ἕνα ταύτης τῆς ὑπερουσίου καὶ ζωαρχικῆς Τριάδος, τὸν μονογενῆ Λόγον κατελθόντα ἐκ τῶν οὐρανῶν δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπῆσαι, τουτέστιν τέλειον ἄνθρωπον γενέσθαι μένοντα Θεὸν, καὶ μηδὲν μεταβαλόντα τῆς θείας οὐσίας διὰ τὴν πρὸς σάρκα κοινωνίαν, ἢ ἀλλοιώσαντα, ἀλλ' ἄνευ τροπῆς προσειληφότα τὸν ἄνθρωπον. Ἐν αὐτῷ τε πάθος καὶ σταυρὸν ὑπομεῖναι τὸν παντὸς πάθους κατὰ τὴν θείαν φύσιν ἐλεύθερον, καὶ ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν, καὶ εἰς οὐρανοὺς ἀνεληλυθότα, ἐκ δεξιῶν καθίσαι τοῦ Θεοῦ καὶ Πατρός. Πιστεύομεν κατὰ τὰς περὶ Θεοῦ καὶ τῶν θείων παραδόσεις τε καὶ εἰσηγήσεις, τῆς μιᾶς καθολικῆς καὶ

A ἀποστολικῆς Ἐκκλησίας. Ὁμολογοῦμεν ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν, προσδοκῶμεν ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἔτι δὲ τοῦ ἐνανθρωπήσαντος Λόγου μίαν ὑπόστασιν ὁμολογοῦντες, καὶ ἕνα πιστεύοντες τὸν αὐτὸν καὶ κηρύττοντες Χριστὸν ἐν δυσὶν οἴδαμεν μετὰ τὴν ἐνανθρώπησιν ταῖς φύσεσι, τὰ ἐξ ὧν καὶ ἐν οἷς καὶ ἃ πέφυκε σώζοντα. Ἀκολούθως δὲ καὶ δύο ἐνεργείας αὐτοῦ Χριστοῦ καὶ δύο πρεσβεύομεν θελήματα, ἑκάστης τῶν φύσεων τὸ ἴδιον θέλημα καὶ τὴν οἰκείαν σωζούσης ἐνέργειαν. Προσκυνηταὶ ἐσμὲν σχετικῶς, καὶ οὐ λατρευτικῶς, καὶ τῶν θείων καὶ σεπτῶν εἰκόνων αὐτοῦ τε Χριστοῦ καὶ τῆς πανάγνου Θεομήτορος, καὶ πάντων τῶν ἁγίων, ἐπὶ τὰ πρωτότυπα τὴν πρὸς ταύτας διαβιβάζοντες τιμήν. Τοὺς δὲ ἄλλως ἢ οὕτω φρονοῦντας ὡς ἀλλοτριόφρονας ἀποβαλλόμεθα. Ἀποβαλλόμεθα δὲ καὶ B τὴν πρὸ μικροῦ γεγονυῖαν εἰρήνην, ὡς τὴν πρὸς Θεὸν ἡμῖν προξενήσασαν ἔχθραν. Ἐπειδήπερ ὡς ἐν πλάσματι οἰκονομίας τὴν Ἐκκλησίαν κατέτεμε καὶ ἐλυμήνατο, πείθουσα αὐτὴν διὰ τῆς ἀβελτηρίας καὶ φρενῶν παρατροπῆς τῶν τὴν ἰδίαν, ἀλλ' οὐ τὴν τοῦ Θεοῦ στῆσαι δόξαν ζητούντων ἀποκλῖναι μὲν τῆς ὀρθοδοξίας καὶ τῆς ὑγιοῦς τῶν Πατέρων διδασκαλίας, εἰς κακοδοξίας δὲ καὶ βλασφημίας ἀπολισθῆσαι κρημνόν. Ἀθετοῦμεν τὰς ἐπικινδύνους περὶ τῆς τοῦ ἁγίου Πνεύματος ἐκπορεύσεως λαληθείσας αὐτοῖς φωνάς. Τὸ γὰρ πανάγιον Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι παρ' αὐτοῦ τοῦ Θεοῦ καὶ Λόγου μαθόντες, ἐκ τοῦ Πατρὸς καὶ τὴν ὕπαρξιν ἔχειν ὁμολογοῦμεν, καὶ αὐτὸν τοῦ εἶναι οὐσιωδῶς αὐχεῖν αἴτιον, ὥσπερ ῥητὰ καὶ αὐτὸς ὁ Υἱός. Τὸν δὲ Υἱὸν C ἐκ Πατρὸς μὲν οἴδαμεν καὶ πιστεύομεν, καὶ αἴτιον ἑαυτοῦ καὶ ἀρχὴν φυσικὴν τὸν Πατέρα πλουτεῖν, ὁμοούσιον δὲ καὶ συμφυὲς τὸ ἐκ Πατρὸς ἔχειν Πνεῦμα. Οὐ μὴν δὴ καὶ αἴτιον αὐτὸν τοῦ Πνεύματος ὑπάρχειν ἢ μόνον ἢ μετὰ τοῦ Πατρός. Ὅτι μηδὲ ὕπαρξις τῷ παναγίῳ Πνεύματι διὰ τοῦ Υἱοῦ καὶ ἐκ τοῦ Υἱοῦ, καθὰ δὴ καὶ ἐνόησαν καὶ ἐδογμάτισαν οἱ εἰς ἀπώλειαν ἑαυτοὺς καὶ Θεοῦ μακρυσμὸν ἐκβιάζοντες. Οὓς δὴ καὶ ὡς οὐ περὶ τὴν ὑγιῆ πίστιν ὀρθοδοξοῦντας, ἀλλ' ἀριδήλως βλασφημοῦντας, καὶ διεστραμμένα καὶ φρονοῦντας καὶ λέγοντας ἀποστρεφόμεθα, καὶ τῆς ἡμῶν ἀποκόπτομεν κοινωνίας, τὸ δεινοτάτης καὶ μέχρις αὐτῆς ἀφόρητον ἀκοῆς διαπεπραγμένους. Τοῦ γὰρ ἡμετέρου γένους καὶ δόγματος ἄνωθεν ὄντες, καὶ εἰς τήνδε τὴν Ἐκκλησίαν D τελοῦντες, ὅμως ἐπανέστησαν κατ' αὐτῆς, καὶ ἠθέτησαν τὴν καὶ ὠδινήσασαν αὐτοὺς πνευματικῶς καὶ ἐκθρέψασαν, καὶ κίνδυνον αὐτῇ τὸν ἔσχατον περιέστησαν, τέκνα μωμητὰ φανέντες, υἱοὶ ἀλλότριοι χωλάναντες ἀπὸ τῶν τρίβων αὐτῶν· γενεὰ πονηρὰ καὶ διεστραμμένη, οὐ καλὰ Κυρίῳ τῷ Θεῷ, οὐδέ γε τῇ μητρὶ Ἐκκλησίᾳ ἀποδόντες ἀνταποδόματα. Δέον γὰρ πάντα κίνδυνον ὑπὲρ αὐτῆς καὶ τῶν αὐτῆς ὑπομένειν δογμάτων, καὶ μηδὲ αὐτὸν ἀπαναίνεσθαι θάνατον. Οἱ δὲ καὶ χεῖρον ἢ ἄνθρωποι φύσει πολέμιοι διετέθησαν πρὸς αὐτὴν, μελαγχολίαν νοσήσαντες ἄντικρυς, καὶ τὴν τῶν πολεμίων καὶ φίλων καθάπαξ ἀποβεβληκότες διάγνωσιν. Ὧν, ὡς εἴρηται, τὰ

OCR ABK / FR

πρῶτα Ἰωάννης ἔσχεν ὁ Βέκκος, ὅς, ἐπειδὴ τὴν ἑαυτοῦ Ἐκκλησίαν Χριστὸς ἐπεσκέψατο, καὶ τὴν ἐναντίαν αὐτῷ τε τούτῳ καὶ τῷ πονηρῷ ἐκινήθη συντάγματι, καὶ καθαρῶς εἰς ἀνάῤῥουν ἐχώρησεν, ἐξ οὗ καὶ τῆς ἑαυτοῦ γλωσσαλγίας τὰς ἀξίας ἔμελλεν εἰσπράττεσθαι δίκας, δόξας ἐσχηκέναι μεταμέλον ἐφ' οἷς λυττήσας κατὰ τῆς Ἐκκλησίας ἐνεανιεύσατο, λίβελλον συνθέμενος εὐσεβῆ, καὶ τοῦτον τῇ εὐθυνούσῃ τὰ κατ' αὐτὸν ἐγχειρίσας συνόδῳ, οὐκ ἔφθη φιλανθρωπίας γευσάμενος, καὶ τῆς καταδίκης ἐκτὸς γευσάμενος, καὶ ἐπὶ τὸν ἴδιον αὖθις τῆς βλασφημίας ἔμετον ἐπιστρέφει. (1)

Ἀλλ' ἐκθετέον καὶ αὐτὸν ἐκεῖνον τὸν λίβελλον, ἵνα πάντες ἀκούσαντες δοκιμάσωσιν εἰ μὴ δικαίως ἐκεῖνος καταδεδίκασται. Εἶχε τοίνυν ἐπ' αὐτῆς τῆς λέξεως οὑτωσί· « Ἐπείπερ ἐπὶ τῇ προβάσῃ ἐπισφαλῶς οἰκονομίᾳ τῆς δῆθεν ἐκκλησιαστικῆς εἰρήνης, ὥστε συναπαγαγεῖν με πάντας εἰς τὴν τοιαύτην εἰρήνην, συνέβη λαλῆσαί με καὶ γράψαι περὶ δογμάτων ἐκκλησιαστικῶν, ἐν οἷς εὑρέθησαν καί τινα ῥηθέντα παρ' ἐμοῦ ἀπᾴδοντα τοῖς ἱεροῖς καὶ θείοις δόγμασι, καὶ ἐπισφαλῶς ἔχοντα, ἅπερ οὕτως ἔχοντα καὶ ἡ θεία καὶ ἱερὰ σύνοδος ἐφωράσατο· ἤγουν τὸ λέγειν με ὅτι τὸ Πνεῦμα τὸ ἅγιον αἴτιον ἔχει τῆς ἑαυτοῦ ὑπάρξεως τὸν Πατέρα καὶ τὸν Υἱόν· καὶ εἰς τοῦτο φέρει καὶ συμφωνεῖ καὶ ἡ λέξις ἡ λέγουσα τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι, ὅθεν καὶ δύο ἀναφαίνεται τοῦ Πνεύματος αἴτια, καὶ ἡ προσεχής, καὶ ἡ πόῤῥωθεν ἀρχὴ ἐντεῦθεν ὑπονοεῖται· καὶ τοσοῦτόν ἐστι καὶ ὁ Υἱὸς αἴτιος τῆς ὑπάρξεως τοῦ Πνεύματος, ὅσον ἥκει εἰς τὴν διά· ταῦτα πάντα ἐπεὶ ἐν τοῖς ἐμαυτοῦ συγγράμμασι καὶ λόγοις ἐμφερόμενα εὕρηνται, ἐμοῦ ταῦτα καὶ οὐκ ἄλλου φρονήσαντος καὶ γράψαντος. Καὶ πρὸς τούτοις καὶ τὸ λέγειν αἴτιον ἓν τοῦ Πνεύματος τὸν Πατέρα καὶ τὸν Υἱόν, ἐξ ὧν ὡς ἀπὸ μιᾶς ἀρχῆς καὶ πηγῆς ἔχει τὸ εἶναι. Ταῦτα πάντα, καὶ εἴ τι ἕτερον εἰς τὴν τοιαύτην ἀτοπίαν φέρει τοῦ δόγματος, ἐνώπιον τοῦ Θεοῦ καὶ τῶν φοβερῶν ἀγγέλων αὐτοῦ, ἔτι δὲ καὶ ἐνώπιον τῆς θείας καὶ ἱερᾶς συνόδου ἐκ ψυχῆς μέσης, χωρίς τινος δολιότητος, καὶ τοῦ ἄλλα μὲν κρύπτειν, ἄλλα δὲ λέγειν ἀποτρέπομαι, καὶ ἀθετῶ, καὶ ἀποβάλλομαι, ὡς εἰς ἔσχατον ψυχῆς ὄλεθρον φέροντα. Ὁμολογῶ δὲ καρδίᾳ καὶ στόματι, καὶ φρονῶ καθὼς ἄνωθεν ὁμολογεῖ ἡ ἁγία καὶ καθολικὴ Ἐκκλησία, τὴν ἁγίαν Τριάδα, τὸν ἕνα Θεόν, οὕτως· ὅτι ὁ Πατὴρ οὔτε ἐξ ἑτέρου, οὔτε ἐξ ἑαυτοῦ τὸ εἶναι ἔχει, ἀλλ' ἄναρχός ἐστι καὶ ἀναίτιος. Ὁ δὲ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐκ Πατρὸς τὴν ὕπαρξιν γεννητῶς καὶ αἴτιον ἔχει τὸν Πατέρα. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον ὁμολογῶ καὶ πιστεύω, ὅτι ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὴν ὕπαρξιν ἔχει ἐκπορευτῶς. Καὶ ὁ Πατὴρ κατὰ τὰς ἱερὰς τῶν διδασκάλων φωνὰς αἴτιός ἐστι τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος· τῆς « διὰ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, » φωνῆς μηδ' ὅλως εἰσαγούσης τὸν Υἱὸν αἴτιον εἶναι τοῦ Πνεύματος, ἢ καθ' ἑαυτόν, ἢ μετὰ τοῦ Πατρός, ὡς εἶναι τὸν Υἱὸν καὶ τὸν Πατέρα κατὰ τὴν ἐπισφαλῆ τινων καὶ ἀλλοκότων ὑπόληψιν ἓν αἴτιον καὶ μίαν ἀρχὴν τοῦ Πνεύματος. Ταῦτα μὲν οὕτω φρονῶ, καὶ εὔχομαι μέχρι καὶ τελευταίας ἀναπνοῆς οὕτω με φρονοῦντα εὑρίσκεσθαι, καὶ ἐν πᾶσι δόγμασιν ὁμοφρονεῖν τῇ ἁγίᾳ τοῦ Θεοῦ καθολικῇ Ἐκκλησίᾳ, κατὰ τὴν ἀναγεγραμμένην ὁμολογίαν. Πάντας δὲ τοὺς μὴ οὕτω φρονοῦντας, ἢ καὶ εἰς τὸ μέλλον φρονήσοντας, ἀκοινωνήτους ἔχω καὶ ἀποβλήτους, καὶ πόῤῥω τῆς τῶν Χριστιανῶν ὀρθοδόξου πίστεως. Οὗτός ἐστιν ὁ τῆς ἐμῆς ὁμολογίας καὶ πίστεως λίβελλος, δι' οὗ καὶ πᾶσιν ἀνομολογῶ καὶ διαμαρτύρομαι καὶ τρανῶς παριστάνω, ὅπως ἔχω τῆς πρὸς τὸν Θεὸν εὐσεβείας, καὶ ὅπως ὁλοσχερῶς ἐξέχομαι τῶν εὐαγγελικῶν καὶ ἀποστολικῶν καὶ πατρικῶν δογμάτων καὶ διδαγμάτων. Ἐπεὶ δὲ ἕνεκεν τῆς τόλμης ἧς ἐπισφαλῶς κατετόλμησα εἴς τινα τῶν εἰρημένων θείων δογμάτων κατεδικάσθην καθαίρεσιν τῆς ἀρχιερωσύνης παρὰ τοῦ ἁγιωτάτου δεσπότου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τῆς περὶ αὐτὸν θείας καὶ ἱερᾶς συνόδου, ἐν ᾗ ἐπιδημεῖ καὶ ὁ ἁγιώτατος πάππας Ἀλεξανδρείας καὶ πατριάρχης, δέχομαι καὶ τὴν τοιαύτην καθαίρεσιν, ὡς ἐνθέσμως καὶ κανονικῶς γεγονυῖαν, καὶ στέρξω τὴν τοιαύτην ψῆφον, ὡς δικαίαν καὶ ἔννομον, μηδέποτε πειρασόμενος ἱερωσύνην ἀνακαλέσασθαι. »

Ταῦτα ἐκεῖνος ἐκθέμενος, καὶ οἰκείᾳ χειρὶ γράψας καὶ ὑπογράψας, ὡς ἄνεσιν ἔλαβεν ἀπὸ τοῦ δικαστηρίου, καθάπαξ ἠθέτησε. Καὶ πάλιν βιβλία συντάττει, καὶ πάλιν βλασφημίαι, καὶ πάλιν δόγματα νόθα, καὶ λόγων ἄλλων παρεισαγωγαί, οὓς οὐκ ᾔδεσαν οἱ Πατέρες ἡμῶν. Φιλονεικήσας γὰρ ἑαυτὸν τῶν ταύτης τῆς κακίας ἐγκλημάτων ἀνώτερον ἀποδεῖξαι, καὶ δέον τοῦτο μόνῃ μετανοίᾳ καὶ ἀθετῆσαι ὧν κακῶς συνέθετο πρᾶξαι, ὁ δὲ τὴν ὁδὸν ἀγνοήσας ἐκτρέπεται τοῦ εὐθέος, καὶ τοσοῦτον μᾶλλον ἢ πρότερον εἰς ἀδόκιμον ἐκπίπτει νοῦν· ὡς εἰκάζειν μὲν αὐτοῦ πρὸς μικρὸν τῆς πλάνης ἀποχωρῆσαι πνεῦμα, ἐπιδραμεῖν δὲ αὖθις αὐτῷ μετὰ πλείονος τῆς παρασκευῆς, οὐχ ἑπτὰ μόνον συμπαρειληφός, ἀλλ' ὅλον λεγεῶνα πνευμάτων, καὶ πᾶσαν αὐτοῦ τὴν τῆς ψυχῆς χώραν καὶ κατασχεῖν καὶ πληρῶσαι. Οὗ δὴ χάριν καὶ αὖθις μετακαλεῖται, καὶ λόγους τῆς καλῆς ταύτης μεταβολῆς ἀπαιτεῖται. Μετακαλεῖ δὲ αὐτὸν τίς ἕτερος ἢ ὁ ζηλῶν Θεῷ παντοκράτορι βασιλεύς, ὁ καὶ πρὸς τὴν τῆς Ἐκκλησίας καὶ εὐσεβείας ἀνοικοδομήν, ὥσπερ καὶ χεὶρ αὐτῷ τῷ Ὑψίστῳ γενόμενος, ὃν καὶ Μωσῆν νέον ἐγὼ καλοίην ἡδέως καὶ Θεοῦ θεράποντα κατ' ἐξαίρετον, Αἰγύπτου καὶ δουλείας, οὐ κατὰ τὴν παλαιὰν ἐκείνην αἰσθητήν, ἀλλά τινος μακρῷ χαλεπωτέρας τὸν καθ' ἡμᾶς Ἰσραὴλ ἐξαιρούμενον, πλὴν τὸν μὲν βασιλέα τῆς ὑπηρεσίας ἕνεκεν ταύτης χεῖρες μὲν ἔχουσιν ἐν ἑαυταῖς ἐζωγραφημένον αἱ τοῦ Θεοῦ, βίβλοι δ' ἐκείνου φέρουσι γεγραμμένον. Καὶ ἡμᾶς οὐ δεῖ πολλὰ γράφειν περὶ αὐτοῦ. Ὁ δέ γε Βέκκος παρά τε τῆς ἱερᾶς συνόδου λόγους ἀπαιτούμενος, ὅτι χάριν ἐπαινετῆς μετὰ μικρὸν παλίμβολος ὢν πρὸς αὐτά, καὶ ὥσπερ κύων ἐπὶ τὸν ἴδιον ἐπέστρεψεν ἔμετον.

(1) Marg.: Αὕτη ἡ τοῦ Βέκκου μετάνοια καὶ ἀποβολὴ τῶν βλασφήμων αὐτοῦ δογμάτων κἂν πάλιν

OCR ABK / FR

μεταμελείας ἁψάμενος, καὶ τὴν χεῖρα εὐαγγελικῶς εἰπεῖν ἐπ' ἄροτρον βαλὼν, καὶ τῇ Ἐκκλησίᾳ συνθέμενος ἕπεσθαι, ἐστράφη πάλιν εἰς τὰ ὀπίσω καὶ εἰς τὴν τῶν οὐρανῶν οὐκ εὔθετος γέγονε βασιλείαν, τὸ βλάσφημον τοῦ ὀρθοῦ προτιμήσας, τοσοῦτον οὐκ ἐφθέγξατο ἐπιεικὲς, καὶ οἷον ἂν αὐτὸν τοῦ μὴ κακὸν φανῆναι συνέστειλεν, ὥστε καὶ τηνικαῦτα μᾶλλον γέγονε δῆλος, ὅτι σφοδρῶς ἐνέχεται τῇ κακοδοξίᾳ, ὅτι καὶ αὐτὸν αὐτῆς ἀποστῆναι πείθειν οὐδεὶς λόγος δυνήσεται. Ὅθεν καὶ ὁ τῶν εὐσεβῶν ἅπας σύλλογος ζήλῳ δικαίῳ χρησάμενοι κατ' αὐτοῦ τε καὶ τῶν οἷος αὐτὸς τὴν γνώμην ἐστὶν, ὧδε καὶ οἱ πάλαι Λευῖται κατὰ τῶν οἰκείων ἀδελφῶν υἱῶν Ἰσραὴλ τῶν ἀθετησάντων ἐχρήσαντο, τὴν ἀπόφασιν ἀποφαινόμεθα.

α'. Ἰωάννῃ τῷ Βέκκῳ καὶ τοῖς ἐξακολουθοῦσιν αὐτῷ, Κωνσταντίνῳ δή φημι τῷ Μελιτηνιώτῃ καὶ Γεωργίῳ τῷ Μετοχίτῃ, ὅτι ἐξ ἡμῶν γεγόνασι, καὶ τοῖς ἡμετέροις ἐνετράφησαν ἔθεσί τε καὶ δόγμασι, καὶ οὐκ ἐνέμειναν τούτοις, ἐγγενέσιν οὖσι καὶ πατρίοις αὐτῶν, καὶ διὰ παντὸς βεβαιωθεῖσι τοῦ χρόνου, ἐξ οὗ Χριστὸς ἤρξατο καταγγέλλεσθαι καὶ ἐς δεῦρο, ἀλλὰ τούτων, καθ' ὧν οὔτε ᾅδου πύλαι ἴσχυσαν, οὔτε μὴν ἰσχύσουσιν, ὑπεριδόν, οὐκ οἶδ' ὅ τι καὶ καταγνῶναι ἢ μὴ ἐπαινεῖν αὐτῶν ἔχοντες, δόξαν δὲ ἀντεισήγαγον ἄγνωστον παντάπασι τοῖς Πατράσιν αὐτῶν μήτε τὸ ἀπὸ χρόνου τῶν κειμένων αἰδεσθέντες πρεσβεῖον, μήτε μὴν τοὺς τούτων ἐκφάντορας, οἳ καὶ τὰ τοῦ Πνεύματος οὐκ ἄλλως ἐλάλουν ἢ πλήρεις γεγονότες τοῦ Πνεύματος. Τούτοις οὖν ὅτι, διαφθαρέντες τοσοῦτον, ἔκτοπα καὶ πόῤῥω τῶν παραδεδομένων ἐπὶ λύμῃ καὶ καταστροφῇ τῆς Ἐκκλησίας ἐφρόνησαν· εἶτα τῆς μανίας ταύτης χρόνον δή τινα μετεβάλοντο, ἑαυτοὺς ἐπαράτους ἔσεσθαι λόγοις καὶ γράμμασιν ἐπὶ μυρίας καὶ ὄψεως καὶ ἀκοῆς ἀποφηνάμενοι, εἰ μὴ ὁλοσχερῶς εὑρίσκοιντο τοῦ λοιποῦ τὰ πάτρια στέργοντες, καὶ εἰς οὐδὲν ἀλλότριον τῆς Ἐκκλησίας ἐξελκόμενοι φρονήσεως, καὶ οὐδὲ τοῖς ἑαυτῶν ἐπὶ ταύτῃ τῇ μετανοίᾳ χειρογράφοις ἐνέμειναν, ἀλλὰ μετενόησαν, ὅτι δὴ καὶ μετέγνωσαν, καὶ πάλιν εἰς τὴν προτέραν ἀποστασίαν ἐξέκλιναν, ὥσπερ φύσεως ἀποστάτιδος λαχόντες, καὶ πρὸς τοὺς ὅρους τοὺς πατρικοὺς ἀσυνθέτου· τούτοις ἀποστραφεῖσιν ἀποστροφὴν πονηρὰν καὶ τὸν ἀπὸ τῆς ἰδίας Ἐκκλησίας μακρυσμὸν ἀγαπήσασιν, ἣν αὐτοὶ ἑαυτοῖς εἰς τοῦτό ποτε τολμήσουσιν, ἀποτέμνοντες αὐτοὺς οὕτως ἔχοντας τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

β'. Τῷ αὐτῷ σὺν τοῖς μετ' αὐτοῦ τοσοῦτον πρὸς τὴν ἀποστολικὴν ἀποθρασυνομένοις ὁμολογίαν, ὥστε παρεμβάλλειν ἐν αὐτῇ, ἃ μήθ' οἱ διδάσκαλοι τῆς Ἐκκλησίας παρέδωκαν, μήθ' ἡμεῖς παρ' αὐτῶν παρελάβομεν τὴν προαναγεγραμμένην ψῆφον καὶ καταδίκην ἐπάγοντες ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

γ'. Τοῖς αὐτοῖς λέγουσι μὲν ὅτι ὁ Πατὴρ αἴτιός ἐστι τοῦ Πνεύματος διὰ τοῦ Υἱοῦ, καὶ μὴ ἄλλως αὐτὸν αἴτιον εἶναι νοοῦσι τοῦ Πνεύματος ὑποστάσεως εἰ μὴ διὰ τοῦ Υἱοῦ τὴν ὕπαρξιν καὶ τὸ εἶναι παρέχει τῷ Πνεύματι, ἐξ οὗ καὶ συναίτιος κατ' αὐτοὺς ὁ Υἱὸς συνάγεται τῷ Πατρὶ, καὶ εἰς τὸ εἶναι τοῦ Πνεύματος αὐτῷ συμβαλλόμενος, πίστιν δὲ τοῦ λόγου τούτου κομίζουσι τὴν τοῦ θείου Δαμασκηνοῦ ῥῆσιν, τὴν, ὅτι προβολεύς ἐστιν τοῦ ἐκφαντορικοῦ Πνεύματος ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ, ἥτις καὶ οὐδαμῶς εἰς τοῦτον φέρει τὸν νοῦν, ἀλλὰ βούλεται τρανῶς τὴν δι' Υἱοῦ τοῦ Πνεύματος παριστάνειν φανέρωσιν ἐκ Πατρὸς τὴν ὕπαρξιν ἔχοντος· ἐπεὶ ὁ αὐτὸς Δαμασκηνὸς οὐκ ἂν ἐν αὐτῷ τούτῳ τῷ κεφαλαίῳ μόνον αἴτιον ἐν τῇ Τριάδι τὸν Θεὸν καὶ Πατέρα ἐδίδασκε, καὶ διὰ τῆς τοῦ μόνος φωνῆς ἀφῃρεῖτο τὴν αἰτίαν τὰς λοιπὰς ὑποστάσεις, οὐδ' ἐν ἑτέροις πάλιν, Υἱοῦ μὲν πνεῦμα λέγομεν τὸ Πνεῦμα τὸ ἅγιον, ἔφασκεν, ἐκ τοῦ Υἱοῦ δὲ αὐτὸ οὐ λέγομεν, συμβαίνειν γὰρ ἀλλήλοις ταῦτα οὐ δύναται, πλὴν τούτοις οὕτω μὴ πρὸς τὸν πατρικὸν σκοπὸν τὰς πατρικὰς δεχομένοις φωνὰς, πρὸς δέ τινα ἕτερον καθάπαξ ἀπηγορευμένον τοῖς Πατράσιν αὐτοῖς, τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγοντες, ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

δ'. Τοῖς αὐτοῖς διαβεβαιουμένοις, ὡς διὰ τοῦ Υἱοῦ καὶ ἐκ τοῦ Υἱοῦ τὴν ὕπαρξιν ἔχει ἐκ τοῦ Πατρὸς ὁ Παράκλητος, καὶ εἰς πίστιν πάλιν τοῦδε προβαλλομένοις τὴν, « ὅτι διὰ τοῦ Υἱοῦ καὶ ἐκ τοῦ Υἱοῦ ὑπάρχει, » ἐνίων γραφὴν, ἥ γε καὶ δηλοῖ μὲν τὴν ἐκεῖθεν αὐτοῦ ἔκλαμψιν καὶ φανέρωσιν· δι' Υἱοῦ γὰρ ὁμολογουμένως αὐτὸς ἀϊδίως ἐκλάμπει καὶ ἀναδείκνυται ὁ Παράκλητος, ὥσπερ ἐκ τοῦ ἡλίου διὰ τῆς ἀκτῖνος τὸ φῶς· δηλοῖ δὲ καὶ τὴν εἰς ἡμᾶς χορηγίαν καὶ δόσιν καὶ ἀποστολήν· οὐ μὴν δὲ καὶ ὅτι ὑφίσταται δι' Υἱοῦ καὶ ἐξ Υἱοῦ, καὶ τὸ εἶναι δι' αὐτοῦ καὶ παρ' αὐτοῦ λαμβάνει, ἐπειδήπερ εἶχεν ἂν ὄντως καὶ αὐτὸν τὸν Υἱὸν αἴτιον καὶ ἀρχὴν, ὥσπερ δὴ καὶ αὐτὸν τὸν Πατέρα, ἵνα μὴ λέγω καὶ μᾶλλον τοῦ Πατρὸς τὸν Υἱὸν, εἴπερ ἐξ οὗ τὴν ὕπαρξιν ἕκαστον ἔχειν λέγεται, ἐκεῖνο καὶ ἀρχὴν πλουτεῖν καὶ αἴτιον τοῦ εἶναι πεπίστευται· τούτοις τὰ τοιαῦτα καὶ φρονοῦσι καὶ λέγουσι, τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγοντες, ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

ε'. Τοῖς αὐτοῖς φάσκουσιν, ὡς ἡ διὰ πρόθεσις ἁπανταχοῦ τῆς θεολογίας ἰσοδύναμός ἐστι τῇ ἐκ, καὶ διὰ τοῦτο διισχυριζομένοις μηδὲν διαφέρειν διὰ τοῦ Υἱοῦ ἐκπορεύεσθαι λέγειν τὸ Πνεῦμα, καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι, κἀντεῦθεν ἀναμφιβόλως καὶ ὕπαρξιν τῷ Πνεύματι ἐκ τοῦ Υἱοῦ καὶ οὐσίωσιν νέμουσι· καὶ ἢ τὸ διττὸν τῆς αἰτίας συνάγουσιν, ἢ τὸ ἑνιαῖον μέν· πλὴν τὸν Υἱὸν τῷ Πατρὶ κατ' αὐτὸν δὴ τοῦτον τὸν τῆς αἰτίας λόγον συνάπτουσιν, ἅπερ ἀμφότερα πάσης βλασφημίας ἐπέκεινα· οὐ γὰρ ἔστιν ἐν τῇ Τριάδι ἑτέρα τις ὑπόστασις παρὰ τὴν τοῦ Πατρός, ἐξ ἧς ἂν εἴη τοῖς ὁμοουσίοις ὕπαρξις

OCR ABK / FR

καὶ οὐσίωσις· κατὰ δὲ τὴν κοινὴν τῆς Ἐκκλησίας δόξαν, καὶ τοὺς εἰπόντας ἁγίους, ῥίζα καὶ πηγὴ Υἱοῦ καὶ Πνεύματος ὁ Πατήρ, καὶ μόνη πηγὴ τῆς θεότητος ὁ Πατήρ, καὶ μόνος αἴτιος· εἰ γὰρ καὶ διὰ τοῦ Υἱοῦ παρά τισι τῶν ἁγίων ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον εἴρηται, τὴν εἰς ἀΐδιον ἔκφανσιν, ἡ δι' Υἱοῦ λέξις ἐνταῦθα οὐ τὴν εἰς τὸ εἶναι καθαρῶς σημαίνειν βούλεται πρόοδον τοῦ ἐκ Πατρὸς τὴν ὕπαρξιν ἔχοντος Πνεύματος, ἐπεὶ ἀφῃρεῖτο ἂν τὸν Πατέρα τὸ μόνον αἴτιον εἶναι, καὶ μόνην πηγὴν τῆς θεότητος, ἀπήλεγχε δὲ καὶ τὸν φάσκοντα θεολόγον, Πάντα ὅσα ἔχει ὁ Πατήρ, τοῦ Υἱοῦ πλὴν τῆς αἰτίας, οὐκ ἀληθῆ θεολόγον· τούτοις οὕτω φάσκουσι τὴν ἀναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγοντες, ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

ς'. Τοῖς αὐτοῖς διισχυριζομένοις ὡς ἡ μία οὐσία καὶ θεότης Πατρὸς καὶ Υἱοῦ τῆς τοῦ Πνεύματος ὑπάρξεώς ἐστιν αἰτία, ὅπερ οὐδεὶς τῶν νοῦν ἐχόντων οὐδέποτε οὐδὲ εἰρηκώς, οὔτε φροντίσας ἐφάνη· οὐδὲ γάρ ἐστιν ἡ κοινὴ οὐσία καὶ φύσις ὑποστάσεως αἰτία, ἐπεὶ μηδὲ γεννητική ποτε, οὐδὲ προβλητική, αὕτη ἡ κοινὴ οὐσία πέφυκε τῶν ἀτόμων, ἡ δὲ μετ' ἰδιωμάτων οὐσία, ἥτις σαφῶς κατὰ τὸν μέγαν Μάξιμον αὐτὴν δηλοῖ τὴν ὑπόστασιν· ἀλλὰ καὶ κατ' αὐτὸν δὴ τὸν μέγαν Βασίλειον· κἀκεῖνος γὰρ ὑπόστασιν ὁρίζεται εἶναι τὴν τὸ κοινόν τε καὶ ἀπερίγραπτον ἐν τῷ τινι πράγματι διὰ τῶν ἐπιφαινομένων ἰδιωμάτων περιστῶσαν καὶ περιγράφουσαν· διὰ τοῦτο καὶ τὸ τῆς οὐσίας ἄτομον ἀεὶ προβάλλεται τὸ ἄτομον, ὡς τὸ γεννώμενον εἶναι καὶ τὸ προβάλλον, ὡς τὸ προβαλλόμενον, Πατρὸς δὲ καὶ Υἱοῦ, ἡ οὐσία μία, καὶ οὐχ ὡς ὅλως ἄτομον· τούτοις οὕτως ἄτοπα βλασφημοῦσι τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγοντες, ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

ζ'. Τοῖς αὐτοῖς, ὅτι ὁ Πατὴρ καὶ ὁ Υἱὸς τῷ αἰτίῳ κοινωνοῦσι τοῦ Πνεύματος δογματίζουσιν, οὐχ ὡς ἀρχαὶ δύο καὶ αἴτια δύο· καὶ ὅτι κατὰ τοσοῦτον κοινωνεῖ ὁ Υἱὸς τῷ Πατρὶ καθ' ὅσον ἐστὶν ἧκον εἰς τὴν διά, κἀντεῦθεν διαφορὰν τῆς αἰτίας τοῦ Πνεύματος κατὰ τὴν τῶν προθέσεων τούτων διαφοράν τε καὶ δύναμιν ἐπεισάγουσι, καὶ ἄλλως μὲν αἴτιον ὡς ἐκ τοῦ λόγου τὸν Πατέρα, ἄλλως δὲ τὸν Υἱόν, καὶ φρονοῦσι καὶ λέγουσι, καὶ ἀριθμὸν αἰτίων τοῦ λοιποῦ καὶ πλῆθος τοῦ Πνεύματος ἐπιφέρουσι, κἂν μυριάκις τοῦτο ἀπαγορεύσωσι, τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγοντες, ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

η'. Τοῖς αὐτοῖς διατεινομένοις, ὅτι ὁ Πατὴρ αἴτιος τοῦ ἁγίου Πνεύματος, οὐ τῷ λόγῳ τῆς ὑποστάσεως, τῷ δὲ λόγῳ τῆς φύσεως, καὶ ἐκ τούτου καὶ τὸν Υἱὸν ἀναγκαίως αἴτιον ἀποφαινομένοις τοῦ Πνεύματος, τὸν αὐτὸν ἔχοντα τῷ Πατρὶ τῆς φύσεως λόγον, καὶ μὴ συνορῶσιν ὅσον τὸ ἐντεῦθεν ἑπόμενον ἄτοπον· δεῖ γὰρ ἄρα τὰ μὲν καὶ αὐτὸ τὸ Πνεῦμα αἴτιόν τινος εἶναι, τὸν αὐτὸν τῷ Πατρὶ τῆς φύσεως δεχόμενον λόγον, δεύτερον δὲ καὶ εἰς πλῆθος προχωρεῖν τῆς αἰτίας· ὅσαι γὰρ τῆς φύσεως μετέχουσιν ὑποστάσεις, καὶ τῆς αἰτίας μεθέξουσιν· καὶ τρίτον τὴν κοινὴν οὐσίαν καὶ φύσιν ὑποστάσεως αἰτίαν εἶναι, ὅπερ ἅπας ἀπαγορεύεται λόγος, καὶ αὐτή γε μετὰ τοῦ λόγου ἡ φύσις· τούτοις οὕτω ἔκτοπα φρονοῦσι καὶ τῆς ἀληθείας ἀλλότρια, τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγοντες, ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

θ'. Τοῖς αὐτοῖς λέγουσιν, ὡς ἐπὶ τῆς δημιουργίας ἡ διὰ τοῦ Υἱοῦ φωνὴ δήλωσιν μὲν τῆς προκαταρκτικῆς αἰτίας ἔχει, οὐ μὴν δὲ καὶ τὸν Υἱὸν διαιρεῖ τοῦ δημιουργὸν καὶ αἴτιον εἶναι τῶν δι' αὐτοῦ γεγονότων κτισμάτων, οὕτω δὴ καὶ ἐπὶ τῆς θεολογίας αὐτῆς, εἰ καὶ ἀρχικὸν αἴτιον Υἱοῦ καὶ Πνεύματος ὁ Πατὴρ λέγεται, καὶ διὰ τοῦ Υἱοῦ τοῦ Πνεύματός ἐστιν αἴτιον, οὐκ ἂν διαιρεθείη τοῦ Πατρὸς ὁ Υἱὸς ἐπὶ τῇ προόδῳ τοῦ Πνεύματος· ταῦτα δὲ λέγουσι, καὶ τῷ Πατρὶ παραλόγως τὸν Υἱὸν ἐπὶ τῷ τοῦ Πνεύματος αἰτίῳ συνάπτουσιν· οὐδὲ γὰρ εἰ δημιουργὸς ὁ Υἱὸς τῶν δι' αὐτοῦ γεγονότων ὥσπερ καὶ ὁ Πατήρ, ἤδη καὶ τοῦ Πνεύματος αἴτιος, ὅτι προβολεὺς τοῦ Πνεύματος δι' αὐτοῦ ἐστιν ὁ Πατήρ, οὐδὲ πάλιν ὅτι προβολεὺς τοῦ Πνεύματος δι' αὐτοῦ Υἱοῦ ἐστιν ὁ Πατήρ, ἤδη καὶ δι' αὐτοῦ αἴτιός ἐστι τοῦ Πνεύματος· τὴν γὰρ εἰς ἔκφανσιν ἐνταῦθα καὶ ἔκλαμψιν οὐ τὴν εἰς τὸ εἶναι πρόοδον ἡ « δι' Υἱοῦ » ῥῆσις παρίστησιν· ἢ γὰρ ἂν οὐκ εὐαρίθμητα ἐτύγχανον ὄντα, ὅσα ἐντεῦθεν συνάγεται ἄτοπα· πλὴν τούτοις ἀλογίστως ταῦτα λέγουσι, καὶ τοῖς τῶν ἁγίων ῥήμασιν ἐπιφυομένοις, καὶ βλασφημιῶν ἐντεῦθεν ἀνακινοῦσιν ἑσμόν, τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγοντες, ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ ποίμνης ποιούμεθα.

ι'. Τοῖς αὐτοῖς ὅτι καθ' ὃν τρόπον πηγὴ ζωῆς ἡ Παρθένος καὶ Θεοτόκος ὀνομάζεται, οὕτω δὴ καὶ ὁ Υἱὸς πηγὴ ζωῆς ὀνομάζεται, λέγουσιν· ἡ δὲ Παρθένος οὕτω λέγεται διὰ τὸ τῷ μονογενεῖ Λόγῳ ἔμψυχον σάρκα δανεῖσαι ψυχῇ, λογικῇ τε καὶ νοερᾷ, καὶ αἰτία αὐτοῦ τοῦ μετὰ Χριστὸν ἀνθρώπου γενέσθαι, καὶ ὁ Υἱὸς ἄρα τοῖς τὴν ζωὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον ἐκλαμβάνουσι, κατὰ τὸν τῆς αἰτίας λόγον εἰρῆσθαι πηγὴ ζωῆς νοηθήσεται· τούτοις ἐξ ἀνοικείων οὕτως ὁμοιώσεών τε καὶ ὑποδειγμάτων τὰς ἀποδείξεις τοῦ κοινωνεῖν τῷ Πατρὶ τὸν Υἱὸν ἐπὶ τῇ ὑπάρξει τοῦ Πνεύματος ποιουμένοις· καὶ γὰρ οὐχ ὡς ἡ Παρθένος πηγὴ ζωῆς εἴρηται, οὕτω δὴ καὶ ὁ μονογενὴς τοῦ Θεοῦ Λόγος πηγὴ ζωῆς ὀνομάζεται, εἴπερ ἐκείνη μὲν ὅτι ἐξ αὐτῆς ἡ ὄντως ζωή, αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος καὶ Θεὸς ἀληθινὸς ἐγεννήθη κατὰ τὸ ἀνθρώπινον, καὶ αὐτή γε τῆς θείας αὐτοῦ σαρκὸς ὑπῆρξεν αἰτία, ὁ Υἱὸς δὲ πηγὴ ζωῆς, ὅτι τοῖς ὑπὸ τῆς ἁμαρτίας νενεκρωμένοις ἡμῖν αἴτιος ὑπῆρξε ζωῆς, καὶ ὥσπερ τι ῥεῦμα ταύτην ποταμοῦ τοῖς

OCR ABK / FR

πᾶσιν ἐπήγαγεν· καὶ ὅτι τοῖς αὐτὸν πιστεύουσιν ὡς ἀπὸ πηγῆς αὐτῆς καὶ δι' αὐτοῦ χορηγεῖται τὸ Πνεῦμα, καὶ αὐτή γε ἡ χάρις ἀναβλύζει τοῦ Πνεύματος, ἥτις οὐδὲν καινὸν, οὔτε τῆς τῶν Γραφῶν συνηθείας ἀλλότριον, ἐὰν ἅγιον ὁμωνύμως καλῆται Πνεῦμα· οἰκειοῦται γάρ ἐστιν ὅτε καὶ ἡ ἐνέργεια τοῦ ἐνεργοῦντος τὴν κλῆσιν· ὥσπερ δῆτα καὶ ἥλιον πολλάκις τὴν ἡλίου αὐγὴν καὶ λαμπηδόνα λέγειν οὐκ ἀπαινόμεθα· τούτοις οὕτω συμπεραίνειν καὶ συμβιβάζειν τὰ μηδόλως πεφυκότα φιλονεικοῦσι τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγοντες, ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

ια'. Τοῖς αὐτοῖς τὰς τῶν ἁγίων φωνὰς οὐ πρὸς τὸν ὀρθὸν τῆς Ἐκκλησίας σκοπὸν ἐκλαμβάνουσιν, οὐδὲ θεραπεύουσι τὸ δοκοῦν προσίστασθαι κατὰ τὰς πνευματικὰς παραδόσεις, καὶ τὰς κοινὰς περί τε Θεοῦ καὶ τῶν θείων ὑπολήψεις, ἀλλὰ πρός τινα νοῦν ἀπᾴδοντα τῶν προκειμένων αὐτὰς ἐκβιβάζουσιν, ἢ ψιλαῖς αὐταῖς προσέχουσι, καὶ πρὸς δόγμα ἐντεῦθεν ἐκφερομένοις ἀλλότριον, τὴν προαναγεγραμμένην ψῆφόν τε καὶ καταδίκην ἐπάγοντες, ἀποτέμνομεν τῆς τῶν ὀρθοδόξων ὁλομελείας, καὶ ἀποκηρύκτους τῆς τοῦ Θεοῦ Ἐκκλησίας καὶ τῆς ποίμνης ποιούμεθα.

Ἀλλὰ τὰ μὲν τῶν ἀναγεγραμμένων καὶ ἤδη ἐκκεκηρυγμένων ἀνθρώπων δόγματα οὕτως ἔχει βλασφημίας, οὕτως ἔχει κακίας, οὕτω τοῦ ἐκκλησιαστικοῦ παντάπασιν ἐκπίπτει φρονήματος, κἂν ὁ τούτων πατὴρ Βέκκος, κἂν ἕτερός τις τῶν σπουδαστῶν, τῶν ἁγίων φρονήματα ταῦτα εἶναι διισχυρίζηται, συκοφάντην αὐτὸν ἀληθῶς τῶν ἁγίων καὶ ὑβριστὴν ἡγητέον. Ποῦ γὰρ οἱ θεοφόροι τὸν Θεὸν καὶ Πατέρα διὰ τοῦ Υἱοῦ αἴτιον τοῦ Πνεύματος ὕφασαν; Ποῦ τὸν Παράκλητον εἶπον, ἐκ τοῦ Υἱοῦ καὶ διὰ τοῦ Υἱοῦ ἔχειν τὴν ὕπαρξιν; Ποῦ δὲ πάλιν αὐτὸν τὸν Παράκλητον ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ ἔχειν τὴν ὕπαρξιν; Ποῦ τὴν μίαν οὐσίαν καὶ θεότητα Πατρὸς καὶ Υἱοῦ αἰτίαν τῆς ὑπάρξεως τοῦ ἁγίου Πνεύματος ἐδογμάτισαν; Τὴν δὲ πατρικὴν ὑπόστασιν τίς ποτε καὶ ἐν ποίοις αὐτοῦ συντάγμασι τοῦ μὴ μόνην αἰτίαν εἶναι Υἱοῦ καὶ Πνεύματος ἀπηγόρευσε; Τίς καὶ τὸν Πατέρα αἴτιον φρονεῖν τοῦ Πνεύματος, οὐ τῷ λόγῳ τῆς ὑποστάσεως, ἀλλὰ τῷ λόγῳ τῆς φύσεως ἐδογμάτισε; καὶ τοῦτο αὐτὸ οὐκ ἀπένειμεν ὡς ἰδίωμα τῶν ἄλλων δύο χωρίζον ὑποστάσεων; Τίς τἄλλα ἅπερ αὐτὸς ψευδόμενος ἐφ' ὕβρει τῶν Πατέρων, τῶν Πατέρων εἶναί φησι; δύο κακῶν οὐδέτερον ποιεῖν ἀφιστάμενος. Καὶ γὰρ αὐτῶν καὶ αὐτὰ παραφθείρει τὰ ῥήματα ἔστιν οὗ. Καὶ οὐδ' ἂν ἀπαραποιήτοις τοῖς ῥήμασι χρήσηται, τὸν γνήσιον ὅμως οὐκέτι τῶν ῥημάτων ἀσπάζεται νοῦν. Οὐδὲ βλέπει πρὸς τὸν σκοπὸν πρὸς ὃν καὶ ὁ τῶν ῥημάτων ἀφεώρα Πατήρ, ἀλλὰ τὴν πρόθεσιν καὶ τὴν χρείαν, καὶ αὐτό γε τὸ βούλημα ὑπερηφάνως τῆς Γραφῆς παρατρέχων προδρόμως ἐπιφύεται τῇ λέξει, καὶ τὴν σκιὰν ἀντὶ τοῦ σώματος ἀπενεγκὼν, βιβλία συντάττει. Ἴσον δ' εἰπεῖν, ὅτι καὶ ἐκ ψάμμου σχοινία πλέκει, καὶ οἰκίας ἐντεῦθεν οἰκοδομεῖ, οὐκ οἶδα τί ἕτερον ἐσομένας, εἰ μὴ τὴν στήλην φαίη καὶ τρόπαιον, τὴν μὲν τῆς ἀφροσύνης αὐτοῦ κήρυκα, τὸ δὲ δήλωσιν τοῦ ἀγῶνος αὐτοῦ, ὃν κατὰ τῆς ἑαυτοῦ σωτηρίας ἠγώνισται. Διὰ τοῦτο καὶ αὐτὰ τὰ δόγματα τοῖς ἑαυτῶν Πατράσι συγκαταδικάζοντες, κρίνομεν ὡς ἐκείνων, οὕτω δὴ καὶ αὐτῶν ἐκ τῆς Ἐκκλησίας τὸ μνημόσυνον ἀπολέσθαι μετὰ ἤχου. Ἄκανθαι γάρ εἰσιν οἱονεὶ καὶ τρίβολοι, ἐκ θείας παραχωρήσεως τῇ ζωηφόρῳ τῆς Ἐκκλησίας ἀναφυεῖσαι χώρᾳ· ἢ καὶ ζιζάνια πονηρὰ ὁποῖα τῷ καθαρῷ τοῦ Εὐαγγελίου σίτῳ ἐχθρὸς ἐνέσπειρεν ἄνθρωπος, τὴν ἀνοχὴν τοῦ ἐκδικοῦντος Θεοῦ εὔθετον εὑρηκὼς τῆς κακουργίας καιρόν. Εἰ δὲ βούλει, ὃ καὶ μᾶλλον τῇ πονηρίᾳ προσέοικεν, ἐχιδνῶν εἰσι θανατηφόρα γεννήματα, καὶ κατὰ τὴν Γραφὴν ἔγγονα βασιλίσκων, θάνατον ἁπάσῃ τῇ προσπελαζούσῃ ψυχῇ ἐπιφέροντα, παρὰ τοσοῦτον σώζεσθαι ἄξια, παρ' ὅσον μηδὲ τὴν ἀρχὴν αὐτὰ εἰς γένεσιν καὶ γνῶσιν ἀνθρώπων ἐλθεῖν, ἃ καὶ πυρὶ καὶ σιδήρῳ, καὶ πᾶσι τοῖς δυνατοῖς ἀφανίζειν, ὁποῖα ταῦτ' ἂν εἴη τῇ Ἐκκλησίᾳ κατεργαστέον, καὶ εἰς τὸ μὴ εἶναι παραπεμπτέον, καὶ τὸν ἔσχατον ὄλεθρον, καί γε πᾶσι τοῖς τῆς καθ' ἡμᾶς Ἐκκλησίας υἱοῖς, σπουδῇ φεύγειν αὐτὰ παραινοῦμεν, καὶ μηδ' ὅσον παρέργως ἀκοῦσαι τὰς ἀκοὰς ὑπέχειν αὐτοῖς. Οὐ μέχρι δὲ παραινέσεως τὸν λόγον ἱστῶμεν, ἀλλ' ἤδη τι καὶ ἀπειλῆς, καὶ φόβου, καὶ τῆς ἀσφαλείας ἕνεκεν τοῦ μέλλοντος προστιθέαμεν. Τίς οὖν ἡ ἀπειλή, ἐπειδήπερ ἡ τῷ πρὸ μικροῦ χρόνῳ συμβεβηκυῖα πρᾶξις τὴν Ἐκκλησίαν συγχέασα, εἰς τέλος κατελυμήνατο, ἣν καὶ οἰκονομίαν τἀναντία δυναμένην οὐκ οἶδ' ὅπως ὠνόμασαν; Ἡ δ' αὐτὴ καὶ τὰ προανατεταγμένα ἀλλόκοτα δόγματα, ἃ τὸν Βέκκον Ἰωάννην προστάτην ἐπλούτησεν, ἐπισφαλῶς καὶ λίαν ἐπικινδύνως εἰσήνεγκε. Τοῦτο δὲ τρανέστατα τοῖς πᾶσι διοριζόμεθα, ὡς εἴ τις τῶν νῦν τε ὄντων ἀνθρώπων, καὶ τῶν ὕστερον ἐσομένων, τολμήσειέ ποτε τὴν τότε μνημονευθεῖσαν πρᾶξιν καλῶς ἐσβεσμένην ἀνανεῶσαι, τά τε κατργηθέντα λυσιτελῶς ἤδη δόγματα ἐπὶ τῆς ἡμετέρας Ἐκκλησίας ἀναγορεῦσαι, ἢ λάθρα ἢ κακούργως ὑποβαλεῖν, ἢ εἰσήγησιν τοῦ ταῦτα φρονεῖν ἢ ἐπαινεῖν, εἰσενεγκεῖν, ἤ τι ὅλως μετιέναι ὑπὲρ τῆς ἐν ἡμῖν καὶ αὖθις αὐτῶν παῤῥησίας παρὰ φαῦλον τὰ γνήσια τῆς πρώτης Ἐκκλησίας θέμενος δόγματα, καὶ τὰ νῦν αὐτῆς κατὰ τῶν νόθων καὶ ἀλλοτρίων, ἔτι δὴ καὶ τῆς δι' ἣν ταῦτα οἰκονομίας καὶ πράξεως παρεισφθαρῇ τῇ Ἐκκλησίᾳ προστάγματα. Τοῦτον καὶ τὸν ὅλως τοὺς ἐκ τῆς Ῥωμαϊκῆς Ἐκκλησίας ἔχοντας τέως ἀμεταθέτως ἐφ' οἷς ἄνωθεν παρὰ τῆς Ἐκκλησίας ἡμῶν ἐνεκλήθησαν, δι' ἃ καὶ τὸ μεταξὺ ἐπισυμβέβηκε σχίσμα δέξασθαί ποτε συνθησόμενον, καὶ δέξασθαι πλέον καὶ γνησιώτερον ἤπερ εἰώθειμεν πρότερον, πρὸ τῆς πεπλασμένης δηλαδὴ ταύτης οἰκονομίας, καὶ τῆς ἀποβλήτου καὶ τῷ καλῷ πολεμίας εἰρήνης, τοῦτον σὺν τῷ ἀποκήρυκτον ποιῆσαι τῆς Ἐκκλησίας, ἐκκόψαι τε καὶ ἀλλοτριῶσαι τῆς ἡμῶν τῶν εὐσεβῶν ἐπισυναγωγῆς τε καὶ κοινωνίας, καὶ τῷ τοῦ ἀναθέματος ἐπιτιμίῳ φρικώδει καθυποβάλλομεν. Ἐπεὶ μηδὲ συγγνωστὸς ἐν ἀνθρώποις ἐκεῖνος,

OCR ABK / FR

ὡς μηδὲ μετὰ τοσαύτην πεῖραν τοῦ προλαβόντος κακοῦ, μηδὲ μετὰ τὴν ἀρτίως ἐπενηνεγμένην καταδίκην πεπαίδευνται μὴ ἐπιτολμᾷν τοῖς τοιούτοις, μηδ' ἔγνωκε τοῖς κειμένοις τῶν Πατέρων ἐπιτεχνάζεσθαι ὕβρεις, μηδὲ μαθητὴς μὲν τῇ Ἐκκλησίᾳ διὰ παντὸς καὶ ὑπήκοος. Καὶ ταῦτα φθεγγόμεθα καὶ διαπραττόμεθα, τοῦ τε ἀνεπηρεάστου, καθώσπερ ἔφημεν, ἕνεκεν, καὶ τῆς κοινῆς τῶν ψυχῶν ὠφελείας πάντων, ὅσοι τε νῦν ὑπὸ τὴν ἡμετέραν εὐσεβῆ Ἐκκλησίαν τελοῦσιν.

Ἀλλὰ μένετε, οἱ γνήσιοι τοῦ Θεοῦ, ἀποστρεφόμενοι καὶ βδελυττόμενοι τά τε ἄλλα τῆς ἀληθείας πολέμια δόγματα, καὶ αὐτὰ τὰ τοῦ Βέκκου γεννήματα. Ἀποστρεφόμενοι δὲ οὐχ ἧττον καὶ αὐτὸν, καὶ ὧν ὁ λόγος ἀνώτερον ἐμνήσθη κατ' ὄνομα, τὰ βλάσφημα σὺν αὐτῷ ἀπερευξαμένους, καὶ μέχρι τοῦδε οἰκειουμένους αὐτὰ, καὶ ἀμεταμέλητα στέργοντας. Καὶ οὕτως ἐχόντων μενεῖ ἐν ἡμῖν ὁ Παράκλητος, οὐ μόνον τῆς ἀπὸ τῶν τοιούτων, ἀλλὰ καὶ τῆς ἀπὸ τῶν παθῶν κρείττους διαφυλάττων λύμης ὑμᾶς ἐπὶ μετουσίᾳ τῶν αἰωνίων ἀγαθῶν καὶ τῆς τοῖς δικαίοις ἡτοιμασμένης μακαριότητος. Καὶ ὑμεῖς μὲν οὕτως ἔχοιτε καὶ σχοίητε· ἡ δὲ ἀναγεγραμμένη ψῆφός τε καὶ ἀπόφασις νῦν μὲν παρὰ τῆς Ἐκκλησίας κατὰ τῶν τῆς Ἐκκλησίας ἀποστατῶν καὶ ἀθετητῶν ἐξενήνεκται, μικρὸν δὲ ὕστερον καὶ παρὰ τοῦ μεγάλου κριτοῦ, εἰ μὴ πρὶν ἐλθεῖν τὴν ἡμέραν αὐτοῦ τὴν μεγάλην καὶ ἐπιφανῆ, μετανοίᾳ καὶ δάκρυσι καὶ ἀσχέτῳ πένθει φθάσουσιν ἑαυτοὺς ἐξελόντες. Καὶ

A γὰρ εἰ μεταβληθήσονται καὶ πρὸς τὸ τῆς μητρὸς ἡμῶν Ἐκκλησίας φῶς γνησίοις καὶ πάλιν τοῖς τῆς ψυχῆς ἐνίδωσιν ὀφθαλμοῖς, ὥσπερ ἔξω τὸν πρὸς αὐτὸν ἐρχόμενον οὐκ ἐκβάλλει Χριστὸς, ἐπιστρέφεται δὲ μᾶλλον ἐπιστρέφοντος, καὶ ἐναγκαλίζεται, κἂν ἄσωτος ᾖ καὶ τὴν πατρῴαν οὐσίαν καταφαγὼν, κἂν ἀπολωλὸς πρόβατον καὶ τῆς σωζούσης μάνδρας ἀποσκιρτῆσαν, κἂν ἄλλο τι τῶν πόῤῥω γεγονότων τῆς χάριτος· οὕτω δὲ καὶ αὕτη συνάξει καὶ οἰκειώσεται, καὶ εἰς τὴν τῶν τέκνων μοῖραν καὶ τάξιν αὖθις ἐγκαταστήσει, μόνον εἰ θρηνήσουσί ποτε, καὶ ἐφ' ἑαυτοῖς ὃ νῦν ἡμεῖς πάσχομεν πάθωσιν. Εἰ γὰρ καὶ ἡμῶν ἀποκόπτομεν, εἰ καὶ τῆς τῶν εὐσεβῶν ἐξορίζομεν Ἐκκλησίας, εἰ τῇ φοβερᾷ καὶ μεγάλῃ τῆς ἀκοινωνησίας καὶ ἀλλοτριώσεως τῶν ὀρθοδόξων καθ-
B υποβάλλομεν καταδίκῃ, οὐχ ὡς ἐφηδόμενοι τοῖς αὐτῶν παθήμασι τοῦτο δρῶμεν, οὐδ' ὡς τῇ ἀποβολῇ τῶν ἀνδρῶν ἐπιχαίροντες, τοὐναντίον μὲν οὖν καὶ ἀλγοῦμεν, καὶ ὡς ἀηδῶς τὴν διάζευξιν φέρομεν. Πλὴν ἀλλὰ τίς ἡμᾶς ἀνάγκη ἐπὶ τὴν πρᾶξιν τήνδε κινεῖ; Δυοῖν πάντως ἕνεκεν, τοῦ τε ὀδυνηθέντας αὐτοὺς ταύτῃ καὶ πικρανθέντας ἐπανελθεῖν διὰ μετανοίας, τῆς ἀπονοίας κατεγνωκότας, καὶ τῇ Ἐκκλησίᾳ ἑαυτοὺς ἀνασώσασθαι, τοῦ τε σωφρονισθῆναι καὶ παιδευθῆναι τοὺς ἄλλους ἐντεῦθεν, μὴ ἐπιτολμᾷν ποτε τοῖς ὁμοίοις, μηδ' ἐπιχειρεῖν κατὰ τῶν ἀθίκτων, μηδὲ κατὰ τῶν ἁγίων νεανιεύεσθαι, μήπως οὕτω θρασυνόμενοι τῶν αὐτῶν ἀμοιβῶν κατὰ τὸ ὑπόδειγμα τύχωσιν.

---

## ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΕΙΛΑ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΕΦΕΣΟΥ ΠΡΟΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ.

Τὴν ἐκπόρευσιν ἀκίνητον ἰδιότητα τοῦ παναγίου Πνεύματος οἶδεν ἡ κοινὴ δόξα τῆς Ἐκκλησίας, καὶ μηδὲν ἕτερον ἢ μόνην τὴν ἐκ τοῦ Πατρὸς φυσικὴν ὕπαρξιν αὐτοῦ παριστάνουσαν. Τὸ γοῦν δοξάζειν καὶ γράφειν τὴν ἐκπόρευσιν ταύτην, νῦν μὲν ἐπὶ τῆς θεολογίας τὴν ὕπαρξιν σημαίνειν αὐτὴν, νῦν δὲ αὖ τὴν ἔκφασιν τὴν ἀΐδιον, ἢ τὴν ἔκλαμψιν, ἢ τὴν φανέρωσιν βλάσφημον, καὶ τῶν ἀποστολικῶν δογμάτων ἀλλότριον, καὶ παρὰ τοῦτο, καὶ ἀναθέματος ἄξιον, πάλιν τὸν προβολέα τοῦ παναγίου Πνεύματος αἴτιον, ὡς καὶ τὸν γεννήτορα τοῦ Υἱοῦ αἴτιον, ἡ κοινὴ τῶν Πατέρων οἶδεν ἔννοια καὶ ὁμολογία. Πρὸς δὲ καὶ τὴν προβολὴν ταυτὸ τῇ ἐκπορεύσει δύνασθαι, καθάπαξ οἱ πάντες γινώσκουσιν. Ὁ μὴ τοίνυν οὕτως, ἀλλ' ἑτέρως φρονῶν, δογματίζων τε καὶ γράφων, ὡς ποτὲ μὲν ὁ προβολεὺς τὸν αἴτιον σημαίνει τοῦ ἁγίου Πνεύματος, καὶ ἡ προβολὴ τὴν ἐκ τοῦ Πατρὸς αὐτοῦ φυσικὴν ὕπαρξιν, ποτὲ δὲ ἐκεῖνος μὲν τὸν φανερωτὴν, αὕτη δὲ τὴν ἀΐδιον ἔκφανσιν, ἢ τὴν ἔλλαμψιν, εἴτ' οὖν τὴν φανέρωσιν τοῦ παναγίου Πνεύματος, πρόδηλος βλάσφημος οὗτος ἡμῖν καὶ περιφανὴς παραδειγματιστὴς, καὶ διὰ τοῦτο καὶ ἀποβολῆς καὶ βδελύγματος ἄξιος. Ὡσαύτως καὶ τὴν πρόοδον πάλιν ἐπὶ τοῦ παναγίου Πνεύματος εὑρισκομένην, καὶ παραστατικὴν μόνης τῆς

C ὑπάρξεως τοῦ παναγίου Πνεύματος οἱ θεοφόροι Πατέρες ἀεὶ καὶ νοοῦσι, καὶ ἐκλαμβάνουσι, καθάπερ ἄρα καὶ τὴν ἐκπόρευσιν αὐτὴν καὶ τὴν προβολήν. Οἱ γοῦν καινοτομοῦντες καὶ ταύτην δὴ τὴν φωνὴν, καὶ δογματίζοντες ἅμα καὶ γράφοντες, ὡς πού μὲν τῶν Γραφῶν τῶν ἁγίων ὑπάρξεώς ἐστιν αὐτὴ παραστατικὴ, πού δὲ πάλιν φανερώσεως, καὶ ἐκφάνσεως, καὶ ἐκλάμψεως, τῶν ὀρθῶν παραχαράκται καὶ οὗτοι δογμάτων λογίζονται, καὶ τῆς ἀληθείας πόῤῥω φερόμενοι, καὶ παρὰ τοῦτο μίσους τῷ ὄντι καὶ ἀποστροφῆς ἄξιοι. Ταῦτα οὕτως οἶδεν ἄνωθεν ἡ τοῦ Θεοῦ ἁγία Ἐκκλησία φρονεῖν, οὕτω δογματίζειν, οὕτω διδάσκειν, οὕτως ὁμολογεῖν· ταῦτα καὶ ἡμεῖς οὕτω φρονεῖν, οὕτω δογματίζειν, οὕτω διδάσκειν, οὕτως ὁμολογεῖν ἀνέκαθεν καὶ ἐς δεῦρο παρ' αὐτῆς
D παρελάβομεν. Ταῦτα καὶ οἱ μέχρι τῆς νῦν διαφερόμενοι πρὸς ἡμᾶς, εἰ οὕτως ὁμολογήσαιεν, ὁμοῦ μὲν καὶ ἀπὸ στόματος, ὁμοῦ δὲ καὶ διὰ γραμμάτων, τὰ μὲν ἐνστερνιζόμενοι ὡς ὀρθὰ δηλονότι, τὰ δὲ ὡς βλάσφημα ἀναθέματι παραπέμποντες, καθάπερ καὶ ἡμεῖς, γνήσιοι ἔσονται ἡμῖν τὸ ἀπὸ τοῦδε ἀδελφοὶ καὶ ὀρθόδοξοι, καὶ τὴν μετ' αὐτῶν ἐντελῆ καταλλαγὴν καὶ εἰρήνην ἕξουσιν ἀπὸ καρδίας ἀσπαζομένους ἡμᾶς· εἰ δὲ μὴ, ὅπερ μήποτε γένοιτο, οὐδαμῇ οὐδαμῶς.

OCR ABK / FR

# ΟΜΟΛΟΓΙΑ ΤΟΥ ΑΥΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

# ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ

## ΓΕΓΟΝΥΙΑ ΟΠΟΤΕ Η ΕΠΙΣΥΣΤΑΣΙΣ ΓΕΓΟΝΕ ΚΑΤ' ΑΥΤΟΝ ΠΑΡΑ ΤΩΝ ΚΑΠΡΙΚΩΝ ΚΑΙ ΤΙΝΩΝ ΑΡΧΙΕΡΕΩΝ ΔΙΑ ΤΟ ΓΡΑΜΜΑ ΤΟΥ ΕΞ ΕΒΡΑΙΩΝ ΜΑΛΛΟΝ Δ' ΙΟΥΔΑ ΜΑΡΚΟΥ.

Μὴ ὁ νόμος ἡμῶν κρίνει, φησὶ, τὸν ἄνθρωπον, ἐὰν μὴ ἀκούσῃ πρότερον καὶ γνῷ τί ποιεῖ, ἀλλὰ καὶ ἐκ τῶν ἑαυτοῦ τινα λόγων δικαιοῦσθαι, καὶ οὐ ἐκ τούτων αὐτὸν κατακρίνεσθαι, τῶν αὐτῶν Εὐαγγελίων κρίσις τε καὶ δικαίωσις. Καὶ ὑμᾶς τοίνυν τοὺς ὧδε συνδεδραμηκότας ἵν' ἐπ' εὐσεβείᾳ καὶ τοῖς τῆς πίστεως ἐμὲ κρίνητε λόγοις, μαθητὰς αὐχοῦντας εἶναι τῶν σωτηρίων καὶ θείων λόγων ἐκείνων, ἀξιοῦν πρῶτον βούλομαι διακοῦσαι τῶν ἐμῶν τουτωνὶ λόγων ἐν πραότητι πνεύματος, ὡς καὶ πᾶσι μὲν τοῖς ἐπὶ θρόνου κρίσεως καθημένοις ὀφείλεται, ἐξαιρέτως δὲ τοῖς περὶ τῶν τηλικούτων δικάζουσιν, ἔπειτά μοι τὴν ψῆφον ἐπενεγκεῖν, ἐκεῖνο ἐνθυμουμένους ὡς ὁποίῳ τις κρίματι κρινεῖ κριθήσεται, καὶ ᾧ μέτρῳ μετρήσει, ἀντιμετρηθήσεται αὐτῷ. Τινὲς δέ μοι οἱ λόγοι περὶ ὧν ὑμᾶς ἀξιῶ πράως ἔχοντας ἀκούειν, B ὁμοῦ δὲ καὶ προσέχοντας, οἱ περὶ τῆς πίστεως αὐτῆς, οὓς καὶ πάλαι μὲν πεποιήμεθα πρὸς ὑμᾶς καὶ τὴν τῆς ὀρθότητος αὐτῶν οὐκ ἀγεννῆ μαρτυρίαν ἐκομισάμεθα, καὶ νῦν δὲ ποιούμεθα, ἐπειδή τισιν ἄλλως ἔδοξε δόξαι περὶ ἡμῶν, τῆς περὶ ἡμᾶς κρείττονος διαβεβλημένοις δόξης, οὐχ ἡμῶν μετατεθέντων, μὴ γένοιτο, τῆς περὶ Θεοῦ, τοῦ γὰρ ἐγκρίνειν τῇ εὐσεβείᾳ ὅντινά τις βούλεται καὶ αὖθις ἀποκρίνειν αὐτῆς, τοσαύτη ῥᾳστώνη ὥστ' εὐσεβείας καὶ κακοδοξίας κριτήριον μὴ τὸ Εὐαγγέλιον ἡγεῖσθαι καὶ τὴν τῶν Πατέρων ὁμολογίαν καὶ παράδοσιν, τὰ δὲ μίση τῶν ἀνθρώπων καὶ τὰς φιλίας. Εὐσεβὴς μὲν γάρ τίς τινι σήμερον ἂν τι τῶν κεχαρισμένων ἔπραξεν, ὁ τοιοῦτος δὲ ἐκ τοῦ ἐναντίου προσκέκρουκε. Ποιούμεθα δὲ τοὺς αὐτοὺς οὐ μόνον ὅτι περὶ τῆς αὐτῆς πίστεώς εἰσιν, ἀλλ' ἵνα καὶ τοῦτο γνώριμον C ἅπασι γένοιτο, ὡς οὐ νῦν πρώτως τοῦ ὀρθοῦ γεγόναμεν φρονήματος, ταῖς ἐπηρείαις τινῶν σωφρονισθέντες, ἀλλ' ἄνωθεν ἐκκλησιαστικῶς τε εἴχομεν, καὶ περὶ τὰ τῆς εὐσεβείας ἀεὶ εὐσεβῶς διεκείμεθα, καθὰ δὴ καὶ τὸ τῆς θεογνωσίας διδασκαλεῖον ἡ τῶν πιστῶν μήτηρ ἐξεπαίδευσεν Ἐκκλησία. Ἔχει τοίνυν τὰ τῶν λόγων τῆς πίστεως ἡμῶν ὡς πάλαι εἶχεν, ὅτε καὶ παρ' ὑμῖν αὐτοῖς ὀρθόφρονες ἠκούομεν, καὶ ὡς εὐσεβεῖς ἐπινούμεθα. Καὶ ἔχει γε οὑτωσί.

Πιστεύω εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων, ἄναρχον μὲν καὶ ἀγέννητον καὶ ἀναίτιον, ἀρχὴν δὲ φυσικὴν καὶ αἰτίαν Υἱοῦ καὶ Πνεύματος. Πιστεύω καὶ εἰς τὸν μονογενῆ αὐτοῦ Υἱὸν, τὸν ἀχρόνως καὶ ἀρρεύστως ἐξ αὐτοῦ ὁμοούσιον γεννηθέντα· D

A δι' οὗ τὰ πάντα ἐγένετο. Πιστεύω καὶ εἰς τὸ πανάγιον Πνεῦμα, τὸ ἐξ αὐτοῦ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ συμπροσκυνούμενον Πατρὶ καὶ Υἱῷ, ὡς συναΐδιον καὶ σύνθρονον καὶ ὁμοούσιον καὶ ὁμόδοξον καὶ τῆς κτίσεως συνδημιουργόν. Πιστεύω τὸν ἕνα ταύτης τῆς ὑπερουσίου καὶ ζωαρχικῆς Τριάδος τὸν μονογενῆ Λόγον, κατελθόντα ἐκ τῶν οὐρανῶν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου, καὶ ἐνανθρωπῆσαι, τουτέστιν ἄνθρωπον τέλειον γενέσθαι, μένοντα Θεὸν, καὶ μηδὲν μεταβαλόντα τῆς θείας οὐσίας διὰ τὴν πρὸς σάρκα κοινωνίαν, ἢ ἀλλοιώσαντα, ἀλλ' ἄνευ τροπῆς προσειληφότα τὸν ἄνθρωπον, ἐν αὐτῷ τε πάθος καὶ σταυρὸν καὶ θάνατον ὑπομεῖναι, τὸν παντὸς πάθους B κατὰ τὴν θείαν φύσιν ἐλεύθερον· καὶ ἀναστῆναι τῇ τρίτῃ ἡμέρᾳ ἐκ τῶν νεκρῶν, καὶ εἰς οὐρανοὺς ἀνεληλυθότα ἐκ δεξιῶν καθῆσαι τοῦ Θεοῦ καὶ Πατρός. Πιστεύω κατὰ τὰς περὶ Θεοῦ καὶ τῶν θείων παραδόσεις τε καὶ εἰσηγήσεις τῆς μιᾶς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος.

Ἔτι δὲ τοῦ ἐνανθρωπήσαντος Θεοῦ Λόγου μίαν ὁμολογῶν τὴν ὑπόστασιν, καὶ ἕνα πιστεύων τὸν αὐτὸν καὶ κηρύττων Χριστὸν, ἐν δυσὶν οἶδα μετὰ τὴν ἐνανθρώπησιν ταῖς φύσεσιν τὰ ἐξ ὧν καὶ ἐν οἷς καὶ ἃ πέφυκε σώζοντα. Ἀκόλουθον δὲ καὶ δύο ἐνεργεία, αὐτοῦ Χριστοῦ καὶ δύο προσβεύω θελήματα, ἑκάστης τῶν φύσεων τὸ ἴδιον θέλημα, καὶ τὴν οἰκείαν σωζούσης ἐνέργειαν. Προσκυνητής εἰμι σχετικῶς, C ἀλλ' οὐ λατρευτικῶς, καὶ τῶν θείων καὶ σεπτῶν εἰκόνων, αὐτοῦ τε Χριστοῦ καὶ τῆς παναγίου Θεομήτορος, καὶ πάντων τῶν ἁγίων, ἐπὶ τὰ πρωτότυπα τὴν πρὸς ταύτας διαβιβάζων τιμήν· τοὺς δὲ ἄλλως ἢ οὕτω φρονοῦντας ὡς ἀλλοτριόφρονας ἀποβάλλομαι. Ἀποβάλλομαι δὲ καὶ τὴν πρὸ μικροῦ γεγονυῖαν ψευδώνυμον εἰρήνην, ὡς τὴν πρὸς Θεὸν ἡμῖν προξενοῦσαν ἔχθραν. Ἐπειδήπερ ὡς ἐν οἰκονομίας πλάσματι τὴν Ἐκκλησίαν κατέτεμε καὶ ἐλυμήνατο, πείθουσα διὰ τῆς ἀβελτηρίας καὶ φρενῶν παρατροπῆς τῶν τὴν ἰδίαν, ἀλλ' οὐ τὴν τοῦ Θεοῦ στῆσαι δόξαν ζητούντων, ἀποκλῖναι μὲν τῆς ὀρθοδοξίας καὶ τῆς ὑγιοῦς τῶν Πατέρων διδασκαλίας, εἰς κακοδοξίας δὲ καὶ βλασφημίας ἀπολισθῆναι κρημνόν. Ἀθετῶ τὰς ἐπικινδύνους περὶ τῆς τοῦ ἁγίου Πνεύ- D ματος ἐκπορεύσεως λαληθείσας· αὐτοῖς φωνάς. Τὸ

OCR ABK / FR

A γὰρ πανάγιον Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι παρ' αὐτοῦ τοῦ Θεοῦ καὶ Λόγου μαθὼν ἐκ τοῦ Πατρὸς καὶ τὴν ὕπαρξιν ἔχειν ὁμολογῶ, καὶ αὐτὸν τοῦ εἶναι οὐσιωδῶς αὐγεῖν αἴτιον, ὥσπερ δῆτα καὶ αὐτὸς ὁ Υἱός. Τὸν δὲ Υἱὸν ἐκ Πατρὸς μὲν οἶδα καὶ πιστεύω, καὶ αἴτιον ἑαυτοῦ καὶ ἀρχὴν φυσικὴν, τὸν Πατέρα πλουτεῖν, ὁμοούσιον δὲ καὶ συμφυὲς τὸ ἐκ Πατρὸς ἔχειν Πνεῦμα· οὐ μὴν δὲ καὶ αἴτιον αὐτὸν τοῦ Πνεύματος ὑπάρχειν, ἢ μόνον ἢ μετὰ τοῦ Πατρός· ὅτι μηδὲ ὕπαρξιν ἔχει τὸ πανάγιον Πνεῦμα διὰ τοῦ Υἱοῦ καὶ ἐκ τοῦ Υἱοῦ, καθὰ δὴ καὶ ἐνόησαν καὶ ἐδογμάτισαν οἱ εἰς ἀπώλειαν ἑαυτοὺς καὶ Θεοῦ μακρυσμὸν ἐκβιάζοντες. Ἀθετῶ καὶ τὰς ἐξηγήσεις ὅσας οἱ παραχαράκται τοῦ τοιούτου δόγματος κακοσχόλως τοῖς πατρικοῖς ἐπάγοντες ῥήμασι, σύμφωνα τὰ τῶν ἁγίων δεικνύναι ταῖς βλασφημίαις ἑαυτῶν B ἐπειρῶντο. Ὡς γὰρ ἡ καθολικὴ Ἐκκλησία περὶ Θεοῦ καὶ τῶν θείων φρονεῖν παραδέδωκεν, οὕτω δὴ καὶ φρονῶ, καὶ ὁμολογῶ, καὶ διδάσκειν ἰδίᾳ τε καὶ δημοσίᾳ προήρημαι. Πᾶσαν βέβηλον κενοφωνίαν ἐπὶ ἀθετήσει τῆς ὑγιοῦς εὑρημένην πίστεως ἢ εὑρεθησομένην ὡς ψυχῆς ἀποστρέφομαι ὄλεθρον καὶ ἀπὸ Θεοῦ ἀλλοτρίωσιν. Δέχομαι καὶ τὰς ἑπτὰ οἰκουμενικὰς ἁγίας καὶ θείας συνόδους. Δέχομαι καὶ τῶν τοπικῶν ὅσας ἡ Ἐκκλησία ἐδέξατο. Δέχομαι τὰ ἱερὰ τούτων θεσπίσματα, ὅσους τε ἀπεδέξαντο, ἀποδέχομαι, καὶ ὅσους αὖ κατέκριναν καὶ ἀπεβάλοντο, κατακρίνων καὶ ἀποβαλλόμενος. Ἐπειδὴ καὶ μῶμος ἐμοὶ παρά τινων προστρίβεται, ὅτι μοι ἐμφανισθὲν κακὸν ὂν οὐκ ἐφωράθη κακὸν εἶναι, οὐδ' ὡς βλάσφημον ἀπεκρούσθη, τὸ τοῦ Μάρκου φλύαρον χαρτίον πρῶτον μὲν ἀναθέματι καθυποβάλλω, αὐτό τε καὶ C τὰς ἐν αὐτῷ βλασφημίας. Δεύτερον δὲ καὶ ὑπόδικον ἐμαυτὸν ποιοῦμαι ταῖς παλαμναιοτάταις καὶ φρικωδεστάταις ἀραῖς, εἴπερ ἐγώ ποτε τοιοῦτόν τι αὐτῷ ἤ τινι τῶν ἁπάντων ἑτέρῳ γράφειν εἰσηγησάμην. Οὐ μὴν ἀλλὰ καὶ γράφων τὸν τόμον καὶ ὅσα γε ἕτερα ὑπέρ τε τῆς Ἐκκλησίας, καὶ κατὰ τοῦ Βέκκου, εἰς οὐδὲν τοιοῦτον ἐκπεπτωκότι νόημα σύνοιδα ἐμαυτῷ, ὁποῖον συκοφαντοῦντες ἐμὲ καὶ διαβάλλοντες λέγουσι, τὰς ἑαυτῶν ψυχὰς σαφῶς ἐκ τούτων βλάπτοντες, οὐκ ἐμέ. Καὶ γὰρ ἐγὼ τὸ Πνεῦμα τὸ ἅγιον συμπληρωτικὸν εἰδὼς τῆς ἁγίας Τριάδος, Θεὸν οἶδα τέλειον, ὡς αὐτὸν τὸν Πατέρα, καὶ αὐτὸν τὸν Υἱὸν, ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορευόμενον, καὶ τέλειον ἐξ αὐτοῦ ἔχον τὸ εἶναι, ὁμοούσιόν τε τῷ Θεῷ καὶ Πατρὶ, ἐξ οὗ ἐκπορεύεται, καὶ τῷ ἐκεῖθεν ἀφράστως γεν- D νηθέντι Υἱῷ, ᾧ καὶ συνάπτεται παρὰ τοῦ Πατρὸς καὶ συμπαρομαρτεῖ, καὶ δι' οὗ πέφηνε καὶ ἐκλάμπει καὶ φανεροῦται, ἐκπορευόμενον ἐκ τοῦ Πατρὸς, καὶ τελείαν ἐκεῖθεν ἔχον τὴν ὕπαρξιν, καὶ τὴν θείαν τε καὶ ἄῤῥητον ἐκ Πατρὸς ἐκπόρευσιν αὐτοῦ τρόπον εἶναι μυσταγωγηθεὶς αὐτοῦ τῆς ὑπάρξεως, οὐθ' ὁμώνυμον φωνὴν ἐννενόηκα, οὔτε ποτὲ καὶ ταῦτα πολλὰ συγγραψάμενος γέγραφα. Τὸ δὲ Μάρκου χαρτίον ἔστω κατὰ τοῦ γεγραφότος, οὐκ ἐμοῦ γε αἰτίᾳ καὶ κατηγόρημα, ὅς γε μηδὲν προσσχεῖν ἐπιμελῶς αὐτῷ

A κατηξίωσα, ὡς ἀνδρὸς ἀγροίκου καὶ ἰδιώτου πονήματι, ἵνα μὴ λέγω ὅτι καὶ ἐν καιρῷ μοι ἐδόθη, ὅτε οὐδὲ τῶν πάνυ σπουδαίων δυνατὸν ἦν ἐμὲ κυκλούμενον ὑπὸ πολλῶν καὶ θορυβούμενον ἐπιστρέφεσθαι. Ἀλλ' ὅμως ὅτι παντάπασιν ἀπόβλητον ἔχον τὸν νοῦν, ἐμὲ τότε παρέδραμε τοιαῦτα φέρον κακὰ, τῷ ἀναθέματι αὐτὸ, ὅπερ καὶ ἄνω εἴρηται, παραδίδωμι.

Ἐπεὶ δ' αὐτὸν καὶ τὸν τόμον αἰτιᾶσθαι πυνθάνομαι, ἢ μάλιστά γε ἐκεῖνο τοῦτό μου ὅπερ φησὶν ἡ « δι' Υἱοῦ » λέξις ἐνταῦθα, τὴν εἰς ἀΐδιον ἔκλαμψιν, οὐ τὴν εἰς τὸ εἶναι καθαρῶς σημαίνειν βούλεται πρόοδον, τοῦ ἐκ Πατρὸς τὴν ὕπαρξιν ἔχοντος Πνεύματος. Τὸ γὰρ ἐνταῦθα κείμενον, φησὶν, ἐν τῷ μέσῳ συναρπάσαι τε αὐτὸν, καὶ εἰς ὁμωνυμίαν ἐξῶσαι, οὐδὲ τούτου κρίνω ἀθεράπευτον, παραδραB μεῖν τὴν μέμψιν ἐγώ. Ὅθεν καὶ ἀποστραφεὶς πρὸς αὐτὸν, τὸ τοῦτό μου ἐνταῦθα φημὶ, ὃ σύ γε καταιτιᾷ, καὶ δι' ὃ φῂς εἰς τὰς ὁμωνυμίας ἐκπεπτωκέναι τὰς τοσοῦτον πόῤῥω τοῦ εὐσεβοῦς καὶ ἡμετέρου διεστηκυίας φρονήματος, καὶ σφόδρα καλῶς τε καὶ εὐσεβῶς. Ναὶ μὲν καὶ ἀναγκαίως, οἷς πρόσκειται πρόσκειται, οὐχ ἵνα σὺ κακούργως καὶ ἀμαθῶς τὴν τοῦ παναγίου Πνεύματος τρόπον οὖσαν αὐτοῦ τῆς ὑπάρξεως, καὶ ἄλλο τι παρὰ τοῦτο σημαίνειν νοήσῃς, ὅπερ οὔθ' ἡμεῖς, οὔθ' ἕτερος εἴρηκε τῶν ἁπάντων· ἀλλ' ἐπειδὴ τὴν « δι' Υἱοῦ τὸ Πνεῦμα » φωνὴν Βέκκος μὲν ὕπαρξιν δι' Υἱοῦ τοῦ παναγίου νενόηκε Πνεύματος, βόθυνον βλασφημίας ἀνορύσσων ἐντεῦθεν· ἡμεῖς δὲ οὐδαμῶς οὕτω νοοῦμεν, ἀλλ' ὁτὲ μὲν τὴν δι' Υἱοῦ ἀΐδιον αὐτοῦ ἔκφανσιν καὶ ἔκλαμψιν καὶ φανέρωσιν ἴσμεν σημαίνειν πασὰ τοῖς ἁγίοις, ὁτὲ C δὲ τὴν εἰς ἡμᾶς χορηγίαν καὶ πέμψιν καὶ δόσιν. Τί φησιν ὁ τόμος; Τῇ ῥήσει ἐπιστὰς τῇ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι λεγούσῃ τὸ Πνεῦμα τὸ ἅγιον ὅτι τὸ « δι' Υἱοῦ » ἐνταῦθα οὔτε καθά φησι Βέκκος διὰ τοῦ Υἱοῦ ὕπαρξιν τοῦ παναγίου Πνεύματος σημαίνει, ἐπεὶ μηδ' ἀλλαχοῦ σημαίνει, οὐ γὰρ ἔστιν ἑτέρωθεν ὕπαρξις τῷ ἁγίῳ Πνεύματι, ὅτι μὴ ἐκ Πατρὸς, ὅθεν καὶ ἐκπορεύεται, οὔτε τὴν εἰς ἡμᾶς χορηγίαν καὶ πέμψιν καὶ δόσιν, εἰ καὶ ἀλλαχοῦ τοῦτο σημαίνει, ἀλλ' αὐτὴν αὐτοῦ τὴν διὰ τοῦ Υἱοῦ ἀΐδιον ἔκφανσιν, συντρέχουσαν καὶ συνεπινοουμένην τῇ ἐκ Πατρὸς αὐτοῦ εἰς τὸ εἶναι προόδῳ.

Ὅτι δὲ τοιοῦτον ἀρχῆθεν ἡμῶν τὸ φρόνημα, καὶ τῶν τοῦ Μάρκου φρονημάτων τε καὶ δογμάτων πλεῖστον ἀφεστηκὸς, μαρτυροῦσι, καὶ ὅσα πρὸ τοῦ D τόμου πολλοῖς ἔτεσιν ἐκδέδοταί μοι, καὶ ὅσα μετὰ τὸν τόμον, ἐν οἷς ἅπασιν οὐδ' ἂν σκιὰν εὑρήσει τις ὁμοιότητος. Μαρτυρεῖ δ' οὐχ ἥκιστα, καὶ ἡ πρὸς τὴν τοῦ Βέκκου ἀπορίαν ἀπάντησις, δι' ἧς ἀπορίας ἐκεῖνος ἡμᾶς συνελαύνει. Ἐδόκει ἢ τὸ Πνεῦμα τὸ ἅγιον μὴ ἀμέσως ὁμολογεῖν ἐκ τοῦ Πατρὸς, ὃ καὶ σκοπὸς αὐτῷ καὶ πρόθεσις ἦν, ἢ τὰς διὰ τοῦ Υἱοῦ καὶ τοῦ προσεχῶς κηρυττούσας αὐτὸ τῶν ἁγίων φωνὰς παραγράφεσθαι. Ἔχει δὲ τὰ τῆς ἀπαντήσεως αὐταῖς λέξεσιν οὑτωσί·

(1) Ἡμεῖς φαμεν καὶ ἀμέσως ὑπάρχειν τὸ Πνεῦμα

(1) Marg. : Εἰ περὶ τῆς τοῦ Υἱοῦ μεσιτείας λέγει τις καὶ ὅλως τὰς διὰ τοῦ Υἱοῦ, καὶ διὰ τοῦ προσεχῶς, βραχὺς ἡμῖν καὶ τὰ τοιαῦτα λόγος.

OCR ABK / FR

ἐκ τοῦ Πατρὸς, καὶ διὰ τοῦ Υἱοῦ. Καὶ οὔτε κατὰ τοὺς ἀντιθέτους εἰπεῖν, ἀμέσως αὐτὸ λέγοντες, τὸ δι' Υἱοῦ καταργοῦμεν, οὔτε τὸ δι' Υἱοῦ ἀνομολογοῦντες, τὸ ἀμέσως ἀρνούμεθα. Καὶ γὰρ ἀμέσως δογματίζομεν, ἐπειδήπερ τὴν καθ' ὑπόστασιν ὕπαρξιν, καὶ ὅλως αὐτὸ δὴ τὸ εἶναι ἐξ αὐτοῦ τοῦ Πατρὸς ἔχει τὸ Πνεῦμα, καὶ οὐκ ἐκ τοῦ Υἱοῦ, οὐδὲ διὰ τοῦ Υἱοῦ. Ἡ γὰρ ἂν καὶ αἴτιος οὕτω τοῦ Παρακλήτου ὁ Υἱὸς ὑπῆρχεν ἀναμφηρίστως, ὅπερ οὔτ' εὐσεβὲς ἐστι, καὶ οὐδεὶς οὐδέποτε τῶν ἁγίων οὔτ' εἰπὼν, οὔτε γράψας ἐφάνη. Διὰ τοῦ Υἱοῦ δὲ φαμὲν τὸ Πνεῦμα καὶ τὴν ἀμέσως ὁμολογίαν ἡμῶν μὴ λυμαίνεσθαι, ἐπειδὴ ἐκ Πατρὸς ἐκπορευόμενον καὶ ἀφιστάμενον, ἐξ οὗ δὴ καὶ ὁ Υἱὸς γεννᾶται, δι' αὐτοῦ δὴ τοῦ Υἱοῦ προέρχεται καὶ ἐκλάμπει, τέλειον πλὴν ἔχον τὸ εἶναι παρ' αὐτοῦ τοῦ Πατρός· καθ' ὃν δὴ τρόπον καὶ τὸ φῶς εἴρηται διὰ τῆς ἀκτῖνος ἐκ τοῦ ἡλίου, ἔχον μὲν πηγὴν καὶ αἰτίαν τοῦ εἶναι τὸν ἥλιον ὡς ἀρχὴν αὐτοῦ φυσικήν· διιὸν δ' ὅμως καὶ προϊὸν καὶ ἐκλάμπον διὰ τῆς ἀκτῖνος, ἐξ ἧς οὐχ ὕπαρξις τῷ φωτὶ, οὐδ' οὐσίωσις· ἀλλ' ἥκει μὲν αὐτῆς, ὡς εἴρηται, ἔχει δὲ ἀρχὴν τοῦ εἶναι δι' αὐτῆς ἢ ἐξ αὐτῆς οὐδαμῶς, ἀλλὰ καθαρῶς καὶ ἀμέσως ἐκ τοῦ ἡλίου, ἐξ οὗ δὴ καὶ αὐτὴ ἡ ἀκτὶς, δι' ἧσπερ τὸ φῶς φαίνεται προϊόν.

Πλὴν τὰ τῆς ὁμολογίας ἐμοὶ οὕτως ἔχει· καὶ καθώσπερ τοῖς χείλεσιν ὡμολόγηται, οὕτω καὶ τῇ καρδίᾳ πεπίστευκα, καὶ ὡς ἀληθεύω ἐν τούτοις τοῖς ῥήμασιν μηδὲν ὢν ἀσύμφωνος κατὰ ταῦτα πρὸς τὰ ἔνδον τῆς διανοίας κινήματα, γένοιτό μοι σωτηρία ψυχῆς, καὶ ἀμέμπτῳ παραστῆναι τῷ τοῦ Σωτῆρος

A Ἰησοῦ Χριστοῦ βήματι, τοῦ τὰς συνειδήσεις ἡμῶν κρινοῦντος καὶ ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ ἀποδώσοντος. Εἰ δὲ πλάττομαι καὶ μὴ κατὰ τὰ ῥήματα ταῦτα καὶ τὸ τῆς ἐμῆς ψυχῆς ἐστι φρόνημα, ἀλλότριος εἴην Χριστοῦ καὶ τοῦ τῶν ἐκλεκτῶν κλήρου ἐκπέσοιμι. Καὶ ταῦτα μὲν αὐτὸς ἐγὼ περὶ ἐμαυτοῦ. Ὅστις δὲ με τῶν ἁπάντων μετὰ ταύτην μου τὴν ὁμολογίαν τὴν οὕτω κατησφαλισμένην ἔτι συκοφαντῶν ἐμμένει καὶ διαβάλλων, καὶ οὐκ εὐσεβέστατον Χριστιανὸν τὸν ἀληθῶς ἀεὶ τοιοῦτον ἐμὲ καὶ ἡγεῖται καὶ ὁμολογεῖ, ἐκεῖνος ἀληθῶς τῆς εὐσεβείας ἀλλότριος, ἐκεῖνος πόῤῥω τῆς ὀρθότητος, καὶ τῆς Χριστιανῶν ἀμωμήτου πίστεως πολέμιος· ἐκεῖνος καὶ ὑπόδικος εἴη ταῖς ἀραῖς ἃς διαγέγονα ἐπαρώμενος ἐμαυτῷ, εἰ μὴ ταῖς ἐμαῖς ταύταις περὶ πίστεως φωναῖς καὶ τὸ B τῆς ψυχῆς συμβαίνει φρόνημα, λογισθείη τῆς μερίδος τῶν δύο συκοφαντῶν, οἵτινες ἐπὶ Καϊάφα κρίνοντος Χριστὸν ἐξανέστησαν καταμαρτυροῦντες Χριστοῦ. Εἴη μετὰ τῶν εἰρηκότων πλάνον Χριστὸν αὐτὸν τὸν ἀληθῆ Θεὸν καὶ Σωτῆρα, τὴν αὐτοαλήθειαν, ὃς ἄλλα λέγειν ὑμᾶς καὶ ἄλλα φρονεῖν ὑπείληφε, καὶ τοὺς ἄλλους οὕτως ὑπολαμβάνειν προτρέπεται, καὶ μὴ δάκρυα, μὴ νηστεία, μὴ σκληραγωγία καὶ μὴ τῆξις σώματος, μὴ πένθος διηνεκὲς καὶ ὀδύνη ψυχῆς, μηδέ τις ὅλως τρόπος μετανοίας τῆς C τοιαύτης αὐτὸν ἐξελέσθαι καταδίκης ἰσχύσειεν. Ἀλλ' ὡς Χριστιανῶν ἐπηρεαστὴς καὶ συκοφάντης κατήγορος, τῆς τῶν Χριστιανῶν μερίδος ἀλλοτριωθείη, καὶ παραπεμφθείη ταῖς ἀτελευτήτοις βασάνοις, τὰς τῆς Χριστιανοκατηγορίας εὐθύνας ὑφέξων εἰς αἰῶνα τὸν ἅπαντα.

# ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

# ΓΡΗΓΟΡΙΟΥ

### ΑΠΟΛΟΓΙΑ ΠΡΟΣ ΤΗΝ ΚΑΤΑ ΤΟΥ ΤΟΜΟΥ ΜΕΜΨΙΝ ΙΣΧΥΡΟΤΑΤΗ.

Ἀεὶ μὲν ἐγὼ πρότερον τοὺς πολλὰ περὶ Θεοῦ φθεγγομένους ἄνδρας ἐθαύμαζον, τί ποτε αὐτοῖς τὸ τῶν λόγων πλῆθος ἠβούλετο, ἐξὸν εἰπόντας βραχέα, καὶ ταύτῃ τὸν εὐσεβῆ νοῦν ἐμφήναντας ἑαυτῶν, σιγὴν ἀγαπᾷν τοῦ λοιποῦ, ὡς μόνου δὴ πολλοὺς οὐ προσιεμένου τοῦ περὶ ἑαυτοῦ λόγους Θεοῦ, ὑπὲρ οὐσιῶν ὄντος καὶ λόγον καὶ πᾶσαν κατάληψιν· νυνὶ δὲ με τὸ περὶ τῶν οὕτω τεθεολογηκότων οὐδαμῶς ἔχει θαῦμα. Καὶ γὰρ τοὺς πολλοὺς ἐκείνων ἀνάγκη δή τινι προσενήνεγκα λόγους, ἀλλ' οὐ φιλοτιμίᾳ κατείληφα. Ἐκίνει μὲν οὖν εἰς τοσοῦτον καὶ ἡ τῶν D αἱρετικῶν φιλόνεικος γνώμη, ἀντιθέσεις ἀεὶ τῷ ὀρθῷ λόγῳ ἄλλας ἐπ' ἄλλαις ὥσπερ θάλασσα κύμασιν ἐπιφέρουσα κύματα· ἐκίνει δὲ ἴσως καὶ τῶν ἄλλων σκαιῶν ἀνθρώπων καὶ βασκάνων ἐπήρεια, πεφυκότων ἀεὶ τὰς καλὰς ἐπιμέμφεσθαι, καὶ τῶν πρὸς εὐσέβειαν εἰρημένων ὡς μὴ τοιούτων ἐπιλαμβάνεσθαι· ὥστε, οὔσης ἀνάγκης πρὸς ἀμφοτέρους στρέφεσθαί τε καὶ ἀπαντᾷν, εἰκότως καὶ μῆκος τοῖς περὶ Θεοῦ λέγουσιν ὁ λόγος ἐλάμβανε, βουλομένοις ἱκανῶς ἀμφοτέροις ἐπεξιέναι τοῖς μέρεσι. Τοῦτο συμβὰν ἴδοι τις ἂν ἀτεχνῶς ἐν τῷ παρόντι καὶ ἐφ' ἡμῖν. Σιγὴν γὰρ τῶν περὶ Θεοῦ λόγων ἀεὶ διὰ παντὸς ἀγαπήσαντες, τοῖς τε ὑπὸ τῶν τοῦ Πνεύματος ἀνδρῶν εἰρημένοις, ὡς οὐκ ἦν βέλτιον ἄλλως εἰρῆσθαι, ἀρκούμενοι, καὶ ἄκοντες ὅμως εἰς αὐτοὺς ἐληλύθαμεν, καὶ μηδὲ βραχεῖς τὴν ἀρχὴν εἰπεῖν ἐννοοῦντες εἰς μῆκος αὐτοὺς ἐκτείνειν, ὥσπερ τινὸς ὑπ' ἀνάγκης ὑπήχθημεν. Καὶ τίνα τρόπον; Ἀνέστη πρῶτον Ἰωάννης ὁ Βέκκος λαλῶν τε καὶ γράφων διεστραμμένα. Ἔδει πάντως ἀπαντᾷν πρὸς ἐκεῖνον. Ἔδει μὴ τὴν χεῖρα ἐπὶ στόματος θεῖναι, μηδὲ χώραν διὰ τῆς σιωπῆς διδόναι αὐτῷ τὴν λύμην ἐκτείνεσθαι. Εἰ γὰρ καὶ τὸ τῆς σιωπῆς ἀκίνδυνον εἶναι

OCR ABK / FR

γέρας ἀκούομεν, μιᾶς δὴ ταύτης ὅμως σιωπῆς ὁ καρπὸς οὐκ ἀκίνδυνος. Ἀπηντήκαμεν οὖν ὡς ἐνῆν, καὶ τὸν ἄνθρωπον Θεοῦ συνεργοῦντος βραχέσι τοῖς ῥήμασι τῆς μακρᾶς δογμάτων ἀτοπίας ἐπέσχομεν. Ἀνέστη μετὰ τὸν Βέκκον ἕτερος, συντάττων καὶ οὗτος ἐκ φιλοτιμίας βιβλία, λεξιδίων οὐκ οἶδα τί βουλομένων σημαίνειν καὶ ῥηματίων μεστά. Ὁ δὲ αὐτὸς καὶ ἡμῖν ἐπανέστη, ἔγκλημα ποιούμενος, ὅτι τὴν ἀρχὴν ἀνταίρειν τῷ Βέκκῳ ἡμεῖς τετολμήκαμεν, καὶ οὐκ αὐτῷ δὲ μόνῳ τὸ κράτος ἐν λόγοις ἔχοντι τοῦ παντὸς πρὸς ἐκεῖνον λόγου παρεχωρήσαμεν. Διὰ τοῦτο καὶ τῷ κατὰ τοῦ Βέκκου πρὸς ἡμῶν ἐκτεθειμένῳ κατὰ γνώμην τέως τῆς Ἐκκλησίας ἐπιφύεται τόμῳ, καὶ ὡς οὐ καλῶς ἔχοντα βλασφημεῖ, ὃν οὐ μόνον τὰ πρὸ τοῦ ἐκθειάζων καὶ ἐπαινῶν διαγέγονεν, ἀλλ' ἤδη καὶ εἰς αὐτὸν οὐδὲν ἕτερον ὄντα ὅτι μὴ εὐσεβείας τόμον ὑπέγραφεν, ἕλκοντος ἐπὶ τοῦτον καὶ ταῦτα ἢ συναναγκάζοντος οὐδενός. Τὰ μὲν οὖν πρὸς Βέκκον ἐν ἄλλοις καὶ αὐτῷ δὴ τῷ τόμῳ ὑπὸ Θεῷ Σωτῆρι καὶ βοηθῷ τέλος ἡμῖν ἔσχηκε τὸ προσῆκον. Φέρε δὴ λοιπὸν ταῦτα πρὸς τοῦτον ἐν βραχέσιν, ὡς οἷόν τε ἀντιλαμβανομένου καὶ αὖθις Θεοῦ διαθώμεθα, τάς τε κατὰ τοῦ τόμου μέμψεις αὐτοῦ αὐτῷ μὲν προσῆκον τῷ μεμφαμένῳ, οὐ μὴν δὲ καθ' οὗ κεκίνηνται ἀποδείξομεν. Καὶ δὴ βούλομαι μικρὸν ἐνεγκεῖν εἴς τινά τε προσήκουσαν ἀρχὴν τὸν λόγον ἀναγαγεῖν, ἵν' ἅμα διευκρινημένος εἴη, καὶ καθ' ὁδὸν προβαίνων ἡμῖν. Προὔκειτο τῷ Βέκκῳ φρονήσαντι τὰ τῶν Ἰταλῶν, κατόπιν τε τῆς ἐκείνων περὶ Θεοῦ δόξης ἀκολουθήσαντι, ἑαυτόν τε κἀκείνους μηδὲν ὅλως ἀπεμφαῖνον φρονοῦντας δεικνύναι, μηδ' ἐκπεπτωκότας τῆς ὀρθότητος· ἦν μέντοι τὰ τῶν Ἰταλῶν, ὡς ἐν κεφαλαίῳ φάναι, φρονήματα· ἓν μὲν ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεται, ἓν δὲ ὅτι καὶ ἐξ ἀμφοῖν ἔχει τὴν ὕπαρξιν, τοῦ Πατρὸς καὶ Υἱοῦ δηλαδή· καὶ τρίτον γ' ἕτερον ὅτι καὶ ἄμφω ταῦτα τὰ πρόσωπα ἕν εἰσιν αὐτοῦ τῆς ὑποστάσεως αἴτιον. Ἦν δ' αὐτὰ ταῦτα κατὰ τὸ ἀπαράλλακτον καὶ τοῦ Βέκκου φρονήματος, ὁμοῦ δὲ καὶ τῶν ὀρθῶν τῆς Ἐκκλησίας φρονημάτων καὶ δογμάτων. Ὅθεν μὲν οὖν καὶ ὅπως εἰς ταῦτα προήχθησαν Ἰταλοί, τίνας τε πατέρας ἔσχον τοῦ δόγματος, εἴδειεν ἂν αὐτοὶ καὶ οἷς ἐξετάζειν τὰ ἐκείνων σχολή. Ἀλλ' ὅ γε Βέκκος ἐρωτώμενος ὅτου χάριν φυγὰς ἑκούσιος τῶν Πατέρων γενόμενος, αὐτόμολος πρόσεισι τοῖς ἀλλοτρίοις, καὶ εἰς τόσον δὲ βάραθρον ἀπολισθῆναι βλασφημίας ἠγάπησε, τοὺς ἁγίους ἀπερυθριάστως τε καὶ ἀμαθῶς ἐπὶ ταῦτα συνελάσαι αὐτὸν ἀποκρίνεται. Τίνας ἁγίους; Μάξιμόν τε τὸν σοφὸν ὁμολογητήν, Ἰωάννην τὸν πάνυ, δηλαδὴ τὸν ἐκ Δαμασκοῦ, καὶ οὐ πολὺ κλέος ἐν ἀρχιερεῦσι Ταράσιον. Τρεῖς γὰρ οὗτοι, φησίν, οὓς καὶ διδασκάλους εὐσεβείας ἥ τ' Ἐκκλησία πεπλούτηκε, καὶ αὐτὸς ἔχειν τὸν πάντα χρόνον ἠγάπησε. Τρεῖς αὐτοὶ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα θεολογοῦντες τὸ ἅγιον, θαυμαστῶς πως πείθουσιν ἐκ μιᾶς αὐτῶν ταύτης φωνῆς μηκέτι κἀμὲ καθ' ὑμᾶς τὴν Ἰταλικὴν ἀτιμάζειν εὐσέβειαν, προΐεσθαι δὲ μᾶλλον καὶ στέργειν ὡς Πατέρων ἁγίων εὐσέβειαν. Οἱ δ'

A αὐτοί μοι δοκοῦσι καὶ ὑμᾶς προέχειν μᾶλλον ἐθέλοντας καλῶς ἂν εἰς αὐτὴν ὁδηγήσειν, πᾶσαν τῶν ὑμετέρων ἀμφιβολίαν ἐξελόντες ψυχῶν. Καί γε τὸν τῆς ὁδηγίας τρόπον ἐντεῦθεν καλῶς πᾶς ὁ μὴ ἐθελοκωφεῖν βουλόμενος εἴσεται, οἶμαι, πάντας ἐφῆκεν ἀνομολογῆσαι ὑμᾶς. Καὶ γὰρ ἀνομολογήσετε, μηδεμιᾶς οὔσης παρὰ μηδενὸς ἀντιῤῥήσεως ἐπὶ τοῦ θείου Πνεύματος, τὴν ἐκπόρευσιν οὐκ ἄλλο δηλοῦν, ἢ τρόπον αὐτοῦ τῆς ὑπάρξεως βούλεσθαι. Καὶ ἐπειδήπερ δηλοί, καὶ ὑμεῖς γε συντίθεσθε, ὁρᾶτε δὴ καὶ ὅσα κατ' ἀνάγκην ἐντεῦθεν ἀκολουθεῖ. Τὸ Πνεῦμα τὸ ἅγιον, ἐπειδή φασιν οὓς οὐκ ἔστιν εἰπεῖν μὴ ὀρθῶς εἰρηκέναι, δι' Υἱοῦ ἐκπορεύεσθαι, τὸ δέ γ' ἐκπορεύεσθαι τρόπος ἐστὶν ὑπάρξεως, παντὶ πρόκειται συναγαγεῖν, ὡς ὕπαρξιν εἶναι δι' Υἱοῦ τῷ Πνεύ-
B ματι οἱ δι' Υἱοῦ ἐκπορεύεσθαι φάσκοντες αὐτὸ δογματίζουσιν. Εἰ δὲ δι' Υἱοῦ ὕπαρξίς ἐστιν αὐτῷ, καὶ ἐξ Υἱοῦ δηλονότι ὕπαρξις ἂν εἴη αὐτῷ, οὐ μόνον ὅτι ἐπαλλάττειν ἀλλήλαις ἐνιότε καὶ ἀδιαφόρως ἔχειν αἱ προτάσεις αὗται καταλαμβάνονται, θατέρας εἰς τὴν τῆς ἑτέρας χρῆσιν παραλαμβανομένης, ἀλλ' ὅτι καὶ κατὰ φύσιν ὕπαρξιν προσώπου τελείου διά τινος ὁμοφυοῦς, καὶ αὐτοῦ γε προσώπου τελείου ἀμήχανον καὶ νοῆσαι, εἰ μὴ κυρίως ἐξ ἐκείνου εἴη, δι' οὗπερ ἔχειν καὶ τὴν ὕπαρξιν λέγεται. Καὶ οὕτως ἡμεῖς, φησί, ταῖς τῶν ἁγίων φωναῖς ὁδηγούμενοι, εὐσεβεῖς καὶ μάλα δικαίως κατανοοῦμεν τοὺς Ἰταλούς· τό τε κατ' ἐκείνους δόγμα ὡς Πατέρων θείων οὐκ ἀναινόμεθα φρόνημα, ἐκπορεύεσθαι λέγοντας τὸ Πνεῦμα τὸ ἅγιον, ἵνα καὶ πάλιν ἐρῶ τὰ αὐτὰ σαφηνείας μείζονος, ἕνεκεν, καὶ τὴν ὕπαρξιν τῆς ὑπο-
C στάσεως ἔχειν ἐκ τοῦ Υἱοῦ, καὶ αὐτὸν δὴ τὸν Υἱὸν ἔχειν αἴτιον. Αἴτιον μὲν γάρ, ὅτι τὴν ὕπαρξιν ἐξ αὐτοῦ· ἐξ αὐτοῦ δὲ τὴν ὕπαρξιν, ὅτι καὶ φυσικῶς δι' αὐτοῦ, τέλειον ὂν διὰ τελείου, ἥπερ εἴρηται προσωπική· δι' αὐτοῦ δὲ τὴν ὕπαρξιν, ὅτι δι' αὐτοῦ ἐκπορεύεται, καὶ τὸ ἐκπορεύεσθαι τρόπος ἀναντιῤῥήτως ὑπάρξεως. Ἐπεὶ δὲ τοῦ αὐτοῦ καθ' ἕνα καὶ τὸν αὐτὸν λόγον αἴτια δύο καθεστάναι μὴ θεμιτόν, ἓν ἂν πάντως ὁ Πατήρ τι καὶ ὁ Υἱὸς εἶεν τοῦ Πνεύματος αἴτιον, συνάγοντος τὴν ἑνότητα τοῦ ἀπαραλλάκτου τῆς ἑκατέρας ὑπάρξεως.

Ἅμὲν οὖν ὁ Βέκκος φησί, δικαιῶν ἑαυτὸν ἀνομήσαντα, καὶ δι' ὧν τοὺς ἄλλους οἴεται λέγων σε ἀπὸ στόματος καὶ γράφων συμπείθειν, ταῦτά ἐστι καὶ τοιαῦθ' ἕτερα. Ἀλλὰ πρὸς ταῦτα, καθάπερ καὶ μι-
D κρὸν ἄνωθεν εἴρηται, τόμος ἐκτέθειται, καὶ τὴν ἀνθρώπου ῥύμην τε καὶ λύμην φερομένας ἀκρατῶς ἱκανῶς ἀνεχαίτισεν, ὥστ' οὐκέθ' ἡμῖν πρὸς αὐτὸν λοιπὸν ὁ λόγος, ἀλλ' ὁ πᾶς ἡμῖν τοῦ λοιποῦ πρὸς τὸν ἐπηρεάζοντα τῷ τόμῳ γένοιτο ἄν.

Τὰ μὲν τοίνυν ἄλλα, φησὶν οὗτος, τοῦ τόμου, σκαιὸς ἂν εἴη καὶ γέμων ἀμαθίας ἄνθρωπος, εἰ μὴ ἐπαινῶν εἴη, καὶ ὡς ἄριστα ἔχει ὁμολογοίη· ἓν δ' ὅμως μηκέτι δοκεῖν αὐτῷ ἀνεπίληπτον κατὰ τἄλλα, μηδ' ἀκατηγόρητον μένειν, μάλιστα δὴ καὶ πολλῆς τῆς διορθώσεως χρῄζειν. Εἶναι δὲ τοῦτο, ὅτι Βέκκου φήσαντος, ἐκ Πατρὸς λεγόντων τῶν ἁγίων δι' Υἱοῦ τὸ Πνεῦμα ἐκπορεύεσθαι, ἀνάγκην εἶναι κατ' αὐ-

OCR ABK / FR

τοῦς καὶ δι' Υἱοῦ ἔχειν τὴν ὕπαρξιν, τοῦτ' αὐτός τε A ἀναιρῶν ἐν τῷ τόμῳ, ἵν' ὁμοῦ καὶ πάντα συναναιρήσῃς τὰ ἑπόμενα βλάσφημα, τὴν εἰς ἀΐδιον ἔκφανσιν ἡ δι' Υἱοῦ, ὡς ἔφησθα, λέξις ἐνταῦθα, οὐ τὴν εἰς τὸ εἶναι καθαρῶς σημαίνειν βούλεται πρόοδον τοῦ τελείαν ἐκ Πατρὸς τὴν ὕπαρξιν ἔχοντος Πνεύματος. Ἔοικας γάρ, φησί, ταῦτα λέγων, μὴ τρόπον ὑπάρξεως νομίζειν ἀεὶ τὴν ἐκπόρευσιν, ἥν ἄνωθεν ἐς δεῦρο πάντες οὕτω νομίζουσι. Καὶ τοίνυν ταῦτα ἐπαιτιωμένῳ ἡμᾶς καιρὸν ἔχειν μοι φάναι, τὸν δ' ἐρωτήσεως τρόπον καὶ ἀποκρίσεως προσενεχθῆναι αὐτῷ οὐκ ἄλλου δή τινος ἢ τοῦ σαφοῦς ἕνεκα τῶν ἐλέγχων, καὶ τοῦ εὐλήπτου τῶν ἀποδείξεων. Ἀρχὴ δὲ τοῦ λόγου·

Πεπίστευκας, ὦ οὗτος, εἰς Πατέρα, Υἱόν, καὶ Πνεῦμα ἅγιον; Καὶ βεβάπτισμαί γε, φησίν, εἰς ἕνα B ταῦτα Θεόν, εἰς ἕνα ταῦτα καὶ μόνον. Οὐ γάρ φημι παρὰ τὴν μακαρίαν ταύτην Τριάδα Θεὸν ἄλλον εἰδέναι. Ἐπεὶ δὲ οἶδας καὶ καλῶς γε οὕτως, ὅπως κἂν τοῖς ἑξῆς πρὸς λόγον ἀποκρινῇ. Λέγοις ἂν μόνον, φησίν, ἄναρχον, ἀναίτιόν τε καὶ ἀγέννητον τὸν Θεὸν καὶ Πατέρα ὁμολογεῖς. Ἢ πῶς ὁμολογῶ, φησίν; Τὸν δὲ δὴ Υἱόν, τό τε Πνεῦμα τὸ ἅγιον, οὐκ ἀναίτια. Φῂς οὖν ἔκ τινος εἶναι; Ναί, ἐκ τοῦ Πατρός. Μόνος ἄρα τούτων αἴτιον, καὶ ἀρχή, καὶ ῥίζα ὁ Πατήρ; Οὐκ ἄλλος, ἀλλ' ὁ Πατήρ. Πότερον ὡς ἡ κτίσις; Οὐχ ὡς ἡ κτίσις. Πῶς οὖν, πῶς; Ὡς ἐκ τῆς οὐσίας ὄντα αὐτοῦ, καὶ φύσεως διὰ ταῦτα τῆς αὐτῆς αὐτῷ. Καὶ συναΐδιά γε ταῦτα φῂς τῷ Πατρί, ἢ πρότερον καθ' ὕπαρξιν τὸν Πατέρα; Συναΐδια ἔγωγε. Εἰ γὰρ καὶ ἐξ αὐτοῦ, ἀλλὰ μετ' αὐτοῦ. Πνεῦμα δὲ πῶς τὸ μὲν προσαγορεύεται καὶ πιστεύεται, τὸ δ' C Υἱὸς καὶ οὐκ ἄμφω ἕτερον εἴπερ ἐκ τοῦ αὐτοῦ καὶ ἄμφω Πατρός; Ὅτι τοι, ἔφη, καὶ ὁ τρόπος τοῦ ἐκ Πατρὸς εἶναι ἕτερος ἑκατέρου. Πνεῦμα μὲν γὰρ τὸ ἅγιον ἐκ Πατρὸς ἐκπορεύεσθαι μεμαθήκαμεν, Υἱὸν δὲ γεννᾶσθαι. Καὶ τὸ ἐκπορεύεσθαι δὲ τοῦτο καὶ γεννᾶσθαι τὸν μὲν Υἱὸν ὀνομάζειν ἀνῆκε, τὸ δὲ Πνεῦμα ἅγιον. Εἶεν δὲ ταῦθ' οὕτως, ἐπειδὴ καὶ καλῶς ὡμολόγηται. Ἀλλ' ἄγε μοι καὶ τόδε πρὸς τοῖς εἰρημένοις ἀπόκριναι. Τέλειον ἐκ τοῦ Πατρὸς γεννᾶσθαι τὸν Υἱὸν ὁμολογεῖς, ἤ τινος ἑτέρου φήσαις εἰς τελειότητα δεῖν τῷ Μονογενεῖ; Ἀτοπώτατος ἂν εἴην, εἰ μὴ καθάπαξ τέλειον ὁμολογῶν εἴην. Τὸ δὲ δὴ Πνεῦμα τὸ ἅγιον, ἆρά σοι καὶ αὐτὸ δοκεῖ κατὰ τὸν ἴσον τῆς τελειότητος λόγον ἐκ Πατρὸς ἐκπορεύεσθαι, ἢ πῶς ἑτέρως; Οὐχ ἑτέρως, ἀλλὰ τελείως. Οὐκ D οὖν ἰσοτίμως ἐκ τοῦ αὐτοῦ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα· τί μήν; Θεὸς οὖν ὁ Υἱός; Θεός. Θεὸς καὶ τὸ Πνεῦμα; Θεός. Ὡς ὁ Πατήρ; Εἴπερ τέλεια, καὶ ἐκ τῆς οὐσίας αὐτῆς. Θεὸς ἄρα καὶ Θεὸς καὶ Θεός; Οὕτως. Τρεῖς οὖν θεοί; Οὐδαμῶς, εἷς δέ, παντὸς μᾶλλον εἷς· ἢ πῶς γε μή, ὅπου μία γε φύσις, οὐσία, δύναμις, ἐνέργεια, βούλησις, καὶ τὸ παραλλάττον ἐν τοῖς τοιούτοις οὐδέν; Τί δέ; Καὶ ὅπως μὴ ἐπανερωτώμενος ἀχθεσθῇς, τῷ παναγίῳ Πνεύματι οὐκ ἐκ τοῦ Πατρὸς ἡ ὕπαρξις ὥσπερ καὶ τῷ Υἱῷ· Ἔφην, ἔφη, πρότερον ἐκ τοῦ Πατρός, καὶ νῦν αὖθίς φημι. Ἢ πόθεν ἑτέρωθεν; ἐκ δὲ τοῦ Υἱοῦ τί φῂς εἶναι αὐτῷ; Οὐχ ὕπαρξιν ἔγωγε, ἐπεὶ τέλειον οἶδα κατὰ τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς καὶ αὐτὸ ὑφεστάναι. Καὶ ὁ Πατὴρ διὰ ταῦτα μόνος αἴτιος καὶ μόνη πηγὴ τῆς θεότητος. Καὶ αὖ ἀρχὴ καὶ ῥίζα Υἱοῦ καὶ Πνεύματος, καὶ πάντα ὅσαπερ ἔχει τοῦ Υἱοῦ πλὴν τῆς αἰτίας. Ἀλλ' ἐξ αὐτοῦ μὲν ἴσως μηδαμῶς, δι' αὐτοῦ δέ. Οὐκ οὖν οὐδὲ δι' αὐτοῦ. Καὶ γὰρ τελεία τὸ Πνεῦμα ὑπόστασις, καὶ τέλειον ἐκ Πατρὸς ἔχον τὸ εἶναι. Τελεία δὲ καὶ ὁ Υἱός. Ὥστε εἴπερ ἦν δι' αὐτοῦ τῷ ὁμοουσίῳ τε καὶ ὁμοφυεῖ Πνεύματι ὕπαρξις, ἦν ἄρα καὶ ἐξ αὐτοῦ. Ἦν δὲ καὶ ὁ Υἱὸς τοῦ Πνεύματος αἴτιος, καὶ οὐκ ἂν εὐσεβῶς εἶχεν ἡμῖν μόνον αἴτιον τὸν Πατέρα δοξάζειν, οὐδὲ μόνην πηγὴν θεότητος, οὐδὲ ἀρχήν, οὐδὲ ῥίζαν, οὐδὲ ὅσαπερ ὡς αἰτίῳ μόνῳ πρόσεστιν αὐτῷ. Ἀλλὰ μὴν οὐκ ἔστιν ἐξ αὐτοῦ. Διὰ ταῦτα οὐδὲ δι' αὐτοῦ ἄρα. Καὶ ἔοικέ γε μήτ' ἐκ τοῦ Υἱοῦ τῷ Παρακλήτῳ, μήτε διὰ τοῦ Υἱοῦ ὕπαρξις εἶναι. Ἔοικεν ἐκ τοῦ λόγου. Ἀλλ' εἴπερ μηδέτερον, ὡς ἂν μηδὲ τὰ ἀτοπώτατα ἕψεται, πῶς δῆτά τις τὴν διὰ τοῦ Υἱοῦ ἐκ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα φωνὴν μὴ τὴν εἰς τὸ εἶναι δι' Υἱοῦ φάσκον σημαίνειν βούλεσθαι πρόοδον τοῦ τελείαν ἐκ Πατρὸς τὴν ὕπαρξιν ἔχοντος Πνεύματος, ἀτοπάζει καὶ τῆς ἀληθείας ἐκ διαμέτρου λέγειν νομίζεται, καὶ οὐκ ἂν μᾶλλον αὐτὸς ἄτοπος εἴης τὴν μὲν διὰ τοῦ Υἱοῦ τοῦ Πνεύματος ὕπαρξιν μηδὲ μέχρις ἀκοῆς προσιέμενος, ἐκείνῳ δὲ τὴν φωνὴν ταύτην μὴ διὰ Υἱοῦ τὴν εἰς τὸ εἶναι τοῦ Πνεύματος σημαίνειν πρόοδον φάσκοντι, ὡς οὐ προσήκοντα φθεγγομένῳ ἐπιμεμφόμενος; ἐπισφαλῶς δι' Υἱοῦ τῷ Πνεύματι τὴν ὕπαρξιν εἶναι ὁμολογεῖν καταδέξῃ, καὶ εἰς βλασφημίας ἐντεῦθεν βυθὸν κυβιστήσεις, ἢ μὴ καταδεχόμενος ἐκ τοῦ τὸν μέγιστον τουτονὶ κίνδυνον δεδιέναι, οὔτ' ἐκεῖνο πάντως ὁμολογήσεις, οὔθ' οἷς ἐγκέκληκας τοῦ λοιποῦ, ἐγκαλεῖν ἀξιώσεις. Θατέρῳ γὰρ θάτερον ἕπεται. Καὶ ναί, φησί, παντάπασιν ἔοικας ἀληθέστατα λέγειν. Ὅτι μὲν οὖν ἐνταῦθα οἱ δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς ἐκπορεύεσθαι φάμενοι Πατέρες τῷ Πνεύματι δι' Υἱοῦ οὐκ ἐνενόησαν ὕπαρξιν, ἱκανῶς, οἶμαι, δεδήλωται. Οἱ γὰρ αὐτοὶ καὶ μόνον αἴτιον ἔφασαν τὸν Πατέρα, καὶ ῥίζαν, καὶ πηγήν, καὶ ἀρχὴν Υἱοῦ καὶ Πνεύματος τὸν αὐτόν, καὶ ὅσα γε δή πως ἕτερα, τὴν μὲν ἐξ Υἱοῦ, καὶ δι' Υἱοῦ τοῦ Πνεύματος ὕπαρξιν ἀναιρεῖν, τὸν δὲ Πατέρα ἐκεῖνα πάντα (1) Υἱοῦ τε καὶ Πνεύματος διατρανοῖ. Καὶ χωρίς γε τούτων διὰ τοῦ Υἱοῦ μὲν ἐκπορεύεσθαι ἔφασαν ἐκεῖνοι, οἵ γε καὶ εἰρήκεσαν, καὶ ἡμεῖς ἴσμεν εἰπόντας· ὅτι δὲ καὶ ὕπαρξις τῷ Πνεύματι διὰ τοῦ Υἱοῦ οὐκ ἔστιν, ὥς τις αὐτῶν λεγόντων ἀκήκοε. Τοῦτο μὲν οὖν ἔφη τοὺς Πατέρας ἐννοῆσαι καὶ δόξαι ταῖς ῥήσεσι ταύταις ὕπαρξιν διὰ τοῦ Υἱοῦ νεῖμαι τῷ Πνεύματι, οὐκ ἔστιν ὅπως συνθήσομαι τοῦ λοιποῦ. Ἐπεὶ δῆλόν γε καὶ παισίν, ὡς αὐτοί γε ἑαυτοῖς καὶ ἀληθείᾳ πολεμοῦντες ἂν εἴησαν. Πλὴν τόδε μοι δεῦρο λέξον σαφῶς, τί λοιπὸν ἕτερον ταυτὶ

(1) Deest hic aliquid, ut puta, αἴτιον εἶναι.

OCR ABK / FR

τὰ ῥήματα βούλεται τοῖς εἰποῦσι σημαίνειν. Τίς A Ἀλλὰ πρότερον ἢ τὰ δοκοῦντα εἰπεῖν, σκέψασθαι δέον ὡς ἔχει καὶ τὰ ὑμέτερα, ὅσπερ ἐξηγούμενοι τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμά φατε. Ἐκεῖνα δὲ πάντως φατὲ, ὡς ἡ διὰ πρόθεσις ἀντὶ τῆς σὺν ἐνταῦθα, ἀντὶ τῆς μετὰ, ἔσται νοουμένη προθέσεως, καὶ ἀντ' αὐτοῦ τε τοῦ ἅμα καὶ ὁμοῦ ἐπιῤῥήματος, ἵν' ᾖ καθ' ὑμᾶς τὸ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον αὐτό γε δηλοῦν τὸ, σὺν τῷ Υἱῷ, ἢ μετὰ τοῦ Υἱοῦ, ἢ ἅμα τῷ Υἱῷ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι. Τοῦτο δ' ὡς μὲν γελοῖον, ὡς δὲ κομιδῇ δυσσεβὲς εἰς τὸν ἴσον, ἢ καὶ χείρονα τῆς τοῦ Βέκκου βλασφημίας φέρον ὄλισθον, οὐ πολλοῦ τινος οἶμαι λόγου δηλῶσαι. Γελοῖον μὲν γὰρ ἂν εἴη διὰ τὴν ἀλλόκοτον καὶ ξένην καὶ παντάπασιν ἀγνοουμένην τῇ συνηθείᾳ μετάληψιν, ἣν οὔτε B γραμματικῶν παῖδες ἴσασιν, οὔτε οἱ τὴν φωνὴν ἁπλῶς ἑλληνίζοντες κέχρηνται. Ἐπεὶ ποῦ σὺ μαθὼν ἔχεις τὴν διὰ πρόθεσιν εἰς τὴν σὺν μεταλαμβανομένην, καὶ τὴν μετὰ καὶ τὰ σύστοιχα; Δυσσεβὲς δὲ, οἷς ὅτιπερ ἐκ τῆς τοιαύτης ὑμῶν ἐξηγήσεως καὶ ὁ γεννώμενος Υἱὸς ἐκ Πατρὸς συνάγεται τῷ Πνεύματι ἐκ Πατρὸς συνεκπορευόμενος. Συνάγεται γὰρ, ἐπειδὴ τὰ τοιαῦτα προσρήματα, καὶ ὅσα συναπτικὰ καὶ συλληπτικὰ, τὰ πολλὰ τῶν ὑποκειμένων προσώπων τοῖς ἐπιφερομένοις πέφυκε συναρμόζειν ῥήμασιν, εἴτε τελείῳ, εἴτε ἓν ἔστι τὰ ἐπιφερόμενα. Οἱονεὶ τρέχειν τις λέγεται σὺν τῷ δεῖνι, τοὺς ἀμφοτέρους τρέχειν ἐκ τοῦ λόγου καταλαμβάνομεν, τοῦ προσρήματος, ὡς εἴρηται, ὑπὸ τὴν τοῦ ῥήματος κοινωνίαν ἄγοντος, τὰ ὀνόματα. Κἂν μετὰ τοῦ δεῖνος τὸν δεῖνα ἐσθίειν ἀκούσῃς, ὅτι ἄμφω ἐσθίουσι νοήσειας ἄν. Εἰ C δὲ καὶ ἅμα τῷ δεῖνι τὸν δεῖνα φιλοσοφεῖν, ὥσθ' ὅτε σὺν τῷ Υἱῷ, ἢ μετὰ τοῦ Υἱοῦ ἢ ἅμα τῷ Υἱῷ ἐκ Πατρὸς ἐκπορεύεσθαι λέγεις τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἂν ἕτερον εἴης λέγων, ἢ ὅτι καὶ αὐτὸς ὁ Υἱὸς ἐκ Πατρὸς ἐκπορεύεται ὡς τὸ Πνεῦμα τὸ ἅγιον. Ὅπερ ὡς συγχυτικόν ἐστι τῶν θείων χαρακτήρων, καὶ σφόδρα μεγάλης πρόξενον ἀπωλείας, οὐκ ἂν ἀγροῖκος τοσοῦτον εἴης, ὥστ' ἀγνοεῖν. Πλὴν βουλόμενος τουτὶ θεραπεύειν τὸ βλάσφημον, εἰς δευτέραν μεταβαίνεις ἐξήγησιν, συνηθείας ἐπιστοιβάζων ταῖς συνηθείαις, καί τινα ὀνομάτων χώραν οὐκ ἐχόντων ἐνταῦθα ἔξωθεν συναθροίσας ἑσμὸν, κελεύεις ἡμῖν ὥς τις ὢν τῆς τῶν λόγων τέχνης δεσπότης, τὸ ἀπὸ σοῦ δὲ καὶ μόνον ἠργμένον ἀξίωμα. Λέγω τὸ σὺν τῷ Υἱῷ καὶ μετὰ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα D ἐκ τοῦ Πατρὸς, ἀντὶ τοῦ σὺν τῷ Υἱῷ καὶ μετὰ τοῦ Υἱοῦ ὑφεστάναι δέχεσθαι, καὶ τὴν ὕπαρξιν ἔχειν παρὰ τοῦ Πατρός. Τοῦτο δὲ καὶ σὺν τῷ Υἱῷ λέγω, καὶ μετὰ τοῦ Υἱοῦ, καὶ ἅμα τῷ Υἱῷ ὑφεστάναι καὶ τὴν ὕπαρξιν ἔχειν ἐκ τοῦ Πνεύματος, οὐδεὶς οὕτω μέμηνεν, οὐδ' ἐπ' ἀσεβείᾳ διαβόητος γέγονεν, ὥστε μὴ ὁμολογεῖν. Καὶ γάρ ἐστιν ἀληθέστατον. Καθ' ἑαυτὸ μέντοι ἀληθέστατον, καὶ οὐκ ἐκ τῶν κειμένων ἑπόμενον, οὐδ' ἐκ τῶν σῶν ὑποθέσεων καὶ ἐξηγήσεων ἀναφαινόμενον. Ὥστ' ἀληθὲς μὲν καὶ παναληθὲς τουτὶ τὸ ἔσχατον εἴρηκας, ἀνακόλουθον δὲ καὶ τῶν κειμένων πλεῖστον ἀπηρτημένον.

Φιλονεικεῖς, οἶδα, πρὸς ταῦτα, καὶ πειθήνιον σαυτὸν οὐδαμῶς παρέχεις τῷ λόγῳ· ἄθρει δὴ λοιπὸν τὴν θαυμαστὴν φιλονεικίαν εἰς οἷον φέρει τὸ τέλος. Τὸ δι' Υἱοῦ ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον οὐχ ἕτερον κατὰ σὲ ἢ τὸ σὺν τῷ Υἱῷ καὶ μετὰ Υἱοῦ, καὶ ἅμα τῷ Υἱῷ ἐκ τοῦ Πατρὸς ὑφεστάναι τὸ Πνεῦμα τὸ ἅγιον. Τὴν γὰρ διὰ πρόθεσιν ἐνταῦθα τὴν σὺν λέγεις δύνασθαι, καὶ τὴν μετὰ καὶ τὸ ἅμα ἐπίῤῥημα. Τί οὖν κάμνεις, εἰς ταῦτα μετατιθεὶς τὴν διά; Ἔστω δὴ ἔχουσα ὥσπερ ἔχει, καὶ δυνάσθω ὅσαπερ δύναται παρὰ σοί. Ἐνταῦθα σὺ ἁρμόσον ταύτῃ ἐκεῖνα δυναμένῃ, ἅπερ κἀκείνοις ἐφήρμοξας, καὶ τὴν ἀμαθίαν ἅμα καὶ ἀτοπίαν κατανοήσεις καὶ μισήσεις τὴν σήν. Ἢ γὰρ οὐκ αὐτίκα συνελαθεὶς ὁμολογεῖν, ὅσαπερ ἄνοπιν τοῦ λόγου διομολογεῖν ἐκπέφευγας βλάσφημα. Εἰ γὰρ τὸ δι' Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα, τοῦτ' ἔστι, τὸ σὺν τῷ Υἱῷ καὶ μετὰ τοῦ Υἱοῦ, καὶ ἅμα τῷ Υἱῷ ἔχειν τὴν ὕπαρξιν, τήρησον δή μοι ἀμετάβλητον τὴν διὰ, καὶ τοῖς ἴσοις κατὰ τοὺς γεωμέτρας πρόσθες τὰ ἴσα, καὶ ὄψει γε, ὡς οὐράνιον ὅσον ἁμαρτάνεις, δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ὑφεστάναι ὁμολογῶν, ἅπερ παντὸς μᾶλλον ὁμολογεῖν ἀπηγόρευσας. Τὰ μὲν οὖν ὑμέτερα τοιαῦτα.

Ἀλλὰ σκόπει λοιπὸν καὶ τὰ δοκοῦντα ἡμῖν Πρῶτον οὖν ἐκεῖνο δῆλον εἶναί φημι τοῖς πᾶσιν, ὡς εἰ καὶ μηδὲν ἔχοι τις λέγειν τίς ποτε τοῖς Πατράσι σημαίνουσά ἐστιν ἡ φωνὴ, ἀλλ' ἀρκεῖν γε καὶ οὕτως ἐλέγχειν τὸν Βέκκον, ἐπὶ ψευδεῖ τῇ πρώτῃ συλλογιζόμενον ὑποθέσει. Οὐδὲ γὰρ τὸ δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ταυτὸν τῷ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα σημαίνει τὸ ἅγιον. Ὅπερ ἐκεῖνος ὡσεὶ θεμέλιον τοῖς ἑαυτοῦ λόγοις ὑποβαλὼν, τὸν ὑψηλὸν τῆς αὐτοῦ βλασφημίας πύργον ἐπῳκοδόμησε. Καὶ τούτου δὴ οὕτω μὴ σημαίνοντος τὴν ταυτότητα, ἀναιρεῖται μὲν ἡ μεγίστη τῶν προτάσεων, καὶ τῶν συλλογισμῶν ἡ κρηπίς· συναναιρεῖται δήπου καὶ ὅσα ἐπηκολούθησεν ἄτοπα. Καὶ οὐ πολλή τις ἀνάγκη τὸν νοῦν ἀνιχνεύειν τῆς ῥήσεως ἐξὸν καὶ χωρὶς τούτου τοῦ εὐσεβοῦς καὶ ἡμετέρου κατατυγχάνειν σκοποῦ, ὅς ἐστιν ἡ τῶν δυσχερωμάτων τοῦ Βέκκου κατάλυσις. Ἔπειτα δὲ καὶ τοῦτον ζητοῦντί σοι ἔξεστι, φαίην, τῶν ἁγίων τοῖς τῷ χρόνῳ προειληφόσι συγγεγονότι, κἀπὶ θεολογίᾳ μέγα κληρωσαμένοις ὄνομα, παρ' ἐκείνων μανθάνειν τῶν ἀγνοουμένων τὴν δήλωσιν πρὸς τὴν διάνοιαν τῶν προτέρων, καὶ τῶν ὑστέρων ἐκδεχομένων φωνάς.

Εἶπον μὲν οὖν κἀκεῖνοι, παρὰ τοῦ Πνεύματος ἐλλαμφθέντες, διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἐκπορεύεσθαι μέντοι διὰ τοῦ Υἱοῦ ἐπῆλθεν εἰπεῖν οὐδενὶ, ἀλλ' ἐκλάμπειν, φανεροῦσθαι, πεφηνέναι, προϊέναι, γνωρίζεσθαι, τἆλλα ὅσα φανέρωσιν ἁπλῶς, εἴτουν ἔκφανσιν διὰ τοῦ Υἱοῦ παρίστησιν, ἀλλ' οὐχ ὕπαρξιν, ἣν μόνως ἐκ τοῦ Πατρὸς ἔχειν ὁμολογεῖται τὸ Πνεῦμα τὸ ἅγιον. Ζητεῖς τούτων τὰς ἀποδείξεις; ἐγώ σοι παρασχεῖν ἕτοιμος. Αὐτίκα γὰρ ὁ πολὺς καὶ μέγας Βασίλειος ἐν λόγῳ τετάρτῳ τῶν Ἀντιῤῥητικῶν τάδε κατὰ ῥῆμά φησι· « Τὸ μὲν ἐκ Θεοῦ τὸ Πνεῦμα εἶναι τρανῶς ἐκήρυξεν ὁ Ἀπόστο-

OCR ABK / FR

λος λέγων, ὅτι « Τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν. » Καὶ τὸ δι' Υἱοῦ πεφηνέναι σαφῶς πεποίηκεν, Υἱοῦ ὀνομάσας αὐτό. Κἂν τῇ πρὸς Γρηγόριον δὲ τὸν ἀδελφὸν ἐπιστολῇ, περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως τὸν λόγον ποιούμενος, οὕτω γράφει· « Ὁ δὲ Υἱὸς ὁ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδεμίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν Πατέρα, ἢ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς εἰρημένοις σημείοις μόνος γνωρίζεται. Εὕροις ἂν αὐτὸν καὶ πρὸς τὰς κανονικὰς ἐπιστέλλοντα ὧδέ πως λέγοντα· Ἀλλ' οὐδὲ τοῦ Μονογενοῦς πρότερον τὸ Πνεῦμα τὸ ἅγιον. Οὐδὲν γὰρ μέσον Υἱοῦ καὶ Πατρός. Εἰ δὲ μή ἐστιν ἐκ Θεοῦ, διὰ Χριστοῦ δέ ἐστιν, οὐδὲ ἔστι τὸ παράπαν. Ἀκόλουθα τῷ Βασιλείῳ καὶ ὁ ἀδελφὸς ὁ τοῦδέ φησι. Καὶ ἄγε φησὶ, πολὺ παρὰ πάντα τἄλλα πλουτεῖ τὴν ἐνάργειαν. Φησὶ δὲ ὅμως· Τὸ ἀπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ μὲν αἴτιον εἶναι πιστεύειν, τὸ δὲ ἐκ τοῦ αἰτίου, καὶ τοῦ ἐξ αἰτίας ὄντος. Πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν· τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. » Ἀλλὰ ταῦτα μὲν ἐν τῇ πρὸς Ἀβλάβιον ἐπιστολῇ, ἐν εἰκοστῷ δὲ καὶ δευτέρῳ κεφαλαίῳ τῶν κατ' Εὐνομίου, καὶ αὖ ἐν ἕκτῳ καὶ εἰκοστῷ, καὶ ἕκτῳ καὶ τριακοστῷ τῶν αὐτῶν, « Πρὸς τὸν Υἱὸν, φησὶ, τὸ Πνεῦμα τὸ ἅγιον, κατὰ τὸ ἄκτιστον συναφείᾳ συναπτόμενον, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ Θεοῦ τῶν ὅλων ἔχειν, ἀφίσταται πάλιν ἐν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενῶς ἐκ τοῦ Πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ δι' αὐτοῦ πεφηνέναι. Καὶ πάλιν, Πατὴρ μὲν ἄναρχος καὶ ἀγέννητος καὶ ἀεὶ Πατὴρ νοεῖται. Ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστάτως ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ συνεπινοεῖται. Δι' αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ πρίν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα, εὐθὺς καὶ τὸ Πνεῦμα τὸ ἅγιον συνημμένως καταλαμβάνεται· οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν Υἱὸν, ὥστε ποτὲ καὶ τὸν Μονογενῆ δίχα τοῦ Πνεύματος νοηθῆναι, ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι. Ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν, οὔτε διαστήματι, οὔτε φύσεως ἑτερότητι τοῦ Πατρὸς καὶ τοῦ Μονογενοῦς ἀποτέμνεται. Καὶ πάλιν αὖ ἐξ ἀγεννήτου ἡλίου, ἄλλον ἥλιον ἐννοοῦμεν, ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεπιλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα, κάλλει, δυνάμει, λαμπηδόνι, μεγέθει, καὶ πᾶσιν ἅπαξ τοῖς περὶ τὸν ἥλιον θεωρουμένοις. Καὶ πάλιν ἕτερον τοιοῦτον φῶς κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ τινι διαστήματι, τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρωτοτύπου φωτός. » Οὗτοι μὲν οὖν τοσαῦτα. Γρηγόριος δὲ ὁ Θαυματουργὸς, καὶ σὺν αὐτῷ Ἀθανάσιος, ὁ μὲν τὴν ἀποκάλυψιν τῆς πίστεως ἐκτιθέμενος, « Τά τ' ἄλλα, καὶ

A ἓν Πνεῦμα ἅγιον, φησὶν, ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον, καὶ διὰ τοῦ Υἱοῦ πεφηνὸς, δηλαδὴ τοῖς ἀνθρώποις. » Καὶ ἐν ἄλλοις. « Τέλειον δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Θεοῦ δι' Υἱοῦ χορηγούμενον τοῖς υἱοθετουμένοις. » Καὶ ἐν ἑτέροις αὖθις· « Ἀγεννήτου μὲν ὄντος τοῦ Πατρὸς, γεννηθέντος δὲ πρὸ Υἱοῦ ἐκ τοῦ Πατρὸς, τοῦ δὲ Πνεύματος ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ἀϊδίως ἐκπεμφθέντος. » Ἀθανάσιος δὲ τοῦτο μὲν ἐν τῷ ἐλέγχῳ τῆς ὑποκρίσεως τῶν περὶ Μελίτιον καὶ τὸν Σαμοσατέα, τοῦτο δὲ καὶ πρὸς Σεραπίωνα γράφων, Ἐκεῖ μὲν ὢν, φησὶν, ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ Πνεῦμα δοξάζεσθαι, μὴ προσθέτως ὂν ἐκ Θεοῦ δι' Υἱοῦ· ἐνταῦθα δὲ τὸ Πνεῦμα, φησὶ, παρὰ τοῦ Υἱοῦ διδόμενον καὶ πεμπόμενον, αὐτό ἕν ἐστι, καὶ οὐ πολλὰ, οὐδὲ ἐκ πολλῶν ἓν, ἀλλὰ μόνον τὸ Πνεῦμα. Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ τοῦ B ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεὰν, ἥτις γ' ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι, ἐπειδὴ ἐκ τοῦ Λόγου τοῦ παρὰ Πατρὸς ὁμολογουμένως ἐκλάμπει, καὶ ἀποστέλλεται καὶ δίδοται. Καὶ Κυρίλλου δὲ τὰς ταῦτα βεβαιούσας ῥήσεις οὔσας τοσαύτας τίς ἀριθμήσει; Φησὶ μὲν γὰρ ἐν τῷ πρὸς Ἑρμείαν συντάγματι· Ἅγιον Πνεῦμα προσερεῖς, τὸ ἐκ Θεοῦ Πατρὸς δι' Υἱοῦ προχεόμενον φυσικῶς. Καὶ αὖθίς φησιν ἐρωτῶν· Τίνος ἴδιον εἶναί φαμεν τὸ Πνεῦμα τὸ ἅγιον; Πότερον δὲ μόνου τοῦ Θεοῦ καὶ Πατρὸς, ἤγουν αὐτοῦ τοῦ Υἱοῦ; ἢ ἀνὰ μέρος ἑκατέρου καὶ ἀμφοῖν, ὡς ἓν ἐκ Πατρὸς δι' Υἱοῦ, διὰ τὴν ταυτότητα τῆς οὐσίας; Κἂν τοῖς εἰς τὸν Εὐαγγελιστὴν ἐξηγητικοῖς Ἰωάννην, Εἰ καὶ C πρόεισιν ἐκ Πατρὸς, φησὶ, τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἔρχεται δι' Υἱοῦ, καὶ ἴδιόν ἐστιν αὐτοῦ. Κἂν τοῖς αὐτοῖς πάλιν, Ἀραρότως, φησὶ, πιστεύομεν ὡς οὐκ ἀλλότριον τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμά ἐστιν, ἀλλ' ὁμοούσιον αὐτοῦ, καὶ δι' αὐτοῦ προϊὸν ἐκ τοῦ Πατρός. »

Καὶ μακρὸν ἂν εἴη τοῦδε καὶ πάντων ἑξῆς τὰς μαρτυρίας τιθέναι, ὅσαι διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα διδάσκουσι, πλὴν ἐκπορεύεσθαι μὲν καὶ διὰ τοῦ Υἱοῦ ἔφησεν οὐδεὶς, ὑπάρχειν δὲ καὶ ἐκλάμπειν, καὶ ὅσα εἴρηται. Οἱ δὲ γ' ἐκπορεύεσθαι καὶ διὰ τοῦ Υἱοῦ τετολμηκότες εἰπεῖν τῇ σφῶν διανοίας εἰλικρινείᾳ θαρσῆσαι δοκοῦσιν εἰπεῖν, καὶ τῷ πάντα τοῖς προλαβοῦσι τῶν διδασκάλων ἑαυτοῖς παρέχειν συμβαίνοντας. Ὅθεν οὐδ' ἑτέρωθεν ἀνέμειναν ἐξηγητὰς αὐτοῖς ἐπιστῆναι τῶν λόγων τούτων, αὐτοὶ δὲ ἑαυ- D τοῖς καὶ μάλα γεγόνασιν ἀξιόχρεῳ, τῆς μὲν παρηλλαγμένης φωνῆς οὐδὲν παραμείψαντες, τρόπῳ δὲ ἑτέρῳ τὸν πατρικόν τε καὶ ὑγιαίνοντα νοῦν ἑαυτοῖς παραστήσαντες. Δῆλον δὲ τοῦτο ἐκ τῶν ἱερῶν συγγραμμάτων αὐτῶν. Καὶ γὰρ ἐν τοῖς κεφαλαίοις Μάξιμος ὁ σοφὸς, « Εἷς, φησὶ, Θεὸς, ἑνὸς Υἱοῦ γεννήτωρ καὶ Πατὴρ, καὶ Πνεύματος ἁγίου πηγὴ, μονὰς ἀσύγχυτος, καὶ Τριὰς ἀδιαίρετος, νοῦς ἄναρχος, μόνου μόνος οὐσιωδῶς ἀνάρχου Λόγου γεννήτωρ, καὶ μόνης ἀϊδίου ζωῆς, ὡς Πνεύματος ἁγίου πηγή. Κἂν τοῖς εἰς Διονύσιον τὸν μέγαν Ἀρεοπαγίτην σχολίοις τὰ περὶ τῆς ἀφθάρτου Τριάδος φησὶ, λέγων περὶ Διονυσίου, μέχρι τριῶν ὑποστάσεων προόδου

OCR ABK / FR

A νῦν θεολογεῖ, ὅτιπερ ὁ Θεὸς καὶ Πατὴρ κινηθεὶς ἀχρόνως καὶ ἀγαπητικῶς προῆλθεν εἰς διάκρισιν ὑποστάσεων, ἀμερῶς τε καὶ ἀμειώτως μείνας ἐν τῇ ὁλότητι ὑπερηνωμένως καὶ ὑπερηπλωμένως τοῦ οἰκείου ἀπαυγάσματος εἰς ὕπαρξιν προελθόντος, ὡς εἰκόνος ζώσης, καὶ τοῦ παναγίου Πνεύματος προσκυνητῶς καὶ ὑπεραεννάως ἐκπορευομένου ἐκ τοῦ Πατρὸς, ὡς μυσταγωγεῖ ὁ Κύριος. Ἀγαθότητι δὲ ἐπληθύνθη ὑπὲρ τρισυπόστατον θεαρχίαν ἡ αἰτία πάντων καὶ πηγή. Ἀλλὰ τὴν, Πάτερ ἡμῶν, προσευχὴν ἑρμηνεύων, οὑτωσί πως λέγων καταλαμβάνεται· Ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον οὐσιωδῶς τῷ Πατρὶ συνυφεστήκασι, ἐξ αὐτοῦ τε ὄντα καὶ ἐν αὐτῷ φυσικῶς ὑπὲρ αἰτίαν καὶ λόγον. Μάξιμος μὲν οὖν οὕτως. Τὰ δὲ τοῦ θείου Ἰωάννου Δαμασκηνοῦ καὶ πολύ γε τῶν τοῦ μακαρίου Μαξίμου μακρότερα, ἅμα δὲ καὶ σαφέστερα. Τὸ Πνεῦμα τὸ ἅγιον, φησὶ, καὶ αὐτὸ μὲν ἐκ τοῦ Πατρὸς οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς. Φησὶ δὲ ἐν κεφαλαίῳ ταῦτα, τῷ περὶ τῆς διακεκριμένης καὶ ἡνωμένης θεολογίας, καὶ μετ' ὀλίγα ἐν τῷ αὐτῷ· Ἅμα δὲ καὶ τοῦ Υἱοῦ ἐκ τοῦ Πατρὸς γέννησις, καὶ ἡ τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις, καὶ πάντα ὅσα ἔχει ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς ἔχει, καὶ αὐτὸ τὸ εἶναι. Καὶ μεθ' ἕτερα· Οὐ τρεῖς θεοὺς λέγομεν τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα, ἕνα δὲ μᾶλλον Θεὸν τὴν ἁγίαν Τριάδα, εἰς ἓν αἴτιον Υἱοῦ καὶ Πνεύματος ἀναφερομένων, οὐ συντιθεμένων, ἢ συναλειφομένων. Καὶ μεθ' ἕτερα αὖθις· Χρὴ δὲ γινώσκειν ὅτι τὸν Πατέρα οὐ λέγομεν ἔκ τινος, λέγομεν δὲ αὐτὸν τοῦ Υἱοῦ Πατέρα. Τὸν δὲ Υἱὸν οὐ λέγομεν Πατέρα, οὐδὲ ἀναίτιον, λέγομεν δὲ αὐτὸν καὶ ἐκ τοῦ Πατρὸς, καὶ Υἱὸν τοῦ Πατρός. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον καὶ ἐκ τοῦ Πατρὸς λέγομεν, καὶ Πνεῦμα Πατρὸς ὀνομάζομεν· ἐκ τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα οὐ λέγομεν, Πνεῦμα δὲ Υἱοῦ ὀνομάζομεν. « Εἴ τις γὰρ, » ὁ Ἀπόστολος φησὶ, « Πνεῦμα οὐκ ἔχει Χριστοῦ. » Καὶ δι' Υἱοῦ πεφανερῶσθαι καὶ μεταδίδοσθαι ἡμῖν ὁμολογοῦμεν· ἐνεφύσησε γὰρ καὶ εἶπε τοῖς μαθηταῖς, « Λάβετε Πνεῦμα ἅγιον, » ὥσπερ ἐκ τοῦ ἡλίου μὲν ἥ τε ἀκτὶς καὶ ἡ ἔλλαμψις. Αὐτὸς γάρ ἐστιν ἡ πηγὴ τῆς τε ἀκτῖνος καὶ τῆς ἐλλάμψεως. Διὰ τῆς ἀκτῖνος ἡ ἔλλαμψις ἡμῖν δίδοται, καὶ αὕτη ἐστὶν ἡ φωτίζουσα ἡμᾶς καὶ μετεχομένη ὑφ' ἡμῶν. Τὸν δὲ Υἱὸν οὔτε τοῦ Πνεύματος λέγομεν, οὔτε μὴν ἐκ Πνεύματος. » Ταῦτα μὲν ἐν κεφαλαίῳ τῷ εἰρημένῳ. Ἕπεται δὲ τούτοις ὥσπερ ἀληθῶς τοῦ αὐτοῦ νοὸς ὄντα γεννήματα καὶ ἅπερ ἐν τῷ περὶ θείων ὀνομάτων φησὶν, τῇ τε πρὸς Ἰορδάνην ἐπιστολῇ, καὶ ἔτι γε ἐν τῷ λόγῳ τῷ τὴν ἐπιγραφὴν εἰς τὴν θεόσωμον ἐπιδεχομένῳ τοῦ Κυρίου ταφήν. « Ὁ Πατὴρ, φησὶν ἐν τῷ περὶ θείων ὀνομάτων, πηγὴ καὶ αἰτία Υἱοῦ καὶ Πνεύματος. Πατὴρ μόνου Υἱοῦ, καὶ προβολεὺς Πνεύματος. Ὁ Υἱὸς Υἱὸς, Λόγος, σοφία, καὶ δύναμις, εἰκὼν, ἀπαύγασμα, χαρακτὴρ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Πατρὸς, οὐχ Υἱὸς δὲ τοῦ Πνεύματος. Τὸ Πνεῦμα τὸ ἅγιον Πνεῦμα τοῦ Πατρὸς, ὡς ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. Οὐδεμία γὰρ ὁρμὴ ἄνευ Πνεύματος. Καὶ Υἱοῦ δὲ Πνεῦμα οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον· μόνος γὰρ αἴτιος ὁ Πατήρ. Ἐν δὲ πού τῇ ἐπιστολῇ, Ἡμῖν, φησὶν, εἷς Θεὸς ὁ Πατὴρ, καὶ ὁ Λόγος αὐτοῦ καὶ τὸ Πνεῦμα αὐτοῦ· Λόγος δὲ ἐνυπόστατον γέννημα, διὸ καὶ Υἱός. Καὶ Πνεῦμα ἐνυπόστατον ἐκπόρευμα καὶ πρόβλημα, ἐκ Πατρὸς μὲν, δι' Υἱοῦ δὲ, καὶ οὐκ ἐξ Υἱοῦ, ὡς πνεῦμα στόματος αὐτοῦ, λόγου ἐξαγγελτικόν. Καὶ τὸ πνεῦμα πνοὴ λυομένη καὶ διαχεομένη, ὡς δὲ κἂν μνημονευθέντι λόγῳ, Τοῦτο, φησὶν, ἡμῖν λατρευόμενον, Πατὴρ Υἱοῦ γεννήτωρ ἀγέννητος. Οὐ γὰρ ἔκ τινος. Υἱὸς τοῦ Πατρὸς γέννημα, ὡς ἐξ αὐτοῦ γεγεννημένος. Πνεῦμα ἅγιον τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς ἐξ αὐτοῦ ἐκπορευόμενον, ὅπερ καὶ τοῦ Υἱοῦ μὲν λέγεται, ὡς δι' αὐτοῦ φανερούμενον, καὶ τῇ κτίσει μεταδιδόμενον, ἀλλ' οὐκ ἐξ αὐτοῦ ἔχον τὴν ὕπαρξιν. »

B Οὕτως ἐγὼ φημι, καὶ αὐτά γε τὰ πράγματα μαρτυρεῖ ἐμψύχοις ὡς ἂν εἴποι τις μαρτυρίαις· λέγω δὲ νῦν τοὺς τῶν μακαρίων λόγους ὡς πράγματα, τοὺς ὡς διὰ τοῦ Υἱοῦ ἐκπορεύεσθαι εἰρηκότας τὸ Πνεῦμα μηδὲν ἀλλοῖον ἐννοῆσαι· μᾶλλον μὲν οὖν, καὶ κατὰ τὸν νοῦν συνενεχθῆναι τοῖς πρώτοις, μαθητὰς ὄντας ἐκείνων καὶ ὀπαδούς. Πῶς γὰρ ἀλλοῖον, ὅπου μόνον αἴτιον Υἱοῦ καὶ Πνεύματος ἴσασι τὸν Πατέρα, καὶ μόνην πηγὴν τῆς θεότητος, καὶ ῥίζαν, καὶ ἀρχὴν, καὶ τὴν ἐκ τοῦ Υἱοῦ Πνεύματος ὕπαρξιν διαῤῥήδην ἀπαγορεύουσιν;

Ἤδεσαν μὲν γὰρ σαφῶς, ἵνα καὶ πειράσωμαι σὺν Θεῷ τὰ περὶ τὴν ῥῆσιν τρανότερον καταστῆσαι· ἤδεσαν μὲν καὶ Μάξιμος ὁ μέγας, καὶ ὁ θεῖος Ταράσιος, ἔτι καὶ ὁ ἱερὸς Ἰωάννης, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς ἐκπορευόμενον, ἐξ οὗπερ ὑφέστηκε, καὶ C τὴν τῆς ὑποστάσεως, καὶ τὴν τοῦ εἶναι αἰτίαν. Ἤδεσαν δὲ τοῦτο ἅμα καὶ διὰ τοῦ Υἱοῦ προϊὸν καὶ φανερούμενον καὶ ἐκλάμπον, καὶ πεφηνὸς, καὶ ἧκον, καὶ γνωριζόμενον· ὅθεν καὶ εὕροις ἂν αὐτοὺς, διερχόμενος ἐπιμελῶς τὰ ἐκείνων, ὅτε μὲν ἐκ Πατρὸς λέγοντας ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, διὰ δὲ τοῦ Υἱοῦ πέφηνε καὶ πρόεισι, καὶ ἐκλάμπει, καὶ φανεροῦται, καὶ γνωρίζεται· ὅτε δὲ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, οὐχ ὅπως σὺ, ἅπερ οὐ γέγραπται, οὔτε ἔστιν ἐντεῦθεν νοῆσαι, λέγω δὴ τὸ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, ὡς καὶ αἰτίαν ἐκ τούτου προσάπτειν καὶ τῷ Υἱῷ τῆς τοῦ παναγίου Πνεύματος ὑποστάσεως· ἀλλ' ἵν' ἐκπορεύεσθαι μὲν ἐκ τοῦ Πατρὸς καὶ αἰτίου, ὅθεν καὶ τὴν ὕπαρξιν ἔχει, μνησθεὶς, τοῦ τῆς ὑπάρξεως τρόπου ἐκεῖσε καλῶς φέροντος, ὅθεν καὶ ἡ D ὕπαρξις, ὁμοῦ δὲ καὶ δι' Υἱοῦ προέρχεσθαι καὶ ἐκφαίνεσθαι, καὶ ὅσα παρὰ τοῖς αὐτοῖς τούτοις καὶ τοῖς ἄλλοις θεοφόροις τεθεολόγηται διδαχθῇς· τῇ γὰρ ἐκ Πατρὸς εἰς τὸ εἶναι προόδῳ τοῦ Πνεύματος, οὐ γὰρ ἀφέξομαι τὰ αὐτὰ πολλάκις στρέφειν περὶ τῶν αὐτῶν, τὴν εἰς δύναμιν σαφήνειαν ἐργαζόμενος τῷ εὐσεβεῖ τῶν Πατέρων νοήματι τῇ προόδῳ ταύτῃ, ἡ δι' Υἱοῦ τοῦ αὐτοῦ Πνεύματος συντρέχουσα ἔκφανσις, καθ' ὃν τρόπον τῇ ἐξ ἡλίου τοῦ φωτὸς ἐκλάμψει ἡ διὰ τῆς ἀκτῖνος τοῦ αὐτοῦ φωτὸς πρόεσις καὶ φανέρωσις. Πεῖσαι δέ μοι δοκεῖ τοὺς θεολόγους τουτοδὶ ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι εἰπεῖν τὸ

OCR ABK / FR

Πνεῦμα τὸ ἅγιον, ὁμοῦ μὲν ὅτι ἐκ Πατρὸς ἐκπορεύεται καὶ ὑφέστηκεν ὡς ἐξ αἰτίου τὸ Πνεῦμα διατρανοῦντας, ὡς αὐτὸν τὸν τρόπον τῆς ἐκ Πατρὸς ὑπάρξεως τοῦ Πνεύματος τῆς τοῦ ἐκπορεύεσθαι σημαινούσης φωνῆς, ὁμοῦ δὲ ὅτι καὶ δι' Υἱοῦ ἐκφαίνεται καὶ φανεροῦται τὸ αὐτοῦ ἐκ Πατρὸς ἐκπορευόμενον παριστῶντας, εἰ καὶ μὴ τὸ τῆς φανερώσεως ὁμοῦ ἐνταῦθα πρόσκειται ῥῆμα, τὴν χώραν πεπληρωκότος τοῦ τρόπου τοῦ δηλωτικοῦ τῆς ὑπάρξεως. Καὶ γὰρ ὥσπερ ἐν ἑτέροις ἐκλάμπειν λέγοντες καὶ προϊέναι ἐκ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον δι' Υἱοῦ, δηλοῦν μὲν ἐθέλομεν ὁμολογουμένως τὴν τοῦ Πνεύματος φανέρωσιν δι' Υἱοῦ. Ὁ νοῦς δὲ ὅμως εἰς τὴν εὐσεβῆ ἀναφερόμενος ἔννοιαν, συνεπινοεῖ ἐκ Πατρὸς ἔχειν τὴν ὕπαρξιν καὶ τὴν αἰτίαν πᾶσαν τοῦ εἶναι, τὸ δι' Υἱοῦ ἐκλάμπον τε καὶ φανερούμενον Πνεῦμα, εἰ καὶ μὴ σημαντικὴ τοῦ τῆς ὑπάρξεως τρόπου ἢ τοῦ προϊέναι ἢ ἐκλάμπειν ἐστὶ φωνή. Οὕτω δὴ καὶ ἐκπορεύεσθαι δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον λέγοντες, τὴν μὲν δύναμιν τῆς τοῦ ἐκπορεύεσθαι σημασίας τῷ μόνῳ αἰτίῳ Πατρὶ προσαρμόζομεν, καὶ τὸ σημαινόμενον κἀνταῦθα ὀρθῶς συντηροῦμεν τῆς λέξεως κατὰ τὴν τοῦ Σωτῆρος θεολογίαν, οὐκ ἐπὶ κοινωνίᾳ δὲ ὅμως τῆς ὑπάρξεως τῇ δι' Υἱοῦ φωνῇ ἀποχρώμεθα, ἀλλ' ὑπὸ τῆς ὑγιοῦς τῶν Πατέρων ὁδηγούμενοι διδασκαλίας ὑγιῶς ἅμα τοῦτ' αὐτὸ συνεπινοοῦμεν καὶ ἀσφαλῶς, ὅπερ ἐκείνοις αὐτοῖς ἐν ἑτέροις τετράνωται· ὅτι τὸ ἐκ Πατρὸς ἐκπορευόμενον Πνεῦμα ἐκφαίνεται καὶ δι' Υἱοῦ καὶ φανεροῦται, καὶ ἐκλάμπει, καὶ πρόεισι. Καί γε τοῦτ' αὐτὸ ἐναργέστερον κατανοήσεις, τῷ μεγάλῳ φωστῆρι Γρηγορίῳ τῷ τῶν Νυσσαέων ποιμένι προστυχών. Τοῦ ἐξ αἰτίας ὄντος, φησὶν ἐκεῖνος, ἄλλην διαφορὰν ἐννοοῦμεν. Τὸ μὲν γὰρ ἐπροσεχῶς ἐκ τοῦ πρώτου προσεχῶς ἐκ τοῦ Πατρὸς τὸν Υἱόν φησιν εἶναι. Πάντως γεννητῶς, φησὶ, νοουμένου καὶ τοῦ τῆς ὑπάρξεως ἅμα τρόπου, εἰ καὶ μὴ διαῤῥήδην ταῖς λέξεσι πρόσκειται. Τὸ δὲ Πνεῦμα, καὶ αὐτὸ ἐκ τοῦ πρώτου, φησίν. Ἐκπορευτῶς δὲ πάντως καὶ τοῦτό φησιν, ὡς τὸν τῆς ὑπάρξεως κἀνταῦθα νοεῖσθαι τρόπον, καὶ μὴ τῇ λέξει προσκείμενον. Ἀλλὰ καὶ διὰ τοῦ προσεχῶς ἐκ τοῦ Πνεύματος φησι τὸ Πνεῦμα. Τί σοι, πρὸς Θεοῦ, κἀνταῦθα δίδωσι νοεῖν τὸ διὰ τοῦ προσεχῶς; Μὴ ὅτι ὑφίσταται καὶ ἔχει τὸ εἶναι τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ; Οὐκ ἐρεῖς οὕτως· ἀλλ' ὅτι ἐκλάμπει, ἧπερ ἀλλαχοῦ φησὶν αὐτὸς, καὶ φανεροῦται καὶ πρόεισι.

Πλὴν ἄθρει δὴ ὡς τῷδε τῷ θεολόγῳ ἐπὶ πάσαις ταύταις ταῖς ἐννοίαις οὕτως οὔσαις διαφόροις μία τις ἀπεδόθη θεολογία, καὶ οὐ παρὰ τοῦτο ἡ εὐσεβὴς διάνοια διαστέλλειν κεκώλυται, ὅτιπερ διάφορον ὂν διακρίνειν δέον, ὅμως συνῆψεν ὁ λόγος, καὶ εἰς ἓν ἐν τῇ ἐξαγγελίᾳ συνήγαγεν. Οἶδε γὰρ ὁ θεολογικὸς νοῦς τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα, καὶ τὴν ὕπαρξιν ἐσχηκότα. Καὶ καλῶς εἴρηκε, προσεχῶς ἐκ τοῦ πρώτου. Οἶδε καὶ τὸ Πνεῦμα ἐκ τοῦ αὐτοῦ Πατρὸς ἐκπορευόμενον, καὶ τὴν ὕπαρξιν ἐσχηκός. Οἶδεν ἅμα τοῦτ' αὐτὸ καὶ διὰ τοῦ Υἱοῦ, ἀλλ' οὐχ ὡς ὑφιστάμενον καὶ ὕπαρξιν ἔχον διὰ τοῦ Υἱοῦ, εἰ καὶ συνημμένην οὕτω τὴν ῥῆσιν ἐπήγαγε, διὰ τοῦ προσεχῶς

A εἰπὼν ἐκ τοῦ πρώτου. Διὰ ταῦτα οὐδὲ συνέχεεν ὁ νοῦς, οὐδέ τι τῶν μὴ προσηκόντων ἐνόησε, καίπερ τῷ σφόδρα συνεσπειραμένῳ τῆς ἐξαγγελίας στενοχωρούμενος, μάλιστα δὲ καὶ ἐδράσσετο καλῶς καὶ διέκρινε. Καὶ οἷς ἐκ τοῦ πρώτου τὸν Υἱὸν ἤκουσε καὶ τὸ Πνεῦμα, ὡς ἐξ αἰτίας ἐνόησε, καὶ μετὰ τοῦ τρόπου τῆς ἰδίας ὑπάρξεως ἑκάτερον. Οἷς δὲ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, εἰς τὴν ἔκφανσιν ἀπεῖδεν αὐτίκα, καὶ τὴν ἔκλαμψιν καὶ φανέρωσιν, καὶ ὅσα γε ὁμοίως δι' Υἱοῦ τὸ Πνεῦμα λέγεται παρά τε τοῖς ἄλλοις θεολόγοις, καὶ τῷ Νύσσης αὐτῷ. Ὡς οὖν ἐνταῦθα τῆς εὐσεβείας ἡ δύναμις διακρίνειν δίδωσι, καὶ οὐ συγχωρεῖ πόῤῥω φέρεσθαι τῆς ὀρθότητος, κἂν μυρία στενοχωρῆται ταῖς λέξεσιν, οὕτω καὶ τὰ περὶ τὴν ῥῆσιν ἄξιον καταστῆναι τὴν λέγουσαν, ἐκ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, B καὶ μὴ τῷ τῆς ἑρμηνείας συνεστραμμένῳ εἰς σύγχυσιν ἐκπίπτειν βιάζεσθαι. Ἐκπορεύεται γὰρ ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα, ἐκεῖθεν ἔχον τὴν ὕπαρξιν καὶ αἰτίαν τοῦ εἶναι. Διὰ δὲ τοῦ Υἱοῦ, τί γ' ἕτερον κἀνταῦθα νοήσεις, ἢ ὡς αὐτὸ διὰ τοῦ προσεχῶς ἐννενόηκας, ὑπ' αὐτῇ γε διδασκάλῳ τῇ ἀληθείᾳ, καὶ τῷ Νύσσης χειραγωγούμενος; ἐννενόηκας δὲ δήπου, οὐχ ὡς ὕπαρξιν καὶ τὸ εἶναι διὰ τοῦ Υἱοῦ τοῦ Πνεύματος ἔχοντος, ὡς δ' ἐκλάμποντος δι' αὐτοῦ καὶ πεφηνότος, μόνῳ δικαίως ἐκ τούτων τὴν αἰτίαν ἀνατιθέμενος τῷ Πατρί. Φέρει μέντοι σαφῶς εἰς τοῦτο, καὶ ὑπὲρ αὐτὸς οὗτος ὁ Νύσσης Γρηγόριος ἐν ἑτέροις φησίν. Οὐκ ἀνάγκη πᾶσα τῇ εἰκόνι δουλεύοντας δοῦναι τοῖς συκοφάνταις λαβὴν ἐν τῇ τοῦ ὑποδείγματος ἀτονίᾳ. Οὐχὶ ἀκτῖνα ἐκ τοῦ ἡλίου νοήσομεν, ἀλλ' ἐξ C ἀγεννήτου ἡλίου ἄλλον ἥλιον τὸν Υἱὸν, ὅμως τῇ τοῦ πρώτου ἐπινοίᾳ, γεννητῶς αὐτῷ συνεκλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα, κάλλει, δυνάμει, λαμπηδόνι, μεγέθει, φαιδρότητι, καὶ πᾶσιν ἁπλῶς τοῖς περὶ τὸν ἥλιον θεωρουμένοις. Καὶ πάλιν ἕτερον τοιοῦτον φῶς τὸ Πνεῦμα κατὰ τὸν αὐτὸν τρόπον, οὐ χρονικῷ τινι διαστήματι τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρωτοτύπου φωτός. Ὥστ' εἴπερ λίαν πατρικῶς ταῦτα καὶ εὐσεβῶς ἔχει, καὶ γὰρ ἀληθῶς ἔχει, τὸ δέ γε δι' Υἱοῦ ἀνομολογεῖν ὕπαρξιν ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον, βλασφημοῦντες, καὶ πάντη τῆς εὐσεβοῦς Ἐκκλησίας ἀλλότριον, ποῦ δίκαιον δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα, παρά τισι τῶν ἁγίων εἰρημένον ἀκούοντας, μὴ παραχρῆμα λογίζεσθαι, οὐχ ὡς ὕπαρξιν οἱ τῆς φωνῆς D ταύτης Πατέρες διὰ τοῦ Υἱοῦ τῷ ἁγίῳ διδόασι Πνεύματι, κἂν ὅτι μάλιστα εἰς ὑπάρξεως τρόπον ἡ ἐκπόρευσις εἴληπται; Οὐ γὰρ πάντως αὐτοὺς τοῦτ' εἰρηκότας ἐξοστρακίσομεν τοῦ τῶν ἁγίων χοροῦ, οὐδ' αὖ αὐτῶν τὰς φωνὰς ὡς οὐκ εὐσεβῶς ἐχούσας διαγραψόμεθα, ἧπέρ τις ἔφη τῶν πάντα τολμώντων ἐξ ἀγνοίας καὶ πράττειν καὶ φθέγγεσθαι. Ἀλλὰ καὶ αὐτοί γε ἅγιοι ἡμῖν ἔσονται, ἅτ' εὐσεβείας καὶ πάντων διδάσκαλοι τῶν καλῶν· καὶ πρὸς τὴν ὀρθότητα τῆς σφῶν διανοίας ὁρῶντες ἡμεῖς, οὐδὲ τὰς φωνὰς αὐτῶν ἀθετήσομεν, διὰ πάντων τοῖς Πατράσι φυλάσσοντες τὸ σεβάσμιον. Ἀπαραποιήτους τοιγαροῦν

OCR ABK / FR

διὰ ταῦτα προφέρομεν αὐτῶν τὰς φωνὰς, ἀνοθεύτους καὶ τὰς διανοίας φυλάσσομεν. Ὅθεν καὶ λεγόντων ἐκείνων, Δι' Υἱοῦ τε Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς ἐκπορεύεσθαι, λέγομεν καὶ ἡμεῖς ὡς ἐκεῖνοι, Δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι. Νοούντων δὲ πάλιν ὕπαρξιν τῷ ἁγίῳ Πνεύματι καὶ πρόοδον εἰς τὸ εἶναι ἐκ τοῦ Πατρὸς, ἔκφανσιν δὲ, φανέρωσιν, ἔκλαμψιν διὰ τοῦ Υἱοῦ, οὕτω νοοῦμεν καὶ φρονοῦμεν ἡμεῖς, καὶ οὐδὲν αὐτῶν φρονούντων, τῇ τῆς ἐκπορεύσεως φύσει, τρόπον τῆς ὑπάρξεως σημαινούσῃ, λυμαινόμεθα. Τὸ γοῦν δι' Υἱοῦ ἐκπορεύεσθαι τὸ Πνεῦμα, ὑπὲρ ἐκείνων εἴπω, οὐκ ἂν εἴη τὸ δι' Υἱοῦ τὴν ὕπαρξιν ἔχειν σημαῖνον. Εἰ δέ γε σημαίνειν φατὲ, τί μὴ δόγμα τίθεταί τις ὑμῶν τοῦτο τῆς Ἐκκλησίας, λέγω δὴ τὸ δι' Υἱοῦ τὴν εἰς τὸ εἶναι πρόοδον ἔχειν τὸ Πνεῦμα τὸ ἅγιον; τί δὲ καὶ Ἰταλούς τε καὶ Βέκκον τοῦτό τε καὶ ὅσα κατ' ἀνάγκην τῷδ' ἐπακολουθεῖ φρονοῦντάς τε καὶ κηρύσσοντας ἐκκηρύττομεν; Ἢ γὰρ φιλονεικοῦντες, τὴν δι' Υἱοῦ ὕπαρξιν τὸ δι' Υἱοῦ ἐκ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα σημαίνειν βούλεσθαι, προσίεσθε καὶ τούτους, ὡς καλῶς τε καὶ εὐσεβῶς φρονοῦντας καὶ λέγοντας· ἢ μὴ προσιέμενοι, οὐδ' ἐκεῖνο δίκαια ποιοῦντες προσίεσθε. Τὸ γὰρ ἀμφότερα πράττειν, ἔργον ἐρεῖ πώς τις, οἶμαι, ὅ γε φρονῶν, οὐχ ἑτέρων εἶναι ἢ τῶν μὴ εἰδότων, ὅπου ἀλλήλων τἀναντία διῴκισται.

Ἤρκει μὲν οὖν, τοσαῦτα περὶ τῶν προκειμένων εἰπόντας, ἐνταυθοῖ καταπαῦσαι τὸν λόγον. Ἐπεὶ δὲ οὐδὲ τὴν τῆς ἐκφάνσεως ἀνεπηρέαστον ἐῶσι φωνὴν, ἀλλά τι καὶ ταύτης οὐδὲ ὑγιοῦς ἐχούσης ἐπιλαμβάνονται, ἄνδρες ὁρμώμενοι ἐκ ποίας οὐκ οἶδα τῶν λόγων παρασκευῆς, οἵ γε, εἴπερ ἑαυτῶν ὄντες ἐτύγχανον ἐπιγνώμονες, τοσοῦτον ἂν ἑαυτοὺς ἐμίσησαν λογογραφεῖν ἐπιβάλλοντας ὅσον οὐδὲ καθ' ἑτέρας ἕτερον, ἐπιλαμβάνονται δὲ τί τε ἄλλα, καὶ ὅτιπερ ἀΐδιον αὐτὴν φαμέν. Συνάπτει γὰρ ἡ φασὶν αὐτήν γε παρ' αὐτοῖς σημαίνειν τὴν ὕπαρξιν, καλὸν ἔτι μικρὸν τῷ λόγῳ προσδιατρίψαντας τὴν ἅπασαν ὡς εἰκὸς ἀποτρίψασθαι μέμψιν. Ὅτι μὲν οὖν ἡμεῖς οὐχ ὕπαρξιν λέγομεν ἐν τῷ τόμῳ τὴν ἔκφανσιν, ἀλλὰ φανέρωσιν, ἢ ἔκλαμψιν, ἢ ὅτι τούτων ἐγγυτάτω, τίς οὕτως ἀμαθὴς, ὥστε μὴ συνιδεῖν, διερχόμενος τὸ πυκτίον; Ἀναιρεῖ μὲν γὰρ ἐμφανῶς τὴν δι' Υἱοῦ τοῦ Πνεύματος ὕπαρξιν· ἔκφανσιν δὲ ὅμως οὐ παραιτεῖται τοῦ Πνεύματος λέγειν διὰ τοῦ Υἱοῦ. Πῶς οὖν παρ' ἐκείνῳ ταυτὸν ὕπαρξίς τε καὶ ἔκφανσις, εἴπερ, ὡς βλασφημοῦμεν λέγειν, ἐξαίρει τὴν ὕπαρξιν, ὡς δ' εὐσεβῆ νοῦν ἔχουσαν, οὐκ ἀποδοκιμάζει τὴν ἔκφανσιν; Ὅτι δὲ καὶ τῆς ἐκφάνσεως παρά τισιν εἰς τὴν τῆς ὑπάρξεως σημασίαν παραλαμβανομένης, τότε μέντοι παρακινδυνεύοντας, ἐπειδὰν ἀληθεύειν ἡ ὕπαρξις ὁμολογῆται, ἀλλ' ἡ κυρία γε τῆς φωνῆς ἀνάπτυξις αὐτὴν μᾶλλον δηλοῖ τὴν φανέρωσιν, ἐντεῦθεν γένοιτ' ἂν [illegible]. Ἔκφανσις καὶ ὕπαρξις ὀνόματα μὲν [illegible] ἐκ [illegible] δὲ ῥημάτων δυεῖν, [illegible] φαίνω, τὸ δὲ τοῦ ὑπάρχω, γεγένηται. Καὶ γε [illegible] τις ἴσον παρὰ τοὺς ἐν τοῖς παιδευτηρίοις παῖδας τοὺς ἔτι ῥημα-

A τισκίων ἕνεκεν ἐταζομένους, εἰ μὴ τὸ ἐκφαίνω, αὐτό γε προχείρως τὸ φανερῶ, οὐχὶ δὲ τὸ ὑπάρχω σημαίνειν γινώσκουσι, ὡς ἀνόητον καὶ οἴεσθαι μόνον, ἄλλο τι παρ' αὐτό γε σημαίνειν, τάχα γε μὴν προσφιλοτιμούμενα μειράκια καὶ ἓν ὄνομα γινώσκειν εἴποιεν ἂν τῶν ῥημάτων τούτων ὥσπερ ἀρχήν. Εἶναι δὲ τὴν ἀρχὴν ταύτην τὸ φάος αὐτὸ, ἐξ οὗπερ ταῦτα τὴν γένεσιν κεκτηνται. Τίνι λοιπὸν τέχνῃ τις κεχρημένος τὴν ἔκφανσιν ὡς ὕπαρξιν ἀεὶ νοεῖν ἡμῖν ἐπιτάξει; Ἐχρήσαντο μὲν οὖν, οἶδα, τινὲς ἀνθ' ἑτέρου θατέρῳ· καὶ ὕπαρξιν λέγειν βουλόμενοι, τὴν ἔκφανσιν ὡς ὕπαρξιν ἔφρασαν. Ἀλλ' ἔστιν ὅπῃ καὶ που, ἔνθα δηλονότι, οὐ γὰρ ἀφέξομαι τὰ αὐτὰ λέγειν πολλάκις, ἐξὴν ἀληθεύειν ἑκάτερον καὶ μεταλαμβάνειν ἦν ἐκ τῆς συνδρομῆς τὰς φωνὰς, B οὐ μὴν δ' ἁπανταχοῦ καὶ ἀεί. Οὗτοι δὲ, λέγω δὲ τοὺς ἐπανιστάντας νυνὶ λεξιθήρας, ἐκ τοῦ ποὺ καὶ ποτὲ τὸ ἁπλῶς ἀμαθῶς συμπεραινοῦσιν, ὡς εἴπερ ἐξ ἑνὸς καὶ δυεῖν ἀνθρώπων λευκῶν τοὺς πάντας ἡμῖν ἀνθρώπους λευκοὺς ἡγεῖσθαι συνελογίζοντο· καὶ μηδὲ ταῖς ὄψεσιν ἠξίουν πιστεύειν μὴ πάντας ὁρώσαις τοιούτους. Πλὴν ἐγὼ μὲν ἐν τῷ τόμῳ τὴν ἔκφανσιν, ὡς φανέρωσιν, ἢ ὅ τι βούλει τῇ φανερώσει ταυτοδύναμον εἴρηκα· οὐ μόνον διὰ τὸ παραπλησίως ταύτας σημαίνειν δοκεῖν τὰς φωνὰς, ἀλλ' ὅτι οὐδ' αὐτοί γε τὸ πρότερον οἱ τῶν θείων δογμάτων ἐκφάντορες ἐκλαμβάνειν τε καὶ νοεῖν τὴν φωνὴν ἀπηξίωσαν, ὥσπερ αὐτὸς μεθ' ὕστερον ἐκλαβόμενος φαίνομαι. Καὶ δέδοικα μὴ εὔηθες ὁμοῦ καὶ ὑπεργέλοιον ἢ πίστεις κομίζειν τοῦ τὴν ἔκφανσιν δηλοῦν βούλεσθαι καὶ τὴν φανέρωσιν παρ' αὐτοῖς. C Εἰ γὰρ μηδεὶς ἕτερος ταῦθ' οὕτως ἐτύγχανε λέγων, ἀλλ' εἰ τὴν εἰς τὴν προφητικὴν Ζαχαρίου λυχνίαν, οὗ πολλάκις ἐμνήσθημεν Μαξίμου ἀνέγνως, εἰ τὴν εἰς τὴν θεολογικὴν ῥῆσιν τὴν, διὰ τοῦτο τοῦτο μονὰς ἀπ' ἀρχῆς, ἐνέτυχες, οὐδέποτ' ἂν τῆσδε χάριν ἔγρυξας τῆς φωνῆς.

Ἀλλὰ ταύτην, φασὶ, καὶ ἀΐδιον ἔφησθα. Τρίτη τις ἤδη τοῦτο μέμψις ἡμῖν. Σὺ δὲ ἄρα ὅστις ὁ λέγων εἶ, οὐ λέγεις ἀΐδιον τὴν δι' Υἱοῦ τοῦ Πνεύματος ἔκφανσιν, καὶ ἔκλαμψιν, καὶ φανέρωσιν. Καὶ πῶς ἂν ὅ τι καὶ λέγοις εἰδείης; Χορηγεῖται μὲν γὰρ διὰ τοῦ Υἱοῦ καὶ δίδοται, καὶ ἀποστέλλεται, ὁπηνίκα δηλονότι ἐπιτηδείως ἂν ἔχωσι δέξασθαι οἷς ἀποστέλλεται, καὶ χορηγεῖται καὶ δίδοται· ἐκφαίνεται δὲ καὶ ἐκλάμπει ἀϊδίως, καὶ φανεροῦται. Τοῦτό σε ὁ D μέγας πειθέτω Βασίλειος· τοῦτο καὶ ἀδελφὸς ὁ τούτου Γρηγόριος· τοῦτο καὶ ὁ θαυματουργὸς καὶ Ἀθανάσιος, καὶ ὁ σοφὸς Ἰωάννης, ἐξ ὧν μικρὸν ἄνωθεν ἐμνήσθημεν ῥήσεων. Τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα δι' ἑαυτοῦ, φησὶ Βασίλειος, καὶ μεθ' ἑαυτοῦ γνωρίζων ἐστὶν ὁ Υἱός. Ὥστ' εἴπερ ἀεὶ μετὰ τοῦ Υἱοῦ γνωρίζεται, ὅπερ οὐδ' ἐκλείπει ποτὲ, ὥσπερ ἀνέγνως, καὶ ἀεὶ δι' αὐτοῦ. Τοῦτο δὲ τί ποθ' ἕτερον παριστάνειν ἢ τὸ ἀΐδιον βούλεται; Γρηγόριος δὲ μετὰ τῶν ἰδίως προσόντων τῷ Πνεύματι, καὶ Πατρὸς καὶ Υἱοῦ διακρινόντων, καὶ τὸ διὰ τοῦ Υἱοῦ αὐτὸ πεφηνέναι καὶ ἐκλάμπειν συνάπτει. Ὅθεν εἰ μηδέποτε τὸν Παράκλητον τῶν ἑαυτοῦ ἰδιωμάτων



OCR ABK / FR

οὐδὲν χωρὶς, οὐδὲ τὸ διὰ τοῦ Υἱοῦ πεφηνέναι, ὡς ἴδιον αὐτῷ τῷ ἀϊδίῳ προσόν, νοῦν ἔχων, ἐρεῖς ποτε οὐκ ἀΐδιον. Σαφέστερον δὲ τοῦτο ἔτι· ὁ Θαυματουργὸς γὰρ διετράνωσεν, ἐκ τῆς οὐσίας τοῦ Πατρὸς δι' Υἱοῦ ἀϊδίως ἐκπεμφθὲν τὸ Πνεῦμα διδάσκων. Ἀθανάσιος καὶ Ἰωάννης, καὶ εἰκόνα κατὰ τὸ δυνατὸν τῆς ἀκαταλήπτου καὶ ἀοράτου Τριάδος τιθέντες, καὶ ἡμᾶς ὡς ἐνὸν διὰ ταύτης εἰς ἐπίγνωσιν τῆς μακαρίας χειραγωγοῦντες καὶ ἀνάγοντες φύσεως, ὁ μὲν ἥλιον, ἀπαύγασμα καὶ φῶς, ὁ δὲ ἥλιον, ἀκτῖνα καὶ τὴν δι' αὐτῆς ἔκλαμψιν, καθυπέδειξαν. Τί τοίνυν ἄρα σοι δοκοῦσιν οὗτοι τὸ φῶς καὶ τὴν ἔκλαμψιν διὰ τοῦ ἀπαυγάσματος ἀεὶ καὶ τῆς ἀκτῖνος προϊόντα εἰδέναι, ἢ ἔστιν ὅτε καὶ μὴ δι' αὐτῆς; Ἐπὰν δὲ καὶ Υἱοῦ τὸ Πνεῦμα ὡς δι' αὐτοῦ φανερούμενον ἀκούσῃς εἶναι, ἀλλ' οὐχ ὡς ἔχον τὴν ὕπαρξιν ἐξ αὐτοῦ, τί καὶ φῂς πρὸς αὐτοῦ τοῦ Πνεύματος; Μὴ ἐγχρόνως καὶ ποτὲ νοεῖν τοῦ Υἱοῦ καὶ οὐκ ἀϊδίως εἶναι τὸ Πνεῦμα; Ἄπαγε, οἶδα, ἐρεῖς. Ἀϊδίως δὲ καὶ ἀεί. Εἰ δ' ἀϊδίως Πνεῦμα Υἱοῦ τὸ Πνεῦμα, εἴρηται δὲ τοῦ Υἱοῦ, ὅτι δι' αὐτοῦ φανεροῦται, καὶ ἀϊδίως ἄρα διὰ τοῦ Υἱοῦ φανεροῦσθαι οὐδὲν αὐτὸ ὁ τοῦ Υἱοῦ Πνεῦμα τῷ δι' αὐτοῦ Υἱοῦ φανεροῦσθαι εἰρηκὼς αὐτό. Παῦση τοιγαροῦν, ὦ οὗτος, πρὸς τὸν τόμον ἀπομαχόμενος τοῦ λοιποῦ, ἢ καὶ ἔτι τὴν γλῶτταν ἐπαφήσεις αὐτῷ, καὶ ταῖς μέμψεσιν ἐπιδαψιλεύσεις, ὡς ἂν ὁμοῦ καὶ σαυτῷ τὰς παρὰ τῶν φρονίμων ἐπιστημόνων ἐφελκύσῃς ἀνθρώπων. Οὐκ ἄν, οἶμαι, τοσοῦτον ἀφιλόκαλος εἴης ἄνθρωπος καὶ νοῦν ἐκτενοφλωμένος, ὥστε καὶ σαυτῷ οὔτε φρόνιμος εἶναι, ἢ δοκεῖν τοιοῦτος βασκάνειν.

Πιττάκιον τοῦ ἁγιωτάτου καὶ σοφωτάτου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως νέας Ῥώμης, καὶ οἰκουμενικοῦ πατριάρχου κυροῦ Γρηγορίου τῆς ἀπὸ τῆς Κύπρου πρὸς τὸν εὐσεβέστατον καὶ γαληνότατον βασιλέα κυρὸν Ἀνδρόνικον Δούκαν Ἄγγελον Κομνηνὸν τὸν Παλαιολόγον, ἀποσταλὲν αὐτῷ ὁπηνίκα ἡ ἐπισύστασις γέγονε κατ' αὐτοῦ, τοῦ Ἐφέσου χρηματίσαντος Ἰωάννου τοῦ Χειλᾶ, καὶ τινων ἀρχιερέων καὶ κληρικῶν, διὰ τινας ῥήσεις τοῦ τόμου τοῦ γεγονότος παρὰ τοῦ τοιούτου πατριάρχου κατὰ Βέκκου ἐκείνου τοῦ χρηματίσαντος πατριάρχου Κωνσταντινουπόλεως καὶ τῶν ἀσεβῶν δογμάτων αὐτοῦ. Ἃς δὴ ῥήσεις ἡρμήνευκεν ὁ τοιοῦτος ἁγιώτατος πατριάρχης κυρὸς Γρηγόριος εὐφυέστατα ὀρθοδόξους οὔσας καὶ εὐσεβεῖς, καὶ τὸ τοῦ Μάρκου βλάσφημον γράμμα ἀνεθεμάτισεν, ὡς οὐ κατὰ τὸν εὐσεβῆ σκοπὸν τοῦ τόμου παρ' αὐτοῦ συντεθὲν, ἀλλὰ πρὸς ἀπάδουσαν καὶ βλάσφημον ἔννοιαν ἀπαγόμενον. Ὅθεν καὶ τὸν κατ' αὐτοῦ γεγονότα μιαρώτατον Χειλᾶν Ἰωάννην τὸν χρηματίσαντα Ἐφέσου κατήσχυνε, τοὺς δὲ λοιποὺς ἀρχιερεῖς πρὸς μετάνοιαν ἐξεκαλέσατο, ἅμα καὶ τοὺς κληρικοὺς, τὴν αὐτοῦ συνθεὶς ἔγγραφον ὁμολογίαν.

Κράτιστε, θεοπρόβλητε, θεόστεπτε, θεοδόξαστε, A ἅγιέ μου δέσποτα βασιλεῦ, δέομαι τῆς κραταιᾶς καὶ ἁγίας βασιλείας σου, ἐν προσοχῇ τοῦ παρόντος ἀκοῦσαί μου γράμματος. Ἀξιῶ καὶ τοὺς ἐνταῦθα συνειλεγμένους ἱερωτάτους ἀρχιερεῖς κατὰ τὸν αὐτὸν ἀκροάσασθαι τρόπον. Τινὲς τῶν ἱερωτάτων ἀρχιερέων καὶ ἐμῶν ἀδελφῶν εἰς ἔγκλημα προφέρουσιν ἐμοὶ τὸ φλύαρον τοῦ Μάρκου χαρτίον. Ἐγὼ δὲ οὐδέποτε σύνοιδα ἐμαυτῷ βλάσφημα οὔτε γεγραφότι, οὔτε φρονήσαντι, οὔτε τινὶ ἑτέρῳ γράφειν ἢ φρονεῖν ὑφηγησαμένῳ. Τὸ δὲ χαρτίον τοῦτο τοσοῦτον οὐδοτιοῦν ἐμοὶ προσήκει, ὥστε καὶ ἀναθέματι καθυποβάλλω τὰς ἐν αὐτῷ βλασφημίας ἁπάσας.

Ἀνάθεμα λέγω καὶ πάσαις ταῖς αἱρέσεσι καὶ βλασφημίαις, ὅσαι ἄνωθεν καὶ εἰς δεῦρο γεγόνασι, καὶ μετὰ ταῦτα γενήσονται. Καὶ βούλομαί τε καὶ εὔχο- B μαι παρὰ Θεοῦ καὶ τῶν θείων, καὶ παρὰ παντὸς τοῦ μυστηρίου τῆς ἀμωμήτου τῶν Χριστιανῶν ἡμῶν πίστεως, ἧς ἄνευ οὐκ ἔστι σωτηρία, οὕτω πιστεύειν, οὕτως ὁμολογεῖν, καθὼς κελεύει Θεὸς, ὡς τὴν περὶ αὐτοῦ γνῶσιν τοῖς ἁγίοις αὐτοῦ ἀπεκάλυψε, καὶ ὡς ἡμᾶς αὐτοὶ ἐκεῖθεν ἐλλαμφθέντες ἐμυσταγώγησαν. Καὶ πιστεύω δὴ βεβαίως οὕτω καὶ ὁμολογῶ, πάντα μὲν ὅσα γνήσια τῆς καθολικῆς Ἐκκλησίας δόγματα ἐξ ὅλης ψυχῆς ἀσπαζόμενος, καὶ τὰ ταύτης ἀλλότρια ἀποσειόμενος καὶ ἀποστρεφόμενος. Εἰ δέ τινι νοὸς ἀσθενείᾳ οὐκ ἐνελάμφθην, οὐδὲ κατείληφα ἔστιν οὗ τῶν ἁγίων Γραφῶν τὸ βούλημα, οὐκ ἀγαπῶ, τύφῳ ματαίῳ νικώμενος, τῇ ἀγνοίᾳ ταύτῃ ἐμμένειν· ζητῶ δὲ ταύτης μᾶλλον ἀπαλλαγῆναι, ὡς ψυχῆς χαλεπωτάτου νοσήματος, καὶ ἑτοιμός εἰμι παντὶ τῷ διδάσκειν με δυναμένῳ, πόῤῥω C δὲ πάσης εἰρωνείας ὁ λόγος, ἐμαυτὸν παρέχειν εἰς μάθησιν. Προστίθημι δὲ καὶ τοῦτο· εἰ τοιοῦτον εἶχον σκοπὸν γράφων τὸν τόμον, ὁποῖον τὸ φλύαρον τοῦ Μάρκου χαρτίον ἔχον καταλαμβάνεται, ὃ καὶ φιλονεικῶν τις, οὐκ οἶδα τί κερδήσων, σαφήνειαν λέγει τοῦ τόμου, ἠσβολημένην ἄντικρυς χύτραν τῷ οὐρανῷ παραβάλλων ἢ καὶ περιβάλλων αὐτὸν, εἰ ἐπὶ νοῦν τὸν ἐμὸν ἐπῆλθεν ὁμώνυμον φωνὴν γράφειν τε καὶ κηρύττειν τὴν τοῦ παναγίου Πνεύματος ἐκπόρευσιν, καθὼς ἡμᾶς οἱ περὶ Βέκκον πάμπρωτα ἀντικαθιστάμενοι πρῶτον τόμον συκοφαντοῦντες διέβαλλον, ἔπειτα μετ' ἐκείνους ἕτεροι τὴν συκοφαντίαν ταύτην ἐκεῖθεν διαδεξάμενοι, ἐπάρατος εἴην. Εἰ δὲ μὴ, σκοπείτω ὁ συκοφαντῶν ἐμὲ τὰ τοιαῦτα, καὶ καταλιμπάνων ἅπερ ὀφθαλμοὶ ἀναγινώσκειν καὶ D νοεῖν αὐτῷ ὑποδεικνύουσιν, εἰς δ' ἀλλοκότους φαντασίας καὶ εἰκασίας ὀνείρων χωρῶν, ὅπως τὰς τῶν Χριστιανοκατηγόρων τιμωρίας ἐκφεύξηται, ὅσας τε νῦν αὐτοῖς κανόνες ἐπάγουσιν ἱεροὶ καὶ θείων Πατέρων. θεσπίσματα, καὶ ὅσας τὸ μετὰ ταῦτα ἡ δικαία τοῦ δεσποτικοῦ καὶ φρικτοῦ βήματος ἀποδίδωσι ψῆφος. Ἔγωγε, δέσποτά μου ἅγιε βασιλεῦ, ὅσον ἀεὶ διαγέγονα πόῤῥω τῶν τοῦ Μάρκου φρονημάτων τε καὶ γραμμάτων μαρτυροῦσι, καὶ ὅσα πρὸ τοῦ τόμου πολλοῖς ἔτεσιν ἐκδέδοταί μοι, καὶ ὅσα μετὰ τὸν τόμον, ἐν οἷς ἅπασιν οὐδ' ἂν σκιὰν εὑρήσοι τις ὁμοιότητος. Ἔστι μέν τι τῶν ἀρχῆθεν μοι συνταγμάτων, ἐξ οὗπερ τὰς πατρικὰς ὁ Βέκκος ἐπεχείρησε χρη-

OCR ABK / FR

σεις παρεξηγεῖσθαι καὶ τὸ κάτωθεν γεγραμμένον δογματικὸν χωρίον. Οἶδα τοῦτο καὶ ὁ μέγας λογοθέτης, γινώσκει καὶ ὁ Φιλαδελφίας, ὁ δὲ Ἐφέσου, δοκεῖ μοι, καὶ μεταγράψας ἔχει παρ' ἑαυτῷ. Ἐν τούτῳ δὲ καὶ τοῖς ἄλλοις ἅπασιν ὑπὸ τοῦ ὀρθοῦ δόγματος ἡμετέροις πονήμασιν ἀπαθῶς ὁρῶντες οἱ βουλόμενοι τὴν τοῦ τόμου σαφήνειαν κατανοήτωσαν, καὶ μὴ ἐν τῷ μηδὲν ἡμῖν προσήκοντι Μάρκου χαρτίῳ, κατανοήτωσαν, λέγω, καὶ παυσάσθωσαν τοῦ λοιποῦ ξένας φωνὰς καὶ φρονήματα ἐπιφημίζειν ἐμοί. Ἐχέτω καὶ ἔλεος αὐτοὺς τῆς κακῶς σπαρασσομένης Ἐκκλησίας καὶ τῶν ἀπολλυμένων ψυχῶν, ἃς οὐκ ἐπὶ τοῦτο ὁ δημιουργήσας Θεὸς, ἀλλ' ἐπὶ σωτηρίᾳ αἰωνίῳ παρήγαγε. Κοπασάτω ἡ τοιαύτη θραῦσις τῆς φιλονεικίας ἡμῶν καὶ φιλοτιμίας αἰτίαν ἔχουσα, καὶ δέομαι κοπασάτω. Ἐπειδὴ οὐ χρονιεῖ Κύριος τοὺς τῶν τοιούτων σκανδάλων ἐπόπτας ἐπόψεσθαι.

---

# ΤΟΥ ΜΑΚΑΡΙΤΟΥ ΓΡΗΓΟΡΙΟΥ

## ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

# ΤΟΥ ΚΥΠΡΙΟΥ

## ΠΕΡΙ ΤΗΣ ΕΚΠΟΡΕΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ.

(ΤΟΜΟΣ ΑΓΑΠΗΣ, ἐν Γιασίῳ τῆς Μολδολαχίας, 1698, pag. 387.)

Οὐκ ἔγωγε θαυμάζω, φιλότης, εἴ τις ἀγροῖκος B ὢν, ὑπὸ λόγων ἐχόντων μέχρι τοῦ φαινομένου τὸ πιθανὸν παρασύρεται. Τὸ γὰρ μηδὲ θέλοντα δύνασθαι στροφαῖς λόγων καὶ αἰνίγμασι συμβαλεῖν ἱκανὸν εἰς παραίτησιν· ἀλλ' ὁπόταν καὶ πεπαιδευμένος τις εἶναι δοκῶν, καὶ τὴν σύνεσιν στιβαρὸς, ὥστε καὶ ἄλλους καταρτίζειν ἰσχύειν, εἶτ' οὐδὲν ἄμεινον ἐκείνων πρὸς διάκρισιν ἀληθείας καὶ ψεύδους διάκειται, τοῦτ' ἐμοὶ τοῦ μὴ κακὸν δοκεῖν οὐκ ἂν ἔχῃ παραίτησιν, γνώμης σαφῶς ὂν ἁμάρτημα, ὄκνῳ φιλοπονίας τὴν ἀλήθειαν παραδιδούσης. Καὶ περὶ μὲν δὴ τῶν ἄλλων οἳ δίκην θρεμμάτων ὀπίσω τῶν νῦν λεγομένων φέρονται, ἀλγῶ μὲν ἐγὼ πλὴν τί ἂν τις ποιοίη ἑκόντων τὰς σφῶν διανοίας ἐγχειριζόντων; φερέσθωσαν· σοῦ δὲ ὅταν τοσοῦτον καὶ συνέσει καὶ λόγοις κρατῆς τῶν πολλῶν, λέγῃς τε γνησίως ὁρᾷν πρὸς ἡμᾶς, εἰς ἀμφιβολίας ὅλως C ἐμπεπτωκότος, πῶς μὴ καθαψάμενος ἱκανῶς, οὐκ ἂν ἄλλοις τοῦ καθάπτεσθαί μου δικαίως παρέξω καιρόν; Ἀλλὰ τοῦτο μὲν οὕτως ἔσται, ἔσται δὲ μετὰ ταῦτα· τὸ δὲ νῦν ἔχον ἐπ' ἄλλο τρέψομαι. [illegible] δὲ τοῦτο τοῖς παρὰ σοῦ μοι προβαλλομένοις, δι' ὧν καὶ γενέσθαι ἀμφίβολος μαρτυρεῖς, τὴν ὡς ἔχω δυνάμεως λύσιν ἐπενεγκεῖν.

Πρῶτον τὸ πρῶτον τῶν προβαλλομένων ἐκθέμενος, τίς ποτε, φησὶ, λόγος, οὐσίαν μὲν μὴ δοξάζειν ἀνυπόστατον, μηδ' αὖ ὑπόστασιν ἀνούσιον, λέγοντας δὲ ὅμως τὸ πανάγιον Πνεῦμα ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, μὴ λέγειν ἐθέλειν καὶ ἐκ τῆς ὑποστάσεως, καὶ ταῦτ' ἐπὶ τοῦ Πατρὸς μηδ' ἕτερον δοξάζειν ἀναινομένους, ἀλλὰ καὶ ἐκ τῆς οὐσίας λέγοντας καὶ ἐκ τῆς ὑποστάσεως προστιθεμένους; καὶ ὃ μὲν ἐκ προοιμίων προτείνεται τοιοῦτον.

Λύσις δὲ πρὸς τοῦτο κυριωτάτη μάλιστα γένοιτ' ἂν καὶ ῥᾳδία, εἰ ὡδέ πως μικρὸν ἀνωτέρω βουληθείη τις τὸν λόγον ἀναγαγεῖν. Μοναρχία τὸ τιμώμενον ἡμῖν, ὅτι καὶ εἷς Θεὸς ἀληθής· μοναρχία δὲ οὐχ ἣν ἓν περιγράφει πρόσωπον. Ἰουδαϊκὸν γὰρ τοῦτο, ἢ καὶ Σαβέλλειον· τρία δὲ, ἃ καὶ ὑποστάσεις καλεῖν οἶδεν ὁ λόγος, ὡς εἶναι ἡμῖν τὸ προσκυνούμενον μονάδα ἐν Τριάδι, τῷ μὲν ταυτῷ καὶ ὁμοτίμῳ τῆς φύσεως, τῷ τε ἑνιαίῳ τῆς οὐσίας, καὶ τῇ ταυτότητι τῆς κινήσεως καὶ δυνάμεως καὶ ἐνεργείας, καὶ τῇ πρὸς ἓν συμπνοίᾳ καὶ συνουσίᾳ μονάδα· μάλιστα δὲ καὶ πρῶτον ἓν καὶ αὐτὸ ἓν ὡς καὶ πηγὴν παντὸς ἑνὸς, καὶ μόνον ἓν ταῖς ἰδιότησι δὲ καὶ ὑποστάσεσι Τριάδα. Ὁ Πατὴρ ταῦτα ὁ Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Ὁ μὲν γεννήτωρ καὶ προβολεὺς, ἀπαθῶς καὶ ἀχρόνως, τῶν δὲ τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα. Τρεῖς ὑποστάσεις, τέλειαι καὶ ὑπερτέλειαι καὶ καθ' ἑαυτὰς ὑφεστῶσαι, τρισὶ χαρακτῆρσιν, ἀμερίστως καὶ ἀδιαστάτως ἐν τῷ τῆς οὐσίας ταυτῷ μεριζόμεναι. Εἷς Θεὸς τὰ τρία, ὅτι μία θεότης· μία οὐσία, φύσις καὶ κυριότης. Ὅθεν καὶ πᾶσα ἀνάγκη, τό τε κατ' οὐσίαν ἓν τῇ μακαρίᾳ φύσει τῇ ὁμολογίᾳ τηρεῖν, τάς τε τρεῖς ὑποστάσεις ὁμολογεῖν· μήτε τῷ τῶν ὑποστάσεων ἀριθμῷ ἀτόμῳ καὶ ἀμερεῖ τῆς οὐσίας λυμαινομένους, μήτ' αὖ διὰ τοῦτο τὸ τῶν ὑποστάσεων τριαδικὸν συγχέοντας. Καὶ γὰρ οὔτε συμμερίζοιτο ἂν τοῖς χαρακτῆρσιν ἡ ἀνωτάτω οὐσία, ἀληθῶς μία καὶ κυρίως ὑπάρχουσα, οὔτε μὴν αἱ ὑποστάσεις διὰ τὸ ἓν τῆς οὐσίας συστολὴν δεχόμεναι, εἰς ἀριθμὸν ἐλάττονα τῶν τριῶν ἀναχωροῖεν. Καὶ ταῦτα μὲν οὕτως.

Ἐπεὶ δὲ οὕτω, παντί που δῆλον ὡς τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τῆς οὐσίας λεγόμενον τοῦ Πατρὸς, καλῶς ἂν ἔχῃ καὶ εὐσεβῶς καὶ ἐκ τῆς τοῦ Υἱοῦ λέγεσθαι. Μία γὰρ, καὶ ὡς οὐσία οὐκ ἔστιν ὅπως ποτὲ διαίρεσιν δέχοιτο. Εἰ δὲ δέχοιτο, καὶ πληθύνοιτο, καὶ D πῶς ἄρα τὸ ἓν αὐτῇ κατὰ πάντα λόγον καὶ τρόπον σωθήσεται; Ἵν' οὖν μὴ ἀναιρῆται τὸ ἓν, διαίρεσις οὐδεμία κατ' οὐσίαν, οὐδὲ διαφορὰ, οὐδὲ πλῆθος. Διότι δὲ μία, τὸ ἐκ τῆς οὐσίας ὁμολογούμενον τοῦ Πατρὸς Πνεῦμα, καὶ ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ὑπάρ-

OCR ABK / FR

χον ὁμολογεῖται. Πλὴν οὐ διὰ τοῦτ' ἤδη καὶ ἐκ τῆς τοῦ Υἱοῦ ὑποστάσεως τὸ Πνεῦμα, κἂν ὅτι μάλιστα καὶ ἐκ τῆς ὑποστάσεως καὶ τῆς οὐσίας λέγηται τοῦ Πατρός. Οὐδ' ὁ ταῦτ' ἀξιῶν οὕτως ἔχειν δόξει ποτὲ τοῖς καλῶς ἐσκεμμένοις τῆς ἀληθείας ἐφάπτεσθαι, καί γε τούτου οὐ μακρός τις ἔσται οὐδὲ γρῖφος δόξειε λόγος. Ἔστι μὲν γὰρ ἡ πατρικὴ ὑπόστασις πηγαία θεότης, καὶ ἀρχὴ φυσικὴ καὶ ῥίζα Υἱοῦ καὶ Πνεύματος· τὰ δ' ἐκεῖθεν ἔχοντα τὸ εἶναι, ὁ μὲν Υἱὸς κατὰ γέννησιν, τὸ δὲ Πνεῦμα κατ' ἐκπόρευσιν. Διὰ τὸ τοῦτ' εἶναι καὶ αὐτὰ κατ' οὐσίαν ὅπερ ὁ Πατὴρ, καὶ τὸν αὐτὸν καὶ ἕνα λόγον ἔχειν τοῦ εἶναι, ἐκ τῆς οὐσίας λέγονται τοῦ Πατρὸς καὶ ὁμοούσια τῷ Πατρὶ καὶ ἀλλήλοις· τῷ μὲν Πατρὶ ὅτι οὐσιωδῶς ἐκεῖθεν ὡς ἐκ φυσικῆς ἀρχῆς καὶ αἰτίας, ἀλλήλοις δὲ, ὅτι τὰ τῷ αὐτῷ ταυτὰ καὶ ἀλλήλοις ταυτά. Ἀλλ' ὥσπερ ὁμοούσιον τῷ Υἱῷ ἐστί τε τὸ Πνεῦμα καὶ λέγεται, ὅτι ἄμφω τῷ Πατρὶ ὁμοούσιον, οὕτω δήπου διὰ τὸ ταυτὸν τῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ λεγόμενον τὸ Πνεῦμα ἐκ τῆς τοῦ Πατρὸς οὐσίας, ῥηθείη ἂν εὐσεβῶς καὶ ἐκ τῆς τοῦ Υἱοῦ. Ἐκ δὲ τῆς ὑποστάσεως αὐτοῦ, ἐπειδὴ ἐκ τῆς οὐσίας, πῶς ἂν λόγος ποτὲ παραστήσειεν, ἔγωγε οὐχ ὁρῶ, ἕως ἂν μόνη πηγὴ τῆς ὅλης θεότητος καὶ θεογόνος θεότης ἡ τοῦ Πατρὸς ὑπόστασις κηρύττηται παρ' ἡμῖν καὶ αὐτὴν τὸ Πνεῦμα ἐπίσης τῷ Υἱῷ πεπλούτηκεν αἴτιον. Εἰ μὲν γὰρ ἦν ἐνίζεσθαι καθ' ὑπόστασιν, ὥσπερ δὴ καὶ κατ' οὐσίαν τῷ Πατρὶ τὸν Υἱόν, ἦν ἂν καὶ ἐκ τῆς ὑποστάσεως τοῦ Υἱοῦ, ὃ δὴ καὶ ἐκ τοῦ Πατρός ἐστι φυσικῶς· ἐπεὶ δὲ κατὰ ταύτην καὶ μόνην διαιρεῖται, καὶ θαυμάζεται ὡς εἰπεῖν, τἄλλα πάντα ὁ αὐτὸς ὤν, καὶ τὸ τῇ ὑποστάσει ἡ ὑπόστασις ἐνθεωρούμενον, ἥκιστα χώραν ἔχει καὶ τῇ ὅλῃ φύσει ἐνθεωρεῖσθαι, ὥσπερ αὖ τὸ ἐνυπάρχον τῇ κοινῇ φύσει, τοῦτο καὶ ταῖς ὑποστάσεσιν ἐνυπάρχειν ἀνάγκη· ποῦ προσῆκον, ὅτι ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα, μία δὲ οὐσία Πατρός τε καὶ Υἱοῦ, διὰ τοῦτο καὶ ἐκ τοῦ Υἱοῦ ὁμολογεῖσθαι αὐτό; ἐκ μὲν γὰρ τῆς οὐσίας τοῦ Υἱοῦ ὅτι μία ἐστὶ τῇ τοῦ Πατρὸς ἀνάγκη, ἐκ δὲ τῆς ὑποστάσεως ὅτι μὴ μία οὐκ ἀνάγκη· ἄλλη γὰρ ὑπόστασις ἡ πατρικὴ, ἄλλη δὲ ἡ τοῦ Υἱοῦ, καὶ τὸ αἰτίαν εἶναι Υἱοῦ καὶ Πνεύματος τῆς πατρικῆς ἐστιν ὑποστάσεως ἡ τοιαύτη. Ὅθεν καὶ θεογόνος θεότης καὶ πηγαία θεότης, καὶ μόνη πηγὴ τῆς ὅλης θεότητος παρὰ τοῖς τὰ θεῖα σοφοῖς ὀνομάζεται. Καὶ γεννᾷ δὴ καὶ προβάλλει, ἐξ ἑαυτῆς τελεία οὖσα καὶ ὑπερπλήρης, καὶ καθ' ἑαυτὴν τελείας ὑποστάσεις ὑπερπληρεῖς, καὶ καθ' ἑαυτὰς ὑφεστηκυίας, τὸν Υἱὸν καὶ τὸ Πνεῦμα ὁμοουσίους καὶ ὁμοφυεῖς ἑαυτῇ, ἐπειδὴ ὅ κατ' οὐσίαν ὁ Πατὴρ, τοῦτο καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα, καὶ αὐτὸς λόγος τοῦ εἶναι ἥκει διὰ τῶν τριῶν. Καὶ μή μοι πάλιν ἐνταῦθά τις τὰ σοφὰ ταῦτα λεγέτω, ὡς ἅπασα οὐσία ἐνυπόστατός ἐστι, καὶ ὑπόστασις πᾶσα ἐνούσιος· ἔστι μὲν οὖν, καὶ ἡμεῖς κηρύττομεν, ἀλλ' οὐ διὰ τοῦτο καὶ τρεῖς οὐσίας λεκτέον ἐπὶ Θεοῦ, ὅτι καὶ τρεῖς ὑποστάσεις· μηδὲ πάλιν μίαν ὑπόστασιν, ὅτι καὶ μία οὐσία, τὸ γὰρ μεταφέρειν ἐπὶ τὴν οὐσίαν τὸν τῶν ὑποστάσεων ἀριθμὸν, ἢ ἐπὶ τὰς ὑποστάσεις

τὸ ἐπὶ τῆς οὐσίας ἑνιαῖον μετάγον, πρὸς τῷ σοφίσματι ἐοικέναι, οὐδὲ τὴν τοῦ Σαβελλίου ἐκφύγοι που δόξαν ποτὲ, οὔτε ὁ τούτου ἑταῖρος, ῥίζαν καὶ πηγὴν τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος τὸν Πατέρα διδάσκων, ἐκεῖ τῆς αἰτίας ἱστάμενος, ἵνα τοὺς ἄλλους ἀποστόλους ἔξω καὶ διδασκάλους καὶ Χριστὸν αὐτὸν, οὓς πάντας δι' ὃν τούτου παραγραφόμεθα, καὶ πρὸς τούτοις ὅπερ ἐπὶ τοῦ Πατρὸς οὐκ ἦν εὔλογον οὐδαμῶς θεωρῆσαι. Οὐ γὰρ ὅτι ἐκ τῆς οὐσίας αὐτοῦ ἐλέγομεν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, διὰ τοῦτο καὶ ἀρχὴν αὐτὸν καὶ αἰτίαν ὁμολογοῦμεν· ἀλλ' ὅτι ἀρχὴν φυσικὴ καὶ αἰτία τῶν οὐσιωδῶς ἐξ αὐτοῦ ὑποστάντων, ἀπαθῶς καὶ ἀχρόνως, διὰ τοῦτο ἐκ τῆς οὐσίας ἐκεῖνα αὐτοῦ. Τίνα τρόπον καὶ ἐπὶ τοῦ Υἱοῦ δογματίσομεν, ὅτι ἐκ τῆς οὐσίας αὐτοῦ τὸ Πνεῦμα, διὰ τοῦτο καὶ ὡς ἐξ αἰτίας αὐτοῦ; Καὶ χωρὶς τούτων καὶ παραλογισμός τις εἶναι δοκεῖ, οὕτω προβαίνων ὁ λόγος, τὸ μὴ ἑπόμενον τιθεὶς ὡς ἑπόμενον, καὶ κλέπτων, ἀλλ' οὐχὶ πείθων τὸν ἀκροώμενον. Φαμὲν γὰρ ὅτι ἐκ τοῦ Πατρὸς οὐσιωδῶς ἐκπορεύεται τὸ Πνεῦμα, ἐκ τῆς οὐσίας ὑπάρχον αὐτοῦ. Ὅτι δὲ πάλιν οὐχ ἑτέρα οὐσία Πατρὸς καὶ Υἱοῦ, μία δὲ καὶ ἡ αὐτὴ, ἀναγκαίως καὶ ἐκ ταύτης ὁμολογοῦμεν τὸ Πνεῦμα. Ὅτι δὲ ἐκ τῆς οὐσίας, διὰ τοῦτο καὶ ἐκ τῆς ὑποστάσεως, οὐδεὶς ποτε λόγος ὁμολογεῖν ἀναπείσειεν, ἕως ἂν μὴ δεικνύῃ οὐσίαν καὶ ὑπόστασιν ἕν τι κατὰ τὸν λόγον ὄντα, μηδὲ τὰ ταῖς ὑποστάσεσιν ἐνυπάρχοντα, ταῦτα καὶ κοινῇ τῇ ὅλῃ τῶν ὁμοουσίων ἐνυπάρχει φύσει, μηδὲ τοὺς εἰρηκότας μόνον αἴτιον Υἱοῦ καὶ Πνεύματος τὸν Πατέρα διαψευδομένους. Καὶ περὶ μὲν τούτων ἴσως ἀρκούντως ἔχει τὰ εἰρημένα, καὶ προσκείσθω γε εἰς πίστιν τοῦ τὸ ἐκ τῆς οὐσίας τινὸς λεγόμενον μὴ πάντως καὶ ἐκ τῆς ὑποστάσεως, οὗπερ ἐκ τῆς οὐσίας εἶναι λέγεται, λέγεσθαι. Καὶ ὁ κατὰ Χριστὸν ἄνθρωπος ὁμοούσιος μὲν ἡμῖν τοῖς ἀνθρώποις καὶ ἐκ τῆς ἡμῶν οὐσίας καὶ φύσεως, εἶναι λεγόμενος, τὴν δ' ὕπαρξιν οὐκ ἐκ τῆς ὑποστάσεως ἡμῶν ἑκάστου, ἐκ δὲ τῆς Παρθένου μητρὸς ὑπάρχων, ἐξ ἧς καὶ τὸ καθ' ἡμᾶς ἀνελάβετο. Σὺ δέ μοι καὶ τὰ ἑξῆς τῶν ἀποῤῥήτων προστίθει.

Τὸν ἐν ἁγίοις, φησὶ, Κύριλλον τῆς ἐκ τοῦ Υἱοῦ τοῦ Πνεύματος ἐκπορεύσεως προβάλλονται μάρτυρα· διὸ καὶ ἰσχυρὸς αὐτοῖς ἐστι σύμμαχος ἐκεῖνα λέγων, ἴδιον τὸ Πνεῦμα τῆς οὐσίας τοῦ Υἱοῦ καὶ οὐκ ἔξωθεν ὑπάρχον ἐν αὐτῷ, καὶ ἐξ αὐτοῦ φυσικῶς ὑπάρχων, ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ πᾶσαν αὐτοῦ τὴν δύναμιν καὶ τὴν ἐνέργειαν ἔχον, οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤτοι ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον. Τί τοίνυν πρὸς ταῦτα ῥητέον ἐστί; Τί; ὅτι οὐ σύμμαχος ὁ μέγας αὐτοῖς, οὐδὲ ταῦτα λέγων πρὸς αὐτῶν ἐστι. Καὶ τοῦτό γε δῆλον ἐντεῦθεν· ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς καὶ τὸν Υἱὸν ὑποστῆναι ὁμολογοῦμεν καὶ τὸ Πνεῦμα τὸ ἅγιον, οὐδέτερον δημιουργικῶς ἀλλὰ τὸ μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, πάντα ἔχοντα κατ' οὐσίαν ὅσα καὶ ὁ Πατήρ. Διὰ τοῦτο καὶ ἄμφω ἐκ τῆς οὐσίας φαμὲν τοῦ Πατρός. Ὥστε καὶ ὅπερ ἐκ τοῦ Πατρὸς, ὡς ἐξ ἀρχῆς καὶ αἰτίας φυσικῆς εἶναι ὁμολογεῖται, γνώρισμα τῆς ἐκεῖθεν ὑπάρξεως, δυοῖν τούτοιν ἀναγκαίως θάτερον ὡς ἑπόμενον ἔχει· ἢ τὸ

OCR ABK / FR

γεννᾶσθαι, καὶ ἔστιν Υἱὸς τὸ γεννώμενον, ἢ τὸ ἐκπορεύεσθαι, καὶ Πνεῦμα ἅγιόν ἐστιν. Ὁ δὲ μήτ' ἐκπορεύεσθαι ἐκεῖθεν λέγεται, μήτε γεννᾶσθαι, οὐδ' ἂν καὶ ἐκ τοῦ Πατρὸς λέγοιτο τὴν ὕπαρξιν ἔχειν, οὐδέ γε τὸν Πατέρα πλουτεῖν φυσικὴν ἀρχὴν καὶ αἰτίαν, ἐκεῖθεν μὴ γεννώμενον, μηδ' ἐκπορευόμενον τὰ γνωρίσματα τῆς ἐκ Πατρὸς τῶν ὁμοουσίων ὑπάρξεως. Εἰ γὰρ πᾶν ὅπερ ἐκ τοῦ Πατρὸς οὐσιωδῶς ἔχει τὸ εἶναι, ἢ γεννώμενον ἢ ἐκπορευόμενον ἔχει, ὃ μήτε γεννᾶται ἐκεῖθεν, μήτε ἐκπορεύεται, οὐδ' ἂν ἔχῃ πάντως, φαῖεν καλῶς οἱ τὴν ἰσχὺν τῶν τοιούτων λόγων εἰδότες. Οὐκοῦν ἴδωμεν καὶ Κύριλλον τὸν θεῖον, ποῖόν τι γνώρισμα τοῦ εἶναι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς τίθησιν, οὐ πανταχοῦ τὴν γέννησιν; Τί δαὶ τοῦ Πνεύματος, οὐ πανταχοῦ τὴν ἐκπόρευσιν καὶ τὸ ἐκπορεύεσθαι; Εἰ τοίνυν ὡς ὑμῖν ἔστι, σὺ ὦ πρὸς Θεοῦ ταῦτα περὶ ἐκείνου ἀποκρινόμενος, ἐπειδὰν ὅτι καὶ ἐκ τοῦ Υἱοῦ λέγοντος τὸ Πνεῦμα ἀκούσοις αὐτίκα, καὶ τὸ ἐκεῖθεν ἔχειν τὴν ὕπαρξιν καθαρπάξεις, οὐχ ὁρᾷς ὡς ἀσύμβατα καὶ οὐκ ἂν μᾶλλον τἀναντία μὴ συνεῖναι ἀλλήλοις, ἢ ταῦτα ὅ γε λελογισμένος ὁμολογήσαι; Τί τὸν θεοφόρον τοῖς καινοφώνοις συντάττεις, καὶ μαχόμενον ἐπίσης ἑαυτῷ τε καὶ τοῖς ἄλλοις δεικνύεις; ἑαυτῷ μὲν εἰ νῦν μὲν τελείαν ἐκ τοῦ Πατρὸς τὴν ὕπαρξιν λέγει τοῦ Πνεύματος, νῦν δὲ αὐτὴν ταύτην καὶ ἐκ τοῦ Υἱοῦ ὁμολογεῖ· τοῖς ἄλλοις δὲ ὅτι πάντων ἐκ τοῦ Πατρὸς διδασκόντων τὸ εἶναι τῷ Πνεύματι, αὐτὸς καὶ τὸν Υἱὸν κατὰ τὴν ὑμετέραν ἐξήγησιν αἴτιον κηρύττει τοῦ Πνεύματος. Οὐ γὰρ ἐνταῦθα τρώσεις ἀληθείας ἡ προσθήκη, τοῦ δὲ καλῶς ἔχοντος ἐναντίωσις, ἐξίσου ταῖς ὑπερβολαῖς ταῖς ἀντικαθισταμέναις πρὸς τὰς μεσότητας. Καὶ μὴν εἰ οὕτως ἔχιον ὡς αὐτοὶ φιλονεικοῦντές φατε, αὐτοί γε ὑμεῖς καὶ κριταὶ τοῦ πράγματος γίνεσθε. Ἔξεστι τοὺς ἄλλους καταλιπόντας, οἳ τοσοῦτον διενηνόχασι Κυρίλλου μόνου προσθέσθαι, καὶ πῶς δικαίως τῷ γε καινοφωνοῦντι καὶ μηδὲ αὑτῷ συμβαίνειν δοκοῦντι; καινοφωνεῖ γὰρ καὶ οὐ συμβαίνει, εἴγε δεῖ βέβαια μένειν, ἅπερ ὑμεῖς περὶ τῶν ἐκείνου ψηφίζεσθε. Ἐκ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα, καὶ πρὸς ἕνωσιν συνάπτεται τῷ Υἱῷ κατὰ τὸν τῆς ὁμοουσιότητος λόγον. Κυρίλλου γὰρ αὕτη φωνή, καὶ ὑμεῖς προσμαρτυρεῖτε καὶ τελείαν Πατρόθεν ἐμφαίνειν τοῦ Παρακλήτου τὴν ὕπαρξιν λέγετε. Ποῦ λοιπὸν τῷ δευτέρῳ τόπος; Πῶς σωθήσεται τό, Ὅτι καὶ ἐκ τοῦ Υἱοῦ τὸ εἶναι τῷ Πνεύματι; λέγω δὲ νῦν τὰ ὑμέτερα. Καὶ εἰ αἴτιος ὁ Μονογενὴς αὐτοῦ καὶ ἀρχή, πῶς τέλειον ἐκ Πατρὸς εἶναι τὸ Πνεῦμα, καὶ ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεσθαι, ὅ φησι Κύριλλος, κύριον διαμενεῖ; Ἆρ' αἰσθάνεσθε τῆς διαφωνίας, ὅσης δεῖ κρατεῖν τὸ ὑμέτερον; Καὶ τί μὴ σαφῶς, ἢ ἀτελῆ τὴν ἐκ τοῦ Πατρὸς ὕπαρξιν τοῦ Πνεύματος λέγετε, τελειουμένην δὲ διὰ τοῦ Υἱοῦ, ἢ περιττήν τινα καὶ τοῖς θεολόγοις εἰκαίως παρειλημμένην; ἐκείνην γὰρ πάντως τοιαύτην οἰηθήσεσθε, σφόδρα τὴν ἐκ τοῦ Υἱοῦ ἀντεχόμενοι. Ἢ τί μὴ κἀκείνας τῶν τοῦ μεγάλου Κυρίλλου φωνῶν ἐκποδὼν ποιεῖτε, ὅσαι σαφῶς τὴν τοῦ Πνεύματος ὕπαρξιν ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς

A ἡμᾶς διδάσκουσιν, ἵνα μὴ καὶ ὃν οἴεσθε Πατέρα τοῦ δόγματος ἔχειν ἐκ τῶν λόγων ἐκείνων πολέμιον ὑμῖν ἀποφήνῃ τις;

Πνεῦμά ἐστιν ἐκ Θεοῦ καὶ Πατρός, ἴδιον δὲ καὶ αὐτοῦ τοῦ Υἱοῦ διαμεμένηκεν ἡ κλῆσις. Καὶ αὖθις, ὡς Ἐκ Πατρὸς τέ ἐστι καὶ ἐν Πατρὶ φυσικῶς ὁ Υἱός, ἐξ αὐτοῦ δὲ καὶ ἐν αὐτῷ, τὸ ἴδιον αὐτοῦ τε καὶ τοῦ Υἱοῦ Πνεῦμα, τουτέστιν τὸ ἅγιον, καὶ ἐπείπερ ἐστὶν ἐκ τοῦ Πατρός, ἴδιον Πνεῦμα καὶ αὐτοῦ νοεῖται, καὶ νοῦς αὐτοῦ ὀνομάζεται. Καὶ ἐν ἄλλοις. Εἰ γὰρ πρόεισιν ἐκ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἔρχεται δι' Υἱοῦ, καὶ ἔχει τοίνυν ὁ Θεὸς καὶ Πατὴρ ἐξ ἑαυτοῦ τε καὶ ἐν ἑαυτῷ τὸ ἴδιον Πνεῦμα, ἔχει τοῦτο ἐν ἑαυτῷ καὶ ὁ Υἱός, ἐπείπερ ἐστὶν ὁμοούσιος αὐτῷ. Καὶ πάλιν ἐν Θησαυροῖς. B Διὸ καὶ τὸ Πνεῦμα τὸ ἐκ Θεοῦ, εἶπε, διδάσκων ὡς ἐκ τοῦ Πατρὸς ἔχει τὴν ὕπαρξιν. Καὶ μακρὸν ἂν εἴη τὰς περὶ * πάσας ἐκείνου φωνὰς εἰς μέσον προενεγκεῖν. Ἀλλὰ τί, φησί, τὸ ὑπάρχειν ἐκ τοῦ Υἱοῦ βούλεται, καὶ πῇ φέρειν ἐννοίας λεγόμενον; Φράσον δὴ εἰ μὴ σαφῶς τὴν ἐκ τοῦ Υἱοῦ τοῦ Πνεύματος ὕπαρξιν βούλεται. Οὐ τοῦτό γε βούλεται οὐδαμῶς, ἄλλο δὲ ὃ καὶ σοὶ βουλομένῳ δῆλόν ἐστι. Πλὴν ἐκ τοῦ Υἱοῦ. Σὺ δὲ οἴει ἄλλως ἐκεῖνον λέγειν εὐσεβείας ὄντα διδάσκαλον. Καὶ πόθεν ἄλλοθεν ὁ μιαρὸς κατεβλήθη Νεστόριος; Πέμπει τὸ Πνεῦμα Χριστὸς ἁγιάσαι, ζωοποιῆσαι, ἐλευθερῶσαι, υἱοθετῆσαι, τουτέστιν ἐνεργεῖ ταῦτα σὺν τῷ Πνεύματι, ἢ διὰ τοῦ Πνεύματος, ἢ ἐν τῷ Πνεύματι, οὐ διαφέρομαι. Ἐκτελεῖ τὰς θεοσημείας ἄνθρωπος δι' ἐμὲ C γενόμενος· πῶς ἐνεργεῖ, πῶς ἐκτελεῖ; πότερον ὥς τις τῶν κατὰ χάριν τὴν ἄνωθεν χάριν ἐχόντων, καὶ ἀρετῆς ἀντίδοσιν, τοιαύτην εἰληφότων ἰσχύν; Ἀλλὰ τοῦτο καὶ οὐκ ἄλλο ἡ Νεστορίου κατὰ Χριστοῦ λύττα καὶ παραφροσύνη. Ἀλλὰ πῶς; Ὡς Υἱὸς δηλαδὴ μονογενὴς τοῦ Πατρὸς καὶ Θεὸς φύσει, καὶ τὸ ἐκ τοῦ Πατρὸς Πνεῦμα συμφυὲς ἔχων καὶ ὁμοούσιον. Ὅτι δοτήρ ἐστιν, ὡς εἴρηται, καὶ χορηγὸς τοῦ Πνεύματος, καὶ ὁ παρὰ τοῦ Πνεύματος ἁγιασμός, ἡ πρὸς τὸ ἀθάνατον τῆς φύσεως μεταβολή, ἡ πρὸς τὸ κρεῖττον μετάστασις, αὐτοῦ ἐστι φύσει, ὡς ἐκ τοῦ Πατρὸς καὶ αὐτοῦ Πνεύματος. Καί γε τὸ οὐσιωδῶς τοῦτο τῷ δοτῆρι μᾶλλον καὶ χορηγῷ τοῦ Πνεύματος προσάρμοζέ μοι ἤπερ τῷ Πνεύματι. Ἐκείνῳ γὰρ Κύριλλος ἁπανταχοῦ, ἐλέγχων ὥσπερ διὰ τούτου Νεστόριον· καὶ γὰρ οὕτως ἔχει. Ψιλὸν D μὲν ἐκεῖνος ἔφασκε τὸν Κύριον ἄνθρωπον, ὁ δὲ Θεὸν ἀληθινὸν προσλαβόντα τὸν ἄνθρωπον· μετοχῇ Πνεύματος ἐκεῖνος χάριν λαβοῦν ἐργάζεσθαι τὰ παράδοξα, οἰκείᾳ δυνάμει οὗτος καὶ φύσει πηγαζούσῃ τὸν ἁγιασμόν, ἀλλ' οὐκ ἔξωθεν ἐχούσῃ ἐργάζεσθαι τὰ παράδοξα. Καὶ γὰρ ὁ Υἱὸς ὡς Θεὸς οὐσιωδῶς ἔχει διδόναι καὶ χορηγεῖν καὶ πέμπειν τὸ Πνεῦμα τὸ ἅγιον, ὡς εἰκὸς ταῦτα νοεῖν. Τὸ δὲ κατ' οὐσίαν πατρικῶς εἰπεῖν ἅμα καὶ εὐσεβῶς οὔτε δίδοται, οὔτε πέμπεται, οὐκ ἐκχεῖται, οὐ δωρεῖται, οὐ χορηγεῖται, εἰ μή, ὡς εἴρηται, οἰκονομίας λόγῳ καὶ συγκαταβάσεως. Ἀλλὰ τί μὴ καὶ αὐτοῦ Κυρίλλου περὶ τούτου ἀκούομεν; Λέγει τοίνυν ἐκεῖνος λέγων περὶ

OCR ABK / FR

τοῦ Υἱοῦ, Θεός ἐστι φύσει, καὶ τὸ ἐκ Θεοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα διδοὺς αὐτὸς τοῖς ἀξίοις, καὶ ὡς ἰδίᾳ δυνάμει τῇ παρ' αὐτοῦ χρώμενος. Καὶ τοῦτο διατί; Ὅτι ὁμοούσιον, φησὶν, ἐστιν αὐτῷ, καὶ ὅπερ ἂν γενέσθαι λέγηται παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, τοῦτο πάντως ἐστὶ δι' Υἱοῦ ἐν Πνεύματι. Ἀλλ' ὅπως δόσιν ἀκούων μὴ ἀλλότριόν τι τῆς τοῦ Πνεύματος νοήσῃς μεγαλειότητος, τὰ τῆς συγκαταβάσεως καὶ οἰκονομίας ῥήματα εἰς αὐτὴν φέρων τιθεὶς τὴν τοῦ Παρακλήτου οὐσίαν, βούλει καὶ ἑτέραν αἰτίαν ἀκοῦσαι πῶς οὐσιωδῶς; Ὅτι, φησὶν, ἡ τοῦ Πατρὸς ἰδιότης, ἀλλὰ μὴ τὴν τῆς ὑποστάσεως ἐνταῦθα χαρακτηριστικὴν ἰδιότητα νοήσῃς, τὸ δὲ τῆς φύσεως οἰκεῖον καὶ γνήσιον ἐνυπάρχει τῷ κατὰ φύσιν καὶ ἐξ αὐτοῦ γεννηθέντι Λόγῳ. Ἔτι ζητεῖς διατί; Ὅτι, φησὶ, τῷ τῆς ὁμοουσιότητος λόγῳ συνῆπται τῷ Υἱῷ πρὸς ἕνωσιν, καὶ ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορεύεται. Καὶ πάλιν, ὅτι ἐκπορεύεται, φησὶν, ἐκ τοῦ Πατρὸς, ἔστι δὲ ὅμως οὐκ ἀλλότριον τοῦ Υἱοῦ κατὰ τὸν τῆς οὐσίας λόγον· καὶ ὅτι πάλιν ἀῤῥήτως ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· διὰ τοῦ Υἱοῦ δὲ χορηγεῖται τῇ κτίσει. Οὕτως ὁ μέγας φησὶ Κύριλλος. Καὶ σύ γε πέμπεσθαι, χορηγεῖσθαι, προχεῖσθαι, δίδοσθαι παρὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ἔτι δὲ καὶ ὑπάρχειν καὶ προϊέναι τὸ Πνεῦμα ἀκούων, μὴ καταφέρου, μηδὲ κατάπιπτε, ἀλλὰ ταῖς ὑψηλαῖς καὶ θεοπρεπέσι μάλιστα περὶ τοῦ Πνεύματος ἐννοίαις ἐρηρεισμένος, καὶ τὸν Πατέρα μόνον πηγὴν τῆς θεότητος εἰδὼς καὶ αἰτίαν, καταλλήλως τοῖς προσώποις τὴν θεολογίαν ἐκλάμβανε, μηδὲ τοὺς καιροὺς παρατρέχων ἀνεξετάστως, μηδὲ τὰς περιστάσεις, αἳ τοὺς λόγους ἐκίνησαν. Ταύτῃ τοι καὶ ἐκ τοῦ Πατρὸς μὲν πίστευε ὅτι ἀρχὴ φυσικὴ Υἱοῦ καὶ Πνεύματος, προχεῖσθαι καὶ χορηγεῖσθαι καὶ ὑπάρχειν ὡς ἐξ αἰτίας τοιαύτης, ἐκ δὲ τοῦ Υἱοῦ, ὡς ὁμοουσίου καὶ ὁμοφυοῦς, ὡς ἐξ ἐκείνου ᾧ συνάπτεται τῷ τῆς ὁμοουσιότητος λόγῳ, ἐν ᾧ ἀναπαύεται καὶ ἵδρυται, καὶ ἀνεκφοίτητον τὴν μονὴν ποιεῖται, ἐκ Πατρὸς ἐκπορευόμενον. Ὑπάρχει ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, Κύριλλος εἴρηκεν, ἀλλ' οὐ δι' αὐτὴν αὐτοῦ τὴν οὐσίωσιν, ἐκ μόνου γὰρ αὕτη τοῦ Πατρὸς, διὰ δὲ τοῦ Πνεύματος τοῦ συναπτομένου τῷ Υἱῷ παρὰ τοῦ Πατρὸς, καὶ ἐν αὐτῷ μένοντος ἀπόλαμψιν καὶ φανέρωσιν· ἐκφαίνεται γὰρ διὰ τοῦ Υἱοῦ καὶ ἐκλάμπει ἐκ Πατρὸς ἐκπορευόμενον, Ὑπάρχει ἐκ τοῦ Υἱοῦ, ἀλλ' ὅταν ὡς φανερούμενον νοῶμεν, ὅταν διδόμενον, πεμπόμενον, ἐμφυσώμενον, ὅταν ἐπὶ τὸ ἀνακαινίσαι τὴν κτίσιν ἐρχόμενον καὶ διδόμενον οὕτω τὸν Υἱὸν ἔχει δοτῆρα, καὶ χορηγούμενον χορηγὸν, καὶ πεμπόμενον πέμποντα νοουμένων ἀεὶ ἐπὶ τοῦ Πνεύματος τούτων καὶ τῶν τοιούτων, ἀντὶ τῆς εὐδοκίας ἀεὶ καὶ συγκαταβάσεως, ἐπεὶ καὶ κυριώτερον ἂν λέγοιτο αὐτὸ πάντα διδόναι, πάντα χορηγεῖν καὶ ἥκειν, οὐ πέμπεσθαι ὥσπερ καὶ ἐνεργεῖν πάντα λέγεται, καὶ πνεῖν ὅπου, καὶ ὅτε καὶ ἐφ' οὓς βούλεται, πάντα ὂν μετὰ Πατρὸς καὶ Υἱοῦ, πλὴν τῆς πατρότητος καὶ υἱότητος. Μὴ δὴ αὖ λέγε, ὡς ἐπειδὴ ὑπάρχει, φησὶν, ἐκ τοῦ Υἱοῦ, διὰ τοῦτο καὶ τὴν ὕπαρξιν ἐκ τοῦ Υἱοῦ

A ἔχει· οὐ γὰρ τὴν αὐτὴν ἀπανταχοῦ καὶ ἀεὶ σώζουσι δύναμιν αἱ φωναί. Ἄκουε Μαξίμου τοῦ πάνυ λέγοντος, Ἀλλὰ μηδὲ παραγωγάς τινας καὶ σχηματισμοὺς πάλιν ἐπινοεῖν ἐν τοῖς περὶ Θεοῦ ὀνόμασι Βασίλειος ὁ μέγας διακελεύεταί σοι· μηδὲ τὸν Υἱὸν ἀρχὴν λέγε τοῦ Πνεύματος, ὃ μηδεὶς εἴρηκεν. Οὐδὲ Κύριλλος· εἰ γὰρ ᾔδει, οὐκ ἂν ἐκ τοῦ Υἱοῦ δεῆσαν εἰπεῖν τὸ Πνεῦμα, τοσαῦτα προσδιωρίζετο, ὥσπερ δεδιὼς μή τις ἐκ τούτου τοιαύτην σχοίη ὑπόνοιαν, δι' αὐτοῦ προχεῖται, χορηγεῖται, ἀλλ' ἴδιον καὶ οὐκ ἔξωθεν ὑποστατὸν, ἀλλ' οὐκ ἀλλότριον. Ἀλλ' ἐκπορεύεται μὲν ἐκ Πατρὸς, ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ, ἐξ ἀμφοῖν οὐσιωδῶς, ἢ ἐκ Πατρὸς δι' Υἱοῦ προχεόμενον. Τί σοι, ὦ πρὸς Θεοῦ, δοκοῦσιν οἱ μερισμοὶ, οἱ προσδιορισμοὶ, τὸ ἑρμηνεύειν, τὸ B θεραπεύειν, τὸ κεκολασμένον, ἡ ἐπιδιόρθωσις; Ἆρά σοι μάτην ἐπεσωρεύθη μηδὲν σημαίνοντα, ἀλλὰ μὴ διδασκαλίαν ἐναργῆ εἶναι τοῦ τὸν Υἱὸν μηδαμῶς οἰηθῆναι τοῦ Πνεύματος αἴτιον; Ἐγὼ μὲν οἶμαι. Ἢ τί ποτε ἄρα προσίστατο, ὥσπερ ἐκ τοῦ Πατρὸς οἶδε καὶ κηρύττει, οὕτω που ἐμφανῶς λέγειν ἐκπορεύεσθαι καὶ ἐκ τοῦ Υἱοῦ, καὶ ταῦτα τὸν Πατέρα καὶ εἰδότα καὶ ὀνομάζοντα; ἢ πάντως ἠπίστατο τὸν λόγον εἰς δυαρχίαν φέροντα. Καὶ καλῶς μοναρχίαν αὐτὸς προσκυνῶν καὶ διδάσκων εὐσεβῶς, ἐκεῖνον ὡς ἀπωλείας διέφυγε πρόξενον. Σὺ δὲ φιλονεικήσας καὶ ἔτι, καὶ ὀξύνας ἱκανῶς τὴν φωνὴν, τὰς ἀφύκτους σου ἐρωτήσεις καὶ καρτερὰς, ὡς οἴει, ὡς δ' ἐγώ φημι, σαθρὰς καὶ μειρακιώδεις προτάξεις. Καὶ πῶς φησιν ἐκεῖνος ἐξ αὐτοῦ φυσικῶς, πῶς προϊέναι, πῶς τὸ καὶ τὸ ἐρωτήσεις; Ἀλλ' ἀντερήC σομαί σε κἀγὼ, πῶς μόνος καὶ κυρίως αἴτιος ὁ Πατὴρ τοῦ Πνεύματος, εἰ καὶ ὁ Υἱός; πῶς ἀρχή; πῶς μόνη πηγή; Ναί φησιν, ἐπειδὴ ἐκ τοῦ Υἱοῦ ὡς ἀρχῆς. Ὁ δὲ Υἱὸς ἐκ τοῦ Πατρὸς, διὰ τοῦτο καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρός. Ὑπέρευγε· ὡς εἰς ἀνάῤῥουν ὑμῖν ὁ σεμνὸς τῆς αἰτιολογίας λόγος χωρεῖ. Πλὴν ἅπερ ἐχρῆν ἡμᾶς διὰ μακρῶν πρὸς ταῦτα εἰπεῖν, μετὰ ταῦτα εἰρήσεται· νυνὶ δὲ ὡς ἐκ προχείρου Κύριλλον καὶ τῶν λογάδων ἐνίους αὐτοῖς ἐπιστήσαντες τοῦ τοιούτου ἀπαλλαγησόμεθα. Τί φῄς, ὦ οὗτος; τοῦ Κυρίλλου ἔχεις τοιαῦτα τῶν δογμάτων λαβὼν ποῦ ποτε εἰρηκότος, ποῦ γράψαντος; Κύριλλός σοι ὅτι ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, διὰ τοῦτο ἐκ τοῦ Πατρός. Καὶ μὴν τὸ ἐναντίον ἐκεῖνος βοᾷ· Ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, συνάπτεται τῷ τῆς D ὁμοουσιότητος λόγῳ καθ' ἕνωσιν τῷ Υἱῷ. Καὶ αὖθις, Ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· ἔστι δὲ οὐκ ἀλλότριον τοῦ Υἱοῦ. Καὶ αὖθις, Ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· διὰ δὲ τοῦ Υἱοῦ χορηγεῖται τῇ κτίσει. Καὶ ἐκ μόνου τοῦ Πατρὸς ὡς ἀπὸ στόματος, καὶ ὡς ἀπὸ πηγῆς τοῦ Πατρός. Καὶ μακρὸν ἂν εἴη πάντα τὸν ἐξ ἐκείνου ἔλεγχον φέροντας, τοὺς συκοφάντας ἐκείνου κατὰ προσώπου ῥαπίζειν. Ἀλλὰ τὰ πρὸς Θεοδώρητον, λέγω δὲ τὴν περὶ τούτου ἀπολογίαν, πῶς διακρούσονται; τίσι μηχαναῖς καὶ στροφαῖς λόγων; Οὐχὶ κατηγορίαν οὖσαν κατ' αὐτῶν ἀποδείξουσιν; Ἔφη γὰρ Κύριλλος πρὸς τὸν Νεστόριον ἀποτεινόμενος, ὡς αὐτός φησιν, ἴδιον

OCR ABK / FR

εἶναι τὸ Πνεῦμα τοῦ Υἱοῦ. Ἐπιλαμβάνεται δὲ τοῦ λόγου Θεοδώρητος, ἐρωτᾷ, διαιρεῖ καὶ φησί· Εἰ μὲν διὰ ταῦτο ἴδιον ἔφησε τοῦ Υἱοῦ, ὅτι ὁμοφυὲς καὶ ἐκ Πατρὸς ἐκπορευόμενον, συνομολογήσομεν· εἰ δ' ὅτι ἐξ Υἱοῦ τὴν ὕπαρξιν ἔχει, ὡς βλάσφημον τοῦτο καὶ δυσσεβὲς ἀποῤῥίψομεν. Καὶ πρὸς τοῦτο Κύριλλος, ἐπειδὴ οὔτ' αὐτὸς ἐδόξαζεν ἐκ τοῦ Υἱοῦ τὴν τοῦ Πνεύματος ὕπαρξιν, καὶ Θεοδώρητον καλῶς ἐπιτιμῶντα ἐγίνωσκεν, εἴ τις οὕτω δοξάζει, οὔτ' ἐφιλονείκησε, καὶ παρῆλθε τέως σιγῇ, δῆλον ἐκ τούτου ποιῶν, μηδ' αὐτὸν τοὺς οὕτως οἰομένους ἀποδέχεσθαι. Ὅτι δ' ὅμως ἴδιόν ἐστι τοῦ Υἱοῦ τὸ Πνεῦμα, κἂν οὐκ ἔχῃ αὐτὸν τοῦ εἶναι ἀρχὴν, τὸν δὲ Πατέρα ὅθεν καὶ ἐκπορεύεται, σφοδρῶς ἀγωνίζεται δεικνύναι, καὶ τοῦ λόγου ποιεῖται τὸν Ἀπόστολον μάρτυρα, εἴη δὲ εἰπεῖν ὅτι καὶ Θεοδωρήτῳ συναγωνίζεναι. Ὅθεν καὶ εἰπόντος ἐκείνου, Ἴδιον δέ φησι τὸ Πνεῦμα τοῦ Υἱοῦ, εἰ μὲν ὡς ὁμοφυὲς καὶ ἐκ Πατρὸς ἐκπορευόμενον, συνομολογήσομεν, καὶ ὡς εὐσεβῆ δεξόμεθα τὴν φωνήν· ἀλλ' οὐκ ἀλλότριόν ἐστι τοῦ Υἱοῦ. Καὶ Κύριλλος μὲν αὐτοῖς περὶ τούτου τοσαῦτα καὶ ἔτι πλείω.

Τί δὲ Διονύσιος ὁ μέγας, καὶ Ἀθανάσιος; τί δὲ Βασίλειος, καὶ ἀδελφὸς ὁ τούτου Γρηγόριος; Πῶς δὲ καὶ τὸν Χρυσοῤῥήμονα ὑποίσουσι, καὶ τὸν μέγιστον Μάξιμον, κατ' αὐτῶν ἐπειγομένους; Καὶ παραλείψω τὴν οὐρανόθεν βροντῶσαν φωνὴν Γρηγόριον, καὶ τὸ λῆμμα Θεοδωρήτου. Παραλείψω καὶ Νεῖλον τὸν μέγαν ἐν ἀσκήσει καὶ ἐν σοφίᾳ δογμάτων. Παραδραμοῦμαι καὶ τὴν πολλὴν ἐπιστήμην ἔν τε τοῦ Πνεύματος καὶ τοῖς ἀνθρωπίνοις λόγοις τὸν Δαμασκόθεν· οὓς οὐδὲ αὐτοὶ, τοὺς ἀντιθέτους λέγω, οὐδὲ μνήμης ἠξίωσαν· τὸν μὲν ἴσως, ὅτι παλαιὸς ὢν θεολόγος, ταπεινά τινα φθέγγεται, καὶ τῆς προφάτου θεολογίας ἀνάξια, τοὺς δὲ ὅτι οὐδὲν αὐτοῖς τῶν οἰκείων κἂν ἄκροις ὄνυξι παραξῦσαι παρέχουσι. Πάντας δὲ τούτους ὅτι ἐν λόγοις ἐμμέτροις, ἐν κεφαλαίοις, ἐν ᾄσμασι, σφοδρῶς κατ' αὐτῶν ἀκοντίζουσιν.

Ἀλλὰ πῶς ποτε, ὦ οὗτοι, πρὸς Διονύσιον φιλονεικήσετε; Μόνη πηγὴ, φησὶν ἐκεῖνος, τῆς θεότητος ὁ Πατήρ. Καὶ πάλιν, Πηγαία θεότης ὁ Πατήρ· ὁ δὲ Υἱὸς καὶ τὸ Πνεῦμα τῆς θεογόνου θεότητος, εἰ οὕτω χρὴ φάναι, βλαστοὶ θεόφυτοι, καὶ οἷον ἄνθη καὶ ὑπερούσια φῶτα. Καὶ πάλιν, Ἐκ τοῦ ἀΰλου καὶ ἀμεροῦς ἀγαθοῦ τὰ ἐγκάρδια τῆς ἀγαθότητος ἐξέφυ φῶτα. Ἐκεῖνος ταῦτα. Καὶ ὑμεῖς, ὅτι ἐκ τοῦ Υἱοῦ, φατὲ, τὸ Πνεῦμα, διὰ τοῦτο ἐκ τοῦ Πατρός;

Ἀθανάσιος, Ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ τοῦ Υἱοῦ ἴδιον εἶναι φησί, καὶ παρ' αὐτοῦ δίδοσθαι τοῖς μαθηταῖς, καὶ πᾶσι τοῖς πιστεύουσιν εἰς αὐτόν. Ἀθανάσιος ἐξηγούμενος τίς ἐστιν ὁ κόσμος, ὁ μὴ δυνάμενος χωρῆσαι τὸ Πνεῦμα τὸ ἅγιον, φησὶ τοὺς ἀρνουμένους αὐτὸ ἐκ τοῦ Πατρὸς ἐν τῷ Χριστῷ. Ὁ δ' αὐτὸς πῶς ἴδιόν ἐστι τοῦ Υἱοῦ τὸ Πνεῦμα διδάσκων, Ὅτι, φησὶ, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Θεοῦ, καὶ ὁ Υἱὸς ἐκ τοῦ Θεοῦ. Ἀθανάσιος, Τὸ ἐκ τοῦ ἡλίου, φησὶν, ἐν ἀπαυγάσματι φῶς, καὶ σὺ ἀνατρέ- A χειν ἡμᾶς διδάσκεις, καὶ λαμβάνοντας ἐκ τοῦ αἰτιατοῦ τῷ αἰτίῳ χωρίζεσθαι, καὶ ἐκ τοῦ ποταμοῦ τῇ πηγῇ. Ἔστι γὰρ καὶ τοῦτο τῶν Ἀθανασίου παραδειγμάτων.

Πῶς δὲ τις καὶ Βασίλειον ἀκούων, Ἔστι μὲν Πατὴρ, τέλειον ἔχων τὸ εἶναι καὶ ἀνενδεὲς, λέγοντος, ῥίζα καὶ πηγὴ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος εἶτα προϊόντος καὶ λέγοντος, Καὶ ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς ἐξῆλθε, καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, ἀλλ' ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς, τὸ δὲ Πνεῦμα ἀῤῥήτως ἐκ τοῦ Θεοῦ· καὶ ἐν ἑτέροις ἐκ τοῦ Θεοῦ εἶναι λέγεται τὸ Πνεῦμα τὸ ἅγιον, οὐχ ὡς τὰ πάντα ἐκ τοῦ Θεοῦ προελθὸν, οὐ γεννητῶς ὡς ὁ Υἱὸς, ἀλλ' ὡς Πνεῦμα στόματος αὐτοῦ, καὶ Πνεῦμα Χριστοῦ ᾠκειωμένον κατὰ φύσιν αὐτῷ· B πῶς τις ταῦτα λέγοντος ἐκείνου ἀκούων οὐχὶ τῆς ἐπινοίας ὑμῶν καταγελάσεται; Ὅταν δὲ καὶ τοὺς ἄλλους ἀθετῆτε μετὰ τῶν εἰρημένων καὶ κακῶς παίζητε ἐν οὐ παικτοῖς τοῖς ἐκείνων, τὰ μὲν παρατρέχοντες, τὰ δὲ παρεξηγούμενοι, καὶ ἀποῤῥηγνύντες τοῦ καλῶς ἄνωθεν ἐξυφασμένου χιτῶνος, κακῶς ὑμῖν αὐτοῖς, εἴθε δὲ μόνοις, ἢ μηδὲ μόνοις ὑμῖν αὐτοῖς χιτῶνα κάτωθεν ῥάπτετε, οὐμενοῦν λαῖνον κατὰ τὸν ἀρχαῖον λόγον τοῖς σώμασι, ταῖς δὲ ἁπλουστέραις ψυχαῖς δίκτυον καὶ παγίδα, ἢ καὶ φάρμακα πρὸς σωτηρίαν ὄντα τοῖς ἐκ τῆς διανοίας δηλητηρίοις ἐγκαταμιγνύντες, θανάτου κιρνᾶτε ποτήριον. Πῶς ταῦτα ποιοῦντας, οὐκ ἀλγήσει τις ὁρῶν, οὐ δηχθήσεται, οὐ θρηνήσει τῆς ἀπογνώσεως; Ἀλλὰ περὶ μὲν τοῦ τοιούτου δόγματος αὐτῶν καὶ αὖθις Θεοῦ γε βουλομένου ῥηθήσεται· νυνὶ δ' ἐπειδὴ C πρὸς αὐτῶν οὐκ ἂν οἴονται τὴν τὸν Υἱὸν δύναμιν τοῦ Πατρὸς καὶ ἐνέργειαν φάσκουσαν ῥῆσιν, τοῦ Υἱοῦ δὲ τὸ Πνεῦμα. φέρε καὶ περὶ τούτου βραχέα διαληψόμεθα· ἐνέργειαν τὸν Υἱὸν ἢ τὸ Πνεῦμα οἱ μὲν τῶν Πατέρων ὀνομάζειν οὐ βούλονται, σαφῶς τῆς φωνῆς τὸ ἐν ἑτέρῳ καὶ μὴ καθ' ἑαυτὸ ὑφεστηκὸς σημαινούσης, οἱ δὲ φαίνονται τὸν λόγον καταδεχόμενοι. Φαίνονται δὲ, ἀλλ' οὐκ ἐπὶ τοιούτου σημαινομένου, οὐδὲ γὰρ ἦν εἰκὸς περὶ Θεοῦ φθεγγομένους, ἀλλ' ὡς ἂν μὲν καὶ τοῦ Πατρὸς ἅπασαν ἐνέργειαν θεωρουμένην κατὰ τὸ ἀπαράλλακτον ἐν Υἱῷ καὶ Πνεύματι, καὶ πληρουμένην παραστήσωσιν· ἐνεργεῖ γὰρ, φησί, δι' Υἱοῦ ἐν Πνεύματι ὁ Πατήρ· ἵνα δὲ καὶ τοῖς συνημμένον καθάπαξ καὶ πάντη τὸ συνημμένον ἀδιάστατον ἀπ' ἀλλήλων γνωρίσωσι. Καὶ γὰρ ὅνπερ D τρόπον ἡ φυσικὴ τινος ἐνέργεια ἀχώριστός ἐστιν οὗτινος ἐνέργεια λέγεται, ἀχώριστος δὲ τῆς οἰκείας ἐνεργείας καὶ ἡ φύσις αὐτή, οὐ γὰρ ἀπολιμπάνεται τὰ τοιαῦτα ἀλλήλων, σύνεστι δὲ μᾶλλον ἀεὶ καὶ συνθεωρεῖται· οὕτω που, μάλιστα δὲ καὶ ὑπὲρ τοῦτο καὶ πᾶσαν κατάληψιν, καὶ τὸν Λόγον καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀπολείπεσθαί ποτε τοῦ Πατρὸς, καὶ τὸν Πατέρα τούτων διίστασθαι παντάπασιν ἀδύνατον. Ἀεὶ γὰρ ἐν τῷ Λόγῳ καὶ ἐν τῷ Πνεύματι ὁ Πατὴρ, καὶ ὁ Λόγος καὶ τὸ Πνεῦμα ἐν τῷ Πατρὶ, καὶ, ὡς ἔφη Διονύσιος, ἐκ τοῦ ἀΰλου καὶ ἀμεροῦς ἀγαθοῦ τὰ ἐγκάρδια τῆς ἀγαθότητος ἐκφύντα φῶτα τοῖς ἐν αὐτῷ καὶ ἐν αὐτοῖς καὶ ἐν ἀλλήλοις συναϊδίου τῇ

OCR ABK / FR

ἀναβλαστήσει τῆς μονῆς ὑπομεμένηκεν ἀνεκφοίτητα. Οὕτω μὲν οὖν καὶ διὰ ταῦτα ἐνέργειαν καὶ δύναμιν τὸν Υἱὸν καὶ τὸ Πνεῦμα οἱ Πατέρες φαίνονται νοήσαντες ὀνομάσαι, οὐχὶ δὲ καὶ ὡς τινὸς οὐσίας δύναμιν καὶ ἐνέργειαν, ὅπερ ἴσως φήθησαν οἱ τούτοις δικαιούμενοι, ἴσον δ' εἰπεῖν οἱ τοῖς τομβεδηκόσιν ἐπερειδόμενοι. Τί γὰρ ἄλλος; καὶ τὸ ὑπαράλλακτον τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνον διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ τὸ μὲν αἴτιον εἶναι πιστεύειν, τὸ δὲ ἐκ τοῦ αἰτίου. Καὶ τοῦ ἐξ αἰτίας ὄντος πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν. Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τὸ προσεχῶς ἐκ τοῦ πρώτου. Ὥστε καὶ τὸ μονογενὲς ἀναμφίβολον εἶναι τοῦ Υἱοῦ μένειν, καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργούσης. Ἡ μὲν οὖν ῥῆσις τοιαύτη· ποῦ δὲ ἐνταῦθα αἴτιον ὁ Υἱός; ποῦ τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ; Διακρίνεται μὲν γάρ, φησί, τοῦ Πατρὸς τῷ αἰτιατὸς εἶναι, καὶ τούτῳ ἥνωται τῷ Πνεύματι, καὶ αὐτῷ αἰτιατῷ ὄντι ἐκ τοῦ Πατρός, οὐ μὴν ἔστι καὶ τοῦ Πνεύματος αἴτιος, οὐδὲ ἐξ αὐτοῦ τὸ Πνεῦμα, ἵν' οἷς διακρίνεται τοῦ Πνεύματος συνάπτηται τῷ Πατρί· ἦ γὰρ ἂν ταῦτα λέγοντι ἀπήντα σύγχυσις ἐκ διακρίσεως, ὅπερ ἐκεῖνος μὴ καλῶς ἔχον εἰδώς, οὐ ποιῶν ἐφυλάξατο, αἰτιατὸν μόνον εἰρηκὼς τὸν Υἱὸν καὶ τὸ Πνεῦμα δι' αὐτοῦ, ἀλλ' οὐκ ἐξ αὐτοῦ ὥσπερ διὰ θατέρου κατασκευαζόμενος θάτερον, τῷ τε εἰρηκέναι τῷ αἰτιατῷ διακρίνεσθαι τὸν Υἱὸν τοῦ Πατρός, αὐτὸ τὸ μὴ αἴτιον εἶναι ὡς ὁ Πατὴρ καί, τὸ μὴ ἐξ ἐκείνου εἶναι τὸ Πνεῦμα, τῷ τε δι' ἐκείνου τὸ Πνεῦμα, αὐτό τε τὸ μὴ ἐξ ἐκείνου, καὶ τὸ μὴ εἶναι αἴτιον ἀλλ' αἰτιατόν. Ὅθεν οὐδ' αἴτιον ἔγνω ἡ διαίρεσις τὸν Υἱόν, οὐδὲ ἐξ αὐτοῦ, ἀλλ' αἰτιατὸν καὶ δι' αὐτοῦ· οὐδὲ γὰρ ἦν τοῦτο τῆς εὐαγγελικῆς διδασκαλίας τὸ δόγμα οὐδὲ Βασιλείου ὑπόληψις· οὐδὲ Γρηγόριος ἀδελφός, οὐχ ἧττον τῇ δόξῃ τῆς ἀληθείας ἢ τῷ σώματι. Ταῦτά με βίβλοι πείθουσιν αἱ τούτων, τοῦτο τὰ ἱερὰ τῶν ἁγίων συντάγματα, καὶ ὁ κοινὸς τῆς Ἐκκλησίας θεσμός, εἰ μὴ σοφιστείαν ἢ φθόνον τὸ πρᾶγμα καλεῖς. Τί γὰρ ἄλλο; εἴπερ ἐξὸν βραχέα προσθεῖναι καὶ ἀληθῶς εἰπεῖν, ἔκρυπτον, καὶ ἕτερα ἀνθ' ἑτέρων εἰς διδασκαλίαν προὔφερον οἱ μακάριοι ἄλλως ἡμᾶς ἐκπαιδεύοντες, ἢ ὡς ἡ πρόσφατος βούλεται τοῦ Πνεύματος κάθοδος, οὐκ εἰς συμφωνίαν εὑρισκομένη τῆς Ἐκκλησίας, ἀλλ' εἰς σύγχυσιν καὶ κατατομὴν καὶ διαίρεσιν. Τί γὰρ ἦν, ὦ πρὸς Θεοῦ, ἐμποδὼν διαιροῦντι τῷ Νύσσης αὐτὴν ταύτην ἐμφῆναι τὴν ὑμετέραν θεολογίαν, τοῦ ἐκ τῆς αἰτίας τὸ μὲν αἴτιον, τὸ δὲ αἰτιατὸν μόνως, τοῦ αἰτίου τὸ μὲν ἄναρχον καὶ ἀγέννητον, τὸ δὲ ἐκ τοῦ ἀνάρχου καὶ ἀγεννήτου; Ὄντως μέγα ἦν καὶ ἐργῶδες τὸ πρᾶγμα, καὶ πολὺς πόνος τῷ διδασκάλῳ τῆς ἀληθείας ἀμεῖψαι καὶ μεταθεῖναι, ἢ καὶ προσθεῖναι τῶν συλλαβῶν. Οὐχ ὁρᾷς ὡς τῷ αἰτιατῷ μόνῳ διαστέλλει τὸν Υἱὸν τοῦ Πατρός, καὶ συνάπτει τῷ Πνεύματι;

A τῷ δὲ αἰτίῳ οὔτε τῷ Πατρὶ συνάπτει, καὶ οὐ διαστέλλει τοῦ Πνεύματος; Τί σοι τοῦτο δοκεῖ, καὶ τί ἐρεῖς; Ἆρ' οὐ σαφῶς τὰς ὑμετέρας περικόπτει προφάσεις, οὐδαμοῦ τὸν σὸν αἴτιον ὁ Υἱός, ἢ ἐξ αὐτοῦ τὸ Πνεῦμα; Τὸν μὲν δὴ μιαρὸν ἐκεῖνον Μαρκίωνα τὰ μὲν τῶν γραφῶν ἐξαιρεῖν, τὰ δὲ προστιθέναι λέγεται τὸν κανόνα ἴσως καὶ οὐχ ἑαυτὸν τῷ κανόνι προσάγοντα. Νυνὶ δὲ οὐχ οὕτως ἔχει, ἀλλ' ἡ μὲν ῥῆσις τῆς γραφῆς ἐπὶ χώραν μένουσαν ἔχει, ἃ δὲ νοεῖν ἐντεῦθεν, οὐκ ἔστιν οὐδέποτε, ταῦτα καὶ νοεῖται καὶ προσαγορεύεται. Γρηγορίου γὰρ μὴ καταδεξαμένου, ἀλλ' ἀπαγορεύοντος σαφῶς, μήτ' αἴτιον λέγειν τὸν Υἱόν, μήτ' ἐξ αὐτοῦ τὸ Πνεῦμα, οἱ δὲ ἃ μὲν ἠπτάζοντο κηρύττειν ἐκκλίνοντες, ἃ δ' ἐμφανῶς ἐξέκλινεν ἀσπαζόμενοι· ὥσπερ τινὰ τῶν ὕπνον βαθὺν καὶ ἀναισθησίαν καταγνωκότες εἰς ἐκεῖνον τοῦ δόγματος τὴν αἰτίαν ἀναφέρουσι. Τί ταῦτα ποιεῖτε, ὦ οὗτοι; τί πονεῖτε διηνεκῶς, τῆς ἀληθείας πάντως κρατούσης, κἂν ὑμῶν ἡμεῖς ταπεινότεροι καὶ λόγοις καὶ χειρῶν κράτει νικώμενοι; Οὐ τοῦτό γε δὴ βούλεται ὁ Νύσσης Γρηγόριος, οὐδὲ σκοπὸς αὐτῷ ἀφελέσθαι τὸν Πατέρα, καὶ τὴν ἐκπόρευσιν καὶ τὴν αἰτίαν τοῦ Πνεύματος. Ἀφαιροῖτο δ' ἂν εἰς Υἱὸν μετατιθέμενος ταῦτα. Οὔτε γὰρ προσεχῶς ἐκ τοῦ Υἱοῦ ἐκπορευόμενον, ἐκ τοῦ Πατρὸς οὐκ ἂν ἐκπορεύοιτο. Γεννῷτο δὲ μᾶλλον εἴπερ καὶ ὁ Υἱὸς ἐξ οὗ καὶ τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς γεννητῶς. Οὐδὲ γὰρ εἰκὸς ἄλλως μὲν τὸν αἴτιον τοῦ Πνεύματος, ἐκ τοῦ Πατρὸς εἶναι λέγειν, ἄλλως δὲ αὐτὸ τὸ Πνεῦμα ὁμολογεῖν, εἰ μὴ εἰς ἀνάγκην ἐλθεῖν ἐκ τοῦ λόγου αἱρεῖσθε, τὸ γεννώμενον ἐκ τοῦ Πατρὸς μὴ νομίζειν C αἴτιον τοῦ ἐκεῖθεν ἐκπορευομένου. Καὶ γεννῷτο οὐκ ἐνεργείᾳ κατὰ τὸ εἰκός, δυνάμει δέ. Καὶ μή μοι τὸ δυνάμει λέγε χώραν οὐκ ἔχειν ἐνταῦθα, τὸ τῆς ὑπάρξεως αἰτιώμενος συνήθων. Ἔσται γὰρ κἂν μὴ χρόνος, τὸ προσεχῶς καὶ πόῤῥω, τὸ ἐμμέσως καὶ ἀμέσως τῇ καινῇ ταύτῃ θεολογίᾳ συνεισφερόμενον. Καὶ οὕτω μὲν ὁ Πατὴρ οὐκ ἂν προβάλλοι, ἀλλ' οὐδ' αἴτιος ἂν εἴη κυρίως, ἐπεὶ τό γε ἄλλο τι παρὰ τοῦ Πατρὸς ἔχον αἴτιον, οὐκ ἂν εἰς ἐκεῖνον ὡς εἰς κυρίως αἴτιον ἀναφέροιτο. Οὐ γὰρ τὸ δυνάμει κυρίως, οὐδὲ τὸ πόῤῥω. Οὐ τὸ δ' ἕτερον ἢ δι' ἑτέρου, τὸ δ' ἐνεργείᾳ καὶ προσεχῶς, καὶ δι' αὐτὸ ἅπαντα πρὸς τὸ Πνεῦμα, μόνῳ πρόσεστι τῷ Υἱῷ. Καὶ τοιούτων συμπερασμένων τε καὶ δεδειγμένων τίς ἂν ἔχοι τὴν αἰτίαν; Πότερον Γρηγόριος τοῖς ἀποστολικοῖς ὅροις D ἐμμένων, ἢ οἱ χρησμολογοῦντες ἐπὶ τοῖς ἐκείνου καὶ τὰ ἀλλόκοτα ἀποφθεγγόμενοι λήμματα; Χωρὶς δὲ τούτου, διατί μᾶλλον οὐχὶ γεννῷ τὸ Πνεῦμα πρὸς τὰς ὑμετέρας ὑποθέσεις, ἀλλὰ προβάλλειν δικαιότερος ὁ Υἱός; εἰ γὰρ κυρίως Υἱός, καὶ μόνος Υἱὸς ἐκ τοῦ Πατρός. Ἔστι γάρ, ἔστι δὲ κατὰ φύσιν, τὸ ὑμέτερον λέγω, ἑτέρας ὑποστάσεως αἴτιος. Τί λέγεις οὐ πολὺ μᾶλλον πρὸς λόγον, ὡς αἴτιος ὁ Πατὴρ τοῦ Υἱοῦ οὕτω που καὶ τὸν Υἱὸν αἴτιον εἶναι τοῦ Πνεύματος, καὶ ὡς αὐτὸς αἰτιατός, καὶ τὸ ἐξ αὐτοῦ αἰτιατόν; ἔστι γὰρ αὐτὸν αἴτιον ὄντα καὶ αἰτιατὸν καθ' ὁμοῦ· αἴτιον μέν, ὡς ὁ αἴτιος ὅθεν ἐστὶν εἶναι· ὃ δὲ ἐκ τούτου αἰτιατόν, κατ' αὐτὸν αἰτιατόν. Εἰ γὰρ ὁ

OCR ABK / FR

A Πατὴρ, καὶ κυρίως Πατὴρ καὶ προβολεύς, οὐ γὰρ ἀφέξομαι πολλάκις ἐν τούτοις στρεφόμενος· εἰ γοῦν ἐστιν ἀμφότερα, καὶ κυρίως. Ἧι δὲ πατὴρ ἐγέννησεν, οὐχ ᾗ δὲ προβολεύς, καὶ οὔτε τὸ γέννημα κατὰ πρόβλησιν, οὔτε τὸ πρόβλημα κατὰ γέννησιν. Τῷ γ' ἐκ τοῦ Πατρὸς γεννηθέντι εἴπερ αἴτιον δίδως κατὰ φύσιν εἶναι τοῦ Πνεύματος, οὐ μᾶλλον ἂν πρέπειν κατὰ γέννησιν εἶναι ἢ κατὰ πρόβλησιν. Εἰ δὲ τοῦτο μὴ συγχωρεῖς εὖ ποιῶν, δεδιὼς μὴ ἐπὶ τῆς Τριάδος ἐν ᾗ Πατὴρ εἷς καὶ κυρίως, καὶ Υἱὸς εἷς καὶ κυρίως, υἱοὺς ἐξ υἱῶν, καὶ πατέρας ἐκ πατέρων εἰσάγεις τὰ γνωρίσματα τῆς κάτω γενέσεως, τί ὃ τούτου πολὺ πλέον ἀνοικειότερον, ὁμολογεῖν καταδέχῃ Πνεῦμα ἐξ Υἱοῦ; τί βούλει καὶ φῶς γεννᾶσθαι ἢ ἐκπορεύεσθαι; ὡς ἔγωγε οὐκ ἔχω τί καὶ ὀνομάσω, σοὶ προσέχειν βουλόμενος. Πῶς δὲ μηδὲ ἀκούων B Υἱὸν ἐξ Υἱοῦ ἀνεχόμενος, ἐξ Υἱοῦ Πνεῦμα νομοθετεῖς, μηδένα λόγον, μὴ τῆς θεοπνεύστου Γραφῆς, μὴ τῆς τοῦ δόγματος καινότητος, μὴ αὐτοῦ δὴ τοῦ εὐλόγου ποιούμενος, ὁπόταν καὶ ταῦτα νομοθετῶν αὐτίκα καὶ τὸ καθ' ὑμῶν ἐπαγόμενον τῆς δυαρχίας ἔγκλημα βεβαιοῖς. Καὶ πῶς, φησι, βεβαιῶ, εἴπερ εἰς ἓν τὸν Πατέρα καὶ Υἱὸν συνάγομεν αἴτιον; καὶ γάρ ἐστιν αἴτιος παρ' ἡμῖν ὁ Πατήρ, ἔστι δὲ καὶ ἀληθῶς ὁ Υἱὸς τοῦ Πνεύματος, ἀλλ' εἷς αἴτιος καὶ οὐ δύο. Καίτοι τοῦτο ὡς καλῶς ἔχον ἐστί, σαφέστατα ἂν καὶ βραχὺς ἀποδείξειε λόγος. Δημιουργός ἐστί τε καὶ λέγεται ὁ Πατήρ. Δημιουργὸς καὶ ὁ Υἱὸς, ἐξ αὐτοῦ γὰρ καὶ δι' αὐτοῦ τὰ πάντα ἐγένετο. Δημιουργὸς καὶ δημιουργός, ἀλλ' εἷς δημιουργός. Ταὐτό φησι καὶ ἐπὶ τοῦ αἰτίου, καὶ Πατρὸς καὶ Υἱοῦ μοναρχίαν, καλῶς ἡμῶν τὸ ἓν αἴτιον καὶ τὴν μοναρχίαν εὑρήσεις. C Αὐτοὶ μὲν οὖν ταῦτα.

Πρὸς δὲ ταῦτα ἄλλος μὲν ἄν τις ἴσως ἔσχε σιγῇ βύσας καὶ τὰ ὦτα, μὴ θεμιτὸν κρίνας πρὸς ἄνδρας, οἳ τὴν τοῦ ποιητοῦ τῆς κτίσεως ὕπαρξιν καθ' ὁμοιότητα τῶν ποιημάτων τροπολογοῦσιν, ἢ αὐτὸν φθέγγεσθαι, ἢ φθεγγομένους ἀκούειν. Πλὴν ἵνα μή τις ἰσχὺν τοῦ κατ' αὐτοὺς λόγου τὴν σιγὴν οἴοιτο, φημί, ῥητέον εἶναί τι καὶ πρὸς τοῦτο. Παράγεται μὲν οὖν ὁτιοῦν τῶν γινομένων ἐκ Πατρὸς δι' Υἱοῦ ἐν Πνεύματι, καὶ μίαν δημιουργικὴν τῶν ὄντων ἀρχὴν πιστεύομεν, ὅμως καὶ τὸν Πατέρα φαμὲν δημιουργὸν καὶ αἴτιον εἶναι, καὶ τὸν Υἱὸν ὡσαύτως, καὶ αὐτὸ δὴ τὸ Πνεῦμα, τῆς Γραφῆς ἡμᾶς πάνυ καλῶς καὶ ἓν ἕκαστον δημιουργὸν διδασκούσης, καὶ αἴτιον τῶν ὄντων ὁμολογεῖν· καὶ αὐτὰ τρία εἰς ἕνα Κύριον D εὐσεβῶς καὶ Θεὸν συνάπτειν καὶ δημιουργὸν τῷ ταυτῷ τῆς φύσεως καὶ ἐνεργείας καὶ δυνάμεως, ἔτι τε βουλήσεως τοῦ μοναδικοῦ τῆς αἰτίας συναγομένου. Ἀλλ' ἐπὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως πῶς τοῦτο θεωρητέον ἐστίν; Εἴρηται μὲν οὖν διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, αἴτιος δὲ ὁ Υἱὸς οὐκ εἴρηται, οὐδὲ ῥίζα, οὐδ' ἀρχή, οὐδὲ προβολεύς. Ὁ δὲ Πατὴρ ταῦτα πάντα καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Εἰ τοίνυν δημιουργὸς μὲν ἰδίᾳ καὶ μετὰ τοῦ Πατρὸς ὁ Υἱὸς αἴτιος δὲ οὐκ ἰδίᾳ οὔτε μετὰ τοῦ Πατρὸς, φησὶν ἡ Γραφή, οὐκ ἄρα καθ' ὁμοιότητα τοῦ δημιουργοῦ καὶ δημιουργοῦ εἰς ἕνα συναγομέ-

A νου καὶ τὰ ὑμέτερα τοῦ Πνεύματος αἴτια εἰς ἓν συναχθήσεται. Ἐχρῆν γὰρ πρὶν ἢ συναγαγεῖν, καὶ ὅτι καθ' αὐτὸν ὁ Υἱὸς αἴτιος λέγεται δεικνύναι, μάρτυρας ποιησάμενον ἢ τοὺς πάντας ἀνθρώπων, ἢ τῶν πάντων τινάς. Ἀλλ' οὐκ ἔστι δεῖξαι. Ἀλλ' οὐδ' ἡμεῖς ἀνεξόμεθα τῶν μηδαμοῦ εὑρισκομένων φωνῶν. Οὐδ' ἂν εἴρηκεν αἴτιον οὐδεὶς τοῦ Πνεύματος, περιττῶς ἅμα καὶ λίαν ἐπισφαλῶς συνάπτοντες μετὰ τοῦ Πατρὸς, ἐροῦμεν τοῦ Πνεύματος αἴτιον, εἴπερ πᾶσα ἀνάγκη ὅσα μετὰ τοῦ Πατρὸς ἐστί τε καὶ λέγεται ὁ Υἱὸς, ταῦτα καὶ καθ' ἑαυτὸν λέγεσθαι, τέλειος ὢν Θεὸς, καὶ τελείως ἔχων πάνθ' ὅσα θεολογούμενος λέγεται. Βασιλεὺς μὲν γὰρ μετὰ τοῦ Πατρὸς εἷς, καὶ Θεὸς εἷς, καὶ δημιουργὸς εἷς, καὶ μία τῶν γεγονότων ἀρχή. Ποῦ οὖν καὶ καθ' αὐτὸν ἀρχὴ B καὶ αἴτιος τοῦ Πνεύματος, ἵνα καὶ μετὰ τοῦ Πατρὸς ταῦτα λέγηται καὶ ἓν αἴτιον, καὶ μία ἀρχὴ ὕλει τῆς πολυαρχίας συνάγηται; Οὐκ ἔστιν, οὐδ' ἔσται, οὐδὲ συναχθήσεται, οὐδέ τις ὑμῖν πεισθήσεται ταῦτα λέγουσιν, ἕως ἂν καὶ ἄλλως πείθουσαν τὴν θεόπνευστον εὑρίσκῃ Γραφήν.

Ἀλλὰ τόδε πρὸς τοῖς εἰρημένοις σκεπτέον· Δημιουργὸς μὲν καὶ αἴτιος καὶ ποιητὴς εἷς ἡ Τριάς, οὐκ ἐπειδὴ ὁ μὲν Πατήρ ἐστιν, ὁ δὲ Υἱός, τὸ δὲ Πνεῦμα ἅγιον· οὐ γὰρ δὴ ταῦτα τὸ ἑνιαῖον τοῖς εἰρημένοις ἐποίει παρὰ τῷ Θεῷ· ὅτι δὲ μᾶλλον Θεὸς εἷς ἡ Τριάς, ἓν ἁπανταχοῦ θέλημα, μίαν ἐνέργειαν δεικνύμενος, ἥ γ' ἐν τούτοις ἑνότης ἓν καλῶς τῆς δημιουργίας δείκνυσιν αἴτιον, κἂν γὰρ νοεῖν ὁ Πατήρ, κἂν ἐθέλειν λέγηται, λέγεται δὲ καὶ C ὁ Υἱὸς ἐνεργεῖν, τελειοῦν δὲ τὸ Πνεῦμα, ἀλλὰ καὶ τοῦ νοήματος καὶ τοῦ θελήματος τοῦ Πατρὸς καὶ ὁ Υἱὸς κοινωνεῖ καὶ τὸ Πνεῦμα. Καὶ αὖ ἐνεργεῖ ὅσα Υἱὸς μετὰ τοῦ Πνεύματος ὁ Πατήρ, καὶ ἃ τοῦ Πνεύματός ἐστι τελειῶσαι, ταῦτα καὶ ὁ Πατὴρ σὺν τῷ Υἱῷ τελειοῖ, οὐ διαφορᾶς αἰτίων τῇ τῶν φωνῶν εἰσαγομένης ἐναλλαγῇ, διακρίσεως δὲ μόνης τῶν ὑποστάσεων, ἣν κἂν τοῖς σφόδρα ἡνωμένοις σφόδρα διὰ σπουδῆς ἔργον τοῖς διδασκάλοις ἐμφαίνειν, βουλομένοις ὥσπερ τὸν ἕνα Θεὸν τηρεῖν, οὕτω δὴ καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν. Ἐνταῦθα δὲ ποία τις ἑνότης τὸ ἓν τῆς αἰτίας παρίστησι; Πότερον τῆς οὐσίας; Καὶ πῶς ἓν κατ' οὐσίαν Πατρί τε καὶ Υἱῷ τὸ Πνεῦμα θεολογούμενον οὐκ ἂν καὶ αὐτὸ προβλητικὸν ἔσται καὶ ἐκπορευτικόν; Ἀλλ' ἡ τῆς ἐνεργείας καὶ δυνάμεως καὶ D βουλήσεως; Ἀλλὰ Θεὸν ἕνα καὶ δημιουργὸν ἕνα, καὶ ποιητὴν καὶ Κύριον, καὶ βασιλέα γνωρίζει τὴν Τριάδα ταῦτα ἡμῖν, οὐ μὴν καὶ ὡς αἴτιος εἷς τῆς ὑπάρξεως ἐμφαίνει τοῦ Πνεύματος. Ὑπέρκειται γὰρ καὶ ἐνεργείας ἁπάσης καὶ βουλήσεως, ὥσπερ ἡ τοῦ Μονογενοῦς ἐκ Πατρὸς γέννησις, οὕτω δὴ καὶ ἡ τοῦ Πνεύματος ἐκπόρευσις, καὶ οὐκ ἔστιν οὐδαμῶς κατανοεῖν ἐκ τούτων τὸν γεννῶντα καὶ προβάλλοντα. Ὥστε καὶ μάταιοι ἔμοιγ' οὖν οἱ τὴν πέμψιν καὶ δόσιν καὶ χορηγίαν, σαφῶς θελήματος ὄντα πληρώσεις, θελήματος δεύτερα, τρόπον τοῦ εἶναι τῷ Παρακλήτῳ ἐκ παραλλήλου τιθέμενοι, ὥσπερ αὐτὴν γέννησιν καὶ αὐτὴν ἐκπόρευσιν, ὡς

OCR ABK / FR

ἂν ἐντεῦθεν συχνῶς τε καὶ ἀμαθῶς ἐκεῖθεν ὕπαρξιν τῷ Πνεύματι νείμωσιν, ὅθεν ἐκχεῖσθαι καὶ χορηγεῖσθαι καὶ πέμπεσθαι λέγεται, ὥσπερ ὅθεν καὶ ἐκπορεύεται, τὸν οὐρανὸν εἰς γῆν κλίνοντες καὶ μιγνύντες ἃ μὴ πέφυκε, καὶ πάντα φέροντες καὶ συγχέοντες. Πλὴν οὐκ ἄν ποτε ἡ τῶν εἰρημένων ταυτότης τὸ ἓν τῆς αἰτίας συναγάγῃ τοῦ Πνεύματος.

Οὐκοῦν ἐπίλοιπον ἂν εἴη σκοπεῖν, μή ποτε κατὰ τὸ τῆς ὑποστάσεως ταυτὸν ἓν αἴτιον ὁ Πατὴρ καὶ ὁ Υἱὸς τοῦ Πνεύματος λέγηται. Καὶ παντὸς μὲν μᾶλλον ἄτοπον τοῦτο καὶ ἀπεοικός· ἀλλ' ἥ γε σύναψις τῶν αἰτίων οὐκ ἔστιν, ὡς οὐκ εἰς τοῦτο φέρει. Μόνη γὰρ πηγὴ τῆς θεότητος ὁ Πατήρ, ἀρχὴ καὶ ῥίζα Υἱοῦ καὶ Πνεύματος. Πάντα ὅσα ἔχει τοῦ Υἱοῦ πλὴν τῆς αἰτίας. Θεολόγων ταῦτα φωναί. Ποῦ γοῦν τὸ μόνον πάντα ἐκτὸς ἑαυτοῦ ἀποκλεῖον καὶ τὸ ἡμέτερον συναίτιον καταδέχοιτο; ἢ γὰρ καταδεχόμενον οὐκ ἂν ἀληθεύῃ τὸ μόνον εἶναι, ἢ ἀληθεῦον, οὐκ ἂν καταδέξηται. Εἰ δ' ἀμφότερα, δεῖ κρατεῖν πάντως, καὶ ἓν πρόσωπον εἶναι δεῖ τὸ τῶν αἰτίων συναγωγόν, κἂν ταῖς κλήσεσι πλείω δοκῇ. Τοῦτο δὲ Σαβέλλιοι μὲν κακῶς ἐφρόνησαν πάλαι κακῶς σεσηπότες, νῦν δὲ καὶ μνημονεύονται κἂν δαίμονες ἔφριξαν. Ἀλλ' ἀνακτέον πάλιν ἐπὶ τὴν ῥῆσιν, καὶ τὸ προσεχῶς καὶ τὸ διὰ τοῦ προσεχῶς, ὅ τι ποτὲ βούλεται τῷ διδασκάλῳ σκεψώμεθα.

Πορευθέντες, φησὶν ὁ Κύριος τοῖς ἀποστόλοις, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος. Οἱ δὲ ἐπορεύοντο, καὶ μαθητεύοντες πρῶτον εἰς Πατέρα, Υἱὸν καὶ ἅγιον Πνεῦμα πιστεύειν, ἀληθινὸν Θεόν, καὶ μόνον Θεόν, παντὸς σεβάσματος ἀποστάντας, οὕτως εἰς τὸ ὄνομα τοῦτο ἐβάπτιζον. Αὗται τοίνυν αἱ κλήσεις τὸ τῆς ὁμολογίας ἡμῶν γνώρισμα. Αὗται δι' ὧν σφραγιζόμεθα, καὶ τὰ δηλούμενα γνησίως ὁμολογοῦντες εἰς οὐρανοὺς ἀναγόμεθα. Ταύτας οὕτω προσφέρειν οὐκ ἄγγελος, οὐκ ἄνθρωπος ἐδίδαξεν, ἀλλ' αὐτὸς ὁ Κύριος. Διὰ ταῦτα καὶ παρ' ἡμῖν ἡ χρῆσις πολὺ τὸ Πατρὸς ἔχει ὄνομα καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος, καὶ ἔχει γε αἰωνίως εὐσεβῶς προσκυνούμενα. Διὰ τοῦτο καὶ Θεὸν ἕνα τις εἰδὼς τὴν μακαρίαν φύσιν ἐν τρισὶν ὑποστάσεσι, καὶ διὰ τῶν κλήσεων τῆς Τριάδος εἰς τὴν ὁμολογίαν χωρεῖν, οὐκ ἂν ἄλλως ἢ προσεχῶς τῷ Πατρὶ ὁμολογοίη τὸν Μονογενῆ, ὁμολογοίη δὲ οὐχ ὅτι τὸ εἶναι μᾶλλον τοῦ Πνεύματος ἐγγίζον ἐστὶ τῷ Πατρί, συναϊδίως γὰρ ἄμφω καὶ ὁμοτίμως ἐκεῖθεν, κἂν μόνη τῇ συντάξει τῶν ὀνομάτων μετὰ τὸν Υἱὸν ἡ τοῦ Πνεύματος κλῆσις προσφέρηται. Ἀλλὰ καὶ διὰ τὴν ἐντολὴν μὲν καὶ τὸν παρὰ τοῦ Σωτῆρος τύπον τῆς ἐκφωνήσεως, καὶ διὰ τὴν τῶν κλήσεων δύναμιν, λέγω τῆς Πατρός, καὶ Υἱοῦ, αἵ γε σχετικαὶ οὖσαι, καὶ ἀλλήλων ἐφελκυστικαί, οὐδέν τι τῶν ἁπάντων μεταξὺ καταδέχονται, διὰ τοῦτο προσεχῶς ὁ Υἱὸς τῷ Πατρί. Τὸ δὲ Πνεῦμα εἴργει μὲν προσεχῶς εἰπεῖν ἡ τῶν ὀνομάτων δύναμις, Υἱὸν ἀμέσως συνάπτουσα τῷ Πατρί, εἴργει δὲ καὶ ἡ πρόοδος τοῦ ἀριθμοῦ, οὐδέποτ' εὐθὺς τῷ ἀριθμοῦντι μετὰ μίαν δύο προ-

A δεικνῦσα μονάδας. Ἐκ μιᾶς δὲ εἰς ἑτέραν προάγουσα, ἀλλ' οὐχὶ τὸ ὑστερίζειν τοῦ Μονογενοῦς, οὐδὲ τὸ διατειχίζεσθαι καὶ τὸ ἀπὸ τοῦ Πατρὸς εἶναι προσώπῳ τινί, καὶ γὰρ καὶ τρίτον ἐκφέρεται, οὐ διὰ τὴν ἀκολουθίαν τοῦ εἶναι οὕτως ἐκφέρεται, μόνην δὲ τὴν ἀπὸ τῶν ὀνομάτων, ὥς φησι Κύριλλος, σύνταξιν. Ἥ τε γὰρ τοῦ Σωτῆρος φωνὴ μετὰ Πατρὸς καὶ Υἱοῦ συντάττουσα ὅμως τρίτον ὠνόμασε, καὶ ἡ προσηγορία τοῦ Πνεύματος οὐχ οὕτως ὡς ἡ Πατρὸς καὶ Υἱοῦ τὴν πρὸς ἕτερον ἀναγκάζει συνάφειαν, εἰ μή τις βούλεται τὸ Πατρὸς ὄνομα εἰς προβολέα μεταλαβεῖν, τότε γὰρ προσεχῶς οὐ τὸν Υἱὸν ἂν ἴδῃς, αὐτὸ δὲ τὸ πρόβλημα ἐφελκόμενον. Τοῦτο δὲ ἄρα οὐκ ἂν ἦν ποτε, εἰ τὸ εἶναι ἐκ Πατρὸς μὲν εἰς Υἱόν, ἐξ Υἱοῦ δὲ εἰς Πνεῦμα τελευταῖον προέβαινε. Καὶ τὸ μὲν δὴ προσεχῶς ὧδέ

B πως ἂν λέγοιτο. Δεῖ δὲ καὶ διὰ τοῦ προσεχῶς καὶ ὅλως διὰ τοῦ Υἱοῦ ἐπισκέψασθαι. Ἀλλ' οὐ ταῖς ἐμαυτοῦ ἐνταῦθα φωναῖς κεχρήσομαι, ἢ ἐπ' ὀλίγον, ταῖς δὲ τῶν Πατέρων αὐταῖς, ὥστ' ἔξεστι ταύτας ἀναλεγομένους ἐκεῖθεν καλῶς τὸν τῆς λέξεως ἐκδιδάσκεσθαι νοῦν. Εἴη μὲν ἂν οὖν τὸ Πνεῦμα τὸ ἅγιον καὶ διὰ τὴν τῶν ἑαυτοῦ χαρισμάτων διανομὴν καὶ μετάδοσιν ἐκ Πατρὸς αὐτὸ λεγόμενον διὰ Υἱοῦ· Ἃ γάρ, φησί, τὸ Πνεῦμα ἑκάστῳ χορηγεῖ παρὰ τοῦ Πατρὸς διὰ τοῦ Λόγου χορηγεῖται· εἴη δ' ἂν νοούμενον, καὶ ὡς τὸ ἐκ τοῦ ἡλίου ἐν τῷ ἀπαυγάσματι, καὶ διὰ τοῦ ἀπαυγάσματος φῶς, τοῦτο γὰρ ἔχει μὲν δηλοῦν καὶ τὴν παρὰ τοῦ Πατρὸς ἐξ ἀϊδίου τοῦ Πνεύματος πρὸς Υἱὸν συνάφειαν· γνωρίζοι δ' ἂν καὶ τὴν δι' Υἱοῦ τοῦ Πνεύματος ἔκφανσιν

C ὅπως ποτέ σοι τὴν ἔκφανσιν βούλει νοεῖν, εἴτε τὴν εἰς ἡμᾶς διὰ τῶν εὐεργεσιῶν φανέρωσιν, εἴτε τὴν οἷον ἔκλαμψιν καὶ ἀδιάκριτον ὡς εἰπεῖν διὰ τοῦ Υἱοῦ τοῦ Πνεύματος διάκρισιν, καθ' ἣν τὸν ἄλλον Παράκλητον τὸ Πνεῦμα τῆς ἀληθείας ὡς οἷόν τε νοεῖν ἐλλαμπόμεθα. Ἀλλ' εἰ τοῦτόν γε τὸν νοῦν καὶ οἱ τὴν φωνὴν εἰς τὴν θεολογίαν εἰσάγοντες ἔσχον, ἄλλος μὲν εἰ μαρτυρήσει, οὐκ ἂν ἡ μαρτυρία πιστεύοιτο, οὐδεὶς γάρ, ἐρεῖ τις τῶν ἀντιπάλων, οἶδε τὰ τοῦ ἑτέρου, αὐτοὶ δ' εἰ μαρτυρίαν ἡμῖν οἴσουσιν οἱ τῆς φωνῆς Πατέρες, ἀναντίῤῥητον ταῖς ἀληθείαις τὸ πρᾶγμα ποιήσουσιν, ὥστ' αὐτοῖς ἐκείνοις τοῦ λοιποῦ προσεκτέον τὸν νοῦν.

Ὁ τοίνυν ἐν ἁγίοις Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρείου τρίτῳ λόγῳ τάδε φησίν· Οὐ τρεῖς ἀρ-

D χάς, οὐδὲ τρεῖς Πατέρας εἰσάγομεν, ἐπειδὴ οὐδὲ τριῶν ἡλίων ὑπεθέμεθα τὴν εἰκόνα, ἀλλὰ ἥλιον καὶ ἀπαύγασμα, καὶ τὸ ἐκ τοῦ ἡλίου ἐν τῷ ἀπαυγάσματι φῶς. Ὥστε ἔξεστί σοι σκοπεῖν, ὡς οὐ τὴν ὕπαρξιν αὐτὴν ὁ μέγας διδάσκει διὰ τοῦ Υἱοῦ, τὴν δὲ φανέρωσιν, καί, ὡς εἴρηται, τὴν ἀπόλαμψιν, ἢ καὶ ὡς ὁ μέγας Βασίλειος ἔφησε τὸν γνωρισμόν. Ὁ δ' αὐτὸς ἐν τῇ πρὸς Σεραπίωνα ἐπιστολῇ· Τοῦ τοίνυν Πατρὸς ὄντος φωτός, τοῦ δὲ Υἱοῦ ἀπαυγάσματος αὐτοῦ, ἔξεστιν ὁρᾶν καὶ ἐν τῷ Υἱῷ τὸ Πνεῦμα τὸ ἅγιον, ᾧ φωτιζόμεθα. Καὶ μεθ' ἕτερα· Τοῦ Πατρὸς ὄντος πηγῆς, τοῦ δὲ Υἱοῦ ποταμοῦ, λεγόμεθα πίνειν τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ

OCR ABK / FR

αὖθις· Πέμψω ὑμῖν τὸν Παράκλητον τὸ Πνεῦμα, τῆς ἀληθείας ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅς ἐστιν, οἱ ἀρνούμενοι αὐτὸν ἐκ τοῦ Πατρὸς ἐν τῷ Χριστῷ. Εἰ τοίνυν ἔστιν ἐκ τοῦ Πατρὸς ἐν τῷ Χριστῷ, τί ἂν εἴη τὸ διὰ τοῦ Υἱοῦ, εἰ μὴ ἕν γε τῶν προειρημένων; οὐ γὰρ ἂν νοοῖτο καὶ αὖθις διὰ τοῦ Υἱοῦ ὕπαρξις, ὥσπερ οὐκ ἀρκούσης, ἢ ἀτελοῦς οὔσης τῆς ἐκ τοῦ Πατρός. Ἀλλὰ δὴ καὶ ὁ λόγος τῆς εἰρημένης εἰκόνος, ἐκ τοῦ ἡλίου, φησὶν, ἐν τῷ ἀπαυγάσματι φῶς. Εἰ τοίνυν ἐκ τοῦ ἡλίου ἐν τῷ ἀπαυγάσματι φωτὸς ὕπαρξις, καὶ διὰ τοῦ ἀπαυγάσματος τὸ φῶς λέγει τις, οὐκ ἂν πάλιν ὡς ἐκεῖθεν ὕπαρξιν λαμβάνον δικαίως λέγοι· εἰ μή τις τὸ ἐκεῖθεν ἐκλάμπειν (ἐπειδὴ σύγκρατόν ἐστι ὅλον τῷ ἀπαυγάσματι) οὐσίωσιν καὶ ὕπαρξιν νομίζοι, ὅπερ οὐκ ἔστιν ἀληθές. Μᾶλλον γὰρ φανέρωσις τοῦτο ἤπερ ὕπαρξις. Ἀλλὰ καὶ τὸ τοῦ ποταμοῦ ὕδωρ, εἰ ἐκ τοῦ ποταμοῦ ὡς ἐξ αἰτίας τοῦ εἶναι οἴεταί τις, καὶ οὐχὶ μᾶλλον ἐκ τῆς πηγῆς θαυμάζοιμ' ἂν ἐγώ. Ἀλλ' ἐκ τῶν τοῦ μεγάλου Ἀθανασίου ὧδέ πως ἂν ἔχοι τῇ τοῦ προκειμένου διανοίᾳ συμβαλεῖν.

Ὁ δὲ Νύσσης Γρηγόριος, ὅτι οὐκ ἄλλο νοήσας ἢ τοῦτο, ἐχρήσατο τῇ διά, ἄκουσον, λέγοντος· Ἐξ ἀγεννήτου ἡλίου ἄλλον ἥλιον νοῶμεν, ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα, κάλλει, δυνάμει, λαμπηδόνι, μεγέθει, φαιδρότητι, καὶ πᾶσιν ἅπαξ τοῖς περὶ τὸν ἥλιον θεωρουμένοις. Καὶ πάλιν· Ἕτερον ἐκλάμψαν οὔτε διαστήματι, οὔτε φύσεως ἑτερότητι, τοῦ Πατρὸς ἢ Μονογενοῦς ἀποτέμνεται. Καὶ ἐν τῷ εἰς τὸν πρωτομάρτυρα Στέφανον ἐγκωμίῳ. Ἐπεὶ οὖν ἐν τῷ φωτὶ τοῦ Πατρὸς, φησὶ, τουτέστι τῷ Πνεύματι τῷ ἁγίῳ τῷ ἐκεῖθεν ἐκπορευομένῳ, τὸ μονογενὲς καθορᾶται φῶς, διὰ τοῦτο προκαταυγασθεὶς τῇ δόξῃ τοῦ Πνεύματος, καὶ τὰ ἑξῆς. Ὁρᾷς ὡς ἁπανταχοῦ σύμφωνός ἐστιν ἑαυτῷ ὁ διδάσκαλος, τὴν μὲν ἐκπόρευσιν καὶ ὅλως τὴν ὕπαρξιν τοῦ Πνεύματος τελείαν διδάσκων ἐκ τοῦ Πατρὸς, ἐκλάμπειν δὲ μόνον λέγων διὰ τοῦ Υἱοῦ, καὶ οἷον προλάμπειν ὥσπερ τῆς ἀκτῖνος τὸ φῶς. Ἀλλὰ σύ γε εἰ μὴ τελείαν ὁμολογεῖς ἐκ τοῦ Πατρὸς τὴν τοῦ Πνεύματος ὕπαρξιν, προσαναπλήρου διὰ τῆς δι' Υἱοῦ ἐκλάμψεως, ἵνα σεμνότερον ᾖ τὸ δόγμα καὶ θεοπρεπέστερον· ἐγὼ δὲ τέλειον τὸ εἶναι ἐκ τοῦ Πατρὸς ὁμολογήσω τῷ Πνεύματι. Διδάσκουσι γάρ με οὕτω λέγειν οἱ τὰ θεῖα σοφοὶ ἔκ τε δὴ τῶν ἄλλων λογίων, καὶ ἐκ τῶν παραδειγμάτων αὐτῶν, νοῦν λέγοντες καὶ λόγον καὶ πνεῦμα, ἥλιον, ἀκτῖνα, καὶ φῶς, πηγὴν, ποταμὸν, καὶ ὕδωρ. Καὶ περιττὸν ἂν εἴη πάντων ἑξῆς μνημονεύειν, δι' ὧν ἔστιν ἀσφαλῆ τὴν περὶ τούτου κεκτῆσθαι πίστιν. Ταύτῃ τοι καὶ Βασίλειον μόνον μάρτυρα ἐπιστήσας ἐπὶ τὰ ἑξῆς μεταβήσομαι.

Ὅτι μὲν ὁ μέγας οὗτος τῆς οἰκουμένης φωστὴρ οὐδαμοῦ λέγων ἐστὶν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἐκ δὲ τοῦ Πατρὸς καὶ οὐχὶ ἑτέρωθι, αὐτοῦ γὰρ ἐκείνου τοῦτο φωνὴ, καὶ πηγὴν καὶ ῥίζαν τίθε τὸ Πατέρα, καὶ αἴτιον Υἱοῦ καὶ Πνεύματος, τί χρὴ λέγειν;

A ἴσασι πάντες. Πλὴν καὶ διὰ τοῦ Υἱοῦ πεφηνέναι φησίν. Ἀλλ' ἐκεῖνος ἡμῖν καὶ οὐχ ἕτερος ἔστω τῶν οἰκείων ἐξηγητής. Ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, φησὶ, δι' οὗ τὰ πάντα, ᾧ πάντως τὸ Πνεῦμα τὸ ἅγιον ἀχωρίστως συνεπινοεῖται. Οὐ γάρ ἐστιν ἐν περινοίᾳ τοῦ Υἱοῦ γενέσθαι, μὴ προκαταυγασθέντα τῷ Πνεύματι. Ἐπειδὴ τοίνυν τὸ ἅγιον Πνεῦμα, ἀφ' οὗ πᾶσα ἐπὶ τὴν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, τοῦ Υἱοῦ μὲν εἴρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ Πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι ὅθεν καὶ ἐκπορεύεται· τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τὸ μετὰ τοῦ Υἱοῦ καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ τὸ ἐκ τοῦ Πατρὸς ὑφεστάναι. Ὁ δὲ Υἱὸς ὁ τὸ ἐκπορευόμενον Πνεῦμα ἐκ τοῦ Πατρὸς B δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδεμίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν Πατέρα, ἢ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς εἰρημένοις μόνοις σημείοις γνωρίζεται. Ὁ δ' ἐπὶ πάντων Θεὸς, καὶ τὰ ἑξῆς. Εἶτα σύ μοι χρησμοὺς πόθεν ἀνασπάσας δείκνυε ἡμῖν ἐκ τοῦ Υἱοῦ καὶ ἑτέραν τοῦ Πνεύματος ὕπαρξιν, τὴν καὶ τοῦ Υἱοῦ λέξιν, οὐχ ὡς ὁ πολὺς οὗτος τὴν θεολογίαν Βασίλειος, ὡς δ' ἐθέλεις ἐξηγούμενος. Καὶ πάλιν τὸ προσεχῶς καὶ διὰ τοῦ προσεχῶς εἰς μέσον ἀγαγὼν, εἰ μὴ δέχομαι τὸν Νύσσης ἐρώτα, εἰ μὴ αὐτὸν ἡγοῦμαι εὐσεβείας διδάσκαλον, εἰ μὴ σαφέστατα διὰ τοῦ Υἱοῦ καὶ ἐκ τοῦ Υἱοῦ ὑπάρχειν ἐνταῦθα λέγει τὸ Πνεῦμα. Ἀλλ' ὦ τὰν, φαίην ἂν ἐγὼ, σὲ μὲν οὐκ ἂν δεξαίμην ποτὲ, C οὕτως ἐξηγούμενον τὰ ἐκείνου· ἐκεῖνον δὲ καὶ τὰ ἐκείνου τιμῶν οὐκ ἂν παραιτησαίμην καὶ ἄνω φέρειν τῆς κεφαλῆς. Ὅθεν ἀκούων λέγοντος ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι καὶ τὸ εἶναι ἔχειν τὸ Πνεῦμα καὶ τὸν Πατέρα αἴτιον ἔχειν, οὐ τὸν Υἱὸν, ταῦτα ὁμολογῶ καὶ αὐτὸς, καὶ ὁμολογεῖν, οὐκ ἂν παυσαίμην. Λέγοντος δὲ πάλιν καὶ τοῦ Υἱοῦ εἶναι, καὶ ἴδιον τοῦ Υἱοῦ, καὶ δι' αὐτοῦ ἐκλάμπειν καὶ φανεροῦσθαι καὶ γνωρίζεσθαι καὶ πέμπεσθαι καὶ δίδοσθαι τοῖς ἀξίοις λαβεῖν, συντίθεμαι τῇ διδασκαλίᾳ, καὶ τὸ διὰ τοῦ προσεχῶς τοῦτο τὴν ὑμετέραν ἀκρόπολιν ὑπ' ἐκείνῳ διδασκάλῳ χειραγωγούμενος, εἰς ἓν ὁποιονδήποτε τούτων φέρων τίθημι· Φησὶ γὰρ ἵνα τὸ μονογενὲς ἐπὶ τοῦ Υἱοῦ μένῃ, καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλοιτο τῆς τοῦ D Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργούσης. Προσεχῶς, φησὶν, ὁ Υἱὸς, οὐχ ἵν' αἴτιος, ὡς, ὑμεῖς φατὲ, εἴη τοῦ Πνεύματος, ἀλλ' ἐπειδὴ μονογενής ἐστιν Υἱὸς, ἔστιν εὐθὺς συνεπινοούμενος τῷ Πατρί. Οὐ γὰρ ἔστιν εἰκὸς ἐκ τοῦ Πατρὸς ὄντος τοῦ εἶναι καὶ τῷ Υἱῷ καὶ τῷ Πνεύματι. ἐπειδὰν βουληθῶμεν εἰς δήλωσιν τῆς αἰτίας καὶ τῶν ἐκ τῆς αἰτίας χωρῆσαι. ἀλλ' ὅτι συντάττειν πρὸ τοῦ Υἱοῦ τῷ Πατρὶ, ὅτι γε οὐδ' ἡ τῶν κλήσεων ἰσχὺς συγχωρήσει ποτὲ παρεμβάλλειν. Ἀλλ' ἐπειδὴ μὴ κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν προσεχὴς τῷ Πατρὶ ὁ Υἱὸς μᾶλλον ἢ τὸ Πνεῦμα, διὰ τοῦτο

OCR ABK / FR

ο κ οὐδὲ διακόπτει τῆς πρὸς τὸν Πατέρα σχέσεως. Οὐ γάρ ἐστιν αὐτὸς αἴτιος τοῦ Πνεύματος, ἵν' εἰς αὐτὸν μὲν ἔχῃ τὴν σχέσιν τὸ Πνεῦμα, εἴργηται δὲ τοῦ Πατρὸς, μηδὲ ... τοῦ τὸ προσεχῶς εἰπεῖν, καὶ διὰ τοῦ προσεχῶς ταυτὸν, ἀλλ' ὅθεν ἔχει τὸ εἶναι, ἐκεῖσε καὶ ὡς αἴτιον ἀναφέρεται.

Εἰ δέ τις καὶ ἐπιπλέον περὶ τῆς τοῦ Υἱοῦ μεσιτείας ἐνίσταται, καὶ ὅλως τὸ διὰ τοῦ Υἱοῦ καὶ διὰ τοῦ προσεχῶς παράγων βούλεται ταυθεῖν ἡμᾶς, ἢ μὴ ἀμέσως ὁμολογεῖν τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς τιμῶντας τοὺς εἰρηκότας, ἢ μὴ ὁμολογεῖν ἀθετεῖν αὐτό τε τὸ δόγμα καὶ τοὺς εἰπόντας, βραχὺς ἡμῖν ὁμοῦ δὲ καὶ σαφὴς καὶ ὁ πρὸς ταῦτα καὶ τὰ τοιαῦτα λόγος· Ἡμεῖς τοίνυν καὶ ἀμέσως φαμὲν ὑπάρχειν τὸ Πνεῦμα, ἐκ τοῦ Πατρὸς, καὶ διὰ τοῦ Υἱοῦ λέγειν οὐκ ἀναινόμεθα. Καὶ οὔτε κατὰ τοὺς ἀντιθέτους εἰπεῖν, ἀμέσως αὐτὸ λέγοντες τὸ δι' Υἱοῦ μεταργοῦμεν, οὔτε τὸ δι' Υἱοῦ ἀνομολογοῦντες τὸ ἀμέσως ἀρνούμεθα. Καὶ γὰρ ἀμέσως μὲν δογματίζομεν, ἐπειδήπερ τὴν καθ' ὑπόστασιν ὕπαρξιν, καὶ ὅλως αὐτὸ δὴ τὸ εἶναι ἐξ αὐτοῦ τοῦ Πατρὸς ἔχει τὸ Πνεῦμα, καὶ οὐκ ἐκ τοῦ Υἱοῦ· οὐδὲ διὰ τοῦ Υἱοῦ, ἢ γὰρ ἂν καὶ αἴτιος οὕτω τοῦ Παρακλήτου ὁ Υἱὸς ὑπῆρχεν ἀναμφηρίστως, ὅπερ οὔτ' εὐσεβές ἐστι, καὶ οὐδεὶς οὐδέποτε τῶν ἁγίων οὔτ' εἰπὼν οὔτε γράψας ἐφάνη. Διὰ τοῦ Υἱοῦ δὲ φαμεν ὑπάρχειν τὸ Πνεῦμα καὶ τὴν ἀμέσως ὁμολογίαν ἡμῶν μὴ λυμαίνεσθαι, ἐπειδὴ ἐκ Πατρὸς ἐκπορευόμενον καὶ ὑφιστάμενον ἐξ οὗ δὴ καὶ ὁ Υἱὸς γεννᾶται, δι' αὐτοῦ δὴ τοῦ Υἱοῦ προέρχεται καὶ ἐκλάμπει· τέλειον πλὴν ἔχον τὸ εἶναι παρ' αὐτοῦ τοῦ Πατρὸς, καθ' ὃν δὴ τρόπον καὶ τὸ φῶς εἴρηται διὰ τῆς ἀκτῖνος ἐκ τοῦ ἡλίου, ἔχον μὲν πηγὴν καὶ αἰτίαν τοῦ εἶναι, κατὰ παροχὴν κατὰ φύσιν τὸν ἥλιον ὡς ἀρχὴν αὐτοῦ φυσικὴν, διιὸν δὲ ὅμως ἢ καὶ καὶ προϊὸν καὶ ἐκλάμπον διὰ τῆς ἀκτῖνος, ἐξ ἧς οὐχ ὕπαρξις τῷ φωτὶ οὐδ' οὐσίωσις. Ἀλλ' ἥκει μὲν δι' αὐτῆς, ὡς εἴρηται, ἔχει δὲ ἀρχὴν τοῦ εἶναι οὐ αὐτῆς, ἢ ἐξ αὐτῆς οὐδαμῶς, ἀλλὰ καθαρῶς καὶ ἀμέσως ἐκ τοῦ ἡλίου, ἐξ οὗ δὴ καὶ αὐτὴ ἡ ἀκτὶς δι' ἧσπερ τὸ φῶς φαίνεται προϊόν. Καὶ ταῦτα μὲν οὕτως.

Ἐκεῖνο δὲ μηδένα τῶν ἁπάντων θορυβείτω, τὸ προεπινοεῖσθαι τοῦ Πνεύματος τὸν Υἱὸν, κατὰ τὸν τῆς αἰτίας λόγον, ὃ προφέρουσι τῶν τοῦ Νύσσης Ἀντιῤῥητικῶν ἀποσπάσαντες· παραπλήσιον γὰρ τοῖς εἰρημένοις ἔχει τὸν νοῦν. Ἔχει δὲ οὕτως. Ἐπείπερ αἴτιος μὲν Υἱοῦ καὶ Πνεύματος ὁ Πατὴρ, τῷ Πατρὶ δὲ ἢ Πατρὶ εὐθὺς συνεπινοεῖται ὁ Υἱὸς κατὰ τὴν τῶν πρός τι φύσιν ὑπ' ἀλλήλων συναγομένων τῷ λόγῳ, φησὶ, τῆς αἰτίας, ἤτοι τῆς πρὸς τὸν Πατέρα τὸν αἴτιον σχέσεως, προεπινοεῖται τοῦ Πνεύματος ὁ Υἱὸς, ἀλλ' οὐχὶ καὶ κατὰ τὴν τοῦ εἶναι πρόοδον, οὐδὲ τῷ αἰτίαν αὐτὸν ὑπάρχειν τοῦ Πνεύματος. Καί μοι δοκεῖ ἀπεριμερίμνως ἐνταῦθα τὸν λόγον τῆς αἰτίας ἀντὶ τοῦ πρὸς τὸν αἴτιον διὰ τὴν σχέσιν λόγου εἰπεῖν, μὴ φοβηθεὶς ἐκ τούτου τὸν Υἱὸν δόξαι τοῦ Πνεύματος αἴτιον δογματίζειν, διὰ τὸ πανταχοῦ φθάσαι βεβαίως ὁμολογῆσαι ἀμφοῖν αἴτιον τὸν Πατέρα. Τῷ γὰρ ἤδη πολλάκις ὁμολογουμένῳ θαρσή-

A σας, ἀνενδοιάστως ἐχρήσατο τῇ φωνῇ, τὸ εὐκρινείας ἀξιῶσαι διὰ τὸ μὴ περιπεσεῖν ταυτολογίᾳ ἐνταῦθα παραιτησάμενος. Εἰ δὲ μὴ τοῦτο δοκεῖ τισι, βραχὺς ὁ λόγος· δειξάντες πρότερον ποῦ τῶν ἑαυτοῦ ὁ Γρηγόριος ὅδε, ἢ Βασίλειος, ᾧ παρομαρτεῖ Γρηγόριος, τοσοῦτον εἰρήκασι περὶ τοῦ Υἱοῦ ὥστ' αὐτὸν κἂν αἰνίξασθαι τοῦ Πνεύματος αἴτιον, καὶ τοῦτο ποιήσαντες τῶν λογίων ἐκείνων εἴθ' εἷς ἐστιν, εἴτε πλείους, συμπέρασμα ἐχέτωσαν τὴν νικῶσαν. Εἶεν.

Ἀλλ' ἐπειδή γ' ἔσχατον ἐκεῖνο ἀντιλαμβάνεται ὡς τινος τῶν λίαν ἰσχυρῶν, καὶ πρὸς ὃ λόγος οὐκ ἔστι τοῖς ἀντιλέγουσιν, ὃ πρὸς Σεραπίωνα γράφων ὁ ἐν ἁγίοις, Ἀθανάσιος, Τὸ Πνεῦμα, λέγων, παρὰ τοῦ Υἱοῦ διδόμενον καὶ πεμπόμενον, καὶ αὐτὸ ἕν B ἐστι καὶ οὐ πολλὰ, οὐδὲ ἐκ πολλῶν ἕν, ἀλλὰ μόνον αὐτὸ Πνεῦμα. Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν καὶ φωτιστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεὰν, ἥτις γ' ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι, ἐπειδὴ ἐκ τοῦ Λόγου τοῦ παρὰ τοῦ Πατρὸς ὁμολογουμένως ἐκλάμπει, καὶ ἀποστέλλεται καὶ δίδοται· καὶ ἐπειδὴ τὸ πᾶν ἐντεῦθεν ἔχειν οἴονται, ἐρωτάσθωσαν διὰ ποῖον ἄρα τῶν ἐν τῇ ῥήσει ταύτῃ τοσοῦτον φρονοῦσι; Πότερον ὅτι, Ἐκλάμπει, λέγει, καὶ ἀποστέλλεται καὶ δίδοται; Καὶ μὴν αἱ μὲν ἐκφάνσεως ἀπεφάνθησαν οὖσαι φωναί, αἱ δὲ εὐδοκίας καὶ συγκαταβάσεως. Ἀλλ' ἴσως ὅτι δωρεὰ τὸ Πνεῦμα; Καὶ τί παρὰ τοῦτο; Ἰδοὺ γὰρ καὶ ὁ Υἱὸς, ἁγιασμὸς, καὶ δικαιοσύνη, C καὶ εἰρήνη, καὶ ἀπολύτρωσις παρὰ τῷ Ἀποστόλῳ, οὐχ ὡς αὐτοῦ ὄντος ταῦτα, ἀλλ' ἐνεργήσαντος. Καὶ τὸ Πνεῦμα ἄρα τοῦτον τὸν τρόπον, ἐπειδὴ παρ' αὐτοῦ πᾶν ἀγαθὸν εἰς ἡμᾶς ἥκει, καὶ ὅσαι εἰς ἀνθρώπους εὐεργεσίαι, θεόθεν, αὐτοῦ εἰσιν ἐνέργειαι καὶ δωρεαὶ, εἰκότως ἐνέργεια κέκληται καὶ δωρεά. Καὶ τοῦ Υἱοῦ δὲ, ὅτι τὰ τοῦ Πνεύματος ἔργα τοῦ Υἱοῦ εἰσιν ἔργα, καὶ οὐκ ἔστιν οὐδὲν, φησὶν Ἀθανάσιος, ὃ μὴ διὰ τοῦ Λόγου ἐν Πνεύματι τελειοῦται. Ἀλλ' ἐκεῖνο, φησὶν, ἐπειδὴ ἐκ τοῦ Λόγου ἐκλάμπει καὶ ἀποστέλλεται καὶ δίδοται, διὰ τοῦτο λέγεται ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι. Ἀλλ', ὦ σοφώτατε, οὐκ αἰτιολογικῶς ἐνταῦθα παρείληπται τὸ ἐπειδὴ, ἀλλ' εἰς σημείου λόγον παραλαμβάνεται, ὁποῖον ἄντικρυς τεθεώρηται καὶ ἐπὶ τῶν διὰ τῶν σημείων λεγομένων συλλογισμῶν. Πῦρ φαμεν καυ- D θῆναι, ἐπειδήπερ τέφρα ὁρᾶται, καὶ ἐπειδὴ πηλὸς ὑγροῦ λύσις ἐγένετο. Ὡς οὖν ὅτι πηλὸς ἢ τέφρα, πυρὸς ἢ χύσεως ὑγροῦ σημεῖον μόνον, οὐκ αἰτία, ἐκεῖνα δὲ μᾶλλον τούτων, οὕτω κἀνταῦθα οὐ τὸ πέμπεσθαι παρὰ τοῦ Υἱοῦ καὶ δίδοσθαι τῆς ἐκ Πατρὸς τοῦ Πνεύματος ἐκπορεύσεως αἴτιον, ἀλλ' ὅτι ἐκ Πατρὸς ἐκπορεύεται καὶ ἀδιαστάτως συνάπτεται τῷ Υἱῷ, καὶ συμφυές ἐστιν αὐτῷ καὶ ὁμοιούσιον, διὰ τοῦτο ὁ Υἱὸς αὐτὸ χορηγεῖ, καὶ δίδωσι καὶ ἀποστέλλει. Εἰ μὴν γὰρ ἐκεῖθεν, πῶς, ἂν αὐτὸς ἐχορήγει, ἢ πόθεν ἔχων διένεμε τοῖς ἀξίοις; Εἰ γὰρ πάντα ὅσα ἔχει ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς ἔχει, ἔχει δὲ διδόναι τὸ Πνεῦμα καὶ ἀποστέλλειν, παρὰ τοῦ

OCR ABK / FR

Πατρὸς ἔχει. Ὥστε οὐ τὸ τὸν Υἱὸν ἀποστέλλειν τὸ Πνεῦμα αἴτιον τῆς ἐκ Πατρὸς τοῦ Πνεύματος ὑπάρξεως καὶ ἐκπορεύσεως, ἀλλ' ἐπειδὴ ὁ Πατὴρ προβάλλεται τὸ ὁμοούσιον Πνεῦμα, ὁ Υἱὸς αὐτὸ χορηγεῖν λέγεται καὶ ἀποστέλλειν, ἔχων τοῦτο συμφυὲς αὐτῷ καὶ ἀδιαστάτως συνημμένον παρὰ τοῦ Πατρός. Χορηγεῖν μέντοι καὶ ἀποστέλλειν ὡς εἰκὸς ἐκδέχεσθαι ταῦτα περὶ τῆς μόνης ἀκινήτου καὶ ἀπείρου, ἣν οὐδ' ὁ κόσμος χωρῆσαι δύναται. Ὅτι δὲ συνήθης ὁ τρόπος οὗτος τῇ θεοπνεύστῳ Γραφῇ, δῆλον ἐκεῖθεν. Τοῦτο δὲ ὅλον, φησὶ τὰ ἱερὰ Εὐαγγέλια, ἐγένετο ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ προφήτου Ἡσαΐου· καὶ, Ἵνα πληρωθῶσιν αἱ φωναὶ τῶν προφητῶν· καὶ, Οὐκ ἠδύναντο πιστεύειν ὅτι εἶπεν Ἡσαΐας, Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμούς· καὶ, Ἵνα ἡ Γραφὴ πληρωθῇ. Οὐ γὰρ δὴ τοσοῦτον διὰ τὸ πληρωθῆναι τὰς τῶν προφητῶν φωνὰς ᾠκονόμηνται, ἀλλ' ὅτι ᾠκονόμηνται, κἀκεῖναι πεπλήρωνται τῆς τῶν ἔργων ἐκβάσεως αἰτίας γεγενημένης τῆς ἐκείνων πληρώσεως, οὐ τὸ ἀνάπαλιν. Οὐκοῦν οὐδ' ἡμῖν ἐνταῦθα αἰτίαν παρίστησι τὸ ἐπειδὴ, ἀλλὰ τεκμήριον εἴληπται, ὡς εἶναι τὸ λεγόμενον, εἰ μή τι ἕτερον γνώρισμα ποιεῖται τις τῆς ἐκ Πατρὸς τοῦ Πνεύματος ἐκπορεύσεως, ἀλλὰ τό γε ἐκ τοῦ Λόγου τοῦ ἐκ Πατρὸς γεννηθέντος ἐκλάμπειν, ἀποστέλλεσθαι, καὶ δίδοσθαι ἐναργὲς ἐχέτω τοῦ τοιούτου τεκμήριον, ὅθεν καὶ τὰ ἑξῆς εἰς τοῦτο τείνει. Καὶ γὰρ οὔσης τῆς ὅλης ἀγωγῆς τοῦ Λόγου ὡς ἐν τύπῳ περιλαβεῖν τοιαύτης, ὑμεῖς, ὦ τροπικοὶ, κατὰ γὰρ τοιούτων ὁ λόγος αὐτῶν, ἐπειδὴ τὸν μὲν Υἱὸν ὁμοούσιον πιστεύετε τῷ Πατρὶ καὶ Θεὸν, τὸ Πνεῦμα δὲ οὐδαμῶς, εἴπερ ἥντινα τάξιν ἔχων ὁ Υἱὸς πρὸς τὸν Πατέρα καταλαμβάνεται, ταύτην ἔχον καὶ τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν εὑρεθήσεται· τί ποτ' ἐρεῖτε; οὐκ ἂν δικαίως συνθήσεσθε, ὅτι καὶ τὸ Πνεῦμα τῷ Υἱῷ ὁμοούσιον καὶ Θεός; Οὕτω γοῦν τῆς προτάσεως ἔχειν δοκούσης τὸ ἰσχυρὸν ἐκ τῆς καθ' ἡμᾶς ἐπιφανείας τοῦ Θεοῦ Λόγου καὶ ὧν τὸ Πνεῦμα τὸ ἅγιον ἐνήργησεν, ἐπάγει τὰς ἀποδείξεις, ἐκ τῶν δευτέρων μὲν, ὅμως δὲ μᾶλλον γνωρίμων τοῖς ταπεινοῖς καὶ χαμαιπετέσιν ἡμῖν τὰς ἐπιχειρήσεις ποιούμενος. Διὸ καὶ ταῖς τῆς οἰκονομίας καὶ συγκαταβάσεως χρησάμενός ἐστι φωναῖς, αἷς οὐ θέμις ἐπιπηδᾷν αὐτίκα, οὐδὲ ἁρπάζοντας μεταφέρειν εἰς ἃ μὴ χρεὼν, τὸ δὲ χρεῖον ἐξετάζοντας μετὰ τῆς προσηκούσης διακρίσεως δέχεσθαι. Εἰ δὲ μὴ, ἀλλ' ὥσπερ ἐμπεφυκὼς ἐνέχῃ τῶν ῥημάτων, ὥρα σοι συνάγειν ὁπόσα σοι αὐτόθι τὰ ἄτοπα ἕψεται. Εἴ τις, φησὶν, ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι, ἐπειδὴ ἐκ τοῦ Λόγου τοῦ παρὰ τοῦ Πατρὸς ὁμολογουμένως ἐκλάμπει καὶ ἀποστέλλεται καὶ δίδοται, διὰ τοῦτο, εἰπέ μοι, ἐκ τοῦ Πατρὸς ἐκπορεύεται τὸ Πνεῦμα, ὅτι ἐνέργειά ἐστι τοῦ Λόγου καὶ δωρεά; Καὶ πῶς ἡ δωρεὰ τῷ δωρουμένῳ ὁμοούσιος ἔσται ποτέ; Πῶς κατὰ φύσιν αὐτῷ συνταχθήσεται; Πῶς ἡ ἐνέργεια τὸν αὐτὸν λόγον ἕξει τῆς οὐσίας ἧς ἐστιν ἐνέργεια; Πῶς δὲ καὶ αὐθυπόστατον, εἴπερ ἐνέργεια; οὐ γὰρ παραδέχεται τοῦτο τῆς ἐνεργείας ὁ λόγος. Χωρὶς δὲ τούτων, τί καὶ ὀνομάσεις τὸν Πα- A τέρα; Υἱόν; Ἀλλὰ τοῦ Υἱοῦ. Τοῦ δὲ Πνεύματος τίνα δογματίσεις αἴτιον καὶ ἀρχήν; οὐ τὸν προσεχῆ, οὐ τὸν κυρίως, οὐ τὸν καθ' ἑαυτὸν καὶ δι' αὐτὸν τὸν Υἱὸν δηλαδή; Ταῦτα καὶ σὺ ποῦ τῆς Γραφῆς εὕρηκας; Καὶ πρὸς τούτοις εἰ δωρεά ἐστι καὶ ἐνέργεια αὐτὴ ἡ τοῦ Παρακλήτου ἐνυπόστατος οὐσία, μέτοχοι δὲ τῆς δωρεᾶς ἡμεῖς πρὸς οὓς ἡ δωρεὰ καὶ ἡ ἔλλαμψις ἐνεργεῖται, αὐτῆς ἄρα μετέχομεν τῆς οὐσίας καὶ μεταλαμβάνομεν; Καὶ τίνα λοιπὸν τὴν ἀλήθειαν ἕξει ὁ λέγων ἐνεργείαις μόναις καὶ ἐλλάμψεσι τὸ θεῖον ἡμῖν μεθεκτόν; Τὸ δὲ τοῦ μεγάλου τοῦδε Ἀθανασίου, ὅτι ἐνεργείαις καὶ δυνάμεσιν ἡ ἐπέλευσις τοῦ ἁγίου Πνεύματος γίνεται, ποῖός τις θεραπεύων ἔσται λόγος; Ἔγωγ' οἶμαι, οὐδεὶς, εἴπερ ὑμεῖς ἀληθεύετε. Ταῦτά σοι ἐσχεδίασται πρὸς B τὰ προτεθέντα, βραχέα μὲν τοῦ καιροῦ κατεπείγοντος· ἐχρῆν γὰρ μᾶλλον ὀλίγα εἰπόντας τὴν μετάκλησιν προκαταλαβεῖν, ἢ μακρὰ ῥαψῳδήσαντας ὑστερίσαι τῆς χρείας, καὶ τοῦ σπουδάσματος ἐκπεσεῖν· πλὴν ἱκανά γε, εἰ μὴ ἡμέρας ἀνθρώπου ἐπεθύμησας, καὶ εἰς ματαιότητας ἐπέβλεψας καὶ μανίας ψευδεῖς, περιτρεπόμενον στῆσαι, καὶ τοὺς τῆς ἀμφιβολίας ἀποκρούσασθαι λογισμούς. Καὶ γένοιτο Θεοῦ συναιρομένου, τοὺς μὲν ἀποκρουσθῆναι, σὲ δὲ πάγιον ἐν τἀγαθῷ στῆναι ἐρηρεισμένον, ὑπὸ μηδενὸς σαλευόμενον.

Εἴ τις προτείνοι ὅτι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς δι' Υἱοῦ ἐκπορεύεται, καθὼς τισι τῶν ἁγίων εἴρηται σαφῶς.

Εὐχὴν ἂν εἰπεῖν ὁ τῷ εὐσεβεῖ λογισμῷ συνθέσθαι C βουλόμενος, ὅτι ἐκ Πατρὸς μὲν ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, κατὰ δὲ τὴν τοῦ Σωτῆρος φωνὴν καὶ παράδοσιν τέλειον ἐκ τοῦ Πατρὸς ὑφιστάμενον, κἀκεῖνον ἔχον ἀρχὴν τοῦ εἶναι καὶ αἰτίαν. Εἴρηται δὲ καὶ τῶν ἁγίων ἐνίοις δι' Υἱοῦ παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι, καὶ εὐσεβῶς εἴρηται, οὐχ ὅτι ἀτελὴς ἡ ἐκ τοῦ Πατρὸς τοῦ Πνεύματος ὕπαρξις, οὐδ' ὅτι ὅλως ἔχει τὸν Υἱὸν αἴτιον, ἢ μόνον, ἢ μετὰ τοῦ Πατρὸς, ἀλλ' ὅτι ἐκεῖθεν ἐκ τῆς Πατρικῆς τουτέστιν οὐσίας ὑφιστάμενον, ὡς εἴρηται, τέλειον συμπαρομαρτεῖ τῷ Λόγῳ κατὰ τοὺς εἰρηκότας θεηγόρους, καὶ ἥκει δι' αὐτοῦ καὶ ἀπολάμπει καὶ πέφηνε κατὰ τὴν προαιώνιον αὐτοῦ καὶ ἀΐδιον ἔκλαμψιν, ἢ ὅ τι χρὴ λέγειν κυριώτερον ἄλλο τὸν τὰς ἱερὰς ἀνερευνῶντα Γραφὰς, καὶ ἐπισημαινόμενον ἐκεῖθεν τῶν ὀνομάτων τὰ ἐφαρμόττοντα. Εἶτα ὡς D τοιοῦτόν γε τὸν Λόγον ἴδιον αὐτῷ παρὰ Πατρὸς Πνεῦμα καὶ συμφυὲς καὶ ὁμότιμον χορηγεῖται παρ' αὐτοῦ καὶ ἀποδίδοται τῇ κτίσει, καὶ δεσποτικῶς ἐπιφοιτᾷ τοῖς ἀξίοις, καὶ ὅπου βούλεται πνεῖ, καὶ καινοποιεῖ τοὺς ὑποδεχομένους καὶ ἁγιάζει καὶ τελειοῖ θεοποιοῦν κατὰ χάριν, Θεὸς αὐτὸ τυγχάνον κατὰ φύσιν, καὶ συμπληρωτικὸν τῆς ἐν Τριάδι θεότητος. Ἀσφαλῶς μὲν οὖν ἔχει ταῦτα τὰ δύο μέρη τῆς διαιρέσεως· ἐκεῖνο δ' ὅπερ ἐμπεφάμην ἅμα τῷ τοῦ λόγου κατάρξασθαι, ὅτι ἔφη προτεινόμενος τὴν πεῦσιν, ὡς εἰ μὴ δι' Υἱοῦ συνομολογήσει τις τὸ πανάγιον ἐκπορεύεσθαι Πνεῦμα παρὰ τοῦ Πατρὸς, ἀνάγκη πᾶσα τῷ ἑτέρῳ μέρει συνθέσθαι τῆς διαι-

ρέσεως, ὅτι προσεχῶς ἐκ Πατρὸς, ἀλλ' οὐ δι' Υἱοῦ, ὑποκρύπτειν ἥγημαι τὸν λόγον οὐδὲν ἕτερον, ἢ ὅτι γε εἰ σύνθοιτό τις δι' Υἱοῦ παρὰ Πατρὸς τὸ ἅγιον ἐκπορεύεσθαι Πνεῦμα, αὐτίκα δώσει, ὡς οὐ προσεχῶς ἐκ τοῦ πρώτου, τουτέστιν ἐκ τοῦ Πατρὸς, ἀλλὰ τοῦτο μόνον, ὅτι διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. Ὃ καλῶς ἔχον, ὡς παρὰ τοῦ σοφωτάτου Νύσσης ῥηθὲν, καὶ ἡμεῖς ἀσπαζόμεθα, εἰ ἀπαρνεῖταί τις κἀκ τοῦ πρώτου τὸ προσεχῶς. Ἐπεὶ καὶ ὁ μέγας οὗτος Πατὴρ προσεχῶς ὑπάρχειν τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς εἰρηκὼς, οὐκ εἶπεν ὡς οὐ προσεχῶς ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου, τουτέστι δι' Υἱοῦ ἐκ Πατρός. Ἐντεῦθεν δὲ οὐδὲν ἀπεφήνατο, οὐδ' εἴρηκεν ὅτι οὐ προσεχῶς ἐκ τοῦ πρώτου· εἰ ἄρα διὰ τοῦ προσεχῶς, ἐκ τοῦ πρώτου. Ὃ δὲ μὴ τετόλμηκεν ἐκεῖνος εἰπεῖν, μήτε τις ἄλλος τῶν ὑποφητῶν τοῦ παναγίου Πνεύματος σοφιζόμενος, τίς οὕτω τολμηρὸς καὶ αὐθάδης, νῷ τε ἐννοῆσαι, καὶ προέσθαι διὰ γλώσσης τὸ ῥῆμα;

Ἀναλαμβάνω δὲ τὴν διαίρεσιν, ἵν' ὅπερ δείξειν προυθέμην, ἀποδείξω σαφῶς. Προυθέμην δ' ὅτι οὐ καλῶς ἐκεῖνος προήνεγκεν, ἀλλ' ὥσπερ σοφιζόμενος καὶ πρὸς ἕν τι τῶν ἀτόπων συνελαύνων ἀναγκαίως ἐκ τοῦ λόγου τὸν πρὸς τὴν πεῦσιν ἀπαντῆσαι ᾑρημένον, καὶ δυοῖν τῶν προβληθέντων ἀποκρίνασθαι θάτερον. Τὸ δ' ἦν ἢ παντελῶς τὸ δι' Υἱοῦ ἀπαρνήσασθαι, ἢ εἰ μὴ διαπιστεῖν ἔχοι τοῖς λέγουσιν ἁγίοις, τὸ οὐ προσεχῶς ἐκ τοῦ Πατρὸς ἀποφήνασθαι. Ποίαν τοῦτο ἐκ τῆς ἀληθείας ἔχον ἀνάγκην, εἰ μὴ ἐκ τῆς ἀτόπου μᾶλλον καὶ σοφιστικῆς ἐρωτήσεως; Εἰδὼς γὰρ συναληθεύοντα αὐτῷ ἀμφότερα τὰ μέρη τῆς διαιρέσεως, ἢ ἄμφω μᾶλλον τὰς προτάσεις ὅτι μηδ' ἀντίκεινται ἀλλήλαις, μηδ' ἔστιν ὅλως ἐναντίον καὶ μαχόμενον οὐδὲν ἐν ἀμφοτέροις, εἰ οὕτω προύτεινε τὸν λόγον, ὅτι ἔστι γε τὸ δοξάζειν ὀρθῶς εἰ ἄρα ἐκ Πατρὸς φρονεῖ τις ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ἢ μὴν παρὰ Πατρὸς δι' Υἱοῦ. Ὁ δὲ σχηματισάμενος τὸ πρόβλημα ἑτέρως τοῦ προσεχῶς παρὰ τὴν προκειμένην εἰληφὼς ζήτησιν καὶ παρενθεὶς ἐν τῇ προτάσει, ἔδοξε μὴ μόνον διαλλάττοντα ποιούμενος τὰ μέρη τῆς καινῆς αὐτῷ διαιρέσεως, ἀλλὰ καὶ ἐναντία καὶ ἀξύμβατα ἀλλήλοις καὶ τῇ ἀληθείᾳ μαχόμενα. Πῶς γὰρ οὔ; Ἐπειδήπερ τῷ προσέχοντι τὸν νοῦν τοῖς εἰρημένοις ἑκατέρωθεν ἀμφίκρημνος ὁ λόγος, καὶ παρ' ἕνα πάντως διωθῶν ὄλισθον, ἢ γὰρ αἱρήσεταί τις ἐκφυγεῖν τὸ μὴ προσεχῶς παρὰ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ διαγράψει τοῦ χοροῦ τῶν θεοφόρων ἀνδρῶν τοὺς εἰρηκότας ὅτι δι' Υἱοῦ παρὰ Πατρὸς ἐκπορεύεται, ὡς ἂν εἴη ἐκ Πατρὸς προσεχῶς, ἀλλ' οὐ δι' Υἱοῦ, ὡς ὁ ἐκείνου λόγος φησί· ἢ μὴ πάντη τοὺς εἰπόντας μεμφόμενος, τοὐναντίον μὲν οὖν ἅπαν καὶ πιστεύων εἰρηκέναι καλῶς, εἰ κατὰ τὸν νοῦν αὐτῶν τὸν νοῦν τῶν εἰρημένων ἐκλήψεται, ταῦτα δεδοικὼς καὶ τῇ ἀξιοπιστίᾳ τούτων συνθέμενος οὐδὲ οὕτω διαδράσει τὸν κίνδυνον. Εἴη γὰρ ἂν ἑλόμενος ἐκεῖνο, ὅτι δι' Υἱοῦ παρὰ Πατρὸς τὸ Πνεῦμα, ἀλλ' οὐ προσεχῶς παρὰ

A Πατρὸς ἐκπορεύεται. Οὐχ οὕτω δὲ τῇ ἀληθείᾳ δοκεῖ· προσεχῶς γὰρ ἐκ τοῦ Πατρὸς, εἰ καὶ δι' Υἱοῦ παρὰ Πατρὸς ἐκπορεύεται, ὅτι ἅμα ἐκ Πατρὸς ὁ Υἱός τε καὶ τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ὁμοδόξως, ὡς ὁ μέγας εἶπεν ἐν θεολογίᾳ Γρηγόριος.

Κἀν τῷ πρώτῳ τῶν Ἀντιῤῥητικῶν ὁ Νύσσης φησί· Πατὴρ μὲν ἄναρχος καὶ ἀγέννητος, καὶ ἀεὶ Πατὴρ νοεῖται, ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστάτως ὁ μονογενὴς Υἱὸς συνεπινοεῖται· δι' αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ πρίν τι κενὸν καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα εὐθὺς τὸ Πνεῦμα τὸ ἅγιον συνημμένως καταλαμβάνεται, οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν Υἱὸν, ὥστε ποτὲ τὸν μονογενῆ Υἱὸν δίχα τοῦ Πνεύματος νοηθῆναι, ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι, B ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν, ἐκ τοῦ Πατρὸς κατὰ τὸ προσεχὲς ἀδιαστάτως συνεπινοεῖσθαι τὸν Υἱὸν ἀνεφώνησε, δι' αὐτοῦ δὲ καὶ μετ' αὐτοῦ συγκαταλαμβάνεσθαι τὸ Πνεῦμα τὸ ἅγιον. Μετ' αὐτοῦ, φησὶν, εἰ καὶ δι' αὐτοῦ. Εἰ μετ' αὐτοῦ ἐκ τοῦ Πατρὸς, ὅθεν καὶ τὴν αἰτίαν ἔχει τοῦ εἶναι, πῶς οὐ προσεχῶς ἐκ τοῦ Πατρὸς μετὰ τοῦ Υἱοῦ; Ὅτι προσεχῶς ὁ Υἱὸς παρὰ τοῦ Πατρὸς, καὶ ταῦτα δι' αὐτοῦ καὶ μετ' αὐτοῦ καταλαμβανόμενον συνημμένως, πρίν τι κενὸν καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα. Εἰ δὲ μὴ κενὸν καὶ ἀνυπόστατον παρεμπίπτει νόημα, ποῦ σοι χώραν ἕξει τὸ μὴ προσεχές; Ταῦτα μὲν οὖν ἐπὶ τοσοῦτον, καὶ, οἶμαι, ἱκανῶς ἡμῖν εἴρηται, πῶς τε οὐκ ἀσφαλὴς τοῖς οὑτωσὶ προτείνουσιν ἡ ἐρώτησις, τίς τε ὁ πρὸς αὐτοὺς ἔλεγχος, οἷά τε καὶ ὅθεν ἡ C τῆς ἀληθείας ἀπόδειξις.

Κἀκεῖνο δὲ ἀσύμφωνον αὐτῷ καὶ τοῖς λόγοις αὐτοῦ· δοκεῖ γὰρ διαπαντὸς τοῖς μὲν λέγουσιν ὅτι ἐκ Πατρὸς καὶ Υἱοῦ ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, μὴ τελέως ὅθεν συντίθεσθαι, ἀποδέχεσθαι δὲ μᾶλλον τοὺς εἰρηκότας ὅτι ἐκ Πατρὸς δι' Υἱοῦ, καλῶς ποιῶν, εἰ ἄρα γε ὀρθῶς τῶν ταῦτά γε φαμένων ἐκλαμβάνει τὸν νοῦν. Πλὴν ἔστιν ὅπου καὶ ἐν πλείστοις αὐτὸς πρὸς ἑαυτὸν δοκεῖ διαφέρεσθαι. Τί δὴ λέγων; Νῦν μὲν ὃ καὶ πρὸς τῷ τέλει μᾶλλον εἴρηκε τοῦ λόγου, ὡς οὐκ ἂν ἐκ τοῦ Υἱοῦ προηγουμένως λεχθείη τὸ πανάγιον Πνεῦμα, ἀλλ' ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ. Χρεὼν γὰρ, φησὶν, ὁμολογεῖσθαι τὴν πατρικὴν ὑπόστασιν ἀρχὴν καὶ αἰτίαν καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος αὐτοῦ, μόνος γὰρ αἴτιος ὁ Πατὴρ, καὶ D οὐκ ἂν εἴη αἴτιον ἀρχικὸν ὁ Υἱός. Μέχρι τούτων ὑγιὴς ἴσως ὁ λόγος αὐτοῦ, εἰ μή τις τὸ ἀρχικὸν αἴτιον ὑποπτεύσειε, κἀκεῖνο δὲ, ὅτι οὐκ ἂν ἐκ τοῦ Υἱοῦ προηγουμένως λεχθείη τὸ Πνεῦμα τὸ ἅγιον. Τὸ μὲν γὰρ τὸ πρῶτον εἰ μὴ καθ' ἑαυτὸ, καὶ οἱονεί πως ἄσχετον καὶ ἀσύγκριτον, νοοῖτο ἂν αὐτῷ τὸ ἀρχικὸν αἴτιον, οὕτω δὴ λέγοντι, καὶ ὡς μηδὲν ὑπερανα-βεβηκὸς ἔχον ἕτερον, ἀλλ' ὅτι μετ' αὐτοῦ αἴτιον ὁ Υἱὸς, ἓν μὲν μετ' αὐτοῦ, ἵνα μὴ δύο νομίζοιτο αἴτια. Φεύγοντί γε οὕτω τὸ προδήλως κακὸν, οὐ μὴν δὲ τὸ ἀρχικὸν, μόνος γὰρ οὗτος αἴτιος ὁ Πατήρ.

Ὁ αὐτὸς γὰρ καὶ τάδε φησὶν, ὅτι ὡς ἐκ πρώτης αἰτίας καὶ ἀρχῆς τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον,

OCR ABK / FR

καλῶς ἂν λέγων, εἰ καφ' ὃν διεστειλάμεθα νῦν τὴν σημασίαν ἦν ἐφερμηνεύων τῶν λέξεων. Πλὴν οἱ μὴ κατὰ τὸ ἄσχετον ἐκεῖνος· ὥσπερ ἔφην, καὶ καθ' ἑαυτὸ ἀσύγκριτον, ἀλλὰ κατὰ τὸ παρὰ τοῦτο εἰρημένον ἐκλαμβάνει τὴν δήλωσιν τοῦ ἀρχικοῦ καὶ πρώτου αἰτίου· ὅτε λέγει τοῦτο εἶναι τὸν ἀγέννητον Πατέρα ἐπὶ τῆς τοῦ παναγίου Πνεύματος ἐκπορεύσεως, βλάσφημον ἡγοῦμαι παντελῶς τὴν διάνοιαν. Οὔτε γὰρ τὸ, μόνος αἴτιος ὁ Πατὴρ, ἔγων σωθήσεται, οὐδὲ γὰρ ὁ εἰρηκὼς ἅγιος διεστείλατο ὅτι μόνος ὁ Πατὴρ αἴτιος, ἀρχικὸν καὶ τῆς αἰτίας μόνο ἔδειξεν αὐτὸν αἴτιον.

Κἀκεῖνο δὰ, ὁ μὴ τοῦτο ἔχειν οὕτω δεχόμενος, πῶς ἂν παραλογιεῖται ὅ ὁ μέγας εἶπεν ἐν Θεολογίᾳ Γρηγόριος; Πάντα, λέγων, ὅσα ἔχει ὁ Πατὴρ, τοῦ Υἱοῦ πλὴν τῆς αἰτίας. Ἐκ τούτου δέ πεφώραται κἀκεῖνο ὡς οὐκ ὀρθῶς ἴσως ἐῤῥέθη. Ποῖον δὴ κἀκεῖνο. Τὸ ὡς οὐκ ἂν ἐκ τοῦ Υἱοῦ προηγουμένως λεχθείη, ἀλλ' ὅτι καὶ ῥηθείη ὅλως ὡς ἐξ αἰτίας αὐτοῦ. Εἰ μὲν γὰρ ὡς ἐκ τοῦ Πατρὸς τέλειον ἔχον τὸ εἶναι, καὶ μόνον αὐτὸν αὐχοῦν αἴτιον, κἀκεῖθεν ἅμα δὴ συμπροϊὸν τῷ Υἱῷ κατὰ τὴν ἑαυτοῦ ἰδιότητα, ἅμα τε ἧκον διὰ τούτου, καὶ δι' αὐτοῦ καὶ παρ' αὐτοῦ ἐκλάμπον, ὡς ἐξ ἡλίου φῶς σὺν τῇ ἀκτῖνι, καὶ διὰ τῆς ἀκτῖνος, ἢ κἀκ τῆς ἀκτῖνος, ἀπολάμπον τε καὶ φαινόμενον, οὐδὲ γὰρ ἀποσταίην ἂν τοῦ ὑποδείγματος τούτου, καὶ αὐτὸς σύμφημι, κατὰ ταύτην γὰρ πολλάκις τὴν εἰκόνα καὶ ἐκ τοῦ Υἱοῦ ὑπάρχειν τὸ πανάγιον Πνεῦμα τοῖς Πνευματοφόροις εἴρηται ἀνδράσι, καὶ ἐκ τῆς οὐσίας τούτου προϊέναι τε καὶ προέρχεσθαι καὶ ἀναβλύζειν καὶ πηγάζειν καὶ προχεῖσθαι, κἄλλα τε ὅσα τὴν ὁμοίαν δήλωσιν ἔχει· εἰ δ' ὡς ἐξ ἀρχικῆς καὶ πρώτης αἰτίας κατὰ τὴν προειρημένην ἑρμηνείαν ἐκ Πατρὸς προηγουμένως λεχθείη, εἶθ' ὁμοῦ κἀκ τοῦ Υἱοῦ ὡς ὅλως αἰτίας, παντελῶς ἀλλότριον τὸ δόγμα, καὶ τῇ ἀληθείᾳ πολέμιον. Οὐ πᾶν γὰρ τὸ ἔκ τινος ὑπάρχον ἤδη ἔχει καὶ τὴν ὕπαρξιν ἐκεῖθεν· ὑπάρχει δὲ ἅπαν μάλιστα ἐκεῖθεν ὅθεν καὶ τὴν ὕπαρξιν ἔσχηκεν.

Πλὴν κἀκεῖνο περιεργάζομαι, καὶ δικαίως ἴσως περιεργάζομαι· πῶς εἰπὼν ὅτι χρεὼν ὁμολογεῖσθαι τὴν Πατρικὴν ὑπόστασιν ἀρχὴν καὶ αἰτίαν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος αὐτοῦ, μόνος γὰρ αἴτιος ὁ Πατὴρ, καὶ οὐκ ἂν εἴη αἴτιον ἀρχικὸν ὁ Υἱὸς ὄντος αὐτῷ αἰτίου, εἶτα ἐπήγαγε, Μίαν γὰρ ἀρχὴν τὸν Πατέρα τὸν ἄναρχον δογματίζομεν, καὶ κτίσεως καὶ θεότητος, τῆς κτίσεως ποιητικὴν, φυσικὴν τῆς θεότητος. Οὐδὲ γὰρ ταῦτά γε τελέως ὑποψίας ἐκτός. Ἐρεῖ γὰρ ὁ διευθύνων τὸν λόγον, καὶ δικαίως ἴσως ἐρεῖ· Τί δὴ βουλόμενος ἐντεῦθεν; Τὴν μὲν ἀπόδοσιν περὶ τῆς θεολογίας ἐποιεῖτο τοῦ Πνεύματος, ὅτι ἐκ Πατρὸς δι' Υἱοῦ . . . . . δὲ τοῦ Πατρὸς ἀρχικὸν καὶ πρῶτον αἴτιον, καὶ μόνος ἀρχὴ καὶ αἰτία Υἱοῦ τε καὶ Πνεύματος, μετενήνοχε δὲ ὥσπερ ἐξεπίτηδες τὸν λόγον ἐπὶ τὴν κτιστὴν οὐσίαν καὶ τρεπτὴν, καὶ ὑπὸ χρόνον κινουμένην ἢ μένουσαν. Τὸ γὰρ ὑπόδειγμα τοῦ λόγου, ὅτι, φησὶ, ταῦτα λέγοντες ὅσαπερ ἐῤῥέθη, ὡς οὐκ ἂν ἐκ τοῦ Υἱοῦ προηγουμένως λεχθείη τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ. Χρεὼν γὰρ ὁμολογεῖσθαι τὴν Πατρικὴν ὑπόστασιν

A ἀρχὴν καὶ αἰτίαν τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Μόνος γὰρ αἴτιος ὁ Πατὴρ, καὶ οὐκ ἂν εἴη αἴτιον ἀρχικὸν ὁ Υἱὸς, ὄντος αὐτῷ αἰτίου τοῦ Πατρός. Φαμὲν δὴ ταῦτα, φησὶν, ἐπειδὴ μίαν ἀρχὴν τὸν Πατέρα τὸν ἄναρχον δογματίζομεν καὶ κτίσεως καὶ θεότητος· τῆς κτίσεως ποιητικὴν, τῆς θεότητος φυσικήν. Ἀλλ' οὐδὲν ἁρμόζων τῷ σκοπῷ τῶν εἰρημένων ὁ λόγος. Μόνος γὰρ αἴτιος ὁ Πατὴρ Υἱοῦ καὶ Πνεύματος, τοῦ μὲν κατὰ γέννησιν, τοῦ δὲ κατὰ τὴν ἐκπόρευσιν. Τὰ δὲ αἰτιατὰ καὶ ἄμφω ἐκ τοῦ Πατρός· Οὐδὲν δὲ ὅλως αἴτιον θάτερον θατέρου, οὔτε μόνον, οὔτε μετὰ τοῦ Πατρός. Οὐκ ἄρα κοινωνεῖ ὅλως ὁ Υἱὸς τῷ Πατρὶ κατὰ τὸν τῆς αἰτίας λόγον ἐπὶ τῇ ἐκπορεύσει καὶ ὑπάρξει τοῦ Πνεύματος. Οὗτος ὁ τῆς ἀληθείας λόγος. Ταῦτα ἂν εἶχε συμπεραίνουσα καλῶς ἡ ἀπόδοσις. Ὁ δὲ ἐπὶ τὴν ποιητικὴν αἰτίαν μεταβαίνει. Μεταβαίνει δὲ οὐκ B οἶδ' ὅ τι βουλόμενος. Πλὴν ἀπειή δὲ τὸ βλάφημον τοῦ λόγου.

Χρὴ μὲν οὖν διερευνῆν πῶς ἄρα λέγει δογματίζειν τὸν ἄναρχον Πατέρα ἀρχὴν μίαν καὶ κτίσεως καὶ θεότητος· ποιητικὴν τῆς κτίσεως, φυσικὴν τῆς θεότητος. Εἰ μὲν κατὰ ταυτὸν κτίσεως καὶ θεότητος, λέγω δὲ ὅπερ οὐκ αὐτὸς διεστείλατο, εἴη δ' ἂν ὡς καθάπερ ἐπὶ τῆς θεότητος οὐδὲν ἕτερον τῶν τριῶν προσώπων ἀρχὴ Υἱοῦ τε καὶ Πνεύματος, εἰ μὴ ὁ Πατὴρ μόνος· οὕτω δὴ καὶ ἐπὶ τῆς κτίσεως, Ὁ Πατὴρ μία ἀρχὴ καὶ μόνη ἀρχή. Βαβαὶ τῆς βλασφημίας! ἐξεῖλε γὰρ ὁ λόγος τῆς ποιητικῆς αἰτίας τῶν κτισμάτων τὸν Υἱὸν καὶ τὸ πανάγιον Πνεῦμα. Καὶ πῶς δημιουργὸς ὁ Υἱός; πῶς δὲ συνδημιουργὸς ὁ Παράκλητος; πῶς δὲ διὰ τοῦ Λόγου πάντα ἐγένετο, C καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἓν ὃ γέγονε; Πῶς αἰώνων ποιητὴς ὁ Υἱός; Δι' αὐτοῦ, γὰρ, φησὶ, καὶ τοὺς αἰῶνας ἐποίησε. Πῶς τε τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος; Μᾶλλον δὲ πῶς ὁ Πατὴρ δι' Υἱοῦ ἐν Πνεύματι ἁγίῳ πᾶσαν τὴν κτιστὴν ὑπέστησε φύσιν, ὅση ὁρατὴ καὶ ὅση ἀόρατος, ἐξ οὗ καὶ δημιουργὸς εἷς ἡ Τριὰς, καὶ ἀρχῆς; . . . . τὸν λόγον τοῦτον, μία καὶ αἰτία τῷ ταυτῷ τῆς ἐνεργείας καὶ βουλήσεως καὶ δυνάμεως, εἰ ταῦτα οὕτως, καὶ οὐδεὶς ἄλλως ἐρεῖ, ὥς τις ἀληθὴς προσκυνητὴς τῆς ἁγίας Τριάδος, δῆλον, ἐπὶ μὲν τῆς θεολογίας ἄσχετον· ἵν' ὁμοίως αὖθις ἐρῶ καὶ καθ' ἑαυτὸ, καὶ ἀσύγκριτον, τὸ ἀρχικὸν καὶ πρῶτον ἐκλαμβάνεται αἴτιον, ἄσχετον δὲ λέγων ἐπὶ τὸ αἰτιατὸν νῦν ὁ λόγος ὁρῶν φησὶ, σχέσεως γὰρ ταῦτα μᾶλ- D λον ὀνόματα, ἀλλ' ὅτι μὴ πρὸς ἄλλο λέγεται αἴτιον πρῶτον αὐτὸ καὶ ἀρχικὸν λεγόμενον αἴτιον. Ἐπὶ δὲ τῆς κτιστῆς καὶ ὑπὸ γένεσι φύσεως, οὐχ ὅτι δεῖ τῆς ποιητικῆς αἰτίας τὸν δημιουργὸν ἐξάγειν Υἱὸν, καὶ τὸ συνδημιουργὸν καὶ τελεσιουργὸν Πνεῦμα, μόνον ἂν ῥηθείη ὁ Πατὴρ αἴτιον, ἀλλὰ καὶ ἀρχικὸν πρῶτον αἴτιον ὁ Πατὴρ' ὅτι παρ' αὐτοῦ τὸ εἶναι τῷ Υἱῷ καὶ τῷ Πνεύματι. Καὶ πάντα δὲ τὰ τοῦ Μονογενοῦς καὶ τοῦ Πνεύματος εἰς αὐτὸν τὴ πρώτην ἀναφέρεται αἰτίαν, ἄλλην σὺν αὐτῷ καὶ μετ' αὐτοῦ ὁ Υἱὸς καὶ τὸ πανάγιον Πνεῦμα, ἀρχὴ μία καὶ αἰτία τῆς τῶν ὄντων παραγωγῆς καὶ συστάσεως. Ὅτι ὥσπερ οὐ μεμέρισται τῇ φύσει τὰ τρία, οὔτε τῇ

OCR ABK / FR

δυνάμει, οὔτε τῇ βουλήσει, οὔτε μὴν τῇ ἐνεργείᾳ μεμέρισται. Κἀνταῦθα ἓν ὄντα τὰ τρία καὶ λεγόμενα αἴτιον, εὐσεβῶς καὶ νοηθήσεται καὶ ῥηθήσεται, ἐπειδὴ τὸ ἓν οὐχὶ συγχέει τὰ πρόσωπα. Ἐκεῖ δὲ εἰ συμπαραληφθείη ὁ λόγος τῷ Πατρὶ καὶ τὸν Υἱὸν αἴτιον ἐπὶ τῇ τοῦ ἁγίου Πνεύματος ἐκπορεύσει· οὐ λέγω ὅπως ἀτελῆ τὴν ἐκ Πατρὸς τοῦ Πνεύματος δηλώσειν ὕπαρξιν, ἐπεὶ καὶ ὁ Υἱὸς αἴτιος. Λέγω δ' ὅτι καὶ εἰς ἓν συνέλοι τὰ δύο, καὶ οὐκ ἔσται δῆλον εἰ Πατὴρ καὶ Υἱὸς, ἢ Πατὴρ μόνον ἀμφότερα, ἢ μόνον Υἱὸς, εἰ μὴ τὸ τῆς αἰτίας καὶ ἀρχῆς κωλύσειεν ὄνομα, καὶ εἰς Πατέρα μᾶλλον ἀναλύσει ἢ Υἱὸν τοῦ Πατρὸς καὶ τοῦ Μονογενοῦς ὄνομα, ὅτι μὲν οὖν οὐχ ὅτι χρὴ καὶ ἐπὶ τῆς φυσικῆς αἰτίας διανοεῖσθαι, καθ' ἣν ὁ μὲν Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς, τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἐκπορευτῶς ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, ὡς ἀρχικὸν μὲν καὶ πρῶτον αἴτιον νοεῖν τὸν Πατέρα, συμπαραλαμβάνειν δὲ ὅλως καὶ τὸν Υἱὸν αἴτιον ἐπὶ τῇ ὑπάρξει τοῦ Πνεύματος, καθ' ὃν, ὥς φασιν ἐκεῖνοι, τρόπον καὶ ἐπὶ τῆς ποιητικῆς αἰτίας ἀρχικὸν καὶ πρῶτον αἴτιον ῥηθήσεται ὁ Πατὴρ οὐκ ἀποξενοῦντες τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τῆς δημιουργικῆς αἰτίας τῶν κτισμάτων, σαφῶς ὁ λόγος καὶ μετὰ ἀληθείας ἀπέδειξε.

Ποῦ γὰρ ἂν εἴη ἄλλως ἀρχικὴ καὶ πρώτη αἰτία τοῦ Μονογενοῦς καὶ τοῦ Πνεύματος, ὁ προάναρχος Πατὴρ καὶ ἀναίτιος, εἰ μὴ καθ' ἣν δὴ μόνην ὑπεσημηνάμεθα δήλωσιν; Τὸ δέ ἐστιν ὡς οὐκ ἔστιν ἄλλη πρὸ αὐτῆς ὑπεράρχιος· ἢ γὰρ ἂν ἐκείνη ἦν ὁ Πατήρ. Οὐ μὴν ὅτι κατὰ τοῦτο ἀρχική τε καὶ πρώτη, ὡς ἂν τις ἄλλη μετ' αὐτοῦ ἢ σὺν αὐτῷ ταῖς ἐπινοίαις συντάττοιτο. Ἔστω δὲ ὁ Υἱὸς, καθά τινες τῶν ἀλλοτρίων ἐφρόνησαν, ἐπὰν παρὰ Πατρὸς τὸ Πνεῦμα ἐκπορεύεσθαι λέγοιτο, ἢ παρὰ Πατρὸς τὸ Πνεῦμα δι' Υἱοῦ, οὕτω γὰρ ἂν, ἢ ὡς ἐκ δυοῖν αἰτίαιν Πατρὸς καὶ Υἱοῦ, ἢ ὡς ἐκ μιᾶς ἀμφοῖν τὸ πανάγιον ἔσται Πνεῦμα, φέρει δὲ εἰς μίαν βλασφημίαν ἀμφότερα, κἂν ἐν τοῖς ἐναντίοις εὑρίσκηται· Μόνος ὁ Πατὴρ, φησὶν αἴτιος, εἰ καὶ ἐκ Πατρὸς δι' Υἱοῦ τὸ πανάγιον ἐκπορεύεται Πνεῦμα. Πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ, πλὴν τῆς αἰτίας, τῆς φυσικῆς αἰτίας δηλονότι. Τῆς γὰρ ποιητικῆς οὐδὲ οἱ τὴν ὁμοτιμίαν ἀθετοῦντες τῆς φύσεως ἐτόλμησαν φθέγξασθαι. Ὃ δὲ οἱ θεοκήρυκες Πατέρες καὶ ὑποφῆται τοῦ Πνεύματος παρ' αὐτοῦ ἐνηχηθέντες, ἢ καὶ μυηθέντες τοῦ Πνεύματος, σαφέσιν οὕτω καὶ προδήλοις ὀνόμασί τε καὶ ἐννοίαις παρέδοσαν, τίς ἔσται τοσοῦτον ἐναργῶς τῆς ἑαυτοῦ ψυχῆς καὶ σωτηρίας ἐπίβουλος, ὡς τοῦτο μὲν παριδεῖν, εἶτ' ἀφέμενος ἐκείνοις τε καὶ τοῖς ἐκείνων ὡς ἀληθέσι πάνυ βεβαίοις θαῤῥεῖν, τὸν νοῦν ἐνδοῦναι τῇ τῶν νέων διδασκάλων πλάνῃ συμφέρεσθαι.

Συμφέροιτο δ' ἂν τῇ πλάνῃ τῇ ἐκείνων ὃς παρὰ τῶν ἱερῶν Εὐαγγελίων ἔν τε τῷ συμβόλῳ τῆς πίστεως ἀναμαθὼν παρὰ Πατρὸς ἐκπορευόμενον τὸ Πνεῦμα τὸ ἅγιον, εἶτ' ἐνίοις τῶν ἁγίων ἐντυγχάνων δι' Υἱοῦ παρὰ Πατρὸς ἐκπορευόμενον λέγουσι, προχεῖσθαί τε οὐσιωδῶς καὶ πεφηνέναι, ἢ καὶ προϊέναι καὶ ἐκλάμπειν ἐξ ἀμφοῖν, ἢ μὴ παρὰ Πατρὸς δι' Υἱοῦ, οὐ πρὸς τὴν ὀρθὴν ἐκδέχεται τὰς ῥήσεις διάνοιαν, οὐδὲ

A πείθεται αὐτοῖς ἐκείνοις εἰρηκόσιν, ἄλλοις τε ὁπόσοι τοῦ αὐτοῦ μετέσχον πληρώματος· ὅτι μόνος ὁ Πατὴρ αἴτιος· ὅτι πάντα ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ πλὴν τῆς αἰτίας. Οὐδὲ γὰρ ἀφέξομαι τῶν θείων τούτων τῆς θεολογίας φωνῶν· ὅτι πρὸς ἓν αἴτιον τὸν Πατέρα, ὁ Υἱὸς καὶ τὸ πανάγιον ἀναφέρεται Πνεῦμα· ὅτι ῥίζα καὶ πηγὴ Υἱοῦ καὶ Πνεύματος ὁ Πατήρ· ὅτι μόνος ἀγέννητος καὶ μόνος πηγὴ τῆς θεότητος ὁ Πατήρ· καὶ τὰ πλείω παραλέλοιπεν ὁ λόγος τὸ ἀσύμμετρον ὑφορώμενος· πλὴν ταῦτα πάντα παρίστησι σαφῶς τῷ τὴν ἀλήθειαν ἀπεριέργως βουλομένῳ ζητεῖν οἵας ἔχονται ἐννοίας αἱ ἀνατεταγμέναι τῶν ἁγίων φωναὶ, ἐπὰν ἐῤῥέθη τούτοις δηλονότι ὅτι ἐκ Πατρὸς τὸ Πνεῦμα δι' Υἱοῦ ἐκπορεύεται ἢ ὑπάρχει, καὶ ἐκλάμπει καὶ προχεῖται καὶ πέφηνε, καὶ πᾶν εἴ τι τοιουτότροπον ἕτερον.

B Σημαίνει δὲ αὐτὰ δὴ ταῦτα ἃ τρανῶς ὁ μέγας ἑρμηνεύει Βασίλειος, οὑτωσὶ φάσκων· Ἐπειδὴ τὸ ἅγιον Πνεῦμα, ἀφ' οὗ πᾶσα ἐπὶ τὴν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία πηγάζει, τοῦ Υἱοῦ μὲν ἤρτηται ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται, τῆς δὲ τοῦ Πατρὸς αἰτίας ἐξημμένον ἔχει τὸ εἶναι, ὅθεν καὶ ἐκπορεύεται, τοῦτο γνωριστικὸν τῆς κατὰ τὴν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, μετὰ τοῦ Υἱοῦ καὶ σὺν αὐτῷ γνωρίζεσθαι, καὶ τὸ ἐκ τοῦ Πατρὸς ὑφεστάναι· ὁ δὲ Υἱὸς ὁ τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων μόνος μονογενῶς, ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδεμίαν κατὰ τὸ ἰδιάζον τὴν κοινωνίαν τῶν γνωρισμάτων ἔχει πρὸς τὸν Πατέρα, ἢ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ τοῖς εἰρημένοις σημείοις μόνος γνωρίζεται.

C Καὶ ὁ ἅγιος Γρηγόριος Νύσσης. Τῷ Πατρὶ κατὰ τὸ ἄκτιστον συναπτόμενον τὸ Πνεῦμα τὸ ἅγιον, πάλιν αὐτοῦ τῷ μὴ Πατὴρ εἶναι καθάπερ ἐκεῖνος διαχωρίζεται. Τῇ δὲ πρὸς τὸν Υἱὸν κατὰ τὸ ἄκτιστον συναφείᾳ, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ Θεοῦ τῶν ὅλων ἔχειν, ἀφίσταται πάλιν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενῶς ἐκ τοῦ Πατρὸς ὑποστῆναι καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ Υἱοῦ πεφηνέναι καὶ ἐν τοῖς ἀνωτέρω ῥηθεῖσιν. Ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων καὶ αὐτὸ τὸ Πνεῦμα δηλαδὴ τὴν αἰτίαν ἔχον τοῦ εἶναι ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς, διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν οὔτε διαστήματι οὔτε φύσεως ἑτερότητι τοῦ Πατρὸς ἢ τοῦ Μονογενοῦς ἀποτέμνεται.

Ὁ αὐτὸς αὖθις συγγραφόμενος τὸν βίον τοῦ ὁμω-
D νύμου καὶ Θαυματουργοῦ Γρηγορίου, καὶ τὴν ἀποκάλυψιν τῆς πίστεως ἐκτιθέμενος, ἣν ὁ μέγας εὐαγγελιστὴς Ἰωάννης ἐπιστὰς ἐκείνῳ δι' ὀπτασίας ἐδίδαξεν· ἡ δέ ἐστιν, Εἷς Θεὸς Πατὴρ Λόγου ζῶντος σοφίας ὑφεστώσης καὶ δυνάμεως καὶ χαρακτῆρος ἀϊδίου, τέλειος τελείου γεννήτωρ, Πατὴρ Υἱοῦ μονογενοῦς, εἷς Κύριος, μόνος ἐκ μόνου, Θεὸς ἐκ Θεοῦ, χαρακτὴρ καὶ εἰκὼν τῆς θεότητος, Λόγος ἐνεργὸς, σοφία τῆς τῶν ὅλων συστάσεως περιεκτικὴ, καὶ δύναμις τῆς ὅλης κτίσεως ποιητικὴ, Υἱὸς ἀληθινὸς ἀληθινοῦ Πατρὸς, ἀόρατος ἀοράτου, καὶ ἄφθαρτος ἀφθάρτου, καὶ ἀθάνατος ἀθανάτου, καὶ ἀΐδιος, ἀϊδίου. Ἓν Πνεῦμα ἅγιον ἐκ Θεοῦ τὴν ὕπαρξιν ἔχον. Καὶ οὐδεὶς ἔγνω

OCR ABK / FR

τὸν Πατέρα εἰ μὴ ὁ Υἱός. Καὶ ἡ Τριὰς ὑφ' ἑαυτῆς μόνης γινώσκεται. Νοῦν δὲ, φησὶ, Κυρίου τίς ἔγνω; ἐπὶ δὲ τὰ ἔσχατα τῆς σοφίας αὐτοῦ τίς ἀφίκετο; Καὶ εἰ σοφίαν ἀγνοοῦμεν Θεοῦ, καὶ πρὸ ἡμῶν ἄγγελοι οἱ τῆς ὑψηλοτέρας καὶ νοερωτέρας ὄντες θεωρίας καὶ γνώσεως, πῶς ἂν αὐτοῖς τοῖς τοῦ Θεοῦ ἐμβατεύσωμεν; Διὰ τοῦτο ἐπὶ τῶν πατρικῶν ὅρων ἱστάμενοι μηδέν τι πλέον τῶν τοῖς Πατράσιν εἰρημένων ἐπιζητήσωμεν. Εἰρήκασι μὲν γὰρ κἀκεῖνοι, ἀλλ' ἀφ' ἑαυτῶν μὲν οὐδὲν, ὅσα δὲ ἐκ τῆς θεοπνεύστου Γραφῆς ἐδιδάχθησαν, ἢ παρὰ τοῦ παναγίου ἐμυήθησαν Πνεύματος. Τὰ δ' ἄλλα ἔθετο, φησὶ, σκότος ἀποκρυφὴν αὐτοῦ· καὶ τίς τῷ ὑπερβάλλοντι φωτὶ τῆς δόξης ἀτενίσας, καὶ μηδὲ τῇ πέτρᾳ σκεπασθεὶς τὸν θεόπτην ὑπερῆρε Μωσῆν, μόλις κατοπτεύσαντα τοῦ Θεοῦ τὰ ὀπίσθια;

Οἱ δὲ καὶ πρὸς τὸ μόνος ἐνίστανται, καὶ τί καινὸν, φασὶν, ἀπὸ τοῦ λόγου, εἰ μόνον οὕτω τὸν Πατέρα παραδίδωσιν αἴτιον; Μόνον γὰρ καὶ τὸν Σωτῆρα χορηγὸν τοῦ Πνεύματος ὁ μέγας Ἀθανάσιος εἴρηκεν, οὐχ ὅτι μὴ καὶ ὁ Πατὴρ χορηγός ἐστι τοῦ Πνεύματος. Λέγει δὲ καὶ ἐν Εὐαγγελίοις ὁ Κύριος περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας, μηδένα εἰδέναι, μηδὲ τοὺς ἀγγέλους αὐτοὺς, εἰ μὴ τὸν Πατέρα μόνον, οὐχ ὡς ἀγνοοῦντος πάντως τοῦ Υἱοῦ, ἢ μὴν τοῦ παναγίου Πνεύματος. Καὶ αὖθις ὁ Υἱὸς πρὸς τὸν ἑαυτοῦ Πατέρα φησὶν, Αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν. Εἰ μόνος ἀληθινὸς Θεὸς ὁ Πατὴρ, πῶς Θεὸς καὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα; Λέγεται δὲ, φασὶν, ἐκεῖ μὲν ὅτι πᾶσά τις ἑτέρα γνῶσις τῶν γεννητῶν ἐξαργεῖ, ἐνταῦθα δὲ ἵνα πᾶς τις ἑτεροφυὴς Θεὸς ἀποπέμπηται. Καλῶς μὲν ἐπὶ τούτων, οὐκ ἀσφαλῶς δὲ ὅταν περὶ αὐτῶν ποιῆται τῶν ἰδιωμάτων τὴν διδασκαλίαν ἢ θεολογίαν ὁ λόγος τῶν θεαρχικῶν ὑποστάσεων. Μόνος ὁ Πατὴρ ἀγέννητος, ὅτι ὁ Υἱὸς γεννητὸς, τὸ δὲ Πνεῦμα ἐκπορευτόν. Μόνη πηγὴ καὶ ῥίζα Υἱοῦ καὶ Πνεύματος ὁ Πατὴρ, ὅτι μὴ πηγὴ μηδὲ ῥίζα τῆς θεότητος ὁ Υἱὸς, ἢ τὸ Πνεῦμα τὸ ἅγιον. Ἀρχὴ γὰρ ὅλης τῆς θεότητος ὁ Πατὴρ, καὶ μία ἀρχὴ καὶ μία αἰτία. Ταῦτα λεγόμενος ὁ Πατὴρ, τούτοις καὶ τῷ ἀγεννήτῳ τε καὶ ἀναιτίῳ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος διαστέλλεται, οὐ τῶν ἀντιθέων ἢ καὶ ψευδομένων θεῶν. Ὁ μὲν γὰρ Πατὴρ, φησὶν, ἀναίτιος καὶ ἀγέννητος, οὐ γὰρ ἔκ τινος, οὐδὲ ἐξ αὐτοῦ τὸ εἶναι ἔχει· ὁ δὲ Υἱὸς ἐκ τοῦ Πατρὸς γεννητῶς. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον καὶ αὐτὸ μὲν ἐκ τοῦ Πατρὸς, ἀλλ' οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς. Καὶ αὖθις τὸ Πνεῦμα τὸ ἅγιον Πνεῦμα τοῦ Πατρὸς, ὡς ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ Υἱοῦ δὲ Πνεῦμα, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, μόνος γὰρ αἴτιος ὁ Πατήρ. Μόνος, ὅτι μὴ καὶ ὁ Υἱὸς αἴτιος.

Πρόδηλος ἡ τῶν λεγομένων ἀκολουθία. Εἰπὼν γὰρ ὅτι ἐκ Πατρὸς δι' Υἱοῦ τὴν ὑποψίαν πᾶσαν ἀνεῖλεν. Εἰ καὶ δι' Υἱοῦ τὸ Πνεῦμα παρὰ Πατρὸς ἐκπορεύεσθαι λέγεται, ἀλλά γε δὴ, φησὶ, μὴ γάβῃς ὅλως εἰς νοῦν αἴτιον τυγχάνειν τὸν Μονογενῆ τῷ Παρακλήτῳ ἐπὶ τῇ τοῦ εἶναι προόδῳ, ἢ μόνον, ἢ μετὰ τοῦ Πα-

A τρός. Οὐ μόνον, ὅτι ἐκ τοῦ Πατρὸς ἐκπορεύεται· οὐ μετὰ τοῦ Πατρὸς, ὅτι μόνος αἴτιος ὁ Πατήρ. Ὥσπερ ἐκεῖ ῥίζα καὶ πηγὴ μόνος λεγόμενος ὁ Πατὴρ τοῦ Υἱοῦ καὶ τοῦ παναγίου Πνεύματος διεστέλλετο τὸν αὐτὸν ἐνταῦθα τρόπον μόνος αἴτιος εἰρημένος τοῦ Υἱοῦ διαστέλλεται· οὔτε δὲ ἐκεῖ ἑτεροουσίου, μᾶλλον δὲ μηδόλως οὔσης ἀντιθέου θεότητος, οὔτε δὲ ἐν τούτοις ἑτεροφυοῦς καὶ ἀλλοτρίου προσώπου. Ἐκεῖνο δὲ πιστοῖ τὰ λεγόμενα, μηδὲν ἧττον καὶ αὐτὰ ἐξ ἑαυτῶν τὴν πίστιν παρέχοντα. Ἐῤῥέθη δὲ καὶ ἀνωτέρω ὅσα ἔχει ὁ Πατὴρ τοῦ Υἱοῦ πλὴν τῆς αἰτίας. Τίνος ἄλλου χάριν τὴν διαστολὴν ταύτην πεποίηται; Οὐδενὸς δὴ πάντως, ἢ τοῦ ἔχοντος τὰ πάντα Υἱοῦ, ὅσα ὁ γεννήσας Πατὴρ, πλὴν τῆς αἰτίας. Αἰτίας δὲ τίνος; Τῆς ποιητικῆς, ἀλλὰ χωρὶς τῶν εἰρημένων ὁ Πατὴρ διὰ τοῦ Λόγου ἐν Πνεύματι ἁγίῳ τὰ πάντα ποιεῖ, ὡς B ὁ μέγας ἔφη τῆς ἀθανασίας ἐπώνυμος. Λείπεται δὲ τῆς φυσικῆς ἐννοεῖν, ἀλλὰ τῆς αὐτοῦ τοῦ Υἱοῦ. Καὶ τοῦτο δῆλον, προῆλθε γὰρ ἐκ τοῦ Πατρὸς ὅθεν γεγέννηται. Δῆλον δὲ ὅτι καὶ τοῦ Πνεύματος. Ἄμφω γὰρ ἐκ τοῦ Πατρὸς, ὁ μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, ὡς πολλάκις εἴρηκεν ὁ λόγος, τῷ συνεχεῖ τῆς μνήμης ἁγιάζων τῶν λεγόντων ἢ καὶ ἀκουόντων τὸν νοῦν.

Ἀλλὰ τὰ ὁμώνυμα αὐτίκα τῶν λέξεων, πέφηνεν ἐκ τοῦ Πατρὸς ὁ Υἱὸς, πέφηνεν ἐκ τοῦ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, προῆλθεν ἐκ Πατρὸς ὁ Υἱὸς, τὸ Πνεῦμα τὸ ἅγιον, ἐξέλαμψεν ἐκεῖθεν τὸ μονογενὲς φῶς, ἐξέλαμψεν ἐκεῖθεν τὸ παράκλητον φῶς, καὶ τὰ ἐνεστῶτα καὶ ἀΐδιον τὴν δήλωσιν ἔχοντα ἐκ Πατρὸς ἀμφότερα πρόεισιν, ἐκ Πατρὸς προέρχεται, ἐκλάμπει ἐκ Πατρὸς, καὶ τἄλλα ὅσα ἡ Γραφὴ ἐν διαφόροις C παρίστησι. Τούτων δὲ οὕτω γε κειμένων καὶ λεγομένων ἐπὶ τοῦ Πατρὸς ὅτε τις ἐθέλει δηλοῦν ὅτι ἐξ αὐτοῦ ὁ Υἱὸς καὶ τὸ πανάγιον Πνεῦμα καὶ τὴν ἐκεῖθεν τούτων σημαινόντων ἐναργῶς ὕπαρξιν, τίς ὁ λόγος εἰ καὶ ἐπὶ τοῦ Υἱοῦ λέγοιντο; ὅτε δηλονότι ἐξ ἀμφοῖν εὕρηται ἐνίοις εἰρημένον τῶν ἁγίων προϊὸν τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστιν ἐκ Πατρὸς καὶ Υἱοῦ, ἢ μὴν παρὰ Πατρὸς δι' Υἱοῦ, ἢ καὶ πεφηνὸς, καὶ ἐκλάμπον καὶ προερχόμενον, ἢ κἀκ τῆς οὐσίας ἀμφοτέρων ὑπάρχον· ἢ πάλιν ἐκ Πατρὸς καὶ Υἱοῦ, οὐχ ὥσπερ ἀπὸ τοῦ Πατρὸς, οὕτω δὴ καὶ ἀπὸ τοῦ Υἱοῦ ἔχειν ὁμολογεῖσθαι τὴν ὕπαρξιν.

Ἔστω δὲ παρὰ Πατρὸς δι' Υἱοῦ. Πρῶτον μὲν ὅτι μὴ τὸ ἔκ τινος ὑπάρχον ἤδη ἔχει καὶ τὴν ὕπαρξιν ἐκεῖθεν, εἴρηται γὰρ ἀνωτέρω, ἀλλ' ὅτι τὰ τὴν ὕπαρ- D ξιν ἔχοντα ὑπάρχει γε ἐκεῖθεν, ὅθεν ἔσχον εἰληφότα τὴν ὕπαρξιν. Ὑπάρχει γὰρ κἀκ τοῦ ποταμοῦ τὸ ἀρυόμενον ὕδωρ, ὑπάρχει δὲ καὶ τὸ φῶς ἐκ τῆς ἀκτῖνος· ἀλλ' οὐδέτερον αὐτῶν οὐδεμίαν ἐξ ἑνὸς τῶν εἰρημένων τὴν αἰτίαν ἔχει τοῦ εἶναι. Τὸ μὲν γὰρ ἐκ τῆς πηγῆς, λέγω δὲ πηγὴν, ὅθεν ὑποστὰν τὴν πρώτην ἔκρει, τὸ δὲ τὸ φῶς ἐκ τοῦ ἡλίου, ὅθεν ἀπαυγάζον συνεκλάμπει τῇ ἀκτῖνι καὶ δι' αὐτῆς πρόεισι. Τἄλλα δὲ ὁ τῆς ὁμωνυμίας λόγος ἤρκεσεν ἐκείνοις συμπαραληφθεὶς παρ' αὐτῷ τῷ κεφαλαίῳ τῶν ἀποριῶν, ῥᾳδίως ἐπιλῦσαι πᾶσαν τὴν ἑξῆς ἀμφισβήτησιν. Ὅπου γὰρ ἡ σημασία τῶν φωνῶν κοινοτέρα καὶ διάφορον τὴν δήλωσιν ἔχουσα, τίς ἔσται πόνος ἢ κίν-



OCR ABK / FR

δυνος ἐφ' ἑκάστου τὸν ὀρθὸν ἀναλαμβάνοντα νοῦν, τὴν ἁρμόζουσαν προσάγειν τῷ σκοπῷ τῶν προκειμένων καὶ ἀνόθευτον ἔννοιαν; Εἰ γάρ τις πεφηνέναι λέγων καὶ ἐκλάμπειν καὶ ὑπάρχειν παρὰ τοῦ προανάρχου Πατρὸς τὸν Υἱὸν καὶ τὸ πανάγιον Πνεῦμα, τἄλλα τε ὁπόσα σεσημείωται ἤδη, κἂν εἰ μηδὲν διαστείλαιτο, οὐκ ἔστιν ὅμως ὡς οὐκ εὐθὺς διανίστησι πάντα τὴν τῆς εὐσεβείας τρόφιμον δογμάτων κατὰ τὴν ἀληθῆ καὶ ἄπταιστον τὰς λέξεις ἑρμηνεύων ὑπόληψιν, κἀκεῖνα λέγειν διαιροῦντα καλῶς, ὅτι ταῦτα ὁ Υἱὸς παρὰ Πατρὸς, ἀλλὰ κατὰ τὴν ἑαυτοῦ παρὰ Πατρὸς γέννησιν· ταῦτα δὲ καὶ τὸ παράκλητον Πνεῦμα, ἀλλὰ κατὰ τὸν ἰδιάζοντα τρόπον τῆς ἑαυτοῦ ἐκεῖθεν ὑπάρξεως. Δῆλον δὲ ὡς καθ' ὃν αὐτό φαμεν παρὰ Πατρὸς ἐκπορεύεσθαι. Εἰ ταῦτα οὕτως καὶ σαφὴς τῆς ἀληθείας ὁ λόγος, τί ἂν ἀκολουθήσειεν ἄτοπον εἰ ὥσπερ τὰς αὐτὰς φωνὰς ἐκεῖ λεγόντων ἡμῶν καὶ διαιρούντων τὴν ἔννοιαν, καὶ ταῦτα δὴ περὶ δυοῖν προσώπων ὅτι ἐξ ἑνὸς τοῦ πρώτου καὶ αἰτίου ποιουμένων τὸν λόγον, οὕτω καὶ περὶ ἑνός; Εἰ ὅτι ἐξ ἀμφοῖν ἢ μὴν διὰ τούτου παρ' ἐκείνου, λέγω δὲ τοῦ Παρακλήτου ἐκ Πατρὸς καὶ Υἱοῦ, ἢ μὴν παρὰ Πατρὸς δι' Υἱοῦ, οὐ τὸ κοινὸν ἀποπλανήσει τῆς λέξεως, ἀλλὰ τὸ τῆς ἐννοίας αὖθις ἰδιάζον πρὸς τὸν ὀρθὸν καθοδηγήσει σκοπόν.

Ὁδηγήσει δὲ, εἰ τῇ εὐσεβείᾳ τῶν Πατέρων ἐπὶ

A πᾶσιν ἑψόμεθα, καὶ τὰ μὲν ἐροῦμεν ὅσαπερ ἐκείνοις ἐῤῥέθη, σιωπήσομεν δὲ ἃ ἐκείνοις σιωπῆσαι ἀσφαλὲς ἔδοξεν. Ἔδοξε δὲ τὸν μὲν Υἱὸν οὐδόλως ἀνειπεῖν τοῦ Πνεύματος αἴτιον· ἁπανταχοῦ δὲ τὸν Πατέρα ἀνεκήρυξαν αἴτιον καὶ μόνον αἴτιον ὥσπερ τοῦ Μονογενοῦς, οὕτω γε καὶ τοῦ παρακλήτου καὶ ζωοποιοῦ Πνεύματος.

Πέφηνε τοίνυν καὶ ὑπάρχει καὶ ἐκλάμπει ἐκ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐξ αἰτίας ταῦτα πάντα τοῦ Πατρὸς λέγεται. Πέφηνεν αὖθις καὶ ὑπάρχει καὶ ἐκλάμπει ἐξ Υἱοῦ, ἢ μὴν παρὰ Πατρὸς δι' Υἱοῦ, οὐχ ὡς ἐξ αἰτίας ὅλως τοῦ Υἱοῦ, ἢ μόνου, ἢ μετὰ Πατρὸς, ἀλλ' ὅτι ὑφιστάμενον ἐκεῖθεν ἐκ τῆς Πατρικῆς ὑποστάσεως, τῶν γὰρ αὐτῶν οὐκ ἀποστήσομαι φωνῶν ὡς θεοπνεύστων, μένει ἐν Υἱῷ, καὶ συμπαρομαρτεῖ τῷ Λόγῳ. Δι' αὐτοῦ δὲ καὶ προϊὸν ἀδιαστάτως καὶ
B ἀνεκφοιτήτως ἐκφαίνεται καὶ ἀπολάμπει ἀϊδίως. Εἶτα χορηγεῖται καὶ τῇ κτίσει παρ' αὐτοῦ καὶ δι' αὐτοῦ παρὰ Πατρὸς μεταδίδοται, Πνεῦμα ὂν Πατρὸς καὶ Υἱοῦ ὁμοφυὲς ἀμφοῖν καὶ ὁμόδοξον. Ταῦτα μὲν οὖν ἡμεῖς, καὶ εἰ μὴ ἱκανῶς, ἀλλὰ μετρίως ἴσως τὰς τῶν ἀντιθέτων διελύσαμεν ἐνστάσεις. Εὐθέτου δὲ τετυχηκότες καιροῦ, τάχ' ἂν καὶ τελειότερον διαλύσαιμεν τοῦ Παρακλήτου συμμαχοῦντος, καὶ τὸ ἀσθενὲς ἡμῶν ἐνισχύοντος.

---

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

# ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ

## ΤΟΥ ΚΥΠΡΙΟΥ

ΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΚΑΙ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΚΑΙ ΤΡΟΠΑΙΟΦΟΡΟΝ

# ΓΕΩΡΓΙΟΝ

—

SAPIENTISSIMI ET BEATISSIMI PATRIARCHÆ CPOLIS

# DOMNI GREGORII CYPRII

*LAUDATIO SANCTI MAGNI MARTYRIS ET TRIUMPHATORIS*

# GEORGII

(Ex cod. Vatic. in Aprili Bollandiano, tom. III, p. 123-XXV.)

—

## PROLOGUS.

1. Solent oratores fere singuli æquum censere, ut labores sui magni videantur, quia expeditu illustres simul et difficiles; idque ut vel in eo quod deliquerint, veniam, vel ex eo quod recte peregerint, laudem sibi demereantur. Ego autem, ora-

α'. Ἔθος τοῦτο τῶν λόγοις ἀγωνιζομένων σχεδὸν ἑκάστῳ, τοὺς καθ' ἑαυτῶν ἀγῶνας μεγάλους οἴεσθαι ἀξιοῦν, καὶ λαμπροὺς καὶ δυσχερεῖς ἀνύσαι, συγγνώμην ἑαυτῷ τῆς ἥττης ἢ τὸν τοῦ κατορθῶσαι ἔπαινον ἐντεῦθεν κατασκευαζομένῳ. Ἀλλ' εἰς Γεώρ-

OCR ABK / FR

γιον ἐμοῦ τὸ μέγα τῶν ἀθλητῶν ὄνομα βλέποντος A τῷ λόγῳ, καὶ τοσοῦτον ὑποθέσεως μέγεθος τὴν αὐτοῦ εὐφημίαν ἄρασθαι πειρωμένου, οὐκ οἶδα τίς ἂν γένοιτο δικαιότερος, περὶ ἄλλης ὑποθέσεως καθιστάμενος τὴν σπουδὴν, καὶ προκαταγγεῖλαι μέγαν εἶναι τὸν ἀγῶνα, καὶ δεῖσαι προσελθεῖν, ἢ καὶ συγγνώμην αἰτήσασθαι. Ἔγωγ' οὖν τοσοῦτον ἔχω χαλεπὸν ἐν τούτῳ κατανοήσας, ὥστε μοι δοκῶ μόνον ἀψαμένῳ, παραπλήσιόν τι πεπονθέναι τοῖς ἐξ ἀπειρίας ἐπιθυμοῦσι μὲν ἐπιβαίνειν θαλάσσης, ἐπιβεβηκόσι δὲ ὅμως εἰς τοὐναντίον τὰ τῆς ἐπιθυμίας χωρεῖ, δυσχέρειαν πελάγους καταμαθοῦσι, καὶ σάλον καὶ κλύδωνα καὶ ὅσα πολὺ μᾶλλον εὔχεσθαι καταναγκάζει τὴν ἐκεῖθεν ἀπαλλαγήν· ὅθεν καὶ ἀπέστην ἂν αὐτίκα, εἰ μή μέ τις ἀνάγκη ἐκ προηγησαμένης εὐχῆς κατασχοῦσα ἦν, μή ποτε τὸν B λόγον ἐξυφᾶναι τῷ Μάρτυρι βιαίως ἐνταῦθα συνήλασεν.

β'. Ἀλλ' ἐπειδή μοι ἀνάδυσις οὐκ ἔστιν, οὐδ' ἀποφυγὴ τοῖς ἐμαυτοῦ περιειλημμένῳ δεσμοῖς, ἐπιβοῶμαι κατὰ τῶν ἀποριῶν τὴν μαρτυρικὴν χάριν, καὶ διὰ τὸ σύνηθες ἐπὶ τῆς ἐπικλήσεως καὶ τὴν ἀεὶ συναίσθησιν τῆς παρ' αὐτοῦ βοηθείας, μάλιστα δὲ καὶ τὸ οἰκεῖον τῆς ὑποθέσεως, ὅτι δῶρον αὐτῷ τὸν λόγον προσάγομεν. Εἰ γὰρ καὶ ὁποσονοῦν ἐπιπνεύσειε ταύτης ἐμοὶ, ἣν πλουτήσας ἐκεῖνος παρὰ Θεοῦ χάριν, ἐκαρτέρει μὲν πάσχων ἃ μὴ πέφυκε στέγειν ἡ φύσις, εἰργάζετο δὲ δρῶν ὅσα μὴ οἶδεν ἡ φύσις· οὐκ ἐνδοιάσω περὶ τοῦ ἐγχειρήματος, εἰ εἰς τέλος ἀφίξομαι, οὐδὲ τὴν ἀγαθὴν ἐλπίδα προήσομαι. Ἀλλ' ἀρκτέον ἤδη τοῦ λόγου τῇ ἐκείνου ἐπικουρίᾳ θαρσήσαντας. C

tionem habiturus de Georgio, magno illo athletarum nomine, tantumque argumentum, quanta est ipsius laudatio, assumpturus, nescio utrum justius aliquis, alicui materiæ suum applicaturus studium, præfari possit, magnum esse laborem, quem aggredi timeat, et cujus suscepti postulet sibi veniam dari. Igitur animum in eum intendens sic plane angor, ut mihi videar, cum vel primis attigendo digitis, idem pati, quod ii qui ex imperitia cupiunt mare conscendere, conscendentes autem in adversum littus protendunt, desideria, experiendo discentes sævitiem pelagi, ejusque procellas et tempestates et quæcunque alia solent cogere, ut quis optet inde abesse longius. Quod sane haud multum abest a me, nisi ab ejusmodi voto faciendo prohibens necessitas quædam violenter huc traxisset, ad orationem aliquando tandem Martyri pertexendam.

2. Quoniam vero neque solutionis spes neque effugii locus mihi est, propriis constricto vinculis, inclamo, ut solent in angustiis deprehensi, Martyris gratiam; tum quia consuevi ipsum invocare, tum quia semper ipsius promptum auxilium sum expertus, maxime autem, quia cum hoc argumentum ipsi sit proprium, ipsum hunc sermonem muneris loco eidem afferimus. Si enim quotiescunque aspirat mihi eam, cujus ipse apud Deum dives est, gratiam, toleraret aliquid ea patiens quæ non posset sustinere natura, aut ejusdem naturæ fines deberet transgredi operando, tamen ne sic quidem dubitarem ad finem adducere quod proposui, neque fiduciam bonam dimitterem: quanto magis nunc, cum sufficiat, si nobis in ipsius auxilio confidentibus loquendi tribuat facultatem?

## CAPUT I.

*Sancti Gregorii patria, parentes, oblatio sui ultronea et prima coram tyranno tormenta.*

γ'. Εἰ μὲν οὖν ἐξῆν μοι ἧπερ ἐγὼ βούλομαι διαθέσθαι τὸν λόγον, ἀλλὰ μὴ, πρὸς τὸν κεκρατηκότα παρὰ τοῖς πολλοῖς νόμον, οὔτε πατρίδος μνημονεύσαι, ὡς ἔχει κάλλους τε καὶ μεγέθους, οὔτε τινὸς ἄλλου τῶν ἔξωθεν· ἐκείνοις ἂν ἐπέβαλλον εὐθὺς ἐξ ἀρχῆς, ἃ πρὸς τὴν εὐφημίαν ἄντικρυς φέρει. Καὶ γάρ μοι πάνυ τι σμικρολογουμένων ἔργον εἶναι δοκεῖ, ἔχοντας ἐγκωμίων τὰς πάντων μεγίστας ὑποθέσεις, διεξιέναι ζητεῖν, κἀκ τῶν ἐλαχίστων τὴν εὐφημίαν ἐργάζεσθαι, ὥσπερ οὐκ ἂν δυνατῶς ἐχούσης ἄνευ τούτων συστῆναι, ἢ ἐχούσης μὲν, οὐ τελείως δὲ, δεούσης γὰρ τῆς μὲν παρὰ Θεῷ δόξης τῷ Μάρτυρι, τῆς δὲ παρ' ἀνθρώποις. Εἰ μὲν ὁποίαν δή τινα τούτων ἐμέλλομεν μείζονα ποιεῖν ἐκ τοῦ πλείονα εἰπεῖν, ἄτοποι παντελῶς ἦμεν, μὴ πάντα προσθέντες εἰς μέσον, καὶ πάντα ζητήσαντες· ἐπεὶ δ' ἡ μὲν, λογισμοῖς ἡμετέροις οὐχ ὑποπίπτουσα, οὐδ' ἂν ἐξ ἡμῶν ὁτῳδήποτε τρόπῳ πρόσθεσιν δέχοιτο· ἡ δὲ προκατειλημμένη ταῖς ἁπάντων οὖσα ψυχαῖς, οὐδ' ἂν τινος ἐξηγητοῦ δέοιτο, ὥστε παραδεχθῆναι (οὔτε γὰρ ἡλιακοῦ φωτὸς, ὡς εἴη φώτων

3. Si liceret mihi pro arbitratu orationem disponere, non obligato ei quæ ut plurimum observatur legi; non utique patriæ vellem meminisse, velut magnæ atque speciosæ, neque externorum quorumcunque decorum, sed statim a principio ea apprehenderem, quæ ad laudationem præcipua sunt. Etenim minutulorum opus mihi esse videtur, in eis argumentis, quæ omnem superant commendationem, digredi ad infima, ex iisque captare encomiorum materiam, tanquam sine his subsistere non posset, aut saltem minus perfecta foret gloria Martyris apud Deum hominesque. Ex quacunque enim parte hanc velimus dicendo majorem facere, rem egerimus inconcinnam, omnia requirendo, nec tamen in medium adducendo. Nam ea quæ ex Deo est gloria, cum ratiocinio nostro subjecta non sit, nullo modo potest augmentum qualecunque a nobis accipere; quæ autem ab hominibus provenit, cum jam pridem in omnium animis perfecta sit, non eget expositore aliquo, ut recipi possit. Sicut enim non exspectant homines

OCR ABK / FR

luminis solaris cognoscendi magistrum, utpote quod luminum omnium est clarissimum; ita nec de istius claritate, ut quæ sermonem omnem cogitatumque excellat, indiget quis aliunde doceri. Quod igitur erit operæ in talibus ponendæ pretium, quando congrue omitterentur illa, quæ dixi, externa, nisi aliorum quoque auribus oratio subserviret?

4. Si tamen tanti Sancti patriam omnino vellem in sermonem inducere, cœlum utique inducerem, felicem illam et incommutabilem regionem, angelorum, inquam, patriam: nec enim aliam in ipso laudare convenit, qui istuc conversationem suam immaculatam sic transtulerat, ut neque parum quid distare ab angelis videretur. Quoniam nihilominus omnes fere eam quoque requirunt, quæ in terris nascendo obtinetur; et æstimant sermonem ab ea ductum sua ire via: hæc etiam ei fuit haud facile cuiquam alteri cessura in claritate, et quam sine multa admiratione nec percurrere valeat aliquis. Cappadocum enim regionem, quæ Sanctum hunc tulit, merito quidem laudarit quispiam ex hoc capite, quod situm nacta opportunum, et a confinium regionum aliena excessibus, valet ad omnem genituram, proferens pulcherrima quæque terræ gemina, idque minime parce, sed quam multa ad vitam humanam conducunt. Nihilo minus juste eam commendaverit aliquis, quod incolas habeat ab origine Græcos, genus hominum peculiari pollens dicendi facultate, et propter continuam ejus rei exercitationem, egregie ornans matrem naturam, ipsiusmet fines supergrediendo. Sed non tam hoc omnium ejus decorum præstantissimum quis dixerit, quam quod pietatis fundamentum habeat præ cæteris solidum, unde et martyrum et magistrorum veritatis consueto semper abundavit proventu etenim superiori ætate, cum persecutiones fervérent, nulla plures aut illustriores pugiles objecit errori; postea autem, cum turbo hæreseon incubuit, et tota pene Ecclesia eidem timeretur involvenda; sola inter omnes et supra omnes excitans communis fidei propugnatores, per ipsos totius universi inundationem repressit. Quæ cum sint præclara, quomodo non possint illam non idonee exornare? Laudum tamen cujus omnium præcipua et universus speciei ornatus is est, quem modo prædicandum suscepimus.

5. Nunc vero cum ad gloriam conferre ducam, si qui parentes habuit, eosdem fuerit æmulatus; proponere convenit quod ejus genitores nobiles quidem fuerint genere, sed nobiliores pietate; opibus transeuntibus divites, sed manentibus opulentiores, dum præsentia recta dispergendo futura sibi compararunt. Ex his pater suæ secundum Deum conversationis adeptus est præmium, quod vitam martyr consummavit: mater vero, pares viro coronas consecuta, incruentas tamen, eamdem quidem quam vir suus habuit voluntatem, ad pugnam autem admissa non est, imbecilliori sexui parcentibus

ἁπάντων λαμπρυτατον, ἔξωθεν διδάσκαλον ἀναμενομεν ἄνθρωποι· οὔτ' αὖ περὶ τῆς τοῦδε λαμπρότητος, ὡς εἴη λόγον ὑπερβάλλουσα καὶ διάνοιαν, ζητήσει τις ἑτέρωθεν διδαχθῆναι)· τί λοιπὸν ἐκ τῆς περιεργίας τὸ κέρδος, ὥστε παρέλιπον ἂν ἅπερ ἔφην δεόντως, εἴπερ μὴ ἀκοαῖς ὁ λόγος ἀλλοτρίαις ἐδούλευεν;

δ'. Εἰ πατρίδα τέως εἰσάγειν τοῦ τοσούτου βουλόμενος, τὸν οὐρανὸν εἰσήγαγον ἄν, τὴν ἀνώλεθρον καὶ εὐδαίμονα κατοικίαν, τὴν τῶν ἀγγέλων πατρίδα· οὐδὲ γὰρ ἄλλην εἰκὸς ἐπιφημίζειν αὐτῷ, ἐκεῖσε μεταθεμένῳ καθαρῶς τὸ πολίτευμα, καὶ μηδὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένῳ. Ἐπεὶ δὲ πάντες σχεδὸν καὶ τὴν κάτω παροικίαν ἐπιζητοῦσι, καὶ τὸν λόγον ἐντεῦθεν ὡρμημένον οὕτως ὁδῷ χωρεῖν ἀξιοῦσιν ἐπὶ τὰ πρόσω· ἔστι τοίνυν καὶ αὕτη, οὐ ῥᾳδίως ἑτέρᾳ τῆς ἐπιφανείας παραχωροῦσα, οὐδ' οἷα καὶ παραδραμεῖν αὐτήν τινα μὴ σφόδρα θαυμάζοντα. Τῆς Καππαδοκῶν χώρας, ἥ τὸν τοσοῦτον ἐξήνεγκεν, ἐπαινέσοι μὲν ἄν τις, καὶ τοῦτο δικαίως, ὅτι θέσεως λαχοῦσα εὐκαίρου, καὶ τὰς τῶν ὁρώντων ὑπερβολὰς διαφεύγουσα, ἔῤῥωτο πρὸς ἁπάσας γονὰς ἃ κάλλιστα γῆς ἐστι γεννήματα, καὶ ἄφθονα πάντα προΐσχει ὁπόσα πρὸς τὸν ἀνθρώπινον βίον τελεῖ· ἐπαινέσοι δ' οὐχ ἧττον, ὅτι καὶ οἰκήτορας ἐφάνη πλουτήσασα τὸ ἀνέκαθεν Ἕλληνας, γένος ἀφωσιωμένον τῇ τῶν λόγων φύσει, καὶ διὰ τὴν ἐν τούτοις καὶ μετὰ τούτων κίνησιν καὶ ζωὴν, τὴν μητέρα φύσιν τὰ εἰκότα τετιμηκὸς τῷ τοῦ ὅρους ἐπιβεβαιῶσαι αὐτῇ. Οὐ μὴν δὲ τοσοῦτον ἀξίως, ὅσον εἰ καὶ εὐσεβείας ἔδαφος λέγοιτο, πάντων αὐτῇ τῶν ἄλλων ἐπισημότατον, καὶ τελεῖν μὲν αὐτῇ συνήθη τὴν τῶν μαρτύρων τῆς ἀληθείας φορὰν, συνήθη δὲ καὶ τὴν τῶν διδασκάλων. Ἐν γὰρ τοῖς ἄνω καιροῖς τῶν διωγμῶν ἀκμαζόντων, οὔκουν ἄλλη τις πλείους ἢ λαμπροτέρους ἀγωνιστὰς κατὰ τῆς πλάνης προὐβάλλετο· κἀν τοῖς μετὰ ταῦτα δὲ χρόνοις τοῦ τῶν αἱρέσεων κλύδωνος ἐπιόντος, καὶ πᾶσαν ἄρδην Ἐκκλησίαν ἀπειλοῦντος ἐντὸς καταλήψεσθαι, μόνη τῶν ἄλλων καὶ ὑπὲρ τῶν ἄλλων τοὺς κοινοὺς ἀναστῶσα προβόλους, ἐν αὐτοῖς τὴν τῆς οἰκουμένης ἐπίκλυσιν περιέθραυσε. Καὶ λαμπρὰ μὲν αὐτῆς ταῦτα καὶ ἐπιεικῶς ἔχει κοσμεῖν· πῶς γὰρ οὔ; ἀλλὰ τό γε κεφάλαιον τῶν ἐπαίνων καὶ ὁ σύμπας τῆς φιλοτιμίας κόσμος ὁ νῦν ἐστιν εὐφημούμενος.

ε'. Πατέρων μὲν γενόμενοι, καὶ ἀποχρῆναι αὐτοῖς εἰς φιλοτιμίαν ἥγημαι, ὅτι τοῦδε πατέρες ἦσαν· νυνὶ δὲ ἔστι προσθεῖναι, ὅτι καὶ εὐγενεῖς τὴν κάτω γέννησιν, εὐγενέστεροι δὲ τὴν εὐσέβειαν, πλούσιοι τὴν ῥέουσαν κτῆσιν, πλουσιώτεροι δὲ τὴν μένουσαν, διὰ τοῦ τὰ παρόντα σκορπίζειν καλῶς τὰ μέλλοντα κατακτώμενοι· πατὴρ μὲν, γέρας τῆς κατὰ Θεὸν πολιτείας εὑράμενος τὸ τὸν βίον σφραγίσαι τέλει μαρτυρικῷ· μήτηρ δὲ τῶν ἴσων τῷ ἀνδρὶ στεφάνων ἐπιτυχοῦσα, εἰ καὶ ἀναίμακτος ἦν στεφανῖτις, τὴν αὐτὴν μὲν προθυμίαν τῷ ἀνδρὶ ἔχουσα, ἀποτυχοῦσα δὲ ὅμως τῆς ἀθλήσεως, τῆς τοῦ θήλεος ἀσθενείας

OCR ABK / FR

φεισαμένων τῶν διωκτῶν· ἀμφότεροι καὶ παραδείγματα προδείξαντες τῷ παιδὶ, καὶ σπέρματα παρασχόντες εὐσεβείας, φιλοπτωχίας, τῆς μέχρι αἵματος πρὸς τὴν εἰδωλολατρείαν ἀντικαταστάσεως· ἃ δὴ παρειληφὼς αὐτὸς, ὥσπερ ἄλλον τινὰ κλῆρον πατρῷον, καὶ καλῶς τῇ γεωργίᾳ τοῦ Πνεύματος προσεξεργασάμενος, οὐχ ὅσον μόνον εἰς ἑκατὸν ἐξ ἑνὸς προβῆναι καὶ πληθυνθῆναι πεποίηκεν, ἀλλά τινα λόγον ἐπιδόσεως ἀνυπέρβλητον δέξασθαι. Πάντα γὰρ, ὥς τις ἄριστος τῶν καθ' ἑαυτὸν οἰκονόμος, μετατίθεται πρὸς οὐρανὸν ἀπὸ τῶν ἐνταῦθα καὶ μετασκευάζεται οὐδ' αὐτοῦ φεισάμενος σώματος, μὴ καὶ τοῦτο καρποφορῆσαι Θεῷ· καὶ ὁ τρόπος, οἷος; Οὐ γὰρ μόνον δι' ἁγνείας καθαρότητος, ἀλλὰ καὶ δι' αἵματος, καὶ οὐκ ἄνευ τῶν μεγίστων κινδύνων.

ς'. Ἐστρατεύετο μὲν οὖν ἤδη τῷ κάτω βασιλεῖ καὶ ἐδορυφόρει, νεανίας μέγας ἰδεῖν καὶ καλὸς, φοβερὸς συμπλακῆναι, γενναῖος, ἀκαταγώνιστος, καὶ ταῦτα πρὸς τοὺς ὁρωμένους ἐχθρούς· δαίμοσι δὲ, ὥσπερ δρᾷν εἰς αὐτοὺς πεφυκὼς καὶ πάθος ἐκεῖθεν οὐ προσιέμενος, ἔτι μᾶλλον ἐμβριθὴς καὶ ἄμαχος καὶ ἀπρόσιτος. Ἀλλὰ μετατάττεται, καὶ τὴν στρατείαν ἀντὶ Καίσαρος ποιεῖται Χριστοῦ· ὢν μὲν δὴ καὶ πρῶτον Χριστοῦ, ἀλλὰ νῦν τελειότερον, ὅτι οὐδὲν ἐδίδου κόσμῳ οὐδὲ τῷ κοσμοκράτορι, ἀλλὰ πάντα φέρων προσανετίθει Θεῷ, ὅτε οὐ κρύπτων διετέλει τὸν Χριστιανισμὸν οὐδὲ τρόπον τινὰ σοφιζόμενος, ἀλλὰ δημοσιεύων καὶ παῤῥησιαζόμενος. Καὶ τὰ μὲν δὴ προοίμια τῆς παῤῥησίας αὐτῷ, ὁρῶν τὸν διωγμὸν ὥσπερ καταιγίδα σφοδρῶς φερόμενον, καὶ πάντας πλὴν ὀλίγων καταλαμβάνοντα καὶ τῶν διωκόντων ποιοῦντα, τήν τε εὐσέβειαν τυραννουμένην καὶ τοὺς διώκτας φιλονεικοῦντας, ὥσπερ τῶν σωμάτων οὕτω δὴ κρατεῖν καὶ ψυχῶν, αἷς Θεὸς αὐτονομίαν γνώμης παρέσχετο, θυμοῦ δικαίου καὶ ζήλου πληροῦται· καὶ πάντα μεγαλοψύχως ἑαυτοῦ, καθάπερ καὶ οἱ πυγμὴν ἢ παγκράτιον ἀγωνιζόμενοι, ἀποῤῥίψας, ἢ μᾶλλον εἰπεῖν διὰ τῶν πενήτων εἰς οὐρανοὺς παραπέμψας, μόνον ἑαυτῷ καταλείπει τὸ σῶμα, ᾧ διενεγκεῖν τὸν πόλεμον ἔμελλεν.

ζ'. Εἶθ' ὡς ἂν ἑαυτῷ μεγαλοπρεπέστερον τὸ θέατρον γένηται, καὶ μᾶλλον περιφανὴς ὁ ἀγὼν, ἡμέραν ἐπιτηρήσας ἐν ᾗ δημοτελῶς ἑορτάζειν ἔδει, ἔδει δὲ καὶ Διοκλητιανὸν αὐτὸν παρεῖναι τοῖς πλήθεσι συνεορτάζοντα, ὥσπερ λέων πάντα προδεικνύμενος σοβαρὰ, εἶδος, φρόνημα, βάδισμα, πῦρ τε πνέων, καὶ βλοσυρότερον περιβλέπων, εἴσεισιν, ἀπτοήτῳ γνώμῃ, λαμπρᾷ τῇ φωνῇ, ἀνακηρύττων Χριστὸν, μυκτηρίζων τοὺς δαίμονας. Ὢ ψυχῆς ἐκείνης ζήλῳ Θεοῦ κατεσθιομένης! ὢ Θεοῦ ἔρωτος, οὕτω φλέγοντος καὶ οὕτω κινοῦντος τοὺς ἐραστάς! Τίς ποτε τοσοῦτον ἐξεστάκη βλέπων ἀσυνετοῦντας; τίς τοιοῦτον φρόνημα κατὰ καιρὸν ἐπεδείξατο; τίς κατὰ λόγον ἠνδραγαθήσατο; Οὐδὲν τότε τὸν τόνον ἐχάλασεν, οὐ τὴν προθυμίαν ἤμβλυνεν, οὐκ ἀπειλαὶ φρικώδεις αἱ κατὰ τῶν εὐσεβεῖν ἡρημένων ἐφέροντο, οὐκ

A persecutoribus: uterque autem exempla reliquit filio, semina præbens religionis erga Deum, misericordiæ in pauperes, et constantiæ usque ad sanguinem contra idololatriam pugnaturæ. Quæ ille suscipiens, velut meliorem hæreditatem, et omni spiritus disciplina probe excultus, non solum centum ex uno amplificans protulit, sed quamdam incrementi rationem suscepit, cui superaddi nihil posset. Omnia enim sua, tanquam optimes dispensator, e terris in cœlum transtulit; nec ipsi quidem parcens corpori, quominus ex hoc fructificaret Deo; idque non tantum per castitatem puritatemque, sed etiam per sanguinis effusionem, inter multa maximaque discrimina.

B

6. Militabat ille primum terreno regi et arma ferebat, juvenis aspectu grandis atque decorus, congressu formidabilis, insuperabilis hostibus visibilibus; contra dæmones vero, ubi cum iis rem habere cœpit, nihil ab eis patiens, multo adhuc magis constans et invictus apparuit. Tandem tamen militiæ genus mutavit, seque a Cæsareis castris ad Christi signa transtulit: non quasi ab initio non fuisset eisdem addictus, sed tunc perfectiori longe modo id fuit, quando nihil mundo, nihil mundano imperatori donans, omnia detulit obtulitque Deo. Itaque Christianitatis titulum non habebat occultum, aut quadam ratione dissimulatum; sed publice eum vulgans, fidenter profitebatur. Principium autem experiundæ constantiæ ipsi fuit, quod C videns persecutionem instar procellæ ferri vehementius, et paucis exceptis omnes pene ab ea comprehendi atque persecutoribus subjici, pietatem vero per tyrannidem premi, idque agi ut non tantum corporibus vis inferretur, sed etiam mentes, quas sui arbitrii esse voluit Deus, pertraherentur in servitutem, indignatione justa ac zelo impletus sit: quapropter, velut luctam pugnamve ingressurus, magno animo cuncta abjecit externa, aut verius per manus pauperum transmisit in paradisum, ut solum sibi corpus servaret, quod nudum erat expositurus certamini.

7. Deinde ut theatrum quoque se dignum haberet et magis illustre stadium, observavit diem, qua oportebat publicum agi festum, ipsumque D Diocletianum adesse multitudini, festivæ hilaritatis participem. Tunc scilicet leonis instar fronte, oculis, incessu magnanimitatem ostentantis atque ignem spirantis et torve circumspectantis, ingressus est mente imperterrita, et clara voce Christum prædicans, dæmonesque subsannans. O animam divino æstuantem zelo! o amorem Dei sic urentem, sic moventem amantes! Quis unquam ita elatus est videns idololatrarum amentiam? quis talem pro tempore prætulit sapientiam? quis pro ratione egit tam generose? Nihil erat quod animi laxare intentionem, nihil quod aciem posset obtundere: non horribiles minæ contra pietatis

OCR ABK / FR

sectatores promulgatæ; non species variæ tormentorum, oculis objectæ; non memoria cruciatuum adversus sanctos antehac excogitatorum, qui etiam ipsi erant subeundi; non ipsa eorumdem tolerantia; non mortes diversimodæ, quibus fideles ab hac vita expellebantur violenter: omnibus enim istis altius mentem extulit, velut si extra corpus positus, adversus culturam dæmonum initum esset generosum certamen. Hanc animi fortitudinem exhorruerunt dæmones, et omnes dæmoniorum cultores; in hac sibi complacuerunt de cœlo angeli, et desuper spectatores agonis ejus facti beatum prædicaverunt; hæc Diocletianum confudit, qui fiduciam tantam suum esse despectum interpretatus, furore et indignatione repletus est.

8. Quæ porro consecuta sunt, majoris cujusdam quam humanæ virtutis egere, ut certamen suum posset Sanctus usque ad finem exsequi. Quis enim verbis sufficienter explicaverit aut immanitatem torquentium, aut fortitudinem Martyris, qua obfirmabatur ad pericula, iisque resistebat supra naturæ communis mensuram? Beatus Job prædicatur tanquam hominum patientissimus generosissimusque: sed tentatio contra quam depugnavit fuit involuntaria; requisitus enim et traditus fuit: qui autem ista sustinuit, seipsum in manus tortorum dedit, inventus et oblatus neque quærentibus neque petentibus eum. Ad extremum vero laborum ejus non paulatim inflicta est plaga, veluti si ad patientiam præliis levioribus exerceretur; sed tanquam generosissimus atque expertissimus miles, maximis statim a principio discriminibus est objectus; ut inde experimentum sumeretur, utrum homo esset vel communis nobiscum naturæ particeps.

9. Diocletianus vero intra se habebat dæmonum incitantium legionem, a quibus, licet Martyris constantiam ipsimet obstupescerent, furiosius commovebatur, ut suspendi eum et dirissima quæque juberet perpeti: quidquid autem jussit, continuo executioni mandatum est. Suspendebatur in conspectu omnium, verberabatur, laniabatur; conto denique per ventrem acto vulnerabatur: quorum ista quidem eo faciebant ut dolores incuterentur Martyri, hoc vero etiam ut mors subsequeretur; non enim intendebant eum de medio tollere per necem, cui brevis esset cruciatus conjunctus. Sed neque ista, quantumvis vehementia, potuerunt eum contristare, prohibente id Deo; neque contus quidquam omnino nocuit, tanquam a solidiori materia, ferrea videlicet aut adamantina, repulsus atque retusus, fortassis et Martyris corpus reveritus, et insensibilitatem tyranni redarguens: siquidem ipse, ferreus exsistens, absterrebatur ab inferenda noxa; ille autem, animum habens rationalem, non erat placabilis; uti nec placatus fuit, nec

A εἴδη κολαστηρίων ἐν ὀφθαλμοῖς παντοῖα προκείμενα, οὐ μνήμη βασάνων αἳ τοῖς προειληφόσι τῶν ἁγίων ἐπήχθησαν καὶ αὐτὸν διαδέχεσθαι ἔμελλον, οὐ τὰ ἐκείνων παθήματα, οὐχ οἱ θάνατοι δι' ὧν τῶν παρόντων βιαίως ἐξέστησαν· πάντων δὲ ὑπεράνω στήσας τὴν γνώμην, ὥσπερ τῶν ἔξω σώματος, ἀνδρικώτατα ἐπαποδύεται κατὰ τῆς τῶν δαιμόνων τιμῆς. Τοῦτο τὸ φρόνημα δαίμονες ἔφριξαν καὶ πάντες οἱ δαιμόνων θεραπευταί· τοῦτο οἱ ἐν οὐρανοῖς ἠδέσθησαν ἄγγελοι, καὶ ἄνωθεν θεαταὶ τοῦ ἀγῶνος προκύπτοντες ἐμακάρισαν· τοῦτο καὶ Διοκλητιανὸς αἰσχυνθεὶς, καὶ καταφρόνησιν ἑαυτοῦ τὴν παῤῥησίαν ὑπειληφὼς, ἀθυμίας ἐμπίπλαται καὶ θυμοῦ.

B η'. Τὰ δὲ ἐντεῦθεν μείζονός τινος ἔδει δυνάμεως ἢ ἀνθρωπίνης, ὥστε διὰ τέλους ἀξίως ἰσχῦσαι διεξιέναι τὴν ἄθλησιν. Πῶς ἄν τις ἱκανῶς ἐξείποι τῷ λόγῳ ἢ τῶν κολαζόντων τὴν ἀγριότητα, ἢ ἐκείνου τὴν καρτερίαν, μεθ' ἧς ἔῤῥωτο κατὰ τῶν κινδύνων, καὶ ἀντεῖχεν ὑπὲρ τὰ μέτρα τῆς φύσεως; Τὸν μὲν δὴ μακάριον Ἰὼβ γενναιότατον ἀνθρώπων καὶ καρτερικώτατον ἀναγράφουσιν· ἀλλ' ὁ πειρασμὸς, πρὸς ὃν ἐπάλαιεν, ἀκούσιος ἦν (ἐξαιτεῖται γὰρ καὶ παραδίδοται)· ὁ δὲ φέρων ἑαυτὸν παρέδωκεν ταῖς βασανισταῖς, μὴ ζητοῦσι μηδ' ἐπερωτῶσιν εὑρισκόμενος καὶ ἐμφανιζόμενος· εἴς τε τὸν ἔσχατον ἐκείνου τῶν ἄθλων τὴν πληγὴν οὐ κατὰ μικρὸν προῆλθε, τὴν καρτερίαν οἷον ἐν τοῖς ἐλάττοσι προπαιδευόμενος, ἀλλ' ὡς εἴ τις γενναιότατος ὁμοῦ καὶ ἐμπειρότατος ὁπλιτῶν τοῖς μεγίστοις κινδύνοις ἐκ προοιμίων ἐνήλατο,
C ὅ τε πειράζων ἐνταῦθα, εἰ καὶ ἄνθρωπος ἦν, καὶ τῆς καθ' ἡμᾶς φύσεως.

θ'. (1)..... ἀλλὰ λεγεῶνα πνευμάτων εἶχεν ἔνδοθεν διερεθιζόντων, ὑφ' ὧν δὴ τότε πληγέντων πρὸς τὴν παῤῥησίαν τοῦ μάρτυρος, μανικώτερον ὑπεκινεῖτο, καὶ ἀναρτᾶσθαι καὶ δεινὰ πάντα πάσχειν διεκελεύετο, καὶ πάντα εἶχεν εὐθὺς ὡς διεκελεύετο. Ἀνηρτᾶτο πάντων ὁρώντων, ᾐκίζετο, ἐξέετο, καὶ τελευταῖον κοντῷ κατὰ τῆς γαστρὸς ἐτιτρώσκετο· τοῦτο μὲν ἵνα καὶ ὀδῦναι γένοιντο, τοῦτο δὲ ἵνα καὶ θάνατος ἐπιγένοιτο· οὐ γὰρ ἐσκόπουν αὐτόν μετελθεῖν βραχεῖαν ἔχοντι τὴν ὀδύνην θανάτῳ. Πλὴν οὔτε ἐκεῖνα, ὡς ἄρα καὶ σφοδρότητος εἶχε, λυπεῖν εἶχεν,
D ἀνείργοντος τοῦ Θεοῦ· καὶ ὁ κοντὸς παντάπασιν ἠπράκτει, ὥσπερ ἐκ στεῤῥοτέρας τινὸς φύσεως σιδηρᾶς ἢ ἀδαμαντίνης ἀντωθούμενός τε καὶ ἀποκρουόμενος, τάχα καὶ τὸ μαρτυρικὸν εὐλαβούμενος σῶμα, τάχα καὶ τοῦ τυράννου τῆς ἀναισθησίας κατηγορῶν· εἴπερ ὁ μὲν, σίδηρος ὢν, ἀπέσχετο, ὁ δὲ, λογικὴν ψυχὴν ἔχων, οὐκ ἔμελλε δυσωπεῖσθαι· ὥσπερ ἄρα οὐδ' ἐδυσωπεῖτο οὐδὲ ἀνεκόπτετο τῆς ἐπὶ τὸ κολάζειν ὁρμῆς, τοὐναντίον μὲν οὖν καὶ βαρὺς ἔτι μᾶλλον ἦν καὶ σφοδρὸς ἐπὶ τούτῳ, οἱονεὶ

(1) Hanc periodum recognoscens, existimo plus aliquid deesse quam nomen Diocletiani, quod interpretando addidimus: videtur enim institui comparatio inter unum illum dæmonem, qui Jobum exercuit, et multos illos, qui Diocletianum adversus Georgium stimulabant.

OCR ABK / FR

μείζονος κακίας εἰς ἀφορμὴν τοῦ θαύματος αὐτῷ γεγονότος (τῶν γὰρ ἀνιάτως ἐχόντων αὕτη δήπου φύσις εἰς βλάβην μετατρέπειν οἰκείαν ἐκ τῆς ἐνούσης κακοηθείας, ὅπερ ἂν τις καὶ προσενέγκῃ σωτηρίας φάρμακον)· διὰ τοῦτο καὶ ἕτοιμος ἦν αὐτίκα τότε, χαλεπωτέραις ταῖς τιμωρίαις ἐκτρίβειν αὐτόν· ὥστε καί, ὅτι μὴ σέλας ἦν, ἄδειαν παρέχων ἐκείνῳ κατὰ τοῦ μαρτυρικοῦ νώτου τεκταίνειν.

A impeditus, quo minus eum amplius vellet torquere; sed e contra impensius etiam vehementiusque in id incubuit. Itaque auctior semper illius malicia præbuit Martyri majoris miraculi occasionem: incurabilium enim est, quod ipsa natura ex insita malignitate in proprium convertat nocumentum, si quod applicetur salutare pharmacum: et propterea nitebatur Martyrem gravioribus ac gravioribus semper suppliciis conterere; adeo ut nec deficiente quidem lumine, verecundaretur supra dorsum Martyris, ut Psalmista loquitur, fabricare.

ι΄. Ἀλλ' εἶργε τῆς ἐπιχειρήσεως νὺξ ἐπελθοῦσα. Δεινότατα ἔφερε· βάσανον ἑαυτῷ τὴν βαρυτάτην οἰόμενος τὸ καὶ μετρίας ἀνακωχῆς ἐκεῖνον τυχεῖν. Οὐ μὴν δὲ καὶ παντάπασιν ὑπὸ προθυμίας ἠμέλει διὰ τὴν ὥραν, οὐδ' ἀνεβάλλετο τὰς κολάσεις, ὅτι μηδὲ τῆς θηριώδους ἦν ἐκείνου ψυχῆς εἴκειν εἰδέναι τοιούτῳ καιρῷ· ἀλλά τινι φρουρᾷ, καὶ αὐτῇ δυσχερεστάτῃ τῶν ἁπασῶν, ὅσῳ καὶ δυσώδης, ἦν καὶ ζοφώδης καὶ σκιᾷ θανάτου παρείκαστο, δοθῆναι κελεύει. Καὶ ἦν τοῦτό γε παραχρῆμα τοῦτον ἔχον τὸν τρόπον, εἰ μή τι δεύτερον καὶ τρίτον ἑξῆς ἐπετίθει, ὥσπερ ἀναβαθμοὺς κακῶν τιθέμενος· ἦν ἂν τὸ μέχρι τούτου διανυκτερεύειν, ὡς ἐν παραβολῇ κακῶν φάναι, μετρία φιλανθρωπία. Νυνὶ δὲ καὶ ξύλον πιεστήριον, αὐτοῦ κατασφαλίζον τοὺς πόδας, συνέθλιβε· καὶ λίθος μέγας, ὃν οὐκ ἂν χεῖρες, εἰ μὴ καὶ μηχανήματα προσείη, κινήσαιεν, ὑπτίου προσανακλιθέντος κατὰ τῶν στέρνων ἐτίθετο, βάρους ὑπερβολῇ συνθλῶν ἅπαν τὸ ὑποκείμενον, καὶ συντριβῆν ὁμοῦ καὶ ῥῆξιν ὑποστῆναι καταναγκάζων· κἂν ἐκεῖνος, ὥσπερ τὴν ψυχὴν οὐ δέξασθαί τι τῶν ἀσεβῶν προσταγμάτων, οὕτω δὴ καὶ τὸ σῶμα ἀνένδοτος ἦν, τὸ μηδόλως εἴκειν βίᾳ ἐκεῖθεν ἀναδεξάμενον. Ἐν γὰρ τοῖς ὑπὲρ εὐσεβείας ἀγῶσιν ἡ τῶν σωμάτων ῥώμη σαφῶς ἀρτᾶσθαι δοκεῖ τῆς γενναιότητος τῆς ψυχῆς· ὡς ἐκείνη πρὸς ἔνστασιν προθυμίας ἔχει, καὶ τάδε πρὸς τὸ πάσχοντα φέρειν ἰσχυρῶς· μᾶλλον δέ, ἵνα βέλτιον διέλω, ψυχῇ μὲν σθένος ἐν τοῖς τοιούτοις ἐμπνεῖ Θεός, σώματι δὲ ψυχή, καὶ ἀμφοτέροις Θεός, παρ' οὗ δὴ καὶ τότε ῥωννύμενος καὶ τόνδε τὸν κίνδυνον ὑπερέσχε.

10. Sed tamen superveniens nox coegit ab incepto desistere; quod Diocletianum ægerrime habuit, qui maximum sibi reputabat supplicium, si ille vel modicis frueretur induciis. Non tamen neque per tale tempus remisit propositum, neque cruciatus differre sustinuit (non enim patiebatur effera B ejus anima ut tempori tantisper obsequeretur), sed Sanctum includi jussit carceri, eique omnium molestissimo, ut qui fœtidus esset et tenebrosus, atque umbræ mortis assimilandus. Atque hoc quidem ad istum modum se habuisset, nisi et secundum et tertium addidisset, velut quosdam malorum gradus disponens; humanitas enim quædam fuisset, usque dum nox transiret, videri supplicia divisisse. Ergo et ligno pedes astringinte cruciatus est; et lapis magnus, quem vix machinæ, nedum manus, movere poterant supino jacenti supra pectus est positus, nimio pondere comprimens subjectum corpus illudque cogens simul et contritionem carnium et confractionem ossium sustinere; quamvis ipse, sicut quoad animam nihil suscipiebat impiorum C mandatorum, ita et quoad corpus insuperabilis erat, nullam omnino exinde patiens violentiam. Enimvero in certaminibus illis, quæ pro pietate excipiuntur, corporis firmitas manifeste videtur ab animi generositate pendere; ut quantum hæc sibi per promptam constat voluntatem, tantum huic robur ad patiendum conferat; aut potius animæ quidem robur Deus inspirat, anima autem corpori, et utrique Deus; a quo confirmatus Sanctus etiam istud periculum superavit.

## CAPUT II.

*A supplicio rotæ et vivæ calcis fossa illæsus exit sanctus Georgius.*

ια΄. Τὰ μὲν οὖν τῆς νυκτὸς ἐκείνης αὐτῷ τοιαῦτα, κατ' οὐδὲν οἶμαι τῶν ἡμερινῶν ἀνεκτότερα, ἃ δ' εὐθὺς ἦν ἡμέρας ἐπιλαβούσης, ἐπειδήπερ ὡς ἐν θαλάσσῃ, τρικυμία κακῶν ὑπῆρχεν· καὶ τὸ μὲν αὐτὸν εἶχε κῦμα, τὸ δὲ κατελάμβανε, τὸ δ' ἔμελλεν, ὡς παρὰ πολὺ τῶν προειληφότων ποικιλίᾳ τε καὶ D δυνάμει τοῦ κακῶσαι δεινότερα· ὥστ' ἔμοιγε καὶ εὐχῆς ἔργον ἂν εἴη κἂν μετρίως διελθεῖν δυνηθῆναι τῷ λόγῳ. Ἐξήγετο μὲν τῆς φρουρᾶς, μηδ' ὅλως ζῆν ἐλπιζόμενος· ἀλλ' ἐπειδὴ παρὰ δόξαν ἔζη, καὶ ἀπαθὴς κακῶν ἑωρᾶτο. Ὅσα μὲν οὖν ὁ τύραννος ἠθύμει καὶ διεπρίετο, μηδενὶ τρόπῳ περιγενέσθαι δυνάμενος, λόγους τε αὖ πρὸς ἐκεῖνον οὓς διείλεκται, τοῦτο μὲν ἀπειλῶν, τοῦτο δὲ θωπείας καὶ

11. Tali fuerunt noctis illius certamina, nisit, ut arbitror, leviora diurnis: quæ vero, mox ut dies illuxit, sunt secuta, fuerunt tanquam in mari tempestas quædam, quando quem fluctus unus habuit, comprehendit alter, et imminet tertius: sic enim illa fuerunt graviora prioribus, tam varietate quam virtute nocendi; adeo ut votum mihi sit ea posse vel mediocriter dicendo explicare. Educebatur ergo e custodia, quem nec vivum illi sperabant se inventuros; et quoniam vivere præter spem deprehensus est, videbatur impassibilis omnino esse. Quomodo indignabatur dissecabaturque tyrannus, non valens cum ulla ratione vincere; quos item sermones ad eum habuerit, nunc quidem commi-

OCR ABK / FR

nans, nunc palpans et blandiens, dicere supersedeo: sed ut vidit, omni sua industria effectu frustrata, repulsum se risuique expositum; tunc, velut in turrim firmissimam et immobilem, magnam illam et præcipuam diaboli machinam erexit, rotam videlicet. Hæc vero (dicendum est enim ad explicandum tormenti genus, quamvis nec hoc facile explicatu sit), hæc, inquam, ex lignis componebatur, dorsum quidem circumferentiæ habens modice latum, latitudinem vero maximam in eo quod circa centrum erat spatio; introrsum discreta quatuor radiis, a summo ad summum sibi occurrentibus, seque invicem utrinque per medium directa intersecantibus: axis porro, inter radios trajectus, utrinque procurrebat, habens universum rotæ circulum, non circum se ducendum, sed secum versatilem: duo denique crura hinc et hinc aptabantur arte fabrili, quorum summitas axem sustinens, ita ipsum sublimem faciebat pendere, ut posset rota circumferri celerrime. Et in hunc quidem modum composita erat rota: subtus vero sternebantur tabulæ, accurate compactæ ad invicem, sic ut simul omnes junctæ unica tabula viderentur: quæ firmiter affigebantur pavimento, ut essent undequaque immobiles, uncis violenter et fabrili industria impactis: tum iisdem infigebantur acutæ cuspides, et cultri, et enses, et quæcunque species gladiorum; quorum acies erant conversæ ad circumferentiam rotæ; quas hæc propemodum attingere debebat, sed non prorsus contingere cum vertebatur, nisi aliquo exterius alligato.

12. Talis erat machina universa, terribilis auditu, visu vero longe terribilior; qualis autem fuerit experienti, quid opus est dicere? Mihi sane videtur multos præsentium exanimes corruisse, ex eo solum quod tantos cruciatus intueri cogebantur. Non tamen generosus ille atque, ut ita loquar, adamantinus despondit animum, sed totus divino amore plenus, mentemque et animam, atque ipsos etiam quodammodo sensus beatæ applicans pulchritudini, seque signo crucis muniens, omnibus audientibus invincibilem Christi potentiam precibus invocabat, cum Davide canens: Non timebo mala, quoniam tu mecum es, etsi ambulavero in medio mortis. Itaque decore omni ornatus veniebat gradu decenti ad machinam, quasi eam non experturus, sed contemplaturus duntaxat; sicut olim Elias hilariter igneum currum conscendit, nisi quod iste ascensum haberet in cœlum, hic vero ad mortem ambulare. Tunc, nudatur vestibus, supra rotam curvatur, tenuibus simul et fortibus vinculis super eam ligatur. Tunc (sed o! qui possit audire absque sensu doloris, quis narrare sine lacrymis?) tunc, inquam, fertur versus gladios rota, circumacta celerius carnificum impellentium manibus et machinis adnitentium. Tunc omnes simul gladii suum opus agebant: proscindebantur membra cuncta, rivi profluebant sanguinis, et irrigabantur cruore, rota, aer, pavimentum; carnesque et nervi

A ἀνελευθερίας πεῖραν εἰσάγων, λέγειν ἐῶ· ἀλλ' ὡς ἀπεκρούσθη καὶ γέλωτα ὄφλειν ἐδόκει, πάσης εἰς γῆν αὐτοῦ πεσούσης τῆς ἐπινοίας, τότε, ὡς ἐπὶ πύργον ἀῤῥαγῆ τε καὶ ἄσειστον, τὸ μέγα τοῦτο καὶ πρόσφατον ἵστησι τοῦ διαβόλου μηχάνημα, τὸν τροχόν. Ὁ δὲ ἦν (λεκτέον γὰρ εἰς ἔνδειξιν τῆς βασάνου, κἂν οὐχ οἷός τέ ἐστιν εὐκόλως ῥηθῆναι)· ἐκ ξύλων μὲν κατεσκεύαστο, μετρίως μὲν τὰ νῶτα τῆς περιφερείας εὐρὺς, εὐρύτατος δὲ τοῖς ἀπὸ τοῦ κέντρου διαστήμασι, κνήμαις τε τέσσαρσι καὶ κανόσι τὰ ἔνδον διειλημμένος, ἀπ' ἄκρου τε εἰς ἄκρον ἀπαντῶσι, καὶ ἀλλήλους εἰς ὀρθὰς παρ' ἑκάτερα τοῦ μέσου τέμνουσιν· ἄξων δὲ αὐτοῦ διὰ τούτων ἐληλαμένος, ἐφ' ἑκάτερα προεβέβλητο, ἔχων τὸν σύμπαντα κύκλον, οὐ περὶ αὐτὸν στρεφόμενον, ἀλλὰ σὺν αὐτῷ· B σκέλη δὲ δύο ἔνθα καὶ ἔνθα τεκτόνων μηχαναῖς ἀνεστηκότα, ἐξ ἄκρων ἀνεῖχε τὸν ἄξονα, καὶ τῷ μετέωρον τοῦτον τὸν τρόπον ἐργάζεσθαι, ὡς ὀξύτατα παρεῖχε τῷ τροχῷ περιφέρεσθαι. Ὁ μὲν οὕτως εἶχε· σανίδες δὲ κάτωθεν ὑπεστρώννυντο, ἀκριβῆ μὲν τὴν πρὸς ἀλλήλας ἁρμογὴν ἔχουσαι, ὡς καὶ μίαν ἁπάσας τῇ συνεχείᾳ δοκεῖν, ἰσχυρὰν δὲ καὶ τὴν ἐπ' ἐδάφους προσήλωσιν, ὅπως ἀκίνητα παντάπασιν ἔχοιεν, βίᾳ τε γόμφων ἐνισχημένα καὶ ἐπιστήμῃ δημιουργῶν. Ἐπὶ δὲ τούτων ἐπήγνυντο μὲν ὀξεῖς ὀβελίσκοι, ἐπήγνυντο δὲ καὶ κοπίδες καὶ μάχαιραι, καὶ πάντα εἴδη ξιφῶν ἁπάντων, τετραμμένας ἐχόντων πρὸς τὴν τροχοῦ περιφέρειαν τὰς ἀκὰς, ὧν καὶ παραψαύειν μὲν εἶχεν, οὐ μὴν δὲ καὶ ἀκριβῶς ψαύειν κυκλούμενος, μή τινος ἔξωθεν προσδεθέντος.

C ιβ'. Τὸ μὲν δὴ μηχάνημα τοιοῦτον, φοβερὸν μὲν τοῖς ἀκούουσι, τοῖς ὁρῶσι δὲ πολὺ φοβερώτερον· τὸ δὲ καὶ εἰς πεῖραν ἥκειν τί χρὴ καὶ λέγειν; Ἐμοὶ δοκεῖ καὶ πολλοὺς ἂν τῶν παρόντων ἀποθανεῖν ἐκ μόνου τοῦ τυχεῖν τηλικούτους θεωμένους ἀγῶνας. Ἀλλ' οὐχ οὕτως ἐκεῖνος, ὁ πολὺς τὴν καρτερίαν καὶ ἀδαμάντινος, ἐπὶ ταῦτα χωρῶν διετίθετο τὴν ψυχήν· ἀλλ' ὅλος ὅλου τοῦ θείου ἐμφορηθεὶς ἔρωτος, ἔνθους τε γεγονὼς καὶ μετέωρος, νοῦν τε καὶ ψυχὴν καὶ διάνοιαν τοῦ μακαρίου κάλλους ἐξάψας, εἴη δὲ εἰπεῖν καὶ τὰς αἰσθήσεις αὐτὰς, σημείῳ τε σταυροῦ φραξάμενος, καὶ δι' εὐχῆς πάντων ἀκουόντων τὴν ἄμαχον Χριστοῦ ἐπικεκλημένος ἰσχὺν, μετὰ Δαυῒδ τε κατὰ καιρὸν ᾄδων, Οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ, κἂν ἐν μέσῳ θανάτου πορεύσωμαι· D ἐχώρει φαιδρὸς φαιδρῶς ἐπὶ τὸ μηχάνημα, ὡς εἰς θεωρίαν ἐκείνου, ἀλλ' οὐ πεῖραν ἱέμενος· μόνος ἴσως Ἠλίας οὕτως ἡδέως τοῦ πυρίνου ἐπέβαινεν ἅρματος· κἂν ὁ μὲν εἰς οὐρανὸν τὴν ἄνοδον ἐποιεῖτο, ὁ δὲ τὴν πορείαν ἀποθανούμενος. Ἐντεῦθεν ἐπιγυμνοῦται, ἐπικυρτοῦται τῷ τροχῷ, λεπτοῖς ἅμα καὶ ἰσχυροῖς τοῖς ἱμᾶσι στρεβλοῦται. Ἐντεῦθεν (ὢ τίς ἀκούσας ἀπαθῶς ἀκούσεται; ποῖος ἀδακρυτὶ ταῦτα παρέλθοι;) φέρεται κατὰ τῶν ξιφῶν, ὀξύτερον τοῦ τροχοῦ ποιουμένου τὸν δῖνον, καὶ χερσὶ διερεθιζόντων δημίων, καὶ μηχαναῖς κατατεινόντων. Ἐνταῦθα ἦν, καὶ πάντα ἐνήργει ξίφη, καὶ πάντα ἀνεῤῥήγνυντο μέλη, καὶ κρουνοὶ αἵματος ἔῤῥεον,

OCR ABK / FR

καὶ πάντα ἐδεύετο, τροχός, ἔδαφος, ἀνήρ, σάρκες τε καὶ νεῦρα καὶ ὀστᾶ, ἐπίσης πάντα τῇ βίᾳ καὶ σπαραττόμενα καὶ ξαινόμενα.

ιγ'. Καὶ τὰ μὲν ὡς εἰς ἀέρα ἐφέρετο· ὁ δ' οὕτως ἱερείου δίκην κατατεμνόμενος καὶ σπενδόμενος, οὐκ ἠφίει φωνήν, οὐ στεναγμὸν ἀνέπεμπεν, οὐχ ἕτερον οὐδὲν ἐδείκνυ τῶν ὀδύνην ὑποσημαινόντων ψυχῆς· οὐ γὰρ ἐῴκει πάσχοντι, οὐδὲ σιδήρῳ μᾶλλον τὴν διαρτίαν λυομένῳ τοῦ σώματος ἢ βαθυτάτῳ ὕπνῳ κατεχομένῳ. Πλὴν ἀλλ' ἐκ τούτου δόξας ἀποθανεῖν, οὐκ ἔστιν εἰπεῖν ὅσον τῆς ἀσεβείας σπουδασταῖς εὐφρανθῆναι παρέσχε, πανήγυριν ἀτεχνῶς τὸν ἐκείνου θάνατον ἡγουμένοις. Ὅμως ἡ τότε τελετὴ καλῶς τοῖς λογισομένοις τεκμήρασθαι, ἔσπευδον πρὸς βασιλέα πολλοί, ὥσπερ τινὲς ἄγγελοι τῶν κρειττόνων ἐσόμενοι, ἄλλος ἄλλον προφθάνοντες, Νενικήκαμεν, λέγοντες, περιγεγενήμεθα, κατείργασται, τέθνηκεν, ἀξίαν τῆς κατὰ τῶν κρειττόνων παροινίας ἔχει τὴν ἀμοιβήν. Ὁ δέ, ὅσῳ καὶ διαφερόντως τῶν ἄλλων τῶν μαρτυρικῶν αἱμάτων ἐδίψα, καὶ μᾶλλον τηνικαῦτα τῶν ἄλλων ἔγεμεν ἡδονῆς, ἔχαιρε, διανίστατο, ἑαυτὸν ὑπ' εὐφροσύνης κατέχειν οὐκ εἶχεν· τοῖς τε πλήθεσιν· ὡς ἐπὶ παραδόξῳ τινὶ καὶ ἀπίστῳ τῇ νίκῃ, ἑορτὰς παρήγγειλε καὶ θυσίας, καὶ αὐτός γε ὁμοίως ἐποίει· ἐπὶ βωμοὺς ἐβάδιζε καὶ ἱερά, ἐπινικίους τελέσων τοῖς δαίμοσιν.

ιδ'. Οὕτω παντάπασιν ἄτοπος ἐκεῖνος ἐπὶ τοιούτοις ἡδόμενος, κἂν οὐκ ἔμελλε χαιρήσειν ἐπὶ πολὺ οὐδὲ τῆς ἀλόγου ταύτης τελετῆς ἀπολαύσειν, τοῦ μὴ καταισχυνθῆναι προφητικῶς εἰπεῖν, καὶ ἀπωσθῆναι ἐκ τῶν θυσιαστηρίων αὐτοῦ. Καὶ γὰρ ἐν τούτοις ὄντος, θαυματουργεῖ καὶ πάλιν Χριστὸς ἐνταῦθα τὰ τοῦ σταυροῦ, καὶ πάντα ἦν ὁμοῦ τὰ φρικώδη τότε, ἐκ νεφῶν καταιγίδες, ζόφωσις ἀέρος, νυκτερινὸν σκότος ἐν μεσημβρίᾳ, κλόνος γῆς, μυκήματα οὐρανοῦ, βολίδες ἀστραπῶν, τὰ τῶν Αἰγυπτιακῶν πληγῶν πολλῷ φοβερώτερα· οὐκ ἀκολουθίᾳ φύσεως τότε συμβάντα, οὐδ' ἔκ τινος συντυχίας καὶ ταὐτομάτου (ἧπερ ἴσως ἔδοξε τοῖς ἀθέοις τυφλώττουσι τὴν διάνοιαν), Θεοῦ δὲ προστάγματι συνδεδραμηκότα, δοξάζοντος τὸν οἰκεῖον θεράποντα, ὡς καὶ Μωϋσῆν ἐν Ἀσσυρίοις, καὶ ἄλλον ἀλλαχοῦ κατὰ τὴν αὐτοῦ ἀνεξιχνίαστον βούλησιν· ὃς καὶ τότε φύλακας μὲν καὶ ὅσος ἄλλος ὅμιλος ἦν τοῖς δαίμοσι διασκεδάσας, ἀγγέλῳ φωτὸς παρεμυθεῖτο τὸν ἀθλητήν, ὁμοῦ μὲν ἀνεὶς τῶν δεσμῶν, ὁμοῦ δὲ εἰς ὁλοκληρίαν αὖθις συσφίγγων καὶ θεραπεύων τὰ τραύματα, ὁμοῦ δὲ καὶ τῷ τυράννῳ εἰς ἔκπληξιν καὶ μαρτύριον ἐμφανισθῆναι προστάττων, δύναμιν καὶ βοήθειαν νῦν τε καὶ εἰς τὸ ἑξῆς ἐγγυώμενος.

ιε'. Καὶ ἦν τοῦτό γε βαρεῖά τις ἐκείνῳ καὶ ἀφόρητος ἀκοή, καὶ τῇ προτέρᾳ φήμῃ ἀντίῤῥοπος· τοῦτο τὰς ἡδονὰς ἐκλύει, τὰς ἑορτὰς καταργεῖ, καὶ τὰ ἐπινίκια καὶ χαριστήρια περιτρέπει θύματα· τοῦτο καὶ ἄπιστον εἰκότως ἐδόκει διὰ τὸ μέγεθος. Καὶ γὰρ ὄντως ἦν δυσπαράδεκτον, εἰ μετ' ἐκείνην τὴν διάλυσιν ἔτι μετὰ τῶν ζώντων περινοστεῖ. Ἐπεὶ δὲ καὶ αὐτὸς ἤδη παρῆν, καὶ ὁρώμενος, ἐρωτώμενος, ἐπαφώμενος, Γεώργιος ἦν πανταχοῦ, κἂν

A atque ossa ipsa, eadem violentia divulsa ac laniata, in aerem quadamtenus spargebantur.

13. Ipse vero, instar victimæ sic conscissus laniatusque, nec vocem, nec gemitum emittebat, nec aliud ullum signum dolentis animi; nequeenim cum ferrum dissolveret compagem corporis, magis pati aliquid videbatur, quam qui profundo somno tenetur. Quoniam autem propterea credebatur jam obiisse, haud facile dictu est quantum de se præbuerit gaudium impietatis studiosis, mortem ejus pro re festivissima habentibus. Itaque statim atque satis clara necis indicia se habere crediderunt, festinarunt certatim ad imperatorem, alius alium prævertentes, dicentesque: Vicimus, superiores B evasimus, victus est, extinctus est: dignam pro illata rebus optimis contumelia retributionem accepit. Ille autem quanto præ cæteris magis Martyris sanguinem sitiebat, tanto majori præ aliis replebatur gaudio, exsultabatque, ipsum se continere nequiens; et tanquam super admirabili quadam incredibilique victoria festum et sacrificia populo indicens, ad fana, ad aras properabat, oblaturus dæmonibus triumphales hymnos.

14. Ita jucundabatur demens ille super re acta, quamvis haud diu gavisurus aut fruiturus morte insipienter credita, quid confunderetur juxta Prophetam, et repelleretur ab altaribus suis. Dum C enim hæc ageret, rursum Christus mirificavit crucis suæ mysteria, et omnia subito versa sunt in horrorem; cum procellæ nubium, caligo aeris, nocturnæ medio die tenebræ, motus terræ, mugitus cœli, fulminum jactus, multo terribilius qui Ægyptiacis plagis concurrerent; idque non ex ordine naturali aut casu aliquo (quemadmodum forsitan visum est impiis, excæcatum habentibus intellectum), sed ex Dei mandato, glorificantis famulum suum signis atque prodigiis, quemadmodum in Ægypto, Moysem, et Danielem inter Assyrios, et alios alibi, secundum inscrutabilem voluntatem suam. Quin etiam custodes et quotquot aderant alii cultores dæmonum dispergens, misso lucis angelo consolabatur athletam, simulque et vincula dissolvit, et corporis integritatem restituit curatis D vulneribus, jubens ut se tyranno sisteret, ad stuporem testimoniumque, et robur atque auxilium, ut nunc, sic et in posterum pollicens.

15. Fuit profecto grave Diocletiano atque intolerabile hoc nuntium, priori famæ contrarium; hoc gaudia dissolvit, festa cohibuit, triumphalia et gratulatoria sacrificia evertit; quin etiam propter miraculi magnitudinem incredibile videbatur; et vere non erat ulla ex parte verisimile, quod post ejusmodi dissolutionem adhuc in vivis Martyr ageret. Cum autem præsens astitit, et videri, interrogari, audiri loquens potuit, seque per omnia Georgium

OCR ABK / FR

probavit sensibus atque responsis; tunc credi cœpit miraculum, multique ad Christum transierunt: quorum aliqui latitare volentes satis habebant corde credere: aliqui non dubitaverunt etiam ore confiteri fidem, et e vestigio confidentius agere: qui gladio percussi ad mortem, suæ tam publicæ confessionis mercedem receperunt. Sed neque Alexandra imperatrix spectaculi novitati resistere potuit, quin ipsam quoque miraculum tangeret, persuaderetque idolorum ac dæmonum culturam abominari, atque ad Christum transire.

A ταῖς αἰσθήσεσι κἂν ταῖς ἀποκρίσεσι· τότε καὶ τὸ θαῦμα πιστεύεται, καὶ πολλοὶ πρὸς Χριστὸν μετατίθενται· οἱ μὲν μετὰ τοῦ λανθάνειν ἐθέλειν καὶ μόνῃ πιστεύειν καρδίᾳ, οἱ δὲ καὶ τοῦ στόματι ὁμολογεῖν καὶ αὐτίκα παῤῥησιάζεσθαι, οἳ καὶ τῷ διὰ ξίφους τιμῶνται θανάτῳ, μισθὸν τοῦτο τῆς εἰς προὖπτον ὁμολογίας εὑράμενοι. Οὐδὲ Ἀλεξάνδρα τότε ἡ βασιλὶς, οὐδ' αὐτὴ τῷ παραδόξῳ τῆς θέας ἀνάλωτος ἔμεινεν· ἅπτεται δὲ κἀκείνης τὸ θαῦμα, καὶ πεῖσαν τὴν εἰς εἴδωλα καὶ δαίμονας ἀτιμάσαι πίστιν, πρὸς Χριστὸν μετεβίβασε.

16. Solum Diocletianus antiquo isti Pharaoni propter animi perversitatem similis fuit obdurando cor magis etiam quam ille: quoniam hic quidem flagellantem se virtutem confitebatur, et respiciebat, et surgebat mane, et rogabat Deum ut cessarent plagæ, donec tandem animum obstinavit: iste vero neque respiciebat neque sentiebat majoris se dominatum; et virtutem quamdam rationis expertem ad torquendum accendens (quam scimus æqualem igni ad urendum esse, et glaciei ad frigefaciendum), nec ad modicum quidem cohiberi poterat, quin suæ obsecundaret malitiæ semper ad tormenta respiciendo, novaque suppliciorum genera conquirendo, et vero etiam adinveniendo: erat enim ad malefaciendum sapiens, bene autem facere omnino nil noverat. Itaque exhibetur tormenti genus, absque cujusquam opera aut labore, sed suo ipsius motu peragendum; idque omnium gravissimum, et quale nec multa quidem industria potest a quoquam elaborari: neque scio an alius quispiam omnibus retro sæculis tale quid sustinuerit; nihil certe unquam simile audivimus. Jeremias enim in lacum conjectus est, sed lutosum: Daniel in lacu fuit, sed leonum. Georgius autem etiam in lacum est missus, sed igneum: erat enim plenus viva calce, quam desinens tunc primum urere ignis, ignem in eo reliquerat alium, tanto efficaciorem quam est flamma ad animalium corpora destruenda, quanto plus materialis crassitiei et soliditatis habebat admistum: quæ enim sunt talia, hæc et ratione et experientia probantur etiam esse ardentiora; cum non contineant ignem accensum et in transitum urentem, sed quodammodo permanentem, et iis quibus approximatur adhærentem. Imitatus est utique Diocletianus Babylonium Nabuchodonosor, quoad fornacem quam accendit sociis Azariæ, recusantibus adorare creaturam contra mandatum Creatoris. Præcepit autem jaci Georgium tyrannus, quia sicut illi, Deo vivo adhærens, mutis et insensatis simulacris nolebat appropinquare.

ιϛ'. Μόνου τοῦ πάλαι Φαραὼ ἴσως ἦν καὶ Διοκλητιανοῦ τῆς πονηροτάτης ψυχῆς τὸ πρὸς τοσοῦτον σκληρύνεσθαι· τοῦ δὲ καὶ μᾶλλον, ὅσον ἐκεῖνος μὲν καὶ ἀνωμολόγει τὴν μαστίζουσαν δύναμιν, καὶ ἐπέ- B στρεφε, καὶ ὤρθριζε, καὶ ἀνεῖναι τὰς πληγὰς ἠντιβόλει Θεὸν, καὶ ἐπὶ τέλους λιθοκάρδιος ἔμεινεν· ὁ δὲ οὐδὲ ἐπεστρέφετο, οὐδ' ᾐσθάνετο τὴν ἀρχὴν, ἀλλά τινα περὶ τὸ κολάζειν, οἷον ἄλογον ἐναψάμενος δύναμιν, ἣν δὴ καὶ τὴν πυρὸς φύσιν ἔχειν ἴσμεν περὶ τὸ καίειν καὶ περὶ τὸ ψύχειν τὸ κρύσταλλον, οὔτ' ἀνεκόπτετο κἂν ἐπὶ ποσὸν ὑπὸ μηδενὸς, καὶ προσετίθει τῇ ἑαυτοῦ κακίᾳ, ἀεὶ πρὸς βασάνους ὁρῶν, καὶ καινότερα ἐπινοῶν κολαστήρια, καὶ μέντοι προσεξευρίσκων, ἐπειδὴ καὶ σοφὸς ἦν τοῦ κακοποιῆσαι, τὸ δὲ καλὸν ποιῆσαι οὐκ ἔγνωκεν. Ὅμως μηδέν τοι τότε πεπονηκότι, μηδὲ περιειργασμένῳ, αὐτόματός τις ἀναφαίνεται τιμωρία· ἡ δὲ καὶ βαρυτάτη τῶν ἁπασῶν ἐτύγχανεν οὖσα, οὐδ' ἄν τις, καὶ σφόδρα φιλοπονήσας, οὕτως ἐποίησε χαλεπήν· C καὶ οὐκ οἶδ' εἴ τις ἐκ τοῦ παντὸς αἰῶνος τοσοῦτον ὑπέμεινεν, οὐ γὰρ ἀκοῇ παρειλήφαμεν. Ἱερεμίας γὰρ ἐν λάκκῳ ἐῤῥίφη, ἀλλὰ βορβόρου· καὶ Δανιὴλ ἐν λάκκῳ, ἀλλὰ λεόντων· ἐν λάκκῳ μὲν οὗτος, ἀλλὰ πυρός· ἐτύγχανε μὲν γὰρ πλήρης ἀσβέστου, ἣν ἄρτι τότε διαλελοιπὼς καίειν τὸ πῦρ, πῦρ ἀφῆκεν ἄλλο, τοσούτῳ φλογὸς ἐνεργέστερον ζώων κατεργάσασθαι σώματα, ὅσῳ γε δήπου καὶ μεθ' ὑλικῆς παχύτητος ἦν καὶ στεῤῥότητι παρεμέμικτο· τὰ γὰρ τοιαῦτα καὶ καυστικώτερα λόγος ἡμῖν καὶ πεῖρα παρέστησε, μηδὲ ἱπτάμενον τὸ πῦρ ἔχοντα, μηδ' ἐν παρόδῳ καῖον, μένον δὲ τρόπον τινὰ, καὶ τοῖς ἐγγίζουσι προσφυόμενον. Κατὰ τοίνυν τοῦτον μιμούμενος Ναβουχοδονόσωρ τὸν Βαβυλώνιον, καθ' ἣν ἐκεῖνος τοῖς περὶ Ἀζαρίαν, μὴ τῇ κτίσει παρὰ τὸν κτίσαντα λατρεύειν ἀνεχομένοις, ἐξέκαυσε κά- D μινον, προστάττει τόνδε ῥιφῆναι, ὅτι ζῶντι κατ' ἐκείνους προσανεῖχε Θεῷ, καὶ κωφοῖς καὶ ἀναισθήτοις οὐ προσεῖχεν ἀγάλμασιν.

17. Tunc ille dixit verba hæc Davidis ad Deum: Ne longe facias miserationes tuas a me, quoniam circumdederunt me mala quorum non est numerus: usurpavit etiam verba puerorum, in animo contrito et spiritu humilitatis pronuntiata simili occasione: Ne tradas nos in perpetuum, et erue nos in mirabilibus tuis. Quod autem petiit consecutus est, neque confusus in exspectatione sua;

ιζ'. Καὶ τὰ ἑξῆς φθέγγεται μὲν τὰ τοῦ Δαυῒδ πρὸς Θεὸν, Μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου, λέγων, ὅτι περιέσχον με κακὰ, ὧν οὐκ ἔστιν ἀριθμός· φθέγγεται δὲ καὶ τὰ τῶν παίδων ἐπὶ τῆς ὁμοίας φλογὸς, ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως· Μὴ παραδῴης ἡμᾶς εἰς τέλος, καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου. Ἐπιτυγχάνει δὲ τῆς εὐχῆς, καὶ τῆς προσδοκίας οὐ καταισχύνεται· καὶ

OCR ABK / FR

σώζεται μὲν σὺν τῷ Ἰωνᾷ, σώζεται δὲ μετὰ Ἱερεμίου καὶ Δανιὴλ, ὑφ' ἧς ἀσινεῖς ἐκεῖνοι δυνάμεως ἐν γαστρὶ κήτους, καὶ βορβόρου λάκκῳ, καὶ λεόντων φυλάττονται, καὶ αὐτὸς φυλαττόμενος. Ὢ πόσα Θεὸς λόγοις ἀῤῥήτοις οἰκονομίας καινοτομεῖ, καὶ δοξάζων τοὺς ἑαυτοῦ καὶ τοὺς ἀπίστους ἢ ἐντρέπων ἢ πρὸς ἑαυτὸν ἐκκαλούμενος! Ὢ πόσα μετατρέπει καὶ μετασκευάζει, σωτηρίαν ἐν ἀνθρώποις οἰκονομῶν! Πῦρ σβέννυσιν, ἵστησιν ὕδατος ῥῦσιν, ἢ μᾶλλον εἰπεῖν πυρὸς ἐνέργειαν εἰς τὴν τῶν ὑδάτων μεθίστησι, καὶ δύναμιν αὖ ὑδάτων εἰς τὴν τοῦ πυρὸς μεταμείβει· ὁπλοποιεῖ εἰς ἄμυναν ἐχθρῶν τὴν κτίσιν· ἀλλὰ καὶ μεταστοιχειοῖ, δεῆσαν τοὺς οἰκείους θαυμαστῶσαι θεράποντας· ὃ δὴ καὶ νῦν ποιεῖ.

salvatus cum Jona, Jeremia, Daniele; ipsum quoque custodiente eadem virtute, qua illi indemnes in ventre ceti, in lacu cœni et leonum sunt custoditi. Quam multa nova designat Deus, ineffabilibus dispensationis supernæ rationibus, aut Sanctos suos glorificans, aut infideles confundens, vel ad sese vocans! Quam multa transvertit et transmutat, hominum saluti prospiciens! Ignem exstinguit, fluxum aquæ sistit, aut, ut verius dicam, operationem ignis in operationem aquæ transfert, et rursum aquarum virtutem in virtutem ignis commutat: armat in ultionem inimicorum creaturam; et elementa convertit, volens servos suos admirabiles reddere, quemadmodum et nunc fecit.

ιη'. Ἤδη μὲν γὰρ ὁ λάκκος ἐκλείετο, ἔνδοθεν ἔχων τὸν ἀθλητὴν, καὶ ἐσφραγίζετο, καὶ ὁ κατ' αὐτὸν δρόμος τέλος ἔχειν ὑπελαμβάνετο, καὶ τί γὰρ ἄλλος τοῖς γε φύσεως ἀκολουθίαν μετροῦσι, Θεοῦ δὲ μὴ λογιζομένοις ἰσχύν. Τρίτη λοιπὸν παρῆν ἐξ ἐκείνου, καὶ ἦσαν εντολαὶ τὴν τίτανον ἐκφορήσαντας ἀφανίζειν, καὶ εἴ τι τῶν ὀστῶν περιλείπεται· Μή τισι καὶ τοῦτο, φησὶν, ὀπίσω εἰς ζῆλον εἴη τοῦ θεοὺς ἀθετεῖν. Παρῆσαν οἱ ἐπὶ τούτῳ, παρῆν καὶ ὅμιλος ἄλλος, ἐξεφόρουν, ἐξεκάθαιρον, ἔχοντες ἐν νῷ πρᾶξαι καὶ τὸ λειπόμενον· καὶ τηνικαῦτα τὸ μέγα θαῦμα κατάδηλον γίνεται. Ὄρθιος ἵστατο, ἄνω βλέπων, ὡς ἐν εὐχομένου σχήματι, ἀσινὴς, τότε μᾶλλον ἢ πρότερον ἐξαστράπτων, κρείττονός τινος φύσεως, οὐκ ἀνθρωπίνης, ἄγαλμα, ὥςπερ εἰς τοῦτ' ἀναχωνεῦσαι, ἀλλ' οὐκ ἀφανίσαι τοῦ πυρὸς δεδεγμένου. Ἐπὶ γοῦν τοῦτο πόσαι παρὰ τοῦ δήμου βοαὶ, Θεὸν ἀνευφημούντων καὶ μέγαν καὶ μόνον ἀποκαλούντων τὸν Γεωργίου Χριστόν! πόσαι διὰ ταῦτα τῷ τυράννῳ πληγαί! οὐ λέγω τὰς μετὰ ταῦτα διαδεξομένας, ἀλλ' ἐν τῷ παρόντι διὰ τὴν τῆς ἥττης αἰσχύνην· πόσαι δυσθυμίαι καὶ κακώσεις ψυχῆς ἑνὸς ἀνδρὸς τοσαῦτα φιλονεικοῦντι περιγενέσθαι, καὶ τοσαῦτα ἀποτυγχάνοντι;

18. Jam lacus, intus habens athletam, clausus erat atque signatus; jam cursus ejus putabatur consummatus (quid enim aliud?) ordinem naturæ metientibus, et Dei potentiam non recogitantibus. Denique tertius dies adfuit, ex quo illuc immissus erat Sanctus: præceptumque est ut exportata calce dissiparetur, si quid ossium erat super: Ne vel hoc ipsum, inquiebat, postea animos daret aliquibus ad rejiciendum deorum culturam. Aderant igitur quibus id mandatum, aderat et multitudo ingens alia: egerebant calcem, expurgabant lacum, et quæ insuper imperata erant perficere meditabantur, quando manifestari cœpit miraculum ingens. Stetit Georgius erectus in pedes, sursumque veluti orabundus oculos extulit, illæsus omnino, et tunc magis quam prius refulgens, tanquam si fuisset melioris alicujus naturæ quam humanæ simulacrum; et ignis illum non perdendum, sed reformandus suscepisset. Exinde quanta conclamatio populi, collaudantis Deum, magnum et unicum, et Christum Georgii invocantis! quantæ ex hinc tyranni plagæ non dico in futurum recipiendæ, sed et in præsenti, propter verecundiam irriti conatus! quanta animi desperatio et ægritudo, cum vir unus superaret tantopere satagentem vincere, suaque exspectatione frustraret!

## CAPUT III.

*Crepidis ignitis calceatus Georgius tyrannum redarguit.*

ιθ'. Δεινὸν μὲν γὰρ ἦν αὐτῷ, ἐπειδὴ καὶ ἀσύνηθες, τὸ μὴ πεῖσαι δυνηθῆναι, μηδὲ τῆς ἐκείνου γνώμης κρατῆσαι· δεινότερον δὲ τὸ μηδὲ θανατῶσαι ἰσχῦσαι· καὶ ταῦτα ἐν χερσὶν ἔχοντα, καὶ τῶν μεγίστων καθεκάστην ἐντὸς ποιοῦντα κινδύνων. Ἀλλ' ὁπηνίκα καὶ τοὺς ἰδίους Ἕλληνας πρὸς Χριστὸν μετατιθεμένους ἑώρα, τί λέγεις; Οὐ θανάτου τοῦτο πικρότερον ἀνδρὶ, τοσοῦτον πρὸς ζῆλον εἰδωλολατρείας ἐκκαιομένῳ; Ἠγγέλλετο μηδὲν αὐτοῦ μηδὲ ταύτην ἀτῦσαι τὴν βάσανον, ἐκεῖνον περιεῖναι ὥσπερ χρυσὸν ἐκ πυρὸς, φαιδρότερον ἑαυτοῦ καὶ καλλίω γεγενημένον· τὰ πλήθη τῆς πατρίου δόξης σαλεύεσθαι· καὶ καθὲν τούτων, ὥσπερ οἱ βροντῆς ἤχῳ πληττόμενοι, ἐξίστατο καὶ εἶχε σιγῇ, καὶ ἀναφέρων οὐκ ἀπέστρεφε τὸν θυμὸν αὐτοῦ, ἀλλ' ὑψη-

19. Grave erat Diocletiano, quia insolens, nec persuadere posse Georgio, nec a proposito dimovere: gravius tamen nec occidere quidem posse, cum id in manibus suis habere videretur, et maximis periculis quotidie illum committeret. Sed quando proprios suos gentiles ad Christum transiisse videbat, quid dices? Nunquid non ipsa morte acerbius hoc fuit homini, usque adeo intensum pro idololatria zelum habenti? Nuntiabatur neque hoc supplicio actum esse quidpiam: superstitem illum vivere; seque ipso pulchriorem ac lucidiorem, velut aurum ex igne prodisse; multitudinem autem vacillare in avita religione. Hinc tanquam tonitru perculsus, obstupuit obmutuitque; non tamen resipiscens abstulit indignationem

OCR ABK / FR

suam ab eo, sed adhuc manum extentam habens, A eamdem ad nova supplicia armavit. Rursum autem eum jubens coram se statui, eidem loqui voluit, licet nil haberet quod rationabiliter diceret, omni recti sermonis facultate destitutus. Et primum quidem ad interrogationes, nihil omnino ad rem facientes, convertebatur: Unde, inquiens, tot tantasque incantationes didicisti? quibus utens tormenta effugis, quæ tibi per leges et per nos inferuntur: et imprudentiores partim in admirationem rapis, partim etiam seducis; Christum quemdam prædicans unicum esse Deum, et novum hoc insolensque præconium habens pro velamento veneficiorum tuorum.

20. Postquam autem indignum responso Georgius censuit, quem ipsa opera sapientiorem non B facerent; minatus est Diocletianus per seipsum experimentum sumere, utrum non essent illa magicæ artis portenta. Dixit: et cruciatum cruciatu conjungens, atque duo simul supplicia congerens, eo quod iis sigillatim uti judicaret temerarium esse, ignem accendit, ferreas crepidas eidem injecit, ipsasque longis et acutis clavis transfixit; his, tanquam perfectissimis mortis laqueis, Martyrem induens. Ipse autem, nihil ad hæc conterritus (quod nobis vel ex solo auditu usuvenit, quamvis ab experientia tam longe remotis), neque ab ea confidentia, quam in principio pro pietate monstraverat, quidquam desciscens, sed quæstioni applicitus, verberatus, pulsatus, magis alacer quam advenerat in carcerem rediit; nequaquam interim in his omnibus desistens ab oratione ad Deum C faciendа. In solo enim illius intuitu, qui solus immobilis est, alienationem animi a cruciatibus naturæque depravationem sistebat; et intra seipsam inordidate commotam, periclitantemque ne deficeret, reducebat; manifeste demonstrans, quod licet tyrannus, imo homines universi, superare eum contenderent, in vanum laborantes refutarentur, quando eum liberare vellet virtus a Deo procedens.

21. Atque ita se habuerunt ea quæ circa Martyrem acta sunt: gravia sine quoad cruciatus, et plus quam gravia: quis enim non dixerit vel auditu intolerabilia esse? Sed majora e contra oportet fuisse ea, quæ pro ipsius defensione sunt gesta, ut nec vestigium quidem injuriæ in ejus corpore, post D visitationem divinam, remaneret. Quoniam, si non magnum mihi est vel sic contendere, valuit malitia adhuc amplius in iis quæ partium suarum erant; sed nunquam tantum nocere potuit, quantum potuit benefacere Deus. Diocletianus vero neque hic substitit, neque in his finem fecit suppliciorum, quamvis omnes tormentorum species exposuisset: sed, quemadmodum qui circum globum currunt; ad idem semper principium redeunt; sic et ipse, cum amplius ei non superesset quod ageret, non despondit animum, tormenta congeminans; sed rursum ad flagella rediit, impietati impietatem ap-

λὴν εἶχεν ἔτι τὴν χεῖρα, καὶ πρὸς τιμωρίας ἐφώπλιζε. Καὶ μέντοι πάλαι ἑαυτῷ παραστήσας ἐκεῖνον, ἐβούλετο μέν τοι εἰπεῖν, μὴ ἔχων δὲ ὅμως ὅθεν εὐλόγως, παντὸς αὐτὸν ἐπιλελοιπότος δικαίου, πρῶτα μὲν πρὸς ἐρωτήσεις, μηδὲν τὸ παράπαν προσηκούσας, ἐτρέπετο· καὶ, Πόθεν, φησὶ, τὰς τοιαύτας καὶ τηλικαύτας μαγγανείας ἔχεις μεμαθηκώς; αἷς καὶ χρώμενος ἐκδιδράσκεις μὲν βασάνους ὁπόσας σοι νόμοι καὶ ἡμεῖς ἐπηγάγομεν, ἐξιστᾷς δὲ καὶ τοὺς ἀφελεστέρους, τοὺς δὲ καὶ παράγεις, Χριστόν τινα μόνον καταγγέλλων Θεὸν, ἐπίκρυψιν σαφῶς γοητείας τὸ πρόσφατον τοῦτο καὶ ἄηθες εὑράμενος κήρυγμα.

κ'. Εἶθ' ὡς οὐδὲν ἐκεῖνος, πρὸς ὃν οὐδὲ τὰ πράγματα διδάσκειν εἶχεν, ἠξίου δοῦναι ἀπόκρισιν αὐτόν· ἀπειλεῖ δι' ἑαυτοῦ λήψεσθαι πεῖραν, εἰ μὴ μαγγανεῖαι ταῦτα καὶ τερατεῖαι, ἔφη, ταῦτα· καὶ βάσανον βασάνῳ παραζευγνύει, καὶ σύνδυο προσφέρει, τὸ κατὰ μίαν ὡς ἀνήνυτον ἀποδοκιμάσας. Ἀνῆπτε πῦρ, καὶ κρηπῖδας σιδηρᾶς προσέφερε τῷ πυρὶ, τούτων ὡς ἐπιμήκεις καὶ ὀξεῖς διήλαυνεν ἥλους, καὶ ταύταις παγίσιν ἤδη συντελεσθείσαις θανάτου προσῆγε τὸν Μάρτυρα. Καὶ ὃς πρὸς ταῦτα δὴ βλέπων, μὴ πεφρικὼς ὃ νῦν ἡμεῖς κἀκ μόνης πάσχομεν ἀκοῆς, καίπερ τοσοῦτον ἀφεστηκότες τῆς πείρας, μὴ καταπλαγεὶς, μὴ τῆς παῤῥησίας ἑαυτῷ μὴ τῶν ἐξ ἀρχῆς ὑπὲρ εὐσεβείας μεμψάμενος λογισμῶν· ἀλλὰ παντὸς μᾶλλον πρόθυμος ὡς εἶχεν ἐναρμοσάμενος, τυπτόμενος, ὠθούμενος, ἑλκόμενος, καταλαμβάνει τὸ δεσμωτήριον, οὐδὲ τῆς πρὸς Θεὸν ἐν πᾶσι τούτοις ἐπιλελησμένος εὐχῆς. Ἐν γὰρ μόνῳ δὴ τούτῳ, τῷ βλέπειν δηλαδὴ πρὸς μόνον ἀκίνητον, τὴν ἀπὸ τῶν ἀλγηδόνων ἔκστασιν καὶ παρατροπὴν τῆς φύσεως ἵστη, καὶ εἰς ἑαυτὴν ἀτάκτως σαλευομένην, καὶ μὴ εἶναι κινδυνεύουσαν ἐπανῆγε. Τοῦτο σαφῶς ἐνδεικνύμενος· ὅτι κἂν ὁ τύραννος, κἂν πάντες ἄνθρωποι, περιγενέσθαι φιλονεικῶσιν, ἀπέραντα πονοῦντες ἀπελεγχθήσονται, ῥύεσθαί γε βουλομένης τῆς ἐκεῖθεν δυνάμεως.

κα'. Τὰ μὲν δὴ κατὰ τὸν Μάρτυρα οὕτως εἶχε· δεινὰ μὲν τὰ τῶν βασάνων, καὶ πέρα δεινῶν, τίς γὰρ οὐκ ἂν εἴποι, καὶ ἀκοαῖς ἀφόρητα; μείζονα δὲ ἐκ τοῦ ἐναντίου τὰ τῶν ἀντιλήψεων, ὡς μηδὲ κακώσεως ἴχνος μετὰ τὴν ἐπίσκεψιν μένειν· ἐπειδὴ εἰ μὴ μέγα ἐμοὶ καὶ οὕτω παρεξετάζειν, ἴσχυει μέν τοι κακία, καὶ πάνυ πολὺ εἰς τὸ ἑαυτῆς· ποῦ δὲ ὅμως τοσοῦτον, ὅσον ἀγαθῦναι Θεός; Διοκλητιανὸς δὲ οὐ μέχρι τούτων ἔστη, οὐδ' ἐνταῦθα τὰ τιμωρίας ὡρίσατο, ἐπειδὴ καὶ πάντα μετῄει βασάνων εἴδη· ἀλλ' ὥσπερ οἱ σφαῖραν περιτρέχοντες, ἀεὶ τὴν περιφορὰν πληροῦντες τὴν αὐτὴν ποιοῦνται ἀρχὴν, οὕτω που καὶ αὐτὸς, ὡς οὐδὲν ἦν αὐτῷ τι πλέον γεγενημένῳ, οὐκ ἀπείρηκε κολάζων· ἀρξάμενος δὲ καὶ αὖθις ἐκ τῆς αἰκίας ᾔει, ἀνομίᾳ προστιθεὶς ἀνομίαν, καὶ αἵμασι μίσγων αἵματα. Ὡς γὰρ ἑνὸς τούτου μεγίστου τε καὶ ἀναγκαιοτάτου πάντων ἀγώνων τυγχάνοντος, τῶν

OCR ABK / FR

ἄλλων ἑαυτὸν ἀποστήσας, καίτοι πολλῶν σφοδρῶς ἐπικειμένων καὶ πρὸς ἑαυτὰ μεθελκόντων, οὐ δημοσίας καθιστῶν διοικήσεις, οὐ πολιτικὰς διορθούμενος πλημμελείας, οὐ στάσεις καταπραΰνων, οὐ πολέμους εὖ διατιθέμενος, πρὸς μόνον τόνδε συνήθροισεν ἑαυτὸν, πάντα καιρὸν ἐνταῦθα καταναλίσκων καὶ πᾶσαν ἐπίνοιαν.

κβ'. Τοῦτο δὲ δῆλον θεωροῦσι τὸ συνεχὲς ὁμοῦ καὶ ἐπιτεταμένον τῆς περὶ ταῦτα σπουδῆς· ἡμέραν γὰρ ἐκείνην οὕτω παρέπεμψεν εἰς τὸ δεσμωτήριον, τῇ δ' ἐπιγενομένῃ, νυκτὸς ὡς ἔοικεν ἀνομίαν ἐπὶ τῆς κοίτης αὐτοῦ διαλογισάμενος, εὐθὺς ὡς ἡμέρα διεφαίνετο, δημοσίᾳ προκαθεσθεὶς, πολλοῖς ὁμοῦ τοῖς περιεστῶσιν ἐπὶ καταλήψει τῶν ἐντυγχανόντων καὶ δορυφορούμενος καὶ περιβλεπόμενος, παρεῖναι κελεύει. Ὁ δὲ παρῆν, ἀμφότερα ὡς ἐρρωμένος ποιούμενος, καὶ στάσιν ὁπηνίκα δεήσοι, καὶ κίνησιν ὅποι παρήκοι, μηδὲν συνόλως ἐκ τῆς τῶν κρηπίδων ἀνάγκης παρεμποδιζόμενος, πρᾶγμα τοῦτο παρὰ πᾶσαν τότε προσδοκίαν φανέν. Τίς γὰρ ἂν ᾠήθη ὁπόταν εἰ καὶ μὴ τέλεον ἀπέλιπε τὴν ζωὴν, ἀλλ' οὖν οὕτως ἑαυτῷ ποτε χρήσασθαι δυνηθῆναι; Νυνὶ δ' ἐκέχρητο, ἐπικουρίᾳ Θεοῦ, πληγὴν πάντως προστρίβοντος Διοκλητιανῷ, καὶ ὧν ἐπήνεγκε μείζονα. Ἀλλ' ἐπειδή γε παρῆν, Ἆρα τί σοι, φησὶν, ἡδονήν τινα καὶ χάριν ἐσχήκασιν αἱ κρηπῖδες; ἢ τί φῄς; καὶ τὸν (1) ··· πῶς γὰρ οὐχ ἡδονὴν, ὦ βασιλεῦ, φάναι, μεθ' ὧν ἐγὼ τὴν πρὸς Θεὸν ἐστελλόμην;

κγ'. Τὸ δὲ δὴ θράσος, αἵ τε μαγγανεῖαι, τί, φησὶ, βούλονται; Ἢ οὐ ταῖς μὲν χαίρειν ἐρεῖς, τὸ δὲ καταβαλεῖς, ὀψὲ δὴ μαθὼν, ὅση μὲν ὄνησις σωφροσύνης, ὅση δὲ θρασύτητος βλάβη; Καὶ ποῖον, εἰπεῖν, τὸ θράσος καλεῖς; ἢ τὴν παῤῥησίαν ἴσως τῆς ἀληθείας; Τὴν δὲ οὐδεὶς οὕτως ὀνομάσας ἔχει ποτὲ, ὅτι μὴ δικαιοσύνην, καὶ ἀνδρίαν, καὶ ὅ τι κάλλιστον ἐν ἀρεταῖς· τὸ γὰρ μὴ καθάπαξ ἀληθείας ἀφανιζομένης ἀνέχεσθαι ψεῦδος εἰς μέσον ἰέναι παντὸς μάλιστα ἀρετή, ἣν οὐδέποτε Γεώργιον τὸ ἑαυτοῦ μέρος καταβαλεῖν, οὐδὲ τῇ πρὸς ταύτην ὀλιγωρίᾳ τὸν νομοθέτην ταύτης ὑβρίζειν Θεόν· δεῖ γὰρ, μᾶλλον δὲ πᾶσα ἀνάγκη, Θεῷ πειθαρχεῖν ἢ ἀνθρώποις. Ἀλλ' ἐπειδή γε καὶ τὸ δεύτερον μαγγανείας ἐμνήσθης, ἡ μὲν δὴ παροιμία καὶ νηπίοις ἁλιεῦσιν ἐκ πρώτης πληγῆς δίδωσιν οὖν· σὺ δὲ ποῦ ποτε καὶ μετὰ τίνων τάττειν ἕξεις σαυτὸν, μετὰ μυρίαν πεῖραν τοῖς αὐτοῖς περιπίπτων προσκόμμασιν; Ἀκούων μὲν γὰρ λόγους περὶ ἀληθείας, ἔλεγχον τὸν διὰ τῶν πραγμάτων ἐπιζητεῖς· τοῦτον δὲ ἤδη λαμβάνων, ὡς ἐπὶ μόνους διδασκάλους τοὺς λόγους μεταπηδᾷς. Τίς λοιπὸν βοηθήσει τῇ συντριβῇ σου; τίς σου τὴν τοσαύτην φιλονεικίαν ἀποκρούσεται λόγος; Χριστὸν μὲν δὴ, βασιλεῦ, τί λέγω Χριστόν; Χριστοῦ κλῆσιν οὐ φέρουσι δαίμονες, δεδίασι δὲ καὶ τρέμουσι, καὶ μόνον ἀκούσαντες ὡσεὶ καπνὸς ἐκλείπουσιν· ἃ δὲ γοήτων ἐστὶν ἔργα δαιμόνων

A ponens, et sanguini sanguinem commiscens. Tanquam enim si unus hic labor præ cæteris omnibus ei maximus esset, et ante omnes necessarius; tantisper abstinens ab aliis negotiis, quamvis gravius incumbentibus et ad se trahentibus; non publicas curans administrationes, non politicas dirigens sollicitudines, non seditiones coercens aut bella apte ordinans, totum se contra unum collegit Georgium, omne in eo tempus, omnem industriam consumens.

22. Hoc autem manifestum fiet considerantibus assiduitatem et intentionem studii rebus istis impensi. Illa enim die in carcerem eum misit; noctu autem, ut assolet, iniquitatem meditatus in cubili suo, mox ut dies illuxit pro tribunali sedens, multis circumstantibus ad eorum qui advenirent susceptionem, stipatusque satellitio et omnium in se oculos B conjectos habens, adesse Georgium jubet. Adfuit autem, et stationem, quando opus fuit, et incessum, quando conveniebat faciens; in utroque fortis, et nihil omnino impeditus crepidarum molestia. Quæ res præter omnem exspectationem fuit. Quis enim existimasset, si non omnino privaretur vita, fore ut ita libere aliquando posset seipso uti? Nunc vero ita se habebat, auxiliante Deo, et ipsi Diocletiano vulnus faciente majus, quam quæ putabat se intulisse. Quoniam tamen astabat, Forte, inquit, lætitiam et gratiam crepidæ attulerunt? aut quid ais? Cui Georgius, Quomodo, inquit, o imperator, non afferrent lætitiam, cum quibus iter ad Deum ingressus sum?

23. Hæc vero audacia, inquit Diocletianus, et C hæ magicæ artes quid tandem sibi volunt? Nunquid his valedices, et istam depones; vel sero edoctus quantum bonum animi moderatio, malum autem contumacia afferat? Qualem tu, reponit Georgius, contumaciam appellas? an forte tuendæ veritatis fiduciam? Hanc vero sic nemo appellaverit, sed justitiam, et fortitudinem, et si qua alia virtutum pulcherrima. Maxima enim virtus est, nolle pati ut falsitas in medium adducatur exstincta veritate: quam suam partem nunquam videbis deserere Georgium; aut ex animi circa eam pusillanimitate injuriam irrogare Deo, illam servare præcipienti. Necesse enim omnino est potius Deo quam hominibus obedire. Quoniam vero etiam magicarum artium meminisli, vulgari quidem proverbio dicitur, pueris et piscatoribus ex primo D jactu dandum: tu vero ubi aut inter quos teipsum debes censere, in eadem offendicula impingens post millenas experientias? Etenim sermones de veritate audiens, eorum certitudinem quæris ipsis rebus experiri: ab his autem sumpta experientia, recurris ad verba, tanquam sola idonea ad magisterium. Quis demum medebitur contritioni tuæ? quæ oratio refellet tantam tuam pervicaciam? Christum, o imperator, (quid autem Christum dico?) Christi nomen non sustinent dæmones, sed formi-

(1) Exciderunt hoc loco verba aliqua, ad complendum sensum necessaria: quod ut intelligeretur, dispunximus quæ erant in ecgrapho nostro male conjuncta.

OCR ABK / FR

dant illud et contremiscunt, eoque vel leviter audito tanquam fumus deficiunt. Veneficorum opera dæmonum sunt illusiones; quæ vero nobis accidisse nosti, Christus est operatus; quid igitur ipsi et dæmonibus? quid nobis Christianis et magis commune est? Quomodo non rebelles Deo ac prorsus fatui æstimandi sunt, qui his impudenter ascribunt virtutem in nobis ostensam?

24. Quod si magna tibi illa ideoque incredibilia videntur; et in tua persistens incredulitate, perseveras etiam in voluntate torquendi cruciandique me, majora etiam videbis. Quid enim impossibile ei, qui quæ non sunt, vocat sicut ea quæ sunt? Quid timeamus nos ei servientes? An vulnera? an mortem? Abunde ea sanat, et ab inferno reducens vitam donat æternam. Quæ autem mors attinget nos, ipso non permittente? aut quocunque eorum, quos tu sæpe adhibes, modorum inferetur? Nunquid non sustinuimus ungulas, lapides, rotas, gladios, ignes? mortifera quidem omnia, sed per Christum retudimus ipsa et vicimus; itaque per omnia ostensa est salva religio et firma spes nostra. Sed quid ego hæc tibi, auditu gravia? Admove aurum igni, et rursus aurum videbis educi; applica nos iterum iterumque torturis, et videbis quantum Christianorum opera superent virtutem magorum dæmonumque.

25. Hæc quidem Georgius: Diocletianus vero quoniam, secundum quod scriptum est, veritas non erat in eo, et nolebat intelligere, vim autem verborum non magis sustinebat, quam debilis oculus solarium radiorum incursum, multo magis corde exæstuans, assurgebat in iracundiam. Et primum quidem, ut non videretur tormenta innocenti inferre, petulantis linguæ peccatum esse dixit, quod ipso jubente nollet veritatem adulando obumbrare. Deinde os contunditur Martyr, postea suspenditur, ad principia toleratorum hactenus tormentorum reductus: tum flagellatur et nervis cæditur. Fluebant per terram rivi sanguinis, et carnes cum ipsis miscebantur: gratiosissimum autem in his omnibus erat, quod pateretur Georgius, doleret autem Diocletianus, eum videns absque dolore manere. Jucundus lætusque et sereno vultu erat Georgius, ea quæ maximis beneficiis affecti solent cum gratiarum actione ad Deum loquens atque ostendens: Diocletianus vero amaro erat mœrentique animo, veluti si ab illo in ipsum transirent verbera, et furor eum recentior circumdederat, cum carnifices, velut inter se commissi, invicem se viderentur devorare, ipse vero, alienas carnes palam conficiens, seipsum sentiret dirissima perpeti. Ergo consilii inops ac desperabundus, id quod canibus usuvenit patiebatur, atque ad proprium redibat vomitum; rursum veneficium nominans quod fiebat, non animi generositatem, non fortitudinem, non divinæ opus virtutis, iterumque maleficas magorum artes in crimen adducens.

A εἰσὶν ἀπάται. Ὅσα δὲ περὶ ἡμᾶς ἔγνως συμβάντα Χριστὸς εἰργάσατο· τί τοίνυν αὐτῷ καὶ δαίμοσιν ἢ γόησι καὶ ἡμῖν; Πῶς οὐ θεομαχούντων ἀτεχνῶς ἐστι καὶ παραπαιόντων ἀνθρώπων ἐκείνοις ἀναισχύντως ἐπιφημίζειν τὴν καταργοῦσαν αὐτοὺς δύναμιν;

κδʹ. Εἰ δ' ὅτι σοι μεγάλα ταῦτα, διὰ τοῦτό που καὶ δυσπαράδεκτα, εἴπερ ἐμμένεις ἔτι τῇ ἀπιστίᾳ, εἰ τῇ τοῦ κολάζειν γνώμῃ προσανέχεις καὶ τιμωρεῖν, καὶ μείζω τούτων ὄψει. Τί γὰρ ἀδύνατον τῷ τὰ μὴ ὄντα ὡς ὄντα καλοῦντι; Τί δὲ καὶ ἡμεῖς δειλιάσωμεν αὐτῷ δουλεύοντες; Τραύματα; θάνατον; Ἀλλ' ἰᾶται πολλῇ τῇ περιουσίᾳ, ἀλλ' ἀνάγει ἐξ B ᾅδου, καὶ ζωὴν αἰώνιον δίδωσιν. Εἶτα καὶ ποῖος ἡμῶν ἅψεται θάνατος, μὴ παραχωροῦντος ἐκείνου; καὶ διὰ τίνος γινόμενος, ὧν σὺ προσφέρεις πολλάκις; Οὐ ξεσμοὺς ὑπεμείναμεν; οὐ βάρη λίθων; οὐ τροχόν; οὐ ξίφη; οὐ πῦρ; καὶ γὰρ ταῦτα πάντα θάνατοι. Ἀλλὰ διὰ Χριστὸν καὶ ἀπεκρουσάμεθα, καὶ νενικήκαμεν· οὕτω διὰ πάντων ἀσφαλὲς ἡμῶν τὸ σέβας, καὶ βεβαία ἡ ἐλπὶς ἀποδέδεικται. Ἀλλ' οὐκ ἀπόχρη σοι ταῦτα· βραχὺς ὁ λόγος. Προσάγαγε τῷ πυρὶ τὸν χρυσὸν, καὶ ἴδοις πάλιν χρυσόν· πρoσάγαγε καὶ αὖθις καὶ πολλάκις ἡμᾶς ταῖς βασάνοις, καὶ ἴδοις πάλιν τὰ Χριστιανῶν ὁπόσον γοητειῶν καὶ δαιμονίων ἔργων διῴκισται.

κεʹ. Ταῦτα ὁ μὲν εἴρηκεν· ὁ δὲ, ἐπειδὴ κατὰ τὸ γεγραμμένον ἀλήθεια οὐκ ἦν ἐν αὐτῷ καὶ ἐπίγνωσιν ἀπώσατο, οὔτε τὴν ἰσχὺν τῶν λόγων ὑφίσταται, C οὐδὲ ὀφθαλμὸς ἀσθενὴς ἡλιακῶν ἀκτίνων ἐπιβολήν· καὶ πολὺ πλέον ἐκκαεὶς τὴν καρδίαν, διανίσταται πρὸς ὀργάς. Καὶ πρῶτα μὲν ὡς ἂν μὴ τὰς κολάσεις ἀναιτίως ὑπομένειν δοκοίη, θρασυστομίας ἔγκλημα ἦν αὐτῷ, οὕτω τὸ μὴ θωπευτικῶς τὴν ἀλήθειαν συσκιάζειν καλοῦντος αὐτοῦ· εἶτα ἐτύπτετο κατὰ τοῦ στόματος· εἶτα ἀνηρτᾶτο, ἐπὶ τὰ προοίμια τῶν κολάσεων ἀνεληλυθώς· εἶτα ᾐκίζετο καὶ βουνεύροις ἐξαίνετο. Ἔῤῥεον δὲ αἵματα κατὰ γῆς, καὶ σάρκες σὺν τούτοις ἐφέροντο, καὶ τὸ δὴ χαριέστατον, ὡς ἐν τοῖς τοιούτοις ὁ μὲν ἔπασχεν, ὁ δὲ ἐδυσφόρει, ἀνάλγητον ἐκεῖνον κατανοῶν· ὁ μὲν σεμνὸς ἦν, φαιδρὸς καὶ ἡδὺς, τὰ τῶν εὐχαρίστων ὡς ἐπὶ μεγίσταις εὐεργεσίαις πρὸς Θεὸν καὶ λέγων καὶ δεικνύμενος· ὁ δὲ σκυθρωπὸς καὶ κατώδυνος, ὥσπερ D ἐκεῖθεν εἰς αὐτὸν τῶν τραυμάτων διαβαινόντων, καὶ τὸ τῶν μαινομένων πάθος αὐτῷ καινότερον περιίστατο. Οἱ μὲν γὰρ ἑαυτῶν ἁπτόμενοι ἑτέρους κατεσθίειν νομίζουσιν· ὁ δὲ σαφῶς ἀλλοτρίας κατεργαζόμενος σάρκας ἑαυτοῦ δεινὰ πάσχοντος ᾐσθάνετο· ὥστε καὶ ἀμηχανῶν ἐκ τούτου καὶ ἐξαπορούμενος τὸ τῶν κυνῶν ἔπασχεν, ἐπὶ τὸν ἴδιον ἔμετον ἀνέστρεφε, καὶ γοητείαν πάλιν ὠνόμαζε τὸ πρᾶγμα, οὐχοῦν ψυχῆς γενναιότητα, οὐδὲ καρτερίαν, οὐδὲ θείας ἔργον δυνάμεως· καὶ πάλιν εἰς μαγικὴν κακοτεχνίαν διέβαλλε.

OCR ABK / FR

## CAPUT IV.

*Veneficia separata, mortui suscitati.*

κς'. Καὶ οὐκ ἂν ἐπαύσατο ταῦτα κεκραγὼς τε A καὶ διατεινόμενος, εἰ μὴ μετακληθεὶς ἄνθρωπος μαγικὴν εἰς ἄκρον ἐξησκημένος, λῆρον ταῦτα βοῶντα καὶ συκοφάντην ἀπήλεγχεν, οὐκ ἐπὶ τούτῳ κληθεὶς οὐδὲ παραγενόμενος· ἀλλ' ἐπειδὴ τὸ τοῦ Βαλαὰμ τρόπον τινὰ κἀνταῦθα συνέβαινε, μετεπέμφθη δὲ ἄρα τῷ τῶν Μωαβιτῶν βασιλεῖ καταρασόμενος τοῖς υἱοῖς Ἰσραὴλ· καὶ σπεύδων ἦν ἐπὶ τούτῳ, ἀλλ' ἄν τις ἀντικρούουσα δύναμις. ἀντὶ καταρωμένου εὐλογοῦντα ἐδείκνυεν. Ὡς δὲ καὶ γόης ἥκων μάγος ἐλέγξων Γεώργιον, καὶ καθαιρήσων δῆθεν τὰς μαγγανείας, παντοίαν τε φέρων ἐπὶ τῷδε σπουδὴν, ὅμως τοὐναντίον ἐποίει, ἄνθρωπον αὐτὸν ἀπεδείκνυ θείᾳ σαφῶς χειρὶ κυβερνώμενον, παρὰ τοσοῦτον οὐ δίκαιον γοητείας ἔγκλημα φέρεσθαι, παρ' ὅσον καὶ τῶν τῷ σκότει προσόντων αἰ- B τιαμάτων οὐκ ἂν δικαίως κληρονομοίη τὸ φῶς· ἐδείκνυ δὲ, οὐ λόγοις ἄντικρυς ταῦτα βοῶν (εἰ καὶ τοῦτο τῷ μετὰ ταῦτα συνέβαινεν), ἔργοις δὲ, ὃ καὶ τῶν λόγων πολὺ ἰσχυρότερον.

κζ. Ἤδη μὲν γὰρ ἧκεν οὗτος, καὶ ἀγώνισμα μὲν αὐτῷ προετέθη, πεῖσαι τὸν Μάρτυρα δυνηθῆναι ἢ ἀποκτεῖναι· πεῖσαι μὲν θεοῖς τῶν Ἑλλήνων ἀντὶ Χριστοῦ προσελθεῖν, ἀποκτεῖναι δὲ μὴ πείσαντα, ὡς ἂν μὴ καὶ τοῖς ἄλλοις τὸ κατ' αὐτὸν βλασφημίας, φησὶ, καὶ ἀπειθείας παράδειγμα γένοιτο. Ἄθλων δὲ τούτων τετελεσμένων, δωρεαὶ κατηγγέλλοντο, καὶ χάριτες, καὶ τιμαὶ, καὶ ὅσα πρὸς βασιλέως διδόμενα ψευδῶς μακαρίους τοὺς δεχομένους ποιεῖ· ἃ δεῖ καὶ ὑποστὰς δράσειν ἐκεῖνος, καὶ ὡς εἴ τι ἕτερον ῥᾳδίως, αὐτὸς μὲν ἐπὶ ζητήσεις δηλητηρίων καὶ σκευασίας ἐτρέπετο, εἰς νέωτα τὸν τῆς τέχνης C ἔλεγχον δώσειν ἐπαγγειλάμενος, ὁ δὲ ἀνεχώρει, διελύετο δὲ ὁ σύλλογος, τὸν δὲ καὶ πάλιν εἶχε τὸ δεσμωτήριον. Ἀλλ' ἧκεν ἡ προθεσμία, καὶ πάντες αὐτίκα παρῆσαν· παρῆν ὁ φαρμακὸς ἐπὶ δυσὶ πομάτων εἴδεσι γαυριῶν, ὡς τὸ πᾶν εὐθὺς τότε τοῦ ἀγῶνος περιγραψόμενος· παρῆν ὁ Μάρτυς, ἀποθανούμενος κατ' αὐτοὺς εἰπεῖν· Διοκλητιανὸς εὔελπις διὰ ταῦτα παρῆν, καὶ ὁ δῆμος, μετέωροι πάντες τὴν τοῦδε ὁποίαν ἕξει ἀπεκδεχόμενοι τελευτήν. Ἔνθεν τοι τὸ μὲν αὐτῷ προσήγετο φάρμακον· ἦν δὲ ἵνα πιὼν, ἔκφρων γενόμενος, ἑαυτὸν ἐπιτρέψῃ ἄγειν τε καὶ φέρειν, ὅποι τις βούλεται· τὸ δὲ, σκεῦος ὑπάρχον θανάτου, δευτέρα πόσις ἐταμιεύετο. Ἀλλ' οὔτε ἐκεῖνο ἐξίστα ποθὲν, καὶ τὸ θανάσιμον μέχρι τοῦ πιεῖν θανάσιμον ἦν. Ἐπεὶ δ' ἐπέποτο, ἐψεύσατο D τὴν προσηγορίαν, οὐδὲν μᾶλλον εἰς ἐκεῖνον ἢ τοὺς μὴ πιόντας ἐνηργηκός· ἢ μᾶλλον εἰπεῖν, ἀμφότερα ἔκστασιν καὶ ἀφωνίαν εἰργάσατο, οὐκ εἰς τοὺς προσηκαμένους καὶ γευσαμένους, τοὺς δὲ προσενεγκόντας καὶ γεύσασθαι πείσαντας. Ἐξίστατο μὲν γὰρ παραχρῆμα ὃς ἐσκεύασε μάγος, καὶ ἐννεὸς ἦν· ἐξίστατο Διοκλητιανὸς καὶ διηπορεῖτο· οὐδὲ ὁ δῆμος ἄρα καὶ οἱ παρόντες τῆς συγκλήτου βουλῆς ἐκτὸς ἦσαν θαύματος καὶ ἐκπλήξεως.

26. Neque quievit hæc clamans asseveransque, donec accersitus homo in arte magica versatissimus insanum et calumniosum esse talia affirmantem convicit, non ad hoc vocatus neque adductus. Sed idem quadamtenus hic accidit quod olim Balaamo, quem a rege Moabitarum accersitum exsecrari filios Israel, idque agere studiose volentem, contraria quædam virtus pro maledictione coegit benedictionem inferre. Nam adveniens veneficus magus ad convincendum Georgium, ejusque incantationes dissolvendas, et in his omnem operam collocans, prorsus contrarium fecit; demonstrans quod Georgius esset homo divina manu gubernatus, cui tantum aberat ut posset merito veneficii crimen impingi, quantum absunt crimina tenebris gaudentia ut juste possint lucem hæreditare. Demonstravit autem non verbis ista, ex opposito clamans (quamvis etiam hoc postea fecit), sed operibus, quorum longe major est quam verborum vis.

27. Mox enim ut advenit, suscepit in se, vel persuadere Martyri et gentilium deos pro Christo adoraret vel persuaderi renuentem occidere, ne aliis quoque in exemplum esset, ut aiebat, infidelitatis et blasphemiæ: quibus peractis promittebantur ei munera, gratiæ atque honores, eaque omnia quæ ab imperatore data falso putantur beatos facere. Et hæc quidem se facturum recipiens tam facile quam quidquam aliud, ad quærenda præparandaque veneficia se convertit, in diem proximum pollicens dandum suæ artis experimentum, et abiit: dissolutus vero est conventus, et sanctum denuo carcer excepit. Venit ergo explendæ sponsionis dies, et omnes rursum præsentes adfuere. Comparuit veneficus, duplici potione fretus velut qui paucis totum certamen circumscripserat: comparuit et Martyr, ut ipsi dicebant, morti tradendus. Diocletianus quoque magna spe plenus advenit, et populus multus; omnes suspensi exspectatione futurorum, quem ea essent exitum habitura. Ex una ergo parte producitur pharmacum, quod erat tale, ut ipsum bibens extra usum fieret rationis, seque præberet agendum ferendumque prout quis voluisset: alterum vero vas mortiferum erat pro secunda potione paratum. Sed neque istud epotum, mentis statum commovit; et quod potatum dicebatur esse letiferum, haud vero nomine se appellari probavit, nihilo plus Georgio nocens quam iis qui ipsum non biberant: aut potius utraque potio obstupescere et obmutescere fecit non qui gustaverat, sed qui propinarant. Obstupuit enim qui pharmaca præparaverat magus obstupuit et Diocletianus: populus autem et qui forte ex senatu tunc aderant, non erant admirationis consternationisque expertes.

OCR ABK / FR

28. Et hæc quidem sic acta sunt : Diocletianus autem festinavit inire tormentorum rationem (omnes enim cruciatus suos exsuperabat rabie) ut aliquod inveniret, quod non afferret etiam mortem. Posquam autem vidit defecisse frameas suas in finem, et jacula esse exhausta, et quæcunque facta erant non magis profecisse, quam si contra statuam vel umbram fuissent adhibita ; mutata pugnandi ratione, veluti priorem improbans, inivit aliam : ne tunc quidem ab immanitate sua quidquam deflectens, sed eam industrie malitioseque dissimulans. Cogitabat enim intra se, quod si quis generosioribus animis sævitiam admoverit, eo ipso fidentiores eos reddat, si vero mansuetudine quadam ac lenitate temperati sermones fuerint, emollitos illos tandem sibi habebit obsequentes : nam etiam ferrum oleo lævigari, quamvis hoc mollissimum, istud durissimum sit. Quid igitur ? Larvam assumit lenitatis ; ex severissimo in mellifluum blandumque transformatur ; tum benignius solito cum intuitus et vocis feritatem dimittens : Tu, inquit, o homo, difficultates difficultatibus innectens, ad extremam nos desperationem adduxisti. Quousque autem ista ? et quando quiesces ? An ergo nos oportet lassari per omnia molestiam tibi ex ignorantia facescentes, et tibi alias conciliari volentes ? Doce quæ sit illa tibi assistens virtus, per quam tot tantaque evasisti discrimina. Doce, inquam, vel nunc, licet ante nolueris : et nos a perplexitate exime, teipsum ab inquietudine et tumultu. An existimas nos provocandos ad iracundiam audita veritate, tibique eam exponenti graves futuros? Ne tibi, quæso, hoc persuaseris : audiemus te quam clementissime jucundissimeque, quin et gratificabimur tibi quantum fas erit, si nos ab inveterato errore abduxeris.

A κη'. Τοῦτο μὲν οὖν οὕτως εἶχε· καὶ τὸ μέχρι τούτου ὀξὺς ἦν ὁ Διοκλητιανὸς τὴν διὰ τῶν βασάνων κατ' ἐκείνου χωρῶν· τὰς γὰρ ἁπάσας αὐτῷ κολάσεις λύττης ὑπερβολῇ ὥς τινα μίαν ὑπήνεγκε, μηδὲ δοὺς ἀναπνεῦσαι τῇ συνεχείᾳ· ἐπεὶ δὲ τὰς ἑαυτοῦ ῥομφαίας εἰς τέλος ἐκλελοιπυίας ἑώρα, τά τε βέλη συντετελεσμένα, καί τι γενόμενον αὐτῷ πλέον οὐδὲν, ἢ ὅσον πρὸς ἀνδριάντα ἢ σκιὰν τὴν ἐκείνου καθισταμένῳ τὴν μάχην, ὥσπερ ἐκείνην ἀπαγορεύσας, ἄλλην τρέπεται· καὶ οὐδὲ νῦν ἀποθέμενος τὸ θηριῶδες τοῦ τρόπου καὶ μανικὸν, πανούργως δέ πως αὐτὸ καὶ κακοήθως συστείλας. Διελὼν γὰρ παρ' ἑαυτῷ, ὡς εἰ μετά τινός τις τοῖς γενναιοτέροις προσφέροιτο χαλεπότητος, τοῦτ' αὐτοῖς αὐθάδειαν ἀπεργάζεσθαι, εἴκειν βίᾳ μεγαλοψυΐα ψυχῆς μὴ καταδεχομένοις· ἂν δ' ἄρα τινὶ πραότητι B καὶ ἐπιεικείᾳ τοὺς λόγους κεράννυσι τέγγοντας ἤδη, τότε καὶ ὑπείκουσι (καὶ γὰρ καὶ σίδηρος ἐλαίῳ, τρόπον τινὰ ὁ σκληρότατος τῷ μαλθακωτάτῳ, λεαίνεται), τί ποιεῖ; Ἀναλαμβάνει τι προσωπεῖον ἐπιεικείας, καὶ πρὸς τὸ μειλίχιον καὶ προσηνὲς ἐκ τοῦ ἄγαν αὐστηροῦ μεθαρμόζεται. Ταύτῃ τοι καὶ ἡμερώτερον τοῦ συνήθους ἐμβλέψας ἐκείνῳ, καθυφεὶς τε καὶ τὴν ἀγριότητα τῆς φωνῆς, Σὺ, φησὶν, ἄνθρωπε, ἀπορίαις συμπλέκων ἀπορίας, εἰς ἀμηχανίας ἡμᾶς τὰς ἐσχάτας ἐμβάλλεις. Ἀλλὰ μέχρι τίνος ἔσται ταῦτα; καὶ πότε παύσεται; Ἢ διὰ παντὸς κάμνειν ἡμᾶς δεῖ, πράγματα ἐξ ἀγνοίας ἔχοντας, καὶ σοὶ ἑτέρωθεν προξενοῦντας; Δίδαξον τίς ἡ συνοῦσά σοι δύναμις, δι' ἧς ἔχεις τοὺς τοσούτους καὶ τηλικούτους κινδύνους ἐκπεφευγὼς, δίδαξον C νῦν γοῦν, εἰ καὶ μὴ πρότερον, καὶ ἀπάλλαξον μὲν ἐκ τοῦ [θάμβους] εὐθέως ἡμᾶς, ἀπάλλαξον δὲ καὶ σαυτὸν θορύβου καὶ ταραχῆς. Ἢ τάχα πρὸς ὀργὴν οἴει ἀκουσομένους ἡμᾶς, καί σοι δυσχερανοῦντας τὴν ἀλήθειαν διεξιόντι; Τὸ δὲ οὐχ οὕτως ἔσται, μὴ τοῦτο νομίσῃς· ἀλλ' ἀνεξικάκως μὲν ὡς ἔνι μάλιστα καὶ ἱλαρῶς ἀκουσόμεθα· χαριούμεθα δέ σοι καὶ τὰ εἰκότα μόλις ἡμᾶς τῆς μακρᾶς ποτε ἀπαγαγόντι περιπλανήσεως.

29. Hæc ille, mentem verbis occultans, non veritatem requirens : jam enim millies et palam ei dictum erat a Martyre, Christi virtutem adesse iis qui ipsum confitentur esse Deum ; atque ita eos fieri omni periculo fortiores, potentesque ad facienda signa atque omnigena miracula in demonstrationem veritatis. Verum simulatio hæc erat atque adulatio, et via quædam, ut aptius loquar qua ipsum in suam pelliceret voluntatem pertraheretque ; ut ei, qui tam comiter familiariterque agebat secum, pari quoque familiaritate se conjungeret Georgius, gauderetque ab ipso honorari : nesciebat autem quod seipsum deciperet, magnum veritatis propugnatorem iis verbis aggressus, quibus mancipia demulcentur. Quomodo enim posset illius sapientia talibus sermonibus decipi, aut tantus pro religione zelus aliud quidpiam pati, quam quæ decet in hac causa et cogitare et loqui ? Amorem vero illius, quo anima ejus ardebat ad Christum

κθ'. Ταῦτα δὲ ἄλλως ἐφθέγγετο, οὐκ ἀλήθειαν ἐρευνώμενος· πάλαι γὰρ αὐτῷ δῆλον ἦν, μυριάκις πρὸς τοῦ Μάρτυρος εἰρημένον, ὡς ἡ Χριστοῦ δύναμις συνοῦσα τοῖς Θεὸν ὁμολογοῦσιν αὐτὸν, τοῦτο μὲν ἰσχυροὺς κατὰ παντὸς κινδύνου ποιεῖται, τοῦτο δὲ καὶ σημείων αὐτουργοὺς καὶ παντοίων θαυμάτων πρὸς τὴν τοῦ λόγου τῆς ἀληθείας ἀπόδειξιν. Ἀλλ' D ἦν πρόφασις τοῦτο καὶ κολακεία, ἢ ὁδὸς εἰπεῖν οἰκειότερον κατὰ τῆς ἐκείνου γνώμης, εἴ πως ἡδυνθεὶς λόγοις, ταύτῃ παρασυρεὶς ἱλαρῶς αὐτῷ προσενεχθέντα ἀνθιλαρῆναι φιλοτιμήσασθαι· ὅμως ἐλάνθανεν ἑαυτὸν ἀπατῶν, λόγοις, οἷς ἀνδράποδα κηλοῦνται, τῷ μεγάλῳ τῆς ἀληθείας προσφέρων ἀγωνιστῇ· ποῦ γὰρ ἔδει τὴν ἐκείνου σοφίαν ἡττηθῆναι τοιούτου; τοῦ δὲ τὸν τοσοῦτον ὑπὲρ εὐσεβείας ζῆλον ἄλλο τι παραχωρῆσαι, ἢ ὅσα ὑπὲρ εὐσεβείας ἔχεται, καὶ διανοηθῆναι καὶ φθέγξασθαι; τὸν δ' ὑπὲρ Χριστοῦ τοῦ μόνου καλοῦ οὕτως ἐκείνου φλέγοντα τὴν ψυχὴν ἔρωτα, πῶς ἦν εἰκὸς ἑτέρου τινὸς

(3) Malem legere διαλέγων.

OCR ABK / FR

ἐπιθυμίᾳ τῶν κάτω δοῦναι παρείσδυσιν. Οὔτε γὰρ A ποτε ζῶα τὴν πυρὸς χώραν παρ' ἑαυτοῖς τρέφειν οἷόν τε, ἤ τι ἕτερον δέχεσθαι τῶν κάτω τε καὶ γηΐνων· οὔτε τὴν ἐκείνου ψυχὴν, πρυτανεῖον θείου γεγενημένην πυρὸς, λογισμόν τινα προΐεσθαι, βλέπειν ὅτῳ δήποτε τρόπῳ εἰσηγούμενον πρὸς τὴν ὕλην. Δῆλον δὲ τοῦτο, οἷς τε εἰργάζετο, οἷς τε ἐκαρτέρει, καὶ οἷς τότε πρὸς τὸν τύραννον ἔλεγεν.

λ'. Ἤ που σύ, φησὶ, βασιλεῦ, καινότερα τῶν πρότριτα καὶ χθὲς εἰρημένων ἀκούσεσθαι προσδοκῶν, τὴν αὐτὴν ἀεὶ περὶ τῶν αὐτῶν προτείνεις ἐρώτησιν; Οὐ μὴν καὶ ἀκούσῃ, εἴπερ εἷς ἐστιν ὁ τῆς ἀληθείας ὁ λόγος καὶ ἁπλοῦς καὶ σύντομος καὶ σαφὴς, εἴπερ καὶ ἡμεῖς τοῦ παντὸς τιμᾶν ἴσμεν ἀλήθειαν καὶ οὐ παρὰ μέλος φθεγγόμεθα, οὐδὲ νῦν B μὲν ταῦτα τοῖς πυνθανομένοις φαμὲν, τῷ μεθαρμόζεσθαι πρὸς ἐκείνους τὰ ὄντα παραχαράττοντες. Εἰ δ' ὅτι αὐτὸς ἐρωτᾷς, τί τοῦτο διοίσει τοῖς μίαν αὐτὴν τὸν ἀεὶ πρεσβεύουσι χρόνον, καὶ κοινὴν εἰδόσι πρὸς ἅπαντας, ὥστε πείθειν μεταβάλλειν αὐτήν; Οὐδὲν πάντως, οὔκουν, οὐδὲ μεταβαλοῦμεν. Ἀλλ' εἴπερ ὄντως τῆς ἀληθείας λέγεις ἐρᾷν, ἰδοὺ σοι παρ' ἡμῶν ἀληθείας ῥήματα, καὶ πάλιν σοι καὶ πολλάκις τὸν αὐτὸν λόγον ἐροῦμεν· Χριστὸς ἡμᾶς ἐνισχύει, Χριστὸς ἡμᾶς ῥύεται, Χριστὸς δι' ἡμῶν σημεῖα ἐργάζεται. Εἰ δέ τινα πίστιν ἐκ τῶν ἔργων ζητεῖς, ἤδη μὲν καὶ πρότερον εἴληφας, οὐ μὴν ἀλλὰ καὶ αὖθις λαβεῖν ἔξεστιν· οἵδε γὰρ αὐτοὶ ἡμεῖς ἕτοιμοί σοι πάντα παθεῖν· καὶ πάλιν ἐπὶ ἔργα χώρει, καὶ χρῶ ταῖς χερσὶ, καὶ φείδου μηδὲν, ἵνα καὶ πάλιν γνῷς, ὅτι μεθ' ἡμῶν ὁ Θεὸς, διασκε- C δάζων τὴν καθ' ἡμῶν ὑμετέραν βουλήν.

λα'. Ταῦτα δὲ εἰρηκότος αὐτοῦ, οὐκ ἦν ἐκεῖνος σοφὸς ὥστε συνιέναι, οὐδὲ ἐκζητῶν τὸν Θεὸν, ἄνθρωπος ἦν ἀπολωλεκὼς βουλὴν, ἐπιστήμην Θεοῦ οὔτε ἔχων οὔτε δεχόμενος. Διὰ τοῦτο καὶ μιμεῖται τοὺς πάλαι Ἰουδαίων παῖδας· ἔβλεπον μὲν γὰρ ἐκεῖνοι παρ' ἑαυτοῖς, ἤκουον παρ' ἑτέροις Χριστὸν θαύματα ἐκτελοῦντα, σημεῖα, δυνάμεις· καὶ ὡς μηδὲν ἰδόντες, μηδ' ἀκηκοότες, τὰ αὐτὰ ζητοῦντες προσήρχοντο. Ἐμβρόντητοι, ἄρτι βλέπετε, χθὲς ἑωράκατε, πρὸ τῆς χθὲς καὶ ἐπέκεινα ὡσαύτως εἴδετε, εἶτα εἰς τὰς αὐτὰς ἀποτελευτῶντες ἀπορίας ἥκετε; Τούτους δὴ μιμούμενος καὶ αὐτὸς, ἀπόδειξιν τῆς Χριστοῦ δυνάμεως πολλάκις λαβὼν, καὶ πάλιν ζητεῖ· ζητεῖ μὲν οὖν, οὐχ ὅπως εἰληφὼς D κατευθύνοι τὴν καρδίαν ἑαυτοῦ, καὶ πιστὸς γένηται (ἢ γὰρ πάλαι λαβὼν ἐγεγόνει; ἢ γὰρ πάλαι κατεύθυνε;)· ἐκπειράζων δὲ μόνον αἰτεῖ, ὅτι καὶ κατ' ἐκείνους γενεά τις ἦν σκολιὰ καὶ παραπικραίνουσα, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον.

λβ'. Ἔνθεν τοι καὶ παριδὼν μὲν τἄλλα ὁπόσα θαυμάτων εἴδη, ἀναδραμὼν δὲ πρὸς αὐτὸ τὸ μέγιστον τὴν ἐξανάστασιν τῶν νεκρῶν, τοῦτ' αὐτὸ οὔκουν ἕτερον ἐνεργηθῆναι κελεύει, ὡς τὴν παλινζωΐαν, κἂν ἐφ' ἑνί τινι τῶν πάλαι τεθνηκότων ἤδη τετελεσμένην, ἀποχρῶν ἡγεῖσθαι μαρτύριον τῆς ἐπὶ πᾶσι δυνάμεως Χριστοῦ καὶ θεότητος· ἀγνοῶν

unice formosum diligendum, quomodo alterius cujusdam cupiditatis causa possibile erat præcipitare deorsum? Neque enim animalia unquam alia consueverunt per se vivere in regione ignis; neque possibile erat, ut anima illa jam facta divini ignis receptaculum, cogitatum admitteret, quacunque ratione ad terrena inducentem: idque tum operibus patuit, tum tolerandis tormentis, tum verbis ad tyrannum productis.

30. Quomodo, inquit, o imperator, iis quæ a triduo imo ante dies duos audivisti, oblivione præteritis, eamdem semper de eisdem rebus interrogationem prætendis? siquidem et nos omnino novimus veritatem tenere, neque eam per partes edicimus, membratim eam loquentes; neque modo sic, modo aliter interrogantibus respondemus, ut nos illis accommodemus, veritatem adulterantes. Si vero et tu eam amas, quomodo tantum discrepas ab illis, qui ipsam solam colunt omni tempore, et eamdem erga omnes esse sciunt, ut suadeas ab ea discedere? Non profecto, non discedimus. Si tamen vere dicis quod veritatem amas, audi ex nobis verba veritatis; iterum et iterum eumdem sermonem loquimur: Christus nos confortat. Christus nos liberat. Christus per nos signa operatur. Id si velis operibus comprobatum, quamvis experimentum jam sumpseris, aliud tamen rursum sumere licebit. Ecce enim paratos nos pati omnia: veni rursum ad opera, et manibus utere, nihil formidans; ut cognoscas iterum quia Deus nobiscum est, tua contra nos consilia dissipans.

31. Hæc eo dicente, non erat ille intelligens aut requirens Deum: homo erat consilio privatus, notitiam autem Dei nec habens nec suscipiens, similis factus Judæis antiquis: nam illi quidem per seipsos videbant audiebantque ab illis Christum facientem miracula, signa et virtutes; et tanquam si nihil vidissent audivissentque, veniebant eadem requirentes. O stupidi! Adhuc videtis, et heri vidistis, et nudiustertius et diu antea cognovistis eadem; et in eadem consilii ambiguitate desinentes, venitis? Hos igitur imitatus Diocletianus, post demonstratam sibi sæpius Christi virtutem, rursum quærit: quærit autem, non ut accepta demonstratione rectificet cor suum et fidelis efficiatur; sed tentandi duntaxat causa quærit, quia, sicut et illi, generatio erat prava et exasperans, spiritus vadens et non rediens.

32. Ergo, cæteras omnes miraculorum species prætermittens, et ad id quod omnium est maximum mortuorum resuscitationem transiens, hoc ipsum, non aliud, operari jubet; velut regenerationem, in uno aliquo mortuorum factam, habiturus pro testimonio totius virtutis et divinitatis Christi; ignorans tamen quam parum utilis sibi futura esset



OCR ABK/FR

hæc experientia, qui statim a patrato miraculo replendus esset indignatione. Qui enim priora miracula fuerat circa martyrem operatus, circa hoc unum nihilominus erat potens: quamvis non ita judicaret Diocletianus, neque sibi id persuaderet, certo credens impossibile fore quod imperaverat. Quare monumentum demonstravit, et in eo defunctum ab annis multis, ipsumque jubet excitari: Age, inquiens, vivum hunc siste, ambulantem, sentientem, et alia quæcunque nos facimus facientem; et abi, nobis de veritate persuasis, nihilque de cætero habituris circa alia dubitare, postquam id factum fuerit, quod majus est omnibus. Quis enim tergiversari et refragari vellet amplius, tam evidens argumentum habens sibi oppositum? Sic ille. Quæ autem secuta sunt, quomodo digne quis explicet? aut potius, quomodo satis miretur? nec enim vel hoc est facile, eo quod rei magnitudinem capere nequeat intellectus.

33. Sustulit Georgius in cœlum oculos tam mentis quam corporis, et audientibus universis Dei magnalia glorificans atque concelebrans, simulque eum commonefaciens mirabilium suorum, et maxime illius triumphi quem duxit de morte per suscitationem vita functorum; oravit, ut quod propositum nunc erat miraculum, ad finem adducere dignaretur. Etenim fidenter poterat ejusmodi petitiones et facere et sperare: facere quidem, quia fidem habebat montes transferentem; sperare autem, tum propter discrimina quæ illius causa subierat, tum propter infallibilem Christi promissionem, qua fidelibus suis firmiter est pollicitus, quæcunque petierint accepturos. Factæ in hunc modum orationi annuit Deus, et desuper vox grandis erupit, quantam ægre sustinere aures poterant, suaque vehementia cunctos attonuit. Tum invisibilis quædam virtus sepulcri operimentum abstulit, et aridis illis ossibus spiritum vitæ infudit, simulque et mortuus surrexit, et totius populi conclamatio, magnificantis, laudantis, glorificantis Christum, cumque verum Deum confitentis. Denique qui a mortuis resurrexit confiteri cœpit ac prædicare in omnium auribus, atque apostolico fungi munere; nunc ad sequendum Christum exhortans, nunc idolorum cultum dissuadens, utque se susciperent dignum testem, qui corporea exsutus caligine didicisset, quantum in Christo sit lucrum, quantaque infelicitas æterni ignis, et caliginis, et vermis, et cujuscunque alterius mali, iis præparati qui dæmonibus se conjungunt.

34. Scio miraculum hoc non suscipi ab auribus incredulorum, nihil enim eorum quæ pulchra sunt ipsis videtur fide dignum: sed eam facile apud pios inveniet. Si enim verax est Christus, promittens quod majora signa quam faciebat ipse, facerent credentes in se; Christus autem ejusmodi signa millena fecit; quis Christianorum unquam de illo dubitaverit, audiens primum Eliam et

A ὡς οὐ λυσιτελῶς ἑαυτῷ τὴν πεῖραν ταύτην μετέρχεται, αὐτίκα τοῦ θαύματος καὶ τελεσθησομένου καὶ πάσης αὐτοῦ τὴν ψυχὴν ἀθυμίας πληρώσοντος. Ὁ γὰρ ἐκεῖνα τὰ πρώην τερατουργήσας περὶ τὸν Μάρτυρα οὐδὲ περὶ τουτο πάντως ἀδύνατος ἔσται· κἂν οὐχ οὕτως ἐλογίζετο Διοκλητιανὸς, οὐδὲ ἑαυτὸν ὕπειθε, τῷ ἀδυνάτῳ τοῦ ἐπιτάγματος πεποιθώς. Ὅθεν καὶ λάρνακα ἐπεδείκνυ, καὶ πολυετῆ νεκρὸν κατήγγειλεν ἐν αὐτῇ, καὶ ἀνεγείρειν κελεύει· Ἴθι, λέγων, ζῶντα τόνδε, κινούμενον, αἰσθανόμενον τἄλλα δείκνυε πράττοντα καθ' ἡμᾶς, καὶ ἄπιθι πείσας ἡμᾶς, μηδέν σοι τοῦ λοιποῦ περὶ τῶν ἄλλων ἔχοντας ἀμφιβάλλειν, τοῦ μείζονος ἤδη γεγενημένου· ἢ τίς ἂν ἔτι περιεργάζεσθαι βούλοιτο καὶ πολυπραγμονεῖν, τοσοῦτον ἔχων ἐξ ἐναντίας ἱστάμενον ἔλεγχον, Οὕτως ἔλεγε· τὰ δ' ἐντεῦθεν τίς ἂν B ἀξίως ἐρεῖ; μᾶλλον δὲ τίς εἰκότως θαυμάσεται· οὐδὲ γὰρ τοῦτο ῥᾴδιον, τῆς διανοίας μὴ χωρούσης τὸ τοῦ πράγματος μέγεθος.

λγ'. Ἐκεῖσεν εἰς οὐρανοὺς σὺν τοῖς νοεροῖς ὀφθαλμοῖς ἀνέτεινε τοὺς τοῦ σώματος, καὶ ὁμοῦ μὲν εἰς ἐπήκοον τὰ τοῦ Θεοῦ μεγαλεῖα ἐκθειάσας τε καὶ ὑμνήσας, ὁμοῦ δὲ καὶ τῶν αὐτοῦ τεραστίων αὐτὸν ἀναμνήσας, καὶ μάλιστα τοῦ κατὰ θανάτου τροπαίου καὶ τῆς ἐκεῖθεν τῶν νεκρῶν ἀναστάσεως, δεῖται καὶ τοῦ προκειμένου τοῦδε τὴν τελείωσιν ἐπινεῦσαι· καὶ γὰρ εἶχε θαῤῥεῖν τὰ τοιαῦτα τῶν αἰτημάτων καὶ λαμβάνειν ἐλπίζειν· τοῦτο μὲν ὅτι καὶ πίστιν εἶχεν, ὄρη μεθισταμένην ἰσχύουσαν· τοῦτο δὲ κἀκ τῶν ὑπὲρ ἐκείνου κινδύνων καὶ τῆς ἀψευδοῦς ὑποσχέσεως, πάντα τοῖς οἰκείοις βεβαίως ἐπαγγελ- C λομένης, Ὅσα ἂν αἰτήσησθε, λήψεσθε. Καὶ δὴ, τῆς ἱκεσίας οὕτως καθαρῶς περιεχούσης, ἐπινεύει Θεὸς, καὶ ῥήγνυταί τις ἄνωθεν ἦχος μέγας, οἷον οὐκ ἂν ῥᾳδίως προσίοιτο ἀκοὴ, καὶ πάντας ἐξέπληξε τῷ στεῤῥῷ τῆς ἠχοῦς· καί τις ἀόρατος ἐπὶ τούτῳ δύναμις αἴρει τὸ κάλυμμα τῆς σοροῦ, καὶ ἐπὶ τούτῳ τοῖς ξηροῖς ὀστέοις δίδοται πνεῦμα ζωῆς. Ἐπὶ δὲ τούτῳ, ταχὺς ἀνίσταται ὁ νεκρός· καὶ ἐπὶ τούτῳ βοὴ παντὸς ἦν τοῦ δήμου, μεγαλυνόντων, εὐφημούντων, δοξαζόντων, Χριστὸν ἀληθινὸν Θεὸν ὁμολογούντων. Ἐξῆρχε τῆς ὁμολογίας ταύτης ὁ ἐκ νεκρῶν ἀναστὰς, ἐκήρυττε πάντων ἀκουόντων, τὰ τῶν ἀποστόλων ἐφθέγγετο, καὶ νῦν μὲν προτρέπων εἰς Χριστὸν, νῦν δὲ τῶν εἰδώλων ἀπάγων, αὐτὸν ἠξίου δέχεσθαι μάρτυρα δι' ἀποθέσεως τοῦ σωμα- D τικοῦ ζόφου, ὅσον ἐν Χριστῷ τὸ κέρδος καταμαθόντα, ὅσος ἐν δεισιδαιμονίᾳ ὁ κίνδυνος, πυρὸς ἀτελευτήτου, καὶ σκότους καὶ σκώληκος, καὶ παντὸς εἴδους κακοῦ διαδέχεσθαι μέλλοντος τοὺς προσανέχοντας δαίμοσι.

λδ'. Τοῦτο τὸ θαῦμα ἀκοαῖς μὲν ἀπίστων οἶδ' ὅτι δυσπαράδεκτον, οὐδὲν γὰρ αὐτοῖς τῶν καλῶν ἀξιόπιστον· εὐσεβέσι δὲ καὶ λίαν ὁμολογούμενον. Εἰ γὰρ ἀψευδὴς Χριστὸς, ὁ ἐπαγγειλάμενος, καὶ ὧν αὐτὸς σημείων ἐργάζεται μείζονα ποιήσειν τοὺς εἰς αὐτὸν πιστεύοντας, Χριστὸς δὲ μυρίων αὐτουργὸς τοιούτων· τίς ἄρα ποτὲ τῶν τῆς ποίμνης Χριστοῦ ἀμφιβαλεῖ περὶ τούτου, ἀκούων μὲν Ἡλίαν καὶ

OCR ABK / FR

Ἐλισσαῖον τὸ πρότερον, ἀκούων δὲ καὶ τοὺς Χριστοῦ μαθητὰς ὕστερον τοιαῦτα ἐνηργηκότας; Τοῦτο καὶ αὐτοὶ δήπουθεν Ἕλληνες, πολλὰ περὶ τῶν σφετέρων δαιμόνων τε καὶ θεῶν ὡς δύνανται ληροῦντες, ὅμως κρεῖττον ὁμολογοῦσι τῆς ἐκείνων δυνάμεως· τοῦτο καὶ τοῖς πλήθεσιν ἰσχυρότερον πάντων τῶν ἄλλων δόξαν, καὶ ἰσχυρότερον ἁψάμενον, ὀξύτερον τοὺς πλείστους μεθείλκυσεν εἰς Χριστὸν, κατὰ δήμους πεῖσαν αὐτῷ προσιέναι, καὶ οὐ κατ' ἀριθμόν τινα γνώριμον, οἷς δὴ παραχρῆμα καὶ τῶν μεγάλων τῆς ὁμολογίας ταύτης μισθῶν ἀῤῥαβῶνες ἐφοίτων. Τίς γὰρ ἂν ἀριθμοίη τὰ ἐπὶ τούτοις θαύματα, ὅσων τε νοσημάτων χρονίων λύσις ὑπῆρχεν, ὅσων τε χειρῶν παρειμένων ἰσχὺς καὶ κατὰ φύσιν ἐνέργεια; ὡς βλέποντες ἦσαν τυφλοὶ, ἐκ τοῦ βλέπειν πρὸς τὸν νοητὸν ὀφθαλμόν; ὡς χωλοὶ τοὺς πόδας ἐῤῥώννυντο; ὡς πᾶν εἶδος νοσήματος ἐθεραπεύετο; κἂν τὴν τῶν δαιμόνων εἴπῃς ἐπήρειαν, οὐδ' αὐτὴ τότε τοῦ μὴ ἐκποδὼν γενέσθαι ὑπέμεινε, καὶ μόνον τις τῇ πίστει προσήρχετο.

λε'. Ἀλλὰ τὸ Γλυκερίου πῶς ἄν τις παρέλθῃ θαῦμα; Γεωργὸς ἦν οὗτος, καὶ περὶ γῆν τὸν ἀεὶ χρόνον ἔχων, καί γε ἀροτριῶν ἐν βουσί. Καὶ ὁ θατέρου τῶν βοῶν ὑπὸ ζυγὸν ὠλισθηκότος καὶ τεθνηκότος, οὐκ ἀθέατος ὢν τῶν τότε θαυμάτων, ἧκε δρομαῖος, ἐξαγγέλλει τὸ πάθος, καὶ ἀναβιῶναι τὸ κτῆνος αἰτεῖ. Τυχὼν οὖν ὡς ᾔτησε, καὶ πολὺς ὢν τὴν εὐγνωμοσύνην, ὡς καὶ πάντα λόγον αὐτῷ, ἰδίᾳ, δημοσίᾳ, ἄνω, κάτω, Χριστὸν εὐφημούμενον ἔχειν καὶ τὰ Χριστοῦ θαύματα, ξίφει τὴν κεφαλὴν ἀφαιρεῖται, οὕτω τοῦ τυράννου προστάξαντος, καὶ μάρτυς πρὸς Χριστὸν παραγίνεται. Δεύτερος τούτῳ προστίθεται ὁ ἐκ νεκρῶν ἀναστὰς, ὁρώμενος ὁμοῦ καὶ φθεγγόμενος, διδάσκαλος εὐσεβείας γενόμενος. Καὶ τρίτος τὴν αὐτὴν ἄπεισι τοῦ μαρτυρίου ὁδὸν ὁ χθὲς καὶ πρότριτα μάγος, νυνὶ δὲ κήρυξ Χριστοῦ, αὐτομολήσας τῇ πίστει, καὶ τὴν τῶν δαιμόνων ὡς ἀπολλύουσαν ἀτιμάσας θρησκείαν. Καὶ ἃ μὲν οὖν γέγονε, τοῦ περὶ τὸν νεκρὸν τεραστίου προυδεδηκότος, τὰ μὲν εἴρηται, τὰ δὲ παρῆκεν ὁ λόγος, τὸ μῆκος ὑφορώμενος· ἃ δὲ ἦν μετὰ ταῦτα καὶ ἀναγκαῖον εἰπεῖν.

Elisæum, deinde Christi discipulos talia esse operatos? Ipsi autem gentiles, quantumvis de diis dæmoniisque suis quanta possunt deliria commenti, eorum virtute majus hoc esse confitentur. Itaque et multitudini majorem de Christianæ religionis veritate æstimationem miraculum hoc ingessit, quam cætera omnia; et quamplurimos traxit ad Christum, persuadens turmatim et absque certo numero accedere ad illum: quibus etiam continuo datæ sunt arrhæ maximorum præmiorum, tali confessioni propositorum. Quis enim recensuerit quanta post hæc secuta miracula sint, quam multi quamque diuturni morbi sanati, et quantum sese exseruerit virtus naturæ ordinem supergrediens? Quomodo cæci videre cœperint, post receptum interioris oculi lumen? quomodo claudis confirmati sint pedes? quomodo genus omne ægritudinum curatum? quod autem ad dæmonum violentiam attinet, hæc quoque non poterat ulla ratione subsistere, si quis duntaxat cum fide accedebat.

35. Sed quomodo præteriero, quod factum est Glycerio, miraculum? Agricola hic erat et circa terram semper occupabatur, quam junctis ad aratrum bobus tunc proscindebat: cumque non esset expers miraculorum a sancto Georgio patratorum, et suorum subjugalium alter deficiens mortuus esset, confestim cucurrit; et quid accidisset annuntians, bovem quoque suum suscitari petiit. Obtento autem eo quod postulaverat, gratus admodum pro beneficio, cum nullum alium quam de Christo sermonem haberet, cumque privatim ac publice, sursum ac deorsum prædicandi finem nullum faceret; capite plexus fuit, jubente tyranno, et Martyr ad Christum accessit. Huic appositus est secundus, ille qui fuerat suscitatus a mortuis, et palam loquens factus erat magister pietatis. Tertius denique eamdem martyrii viam ingressus est, is qui heri et antea magus, nunc præco Christi, fidem confessus erat, et dæmonum culturam tanquam perniciosam ejurarat. Atque hæc ea sunt quæ circa patratum in mortuo miraculum acciderunt, quorum quidem pars memoriæ tradita est, altera prolixitatis vitandæ causa involuta silentio: quæ vero postmodum consecuta sunt necesse etiam est enarrare.

## CAPUT V.

*Extrema Georgii de idolis victoria: capitis supplicium toleratum.*

λϛ'. Ὁρῶν ὁ Διοκλητιανὸς τὸν Χριστιανισμὸν εἰς πυρσὸν ἀναφθέντα ἤδη, ὡς ἐκ σπινθῆρος τοῦ μάρτυρος ἀρξάμενον, καὶ πολλῶν μὲν ἐπιλαβόμενον, πολλῶν δὲ μέλλοντα, κἂν μή τις φθάσῃ κατασχὼν, ταχέως ἂν ἐπελθεῖν κἀκεῖνα, καὶ δυσχερέστατον ἔσεσθαι τοῖς ἀπείργειν βουλομένοις· τοῦτο δὴ ὁρῶν, τὸ μὲν ἐκποδὼν ποιῆσαι, εἴπερ τι ἕτερον, προθύμως ἦν, ὑπώπτευε δὲ ὅμως τὴν διαμαρτίαν καὶ κατοῤῥώδει, δειλὸς πρὸς τὴν ἐπιχείρησιν ἐκ πρώτης πείρας γενόμενος· τὸ δ' αὖ ἄνετον ἐάσας περινοστεῖν, οὔτ' ἔφερε (πῶς γάρ; Διοκλητιανός γε ὢν,

C Ἀλλὰ τί μοι μακρηγορεῖν τὰ τῶν πατέρων διεξιόντι, ἐνὸν ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκειν κἀκ τοῦ φερομένου νάματος τὴν πηγήν; Σὺ, βασιλεῦ, ὁ γλυκὺς τῷ ὄντι καρπὸς καὶ παντὶ τῷ γένει σωτήριος, σὺ προὔκυψας ἐξ ἐκείνων. Καὶ τίς παρὰ ταύτην μείζων εὐδαιμονία; ἢ τίς ἂν (12) ἔχοι ἐφ' ᾧπερ μᾶλλον καυχήσαιτο; Ἀρκεῖν μὲν οὖν αὐτοῖς οἶμαι μόνον τὸν σὸν τόκον πρὸς εὐφημίαν, καὶ τούτῳ μόνῳ μάλιστα πάντων θαυμάζεσθαι, κἂν εἰ μηδὲν αὐτοῖς ἄξιον ἐπαίνου ἐξ ἀρετῆς ἰδίας ἐτύγχανεν. Οἷς γὰρ πρόσεστιν ἐκ τῶν τελειοτέρων θαυμάζεσθαι, τούτοις ἥκιστα λόγος καὶ τῶν μικροτέρων χάριν καρποῦσθαι τὸν ἔπαινον.

Sed cur parentum elogia profero dum arborem e fructibus cognoscere et ex aqua fontis naturam perspicere licet? Tu, imperator, fructus sane dulcis et omni hominum generi salutaris ex illis prognatus es; quod quid felicius, quid gloriosius? Equidem illos magnum opus fecisse judico te procreando et omni admiratione dignos censeo, etiam si nullum propriæ virtutis speciem aliud edidissent. Qui enim magnarum rerum gloria excellunt, ii non opus habent ut ex parvis laudem comparemus.

Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος καὶ τῶν προθύρων ἤδη τῶν κατὰ σὲ πλεονεκτημάτων ἀψάμενος,

Sed dum de rebus a te gestis proloqui tento, virium, mearum debilitatem sentio, similis iis qui

D (6) Sceptra scilicet a Græcis imperatoribus ad Latinos translata, quod evenit anno 1204.

(7) Andronicum Comnenum Palæologum, de quo Cangius *Famil. Byzant.* p. 231.

(8) Quem sic laudat G. Acropolita Hist. 46: Τὸν μέγαν δομέστικον τὸν Κομνηνὸν Ἀνδρόνικον τὸν Παλαιολόγον..., τὰ πρῶτα φέροντα τῶν ἐν στρατηγίαις τεταγμένων, ἄνδρα συνετώτατον καὶ πρᾳότατον, καὶ εὖ εἰδότα καὶ μάχην ὁπλίσαι καὶ διευθῦναι λαὸν καὶ ἐν πολεμικοῖς καὶ εἰρηνικοῖς τοῖς καιροῖς.

(9) Filia fuit Irenes, filiæ imperatoris Alexii Angeli, et Alexii Andronici: vide Niceph. Gregor. III, 4, 2.

(10) Codex ἢ οὐκ ἔχω. Forsan ἆθλον ἢ... (οὐκ ἔχω π. ἄ. ε.): ut videatur orator aliud nomen post ἆθλον quærere; ac, non invento, οὐκ ἔχω, ait, πῶς ἄλλως εἰπεῖν.

(11) Pindar. Ol. IV, 28.

(12) Forsan ἢ τί τις ἄν.

OCR ABK / FR

exiguum tantummodo magnarum rerum, quibus interfuerunt, testimonium exhibere valent; unde fit ut ingeniolum meum a magnitudine laudum quibus dignus es, superetur. Hinc metus, hinc sudor, antequam te laudanti opus arduum aggrediar. Quod enim fundamenti cœlestis contemplatoribus accidit (stupent de iis quæ vident, nec visa digno modo dicere aut meditari valent), id ego quoque expertus sum. Dum res a te gestas atque humanitatem perpendo, mens taciturna stupescit, idque fortasse minus ob ineloquentiam quam ob rerum laudandarum magnitudinem quæ impedit quominus rite exponantur. Sed cur hæsitem? Periculum rei faciendum mihi; laudandus tu mihi es, et si minus bene facio, rei difficultas me excusabit. Ubi enim res aliqua mentem et facundiam transcendit, oratori vel minus idoneo venia aderit.

A μᾶλλον ἐμαυτοῦ ἀσθενοῦς ὄντος αἰσθάνομαι ἐπ' αὐτοῖς ἔργοις, ὥσπερ οἱ διὰ τῆς πείρας προσομιλοῦντες τοῖς πράγμασιν, ὅσον μὲν ἐμοὶ ἀπορίας καταμαθών, ὅσον δὲ τοῖς σοῖς ἐγκωμίοις τὸ μέγεθος. Ταύτῃ τοι καὶ δέδοικα, πρὶν ἢ σαφῶς παρακύψαι τοῖς ἔνδον, καὶ περιῤῥαίνομαι ὑπὸ τῆς ἀγωνίας ἱδρῶσι, καὶ ὅστις γένωμαι ἀπορῶ. Καὶ γὰρ, ὃ περὶ τοὺς τὸν οὐρανὸν βλέποντας ἔστιν ἰδεῖν (ἵστανται γὰρ θαυμάζοντες (13) μὲν ἐφ' οἷς ὁρῶσιν, ἄξιον δὲ τῶν ὁρωμένων οὔτ' εἰπεῖν, οὔθ' ὅλως νοῆσαι ἰσχύουσι), τοῦτ' αὐτὸ καὶ αὐτὸς ἀτεχνῶς ἐπεπόνθειν· ἀφωνίᾳ κατείλημμαι τοῖς σοῖς προσβλέψας χαρίσμασι, καί μοι τὰ τοῦ λόγου πρὸ τῆς πείρας ἐλέγχεται· καὶ τοῦτ' ἴσως οὐ παρὰ τὴν τοῦ λέγοντος μᾶλλον ἀσθένειαν ἢ τὴν τῶν πραγμάτων ὑπερβολὴν, καὶ τὸ μὴ καθάπαξ φύσιν B ταῦτ' ἔχειν ὑποπίπτειν λόγῳ διὰ τὸ μέγεθος. Πλὴν τί χρὴ παθεῖν; τολμητέον καὶ οὕτως ἔχοντί μοι τὴν πεῖραν, καὶ τοῖς ἐπαίνοις προσιτέον, ὡς δύναμις, αὐτῶν ἡμῖν ἱκανῶς τῶν πραγμάτων τὴν συγγνώμην ἐξαιτουμένων· οἷς γὰρ καὶ διάνοιαν ταῦθ' ὑπερβαίνει καὶ οὐδαμῶς τῇ γλώττῃ περίληπτα, καὶ τῷ λέγοντι πάντως, εἰ μὴ τῆς ἀξίας ἐφίκοιτο, ἀποχρῶσαν, οἶμαι, τὴν συγγνώμην ἐργάζεται.

Deus, qui te, imperator, populi tui dominatorem designavit omnia quæ ad regnandum conducibilia sunt, bona corporis animique ita tibi impertivit, ut nulla re egeas, quippe qui non ita magni facias ea quæ cæteri tanto cum studio ambiunt. Natura igitur sibi ipsi congratulari potest de iis quibus te majorem in modum dotavit. Formæ namque excellentia præstas ut vel minus formosi quam tu ipse es in admiratione forent. Membrorum corporis tui harmonia, partium mirificus ordo citra vituperium; analogiæ omnia ita respondent ut nihil in te cerni possit quod naturæ principiis contradicat aut perfectæ musicæ regulas impugnet. Huc adde quod formæ robur adsit, et quicunque te viderit, cum Platone clamabit te pulchritudinis ideam et archetypum exhibere. Hinc etiam te aspicientis oculi satiari nunquam possunt, tuumque vultum contemplari pro jucundissimo est spectaculo. Quod si sirenes, ut poetæ fabulantur, cantu audientium aures rapuerunt, tu non aures, sicut istæ, sed oculos ipsos sensum tutiorem, incantabas; corporis enim tua forma plus quam illarum cantus animos demulcebat; nec denique in perniciem deliciis captos, ut illæ, trahebas, sed voluptate ac admiratione plenos dimittebas. Dum de futuris meditabaris, multi tibi fatidici clare videntes astabant quia homo qui oculorum mentis lippitudinem abjecit, rerum futurarum quasi præsentium præsagio fruitur. Cur autem vates solos tibi esse dico mentis oculis puros? Nonne multitudo clare videns unanimi te concentu hymnis, licet furtim celebrant, quæ nos nunc oculis videmus? Fortia enim ingenia invisibilium quoque rerum imagines ad vivum exprimunt. Quem-

Σοὶ μὲν οὖν Θεὸς, βασιλεῦ, ἄνωθέν σε τοῦ οἰκείου λαοῦ γραψάμενος ἄρχοντα, πάντα πρέποντα τῇ ἀρχῇ ἐχαρίσατο, τὰ ἐκ τοῦ σώματος, τὰ ἐκ τῆς ψυχῆς, τὰ ἐκ τῶν ἔξωθεν, ὡς οὐδενὸς ἐν οὐδενὶ λείπεσθαι, μάλιστα δὲ καὶ κάτω τιθέναι πάντας καθ' ὅσα τις ἔχοι φιλοτιμήσασθαι· ὥστ' ἐμοὶ δοκεῖν καὶ αὐτὴν ἐπὶ σοὶ τὴν κοινὴν ἡμῶν φύσιν κομπάζειν ἔχειν, οἷς τοιοῦτος καὶ μετὰ τοσούτων καὶ τηλικούτων τῶν χαρισμάτων ἐξέθορες. Καὶ γὰρ ὥρᾳ μὲν αὐτίκα καὶ κάλλει διέφερες σώματος (14), καὶ ὅστις κατὰ ταῦτα C δεύτερος μετὰ σὲ τῶν ἄλλων καθ' ὑπερβολὴν κρατῶν ἐνομίζετο· παρεῖχες μελῶν συμμετρίαν πρὸς ἄλληλα, καὶ πρὸς σύστασιν τοῦ ὅλου εὐφυῶς τὰ μέρη συνέτρεχον, ἐτήρουν δ' ἐν ἀλλήλοις ἀρίστην ἀναλογίαν, καὶ τὴν ἁρμονίαν ὡς κάλλιστα ἔσωζον. ἀσύμμετρον δέ τι ἢ καὶ ἀνάρμοστον ἦν ὅλως ὁρᾷν οὐδαμοῦ, διὰ τῆς ἴσης ἀναλογίας, τῆς ἐξ ἀρχῆς, κινούσης ἀεί σε τῆς φύσεως, καὶ κρεῖττον ἢ καθ' ὁντιναοῦν μουσικῆς ἐπιστήμονα. Ἐντεῦθεν τοίνυν καὶ ἰσχὺς ἐπηκολούθει τῷ κάλλει καὶ ῥώμη τῷ εὐρυθμίᾳ τοῦ σώματος. Καί πού τις τάχα τῶν θεωμένων, κατὰ Πλάτωνα λέγων, εἶπεν ἄν σε κάλλους ἰδέαν καὶ πάσης ἀρχέτυπον ὡραιότητος· δι' ὃ καὶ θεώμενος ἀκόρεστον ὑπῆρχες ὄψεσι χρῆμα, καὶ πᾶς τις βλέπων εἰς σὲ τοὺς ὀφθαλμοὺς μεταφέρειν οὐκ ἤθελεν· ἤρD κεις γὰρ ἀντὶ παντὸς ἡδίστου θεάματος μόνος αὐτὸς καθορώμενος. Καὶ Σειρῆνας μὲν ποιηταί φασι τοὺς πρὸς τὴν ᾠδὴν αὐτῶν ἐπαΐοντας ἀναρτᾷν ἐκ τῶν ὤτων· σὺ δὲ οὐ τὴν ἀκοὴν ἐγοήτευες, ὡς ἐκεῖναι, ἀλλὰ τὰς ὄψεις αὐτὰς, τὴν ἀσφαλεστέραν αἴσθησιν ἔθελγες, μείζονα δύνασθαι πρὸς τὸ θέλγειν τῆς ἐκείνων ᾠδῆς τὴν καλλονὴν παρέχων τοῦ σώματος· καὶ οὐκ ἀπώλλυς οὐμενουν τοὺς ἁλόντας ἐπὶ τέλους ὥσπερ ἐκεῖναι, παρέπεμπες δὲ μεθ' ὅσης τῆς ἡδονῆς

(13) Locutionem θαυμάζειν ἱστάμενος ἄφωνος adhibet Gregorius Cyprius initio maris Laudationis. Homerus: Ἡμεῖς δ' ἑσταότες θαυμάζομεν.

(14) Nicephorus Greg. III, 4, 1, de illo Michaele· Πολλὴν ἐπὶ τοῦ προσώπου φέρων ἱλαρότητα. Nicephorum Phrantzes describit Chronici initio.

OCR ABK / FR

καὶ τοῦ θαύματος. Μάντεις δή σοι τῷ τότε περὶ τῶν μελλόντων πολλοὶ ( ), ὁπόσοις ὁ ἔνδον ὀφθαλμὸς ἐκαθαίρετο, ὅτι καὶ ἄνθρωπος τὴν λήμην περιῃρημένος τῶν ὄψεων τῆς ψυχῆς καὶ τῶν οὔπω γεγονότων ὡς ἤδη παρόντων αἰσθάνεται. Καὶ τί δὴ λέγω εἶναί σοι μάντεις μόνους τοὺς καθαροὺς τὴν διάνοιαν, ὅπου καὶ τοῖς πολλοῖς πρὸς σὲ θεωμένοις καθίστατο δῆλα, καὶ πάντες ἔψαλλον μέν, ὑπὸ τοὺς ὀδόντας δ' οὖν ὅμως, ἅπερ νυνὶ τοῖς ὀφθαλμοῖς ὁρῶμεν ἡμεῖς; αἱ γὰρ μεγάλαι φύσεις ἐναργεῖς καὶ τῶν ἀφανῶν τὰς εἰκασίας παρέχουσι· καὶ ὥσπερ αἱ τοῦ φωστῆρος ἀκτῖνες, μήπω καὶ ταῦτα τὸν ὁρίζοντα ὑπερβάντος, κατ' οὐρανοῦ ἐξαπλούμεναι μηνύουσι τὴν ἀνατολήν, τὸν αὐτὸν δῆτα τρόπον καὶ αὐτός, βασιλεῦ, μάλα ἐναργῆ τὰ σύμβολα προὔφαινες τῆς ἀρχῆς, καὶ προχαράγματα τῶν μελλόντων πρὸ τοῦ καιροῦ καθυπέφαινες. Οὕτω, βασιλεῦ, ἄξιον εὐθὺς ἐκ παίδων καὶ ἀκοῆς καὶ λόγου καὶ θαύματος ὑπῆρχες διήγημα, λεγόμενος, ἀκουόμενος, μετ' ἐκπλήξεως θαυμαζόμενος.

A admodum enim solis nondum orti radii solem orientem annuntiant, ita tu quoque, imperator, regni symbola clarissima prosignificabas, ejus quod futurum esset, typum prænuntiando. Sic, imperator, inde a puero in admiratione positus eras, et quivis te audire, te admirari in votis habebat.

Μὴ ξένοις δὲ παραδείγμασι, γνησιωτάτοις δὲ μάλιστα σαυτοῦ καὶ τοῖς ἐκ πατέρων ἀκολουθῶν, ἐδιδάσκου τὰς μὲν χεῖρας εἰς πόλεμον, τοὺς δακτύλους δέ, κατὰ τὸν θεῖον φάναι Δαυΐδ, εἰς παράταξιν, ἀσπίδα κουφίζων, καὶ δόρυ κραδαίνων, καὶ τόξα καὶ βέλη καὶ ξίφη, ὡς ἐνῆν δεξιώτατα, μεταχειριζόμενος· ἤ, μᾶλλον εἰπεῖν, ἔδει σοι πρὸς ταῦτα διδασκαλίας οὐδέν, οἴκοθεν, καὶ κρεῖττον ἤπερ ἐστὶν εἰπεῖν, κατορθοῦντι τὰ πάντα, καί, μεγέθει φύσεως, πόνων ἄτερ ἐργαζομένῳ ἃ τοῖς πᾶσιν ἁπλῶς κατορθοῦνται χρόνῳ πολλῷ καὶ ἀσκήσει τῇ μείζονι.

B Non alienis autem exmplis usus, sed paterna et propria secutus, manus tuas ad prælium, digitos, secundum Davidis divinum carmen, ad bellum formasti, clypeum tollendo, hastam vibrando, arcum, sagittas, ensem solerter tractando; aut, ut verius dicam, magistro ad discenda ea opus non habebas; melius enim quam quis crediderit, tu omnia felici indole et nullo sudore peregisti, quæ cæteris multo labore ac sudore majori constant.

Ἀρετῶν δὲ ὡς εἶχες καὶ παραστήματος ψυχῆς καὶ παγίων ἠθῶν καὶ φρενῶν ἐπηβόλων, καὶ ταῦτα μήπω παραγγείλας τὸν μείρακα, ἀλλ' ἐν ὑγροτέρῳ τῷ σώματι, πῶς ἄν τις εἰπὼν ἱκανῶς ἔσεσθαι εἰπών; Εὐσέβεια γὰρ ἐκ σπαργάνων αὐτίκα τὸ πάμμεγα χρῆμα παραλαβοῦσά σε, ὁ ἐκ προγόνων σοι κλῆρος καὶ ἀναφαίρετος θησαυρός, κράτιστα δὴ πρὸς τὰς κατ' αὐτὴν ἀρετὰς ὑπὸ καθηγεμόνι τῷ πατρὶ ἐξεπαίδευεν· ἤ, τό γε ἀληθέστερον, οὐδὲν ἔδει σοι οὔτε τοῦ ῥυθμίσοντος, οὔτε τοῦ παιδεύσοντος· οὐ γὰρ ἦσαν αἱ ἀρεταὶ παρὰ σοὶ διδακταί, κἂν ὅτι μάλιστα διδακτὰς αὐτὰς οἱ πάλαι ὑπέθεντο· ἀλλ' ὥσπερ ὠδίνων ταύτας ἐν τῇ ψυχῇ, ἁπαλότητι δὲ σώματος μὴ ἔχων ἀθρόως ἁπάσας προενεγκεῖν, ἐν χρόνῳ δέοντι καὶ ἡλικίᾳ πρεπούσῃ, ὥσπερ τινὰ τόκον εὐγενῆ τε καὶ ὥριμον, εἰς φῶς κατὰ μίαν προήνεγκας. Καὶ πρῶτα μὲν δὴ ὡς ἐπὶ κρηπῖδι τῇ εὐσεβείᾳ τὴν ἀνδρίαν ἐπέθηκας, εἶθ' ἑξῆς ἐπετίθεις τὴν φρόνησιν, σωφροσύνη δὲ ἐρείπετο ταύταις, ῥᾳδίως καὶ δικαιοσύνη προσέτρεχε· σειρὰν ἄν εἴπέ τις ταύτας χρυσῆν τε καὶ ἱερὰν καὶ τοῖς πολλοῖς ἄπλοκον. Καὶ δὴ καλὴ μὲν καὶ ἡ τῆς πίστεως πρὸς τὰ ἔργα συνέλευσις, καὶ ἡ τῶν ἔργων αὖ πρὸς τὴν πίστιν ἀνάκρασις καὶ ἀνάχυσις, ὡς οὔτε τῆς εὐσεβείας ὠφελούσης μηδέν, εἰ μὴ καταλλήλοις ζωοποιοῖτο τοῖς ἔργοις, καὶ τῶν πράξεων αὖ νεκρουμένων, ἂν μὴ τῇ ὀρθότητι τῶν δογμάτων στηρίζοιντο· οὐδὲ γὰρ ἔστιν, οὐκ ἔστιν, ὅτι μὴ μετ' εὐσεβείας, ἀρετὴν καὶ εἶναι καὶ ὀνομάζεσθαι· οὐχ ἥκιστα δὲ καλὴ καὶ ἡ τῶν ἀρετῶν πρὸς ἀλλήλας συνδρομή τε καὶ σύνθεσις. Ἐπεμέμικτο γὰρ τῇ ἀνδρίᾳ ἡ φρόνησις, χα-

Quomodo quis porro satis digne laudabit animi tui constantiam, morum et ingenii firmitatem, quæ omnia in te non adolescentem, sed virum maturum indicabant? Te in ipsis fasciis pietas, te C hæreditas et thesaurus inamissibilis majorum amplexus, patre duce in omnem virtutem initiavit; aut, ut verius dicam: non directoris, non institutoris opus habebas. Virtutes enim apud te non doctrina erant, etsi majores nostri eas docendas discendasque autumabant; imo eas in animo quasi parturiens, tempore et ætate opportunis ut partum generosum et maturum singulas in lucem edidisti. Pietati utpote fundamento fortitudinem superimposuisti, dein prudentiam cum modestia ac justitia qua excellebas. Catenam quis auream, sacram quis dixerit. Et profecto pulchra est fidei cum operibus connexio: et iterum operum cum fide conjunctio et societas, ita ut nihil proficiat pietas nisi congruis vivificetur operibus, et item opera mortua sint, nisi rectitudine dogmatum D confirmentur; nec enim potest, non potest sine pietate, virtus esse et nominari: non minus pulchra est virtutum cum alterutris concentus et cognatio. Consociata est enim cum strenuitate prudentia, frenum, ut ita dicam, et disciplina, quæ solerter nimium coercent impetum. Sapientiæ vero decorum ornamentum insecuta est prudentiam, illius potissimum corona et consummatio. Quomodo enim quis mentem aut intellectum habere videbitur, sapientia non exornatus? At in istis perfectionem nisi adesse videretur, non morum

(15) Meminit Nicephorus Gregor. III, 4, 4, τῶν προλαληθέντων περὶ αὐτοῦ εἶτ' ἐξ ὀνείρων καὶ κληδόνων τινῶν.

OCR ABK / FR

rectitudo comitetur et subsequatur justitia. Accessit ergo meo regi justitia, qua compleatur perfectio et pateat integritas.

Et hæc quidem a puero per te incepta indesinenter aucta remanent; nunc vero nobis in initium quodammodo sermonem revocantibus paulo altius repetendum est.

Habebas ergo corporis, habebas et animi dotes, et ita ut melius tibi contingere non potuerit; juvenis et hæc perficiebas et corporis mollitiora quæque repudiabas: cum vero oportuit in rerum curriculum prodire, et exponendo cognoscere quæ, etiam antequam expertus sis, animi magnanimitate noveras (non enim oportebat te satis scientia per prudentiam locupletatum in experiendo claudicare, ut illi qui habent generalem rerum cognitionem, errant vero circa singula, eo quod illis per sensum non fuerunt manifestata), inter principes versatus es, illis egregie in notitiam perveniens, inter quos prædestinatus eras brevi imperium occupare.

Maxime quidem mirabatur te patruus ille tuus et rex, propter corporis dotes quibus et pulchritudine æquales et fortitudine majores natu vincebas: mirabatur te etiam propter animi dotes, præsertim mentem et animi præsentiam, quibus ille videbatur cæteros superare, omnes vero superare te solo impeditus erat. Non enim in his tantum et pueri tibi ætate compares, sed etiam ut Homericus senex te ostendebas, et ut alius quivis, si sit, sapientia præstantior. Etenim non modo artibus quæ stuporem incutiebant ornatus eras, sed et lingua sola omnium rerum cogitatarum congruenti, flexibili et canora, ut ait Aristonis filius Plato, et nihilo aberranti, ita ut nullus tecum possit conferri, nec poetici quidem seniores quos Homerus, propter vocis canoritatem, comparat cicadis super arbores insidentibus, ut Homerice loquar, et suavem cantum fundentibus.

Et non ex illis tantum quæ te inter principes innotuerunt laudum materiam et primitias hausisti; sed etiam per hæc quæ in bello exhibuisti admirationem es consecutus, cum ad opportuna expedienda et matura et sacra deliberatione Themistocle excellentior exstiteris. Non jam multum elapsum est tempus ex quo bellum erat ante portas et res postulabant propugnatorem, et tu juvenis eras singularissimum quemdam inter duces (juvenem aliquis dicet in Macedonibus Alexandrum); hic magis aperte quam antea ingenium tuum significasti. Exercitui enim quam solertis-

A λινὸς, ὡς ἂν εἴποι τις, καὶ παιδαγωγία, δεξιῶς ἄγαν τὸ πολὺ τῆς κινήσεως ἀνακρούουσα· τὸ δὲ τῆς σωφροσύνης καλὸν κόσμος τῇ φρονήσει συνείπετο, μάλιστα δὲ ταύτης ἐπισφράγισμα καὶ συντήρησις. Ἢ πῶς ἄν τις εὖ λογισμῶν καὶ συνέσεως ἔχων φανήσεται, σωφροσύνῃ μὴ σεμνυνόμενος; Ἀλλ' οὐ μὴν οὐδ' ἐν τούτοις ἂν εἶναι δόξαι τὸ τέλειον, ἂν μὴ καὶ τρόπων εὐθύτης συνομαρτῇ καὶ δίκη ἐφέπηται. Παρῆν γοῦν ἐπὶ πᾶσι καὶ δικαιοσύνη τὸ τέλειον ὁρίζουσα τῷ ἐμῷ βασιλεῖ καὶ τὴν ἀκεραιότητα ἐπιγράφουσα.

Καὶ ταῦτα μὲν, ἠργμένα σοι ἐκ παιδὸς, μέχρι παντὸς διαμένει ἐπιδιδόμενα· νυνὶ δὲ μικρὸν ἄνωθεν ἀρκτέον ἡμῖν ὡς εἰς ἀρχὴν τὸν λόγον ἀναγαγοῦσιν.

Εἶχες μὲν οὕτω σώματος, εἶχες δὲ καὶ ψυχῆς ἀρετῶν, καὶ ὡς οὐκ ἂν ἑτέρως ξυνέβαινε βέλτιον, νέος καὶ ταῦτα τελῶν καὶ ἁπαλώτερα τὰ τοῦ σώματος προβαλλόμενος· ἐπεὶ δὲ καὶ πραγμάτων ἔδει πρὸς B γυμνάσιον καταστῆναι, καὶ πείρᾳ γνῶναι ἅπερ καὶ πρὸ τῆς πείρας ψυχῆς μεγαλοφυΐᾳ ἐγνώρισας (οὐδὲ γὰρ ἔδει σκάζειν τῇ ἐμπειρίᾳ ἀποχρώντως τὴν ἐκ τῆς γνώσεως ἐπιστήμην πλουτοῦντα, κατὰ τοὺς ἔχοντας μὲν τὸ καθόλου δι' ἐπιστήμης, παραλογιζομένους, δὲ τοῖς καθ' ἕκαστα, τῷ μὴ ἐπιστῆσαι τούτοις καὶ διὰ τῆς αἰσθήσεως), ἐν ἀνακτόροις διέτριβες, καλῶς εἰς γνῶσιν ἐκείνων ἱκνούμενος, ὧν μετὰ βραχὺ τὴν ἀρχὴν ἐγχειρισθῆναι προώρισο.

Ἀμέλει τοι καὶ τῶν τοῦ σώματος προτερημάτων ἐθαύμαζέ σε ὁ θεῖος (16) ἐκεῖνος καὶ βασιλεὺς, οἷς ὡραιότητι μὲν τῶν ὁμηλίκων, ἰσχύϊ δὲ καὶ τῶν ὑπερηλίκων ἐκράτεις· ἐθαύμαζε δέ σε καὶ τῶν τῆς ψυχῆς, μάλιστα δὲ τῆς τε συνέσεως καὶ τῆς ἀγχινοίας τῶν λογισμῶν, καθ' ἃς ἐδόκει μὲν ἐκεῖνος τῶν ἄλ- C λων κρατεῖν, ὑπὸ σοῦ δὲ μόνου τῶν πάντων κρατεῖν ἐκωλύετο. Παῖδας γὰρ ἐπὶ τούτοις οὐ μόνον τοὺς κατὰ τὸν αὐτόν σοι χρόνον, ἀλλὰ καὶ τὸν Ὁμηρικὸν ἐδείκνυες γέροντα (17), καὶ εἴ τις ἄλλος ἐπὶ συνέσει διέφερε· καὶ γὰρ παρεῖχες οὐ μόνον νοήματα πρὸς ἔκπληξιν προκαλούμενα, ἀλλὰ καὶ γλῶτταν μόνην τῶν ἁπασῶν τοῖς νοηθεῖσι συμβαίνουσαν, εὔστροφόν τε καὶ λιγυρὰν κατὰ τὸν Ἀρίστωνος Πλάτωνα, καὶ πρὸς οὐδὲν ὀλισθαίνουσαν, ὡς μηδέν' εἶναι παραβάλλεσθαι πρὸς σὲ, μηδὲ τοὺς τῆς ποιήσεως δημογέροντας, οὓς καὶ τέττιξιν Ὅμηρος εἴκασε διὰ τὸ τῆς φωνῆς λιγυρὸν, δενδρέοις ἐφεζομένοις, ἵνα καθ' Ὅμηρον εἴπω, καὶ ὄπα πέμπουσι λειριόεσσαν.

Καὶ οὐ μόνον οἷς ἐν τοῖς ἀνακτόροις ἐφαίνου ποιῶν ἐπαίνων ὑποθέσεις παρεῖχες καὶ ἀφορμὴν, ἀλλά που D καὶ οἷς κατὰ πόλεμον ἐπεδείκνυσο καὶ τούτοις πρὸς θαῦμα διήγειρες, κράτιστος καὶ ὑπὲρ τὸν Θεμιστοκλέα γενόμενος φύσεώς τε δυνάμει καὶ μελέτης βραχύτητι ἀποσχεδιάζειν τὰ δέοντα. Ὡς γὰρ οὐ συχνὸς παρεῤῥύη χρόνος καὶ πόλεμος ἦν ἐπὶ θύραις, καὶ τὸν ἀμυνούμενον ἐκάλει τὰ πράγματα, καὶ σὺ μεῖραξ παρῇς στρατηγῶν τὸ καινότατον (νέον ἄν τις εἶπεν ἐν Μακεδόσιν Ἀλέξανδρον), ἐνταῦθα ἐκδήλως μᾶλλον ἤπερ τὸ πρότερον τὴν σαυτοῦ φύσιν οἷος ἦσθα τοῖς πᾶσιν ἐγνώρισας. Ἐστρατήγεις μὲν γὰρ ὡς

(16) Theodora Michaelis uxor neptis erat fratris imperatoris; erat ergo imperator Joannes Ducas Vatacius, Michaelis θεῖος, id est, patruus, imo propatruus.

(17) Id est, Nestorem.

OCR ABK / FR

A οἷόν τ' ἦν δεξιώτατα, καὶ οὐδὲν ἀπῆν ὅσα τῆς ἀγαθῆς στρατηγίας· ἐμάχου δ' ἐν τοῖς προμάχοις, ὡς μόνον ἐπὶ τούτῳ ταττόμενος καὶ μηδὲν φροντίζων περὶ τῶν τάξεων, ἢ, τό γε ἀληθέστατον φάναι, φάλαγγας κατὰ ταυτὸν ἐκόσμεις καὶ παρῆς ἱππεῦσι μαχόμενος, πεζοὺς παρώθηγες εἰς τὴν συμπλοκὴν καὶ πολέμιον ἔβαλλες κατακάρδια, καὶ καθώσπερ παρ' Ὁμήρῳ μανθάνομεν τὸν ἐν θεοῖς μαχιμώτατον νῦν μὲν ἔμπροσθεν ὁρμῶντα τοῦ Ἕκτορος, ἄλλοτε δ' αὖ ὄπισθεν εἰς τὴν τῶν Ἑλλήνων κατάπληξιν, τοιοῦτος καὶ αὐτὸς παρῆς τῷ πολέμῳ πτερωτὸς ὥσπερ, παντοῖος ἐν ταῖς συμπλοκαῖς καὶ μετὰ πάντων γινόμενος, καὶ ἄλλος Ἄρης μακρῷ τοῦ ποιητικοῦ φοβερώτερος κατὰ τῶν ἐναντίων φερόμενος. Ἔνθα καὶ στρατιώτης, ῥαθύμως ἔχων τῆς συμπλοκῆς, ἐν λήθῃ τῆς ῥαθυμίας, πρὸς σὲ βλέπων, καθίστατο, καὶ ὅλος B τῆς μάχης ἐγίνετο, καὶ ὁμόσε κατὰ τῶν πολεμίων ἐφέρετο, καὶ ὁ οἴκοθεν πρόθυμος μᾶλλον διὰ σὲ τὴν προθυμίαν ἐπέτεινεν. Εἰ δέ πού τις καὶ μαχόμενος τετραυμάτιστο, οὐδὲν ἦν αὐτῷ τὸ τραῦμα τοῦ πολεμεῖν ἐμποδών. ἤρκεις γὰρ αὐτὸς, ἀντὶ φαρμάκου παντὸς καὶ ψυχαγωγίας ἁπάσης, ὁρώμενος. τῷ γὰρ οὕτως ἔχοντα προθυμίας βλέπειν πρὸς σὲ πᾶς τις ἑαυτοῦ ῥάων ἐδόκει καὶ πρὸς τὰ δεινὰ ἀκμαιότερος. Φίλον γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τοῖς ἀρχομένοις πρὸς τὴν τοῦ ἄρχοντος ἕξιν μάλιστα διατίθεσθαι, εἴτε καλῶς, εἴτε καὶ ὡς ἑτέρως φαίνοιτο ἔχουσα. Καὶ διετέλεις ὁ πάντα καλὸς τότε μὲν στρατηγὸς, νυνὶ δ' ἐπ' ἀγαθῇ τύχῃ Χριστιανῶν βασιλεὺς, ἐξ οὗ πρῶτον ἴουλον εἷλκες μέχρι τῆς πρότριτα τοῖς κατὰ πόλεμον κινδύνοις καὶ μάχαις παραβαλλόμενος. Καὶ ἄλλοις C μὲν κυνηγεσίων ἔμελε καὶ θήρας καὶ τῆς καθ' ἡδονὴν ἱππικῆς, καὶ ὁπόσα περιουσίᾳ ῥᾳστώνης ἐργάζονται ἄνθρωποι· σοὶ δὲ τούτων οὐδέν· ἀγαπητὸν δὲ καὶ εἰ μετ' ἀδείας μετεῖχες τῶν ἀναγκαίων, ἀλλὰ μὴ νύκτας ὅλας διῆγες ἀγρύπνους. Καὶ γὰρ καὶ τοῦτ' ἐφαίνου πάσχων ἢ ποιῶν ἢ (οὐκ ἔχω πῶς εἰπεῖν ἄλλως), ἵνα τὰ μεθ' ἡμέραν σχοίη καλῶς, καὶ ὁ πᾶσιν εἰς ἀνάπαυσιν ἀνειμένος καιρὸς σοὶ καὶ μόνῳ οὐδὲ μίαν ἐδίδου ταῖς φροντίσιν ἀνάπαυλαν. Ἡμέρας δὲ πρὸς ἀκμὰς ἐχώρεις δοράτων καὶ συνεπλέκου τοῖς πολεμίοις, κἀν τοῖς πρώτοις τῶν κινδυνευόντων ἐτέλεις ἀναστρεφόμενος, τοῦτ' ἀνθ' ἡδονῆς ἁπάσης αἱρούμενος, τὸ μηδένα πολέμιον μήθ' ὅλως εἶναι τῷ ἡμετέρῳ γένει, μήτε μὴν ὀνομάζεσθαι. Ἐπράττετο δέ σοι κατὰ τὰς μάχας αὐτοσχέδιον οὐδὲν, οὐδ' ὡς ἔτυχεν ἀπροβούλευτον, γνώμη δέ τις ἀεὶ D καὶ προβούλευμα τῶν πραττομένων ἐγίνετο· ὡς ἔδει γε καὶ νῦν τοὺς στρατοῦ προβεβλημένους ὑπὸ τοιούτῳ στρατηγεῖσθαι τῷ λογισμῷ! Ἦ γὰρ ἂν καὶ σφάλλεσθαι μὲν συνέβαινεν οὐδαμῶς, μάλα δὲ δεξιὸν τοῖς δεδογμένοις τὸ πέρας συνέβαινε. Σὺ δὲ, βασιλεῦ, οὕτω πάντα ἐποίεις, καὶ πάντα ῥᾳδίως ἐνίκας, τοίη δέ σοι ἐπιτάῤῥοθος ἦεν Ἀθήνη, Ὅμηρος (18) ἂν εἶπεν, ἡ ἐκ τοῦ μετεώρου καὶ ὑψηλοῦ σου νοῦ ὡπλισμένῃ καὶ δύσμαχος ἀπογεννωμένη φρόνησις. Εἰ δέ που καὶ τύχης βασκανίᾳ, οἷα πολλὰ κατ' ἀνθρώπους συμβαί-

A sime præeras, nullius inops ex omnibus quæ bono conveniunt imperatori; pugnabas in prima acie, quasi ad hoc constitutus et nihilo intentus ad ordines, aut, ut verius loquar, agmina disponebas simul ac dimicans inter equites aderas, in aciem abripiebas milites et ictus dirigebas ad hostium pectora; et quemadmodum, ut ab Homero discimus, deorum bellicosissimus nunc ante Hectorem advolabat, nunc post illum ad Græcos feriendos, talis et tu eras in bello, ubique in acie et cum omnibus præsens, et alter Mars poetico Marte longe terribilior irruebas in hostes. Propterea miles ignavus in prælio, te intuens ignaviam dediscebat et totus in pugna versabatur et una tecum convolabat ad hostes, et miles suopte ingenio stre-B nuus per te strenuitatem adaugebat. Si quis forte esset vulneratus, nihilo vulnus erat illi pugnandi impedimentum: satis erat enim, omnis medicaminis vice et omnis solatii te vidisse: nam te ita alacrem inspiciens, quisque seipso videbatur sanior et adversus pericula validior. Amant enim plerumque subjecti ad imperatoris præsertim habitum sese componere, sive male sive aliter sese gerere videatur. Et tunc dux bonus militiæ permanebas, modo autem rex in bonam fortunam Christianorum, ex quo primo emicuit barbula usque ad tres proximos dies in belli periculis et certaminibus versatus. Cæteri quidem indulgent venationi sive cum canibus, sive in equo, et omni turbæ oblectamentorum quibus operam dant ho-C mines; tu autem nulli eorum, felix si cum libertate necessariis vacares, et noctes totas non duceres insomnes. Etenim te hoc tolerasse constat aut fecisse aut...(non habeo quod aliter dicam), ut quæ die gesseras feliciter cedant; et omnibus ad quiescendum addictum tempus nullam cogitationibus dabat cessationem. Die hastarum oppetebas mucrones, et cum hostibus manus conserebas et inter primos periclitantes pugnabas versatus, illud omni voluptati anteponens, quod nullus hostis neque omnino sit nostræ genti, neque etiam nominetur. Nil præproperum a te in prœliis agebatur nec eveniebat quidquam improvisum, sed semper in agendo erat consilium aliquid et deliberatio. Quam oportebat milites qui te conspexerant talibus argumentis dimicare! Nunquam enim nimirum te D falli contigit, sed felicissimus exitus propositis tuis aderat. Tu, rex, sic omnia agebas omnia facile superabas, auxiliante tibi Minerva, ut Homerus diceret, illa scilicet ex alta et sublimi mente orta armata et inexpugnabili sapientia. Si forte invidia fortunæ, ut sæpe apud homines accidit, partes tuæ victoria orbarentur, facile damnu restituebas, et tecum rursus apparebat potestas. Et itaque sic feliciter simul ac callide exercitum ducebas, ut tuorum militum promptissimos quosque ad aliquid strenuum agendum, et ignavissimos ad

(18) Iliad. ε, 808.



OCR ABK/FR

patiendum incitares: quibus enim excellentissimum te præstabant tum in cogitando, tum in deliberando, tum in aggrediendo, per illos efficiebas militiam tuam claram et inexpugnabilem; per illos tibi contigit tropæis adjungere tropæa, et prioribus victoriis alias addere victorias.

A νει, τὸ κατὰ σὲ τῆς νίκης ἐπέρετο, ῥᾳδίως ἀνέφερες τῶν σφαλμάτων, καὶ πάλιν ἐδόκει μετὰ σοῦ τὸ κρατεῖν. Καὶ τοίνυν, οὕτω στρατηγῶν εὐτυχῶς τε ἅμα καὶ δεξιῶς, δρᾶσαι μέν τι πρὸς γενναιότητα καὶ λίαν ταχεῖς, ὡς βραδυτάτως (19) δὲ παθεῖν ἐποίεις τοὺς ὑπὸ σέ· οἷς γὰρ κράτιστον παρεῖχες σαυτὸν ἐν νοήμασιν, ἐν συμβουλαῖς, ἐν ἐπιχειρήμασι, τούτοις δὴ καὶ τὸ ὑπὸ σὲ στρατιωτικὸν εὐδοκιμοῦν ἐποίεις καὶ δύσμαχον. Ἐξ ὧν συνέβαινε τροπαίων ἐξάπτεσθαι τρόπαια, καὶ νίκαις προλαβούσαις νίκας ἑτέρας προστίθεσθαι.

Sic igitur se gerebat in bello et nemini strenuitatis præstantiam reliquit, verum in tempore tranquillitatis et pacis, aut cum oportebat de rebus agendis ferre sententias, concedebat cuivis senatori sive parvo sive majori, aut magis quam omnes verba faciebat et de evertendis, ut aiunt, illorum sententiis moliebatur, et tamen conspectum erat postea non bene illi cedere consilia? An cum omnia prospere ibant et melius quam diceres, ipse suas felices sententias refugiebat agendo confirmare, et alium seipsi subrogare judicabat? Nequaquam. Sed omnia ille erat, dux felix, bellator solers, consiliarius optimus, rerum agendarum suasor, operum patrator, in summa, solus qui super omnes necessarias res perspiciat, et solus omnium digna consiliis opera exhibeat.

Καὶ τὰ μὲν δὴ κατὰ πόλεμον τοιοῦτός τε ἄρα ἦν καὶ ἀνδρίας ὑπερβολὴν κατέλιπεν οὐδενί· ἐν ἡσυχίας δὲ καιρῷ καὶ εἰρήνης, ἢ καὶ ὁπότε βουλὰς ἔδει περὶ τοῦ τί ἂν εἴη πρακτέον ἐξενεγκεῖν, παρεχώρει τῶν τινι τῆς γερουσίας ἢ μικρῷ ἢ μείζονι, ἢ ἔλεγε μὲν ὑπὲρ πάντας καὶ κάτω πεσεῖν, τὸ τοῦ λόγου, τὰς ἐκείνων παρεσκεύαζε γνώμας, ἠλέγχετο δὲ μεθ' B ὕστερόν ποτε μὴ καλῶς ἔχειν αὐτῷ τὰ βουλεύματα; ἢ πάντα μὲν ταῦτα καλῶς καὶ ὡς οὐκ ἂν εἴποι τις βέλτιον, ἔργοις δὲ τὴν ἑαυτοῦ καλῶς ἔχουσαν βεβαιῶσαι γνώμην αὐτὸς μὲν ἀπώκνει, ἕτερον δ' ἀντ' αὐτοῦ ἐπὶ τῶν ἔργων καταστῆναι ἠξίου; Οὐμενοῦν, ἀλλὰ τὰ πάντα αὐτός, στρατηγὸς εὐτυχής, πολεμιστὴς δεξιός, σύμβουλος ἀγαθός, τῶν πρακτέων ὑφηγητής, τῶν ἔργων ὁ πληρωτής, ἑνὶ λόγῳ εἰπεῖν, μόνος ὑπὲρ πάντας σκοπῶν τὰ συνοίσοντα, καὶ μόνος τῶν ἁπάντων ἀξίως τῶν σκεμμάτων τὰ ἔργα δεικνύμενος.

Sed, postquam a nobis prout par erat laudes obtinuisti, te usque ad partes solis orientis oportebat ulterius procedere, et nomen tuum inclarescere in gentibus, atque præstantis virtutis laudatorem ipsum adipisci barbarum, ut ita opera tua testimonio extraneorum digniora fide videantur (quodcunque enim domesticum est in suspicionem cadit, quia periculum est ne veritatem corrumpat, utpote cognationi ereptum); quid? Ut hæc omnia proficiscentur a principio malo et perverso atque indigno quod sit causa talis finis? Invidia adversum te inflammatur ab his quos non oportebat, rem vere inauditam et indignam genere Christianorum! Sapientissime autem dici hic mihi videtur illud Platonis, quod non possent omnino abesse mala quia aliquid contrarii fati ad bonum nutriendum relinquatur necesse est; et etiam scimus rubum, ut aiunt, nasci in vinea. Non ergo mirandum est quod apud nos calamitati locus fuerit et invidiæ, quæ mirum in modum crudelis, altam moverit flammam, atque materiem comburendam et faces tuas offecerit virtutes. Et non satis illud immane, vehementer licet immane, sed etiam linguas eorum sicut gladios exinde contra te acuerunt maligni, et consilium consiliati sunt, sed non sapiens, prout recte Isaias et David illos descripserunt: hic etiam mentita est iniquitas sibi, ut ait iterum divina Scriptura, et invidia, quæ pessime pessumdat, viro innocenti non prævaluit. Non enim futurum erat ut semper Deus sustineat, et sinat invidiæ

Ἀλλ' ἐπειδήπερ ἱκανῶς εἶχέ σοι τὰ τῆς παρ' ἡμῖν ἀναρρήσεως, ἔδει δὲ καὶ περαιτέρω μέχρι τῶν πρὸς ἀνίσχοντα ἥλιον παρελθεῖν σε, καὶ δῆλόν σου καὶ τοῖς ἔθνεσι γενέσθαι τὸ ὄνομα, καί γε πρὸς ἐπέκεινα τῆς ἀρετῆς ἐπαινέτην πλουτῆσαι καὶ βάρβαρον, C ἵν' οὕτω σοι ἀξιοπιστότερα φαίνηται τὰ ἔργα τῇ μαρτυρίᾳ τῶν ἀλλοτρίων (τὸ γὰρ οἰκεῖον ἅπαν καὶ ὕποπτον, ὡς δεινὸν τῇ ἀληθείᾳ λυμήνασθαι τῇ συγγενείᾳ κλεπτόμενον), τί γίνεται; Ὡς ἐξ ἀρχῆς κινεῖται ταῦτα πονηρᾶς τε καὶ ὀλεθρίου, καὶ ἥκιστα τοιούτου τέλους αἰτίας εἶναι πρεπούσης! φθόνος ἀνάπτεται κατὰ σοῦ παρ' ὧν οὐκ ἔδει· πρᾶγμα ὡς ἀληθῶς ἄτοπον καὶ τοῦ Χριστιανῶν γένους ἀνάξιον. Πλὴν ἐνταῦθα σοφῶς ἄγαν εἰρῆσθαι δοκεῖ τὸ τοῦ Πλάτωνος, ὡς οὐ δυνατὸν ἀπολέσθαι παντάπασι τὰ κακά, ὄντος ἀναγκαίου ὑπολείπεσθαί τι τῆς ἐναντίας μοίρας τροφὴν τῷ ἀγαθῷ· ἀλλὰ καί, τὸ τῆς παροιμίας, φύεσθαι καὶ ἐν ἀμπέλῳ βάτον ἠκούσαμεν. Οὔκουν καινόν τι, εἰ καὶ παρ' ἡμῖν ἐνταῦθα χώραν ἔσχε τὸ πάθος, καὶ ὁ φθόνος ὡς ἐκτόπως δεινὸς καὶ ὑψη-D λὴν αἴρων τὴν φλόγα, ὕλην ὡσανεὶ λιπαρὰν καὶ ὑπέκκαυμα τὰς σὰς ποιούμενος ἀρετάς. Καὶ οὔπω γε τοῦτο δεινόν, καίπερ λίαν ὑπάρχον δεινόν, ἀλλὰ καὶ τὰς γλώττας αὐτῶν ὡς ῥομφαίας ἐντεῦθεν κατὰ σοῦ στομοῦσιν οἱ πονηροί, καὶ βουλὴν βουλεύουσιν, ἀλλ' οὐ συνετήν, καλῶς (20) Ἡσαΐας αὐτοὺς καὶ Δαβὶδ ἐστηλίτευσαν· ἔνθα καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτήν, τὸ τῆς θείας καὶ αὖθις φάναι Γραφῆς, καὶ ὁ κάκιστ' ἀπολούμενος φθόνος ἀμώμου οὐχ ὑπερίσχυσεν. Οὐ γὰρ ἔμελλε μέχρι παντὸς ἀνασχέσθαι Θεός,

(19) Forsan, βραδυτάτους, concinniore cum ταχεῖς antithesi.

(20) Forsan, καθώς.

OCR ABK / FR

οὐδὲ παραχωρῆσαι τῇ πονηρίᾳ ἐς ἅπαν παῤῥησιάζεσθαι, ἵνα μὴ ἀπρονόητα φέρεσθαι δόξῃ τὰ καθ' ἡμᾶς κατὰ τοὺς ἐξ αὐτομάτου τὰ πάντα γεννῶντας, καὶ κακίαν δίκαιοι μεταμάθωσι.

A libere omnia dicere, ne quæ apud nos evenerunt improvisa esse videantur, ut qui fortuito omnia gignunt, et pravitatem justi dediscant.

Περσὶς δὲ λοιπὸν ἔσχε σε (21), νεύσει τοῦ Κρείττονος τὴν ἐπιβουλὴν διαδράντα, καὶ ἡ βάρβαρος γῆ (ἴστε δὲ πάντες ὃ λέγω καὶ τοῦ διδάξοντος οὐκ ἀνέχεσθε), καὶ αὕτη καλῶς ἔσωζε τὸν φύσει πολέμιον. Θεμιστοκλῆν εἶπεν ἄν τις ἕτερον παρὰ Πέρσαις, ἢ, μάλιστά γε οἰκειότερον, παρὰ Σκύθαις Ἀστέρα, τὸ τῆς παροιμίας. Ἀλλ' οὐδ' ἐνταῦθα γενόμενος τῶν συνήθων ἠμέλεις, οὐδ' ᾔδεις κρύπτειν τὸ φρόνημα, καὶ συστέλλειν τὰ ἔργα, καὶ σχῆμα φαυλότερον δεικνύναι, καὶ τὸ ἀσθενὲς ὑποκρίνεσθαι· οὐδὲ γὰρ μέχρι μιμήσεως τὸ ἀγεννὲς ἐφιλεῖτό σοι· ἀλλὰ καὶ ταύτης (22) ἁπανταχῇ ἀνέστησας τρόπαια, καὶ B παρέσχες εὐδαιμονῆσαι τοῖς Πέρσαις, καὶ τοὺς πρηστήρων δίκην ἐπιόντας Μασσαγέτας ἐφόβησας (23), καὶ οὐδενὸς οὐδέποτε τὸ μέχρι σοῦ ἐναντιωθέντος αὐτοῖς, αὐτός τε στρατηγίας μείζονι ἐπιστήμῃ καὶ ἀνδρείας ὑπερβολῇ κατὰ πρόσωπον ἔστης, καὶ ἀνδρικῶς ἠγωνίσω, καὶ κράτιστα δὴ πάντων ἀνθρώπων τὴν ὁρμὴν ἐκείνων ἀνέκοψας. Καὶ οὕτω λοιπὸν ἡ πατρὶς, οὕτω δὲ καὶ ἡ ἀλλοδαπὴ, ἔσχον ἀπολαῦσαί σου τῶν καλῶν, καὶ ἦν σχεδὸν οὐδεὶς ὅστις ἀνθρώπων ἁπάντων τῆς σῆς φήμης ἀνήκοος. Πρὸς ταῦτα καὶ Μιλτιάδην τὸν ἐν Μαραθῶνι παρῆλθες τοῖς ἔργοις, καὶ Θεμιστοκλῆν καὶ Κίμωνα καὶ Περικλῆν, τοὺς καθ' ὅ τι ἂν εἴποι τις διαβεβοημένους, συνέσει τε καὶ ἀνδρείᾳ καὶ καρτερίᾳ ψυχῆς, μακρῷ τῷ μέσῳ παρέδραμες, καὶ τὸν ἐν Πύλῳ καὶ Σφακτηρίᾳ κατὰ Λακεδαιμονίων ἀριστεύσαντα Δημοσθένην (24) C σὺ καλῶς ἀριστεύων ἀπέκρυψας. Παυσανίας δὲ ὁ Λακεδαιμόνιος (καὶ τούτου μάχαι κατορθούμεναι τὰ γνωρίσματα καὶ πόλεις ἁλισκόμεναι τόσαι καὶ τόσαι, καὶ Περσῶν ὑποχωροῦσα δύναμις, καὶ θυμὸς καὶ φρόνημα τῆς Σπάρτης ἀπόζοντα), ἀλλὰ καὶ οὗτος παῖς παραβάλλειν πρὸς σέ. Βρασίδαν δὲ τὸν Σπαρτιάτην μέγαν οἶδε καὶ αὐτὸν ἡ συγγραφὴ Θουκυδίδου, καὶ Ἀμφιπολίταις δι' ἀρετὴν Ἅγνωνος προτετιμημένον τοῦ οἰκιστοῦ (25)· οὐ μέντοι γε καὶ μεγάλα λέγειν ἐξὸν τὰ ἐκείνου, εἰς μνήμην ἐρχομένων τῶν σῶν. Σκηπίωνας καὶ Ἀννίβας καὶ τοὺς Ἐπαμινώνδας (26), καλοὶ, φησὶν ὁ λόγος, καὶ οὗτοι γεγόνασιν ἄνδρες καὶ στρατηγεῖν δεξιοί· πλὴν καὶ τὰ τούτων μέχρι σοῦ θαυμαστά· ἐπειδήπερ ἠγάπων ἂν, εἰ ἔτι μετὰ τῶν ζώντων ἐτέλουν, καὶ εἰ μὴ D πολλῷ σου κατόπιν βαδίζουσιν. Οὕτω καὶ συνετοὺς καὶ ἀνδρείους ἀπέκρυψας, καὶ κατὰ τῆς ἀρετῆς ἁπάντων ἤγειρας τρόπαιον· τοσοῦτον ἡμῖν τὰ δεύτερα τῶν πρώτων ὁ χρόνος βελτίω ἐξήνεγκε.

Persa quidem postea habuit te, Dei nutu insidias effugientem, et barbara tellus (scitis omnes quod dico et me narraturum non toleratis), et illa te, natura licet inimicum, optime servavit. Themistoclem alterum apud Persas diceres, aut quod potissimum rectius est, Astera apud Scythas, ut est in proverbio. Hic autem a consuetudine non discedebas et nesciebas celare ferociam, et ab operibus abstinere, atque habitum ostendere humiliorem, et debilitatem simulare: non enim eo usque a te amabatur ignobilitas, ut eam imiteris: sed in illa terra usque quoque erexisti tropæa, et Persas in prosperitate constituisti, et ceu turbo igneus irruentes terruisti Massagetas, et, quibus nemo unquam usque ad te adversatus esset, illis tu ipse cum maxima scientia militari et inaudita strenuitate a fronte restitisti et viriliter pugnasti, et omnium hominum acerrime illorum retundisti impetum. Et ita demum patria, ita et extranea gens ex præclaris facinoribus fructum percipere potuerunt, et vix erat aliquis qui tuam famam non audierit... Quin Miltiadem apud Marathonem gestis prægressus es: et Themistoclem et Cimonem et Periclem, quantum quis diceret celebratos, prudentia et strenuitate atque animi patientia, longe superasti; et Demosthenem Pylo et Sphacteriæ adversus Lacedæmonios strenuitate conspicuum, ipse tua egregia strenuitate obscurasti. Pausanias autem Lacedæmonius (cujus decora: certamina prospere gesta, et tot ac tot urbes captæ, atque dejecta Persarum potestas, et prudentia atque fortitudo quibus Sparta revixit), ille etiam puer est si tecum conferatur. Brasidam equidem Spartanum ut magnum etiam laudat historia Thucydidis, utpote quem Amphipolitani Agnoni conditori præposuerint; attamen illius gesta magna appellare non fas est, cum memoriæ tua obversantur. Scipiones et Annibales et Epaminondas fama prædicat; illi enim in re militari administranda solertes et clari exstiterunt; et ideo illorum facinora usque ad te mirata fuerunt; nunc autem hoc satis ducerent, si etiam inter vivos numerarentur, non multum post te incedere. Sic et sapientes et strenuos obscurasti et in omni virtute retulisti palmam: adeo nobis secunda primis tempus meliora attulit.

Καὶ ταῦτα μέντοι μάλα σοι προσήκοντα τῆς βασι-

Hæc sunt equidem maxime tibi congrua regni

(21) Fugisse Michaelem ad Iconii sultanum, sibi a Theodoro Lascari imperatore metuentem, quem malevoli et invidiosi inimici adversus se inflammabant, narratur a Nicephoro Gregora, Histor. III, 2.

(22) Ταύτης referendum ad superiora, ἡ βάρβαρος γῆ.

(23) Eo ipso tempore quo ad sultanum Michael proficiscebatur, Tartari, quos Massagetas vocat, Nicephorus Scythas, in Phrygiam cum magno exercitu irruebant. Selectam suorum manum Michaeli sultanus parere jussit. — Vide Niceph. loc. c.

(24) Res nota e Thucydide ac Diodoro.

(25) Vide Thucyd. IV, c. 102.

(26) Sic codex, loco forsan integro, cum possit esse præpositionis ellipsis.

OCR ABK / FR

prœmia, et decorum ex operibus testimonium, quod non indigne imperium ingressus es.

Cum autem oportebat te tot ac tantarum rerum mercedem a Deo accipere, et per te erigi res Romanorum (etenim duplici jure regnum tibi tribui videbatur), et ut virtutis præmium, et ut plebis universæ gratia, aliquid evenit quam maxime notandum et mirum et revera opus Dei. Transiit invidiæ procella, tempus illud obtrectationis; et tu e superiore regione lentissimo gradu regressus conversans inter nos, ver nostræ salutis præsignificans, et in nobis constitisti, quos futurum erat ut splendore tuo viridantes et fructiferos efficeres. Et te cum tanta virtute simul ac benevolentia in patria reducens exercitus et bella iterum habebant, et iterum res nostras victoriis illustrabas. Non erat enim tempus ubi ab his requiesceres : sed, quasi ex natura tua sortitus esses semper in discriminibus versari et in vita pericula experiri tum a nobis tum a Barbaris, tum a quibuslibet hominibus inter quos conversatus es, certamina tibi observantur, et, rem incredibilem! quod fortuito contingere solet cæteris (non enim semper periclitantur homines), hoc tibi semper obtigit, et non frustra, ut arbitror, nec absque Providentia quæ omnia prænoscit et ordinat. Oportebat enim, oportebat te multis in caminis versatum esse, ut sic probatus appareres et super aurum sincerum fulgeres.

Dum ergo circa te ita se res habent, concedit naturæ, atque migrat e rebus caducis, qui tunc temporis in throno potestatis insidebat. Oportebat autem plebem in hac necessitate adductam, ductore mortuo, visitatione ex alto utique visitari, et in meliore statu constitui. Et non nos sublevare tardat, nec moratur qui omnia videt; festinans autem, facit per te visitationem, et visitat quos oportebat visitatione divina, sicut oppressos luti et lateris operibus per Moysem (visitavit), sicut eosdem extra terram sanctam commorantes per Josue, ut per David Israel ab aliis populis vexatum, et te regem sancit et ungit caput tuum oleo exsultationis præ omnibus filiis hominum ejusdem consortibus naturæ; et salvatorem Romanorum et liberatorem, et si quid aliud salvatoris nomen dari potest, te, rex, præbuit, ex ipsis operibus tibi cognomen consecutum.

Hæc fuit nobis prima urbium serenitas et rerum instauratio et omnis vitæ ad meliora conversio : hinc posita sunt fundamenta nostræ prosperitatis,

A λεῖας προοίμια, κἀκ τῶν ἔργων πρέπουσα μαρτυρία μὴ ἂν ἀναξίως ἐπιβῆναί σε τῆς ἀρχῆς.

Ἐπεὶ δὲ σε τὸ γέρας πρὸς Θεοῦ τῶν τοσούτων καὶ τηλικούτων ἔδει λαβεῖν, καὶ Ῥωμαίοις διὰ σοῦ ἐπανατωθῆναι τὰ πράγματα (καὶ γὰρ φαίνεταί σοι δι' ἀμφότερα ἡ βασιλεία χορηγηθεῖσα, καὶ ὡς ἆθλον τῆς ἀρετῆς, καὶ ὡς εὐεργεσία παντὸς τοῦ λαοῦ), γίνεταί τι ὡς λίαν ἐξαίρετον καὶ θαυμάσιον καὶ ὡς ἀληθῶς ἔργον Θεοῦ. Παρῆλθεν ὁ τοῦ φθόνου χειμὼν (27), ὁ καιρὸς ἐκεῖνος τῆς βασκανίας· καὶ σὺ κινούμενος ἄνωθεν (28) σχολαιοτέρᾳ τῇ βαδίσει (29) ἐνδημεῖς πρὸς ἡμᾶς, ἔαρ προφαίνων σωτήριον, καὶ στηρίξεις παρ' ἡμῖν ἐνταῦθα, οὓς ἔμελλες ὅσον οὔπω ταῖς εἱληθερήσεσι τεθηλότας καὶ γονίμους ἐργάσασθαι. Καὶ δή σε μετὰ τοιαύτης τῆς ἐνεργείας B ἅμα καὶ τῆς χάριτος ἐπιδεδημηκότα ἐκστρατεῖαι πάλιν καὶ πόλεμοι πάλιν εἶχον παρ' αὐτοῖς, καὶ πάλιν νίκαις ἐκόσμεις τὰ καθ' ἡμᾶς. Οὐδὲ γὰρ ἦν καιρὸς ὅτε τούτων ἡσύχαζες· ἀλλ', ὥσπερ τῇ σῇ φύσει κεκληρωμένου τοῦ ὁμιλεῖν ἀεὶ τοῖς δεινοῖς καὶ διὰ βίου τοῖς κινδύνοις παρεξετάζεσθαι, παρ' ἡμῖν, παρὰ βαρβάροις, παρ' ὁτοισδήποτε τύχοις ἀνθρώπων, τὰ τῆς μάχης συνήντα σοι, καὶ τὸ παράδοξον, ὅπερ τυχαίως συμβαίνειν εἰώθει τοῖς ἄλλοις (οὐ γὰρ ἀεὶ κινδυνεύουσιν ἄνθρωποι), τοῦτό σοι διὰ παντὸς ἐξεγένετο καὶ οὐκ ἀσυμφερόντως, ἐμοὶ δοκεῖν, οὐδ' ἔξω προνοίας καὶ προμηθείας τῆς διοικούσης τὸ πᾶν. Ἔδει γὰρ, ἔδει σε πάντως πολλοῖς πρότερον ὁμιλήσαντα τοῖς χωνευτηρίοις, οὕτω δόκιμόν τε φανῆναι καὶ ὑπὲρ τὸν ἀκίβδηλον λάμψαι χρυσόν.

Τοιγαροῦν καὶ οὕτω πως ἐχόντων τῶν περὶ σὲ, C λειτουργεῖ τὰ ὀφειλόμενα τῇ γενέσει, καὶ μεθίσταται τῶν ῥεόντων ὁ κατ' ἐκεῖνο καιροῦ ἐπὶ τοῦ θρόνου τῆς ἀρχῆς καθεζόμενος (30). Εἰς τοῦτο δὲ τύχης τὸν λαὸν ἀφιγμένον, καὶ τοῦ δημαγωγοῦ παρελθόντος, ἔδει πάντως ἐπισκοπῇ ἐπεσκέφθαι ἐξ ὕψους καὶ πρὸς βελτίω γενέσθαι κατάστασιν. Καὶ δὴ οὐ μέλλει πρὸς τὴν χρείαν, οὐδ' ἀναβάλλεται ὁ πάντ' ἐφορῶν· ταχύνας δὲ, ποιεῖται διὰ σοῦ τὴν ἐπισκοπὴν (καὶ ἐπισκέπτεται οὓς ἔδει ἐπισκοπῇ θειοτέρᾳ, ὡς τοὺς τῷ πηλῷ καὶ τῇ πλινθείᾳ ταλαιπωροῦντας διὰ Μωσέως, ὡς τοὺς αὐτοὺς τούτους δι' Ἰησοῦ ἔξω τῆς ἁγίας διατρίβοντας γῆς, ὡς διὰ Δαυὶδ τὸν Ἰσραὴλ ὑπὸ τῶν ἀλλοφύλων κακούμενον), καὶ βασιλεύει σε, καὶ χρίει σου τὴν κεφαλὴν ἀγαλλιάσεως ἐλαίῳ παρὰ πάντας ἀνθρώπων υἱοὺς τοὺς τῆς αὐτῆς μετασχόν- D τας φύσεως (31), καὶ σωτῆρα Ῥωμαίων καὶ ῥύστην καὶ κηδεμόνα, καὶ εἴ τι τούτου σωτηριωδέστερον ὄνομα, σὲ, βασιλεῦ, ἀναδείκνυσιν, ἔργοις αὐτοῖς τὴν ἐπωνυμίαν κυρώσας σοι.

Αὕτη τοίνυν ἡμῖν πρώτη πόλεων εὐημερία καὶ κατάστασις πραγμάτων καὶ βίου παντὸς πρὸς τὸ βέλτιον μεταποίησις· ἐντεῦθεν κρηπὶς κατεβλήθη

(27) Innuitur simultatum inter Michaelem et imperatorem finis. Vide Niceph. Greg. III, 2, 3.

(28) Ex Phrygia scilicet.

(29) Nota in margine γρ. τῇ βάσει.

(30) Theodorus Lascaris.

(31) Auctor Epist. ad Hebr. I, 9 ; Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Notandum Gregorium, scriptorem accuratum et doctum, respuisse pravam syntaxim χρῖσαι ἔλαιον, et dativo legitimo esse usum.

OCR ABK / FR

τῆς ἡμετέρας εὐδαιμονίας. Τοῦτο γεγονὸς τὴν καθ' ἡμῶν στρατευομένην Τύχην, ὥσπερ χειμάῤῥου φορὰν, ἀνεχαίτισεν. Ἐφάνης γὰρ ὁ μόνος ἱκανὸς ἀντιστῆναι τοῖς δυστυχήμασι, καὶ λόγος ὑπῆρχε τῶν λυπούντων οὐδείς. Ἀνέσχες, ὦ μέγα φωσφόρε, καὶ τὰ τῶν ἐχθρῶν νέφη, ἅπερ συνίστατο καθ' ἡμῶν, διελύθη τε παραχρῆμα, καὶ οὐδ' εἰ τὴν ἀρχὴν συνέστη γινώσκεται. Οὕτω κοινὴ δόξα Ῥωμαίοις ἡ σὴ δόξα γεγένηται, οὕτω καὶ τῆς σῆς τύχης καλῶς τὰ πάντα ἀπήλαυσε.

Καὶ δὴ λαμπρὰ μέν σου καὶ ὅσα τις ἔχει λέγειν πρὸ τῆς ἀρχῆς· πολλῷ δὲ καλλίω καὶ περιφανέστερα καὶ λόγον οὐδένα λείποντα ὑπερβολῆς, τὰ μετὰ τὴν ἀρχήν. Τίνα δὲ λέγω τὰ πρὸ τῆς ἀρχῆς; Τὰ σεμνὰ στρατηγήματα, τὰ κατὰ τῶν ἐχθρῶν ἀγωνίσματα, τὰς περιφανεῖς νίκας, τὰ παράδοξα τρόπαια, B τἄλλα ὅσα καὶ οἷα διαπέπραξαι ἀγωνιζόμενος, βουλευόμενος, ἐν νυκτὶ, ἐν ἡμέρᾳ, ἐν χρόνῳ παντὶ καὶ τόπῳ. Ἀλλ' ἐπεὶ κατέστης ἐπὶ τῶν σκήπτρων, τοσοῦτον ὑπερηκόντισας (πῶς ἂν εἴποιμι εὐπρεπῶς;), ὅσον μοναρχοῦντος καὶ στρατηγοῦ τὸ διάφορον (32)· οὐ γὰρ ἔφερες, εἰς τὸ μέγιστον τῆς τιμῆς ἀνηγμένος ὑπὸ Θεοῦ, καὶ ὄνομα εἰληφὼς τὸ ὑπὲρ πᾶν ἐν ἀνθρώποις ὄνομα, μὴ πολλῷ τῷ μέσῳ τὰ πρώην παρενεγκεῖν, καὶ καταλλήλως τῷ ἀξιώματι τοῖς πλεονεκτήμασιν ἐπιδοῦναι, ὥστε μὴ ἐλάττω φαίνεσθαι ταῦτα παρέχειν τοῦ σχήματος. Οὐκοῦν καλὸν ἂν εἴη καὶ λίαν προσῆκον μικρὸν ὅσον καὶ τούτων ἐφάψασθαι, καὶ τοῖς κοινοῖς ἡμῶν εὐτυχήμασι πρὸς τοσοῦτον εὐωχηθῆναι, ὅσον ὁ παρὼν ἡμῖν παραθήσεται, λόγος, εἴ γε μὴ τὰ μείζω καὶ τελειότερα παραθεῖναι δυνήσεται. C Οὐδὲ γὰρ, οὐ τοῦτο καθυπισχνεῖται (νεμεσάτω μηδείς), ἐπεί τοί γε οὐ μόνον κατὰ μίαν ἐρχομένας τὰς ἁπάντων φωνὰς οἶδεν ὑπερβαίνειν τὰ τοῦ βασιλέως· ἀλλ' οὐδ', εἰ πᾶσαι συνῆλθον εἰς ταυτὸν ὡς ἀπὸ συνθήματος, εἶπον ἂν ὥστε τὴν ἀξίαν σῶσαι· ὃ καὶ τοῦτο παντὸς θαύματος ἄξιον, μηδὲ δύνασθαι λέγειν τῇ γλώττῃ ἅπερ τοῖς ἔργοις αὐτὸς πράττων διωμολόγηται. Καὶ τεκμήριον τοῦ λόγου· πολλοὶ μὲν περὶ τούτων καὶ πρώην εἰσὶν εἰπόντες, καὶ νῦν ἄνδρες καλοὶ κἀγαθοὶ καὶ περὶ τὸ λέγειν δεινοί· οὐδεὶς δ' ὅμως εἰς τέλος τῶν προκειμένων ἐξίκετο. Μάλιστα μὲν οὖν ἀπεχρήσαντο τοῖς λόγοις ὡς ἐνῆν προσηκόντως, καὶ διὰ πάσης ἦλθον τῆς ἀκριβείας, ὅσον ἀνθρώπων δύναμις τέταται, πληρῶσαι δὲ τὴν ἀξίαν οὐδεὶς οὐδέπω δυνατὸς κατεφάνη, ὑπερκειμένων ἀεὶ τῶν πραγμάτων D καὶ τοὺς λόγους χαμαὶ βαίνειν ἐώντων. Ὅσον γὰρ ἐκεῖνα δυσέφικτα, τοσοῦτον καὶ τῷ λέγοντι τὸ ἀσθενὲς περιγίνεται. Χωρὶς δὲ τούτων, ὦ θεῖος τῶν παρεστώτων χορὸς, μικρὰ μὲν ὅταν εἴπω (33) τὰ ῥηθησόμενα, συγκρίνων αὐτὰ πρὸς τὴν ὅλην θάλασσαν τῶν καλῶν, λέγω μικρά· ἐπεὶ καὶ ταῦτ', εἰ καθ' αὑτὰ θεωροῖτο, μεγάλα τέ ἐστι, καὶ μέρος τούτων βραχὺ, μὴ ὅτι γε τὰ πάντα συνηθροισμένα, καὶ τοῦ μάλιστα φιλοτιμουμένου ἤρκεσεν ἂν εἰς ἔπαινον

A illud fortunam adversus nos pugnantem, sicut torrentis impetum repressit. Solus exstitisti qui rebus adversis obstare possis, et nullus de calamitatibus jam sermo fuit. Apparuisti, o magne sol, et inimicorum nubes, quæ adversum te coacervatæ fuerant, extemplo dissipatæ sunt, nec si prius conspiraverint cognoscitur. Sic tua gloria omnium Romanorum gloria facta est, sic et tuam fortunam bene omnia participaverunt.

Præclara sunt nimirum omnia quæ aliquis habet dicere antequam imperes, multo vero pulchriora et magis conspicua et omni sermone longe excelsiora, quæ dum imperabas egisti. Quæ antequam imperes dico? Honesta ducis facinora, adversus hostes certamina, præclaras victorias, insignaque tropæa, et cætera quæcunque egisti tum pugnando, tum deliberando, nocte dieque, in omni loco et tempore. Postquam autem sceptra tenuisti, tantum alios superasti (quomodo congruenter dixerim?), quantum inter imperatorem et ducem exercitus discrimen : non enim tolerasti, ad tantum honorem per Deum adductus, nomine super omne nomen inter homines accepto, te magno intervallo anteacta non superare et conjunctam dignitatem et decora non amplificari, ita ut ista non ipso habitu minora esse videantur. Pulchrum ergo essst hæc quoque paululum attingere et tantum prosperitates nostras gustare, quantum in medium præsens sermo afferet, siquidem majora et perfectiora afferre non poterit. Non autem non hoc pollicetur (nemo succenseat), si quidem non tantum singulatim prodientes omnium voces regis facinora superare valeant; sed neque, si omnes quasi ex signo in unum convenerint, dixissent ita ut dignitatem tueantur : illud est omni miratione dignum, quod non possim dicere lingua, quæ quidem operibus ille in agendo confitetur. Et verborum in testimonium : multi quidem de hisce rebus antea, et nunc viri clari bonique et dicendi solertes dixerunt : nullus autem rerum sublimitatem assecutus est. Maxime nimirum congrua, prout in illis erat verba fecere, et cum omni diligentia processerunt, quantum contendit humana facultas, dignitati vero adæquandæ nemo unquam idoneus exstitit, factis nempe semper præcellentibus et verba humi repere cogentibus. Quantum ista sunt accessus difficilia, tantum et sua dicenti innotescit imbecillitas. Præter his, o divina astantium corona, exilia esse cum dixi quæ narraturus sum hæc conferendo cum toto decorum flamine, pauca dico, cum illa, si seorsim examinentur, magna etiam sunt, et minimam illorum partem, non dico omnia congregata, nemo est qui perfecto laudare studeat : itaque non illud metuo, ne rebus audiendis, indigentes (non hoc cogitabit quisquam), sed potius ne cum

(32) Videtur nomen deesse, quod fuerit verbi ὑπερηκόντισας regimen. Chrysostomi Homil. IV, tom. I, p. 46.

(33) Respicit quod modo dixit.

OCR ABK / FR

stupore, vertigine laborantes, abeatis nausea et turbatione correpti.

Tu ergo, divinissime rex, ubi cum tali ac tanta gloria clarus clare perrexeris ad regalem speculam et imperium servaveris, imperium non minus propter te quam ex natura sua mirandum, non judicavisti te oportere deinceps a laboribus abstinere et auctoritatem ad vitæ facilioris institutum usurpare, neque etiam quæ tibi licebant aut agere aut expetere : hæc enim pusilli et animi et mentis esse existimasti; sed ex primordio res maxime regie intuitus, peragis opus revera tuæ sapientiæ et gratiæ cœlestis, quod et regi utique facere congruebat : sursum enim oculos animæ attollens et omnem regionem quam Romanorum auctoritatis circumscribant circuli diligenter, quantum in te erat, circum amplectens, non illos satis duxisti nec dixisti in illis tantum tuam sortem contineri, hoc et contentus, ut plerique ex his qui imperium occupaverunt, quod non etiam vicina gentibus urgerentur; sed nisi quam maxime regnum dilatares et oppugnares vexatores imperii, discrimen et discriminum maximum esse censuisti.

Hinc ergo aspicis Peloponnesum, aspicis Bœotiam, Eubœam illam, Atticam, antiquam Græciam; illinc ad Mysiam convertis oculos, gnarus aliquid nostrorum apud illos esse. Convertis rursus oculos super Asiam. Vides Ismaelis gnatos sævissime dominantes et valde opprimentes novum Israel, urbemque illam (sed ambignum est an tunc temporis urbem nominari deberet) Scytharum deserti præbentem speciem, et cognovisti quomodo erat, et videns ingemuisti, excogitans ad quantam necessitatem nostra devenerint, et nos esse plerisque portentum, ludibrium omnibus qui nobis circumstabant, et fabulam in gentibus. Vindictam non distulisti, illorum qui tibi erant adversaturi numerum statim suspicatus, nec tolerasti amplius tuam hæreditatem ab aliis videre occupatam, etiamsi tempus res ita se habere quam maxime coegerit, sed Deo confidens et simul pleraque negotia non tam numero quam prudentia et animi latitudine dijudicari ratus, adversus omnes vires convertisti et commune redintegravisti bellum, tria pulcherrima omnibus nominibus hinc significans, sapientiæ præstantiam, strenuitatis excellentiam, et, quod omnibus superest, confidentiæ in Deum securitatem. Sed quot urbes subjecisti, alias lege belli, alias statim deditionem facientes, quonammodo expurgasti Pelopis terram, quomodo in ditionem Laconiam adduxisti et Achaia potitus es, et Italos sicut petras timidas præsidia relinquere conatus es, cæteri dicunt et celebrant quicumque

A ἐντελῆ· ὥστ' οὐχ ὅπως ἀκουσμάτων ἐνδέως ἔχοιτε, τοῦτ' ἐγὼ δέδοικα (μὴ τοῦτο νομίσῃ τις), μάλιστα δ' ὅπως μὴ, μετ' ἐκπλήξεως ἰλιγγιάσαντες, ἀπίητε ναυτιασμῷ κατειλημμένοι καὶ ταραχῇ.

Σὺ μὲν οὖν, θειότατε βασιλεῦ, ὡς μετὰ τοιαύτης καὶ τοσαύτης τῆς χάριτος σεμνὸς σεμνῶς πρὸς τήνδε τὴν βασίλειον ἀνέδραμες σκοπιὰν, καὶ διεζώσω τὴν ἀρχὴν, τὴν οὐχ ἧττον διὰ σὲ ζηλωτὴν ἢ τῷ εἶναι ἀρχὴν, οὐκ ᾠήθης δεῖν ἐνταῦθά τε στῆναι τῶν πόνων καὶ τῇ ἐξουσίᾳ εἰς ῥᾳστώνης ὑπόθεσιν χρήσασθαι, παρὰ δὲ τῶν ἐνόντων μήθ' ὁδεῦσαι μήτε μὴν προθυμηθῆναι· ἀγεννοῦς γὰρ ταῦτα καὶ ψυχῆς ὑπέλαφες καὶ φρονήματος· ἀλλ' ἐκ προοιμίων μάλα βασιλικῶς διασκεψάμενος, ποιεῖς ἔργον τῆς σῆς σοφίας τῷ ὄντι καὶ τῆς ἄνωθεν χάριτος, ὃ καὶ βασιλεῖ παντὸς πράττειν ἁρμοδιώτατον· ὑψοῦ γὰρ τὸ τῆς B ψυχῆς ὄμμα διάρας, καὶ πᾶσαν ὅσην οἱ τῆς Ῥωμαίων ἡγεμονίας περιγράφουσι κύκλοι ἀκριβῶς, ὡς οἷόν τ' ἦν, περιειληφὼς, οὐκ ἠγάπησας τούτοις οὐδ' εἶπας μέχρι τούτων ἐπεκτείνεσθαί σου τὴν κληρουχίαν, ἀσπαζόμενος καὶ τοῦτο, κατὰ τοὺς πολλοὺς τῶν ἐπειλημμένων ἀρχῆς, εἰ μὴ ἔτι τὰ πέριξ στενοῖντο τοῖς ἔθνεσιν· ἀλλ', εἰ μὴ ἐπὶ πλεῖστον ὅσον ἐπεκτείναιο καὶ κατὰ τῶν ἀρχῆς ἐπεξίοις ἐπηρεαστῶν, δεινὸν καὶ πέρα δεινῶν εἶναι νενόμικας.

Ἔνθεν τοι καὶ βλέπεις Πελοπόννησον, βλέπεις Βοιωτίαν, τὴν Εὔβοιαν ἐκείνην, τὴν Ἀττικὴν, τὴν ἀρχαίαν Ἑλλάδα· ἐκεῖθεν ἐπὶ τὰ τῶν Μυσῶν μετατίθης (34) τὸ ὄμμα· ἔγνως εἶναί τι τῶν ἡμετέρων καὶ παρ' ἐκείνοις. Τρέπεις πάλιν ἔνθεν ἐπὶ τὴν Ἀσίαν τοὺς ὀφθαλμούς· ὁρᾷς τοὺς ἐξ Ἰσμαὴλ ἐμ- C βριθέστατα ἐπικειμένους καὶ μάλα τὸν νέον συνθλίβοντας Ἰσραήλ· πόλιν δὲ ταύτην (ἀλλ' ἀμφίβολον εἰ καὶ πόλιν ἔδει ὀνομάζειν τῷ τότε) τὴν Σκυθῶν ἐρημίαν (35) ἐμφαίνουσαν, καὶ ταύτην ἔγνως ὡς εἶχε, καὶ ἰδὼν ἤλγησας ἀναλογιζόμενος εἰς οἷον τέλος κατήντησε τὰ ἡμέτερα, καὶ ὡς ἐγενήθημεν τέρας τοῖς πολλοῖς, μυκτηρισμὸς τοῖς κύκλῳ ἡμῶν, καὶ παραβολὴ ἐν τοῖς ἔθνεσιν. Ἔνθεν τοι καὶ οὐκ ἀνεβάλου τὴν ἄμυναν, τῶν ἐναντιωθησομένων αὐτίκα ὑφορώμενος τὰς πληθῦς, οὐδ' ἔφερες ἐπὶ πλέον τὰ τῆς σαυτοῦ κληρονομίας ὑφ' ἑτέρων ὁρᾷν κατεχόμενα, κἂν ὅτι μάλιστα οὕτως ἔχειν ὁ καιρὸς κατηνάγκαζεν, Θεῷ δὲ πιθήσας (36), καὶ ἅμα ὡς οὐ τοσοῦτον τοῖς πλήθεσιν, ὅσῳ φρονήματι καὶ καρτερίᾳ ψυχῆς, τὰ πλείω κρίνεται τῶν πραγμάτων διανοηθεὶς, κατὰ πάντων ἐξέπεμπες τὰς δυνάμεις καὶ D κοινὸν ἀνεῤῥίπισας πόλεμον, τρία τὰ κάλλιστα πᾶσιν ἀνθρώποις ἐντεῦθεν παραδεικνὺς, τὸ περιὸν τῆς σοφίας, τὸ τῆς ἀνδρίας μέγεθος, καὶ, ὃ πάντων τῶν ἄλλων ἐπέκεινα, τὸ ἀσφαλὲς τῆς πρὸς Θεὸν πεποιθήσεως. Ἀλλ' ὅσας μέντοι πόλεων παρεστήσω τοὐντεῦθεν, τὰς μὲν Ἄρεος νόμῳ, τὰς δὲ καὶ προσπεσούσας αὐτίκα, ὡς ἐκάθηρας τὴν τοῦ Πέλοπος, ὡς προσεποιήσω τὴν Λακωνικὴν, καὶ τῆς Ἀχαΐας ἐκράτη-

(34) Quam innuat Michaelis expeditionem non bene comperi. Cæterum Mysi Byzantinis sunt plerumque Bulgari.

(35) Notum vel ex Apostolio proverbium.

(36) Sic codex. Scripsit, puto, πεποιθήσας auctor, ni voluerit poetice loqui, quod nunc intempestivum.

OCR ABK / FR

σας. Ἰταλοὺς δὲ τὰ φρούρια, ὡς πτῶκας τὰς πέτρας, ὑπελθεῖν παρεσκεύασας, λεγόντων ἕτεροι καὶ ὑμνούντων, ὁπόσοι καὶ γλῶτταν ἱκανοὶ, ὁπόσοις καὶ τὸ λέγειν ἐπέκεινα τῶν ἄλλων δεδώρηται· ἐμοὶ δὲ πρὸς τοσοῦτον πραγμάτων διανήξασθαι πέλαγος, βραχὺ καὶ τοῦτο περιφερομένῳ τοῦ λόγου ἀκάτιον, περιφανῶς αὔθαδές τε δοκεῖ καὶ ἔργον γέμον θρασύτητος. Πλὴν ἐκεῖθεν ἡμῖν εὐφροσύνης ἡμέρα καὶ πανήγυρις ἅπας ὁ βίος, καὶ διαμένει μέχρι τῆς δεῦρο αὐξόμενα τὰ ἡμέτερα, τὰ δὲ τῶν βαρβάρων εἰς ἀνάῤῥουν χωρεῖ, καὶ ἀκμάζει τὰ κατ' ἐκείνων δεινά· διὸ καὶ σπεύδουσιν ὡς ἐν νυκτὶ διάγειν τὸν βίον, μὴ ἔχοντες πρὸς τὰς σὰς ἀντοφθαλμίζειν φαιδρότητας· θῆρας ἂν εἴποι τις ἀνημέρους, μὴ φέροντας ὁρᾷν τὴν ἡμέραν αὐγάζουσαν, πρὸς δὲ τὰ βάθη τῆς ὕλης καὶ τὰς καταδύσεις ἐπειγομένους.

lingua pollent et eloquentia super omnes exornantur: mihi autem circa hæc sermones parvum cymbalum circumferenti, tantum rerum flumen perlustrare manifeste videtur opus insolens ac plenum temeritatis. Præterea nobis lætitiæ dies et tibi laus omnis vita, et hactenus res nostræ auctæ manent, Barbarorum vero res in præceps ruunt, et augescunt illorum angustiæ; itaque quærunt quasi in nocte degere vitam, quia tuos non possunt respicere splendores: feras diceres nocturnas, quæ non tolerantes diem illucescentem videre, in acta nemoris et latebras recedunt.

Καὶ γνοίη δ' ἄν τις τὸ ἀληθὲς, μόνον εἰ προσέχοι τὸν νοῦν. Πέρσαι, Λατῖνοι, Μυσοὶ, πρὸς τούτοις καὶ Σκύθαι, καὶ ὅσα τῶν ἐθνῶν μαχιμώτατα, ὁτὲ μὲν ἰδίᾳ ἕκαστον ἔθνος, ἦν ὅτε καὶ οἱ πάντες ἀθρόον ἐξ ἀνατολῶν, ἐκ δυσμῶν, ἐκ γῆς, ἐκ θαλάττης, ἐκ παντὸς μέρους, προσβάλλοντες, κατὰ πολλὴν ἄδειαν τὴν ἡμετέραν κατέτρεχον, καὶ ὥσπερ πληγή τις δυσίατος ταύτῃ ἐνέκειντο λυμαινόμενοι· τὸ δὲ κακὸν ἐπιμένον, τῷ χρόνῳ καὶ κραταιούμενον, τάχα, εἰ μὴ ἔστησας σὺ τοῦτο ἰσχὺν εἰληφὼς ἐκ Θεοῦ, ἐς ἔσχατον ἂν ἀφανισμοῦ παρήλασε τὰ ἡμέτερα. Ἀλλ' ἦν μέχρι τῆς σῆς ἀναδείξεως ταῦτα, καὶ ἡ νόσος μέχρι τότε κρατοῦσα ἐφαίνετο. Ἐπεὶ δὲ ἀνέσχες, καὶ πρηστῆρας μάλα φοβεροὺς ἁπανταχόσε ἠφίεις, οὔτ' ἔσχον ἄντην ἰδεῖν, καὶ ἡ ὑπόστασις αὐτῶν πρὸ προσώπου σου καλάμη τις ἦν πρὸς σπινθῆρα καὶ ἄνεμον (37). Τὴν δὲ σεμνὴν ταύτην πόλιν τὴν βασιλεύουσαν, καὶ ταύτην (ἀλλὰ δίκαιον ἂν εἴη μικρὸν ἀναχωρήσαντα περὶ ταύτης εἰπεῖν· ἐντεῦθεν γὰρ ἔσται κατιδεῖν ἐναργέστερον ὡς δαψιλέστερα τῷ ἡμετέρῳ βασιλεῖ τὰ τῆς ἄνωθεν ἥκει ῥοπῆς, ἀνθ' οὗ καὶ τὰ μεγάλα δρᾶσαι ὡς ῥᾷστα ἐργαζόμενος φαίνεται), καὶ ταύτην ἧς ὑπ' οὐρανὸν οὐκ οἶδ' εἰ καλλίστην εἶδεν ὁ ἥλιος, βασιλείων οὖσαν ἑστίαν, ἢ μᾶλλον Θεοῦ τε χωρίον ἐξαίρετον καὶ τέμενος ἱερὸν, συνέβη, κατὰ νόμον τῆς ἀνθρωπίνης τύχης, ὑπὸ χεῖρας βαρβάρων ἐλθεῖν.

Et cognosceret aliquis veritatem, si tantum animo intendat. Persæ, Latini, Mysi et insuper Scythæ, et quæcunque gentes bellicosissimæ, sive singula natio privatim, sive omnes conjunctæ ex oriente, ex occidente, e terra, e mari, ex omni regione irruentes, magna securitate terram nostram oppugnaverunt, et, veluti aliqua plaga insanabilis, illi adhæserunt infesti: quod malum stabile quidem ac tempore roboratum, celeriter, nisi tu ad illud inhibendum viros a Deo suscepisses, ad extremam perniciem nostra adduxisset. Hæc erant usquedum electus fueris, et morbus invalescens videbatur. Postquam autem apparueris, vexatores maxime timendos plane dimittens, non potuerunt te contra intueri, et illorum audacia, ante faciem tuam, erat quasi stipula ad scintillam et ventum. Præclaram autem illam civitatem, in quam regnas, et illam (sed æquum esset paululum digredi ut de ea loquar: exinde enim videre erit apertissime quam copiosiora ex cœlo meo regi occurrerunt præsidia, propter quod et in magnis faciendis incumbere facillime videtur) et illam, qua sub cœlo an sol pulchriorem videat nescio, cum sit regnum sedes et præsertim Dei oppidum electum et sanctum sanctuarium, accidit juxta humanæ sortis leges in manibus Barbarorum cecidisse.

Καί γε μηδεὶς ὑπ' αἰτίαν τοὺς πατέρας ποιείτω, μηδὲν ἰσχύσαντας φυλάξαι τοιαύτην, οὖσαν τὴν ἑαυτῶν· οὐδὲν γὰρ πρὸς ἐκείνων τῶν ξυμβάντων, οὐδὲν, οὐδ' ἡ τῶν ἐνοικούντων ἀσθένεια πρόξενος τοῦ δυστυχῆσαι τὴν πόλιν ἐγένετο. Ἀλλὰ πᾶς τις εἰς ταύτας ἐννοίας ἐρχόμενος, εἰδὼς ὡς οὐδὲν τῶν ἐν ἀνθρώποις ἀκίνητον οὐδὲ βέβαιον, ἴδιον δὲ τοῦ θνητοῦ γένους αἱ μεταβολαὶ, καὶ παγιότης τὸ μηδὲν εἶναι πάγιον, καὶ ἄνθρωπος Θεοῦ παίγνιον, εἰ θέμις εἰπεῖν κατὰ Πλάτωνα, στρεφόμενός τε καὶ μεταστρεφόμενος ὡς τῷ στρέφοντι βουλητὸν, συγγνώμην τε τοῖς προγόνοις ἐχέτω, καὶ ὡς ἁλωθῆναί ποτε καὶ ταύτην ἔδει ἀναγκαῖον εἶναι δεχέσθω· ἀνθρώπους γὰρ ὄντας μὴ πεῖραν λαβεῖν ποτε καὶ τῶν μὴ κατὰ γνώμην ἀδύνατον. Τοιγαροῦν καὶ κάμπτεται ἀναγκαίως ἡ βασιλὶς, καὶ γίνεται χειρῶν βαρβαρικῶν

Et ne quisquam illud crimini vertat patribus, qui eam, cum illis erat servare, non valuerunt: nihil enim ex his quæ eis evenerunt, nihil, ne incolarum quidem imbecillitas auctor fuit urbem infaustam exstitisse. Sed quicunque hoc sibi in animum induxit, reputans nil esse incommutabile nec firmum, proprium vero mortalis generis esse mutationes, et stabilitatem nil esse stabile, atque hominem Dei ludibrium, si Platonicis verbis uti liceat, quod vertitur et convertitur, prout vertenti libeat, veniam det majoribus, et illam quandoque cecidisse necessariam fuisse censeat: homines enim non aliquando res contra voluntatem experiri nullo pacto fieri potest. Itaque necessario fatiscit regina civitas, et fit Barbarorum supervacua merces et obcæcatione læditur orbis oculus, aut, ut

(37) Respicere potuit Psalm. LXXXII, 13: Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχὸν, ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου. Est etiam ὑπόστασις αὐτῶν locutio in Bibliis frequens.

rectius loquar, vertex terræ quæ sub cœlo jacet A ejicitur, et pereunt omnes civitates sive in continente, sive in medio mari, quascunque incolunt homines : et perturbatio et confusio et innovatio, et si quid aliud præter opinionem sit, invadit omnia ; et cœlum ex alto, ut opinior, cruentas mittit stellas, et gemit astrorum chorus, et tenebras luna, flentium more, subit, et sol frigidos super terram radios emittit, aut, ut rectius loquar, non emisit omnino, commotus et ipse clade civitatis : insuper mox terra immugit, aer quasi tristis alte infuscatus est, et mare extra solitum æstuavit, quasi calamitatem nostram non sustineat, contendens ad alium locum ac quem occupat transmigrare : non enim tolerabile erat terræ ornamentum tali fortunæ esse obnoxium, nec videbatur, B civitate periclitante, aliquid et quod inter homines solita sunt, evenire : cæterum oportebat illud et rem impellebat quædam necessitas, qua nil dicunt esse violentius ; et reipsa accedit. Postquam in desolationem subito, juxta Psalmi verba, civitas incidit, et nihil ex his quæ in ea erant mansit, ubi fuit, perturbatione qua illam in pejus egit perturbata est ; et illa templa, quibus pulchriora nec oculi unquam videre, nec auditus audire, imo nec animus fingere non valerent, directa fuerunt ; ædes publicæ ac populares, quæ animum spectatoris splendore pascebant, stratæ fuerunt ; lavacrorum luxuria et varietates porticuum qui undique urbem dividebant, atque septa et fori species humi corruerunt ; nihil reliquum est videre nisi rudorum tumulos, qui inducunt hic fuisse civitatem co- C gitare. Postquam ita se res habuerunt, tuum opus erat a cœlo destinatum, et honor urbem primum instaurare et ad pristinum reddere statum. Oportebat sane in regalium rerum ditionem venisse, et throno regio insedisse qui ante tempora innumerabilia ad hoc prædestinatus est, et simul quod nuper in sermone dixi, scilicet te regiæ potestatis unguento unicum fuisse, ut non quilibet homo, manifestum bene est et salvum veritate.

Et præterea ipsa facta verborum confirmarunt veritatem. Regum enim qui priusquam tu exstiterunt, alii incolebant civitatem, atque divitiis et copiis innumeris et omnibus quæ ad bellum in- D serviunt diffluentes, invasiones faciebant et incursiones, et in ditionem aliquam gentem redigebant ; et quidem hæc agebant qui maxime omnium operibus inflati sunt : alii vero, habitabant et illi eamdem ac ei civitatem, sed non volebant quidquam aut agere aut excogitare, illud satis esse

A παρανάλωμα, καὶ πήρωσιν ὁ τῆς οἰκουμένης δέχεται ὀφθαλμὸς, ἢ μᾶλλον εἰπεῖν, ἡ κορυφὴ τῆς ὑπ' οὐρανὸν ἀφαιρεῖται, καὶ νεκροῦται ὅσα τῶν πολισμάτων εἴτε κατ' ἤπειρον, εἴτε καὶ κατὰ μέσην θάλατταν ἔχουσιν ἄνθρωποι, καὶ ἀταξία καὶ σύγχυσις καὶ καινοτομία, καὶ εἴ τι ἕτερον τῶν παραδόξων, καταλαμβάνει τὸ πᾶν· καὶ οὐρανὸς ἄνωθεν, ὡς οἶμαι, αἱματηρὰς πέμπει σταγόνας (38), καὶ χορὸς ἀστέρων θρηνεῖ, καὶ σκότος ἡ σελήνη νόμῳ πενθούντων ὑπέρχεται, καὶ ὁ φωσφόρος στυγνὰς κατὰ γῆς ἀκτῖνας ἀφίησιν, ἢ, μᾶλλον εἰπεῖν, οὐδ' ἀφῆκεν ὅλως, πεπονθὼς καὶ αὐτὸς πρὸς τὸ πάθος τῆς πόλεως· ἐφ' οἷς τάχα καὶ γῆ μὲν ἐμυκήσατο, ἀὴρ δὲ ὥσπερ κατηφιῶν ἐς βάθος τεθόλωτο, καὶ θάλασσα παρὰ τὸ εἰωθὸς ἐπωρίνετο, ὥσπερ μὴ δυναμένη πρὸς τὴν συμφορὰν (39), πρὸς δὲ τόπον ἕτερον, ἀνθ' οὗπερ B ἔχει, μεταναστεῦσαι φιλονεικοῦσα· οὐδὲ γὰρ ἦν ἀνασχετὸν τὸ ἄγαλμα τῆς οἰκουμένης ὑπὸ τοιάνδε τύχην ὁρᾷν, οὐδ' ἐδόκει τι τῶν κατ' ἀνθρώπους εἰωθότων συμβαίνειν, ἁλισκομένης τῆς πόλεως· πλὴν ἔδει γενέσθαι, καὶ ἀνάγκη τις ἐκίνει τὸ πρᾶγμα, ἧς οὐδὲν φασὶ βιαιότερον· καὶ μέντοι καὶ γέγονεν. Ἐπεὶ δ' ἐγένετο καὶ εἰς ἐρήμωσιν ἐξάπινα, ψαλμικῶς εἰπεῖν, τὰ τῆς πόλεως ἦλθε, καὶ οὐδὲν τῶν ἐν αὐτῇ μεμένηκεν ἐφ' ᾧπερ ἐτύγχανε, κίνησιν δὲ τὰ πάντα κεκίνητο τὴν ἐπὶ τὸ χεῖρον, καὶ ναοὶ μὲν ἐκεῖνοι, ὧν καλλίω οὔτ' ὀφθαλμοὶ οὐκ ἔσχον ἰδεῖν οὐδαμοῦ, οὔτ' ἀκοὴ ἀκοῦσαι, ἀλλ' οὐδὲ νοῦς ἀναπλάσασθαι, κατεστράφησαν, οἰκοδομαὶ δὲ δημόσιαί τε καὶ δημοτικαὶ, ἑστιῶσαι καὶ τὸν θεατὴν τῇ φαιδρότητι, κατεβλήθησαν, λουτήρων δὲ ἁβρότητες καὶ C ποικιλίαι στοιῶν ἁπανταχοῦ μεριζομένων τοῦ ἄστεος, καὶ περίβολοι, καὶ ἀγορᾶς σχῆμα, κατὰ γῆς ἤχθησαν, ἀπολέλειπτο δὲ μόνον ἐρειπίων ὁρᾷν κολωνοὺς (40), πόλιν εἶναί ποτε ταῦτα συλλογίσασθαι παρεχομένους· ἐπειδὴ οὕτω ταῦτ' ἔσχε, σὸν ἦν ἔργον ἄνωθεν ἀποτεταμιευμένον, ἀξίωμά τε τὸ πρῶτον τὴν πόλιν ἀναλαβεῖν καὶ πρὸς τὴν ἀρχαίαν γενέσθαι κατάστασιν. Ἐχρῆν γὰρ ὡς ἀληθῶς καὶ τῶν βασιλείων ἐν κατασχέσει γενέσθαι καὶ τοῦ θρόνου καθίσαι τῆς βασιλείας (40*), ὃς καὶ πρὸ χρόνων ἀπείρων εἰς τοῦτο προώρισο· καὶ ἅμα ὁ πρὸ μικροῦ μοι λόγος ῥηθεὶς, σὲ τῷ τῆς βασιλείας μύρῳ χρισθῆναι ὡς οὐδεὶς ἀνθρώπων οὐδέποτε, δῆλός ἐστιν ἔχων καλῶς καὶ ἀληθείᾳ σωζόμενος.

Καὶ δὴ αὐτά μοι τὰ πράγματα τῶν λεγομένων ἐπικυροῖ τὴν ἀλήθειαν. Βασιλεῖς γὰρ οἱ πρότερον ἢ σὲ φανῆναι, οἱ μὲν τὴν πόλιν κατεῖχον, καὶ πλούτῳ D καὶ στρατευμάτων μυριάσι, καὶ τοῖς ὅσα πρὸς πόλεμον τελεῖ, βρίθοντες, ἐξελεύσεις ἐποιοῦντο καὶ καταδρομὰς, καὶ κατεδουλοῦντό τινα τῶν ἐθνῶν, καὶ ταῦτ' ἐποίουν οἱ μάλιστα τῶν ἁπάντων ἐπ' ἔργοις φρονήσαντες· οἱ δὲ, ᾤκουν μὲν καὶ οὗτοι τὴν αὐτὴν ἐκείνοις πόλιν, ἦσαν δ' ὅμως παρὰ τοῦτο μηδὲν μήτε πράττειν μήτε διανοεῖσθαι δυνάμενοι, ἀγαπητὸν

(38) Respectu, puto, ad Homeri locum *Iliad.* π. 458 : Οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε, Αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε, Παῖδα φίλον τιμῶν

(39) Sic codex. Locus non est integer. Suppleri potest, dum codex melior reperiatur, πρὸς τὴν συμφορὰν ἰδεῖν. Conjecturam firmant quæ sequuntur.

(40) Similia de eadem re verba Nicephori Greg. IV, 2 : Ἦν μὲν οὖν ἰδεῖν τὴν βασιλεύουσαν τῶν πόλεων πεδίον ἀφανισμοῦ, μεστὴν ἐρειπίων καὶ κολωνῶν.

(40) Dubito de hac voce an bene eam legerim. Forsan, βασιλίδος Codex, ut videtur, βασίλας.

OCR ABK / FR

ἡγούμενοι καὶ τοῦτο, εἰ μὴ τῶν ἐνόντων ἐκπίπτοιεν. A Ἦσαν δ' οἵτινες (τρίτη τάξις αὕτη τῶν τῆς βασιλίδος κεκρατηκότων), οἳ οὐδ' αὐτὸ τοῦτο φυλάξαι δεδύνηντο, ἐφ' ὧν ἥλω τὸ κεφάλαιον τῆς ἀρχῆς, καὶ κατεχόρευσαν βάρβαροί τινες καὶ Ἀσσύριοι τῆς νέας Σιὼν, καὶ ἔκπτωσιν ἡμεῖς ἀπρεπῆ ἐπεπόνθειμεν. Οἱ δὲ μετ' ἐκείνους ἄνδρες ἀρειοὶ γεγονότες, καὶ πολλοὺς πολλάκις διενεγκόντες πολέμους καὶ ὑπερσχόντες, ὥσπερ ἐν ὑπερορίᾳ κρατεῖν μὴ ἀνεχόμενοι, πολλὰ μὲν διεπύκτευσαν πρὸς τὴν καταγωγὴν στρατευόμενοι, μηχανώμενοι, ἐπιχειροῦντες, ἐκ γῆς, ἐκ θαλάττης, ἐκ τόπου παντὸς καὶ τρόπου, δρᾶσαι δὲ τέως τῆς προθυμίας ἐπάξιον οὐδὲν οὐδόλως ἐξίσχυσαν. Τὸ δὲ σὸν, ὁποῖον; Ἔκπληξις ἀτεχνῶς καὶ πέρα θαύματος τὸ γενόμενον, ὥστ' οὐδ' ἔχει πρὸς ὅπερ ἂν καὶ συγκρίνοιτο. Παρεστήσω πόλιν, μεθ' ὅπλων B μὲν, πλὴν αἱμάτων χωρὶς, καὶ πόλιν ἣν οἱ μὲν τῶν ἄνω βασιλέων κατέχειν, οἱ δὲ κατασχεῖν (41) οὐκ ἠδύναντο, καὶ κρατεῖς ἄστεος ὅπερ ἐκεῖνοι ἀπώλεσαν, καὶ δίδως παρ' ἐλπίδα Ῥωμαίοις τρυφᾷν τὰ τῆς βασιλίδος καλὰ, ὧν ἐξόριστοι πολλῶν ἤδη χρόνων ἐτύγχανον.

Καὶ οὐ μόνον γε τοῦτο, ἀλλὰ καὶ τὸ ἴδιον σχῆμα καλῶς τῇ σῇ προνοίᾳ ἡ πόλις ἀνέλαβε, καὶ ὁ περίβολος μάλα σεμνῶς ἀνεσώθη, καὶ μονονοὺ, « Πόλις εἰμὶ καὶ αὖθις διὰ σὲ, » βοᾷ βασιλὶς, « ὃν ἀπώλεσα κόσμον ἀναλαβοῦσα φαιδρότερον, καὶ τὴν στεφάνην ἐπιθεῖσα τῇ κεφαλῇ, ἣν ὁ χρόνος ὁμοῦ καὶ χεῖρες ἀνόμων εἰς ἐδάφη κατήρειψαν. » Ὅθεν καὶ, εἰ μὴ τῷ ἑτέρῳ, ἕν γε τέως τῇ βασιλίδι μυρία σου τῆς μεγαλοψυχίας γνωρίσματα. Τῆς δέ σου περὶ τὸ θεραπεύειν τὸ θεῖον θερμότητος πολλὰ μέντοι καὶ ἄλλα C τεκμήρια, θείων ναῶν ἁπανταχοῦ τῆς Ῥωμαίων ἀνοικοδομαὶ, ξένων καταγωγαὶ, νοσούντων ἐπιμέλειαι, ἀσθενῶν ἰατρεῖαι, κἀπὶ τῇ σφῶν θεραπείᾳ πρόσοδοι ἀφοσιούμεναι, οὐχ ἧττον δὲ δή που καὶ τῶν φροντιστηρίων καὶ ἀσκητηρίων, ὅσα γε δὴ καὶ κατὰ πόλεις καὶ ἐν ἐρημίαις ἀνήγειρας, τὰ μὲν ἀνδράσιν ἀνειμένα Θεῷ καθιερωθεῖσι καὶ ἀποστᾶσι τῶν ὑλικῶν, τὰ δὲ γυναιξὶ νυμφευθείσαις Χριστῷ τῆς τε ψυχῆς προκοπὴν καὶ παρθενίας συντήρησιν, αἳ δήπου καὶ κόσμου καὶ τῶν ἐν κόσμῳ ἑαυτὰς ἠλλοτρίωσαν. Ἐῶ δὲ λέγειν ἀντιλήψεις ἀπορφανισμένων, παρθένων ἀπόρων προικοδοτήσεις, ἐνδεῶς ἐχόντων βίου πλουτισμοὺς, καὶ τἄλλα ὅσα καὶ οἷα εἰς ἀπαλλαγὴν παντὶ τῶν λυπούντων οἰκονομεῖται, καὶ ὅπως μὲν ἐπ' εὐποιίᾳ δαψιλέστερον νάουσιν οἱ ποταμοὶ D σου τῶν θησαυρῶν, ὅπως δ' ἐντεῦθεν πᾶς τις ἐντυγχάνειν διεγείρεται ὑπὲρ σοῦ τῷ Θεῷ, τὴν δὲ περὶ τὸ ὑπήκοον ὅπως τε σώζοιτο πρόνοιαν, τὴν δὲ σπουδὴν ὅπως μὴ παρὰ τῶν ἐχθρῶν πολλῶν ὄντων λυμαίνοιτο, τὴν κατὰ πάντα χρόνον φροντίδα καὶ μέριμναν ὅπως τ' ἐπιδιδοίη καὶ προκόπτοι ἐπὶ τὸ βέλτιον, ἀνθ' ὧν καὶ οὐ δίδως ὕπνον τοῖς ὀφθαλμοῖς, δι' ἐρεύνης τὴν ἡμετέραν ἔχων ἀνάπαυσιν.

Καὶ ταῦτα δὴ πάντα τίς ἂν εἴη λέγων πρὸς ἀξίαν εἰπὼν, ἢ ποῖος νοῦς, ἐς ὅλον περιλαβὼν, ἀποχρών-

rati, quod non a potentia exciderent, erant autem quidam (tertius ordo ille est eorum qui res regere civitatis occupavere), qui non hoc ipsum servare potuerunt, quibus caput imperii ereptum est, et exsultaverunt Barbari quidam et Assyrii novæ Sion, et eversionem indignam nos passi sumus. Qui post illos viri bellicosi exstiterunt et multa sustinuerunt prælia et vicerunt, quasi non tolerantes in exilio imperare, multa ad reditum tentavere, tum militando, tum machinando, tum moliendo, ex terra, ex mari, et omni loco et modo, facere vero quidquam dignum eorum alacritate utique non valuerunt. Tuum vero opus, quale est? Stupor certe incutit et est supra admirationem, ita ut nihil habeat cui conferatur. Subegisti civitatem, per arma quidem, sed sine sanguine, et civitatem quam pristinorum regum alii retinere, alii occupare non potuerant, et occupas urbem quam isti perdiderunt, et das præter existimationem Romanis splendoribus delectari reginæ civitatis, e quibus extorres longo abhinc tempore fuerunt.

Et non hoc solum quidem sed etiam propriam speciem tua providentia urbs eximie resumpsit, et septum gloriosissime restitutum est, et fere « Urbs per te sum rursus, » clamat regina civitas, « decore ornata quam perditum splendidiore, et positam capiti habens coronam, quam tempus simul ac manus iniquorum humi dejecerant; » itaque, etiamsi non alias forent, in Urbe-regina millia sunt tuæ magnanimitatis indicia. Tui vero in Deo colendo ardoris exstant et cætera multa testimonia, templa divina ubique Romanorum terræ restituta, extraneorum hospitia, ægrotantibus curæ datæ, infirmi sanati, non minus ac conventus et monasteria quum in urbibus, tum in desertis erecta, quorum alia commisisti viris Deo consecratis et a terrestribus alienis, alia autem mulieribus nuptis Christo ad animam perficiendam et custodiendam virginitatem; quæ a mundo et rebus mundanis seipsas segregaverant. Omitto autem dicere orphanorum adoptationes, virginum inopum dotationes, victu indigentibus facultatum condonationes, et cætera omnia quæ ad vitæ conversionem afflictis omnibus distributa fuerant, et quomodo per beneficentiam copiosius manant divitiarum tuarum flumina, quomodo exinde pro te Deum deprecari quisque movetur, tuam ad populum servandum providentiam, tuam ne a multis inimicis sit infestatus sollicitudinem, cogitationes et curas diuturnas ut ad meliora augescat et proficiat, propter quæ non das somnum oculis, nostram perquirens tranquillitatem.

Et hæc omnia quis enarrans condigne enarraret, aut qualis mens, satis immensa, convenienter

(41) Subtilius aliquid discriminis ponit nunc inter κατέχειν et κατασχεῖν, quorum illuc esse videtur *occupare*, hoc *retinere*, vel illud *retinere*, hoc *occupare*. Forsan locus est leviter corruptus.

OCR ABK / FR

lingua exprimere daret, cum te regnante, nostra ad tantam potestatem pervenerunt, ut bellum exoptent milites; bellum autem videre nequeant, et, si oporteat illud quandoque sustinere, super terra hostium non super nostra sustinatur. Nonne agmina nostra in hostili terra? nonne exercitus qui eam nutu ferunt et agunt? Nonne Romanis præsidia quæ stant in Barbarorum plaga, quæ et illorum usquequaque retundunt impetus? Ex hoc fit ut non quomodo tibi adversabuntur sicut prius attendant, sed quomodo in agendo te benevolo et clementi utantur. Et ergo videre est Latinos, pro illorum superbia et arrogantia, in civitate obsessos et captos et nihilo humiliores, Scythas subjectos, Moysos deditos, Persas et Medos ad exorandum venientes et genibus procumbentes, cum servili et habitu et animo, omnem gentem et hominum genus tibi morem gerentes et, quasi meliorem quamdam fortunam, sub te vivendo occasionem accipientes. Quapropter gens nostra, quasi unico ore uteretur, vehementius quam turba dicit et celebrat felicitatem, et tuum imperium, per quod ad illam provectus est, æternum manere deprecatur: non enim necessitate, rex, sed amore tibi obtemperat, nec coacta curvatur, sed tui tui studio vincta, nutui tuo obsequitur. Itaque munita et ab omni dolo tuta tibi asservatur regia potestas: non enim potest, non potest imperium firmius inveniri quam imperium amore fundatum; et satis magna est custodia regi subjectorum amor. Idcirco nimirum omnia quæ vis, jussu tuo, conficiantur et multo expeditius, ut est in proverbio, quam si quis chordam præstringeret, et siquid fieri oporteat, indicare satis est, et factum est: hinc ostendant quonam modo et cum quanto amore imperiis oportet subjacere.

Sic, rex, pulcherrime et congruentissime tu illorum perfrueris obedientia, illi vero felice tua fortuna et cæteris quæcunque, ex alto roboratus, quotidie videris facere, dicere, agere, deliberari, consulere, omnia operari. Non enim alia est tibi opera quam ut nostra bene habeant invigilare, nec gaudium extra subjectorum felicitatem, nec post eam lætitia, et fere operibus clamas: Propria regis virtus, negligere et sua, si oportuerit ad subjectorum utilitatem. »

At cum eo usque sermonis progressus sum, desidero rem in memoriam reducere, quod regis sollicitudinis maxime est indicium, et in omne sermone ac scripto ostendi et recenseri æquum foret.

Cum periculo conjuncta erat eruditio, et (o periculum ingens) ipsa jam perierat eruditio: quæ res post hominum memoriam non evenerat hactenus. Omnis ars, accurata disciplinarum cognitio, humanum reliquerat genus. Imperitia invaserat hoc

A τως τῇ γλώττῃ διηγεῖσθαι παρέχοι, ὁπόταν ὑπὸ σοὶ προμηθεῖ ἐς τοσοῦτον ἰσχύος ἧκε τὰ καθ' ἡμᾶς, ὥστε πολέμου μὲν ἐρᾷν τοὺς τῶν ὅπλων, πόλεμον δὲ μὴ ἔχειν ἰδεῖν, κἂν δέῃ τοῦτόν ποτε χρόνῳ συστῆναι, ἐπὶ τῆς τῶν ἐχθρῶν, οὐκ ἐπὶ τῆς ἡμετέρας συνίστασθαι. Ἢ οὐχὶ λόχοι ἐπὶ τῆς πολεμίας ἡμέτεροι; οὐ στρατεύματα φέροντα ταύτην καὶ ἄγοντα κατὰ βούλησιν; οὐ φρούρια Ῥωμαίοις ἐπὶ τῆς τῶν βαρβάρων ἱστάμενα, πανταχόθεν αὐτοῖς τὰς ὁρμὰς ἀποκλείοντα; ἐφ' οἷς οὐχ ὅπως ἐκεῖνοι μαχέσονται καθὰ καὶ πρότερον σκέπτονται, ἀλλ' ὅπως τι πράξαντες εὐμενοῦς σου καὶ ἵλεω τύχωσι. Καὶ γοῦν ὁρᾷν ἔστι Λατίνους ἀντὶ τῶν μεγαλαύχων ἐκείνων καὶ ἀγερώχων πολιορκουμένους καὶ πορθουμένους καὶ τίνος οὐ ταπεινοτέρους, Σκύθας ὑπείκοντας, Μυσοὺς προσερχομένους, Πέρσας καὶ Μήδους εἰς ἱκετείαν βαδίζοντας B καὶ γονυπετοῦντας μετὰ δουλικοῦ καὶ σχήματος καὶ φρονήματος, πᾶν ἔθνος καὶ γένος ἀνθρώπων ὑποπίπτοντας καί, ὥσπερ ἄλλο τι χρηστότερον ἕρμαιον, τὸ ὑπὸ σοὶ τελεῖν καθαρπάζοντας. Ὑπὲρ ὧν τὸ ἡμέτερον φῦλον, ὡς ἑνὶ κεχρημένον τῷ στόματι, χοροῦ ἀκριβέστερον φθέγγεται καὶ πανηγυρίζει τὴν εὐδαιμονίαν, καὶ τὴν σὴν ἀρχήν, δι' ἣν ἐς ταύτην ἀπήντηκε, μένειν εἰς αἰῶνα ἐπεύχεται· οὐ γὰρ ἀνάγκῃ, βασιλεῦ, ἀλλ' εὐνοίᾳ τυγχάνει δουλούμενον, οὐδὲ καταδυναστευόμενον ὑποκλίνει, ἀλλὰ πόθῳ σοι δεδεμένον ὑπηρετεῖ σου τῷ νεύματι. Ἀνθ' οὗ σοι καὶ ἐχυρὰ καὶ δόλου παντὸς ὑπεράνω τὰ τῆς βασιλείας φυλάττεται· οὐ γὰρ ἔστιν, οὐκ ἔστιν ἀρχὴν ἰσχυροτέραν εὑρεῖν τῆς εὐνοίᾳ τειχιζομένης, καὶ ἀποχρῶσα φυλακὴ βασιλεῖ τῶν ὑποτεταγμένων ἡ C εὔνοια. Δι' ἃ δὴ καὶ τελεῖται πᾶν ὃ ἂν ᾖ βουλομένῳ σοι ἐξ ἐπιτάγματος, εἴτε καὶ νεύματος, καὶ πολλῷ γε ῥᾷον ἤ, κατὰ τὴν παροιμίαν, ψήλειέ τις χορδήν, κἂν δέῃ τι γενέσθαι, ἀπόχρη δόξαι, καὶ πέπρακται, ἐν τούτῳ δεικνύντων τίνι ποτὲ τῷ τρόπῳ καὶ μεθ' ὅσης χρὴ τῆς εὐνοίας ταῖς ἀρχαῖς ὑποτάσσεσθαι.

Οὕτω, βασιλεῦ, κάλλιστά τε καὶ ἁρμοδιώτατα σὺ μὲν ἐκείνων ἀπολαύεις τῆς εὐπειθείας, ἐκεῖνοι δ' αὖ τῆς ἀγαθῆς σου τύχης, καὶ τῶν ἄλλων ὁπόσα ῥωννύμενος ἄνωθεν καθ' ἑκάστην φαίνῃ ποιῶν, λέγων, πράττων, συμβουλεύων, σκεπτόμενος, πᾶν ὁτιοῦν ἐργαζόμενος· οὐ γὰρ ἄλλο τι σὸν ἔργον, ἢ ὅπως ποτὲ πάθοι καλῶς τὸ ἡμέτερον, οὐδ' εὐφροσύνη παρὰ τὴν εὐημερίαν τῶν ὑπηκόων, οὐδέ τις μετὰ ταύτην διάχυσις, καὶ μονονοὺ τοῖς ἔργοις βοᾷς· D « Αὕτη βασιλεύοντος ἀρετή, ἀμελεῖν καὶ τῶν καθ' αὑτόν, εἰ δεήσειε, πρὸς τὴν τῶν βασιλευομένων ὠφέλειαν. »

Ἀλλ', ἐνταῦθα τοῦ λόγου γενόμενος, ποθῶ τινος εἰς μνήμην ἐλθεῖν, ὅπερ καὶ τῆς κηδεμονίας ἔτι μάλιστα τοῦ αὐτοκράτορος γνώρισμα, καὶ παντὶ τῷ περὶ λόγους καὶ γραφῇ διδόναι καὶ διηγήσασθαι δίκαιον.

Κίνδυνος (ὤ! πῶς ἂν εἴποιμι τοῦτ' ἀνεκτῶς;) κίνδυνος εἶχε τοὺς λόγους, καὶ ὁ κίνδυνος ὅσος! Παίδευσις κατελύετο, πρᾶγμα οὔπω γεγονὸς ἐξ αἰῶνος· τέχνη καὶ μαθημάτων ἀκρίβεια ἐξ ἀνθρώπων ἦσαν· ἀνεπιστημοσύνη κατεῖχε τὸ πᾶν, καὶ τύχη

OCR ABK / FR

τις ἄλογος ἐπεχόρευε· λόγων δὲ σπέρματα καὶ σπινθῆρα, ὡς εἰπεῖν, μαθημάτων ἦν ὁρᾷν σωζόμενα οὐδαμοῦ, ὅτι μὴ παρὰ τῷ σῷ λογοθέτῃ (42), οὐ μέγα δ' εἰπεῖν, καὶ καθ' ἡμᾶς Ἀριστοτέλει, εἴτε καὶ Πλάτωνι, ἢ ὅπως ποτὲ τούτοις παραπλησίως τὸν ἄνδρα βούλοιτό τις καλεῖν, ἢ, ἵνα διέλω σαφέστερον, ὃν Ἀριστοτέλην νομίζειν χρεὼν, οὐδὲν ἐκείνου ἀπολειπόμενον, ὅταν τι δέῃ τῆς λογικῆς ἐπιστήμης ἢ τῆς τῶν φυσικῶν ἀποφήνασθαι, Πλάτωνα δὲ θεολογοῦντα καὶ κατὰ μοῦσαν φθεγγόμενον Ἀττικὴν, παρ' ᾧ μόνῳ, καὶ κατ' αὐτὸν Πλάτωνα φάναι, σαφῆ τε καὶ στρογγύλα καὶ ἀκριβῶς ἕκαστα τῶν ὀνομάτων ἀποτετόρνωται (43). Οὗτος καὶ γὰρ μόνος ἐλείπετο, ἢ τἀληθέστερον εἰπεῖν, ἐταμιεύετό σοι μετὰ τῶν ἄλλων καλῶν ἐκ Θεοῦ, ἔσχατος μὲν τῷ χρόνῳ μεθ' ὅσοι σοφοὶ πεφηνὼς, τοῖς πρώτοις δὲ συνεισάγεσθαι δίκαιος, παιδεύσεως εἰς ὢν (44) ἅπαν εἶδος συναγηοχὼς, καὶ διὰ πάντων εὐδοκιμῶν, ὡς ἐν οὐδενὶ πρὸς οὐδένα καταδέχεσθαι σύγκρισιν.

A universum, dominabaturque fortuna omnis expers rationis, ubique exsulabant scientiarum semina, et, ut sic dicam, fomites disciplinarum, nusquam erant reliqui, unum logothetam excipio (absit dicto invidia), sive quis Aristotelem eum, sive Platonem, sive alio simili appellare velit nomine; aut, ut planius distinguam, quem recte Aristotelem vocaveris, ut qui nulla in parte quidquam huic concessit, quoties in logica physicave aliquid exponendum esset] scientia; Platonem vero, quoties theologum ageret Atticæque elegantiam exprimeret musæ: apud quem unum, ut cum ipso loquar Platone, verba singula et perspicua et rotunda, et ad amussim quamdam quasi facta sunt. Solus enim hic tum superabat, aut, ut loquar verius, cum B bonis aliis tibi a Deo quasi promicondo datus erat; tempore quidem, omnium quotquot fuere sapientes, ultimus; qui cum primis tamen jure merito certare possit. Quippe qui cum unus esset, disciplinarum pariter conjunxerat genus, et in omnibus tenebat primas, ut in nullo cum alio conferri possit.

Ὡς οὖν ἐν οὕτω στενῷ κομιδῇ τὰ τῶν λόγων φθάσαντα ἐθεάσω, καὶ ὅτι τὸ κάλλιστον ἅμα καὶ ἰδιαίτατον ἀνθρώπων χρῆμα οἴχεται, μικροῦ δεῖν, κατὰ τὴν Ἡσιόδου Δίκην (45), ἐκ γῆς ἀποπτάμενον, εἰ μὴ σὺ ὑπέρσχῃς τὴν δεξιάν· ὡς οὖν οὕτω ταῦτ' ἔχοντα ἦν, σὺ δὲ εἶδες, οὐκ ἤνεγκας ὁ κοινὸς εὐεργέτης τὸ πάθος, οὐδ' ἀνεβάλου πρὸς τὴν βοήθειαν, οὐδ' ἐμέλλησας πρὸς τὴν χρείαν, ἀλλὰ ζηλοῖς ὑπὲρ τῶν λόγων, ἀνίστασαι, θείας κινούσης ῥοπῆς, ἀνθίστασαι κατὰ τῆς ἀλόγου τύχης, ἀντιπαρατάττῃ πρὸς τὴν ἄτακτον ἐκείνην φορὰν, σπουδὴν ἔχων καὶ ταῦτα καταβαλεῖν, ὥσπερ ἐχθρῶν μυριάδας, καὶ τῆς ὑψηλῆς φιλοσοφίας ἐχέγγυος καθίστασαι πρόμαχος. Ἔνθα καὶ τὸν σὸν Ἑρμῆν τέως σιγῶντα διεγείρεις χρῆσθαι τῇ γλώττῃ, ἢ, καθ' ἡμᾶς εἰπεῖν, Μωσῆς ἄλλος φανεὶς, ὡς ἐκ πέτρας, τοῦ σιγῶντος σοφίας κινεῖς ποταμοὺς, καὶ μάννα ἐξ ὑψηλῆς φρενὸς ὑετίζεις, καὶ ψυχὰς ἐμπιπλᾷς ἀγαθῶν, πεινώσας πολὺν ἤδη χρόνον οὐ λιμὸν ἄρτου, οὐδὲ δίψος ὕδατος, τῶν εὐώνων καὶ εὐποριστων καὶ χαμαὶ ἐρχομένων καὶ τροφων καὶ ποτῶν, ἀλλὰ σοφίας ξηραινομένας αὐχμῷ καὶ δίψει παιδεύσεως, ἢ καὶ λόγον σώζει πρὸς τὴν ψυχὴν ὅνπερ πρὸς τὸ σῶμα ψυχή. Ἐξ ὧν τί γίνεται; Πλατυσμὸς ἐπιστήμης, ἀναβίωσις, ὡς εἰπεῖν, λόγων, ἀναθήλησίς τε χοροῦ λογικῶν, ἀνάληψις μαθημάτων, ὧν οὐδὲ τὰ ὀνόματα γνώριμα τὸ πρὸ τοῦ· οὕτως ἔδει πολλοῦ τοῦ ταῦτα ἐπίστασθαι· καὶ, συνελόντι φάναι, πᾶς τις λόγων ἐγκύμων καὶ μαθημάτων ἀνάπλεως. Καὶ τοῦτό σοι, βασιλεῦ, τὸ ἔργον, οὐκ ἔλαττον, ἐμοὶ δοκεῖν, τῶν μεγάλων

Cum igitur vidisti ita in arcto litteras esse et pulcherrimum simul ac singularissimum hominis decus migrare, et parum abest, ut Hesiodi Justitia, a terra evolare, nisi tu dextram porrigas; cum igitur ita se res habere conspexisti, non tulisti malum qui in omnes beneficus eras, et opem ferre non distulisti, nec moratus es necessitati consulere, sed ardes litterarum studio, te impellente Dei numine, oppugnas insipientem fortunam, colluctaris C adversus illam propensionem inordinatam, contendens hæc quoque evertere ut inimicorum millia, et altæ sapientiæ cautus exsistis propugnator. Tunc tuum Mercurium hactenus silentem lingua uti incitas, aut, ut nos dicimus, Moyses alter evasisti, quasi ex rupe, silentis sapientiæ eliciens flumina et manna ex celsa mente pluens, bonis saturans animas esurientes abhinc multo tempore, non quidem fame panis, nec siti aquæ et velut communium et humi jacentium esculentorum et potulentorum, sed arescentes siti et fame doctrinæ, quæ eadem rationem habet ad animam quam ad corpus anima. Ex his quid fit? Scientias propagari, suscitari ut ita dicam litteras, iterum eloquentiam vigere, iterum unumquemque incumbere disciplinis, quarum nec no-D mina antea decori fuerant; et, ut breviter dicam, quemque litteris plenum esse et scientiis refectum. Et illud, rex, non minus est opus, ut opinor, quam ista facinora, per quæ domasti principes, et terræ metum et pavorem incussisti; quippe enim amo-

(42) Georgio Acropolita, de quo præter alios vid. Allatius Diatr. de Georgiis. In testimoniis ante Dusianam Acropolitæ Historiæ editionem apposita fuerunt Gregorii eum laudantis verba, ab κίνδυνος εἶχε ad σύγκρισιν, quorum maximam partem Allatius l. c. p. 354 repetiit. Qui putavit Gregorium integram de laudibus Acropolitæ orationem scripsisse, et totam a Dusis etiam non fuisse querebatur, Allatius insigniter erravit, quem corrigas l. c. p. 423.

(43) Plato, cujus verba describit Gregorius, habet, Phædro c. 23, ἀποτετόρνευται.

(44) Niceph. Gregoras x, 2, in laudatione Metochitæ: Πάντα γὰρ εἷς ἀνὴρ οὗτος ἦν.

(45) Respicit, puto, Hesiodi locum de Pudore et Nemesi, seu potius Arati de Justitia, et lapsus est in nomine poetæ scribendo: cf. Arati Phæn. 134.

OCR ABK / FR

vere cladem quæ animam impugnat, et inter res rationis expertes, eam rationis participem redigere contendit, quam hostes foras perturbantes prosternere nullo modo magis dedecorum est. Sic per te bonorum flumen inter nos defluxit, et omnia salutaria contigerunt, et manifeste tuam fortunam nostra subsecuta est prosperitas. Quamobrem inspicienti cuique cum quibus oporteat tua conferre, inopia simul ac difficultas occurrunt. Nec enim quisquam ex antiquis animo observatur quem æquum sit tecum conferre, et si quis esse offerat, vereor ne omnino dissonam comparationem faciam, non cum majore, nec cum æquali, ut par est, eam faciendo : Nam omnes video tibi dotibus esse minores, ut omnia astra soli, et illud tanquam honorem ducere, quod aliquis primus post te censeatur. Ergo et Cyros, Darios, Alexandros et Augustos, et qui Barbaris atque Romanis imperarunt et ad maximam gloriam provecti sunt, illos, quicunque sunt, tum in medium afferre iniquum arbitror. Quodnam cum tenebris solis consortium, sive cum fortuna rationis et prudentiæ sive cum somnis veritatis ? aut quæ virtus in rege effulgeret, nisi a Deo dirigatur ? aut quæ gloria si absit Creatoris cognitio ? Illos autem qui secundum Dei præceptum regnaverunt si quis in medium adducat, solus etiam ex iis bona quæcunque ad virtutem et Deum pertinent complexus es : si vero aspiciam omnia in quibus titubavere et, justitia deerrantes, virtutes suas maculaverunt, tantum ab illis distas (quomodo id apte dixerim ?) quantum inter terram et lunam intervallum. Tu Moysis, tu et Josue, alterius gratia cœlesti et magnorum effectrice potentia, atque adversus exacerbantes longaniminate, alterius militiam imperandi et populum gubernandi peritia, et munere deducendi, ut ille, populum ad terram optatam locupletatus es. Davidis æmulatus es mansuetudinem, et potissimum a natura adversus eos qui sibi illudebant habuisti clementiam, et, non minus quam illi, timendus aliis gentibus exstitisti : genuinam enim lenitatem solis subjectis ad illos delectandos præbuisti. Salomonis sapientiam et latitudinem cordis amplexus, ab aliis ejusdem aversatus es ; et, ut omissis illis qui gratiam præcesserunt, ad tuum cognominem veniam, qui primus inter Christianos regnavit, illius quoque habens ad cultum Dei alacritatem, et cruce vincis hostes, et videris, aut potius exsistis in pugna invictus, et ut magis accuratam imaginem præbere possis, ædificas civitatem, quam ille conditor nominavit. Et quidquid Theodosiis magnis et cæteris, atque Justinianis et eis qui cum illis ad maximam gloriam pervenerunt, inerat pietatis, charitatis in Deum, et adversus pericula strenuitatis et justitiæ, in rebus gerendis et providendis excellentiæ, et quidquid

(46) Hac voce barbara Latinorum duces præcipue significat.

(47) Deest forsan quid ante μέντ.

A ἐκείνων, δι' ὧν πόλεις καὶ ἄρχοντας ἐθνῶν τοὺς μὲν παρεστήσω, τοὺς δὲ καθεῖλες, δι' ὧν πρίγκιπας (46) ἐδουλώσω, καὶ τρόμου καὶ ταραχῆς τὴν ὑφ' ἥλιον ἔπλησας, παρ' ὅσον καὶ πάθος καθελεῖν κατὰ ψυχῆς στρατευόμενον, καὶ μετὰ τῶν ἀλόγων τάττειν λογικὴν οὖσαν φιλονεικοῦν, τοῦ τοὺς ἐνοχλοῦντας ἔξωθεν καταβάλλειν ἐχθροὺς οὐδὲν ἀτιμότερον. Οὕτω διὰ σὲ θάλασσα καλῶν ἡμῖν ἐξεχύθη, καὶ πᾶν ὁτιοῦν σωτήριον ἐπεγένετο, καὶ τῇ σῇ τύχῃ ἐναργῶς ὁ ἡμέτερος ἐπηκολούθησεν ὄλβος. Δι' ἃ δὴ καὶ σκοπουμένοις πρὸς ἃ δεῖ καὶ παραβάλλειν τὰ σὰ δέος τε ἅμα καὶ ἀπορία προσγίνεται. Οὔτε γὰρ εἰς μνήμην ἥκει τις τῶν πάλαι πρὸς σὲ παρεξετάζεσθαι δίκαιος, καὶ, εἰ ἔλθοι τις, δέδοικα μὴ πάντως ἀπᾴδουσαν ποιήσωμαι τὴν ἐξέτασιν, μὴ πρὸς μείζονα, μηδὲ πρὸς ἴσον, ὡς δέον, ἀλλὰ πρὸς ἐλάττονα ταύτην ποιούμενος·
B πάντας γὰρ ὁρῶ σου τῶν καλῶν ἡττωμένους, ὥσπερ ἡλίου τοὺς πάντας ἀστέρας, καὶ τοῦθ' ἡγουμένους φιλοτιμίαν, ὅστις πρῶτος τάττοιτο μετὰ σέ. Μέντοι γε καὶ (47) Κύρους ἐκείνους, Δαρείους, Ἀλεξάνδρους, καὶ Αὐγούστους, καὶ οἵτινες Ἑλλήνων ἢ βαρβάρων ἢ Ῥωμαίων ἐκράτησαν κἀπὶ πλεῖστον προῆκον ὀνόματος, τούτους, ὁποῖοί τινές εἰσιν, ἔμοιγε καὶ φέρειν ὅλως εἰς μέσον ἀθέμιτον. Τίς γὰρ πρὸς σκότος κοινωνία ἡλίου, ἢ τύχης λόγου καὶ προνοίας, ἢ ὀνειράτων καὶ ἀληθείας, ἢ τίς ἂν ἀρετὴ βασιλείας φανείη, μὴ Θεοῦ χειραγωγουμένης χερσίν; ἢ τίς εὔκλεια, ἐπιγνώσεως ἀπούσης τοῦ κτίσαντος; Τοὺς δὲ κατὰ νόμον βεβασιλευκότας Θεοῦ εἴπερ εἰς μέσον παράγοι τις, καὶ τούτων, βασιλεῦ, ὅσα μὲν τῶν ἀγαθῶν καὶ πρὸς ἀρετὴν καὶ Θεὸν φέροντα, μό-
C νος συλλαβὼν ἔχεις, καὶ οὐδενὸς, ἐν οἷς εἶχον φρονεῖν, φέρων φαίνῃ τὰ δεύτερα· τὰ δ' ἐφ' ὅσοις ὠλίσθαινον καὶ τοῦ δέοντος ἐκπορευόμενοι τὰς προσούσας διέφθειρον ἀρετὰς, τοσοῦτον ἀπεῖχες (πῶς ἂν εἴποιμι ἱκανῶς;), ὅσον γῆς καὶ σελήνης τὸ μεταξύ. Σὺ Μωϋσέως, σὺ καὶ Ἰησοῦ, τοῦ μὲν τὴν ἐξ ὕψους χάριν καὶ τὴν τὰ μεγάλα ἐνεργοῦσαν δύναμιν, καὶ τὸ κατὰ τῶν παραπικραινόντων μακρόθυμον, τοῦ δὲ τὴν ἀγαθὴν στρατηγίαν, καὶ τὴν δημαγωγίαν, καὶ τὸ τὸν λαὸν Κυρίου πρὸς τὴν ἐπιθυμητὴν, ὡς ἐκεῖνος, κατάγειν, ἐπλούτησας. Δαυῒδ ἐζήλωσας τὴν πραότητα, μᾶλλον δὲ πρὸς φύσεως ἔσχηκας, καὶ τὸ ἀνεξίκακον πρὸς τοὺς παροινοῦντας· καὶ φοβερὸς οὐχ ἧττον ἐκείνου τοῖς ἀλλοφύλοις καθέστηκας· τὴν γὰρ φυσικὴν ἡμερότητα μόνοις εἰς τρυφὴν τοῖς
D ὑπηκόοις παρέσχηκας. Σολομῶντος τὴν σύνεσιν καὶ τὸ τῆς καρδίας πλάτος δεξάμενος, τἄλλα τούτου μεμίσηκας. Καὶ ἵνα, τοὺς πρὸ τῆς χάριτος παραδραμὼν ἐπὶ τὸν σὸν ὁμώνυμον (48) ἔλθω, τὸν πρῶτον ἐν Χριστιανοῖς βασιλεύσαντα, καὶ τούτου φέρεις τὸ περὶ τὸ σέβας θερμὸν, καὶ σταυρῷ νικᾷς τοὺς ἐχθροὺς, καὶ φαίνῃ, μᾶλλον δὲ καὶ ὑπάρχεις ἐν πολέμοις ἀήττητος, καὶ ἵν' ἀκριβέστερον ἔχῃς τὴν εἰκόνα δεικνύναι, τειχίζεις πόλιν, ἧς ἐκεῖνος πολιστὴς ἐχρημάτισε. Θεοδοσίων τῶν μεγάλων καὶ τῶν ἑξ-

(48) Voluit scilicet Michael imperator vocari Novus Constantinus, quo titulo et in fronte hujus orationis ornatur.

OCR ABK / FR

ρων, καὶ Ἰουστινιανῶν, καὶ τῶν ὅσοι κατ' αὐτοὺς A ἐπὶ πλεῖστον ἤλασαν δόξης, καὶ τούτων μὲν ὅσον εὐσεβὲς καὶ φιλόθεον, γενναῖόν τε πρὸς τοὺς κινδύνους καὶ τρόπων δικαίων ἐχόμενον, πρὸς δὲ κηδεμονικόν τε καὶ προνοητικὸν καὶ μετέχον χρηστότητος, καὶ τούτων ὅσον τοιοῦτον, ἐπλούτησας· καὶ μεθ' ὅσης τῆς ἐπιδόσεως! ὅσον δὲ πρὸς θυμὸν ἀλόγιστον ἔκλινε καὶ ἀφιλάνθρωπον ἦθος, καὶ τρόπους ἀνημέρους, καὶ τὸ κολάζειν ὠμῶς καὶ τὸ ἡττᾶσθαι λημμάτων, καὶ ὅσον τῆς ἐναντίας μερίδος ὂν διεβάλλετο, ἔχεις ἀποπτύσας καὶ ἀποῤῥίψας σαυτοῦ, παντὶ μᾶλλον πρέπειν ὑπάρχειν ἢ σαυτῷ λογισάμενος.

illis hujuscemodi erat, lucratus es; et cum quanta ubertate? quidquid autem ad iram insipientem aut ad indolem inhumanam inclinavit, ad mores immites, ad anulationem ac per munuscula corruptelam, et quidquid contrarium reprehendebatur, aversatus es et a te amovisti, illud cuilibet magis quam tibi adesse convenire ratus.

Τοιοῦτος ἡμῖν ἐκ Θεοῦ δεδώρησαι, βασιλεῦ· τοιοῦτος διὰ τῆς πείρας ἐφάνης, ὁποίους οὐδ' ἡ φήμη τοὺς πρώην λαμπροὺς παρέπεμψεν εἰς ἡμᾶς, τοῖς κεφαλαίοις τῶν ἀρετῶν, ἵνα κεφαλαιωδέστερον εἴπω, ὑπὲρ πάντας κοσμούμενος, νικῶν μὲν τοὺς κατὰ σὲ βασιλέας, νικῶν δὲ καὶ τοὺς ὅσοι μάλιστα ἐξ ἀρετῶν ὠνομάσθησαν. Καὶ δὴ τειχίζεις ἀρετῇ τὴν ἀρχὴν, τειχίῳ τοῦ βαβυλωνίου στεῤῥοτέρῳ καὶ ὑψηλοτέρῳ μακρῷ. Καὶ τὸ ὑπήκοον αἰδοῖ τῆς ἀρετῆς συστελλόμενον ἄγεταί σου πρὸς τὴν γνώμην καὶ B ταχύνει πρὸς τὸ νεῦμα, καὶ δείκνυται πᾶν ὅ τι ἂν ᾖ βουλομένῳ σοι, ἐπεὶ καὶ, ἵνα σε καθομηρίσω, πατὴρ ὣς ἤπιος (49) πρὸς αὐτοὺς διατίθεσαι· ἐπειδήπερ ἀρετῇ μὲν τῶν οἰκείων οἶδας κρατεῖν, τῶν βαρβάρων δὲ καὶ τοῖς ὅπλοις, καὶ τὸ πρᾶον μὲν ἐφ' ἡμῖν ἀμιγὲς τοὐναντίου τηρεῖς, τοῖς ἐχθροῖς δὲ παρέχεις καὶ ἀπὸ τοῦ σχήματος καταπλήττεσθαι. Ἀνθ' ὧν καὶ δὶς καὶ τρὶς καὶ πολλάκις μακάριος, ὃς τῆς μερίδος τῶν ὑπὸ σὲ τεταγμένων τελεῖ, καὶ, ὅσα παῖς παρὰ πατρὸς, εὐμενείας βασιλικῆς ἀπολαύει καὶ χάριτος· ὅστις δ' ἀφηνιάζει καὶ ἀποσείεταί σου τὸν ζυγὸν, εἰ μὴ ἄκων ταῦτα, ἐλεεινὸς οὗτος ἐμοὶ τῆς τύχης, μηδ' ἐπὶ ποσὸν εὐημερεῖν συγχωρούμενος· εἰ δ' ἑκὼν ταῦτα πράττει καὶ πρὸς βουλήσεως ἀποσκιρτᾷ, ἄθλιος τῷ ὄντι τῆς ἀφαιρέσεως τοῦ φρονεῖν, καὶ τῆς πρόσεως τοῦ νοὸς, καὶ δικαίως ἂν δυστυχοίη, ἐθελοκακῶν ἄνθρωπος καὶ πρὸς τὰς ἀκτῖνας ἐπιμύων τοὺς ὀφθαλμούς.

Talis, rex, nobis a Deo donatus es, talis experientia evasisti, quales nunquam antea claros inter nos fama immisit, virtutum summa, ut summarie dicam, præ omnibus ornatus, cum superans coævos reges, tum superans qui maxime virtutis causa fuerunt celebrati. Et virtute imperium ædificas, fundamento quam Babylonium longe validiore et excelsiore. Et subjecti, tuam in virtutem veneratione coacti ex sententia tua ducuntur et ad nutum properant, et quodcunque vis efficiunt, quia, ut de te Homerice loquar, ut pater mitis erga illos exsistis: tuos enim virtute regere nosti, Barbaros autem armis, et nobis moram servas lenitatem, hostes vero ipso habitu percellis. Quocirca et bis et ter et millies felix qui in numero subditorum tuorum recensetur, et, ut puer apud patrem, benevolentia et clementia regis perfruitur. Quicumque autem jugum tuum concutit et exuit, siquidem hoc invitus egit, mihi ex parte fortunæ miserandus videtur et nullo modo res illi prosperas contigisse: quodsi libens hoc fecerit, et consulto recalcitraverit, infelix est revera recto sensu amisso et mentis aberratione, et juste infaustus esset, cum sit malevolus homo et oculus ad radios conniveat.

Ἀλλ', ὦ βασιλεῦ, δι' ὃν τὸ σὸν γένος θεῖον ὡς ἀλη- C θῶς, σὲ μὲν ἐπαινεῖν ἆθλον ὁ μέγιστος· καὶ εἴ τις ἀνύειν ἐπιχειροίη, γνώσεται διώκων τὸ φεύγοντα, οἷον καὶ οἱ τὰ ποταμῶν ῥεύματα κατόπιν διώκοντες. Οὐδὲ γὰρ ἔστιν ἰδεῖν οὐμενοῦν τὰ σὰ κατορθώματα στάσιν λαμβάνοντά ποτε προκοπῆς· ἀεὶ δὲ προκόπτει καὶ συμπαρεκτείνεται ταῖς ὥραις, καὶ τὴν διάνοιαν ἀποδιδράσκει. Κἀμοὶ πειραθέντι, μηδὲν δ' ὅμως ἀνύσαι δυνηθέντι, συγγνώμη· πᾶς γὰρ ἂν τοῦτο πάθοι, πειρᾶσθαι τοῦ παρόντος ἀγῶνος σκεπτόμενος.

Sed, o rex, quia profecto divinum est tuum genus, te laudare certamen maximum est; et si quis illud perficere contenderet, se fugientia persequi comperiet, non secus ac qui fluminum fluctus retro insectantur. Nullo modo enim videre est præclara hæc facinora finem capessere; semper vero augescunt et progrediuntur, et mentem effugiunt. Et mihi periclitanti, nihil autem peragere valenti, venia: quilibet enim illud pateretur, si hujusce certaminis periculum facere judicaret.

Νυνὶ γοῦν ὡδέ πη παύσασθαι σκεπτομένῳ εὐχή μοι κατακλειέτω τὸν λόγον. Ὁ τόδε τὸ πᾶν ἀρχῆθεν συστησάμενος καὶ κινήσας, Θεὸς καὶ Κύριος, ζωὴν διδόναι καὶ θανατοῦν γινωσκόμενος, εἰδοίη τήνδε τὴν ἀρχὴν, τόν τε ἐμὸν βασιλέα, καὶ παῖδας τούσδε, καὶ D πόλιν τήνδε, θάλλειν δι' αἰῶνος, ὥστ' εἶναι καὶ παρ' ἡμῖν ἀφθονίαν τῶν ἀγαθῶν, ἐξώλεις δὲ καὶ προώλεις ὀλέσθαι, ὅσοι τῆς τοῦ βασιλέως γνώμης ἀπ' ἐναντίας εἴτε νυνὶ φρονοῦσιν, εἴτε ποτὲ μετὰ ταῦτα φρονήσαι νοήσουσιν.

Nunc autem, quoniam loquendi finem facere intendo, sermonem claudat deprecatio. Qui omnia ab initio constituit et movit Deus et Dominus, vitam et mortem dare sciens, concedat ut illud imperium, meusque rex et ejus filii atque hæc civitas indesinenter floreant, ita ut sit apud nos bonorum copia, et penitus exstincti et deleti pereant quicunque contra voluntatem regis sive nunc cogitant, sive postea intenderent cogitare.

(49) Hom. Od. β, 47: Πατὴρ δ' ὣς ἤπιος ἦεν.

OCR ABK / FR

# ΤΟΥ ΑΥΤΟΥ

ΕΓΚΩΜΙΟΝ

## ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΚΥΡΟΝ ΑΝΔΡΟΝΙΚΟΝ

ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ

# EJUSDEM

## ORATIO LAUDATORIA IN IMPERATOREM

# D. ANDRONICUM PALÆOLOGUM.

Oportuisset revera, maxime rex, ad loquendum de te non ita imperitum, ut ego, oratorem accedere, sed qui dicendo superaret omnes quotquot oratoriam artem excoluerunt; aut potius, ille etiam, cum in eo jam esset ut ad loquendum procederet, rei magnitudinem intuens, diceret, non secus ac ego perterritus, majore quam se oratore certamen indigere, quia inceptum non est hujusmodi ut facile initum perficiatur, nisi quoddam desuper divinum superveniat auxilium: quoniam vero rei excelsitas, perinde ac cœlum, omnes qui in illum inspiciunt pariter infra se relinquit, non audacia nostra, etiamsi ex dignitate decidere audeamus, apud æquos judices absque venia remaneat, siquidem post multos et maximos viros qui hactenus hanc rem tractaverunt, hoc experiamur. Et vero, si ipsa facta vocem haberent, nemo profecto periclitare tentaret, sed istis potissimum de seipsis loquendi cura permitteretur; quod si autem ista nil omnino loquantur, nobis autem loquentibus aliquid de his dicere supersit, cur non de illis, quantum facultas est, verba faceremus, et non auderemus tentare? ne memoria elapsa et oblivionis obruta gurgite citius pereant et exolescant; et equidem injuriam paterentur, si transmittente ea sermone frustrata forent, et eo magis quod illud dignis eo gestis, qualia sunt tua, rex, obtingeret; injuria autem et detrimento afficeretur per hæc vita, nisi per sermonem ista fiant monumentum, et admiratio et honor illi in omni tempore impertiantur.

Nuper equidem, rex, cum meæ in dicendo facultatis periculum facerem, illi supponebam minores materias, quas facile quandoque edissere mihi videbatur, et ita expedite rem peragebam, et,

A Ἐχρῆν μὲν, ὡς ἀληθῶς, μέγιστε βασιλεῦ, εἰς τὸν σὸν λόγον οὐχ οὕτω φαῦλον, οἷος ἐγὼ, ῥήτορα παριέναι, ἀλλ' ὃς ἂν καὶ ὑπερεφώνει λέγων τοὺς ἄλλους, ὅσοι ποτὲ λόγων ἥψαντο τέχνης, μᾶλλον δὲ κἀκεῖνος, ὅστις ἄρα καὶ ἦν μέλλων ἑαυτὸν προσάγειν τῷ λόγῳ, εἶθ' ὁρῶν τοῦ προκειμένου τὸ μέγεθος, ἔφησεν ἂν, παραπλησίως ἐμοὶ καταδείσας, μείζονος ἢ κατ' αὐτὸν ῥήτορος τῷ ἀγῶνι προσδεῖν· ὡς οὐκ ὄντος τοῦ ἐγχειρήματος οἷον ἄν τινα καὶ ῥᾳδίως ἀψάμενον ἀνύσαι, μή τινος ἄνωθεν καὶ θείας προσεψαμένης ἐπικουρίας· ἐπεὶ δὲ τὸ τοῦ πράγματος ὑψηλὸν, καθάπερ οὐρανὸς, τοὺς περὶ αὐτὸν βλέποντας κάτω που ἑαυτοῦ πάντας ἐπίσης ἐᾷ, οὐκ ἂν ἡμῖν τὸ τολμῆσαι, εἶτ' ἀποπεσεῖν τῆς ἀξίας τολμήσαντας, παρ' εὐγνώμοσι κριταῖς ἀσύγγνωστον μένοι, μετὰ πολλῶν καὶ μεγάλων, ἡμμένων τέως τοῦ προκειμένου, τοῦτ'
B ἂν πεπονθόσι. Καὶ γὰρ εἰ μὲν αὐτὰ φωνὴν εἶχε τὰ πράγματα, οὐκ ἂν ἴσως ἥρμοττε παρακινδυνεύειν, αὐτοῖς δὲ μᾶλλον ἐκείνοις τοῦ περὶ ἑαυτῶν λόγου παραχωρεῖν· εἰ δ' ἐκεῖνα μὲν οὐδὲν οὐδέποτε φθέγγεται, τοῖς δὲ φθεγγομένοις ἡμῖν περὶ ἐκείνων τι λέγειν λείπεται, πῶς οὐχὶ χρηστέον τοῖς λόγοις ἐπ' αὐτοῖς, ὡς ἄρα καὶ ἐγχωρεῖ, καὶ τολμητέον τὴν πεῖραν; ἵνα μὴ, τῆς μνήμης ἔξω γενόμενα, οἰχήσεται θᾶττον καὶ διαφθαρήσεται, λήθης ἐναποκρυβέντα βυθοῖς, καὶ ἄδικα μὲν αὐτὰ πάθοι, τοῦ ἐπιβάλλοντος ἀμοιροῦντα λόγου, καὶ τοσούτῳ γε μᾶλλον ὅσῳ καὶ ἄξια τούτου καταλαμβάνεται, οἷα δὴ μάλιστα καὶ τὰ σὰ, βασιλεῦ· συναδικοῖτο δὲ καὶ ὁ βίος αὐτοῖς καὶ ζημιοῖτο, εἰ μὴ, στήλη ταῦτα ὑπὸ τοῦ λόγου γεγενημένα, θαῦμα καὶ φιλοτιμίας ὑπόθεσις αὐτῷ κατὰ
C παντὸς τοῦ χρόνου δοθείη.

Πρώην μὲν οὖν, βασιλεῦ, τῆς ἐμαυτοῦ περὶ λόγους δυνάμεως πεῖραν ποιούμενος, εἶτ' ἀφορμὰς αὐτῇ καὶ τὰς ἧττον ἔσθ' ὅτε δοκούσας ἔχειν τὸ εὔλογον ὑποβάλλων, ἤνυτον εὐπετῶς τὸ προκείμενον,

* E codice regio 5010, p. 91, cum 831 collato.

OCR ABK / FR

καὶ τὸν ἔλεγχον ἐκεῖθεν ἤδη τῆς ἰσχύος λαμβάνων, A ὥς τι δεδυνημένῳ προσέχαιρον ἐμαυτῷ· ἐλάνθανον δὲ ἄρα τῷ μεγίστῳ τῷδε περιπεσούμενος ἀγῶνι καὶ τοὐναντίον ἢ τότε πεισόμενος, ἀδυναμίαν μὲν ἐμαυτοῦ κατεγνωκὼς, ἀνθ' ἡδονῆς δὲ τῆς πρότερον λύπην κεκομισμένος. Τῷ γὰρ πελάγει τῶν σῶν καλῶν, ἐλπίσας, ἐπαφεὶς τὴν γλῶτταν, λαμπρότητά τινα περιάψαι τοῖς λόγοις ἐντεῦθεν, ὡς εἰς τοῦτ' ἤδη κατέστην, ἀμηχανίας ἐνέκυρσα πελάγει, καὶ νῦν ἐξαπορούμενος ἵσταμαι ποῖ ποτε τὴν πρώτην ὁρμήσας, καὶ τίνος ἐπειλημμένος ἀρχῆς, γενοίμην εὐθυδρομήσας καὶ ἀκινδύνως περάνας τὴν πρόθεσιν. Ὥστ' εἰ μὲν ἦν εὐθὺς ἐξ ἀρχῆς εἰρηκότα τὴν ἀπορίαν ἱκανῶς παραιτήσασθαι δόξαι, μηδὲ ῥᾳθυμίαν καταγνωσθῆναι καὶ τὸ μὴ βούλεσθαι, κἂν ἀνέστρεφον ἐντεῦθεν τοῦ λόγου, ἀνεπιχείρητα τὰ ἑξῆς καταλείψας, B δέει τοῦ μὴ αὐτοῖς παρὰ τὴν ἐμαυτοῦ σμικροφωνίαν λυμήνασθαι. Ἐπεὶ δ' οὐκ ἔστιν ὅπως οὐ ταῦτα κατακριθήσομαι, μηδ' ὡς οὐ σκῆψιν ποιεῖσθαι τὴν ὁμολογίαν τῆς ἀπορίας ἀκούσομαι, τολμᾷν μὲν ἀνάγκη, ὡς ἄρα καὶ ἔχομεν, Θεοῦ δ' ἔργον ἂν εἴη ὀρέγειν ἡμῖν εἰς τὸν λόγον καθισταμένοις χεῖρα, καὶ σαφῶς ἀπορουμένων ἀντιλαμβάνεσθαι.

Πατρίδα καὶ γένος τῶν ἐγκωμίων ὑποβάλλειν κρηπῖδα ὁ τῆς τέχνης θεσμὸς ἡμῖν ὑποβάλλει. Τοιγαροῦν καὶ τὴν σὴν πατρίδα, μέγιστε βασιλεῦ, ἅπας ὁ τοῦ ἥκοντος λόγος, ἵνα μὴ λέγω καὶ συγγραφικὸς ἅπας καὶ γεωγραφικὸς, ἀρίστην τῆς ὅσην οἰκοῦσιν ἄνθρωποι, παραδίδωσι. Τριῶν γὰρ ὄντων, οὔκουν πλειόνων, εἰς ἃ διαιροῦσι τὴν γῆν, Λιβύη μὲν περὶ ἐλαχίστου τοῖς σοφοῖς γέγονε λόγου, οὐδὲν ἄξιον λόγου προΐσχουσα· C Ἀσία δὲ καὶ Εὐρώπη, περὶ πρωτείων ἄνωθεν ἀλλήλαις ἐρίζουσαι, τὸ νεῖκος οὐδέπω καὶ νῦν διελύσαντο, ἀλλήλων ἐν τῷ μέρει κρατοῦσαι καὶ ὑπ' ἀλλήλων κρατούμεναι· Σοῦ δ' ἡ πατρὶς (λέγω δὲ σὴν, ὅσης καὶ ἄρχεις, ὦ βασιλεῦ), καὶ Ἀσίας ἐπειλημμένη καὶ Εὐρώπης (1), καὶ ἀρχή γε τούτοιν ἀμφοῖν νομιζομένη καὶ οὖσα, οὐκ οἶδα πῶς οὐκ ἂν καὶ βελτίστη τοῖς ὅλοις ὁμολογοῖτο, ἀρχή γε διαφανῶς αὐτῆς καὶ τὸ προκεκριμένον ὑπάρχουσα. Ἐπεὶ μηδ' ἔπρεπε τῷ τὴν ὑπερτάτην ἐκ Θεοῦ λαχόντι τιμὴν ἑτέρας ἢ τοιαύτης πατρίδος τυχεῖν, ἣς τὸν σύμπαντα κόσμον καὶ ὁπόσα δή ἐστι καθ' ἃ τῶν ἄλλων πλεονεκτεῖ (τοῦτο μὲν οἷς ὁρᾷν πεδία κάρπιμά τε καὶ κάλλιστα, καὶ μείζω ἢ ὀφθαλμὸς ἐξικνεῖται, παρέχεται, τοῦτο δ' οἷς ὄρη μήκιστα καὶ εἰς αὐτὸν ἥκοντα τὸν αἰθέρα προΐσχεται, τοῦτο δὲ D καὶ οἷς ἀένναα ποταμῶν ῥεύματα καὶ λίμνας καὶ πηγὰς καὶ παντοίας ὑδάτων ἀφέσεις προβάλλεται, ἄφθονον τὸ τῆς ζωῆς χρήσιμον ἔκ τε τούτων καὶ τῆς ἐν μέσῳ θαλάσσης χορηγοῦσα τοῖς τῇδε ἀνθρώποις), ταῦτά τε καὶ τὸν τῶν πόλεων ἀριθμὸν τῶν

A inde virium jam hauriens argumentum, quasi aliquid potuisse mihi congratulabar: me autem fugiebat in hoc maximo certamine esse versaturum et aliter passurum fore, ita ut meam agnoscens imbecillitatem, loco prioris gaudii luctu afficerer. Flumini enim dotum tuarum os immitens, sperabam aliquem splendorem verba circumdare, in hoc quidem persistebam; quare in difficultatum mari collapsus sum, et nunc anceps hæreo quonam modo primam fecerim aggressionem, et initium dicendi ceperim, ut felicem cursum peragam et absque discrimine propositum adimpleam. Itaque, si statim ab initio verba inopiam affatim excusare videantur, non oportet ignaviam arguere aut defectum voluntatis, et, quamvis a dicendo jam inde B aversarer, insuperabilibus cæteris relictis, opus est ut ista non ex vocis imbecillitate quidquid patiantur. Quoniam autem fieri non potest ut in his non condemner, neque pro excusatione inopiæ confessionem haberi sperem, audeamus, pro nostra facultate; Dei autem esset nobis sermonem ineuntibus dextram porrigere, et manifesto in angustiis versantes adjuvare.

Patriam et genus principium laudationum ponere norma artis nos commonet. Patriam tuam igitur, rex, laudativus quisque sermo, ne dicam et historicus quisque atque geographicus, excellentissimam omnium quam incolunt homines prædicant. Cum enim sint tres partes, neque plures, in quibus terram dividunt, Libya primum, de qua doctis raro sermo fuit, quia nihil præbet sermone dignum; C Asia dein et Europa, quæ jampridem de primatu invicem decertant et disceptationi nunquam huc usque finem imposuerunt, vicissim invicem dominantes et invicem dominatæ. Tua autem patria (dico tuam qualicuique imperas, o rex) quæ Asiæ et Europæ continens est, ambarumque principium existimatur et est, cur non universarum (1) pulcherrima prædicaretur nescio, cum illarum aperte sit principium et pars præstantior. Non enim decebat illum qui a Deo acceperat excellentissimam dignitatem, aliam ac talem nancisci patriam, cujus universum decus, et omnia quibus alias antecellit (hinc enim frugiferos et pulcherrimos atque majores quam perlustret oculus exhibet, illinc præbet montes quæ ad ipsum æthera assurgunt, illinc perrennes flumi- D num undas et portus et fontes et unde quoquo modo aquæ educantur producit, ex his et e mari quod in medio fluit suppeditans copiose quæcumque ad illius incolarum victum commoda sunt), hæc et numerum civitatum quæ, cum pleræque et pulchræ et magnæ sint, regioni sunt ornamento

(1) Tractavit eumdem de Byzantii laudibus locum in præcedente oratione paulo post initium. Dusa, notis ad Acropolitæ Hist. p. 287, Vulcanium ait habere Gregorii Cyprii descriptionem et encomium urbis CPol., quod, post Dusam, dixerunt Allatius Diatr. de Georg. pag. 423, Fabricius Bibl. Gr. t. VIII, p. 62. Sed fere crediderim excerpta tantum ex hac vel illa oratione loca de Byzantio Vulcanium possedisse.

(1) Malim ὅλης quam ὅλοις, ut exhibent mss., quia melius cum αὐτῆς concordat. Tamen potest subaudi γῆς post τοῖς ὅλοις· cujus rei exempla ex probatissimis auctoribus deprompta possem proferre: sed satius est, ut opinor, ut τῆς ὅλης, verbo τοῖς ὅλοις apponatur.

OCR ABK / FR

atque præsidio, nemo, ut opinor, etiamsi propriam historiam scribere intendat, nedum pars sermonis brevissima, satis enarrare suppeditaret. Si autem quis de his merito verbis indigeat, quid dicet de magna et admirabili civitate, quæ tuum, potissime rex, aureum tulit genus? quæ et in media sede terræ prorsus collocata, illius umbilicus jure diceretur, cum ad illam termini tendant et ab illa proficiscantur, et colluctaretur adversus omnes simul orbis civitates virtutibus? Situm enim omni qui sub cœlo est situ pulchriorem, et, ut diximus, media terræ sede prorsus locatum, et qui altis urbibus potissimum convenit, sortita est; finitima est mari, quod cum maxima copia et ubertate quæcunque maris sunt hominibus suppeditat. Hinc freta habet, quibus pene omnino circumdatur, cum dulcissima navigatu, tum visu jucundissima, tum accoli commodissima, quæ amnes dicas illorum arctum intuens alveum et fluxus motus æquabilitatem, et mare nominares, si alio sensu judices, illinc maria jacent, ibi, ad meridiem Ægeus, qui ab Hellesponto et urbis fluento oriri videtur, ibi, ad septentrionem boreamque ventum, Euxinus qui oritur ex Mæotide et Tanaide fluvio, et omnes fluctus ante eam evomit; ambo quidem quasi urbi reginæ munera ferunt et omnia illic navibus, impellentibus ventis, adducunt. Et magnitudo urbis tuæ tanta ut non æquiparet alia civitas, cum sit ampla in continente, ampla et in mare quod medium dividit, ita ut ambiguum cujus potissimum sit civitas, utraque nempe quasi certante sibi eam vindicare, et illa vehementer obsistente. Quod autem de Asia dicendum est, mari secata divelli ab urbe, quæ tamen illius amorem nec dissolvit, nec aversatur, sed quæ prope et ante amatam stare contendit. Ipse suam exsuperans magnitudinem, diligenter attendentibus triplicem statum offert; primum subterranea est illi sedes, superficiem dein occupat, denique illius supra solum altitudo suadet ut post alia propter quæ urbs nuncupatur, audeam et aeriam urbem nominare. Aer autem qui super caput meat, puricissimus et jucundissimus spirari, est etiam saluberrimus, nec hieme præter modum mordax et asper, sed innocuus ac mitis et corporibus tolerabilis, nec æstu fervidus et suffocans, sed temperatus quodam frigore, boreis flatibus et aura zephiri, non sinit radiorum acie omnino dominari: alia vero tempora quomodo immisceantur memorare supervacaneum est, cum hoc manifesto per extrema innotescat. Et illa tute magnitudine præditum, potius pulchram quam magnam diceres, exprimere enim valeas excellentiam, id quo alias urbes antecellit civitas, quantum vero pulchritudine antecellit dicere nefas, et non potest inveniri intervalli numerus aut mensura.

A πολλῶν καὶ καλῶν καὶ μεγάλων, αἳ δὴ καὶ ἀντ' ἀγάλματός εἰσι καὶ φρουρὰ τῇ χώρᾳ καθίστανται, οὐδ' ἄν τις, οἶμαι, καὶ ἰδίαν ὑπόθεσιν ἱστορίας ποιούμενος, μή τί γε μέρος λόγου βραχύτατον, ἀρκέσειεν ἱκανῶς διελθεῖν. Εἰ δὲ πρὸς ταῦτά τις εἰκότως τοῦ κατ' ἀξίαν ἀπορήσειε λόγου, τί περὶ τῆς μεγάλης καὶ θαυμασίας ἐρεῖ πόλεως, ἣ κατ' ἐξαίρετον τὸ σὸν, βασιλεῦ, καὶ χρυσοῦν ἤνεγκε γένος; ἣ καὶ, τὸ μεσαίτατον λαχοῦσα τῆς γῆς, κέντρον μὲν ἂν εἰκότως αὐτῆς λέγοιτο (3), εἰς αὐτὴν τῶν ἄκρων τεινόντων καὶ ἀπ' αὐτῆς ἀρχομένων, ἀνθαμιλλῷτο δὲ πρὸς ἁπάσας κοινῶς τὰς ἐν αὐτῇ πόλεις ταῖς ἀρεταῖς; Θέσεως μὲν γὰρ τῆς ὑπ' οὐρανὸν καλλίστης καὶ, ὡς ἔφαμεν, τῆς μεσαιτάτης, καὶ ἣ μάλιστα ταῖς ἀκροπόλεσι πρέπει, τετύχηκε· γειτονεῖ δὲ θαλάσσῃ καὶ ταύτῃ γονιμωτάτῃ καὶ ὅσα παρὰ θαλάσσης τοῖς ἀνθρώποις
B χορηγεῖν ἀφθονωτάτῃ· τοῦτο μὲν πορθμοὺς ἔχουσα σχεδὸν περὶ πᾶσαν ἑαυτὴν, ἡμερωτάτους μὲν ἐπιπλεῖν, ὡραιοτάτους δὲ βλέπειν, λυσιτελεστάτους δὲ προσοικεῖν, οὓς καὶ ποταμοὺς ἂν εἴποις πρὸς τὸ στενὸν ὁρῶν καὶ τὴν κατὰ κίνησιν ὁμαλότητα, καὶ θάλασσαν ὀνομάσαις κρίνων ἀπὸ τῆς ἄλλης αἰσθήσεως, τοῦτο δ' ἐπικείμενα πελάγη, ἔνθεν μὲν, πρὸς μεσημβρίαν, τὸν Αἰγαῖον, ἀφ' Ἑλλησπόντου δοκοῦντα καὶ τοῦ τῆς πόλεως ῥοὸς ἄρχεσθαι, ἔνθεν δὲ, πρὸς ἄρκτον καὶ βοῤῥᾶν ἄνεμον, τὸν Εὔξεινον, ἐκ Μαιώτιδος μὲν ἀρχόμενον καὶ τῆς λίμνης Τανάϊδος, ὅλον δὲ τὸ ῥεῦμα πρὸ αὐτῆς ταύτης ἀπερευγόμενον, ἄμφω δὲ ὡς βασιλίδι τῇ πόλει δωροφοροῦντα καὶ πάντα δεῦρο ταῖς ὁλκάσι κατὰ πᾶσαν πνευμάτιων κίνησιν παραπέμποντα. Καὶ μέγεθος δὲ τῆς σῆς
C πόλεως ὅσον οὐκ ἄλλης πόλεων, πολλῆς μὲν οὔσης κατ' ἤπειρον, πολλῆς δὲ καὶ μέσην σχιζούσης τὴν θάλασσαν, ὡς ἀμφίβολον εἶναι τίνος μᾶλλον ἡ πόλις, ἑκατέρας ὥσπερ ἀγωνιζομένης αὐτὴν οἰκειοῦσθαι, καὶ σφοδρῶς ἀντεχομένης αὐτῆς. Ὃ δὴ καὶ περὶ τῆς Ἀσίας εἰπεῖν ἔνι, θαλάσσῃ μὲν τυραννηθείσης ἀποῤῥαγῆναι τῆς πόλεως, τὸν ἔρωτα δὲ μὴ καταλελοιπυίας μηδὲ πόῤῥω ἀφεστηκυίας, ἀλλὰ καὶ οὕτω φιλονεικούσης σύνεγγυς καὶ ἀπαντικρὺ τῆς ἐρωμένης ἱστάναι. Καὶ ὑπερβάλλουσα δὲ μεγέθει αὐτὴ ἑαυτῆς, τριπλασία τοῖς ἀκριβῶς σκοποῦσιν εὑρίσκεται· τὰ μὲν γὰρ αὐτῆς κατάγαιός ἐστιν οἴκησις, τὰ δὲ τὴν ἐπιφάνειαν πληροῖ, ἄλλα δὲ τῶν μέσων ἐπάνω φερόμενα πείθει, μετὰ τῶν ἄλλων ὧν τὴν πόλιν καλοῦσι, τολμᾷν καλέσαι καὶ ἀερόπολιν.
D Ἀὴρ δὲ αὐτῆς ὁ ὑπὲρ κεφαλῆς, καθαρώτατος ὢν καὶ ἥδιστος ἀναπνεῦσαι, ἔτι καὶ ὑγιεινότατός ἐστι, χειμῶνος μὲν οὐκ ἄγριος ὢν οὐδὲ δριμὺς ἐς ὑπερβολὴν, ἀλλ' ἄλυπος καὶ προσηνὴς καὶ τοῖς σώμασιν ἀνεκτὸς, θέρους δὲ οὐ καυσώδης καὶ πνιγώδης, ἀλλά τινι σύγκρατος ψύχει, βορείοις πνεύμασι καὶ αὔραις ζεφύρου ὑπὸ τῆς τῶν ἀκτίνων ἀκμῆς κρατεῖσθαι καθάπαξ μὴ συγχωρούμενος· τῶν δ' ἄλλων ὡρῶν περιττὸν καὶ μνησθῆναι ὡς κέκρανται, τούτου σαφῶς ἐκ τῶν ἄκρων γινωσκομένου. Καὶ μὴν μέγεθος

(3) Byzantium facit terræ umbilicum ac centrum, ut antiquitus Græci Delphos, ut Judæi Jerusalem. Vide quæ notavi ad Planudeas Ovidii Metam., p. 430 et 689.

OCR ABK / FR

ἔχουσαν τηλικοῦτον, μᾶλλον ἂν αὐτὴν εἴποις καλὴν ἢ μεγάλην· τοῦ μὲν γὰρ, εὕροις ἂν λόγον τῆς ὑπεροχῆς, ᾧ τῶν ἄλλων διενήνοχεν ἀστέων ἡ πόλις, κάλλει δὲ ὅσον διήνεγκεν ἄῤῥητος ὁ λόγος, καὶ μέτρον οὐκ ἔστιν εὑρεῖν οὐδ' ἀριθμὸν τῆς μεσότητος (3).

A Ἀλλ' ἡ μὲν πατρὶς τοῦ βασιλέως πόλις τοιαύτη, καὶ κατέλιπον τὰ μεγάλα ταύτης γνωρίσματα, εὐσέβειαν οἰκητόρων, εὐνομίαν, δικαιοσύνην, φιλανθρωπίαν, ἀνδρίαν, τἄλλα ἐξ ὧν δικαίως καὶ τὸ τῆς οἰκουμένης ἀνεζώσατο κράτος· τὸ δὲ γένος ὁποῖον; τὸ ἐπισημότατον Ἑλλήνων καὶ Ῥωμαίων τῶν τῇδε, ὃ καὶ εἰς κόσμου προσθήκην καὶ λαμπρότητα γέγονε τῇ πατρίδι, αὖξον παρ' ἑαυτοῦ τὰς αὐτῆς φιλοτιμίας, ἀλλ' οὐχ, ὃ τοῖς ἄλλοις συνέβαινε, τοῖς τῆς ἐνεγκούσης πλεονεκτήμασιν εἰς οἰκείαν φιλοτιμίαν προσχρώμενον. Τὰ μὲν γὰρ πατρόθεν Παλαιολόγοι πρόγονοι τῷ βασιλεῖ, γένος καὶ τῷ Θεῷ δι' εὐσέβειαν καὶ τὴν ἄλλην παντοίαν ἀρετὴν ἀνακείμενον, καὶ ἡρωϊκὸν ἄλλως καὶ ἀρεϊκὸν, μεγάλα γενναιότητος δείγματα ἔν τε πολεμικοῖς ἀγῶσι καὶ παντὶ τῷ παρεστῶτι ἐξενεγκόν· τὰ δ' ἐκ μητρὸς εἰς Δούκας ἀναφέρει τὸ γένος (4), ἐξ ὧν καὶ βασιλεῖς καὶ οἱ τὰ μεγάλα παρὰ βασιλέων δυνηθέντες προῆλθοσαν (5)· αὐτὸς δ' ὁ πατὴρ βασιλεὺς, καὶ βασιλέων τὸ μέγιστον ὄνομα, τοῦτ' εἶναι λαβὼν κἀκ τῶν τροπαίων, ἃ πολλὰ καὶ μεγάλα κατ' ἐχθρῶν ἐστήσατο, οὐχ ἧττον δὲ καὶ διὰ τὸ σὸν αὐτὸν ὑπάρξαι γενέτην. Τοῦτο γὰρ ὑπὲρ τὴν βασιλείαν αὐτὴν, ὑπὲρ τὰς νίκας, ὑπὲρ πᾶν μέγα κατόρθωμα, ἐπίσημον ἔδειξε· καὶ γὰρ καὶ Φίλιππος, μέγας ὢν, ἔτι μείζων δι' Ἀλέξανδρον γέγονε. Τοῦτο δὴ καὶ καυχήσεως αὐτῷ γέγονε στέφανος, καὶ εἰς τὸν τῆς εὐδαιμονίας ἀνεβίβασε κολοφῶνα, ἐπεὶ καὶ παραυτὰ τῆς σῆς γεννήσεως ἐπισημαίνεται Θεὸς, καὶ Ῥωμαῖοι τοὺς σοὺς γεννήτορας, οὕτως αὐτοῦ κελεύσαντος καὶ τὰ μήπω πρότερον αὐτοῖς διὰ σὲ χαριζομένου, βασιλεῖς ἀνεῖπον, καὶ τὰ μεγάλα διαπράξασθαι τῶν ἔργων τῷ πατρὶ καὶ C βασιλεῖ αὐτίκα ἐπηκολούθησεν, ὡς μὴ χρησμολόγων μηδέ τινων ἐξηγητῶν τῷ πράγματι δεῖν, ἀλλ' εἶναι δῆλον ἐντεῦθεν ὅτι σου τὴν βασιλείαν καὶ τὰ παρόντα πόῤῥωθεν κυδαίνων Θεὸς, καὶ ἅμα πάντας ἐπιστρέφων πρὸς σὲ, μεγάλοις σου τὰ γενέθλια καὶ δεξιοῖς τοῖς συμβόλοις ἐδόξασεν. Ἰταλῶν γὰρ ἧτται (6) περιφανεῖς καὶ οἷαι οὔπω πρότερον, καὶ Περσῶν ἑτέρωθεν τηνικαῦτα συμβᾶσαι παρέσχον μὲν Ῥωμαίοις τὴν ἀμείνονα τῶν σφετέρων πανηγυρίζειν μεταβολὴν, παρέσχον, δὲ ὡς ἐναργέστατα προορᾷν καὶ τὴν παροῦσαν κατάστασιν. Καί μοι δοκεῖ ὡς, εἰ ποιηταὶ κἂν τῷ καθ' ἡμᾶς ἦσαν χρόνῳ καὶ τοῖς τότε γενομένοις παρῆσαν, παρῆκαν μὲν ᾄδειν τὸ καθ' Ἡρακλέα, ὅτι δράκοντες αὐτῷ ἄρτι γεννηθέντι προσιόντες ἀπέθανον, ᾖδον δ' ἂν μόνα τὰ κατὰ σὲ, θαυ- D μάζοντες ἐκτόπως αὐτὰ καὶ τὴν ὅλην μουσικὴν ἐπ' αὐτοῖς ἀναλίσκοντες, ὅτι σοι πρὸς τοῖς σπαργάνοις

At patria regis est ista civitas, et omisi magna illius ornamenta, pietatem incolarum, æquitatem, justitiam, humanitatem, strenuitatem, et cætera quibus jure orbis imperium recuperavit; et quale genus? insignissimum Græcorum atque Romanorum hic incolentium, quod ad decoris incrementum et splendorem patriæ occupat, ex ipso adaugens illius gloriam, sed non, quod aliis contingit, ad propriam gloriam insumens patriæ decora. Nam ex Patre Palæologi sunt regis proavi, genus et Deo propter pietatem et alias multiplices virtutes addictum, et aliunde heroicum atque strenuum, quod magna strenuitatis pignora in bellicis certaminibus et in quaque re significavit. Ex parte B matris inter Ducas trrnsfertur genus, ex quibus reges, et hi apud reges magna valentes, institerunt; ipse pater rex, et regum maximum nomen suscepit et ea tropæis, quæ multa et magna adversus hostes statuit, et non minus, quia ille patri tuo esse contigit. Illud enim, magis quam ipsa regia potestas, magis quam victoriæ, magis quam quæcunque prosperitas præclarum exhibet: nam et Philippus, licet magnus, major etiam, Alexandri causa, evasit. Hoc nimirum gloriæ illi fuit corona, et ad felicitatis fastigium evexit, cum ipso nativitatis tempore signa dedit Deus, et Romani tuos genitores, ita illo jubente et quæ nunquam antea istis gratificante, reges creaverunt, et magna gesta peragere illud cœpit pater et rex, ita ut neque vaticiniis neque interpretibus res indigeat, sed inde pateat Deum, a longinquo tuum regnum et res præsentes illustrando simul ac omnes ad te convertendo, magnis et faustis signis natalia glorificasse. Manifestæ enim Italorum clades et quales antea nunquam fuerant, et Persarum quæ tunc temporis evenere in hoc Romanos adduxerunt ut meliorem suorum celebrent conversionem, in hoc etiam adduxerunt ut evidentissime prænoscant præsentem prosperitatem. Et mihi videtur quod si poetæ in nostra ætate viverent et rebus quæ tum contigerunt adessent, neglexissent quidem celebrare illud Herculis, quod dracones, qui ad eum vix natum accesserunt, perierint, sed tua tantum natalia celebrassent, præter modum illa mirantes et illis omnes carmina impendentes, quoniam te ab incunabulis duæ maximæ gentes aggrediebantur, regno tuo officere molientes, aggressæ autem pessime perierunt, cum fausta tua fortuna per manum paternam illis obstitorit.

ὄντι προσῄει μὲν δύο τὰ μέγιστα τῶν ἐθνῶν σκοποῦντα βλάπτειν σου τὴν ἀρχὴν, προσιόντα δὲ κακῶς παραπώλετο, τῆς ἀγαθῆς σου τύχης διὰ τῆς πατρικῆς χειρὸς ἀντιταξαμένης αὐτοῖς.

(3) Est hic μεσότης intervallum quo quid ab aliqua re alia separatur. Aliis verbis: Οὐκ ἔστι μετρεῖν οὔτ' ἀριθμεῖν τὸ μέσον, οὕτω πολύ ἐστι.

(4) Theodora enim ejus mater filia fuit Joannis Ducæ. Vide Cangii Familias Byzant. p. 234.

(6) Nolim verbum tale excidisse oratori elegantissimo.

(6) Niceph. Gregoras IV, 1, 2.



OCR ABK/FR

Proavorum equidem virtutes et ipsorum regum qui nuper exstiterunt sigillatim recensere et te ostendere qualis ex quibus ortus es magis scriptoribus et iis quæ historiam componunt quam nobis proprium opus esse profiteor: cum præsens ille sermo non est historicum opus, hoc tantum præteriens dico, quod, magna jampridem una cum tuo genere adorsa gloria, dum alii mutatione succubuerunt et in deterius dilapsi sunt, solum genus tuum mutationi non fuit obnoxium; sed contra ut amplitudine proficit, ita et gloria profecisse videtur, et progrediendo majus seipso factum esse, naturæ instar fluviorum, qui eo magis incrementum susciperent, quo magis in terram proeunt et majorem plagam perlustrant. Sed tu, cum Oceanus decorum nobis ab ipsa nativitate potius quam flumen apparueris, tanto magis avitæ gloriæ fluctu ad proprium honorem non indigebas, etiamsi superadditur tibi non indigenti, ut proavis gloriæ coronam et felicitatis cumulum per tua ipse imposueris, et quod honestum erat amplius honestando, et quod clarum erat seipso clarius exhibendo. Quæ illis major esset gloria, quæ dignitas, quale splendidius et magnificentius ornamentum quam te, magnum ac divinum prorsus ingenium, ex illis exstitisse? Quem vix natum omnibus quæ imperio congruunt Deus exornavit, ut sit nihil in te, quod non regem manifesto ostendere videatur, etiam in puerili corporis gracilitate. Quemadmodum enim non potest non lumen esse quod a lumine abscondas, sic nec in te, rex, quidquid nullo modo poterat inveniri, quod non aperte imperatorium esse et genuisse regium aliquis dixerit; idcirco et communem naturam de seipsa superbire arbitror, cum tot præditus donis exstiteris.

Sed enim membrorum cujusque corporalium formositatem et illorum cum invicem concentum et congruentiam, nitorem pulchrum tui coloris, ex quibus tibi mirabilis utpote non feminea, sed virilis et heroica pulchritudo constitit, multis verbis valeo consequi; sed non secus ac qui dubitant an pulchrum sit ingens astrum oculis, visu debent inscitiæ mederi, non autem verbis, ita fere de hoc decet ratiocinari: omittere quidem verba, utpote in hac re inutilia, sensus autem audientium ad fidem assumere, et illis suadere ut per seipsos firmum judicium comperiant. Etenim quam in rege nunc licet intuentibus videre formositatem, ipsa tibi etiam discere cupienti quæ illi primum erat præsto est; cum nec præter eam alia sit, sed est plane ista, quæ cum cæteris pulchri corporis partibus adolevit et in hoc quod videmus constitit, illam simili et æquali ratione ab initio augente natura.

Cæterum vis hujus natura habilis corporis for-

A Προγόνων μὲν οὖν τῶν σῶν ἀρετὰς καὶ αὐτῶν δὴ τῶν προσεχῶς γεγεννηκότων βασιλέων κατὰ μέρος διεξιέναι, καί σε τοῖς πᾶσιν ἐμφῆναι οἷος ἐξ οἵων γεγέννηται, συγγραφεῦσι καὶ τοῖς ἱστορίαν συντάττουσιν ἤπερ ἡμῖν οἰκεῖον ἔργον εἶναί φημι· ἐπεὶ δ' οὐ συγγραφικὴ σπουδὴ τὰ παρόντα, ἐκεῖνο μόνον εἰπὼν μεταβήσομαι, ὅτι, μεγάλης ἄνωθεν τῷ σῷ γένει συνηργμένης εὐκλείας, τῶν ἄλλων ἁπάντων ὑποπεσόντων μεταβολῇ καὶ τὴν ἐπ' ἔλαττον κινηθέντων, τοῦδε μόνου τοῦ γένους οὐχ ἥψατο μεταβολή· τοὐναντίον μὲν οὖν προβαῖνον ὥσπερ τῷ πλήθει, οὕτω δὴ καὶ δόξῃ προβεβηκὸς φαίνεται, καὶ μεῖζον ἑαυτοῦ γεγονὸς ταῖς προόδοις κατὰ τὴν φύσιν τῶν ποταμῶν, οἳ τοσοῦτον αὐξήσεως προσλαμβάνουσιν, ὁπόσον δὴ τῆς γῆς προΐασι καὶ χῶρον πλείονα παραμείβουσιν. B Ἀλλὰ σύ γε καὶ θάλασσα ἱκανῶν ἡμῖν ἐξ αὐτῆς γενέσεως μᾶλλον ἢ ποταμὸς ἀναπέφηνας, τοσοῦτον τοῦ τῆς προγονικῆς εὐκλείας ῥεύματος εἰς οἰκείαν οὐ προσχρῄζων φιλοτιμίαν, κἂν πρόσεστι καὶ μὴ χρῄζοντι, ὅσον καὶ τοῖς προγόνοις τὸν τῆς δόξης στέφανον καὶ τὸ τῆς εὐδαιμονίας τέλειον ἐκ τῶν παρὰ σεαυτοῦ προσεπέθηκας, ὑπερδοξάσας τὸ δεδοξασμένον καὶ πολὺ μᾶλλον ἑαυτοῦ λαμπρότερον τὸ λαμπρὸν ἀποφήνας. Τίς γὰρ αὐτοῖς γένοιτ' ἂν μείζων φιλοτιμία, τίς σεμνότης, ποῖος εὐκλεέστερος καὶ μεγαλοπρεπέστερος κόσμος, ἢ τὸ ἐξ αὐτῶν σὲ, τὸ μέγα καὶ θεῖον ὄντως χρῆμα, φανῆναι; ᾧ καὶ παραχρῆμα γεννωμένῳ πάντα τῇ ἀρχῇ πρέποντα Θεὸς ἐχαρίσατο, ὡς εἶναι μηδὲν ἁπλῶς τῶν σῶν, ὃ μὴ βασιλέα σε σαφῶς ἐδόκει δεικνύναι, κἂν τῇ βρεφικῇ τοῦ σώματος ἁπαλότητι. Ὡς γὰρ C οὐκ ἔστι μὴ φῶς εἶναι ὅ τι ἂν τοῦ φωτὸς ἀποτέμοις, οὕτως οὐδὲ τῶν σῶν τι, βασιλεῦ, οὐκ ἦν οὐδὲν εὑρεῖν, ὃ μὴ ἀρχικὸν ἔφησέ τις ἐκδήλως εἶναι καὶ γνησίως βασιλικὸν, ἐφ' ᾧ καὶ τὴν κοινὴν μέγα φρονεῖν ἐφ' ἑαυτῇ φύσιν οἶμαι, οἷς εὐθὺς οὕτως ἔχων χαρίτων προῆλθες.

Ἀλλὰ γὰρ μελῶν ἑκάστου τῶν σωματικῶν εὐφυΐαν καὶ τὴν πρὸς ἄλληλα τούτων εὐαρμοστίαν καὶ συμφωνίαν, καὶ τὸ ἐπανθοῦν σοι καλὸν τῆς χροιᾶς, ἐξ ὧν δή σοι καὶ θαυμάσιον ὡς οὐ μαλακὸν, ἀλλ' ἀκριβῶς ἀνδρῶδες καὶ ἡρωϊκὸν, τὸ κάλλος συνίστατο, οὐδ' ἄν τις καὶ παριστάνειν ἱκανὸς ἔσται λόγος· ἀλλ', ὃν τρόπον τοῖς περὶ τοῦ μεγάλου φωστῆρος, εἰ καλός ἐστι, διαπορουμένοις ὀφθαλμῶν δεῖ καὶ ὄψεως θεραπεύειν τὴν ἀπορίαν, οὐχὶ δὲ καὶ λόγου, D οὕτω δήπου καὶ περὶ τούτου προσῆκον λογίζεσθαι· παραδραμεῖν μὲν τὸν λόγον ἅτε μηδὲν πρὸς τοῦτο δυνάμενον, παραλαβεῖν δὲ τὰς αἰσθήσεις τῶν ἀκουόντων εἰς πίστιν, καὶ δι' ἑαυτῶν αὐτοὺς πεῖσαι ἀναμφίλεκτον λαβεῖν τὴν ἀπόδειξιν. Καὶ γὰρ ἣν τῷ βασιλεῖ νῦν ἔξεστιν Ἀτενίζοντας ὁρᾷν ὡραιότητα, αὕτη σοι τῷ μαθεῖν αἱρουμένῳ καὶ τὴν ἐνοῦσαν ἀρχῆθεν παρίστησιν, οὐκ ἄλλη τις οὖσα παρ' ἐκείνην, ἀλλ' ἀκριβῶς ἐκείνη, συνεπιδεδωκυῖα τοῖς λοιποῖς τοῦ καλοῦ σώματος μέρεσι καὶ οἷς ὁ νῦν ὁρᾶται καθεστηκυῖα, δι' ὁμαλοῦς αὐτὴν καὶ ἴσης ἀναλογίας τῇ ἐξ ἀρχῆς κινησάσης τῆς φύσεως.

Πλὴν ἔργον τοῦ κατὰ φύσιν εὐαρμόστου τοῦδε

OCR ABK / FR

καλοῦ, οὐχ οἷον Ἑλλήνων παῖδες τὸ τῆς Ὀρφέως A κιθάρας φασὶ, δι' ὑπερβολῆς τὸν λόγον πρὸς τὸ μυθῶδες, ἐξάγοντες, οὐδ' οἷον αὖ τὸ τῶν Σειρήνων ποιοῦσιν. Ἐκείνη μὲν γὰρ θηρία θέλγειν ἠδύνατο, καὶ λίθους καὶ ξύλα, καὶ τὴν ἄλλην ἄψυχον φύσιν, ἀνθρώπους δὲ, καὶ τὰ δυνάμενα θέλγεσθαι, ἀγριαίνειν μᾶλλον ἐποίει καὶ χαλεπαίνειν, ὡς ἔδειξαν αἱ Θρᾷσσαι γυναῖκες αὐτὸν Ὀρφέα αὐτῇ μουσικῇ διαφθείρασαι· Σειρῆνες δὲ, κρατοῦσαι τῶν ἀκουόντων τῇ μελῳδίᾳ καὶ θέλγουσαι, ὅμως αὐτοὺς ἐπὶ τέλους ἀπώλλυον, τῆς σφετέρας ζωῆς ἀνοήτως τὴν ἐκείνων ᾠδὴν ὠνουμένους. Τοῦ δὲ σοῦ κάλλους ἔργον κηλεῖν τὰς ἁπάντων ὄψεις καὶ δι' αὐτῶν τὰς ψυχὰς, καὶ πείθειν πόῤῥωθέν σοι προστρέχειν καὶ πόθῳ συνδεῖσθαι, καὶ τῆς ἐπὶ σοὶ καλλιτεχνίας τὸν ἁρμοστὴν θαυμάζειν Θεόν. B

Καὶ γοῦν οὕτω χαρίτων τῶν ἔξωθεν, οὕτω καὶ κάλλους ἔχων εὐθὺς ἐξ ἀρχῆς, ἔτι μᾶλλον τὰ τῆς ψυχῆς παρεδείκνυς θαυμασιώτερα, κρυπτόμενα μὲν τέως καὶ συστελλόμενα τῷ τῆς φύσεως ἀτελεῖ, διαλάμποντα δ' ὅμως καὶ τότε, καθάπερ δι' ἐσόπτρου τοῦ δρωμένου καὶ οὐκ ἀμυδρῶς ἐμφαινόμενα. Οὐ γὰρ σθένει διὰ τέλους τὸ μεγαλοφυὲς τῆς ψυχῆς ἠρεμεῖν, οὐδὲ χρόνοις δουλεύειν τακτοῖς συστελλόμενον, ἀλλ' ἔστιν οὗ βίᾳ τὸ ἐπιπροσθοῦν ἐκτινάσσον, καθάπερ δὴ θερινὸν νέφος ἥλιος διαυγάζει τοῖς μὴ πάντη τεθολωμένοις τὸν νοῦν, καὶ τῆς τελειότητος ἐναργεῖς τὰς εἰκασίας, καὶ πρὸ τοῦ τὸν καιρὸν τῆς τελειότητος ἥκειν, παρέχεται. Τοιγαροῦν κἀν τοῖς βρεφικοῖς κινήμασιν ὁρᾷν ὑπῆρχε συνόντα καὶ τὰ πρεσβυτικὰ, καὶ τοῖς ἀθύρμασιν, ἃ δὴ ὁ χρόνος ἀπῄτει, σπουδὴ συνεκέκρατο, καὶ τὸ ψέλλισμα βα- C θέος παν ἅπασιν οὐκ ἠμοίρει νοὸς, ἐν πάσῃ δὲ φορᾷ τὸ εὐσταθὲς ἐκράτει, κἀπὶ πάσης ἐνεργείας καὶ πράξεως ἐνίκα τὸ συνετὸν, ἁπανταχοῦ τῶν ἔνδον πλεονεκτημάτων προαλλομένων τῆς ἡλικίας. Ὅθεν οὐδὲ διδασκάλου σοι Χείρωνος ἔδει τὰ πολεμικὰ ἐκπαιδεύοντος, οὐδὲ γέροντος ἄλλου παρομαρτοῦντος, ὑφηγητοῦ μὲν τῶν λόγων, ὑφηγητοῦ δὲ τῶν ἔργων, ὁποῖον Ὅμηρος ἐκ τῆς Ἑλλάδος (7) τῷ Ἀχιλλεῖ φησι συνεκπλεῦσαι τὸν Φοίνικα· ἦν δέ σοι παιδευτὴς καὶ διδάσκαλος ἀποχρῶν, αὐτὸ δὴ τὸ εὖ πεφυκέναι, ὀξέως μὲν εἰς εὕρεσιν καθιστῶν σε τοῦ δέοντος, ὀξέως δ' αὖ καὶ μετιέναι τοῦτο καὶ ἀνύειν παρασκευάζον. Εἰ δ' ἄρα ποτὲ καὶ διδασκάλου ἐδέησε, τίς ἄλλος οὗτος ἦν, εἰ μὴ ὁ μέγας βασιλεὺς καὶ πατὴρ, ὃν ἔφην ἂν ἐγὼ καὶ ἀσφαλῶς εἶπον πάν- D τας ὑπεραίρειν μεγαλονοίᾳ καὶ ἀγχινοίᾳ τοὺς κατ' αὐτὸν, εἰ μὴ τὸ σὸν προσίστατο, παιδὰ τοσοῦτον ἐκνικῆσαν, παρ' ὅσον ἐκεῖνος (πῶς ἂν εἴποιμι μετρίως ἅμα καὶ εὐπρεπῶς;) προήκων ἦν χρόνῳ καὶ τῷ βίῳ πλείοσιν ἡμέραις ὡμιληκὼς, ὥστ', ἄλλων ἄλλο τι τῶν τῆς σῆς νεότητος θαυμαζόντων, τῶν μὲν τὴν ξένην καὶ χάριτος γέμουσαν τῆς ἡλικίας διάθεσιν, ἀνατρέχουσαν οὐ μόνον πρὸς ὕψος ἔρνεϊ, καθ' Ὅμηρον ( ), ἴσην, ἀλλὰ καὶ πρὸς λόγον τοῦ

(7) Phœnicem Peleus filio comitem et magistrum dederat, Μύθων τε ῥητῆρ' ἔμεναι πρηκτῆρά τε ἔργων, ut est in *Iliad.* I.

A mæ, non erat sicut ea quam Græcorum gnati Orpheos citharæ tribuunt, prætermodum sermonem ad fabulam deflectendo, aut quam rursus Sirenis esse fingunt. Hæc enim feras demulcere potuit, et petras et ligna et aliam inanimam naturam, homines vero et quæ demulceri queunt, efferari potius et succenseri incitavit, ut ostenderunt Thraciæ mulieres a quibus ipse Orpheus suam ob musicam necatus est; Sirenes quæ vincebant audientes suavitate cantus et demulcebant, illos simul mercedis vice mactabant, propria vita stultos earum cantus ementes. Tuæ vero formositatis vis est delectanti omnium oculos et per eos animas, et impellendi longe ad te accurrere, et capi desiderio, atque eximii quod in te est operis Deum artificem B admirari.

Et igitur ita dotibus externis, ita et formositate primis ab annis ornatus eras, multo etiam in anima ostendens mirabiliora, quæ abdita primum et occulta præ imperfecta natura, etiam tunc tamen præfulgentia, quasi in speculo non obscure elucebant. Non enim potest omnino magnitudo animi quiescere, et temporibus fixis abdita deservire, sed est ut per vim impedimenta discutiens, quemadmodum sol æstivas nubes, eorum perfulgeat oculis quorum mens non plane obscuratur, et maturitatis claras imagines, antequam veniat tempus maturitatis, offerat. In puerilibus ergo ipsis motibus dotes quibus præditus eras et senile ingenium videre promptum erat, et jocis, quæ postulabat ætas, labor miscebatur, et prima verba alta mente C non vacabant, sed in omni impetu constantia regnabat, in omni acto et opera præstabat prudentia, cum dotes animæ ætatem prægredirentur. Idcirco nec tibi Chirone magistro ad bellicam artem ediscendam opus erat, nec alio sene ad te comitandum, ductore in dicendo, ductore et in agendo, qualem Homerus ex Græcia una cum Achille ait navigasse Phœnicem: erat enim tibi præceptor et magister idoneus, ipsa ingenua natura. Quæ te acriter ad indagationes justi constituebat, acriter rursus hoc omittere aut perficere impellebat. Si autem aliquando magistro indigueris, quis alius ille erat, nisi magnus rex et pater, quem dicerem, et merito dicerem, omnes coævos magnanimitate et solertia superare, nisi tu menti D occurreris, qui tantum non antecessisti, quod ille (quomodo dixerim æque simul ac congruenter?) provectus erat ætate et in vita longioribus a diebus versatus; ita ut, aliis aliud quid in juventute tua mirantibus, his equidem singularem et gratia plenum ætatis habitum, qui non tantum in altitudinem assurgebat plantæ, ut ait Homerus, similis, sed etiam pro ratione altitudines alias subibat conversiones, cum natura, prout quæ videmus testantur magno studio te educat et omne artificium

(8) Homerus *Iliad*, Σ, 56, de Achille: Ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος.

OCR ABK / FR

conferat; illis robur et magnas vires, utpote insolita et mirabilia, atque ætatem exsuperantia; illis tuam in telis ac jaculis adversus feras et omnia quæ ferire opus erat injiciendis dexteritatem, alteris tuam in equitando, in vibrantis spiculis et in clypeo ad tutamentum armis objiciendo ac in hoste haud ægre inter aciem sternendo solertiam, hæc aliis merito celebrantibus et mirantibus, non est quidam cui majorem ego admirationem impertiar, quam tuæ ingenitæ sapientiæ beneficio. Solomonis equidem, etiam pueri, miramur sapientiam et æquitatem, atque in quibusdam quæstionibus intricatis enodandis prudentiam: etenim præ cæteris scriptores sedulos sortitus est, omnium illius gestorum quasi ephemerides facere gestientes; tibi autem si adesset impiger scriptor, dum etiam multo delicatius haberes corpus quam cum Solomonis istas lis dijudicavit, mox sermones et sententias illius historia superaret, res conscribens, quæ numero atque perfectione essent præstantiores.

A ὕψους τὰς λοιπὰς διαστάσεις λαμβάνουσαν, ἐνταῦθα δὴ τῆς φύσεως, καλὰ δὴ καὶ τὸ ὁρώμενον μαρτυρεῖ, φιλοτιμότερον κινουμένης καὶ πᾶσαν εἰσφερομένης φιλοτεχνίαν, τῶν δὲ τὴν ἰσχὺν καὶ τὸ σφόδρα ῥωμαλέον τοῦ σώματος ὡς ὑπερφυῆ τε καὶ θαυμαστὰ καὶ πρὸ τῆς ἡλικίας ἀπηντηκότα, ἑτέρων τὴν περὶ τόξα καὶ ἀφέσεις βελῶν κατὰ θηρίων καὶ τοῦ ἐν χρείᾳ παντὸς βληθῆναι παρὰ σοῦ δεξιότητα, ἄλλων τὴν περὶ ἱπποσύνην, καὶ τὸ τινάσσειν αἰχμὴν καὶ ἀσπίδα προβάλλεσθαι καὶ φράσσεσθαι ὅπλοις, καὶ πολέμιον ἐπὶ παρατάξεως οὐ χαλεπῶς καταβαλεῖν, ἐπιστήμην, ταῦτα τῶν ἄλλων δικαίως ὑμνούντων καὶ θαυμαζόντων, οὐκ ἔστιν ᾧτινι μᾶλλον ἐγὼ θαύματος νέμω τοῦ ἐν σοὶ τῆς αὐτόθεν σοφίας χαρίσματος. Σολομῶντος μὲν γὰρ θαυμάζεται καὶ παιδὸς ὄντος σοφία καὶ εὐθυδικία καὶ σοφή τινων ἀπόρων προ-
B βλημάτων διάκρισις· καὶ γὰρ πρὸς τοῖς ἄλλοις καὶ συγγραφέων προθύμων ἐτύγχανε, πάντα βουλομένων τὰ ἐκείνου ὥσπερ ἐφημερίδας ποιεῖν· σοὶ δ' εἰ παρῆν ἄοκνος συγγραφεὺς, ἡνίκα καὶ ἁπαλώτερον πολὺ μᾶλλον εἶχες τὸ σῶμα ἢ ὅτε ἐκεῖνα Σολομῶν ἔκρινε, τάχ' ἂν παρῆλθε τοὺς ἐκείνου τῇ συγγραφῇ λόγους τε καὶ νοήματα, πλήθει τε καὶ ἀκριβείᾳ νικῶντα ἀπογραφόμενος.

Ita quidem se res habebant priusquam ad juventutis gradum devenisses: postquam autem illam adeptus eras, denudabatur animi magnanimitas, et rationis robur plane effulgebat, et simul crescebat de te admiratio et animos potissimum invadebat et ardens amor, spes Romanorum confirmabantur, et omnis naturæ tristitiam magna futurorum consolabatur exspectatio. Præter his omnibus videbaris humanitatem et viscera misericordiæ induisse; et revera induebas et commovebaris generis calamitatibus, quantum non ipsi qui in illis inciderant; et si accidisset aliquem in pœnas incurrere, cum liberatus erat a damnatione, majore de hoc lætitia affectus et gaudio plenus eras quam ipsi illi sanguine conjuncti.

Ἀλλὰ ταῦτα μὲν ἦν καὶ πρὸ τοῦ ἐς μέτρον ἥβης ἐλθεῖν. ἐπεὶ δ' εἰς τοῦτο προήεις, παρεγυμνοῦτο μὲν τὸ τῆς ψυχῆς εὐγενὲς καὶ τὰ τῶν λογισμῶν ἰσχυρὰ διεφαίνετο, συνεπεδίδου δὲ καὶ τὸ περὶ σὲ θαῦμα καὶ μᾶλλον ἥπτετο τῶν ψυχῶν, ἀνήπτετο δὲ καὶ λαμπρὸς ὁ ἔρως, τὰ δὲ τῶν ἐλπίδων Ῥωμαίοις ἐπλατύνετο, καὶ πᾶσα δυσχεροῦς φύσις τῇ μεγάλῃ τῶν μελλόντων ἐπεκουφίζετο προσδοκίᾳ. Φιλανθρωπίαν γὰρ μετὰ τῶν ἄλλων ἐδόκεις καὶ σπλάγχνα οἰκτιρμῶν ἐνδεδύσθαι, καὶ ἐνεδέδυσο, ἐκάμπτου τε
C συμφοραῖς τοῦ γένους, ὅσον οὐδ' ἂν οἱ περιπεσόντες αὐτοί· κἂν ἔτυχέ τις ὑπ' εὐθύνην γενόμενος, εἶτ' ἐρρύσθη τῆς καταδίκης, μᾶλλον ἐγεγήθεις ἐπ' αὐτῷ καὶ ἡδονῆς ἐπληροῦ ἤπερ οἱ γένει προσήκοντες.

Hæc Romanorum spes erigebant et amplificabant; hæc et præterea prudentia et mirabilis sapientia quibus maxime omnium tuum genus præditum erat incitabant illos pro te deprecari. Non enim erat ut patri assidens, consilio proposito de bellicis certaminibus aut alia necessitate, seniorum ducum peritiam et sapientium aliunde senatorum prudentiam non superaveris, atque optimam protuleris sententiam, et quæ potissimam rebus publicis consulere potuit. Unde et tropæorum et victoriarum, quas ubique Illyriorum terræ et Peloponnesi et Acarnaniæ et iterum Asiæ et Phrygiæ et versus Mæandrum Cariæ, Romanorum manus patraverunt, regem et patrem tuum, post Deum, dicet aliquis auctorem fuisse; sed tibi potissimum, divinissime rex, non minus quam patri illorum causam ascribet, si hæccine perspiciat: ille dies transigebat deliberando? et tu transigebas; noctes totas præterea consumebat consulendo? tu quoque pernoctabas; negotiis distractus erat? Pariter et eras distractus, et tantum

Ταῦτα τὰς Ῥωμαίων ἐλπίδας ἀνύψου καὶ μεγάλας ἐποίει· ταῦτα πρὸς εὐχὰς αὐτοὺς τὰς ὑπὲρ σοῦ διανίστα, καὶ παρὰ ταῦτα ἡ προμήθεια καὶ τὸ μέγα τῆς συνέσεως χρῆμα, ὧν ἐν τοῖς μεγίστοις τὸ σὸν γένος ἀπώνατο. Οὐ γάρ ἦν ὅπου τῷ πατρὶ παρεδρεύων, καὶ σκέψεως περὶ πολεμικῶν προκειμένης ἀγώνων ἢ τινος ἑτέρου τῶν ἀναγκαίων, οὐχὶ καὶ γερόντων στρατηγῶν ἐμπειρίαν καὶ σοφῶν ἄλλως βουλευτῶν ἐνίκας φρόνησιν, καὶ τὴν καλλίστην εἰσ-
D έφερες τῶν γνωμῶν καὶ ἣ μάλιστα τοῖς κοινοῖς βοηθεῖν εἶχε πράγμασιν. Ὅθεν καὶ τρόπαια καὶ νίκας ἐκείνας, ἃς ἁπανταχοῦ τῆς Ἰλλυριῶν γῆς, καὶ Πελοποννήσου καὶ Ἀκαρνανίας, καὶ αὖ Ἀσίας καὶ Φρυγίας, καὶ τῆς πρὸς Μαίανδρον Καρίας, αἱ χεῖρες Ῥωμαίων εἰργάσαντο, ἐρεῖ μὲν ἄν τις αἴτιον μετά γε Θεὸν τὸν βασιλέα καὶ πατέρα τὸν σὸν αὐτὰς ἐσχηκέναι· οὐ μὴν ἀλλὰ καὶ σοί γε, θεῖε βασιλεῦ, οὐδαμῶς ἧττον ἢ τῷ πατρὶ τὴν αἰτίαν τούτων προσεπιγράφεται, σκοπῶν οὑτωσί· διημέρευε βουλευόμενος ἐκεῖνος; συνδιημέρευες· νύκτας ὅλας προσεδαπάνα τῇ σκέψει; προσεπαννύχιζες· ἐμερίζετο ταῖς φρον-

OCR ABK / FR

τίσι; συνεμερίζου· καὶ τοσοῦτόν γε δὴ τῇ νεότητι ῥᾳστώνης ἐδίδους, ὁπόσον οὐδεὶς ἑκὼν ἑαυτῷ τὰ μέγιστα ταλαιπωριῶν τε καὶ πόνων προσνέμοι.

Οὐ μέχρι δὲ τούτων ὑπὲρ Ῥωμαίων καὶ τοῦ θεόθεν σοι κλήρου τὸ κηδεμονικὸν ἐπεδείκνυτο, οὐδὲ μόνον, ἐν τοῖς βασιλείοις καθήμενος, διὰ πολλοῦ τοῦ μέσου τὴν ἐπικουρίαν παρεῖχες τοῖς πράγμασιν, ἀλλὰ δὴ καὶ ἀπαίρων, καὶ πολλάκις ἀπαίρων, καὶ τοῖς καθ' ἕκαστα καὶ μάλιστα τοῖς ἐν χρείᾳ οὖσι βοηθείας ἐφιστάμενος, παρεῖχες μετὰ πολλοῦ τοῦ περιόντος τὴν ἀρωγήν, καὶ ὡς ἱκανῶς ἀνελάμβανες. Ἔχει πολλὰ σοῦ τῆς προνοίας καὶ παρουσίας ἡ τοῦ ἄστεος Φιλαδελφείας (9) περίχωρος κατορθώματα διηγεῖσθαι· ἔχει δὲ καὶ Μυσία καὶ Μηονία καὶ τὰ ἄνω Λυδίας, οὐκ ἐλάττω δὲ καὶ Ἰωνία καὶ ἡ περὶ ταύτην Ἀσία· οὐ γάρ ἐστιν, οὐ πόλις, οὐ χώρα, οὐ τόπος τις ἄλλος ὃς, ἀπολαύσας σου παρόντος, οὐχ ἅμα καὶ τῶν καλῶν ἑνὸς συναπολαύσας ἐφάνη. Ἢ γὰρ φεύγοντας τοὺς ὁμόρους εἶδε βαρβάρους, ἢ σφαττομένους ἢ ἁλισκομένους, ἤ τι παραπλήσιον πάσχοντας, καὶ τὴν ἐκείνων ἐπανηγύρισε συμφορὰν, ἢ πόλισμά τι ἐδέξατο καὶ τῆς καταδρομῆς ἀπηλλάγη, ἐχυρώτερος ἑαυτοῦ καὶ ἀσφαλέστερος γεγονὼς, ἢ στρατιώτης περιελήφθη (10) φρουραῖς, καὶ τοῖς ἐθέλουσιν ἐπὶ λύμῃ προσιέναι φοβερώσερος γέγονεν, ἤ τι ἕτερον σωτηρίας ἐχέγγυον ἔσχε, καὶ τὴν θαυμαστὴν περὶ πάντα κηρύττει σου πρόνοιαν. Καὶ γὰρ ὅπερ αἱ σκιαὶ πάσχουσι, προσιόντος ἡλίου, τοῦτ' ἀτεχνῶς, ὡς μόνον προσήγγιζες, πᾶσα βαρβαρικὴ σύστασις ἐφαίνετο πάσχουσα, σκεδαζομένη καὶ λυομένη καὶ τὴν παρουσίαν οὐ φέρουσα.

Ἀλλὰ τὰ μὲν εἰρημένα ταῦτα τῆς τοῦ βασιλέως, τοῦτο μὲν ἀνδρίας, τοῦτο δὲ κηδεμονίας, τεκμήρια πόῤῥω τοῦ νῦν ἐστι, καὶ εἰ μὴ πολλοῖς πρότερον ἔτεσι γέγονεν· ἃ δ' ἐγγύτερόν ἐστι καὶ τῶν ἀκουόντων ὥσπερ ἐν ὀφθαλμοῖς, ἐβουλόμην (11) τὸ τῶν ποιητῶν ἅπαν σύνταγμα περιεῖναι τῷ βίῳ, κἀκείνοις συμφρονήσασι καὶ μίαν ἁρμοσαμένοις φωνὴν παραχωρῆσαι περὶ τούτων εἰπεῖν· τάχα γὰρ ἔδοξαν ὁπωσοῦν τῇ φύσει προσιέναι τῶν ἔργων, ὥσπερ ἐράνου φορὰν ποιησάμενοι καὶ συνεισενεγκόντες τῷ λόγῳ, ἄλλος ἄλλο τι τούτῳ μεγαληγορίας ἐμπεπνευκότες ποιητικῆς καὶ δυνάμεως. Ἐμοὶ δ', ὁπότερον ἄρα καὶ δράσαιμι, οὐκ ὀλίγον φοβεῖσθαι παρίσταται. Δέδοικα γὰρ μὴ, φθεγξάμενος, θρασύτητος ἔγκλημα καὶ ἀπονοίας, ἔτι δὲ καὶ ἀμαθίας, ἀποίσομαι, εἰ σμικρῷ καὶ χαμαιπετεῖ λόγῳ ἔργον ὑπερβάλλον ἀξίωμα ταπεινώσω, δέον τοῖς ὑψηλοῖς τὸν ὑψηλὸν προσιέναι, οὐ μὴν καὶ τὸν ἄλλως ἔχοντα καὶ ὃς, εἰπεῖν τολμήσας, εἰς ἀδοξίαν τῶν προκειμένων ἐρεῖ. Δέδοικα πάλιν, σιγήσας, τὰς τῆς ἀγνωμοσύνης ἑτέρωθεν ἀναπηδώσας αἰτίας· ἀγνωμοσύνη γὰρ ἀληθῶς, εἴ τις καὶ ὁπωσοῦν φθέγγεσθαι δύναται, εἶτα σιγῇ παρέρχεται ἃ μὴ θέμις σιγᾶν. Τῶν οὖν δύο τοὔλαττον ἑλόμενος φοβερὸν (μέγα γὰρ ἀγνωμοσύνη

A juventuti laxamenta dabas, quantum nemo sibi libens maximas calamitates et pœnas assumeret.

Non eatenus super Romanis et hæreditate a Deo data sollicitudine ostendebas, non tantum, in regibus assidens, longo intervallo rebus afferebas auxilium, sed etiam discedens et sæpe discedens, et unicuique atque præsertim præsidio indigentibus astans, magna cum ubertate præstabas subsidium, et maxime reficiebas. Habent multa tuæ providentiæ et opitulationis facinora enarrare circumjecta Philadelphiæ; habent et Mysia et Meonia et Lydia superior, nec minora Ionia et quæ circumdat eam Asia: non est enim aut civitas, aut regio, aut alius quis locus, qui te præsente fruitus, non simul B aliquo beneficio perfruitus evaserit. Sive enim fugatos viderit propinquos Barbaros, sive trucidatos, sive captos, sive aliud quid patientes illorum celebravit cladem, sive aliquod oppidum acceperit et ab incursionibus fuerit liberatus, factus ipso munitior atque tutior, sive copiæ relictæ fuerint ubique in præsidiis, et ad nocendum prodire volentibus terribilior exstiterit, sive alium quemvis salutis habuerit obsidem, admirabilem tuam prudentiam in his prædicavit. Etenim quod tenebræ, adveniente sole, experiuntur, illud prorsus ubi tantum appropinquabas, omnis barbara coitio experiri visa est, cum dissipata fuerit ac dissoluta, atque præsentiam non toleraverit.

C Sed hæc quæ dixi tum regiæ strenuitatis, tum sollicitudinis testimonia a tempore præsenti procul absunt, et nisi multis abhinc annis innotuerint. De his autem quæ propinquiora sunt et audientium quasi ante oculos, omne poetarum agmen superesse velim, et eis consensientibus et unam optantibus vocem dicenda permittere: mox enim ad naturam rei quocumque modo videretur attingere, quia unusquisque tributum daret et conferret dicendo, cum alius aliud quid ex magniloquentia de robore poeseos inspiraret. Mihi vero, quomodocunque egerim, non parum timere superest. Metuo enim ne locutus temeritatis vituperationem et dementiæ et etiam ignorantiæ sustineam, si parvo et humi serpente sermone faci- D norum præstantiorem dignitatem imminuam, cum oporteat excelsis excelsum aliquem consonare, non autem illum qui aliter sese habet et qui dicere ausus, ad rerum dedecus loquitur. Metuo rursus ne, silendo, injustitiæ crimen aliunde in me redundet; illud enim injustitia est, si quis, cum loqui quocunque modo possit, silentio prætereat quæ silere nefas est. Quorum ergo ex duobus minus timendum eligens (magnum enim malum

(9) Moschopulus Π. σχ. p. 121: Φιλαδέλφεια πόλις, τὸ φει δίφθογγον· φιλαδελφία δὲ, ἰῶτα.

(10) Malim περιελείφθη· « Milites relicti sunt in castellis ac præsidiis. »

(11) Post ἐβουλόμην perisse ἂν videtur.

OCR ABK / FR

injustitia est et magna sunt illius pœnæ (sermonem faciam: omnino autem ignoscar, si, omne conferendo studium ut verba factis exæquandæ proferam, invitus in propositum delinquam.

Jam ergo res Asiaticas meus rex recte componebat, atque, parum abest, recte composuerat cum pater et rex ad seipsum et Europam illum convocavit, res maxime necessarias deliberandas et agendas, quale sæpe regium imperium circumveniunt causam prætendentes convocationis. Convocatus est igitur, et etiam illa orbis excelsa et magna civitas habuit. Et tunc per decessum regis, erigitur Persarum genus, in nostra Asia circumfusum, Deo fœdifragum, fœdrifragum et in homines legitime Deo confidentes, et evectum congregatur, et congregatum recepit animum, et arma capit nunc latrocinia, nunc incursiones faciens cumque numero ingens esset et undique aggrederetur, turbulentum si unquam fuerit et nefarium in Asia se constituit. Sed contra illos procedis et rursus, o rex, vehementior subito, sicut cœli fulmina, juxta ira impellente, in illos irruis: tum propriam perniciem agnoscunt, tunc (1), quod in eorum capitis exitium arma tua tentare ausi fuerint.

A κακὸν καὶ μεγάλα ταύτης τἀπιτίμια), τοῦ λόγου γενήσομαι· πάντως δὲ συγγνωσθήσομαι, εἰ, πᾶσαν εἰσφέρων σπουδὴν ἐφαμίλλως τοὺς λόγους τοῖς ἔργοις ἐνδείξασθαι, ἄκων διαμαρτάνω σκοποῦ.

Ἤδη μὲν οὖν τὸν ἐμὸν βασιλέα τὰ κατὰ τὴν Ἀσίαν εὖ διατιθέμενον καὶ, μικροῦ δεῖν, εὖ διαθέμενον, ὁ πατὴρ καὶ βασιλεὺς πρὸς ἑαυτὸν καὶ τὴν Εὐρώπην μετεκαλεῖτο, σκέμματά τινα τῶν ἀναγκαιοτάτων καὶ πράξεις, οἷα πολλὰ καὶ πολλάκις τὴν βασίλειον ἀρχὴν περιίσταται, πρόφασιν ἔχων τῆς μετακλήσεως. Μετεκαλεῖτο γοῦν, καὶ αὐτὸν ἡ τῆς οἰκουμένης ἀκρόπολις ἤδε καὶ μεγαλόπολις εἶχε Καὶ τότε πρὸς τὴν τοῦ βασιλέως διάβασιν ἐπαίρεται τὸ τὴν ἡμετέραν Ἀσίαν περικαθήμενον Περσικὸν γένος, ἔκσπονδον τοῦτο Θεῷ, ἔκσπονδον δὲ καὶ ἀνθρώποις
B τοῖς γνησίως Θεῷ προσανέχουσι, καὶ ἐπηρμένον συνίσταται, καὶ ἀναθαρσεῖ συστὰν, καὶ ὅπλων ἅπτεται, καὶ τοῦτο μὲν λῃστείαις, τοῦτο δὲ καὶ ἐκδρομαῖς χρώμενον, πολύς τε ὂν ἀριθμὸς, καὶ πολλαχόθεν προσβάλλον, ὀχληρὸν εἴπερ ποτὲ καὶ λυπηρὸν τοῖς ἐν Ἀσίᾳ καθίσταται. Ἀλλὰ διαβαίνεις πρὸς τούτους, καὶ πάλιν, ὦ βασιλεῦ, σφοδρότερος τοῦ συνήθους καὶ οἷόν τι τῶν ἐξ οὐρανοῦ βελῶν, θυμοῦ δικαίου κινοῦντος, ἐμπίπτεις αὐτοῖς. καὶ τότε τὸν οἰκεῖον ἐπιγινώσκουσιν ὄλεθρον, καὶ τότε ὡς ἐπὶ κακῷ τῶν σφετέρων κεφαλῶν τὴν πεῖραν τῶν ὅπλων ἐτόλμησαν.

Multa vero ex his quæ in intervallo egisti silentio prætermittam, consilia, cogitata, proposita neque die neque nocte remissa, armorum comparationes, apparatus belli, concursationes ad auxilia petenda, machinationes, insidias, incursiones, nunc apertas, nunc occultas, prout aggredientibus videbatur conferre, suasiones de bello componendo, et rursus adhortationes ad bellum et cætera quæcunque testantur te ducem optimum atque perfectissimum exstitisse. Illud autem magnum specimen amoris erga nos, fiduciæ in Deum, et etiam magnimitatis, strenuitatis, et incitamenti dicere non aversabor, te scilicet nunquam deseruisse milites, sed ipsum duxisse eos more ducis, et, sicut militem in pugna et in acie interfuisse, et prœlii locum sanguine Persarum imbuisse. Hoc tuum facinus regio inter Lydiam et Ioniam sita cognovit; aliud vero clarissimum, et illud non multo hisce diebus posterius, circa Laodicæam patratum est: et ante ista non inferius eis aliud Philadelphi civitas prope seipsam factum esse conspexit. Perfruita est quoque talibus non exiguis citra Mæandrum Caria; et media maxime Ionia multis perfruita est, et vidit magnum flumen Caystrum fluctus sanguine Persarum tinctos; et sita versus Olympum Phrygia et etiam Mysia quæ ingentes Persarum copias excepit, magnam apud illos vidit regis victoriam; denique, ne longior sim, in Asiam progrediendo et eam mundando a Barbaris, rex illam alio modo contaminatam reddit, cruore scilicet Barbarorum.

Bellica ergo hæc regis facinora (et nonnulla

Ἀλλὰ γὰρ πολλά σου τῶν ἐν μέσῳ σιωπῇ παρελεύσομαι, βουλὰς, ἐπινοίας, φροντίδας, νύκτωρ καὶ μεθ' ἡμέραν οὐ διαλειπούσας, ὁπλίσεις, παρασκευὰς, μεταβάσεις πρὸς τὸ χρῇζον ἀεὶ βοηθείας, ἐνέδρας,
C λόχους, ἐπιθέσεις, τὰς μὲν ἐκ τοῦ ἀφανοῦς, τὰς δ' ἐκ τοῦ προφανοῦς, ὡς ἂν ἐδόκει συνενεγκεῖν μετιοῦσιν, εἰσηγήσεις τοῦ πῶς μετιτέον τὸν πόλεμον, καὶ αὖ παρακλήσεις πρὸς πόλεμον, τἆλλα ὅσα σε στρατηγῶν τὸν ἄριστον παριστάνειν εἶχε καὶ τελεώτατον. Ἐκεῖνο δὲ μέγα σύμβολον ὂν ἀγάπης τῆς πρὸς ἡμᾶς, ἐλπίδος τῆς πρὸς Θεὸν, καὶ ἔτι γενναιότητος, ἀνδρίας, παρακλήσεως, ἁπάντων τῶν καλλίστων, λέγειν οὐ παραιτήσομαι, ὅτι καὶ τὴν στρατιὰν οὐκ ἐξέπεμπες, ἀλλ' αὐτὸς ἦγες στρατηγοῦ νόμῳ, καὶ τῆς παρατάξεως στρατιωτικῶς καὶ τῆς μάχης μετειλήφας, καὶ τὸν τῆς συμπλοκῆς τόπον ἀπὸ Περσικῶν αἱμάτων ἐμέθυσας. Τοῦτο μὲν οὖν σοῦ τὸ ἔργον ὁ μεταξὺ Λυδίας καὶ Ἰωνίας ἔγνωκε τόπος· ἄλλο δὲ περιφανέστατον καὶ αὐτὸ ἡμέραις ὕστερον οὐ πολλαῖς περί που Λαοδίκειαν πέπρακται, καὶ πρὸ
D τούτων οὐκ ἔλαττον τούτων ἕτερον ἡ Φιλαδέλφου πόλις ἄγχιστά πη ἑαυτῆς γεγενημένον ἑώρακεν. Ἀπήλαυσε δὲ τοιούτων οὐκ ὀλίγων καὶ ἡ πέραν Μαιάνδρου Καρία· καὶ Ἰωνίας δὲ τὸ μεσαίτατον πολλῶν ἄλλων ἀπήλαυσεν, ὅπου καὶ πολὺς ῥέων ὁ Κάϋστρος ὅμως τὸ ῥόθιον ἐξ αἱμάτων ἔβαψε Περσικῶν· ἡ δέ γε πρὸς Ὄλυμπον Φρυγία, εἴτουν Μυσία, μέγα Περσῶν στράτευμα δεξαμένη, μέγα καὶ τὸ κατ' αὐτῶν τοῦ βασιλέως εἶδεν ἐκνίκημα. Συνελόντα δὲ φάναι, διαβὰς εἰς Ἀσίαν, καὶ καθαίρων ἐκ Βαρβάρων ταύτην, ὁ βασιλεὺς χρανθῆναι τρόπον ἄλλον αὐτὴν βαρβαρικοῖς λύθροις πεποίηκε.

Πολεμικαὶ μὲν οὖν πράξεις αὗται τοῦ βασιλέως,

OCR ABK / FR

καὶ τὰς πλείους παρῆκεν ὁ λόγος, τὸ μῆκος ὑφορώμενος· αἱ δ' αὐταὶ καὶ τῆς ὑπὲρ ἡμῶν προνοίας ἐναργεῖς ἀποδείξεις. Ἔχεται δὲ τῆς αὐτῆς προνοίας καὶ ἡ περὶ τὰ φρούρια πρᾶξις, οἷς δὴ παμπόλλοις τὰ καίρια διειληφὼς τῆς χώρας, τὰς ἐφόδους Περσῶν ἀπετείχισε. Πρὸ δὲ τούτων ἐκεῖνο μέγα κηδεμονίας τεκμήριον καὶ τοῦ πᾶν ἀγαθὸν Ῥωμαίοις τὸν βασιλέα καὶ βούλεσθαι καὶ εἰς δύναμιν πραγματεύεσθαι, ὅ με (πῶς; οὐκ οἶδα) μικροῦ καὶ διέδραμεν, ὅν γε καὶ ταῦτα τοσοῦτον, λέγω δὴ ὁ τῶν μεγάλων Τράλλεων τειχισμός.

Ἦσαν μὲν (12) οὖν αἱ Τράλλεις πόλις ἐν καλῷ τῆς Ἀσίας κειμένη, μεγέθους τε μείζονος ἢ κατὰ τὰς πόλεις ἀπολαύουσα, καὶ περιφανὴς ἐν ταύταις ὑπάρχουσα· ἦσαν δὲ πάλαι ποτὲ, πρὶν δηλονότι τὸν πάντα μεταβάλλοντα χρόνον καὶ αὐτὰς φθεῖραι μεταβαλόντα καὶ τοῦ ἀριθμοῦ ἐξῶσαι τῶν πόλεων, τείχη τε καθελόντα, οἰκίας τε ἀνατρέψαντα, κἀκ τῶν ἐρειπίων μόνων γνωρίζεσθαι καταλείψαντα. Ἀλλὰ μέχρι σοῦ, βασιλεῦ, ταῖς Τράλλεσιν ἡ φθορὰ καὶ τῷ χρόνῳ ἡ καύχησις· νυνὶ δὲ διὰ σοῦ πάλιν ἐν πόλεσιν ἐκεῖναι, οὐ κατὰ φιλοτιμίαν τοῦ πόλεως τοσαύτης οἰκιστὴν ἀκούεσθαι βούλεσθαι (οὐδὲ γὰρ ἐραστής γε σὺ κενῆς δόξης, οὐδ' ἐθέλεις ἐπὶ γῆς, κατὰ τοὺς μὴ ἔχοντας ἐλπίδα, μέγα κτήσασθαι ὄνομα), ἀλλὰ κατὰ χρείαν φρουρᾶς τῇ Ἀσίᾳ καὶ τοῦ μόνον ταύτῃ συμφέροντος. Ἀνιστᾷς οὖν αὐτὴ καὶ, δι' αὐτῆς, τῇ πάσῃ σχεδὸν Ἰωνίᾳ λαμπρὸν τὸν περίβολον ἀποδίδως, καὶ τὴν ἄλλην ὅση πόλεώς ἐστιν εὐπρέπεια, καὶ οἰκήτορας αὐτῇ πλῆθος ἀποχρῶν ἀπονέμεις, ἀριστίνδην τούτου τὴν ἐπιλογὴν οὐκ ἐκ μιᾶς πόλεως, ἐκ δὲ πολλῶν ποιησάμενος, οὐχ ἵνα μόνον τῆς δεχομένης, ἀλλὰ καὶ τῶν ἐκπεμψασῶν ὦσι φύλακες.

Ἀρετῶν μὲν οὖν τῶν ἄλλων τοιαῦθ' ὁ βασιλεὺς ἐξενήνοχε δείγματα καὶ ἔτι γε τελεώτερον ἐξενέγκοι προϊὼν τῷ χρόνῳ καὶ δυνάμεις πολλὰς ποιούμενος ἐν Θεῷ· τί δὲ περὶ τῆς πρώτης καὶ μεγίστης τῆς κατ' αὐτὸν, εὐσεβείας δὴ λέγω, τί περὶ ταύτης ἐρεῖς; ἔχεις ὑπερβολὴν ταύτης δεικνύναι; ἔχεις εἰπεῖν ὡς ἦν ποτε τοῦδε τοῦ ἀγαθοῦ ἢ φύλαξ ἀκριβέστερος, ἢ ζηλωτὴς θερμότερος, ἢ κήρυξ τρανότερος; Καὶ τίς ὁ ἐπαναγαγὼν σε παρασυρόμενον πρὸς ἃ μὴ θέμις εἰπεῖν (13); Τίς ὁ πρὸς Βαβυλῶνα καὶ τοὺς Ἀσσυρίους αἰχμάλωτον ἀπαγόμενον εἰς Ἱερουσαλὴμ ἀνασώσας; μάλιστα δὲ τίς ὁ ἐξ Ἑῴας πρὸς Δυσμὰς καὶ τὸν ἐκεῖ ζόφον βίᾳ φερόμενον μεταβαλεῖν ποιήσας ἐξαίφνης τὸν δρόμον, τὴν πρὸς φῶς καὶ πάλιν κινεῖσθαί σοι δοὺς καὶ τὴν ἀκίνητον ἐν αὐτῷ χαρισάμενος ἵδρυσιν; Οὐχ ὁ νέος οὑτοσὶ Ζοροβάβελ (14), ὁ τὴν ἀλήθειαν καὶ φιλήσας καὶ τιμήσας

A prætermittit sermo, numerum ubi suspicatur) hæc illius super nos sollicitudinis manifestæ sunt significationes. Sollicitudinis istius pignus est, factum pertinens ad præsidia, quibus numerosioribus opportuna regionis loca intercludens, aggressus Persarum prohibuit: sed ante ista illud quod maxime testatur regis sollicitudinem, et illum Romanis prospera quæque aptare et pro viribus operari, me (quomodo? nescio) pene fugit, quamvis non alius impar sit, magnarum dico Trallium instauratio.

Erant equidem Tralles urbs in pulchro Asiæ situ collocata et majore quam quæ urbibus est gloria perfruens, et inter illas præclara: erant autem ita quondam, prinsquam scilicet omne ad quod

B servat et tempus illas submeetendo diruerit; et ab urbium numero amoveret mœnia disturbando, domosque evertendo et nisi ruderibus agnoscendum relinquendo. At usque ad te Trallibus erat exitium et tempori triumphus; nunc autem per te rursus sunt inter civitates, non quia tantæ urbis auctorem dici studeres (non enim amabas tu vanam gloriam, non volebas, super terra, sicut qui spem non habent, magnum nomen adipisci), sed propter necessitatem Asiæ tuendæ et solam illius utilitatem. Postquam ergo illam instaurasti et per illam dedisti universæ fere Ioniæ clarum munimentum, et restituisti novam quæ congruit urbi dignitatem, incolas numero sufficiente tribuis, optimos quosque non ex una civitate, sed ex multis

C seligendo, non ideo tantum ut acceptam urbem, sed etiam ut relictas custodiant.

Virtutum aliarum similia rex protulit exempla, et perfectiori modo protulit tempore progrediendo et apud Deum invalescendo: quid autem de prima et maxima illius virtute, pietate scilicet, quid de ea dicis? Potesne illius præstantiam ostendere? Potes dicere boni virtutis custodem illo fuisse solertiorem, æmulum flagrantiorem, et præconem manifestiorem? Et quis reduxit te, vagantem ad ea quæ dicere nefas est? Quis captivum ad Babylonem et Assyrios adductum ad Jerusalem revocavit? Quis præsertim ex Oriente ad Occidentem ferentis hic invito rege tenebras cursum mu-

D tare compulit, et dedit, ut rursum ad lumen venias, et præstitit in illa firmiter confirmare? Nonne alter ille Zorobabel qui veritatem dilexit et coluit atque fortem sese rursus significavit, atque magnam Jerusalem, videlicet Ecclesiam, restituit? Et

(12) De Trallibus ab Andronico instauratis vide Nicephor. Gregoram Hist. v. 5, 8, ubi in notis Boivinus hunc Gregorii locum, ab ἦσαν μὲν ad ἐν πόλεσιν ἐκεῖναι, e codicibus protulit. Quadriennio nondum elapso urbs, male ave restituta, fuit a Turcis expugnata; de qua cum orator loquatur ut inter civitates numeranda, manifestum est hanc orationem circa a. 1282, vel 1283, fuisse habitam.

(13) Innuit Gregorius tempus quo opinionem Latinorum de processione S. Spiritus tuebatur. Huc etiam sequentia alludunt, et in primis ubi ἐξ ἑῴας πρὸς δυσμὰς καὶ τὸν ἐκεῖ ζόφον φερόμενον se ait.

(14) Notum ex libro primo Esdræ Zorobabel præcipuum Israelitarum ducem eos e captivitate Babylonica Jerusalem reduxisse, atque ibi tem-

OCR ABK / FR

quis arcem confessionis tuæ labefactatam et humi corruere imminentem, ac pene corrutam stabiliit et rursus stare jussit, et recte ad cœlum erexit, superbum tuum eversorem ejecit et abstulit,et illius instrumenta (a) igni ingenti tradidit? Fœdus equidem percussimus, et non per Deum, et pactum, sed non per Spiritum ejus (opportune divinus Isaias loquatur), et decem annis continuis in adversum sententiæ nostræ ambulavimus, et exinde et fabula et opprobrium et ludibrium et subsannatio his qui sunt in circuitu nostro facti sumus; et fœdus (proh pudor!) erat bona instituta mutare et transgredi terminos, quos posuerunt patres nostri, ut quid fiat ? ut terram firmiter teneamus, nos ad cœlum impellere jussi! Attamen, cum hoc non successerit, satis docendum est si, postquam miserat nos Deus et humiliaverat et illum quærere edocuerat nos calamitatibus flexos et castigatos, secunda fuerit audaciæ aggressio : in vanum enim delinquere videbantur, ut, quemadmodum ait, simus deinceps in cultu puriores et in adoratione irreprehensibiles; quinam sanæ fidei, da mihi, sectatores et in omnibus gentibus doctores? quinam rectorum dogmatum patres? Quinam tribuerunt illis ad quos transmigrare coacti sumus non modo legum divinarum accuratam cognitionem, sed et disciplinarum utique notitiam, et illorum mentem atque linguam litterarum beneficio atque consortio nobilitaverunt? Sed præterea ita videbatur, et secundum quod visum fuit, actum est. Et tu illic mecum regem inspicias; vide quomodo zelus legis Domini et despecti testamenti eum comedebat; quomodo, cum nec auxilium ferre posses, nec reprimere cladem libere vulgatam et in omnes animos grassantem, mœstus et tristis, quanquam non videbatur vitam degebat, ita ut ignem in visceribus succendi et ab illo corripi cor ejus videretur.

A καὶ ἰσχυρὰν ἀνομολογήσας, καὶ τὴν μεγάλην Ἱερουσαλὴμ, εἴτουν τὴν Ἐκκλησίαν, ἀνοικοδομήσας; ὁ τὸν πύργον σου τῆς ὁμολογίας διασειόμενον, καὶ εἰς γόνυ πεσεῖν κινδυνεύοντα καὶ μικροῦ γε πεσόντα, ἑδράσας πάλιν καὶ ὀρθὸν στῆναι ποιήσας, καὶ ἀκλινῶς πρὸς οὐρανὸν ἀνατείνας, τὸν μεγάλαυχόν σου πορθητὴν (15) διασείσας καὶ καθελὼν, καὶ αὐτοῦ τὰ σκεύη μεγάλῃ φλογὶ (16) παραδούς; Βουλὴν μὲν οὖν ἐποιήσαμεν, καὶ οὐ διὰ Θεοῦ, καὶ συνθήκην, καὶ οὐ διὰ τοῦ πνεύματος αὐτοῦ (εἰς καιρὸν ὁ θεῖος Ἠσαΐας λεγέτω), καὶ δέκα ἐξῆς ἔτη ὀπίσω τῆς διανοίας ἡμῶν ἐπορεύθημεν, ἐξ οὗ καὶ παραβολὴ καὶ ὄνειδος καὶ χλεύη καὶ μυκτηρισμὸς τοῖς ἔθνεσι καὶ κύκλῳ ἡμῶν ἐγεγόνειμεν· ἡ δὲ βουλὴ (φεῦ τῆς αἰσχύνης!) τὰ καλῶς κείμενα κινεῖν καὶ ὅρια μεταίρειν ἃ ἔθεντο B οἱ πατέρες ἡμῶν, ἵνα τί γένηται; ἵνα τὴν γῆν βεβαίως οἰκήσωμεν (17) οἱ πρὸς οὐρανὸν ἐπείγεσθαι κελευόμενοι. Εἶθ', ὡς οὐ τοῦτο προέβαινεν, ἀγαπητὸν δὲ καὶ εἰ μὴ τοὐναντίον, ἐκγελῶντος ἡμᾶς τοῦ Θεοῦ καὶ σμικρύνοντος καὶ αὐτὸν ζητεῖν ἐκπαιδεύοντος ὑπὸ τῶν συμφορῶν νουθετουμένους καὶ καμπτομένους, δευτέρα τῆς τόλμης ἀφορμή· ἐδόκει γὰρ ἤδη καὶ διὰ κενῆς ἀνομεῖν, ἵνα, φησὶ, καθαρώτεροι τὸ σέβας ὦμεν τοῦ λοιποῦ καὶ τὴν λατρείαν ἀμώμητοι· οἱ (18) τῆς ὑγιαινούσης, εἰπέ μοι, πίστεως ἀκριβωταὶ καὶ πρὸς πάντα τὰ ἔθνη διδάσκαλοι; οἱ τῶν ὀρθῶν δογμάτων πατέρες; οἱ παρασχόντες τοῖς πρὸς οὓς ἐξεβιαζόμεθα μετατεθῆναι, οὐ μόνον δὴ νόμων τῶν θείων ἀκρίβειαν, ἀλλὰ καὶ παιδείας ὅλως γνῶσιν, καὶ τὸ τῆς ψυχῆς αὐτῶν ἅμα καὶ γλώττης βάρβαρον τῇ εὐεργεσίᾳ ταύτῃ καὶ μετ- C ουσίᾳ τῶν λόγων ἐξευγενίσαντες; Πλὴν οὕτως ἐδόκει, καὶ κατὰ τὸ δοκοῦν ἐτελεῖτο. Κἀνταῦτα σύ μοι σκόπει τὸν βασιλέα· ὅρα πῶς ὁ ζῆλος τοῦ νόμου Κυρίου καὶ τῆς οὕτω παρεωραμένης διαθήκης κατήσθιε, πῶς, ὅτι μὴ βοηθεῖν εἶχε, μηδὲ τὸ κακὸν ἀναστέλλειν ἀκάθεκτα φερόμενον καὶ ψυχῆς ἁπάσης ἁπτόμενον (19), πενθῶν καὶ σκυθρωπάζων, κἂν μὴ ἐδόκει, τὸν βίον διῆγεν, ἐπεὶ καὶ πῦρ ὑποσμύχειν ἐν τοῖς σπλάγχνοις ἐδόκει, καὶ αὐτὴν ὑπ' αὐτοῦ τὴν καρδίαν ἁλίσκεσθαι.

Quæ et unde rerum istarum fides? Ex ipsis quæ nunc videmus. Ubi enim auxiliandi facultatem habuisti, quale studium et alacritatem! Non tulit fere respirare antequam pietatem prædicaverit, nec de rebus suis cogitare, neque quidquam ex rebus internis componere,nec de externis curare, nec alia verba proferre, nisi « Festinemus novus

Τίς καὶ πόθεν τούτων ἡ πίστις; ἐξ αὐτῶν δὴ τῶν νῦν δρωμένων. Ὡς γὰρ τοῦ βοηθεῖν κύριος γέγονε (20), βαβαὶ τῆς σπουδῆς καὶ τοῦ τάχους (21)! Οὐκ ἤνεγκε σχεδὸν ἀναπνεῦσαι πρὶν τὴν εὐσέβειαν κηρύξαι, οὐ φροντίσαι τῶν καθ' ἑαυτὸν, οὐ τῶν D ἐντός τι διαθεῖναι, οὐδὲ περὶ τῶν ἐκτὸς διαστείλασθαι, οὐ λόγον ἄλλον προενεγκεῖν, ἢ ὅτι, « Σπεύδω-

plum ædificasse. Et esse scriptoribus Christianis Jerusalem Ecclesiæ symbolum quis ignorat?

(15) Ille πορθητὴς fidei Gregorium est Vecci, puto, allegoria, qui, cum Latinis faveret, fuit ab Andronico missus in exilium. Interpretationem confirmat glossa in cod. 1310 : Κατὰ τοῦ Βέκκου καὶ τῆς τότε ἑνώσεως.

(16) Igni traditum fuit Vecci volumen : vide Veccum Orat. de injusta sui depositione p. 29.

(17) Illa non plane intelligo. Voluitne innuere se rerum terrenarum causa Latinis favisse, scilicet ut Michaeli Palæologo, cui placebant, placeret?

(18) Cod. 3010, οἱ, si bene legi. Locus est vitiatus. Forsan, ἢ οἱ, ut ἢ sit comparativi καθαρώτεροι consequentia. Sententia erit ironica et cum interrogatione pronuntianda,cujus signa, quæ apposui, codices exhibent. Φησὶ indicare videtur appositas esse voces adversarii, Vecci forsan.

(19) Veros animi sensus, vivente Michaele Palæologo, celaverat Andronicus : cf. Nic. Gregoras VI, 1, 2.

(20) Morte, scilicet, patris, Michaelis Palæologi.

(21) Glossa in cod. 1310 : Σημείωσαι τοὺς ἐπαίνους οὓς γεννῶσι τὰ σχίσματα. Glossator erat Λατινόφρων.

(a) Libros ejus scilicet.

OCR ABK / FR

A μεν Ἰσραὴλ ὁ νέος, ἐπαναγώμεθα πρὸς Θεόν, ἐπιστρεφώμεθα, τῆς διαθήκης αὐτοῦ ἐπιλαμβανώμεθα καὶ πρὸς τὴν λάμψιν τοῦ φωτὸς αὐτῆς πορευώμεθα.» Οὐχ οὕτω ποτὲ σφοδρὸν ὕδατος ῥεῦμα, ῥέον κατὰ πρανοῦς, εἶτά τισι μηχαναῖς ἀνισχόμενον, ὀξέως ἂν φέροιτο, τοῦ κωλύοντος ὑποσπασθέντος καὶ ἀνακοπέντος, ὡς ὁ βασιλεύς, δραξάμενος αὐτίκα καιροῦ, ὀξὺς ἦν ἐπείγων ταῦτα καὶ λέγων καὶ διαπραττόμενος. Εὖ γὰρ εἰδὼς ὡς ἥδε τάξις ἀρίστη καὶ λυσιτελεστάτη, παντὸς ἀρχομένοις καὶ λόγου καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι καὶ εἰς Θεὸν ἀναπαύεσθαι, καὶ αὐτὸς τῆς εὐσεβοῦς αὐτοκρατορίας εὐσεβῆ κρηπῖδα πηγνύμενος, αἴρει μὲν ἅπαν σκῶλον καὶ πρόσκομμα τῆς θείας αὐλῆς, καὶ τοὺς λίθους τῆς εὐθείας καὶ βασιλικῆς καὶ μόνης πρὸς οὐρανὸν φερούσης ὁδοῦ διαρρίπτει, ἀνόθευτον δὲ καὶ καθαρὸν τὸ σέβας ἀνατίθησι τῷ Θεῷ, τοὺς παραχαράττοντας καὶ κίβδηλον αὐτὸ ποιοῦντας μακρὰν ποιησάμενος (22).

B Καί γε πρὸς τοῦτό σου τὸ ἔργον, ὦ βασιλεῦ, οὐδὲν βαρβαροκτονίαι, καὶ ἀνδραποδισμοὶ καὶ ἐκδουλώσεις ἐθνῶν, καὶ νῖκαι κατὰ πάσης ἀντιστρατευομένης δυνάμεως, οὐδὲν ἐκπορθήσεις πόλεων καὶ ἁλώσεις καὶ κατασκαφαί, οὐδ' αὖ ἀνεγέρσεις καὶ τειχισμοὶ καὶ συνοικισμοί, καὶ ὅ τι ἂν εἴποι τις τῶν μεγάλων· πάντων γὰρ ὑπέρκειται τῶν τοιούτων. Τοῦτο δή σοι καὶ οὐρανομήκης στήλη, τοῦτό σε καὶ βασιλεύτατον δείκνυσιν, ὅτι καὶ ὁπόσα δὴ βασιλέων ἔργα βασιλικῷ τῷ πήχει τοῦτο νικᾷ. Ἐκεῖνο δὴ μόνον συμπαραμετρεῖται τούτῳ, ἐπειδὴ καὶ πρὸς ἐκεῖνο βλέπον τοῦτο κατώρθωται, καὶ ἀκριβῶς ἐξίσωται, ὅ γε Κωνσταντῖνος ὁ Μέγας, ὁ τῶν ὀρθοδόξων ὑμῶν βασιλέων πατήρ, διαπεπραγμένος ἐφάνη, τὴν βασιλείαν ἀναμίξας τῇ εὐσεβείᾳ, μάλιστα δὲ ὑποτάξας, C καὶ μέγας οὐκ ἐκ τῆς πορφύρας καὶ τοῦ διαδήματος καὶ τοῦ τῆς οἰκουμένης κράτους ἀναδειχθείς, ἐκ δὲ τοῦ τὴν ἀλήθειαν κατειληφέναι, καὶ πρὸς Χριστὸν μετακλῖναι, καὶ τὴν τῆς Τριάδος μίαν ἐπιγνῶναι θεότητα· οὗ καὶ σύ, βασιλεῦ, υἱὸς καὶ διάδοχος ἀληθής, κατ' ἴχνος τῆς αὐτοῦ βεβηκὼς προαιρέσεως, τὸ μετὰ Χριστοῦ ζῆν, ὡς ἐκεῖνος, ὡς κεφάλαιον τῶν ἀγαθῶν ἀγαπήσας καὶ πάντων προτιμήσας τῶν ἄλλων. Τὰ ἐκείνου δὴ μόνα καὶ τὰ σὰ συνέρχεται καὶ συμβαίνει, καὶ εἰς ἓν ἀκριβῶς συναρμόζεται, ὡς νέον ἐκεῖνον (23) μὴ χρῆναι, κατ' ἐμὴν κρίσιν, ἕτερον ἢ τὸν ἐκείνου σύμφρονα σὲ καὶ ὁμότροπον ὀνομάζειν.

Καὶ μὴν οὕτω λαμπρῶς ἐχούσης τῆς εὐσεβείας τῷ βασιλεῖ, ἔτι κἀκεῖνό που θαυμάσιον ἐννοῆσαι, ὅτι καὶ ὅσαι τῶν ἀρετῶν ἀκολουθοῦσαι ταύτῃ τυγχάνουσι, ζῶσαν ὡσανεὶ καὶ ἐνεργὸν καθιστᾶσαι, D καὶ ταύτας ὁ ἐμὸς βασιλεὺς προσκτησάμενος φαίνεται. Καί μοι σὺ συμπαθείας καὶ φιλανθρωπίας καὶ οἴκτου ζητῶν ἀποδείξεις, μὴ ταύτας διὰ λόγου λαβεῖν ἀναμείνῃς. Βάδιζε δὲ πρὸς τὰ δεσμωτήρια, κἀκεῖ τοῖς ὀφθαλμοῖς τὸ ζητούμενον καταμάνθανε· ἴδε δεσμίους

Israel ad Deum redeamus, convertamur, legem illius apprehendamus, et ad splendorem luminis ejus ambulemus.» Non itaque vehemens unde cursus præceps fluens, postquam aliquandiu quibusdam machinis fuerit inhibitus, citius ferretur obice remoto et avulso, cum rex, qui accepta statim occasione hæc urgebat, dicebat et agebat. Cum enim sciret illud ordinem optimum ac utilissimum esse, ut qui dicere et agere incipiunt a Deo incipiant et desinant, ipse piæ auctoritatis pium struens fundamentum, aufert omne offendiculum et scandalum ab aula divina, et petras a recta et regia et sola quæ ducit ad cœlum via ejecit et sincerum atque purum cultum Deo adhibuit, cum adulterantes eum et corrumpentes amoverit.

Et vero præ isto tuo facinore, o rex, nihil sunt Barbarorum cædes, servitutes et famulatus gentium, et victoriæ adversus singulas potestates oppugnantes, nihil urbium direptiones et excidia ac eversiones, aut iterum exstructiones et murorum et domorum constructiones, et quidquid ex rebus tuis præclaris aliquis dixerit : omnia enim hujusmodi exsuperat. Hoc sane tibi columna ad cœlum erecta, hoc et te regem potissimum exhibet et omni regum facinora hoc antecellit. Cui solum illud confertur (siquidem hoc ad illud spectans feliciter successerit et accurate æquiparatum fuerit) quod Constantinus Magnus, nostrorum regum orthodoxorum pater, executus exstitit, regnum pietate conjungendo, imo subjiciendo ; et magnus non propter purpuram, aut diadema, aut orbis imperium evaserit, sed propter quod veritatem amplexus sit, et ad Christum inclinaverit, atque Trinitatis unam agnoverit divinitatem ; cujus et tu, rex, filius et hæres veritatis, ejus propositi vestigiis insistens, eum Christo vivere, ut ille, quasi caput bonorum satius duxisses, rebus cæteris anteposuisti. Sola illius facinora atque tua inter se conveniunt atque concurrunt, et in unum apte concinnunt, ita ut novum Constantinum non oporteat nuncupare, ut opinor, alium a te cujus mens et indotes compares exsistunt.

Et equidem, dum ita effulget in meo rege pietas, illud mirabile etiam animadvertendum est quod contingat omnes virtutes illi comitari, et eam quasi vividam atque efficacem reddere, et illis meus rex ornatus esse videatur. Et tu bonitatis, humanitatis et misericordiæ quærens specimina, ne illas sermone conprehendere perseveres. Sed vade ad carceres, et ibi ex oculis quod quæris edisce : vide vinctos a vinculis liberatos,

(22) Glossator orthodoxus in eodem codice : Μάτην, ὦ Πάτερ, κατὰ τῆς Ῥωμαίων Ἐκκλησίας καὶ ἀλογίστων εἴρηκας· εὐσεβείᾳ γὰρ ζῶσι καὶ κατὰ Θεὸν πολιτεύονται, τὸ περὶ θεολογίας μηδὲν λυμηνάμενοι.

(23) Tangit Michaelem Palæologum qui Κωνσταντῖνος ὁ Νέος fuerat cognominatus, quemque illo cognomine ipse appellavit. Glossa in cod 1310 Ὅρα κολακείας ! τὸν Νέον Κωνσταντῖνον !

OCR ABK / FR

vide in fœno et in mendicitate jacentes et vulneratos, dimissos esse in libertatem et consolatos. Tunc præterea exsules revocatos, et illos redeuntes qui præ timore in deserta invia depulsi fuerant. Nec jam angustiores (*a*) sunt custodiæ ædes nec cohabitant cum feris qui patriam fugiunt, nec parvæ Ægei insulæ quas nullus homo propter incommoditatem incoluit, ab hominibus qualiscumque damnationis causa demissis occupantur. Aspice mecum et facultatum largitiones et liberales condonationes ; non equidem adulantibus aut alio modo corruptis hominibus factas, sed indigentibus et dignis qui eas accipiant. Aspice mecum, si justitiam illius exploratam habere velis, publicanorum inhumanitatem, et exactorum asperitatem fuisse abolitam. Aspice etiam, si vis, scripta injusta et libellos dilacerata : nullus ex his qui iniqua scribunt libere loquitur ; nullus prodit hypocrita, et, si forsan audeat, non lætabitur. Nullus exitiosus homo ad munera publica abrepit, nec emit divitiis sibimetipsi jus peculatum faciendi, ut, quemadmodum ait Scriptura, plebe spoliata ex publicis calamitatibus proprium lucrum faciat; quoniam ille solus audet ad regem appropinquare et ei ministrare, qui, ut psalmi verbis utar, in via immaculata ambulat, qui veritatem in corde loquitur, et non habuit dolum in lingua sua, atque proximum non detraxit ; qui autem in viis ejus perverssus est et iniqua simul agit atque loquitur, non direxit in conspectu oculorum ejus, nec unquam diriget. Ita rex per misericordiam et judicium proprium thronum paravit et dedit ille prosperitatem : itaque et populus miser illi benedicit et urbes iniquorum hominum celebrant.

Regem autem, præter alias dotes, disciplinas etiam colere, quis ignorat? Sapientiæ enim fervidus est amator et propterea philosophus. Non equidem per ea quæ dicit (et profecto mirando dicit, cum altam in suæ *senectutis* prudentiam volubili et expedita lingua apte simul ac clare exhibeat), sed per hæc quibus navat operam sese philosophum aperit, in sapientia vivendo, iræ imperando, in prosperitate sibi temperando, in adversis confidendo, magnanimem in calamitatibus se præstando, multo potius de talibus virtutibus oportere gloriari ratus, quam de regia potestate et orbis imperio sese jactare. Meliorem reddendum esse delinquentem, non autem perimendum erat quidem Spartani Agesilai dictum, tuum vero opus. Non enim amas pœnas et damnum inferri, si quis deliquerit et lapsus fuerit, sed benefaciendo vincis pravitatem, et mentem beneficiis convertis, sed violentiam removes et non pœnarum timore coerces. Juvenem regem sapientem, magnanimum, gratum, mitem, docibilem et strenuum, cæteros eligere ac illi dare poscit, filius Aristonis Plato, quæ invenire

(*a*) Vide, si libet, Synesium in oratione *De Regno*, ubi philosophiam regi esse perutilem statuere conatur.

A καὶ δεσμῶν ἀνειμένους, ἴδε τοὺς ἐν σιδήρῳ καὶ πτωχείᾳ καθημένους καὶ τεθραυσμένους, ἀπεσταλμένους ἐν ἀφέσει καὶ παρακεκλημένους. Ὅρα πρὸς τούτοις καὶ ἀνακλήσεις τῶν ἐν ὑπερορίᾳ, καὶ καθόδους τῶν πρὸς ἐρήμους διὰ φόβον ἐξωσθέντων ἀβάτους. Οὐκ ἔτι στενοχωροῦνται φυλακῆς οἶκοι, οὐδὲ συνδιαιτῶνταί τινες θηρίοις φεύγοντες τὰς πατρίδας, οὐδὲ, ἃ μηδεὶς ᾤκησε δι' ἀχρηστίαν, τοῦ Αἰγαίου νησίδια τοῖς ἐκ κατακρίσεως οἱασδήποτε πεμφθεῖσιν ἀνθρώποις πολίζονται. Βλέπε δή μοι καὶ χρημάτων διανομὰς καὶ χορηγίας ἀφθόνους οὐ κόλαξι καὶ ἄλλως διεφθαρμένοις ἀνθρώποις, τοῖς δέ που χρῄζουσι διδομένας καὶ ἀξίοις λαβεῖν. Βλέπε μοι, ἐάν γε καὶ δικαιοσύνης πίστιν ἐθέλῃς λαβεῖν, τελωνῶν ἀπανθρωπίαν καὶ φορολόγων καταργηθεῖσαν ὠμότητα. B Βλέπε καὶ συγγραφὴν ἄδικον, εἰ δὲ βούλει, καὶ ἀναγραφὴν διασπασθεῖσαν· οὐδεὶς γράφων ἄνομα παῤῥησιάζεται· οὐδεὶς προσέρχεται συκοφάντης, κἂν τολμήσῃ ποτὲ, οὐ χαιρήσει. Οὐδεὶς λυμεὼν ἄνθρωπος εἰς λειτουργίαν δημόσιον παραδύεται, οὐδ' ἑαυτῷ χρημάτων εἰσπράξεις ὠνεῖται, ἵν' ὅ φησιν ἡ Γραφὴ, τὸν λαὸν καλαμώμενος, κέρδος ἴδιον ποιῆται τὰς κοινὰς συμφορὰς, ἐπεὶ μόνος τολμᾷ τῷ βασιλεῖ προσιέναι καὶ λειτουργεῖν, ὅστις, κατὰ τὸν ψαλμὸν, ἐν ὁδῷ ἀμώμῳ πορεύεται, ὅστις ἀλήθειαν ἐν καρδίᾳ λαλεῖ, καὶ οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ καὶ τοῦ πλησίον οὐ κατελάλησε· ὁ δὲ διαστρέφων ἐν ταῖς ὁδοῖς αὐτοῦ, καὶ ἅμα πράττων καὶ φθεγγόμενος ἄδικα, οὔτε κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ, οὔτ' οὐ μήποτε κατευθύνῃ. Οὕτως ὁ βασιλεὺς δι' ἐλέου καὶ κρίσεως τὴν ἑτοιμασίαν τοῦ C οἰκείου ποιεῖσαι θρόνου καὶ τὴν κατόρθωσιν· διὰ τοῦτο καὶ ὁ λαὸς αὐτὸν ὁ πτωχὸς εὐλογεῖ καὶ πόλεις ἀνθρώπων ἀδικουμένων αἰνοῦσιν.

Ὅτι δὲ καὶ πρὸς τοῖς ἄλλοις καλοῖς καὶ τιμᾷ λόγους διαφερόντως ὁ βασιλεὺς, τίς ἀγνοεῖ; σοφίας γὰρ διάπυρος ἐραστής ἐστι, καὶ διὰ τοῦτο φιλόσοφος. Οὐκ ἐξ ὧν δὴ λέγει (καίτοι γε θαυμαστῶς λέγει, τὸ βαθὺ τῆς πολιᾶς αὐτοῦ (23*) νόημα εὐτρόχῳ καὶ ἀνεμποδίστῳ γλώττῃ διαρκῶς ἅμα καὶ καθαρῶς ἑρμηνεύων), ἀλλ' οἷς ἐπιτηδεύει τὸ φιλόσοφον ἐνδεικνύμενος, σωφροσύνῃ συζῶν, κρατῶν θυμοῦ, μετριάζων ἐν εὐπραγίαις, εὐθαρσῶν ἐν τοῖς ἐναντίοις, μεγαλοψυχῶν ἐπὶ τοῖς δυσφόροις, κἂν ταῖς τοιαύταις τῶν ἀρετῶν πολὺ μᾶλλον οἰόμενος δεῖν φρονεῖν, ἢ ἐπὶ τῇ βασιλείᾳ καὶ τῷ τῶν ὅλων κράτει D σεμνύνεσθαι. Ἀμείνονα τὸν ἁμαρτάνοντα χρῆναι ποιεῖν, ἀλλ' οὐκ ἀφανίζειν, Ἀγησιλάου μὲν λόγος τοῦ Σπαρτιάτου, σοῦ δὲ, βασιλεῦ, ἔργον· οὐ γὰρ φιλεῖς γέ πως ἀμύνεσθαι καὶ βλάπτειν, ἄν τις ἠδίκηκεν ἢ προσκέκρουκεν, ἀλλ' εὖ ποιῶν περιγίνῃ τῆς πονηρίας, καὶ μεταποιεῖς εὐεργεσίαις τὴν γνώμην, τὸ δυσμενὲς μεταβάλλων, οὐχὶ συστέλλων φόβῳ κολάσεων. Νέον τὸν βασιλέα σώφρονα, μεγαλοπρεπῆ, μνήμονα, πρᾶον, εὐμαθῆ καὶ ἀνδρεῖον, Πλάτων ὁ Ἀρίστωνος τοὺς ἄλλους ἐκλέξασθαι καὶ αὐτῷ διδό-

(23*) Πολιὰ dictum est respectu prudentiæ ac sapientiæ. Erat enim Andronicus juvenis : conf. quæ mox dicet orator, νέος μὲν γὰρ οὗτος...

OCR ABK / FR

ναι ζητεῖ, ὡς ὄντος εὑρεῖν δυσχεροῦς παντάπασι καὶ ἀπόρου τοῦ πράγματος· ὁ δ' αὐτὸς καὶ τὰς πόλεις τότε φησὶ κακῶν παύσεσθαι καὶ πεῖραν εὐδαιμονίας λήψεσθαι, ἐπειδὰν ἢ βασιλεῖς φιλοσοφήσωσιν, ἢ φιλόσοφοι βασιλεύσωσιν· οὐκοῦν, ὦ Πλάτων, πρὸς τοῖς ἄλλοις οἷς ἐζήτησας, καὶ ἀκριβῶς φιλόσοφον ἔχεις τὸν βασιλέα· ὥρα λοιπὸν καὶ τὴν εὐδαιμονίαν ἐπακολουθῆσαι ταῖς πόλεσι. Σοῦ μὲν γὰρ εὐγενεῖς πάντες λόγοι καὶ τοῦ Πλάτωνος ὀνόματος ἄξιοι· πλὴν τοῦδε μᾶλλον ἀληθείας μετέχειν οὐκ ἔστιν ὅστις συγχωρηθήσεται· ἢ γὰρ οὐκ ἔσται οὐδέποτε πόλιν εὐδαιμονῆσαι, ἢ εὐδαιμονήσουσαν ἀνάγκη πᾶσα ὑπὸ τοιούτῳ βασιλεῖ τε καὶ πολιτάρχῃ τῆς εὐδαιμονίας αἰσθέσθαι. Νέος μὲν γὰρ οὗτος· ἀλλὰ ποίου γήρως ἡ τοῦδε νεότης οὐ κρείττων, τοῦτο μὲν τῷ σώφρονι τῆς διαίτης καὶ τῷ περὶ πᾶσαν κίνησιν κρατεῖν ἑαυτῆς, τοῦτο δὲ τῷ γονίμῳ καὶ αὐτάρκει καὶ βεβαίῳ τῆς γνώσεως, ἀφ' ὧν καὶ περὶ τὰς πράξεις ἀνυστικὴ καὶ πλήρης ἡ φρόνησις ἥκει καὶ ἡ εὐβουλία περὶ τὰ σκέμματα; Εὐμαθής ἐστι καὶ μνήμων, ὀξέως μὲν τοῖς ἑτέρων συμβάλλων νοήμασιν, ἀσφαλῶς δὲ κατέχων, καὶ μηδὲ τὸ φαυλότατον τῇ λήθῃ φέρειν παραχωρῶν, οὐχοὸν ὅσα γε χρήσιμα καὶ τοῦ μνημονεύεσθαι ἄξια· ἀλλ' ἅμα καὶ πρᾶός ἐστι καὶ ἀνδρίας πλεῖστον αὐτῷ καὶ γενναιότητος μέτεστιν, ἅπερ ἐκείνοις ὡς ἐλάχιστα συμβαίνειν φιλεῖ. Εὐμαθῆ γὰρ ὄντα, μὴ καὶ ὀξὺν εἶναι, τῶν χαλεπῶν εὑρεῖν· ὄντα δὲ τοῦτο, πρᾶον αὖθις εἶναι καὶ ἀνδρεῖον, ὀρθῷ λογισμῷ πρὸς τὰ δεινὰ καὶ ὁρμῶντα καὶ ἀναδυόμενον, ἔτι πολὺ χαλεπώτερον. Ἀλλ' ὁ βασιλεύς, ταῦτά τε βεβαίως τοῦ δημιουργοῦ τοῦτον τὸν τρόπον ἁρμόσαντος, καὶ προσέτι μεγαλοπρεπής ἐστιν, ὡς ἰδόντα καὶ τὸν πόρρωθεν ἥκοντα καὶ ἰδόντα μηδέποτε πρότερον, κἂν ἐν μέσοις τύχῃ μυρίοις ἱστάμενος καὶ αὐτὸν οὐδὲν τῶν ἀρχικῶν συμβόλων μηνύῃ, ἀναβοῆσαι, τῷ ἡρωϊκῷ καὶ θείῳ τοῦ εἴδους ἐνατενίσαντα· « Ὡς ἐπιεικῶς ἀνδρὶ βασιλεῖ οὗτος ἔοικεν! » Ὥστ' εἰ μὲν ζητῶν, ὡς εἴωθας, παράδειγμα καὶ ἰδέαν βασιλείας ἀρίστης, ἐφεῦρες, ὅρα τοῦτον, εἰ μὴ ἀκριβῶς πρὸς τὸ παράδειγμα ἤσκηται· εἰ δ' ἐφευρεῖν οὔπω δεδύνησαι, ἀλλὰ τοῦτον ἰδέαν τίθει, καὶ ὧδε βλέπειν νομοθέτει τοὺς ἄλλους ὡς εἰς εὐδαιμόνων βασιλέων ἀρχέτυπον.

A perarduum est ac difficillimum : idem inquit etiam urbibus malorum finem fore, et felicitatem illas esse experturas, tum cum reges philosophabuntur, aut philosophi regnabunt. Certe, o Plato, præter aliis quæ quæsivisti, etiam regem plane philosophum habes : vide cæterum urbes assecutas esse felicitatem. Omnia quidem tua verba nobilia sunt et Platonis nomine digna ; nullum tamen est cui detur majorem quam illud nancisci veritatem iis ; aut enim civitas felix esse nequit, aut se felicem sub tali rege et imperatore sentiat omnino necesse est. At enim iste juvenis est : sed cujusnam senectus illius juventute est excellentior, tum per sapientiam vitæ et motuum temperationem, tum per ubertatem et sufficientiam et firmitatem scien- B tiæ, ex quibus in propositis oritur perfecta atque plena prudentia et sapientia ? docibilis est et gratus : cum aliorum sententiis communicat, caute se habet, et ne minima quidem oblivione patitur extingui etiam res nullo modo utiles ac dignos quæ meminerit ; sed simul mitis est atque majore strenuitate et magnanimitate præditus est, quam quæ iis maxima donatis contingere solet. Aliquem enim docibilem et simul non acrem, difficile est invenire : aliquem autem mitem et una strenuum, recta mente ad pericula volantem atque properantem, multo etiam difficilius. Sed rex, creatore firmiter illa hoc modo componente, est præterea magnificus, ita ut qui videt et a procul venit et nunquam prius vidit, etiamsi in medio millium virorum fortuna stet et nullum ex dignitatis insigni- C bus illum patefaciat, conclamet, oculis in heroico et divino vultu defixis : « Quam eximie illi homini regi similis est. » Itaque si, quærendo, de more, exemplar et imaginem optimi regis, illud invenieris, inspice si ille accurate in exemplar non formatus sit : quod si nondum conveniri potueris, illum ut imaginem statuas, et in illum aspicere jubeas, ut in fortunatorum regum archetypum.

Ἃ μὲν οὖν ἐκ πολλῶν ὀλίγα τῶν τοῦ βασιλέως καλῶν οἷός τε γέγονα τῇ διανοίᾳ περιλαβεῖν καὶ διεξιέναι τῷ λόγῳ, ταῦτα· ἐπεὶ δὲ τῷ ἔχοντι παντὶ δοθήσεται καὶ προστεθήσεται, ἴδωμεν τί δέδοται καὶ προστέθειται τοῖς ἐνοῦσι τῷ βασιλεῖ. Τί δὲ ἄρα; εἰ μὴ τὸ τῶν ὄψεων ἀκόρεστον θέαμα, τὸ τερπνὸν τῆς θαυμασίας ῥίζης φυτὸν, ἡ αὐθωραιότης, τὸ τῶν χαρίτων συμφόρημα, ἡ νέα καὶ μεγάλη τοῦ παντὸς γένους ἐλπὶς, ὁ παῖς ὅδε (24) καὶ βασιλεὺς, ἄξιος μὲν τοῦ παρασχόντος Θεοῦ, ἄξιος δὲ καὶ τοῦ διὰ Θεοῦ γεγεννηκότος πατρός· οὗ θαυμασία μὲν ἡ γέννησις, τὴν σεβασμιωτάτην καὶ φαιδροτάτην καὶ βασιλίδα τῶν ἁπασῶν ἡμέραν κληρωσαμένη (25), καθ' ἣν ἐνεργήσας τὴν τῆς φθορᾶς κατάλυσιν ὁ δεσπότης τὸ

D Hæc igitur, ex multis paucæ, regis dotes, quantum eas in me est mente comprehendere et sermone explicare, tales sunt ; quoniam vero *omni habenti dabitur* et adjicietur, videamus quid datur, et adjicietur his quæ in rege sunt dotibus ? Quid ergo, nisi spectaculum, quo non saturantur oculi, jucundus mirabilis radicis stirpes, illa præsens gratiarum concursatio, illa nova et magna totius generis spes, ille puer et rex, dignus Deo qui dedit, dignus et illo qui per Deum hunc infantem genuit patre ; cujus miranda natalis, venerabillimum et clarissimum et regalem ex omnibus diem sortita, in quo Dominus, facta nostræ damnationis dissolutione, magnum contra mortem tropæum, sta-

24. Aderat videlicet ille Andronici filiolus, Michael Palæologus.

(25) Inde discimus diem Paschæ illi fuisse natalem.

OCR ABK / FR

tuit ; magna unde illi cum Christo tropæa necnon hostium eversio clare prænuntiantur ; cujus etiam miranda est ætatis progressio singularis, prompta ac propera, idoneamque prægressa ætatem. Miratione quoque digna est, tam constans et bene compacta ut stabilis corporis illa consensio ; talis denique ut præsentires in illo intelligentiam imperii illi pertinentis natura inductam, quæ nunc a excellenter, fortiter, regaliter disponere compellit, et in lucem quidquid regali est proferat, quemadmodum et videmus leonum catulos omnino leoni ex ingenita ipsorum natura exsistere, tum ille animæ habitus, quem gratum et serenum visu præbet, quia illi commescet prudentiam, quasi virile et nobile et non fallax firmitatis animæ testimonium ; itaque neque omnibus naval operam, neque impellitur ad omnia quæ infantibus conferunt, sed seipsum continet veluti infantiæ impatiens ; et quoniam quodammodo propriæ gloriæ magnitudinem agnoscit, indignum seipso existimat inter pueros numerari, quamvis illa ætas propter suam temeritatem cura et reprehensione careat.

Sed plura volens dicere in iterationem devenio, quæ minime laudatoribus congruit. Etenim illa quæ de te puero, maxime rex, dicere me inducebas, eadem de seipso, tuus delectus, meus vero rex me dicere inducit. Cum enim sit expressa tua imago movens et vivida, naturæque dotibus particeps egregiis, nescio quomodo peccem, si laudes de te in pari infantiæ gradu constituto ad istum filium referam. Verum enimvero ne rursus in necessitatem jam dicta referendi deveniamus, tales tibi natus, a Deo donatus, qualem tibi dare precatus es, imo vota tua superat, dum ætate proficit, tecum regio munere fungens, in curis communibus tibi socius, in consiliis adjutor egregius, in bello præpotens, virtutibus præclarus et in omnibus negotiis miratus, lætitiam quidem ex his tibi patri afferens, lætitiam cæteris hominibus, lætitiam et mihi oratori, qui, si tantum fas est satis vita frui, quamvis sim jam ætate provectus, permittam nullum ex iis præclare gestis præteriri, quem illud laudibus efferam. Tu vero, cui nemo conferri potest (non habeo enim cujus gesta facile tuis componam), tamen vince teipsum, virtutes virtutibus semper astruendo (si quid superest, quod adhuc pristinis adjicias), præclaraque præclaris. Vince etiam oratorum ardorem, quos apud te tempus convocabit et sane multis conferet, adjuvante Deo simul, et illa tua optima facultate deligendi, quæ tibi bonorum oratorum, necnon et aliorum sanctorum hominum copiam suppeditat. Est enim talium abundantia sicut et disparium, sceleratorum duo et adulterorum et perditorum, quæ utroque principis secum facere celebrat, copia bonorum bonum illum esse, copiam malorum malam : altare enim, aiunt, templo convenire et subjectum regenti. In-

A μέγα κατὰ θανάτου τρόπαιον ἔστησε, τῶν μετὰ ταῦτα σὺν Χριστῷ μεγάλων αὐτοῦ τροπαίων καὶ τῆς τῶν ἐχθρῶν καταλύσεως σαφῶς προδηλουμένων ἐντεῦθεν· θαυμασία δὲ ἡ τῆς ἡλικίας πρόοδος καὶ ὑπερφυὴς, ἰθυτενὴς οὖσα καὶ προήκουσα, καὶ χρόνον φθάνουσα τὸν προσήκοντα. Ἔτι δὲ θαύματος ἄξιον τὸ ἐναρμόνιον καὶ βεβηκὸς καὶ εὐπαγὲς καὶ στάσιμον, τοῦτο μὲν τοῦ σώματος, ὡς εἰκάζειν αἴσθησιν τὴν φύσιν τῆς προσηκούσης αὐτῷ βασιλείας λαβοῦσαν πάντα πρὸς τὸ ὑψηλὸν, καὶ ἀρχικὸν καὶ, ἀῤῥενωπὸν, συναρμόζεσθαι διαπλάττουσαν, καὶ προαγαγεῖν εἰς φῶς ὅλον βασιλικὸν, ὁποίους δὴ καὶ τοὺς τῶν λεόντων ὁρῶμεν σκύμνους ὅλους λεοντώδεις ἐξ αὐτῆς προϊόντας γενέσεως, τοῦτο δὲ τοῦ τῆς ψυχῆς καταστήματος, ὅ γ' ἐπίχαρι καὶ φαιδρὸν ὁρᾷν παρεχόμενος, B ἔστιν ὡς καὶ συννοίας αὐτῷ παραμίγνυσιν, ὡς ἀνδρικὸν τοῦτο καὶ γενναῖον εἶναι καὶ ἀψευδὲς τῆς ἰσχυρογνωμοσύνης τεκμήριον· ὅθεν οὐδὲ πάντων ἅπτεται, οὐδὲ πρὸς πάντα κινεῖται ὅσα δὴ καὶ παιδίοις οὖσι προσήκει, ἀλλ' ἑαυτὸν κατέχει, ἐμβριμώμενος ὥσπερ τῇ νηπιότητι, καὶ τῷ ἐπιγινώσκειν οἱονεὶ τὸ τῆς ὑπερκειμένης τιμῆς ὑπερέχον, ἀνάξιον ἑαυτοῦ κατὰ παῖδας φέρεσθαι κρίνων, εἰ καὶ ἄλλως δι' ἀπαλότητα ἀνεύθυνον τοῦτο καὶ ἀνεπίληπτον.

Ἀλλὰ γὰρ πλείω βουλόμενος περὶ τούτου λέγειν, εἰς δευτερολογίαν ἀφίξομαι τοῖς ἐγκωμιαστικοῖς ἥκιστα πρέπουσαν. Ἃ γὰρ σὺ περὶ σοῦ, μέγιστε βασιλεῦ, παιδὸς ὄντος παρεῖχες εἰπεῖν, αὐτὰ δὴ ταῦτα περὶ ἑαυτοῦ λέγειν καὶ ὁ σὸς μὲν φίλτατος, ἐμὸς δὲ προβάλλεται βασιλεύς· ἀκριβὴς γάρ σου τυγχάνων C εἰκὼν κινουμένη καὶ ζῶσα καὶ τῶν φυσικῶν αὐχημάτων μετέχουσα, οὐκ οἶδα πῶς οὐκ εἰκότως καὶ τοὺς ὡς ἐν ἡλικίας μέτρῳ τοσούτῳ περὶ σοῦ πρὸς ἑαυτὸν ἐφελκύσεται λόγους. Ἵν' οὖν μὴν καὶ αὖθις εἰς ἀνάγκην τοῦ ταυτὰ λέγειν ἔλθοιμεν, ὁ μὲν οὖν υἱὸς τοιοῦτός σοι παρὰ Θεοῦ δεδώρηται, βασιλεῦ, ὁποῖον ηὔξω δεδόσθαι σοι, καὶ νικῴη τὰς εὐχὰς προβαίνων τῷ χρόνῳ, τὴν βασίλειόν σοι συνδιέπων ἀρχὴν καὶ τὰς κοινὰς συνδιαφέρων φροντίδας, διαπρέπων ἐν βουλαῖς· ἀριστεύων ἐν πολέμοις, δοξαζόμενος ἐν ἀρεταῖς, καὶ ἐπὶ πᾶσι πράγμασι θαυμαζόμενος, εὐφροσύνην μὲν διὰ τούτων σοι τῷ πατρὶ, εὐφροσύνην δὲ καὶ τῷ λοιπῷ γένει διδοὺς, τῷ δὲ λογογράφῳ τῷδε (εἰ ἄρα τοσοῦτον συγχωρηθείημεν ἀπολαύειν τοῦ βίου) γλυκείας φροντίδος πειρωμένῳ, καίπερ ὄντι γε τηνικαῦτα πρεσβύτῃ, D μηδεμίαν τῶν μεγάλων αὐτοῦ πράξεων παριέναι λόγοις ἀγέραστον. Σὺ δὲ, ἀσύγκριτος ὢν πρὸς τοὺς ἄλλους (οὐ γὰρ ἔχομεν ὅτου ῥᾳδίως πράξεις παραβάλλειν ταῖς σαῖς), ὅμως νίκα σαυτὸν, ἀρετὰς ταῖς ἐνούσαις ἀεὶ προστιθεὶς, εἴ γε δ' τι προσθήσεις κατέλιπες, καὶ ἀριστείας ταῖς ἀριστείαις. Νίκα καὶ τὴν τῶν ῥητόρων σπουδὴν, οὓς ἂν ὁ κατὰ σὲ χρόνος ἐνέγκοι, πολλοὺς δὲ πάντως ἐνοίσει, Θεοῦ σοι καὶ τῆς ἀγαθῆς προαιρέσεως καὶ τὴν τούτων φορὰν, καθὰ δὴ καὶ τῶν ἄλλων ἀγαθῶν ἀνδρῶν, ἐνεργήσοντος. Ἔστι γὰρ καὶ τῶν τοιούτων φορὰ, βασιλεῦ, ὥσπερ δὴ καὶ τῶν ἐναντίων, τῶν λυμεώνων λέγω καὶ ὀλέθρων, αἰτίαν ἑκατέρα τὴν τοῦ κρατοῦντος

OCR ABK / FR

αὐχοῦσα ψυχὴν, ἥ γε ἀγαθὴ τελοῦσα τὴν ἀγαθὴν, ἡ δ' αὖ φαύλη τὴν φαύλην· ὁ γὰρ βωμὸς, φασὶ, πρὸς τὸν ναὸν, καὶ τὸ ἀρχόμενον πρὸς τὸ ἄρχον ἁρμόζεται. Καὶ νίκα τὴν φύσιν τῶν λόγων, τοῖς ἔργοις ἐλέγχων ὡς οὐκ ἄρα λόγος, κατὰ τὸν ἀρχαῖον λόγον, ὡς ὁ γενέτης νοῦς πάντα περιλαμβάνειν ἔχει καὶ περιδράσσεσθαι· ἀλλ' ἔστιν οὗ καὶ ἥττηται, τῶν εἰς ἐξέτασιν προκειμένων πραγμάτων μὴ ἐφικνούμενος. Οὕτω νίκα· καὶ ζῆθι ὅσον μήκιστόν ἐστιν ἀνθρώπῳ, ἄγοντός σε διὰ πάσης τῆς ζωῆς τοῦ Θεοῦ, διὰ τῶν εὐθυμοτέρων καὶ βελτιόνων, καὶ ἐμβιβάζοντος ἀπὸ δόξης εἰς δόξαν, τῆς ἐλάττονος δηλαδὴ πρὸς τὴν μείζονα, καὶ ἀπὸ δυνάμεως ἐπὶ δύναμιν (26).

A super vince verborum naturam, factis probans : non equidem, sermonis, sed animæ quæ est illius parens, omnia inspicienda et comprehendenda esse ; sed illa aliquando deficit, cum rebus ad indagationem sibi propositis non sufficiat. Sed vince ; et vive quam diutissime fas est homini vivere : Deus te per totam vitam ad opera generosiora et meliora te dirigat, ita ut de gloria in gloriam, de minore scilicet ad majorem, de potestate in potestatem proficias.

(26) Absoluta hujus encomii editione, in codicem regium 2029 indici, quo cum aliis aliorum opusculis continetur, cumque contuli, majore quidem cum labore quam utilitate (a), cum ab eo ipso fuerit librario descriptus qui et codicem 831 descripsit, quo sum in edendo et et concinnando textu usus. Hic quidem ista est in ipso fine librarii nota insignitus : Ἡ παροῦσα πολυειδής τε καὶ χρυσοεπὴς βίβλος ἐγράφη μὲν ὑπὸ χειρὸς Ἰωάννου B τε τοῦ Φιλοπόνου, φέρων δέ γε καὶ ἐπίκλιον Ναθαναὴλ, ὃ μὲν στραγγεμόμενος ὑπὸ τῆς δεινῆς πενίας ἐξέγραψεν, διά τε δαπάνης καὶ ἀναλώματος τοῦ εὐγενεστάτου περιβοήτου τε καὶ καλλίστου ἄρχοντος κυρίου Ἀντωνίου τοῦ Καλιέργου ἐν Γορτύνῃ ἐλαφηβολιῶνος ἐπὶ δέκα ἱσταμένου, τοῦ αφ̄ μ̄ ᾱ ἔτους ἀπὸ τῆς θεογονίας (a scilicet 1541). In codice autem 2029, p. 65, hanc reperi notam : Θεοῦ τὸ δῶρον καὶ Ἰωάννου πόνος Ναθανήλ.

(a) Idem dicendum de codice Reg. 1310 cujus varietates collegit Boissonad. in Præloquio ad tom. II.

# ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ

## ΧΡΕΙΑ[a]

# GREGORII CYPRII

## CHRIA

C Σωκράτους μὲν ἐπαινέτην οἶμαι πάντα πρόθυμον εἶναι γενέσθαι, ὅστις οἶδε, λέγω, τὸ τοῦδε ὁπόσον ἐπὶ σοφίᾳ προῆκε, γενέσθαι δὲ ὅμως κατ' ἀξίαν οὐδένα. Ἐπεὶ τί τις ἂν ὑπὲρ ἀνδρὸς ἔχοι λέγειν, ὃν ἡ Πυθία προλαβοῦσα οὐ μόνον ὑπὲρ τοὺς ἄλλους εἴρηκεν εἶναι σοφὸν, ἀλλὰ καὶ μόνον τόνδε σοφόν (1); Καὶ εἰκότως. Τῶν γὰρ ἄλλων πάντων περὶ τὸ φαινόμενον καὶ τὸ δοκεῖν σπουδαζόντων, ἀμελούντων δὲ κατὰ πάντα λόγον τοῦ εἶναι, ὁ δὲ τῆς ἀληθείας ἐφρόντισεν, οὐ μέχρι τῶν ὁρωμένων τῇ φιλοπραγμοσύνῃ σταθεὶς, ἀλλ' ὑπερβὰς καὶ εἰς ψυχὴν καὶ νοὸς ἄδυτα παρακύψας, ἅτε μὴ τῇ αἰσθήσει, κατὰ τοὺς ἄλλους, ὁδηγῷ πρὸς τὴν σκέψιν, ἀλλὰ τῷ νῷ κεχρημένος, ᾧ γε μόνῳ ἡ τῶν ὄντων ἀκριβὴς κατάληψις γίνεται.

Socratis equidem unumquemque alacrem esse laudatorem, qui novit, inquam, quantum iste in sapientia processerit, neminem vero esse, quantum meruit, arbitror. Quid enim aliquis dicendum haberet de viro, quem Pythia excipiendo non modo magis quam alios esse sapientem, sed solum eum sapientem judicavit ? Et merito quidem. Dum enim cæteri omnes, ad externa et placita intenti, rem ipsam in omni sermone negligerent, ille veritatis studiosus non intra visibilia propter diligentiam constitit, sed progressus est usque ad animam et in mentis latebris introspexit, non sensum, ut alii, ad observandum ducem, sed mentem prosecutus, quo tantum accurata fit rerum perceptio.

(1) Pythiæ oraculum exstat in scholiis ad Nubes 145 : Σοφὸς Σοφοκλῆς· σοφώτερος δ' Εὐριπίδης· ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος.

(a) E codice 1310, pag. 107. Est quidem id opusculum anonymum in eo codice, sed variis Gregorii libellis interpositum, ut de auctoris nomine facilis sit conjectura. Tribuitur et Gregorio Cyprio in codice bibliothecæ Leidensis : vide Fabric. Biblioth. Gr., t VIII, p. 62.

* *Chria*, teste Quintiliano, erat cujusdam sententiæ celebris oratoria amplificatio, quæ in rethorum scholis fuit usitatissima.

OCR ABK / FR

Et sane Socratis istius acta et sermones, quibus pulcherrimum vitæ philosophorum exemplar exstitit, et eos qui illi adhæserunt meliores duplici modo produxit, tum quam optime se gerendo, tum de rebus divinis et humanis, ut non quispiam, philosophice edissercndo, evolvere nimis longum esset aut extra nostrum præsens propositum : nunc autem nobis hæc prætereuntibus (nec enim aliter fieri potest) unam ex omnibus in animo est præclaram proferre sententiam, quæ est sapientiæ Socraticæ non incertum specimen : ea est quæ de ratione, qualem et quantam illius rem in animam, quamdiu ejus regimen habet, philosophico disseruit.

Et quid dicit? « Aliis equidem alia sunt ornamenta : animæ vero proprium ornamentum sola ratio, per quam ista sane seipsa pulcherrima effulget ; ita ut, nisi illa hoc ornamentum admittat, periculum est ne quocunque sit anima turpior. »

Hæc sunt quæ de ratione Socrates habet : viro autem et illius sapientia digna esse quisque accurate perspiciet, si his sequentibus intendat.

Ratio animæ coercet impetum, et malorum concupiscentia ratione fugatur : potissimum vero ista per rationem in virtutum naturam abeunt. Scimus enim enasci virilitatem, cum ratio impetum animæ comitatur ; et aliquam rem ratione concupiscentem nemo ut malum objurgaret ; justi habentur homines, sed cum his quæ faciunt, rationem adhibent ; et sapientes non quis nominabit, sed quos novit rationem maxime prosecutos ; scientia per rationem anima instruitur, et notitiam rerum quæ sensu effugiunt ex ratione homines assequimur ; mirationem habet solus homo super terram sed nimirum propter rationem, et supra terrena stat illud animal rationis manu ductum ; inventa, artes et artificia omnia,ratione gignuntur ; sapientiæ mater ratio, et omnis virtus rationem genetricem obtinuit. Non locum habet malum, ubi illa tenet imperium, et omnis virtus adducitur per rationis libertatem.

Hæc et plura etiam in anima per rationem efficiuntur, cum illius gubernationem arripuit : si autem aliud pro illa animam dominatur, quot et quanta mala ! Statim in ea perturbatio, ac malorum resurrectio, et cæterorum appetitus et concupiscentia, quibus illaqueata in sapientia non consisteret, motus rationi contrarii et inordinati, atque nihil dignum ac decorum. Nam, quoniam quæcunque mala, præsente ratione, absunt, hæc, si non permaneat ratio,adesse necesse est : eodem fere modo ac mox est defectus luminis, quo dies efficitur, et morbus advolat, cum recedit a corpore sanitas.

Quæ omnia profecto conspiciens, Sophronisci filius Socrates rationem bonarum animarum pro-

A Καὶ τοίνυν Σωκράτους μὲν τοῦδε πράξεις τε καὶ λόγους τοὺς ἄλλους, δι' ὧν κάλλιστον ἀρχέτυπον τοῦ φιλοσόφων ἐγένετο βίου, καὶ βελτίους τούς γ' ἐκείνῳ προσεσχηκότας ἑκατέρωθεν ἔδειξεν, ἐξ ὧν τε ὡς ἄριστα ἐπολιτεύσατο, καὶ ὧν περί τε θείων περί τ' ἀνθρωπίνων πραγμάτων ὡς οὐδέ τις ἐφιλοσόφησε, διεξιέναι μακρότερον ἂν εἴη ἢ κατὰ τὸν παρόντα τοῦ λόγου σκοπόν· νυνὶ δ' ἀφέντας ἐκεῖνα (οὐδὲ γὰρ ἄλλως οἷόν τε), ἓν ἐξ ἁπάντων ἡγοῦμαι προθεῖναι καλὸν, ὅν γε καὶ τοῦτο οὐκ ἀμυδρὸν τῆς Σωκράτους σοφίας τεκμήριον· τὸ δέ ἐστιν, ὅγε περὶ τοῦ λόγου, οἷόν τι καὶ ὅσον οὗτος δύναται εἰς ψυχὴν, ὁπηνίκα τὴν ταύτης κυβέρνησιν ἔχοι, ἐφιλοσόφησε.

Καὶ τί φησι ; « Ἄλλοις μὲν ἄλλα κοσμεῖται· B ψυχῆς δὲ κοσμήτωρ οἰκεῖος μόνος ὁ λόγος, δι' οὗ δὴ καὶ καλλίστη αὐτὴ ἑαυτῆς καταφαίνεται· ὡς, εἰ μὴ οὗτός γε κοσμήσει παραλαβὼν, κινδυνεύει τοῦ παντὸς αἰσχίω εἶναι ψυχήν. »

Καὶ ἃ μὲν περὶ τοῦ λόγου Σωκράτης, ταῦτα· ὡς δὲ τοῦ ἀνδρὸς ἄξια καὶ τῆς ἐκείνου σοφίας ἀκριβώσαιτ' ἄν τις καλῶς, προσέχων τοῖς μετὰ ταῦτα.

Λόγος τῆς ψυχῆς ἐξορίζει θυμὸν, καὶ κακῶν ἐπιθυμία φυγαδεύεται λόγῳ· μάλιστα δὲ μετὰ λόγου καὶ ταῦτα εἰς τὰς τῶν ἀρετῶν μεταβαίνουσι φύσεις. Γίγνεσθαι γὰρ ἴσμεν ἀνδρίαν, μετὰ τοῦ λόγου τοῦ θυμοῦ γιγνομένου καὶ κατὰ λόγον ἐπιθυμήσας τις οὐκ ἂν ὡς κακὸς διαβάλλοιτο· δίκαιοι νομίζονται ἄνθρωποι, ἀλλ' ὅταν, ἐφ' ὧν πράττουσι, C τὸν λόγον προβάλλωνται· καὶ φρονίμους οὐκ ὀνομάσει τις, ἀλλ' οὓς οἶδε μάλιστα κεχρημένους τῷ λόγῳ· ἐπιστήμη διὰ λόγου προσγίνεται τῇ ψυχῇ, καὶ γνῶσιν τὴν ὑπὲρ αἴσθησιν μόνῳ τῷ λόγῳ θηρεύομεν ἄνθρωποι· θαυμάζεται μόνος ἄνθρωπος ἐπὶ γῆς, ἀλλ' ἕνεκά γε τοῦ λόγου, καὶ ὑπὲρ τὰ κάτω γίνεται τοῦτο τὸ ζῶον τῷ λόγῳ χειραγωγούμενον· ἐπίνοιαι, τέχναι τε πᾶσαι καὶ μηχαναὶ, τοῦ λόγου γεννήματα· σοφίας πατὴρ ὁ λόγος, καὶ ἀρετὴ πᾶσα γεννήτορα τὸν λόγον πεπλούτηκεν. Οὐκ ἔχει χώραν κακία, ὅπου τὸ κράτος ἔχων ἐστὶν αὐτος, καὶ ἀρετὴ δὲ πᾶσα τῇ τοῦ λόγου παῤῥησίᾳ εἰσάγεται.

Ταῦτα μὲν δὴ καὶ τὰ τούτων ἔτι πλείω διὰ λόγου γίνεται τῇ ψυχῇ, ὅταν ἔχῃ ἐγχειρισθεὶς τὴν ταύτης κυβέρνησιν· ἂν δ' ἕτερον ἀντὶ τούτου κρατῇ τῆς D ψυχῆς, οἷα καὶ ὅσα τὰ χαλεπά! Ζάλη περὶ αὐτὴν αὐτίκα, καὶ κακῶν ἐπανάστασις, τῶν τε ἄλλων καὶ δὴ καὶ θυμοῦ καὶ ἐπιθυμίας, ὑφ' ὧν κατεχομένη οὐδ' ἂν ἔτι σαφῶς μένοι ψυχὴ, τὸ οἰκεῖον ἀπολέσασα εἶδος, κίνησις παρὰ λόγον καὶ ἄτακτος, καὶ οὐδὲν μετὰ κόσμου καὶ τοῦ προσήκοντος. Ἐπειδήπερ καὶ πάνθ' ὅσα, τοῦ λόγου παρόντος, ἀπῆν τῶν δεινῶν, ταῦτα παρεῖναι ἀνάγκη, τοῦ λόγου μὴ παραμένοντος· ὥσπερ δῆτα καὶ νὺξ ἐστιν ἀπουσία τοῦ τὴν ἡμέραν ποιοῦντος φωτὸς, καὶ νόσος ἐπιτρέχει, τῆς ὑγείας ἀποδημούσης τοῦ σώματος.

Ἃ δὴ πάντα συνορῶν ὁ Σωφρονίσκου Σωκράτης πλάστην ἀγαθῶν τῶν ψυχῶν τὸν λόγον ἐδίδαξε.

OCR ABK / FR

Καὶ γὰρ ὃν τρόπον ἐν οἰκίᾳ τῷ δεσπότῃ μὲν προστατουμένῃ, ἀνάγκη πάντα τε ὡς εὐπρεπῶς διατίθεσθαι καὶ κατὰ κόσμον γίνεσθαι τὴν διοίκησιν, μὴ ἐκείνου δὲ, τῶν δὲ δούλων κρατούντων, ἅπαντ' ἄνω καὶ κάτω μεταπίπτειν τῇ ἐπικρατείᾳ τοῦ χείρονος· εἰ δὲ βούλει, ὥσπερ ἐν σώματι τῆς συμμετρίας κρατούσης καὶ τοῦ ἄνωθεν λόγου, κατάστασίς τε πᾶσα περὶ ἐκεῖνο καὶ δὴ καὶ ὑγεία ὡς ἀκραιφνής, ἐκείνων δὲ διαλυθέντων εἴς τ' ἀσυμμετρίαν καὶ ἀταξίαν τῆς κράσεως, ἀνωμαλίαι τε ἄλλαι συμβαίνουσι, καὶ νόσοι καὶ φθίσεις, καὶ ὅσα τῆς ἀταξίας γεννήματα, οὕτω δῆτα καὶ λόγος παρὼν πρὸς τὸ βέλτιον οἶδε μεταπλάττειν ψυχὴν, ἀπὼν δὲ πρὸς τοὐναντίον ἰέναι παραχωρεῖν, καθὰ δήπου συνέβη ἂν καὶ πλεούσῃ νηῒ, μὴ τοῦ κυβερνήσοντος κατ' ἐπιστήμην παρόντος.

Διὸ δὴ καὶ πάντες οἷς ἐγένετο καλῶς ἀναπλῆσαι τὸν βίον, ἔργοις αὐτοῖς καὶ λόγοις τῷ λόγῳ μαρτυροῦσι Σωκράτους, δι' ἀμφοτέρων βοῶντες περιφανῶς, ὡς οὐκ ἂν ἦν αὐτοῖς τῶν δεόντων οὐδὲν ἀνύσαι, εἰ μὴ ὁ λόγος ἐχειραγώγει οἷον καὶ προὐπορεύετο, ὅντινα δὴ σφίσι καὶ (2) παντὸς τοῦ βίου προὐστήσαντο. Ἀλλ' ἵνα τά γε τῶν ἄλλων παρέλθω, ὅσα τε εἶπον, ὅσα τ' ἔδρασαν, εἰς ταυτὸν γνώμης Σωκράτει ἐρχόμενοι, τίς οὐκ οἶδε τὸν Εὐριπίδην ἔστιν ἐν οἷς τῶν ποιημάτων εὐχόμενον, μὴ ἐθέλειν ποτὲ ζῆν, μηδὲ γενέσθαι οἱ τοῦτο συνόλως, ἂν μὴ καὶ λόγος προσῇ τῇ ζωῇ (3)· δηλοῦντος διὰ τούτων, ἥν γε δι' ἄλλων Σωκράτης ἐξήνεγκε γνώμην, ὡς οὐκ ἔστιν εὐκτὴν εἶναι ζωὴν, μὴ τοῦ λόγου τὴν ψυχὴν κατὰ τὴν ἑαυτοῦ φύσιν πρὸς τὸ βέλτιον μεταπλαττοντος, ὥστε καλὴν (4) ἔχειν αὐτὴν, μηδὲν ἐπίμωμον ἐξ αἰσχρότητος ἐπιφέρουσαν.

Καὶ οὕτω μὲν Σωκράτης ἀξίως ἑαυτοῦ περὶ τοῦ παρόντος ἐφιλοσόφησεν· ἀξίως δὲ καὶ τοὺς ἐπαίνους λαβεῖν ἔχει παρ' οὐδενός.

A creatricem esse docuit. Etenim quemadmodum in domo cui præest dominus, necesse est omnia convenientissime disponi et rite exerceri gubernationem, et, si contra pro illo servi imperent, omnia sursum deorsum in potestatem pejoris devenire: aut, si mavis, veluti, quandiu in corpore regnant concordia et summa ratio, omnis constitutio in eo et sanitas est prorsus integra, et cum in eorum vicem subeunt discordia et confusio temperationis, aliæ perturbationes conveniunt et morbi, atque tabes, et singuli discordiæ fetus: sic profecto et præsens ratio ad meliora scit animam convertere, discessa vero eam in adversum ire permittit, ut videlicet accidit in navi fluctuanti, si non adsit peritus gubernator.

B Itaque et omnes quibus contigit bonam navigare vitam, in agendo et dicendo verbum testantur Socraticum, ex utroque modo clamantes, quod non poterant quidquid ex his quæ decent peragere, nisi illos ratio quasi manuduceret et eis præesset, ut reipsa ipsis in omni vita præposita fuit. Sed ut alios prætercam, qui tum in dicendo, tum in agendo de hac sententia Socrati conveniunt, quis nescit Euripidem in quibusdam locis præmature precantem, non velle unquam vivere, nec sibi hoc plane fieri, quod ratio non vitæ præsit: per hæc ostendit, quam alio modo Socrates protulit sententiam, nempe vitam non esse exoptandam, si ratio natura sua non animam ita ad meliora conformaret, ut, nihil dedecorum ex turpitudine hauriens, pulchra appareat.

C Sic equidem Socrates de re præsenti, ut illi decebat, philosophatus est: nomine vero, ut decet, potest ille prædicari.

(2) Forsan διὰ pro καί.
(3) Respectu forsan ad nobilem in Hercule Furente chorum: Οὐ παύσομαι τὰς χάριτας Μούσαις συγκαταμιγνὺς Ἡδίσταν συζυγίαν· Μὴ ζῴην μετ' ἀμουσίας.
(4) Forsan καλῶς.

# GEORGII CYPRII

## EPISTOLARUM INDEX

(Apud Lambecium Comment. de Biblioth. Vindobon., lib. VIII.)

Sexagesimus septimus codex manuscriptus Historicus Græcus ecclesiasticus est chartaceus antiquus et bonæ notæ in quarto, sed negligentia eorum qui ante me augustissimam bibliothecam Cæsaream administrarunt aliquot foliis in principio mutilus, constatque nunc foliis centum quadraginta octo. Continentur eo Gregorii Cyprii, qui ante monachatum Georgius appellatus fuit et anno Christi 1285 circa initium Aprilis ab imperatore Andronico Palæologo seniore patriarcha Constantinus creatus est atque in ea dignitate permansit usque ad annum Christi 1289 (quo eam circa mensem Junium propte

OCR ABK / FR

varias adversitates sponte sua abdicavit quique proxime sequenti anno 1290 obiit epistolæ centum nonaginta et una, cum incerti cujusdam actoris synchroni, cujus nomen ob supra memoratum aliquot foliorum defectum ignoratur, Præfatione, Vitam seu potius Laudationem ejus continente ; quæ mutila incipit hoc modo : . . . . . . λόγων δὲ ἐπεθύμει μὲν, ἐπεστρέφετο δὲ ὡς ἥκιστα, etc. Desinit autem his verbis : Κἂν τις ἄρα περὶ τῶν ἐκείνου χρηστόν τι ἢ καὶ θάτερον μαρτυρῇ εἰς τἀμαυτοῦ καὶ τὸ σκῶμμα, εἰς τἀμαυτοῦ καὶ τὸν ἔπαινον φέρειν φημὶ, ὥστε μοί γ' οὕτω τὰ πρὸς ἐκεῖνον ἔχοντι πρέπον ἂν εἴη σιγᾷν. Ἡ δὲ που πυκτὶς, ὅπερ καὶ ἄνωθεν ἔφην, καλῶς τὸν πατέρα τοῖς ἀναγινώσκουσι δείξει· ὥστε προσεκτέον αὐτῇ τοῦ λοιποῦ, καὶ ὡς ἂν αὐτὴ δώσει κρίνειν, οὕτω καὶ περὶ τῶν εἰρημένων τὴν ψῆφον ἐξενεκτέον. Sequuntur deinde ipsæ epistolæ; quarum prima ad Protosecretarium Manuelem Neocæsareensem inscribitur atque incipit hoc modo : Ἐπιστολαὶ τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κυρίου Γρηγορίου. Α'. Τῷ Νεοκαισαρείτῃ. Φασί τινες λόγον ἐκ τῆς πέραν ἠπείρου ἀφῖχθαι, ἀνδρὸς πόνημα οὐ πολὺ κλέος ἀρχῆθεν ἐν λόγοις· φασὶ καὶ τὸν λόγον εἶναι οἷον ἀνανεῶσαι καὶ αὐξῆσαι τὸ τοῦ πατρὸς κλέος παλαιόθεν ἤδη, οὐκ ἐλαττῶσαι. Οὔκουν ἐγὼ περὶ τοῦ προτέρου πυνθάνομαι, εἰ βεβαίως ἀφίκετο· ἀφίκετο γὰρ, etc. Centesima autem nonagesima prima inscribitur atque incipit hoc modo : Τινὶ τῶν ἀρχιερέων ρλα'. Ὡς διετέθησαν οἱ πολεμεῖν ἀεὶ τῇ Ἐκκλησίᾳ καὶ τῇ καταστάσει τῶν πραγμάτων βουλόμενοι, καὶ ὡς αὔξει καθ' ἑκάστην ἐκ τῆς τούτων ἐπηρείας τὰ σφάλματα περιττὸν ἴσως ἐν τοῖς νῦν διηγεῖσθαι, ἐπεὶ, etc. Dignissimæ profecto sunt omnes illæ epistolæ, ut tanquam eximium Corporis Historiæ Byzantinæ supplementum Græce et Latine in lucem proferantur et quidem præcipue ob Georgii Pachymeris Historiam Jusserii Andronici Palæologi senioris, quippe quæ beneficiis harum epistolarum innumeris fere locis potest illustrari. Sunt enim inter eas multæ ad ipsum illum imperatorem Andronicum ; item ad Georgium Acropolitam quem suum appellat διδάσκαλον sive magistrum, ad Melidenistam archidiaconum qui socius fuit expatriarchæ Joannis Becci in carcere ad Holobolum rhetorem qui synodo contra Beccum interfuit ad Theodorum Muzalonem magnum logothetam et protovestiarium ad Nicephorum Chumnum Muzalonis successorem Theodosium Saponopulum ad Raulænam protovestiarissam, quæ ipsum jam expatriarcham in monasterio liberaliter sustentavit et ad complures alios, quorum supra memoratus Pachymeres in Historia sua frequenter meminit. Reperi quoque ibi unam, nempe sexagesimam novam ad ipsum illum Gregorium Pachymerem cujus titulus et principium : Τῷ Παχυμέρῃ. Δέσποτά μου σοφώτατε, ἀνέγνων τὸν λόγον πλεῖν ἢ τετράκις· ἔγνω δὲ οὐδ' εἰς ἅπαξ, etc. Varias etiam ob causas operæ pretium fuerit omnes illarum epistolarum inscriptiones Græcas hic singulatim exhibere una cum earumdem initiis ; nec me pigebit istius laboris, utpote cum is quoque mihi ea et ipsi in sacra et profana eorum temporum Historia recognoscenda et illustranda posthac possit esse usui. Earum igitur ordo est talis : Epistola prima : τῷ Νεοκαισαρείτῃ. Φασί τινες λόγον, etc. ; secunda : τῷ λογοθέτῃ τῶν γενικῶν τῷ Ἀκροπολίτῃ. Ὁ μὲν κανὼν, etc. ; tertia : τῷ μοναχῷ Ἰασίτῃ. Ὁ ἐμὸς καὶ σὸς Κλήμης, etc. ; quarta : τῷ αὐτῷ. Ἡδέως μὲν τοὺς ἰχθῦς εἴδομεν, etc. ; quinta, τῷ Μελιτηνιώτῃ. Ἐμὸν πάθος, etc. ; sexta, τῷ Νεοκαισαρείτῃ. Ὑγιαίνειν σε, etc. septima : τῷ Θεσσαλονικείας Δημητρίῳ τῷ Βεάσκῳ. Ἐνέτυχον, ἀδελφὲ, etc. ; octava : τῷ μυστικῷ κυρῷ Ἰωάννῃ. Ἀδελφὲ ποθεινότατε, παροιμιάζεσθαι, etc. ; nona : τῷ προέδρῳ Ἐφέσου κυρῷ Ἰσαάκ. Ἡνίκα εἰς μνήμην ἔλθω, etc. ; decima : τῷ Ξιφιλίνῳ. Μάνθανε τὸν ἡμέτερον, etc. ; undecima : τῷ Νεοκαισαρείτῃ. Ὡρμημένον τε τὴν χθὲς, etc. ; duodecima : τῷ Θεογνώστῳ κυρῷ Ἰωάννῃ τῷ ἰατρῷ. Στομάχου κατάψυξις, etc. ; decima tertia : τῷ αὐτῷ. Τά τε χρειωδέστατα, etc. ; decima quarta : τῷ χαρτοφύλακι Θεσσαλονίκης τῷ Σταυρακίῳ. Εὔχομαι ὑγιαίνειν, σε, etc ; decima quinta : τῷ Θεογνώστῳ. Λευκὸς μὲν ὁ σὸς οἶνος, etc. ; decima sexta : τῷ Νεοκαισαρείτῃ. Πρὸς ἄλλον μὲν, καὶ etc. ; decima septima : τῷ αὐτῷ. Δι' ἡμᾶς οὐχ ἥκεις, etc. ; decima octava : Τῷ αὐτῷ. Βιβλίον οὐκ ἔστι παρ' ἡμῖν, etc. ; decima nona : Τῷ αὐτῷ. Εἰ τοῖς πόθῳ κάμνουσιν ἡμέρα μία βίος ὅλος, etc. ; vicesima : Τῷ Σταυρίῳ. Ἀλλὰ τί σιγᾷς, etc. ; vicesima prima : τῷ αὐτῷ. Καὶ πρώην μὲν ὁ Γεώργιος, etc, vicesima secunda : Τῷ αὐτῷ. Μάνθανε, ὡς ὁ νεανίσκος οὗτος, ἡμέτερος, etc ; vicesima tertia : Τῷ αὐτῷ. Ἐμὸς ὁ παρεστὼς σοι, καὶ ἥκει πρός σε, etc. ; vicesima quarta : Τῷ Νεοκαισαρείτῃ. Τετράμηνον (sic) ὅλον, etc. ; vicesima quinta : Τῷ αὐτῷ. Ἰδίωμά σου, etc. ; vicesima sexta : Τῷ αὐτῷ. Εἴθε μηδὲ τὴν ἀρχὴν βιβλίων ὑπῆρξεν ἡμῖν Ἀριστείδου, etc. ; vicesima septima : Τῷ Μελιτηνιώτῃ. Πολλὰ μὲν εἰ καυχᾷ, etc. ; vicesima octava : Τῷ Σταυρακίῳ. Ἀντ' οὐδενὸς ἄλλου, etc. ; vicesima nona : Ἀθανασίῳ τῷ Χατζύνῃ. Τιμιώτατε, πολλάκις ᾔτησας, ὅπερ ᾔτησας, etc. ; tricesima : Τῷ Σκουταριώτῃ. Τὴν βίβλον τῶν Προφητῶν ἀπαιτῶν νῦν ἤδη, etc. ; tricesima prima : Τῷ Νεοκαισαρείτῃ κυρῷ Μανουὴλ τῷ πρωτασηκρήτῃ. Πάντες σε πλὴν ὀλίγων οἴονται ἀληθεύειν ἐν λόγοις, etc. ; tricesima secunda : Τῷ αὐτῷ. Ἦν ὅτε λέγων, etc. ; tricesima tertia : Ὁ πατριάρχης τῷ αὐτοῦ φοιτητῇ πρωτασηκρήτῃ κυρῷ Μανουὴλ τῷ Νεοκαισαρείτῃ, νέαν ἄγων τὴν ἡλικίαν, πρὸ τοῦ τὸν μονήρη βίον ὑπελθεῖν. Εἰ μὲν κατὰ τὴν ὑπόσχεσιν, etc. ; tricesima quarta : Ὁ πατριάρχης τῷ αὐτῷ, ἔτι νέαν ἄγων τὴν ἡλικίαν, καὶ πρὸ τοῦ μοναδικὸν ἐπαμφιάσασθαι σχῆμα. Ὡς ἡδὺς εἶ, ὦ λῷστε, εἰς τὸ ἐπιὸν θέρος, etc. ; tricesima quinta : Τῷ Πεδιασίμῳ, χαρτοφύλακι Ἀχρειδῶν. Καὶ φιλίαν οἶδα τιμᾷν ἐγὼ, etc. ; tricesima sexta : Τῷ Νεοκαισαρείτῃ. Λόγος πρὸς τὸν σοφώτατον λογοθέτην, etc. ; tricesima septima : Τῷ ἐπισκόπῳ Πριήνης. Ὁποτὲ μὲν δεσπότης ἤτοι παππᾶς, νῦν δὲ ἰατρὸς καὶ μικρὸν μετὰ τῶν νῦν ἀρχιατρὸς, etc. ; tricesima octava : Λογοθέτῃ τοῦ γενικοῦ τῷ Ἀκροπολίτῃ. Πολλὰ μὲν ἔσχον, etc. ; tricesima nona : Τῷ Νεοκαισαρείτῃ. Χάρτης οὐκ ἔστι μοι, etc. ; quadra-

gesima : Τινὶ τῶν ὁμιλητῶν. Οὐ μέμφομαί σου τὴν περὶ ἐπιστολὰς, etc.; quadragesima prima : Τῷ αὐτῷ. Ἐμεμψάμην, ὁμολογῶ· λεγέσθω γὰρ μέμψις, etc.; quadragesima secunda : Τῷ κοιαίστορι κυρῷ Νικηφόρῳ τῷ Χούμνῳ. Ὅτε συνταξόμενος ἡμῖν, etc.; quadragesima tertia : Τῷ Νεοκαισαρείτῃ. Ὡρμημένον με γράφειν πρὸς σέ, etc.; quadragesima quarta : Τῷ αὐτῷ. Ἔοικεν ὁ τοῦ λόγου πατὴρ, Ἀριστοτέλει μὲν πλημμελῶς, etc.; quadragesima quinta : Τῷ αὐτῷ. Ἐγκαλεῖν οὐδὲν σοι βούλομαι, etc.; quadragesima sexta : Τῷ αὐτῷ. Ἐμὲ τις πάλαι μὲν τῶν ὁμιλητῶν, etc.; quadragesima septima : Διακόνῳ τῷ Καλλίστῳ. Δέσποτά μου ποθεινότατε, πολλῶν ἤδη τῶν ἡμερῶν Ἀριστοτέλους Ἠθικὰ ζητοῦντί μοι, etc.; quadragesima octava : Τοῦ αὐτοῦ πρὸς ἑαυτὸν ὡς ἀπ' ἄλλου. Λέγουσι μὲν ἡρῷ θέραμα, etc.; quadragesima nona : Τῷ Νεοκαισαρείτῃ. Τί τοῦτο ἐπέστης, etc.; quinquagesima : Τοῦ αὐτοῦ ὡς πρὸς ἑαυτὸν ὑφ' ἑτέρου. Οἶδα καὶ τὴν ἐμαυτοῦ περὶ λόγους ἀσθένειαν, οἶδα καὶ τὴν σὴν περὶ τούτους ἀκρίβειαν, etc.; quinquagesima prima : Τῷ Νεοκαισαρείτῃ. Τί μὲν τοῖς ἄλλοις, etc.; quinquagesima secunda : Τῷ λογοθέτῃ τῶν ἀγγελιῶν τῷ Πεπαγωμένῳ. Ἄλλων μὲν λόγους ἡγούμην τὰ πράγματα, etc.; quinquagesima tertia : Ὁ μέγας λογοθέτης τῷ πατριάρχῃ. Ἐγὼ δὲ ᾐσχυνόμην ἐπιδείξειν, etc.; quinquagesima quarta : Τῷ μεγάλῳ λογοθέτῃ. Οὔτ' ἐπαινεῖν κρίνω τὸν λόγον, etc.; quinquagesima quinta : Τῷ αὐτῷ. Δέχου τὸν λόγον, πολλάκις ὑφ' ἡμῶν ἀναγνωσθέντα καὶ θαυμασθέντα, etc., quinquagesima sexta : Τῷ αὐτῷ. Ἐγώ σου τὸν λόγον ἀναγνοὺς, etc.; quinquagesima septima : Τῷ Νεοκαισαρείτῃ καὶ τῷ Χούμνῳ. Κακόπαιδας μὲν οἶδα, etc.; quinquagesima octava : Τῷ Σκουταριώτῃ. Ἐβουλόμην μὲν λέγειν, etc.; quinquagesima nona : Τῷ Νεοκαισαρείτῃ. Ὑποσχόμενος ἀποστεῖλαι τὴν βίβλον, etc.; sexagesima : Τῷ μεγάλῳ λογοθέτῃ. Ἄρτι πρῶτος ἡμᾶς ἡ περὶ τοῦ σοῦ φιλτάτου πικρὰ κατέλαβεν ἀγγελία, etc.; sexagesima prima : Τῷ αὐτῷ. Νῦν ἡ χρεία κινεῖ, etc.; sexagesima secunda : Τῷ Νεοκαισαρείτῃ. Ἐκ πολλοῦ σοι διαννοούμενοι ἐπιστεῖλαι, etc.; sexagesima tertia : Τῷ Σαπανόπλῳ. Τοὺς ἐν χερσὶ τούσδε λόγους, etc.; sexagesima quarta : Τῷ αὐτῷ. Ὥσπερ ἀληθῆ οὕτω δή σοι καὶ πιστὰ λέξεως οἶδα, etc.; sexagesima quinta : Τῷ αὐτῷ. Οὐ πόῤῥω τοῦ τῶν σοφιστῶν πάθους, etc.; sexagesima sexta : Τῷ Μελιτινιώτῃ. Καιρὸς ἦν ὅτε ὁ πολυθρύλλητος βασιλικὸς σῖτος, etc., sexagesima septima : Τῷ Νεοκαισαρείτῃ. Ἴσως ζητεῖς τινα καιρὸν ἐλθεῖν πρὸς ἡμᾶς, etc.; sexagesima octava : Τῷ αὐτῷ. Πρὸ πολλῶν ἡμερῶν, etc.; sexagesima nona : Τῷ Παχυμέρῃ. Δέσποτά μου σοφώτατε, ἀνέγνων τὸν λόγον πλεῖον ἢ τετράκις, etc.; septuagesima : Τῷ Νεοκαισαρείτῃ. Ἀνὴρ ἐκεῖνος γράμματα ἔδοξε πέμπειν ἡμῖν, etc.; septuagesima prima : Τῷ μοναχῷ Ἰασίτῃ. Ὅς σοι τὴν ἐπιστολὴν ἐγχειρίζει, etc.; septuagesima secunda : Τῷ Μελιτινιώτῃ. Εὔχομαι εἰς Θεὸν, ἵνα κἂν αὐτὸς ὑγιαίνοις, etc., septuagesima tertia : Τῷ μοναχῷ κυρῷ Μεθοδίῳ. Ἐρωτᾷς τί ἡμῖν ἡ ὠφέλεια τῶν πρὸς σὲ βούλεται γραμμάτων, etc., septuagesima quarta : Τῷ Κορέσῃ μοναχῷ Ἀγάθωνι. Ἔτι περιττῶς ἔχομεν τῶν ἀνιαρῶν, etc., septuagesima quinta : Τῷ Μελιτινιώτῃ. Ἰδού σοι πέπομφα καὶ ἕτερον Ἀριστείδου βιβλίον, etc.; septuagesima sexta : Τῷ Σταυρακίῳ. Ὁ μὲν καιρὸς ἐξότου σε τὴν σεβασμίαν ἐμοὶ κεφαλὴν, etc.; septuagesima septima ; Τῷ αὐτῷ. Ἄνω καὶ κάτω σοῦ τῶν ἐπιστολῶν, etc., septuagesima octava : Γεωργίῳ τῷ Μαρμαρᾷ. Ἐξότου τὰς μεμβράνας εἰλήφεις, etc.; septuagesima nona : Τῷ Θεογνώστῳ κυρῷ Ἰωάννῃ τῷ ἰατρῷ χρηστὰ ταῦτα ἢ ὅλως ἀνεκτά, etc.; octogesima : Τῷ Σαπανόπλῳ. Ἐπαινῶ καὶ σὲ τῆς ἐπιστολῆς, etc., octogesima prima : Τῷ Ξιφιλίνῳ. Τὸ μὲν βιβλίον ἰδού σοι εἰς χεῖρας, etc., octogesima secunda : Τῷ χαρτοφύλακι Θεσσαλονίκης τῷ Σταυρακίῳ. Ὃν σὺ περὶ ἡμᾶς πόθον σαυτῷ μαρτυρεῖς, etc.; octogesima tertia : Τῷ Θεογνώστῳ κυρῷ Ἰωάννῃ τῷ ἰατρῷ. Ἐντιμότατε δέσποτα, οὐκ οἶμαί σε τὸν ἐμὸν ἀγνοεῖν τρόπον, etc.; octogesima quarta : Τῷ μοναχῷ Θεοδοσίῳ. Παχὺς ὑμῖν ὁ πεμφθεὶς οἶνος, etc.; octogesima quinta : Τῷ αὐτῷ. Ὅτι μὲν χερρὴν αὐτίκα μετά, etc; octogesima sexta ; Τῷ Σαπανόπλῳ. Εἰ δεῖ τι ἀκοῦσαι ἡμᾶς παρὰ σοῦ, etc.; octogesima septima : Τῷ Νεοκαισαρείτῃ. Τὸν μὲν καιρὸν, ὅτι χειμέριος, ὁρᾷς, etc.; octogesima octava : Τῷ Μελιτινιώτῃ. Καινῶν τινων, ὅτι γεγόνασιν, ἀκουσθέντων μοι, etc.; octogesima nona : Τῷ Κορέσῃ μοναχῷ Ἀγάθωνι καὶ τῷ Νεοκαισαρείτῃ. Περὶ οὗ τὴν σήμερον εἰρήκατε βιβλίου εἶναι παρ' ὑμῖν, etc.; nonagesima : Τῷ Μελιτινιώτῃ. Ὁ ἀρχιδιάκονος ὑγιαίνοις, τοῦτ' ἔστω μοι τῆς ἐπιστολῆς τὸ προοίμιον, etc.; nonagesima prima : Τοῖς ἑαυτοῦ ὁμιληταῖς, τῷ τε Μουσάλωνι κυρῷ Θεοδώρῳ λογοθέτῃ τῶν γενικῶν, καὶ τοῖς λοιποῖς. Ἄνδρες φίλοι, Ἑρμοῦ τρόφιμοι καὶ Μουσῶν, εἰ μὲν, etc.; nonagesima secunda : Ῥήτορι τῷ Ὁλοβώλῳ. Κόρος τῶν πάντων, etc.; nonagesima tertia : Τῷ ἐπὶ τῶν δεήσεων. Πρᾶττε ὡς ἂν ἐθέλῃς, etc.; nonagesima quarta : Τῷ αὐτῷ. Χάριν οὐδὲ μίαν ἡ πρότριτά σου τοῦ ἵππου εἶχεν ἀποστολή, etc.; nonagesima quinta : Τῷ αὐτῷ Ἐφάνη τὸ δεύτερον τοῦτο, etc., nonagesima sexta : Ῥήτορι τῷ Ὁλοβώλῳ. Ὧτινι μὴ φιλοτιμίας μέλει, βλὰξ ἐκεῖνος, φασὶν, etc.; nonagesima septima : Τῷ Μελιτινιώτῃ. Εἰ μὲν τι νόσου μεταξὺ καὶ ὑγείας ἔχεις, etc.; nonagesima octava : Τῷ περὶ τῶν δεήσεων. Σήμερον ὀρθρίσαντί μοι, etc.; nonagesima nona : Τῷ Σταυρακίῳ. Τῦφον ἡμῖν ἐγκαλεῖς, ὦ ἀγαθέ, καί, etc., centesima : Τῷ μοναχῷ κυρῷ Μεθοδίῳ. Ὑγιαίνοις, ἐν Χριστῷ τιμιώτατε, ἐξ εὐχῆς μοι τὸ τοῦ γράμματος ἔστω προοίμιον. Ἃ δὲ, etc.; centesima prima : Τῷ αὐτῷ. Ἐπανήκαμεν ἐκ τῆς ἐκδημίας, etc.; centesima secunda : Τῷ Φακρασῇ Ἰωάννῃ. Βαμβακίνας ἐκ μόνης θατέρας τῶν ἐπιφανειῶν γεγραμμένας πέπεισμαι οἴκοι σοι παρεῤῥίφθαι πολλάς· αἳ δὲ σοι μὲν εἰς οὐδὲν χρήσιμαι, εἰ μὴ ἄρα λέγοις εἰς ἔξαψιν φλογὸς ταμιεύειν αὐτάς, ἐμοὶ δὲ εἰ πέμψοις, etc.; centesima tertia Τῷ Μελιτινιώτῃ. Ἴσως μὲν γράψεις, etc.; centesima quarta : Τῷ Δουκαΐτῃ. Λόγος ὅτι πταίσματα ἐνῆσαν τῷ γράμματι, etc.; centesima quinta : Τινὶ τῶν ὁμιλητῶν διά τινα αἰτιώμενον, ὅτι μὴ πρὸς ἡδονὴν γράφει. Ἐπικροτεῖν οὐκ οἶδα πρὸς ὀργάνων φωνάς, etc.; centesima sexta : Τῷ Σταυρακίῳ. Τὸ μὲν

πρὸς ἡμᾶς σου γράμμα Λακωνικόν· ἐγὼ δὲ ἄρα πολυλόγος τις, καί, ὡς Ὅμηρος εἴπῃ ἀμετροεπής, etc. ; centesima septima : Τῷ Θεογνώστῳ. Εἴθε ὥσπερ ὀξύτατος εἶ πράξει, etc. ; centesima octava : Τῷ ἐπὶ τῶν δεήσεων. Καλὲ κἀγαθὲ Μανουὴλ, ὑγιαίνοις. Τοῦτό μοι τῆς ὁμιλίας καὶ εὐχὴ καὶ προοίμιον. Τὸ δὲ μετὰ τοῦτο ὁ ἡμέτερος Γεώργιος, etc. ; centesima nona : Τῷ σοφωτάτῳ μεγάλῳ λογοθέτῃ. Οἶμαι, πολλούς τινας ἔσχες ἰδεῖν, etc. ; centesima decima : Τῷ Μελιτινιώτῃ. Ὅτι οὐδ' ἡντιναοῦν ἡμῖν χρείαν τὸ τοῦ βαλανίτου παρεῖχε βιβλίον, etc. ; centesima undecima : Τῷ Ἀκροπολίτῃ μεγάλῳ λογοθέτῃ κυρῷ Γεωργίῳ, διδασκάλῳ αὐτοῦ χρηματίσαντι. Κύριέ μου καὶ διδάσκαλε, ἐπεὶ πρὸς τοῦ κρείττονος ὁδηγηθεὶς ὑπέσχου δοῦναι τὴν βίβλον, etc. ; centesima duodecima : Τῷ μεγάλῳ λογοθέτῃ. Οὐκ ὀλίγοι τῶν φίλων τὸν λόγον αἰτοῦσιν ἡμᾶς· τοῦτον δὴ λέγω τὸν προσφάτως ἡμῖν ἐπὶ τῷ μεγάλῳ συντεθειμένον Διονυσίῳ, etc ; centesima decima tertia : Τῷ μοναχῷ Ἰασίτῃ. Γινώσκεις τὸν ἐμὸν τρόπον, etc. ; centesima decima quarta : Τῷ Θεογνώστῳ κυρῷ Ἰωάννῃ τῷ ἰατρῷ. Τροφῆς οἰασοῦν οὐχ ἡψάμην τὴν χθὲς, etc. ; centesima decima quinta : Τοῦ αὐτοῦ ἁγιωτάτου πατριάρχου ἐπιστολαὶ, ἐκδοθεῖσαι ἐν τῷ πατριαρχείῳ. Τῷ μεγάλῳ λογοθέτῃ. Εἶδες οἷά με ὁ Θεολογίτης διέθηκεν Ἰωάννης ὁ Μακεδονίας καὶ Θράκης κατὰ μέν τινας ἄλλους ἀπογραφεύς, etc. ; centesima decima sexta : Ὁ μέγας λογοθέτης τῷ πατριάρχῃ. Ἐγὼ δὲ καὶ χάριν ὁμολογῶ τῷ ταλαιπώρῳ Θεολογίτῃ, etc. ; centesima decima septima : Ὁ πατριάρχης τῷ αὐτῷ. Τῆς ἀρετῆς τῆς χθὲς μοι πεμφθείσης ἐπιστολῆς, etc. ; centesima decima octava : Ὁ μέγας λογοθέτης τῷ πατριάρχῃ. Ἠσχύνθην ὑπὲρ ἐμαυτοῦ δεξάμενος τὴν ἐπιστολὴν, ὅτι με τοσοῦτον ἐπῄνει, etc. ; centesima decima nona : Ὁ πατριάρχης τῷ αὐτῷ. Ἐβουλόμην ἐκ τῶν ἐπῶν Ὁμήρου τῶν ἐπιστολιμαίων τουτωνὶ κατάρξασθαι συλλαβῶν, etc. ; centesima vigesima : Τῷ αὐτῷ. Οἱ δὲ Περσαεῖς πόσα δοκεῖς ἐνώπιον ἡμῶν πράττουσί τε καὶ λέγουσιν ; Ἐγὼ μὲν οὐδ' ἀκούειν ἀνέχομαι τῶν ἀνδρῶν, οἶμαι δὲ, etc. ; centesima vigesima prima : Τοῖς ἐν τῷ Ὀστρειδίῳ μοναχοῖς τῷ Χειλᾷ Ἰωάννῃ καὶ τῷ Δανιήλ. Εὐστράτιος τὸ ἀββάδιον, ἑαυτὸν δι' αἰτίαν, ἣν αὐτὸς εἰδείη, τῆς ὑμετέρας ἀδελφότητος ἀποῤῥήξας, ἧκε πρὸς ἡμᾶς, etc. ; centesima vigesima secunda : Ῥήτορι τῷ Ὀλοβώλῳ. Γένοιτό σοι, σοφώτατε καὶ τιμιώτατε, πᾶν ἐκ Θεοῦ ἀγαθόν, etc. ; centesima vigesima tertia : Τῷ μεγάλῳ λογοθέτῃ. Ἡμῖν αὔξει τὴν ὑπέρθεσιν ἡμέρα ἑκάστη, etc. ; centesima vigesima quarta : Τῷ αὐτῷ. Πρὸς τὸν Ἀντιοχείας πατριάρχην μὴ πέμπειν ἡμᾶς γράμμα, etc. ; centesima vigesima quinta : Τῷ αὐτῷ. Ὁ παρὼν Ὑρτακηνὸς οὐκ ὢν Ὑρτακηνὸς τὸ ἀνέκαθεν, ἀλλὰ Κύπριος, δεηθεὶς αὐτῷ εἰς πόλιν παραγενέσθαι, ἧκε καὶ ἐς ἡμᾶς, etc. ; centesima vigesima sexta : Δανιὴλ τῷ Γλυκεῖ. Κατέλαβες ἐνταῦθα, etc ; centesima vigesima septima : Τῷ μεγάλῳ λογοθέτῃ. Ὁ τῆς ἐν νήσῳ Χίῳ μονῆς, τῆς νέας λεγομένης, καθηγησάμενος, etc. ; centesima vigesima octava : Τῷ αὐτῷ. Οὐδ' ὁ τὸν βίον ἀπολιπὼν Χατζύκης, etc. ; centesima vigesima nona : Τῷ αὐτῷ. Χρυσοκομπᾶς τις στρατιώτης, τὴν Παρασκάμανδρον χώραν οἰκῶν, υἱὸν ἔχων ἐκ πρώτης γυναικὸς καὶ συνοικῶν δευτέρᾳ, ἐπειδὴ, etc.; centesima trigesima : Τῷ αὐτῷ. Ἔσται μὲν ἀληθῶς κρίσις τῷ Θεῷ πρὸς ἅπαντας ἀνθρώπους κοινῶς, etc.; centesima trigesima prima : Τῷ σεβαστοκράτορι κυρίῳ Ἰωάννῃ. Πανευτυχέστατε σεβαστοκράτορ, τέκνον ἐν Κυρίῳ τῆς ἡμῶν μετριότητος· καλοῦμεν γάρ σε καὶ ἐν τοῖς τοιούτοις ὀνόμασιν, εἰ καὶ τὰ προσφάτως παρὰ σοῦ γεγενημένα, καὶ εἰς ἀκοὰς τὰς ἡμετέρας ἐλθόντα οὐχ οὕτω σε καλεῖν ἡμᾶς ἀναπείθει. Ἔδει σε Χριστιανόν τε ὄντα, καί, etc.;centesima trigesima secunda : Τῷ βασιλεῖ. Εἰκοστὴν εἶχεν ὁ Δεκέμβριος μὴν, καὶ ἡμεῖς τηνικαῦτα τὴν βασιλεύουσαν πόλιν κατελαμβάνομεν, ἐντίμου τῆς εἰς αὐτὴν εἰσόδου τυχόντες· καὶ μέχρι μὲν τούτων προῆλθεν ἡμῶν τὰ τερπνά, τὰ δὲ ἑξῆς ὅσων ταραχῶν, ὅσων θορύβων καὶ ἰλίγγων μεστά ! Ἀνασεσοβημένους γὰρ τοὺς πλείους εὑρίσκομεν ὑπὸ τῆς ἐπιστολῆς, ἣν ὁ Βέκκος συνθέμενος καὶ ἐγκύκλιον ὀνομάσας, εἰς πολλά τε ἐγγράψας, διαδοθῆναι πρὸς πάντας, εἰ δυνατὸν, ἐξαπέστειλε, καὶ εὑρίσκομεν εἰς δύο διῃρημένους τοὺς μὲν, etc.; centesima trigesima tertia Τῷ βασιλεῖ. Κράτιστε, θεόστεπτε, ἅγιέ μου δέσποτα βασιλεῦ, εἰσακούσοι Θεὸς τῆς φωνῆς τῆν δεήσεώς σου, καὶ πάσας τὰς εὐχάς σου ἀποδοίη σοι εἰς σωτηρίαν, ἐχθρὸς νοητὸς καὶ υἱὸς ἀνομίας, etc.; centesima trigesima quarta : Τῷ αὐτῷ. Ἀλλ' ἡμεῖς γε, ἅγιέ μου δέσποτα καὶ κράτιστε βασιλεῦ, οὔτε τῶν πρώην ὀχλήσεων ἀπηλλάγημεν, etc.; centesima trigesima quinta : Τῷ μεγάλῳ λογοθέτῃ. Περὶ τοῦ ἀρχιερέως τοῦδε ἤδη ποτὲ καὶ ἄλλοτε ἀξιώσας οἶδα, καὶ νῦν δὲ πάλιν ἀξιῶ καὶ παρακαλῶ γε πρὸς (sic). Πτωχός ἐστιν αὐτός· μοναχὸς γὰρ ἄνωθεν, etc.; centesima trigesima sexta : Τῷ αὐτῷ. Ἡμεῖς ὡς τὴν Κωνσταντίνου κατελάβομεν πόλιν, ἀσθενείᾳ οὐ πάνυ τοι περιπεπτώκαμεν χαλεπῇ, οὐδ' etc.; centesima trigesima septima : Τῷ βασιλεῖ. Κράτιστε θεοστεφὲς ἅγιε βασιλεῦ, νίκας κατὰ τῶν ἀφανῶς ἐπιτιθεμένων ἐχθρῶν, τρόπαια κατὰ τῶν ὁρωμένων, καὶ ἡμερῶν πλῆθος μετ' εὐφροσύνης ἀλήκτου χαρίζοιτό σου τῇ ζωῇ Κύριος, ἵν' εἰ μήποτε πρότερον, etc.; centesima trigesima octava : Τῷ βασιλεῖ. Ἐγώ σου τῶν καλῶν, ἅγιε δέσποτα βασιλεῦ, εἰς μνήμην ἥκω συνεχέστερον, etc.; centesima trigesima nona : Τῷ μεγάλῳ λογοθέτῃ. Ὅτι πρὸ ἡμερῶν οὐκ ὀλίγων συγχωρηθῆναι ἡμῖν ἀπαίρειν εἰς Βυζάντιον ἐδεόμεθα, etc.; centesima quadragesima : Τῷ αὐτῷ. Ὑγίαινέ μοι καὶ χαῖρε, ὁ πολὺς τὴν κατὰ πᾶσαν ἀρετὴν εὐδοκίμησιν μέγας καὶ σοφὸς λογοθέτης, etc. centesima quadragesima prima : Τῷ πρωτοβεστιαρίῳ...... ὁ ἡμέτερος θυγάτριον ἔχων ἐπίγαμον καὶ ἄνδρα ῥᾳδίως αὐτῷ μὴ δυνάμενος ἐκ πενίας ἀγαγέσθαι, Ὄλυμπον ἄντικρυς ἢ Παρνασσὸν, ἤ τι (sic) τῶν μεγάλων ὀρῶν δοκεῖ φέρειν ἐπὶ τῆς κεφαλῆς, τοῦτον, etc.; centesima quadragesima secunda : Τῷ βασιλεῖ. Κράτιστε, ἅγιέ μου δέσποτα βασιλεῦ, ἄλλους μὲν ἄλλα τέρπει τῶν πραγμάτων, ἐμὲ δὲ τὸ τὰ μεγάλα σε συμμαχούμενον ἄνωθεν κατορθοῦν· ὅθεν, etc.; centesima quadragesima tertia : Τῷ βασιλεῖ. Ἅγιέ μου δέσποτα, κράτιστε βασιλεῦ, ἐπὶ τοὺς θλίβοντας τὴν

κληρονομίαν σου, ἢ θλίβειν διανοουμένους, τὴν χεῖρα αὐτοῦ ἐπιβάλλοι Θεός, etc. ; centesima quadragesima quarta : Τῷ μεγάλῳ λογοθέτῃ. Ἔστι μὲν ἐν Θεσσαλονίκῃ τῇ πόλει καὶ ἄλλα δή τινα μοναστήρια ὑπὸ τὴν πατριαρχικὴν ἐξουσίαν τελοῦντα, ἔστι δὲ καὶ τὸ τοῦ Γεροντίου λεγόμενον· οὐκ ἄνδρες ἐν αὐτῷ, μόναχαὶ δὲ γυναῖκες οἰκοῦσιν· ἐκ δὴ τούτου πρό τινων οὐ πάνυ πολλῶν ἡμερῶν ἧκέ μοι γράμμα, ἔχον μὲν ἐπιγραφήν, Αἱ ἅπασαι μοναχαὶ τῷ πατριάρχῃ, ἔχον δὲ καὶ τὴν κατηγορίαν ὅση ἂν εἴποις κατὰ τῆς Ἡγουμένης πολλήν. Τί οὖν δέ, etc. ; centesima quadragesima quinta : Τῷ αὐτῷ. Ὅνπερ κατὰ τῶν τοῦ Βέκκου ἀδολεσχιῶν ἢ οὑτινοσοῦν ἄλλον λόγον ἐκδεδωκέναι τὴν σὴν οἶδα σοφίαν, etc. ; centesima quadragesima sexta : Τῷ βασιλεῖ. Παραδηλοῦν μὲν τῇ ἐκ Θεοῦ βασιλείᾳ σου, etc. ; centesima quadragesima septima : Τῷ μοναχῷ Ἀθανασίῳ τῷ Λεπενδρηνῷ. Ἐπὶ τὸ ὄρος τὸ θαυμαστὸν σπεύδοντά σε, etc., centesima quadragesima octava : Τῷ αὐτῷ ἔτι εἰρηνεύοντι. Προσφθέγγομαί σε καὶ πάλιν, σεβασμιώτατε, etc. ; centesima quadragesima nona : Τῷ μεγάλῳ λογοθέτῃ. Σοφώτατε, γνῶναι παρέστω σοι, ὡς οἱ ἐν Περίνθῳ Δωριεῖς τε καὶ Πελοποννήσιοι ἐς Βυζάντιον συνδεδραμηκότες, etc. ; centesima quinquagesima : Τῷ αὐτῷ. Ὁ τῆς Ἰκονιέων πόλεως μητροπολίτης οὑτοσί, etc. ; centesima quinquagesima prima : Τῷ αὐτῷ. Οἱ τὸ Πηγκίων ἐπίνειον οἰκοῦντες Παρδόπουλοι ἐλεεινὰ προσίασιν ἡμῖν κλαίοντες ὁμοῦ καὶ τὰς ἑαυτῶν ἀναγγέλλοντες συμφοράς, etc. ; centesima quinquagesima secunda : Τῷ Μοναχῷ. Ἡμεῖς, ὦ θεσπέσιε, κατὰ τὸ δοκοῦν τῷ Θεῷ ταῖς κοιναῖς τῆς Ἐκκλησίας παραδεδομένοι φροντίσιν, etc. ; centesima quinquagesima tertia : Τῷ μεγάλῳ λογοθέτῃ. Οὐδὲν ἡμῖν περὶ τῆς Πρωτέως ἀπατηλῆς ὁμιλίας τὴν παρελθοῦσαν ἑσπέραν δεδήλωται, etc. ; centesima quinquagesima quarta : Τῷ αὐτῷ. Ἀρά γε πλατὺ γελάσεις, ἀκούσας, ἅπερ, etc. ; centesima quinquagesima quinta : Τῷ αὐτῷ. Ἀκούσας, οἶμαι, ὅ τι δὴ καὶ ποιῶν, φιλοτιμίαν καλέσεις τὴν πρᾶξιν, etc. ; centesima quinquagesima sexta : Ὁ μέγας λογοθέτης τῷ πατριάρχῃ. Ὃ συμβαίνει πάσχειν πολλάκις τοὺς ἀσθενῶς τῶν ὄψεων ἔχοντας, etc. ; centesima quinquagesima septima : Ὁ πατριάρχης τῷ αὐτῷ. Ἐβουλόμην μὲν ἐγὼ τὰς πάσας τῶν ἐπιστολῶν χάρτας ἐναπογραψάμενος, διαμένειν εἰς τὸν μετέπειτα βίον ἀφιέναι, etc. ; centesima quinquagesima octava : Τῇ πρωτοβεστιαρίσσῃ, καὶ τῇ ἀδελφῇ αὐτῆς παραμυθητική. Σὺ μὲν ἴσως, κυρία καὶ θύγατερ ἐν Χριστῷ, οὐκ ἀπεικότως ἡμᾶς εἰ φίλους ἡγήσῃ καὶ διαθέσεως τῆς κατὰ πνεῦμα, ἀμνή μονάς, etc. ; centesima quinquagesima nona : Τῷ μεγάλῳ λογοθέτῃ. Τὰ τοῦ Πέρσου παιδία, etc. ; centesima sexagesima : Τῷ αὐτῷ. Καὶ τὴν χθὲς καὶ τὴν νῦν οὖσαν ἡμέραν, etc. ; centesima sexagesima prima : Τῷ πρωτοσεβάστῳ καὶ πρωτοβεστιαρίῳ. Τὸ τοῦδε τοῦ πένητος αἴτημα οὐκ Ἀρκαδία ἐστίν, ὅ φησιν ἡ παροιμία, etc. ; centesima sexagesima secunda : Τῷ αὐτῷ. Τὸ ταλαίπωρον γύναιον ἡ Καρυστηνή, etc. ; centesima sexagesima tertia : Τῷ αὐτῷ. Τὸ ἐν Ῥόδῳ μοναστήριον· Ῥοδίνην αὐτὸ ἐγχωρίως καλοῦσιν· οἱ Ἱεροσολύμων ἥκοντες οὗτοι ᾐτήσαντο λαβεῖν εἰς μετόχιον, ὡς ὄν, etc. ; centesima sexagesima quarta : Τῷ αὐτῷ. Συμεών τις, ἔμπορος ἄνθρωπος, Σύρος τὸ γένος, Πτολεμαΐδος τῆς ἐν Παλαιστίνῃ πολίτης, φίλος ἐμός· οὐ πάνυ δὲ παλαιός, ἀλλ' ἐξότουπερ ἐς Βυζάντιον ἧκε, etc. ; centesima sexagesima quinta : Τῷ αὐτῷ. Ὅτι μὴ μόνον πρὸς Θεὸν τὴν εὐχήν, etc. ; centesima sexagesima sexta : Φραγκόπουλος, ὁ τὴν οἴκησιν, etc. ; centesima sexagesima septima : Τῷ ἰατρῷ Θεογνώστῳ. Τὸν πρὸ μικροῦ κομήτην, νῦν δὲ ἀτίμῳ κουρᾷ ἀποβεβλημένον τὰς τρίχας, τὸν μαστιγίαν καὶ ἐκβεβοημένον Φραγκόπουλον, δεσμώτην ὄντα, etc. ; centesima sexagesima octava : Τῷ πρωτοβεστιαρίῳ. Εἴτ' ἀληθές ἐστιν, ὅ φασί τινες, εἴτε καὶ μή, etc. ; centesima sexagesima nona : Τῷ λογοθέτῃ τῶν γενικῶν τῷ Ἀκροπολίτῃ. Ὅ ποτε τὸν Ἀτζωνᾶν ἐκεῖνον εἶχε δεσπότην Ἀριστείδου βιβλίον· νῦν δὲ σὸν εὐτυχῶς εὑρίσκεται κτῆμα, etc. ; centesima septuagesima : Τῷ μεγάλῳ λογοθέτῃ. Ἑαυτῷ τι προσήκειν ὁ δεῖνα ῥητορικῆς εὐγλωττίας οἰόμενος ἔργον τῆς δοκούσης ποιεῖται δυνάμεως διὰ συχνῶν ἐμοῦ καθάπτεσθαι τῶν ἐπιστολῶν, ὥσπερ οὐκ ἄλλοθεν ἔχων τοῖς ἑαυτοῦ λόγοις ὕλην ἢ ἐκ τῶν ἡμετέρων ψόγων ὑποβαλεῖν, etc. ; centesima septuagesima prima : Μοναχῷ τινι γνωρίμῳ. Πρώτην εἶχον τὴν εἰς ἀσθένειαν κατακλίσεως ἡμέραν, etc. ; centesima septuagesima secunda : Τῷ μεγάλῳ λογοθέτῃ. Γεώργιόν τινα Ξιφιλῖνον, ἄνδρα θεῖον καὶ ὑπὲρ τοὺς κατ' αὐτὸν ὄντα ἀρετήν, ὅτι γέγονε πατριάρχης ἀκήκοας, οἶμαι, γέγονε δέ, etc. ; centesima septuagesima tertia : Τῷ αὐτῷ. Ἀλλ' ἔμοιγε τοσοῦτον φέρει τὴν αἰσχύνην, etc. ; centesima septuagesima quarta : Τῷ αὐτῷ. Εἰπέ τις, μᾶλλον δὲ κατεῖπεν ἐπὶ τῆς σῆς τελειότητος, ὡς εἴη ὁ πρόεδρος Δίνου τὰ καὶ τὰ ποιῶν, etc ; centesima septuagesima quinta : Τῷ αὐτῷ. Ἔοικεν ὁ θαυμάσιος τοῦ φοσσάτου κριτὴς ὁ πανσέβαστος παλαιάν τινα πρὸς τὸν τροπαιοφόρον τρέφειν δυσμένειαν, etc. ; centesima septuagesima sexta : Τινὶ γνωρίμῳ. Πανσέβαστε, ἄνθρωπος εἶ, καὶ ἀνθρώπου πατρὸς υἱός· γνῶθι τοίνυν σαυτόν, καὶ μὴ φρόνει μεῖζον τῆς φύσεως, μικρᾶς, etc. ; centesima septuagesima septima : Τῷ αὐτῷ μεγάλῳ λογοθέτῃ. Τετρὰς ἦν ἡ τῆς ἐνεστώσης ἑβδομάδος, etc. ; centesima septuagesima octava : Τῷ Ἐφέσου (sic). Δεδήλωταί σου τῇ ἱερότητι δεῦρο παραγενέσθαι καὶ ἔξωθεν δεδήλωται, μῆνές εἰσί που τρεῖς· τάχα δέ, etc. ; centesima septuagesima nona : Τῷ αὐτῷ. Ἔπρεπε πάντως σε, θεσπέσιε δέσποτα, etc. ; centesima octogesima : Τῷ μεγάλῳ λογοθέτῃ. Χαλεπόν, φησὶν ἡ παροιμία, κύων μαθοῦσα σκυτοτραγεῖν, οὐ μήν γε ὅσον ἀκειρεκόμης Φραγκόπουλος, ἐρώτων μανίαις ἁλούς. Ἐπήρα μὲν οὖν τινα παρθένον, etc. ; centesima octogesima prima : Τῷ αὐτῷ. Διονύσιος οὑτοσὶ Ἀρκὰς ἐστιν ἐκ Πελοποννήσου· ἡμέτερος δέ, etc. ; centesima octogesima secunda : Τῷ αὐτῷ. Ὁ θαυμαστὸς ἐπὶ τῶν δεήσεων, etc. ; centesima octogesima tertia : Ὁ πατριάρχης τῷ πρωτοβεστιαρίῳ. Ἐμοὶ μὲν τουτὶ τὸ πένημα πεποίηκεν οἷον ὁρᾷς ἀφελὲς πάντῃ καὶ ταπεινόν, etc. ; centesima octogesima quarta : Τῷ παρόντι νεανίᾳ, καὶ πένητι ὄντι καὶ ἡμετέρῳ, etc. ; centesima octogesima quinta : Τῷ αὐτῷ. Ἐπεράλη τῷ δεῖνι ὡς ἰέναι,

καὶ ἦν ἂν ἔτος ἓν ἀκριβῶς, etc.; centesima octogesima sexta: Ὁ πρωτοβεστιάριος τῷ πατριάρχῃ. Παναγιώτατε καὶ θειότατε δέσποτά μου, οἰκουμενικὲ πατριάρχα· ἐγὼ δὲ τὴν ἐπὶ τὸν Ἄθω φυγὴν τοῦ πονηροῦ Θεοδοσίου μαθών, etc.; centesima octogesima septima: Τῇ Ῥαουλαίνῃ. Ἀφελῆ σοί τινα φῂς εἶναι γράμματα καὶ ἐκδήλως πρεσβυτερικά, ἃ πρὸς ἡμῶν σοι πέμπεται γράμματα· εἶτ' οὐχ ἵστᾷς ἄχρι τοῦδε τὸ πρᾶγμα, etc.; centesima octogesima octava: Τῇ Ῥαουλαίνῃ. Ὅτι μὲν ἐγὼ ἀπὸ τῆς ἐν πατρίδι παλαιᾶς συνηθείας φίλην ἐμαυτῷ τὰ συκάμινα βρῶσιν, etc.; centesima octogesima nona: Τῇ Ῥαουλαίνῃ. Ἅπερ ὁρᾷς πεμπόμενά σοι συκάμινα μὴ διά τινα φιλοτιμίαν πέμπεσθαι νόμιζε, ἀλλά, etc.; centesima nonagesima: Τοῦ ἁγιωτάτου πατριάρχου. Εἰ μὲν ἐκ τῆς ἐντεῦθεν ψήφου ἐβεβαιοῦτο, etc.; centesima nonagesima prima: Τινὶ τῶν ἀρχιερέων. Ὡς διετέθησαν οἱ πολεμοῦν ἀεὶ τῇ Ἐκκλησίᾳ καὶ τῇ καταστάσει τῶν πραγμάτων βουλόμενοι, etc.

Hucusque igitur pertingunt omnium illarum Gregorii Cyprii epistolarum inscriptiones et initia; ex quibus, ut ego opinor, non minus elegantia earum quam varietas abunde apparet; simul etiam multiplex editionis earumdem Græco-Latinæ utilitas. Certe R. P. Petrus Possinus S. J. qui utramque Georgii Pachymeris historiam, nempe imperii Michaelis Palæologi et imperii Andronici Palæologi senioris ex eminentissimi et doctissimi cardinalis Francisci Barberini instructissima bibliotheca primum Romæ typis Barberinis a. 1666 et 1669 Græce et Latine et cum eruditissimis observationibus duobus tomis in folio edidit, si harum epistolarum notitiam et usum habuisset, minime dubium est quin multa inde potuisset haurire necessaria et tam difficilis operis obscuritatem magis illustrare. Quod etiam ipse monumentorum Græciæ recentioris curiosissimus et dignissimus perscrutator Leo Allatius, primarius Bibliothecæ Vaticanæ custos, haud sufficientem earumdem epistolarum habuerit notitiam, ipse satis clare indicat in amplissima diatriba sua de Georgiis; ubi de eodem Georgio sive Gregorio Cyprio valde prolixe agens, pag. 423, sic scribit: Epistolæ CCIII Gregorii Cyprii partim scriptæ antequam onus patriarchatus suscepisset, partim postquam illius cura ipsi commissa fuit, exstabant in Bibliotheca Antonii Augustini, cod. 69; erantque in Polliana et Monachii Bavariæ, sed sine titulis. In Ambrosiana leguntur CLXVI. Robertus Constantinus in Bibliotheca: Gregorii patriarchæ de Vita sua et epistolæ 166. In Ambrosiana, licet paulo supra in eodem Indice legatur, Gregorii Cyprii epistolæ selectæ, aliud item exemplar: item de Vita sua epistolæ numero 166. An opus hoc de Vita diversum est ab Epistolis vel Epistolis ipsis Vitam suam exprimit? Mihi adhuc incertum est. Hæc ibi Allatius. Quod tandem restat, maxime notandum est supra enumeratis epistolis in eodem codice manuscripto Cæsareo a fol. 146, pag. 2 usque ad fol. 148 pag. 2 instar appendicis subjungi ejusdem patriarchæ Gregorii Cyprii decretum aliquod synodale: cujus titulus et principium: Ἀπόφασις. Ἡ μετριότης ἡμῶν σύναμα τῇ περὶ αὐτὴν ἱερότητι τῶν ἀρχιερέων ὁμηγύρει, ἱερεῖς τε καὶ διακόνους, τοὺς ἐν τῷ καιρῷ τῆς ἐκκλησιαστικῆς συγχύσεως διώκτας ὁμολογουμένως ἀναφανέντας, ἤ etc. Quo finito decreto sequitur formula solemnis, qua eidem patriarchæ Gregorio adversarii ejus promiserunt, ipsum publice declaratum in orthodoxum, et prorsus liberum ab omni labe et suspicione pravæ doctrinæ, si is prius scripto polliceretur, se, post acceptum illud innocentiæ suæ testimonium publicum, sine mora throno patriarchali se abdicaturum esse. Narrat quidem totam illam rem prolixe et accurate Georgius Pachymeres in Historia imperii Andronici Palæologi senioris libri secundi quinque integris capitibus, nempe sexto, septimo, octavo, nono et decimo, adeo ut etiam integram formulam abdicationis e Gregorio conscriptam et adversariis traditam jam memorato capiti nono ad verbum inseruerit; formula tamen promissionis adversariorum, quæ in codice hoc manuscripto Cæsareo exstat, ibi omissa est, ideoque supplendæ Historiæ Pachymerianæ causa totam hic publico. Ea igitur cum inscriptione sua est talis: Ἀνακήρυξις τῆς εὐσεβείας αὐτοῦ παρὰ τῶν ὑποσχομένων αὐτῷ. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, ὅτι οὐδέποτε κακὴν ὑπόληψιν ἔσχομεν περὶ τοῦ δεσπότου ἡμῶν τοῦ πατριάρχου κυροῦ Γρηγορίου, ὡς ἔστι βλάσφημος, καθάπερ τοῦτό τινες τῶν ἀμυήτων ὑπέλαβον· ἀλλ' ὀρθοδοξότατον τοῦτον γινώσκομεν καὶ εὐσεβέστατον. Μόνον δεόμεθα τοῦ πατριάρχου παραιτήσασθαι θρόνον διὰ τὴν τῶν ἀνθρώπων εἰρήνην· καὶ ἐπειδὴ παρ' ἡμῶν ζητεῖ τὴν τῆς εὐσεβείας αὐτοῦ ἀνακήρυξιν ἔγγραφον λέγεσθαι, καὶ αὐτίκα κατανεύει τὸν θρόνον παραιτήσασθαι, ζητοῦμεν καὶ ἡμεῖς πάντες ἕτοιμοι ἐν ὀνόματι τοῦ Χριστοῦ καὶ ἐγγράφως καὶ ἐγγράφως καὶ ἀγράφως παῤῥησίᾳ τε καὶ ἰδίᾳ τοῦτον, ὥσπερ καὶ τὸν ἅπαντα χρόνον ἦν, εὐσεβέστατον κηρύττειν καὶ ὀρθοδοξότατον, ἐπιτιμᾷν δὲ καὶ τοῖς ἀφρόνως καὶ ἀμαθῶς κατ' αὐτοῦ λέγουσιν. Hucusque formula ista promissionis quam, æque ac formulam abdicationis ab ipso Gregorio compositam et adversariis præscriptam fuisse existimo. Clauditur denique totus ille codex hac subscriptione: Τέλος τῶν ἐπιστολῶν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως, τοῦ πατριάρχου. Καὶ τῷ Θεῷ δόξα.

OCR ABK / FR

# GEORGII CYPRII EPISTOLÆ

I.

EPISTOLA AD AMICUM

Vide supra col. 125.

II.

EPISTOLA AD ANDRONICUM IMP.

Vide supra col. 267.

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

# ΚΥΡΟΥ ΓΕΩΡΓΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ

## ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΗΝ ΘΑΛΑΣΣΑΝ

ΕΙΤΟΥΝ

ΕΙΣ ΤΗΝ ΤΟΥ ΚΑΘΟΛΟΥ ΤΟΥ ΥΔΑΤΟΣ ΦΥΣΙΝ.

SANCTISSIMI PATRIARCHÆ CONSTANTINOPOLIS

# DOMINI GEORGII CYPRII

## ENCOMIUM MARIS

SIVE

*DE UNIVERSA AQUÆ NATURA.*

(Franequeræ, 1797, ex ed. Fed. Morelli.)

A Θαυμάζειν μὲν τῶν πραγμάτων ὁπόσα ὑπερφυῆ καὶ μεγάλα οὐ πολλοῦ τινος ἔργου φαίνεται ὄν, εἴ τις τοῦτό γε μόνον ποιεῖν βούλεται ἱστάμενος ἄφωνος· ἀπόχρη γὰρ αἰσθανθέντα εἰς θαῦμα τρέπειν τὴν αἴσθησιν· αν δὲ καὶ λόγῳ τις σκοπῆται τῶν τοιούτων ἄξιον εἰπεῖν τι καὶ διηγήσασθαι, τοῦτ' ἤδη τοῦ παντὸς ἐργωδέστερον. Ἀφαιρεῖται γὰρ λόγων ἰσχὺν τῶν θαυμάτων ἡ φύσις, καὶ ὅσῳ ταῦτα τοῖς ἐντυγχάνουσιν ἔκπληξις, τοσούτῳ μᾶλλον ἀπορία τοῖς λόγοις καὶ τὸ μηδαμῶς ἑαυτοῖς δύνασθαι χρῆσθαι. Διὸ καὶ πολλή τις γένοιτ' ἂν συγγνώμη δικαίως τοῖς περὶ τούτων λέγειν τολμῶσιν, ἂν παρὰ πολὺ τῆς ἀξίας ἐλλίπωσι, καὶ μάλιστα πρὸς τῶν τοιαῦτα πεπαιδευμένων ἀνθρώπων, ὅσῳ καὶ τῶν ἄλλων μᾶλλον εἰδότες εἰσὶν, ὡς μὲν χαλεπὸν τοῖς τοιούτοις ἐπιχειρεῖν, ὡς δ' ἀνάγκη καὶ τοὺς λόγους
B ἥττους ἀεὶ τῶν πραγμάτων συμβαίνειν. Ἐπεὶ δὲ

Admirari equidem res quascunque natura insignes et magnas, non magni alicujus operis esse videtur, si quis id facere tantum velit tacitus subsistens. Sufficit enim contemplanti in admirationem convertere contemplationem. Sin praeterea quis animo proponat dignum quid talibus dicere et enarrare, illud jam videtur omnium operosissimum. Natura enim rerum admirandarum minuit vim rationis. Et quanto majori hæ admirationi sunt iis qui in eas incidunt, tanto major hæsitatio oritur in sermonibus, et nullatenus sibi compotes sunt. Multaque propterea venia digni sunt merito, qui de his orationem instituere conantur, si sæpe a rerum dignitate defecerint; et maxime apud homines, qui hæc edocti sunt et quidem quanto aliis sunt peritiores; uti enim difficile est talibus rebus manum adhibere, ita necesse est

OCR ABK / FR

sermones quoque rebus impares evadere. Quoniam autem hoc ita se habet, hinc eum etiam qui de mari dicit, nihil satis aptum dicturum esse existimo. Si quid enim inter cæteras res admirationem meretur, mare est; quia inter prima elementa est. Et si quis veniam concedat iis qui se in sermones de illo demittunt, magis diligentiam amans, quam audaciam improbans; sane et gloriam, etiamsi satis proba non præstiterit, reportaturus est. Sed qualis et quanta sit utilitas maris, et qua ratione sit præ cæteris universi rebus præstantissimum, his quis, si attendat, clare perspiciet. Cæterum convenit hic parvis magna componere et veritatem ex umbris sectari rationum.

Nunc itaque omne quod est et quod non est, nullo modo prius initium cepit ut esset, quin et mare confestim exstiterit cum ipsis primis quæ sunt rebus productum et primam ac præcipuam vim adeptum. Nam veluti ad omnem rem quæ fit materiam aliquam præsto esse oportet et deinde ex illa generationem effici; sic et mare simul cum primis subsistentiam accepisse rebus videmus, ut esset elementum rerum postea futurarum, et quodammodo principium mixtionis; adeo ut si quis contemplando admiretur dispositionem universi, admirationis initium ex aquæ natura ipsi faciendum est: et profecto cum conditor mare voluerit esse antiquissimum, non dissimile vero et primas ipsi in magnitudine attribuisse. Adeo enim magnum est mare, ut nullam sciamus continentem ipsi in conceptaculum sufficere: sed esse quidem tantum illud mare quod intra Gades est, ut homines quasi vertigine laborantes de universo illo dicere se quid posse negent et fere immensi rationem ei applicent. Cæterum hoc circumscriptum esse et comprehendi a terra liquido novimus; sed majus esse illud, quod extra Gades est, et nulla ratione comparari posse cum eo quod apud nos est; quapropter et nulla in eo instituitur navigatio; immensitas enim aquæ prohibet scire ubinam quis posset trajicere; et terminos ipsius si omnino aliqui sint, nemo valet assignare. Et non sine ratione ac utilitate tantum obtinuit mare magnitudinem; sed quoniam natura aquæ non modo mater aliis rebus, sed et nutrix futura esset, et ad factam in initio rerum productionem quam plurimum conferret et ad permanentiam unicuique rei naturæ convenientem conduceret.

Atque ita cum ob magnitudinem suam admirationi sit, non minus etiam ob pulchritudinem admirari, illud oportet, utpote quam maximam semper et perfectissimam exhibet contemplantibus. Figura enim maris profecto est pulcherrima, quali et cœlum cum fieret ornatum esse novimus. Oceanus enim universam in circuitu ambit terram; et rursus illud quod aqua plenum est a terra tanquam in circulo constringitur. Et situs quidem ipsius,

A τοῦθ' οὕτω καὶ θαλάσσης περὶ τὸν λέγοντα, οὐδὲν ἐς ἱκανὸν ἐρεῖν οἶμαι· καὶ γὰρ θαύματος ἐν τοῖς οὖσιν, εἴπερ καὶ ἄλλο τι, μετέχουσά ἐστι θάλαττα· ὅτι καὶ στοιχεῖόν ἐστι τῶν πρώτων, κἂν εἴ τις συγγινώσκοι τοῖς εἰς τοὺς περὶ ταύτης λόγους ἑαυτοὺς καθιεῖσι, μᾶλλον τῆς προθυμίας ἀγαπήσας, ἢ καταγνοὺς τῆς θρασύτητος, οὐκοῦν (1) τὴν τοῦ μὴ τὰ δίκαια πεποιηκέναι δόξαν ἀποίσεται. Ἀλλ' ὁποῖόν τε καὶ ὅσον τὸ χρῆμα θαλάττης, καὶ ὡς αὕτη τὸ κράτιστον τοῦ παντὸς, ὧδέ τις σκοπούμενος σαφῶς εἴσεται. Πλὴν εἰκάζειν ἐνταῦθα προσήκει μικροῖς τὰ μεγάλα καὶ τὴν ἀλήθειαν ταῖς ἐκ τῶν λόγων θηρᾶσθαι σκιαῖς.

Ἤδη μὲν οὖν τὸ πᾶν τόδε μὴ ὂν πρότερον οὐ-
B δαμῶς ἀρχὴν ἐλάμβανεν εἶναι καὶ τότε αὐτίκα ὑπῆρχε καὶ θάλαττα, σὺν τοῖς πρώτοις τῶν ὄντων φανεῖσα, καὶ δύναμιν σχοῦσα τὴν πρώτην. Ὡς γὰρ ἐπὶ παντὸς χρήματος γιγνομένου ὕλην εἶναί τινα δεῖ, εἶτ' ἐξ αὐτῆς τὴν γένεσιν ἐνεργεῖσθαι, οὕτω δήπου καὶ θάλασσαν ὁμοῦ τοῖς πρώτοις ὑποστᾶσαν ὁρῶμεν, ὡς εἶναι στοιχεῖον τῶν μετὰ τοῦτ' ἐσομένων, καὶ ἀρχὴν τοῦ συγκρίματος τρόπον τινά. Ὥστ' εἴ τις θεώμενος θαυμάζοι τὸ τοῦ παντὸς σχῆμα ἐκ τῆς τοῦ ὕδατος φύσεως, δέον τὰ πρῶτα τοῦ θαύματος ἄρχεσθαι· καὶ δὴ πρεσβυτάτην αὐτὴν δείξας ὁ δημιουργὸς, οὐκ ἀπεικότως καὶ τὰ πρῶτα μεγέθους ἀπένειμε. Μεγάλη γὰρ τοσοῦτόν ἐστι θάλασσα, ὡς μηδὲ ἣν ἴσμεν ἤπειρον ἀποχρῆναι εἰς χώραν αὐτῇ· ἀλλ' εἶναι μὲν πολλὴν τὴν ἐντὸς Γαδείρων, ὡς καὶ τοὺς ἀνθρώπους ἰλιγ-
C γιῶντας ἀπαγορεύειν πρὸς πᾶσαν, καὶ μικροῦ τοὺς τοῦ ἀπείρου λόγους ἁρμόζειν αὐτῇ, καὶ ταῦθ' ὁριζομένην σαφῶς καὶ κύκλῳ περιλαμβανομένην τῇ γῇ, πλείονα δὲ τὴν ἐκτός. Καὶ μηδ' εἶναι παρεξετάζειν αὐτὴν πρὸς τὴν καθ' ἡμᾶς κατ' οὐδένα λόγον, οὗ γε χάριν οὔτε πλοῦς ἐν αὐτῇ γίγνεται, ἀπειρία γὰρ ὕδατος εἴργει, καὶ τὸ μὴ εἰδέναι ὅποι τις ἂν ἔχοι καταῖραι· τά τε ὅρια αὐτῆς, εἰ καὶ ὅλως εἰσὶν, οὐκ εἶναι εἰπεῖν οὐδενός. Καὶ τοῦτ' εἰλήφει τὸ μέγεθος οὐκ ἔξω λόγου, οὐδὲ τοῦ χρησίμου χωρίς· ἀλλ' ἐπείπερ ἔμελλεν ἡ τοῦ ὕδατος φύσις οὐ μόνον δὴ μήτηρ τοῖς ἄλλοις, ἀλλὰ καὶ τιθήνη φανῆναι εἴς τε τὴν ἐξ ἀρχῆς γένεσιν ὅτι πλεῖστον τελοῦσα, εἴς τε τὸ διαμένειν ἐς ὅσον ἑκάστῳ ἡ φύσις ἐξήκοι.

D

Οὕτω δ' ἐκ τοῦ μεγέθους θαυμαζομένη, οὐχ ἥκιστα καὶ διὰ τὴν ὥραν θαυμάζοιτ' ἂν, ἣν ὡς πλείστην ἀεὶ καὶ τελεωτάτην παρέχεται τοῖς ὁρῶσι. Σχῆμα γὰρ αὐτίκα θαλάσσης τὸ κάλλιστον, ὁποίῳ δήπουθεν καὶ τὸν οὐρανὸν ἴσμεν γιγνόμενον κεκοσμῆσθαι. Γῆν τε γὰρ ἅπασαν ὠκεανὸς περιδέδρομε κύκλῳ, καὶ αὖθις ὡς ἐν κύκλῳ τῇ γῇ, ὃ δὴ ὕδατος πλεόμενόν ἐστι, περισφίγγεται. Καὶ θέσις δὲ αὐτῇ, ὡς ἐκ τῶν εἰρημένων εἰκάσαι, τὸ μεσαί-

(1) Legendum οὔκουν monet Boissonadius *Anecd. Gr.* t. I, p. 314, quod tenent codd. Reg. 2629 et 3010.

OCR ABK / FR

τατον τοῦ παντὸς, εἴπερ καὶ τῆς γῆς τὸ μέσον ἀπονενέμηται τῇ θαλάττῃ. Καὶ κινδυνεύει τῷ λόγῳ μὴ κέντρον τὴν γῆν, τὴν δὲ θάλασσαν εἶναι. Τήν γε μὴν ὥραν καὶ χάριν ἣν ἐν αὐτῇ τῇ θέσει παρέχεται, καὶ ὡς κύκλος τέ ἐστιν ἡ αὐτὴ τῷ γε τὴν ὅλην κατανοοῦντι, καὶ πάντα σχήματα δείκνυσιν ἐν τῇ πρὸς γῆν συνελεύσει καὶ μίξει, κόλπους μὲν πολυειδεῖς ἀνελίσσουσα, νήσους δὲ αὖ ἐκ μέσης μικρὰς καὶ μείζους ἀναδιδοῦσα, καὶ πορθμοὺς ἐν στενῷ ἐς μήκιστον διήκοντας ἀπεργαζομένη, τίς ἂν λόγος μετρίως εἰπεῖν ἀποχρήσει; Ἀλλὰ ταῦτα μὲν ὡς ἐκ τῆς περιγραφῆς καὶ τῆς θέσεως καὶ ὅσον τῇ γ' αἰσθήσει καταλαβεῖν· λογισμῷ δὲ τις τοσοῦτον διισχυρίσαιτο τὴν τοῦ ὕδατος φύσιν εἶναι καλὴν, ὁπόσον καὶ ἀρχὴ τοῖς ἄλλοις ἃ τοῦ καλοῦ μετέσχε γνωρίζεται. Οὐ γὰρ ἂν ἦν εἰκὸς τὰ τὴν ὕπαρξιν δεύτερα τοιούτου μετέχειν τινὸς μὴ τῶν πρώτων μετεσχηκότων, ἀφ' ὧν δὴ καὶ ταῦτα συνέστη. Ποταμοὶ δὲ πάντες καὶ πηγαὶ, λίμναι τε αὖ καὶ νυμφῶν νάματα καὶ ὅσα τὴν γῆν ὑποτρέχει, ἐκ θαλάσσης τὰ πάντα καὶ αὖθις εἰς θάλασσαν καταρρεῖ· τοῦτο μὲν, ὡς ἐν μητρὸς τοῦτο δ' αὖ, ὡς εἰς κοινήν τινα τοῦ παντὸς ὑγροῦ χώραν. Εἴη δὲ καὶ τοῦτο τὴν μίαν εἶναι ταύτην ἀρχὴν τοῦ παντὸς ὕδατος σημεῖον οὐκ ἀμυδρόν. Ἔνθα γὰρ ἅπαν ἀνακάμπτον ὁρῶμεν καὶ ἀποκαθιστάμενον, ἐκεῖθεν καὶ τὴν πρώτην αἰτίαν τοῦ εἶναι εἰληφέναι πιστούμεθα. Οὕτω γὰρ καὶ τὰ ἐκ γῆς ἅπαντα εἰς γῆν ἀναλύοντα τὴν γῆν πρώτην σφίσι μητέρα εἶναι δηλοῖ. Ἡ δὲ, ἁπάντων ὑδάτων εἰς αὐτὴν εἰσρεόντων, καὶ πάνθ' ὑποδεχομένη διὰ μεγέθους περιουσίαν, οὔτε πλείων τῆς οὔσης ὁρᾶται, οὔτ' ἐλάττων τις φαίνεται οὖσα. Οὐ γάρ που πλέον οὗ δέδωκε γῆθεν λαμβάνει· καὶ αὖθις δίδωσί γε τοσοῦτον, ὁπόσον καὶ εἰσεδέξατο· καὶ ἅμα οὐκ ἐπιδίδωσι τῶν ἐκ γῆς συμβαλλομένων, ἐπεὶ μηδ' ἀτελὴς ἐγένετο, οὐδὲ προσθήκης δεομένη τινὸς ἐξ ἀρχῆς. Τῷ ὄντι δὲ τελεία καὶ πλήρης, παντὸς μᾶλλον ἀνενδεής. Ὄμβροι δὲ πρὸς τοῖς εἰρημένοις καὶ δρόσοι καὶ νιφετοὶ, νεφέλαι τε αὖ αἱ τούτους γεννῶσαι, καὶ ὅσα πρῶτον εἰς τὸν ἄνω συνιστάμενα τόπον, εἶτ' ἐκεῖθεν εἰς γῆν κάτεισιν, ἔτι γε μὴν ἀνέμων φύσεις καὶ παντοῖαι πνοαὶ, τὴν ἀρχὴν ἐκ τοῦ ὕδατος ἔχουσιν. Εἰ δὲ βλάσται φυτῶν, ἐκφύσεις τε καὶ αὐξήσεις, ἀναθηλήσεις τε καὶ καρποφορίαι ἐξ ὑδάτων ὡς ἐξ ὕλης, οὐ γὰρ ἄλλως οἷόν τε προκύπτειν τῆς γῆς, μήτηρ δὲ τοῦ παντὸς ὕδατος, προσκείσθω δὲ καὶ παντὸς ὑγροῦ, θάλασσα, εὔδηλον ὡς καὶ τούτων οὐκ ἄλλη τις αἰτία τὸ μέρος τοῦτο ὅτι μὴ θάλασσα.

A ut e dictis conjicere licet, est medium universi, siquidem et medium terræ mari attributum est. Et ex ratione consequi videtur terram non esse centrum, sed mare. Nam profecto pulchritudo et gratia quam in ipsa sua positura exhibet, ipsa est instar circuli, siquis illud universum consideret, omnesque figuras ostendit in suo ad terram accessu et cum ea commixtione. Sinus enim variæ formæ quas volvendo aperit, rursusque insulas ex medio sui parvas et magnas quas producit, et freta inter angustias longissime transeuntia quæ efficit, quænam oratio, ut par est, dicere sufficiat? Atque hæc quidem ex circumscriptione et positura et quasi ipso sensu deprehendere licet. Ratiocinatione autem quis confirmare poterit adeo pulchram esse B aquæ naturam, ut reliquis rebus quæ pulchritudinis participes sunt, principium esse, certe cognoscatur. Non enim verosimile est ea quæ quoad exsistentiam posteriora sunt, talis alicujus rei participare, de qua prima, per quæ ipsa posteriora consistunt, non participant. Fluvii enim omnes et fontes, porro et lacus et aquarum fluxus et lympharum latices, et quæcunque cursu suo terram subeunt, omnia ex mari eunt et rursus in mare refluunt; et illud quidem tanquam ex matre, hoc autem tanquam in commune quoddam omnis humidi receptaculum. Adeo ut hoc sit signum non obscurum, mare esse unicum omnis aquæ principium; eo enim omnem reverti aquam et tanquam in pristinum locum redire videmus, et illinc primam suæ essentiæ causam suscepisse credimus. C Nam ita et quæcunque ex terra sunt in terram resolvuntur, et terram illis primam matrem esse manifestum est. Mare autem, cum omnes in illud confluunt aquæ easque omnes excipit, propter ingentem magnitudinem nec majus conspicitur nec minus apparet quam ante erat: nihilo enim plusquam dedit recipit a terra; et denuo tantum reddit, quantum in se receperat; et inter ea simul non augetur, dum a terra quadam ipsi conferuntur; quoniam nec imperfectum factum est neque additamenti ab alio quodam principio indiget; quoniam revera consummatum et perfectum nec ullius magis indignum est. Præter dicta vero et imbres et ros et nix et nubes insuper quæ illa generant et quæcunque primo in sublimi consistunt D loco et deinde illinc in terram descendunt, insuper sane ventorum qualitates et omnis generis flatus ex aqua principium obtinent. Plantarum quoque propagines et germinationes et incrementa florumque productiones et fructuum proventus ex aqua velut ex materia proveniunt; non enim aliter fieret ut in terram inclinent. Mater enim omnis aquæ, addatur et omnis humidi, mare est. Satis clare enim patet quod et horum nulla alia sit causa quam pars illa, quæ est mare.

Οὐ δὴ μόνα ταῦτα τὴν ὑγρὰν ὡς μητέρα κατὰ τὸν εἰρημένον κέκτηται τρόπον, ἀλλὰ καὶ παντοῖα γένη τῶν ζώων, ἐπεὶ οὐκ ἔστιν οὐδὲν τῶν ἁπάντων ὃ μὴ τῇ τοῦ ὑγροῦ μετοχῇ τῆς ἐπωνυμίας ταύτης μετάσχοι. Τούτου δ' ἐναργὲς γνώρισμα· ἐπειδήπερ συναποβάλλει καὶ τὸ ζῷα εἶναι, καὶ

Nec profecto hæc sola humidum tanquam matrem, eo quo dictum est modo, sortita sunt, sed et cujuscunque generis animalia; quia nullam datur ex omnibus quod non ob humidi participationem ejusdem originis et nominis particeps sit. Et hujus rei evidens est indicium, quod simul

OCR ABK / FR

coincidat ut et animalia et omnino animata sint, si humiditate careat. Sed præter cætera maris tanquam maxime proprium fœtum dico esse piscium et natatilium omnia genera; quod qua ratione etsi digne quis admiretur, intelligat? Nam quod ad alia attinet animalia præterquam quod de humido participent: pisces autem puro ex aquis sunt, in iis primum generantur et crescunt et ad finem usque nutriuntur, ingenti quidem multitudine: adeo ut si eorum numerus animalia terrestria non excedat, minorem tamen esse nemo utrique dixerit, et minime is qui satis peritus est. Ut plurimum insuper pisces hominum generi conducunt quibus et nutrimentum sunt et valde quidem congruum tum corporibus ipsis, tum iis quibus necesse est ab hisce se saturare. Quod sermone exprimere etsi minus liceat, sola experientia docet.

A ὅλω ἔμψυχα τὴν ὑγρότητα ἀποβαλόντα. Ἀλλὰ μὴν τήν γε παρὰ τἄλλα θαλάσσῃ οἰκειοτάτην φορὰν, τὰ τῶν ἰχθύων λέγω καὶ νηκτῶν πάντα γένη, πῶς ἄν τις κἂν ἀξίως θαυμάσοι περινοῶν; Τὰ μὲν τοίνυν ἄλλα τῶν ζώων, πρὸς τῷ τοῦ ὑγροῦ μετέχειν, ἔστιν οὗ καὶ τῶν ἄλλων πρώτων σωμάτων μετέχει· ἰχθύες δὲ καθαρῶς ἐκ θαλάσσης, ἐν αὐτῇ τὴν ἀρχὴν καὶ γεννώμενοι καὶ αὐξόμενοι, καὶ διὰ τέλους τρεφόμενοι, πολλοὶ μὲν τὸ πλῆθος· ὡς εἰ καὶ τὰ χερσαῖα μὴ ὑπερβάλλει τὸ κατ' αὐτοὺς, ἐλαττοῦσθαι πλὴν οὐδεὶς ἐρεῖ, οὔκουν ὅ γ' ἐπιεικῶς ἐπιστάμενος, πλεῖστα δὲ καὶ τῷ τῶν ἀνθρώπων χρήσιμοι γένει, οἷς τε τροφὴ γίγνεται, καὶ μάλα κατάδηλος τοῖς σώμασιν ἐντεῦθεν αὐτοῖς, καὶ οἷς αὖ τὴν ἄλλην χρείαν ἔστιν ἐκ τούτων ἀποπληροῦν, ἣν λόγῳ μὲν εἰπεῖν οὐκ ἂν οἷόν τ' εἴη, πεῖρα δὲ μόνον δι-
B δάσκαλος.

Nec sane tantum propter ea quæ dicta sunt apparet utilitas aquæ et maris, expedit enim utrumque affirmare (nec aliter sentio), minime horum tantum gratia mare admiratione dignum esse, sed et propterea quod nos ipsi illo usi simus cum vitæ nostræ utilitate. Prætermitto etiam dicere quomodo aqua animalibus reficiat corpora et dum eam bibunt et dum ea abluuntur; et quomodo panis illa miscetur et quomodo pene non sit cibus nisi cum aqua cogatur; et non sales non aliunde habemus, nisi ex hac concretos, et insuper, quomodo illa quasi animetur cibus et suavitatis quam maxime particeps fiat et hominibus prorsus gratus sit, et præter dicta, quod sordes purget aqua et maculas eluat et inquinamenta removeat et fœtores; hæc enim manifestissime nota sunt. Et sane alia sunt ad quæ nobis aqua opus est; nam qua ratione aliquis brevi tempore enarret ea quibus universa vita humana non sufficeret, si vellemus sigillatim exponere quæcunque hominibus ex mari accedunt? Sed, uti par est, accipere debemus et tanquam obscuram quandam adumbrationem existimare sermonem illud qui de his instituitur. Et quoniam multa sunt quæ ad humanam vitam conducunt, nec omnis terræ pars omnia ferat, neque omnis multitudo omnium utilium ibidem proveniat loci, sed illa quidem Asia habeat, hæc autem Europa, alia vero Africa et alia terræ regio alia, nisi distantes continentes conjungeret mare et homines qui undiquaque sunt, per illud commercium haberent cum aliis qui ubicunque terrarum sunt, licet paucis necessariis satis abundaret aliqua natio, deficerent tamen plurima: nunc autem per mare alii aliis quæ necesse habent, suppeditant; et admiranda quædam communio hominibus et ubertas victus est; quoniam ea quæ vitam nostram sustentant undequaque per hoc elementum apportantur; et existimare oportet mare non divisas nec a se invicem distantes facere continentes; nam non accedo illis ex veteribus qui hoc

Οὐ δὴ μόνον τῶν εἰρημένων χάριν τὸ τοῦ ὕδατος χρῆμα ἢ τὸ τῆς θαλάσσης, ἔξεστι γὰρ ἀκούειν ἑκάτερον, οὐ διαφέρομαι, οὐχὶ τούτων ἕνεκα μόνον θαύματος ἄξιον, ἀλλὰ καὶ ὧν ἡμεῖς κεχρήμεθα αὐτῷ συμφερόντως τῷ βίῳ. Καὶ ἀφίημι λέγειν ὡς ἀνακτᾶται τὸ ὕδωρ τοῖς ζώοις τὰ σώματα, τοῦτο μὲν πίνουσι, τοῦτο δὲ καὶ λουομένοις· καὶ ὡς ἄρτος φύεται ὕδατι, καὶ ὡς οὐκ ἔστιν οὐδὲν σχεδὸν εἰς βρῶσιν, ὅ τι μὴ μεθ' ὕδατος χρηματίσαι, καὶ ὅτι τοὺς ἅλας οὐκ ἄλλοθεν ἔχομεν ἢ ἐκ τούτου συνισταμένους, μεθ' ὧν οἷον ἐμψυχοῦται τροφὴ, καὶ ἡδονῆς ὡς πλεῖστον μετέχει, καὶ ἀνθρώποις
C καθάπαξ ἐστὶν, αἱρετὴ, καὶ πρός γε τοῖς εἰρημένοις, ὅτι καὶ ῥύπους καθαίρει τὸ ὕδωρ καὶ κηλῖδας ἐκπλύνει, καὶ μολυσμῶν ἀπαλλάττει καὶ δυσωδίας· γνώριμα γὰρ ταῦτα περιφανῶς· τὰ δὲ γε μὴν ἕτερα εἰς ὅσα ἡμῖν ἀναγκαίως ἔχον ἐστὶ τόδε, πῶς ἄν τις ἐν ὀλίγῳ χρόνῳ διέλθοι; Οὐ γὰρ ἂν βίος ὅλος ἀνθρώπινος ἀποχρήσοι, βουλομένοις καθέκαστον διελθεῖν, ὅσα τοῖς ἀνθρώποις ἐκ θαλάττης προσγίνεται. Πλὴν ἅψασθαι χρὴ μετρίως καὶ ὅσον ἀμυδράν τινα σκιαγραφίαν τὸν περὶ τούτων οἴεσθαι λόγον. Πολλῶν τοίνυν ὄντων ἅ γε εἰς τὸν ἀνθρώπινον βίον τελεῖ, οὐχ ἅπαντος δὲ μέρους γῆς τὰ πάντα φέροντος, οὐδ' ἀθρόων τῶν χρησίμων ἁπάντων ἐν ταυτῷ ἀναδιδομένων, ἀλλὰ τὰ μὲν Ἀσίας ἐχούσης, τὰ δὲ Εὐρώπης, ἕτερα δὲ Λιβύης, καὶ
D ἄλλα ἑτέρου κλίματος γῆς, ἂν μὴ συνάπτουσα ἦν τὰς διεστώσας ἠπείρους θάλασσα, καὶ ἄνθρωποι διὰ ταύτης ἐπεμίσγοντο οἱ ἁπανταχόθεν τοῖς ὁποιδήποτε γῆς, κἂν ὀλίγων μὲν τῶν ἐπιτηδείων εὐπόρει τὸ γένος, ἀπελείπετο δὲ τῶν πλείστων· νυνὶ δὲ διὰ θαλάττης ἀλλήλοις τὰ πρὸς ἀλλήλων διδόασι καὶ θαυμασία τις κοινωνία τοῖς ἀνθρώποις ἐντεῦθεν, καὶ ἀφθονία βίου, ἐπεὶ καὶ τὰ συνεκτικὰ τῆς ἡμετέρας ζωῆς ἁπανταχοῦ διὰ τοῦδε τοῦ στοιχείου κομίζεται, καί γε μὴ διαιρεῖν, μηδὲ ἀποικιστᾶν ἀλλήλων τὰς ἠπείρους νομίζειν προσήκει τὴν θάλασσαν· οὐ γάρ τοι συντίθεμαι οἷς τῶν πάλαι ταῦθ' οὕτως ἐδόκει, τοὐναντίον μὲν οὖν συνάπτειν καὶ

OCR ABK / FR

εἰς ἄκραν ἕνωσιν ἰέναι ταύτας ποιεῖν, οὐ μόνον ὅτι τὴν μέσην εἰληφυῖα χώραν δεσμὸς τῶν ἄκρων ἐστὶν, ἀλλ' ὅτι καὶ ἐπικοινωνεῖν ἀλλήλαις τὰ τμήματα τῇ διαδόσει καὶ ἐπαλλάττειν ποιεῖ. Ἴδοις γὰρ ἂν εἰς τὴν Ἰνδικὴν ἐπιφοιτῶντα Κελτὸν καὶ Γαλάτην, καὶ εἰς τὴν ἐκείνων αὖθις Ἰνδοὺς τὴν θάλατταν διαπεραιουμένους· οὐ γὰρ ἄλλως οἷόν τε· καὶ Λίβυες αὖ διατρίβουσιν ἐν Εὐρώπῃ χρησάμενοι τῇ θαλάσσῃ, καὶ Ἀσία τοὺς ἐξ ἑκατέρας γῆς δέχεται, τῆς αὐτῆς ταύτης παραπεμψάσης· διὸ καὶ οὐκ ἔστι μὴ καὶ τῶν ἄλλων νομίζειν εἶναι φορὰν τὴν τῆς ἑτέρας τῶν ἠπείρων φοράν· οὐδὲ κατὰ τῆς Σκυθῶν γῆς Ἀραβία κομπάζει· οὐδ' ἡ τῶν Αἰθιόπων κατὰ τῆς Ἑλλάδος, οὐδ' αὖ ἑτέρα τις καθ' ἑτέρας· ἐπεὶ τά γε δοκοῦντα ἑκάστης ἴδια κοινὰ ταῖς ἁπάσαις διὰ τὴν θάλασσαν γέγονε. Καὶ τό γε τὰ αὐτὰ εὑρίσκειν ἄφθονα πανταχοῦ τῆς γεννησάσης ἰδίως τἀξίωμα καταβάλλει.

A opinabuntur; sed e contra judico, mare continentes conjungere et facere ut in summam unionem illæ conveniant; non tantum quod medium mare locum adeptum extremarum partium vinculum sit, sed quod insuper portiones terræ sibi invicem distributione communicare et inter se permutare faciat. Videre enim licet in Indicam advenientes regionem Gallum et Galatam et in horum rursus regionem trajicientes mare Indos; nec alia ratione fieri potest. Et Afri etiam in Europa versantur usi mari. Et Asia ex longinqua terra incolas recipit, ipso mari trajecto. Et idcirco non est existimandum aliarum terræ regionum alium esse proventum quam continentium. Neque adversus Scytharum regionem Arabia gloriatur; neque ea quæ est Æthiopum adversus Græciam neque porro alia B quæpiam adversus aliam; quoniam ea, quæ cujusque propria esse videntur, ob mare omnibus communia facta sunt. Et hoc quidem quod eadem ubique copiose reperire licet, minuit pretium illius proventus qui in propria regione natus est.

Χωρὶς δὲ τῶν εἰρημένων, κέρδη τοῖς ἀνθρώποις ἐκ θαλάττης μυρία, χρημάτων τε ἀπειρία καὶ ἄλλων ἀγαθῶν ἀφθονία, δι' ὧν αὐτός τι ἑαυτοῦ ὁρᾶται περιφανέστερος. Ἀλλὰ ταῦτα μὲν ἴσως οὐ πολλοῦ τινος λόγου τοῖς γε φιλοσοφωτέροις, καὶ τὴν διάνοιαν ὑπὲρ τοὺς πολλούς. Τό γε μὴν κράτιστον κερδῶν ἁπάντων καὶ πᾶσιν ἐπίσης θαυμαζόμενον ἡ τῶν μακρὰν ὄντων κατάληψις ἐντεῦθεν προσγιγνομένη, καὶ πραγμάτων ἀκρίβεια καὶ ἐπιστήμη καὶ ἐμπειρία. Ἅπαντα συλλέγομεν κατὰ μικρὸν, πολλοῖς μὲν ἔθνεσι, πολλοῖς δὲ ἤθεσιν ὁμιλοῦντες καὶ καινότερα ἀεὶ μανθάνοντες ἐκ τοῦ καινοτέροις ἐντυγχάνειν ἀεὶ καὶ ἀνδράσι καὶ πόλεσι καὶ νομίμοις καὶ πᾶσι πράγμασιν, ἐξ ὧν ὡς ἐμπειρικώτατοι τῶν ἄλλων καὶ φρονιμώτατοι, εἴπερ καὶ ἐμπειρικώτατοι οἱ τῇ θαλάσσῃ κεχρημένοι γινώσκονται. Οὐ μὴν ἀλλὰ καὶ καρτερικοὺς ἴδοις ἂν καὶ ἀνδρίας ὡς πλεῖστον ἥκοντας τοὺς αὐτοὺς τούτους· ὅτι μηδ' ἔσθ' ὅ γε παρὰ τὴν θάλασσαν ἱκανῶς τοῖς κινδύνοις παραμένειν διδάξει καὶ ἀναπείσει ὡς εὐψύχως φέρειν τὰ ἐπιόντα. Ἐμοὶ μὲν γὰρ εἰς ἔκπληξιν θάλασσα καὶ πόῤῥωθεν ἱσταμένῳ καὶ ἀπὸ τῆς θέας ἔχει, καὶ τῶν ἤχων τὸ φρικῶδες καὶ φοβερόν· τὸ δέ γε καὶ τολμᾷν ἐπιβαίνειν καὶ παρασκευάζεσθαι πρὸς κλύδωνα καὶ ζάλην καὶ τρικυμίαν καὶ πάσας μεταβολὰς καὶ ἀέρος καὶ ὕδατος, τοῦτ' ἤδη μέτρον ἅπαν ἀνδρείας ὑπερβάλλει καὶ καρτερίας.

Præter dicta vero, innumera hominibus lucra ex mari. Res enim innumeræ aliorumque bonorum ubertas exinde est; ob quæ quis seipso præcellentior videtur. Sed hæc fortasse non magis alicujus momenti videbuntur iis qui in sapientiæ studio magis versati sunt et qui intellectu vulgo præcellunt. At hoc sane omnibus lucris præstantius et æque ac cætera omnia admiratione dignum, quod earum quæ procul sunt rerum cognito exinde adveniat et actionum ac causarum agendarum accurata exploratio et scientia et experientia, quæ omnia colligimus brevi, cum multis gentibus et C multis moribus conversantes, et meliora semper addiscentes eo, quod in novos et alios semper incidamus et homines et urbes et leges et res omnes. Unde tanquam magis experti et prudentiores aliis evadimus, siquidem experientia maxime præstare deprehenduntur illi qui mari uti solent. Nec profecto id tantum, sed et robustos et fortitudine præpollentes eosdem videre soles; quoniam nihil est quod præter mare sufficienter in periculis perseverare doceat, et persuadeat animose ferre quæcunque incidunt. Nam mihi equidem, etiamsi e longinquo constitutus sim, vel solo aspectu terrorem incutit mare, et frementes illi sonitus et tremendi. Quod vero et quis audeat ingredi et navigare per æstum et turbinem et decumanos fluctus D et omnes vicissitudines aeris et aquæ, hoc sane omnem strenuitatis et tolerantiæ mensuram excedit.

Καὶ ταῦτα μὲν ὡς ἐκ μικρῶν τὸ ὑπερβάλλον τοῦ στοιχείου γνωρίσαι· παρεῖται δὲ τὰ μείζω καὶ τελειότερα περὶ τοῦδε λέγειν ἡμῖν, ἀπορίαν ἑαυτοῖς συνειδόσιν ὥστε περὶ τοῦ κρατίστου τῶν ὄντων ὑψηλοτέρων ἅπτεσθαι λόγων. Καὶ γὰρ ἀρχή τις τὸ ὕδωρ τῆς ὑγρᾶς οὐσίας νομίζεται καὶ συνεκτικὸν τῶν λεγομένων παρὰ τοῦτο στοιχείων· ἐπειδὴ καὶ πᾶσιν ἐκείνοις εἰς τὸ εἶναι συμβάλλει. Τῷ τε γὰρ ἀέρι μεταδίδωσι τῆς ὑγρότητος, καὶ οὐκ ἄλλοθεν

Atque ita tanquam e parvis eminentiam hujus elementi cognoscere licet. Adferunt autem majora et magis eximia quæ de illo dicenda sunt hæsitationem nobis ipsis, utpote consciis nos de præstantissima rerum sublimium sermonem ordiri. Nam aqua etiam tanquam principium quoddam humidæ naturæ esse censetur, et continere ac in statu suo conservare ea quæ præter ipsum sunt elementa; quoniam et omnibus illis, ut subsistant, confert;

OCR ABK / FR

nam aeri dat de sua humiditate; nec aliunde talis aer nisi ex communione aquæ, igni autem alimentum est humidum et hoc manente manet et ipse; et hoc dum consumitur, ipse simul consumitur, et ubi plane defecerit, ipse deficit. Dantur etiam qui stellis ex aqua alimentum suppediant; cujus causa et ignis et stellarum subsistentia quodammodo ex aqua est; unde enim aliquid nutritur, inde et in subsistendo permanentiam habere creditur. Terra autem et reliqua quæ ex ea facta sunt, manifesto ex aqua; non enim aliter quam hujus communione frigida est. Etenim si rursus abstuleris a terra omnem humiditatem, videbis ipsam infirmam et non subsistentem, aliaque sustinere non posse, sed quibusvis ponderibus usque et usque cedere. In promptu autem est et illud arenam contuenti cognoscere; quæ utique terra est, si ablata sit quæ eam cogit et continet humiditas. Et quidem illos, qui aquam unicum et solitarium omnium rerum principium esse dixerunt, non puto ob aliud quid quam hæc inductos fuisse ut hoc dicerent, non sine ratione hac opinione de aqua suscepta. Propterea nihil est, cur quis majoris momenti res velit minoris paria æstimare et prima in iis quæ posteriora sunt; reliquis enim elementis, quæ et ipsa prima rerum aiunt esse, tantum præcellit aqua, ut de illis quæ sua sunt, aliis communicet, ipsa vero nullatenus illis indigeat. Nam terræ equidem (ut iisdem rationibus denuo utar) de frigiditate communicat, sed nihil ab illo recipit: aeri autem de humiditate, ipsa autem eorum quæ aeris sunt non est indiga: igni vero aliquatenus in nutrimentum est. Cum autem oportet ut quasi ad pugnam veniant aqua et ignis, omnino necesse est, ut aut aqua robore inferior sit et cedat, aut aqua illius potentia tentata plane exstinguatur et nulla ratione inter res exsistentes supersit. Mare itaque tale est, ubique in omnibus imperium obtinens multa cum utilitate. Nobis autem non est facultas de illo pro dignitate dicendi neque etiam illud, ut par est, admirandi. Oportet itaque magnitudinem hujus negotii percipientem, silentium magis quam verba amplecti, ne admirationis magnitudinem orationis debilitas evertat.

A τοιοῦτος ἀὴρ ἢ τῇ μετουσίᾳ τοῦ ὕδατος. Πυρὶ δὲ τροφὴ γίγνεται τὸ ὑγρὸν, καὶ μένοντος τούτου, μένει κἀκεῖνο, καὶ δαπανωμένου συνδαπανᾶται, καὶ τελέως ἐκλελοιπότος ἀπομαραίνεται. Εἰσὶ δὲ οἱ καὶ τοῖς ἄστρασι τροφὴν ἐκ τοῦ ὕδατος παρεσκεύασαν, οὗ γε χάριν καὶ πυρὸς καὶ ἀστέρων ἡ σύστασις ἐκ τοῦ ὕδατος τρόπον τινά. Ὁπόθεν καὶ γὰρ ἕκαστον τρέφεται, ἐκεῖθεν καὶ τὴν εἰς τὸ εἶναι διαμονὴν ἔχειν πιστεύεται. Γῆς δὲ καὶ αὐτῆς ἕτερα τῶν ποιοτήτων περιφανῶς ἐκ τοῦ ὕδατος, οὐ γὰρ ἑτέρως γε ἢ τῇ μετουσίᾳ τοῦδε αὐτὴ ψυχρὰ, κἂν αὖθις ἀφέλῃς τῆς γῆς τὴν πᾶσαν ὑγρότητα, ἀσθενῆ τε ἴδοις καὶ ἀνυπόστατον, τά τε ἄλλα μὴ στέγουσαν καὶ παντοίοις βάρεσιν ὑποχωροῦσαν ἀεί. Πάρεστι τοῦτο καὶ τὴν ψάμμον ὁρῶντα κατανοεῖν, ἥτις γῆ B μὲν ἐστι, πλὴν ἀφῃρημένη τῆς εἰς ταυτὸν συναγούσης καὶ συνεχούσης ὑγρότητος. Καί γε τοὺς μίαν ἀρχὴν καὶ μόνην τῶν ὄντων εἰρηκότας εἶναι τὸ ὕδωρ οὐκ οἶμαι δι' ἄλλο ἢ ταῦτα προαχθέντας εἰπεῖν οὐκ ἔξω λόγου ταυτηνὶ τὴν δόξαν περὶ τοῦ ὕδατος εἰληφότας. Διὸ οὐδ' ἔστιν ὅτῳ τις τὸ στοιχεῖον τοῦτο παραβαλεῖ, εἰ μὴ βούλεται τοῖς ἐλάττοσιν ἀντεξετάζειν τὰ μείζω, καὶ τὰ πρῶτα τοῖς μετὰ ταῦτα. Στοιχείων μὲν γὰρ τῶν ἄλλων, ἅ γε καὶ αὐτὰ πρῶτα τῶν ὄντων φασὶν εἶναι, τοσοῦτον ὑπεραίρει τὸ ὕδωρ, ὡς τῶν ἑαυτοῦ μεταδιδόναι κἀκείνοις, αὐτὸ δὲ τῶν ἐκείνων δεῖσθαι μηδέποτε. Γῇ μὲν γὰρ, ἵνα καὶ αὖθις χρήσωμαι τοῖς αὐτοῖς, μεταδίδωσι τῆς ψυχρότητος, οὐδὲν δ' ἐκεῖθεν λαμβάνει· ἀέρι δὲ τῆς ὑγρότητος καὶ τῶν παρὰ τοῦ ἀέρος ἐστὶν ἀνενδεής. Τῷ πυρὶ δὲ εἰς τροφὴν C γίγνεταί πως· πλὴν δεῆσαν συνελθεῖν ὡς εἰς μάχην ὕδωρ καὶ πῦρ, ἀνάγκη πᾶσα ἢ τῷ ὕδατι, παραχωρῆσαι τοῦ κράτους καὶ ὑπεκστῆναι ἢ πειραθὲν τῆς ἐκείνου δυνάμεως, τελέως τε ἀποσβῆναι καὶ εἶναι μηδαμῶς ἐν τοῖς οὖσι. Καὶ θάλασσα μὲν οὖν τοιαύτη, ἁπανταχοῦ ἐν πᾶσι κρατοῦσα μετὰ πολλοῦ τοῦ χρησίμου, ἡμῖν δὲ περὶ αὐτῆς οὐχ ὅπως ἐρεῖν πρὸς ἀξίαν, ἀλλ' οὐδὲ προσηκόντως θαυμάσαι ἰσχύς. Δέον τοιγαροῦν τοῦ μεγέθους τοῦ πράγματος αἰσθομένους ἀντὶ τῶν λόγων ἀσπάσασθαι τὴν σιγὴν, ἵνα μὴ τὸ πολὺ τοῦ θαύματος τὸ ἀσθενὲς τῶν λόγων ὑφέληται.

OCR ABK / FR

# ΠΑΡΟΙΜΙΑΙ

ΣΥΛΛΕΓΕΙΣΑΙ ΠΑΛΑ ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

# ΚΥΡΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΚΥΠΡΙΟΥ

ΚΑΤΑ ΑΛΦΑΒΗΤΟΝ.

—

# PROVERBIA

COLLECTA PER SANCTISSIMUM PATRIARCHAM

# D. GREGORIUM CYPRIUM

*JUXTA ALPHABETUM* (a).

—

A Αὕτη ἡ μήρινθος οὐδὲν ἔσπασεν. Ἀπὸ τῶν ἁλιευτῶν τῶν μηδὲν ἑλκυσάντων εἴρηται.

Ἀφροδίσιος ὅρκος· Οὐκ ἐμποίνιμος.

Ἀγορὰ Κερκώπων. Ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Κέρκωπες γὰρ τινες ἀπατεῶνες ἐγίνοντο ἐν Ἐφέσῳ.

Ἀετοῦ γῆρας, κορύδου νεότης.

Ἀγαθὰ Κιλίκων. Ἐπὶ τῶν οὐ καλῶς πλουτούντων. Προδότης γὰρ Κίλιξ τις Μίλητον προδοὺς εὐπόρησεν.

Ἀγροίκου μὴ καταφρόνει ῥήτορος.

Ἀδώνιδος κῆποι. Ἐπὶ τῶν ὀλιγοχρονίων καὶ ἀώρων.

Ἄλλοτε δ' ἀλλοῖον τελέθειν καὶ χώρᾳ ἕπεσθαι. Ὅτι προσήκει τι γὰρ ἐξομοιοῦν ἑαυτὸν τοῖς ἤθεσι τῶν πόλεων καὶ τόπων ἐν οἷς ἂν γένοιτο. Εἴρηται δὲ ἀπὸ τῶν πολυπόδων. B

Ἄλλην δρῦν βαλάνιζε. Ἐπὶ τῶν ἀπαγορευόντων δώσειν ἔτι τὴν αἴτησιν εἰώθασι λαμβάνειν.

Ἄδεις ὥσπερ εἰς Δῆλον πλέων. Ἐπὶ τῶν ἀφροντίστως καὶ φιληδόνως βιούντων.

Ἅλα καὶ κύαμον. Ἐπὶ τῶν μὴ εἰδότων καὶ

A *Ipse funis prorsus attraxit nihil.* De piscatoribus successus destitutis usurpatum.

*Venereum juramentum.* Impune.

*Serum Cercopum* De improbis et morum pravorum, Cercopes enim Ephesi fuere quidam impostores.

*Aquilæ senectus, corydi juventus* (1).

*Cilicon bona.* In eos qui unde minime oportebat, ditescunt. Proditor enim quidam, Cilicon nomine, Mileto abs se hostibus tradito, ad magnam opulentiam pervenit.

*Agrestem ne contemnas oratorem.*

*Adonidis horti.* De hortis parum durantibus et præmaturis (2).

*Interdum varius regio ut quæque exigit, esto.* B Quod locis, in quibus quis versatur, se adaptare debeat. Sumptum a polypodibus (3).

*Aliam quercum excute.* In illos qui indesinenter aliquid petunt, aut qui ab iisdem semper mutuantur (4).

*Canis tanquam Delum navigans.* De iis qui voluptatibus addicti et absque sollicitudine sunt.

*Salem et fabam.* De iis, qui se quidem scire rem

(1) Nempe quod aquila etiam vetula præstantior sit hac avicula, licet juvene. Dicitur autem aquila vitam amittere, quando rostri pars superior quæ adunca est, ad partem inferiorem cum tempore incurvatur.

(2) Propterea enim quod Adonis, ut est in fabulis, Veneris amore captus, ante pubertatem periit, ideo viri mulieresque, orgia Veneris celebrantes, hortos in vasis seu receptaculis quibusC dam plantabant. Qui cum radices non haberent, celeriterque emarcescerent, Adonidis horti illi appellabantur.

(3) Qui cuicunque petræ adhæserint, timore incitati, in ejus speciem se transformant.

(4) Veteres enim glandibus victitabant; illis ergo, qui quercus circumspiciebant, plenæne an inanes essent. *Aliam quercum excute*, dicebant.

(a) Primæ tantum litteræ ratione habita. — Ad pleniorem intelligentiam explicationes subjecimus ex Apostolio petitas. EDIT.

OCR ABK/FR

aliquam simulant, quam tamen ignorant. Vates enim salem et fabam opponunt (1).

*Tollere axillam.* Dei De iis qui rustice admodum tripudiant.

*Capra gladium præbens* (2).

*Sine lacrymis bellum et dormientis tropæum.* De iis qui facillime et præter spem negotia sua recte conficiunt (3).

*Monedulæ semper monedula assidet* (4), et, *Patrem semper cum pari Deus conjungit.*

*Amatheæ cornu.* Quod Jupiter nutrici suæ Amalthææ, quæ ex capra ipsum nutrierat, ejusdem capræ cornu dederit, ex quo proveniebat ipsi quidquid petiisset.

*Aquilam volare doces.*

*Semper Jovis feliciter tali cadunt.* De iis qui digne honorantur.

*Certamen excusationem non admittit neque amicitia.*

*Aquila in nubibus.* De rebus captu difficilibus.

*Molita vita.* De iis quæ sine labore præsto sunt.

*Anagyrum moves.* De iis qui sibi ipsismet mala accersunt. Heros enim fuit quidam Anagyrus nomine, qui vicinos vexabat.

*Tales me semper persequantur hostes.* De iis qui contemnuntur et parvi fiunt.

*Aquila thripas videt.* De iis qui quospiam contemnunt.

*Non est salsugo in illo.* De homine insuavi.

*Vulpes non corrumpitur donis.* De iis qui muneribus facile non corrumpuntur.

*Semper Africa aliquid fert mali.* In eos qui semper aliquid novi mali comminiscuntur.

*Sursum versus fluminum ferentur fontes.* De iis quæ contrario dicuntur.

*Mœchus semper mœchum sapientem dicit.*

*Argenti fontes loquuntur.* De iis qui propter nimias opes in ostentatione et deliciis vivunt.

*Majorem vitato virum.* Est Ionicum.

*Arabius tibicen.* Drachma canit, sed quatuor compescitur.

A προσποιουμένων. Οἱ γὰρ μάντεις ἅλα καὶ κύαμον τιθέασι.

Αἴρειν μασχάλην. Ἀντὶ τοῦ εὐωχεῖσθαι. Εἴρηται ἀπὸ τῶν ἀγροικικῶς ὀρχουμένων.

Αἲξ δοῦσα τὴν μάχαιραν.

Ἄδακρυς πόλεμος καὶ καθεύδοντος τρόπαιον. Ἐπὶ τῶν ῥᾷστα καὶ παρ' ἐλπίδα κατορθούντων.

Ἀεὶ κολοιὸς πρὸς κολοιόν. Καὶ, Ἀεὶ τὸν ὅμοιον ἄγει Θεὸς πρὸς ὅμοιον.

Ἀμαλθείας κέρας. Ὅτι τῇ τροφῷ αὐτοῦ Ἀμαλθείᾳ ὁ Ζεὺς ἐξ αἰγὸς τρεφούσης αὐτὸν παρέσχε κέρας αἰγός· δι' οὗ ἐπέβλυζεν αὐτῇ πᾶν ὅ ἂν ᾐτήσατο.

Ἀετὸν ἵπτασθαι διδάσκεις.

B Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι. Ἐπὶ τῶν ἀξίως τιμωμένων.

Ἀγὼν πρόφασιν οὐκ ἐπιδέχεται οὐδὲ φιλία.

Ἀετὸς ἐν νεφέλαις, Ἐπὶ τῶν δυσαλώτων.

Ἀληλεσμένος βίος. Ἐπὶ τοῦ ἑτοίμου καὶ ἀπόνου.

Ἀνάγυρον κινεῖς. Ἐπὶ τῶν προξενούντων ἑαυτοῖς κακά. Ἀνάγυρος γάρ τις ἥρως ἐκάκου τοὺς γείτονας.

Ἀεί με τοιοῦτοι πολέμιοι διώκοιεν. Ἐπὶ τῶν καταπεφρονημένων καὶ οὐδενὸς ἀξίων.

Ἀετὸς θρίπας ὁρᾷ. Ἐπὶ τῶν καταφρονούντων τινῶν.

Ἅλμη οὐκ ἔστιν ἐν αὐτῷ. Ἐπὶ τοῦ ἀηδοῦς.

Ἀλώπηξ οὐ δωροδοκεῖται. Ἐπὶ τῶν οὐ ῥᾳδίως
C ἁλισκομένων.

Ἀεὶ φέρει τι Λιβύη κακόν, Ἐπὶ τῶν ἀεὶ ἐξευρισκόντων τι νέον κακόν.

Ἄνω ποταμῶν χωροῦσι πηγαί. Ἐπὶ τῶν ἐναντίων λεγομένων.

Ἀεὶ ὁ πόρνος λέγει τὸν σώφρονα πόρνον.

nensi, in qua etiam reperitur λόγος περὶ τῆς ἁγίας Τριάδος, quemadmodum Ingolstadiensis et Vaticana habent ejus *Encomium in S. Joannem evangelistam*, et λόγους *De anima et corpore*, atque *De fide, virtute ac religione* opuscula. In Vindobonensi præterea sunt περὶ οὔρων ποίημα τοῦ λογιωτάτου καὶ σοφωτάτου Βλεμμίδου· incipit : Τῶν ἀσθενῶν δέλτα μάθε τρισκαίδεκα· item περὶ αἱμάτων, sive κανὼν εἰς τὰς κρίσεις τῶν αἱμάτων τῆς φλεβοτομίας τῶν ἀσθενῶν (quæ duo carmina in alio codice tribuuntur Maximo Planudæ). Vide Lambecium, lib. VI [part. II, p. 249, *Koll.*]. Præterea εἴδησις τῶν ἰατρικῶν μέτρων, et Διαγνώσεις καὶ θεραπεῖαι τῶν ἀνθρώπων. Denique geographicum περὶ οἰκήσεων opusculum Γεωγραφίαν συνοπτικὴν vocat Salmasius pag 276 Epist. *Demonstrationem quod individuis vita non sit præfinita*, memorat in *Apparatu* Possevinus. Vide et infra, *Nicephorus Monachus* (Fabr.) Reliquorum opusculorum codd. h. l. simul indicabo. In bibl. Cæsar. Vindob. exstant : in cod 20, n. 2, opuscula quatuor medica, a Fabr. modo Græce designata : 1) Notitia mensurarum medicarum ; 2) Canticum s. carmen de judicando de sanguine phlebotomiæ ægrotorum ; 3) Canticum de urinis ægrotorum ; 4) Cognitiones et curationes morborum humanorum in 130 divisæ. (Lambec. VI. part. II, pag. 249 seq.) Cantica tamen n. 2 et 3 in cod Cæsar. Vind. 269, n. 9, tribuuntur Maximo Planudæ, teste Lambec. V, p. 450 Eadem vero duo opusc. *De urinis* et *De sanguine phlebotomiæ* Nic. Blemm. tribuuntur in codd. 40. n. 5, et 42, n. 2. V. Lambec. VI, pag. 355 et 359. — In eadem bibl. Cæs. cod. 42, n. 10. exstat Nic. Blemm. *Fragmentum geographicum*. (Lambec. VII, p. 179.) *Geographiæ compendium* est in codd. bibl. Taurin. 232 et 244 (Cat. codd. Gr. p. 318 et 373). — Mediolani, in bibl. Ambrosiana, teste Montfauc, in *Diario Ital.* p. 14. — Matriti, in bibl. Escor. *Geographia compendiaria ;* ordo et canon in 13 signa, quæ videntur in hominis ægritudinibus ; et de cognitionibus illarum, maxime de illarum curatione, auctore Pluero, l. cit. — In cod. bibl. Paris. 1414, (secundum auctorem Cat. codd. II, p. 316.) 1) Nic. Blemm. Geographiæ compendium, sive potius Dionysii Alexandrini Orbis Descriptio, soluta oratione explicata. 2) ejusdem aliud Compendium, ubi de terra, illius magnitudine et climatibus disseritur : opus regi cuidam orthodoxo inscriptum. — In bibl. Coislin. 388, Nic. Blemm. *Geografia synoptica*. Sed Montfaucon, in *Bibl. Coisl.* p. 599. « Hæc, ait Geographia ab homine imperito et insulso descripta fuit, ac vix credam, esse Nic. Blemidæ, viri, ut sua ætate, docti. Hic regiones, flumina, urbes, non quales erant et vocabantur tempore scriptoris, sed quales ex vetustioribus geographis perperam et indocte consarcinatæ sunt, repræsentantur. » Gœtz tamen in Mem. bibl. Dresdensis. II, p. 394 ait caput physicæ epitomes tricesimum in Wegelin. edit. agere περὶ οἰκήσεων, quod Fabr. tanquam opusculum geographicum ex Lambecio laudasset. — In cod. Coislin. 208, Scolia Niceph. Blemm. in *Odas Mosis et aliorum*, cum paraphrasi et manu Tinerilli scr. ann. ab Incarnatione 1656. *V.* Montfauc. *Bibl. Coisl.* p. 267. — Florentiæ, in cod. Laur. Medic. orat. *De regno*, (Bandin. 1, p. 121, n. 31) et libel *De fide ad monachos monasterii a se exstructi*. (Bandin. III, p. 399, cod. 16. plut. 87, n. 17.) — In bibl. publ. Paris. orat. *De custodia cordis*, in codd. 1091, n. 11 ; 1101, n. 11. ; 1145, n. 4. — Orat, *in laudem S. Joannis Theologi*, in codd. 1225, n. 1. — *Vita Pauli Latrensis*, in cod. 1195, n. 19. — *De animi facultatibus*, in cod. 1999, n. 3. — *De cœlo et quod mundus sit æternus*, (quod est cap. 24 lib. physic.) in eodem cod. ; et in codd. 2999, ac n. 4. *De vacuo* (h. e. cap. 50 ejusd. operis) et in 2100, n. 5. *De cœlo, sole, luna, sideribus et diebus* — Opusc. ab aliis Maximo tributum) *De urinis*, in codd. 2220, n. 6. — 2303, n. 3 ; 2315, n. 5 ; 2671, n. 6. — *De auri conficiendi ratione* in cod, 2529. n. 10. ac 2509, n. 9, cum scholiis marginis adjectis ; — *Methodus inveniendi Paschalis*, in cod. 1050, n. 1. p. 199, tom. II, catal. — In bibl. Reg. Taurinensi, Serm. *de animæ necessitate et de cognitione hominum*, in cod. 331, quorum duorum opusculor, neque Caveus facit mentionem, neque Fabricius, *V.* Catal. codd. G. Taur. pag. 414 ut 415. — In cod. Matrit. 59, ex orat. Nic. Blemm. ad monachos instruendos, sive ex ejus typico, orat. *De fide* cum duplici scholio, et *De virtutatque exercitatione*. *V.* Iriarte, l. c. p. 199. — In codd. Escorial. *De fide*, cum variis ; *De nomine et verbo ; Introductoriæ* in Aristot. *Physicam* Epitomes liber XV, secundus, teste Pluero l. cit. — Monachii, in bibl. elector. Bavar. cod. 108. Nic. Blemm. encomium in Joannem evangelistam ; oratio *De anima ; or. De corpore* ; *Enarrationes in aliquot psalmos ; De fide ; De virtute et vita religiosa*. — In cod. 152. Nic. *De cœlo* (cat. codd. gr, p. 42 et 60.) Add. supra vol. IV, pag. 206, sub fin. et p. 220, et infra, vol. XII, ubi de medicis et chemicis agitur, etc., et Koliar, in Supplem. ad Lambecii comm. pag. 663 seq. (Harl.)

cod. bibl. publ. Paris. 155 (in quo etiam Comm. *in Cantica canticorum*, eidem Nicephoro attributus.) — In cod. 810 (in Psalm. I-X, XIV, L, LXXIII.) — in codd. 2099 et 2100, in Psalmum VIII, comm. etiam subjectus est capp. physices. — In cod. Escorial. Expositio in illud Psalmogr. *Lunam et stellas, quas tu fundasti*, teste Pinero, in *Isin, per Hispan.* p. 183. — In codd. bibl. Taurin. 105, idem comment. in Psalmos. V. Cat. codd. Gr. pag. 214. — Ib. in cod. 130, Nic. interpretatio titulorum Psalmorum, et quam ob causam dictus quilibet fuerit, quam a Nicephoro commentario suo Psalmorum forte præmissam fuisse suspicatur auct. catal. mem. p. 230. — In cod. 311 ejusd. bibl. lin. sunt Nic. Blemmidæ et aliorum scriptor. eccles. hymni et preces. Harl.)

OCR ABK / FR

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

## ΛΟΓΟΣ ΠΡΩΤΟΣ

ΑΠΟΔΕΙΚΝΥΩΝ ΔΙΑ ΧΡΗΣΕΩΝ ΓΡΑΦΙΚΩΝ, ΔΙ' ΥΙΟΥ, ΚΑΙ ΕΞ ΥΙΟΥ ΘΕΟΛΟΓΕΙΣΘΑΙ ΤΟ ΠΝΕΥΜΑ ΤΟ ΑΓΙΟΝ.

ΠΡΟΣ ΤΟΝ ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΒΟΥΛΓΑΡΙΑΣ ΙΑΚΩΒΟΝ.

# NICEPHORI BLEMMIDÆ

## ORATIO PRIMA

DEMONSTRANS SANCTORUM TESTIMONIIS PER FILIUM, ET EX FILIO SPIRITUM SANCTUM DICI.

*AD JACOBUM BULGARIÆ ARCHIEPISCOPUM.*

(Ex Leonis Allatii *Græcia orthodoxa*, tom. I.)

α'. Ἔστι μοι πάθος, ὅπερ ἐξαγγελῶ· καὶ γὰρ ὁ λόγος πρὸς ἀκέστορα ἱερὸν, καὶ ὅσοι τῆς αὐτῆς ἐπιστήμης αὐτῷ. Ἐγὼ τοῖς σοφοῖς παῤῥησίᾳ λαλῶ, καὶ οὔτε μοι δέος ἐκκαλύπτοντι τὴν διάνοιαν· ἢ γὰρ βεβαίωσιν, ἢ διόρθωσιν ἡ ἄπταιστος κρίσις ἐπαγάγοι τοῖς λεγομένοις. Ἀσόφοις δὲ διαλεγόμενος ὑποστέλλομαι, καὶ μάλισθ' ὅτε περὶ Θεοῦ φθέγγομαι· δέδοικα γὰρ τὸ μὴ ξυνιέναι αὐτοὺς, ὡς ἐντεῦθεν ἐπισφαλῆ πρὸς τὸν λόγον ὑπόνοιαν ὑφορώμενος. Εἰ δὲ τῷ ἀσόφῳ συνέλθοι τὸ φίλερι, τότε καὶ πρὸς τὸ λέγειν ὅλως ὀκνῶ τε καὶ ἀναδύομαι. Ὥσπερ γὰρ οὐκ ἀποδεκτὸς ὁ θρασέως καὶ ἀπερισκέπτως θεολογῶν (ἡνιοχεῖσθαι γὰρ τὴν θεολογίαν φόβῳ χρεὼν, ὡς ἂν μὴ πρὸς ἀπωλείας ὤσειεν ὀλισθήματα), παραπλησίως καὶ ὁ φιλονείκως ἀκροώμενος, καὶ τρόπῳ παντὶ πρὸς τὸ ἀντιλέγειν ὁρῶν, ἀποπεμπταῖος καὶ ἀποτρόπαιος. Ἔρις γὰρ κακόχαρτος ταράττει καὶ συγχεῖ τὴν ἀλήθειαν. Εἰ δὲ καὶ γλῶσσαι πολλαί εἰσιν αἱ συῤῥυεῖσαι πρὸς τὸ αὐτὸ, πῶς οὐκ ἂν δόξειαν τοῖς πολλοῖς περιγινόμεναι μιᾶς ἑτεροῤῥεποῦς; εἰ δὲ καὶ τῶν αἱ ὑπεροχαὶ, πῶς εἰς ἀγαθὸν ἀποβαίη τῷ ἀσυμφώνῳ τὸ ἀληθευτικὸν, κατά γε δὴ τοὐμφανές;

1. Morbum, quo afficior, in lucem proferam: ad medicum enim sacrum oratio dirigitur, et omnes alios, qui iisdem ac ille disciplinis præditi sunt. Ipse cum doctis palam libereque sermones confero: nullusque me sensa aperientem timor invadit: namque infallibile judicium dicta vel corriget, vel comprobabit. Cum vero sciolos alloquor, reprimo me, et potissimum cum de Deo verba facio; vereor etenim, ne dum ipsi rem capiunt, falsi mihi suspicionem appingant. Quod si imperito contentionis studium accedit, tum loqui detrecto, et de circulis subducor. Quemadmodum enim nullo modo admitti debet, qui audacter et inconsiderate de rebus divinis loquitur (necesse quippe est, Theologiam timore dirigi, ne in excidium præcipites agat), pari ratione, qui contentiose aures exhibet, et modis omnibus contradictionem ambit, ejiciendus est, et exsecrandus. Contentio siquidem malis gaudens confundit, turbatque veritatem. Quod si et sermones plerique in idem una simul concurrant, quomodo non videbuntur multis unius, qui in alteram partem inclinat, potiores esse? Et si eorum fuerint, qui in dignitatibus sunt, qua ratione veritas ipsa in bonum illi, qui contraria sentit, in conspectu aliorum vertetur?

β'. Οὕτως ἐν τούτοις ἔχων, οὕτω πάσχων ἐπεὶ πρὸς σοφοὺς νῦν ὁ λόγος, καὶ εἰρήνην ζητοῦντας τὴν ἐν Χριστῷ καὶ διώκοντας, πεπαῤῥησιασμένως ἐρῶ περὶ τοῦ προκειμένου ζητήματος· τὸ δὲ ἐστιν, εἰ δι' Υἱοῦ τὸ ἅγιον ἐκπορεύεται Πνεῦμα παρὰ Πατρὸς, ἢ μὴν ἐκ Πατρὸς προσεχῶς, ἀλλ' οὐ δι' Υἱοῦ. Καὶ ὅτι μὲν τὸ πρῶτον πολλοὶ τῶν ἱερῶν διδασκάλων παρέδοσαν, οὐδεὶς δὲ τὸ δεύτερον, οἶμαι δὴ πάντα μαρτυρήσειν ἄνδρα θειογραφικὸν εὐθύτητι διοικού-

2. Cum ita me habeam, et ita afficiar, et ad peritos oratio sit, eosque, qui pacem in Christo quærunt, et procurant, libere aperteque de proposita quæstione edisseram, quæ erit: an per Filium Spiritus sanctus a Patre procedit, an vero ex Patre absque medio, et non per Filium. Et primum quidem a multis sanctis doctoribus traditum fuisse, secundum a nemine, existimo omnes homines, qui in sacris litteris exerciti sunt, et æquitate dirigun-

OCR ABK / FR

tur, suo testimonio comprobaturos. Et nos item non minus hanc rem tribus epistolis, jam percensuimus

3. Quod vero in Evangeliis plane vox illa inserta non est, quod plerique ad contradicendum, arripiunt, dogmati nihilominus non officere probatur eorum fide digno testimonio, qui res theologicas pertractarunt; quando nec in nostra potestate esset Deiferorum Patum dictis non credere, sed eorum auctoritatem dicti demonstrationem esse, facultate omni logica et contradictoria validiorem, cui a theologia nomen est, in invectivis adversus Julianum decernat. Qui enim evangelistis inspiravit, ille idem et aliis diviniloquis verba dictavit, et Dei voces sunt sanctorum omnium sacrosancta monumenta.

4. Et dicere eadem ab illis qui Spiritui adversantur, corrupta fuisse, stultum est ac fatuum. cum nihil id omnino ad hæresim conferat, per Filium Spiritum sanctum fateri a Patre procedere, sed penitus eam rejicit ac refellit. Hac etenim Spiritus creatura impie admodum asseritur, illo ex ipsa Filii essentia prædicatur, et ejusdem cum Patre et Filio essentiæ. Et quamnam probabilitatem habuerit, simile facinus in universos totius orbis sacros libros tantorum sanctorum simul desæviisse, et corruptelam adeo universalem fuisse. nullumque ante nos tantam noxam indicasse? Non fuit unquam, non est: mentis miseræ, ac infelicis commentum id est.

3. Quanam item ratione quicunque adversus Latinos post dissidium et schisma, quæ in dissidio erunt, conscripserunt, ex Filio Spiritum sanctum esse essentialiter, pro viribus adversati sunt; per Filium vero a Patre nequaquam, imo potius inter eos peritiores, veluti patroni illius causam susceperunt. inde argumenta sumente ad refellendum et illud: *Ex Filio*. Idque ita se habere ex libro. cui *Sacrum Armamentarium* nomen est, discimus. Librum porro tunc temporis doctorum virorum præcipuis in veneratione fuisse, postea ab aliis magno studio conquisitum, nostra hac ætate maxime celebratum, atque in honore habitum, et neminem unquam, etiam eorum, qui pudore deposito omnia inverecunde tentant, adversum eum linguam movere ausum esse, cum et violentius Spiritus processioni ex Filio adversetur, res ipsæ satis luculenter clamant. In eo Latini, uti in dialogis fieri amat, introducuntur. sapientissimi Cyrilli dictum ad propriam opinionem corroborandam proponentes; verba Cyrilli sunt: *Mutabilis vero minime est Spiritus; nam si mutationi esset obnoxius, ipsi divinæ naturæ defectus ascriberetur, siquidem Dei. et Patris, nec non et Filii est qui essentialiter ex utroque, ex Patre scilicet per Filium, Spiritus profluit.* Expendamus porro quænam ad eos qui Roma convenerant, responderunt: *Beatus hic Pater Cyrillus multos nostrarum rationum*

μενον. Οὐχ ἧττον δὲ καὶ ἡμεῖς ἐν τρισὶν Ἐπιστολαῖς φθάσαντες ὑπεμνήσαμεν.

γ'. Ὅτι δὲ τὸ μὴ τοῖς Εὐαγγελίοις σαφῶς τὴν φωνὴν ἐντετάχθαι, τοῦτο δὴ τὸ πρόχειρον εἰς ἀντιλογίαν πολλοῖς, οὔτι που τοῦ δόγματος ἀφαιρεῖται τὸ εὐπαράδεκτον, ἡ τῶν θεολογησάντων ἀξιοπιστία παρίστησιν, ἐπεὶ μηδ' ἐξεῖναι ἀπιστεῖν τοῖς ὑπὸ τῶν θεοφόρων ἀνδρῶν εἰρημένοις, ἀλλ' ἀπόδειξιν εἶναι τοῦ λόγου τὸ ἐκείνων ἀξιόπιστον, πάσης δυνάμεως λογικῆς καὶ ἀντιλογικῆς ἰσχυρότερον ὁ τῆς θεολογίας ἐπώνυμος ἐν τοῖς Στηλιτευτικοῖς ἀποφαίνεται. Ὁ γὰρ τοῖς εὐαγγελισταῖς ἐμπνεύσας, αὐτὸς ἐκεῖνος καὶ τοῖς λοιποῖς θεηγόροις ἐνέπνευσε, καὶ Θεοῦ φωναὶ τὰ τῶν ὅλων ἁγίων ἅγια συγγράμματα.

δ'. Τὸ δὲ λέγειν αὐτὰ νενοθεῦσθαι παρὰ τῶν Πνευματομάχων, ἠλίθιον, ἐπεὶ κατ' οὐδὲν ὅλως τῇ αἱρέσει συμβάλλεται τὸ δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ὁμολογεῖσθαι προοδικῶς εἶναι παρὰ Πατρὸς, εἰ μὴ τοὐναντίον ἅπαν, καὶ καταβάλλει ταύτην, καὶ ἀναιρεῖ. Τῇ μὲν γὰρ κτίσμα βλασφημεῖται τὸ Πνεῦμα, τῷ δ' ἐκ τῆς οὐσίας αὐτῆς κηρύττεται τοῦ Υἱοῦ, καὶ ὁμοούσιον Πατρὶ καὶ Υἱῷ. Τίνα δ' ἂν ἔχοι καὶ λόγον τὸ τὴν τοιαύτην κακουργίαν ταῖς ἁπανταχοῦ τῆς οἰκουμένης ἱεραῖς ἐνσκῆψαι βίβλοις τῶν τοσούτων ἁγίων ὁμοῦ, καὶ τὴν παραφθορὰν οὕτω γενέσθαι παγκόσμιον τοῖς τῶν μεγάλων Πατέρων συγγράμμασι, καὶ μηδένα τῶν πρὸ ἡμῶν τὴν λύμην ἐπισημήνασθαι; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστι· διανοίας τὸ τοιοῦτον ἀνάπλασμα κακοδαίμονος.

ε'. Πῶς δὲ καὶ ὅσοι κατὰ Ῥωμαίων γεγράφασι τὰ τῆς ἔριδος μετὰ τὸ σχίσμα καὶ τὴν διάστασιν, πρὸς μὲν τὸ, ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα εἶναι οὐσιωδῶς, ὡς εἶχον, ἀντέστησαν, πρὸς δὲ τὸ, δι' Υἱοῦ παρὰ τοῦ Πατρὸς, οὐδαμῶς, μᾶλλον μὲν οὖν οἱ λογιώτεροι, καὶ συνηγοροῦντες αὐτῷ κατεφάνησαν. Κἀντεῦθεν ἐπιχειροῦντες ἀνασκευάζειν τὸ, ἐκ τοῦ Υἱοῦ. Καὶ ὅτι τοῦθ' οὕτως ἔχον ἐστὶν, ἐκ τῆς ἱερᾶς Ὁπλοθήκης μανθάνομεν. Ὅπως δὲ ἡ βίβλος αἰδέσιμος ἦν τοῖς τότε τῶν λογίων ἀνδρῶν λογάσι, καὶ περισπούδαστος εἰσέπειτά τε καὶ ἕως ἡμῶν περίπυστος καὶ ἐξαίρετος, καὶ οὐδείς ποτε κατ' αὐτῆς, οὐδὲ τῶν πάντη ἀπηναιδευμένων κινῆσαι γλῶσσαν ὅλως τετόλμηκεν, ἐπεὶ καὶ βιαιότερον ἐνίσταται πρὸς τὴν υἱόθεν τοῦ Πνεύματος πρόοδον, αὐτὰ βοᾷ διαπρυσίως τὰ πράγματα. Ἐν ταύτῃ Ῥωμαῖοι διαλογικοῖς νόμοις εἰσάγονται ῥῆσιν τοῦ σοφωτάτου Κυρίλλου προτείνοντες εἰς σύστασιν τοῦ σφῶν αὐτῶν δόγματος, οὕτως ἔχουσαν· Τρεπτὸν δὲ οὔτοι που τὸ Πνεῦμα ἐστίν· ἢ εἴπερ τὸ τρέπεσθαι νοσεῖ, ἐπ' αὐτὴν ὁ μῶμος τὴν θείαν ἀναδραμεῖται φύσιν, εἴπερ ἐστὶ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ μὴν καὶ τοῦ Υἱοῦ, τὸ οὐσιωδῶς ἐξ ἀμφοῖν, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ προερχόμενον Πνεῦμα. Τίς οὖν ἡ ἀπολογία πρὸς τοὺς ἐκ Ῥώμης κατανοήσωμεν. Ὁ μακάριος οὗτος πατὴρ Κύριλλος τὰς πολλὰς τῶν ἡμετέρων λόγων προφάσεις προαναιρῶν σύντομον εὐθὺς τῇ τῶν ἀσαφῶν συλ-

OCR ABK / FR

λαβὼν προφορᾷ προσήνεγκε τὴν σαφήνειαν. Εἰπὼν γὰρ οὐσιωδῶς ἐξ ἀμφοῖν τὸ Πνεῦμα προέρχεσθαι, τὸ, ἤγουν ἐκ Πατρὸς δι' Υἱοῦ, συντόμως ἐπήγαγε. Τὸ δὲ διὰ τῆς τοιαύτης ἐπαγωγῆς συναγόμενον οὐδὲν ἕτερον ἢ τὸ ἐκ μόνου τοῦ Πατρὸς τὸ Πνεῦμα προέρχεσθαι, οὐ μὴν καὶ ἐκ τοῦ Υἱοῦ. Εἰ γὰρ καὶ τοῦτ' ἦν, οὐκ ἂν τῆς τοιαύτης τῷ ἁγίῳ προσθήκης ἐδέησεν. Οἱ ἐκ Ῥώμης πρὸς ταῦτα· Τοίνυν οὐδ' ἡμεῖς σφαλλόμεθα, ἀκολούθως τῷ θείῳ τούτῳ Πατρὶ ἐκ Πατρὸς μὲν καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντες ἐκπορεύεσθαι, ἐπὶ τοῦ Υἱοῦ τὴν ἐξ, ἀντὶ τῆς διὰ, καὶ νοοῦντες καὶ ἑρμηνεύοντες· ἀλλ' ὁ, καὶ, σύνδεσμος, φασὶν οἱ πρὸς ἔλεγχον χωροῦντες αὐτῶν, ἐπὶ τοῦ Υἱοῦ παρ' ὑμῶν προστιθέμενος οὐκ ἐᾷ τοιαῦτα λέγειν, ὑμᾶς προφανῶς ἐλέγχων, ὡς ἐκ τοῦ Πατρὸς καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντες ἐκπορεύεσθαι, καθ' ὁποῖον σημαινόμενον ἐπὶ τοῦ Πατρὸς τὴν ἐξ ἐκλαμβάνεσθε κατὰ τὸ αὐτὸ καὶ ἐπὶ τοῦ Υἱοῦ καὶ νοεῖτε ταύτην καὶ λέγετε. Τοίνυν ἢ καὶ ἐπ' ἀμφοῖν τῷ Πατρὶ δηλαδὴ καὶ τῷ Υἱῷ τὴν ἐξ πρόθεσιν κατὰ τὴν αὐτὴν σημασίαν τιθέατε· καὶ πῶς οὐκ ἐναντιοῦσθε τῷ θείῳ Πατρὶ, τὴν μὲν ἐξ ἐπὶ τοῦ Πατρὸς, τὴν δὲ διὰ ἐπὶ τοῦ Υἱοῦ ἐκφωνήσαντες, ἢ καὶ ἐπ' ἀμφοῖν ἀντὶ τῆς διὰ, τὴν ἐξ λαμβάνετε, διὰ τοῦ Πατρὸς, καὶ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντες ἐκπορεύεσθαι, καὶ δότε λοιπὸν ἡμῖν ἕτερον, ἐξ οὗ τὸ Πνεῦμα διὰ τῶν δύο τούτων ἐκπορεύεσθαι λέγεται. Κατ' ἄλλην γὰρ ἐπὶ τοῦ Πατρὸς, καὶ κατ' ἄλλην ἐπὶ τοῦ Υἱοῦ σημασίαν τὴν αὐτὴν καὶ μίαν πρόθεσιν ἐκλαμβάνεσθαι, παρὰ τοῦ συμπλεκτικοῦ τούτου συνδέσμου βιαίως κωλύεσθε, καθὰ προειρήκαμεν. Τὸ γὰρ ἀσυνδέτως λέγειν, ἢ γράφειν ἐκ τοῦ Πατρὸς, ἐκ τοῦ Υἱοῦ, καὶ ὑμεῖς ὡς βάρβαρον καὶ ἀδιανόητον ἀποφεύγετε. Ταῦτα μὲν ἐκ τῆς ἱερᾶς Ὁπλοθήκης.

ϛ'. Ἄλλος δέ τις τῶν ἐκκρίτων δηλαδὴ καὶ αὐτὸς τοῖς ἐκ Ῥώμης διαλεγόμενος, ἐπειδὴ προείλετο δεῖξαι, μηδ' ὁπωσοῦν ἀλλήλοις ἐναντία ὄντα κατά γε τὸ ἀληθὲς τὰ παρὰ τῶν ἁγίων λεγόμενα, κἂν δοκῇ τοῖς ἀπερ σκέπτοις. Ἦν ἄν, φησὶν, ἐναντία, εἰ πρὸς τὸ αὐτὸ, καὶ κατὰ τὸ αὐτὸ, καὶ τοῦ αὐτοῦ ὄντα σημαντικὰ, παρὰ μὲν τῶν, ἀπεβάλλοντο, παρὰ δὲ τῶν, ἐνεκρίνοντο. Οὕτω γοῦν καὶ ἐν τούτοις ὁ Χριστὸς Ἐκ τοῦ Πατρὸς, ἔφη, τὸ Πνεῦμα ἐκπορευόμενον. Καὶ τάχα πάντα ἀναφέρων πρὸς τὸν Πατέρα ὡς πρὸς πρώτην αἰτίαν, καὶ τὴν τοῦ Πνεύματος ἐκπόρευσιν αὐτῷ ἀνατίθησι. Καὶ ὁ μὲν μέγας Ἀθανάσιος οὕτως εἶπε· Τὸ Πνεῦμα ἐκ τοῦ Πατρὸς, ὡς παρὰ τοῦ Λόγου τοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον. Ὁ δὲ Νύσσης εἰπὼν, τὸν Υἱὸν εἶναι προσεχῶς ἐκ τοῦ πρώτου, τουτέστι τοῦ Πατρὸς, ἑξῆς λέγει, τὸ Πνεῦμα διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. Ὁ Σοφὸς Κύριλλος προφανῶς εἴρηκεν, ἐξ ἀμφοῖν, δηλαδὴ τοῦ Πατρὸς καὶ Υἱοῦ, ἀλλ' ἐφερμηνεύων, πῶς τὸ ἐξ ἀμφοῖν, εἶπεν, ἐπήγαγεν, ἤγουν ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ. Ὁ μέντοι Δαμασκηνὸς Ἰωάννης τὸ ἐκ Πατρὸς λέγων ὡς ἐκ πρώτης ἀρχῆς καὶ πρώτης αἰτίας, οὐκ ἐκ τοῦ Υἱοῦ, φησὶν, ὡς ἐκ πρώτης ἀρχῆς, καὶ οὐκ ἀπη-

A *tergiversationes præcidens, compendiosam illico obscurarum syllabarum enuntiationi addidit expositionem. Cum enim dixisset, essentialiter ex utroque Spiritum profluere, illud ex Patre nempe per Filium, concise subnexuit, At quod ex simili inductione colligitur, nihil aliud, infert quam ex solo Patre Spiritus processionem, non autem ex Filio. Num si id esset, similis additionis opus non fuisset.* Ad hæc, qui Roma advenerant; *Neque non itaque fallimur dictis divini hujusce Patris inhærentes, cum asserimus ex Patre, et ex Filio Spiritum procedere; attamen in Filio* ex *propositionem loco illius* per *intelligimus, et interpretamur. Sed conjunctio* et, inquiunt, qui eos refellere conabatur, *Filio a vobis annexa, ea quæ dicitis, manifesto confutat, cum ex Patre et ex Filio Spiritum procedere* B *dicitis in quo significatu in Patre præpositionem* ex *assumetis, in eodem et in Filio vos eam accipitis et fatemini. Quare, aut in utroque, in Patre nempe ex Filio,* ex *præpositionem in eodem significatu astruitis, et quomodo divino Patri non adversamini. qui* ex *in Patre,* per *autem in Filio dictitat; aut in utroque, loco illius* per, ex *præpositionem assumitis, per Patrem, et per Filium Spiritum asserentes procedere, et assignate nobis alium, ex quo Spiritus per hos duos procedere dicatur. Secundum enim unum significatum in Patre, et secundum alium in Filio unam eandemque præpositionem accipere conjunctione illa copulativa, ut jam diximus, impedimini. Nam absque copula effari, aut scribere,* ex Patre, ex Filio, *vos quoque veluti barbarum et inco-* C *gitabile vitatis,* Et hæc quidem ex divino armamentario.

6. Alius etiam vir eximius et præstans cum Latinis, sermonem conserens, cum sibi proposuisset demonstrare nullo modo, si veritas attendenda est, sibi, quæ a sanctis dicuntur adversari, licet id videatur imperitis, *Adversarentur utique,* inquit, *si de eodem, et secundum idem, idem significantia ab his quidem rejicerentur, ab aliis approbarentur. Sic itaque in similibus Christus asseruit,* Spiritum ex Patre procedere, *et omnia forte Patri referens tanquam primæ causæ, illi quoque Spiritus processionem ascribit· Et magnus quoque Athanasius ita locutus est*: Spiritus ex Patre, quemadmodum D ex Verbo, quod ex Patre est, procedens. *Nyssenus autem cum dixisset,* Filium esse immediate ex primo; *Patre scilicet, subdit,* Spiritum per eum qui immediate est, ex primo. *Sapiens Cyrillus palam fassus est,* ex utroque, Patre nempe et Filio, *sed modum enarrans, quomodo ex utroque, addidit,* ex Patre scilicet per Filium. *Et Joannes Damascenus, ex Patre affirmans tanquam e primo principio, et prima causa,* non ex Filio, *tanquam ex primo principio, nec prohibuit dici* ex Filio, *tanquam ex eo qui immediate, vel per eum qui immediate est; idem enim valet* ex, *et* per *præpositio; idque sole-*

OCR ABK / FR

*mne est divinis litteris, nec fuit a sanctis Patribus ignoratum. Et si ex Filio, veluti ex Patre per Filium ; et, si ab utroque, similiter. Et si ex prima quidem causa Patre, ex eo, qui immediate est Filio. Nec sane contra hisceret sapiens Damascenus ad ea, quæ habent magnus Athanasius, magnus Cyrillus, et Nyssenus Gregorius, sed diceret et ipse omnino hoc modo, et ex Filio Spiritus, quando et ipse* per Filium *dicit, ac si eamdem vim haberent* per, *et* ex *præpositiones. Quod si tanquam ex prima causa et ex Filio quispiam astrueret, quod nullus unquam ex Patribus affirmavit, contradicet ille certe, vocemque efferet.* Et de his quoque satis.

γόρευσε τὸ, ἐκ τοῦ Υἱοῦ, ὡς ἐκ τοῦ προσεχοῦς, ἤτοι διὰ τοῦ προσεχοῦς. Ταὐτὸν γὰρ δύναται ἡ διὰ πρόθεσις καὶ ἡ ἐξ. Καὶ τοῦτο σύνηθες καὶ αὐτῇ τῇ Γραφῇ, καὶ τοῖς ἁγίοις Πατράσιν οὐκ ἀγνοούμενον. Καὶ εἰ μὲν ἐκ τοῦ Υἱοῦ ὡς ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ, καὶ εἰ ἐξ ἀμφοῖν, ὁμοίως δὲ καὶ εἰ ἐκ πρώτης μὲν αἰτίας τοῦ Πατρὸς, ἐκ τοῦ προσεχοῦς δὲ τοῦ Υἱοῦ, ἅπερ φησὶν ὁ μέγας Ἀθανάσιος, ὁ μέγας Κύριλλος, ὁ Νύσσης Γρηγόριος, οὐκ ἂν ὁ σοφὸς Ἰωάννης ἀντιφθέγξαιτο, ἀλλ' ἐρεῖ καὶ αὐτὸς ὅτι, οὕτως καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα. Διὰ τοῦ Υἱοῦ γὰρ, φησὶ καὶ αὐτὸς, ὡς ἰσοδυναμούσης τῆς διὰ καὶ τῆς ἐξ. Εἰ δὲ ὡς ἐκ πρώτης αἰτίας, καὶ ἐκ τοῦ Υἱοῦ λέγοι τις, ὅπερ εἶπε τῶν ἁγίων οὐδείς, καὶ ἀντιφθέγξεται, καὶ μέγα βοήσει. Ἐπὶ τοσοῦτον καὶ ταῦτα.

7. Multos præterea alios ex recentioribus illud, *ex Filio*, summo nisu oppugnantes, admodum vero valide illud, *per Filium* comprobantes, ostendimus secundum eam quam ante attulimus, expositionem; quare nescio undenam ducti hac ætate nonnulli, non sustinent dici : *Spiritum per Filium procedere ex Patre.* Sed videamus, quæ de hoc argumento Serapionem episcopum per epistolam edoceat, dignus, qui habeat ex immortalitate nomen, Athanasius : *Quemadmodum germen unigenitum Filius est, sic et Spiritus, qui a Filio datur et mittitur, et ipse unus, et non plures, neque ex pluribus unus, sed solus ipse Spiritus ; nam cum unus sit Filius, vivens Verbum, unum oportet esse perfectam, completamque sanctificantem, et illuminantem vitam, quæ operatio ipsius et munus est ; quæ ex Patre dicitur procedere, quando a Verbo, quod ex Patre est, sine ulla hæsitatione elucet, mittitur et datur.*

ζ'. Πολλοὺς δὲ καὶ ἄλλους τῶν νεωτέρων εὑρίσκομεν ἐνισταμένους μὲν πρὸς τὸ, ἐκ τοῦ Υἱοῦ, κατασκευάζοντας δὲ καὶ μάλα γενναίως τὸ, δι' Υἱοῦ, καθ' ἣν προδιεσημηνάμεθα δήλωσιν. Ὅθεν οὐκ οἶδ' ὅ τι παθόντες ἀρτίως τινὲς οὐκ ἀνέχονται τὸ Πνεῦμα δι' Υἱοῦ προσέρχεσθαι παρὰ τοῦ Πατρός. Ἀλλ' ἴδωμεν οἷα περὶ τούτου διδάσκει τὸν ἐπίσκοπον Σεραπίωνα δι' ἐπιστολῆς ὁ τῆς Ἀθανασίας ἀξιώνυμος· Ὥσπερ γέννημα μονογενές ὁ Υἱός ἐστιν, οὕτω καὶ τὸ Πνεῦμα παρὰ τοῦ Υἱοῦ διδόμενον καὶ πεμπόμενον, καὶ αὐτὸ ἓν καὶ οὐ πολλὰ, οὐδὲ ἐκ πολλῶν ἕν, ἀλλὰ μόνον αὐτὸ Πνεῦμα· Ἑνὸς γὰρ ὄντος τοῦ Υἱοῦ τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ τελείαν καὶ πλήρη τὴν ἁγιαστικὴν ζωὴν, οὖσαν ἐνέργειαν αὐτοῦ καὶ δωρεὰν, ἥτις γε ἐκ Πατρὸς λέγεται ἐκπορεύεσθαι, ἐπειδὴ παρὰ τοῦ Λόγου τοῦ ἐκ τοῦ Πατρὸς ὁμολογουμένως ἐκλάμπει, καὶ ἀποστέλλεται καὶ δίδοται.

8. Elucendi verbo quidam mordicus inhærent, traduntque eo promulgationem indicari, non exsistentiam : namque per *procedere* antea positum exsistentiam manifestari. Si itaque Spiritus procedere dicitur ex Patre, quoniam a Verbo manifestatur, cum non manifestatur, neque ex Patre procedere dicetur. An igitur ante res conditas, sive sensiles, sive intellectuales, quibus a Verbo manifestatus est Spiritus sanctus, non dicetur ex Patre procedere ? Quemadmodum enim quopiam dicente hominem essentiam animatam, sensilem, quandoquidem animal est, si alius causam evertere possit, inductionem etiam evertet : eadem ratione talium hominum suppositione submota, quod inde colligitur, quantum in ipsis est, destruetur.

η'. Ἐπιφύονταί τῷ ἐκλάμπειν τινὲς, καὶ φανερώσεως εἶναί φασιν αὐτὸ δηλωτικὸν, οὐχ ὑπάρξεως· τὸ γὰρ ἐκπορεύεσθαι προδεδηλωκέναι τὴν ὕπαρξιν. Εἰ τοίνυν ἐκπορεύεσθαι τὸ Πνεῦμα λέγεται παρὰ τοῦ Πατρὸς, ἐπειδὴ παρὰ τοῦ Λόγου φανεροῦται, μὴ οὔσης τῆς φανερώσεως, οὐδ' ἐκ τοῦ Πατρὸς λέγοιτ' ἂν ἐκπορεύεσθαι. Τί γοῦν πρὸ τοῦ γεγονέναι τὴν κτίσιν, εἴτε τὴν νοητὴν, ἔνθα παρὰ τοῦ Λόγου πεφανέρωται τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἂν αὐτὸ λεχθείη ἐκπορευόμενον ἐκ Πατρός ; Ὥσπερ γὰρ εἴ τινος τὸν ἄνθρωπον λέγοντος οὐσίαν ἔμψυχον, αἰσθητικὴν, ἐπειδὴ ζῶον ἐστίν· εἴπερ ἔχει τις ἕτερος τὸ αἴτιον ἀνελεῖν, συνανέλοι καὶ τὸ συμπέρασμα, τὸν αὐτὸν τρόπον τῆς αὐτῶν ὑποθέσεως ἀνατετραμμένης, τὸ δῆθεν συναγόμενον, ὅσον τὸ ἐπ' αὐτοῖς, διεσκέδασται.

9. Et hi quidem adhuc, propter quod dicatur, Spiritus ex Patre procedere, quærent. Nos verum dictionis significatum assumentes, hunc in modum argumentemur. Spiritus ex Verbo, per Verbum scilicet prodiit ex Patre, quemadmodum ex sole per lumen illuminans splendor. Id cum ita sit, et Verbum ex Patre confitemur ; propterea et Spiritus ex Patre procedere dicitur. Usurpat vero dictionem *elucet*, ad similitudinem vitæ illuminantis; ideoque et Verbi operationem, vivam scilicet et

θ'. Καὶ οὗτοι μὲν ἔτι δι' ὃ λέγεται παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα ζητείτωσαν. Ἡμεῖς δὲ τὴν ἀληθῆ προσλαβόμενοι σημασίαν τῆς λέξεως, οὕτως συλλογισόμεθα. Τὸ Πνεῦμα παρὰ τοῦ Λόγου, τουτέστι, διὰ τοῦ Λόγου πρόεισιν ἐκ Πατρὸς, ὥσπερ ἐξ ἡλίου διὰ τοῦ φωτὸς φωτιστικὴ λαμπηδών. Κἀπειδὴ τοῦτ' ἔστιν, ὁ δὲ Λόγος ἐκ τοῦ Πατρὸς ὡμολόγηται· διὰ τοῦτο καὶ τὸ Πνεῦμα παρὰ Πατρὸς ἐκπορεύεσθαι λέγεται. Κέχρηται δὲ τῇ ἐκλάμπειν ὁ διδάσκαλος λέξει, καταλλήλως τῇ φωτιστικῇ ζωῇ.

OCR ABK / FR

Διὰ τοῦτο καὶ τοῦ Λόγου ἐνέργειαν, σῶσαν δηλονότι, καὶ ὑφεστῶσαν τὸ ἅγιον ὠνόμασε Πνεῦμα, τὸν Λόγον καὶ Υἱὸν εἰδὼς Θεοῦ δύναμιν ἐνυπόστατον. Ἐπεὶ δὲ διὰ τῆς δυνάμεως ἡ ἐνέργεια, ἡ δὲ δύναμις ὁμολογουμένως ἐκ τοῦ Θεοῦ, διὰ τοῦτο ἐκ Θεοῦ ἡ ἐνέργεια. Τοῦτο γὰρ βούλεται τῷ διδασκάλῳ τὸ, λέγεται ἐκπορεύεσθαι, ὡς τῆς τοῦ Πνεύματος ἐκπορεύσεως λεγομένης καὶ κηρυττομένης ἐκ Πατρὸς διὰ τὴν πρὸς τὸ πρῶτον ἀναφοράν. Ὡς μὲν οὖν ἐνέργειαν τοῦ Υἱοῦ καὶ Θεοῦ Λόγου τὸ Πνεῦμα τὸ ἅγιον ἀϊδίως ἐκλάμπει παρ' αὐτοῦ, ταυτὸν δ' εἰπεῖν, δι' αὐτοῦ παρὰ τοῦ Πατρός· ὡς δὲ δωρεὰ καὶ ἀποστέλλεται, καὶ δίδοται φυσικῶς.

ι'. Ὅτι δὲ τὸ ἐκλάμπειν ἐν θεολογίᾳ παραστατικόν ἐστι τῆς ἀπαθοῦς καὶ ἀχρόνου ὑπάρξεως, καὶ ὁ μέγας Βασίλειος δείκνυσιν οὕτω λέγων ἐν δευτέρῳ τῶν Ἀντιῤῥητικῶν· Κοινὴ πρόληψις πᾶσιν ὁμοίως Χριστιανοῖς ἐνυπάρχει τοῖς γε ὡς ἀληθῶς τῆς προσηγορίας ταύτης ἀξίοις, περὶ τοῦ φῶς εἶναι τὸν Υἱὸν γεννητὸν ἐκ τοῦ ἀγεννήτου φωτὸς ἀπολάμψαντα. Καὶ πάλιν· Ἀγαθοῦ μὲν Πατρὸς, ἀγαθὸς Υἱὸς, φωτὸς δὲ τοῦ ἀγεννήτου φῶς ἐξέλαμψε τὸ ἀΐδιον. Καὶ Γρηγόριος δὲ τῶν Νυσσαέων ὁ σοφὸς ἱεράρχης, οὕτω φησὶν ἐν τῷ πρώτῳ τῶν Ἀντιῤῥητικῶν· Πατὴρ μὲν ἄναρχος, καὶ ἀγέννητος, καὶ ἀεὶ Πατὴρ νοεῖται. Ἐξ αὐτοῦ δὲ κατὰ τὸ προσεχὲς ἀδιαστάτως ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ συνεπινοεῖται. Δι' αὐτοῦ δὲ, καὶ μετ' αὐτοῦ πρίν τι κενόν τε καὶ ἀνυπόστατον διὰ μέσου παρεμπεσεῖν νόημα, εὐθὺς τὸ Πνεῦμα τὸ ἅγιον συνημμένως καταλαμβάνεται. Οὐχ ὑστερίζον κατὰ τὴν ὕπαρξιν μετὰ τὸν Υἱὸν, ὡς ποτὲ τὸν μονογενῆ δίχα τοῦ Πνεύματος νοηθῆναι, ἀλλ' ἐκ μὲν τοῦ Θεοῦ τῶν ὅλων, καὶ αὐτὸ τὴν αἰτίαν ἔχον τοῦ εἶναι, ὅθεν καὶ τὸ μονογενές ἐστι φῶς· διὰ δὲ τοῦ ἀληθινοῦ φωτὸς ἐκλάμψαν, οὔτε διαστήματι, οὔτε φύσεως ἑτερότητι τοῦ Πατρὸς, ἢ τοῦ μονογενοῦς ἀποτέμνεται. Πάλιν πρὸς αὐτὸν ὁ μέγας Βασίλειος περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως· Ὁ δὲ Υἱὸς τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον Πνεῦμα δι' ἑαυτοῦ καὶ μεθ' ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτὸς ἐκλάμψας, οὐδεμίαν κατὰ τὸ ἰδιάζον τῶν γνωρισμάτων τὴν κοινωνίαν ἔχει πρὸς τὸν Πατέρα, ἢ πρὸς τὸ Πνεῦμα τὸ ἅγιον. Ἰωάννης ὁ σοφὸς ποιητὴς ἐν Ὕμνοις πρὸς τὴν ὑπέραγνον Θεομήτορα. Σὺ μήτηρ Θεοῦ ἀσυνδυάστως γεγέννησαι τοῦ ἐξ ἀκηράτου Πατρὸς ἐκλάμψαντος. Ἐν τούτοις ὁ ἐξηγούμενος, ὁ πολλοῖς θαυμαζόμενος, ὁ καὶ τῶν ἱερῶν κανόνων πρῶτος σαφηνιστὴς, τὸ ἐκλάμψαντος, φησὶν, τὴν ἄνω γέννησιν τοῦ Υἱοῦ ἀπαθῆ παρίστησιν. Ὡς γὰρ ἡ λαμπηδὼν ἐκ τοῦ ἡλίου ἀπαθῶς ἔξεισιν, οὕτω καὶ ὁ Υἱὸς ἀπαθῶς γεγέννηται τῷ Πατρὶ, καὶ τὸ ἄχρονον δὲ τοῦ Υἱοῦ, καὶ κατὰ τοῦτο ἄναρχον, διὰ τοῦ ἐκλάμψαι διδάσκει ὁ ποιητής. Ὡς γὰρ ἅμα φῶς, καὶ ἅμα ἡ ἐξ αὐτοῦ λαμπηδὼν, οὕτως ἅμα νοηθείη Πατὴρ, ἅμα παρέπεται νοεῖσθαι καὶ τὸν Υἱόν.

A subsistentem Spiritum sanctum compellavit. Verbum, et Filium noscens Dei virtutem enypostatam. Quando vero per virtutem operatio, virtus autem ex Deo nemine contradicente, propterea ex Deo operatio est, quod Magister insinuat illis verbis, *dicitur procedere*, cum Spiritus processio dicatur; et prædicetur ex Patre propter relationem ad primam causam. Uti itaque operatio Filii, et Dei verbi Spiritus sanctus perpetuo elucet ab ipso, quod idem est, ac dicere, per ipsum a Patre. Sed tanquam donum et mittitur, et donatur naturaliter.

10. *Elucere* porro in rebus divinis exsistentiam neque passioni obnoxiam, neque tempori subjacen- B tem inducere, magnus Basilius ita probat, oratione secunda antirrhetica: *Communis*, inquit, *prænotio omnibus æquæ Christianis innata est iis, qui tali appellatione digni sunt, lumen esse Filium generatum ex ingenito lumine illucescentem*. Et rursum: *Boni Patris bonus Filius. Luminis vero ingeniti lumen eluxit sempiternum*. Gregorius quoque Nyssaensium doctus antistes in prima antirrhetica hæc habet: *Pater quidem sine principio, et ingenitus, et semper Pater intelligitur; ex eo vero immediate, et indivise unigenitus Filius cum Patre simul intelligitur; per hunc autem, et cum ipso, antequam inanis, et non subsistens in medio perceptio incidat, non post Filium tus sanctus junctim concipitur, non post Filium exsistentia subsistens, ut aliquando unigenitus absque* C *Spiritu concipiatur; sed ex rerum omnium Deo, et ipse suæ essentiæ causam habens, unde et unigenitum lumen oritur, per verum autem lumen elucescens, neque distantia, neque naturæ diversitate a Patre, sive ab unigenito dividitur*. Rursus ad eumdem magnus Basilius de differentia essentiæ, et hypostasis: *Filius ex Patre procedentem Spiritum per semetipsum, et una secum cognoscens, solus unigenite ex ingenito lumine elucens, nullum secundum proprietatem notarum communionem habet cum Patre, aut cum Spiritu sancto*. Joannes poeta sapientissimus in Hymnis ad immaculatissimam Virginem: *Mater Dei, absque conjunctione peperisti eum, qui ex incorrupto Patre eluxit*. Ad hæc interpres, qui multis in admiratione est, et qui sacros canones primus exposuit: *Eluxit*, inquit D *supernam Filii absque passione generationem denotat. Quemadmodum enim splendor ex sole sine passione effluit, ita et Filius sine passione genitus est a Patre, et Filium absque tempore, et secundum idem sine principio per Verbum* elucere *poeta edocet. Sicut enim simul lumen, et simul qui ex eo est, splendor; sic cum primum mente concipitur Pater, simul subsequitur et Filium intelligi*. Et hæc plusquam opus erat, adduximus. Ubi enim sententiæ mens prudens, multumque rebus adaptata videtur, si ita verbum accipiatur; sin minus in alium sensum distrahatur, multum improbabilitatis, atque inconcinnitatis præsefert, quid

OCR ABK / FR

A inde magis ad veritatem comprobandam emendicandum est?

1. Illud autem dicere, ne quis existimet, principium Spiritus Filium, manifestare Spiritum per doctrinam suam, et veluti sibi cognatum exhibere, ideoque dici ex Patre procedere, curiosum quidem est, sed quod facile deprehendi potest. Quam enim suspicionem principii hujusmodi manifestatio atque exhibitio inferet? et quonam ratione veluti cognatus Filius Spiritum sanctum exhibens, non a cognato sibi exhibebitur? et quomodo Verbo sine controversia ex Patre comparente, non habebit sine controversia quidquid habet a Patre? et qua ratione in posterum Spiritus principium Verbum B reputabitur? Apage has pravas expositiones, tu quoque omnino dices, nec fallor, ei, quocum tibi litigium est. Verumtamen Spiritum ex Patre per Filium procedere, magnus Basilius pluribus in locis, et in antirrheticis potissimum decernit: *Quomodo itaque,* inquiens, *separabuntur ea quæ separari nequeunt, Verbum Dei, et Spiritus ex Deo per Filium. Si Spiritus non creditur, et Verbum quoque non creditur* De hoc eodem perspicacissimus Epiphanius in Ancyroto hunc in modum discurrit: « *Ait itaque beatus Petrus his, qui cum Anania erant: « Cur tentavit vos Satanas, mentiri Spiritui sancto? Et ait: Non homini mentiti estis, sed Deo. » Deus ergo ex Patre et Filio Spiritus, cui mentiti fuerant, qui de pretio fraudarant.* Et rursum: *Pater veri* C *Filii Pater est, lumen totus, et Patris veri Filius, lumen de lumine, non ut res factæ, aut creatæ, nominatione sola Spiritus sanctus, Spiritus veritatis est; lumen tertium a Patre et Filio: reliqua alia positione, vel appositione, vel appellatione.* Hæc perspicassimus Epiphanius, *ex Patre et Filio* usurpans, loco illius, *ex Patre per Filium.* Quemadmodum et sapientissimus Cyrillus in *Thesauris* his verbis enuntians: *Quod beatus Moyses homini a Deo inflatum fuisse contendit, id Christus post resurrectionem a mortuis renovans inflavit suis discipulis, dicens:* Accipite Spiritum, *ut rursus reformati in imaginem, quam a principio habuimus, conformes fiamus Creatori per Spiritus participationem. Cum itaque Spiritus sanctus ad nos veniens, conformes nos efficit Deo, profluit vero et ex Patre et* D *Filio, manifestum est eum divinæ essentiæ esse, essentiater in ipsa, et ex ipsa profluens.* Profluit, inquit, ex Patre et Filio, hoc est per Filium ex Patre. At Nyssaensium orbisque lumen, quot ille in locis palam confirmat, per Filium Spiritum sanctum ex Patre esse? sed potissimum in prima Antirrhetica hæc de Spiritu tradit: *Patri secundum quod increatus est conjungitur, rursusque ab eo, quod quemadmodum ille Pater non est, separatur; conjungitur et Filio secundum quod increatus est, et quod causam exsistentiæ ex omnium Deo habeat; sejungitur rursus proprietate, quod non tanquam*

A Ἀλλὰ ταῦτα μὲν ἴσως ὑπὲρ τὴν χρείαν. Ὅπου γὰρ ἡ τοῦ λόγου διάνοια λελογισμένη καὶ λίαν ἡρμοσμένη φαίνεται, τοιουτοτρόπως ἐκλαμβανομένης τῆς λέξεως· ἄλλως δ' ἔχειν ὑπονοουμένης, πολὺ τὸ ἀλόγιστον φέρουσα καὶ ἀνάρμοστον, τί χρὴ πλέον ἐκεῖσε ζητεῖν εἰς τὴν τῆς ἀληθείας παράστασιν;

ια'. Τὸ δὲ λέγειν, ἵνα μή τις νομίσῃ, ὡς ἀρχὴ τοῦ Πνεύματος ὁ Υἱὸς, ἐπιφανεροῖ τὸ Πνεῦμα διὰ τῆς διδασκαλίας αὐτοῦ, καὶ δίδωσιν ὡς συγγενὲς, διὰ τοῦτο λέγεται ἐκ Πατρὸς αὐτὸ ἐκπορεύεσθαι, περίεργον μὲν, ἀλλ' εὐφώρατον. Ποίαν γὰρ τὸ φανεροῦν καὶ διδόναι τοιουτοτρόπως ὑποψίαν εἰσαγάγοι ἂν ἀρχῆς; ἢ πῶς ὡς συγγενὲς διδοὺς Λόγος τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἀντιδοθείη παρὰ τοῦ συγγενοῦς; ἢ πῶς τοῦ Λόγου πεφηνότος ὁμολογουμένως ἐκ τοῦ Πατρὸς, οὐχὶ καὶ πάντα ὅσα ἔχει ὁ λόγος, ὁμολογουμένως ἐκ τοῦ Πατρός; καὶ πῶς ἀρχὴ τοῦ B Πνεύματος ὁ Λόγος νομισθείη λοιπόν; Ἄπαγε τῶν τοιούτων παρεξηγήσεων, οἶδ' ὅτι φαίης ἂν καὶ αὐτὸς τῷ ἐριστικῷ. Τὸ μέντοι δι' Υἱοῦ τὸ Πνεῦμα παρὰ Πατρὸς ἐκπορεύεσθαι, καὶ Βασίλειος ὁ μέγας πολλαχοῦ, καὶ δὴ κἀν τοῖς Ἀντιῤῥητικοῖς ἀποφαίνεται· Πῶς ἂν οὖν, φάσκων, χωρίζοιτο τὰ ἀχώριστα Λόγος Θεοῦ καὶ Πνεῦμα ἐκ Θεοῦ δι' Υἱοῦ, εἰ Πνεῦμα ἀπιστεῖται, καὶ Λόγος συναπιστεῖται. Περὶ τούτου καὶ ὁ διορατικώτατος Ἐπιφάνιος ἐν τῷ Ἀγκυρωτῷ διέξεισιν οὑτωσί· Φησὶν οὖν ὁ μακάριος Πέτρος τοῖς περὶ τὸν Ἀνανίαν· Τί ὅτι ἐπείρασεν ὑμᾶς ὁ Σατανᾶς, ψεύσασθαι ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον; καὶ φησὶν, Οὐκ ἀνθρώπῳ ἐψεύσασθε, ἀλλὰ Θεῷ. Ἄρα Θεὸς ἐκ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα, ᾧ ἐψεύσαντο οἱ ἀπὸ τοῦ τιμήματος C νοσφισάμενοι. Καὶ πάλιν· Ὁ Πατὴρ ἀληθοῦς Υἱοῦ ἐστι Πατὴρ, φῶς ὅλος, καὶ Υἱὸς Πατρὸς ἀληθοῦς. Φῶς ἐκ φωτὸς, οὐχ ὡς τὰ ποιητὰ ἢ τὰ κτιστὰ, προσηγορίᾳ μόνῃ τὸ Πνεῦμα τὸ ἅγιον Πνεῦμα ἀληθείας ἐστί· φῶς τρίτον παρὰ Πατρὸς καὶ Υἱοῦ, τὰ δὲ ἄλλα πάντα, θέσει, ἢ παραθέσει, ἢ κλήσει. Ταῦτα καὶ ὁ διορατικώτατος Ἐπιφάνιος τῷ ἐκ Πατρὸς καὶ Υἱοῦ κεχρημένος ἀντὶ τοῦ ἐκ Πατρὸς δι' Υἱοῦ. Καθὰ καὶ ὁ σοφώτατος Κύριλλος ἐν τοῖς Θησαυροῖς λέγων οὕτως· Ὅπερ ὁ μακάριος Μωϋσῆς ἐμπεφυσῆσθαι παρὰ Θεοῦ τῷ ἀνθρώπῳ δυσχυρίσατο, τοῦτο Χριστὸς ἀνανεῶν ἐν ἡμῖν κατὰ τὴν ἐκ νεκρῶν ἀναβίωσιν ἐνεφύσησε τοῖς ἑαυτοῦ μαθηταῖς λέγων, Λάβετε, Πνεῦμα, ἵνα πάλιν ἀναμορφωθέντες εἰς τὴν ἐξ ἀρχῆς εἰκόνα σύμμορφοι φαινώμεθα τῷ πεποιη- D κότι διὰ τῆς τοῦ Πνεύματος μετοχῆς. Ὅτε τοίνυν τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν γινόμενον συμμόρφους ἡμᾶς ἀποδεικνύει Θεοῦ, πρόεισι δὲ καὶ ἐκ Πατρὸς καὶ Υἱοῦ, πρόδηλον ὅτι τῆς θείας οὐσίας ἐστὶν, οὐσιωδῶς ἐν αὐτῇ καὶ ἐξ αὐτῆς προϊόν. Πρόεισι, φησὶν, ἐκ Πατρὸς καὶ Υἱοῦ· τουτέστι δι' Υἱοῦ παρὰ τοῦ Πατρός. Ὁ δέ γε τῶν Νυσσαέων καὶ τῆς οἰκουμένης φωστὴρ, ἐν πόσοις παρίστησιν ἐναργῶς, ὅτι δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς, τέως γοῦν ἐν τῷ πρώτῳ τῶν Ἀντιῤῥητικῶν τάδε λέγει περὶ τοῦ Πνεύματος· Τῷ Πατρὶ κατὰ τὸ ἄκτιστον συναπτόμενον πάλιν αὐτοῦ, τῷ μὴ Πατὴρ εἶναι καθάπερ ἐκεῖνος διαχωρίζεται. Τῇ δὲ πρὸς

OCR ABK / FR

τὸν Υἱὸν κατὰ τὸ ἄκτιστον συναφείᾳ, καὶ ἐν τῷ τὴν αἰτίαν τῆς ὑπάρξεως ἐκ τοῦ Θεοῦ τῶν ὅλων ἔχειν ἀφίσταται πάλιν τῷ ἰδιάζοντι, ἐν τῷ μήτε μονογενῶς ἐκ τοῦ Πατρὸς ὑποστῆναι, καὶ ἐν τῷ δι' αὐτοῦ τοῦ Υἱοῦ πεφηνέναι. Πάλιν δὲ τῆς κτίσεως διὰ τοῦ Μονογενοῦς ὑποστάσης, ὡς ἂν μὴ κοινότητά τινα τὸ Πνεῦμα νομισθῇ πρὸς ταύτην ἔχειν, ἐκ τοῦ διὰ τοῦ Υἱοῦ πεφηνέναι, ἐν τῷ ἀτρέπτῳ καὶ ἀναλλοιώτῳ καὶ ἀπροσδεεῖ τῆς ἑτέρωθεν ἀγαθότητος, διακρίνεται τὸ Πνεῦμα ἀπὸ τῆς κτίσεως.

A *unigenitus ex Patre subsistit, et quod per ipsum Filium apparuit. Rursus cum creatura per Filium substitisset, ne cum ea communionem Spiritus habere existimaretur, quod per Filium appareat immutabilitate, firmitate, ac bonitatis, quæ extranea sit, nulla indigentia, a creatura Spiritus secernitur.*

B ιβ'. Διαποροῦσι περὶ τοῦ πεφηνέναι τινές. Μή ποτε, λέγοντες, φανερώσεως αὐτὸ δηλωτικόν ἐστιν, οὐχ ὑπάρξεως. Καίτοι γ' ἐχρῆν αὐτούς, εἰ μὴ τῷ ἐνεργητικὸν εἶναι τὸ ῥῆμα κατά τε προφορὰν καὶ δήλωσιν ὁμοῦ προσεσχήκεσαν, κἂν γοῦν ἐξ ἄλλων ῥήσεων Πατρικῶν τὴν σημασίαν κατανενοηκέναι τῆς λέξεως, καὶ μὴ τῆς ἀληθείας ἐπηρεαστὰς καθεστηκέναι διακενῆς. Αὐτίκα γὰρ ὁ μέγας Βασίλειος ταῦτα λέγει περὶ τοῦ Πνεύματος· Οὐδὲν ἔχον ἑαυτῷ ἐπίκτητον, ἀλλ' ἀϊδίως πάντα ἔχον ὡς Πνεῦμα Θεοῦ, καὶ ἐξ αὐτοῦ πεφηνός. Ὁ δὲ σοφώτατος Κύριλλος περὶ τοῦ Χριστοῦ· Τὸν Θεοῦ μεσίτην καὶ ἀνθρώπων κατὰ τὰς Γραφὰς συγκεῖσθαι φαμέν, ἔκ τε τῆς καθ' ἡμᾶς ἀνθρωπότητος, τελείως ἐχούσης κατὰ τὸν ἴδιον λόγον, καὶ ἐκ τοῦ πεφηνότος ἐκ τοῦ Θεοῦ κατὰ φύσιν Υἱοῦ, τουτέστι, C τοῦ μονογενοῦς. Καὶ πάλιν· Ἴδιόν ἐστι τὸ Πνεῦμα τοῦ Υἱοῦ, οὔτοι που μόνον ᾗ Λόγος ἐστὶ, πεφηνὼς ἐκ Πατρὸς, ἀλλ' εἰ καὶ νοοῖτο καθ' ἡμᾶς ἄνθρωπος γεγονώς. Πρόδηλον δήπουθεν ὡς Θεὸς μὲν τὸ Πνεῦμα, τὸ ἐξ οὗ κυρίως ἔχον καὶ φυσικῶς ὡς Θεὸς, τὰ δ' ἄλλα ποιήματα καταχρηστικώτερον ὡς ἐκ ποιητοῦ καὶ δημιουργοῦ πεφηνότα, ἐξ οὗ λεγόμενα. Ὥστε σημαντικὸν ὑπάρξεως ἀριδήλως τὸ πεφηνέναι, τῆς Γραφῆς δὲ διαγορευούσης οὕτω περὶ τοῦ Πνεύματος· Ὡς οὖν ὁ δημιουργὸς Λόγος ἐστερέωσε τὸν οὐρανὸν, οὕτω καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, τουτέστιν, ἐκ τοῦ στόματος αὐτοῦ. Καὶ πάλιν, Οὔτε ἀλλότριον τῆς τοῦ Θεοῦ δόξης τὸ Πνεῦμα τοῦ ἀρρήτου στόματος ἀρρήτως πεφηνός. Οὐ ταυτὸν ἐπὶ τοῦ Πνεύματος δείκνυται φανερῶς τὸ πεφηνέναι, καὶ ἐκπορεύεσθαι;

12. De verbo illo *apparere* plerique dubitant. Anne inquiunt, illud manifestationem et non exsistentiam notat; cum oporteret eosdem, præterquam quod verbum illud tum pronuntiatione, tum expressione activum est, saltim ex aliis Patrum sententiis vocis significatum colligere, neque veritatem calumniantes frustra tempus terere. In promptu enim sunt, quæ Basilius Magnus tradit de Spiritu : *Nihil habens in se ipso ascititium, sed ab æterno omnia possidens, ut Dei Spiritus, et ex ipso apparens.* Sapientissimus Cyrillus de Christo : *Mediatorem Dei et hominum, ut divinæ tradunt Litteræ, componi dicimus, et ex nostra humanitate secundum propriam rationem perfecta, et eo, qui a Deo apparuit, secundum naturam Filio, hoc est, unigenito.* Et rursus : *Proprius est Spiritus Filii, non ea ratione tantum, qua Verbum est, apparens ex Patre, sed ea etiam, qua a nobis concipitur homo factus. Manifestum Deum esse Spiritum, illud ex alio proprie possidens, et naturaliter ut Deus : alias vero creaturas magis improprie, tanquam quæ a Creatore et opifice apparuerunt, ex quo dicuntur. Quare manifestissime verbum* apparere *exsistentiam denotat, Scriptura verbo hæc asserente de Spiritu. Quemadmodum itaque opifex Verbum cœlum firmavit, ita et Dei Spiritus, qui ex Patre procedit, hoc est ex ore ejus.* Et rursus : *Neque a Dei gloria alienus Spiritus ex ineffabili ore ineffabiliter apparens.* An non manifeste de Spiritu evincitur idem esse apparere, et procedere?

D ιγ'. Τοιγαροῦν ἔδει καὶ τοὺς ἐνταυθοῖ περὶ τοῦ πεφηνέναι διαποροῦντας, ἀλλαχόθεν, ὡς ἔφαμεν, ἐκ τῶν ἀναμφιλέκτων τὴν τῆς λέξεως πορίσασθαι δήλωσιν, ἢ μὲν ἔκ γε τῆς τοῦ λόγου συμφράσεως συνεωρακέναι τὸ ἀληθὲς, καὶ μὴ παραλογίζεσθαι σφᾶς αὐτούς. Ποίαν γὰρ ἂν ἔχειν ὑποπτεύθη πρὸς τὴν κτίσιν κοινότητα τὸ Πνεῦμα τὸ ἅγιον, ἐκ τοῦ, τὴν μὲν διὰ τοῦ Μονογενοῦς ὑποστῆναι, τὸ δὲ δι' αὐτοῦ πεφανερῶσθαι αὐτῇ; Ἢ πῶς ἐν ἄλλοις διακρινόμενον τὸ Πνεῦμα ἀπὸ τῆς κτίσεως, οὐ μᾶλλον ἂν διεκρίνετο προχειρότερον, ἐκ τοῦ. τὴν μὲν διὰ τοῦ Μονογενοῦς ἔχειν τὸ εἶναι, τὸ δὲ μὴ δι' αὐτοῦ δὴ τοῦ Μονογενοῦς; ἀλλὰ τοῦτό ἐστι δι' Υἱοῦ τὸ εἶναι τῷ Πνεύματι παρὰ Πατρὸς φυσικῶς δι' Υἱοῦ, καὶ τῇ κτίσει, ἀλλὰ δημιουργικῶς. Τρεπτὴ γὰρ αὕτη· διὸ καὶ ἀλλοιωτὴ, καὶ τῆς ἐκ Θεοῦ ἀγαθότητος ἐπιδεής, τὸ δὲ Πνεῦμα τὸ ἅγιον οὐκ ἐτράπη ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι μεταβαλόν· ἦν γὰρ ἀεὶ, διὸ οὐδὲ

13. Oportebat itaque eos qui hic de hujus verbi significatu hæsitant, aliunde, ut diximus, et ex indubitatis dictionis sententiam expiscari, vel saltem ex ipsa dicendi structura veritatem comprehendere, et non seipsos falsis ratiocinationibus decipere. Quid enim cum creatura habere commune existimaretur Spiritus sanctus ex eo quod illa quidem per Unigenitum subsistit, Spiritus vero per ipsum illi manifestatus est? Annon cum in aliis Spiritus secernatur a creatura, magis et faciliori quodam modo secerneretur ex eo quod illa per Filium, quod sit, habeat : ille autem non per ipsum, Unigenitum nempe? Sed hoc est per Filium Spiritui, quod sit ex Patre naturaliter per Filium, et creaturæ, sed ut ab opifice productæ. Hæc enim haud firma est, ideoque et mutabilis, et divinæ bonitatis indigens. Sed Spiritus sanctus minime mutatus est, ex eo quod non est, ad id quod est,

OCR ABK / FR

gradum faciens. Erat enim semper : propterea neque creatura est ; etenim si creatum mutabile est, non creatum immutabile erit. Creatura mutabilis est, progressu sanctificationem acquirens, imo etiam a meliori desciscens et ad pejora retro commeans. Spiritus absolutissimam sibi sanctitatem ab æterno vindicat. Ergo si creatum mutabile est, quod immutabile est, creatum non est. Creatura secundum participationem bonum ex Deo habet, Spiritus vero ex seipso bonus est. Quod itaque alienæ bonitatis non indiget, et immutabilitate, atque firmitate Spiritus a creatura secernitur. Quæ si inficias ierint, aliquid eum creatura commune Spiritum habere existimare necesse est, ex eo quod per Filium a Patre apparuit.

14. Quibus statim objicimus Dei manus, quæ in Psalmis sunt, radios, cum consimilibus fluviis apud theologos, a Deo natos surculos, et bina viscera, et lumina Patris, et quidquid hisce haud dissimile est ; neque norunt qui hac proponunt, hypostaseon inconfusum, et primam causam inde nobis insinuari. Tandem in rebus divinis pertractandis consultissimus Athanasius, oratione de unigeniti Verbi incarnatione, de eodem Unigenito hæc scribit : *Dum commendat in manus Patris spiritum suum, ut homo, semetipsum sibi ut Deo commendat. Ipse enim est manus Patris.* Sapiens quoque Joannes in Ecclesia laudans eum qui extendit manus in cruce : *Propter me immaculatis illius manibus*, prædicat, *factam fuisse meam in principio creationem ex terra*, creandi vim ipsam Verbi et operationis efficientiam manus symbolice exemplo nostri nuncupans. Si quis vero et Filium et Spiritus manus Dei velit appellare, causam habeat neque improbabilem, neque intempestivam : et cum audit Filium brachium, et dexteram Dei, digitum vero Spiritum sanctum, tunc summam Filii et Spiritus unitatem speculetur, et per Filium Spiritum a Deo Patre procedere. Filium autem et Spiritum manus Dei intelligens, inconfusum inde, et per se subsistens Filii et Spiritus simul mente concipiat, non quod per Filium Spiritus non procedat ex Patre, quemadmodum neque quod hi inter se non connectantur, sicuti manus dextera, et læva : sed quod unus ex una parte est, alius in alia, non in seipsis confusi.

15. Ideo in Theologicis præstans Gregorius aliquando radio assimilat Filium, lumini Spiritum, et hunc quidem fluvio, illum fonti : aliquando eorumdem minime confusas Deitatis hypostases, et in descensu ad homines non separari a Patre explanans, uti binos radios eos ex uno sole mitti, et duos fluvios ex uno fonte longe lateque procurrentes, illique semper adhærentes, unde emanant, vocat. Aliquando unum indivisumque Triadis, nec non eumdem omnium honorem astruens, unam eam margaritam appellat. Et Dionysius re-

A κτίσμα. Εἰ γὰρ τὸ κτιστὸν τρεπτὸν, τὸ μὴ τρεπτὸν, οὐ κτιστόν. Ἡ κτίσις ἀλλοιωτὴ κατὰ προκοπὴν, λαμβάνουσα τὸν ἁγιασμὸν, οὐ μὴν ἀλλὰ καὶ ἀποφοιτῶσα τοῦ κρείττονος, καὶ πρὸς τὸ χεῖρον ὑποποδίζουσα. Τὸ δὲ Πνεῦμα τὴν ἀκροτάτην ἁγιωσύνην ἀϊδίως αὐχεῖ. Τοιγαροῦν, εἰ τὸ κτιστὸν καὶ ἀλλοιωτόν· τὸ μὴ ἀλλοιωτὸν, οὐδὲ κτιστόν. Ἡ κτίσις κατὰ μέθεξιν ἔχει τὸ ἀγαθὸν ἐκ τοῦ Θεοῦ, τὸ δὲ Πνεῦμα αὐτάγαθον. Ἐν ἄρα τῷ ἀπροσδεεῖ τῆς ἑτέρωθεν ἀγαθότητος, καὶ τῷ ἀναλλοιώτῳ, καὶ τῷ ἀτρέπτῳ διακρίνεται τὸ Πνεῦμα ἀπὸ τῆς κτίσεως. Εἰ μὴ, ταῦτα γὰρ ἐνομίσθη ἄν τινα πρὸς τὴν κτίσιν ἔχειν κοινότητα, τῷ δι' Υἱοῦ πεφηνέναι παρὰ Πατρός.

B ιδ'. Ἀλλ' εὐθὺς αἱ ψαλμικαὶ τοῦ Θεοῦ χεῖρες, αἱ θεολογικαὶ ἀκτῖνες, σὺν τοῖς ὁμοίοις ποταμοῖς, οἱ θεόφυτοί τε βλαστοὶ, καὶ τὰ δίδυμα σπλάγχνα, καὶ φῶτα τοῦ Πατρὸς, καὶ εἴ τι τοιοῦτον ἀντιπροτείνεται, καὶ οὐκ ἴσασιν οἱ ταῦτα δὴ προβαλλόμενοι, τὸ τῶν ὑποστάσεων ἀσύγχυτον, καὶ τὸ πρῶτον αἴτιον ἐντεῦθεν παραδηλούμενα. Τέως δ' οὖν ὁ τὰ θεῖα πολὺς Ἀθανάσιος ἐν τῷ περὶ τῆς τοῦ μονογενοῦς Λόγου ἐνανθρωπήσεως, τοιαῦτα φησὶ περὶ αὐτοῦ τοῦ Μονογενοῦς· Ὅτε παρατίθεται τὸ Πνεῦμα αὐτοῦ εἰς τὰς χεῖρας τοῦ Πατρὸς ὡς ἄνθρωπος, ἑαυτὸν παρατίθεται ἑαυτῷ, ὡς Θεῷ, αὐτὸς γὰρ ἡ χεὶρ καὶ αἱ χεῖρες τοῦ Πατρός. Ὁ δὲ σοφὸς Ἰωάννης ὑπ' Ἐκκλησίας ὑμνῶν τὸν διαπετάσαντα τὰς χεῖρας ἐν τῷ σταυρῷ. Δι' ἐμὲ, ταῖς ἀχράντοις αὐτοῦ χερσὶ κηρύττει γεγονέναι τὴν ἐμὴν κατ' ἀρχὰς διάπλα-
C σιν ἐκ χοὸς, τὸ δημιουργικὸν τοῦ Λόγου, καὶ τὸ τῆς ἐνεργείας ἀνυστικὸν, χεῖρας ὀνομάζων, συμβολικῶς ἐκ τῶν καθ' ἡμᾶς. Εἰ δέ τις καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα χεῖρας αἱροῖτο καλεῖσθαι Θεοῦ, τὴν προσήκουσαν αἰτίαν συνεκδεχέσθω καὶ εὔλογον. Καὶ ὅτε μὲν ἀκούοι τὸν Υἱὸν βραχίονα καὶ δεξιὰν τοῦ Θεοῦ, δάκτυλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον, τότε τὴν ἄκραν συμφυΐαν θεωρείτω τοῦ Υἱοῦ, καὶ τοῦ Πνεύματος, καὶ τὸ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς ἐκπορεύεσθαι. Τὸν Υἱὸν δὲ καὶ τὸ Πνεῦμα χεῖρας νοῶν τοῦ Θεοῦ, τὸ ἀσύγχυτον ἐντεῦθεν συνεπινοείτω, καὶ ἰδιοϋπόστατον τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος, οὐ τὸ μὴ διὰ τοῦ Μονογενοῦς ἐκπορεύεσθαι τὸ Πνεῦμα παρὰ Πατρὸς, ὥσπερ οὐδὲ τὸ μὴ ἀλληλουχεῖσθαι ταῦτα κατὰ τὴν δεξιὰν χεῖρα καὶ τὴν
D εὐώνυμον, ἀλλὰ τὸ μὲν ἔνθεν εἶναι, τὸ δ' ἔνθεν οὐκ ἐν ἀλλήλοις.

ιε'. Διὰ ταῦτα καὶ ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος ποτὲ μὲν ἀκτῖνι παρεικάζει τὸν Υἱὸν, φωτὶ δὲ τὸ Πνεῦμα, καὶ τὸν μὲν πηγῇ, τὸ δὲ ποταμῷ, ποτὲ δὲ τὸ τῶν εἰρημένων τῆς θεότητος ὑποστάσεων ἀσύγχυτον παραδηλῶσαι προθέμενος, καὶ τὸ ἀπὸ τοῦ Πατρὸς ἀχώριστον ἐν τῇ καθόδῳ τῇ πρὸς ἡμᾶς, ὥσπερ ἀκτῖνας δύο πέμπεσθαι ταύτας ἐξ ἑνὸς ἡλίου φησὶ, καὶ δύο ποταμοὺς ἐκ μιᾶς πηγῆς, προβαίνοντας μὲν πολύ τε καὶ εἰς μακρὸν, ἐχομένους δὲ τοῦ ὅθεν· διαπαντὸς δὲ τὸ ἀδιαίρετον τῆς Τριάδος παραστῆσαι βουλόμενος, καὶ ὁμότιμον, ἕνα μαργαρίτην

OCR ABK / FR

ταύτην ἀποκαλεῖ. Καὶ Διονύσιος μὲν ὁ θεωρητικώτατος δίδυμα σπλάγχνα τοῦ Πατρὸς, καὶ φῶτα, καὶ ἄνθη, καὶ βλαστοὺς θεοφύτους προσαγορεύει τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, τὸ τῶν ὑποστάσεων ὑπεμφαίνων ἀσύγχυτον, καὶ τὸ ἐκ τοῦ Πατρὸς ἔχειν καὶ ἄμφω τὸ εἶναι γνησίως καὶ ἀκραιφνῶς. Ἕτεροι δὲ τῶν ἱερῶν ἀνδρῶν ῥίζαν μὲν ὀνομάζουσι τὸν Πατέρα, κλάδον τὸν Υἱὸν, καὶ καρπὸν τὸ Πνεῦμα τὸ ἅγιον, τὴν τοῦ ἁγίου Πνεύματος διὰ τοῦ Υἱοῦ παρὰ τοῦ Πατρὸς ὑποδεικνύοντες ὕπαρξιν. Ἀκούω δὲ καί τινος θεολήπτου καὶ θεοσόφου καθηγητοῦ περὶ τῆς ὑπερθέου Τριάδος οὑτωσὶ με διδάσκοντος· Τὴν μὲν ἀνωτάτω ῥίζαν, ἧς ἐπέκεινα τὸ σύμπαν οὐδὲν, ἐννοήσεις τὸν Πατέρα· τὸν δέ γε τῆς ἀνωτάτω ῥίζης ἐκπεφυκότα καὶ γεγεννημένον, παραδέξῃ τὸν Υἱὸν, οὐκ ἐν ἴσῃ τάξει τοῖς πεποιημένοις, τὴν ἐν χρόνῳ λαχόντα γέννησιν, οὔτε μὴν ἐν ἐλάττοσιν, ἢ ἐν οἷς ὁ Πατὴρ, τὸ τῆς ἰδίας φύσεως ἐκφαίνοντα κάλλος, ἀλλ' ἅμα τε καὶ συναΐδιον, πᾶν ὁτιοῦν ἰσόμετρον ἔχοντα, δίχα μόνου τοῦ τεκεῖν. Προσήκοι γὰρ ἂν τοῦτο μόνῳ τῷ Θεῷ καὶ Πατρὶ, ἅγιον δὲ Πνεῦμα προσερεῖς τὸ ἐκ τοῦ Θεοῦ Πατρὸς δι' Υἱοῦ προχεόμενον φυσικῶς, καὶ καθάπερ ἐκ τύπῳ τῆς ἐκ στομάτων διαπνοῆς τὴν ἰδίαν ἡμῖν ὑποσημαῖνον ὕπαρξιν. Οὕτω τε σαφῆ καὶ ἀσύγχυτον τὴν τῶν τριῶν ὑποστάσεων ἐν ἰδικαῖς ὑπάρξεσιν ἰδιότητα τηρῶν, μίαν τε, καὶ ὁμοούσιον τὴν ἁπάντων βασιλίδα προσκυνήσεις φύσιν. Τί τὸ προχεῖσθαι φυσικῶς; Αὐτὸ δὴ τὸ ἐκπορεύεσθαι τοῦ Πνεύματος, ὕπαρξις ἰδικὴ καὶ ἰδίωμα, καθὼς τοῦ Πατρὸς τὸ ἀνωτάτω εἶναι, καὶ οὗ ἐπέκεινα μηδὲν, τουτέστι τὸ ἄναρχον· καὶ τοῦ Υἱοῦ τὸ παρὰ τοῦ Πατρὸς γεγεννῆσθαι. Περὶ τούτων γὰρ ἡ σύμπασα ῥῆσις διέξεισι, τοὺς τῆς ὑπάρξεως τρόπους εἰλικρινῶς διορίζουσα τῶν μακαρίων τῆς θεότητος ὑποστάσεων.

ιϛ'. Ἀλλὰ τί χρὴ περὶ τῶν τοιούτων μακρηγορεῖν; Εἰ μὲν οὐδέπω σαφῶς οὐδεὶς τῶν ἁγίων ἐδίδαξε, τὸ δι' Υἱοῦ τὴν τοῦ Πνεύματος ἐκπόρευσιν εἶναι παρὰ Πατρὸς, οὐδ' ἡμεῖς ἀνάγκην ἔχομεν ὀρύσσειν φρέαρ καινόν. Εἰ δ' ἔκπαλαι τοῦτο τὸ φρέαρ ὠρώρυκτο, Φιλισταίου δὲ χεὶρ ἐνέφραξεν, ἢ συνέχωσεν, οὐκ ἀνακαθαριεῖ τις αὐτό ποτε, καὶ τὸν χοῦν ἐκφορήσας τὸν πολὺν τῆς ἀγνοίας, εὑρήσει τὸ ζῶν ὕδωρ, καὶ τῶν τῆς νομῆς προβάτων τὸ σύνταγμα διατμηθὲν οὐ καλῶς, εἰς μίαν πάλιν ποίμνην διὰ τοῦ κοινοῦ ποιμένος ἐπισυνάψει τῷ μονογενεῖ καὶ ἀγαπητῷ, ἔστιν οὗ καὶ τὴν αὐτοῦ δὴ τοῦ καλοῦ ποιμένος ἐκμιμησάμενος συγκατάβασιν; Φέρε δὴ μετὰ τῶν ἄλλων παίδων τοῦ Πατρὸς τοῦ κληρονόμου, καὶ χάριτι πατρὸς τῶν ἐθνῶν, καὶ τὸν μέγαν πάλιν ἐνταῦθα παραγάγωμεν Ἀθανάσιον, καὶ ἴδωμεν αὖθις ὅσον δὴ καὶ αὐτὸς τῇ τοῦδε φρέατος ἀνορυγῇ συνεβάλλετο. Τί γοῦν κατ' Εὐσεβίου τοῦ Σαμοσατέως, καὶ Μελετίου τῶν ἀλλοφύλων τῆς πίστεως ἠκροβόλισεν ὁ τοῦ Δεσπότου οἰκογενὴς, ὁ τῆς Ἐκκλησίας ὑπέρμαχος· Ἦν δὲ ἀδύνατον ἐν τῇ τῆς Τριάδος δόξῃ τὸ Πνεῦμα δοξάζεσθαι, μὴ προοδικῶς ὂν ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλὰ ποιητικῶς ἐκ Θεοῦ γεγονὸς, ὡς

rum divinarum speculator et venator acerrimus bina Patris viscera, et lumina, et flores, et germina a Deo prognatos Filium et Spiritum indigitat, minime confusas eorum hypostases commonstrans, et ex Patre habere utrumque, quod vere et proprie sit. Alii ex sanctis Patribus radicem nuncupant Patrem, ramum Filium, et fructum Spiritum sanctum, Spiritus sancti per Filium exsistentiam demonstrantes. Audio præterea quemdam numine afflatum, et divina doctrina imbutum præceptorem de divina Triade hæc ad amussim disserentem: *Supremam omnium radicem, ultra quam, quidquid est, nihil est, intelligite mihi Patrem, e suprema vero radice enatum, prognatumque accipito Filium, non eodem modo, ac cæteræ res creatæ, generationis temporariæ modum sortitum, neque in paucioribus, quam Pater propriæ naturæ pulchritudinem commonstrantem; sed universa coæterna, et æque atque Pater mensura possidentem, unum si excipias, parere; namque id soli Deo et Patri convenit: Spiritum autem sanctum dicito, qui ex Deo Patre per Filium effunditur naturaliter, et veluti, ut exemplo hoc utar, ex oris spiratione propriam exsistentiam indicantem. Sic planam et inconfusam trium hypostaseon in singularibus exsistensiis proprietatem conservans, unam et consubstantialem reginam omnium naturam adorabis.* Quid est effundi naturaliter? ipsa processio Spiritus, exsistentia singularis, et proprietas, quemadmodum Patris supremo loco esse, et ultra quem, nihil hoc est absque principio; et Filii a Patre esse genitum. De his enim allata supra verba agunt, exsistentiæ modos perspicue determinantia beatarum Deitatis hypostaseon.

16. Verumtamen quid opus est de his plura dicere? Siquidem si nullus ex sanctis plane nos Spiritus processionem per Filium ex Patre esse docuisset, neque nobis effodiendus puteus novus esset: sed si jam olim puteus hic effosus est, et Philistæi manus obturavit, atque opplevit, non eum aliquando quispiam expurgaverit, immanisque ignorantiæ luto egesto, vivam aquam invenerit, et ovium, quæ pascuo huic destinatæ sunt, agmen, malisque artibus divisum in unum rursus gregem per communem pastorem unigenito, et dilecto in nonnullis ejusdem boni pastoris demissionem imitatus conjunxerit? Age igitur cum aliis filiis Patris et hæredis, et gratia patris gentium, magnum huc adducamus Athanasium, rursumque contemplemur, quæ ipse in hujusce putei effossione præstiterit. Quid itaque adversus Samosatenum Eusebium, et Meletium a fide alienos, Domini verna et Ecclesiæ defensor ejaculavit? *Fieri minime poterat, ut in Triadis gloria Spiritus glorificaretur, nisi ille proflueret ex Deo per Filium, sed ut reliquæ creaturæ ex Deo factus fuisset, ut asserunt.* Quid sit *proflueret.* Oratione de dogmatibus et ordine episco-

OCR ABK / FR

porum, qui theologi cognomen habet, paucis interpretatus est: *Si tu*, dicens, *curiose inquiris Filii generationem, et Spiritus effluxum, et ego quidem a te inquiro animæ et corporis mistionem.* Et rursus: *Ne curiose nimis Spiritus effluxum perquirito.* Secunda Oratione de pace: *Sed ibi relinques pulchrum fetum, et admirabilem effluxum.* Item: *Ipsi vero unam ac eamdem noscere naturam Deitatis, quæ absque principio, generatione et effluxu cognoscitur.* Quam itaque rationem in Patre, sine principio, et in Filio, genitum, eamdem habet in Spiritu, effluere, quod idem est, ac procedere.

17. Aliquando etiam ipse aliquos hunc in modum disserentes audivi: Si est per Filium Spiritus, quomodo in rebus theologicis pertractandis celeberrimus Gregorius dixit: *Volo Patrem majorem dicere, ex quo, ut æquales sint, æquales habent, et sunt. Hoc enim ab omnibus concedetur, vereorque ne principium, inferiorum principium faciam, et prælatione injuria afficiam?* Si Verbum, et Spiritus sanctus æqualia sunt, æqualem utique habebunt et exsistentiam, cum eam uterque habeat æqualiter a Patre. Hæc sunt recentiorum dubia, nullam scilicet æqualitatem cum unigenito Spiritum habiturum, si per ipsum procederet: et tamen ab eadem Patris sententia, quæ in ipsa objectione assumitur, facilis sese offert solutio. *Vereor enim*, ait, *ne principium, inferiorum principium faciam*; vult itaque magnus hic diviniloquus Pater principium æquale esse cum iis qui ab eodem emanant, cum in nullo principium ab æqualitate illa vulneretur, quæ eumdem honorem eamdemque naturam constabilit, quemadmodum idem magister secunda oratione de pace plenissime asseverat, *Trias*, dicens, *verissime Trias est, o fratres, Trias non inæqualium rerum enumeratio, sed æqualium, et æque honoratarum comprehensio.* Quemadmodum itaque trium æqualitas non violat unius principium, sic et eorum qui ex principio sunt, æqualitas non tollit Spiritum per Filium ex Patre procedere. Hæc ergo æqualitas in Triade ante omnia servanda est, longeque mittenda confusio, ut excessus, et ut defectus inæqualitas, hoc est alienatio. Quid enim opus est Deum, aut insulse contrahere, aut inæqualitate concidere? rursumque non est contrahenda Deitas, aut impie dissolvenda, aut inæqualibus, vel naturæ, vel magnitudinis disjunctionibus discindenda. Sed si, inquiunt, per Filium Spiritus dicetur, Filius quoque Deum generaret, quæ Patris proprietas est. Compartietur ergo Filius cum Patre hanc proprietatem. Et Deipara facultate spoliatus Spiritus sanctus, an non de magno deitatis gradu decidet, si una cum facultate, essentia quoque privari necesse sit? Etenim si quod ejusdem est essentiæ, ejusdem etiam potentiæ est, quod ejusdem potentiæ non est, neque ejusdem essentiæ erit.

A λέγουσι. Τί τὸ προοδικῶς ἐν τῷ περὶ δογμάτων καὶ καταστάσεως ἐπισκόπων ὁ τῆς Θεολογίας ἐπώνυμος συντόμως ἡρμήνευσεν· Εἰ πολυπραγμονεῖς, εἰπὼν, Υἱοῦ γέννησιν καὶ Πνεύματος πρόοδον, κἀγώ σου πολυπραγμονῶ τὸ κρᾶμα ψυχῆς τε καὶ σώματος. Καὶ πάλιν, Μηδὲ Πνεύματος περιεργάζου τὴν πρόοδον. Ἐν δευτέρῳ δὲ τῶν Εἰρηνικῶν· Ἀλλ' ἐκεῖσε ἀνοίσεις τὸ καλὸν γέννημα, καὶ τὴν θαυμασίαν πρόοδον. Καὶ πάλιν· Αὐτοὶ δὲ μίαν καὶ τὴν αὐτὴν εἰδέναι φύσιν θεότητος ἀνάρχῳ καὶ γεννήσει καὶ προόδῳ γνωριζομένην. Ὃν οὖν ἔχει λόγον ἐπὶ τοῦ Πατρὸς τὸ ἀνάρχως, ἐπί τε τοῦ Υἱοῦ τὸ γεννητῶς, τὸν αὐτὸν ἐπὶ τοῦ Πνεύματος τὸ προοδικῶς, ταυτὸν δ' εἰπεῖν ἐκπορευτικῶς.

ιζ'. Ἐγὼ δ' ἀκήκοά ποτε καὶ οὕτω διαπορούντων τινῶν. Εἰ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, πῶς ὁ θεολογι-
B κώτατος Γρηγόριος εἴρηκε, Θέλω τὸν Πατέρα μείζω εἰπεῖν, ἐξ οὗ καὶ τὸ ἴσοις εἶναι τοῖς ἴσοις ἐστὶ, καὶ τὸ εἶναι. Τοῦτο γὰρ παρὰ πάντων δοθήσεται, καὶ δέδοικα τὴν ἀρχὴν, μὴ ἐλαττόνων ἀρχὴν ποιήσω, καὶ καθυβρίσω διὰ τῆς προτιμήσεως. Εἰ Λόγος καὶ Πνεῦμα ἅγιον ἴσα, ἴσην ἂν ἔχοιεν καὶ τὴν ὕπαρξιν, ἔχοντα καὶ ἄμφω ταύτην ὡσαύτως παρὰ Πατρός. Ταῦτα τῶν καινοτέρων ἀπορημάτων, ὡς οὐκ ἂν πρὸς τὸν Μονογενῆ τὴν ἰσότητα τοῦ Πνεύματος ἔχοντος, εἰ δι' αὐτοῦ ἐκπορεύοιτο· καὶ μὴν καὶ ἀπ' αὐτῆς τῆς ἐν τῇ ἐνστάσει παρειλημμένης ῥήσεως Πατρικῆς ἡ λύσις προφαίνεται. Δέδοικα γὰρ, φησὶ, τὴν ἀρχὴν μὴ ἐλαττόνων ἀρχὴν ποιήσω· ὥστε θέλει καὶ τὴν ἀρχὴν ὁ μέγας θεηγόρος ἴσην εἶναι τοῖς ἐξ αὐτῆς, μηδὲν τὸ
C ἀρχικὸν παραβλαπτομένην ἐκ τῆς ἰσότητος, ἥτις ὁμοτιμίαν δείκνυσι, καὶ ταυτότητα φύσεως, καθὼς ὁ αὐτὸς πάλιν διδάσκαλος ἐν δευτέρῳ τῶν Εἰρηνικῶν διαγορεύει σαφέστατα, Τριὰς, λέγων, ὡς ἀληθῶς ἡ Τριὰς, ἀδελφοὶ, Τριὰς δὲ οὐκ ἀνίσων πραγμάτων ἀπαρίθμησις, ἀλλ' ἴσων καὶ ὁμοτίμων σύλληψις. Ὥσπερ οὖν ἡ τῶν τριῶν ἰσότης οὐκ ἀφαιρεῖται τοῦ ἑνὸς τὴν ἀρχὴν, οὕτω καὶ ἡ τῶν ἐκ τῆς ἀρχῆς ἰσότης, οὐκ ἐστὶν ἀναιρετικὴ τοῦ, τὸ Πνεῦμα δι' Υἱοῦ παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι. Ταύτην μὲν οὖν ἐν τῇ Τριάδι τηρεῖν τὴν ἰσότητα, τῶν ἀναγκαιοτάτων ἐστὶν, ἀποπεμπτέον δὲ πόῤῥω τὴν σύγχυσιν ὡς ὑπερβολὴν, ὡς ἔλλειψίν τε τὴν ἀνισότητα, τουτέστι τὴν ἀλλοτρίωσιν. Τί γὰρ δεῖ Θεὸν ἢ συναλείφειν κακῶς, ἢ κατατέμνειν εἰς ἀνισότητα; καὶ πάλιν, ἢ συστέλ-
D λειν θεότητα καὶ ἀναλύειν ἀθέως, ἢ κατατέμνειν ἀνίσοις ἀλλοτριότησιν ἢ μεγέθους ἢ φύσεως. Ἀλλ' εἴπερ φασὶ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα λεχθείη, θεογόνος ἂν εἴη καὶ ὁ Υἱός· τοῦτο δὲ τοῦ Πατρὸς ἰδίωμα. Συμμερίσεται ἄρα ὁ Υἱὸς τῷ Πατρὶ τὸ τοιοῦτον ἰδίωμα. Τῆς δὲ θεογόνου δυνάμεως μόνον ἔρημον τὸ Πνεῦμα τὸ ἅγιον, οὐ κινδυνεύσει μεγάλῳ βαθμῷ τῆς θεότητος ἐκπεσεῖν, εἴ γε τῇ δυνάμει καὶ τὴν οὐσίαν ἀνάγκη συνυφαιρεῖσθαι; Εἰ γὰρ τὸ ὁμοούσιον, ὁμοδύναμον, τὸ μὴ ὁμοδύναμον οὐδ' ὁμοούσιον.

OCR ABK / FR

ιη'. Βαβαὶ, πόσον ἐμοὶ φέρει τὰ εἰρημένα τὸ δύσληπτον. Εἰ γὰρ ὁ Πατὴρ γεννᾷ τὸν Υἱὸν μὴ ἔκ τινος τοῦτο λαβὼν, οὐδὲ ὁ Υἱὸς ἔχει τὸ Πνεῦμα λαβὼν αὐτὸ φυσικῶς παρὰ τοῦ Πατρὸς, οὐ γεννώμενον, ἀλλ' ἐκπορευόμενον δι' αὐτοῦ παρὰ τοῦ Πατρὸς, οὐκ οἶδα ποῖον ἐντεῦθεν ἰδίωμα πατρικὸν ἕξειν φάσκουσιν τὸν Υἱόν. Πῶς δὲ καὶ Θεογόνον τὸν Πατέρα κατονομάζουσιν; Εἰ μὲν ὅτι Θεὸν γεννᾷ τὸν Υἱὸν, ἀληθῶς τοῦτο τῆς Πατρικῆς ἐξαίρετον ὑποστάσεως, ὁ δὲ Υἱὸς οὐ Θεογόνος, Υἱὸν μὴ γεννῶν. Εἰ δὲ τὸ γεννᾷν καὶ προβάλλειν καὶ ἄμφω συνάγοντες εἰς ταυτὸν, Θεογόνον οὕτω τὸν Πατέρα φασὶν, ἰδοὺ Θεοῦ γόνος καὶ τὸ Πνεῦμα, καὶ πῶς μονογενὴς Υἱός; Εἰ δ' ἀπαρακαλύπτως τὸ προβάλλειν εἰσάγοντες ὡς ἰδίωμα Πατρικὸν, ἐντεῦθεν κατασκευάζουσι τὸ μὴ δι' Υἱοῦ πεφηνέναι τὸ Πνεῦμα παρὰ Πατρὸς, ἐκ τοῦ ἐν ἀρχῇ ἐκχεῖσθαι σοφίζονται. Τὸ γὰρ ἐκ Πατρὸς μὴ δι' Υἱοῦ τὸ Πνεῦμα καὶ τὸ ἰδίωμα εἶναι Πατρικὸν τὸ προβλητικὸν, ἄντικρυς ταυτόν. Ποία δὲ Γραφὴ τὸ τοιοῦτον ἰδίωμα παραδίδωσιν; ἔπειτα πῶς τὸ προσὸν τῷ Πατρὶ καθάπερ ἀρχῇ προβλητικὸν συμμερισθήσεται τῷ Υἱῷ ἐκ τοῦ δι' αὐτοῦ εἶναι τὸ Πνεῦμα παρὰ Πατρός; Εἰ μὲν γὰρ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγει τις ὡς ἐκ πρώτης ἀρχῆς, ἔσται δὴ καὶ ὁ Υἱὸς κατὰ τὸ ἀρχικὸν κοινωνὸς τῷ Πατρί. Καὶ πῶς Υἱός; ἀνακόλουθον τοῦτο καὶ ἄτοπον. Εἰ δὲ καὶ αὐτὴ τοῦ Πνεύματος ἡ ἐκπόρευσις ἐκ τοῦ Πατρὸς διαῤῥήδην κηρύττεται, καθὼς καὶ πάντα ὅσα ἔχει ὁ Υἱὸς, προδήλως σκιαμαχοῦσιν οἱ ἀντιτείνοντες· ἐν δέ γε τοῖς ἐπενηνεγμένοις προσλαβώμεθα καὶ τὸν Υἱὸν ἡμεῖς, καὶ ἀντεπενέγκωμεν τῆς θεογόνου δυνάμεως ἔρημον ὂν τὸ Πνεῦμα τὸ ἅγιον, ἔρημος ὢν καὶ ὁ Υἱὸς, οὐ κινδυνεύσουσι κατ' αὐτοὺς τῆς θεότητος ἐκπεσεῖν;

18. Papæ, quam mihi comprehensu difficilia sunt, quæ dicuntur! Etenim si Pater generat Filium, a nullo id accipiens, et Filius habet Spiritum, eum a Patre naturaliter accipiens, non genitum, sed per eumdem procedentem ex Patre: prorsus non capio, quamnam paternam proprietatem habiturum autumant Filium. Et quomodo Dei genitorem Patrem indigitant? Si quod Deum generat Filium, vere hoc est paternæ hypostaseos præcipuum, at Filius non Deum generans est, cum Filium non generet. Si vero generare, et producere, et utraque in unum colligantes, hac ratione Deum generantem Patrem appellant, ecce et Dei fetus est Spiritus; et quanam ratione unigenitus Filius erit? Si item producere aperte insinuantes, tanquam proprietatem paternam, inde comprobant, non per Filium apparuisse Spiritum ex Patre, ex eo quod in principio effundatur, subdole argutantur. Namque ex Patre non per Filium Spiritum, et proprietatem esse paternam vim producendi plane idem est: quænam autem Scriptura talem proprietatem tradit? Deinde quomodo, quæ inest Patri veluti principio facultas effundendi, dispartietur cum Filio, propterea quod per ipsum est Spiritus ex Patre? Siquidem si quis ex Filio Spiritum, ut ex primo principio asserat, communicabit utique Filius Patri, secundum quod ille principium est, et tum quomodo erit Filius? sed consequens id absurdum est, nec convenit. Quod si et ipsa Spiritus processio ex Patre palam edicitur, quemadmodum et omnia quæ habet Filius, manifesto adversarii inaniter cum umbra depugnant. Verumtamen in adductis nos Filium assumimus, et objicimus, facultate Deipara cum Spiritus sanctus caret, careatque et ipse Filius, annon secundum ipsos de deitate dejici periclitabuntur?

ιθ'. Ἐγὼ δὲ θαυμάζω καὶ τὴν αὐτῶν σὺν ἀντιθέσει ἀντιστροφὴν, δι' ἧς μὴ εἶναι κατασκευάζουσι τῷ Πατρὶ τὸν Υἱὸν ὁμοούσιον. Εἰ γὰρ τὸ μὲν ὁμοούσιον ὁμοδύναμον, τὸ δὲ μὴ ὁμοδύναμον μηδ' ὁμοούσιον, ἢ ὁ Υἱὸς ὁμοούσιος τῷ Πατρὶ, καὶ διὰ τοῦτο καὶ ὁμοδύναμος, ἣν ὑπέθεντο δύναμιν, καὶ γεννήσει πάντως Υἱὸν, ἢ οὐχ ὁμοδύναμος τὴν τοιαύτην γεννητικὴν δύναμιν, καὶ κατ' αὐτοὺς, οὐδ' ὁμοούσιος τῷ Πατρί. Καὶ πῶς, φασὶν, εἰ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ὁ Καισαρείας Λεόντιος ἔλεγε κατὰ Νίκαιαν, ὡς ἐκ τῆς ὅλης συνόδου πρὸς τὸν Φιλόσοφον· Δέχου μίαν θεότητα τοῦ Πατρὸς τοῦ γεννήσαντος τὸν Υἱὸν ἀνεκφράστως, καὶ τοῦ Υἱοῦ τοῦ γεγεννημένου ἐξ αὐτοῦ, καὶ τοῦ ἁγίου Πνεύματος τοῦ ἐκπορευομένου ἐξ αὐτοῦ τοῦ Πατρὸς, ἰδίου δὲ ὄντος τοῦ Υἱοῦ; Πῶς δὲ καὶ αὐτὸς ὁ Κύριος ἐν Εὐαγγελίοις φησὶ, τὸ Πνεῦμα τὸ ἅγιον παρὰ τοῦ Πατρὸς ἐκπορεύεσθαι, μὴ προστιθεὶς τὸ, διὰ τοῦ Υἱοῦ; Πρὸς ταῦθ' ἡμεῖς οὕτως ἀνθυποφερόμεν. Διὰ τί τὸ Πνεῦμα τὸ ἅγιον, ἴδιον εἶπεν ὁ Λεόντιος τοῦ Υἱοῦ, μὴ μέντοι καὶ τὸν Υἱὸν ἴδιον εἶναι τοῦ Πνεύματος, εἰ μὴ τὸν μὲν ᾔδει ἀμέσως ἐκ τοῦ Πατρὸς, τὸ δὲ διὰ τοῦ Υἱοῦ ἐξ αὐτοῦ τοῦ Πατρός; Εἰ

19. Ego porro admiror eorumdem cum oppositione conversionem, per quam Filium non ejusdem esse cum Patre naturæ astruunt. Etenim si id quod ejusdem essentiæ est, ejusdem facultatis est, et quod non est ejusdem facultatis, neque ejusdem essentiæ est, aut Filius ejusdem cum Patre essentiæ, ideoque et ejusdem facultatis, quam ipsi supponunt, omnino generabit Filium; aut non est ejusdem facultatis, generativæ scilicet, et secundum eosdem non erit ejusdem cum Patre essentiæ. Et quomodo, inquiunt, si per Filium est Spiritus sanctus, Leontius Cæsariensis nomine Nicænæ synodi ad philosophum respondet: *Accipe unam Deitatem Patris, qui genuit Filium ineffabiliter et Filii ex eo geniti, et Spiritus sancti ex eodem Patre procedentis, qui et proprius est Filii?* Quomodo etiam et ipse Dominus in Evangelio dicit, Spiritum sanctum a Patre procedere, non addito, per Filium? His nos ita objicimus: Quare Spiritum sanctum proprium dixit Leontius Filii, non item et Filium proprium esse Spiritus, nisi quod agnosceret hunc quidem immediate ex Patre, Spiritum vero per Filium ex eodem Patre? Et si



OCR ABK/FR

placuerit, assumatur illud, *solo*, loco illius, *eodem*, ut objectio ipsorum magis ac magis urgeat, dicaturque, Spiritum sanctum, qui ex Patre solo procedit. Qui præterea? Cum dicit divinus Athanasius, oratione prima *contra Arianos*, Patrem solum Spiritum sanctum suppeditare, annon dabimus Filio ejusdem Spiritus sancti suppeditationem? Aut cum dicit Dominus, de die illo, aut hora neminem scire, neque angelos cœlorum, nisi suum Patrem solum, an similem cognitionem Filio denegabimus? vel cum ad Patrem dicit: *Hæc est vita æterna, ut cognoscant te solum verum Deum, et quem misisti, Jesum Christum*, annon asseremus Deum verum Christum? annon asseremus Deum verum Spiritum sanctum? Sed quemadmodum cum Pater scire solus dicitur, omnis alia cognitio, mortalium nempe, cessat: et cum solus verus Deus comprobatur, omnis externus Deus amandatur: ita et cum a solo Patre Spiritus sanctus emanare dicetur, omne alienæ essentiæ principium longe fugabitur. *Solum* etenim inter Deitatis hypostases divisionem necessario non infert, ut ipse rursus divinissimus Athanasius in congressu cum Ario commonstrat. Sic itaque nec dictio *in eodem*: discernit enim potius illa, quam dividit.

20. Et si placet una simul comprehendantur, et *solo*, et *eodem*; quis dummodo compos animi sit, non fatebitur ex eodem solo Deo et Patre Spiritum sanctum, tanquam ex primo principio procedere? et quæcumque habet Filius, ex Patre ea habere? Ipse vero hinc vereor, ne quis et meram impotentiam divinæ potentiæ, et vitæ privationem vitæ, quæ per seipsam vita est, et per se subsistentis Verbi irrationabilitatem attribuat, hæc eadem sibi tribuere Dominum contendens: *Non possum*, dicentem, *facere ex me ipso quidquam*; et: *Per Patrem vivo*; et, *Verbum quod auditis, non est meum, sed ejus, qui misit me, Patris.* Hæc Domino enuntiante propter Patris honorem, et ad primam causam respectum, et ne videatur Deo adversari, et alia auctoritate sermones serere: *Verbum, ait, quod auditis, non est meum, sed ejus, qui misit me, Patris.*

21. Ambigit nescio quis, ex iis etiam qui pleno pectore sapiunt, quam ob causam a Patre dixit Spiritum veritatis procedere, non addens illud, *per me*, cum tamen *Spiritum veritatis* dicens, proprium sui esse Spiritum sanctum confessus sit: *Ego enim*, inquit, *sum veritas*. De proprio, autem verbo quid? non dicit, Verbum meum a Patre est, sed *Verbum, quod auditis, non est meum, sed ejus, qui misit me, Patris.* Quid igitur fuisset si Dominus dixisset, Spiritus sanctus non est meus, neque procedit per me? Et tamen candidas prudentesque aures, neque hic sermo vulnerasset, propter eas causas, quas adduximus.

βουλητὸν δὲ τὸ μόνου παρειλήφθω ἀντὶ τοῦ αὐτοῦ, ὡς ἂν ἡ ἔνστασις ἐπὶ πλέον ἔχῃ τὸ βίαιον, καὶ εἰρήσθω τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς μόνου ἐκπορευόμενον. Τί γοῦν ὅτε φησὶν ὁ τὰ θεῖα πολὺς Ἀθανάσιος ἐν τῷ κατὰ Ἀρειανῶν πρώτῳ, τὸν Πατέρα μόνον εἶναι τοῦ ἁγίου Πνεύματος χορηγὸν, οὐ δώσομεν τῷ Υἱῷ τὸ εἶναι χορηγῷ τοῦ αὐτοῦ Πνεύματος; Ἢ ὅταν λέγῃ ὁ Κύριος περὶ τῆς ἡμέρας ἐκείνης, ἢ τῆς ὥρας μηδένα εἰδέναι, μηδὲ τοὺς ἀγγέλους τῶν οὐρανῶν, εἰ μὴ τὸν αὐτοῦ Πατέρα μόνον, οὐ δώσομεν καὶ τῷ Υἱῷ ταύτην τὴν εἴδησιν; ἢ ὅτε πρὸς τὸν πατέρα φησίν, Αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστὸν, οὐκ ἐροῦμεν Θεὸν ἀληθινὸν τὸν Χριστόν; οὐκ ἐροῦμεν Θεὸν ἀληθινὸν τὸ Πνεῦμα τὸ ἅγιον; Ἀλλ' ὥσπερ ὅταν ὁ Πατὴρ εἰδέναι λέγηται μόνος, πᾶσά τις ἑτέρα γνῶσις, τουτέστι τῶν γηγενῶν ἐξαργεῖ. Καὶ ὅταν μόνος ἀληθινὸς μαρτυρῆται Θεὸς, πᾶς τις ἑτεροφυὴς Θεὸς ἀποπέμπεται, τὸν αὐτὸν τρόπον, καὶ ὅτε παρὰ μόνου τοῦ Πατρὸς λεχθείη τὸ Πνεῦμα προέρχεσθαι, πᾶσά τις ἑτερουσίως ἀρχὴ πόῤῥω φεύξεται. Τὸ γὰρ μόνον, οὐκ ἐξ ἀνάγκης ποιεῖται διαίρεσιν τῶν τῆς θεότητος ὑποστάσεων, ὡς αὐτὸς πάλιν ὁ θειότατος Ἀθανάσιος ἐν Διαλέξει τῇ πρὸς Ἄρειον ἀποδείκνυσιν. Οὕτως οὖν οὐδὲ τὸ αὐτοῦ· διακριτικὸν γὰρ μᾶλλον τοῦτό ἐστιν, ἢ διαιρετικόν.

κʹ. Εἰ δοκεῖ δὲ συμπαρειλήφθω καὶ τὸ, μόνου, καὶ τὸ, αὐτοῦ· τίς οὐχ ὁμολογεῖ τῶν φρονούντων ὀρθῶς, ἐξ αὐτοῦ μόνου τοῦ Θεοῦ καὶ Πατρὸς τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἐκ πρώτης ἀρχῆς ἐκπορεύεσθαι; καὶ πάντα ὅσα ἔχει ὁ Υἱὸς, ἐκ τοῦ Πατρὸς ταῦτ' ἔχειν αὐτόν; Ἐγὼ δὲ τὸ λοιπὸν δέδοικα, μή τις καὶ τελείαν ἀδυναμίαν τῆς τοῦ Θεοῦ δυνάμεως, καὶ ζωῆς ἐρημίαν τῆς αὐτοζωῆς, καὶ ἀλογίαν τοῦ ἐνυποστάτου Λόγου καταψηφίσαιτο, προσμαρτυρεῖν τὸν Κύριον ἑαυτῷ ταῦτα διατεινόμενος, Οὐ δύναμαι, λέγοντα, ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· καὶ, Διὰ τὸν Πατέρα ζῶ· καὶ, Ὁ Λόγος, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με Πατρός· τοῦ Κυρίου λέγοντος διὰ τὴν τοῦ Πατρὸς τιμὴν, καὶ τὴν εἰς τὸ πρῶτον αἴτιον ἀναφορὰν, διά τε τὸ μὴ δοκεῖν εἶναι ἀντίθεος, καὶ ὡς ἀπ' ἄλλης τινὸς ἐξουσίας ποιεῖσθαι τοὺς λόγους, ὅτι Ὁ Λόγος, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με Πατρός.

καʹ. Ἀμφιβάλλει τις ὅλως τῶν νοῦν ἐχόντων. Τί δήποτε παρὰ τοῦ Πατρὸς εἴρηκεν ἐκπορεύεσθαι τὸ Πνεῦμα τῆς ἀληθείας, τὸ δι' ἐμοῦ μὴ προσθεὶς, καίτοιγε τὸ Πνεῦμα τῆς ἀληθείας, εἰπὼν, ἑαυτοῦ μεμαρτύρηκεν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον. Ἐγὼ γάρ εἰμι, φησὶν, ἡ ἀλήθεια. Περὶ δὲ τοῦ οἰκείου λόγου τί φησιν; οὐχ ὅτι Ὁ Λόγος ὁ ἐμὸς παρὰ τοῦ Πατρός ἐστιν, ἀλλ' ὅτι Ὁ λόγος, ὃν ἀκούετε, οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με Πατρός. Τί ἂν οὖν ἐγεγόνει λοιπὸν, εἴ πως εἰρήκει ὁ Κύριος, ὅτι Τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἔστιν ἐμὸν, ἢ οὐκ ἐκπορεύεται δι' ἐμοῦ; Καίτοιγε τὴν εὐγνώμονα καὶ συνετὴν ἀκοὴν οὐδ' οὗτος ἂν ὁ λόγος παρέβλαψε, δι' ἃς αἰτίας ἀποδεδώκαμεν.

OCR ABK / FR

κβ'. Πῶς δ' ἐπιβάλλουσιν εὐστοχώτατα, καὶ τῷ A Πᾶσαν δόσιν ἀγαθὴν, καὶ πᾶν δώρημα τέλειον, ἄνωθεν εἶναι παρὰ τοῦ τῶν φώτων Πατρός; Φῶτα λέγουσιν ἐνταυθοῖ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα, Πατέρα δὲ αὐτῶν τὸν Θεὸν μὴ συνιέντες, ὡς εἰ Πατὴρ τοῦ Πνεύματος ὁ Θεὸς, ἐξ ἀνάγκης τὸ Πνεῦμα Υἱός. Ὁ Πατὴρ γὰρ κυρίως Υἱοῦ Πατήρ. Καὶ πῶς ὁ Λόγος μονογενὴς, εἰ καὶ τὸ Πνεῦμα Υἱός; Ἀλλ' ὥσπερ Πατὴρ τῶν οἰκτιρμῶν ὁ Θεὸς, ὡς αἴτιος καὶ δοτὴρ οἰκτιρμῶν, οὕτω καὶ Πατὴρ τῶν φώτων ἐστί τε καὶ ὀνομάζεται. Φῶτα δὲ πάντες οἱ ἐκ Θεοῦ φωτισμοὶ, πᾶσαι αἱ ἐλλάμψεις, πάντα τὰ οὐράνια χαρίσματα, καὶ λαμπρὰ ταῦτα, καὶ δόσεις εἰσὶν ἀγαθαὶ, καὶ δωρήματα τέλεια, πάντων δὲ τούτων γενέτης καὶ παροχεὺς ὁ Θεὸς, οὐκ ἀνθρώποις μόνον, ἀλλὰ καὶ ταῖς ὑπερκοσμίοις ἁπάσαις δυνάμεσι. Χρὴ τοίνυν B ἀπανταχοῦ τῆς Γραφῆς προσφυῆ τῷ ῥητῷ τὴν διάνοιαν ἐκζητεῖν, καὶ συνηρτημένην ἑαυτῇ καὶ συνᾴδουσαν, καὶ τὸ αἴτιον ὄντως αἴτιον ἁρμοδιώτατον, καὶ μὴ πρὸς ἀνοδίας καὶ κρημνοὺς ἐκτοπίζεσθαι, τὴν εὐθεῖαν ἐῶντας καὶ ἀπλανῆ.

κγ'. Ἀλλὰ καὶ τὸ τελευταῖον αὐτῶν καὶ δυσάντητον, τόδε· Πῶς εἰ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμά ἐστιν, ὁ σοφὸς Ἰωάννης φησὶν, Ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα μὴ λέγεσθαι, καὶ ὅτι μόνος αἴτιος ὁ Πατήρ; Εἰς ταυτὸ γὰρ συνάγουσιν, ὡς ἔοικε, τὸ ἐκ τοῦ Υἱοῦ, καὶ τὸ, δι' Υἱοῦ. Ὅτι μὲν οὖν ὁ αὐτὸς, εἰ καὶ ἐκ τοῦ Πατρὸς οἶδε τὸ Πνεῦμα, πλὴν ἀλλὰ δι' Υἱοῦ, δῆλον ἐξ ὧν ἐν ἄλλοις φησὶν αὐτὸ Πνεῦμα Υἱοῦ, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ' ὡς δι' αὐτοῦ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, ἐξ ὧν τε πρὸς Κύριον ἐν ὕμνοις βοᾷ, Ἵλεων νέμοις ἡμῖν Πνεῦμα μεταδοτικὸν ἀγαθό- C τητος, ἐκ Πατρὸς διὰ σοῦ προερχόμενον. Λέγομεν δὲ καὶ ἡμεῖς· ὡς οὐκ ἂν ἐκ τοῦ Υἱοῦ προηγουμένως λεχθείη τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἐκ τοῦ Πατρὸς διὰ τοῦ Υἱοῦ· χρεὼν γὰρ ὁμολογεῖσθαι τὴν Πατρικὴν ὑπόστασιν, ἀρχὴν καὶ αἰτίαν καὶ τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος αὐτοῦ. Μόνος γὰρ αἴτιος ὁ Πατὴρ, καὶ οὐκ ἂν εἴη αἴτιον ἀρχικὸν ὁ Υἱὸς, ὧν αὐτοαίτιος ὁ Πατήρ. Μίαν γὰρ ἀρχὴν τὸν Πατέρα τὸν ἄναρχον δογματίζομεν καὶ κτίσεως καὶ θεότητος, τῆς κτίσεως ποιητικὴν, φυσικὴν τῆς θεότητος. Ὁ μὲν οὖν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγων, ὑποψίαν παρέχει τοῦ, τὸν Υἱὸν δογματίζειν ἔχοντα τὸ προβλητικὸν, ὡς ὁ Πατὴρ τὸ γεννητικόν. Καὶ διὰ τοῦτό φησιν ὁ θεῖος οὗτος ἀνὴρ, ὅτι Ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα οὐ λέγομεν. Ὁ δὲ λέγων ἐκ τοῦ Πατρὸς D τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ, προδήλως ὁμολογεῖ, τὸν Πατέρα μόνον αἴτιον εἶναι τῆς τοῦ Πνεύματος ἐκπορεύσεως. Πάντα γὰρ ὅσα ἔχει ὁ Υἱὸς, οὕτως ἔχει λαβὼν αὐτὰ παρὰ τοῦ Πατρὸς, οὐσιωδῶς δηλονότι, καὶ φυσικῶς, ὡς κυρίως Υἱὸς ἐκ κυρίως Πατρός.

κδ'. Εἰ δὲ καὶ τῷ ἱερῷ Συμβόλῳ τῆς πίστεως οὐκ ἐμπεριείληπται τὸ δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἐκπορεύεσθαι, θαυμάζειν οὐ χρή. Καὶ ἕτερα γὰρ τῶν ἀναγκαίων οὐ περιέχει τὸ Σύμβολον, καὶ τὸ δὴ ἀναγκαιότατον, ὅτι τὸ ἅγιον Πνεῦμα

22. Quomodo etiam recte illud conjiciunt: *Omne datum bonum, et omne donum perfectum desuper est ex Patre luminum?* Lumina hic vocant Filium, et Spiritum, Patrem vero eorum Deum; nec capiunt, quod si Deus Spiritus Pater est, necessario Spiritus esset Filius, Pater enim proprie Filii pater: et quomodo Verbum unigenitum, si Spiritus etiam Filius est? Sed quemadmodum Pater miserationum Deus est, veluti causa miserationum, et dator, sic et Pater luminum est, et dicitur: Lumina vero universæ illuminationes ex Deo, universæ illustrationes, universa cœlestia munera, et præclara quæque, data sunt bona, et dona perfecta; eorumque omnium genitor, et elargitor Deus non hominibus tantum, sed supermundanis omnibus virtutibus. Sententia itaque locis in omnibus sacræ Scripturæ dicto consona; et sibimetipsi cohærens, respondensque, et causa vere causa, familiarissimaque quærenda est, dedecetque rectam viam inerrantemque deserentes ad prærupta, confragosaque nosmetipsos conjicere.

23. Postremum eorumdem, ac plane difficile argumentum est: Quomodo si per Filium Spiritus sanctus est, sapiens Joannes inquit: *Ex Filio Spiritum non dici, et Patrem solum causam esse.* Idem enim reutur, ut apparet, ex Filio, et per Filium. Joannem itaque licet ex Patre Spiritum dicat, nihilominus per Filium agnovisse, ex illis quæ aliis in locis dicit, manifesto colligimus. Namque Spiritum ait Filii non tanquam ex ipso, sed tanquam per ipsum ex Patre procedentem; tum ex illis, quibus ad Dominum in hymnis clamat: *Propitium exhibeas nobis Spiritum, qui bonitatem elargitur, ex Patre per te procedentem.* Nos quoque asserimus nunquam ex Filio antecedenter dici posse Spiritum sanctum, sed ex Patre per Filium; namque asserenda est Paterna hypostasis principium et causa et Filii et ipsius Spiritus. Solus enim Pater causa est, Filiusque nunquam dicetur prima causa eorum quorum ipsa causa Pater est. Unum enim principium Patrem, qui sine principio est, decernimus, et creaturæ, et divinitatis, effectivum creaturæ, divinitatis naturale. Qui itaque ex Filio Spiritum astruit, suspicionem injicit, ne Filium asserat vim producendi in se habere, quemadmodum habet Pater vim generandi. Proptereaque divinus hic vir ait: *Ex Filio Spiritum non dicimus.* Qui vero dicit Spiritum ex Patre per Filium, palam fatetur Patrem solum causam esse processionis Spiritus. Quæcunque enim habet Filius, ita habet ut accipiens ea a Patre, essentialiter scilicet, et naturaliter, tanquam proprie Filius ex proprie Patre.

24. Etiamsi vero in sacro Symbolo fidei non comprehendatur per Filium Spiritum sanctum a Patre procedere, non est, cur admiremur. Nam et alia ex necessariis Symbolum non continet, et id quod maxime omnium necessarium est, Spiritum

OCR ABK / FR

scilicet sanctum Deum esse, ejusdem cum Patre et Filio essentiæ. Propter quid enim Filium asseverat Dei Filium, et ante sæcula omnia genitum ex Patre, neque hoc solum, sed Deum rursus verum, et Patri consubstantialem, et de Spiritu sancto nihil tale prosequitur; sed postea cum de illius essentia et divinitate multi fuissent agitati sermones, tum Dominum ipsum vocat, et cum Patre, et Filio simul adorari, et conglorificari declarat. Annon exinde jam manifeste confitebimur Spiritum sanctum Deum esse? etiamne, si consubstantialem prædicemus illis, quibuscum adoratur et conglorificatur, de innovata fidei professione judicium subibimus? et quis sanæ mentis hoc dixerit? Hoc igitur modo nihil præter fas moremque accidet, si et processione ejusdem Spiritus illi quidem Patres, qui tum floruerunt, suas ob causas enucleatius explicatiusque non tradiderunt. Vos autem præsenti temporis occasione ad multas gentes ad unionem in Christo pertrahendas provocati dilucidius eamdem exponetis; vos, inquam, ejusdem Spiritus, et perfecte Patrum sapientia sanctitateque illustrium, et fama clarissimorum dogmata sequentes, quæ ab ipso initio ad hæc usque tempora culpæ reprehensionem, et calumniarum aculeos omnino effugerunt. His Tarasius sanctissimus et rerum divinarum scientissimus fultus ac confirmatus, ex Patre per Filium procedentem Spiritum sanctum, libello synodico jam multo ante palam aperteque professus fuit; atque id in universali totius orbis terrarum auditorio; nec quisquam omnino ex omnibus fuit qui ejus doctrinam de Deo reprehendere, ac ei contradicere ausus est.

Θεὸς, καὶ ὁμοούσιον τῷ Πατρί τε καὶ τῷ Υἱῷ. Διὰ τί γὰρ τὸν μὲν Υἱὸν ἀναγορεύει Θεοῦ Υἱὸν, καὶ γεννηθέντα πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ Πατρὸς, καὶ οὐ ταῦτα μόνον, ἀλλὰ καὶ Θεὸν αὖθις ἀληθινὸν, καὶ ὁμοούσιον τῷ Πατρί, περὶ δὲ τοῦ ἁγίου Πνεύματος οὐδὲν τοιοῦτον διέξεισιν, ἀλλ' ὕστερον, ὅτε περὶ τῆς οὐσίας αὐτοῦ καὶ θεότητος λόγος ἐγεγόνει πολὺς, τότε Κύριον αὐτὸ καλεῖ, καὶ τῷ Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον, καὶ συνδοξαζόμενον ἀποφαίνεται. Πότερον ἐντεῦθεν οὐχ ὁμολογήσομεν οὕτω σαφῶς, Θεὸν εἶναι τὸ Πνεῦμα τὸ ἅγιον; ἢ καὶ ὁμοούσιον κηρύττοντες, οἷς συμπροσκυνεῖται καὶ συνδοξάζεται, λόγους καινοτομίας εἰς τὴν τῆς πίστεως ὁμολογίαν ὑφέξομεν; καὶ τίς ἂν εἴποι τοῦτο φρονῶν ὑγιῶς; Οὕτως οὖν οὐδὲν ἐξαίσιον, εἰ καὶ τὴν ἐκπόρευσιν τοῦ αὐτοῦ Πνεύματος οἱ τότε μὲν Πατέρες διά τινας αἰτίας οὐ διηυκρίνησαν. Νῦν δὲ καιροῦ καλοῦντος ὑμᾶς ἐπὶ πολλοὺς λαοὺς εἰς τὴν κατὰ Χριστὸν ὁμόνοιαν ἐφελκύσασθαι διαρθρώσετε ὑμεῖς οἱ τοῦ αὐτοῦ Πνεύματος ἐντελῶς τοῖς τῶν ἐπὶ σοφίᾳ καὶ ἁγιότητι περιώπτω καὶ περιπύστων Πατέρων ἑπόμενοι δόγμασιν, οἷς ἀρχῆθεν καὶ ἕως ἡμῶν τὸ πάντη ἀνεπίληπτον συντετήρηται. Οἷς καὶ Ταράσιος ὁ ἁγιώτατος, καὶ τὰ θεῖα σοφώτατος ὠχυρωμένος καὶ ἠδρασμένος, ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ ἐκπορευόμενον τὸ Πνεῦμα τὸ ἅγιον προανεκήρυξε διὰ λιβέλλου συνοδικοῦ. Καὶ τὸ ἀκροατήριον οἰκουμενικὸν καὶ παγκόσμιον, καὶ οὐδεὶς τῶν ἁπάντων τῆς αὐτοῦ θεολογίας ἐπιλαβέσθαι τετόλμηκεν.

25. Quamvis nonnullis nostri temporis sapientibus non defuerit solertia, quin etiam hic contradicendi ansas invenerunt; dicunt enim Orientales ea quæ in libello erant, silentio suo improbasse, cum in sua fidei professione illud, *per Filium*, omiserint. Verumtamen, quæ vis inde contradictioni fuerit, si beatissimi Sophronii tomum illi tenentes, miserunt sine ulla immutatione, ut par erat, conservatum; cum nulla urgeret necessitas interpolandi, contradicendique iis quæ ipsi receperant. Hoc quispiam ostendat, in aliquam saltem vel levissimam reprehensionem patriarchæ scriptum incurrisse. Id si non possunt, dicant interim, annon laudibus multis maximisque illud dignum duxerunt, speculativa et divina scientia instructissimæ considerationis sacrarium id esse confitentes, quod exactam et divinitus inspiratam rectæ fidei traditionem, clarissimamque apostolicorum, ac paternorum dogmatum explanationem uti solis radios emittit. Quis itaque dicit eos existimasse aliquid reprehensione dignum in scripto contineri, quod tot præconiis ab eisdem exceptum fuerat? Sed hi quidem sic. At œcumenica synodus audiens turbatane est? edidit strepitum? novam auditionem exhorruit? prohibuit, ut fieri amat in absurdorum dogmatum traditionibus? Minime gentium. Peterem ipse quoque non importune a tua multa

κε'. Εἰ καί τινες τῶν ἄρτι σοφῶν οὐδ' ἐνταῦθα τρόπους ἀντιλογίας ἠμηχάνησαν ἐξευρεῖν. Φασὶ γὰρ, ὅτι κατὰ τὸ σιωπώμενον ἐπελάβοντο τοῦ λιβέλλου οἱ Ἀνατολικοὶ, τὸ δι' Υἱοῦ παρέντες ἐν τῇ σφῶν αὐτῶν ὁμολογίᾳ τῆς πίστεως. Καί τοι ποῖον ἐντεῦθεν ἡ ἀντιλογία φέρει τὸ κραταιὸν, εἰ τὸν τοῦ μακαριωτάτου Σωφρονίου Τόμον ἐκεῖνοι τυχόντες ἔχειν, ἐστάλκασίν, ἀπαραποίητον αὐτὸν, ὡς ἔδει, τηρήσαντες, ἐπεὶ μηδ' ἀνάγκην εἶχον μετεγγράφειν καὶ ἀντιπέμπειν, ἅπερ ἐδέξαντο. Διὸ τοῦτο δειξάτω τις, εἴ τινα μέμψιν κἂν γοῦν μετρίαν τῷ τοῦ πατριάρχου προσῆψαν γράμματι, καὶ εἰ μὴ τοῦτο τέως εἰ μὴ ἐπαίνων, καὶ τούτων πολλῶν καὶ μεγάλων αὐτὸ κατηξίωσαν, θεωρητικῆς, καὶ θεοφρονεστάτης διανοίας ἀνομολογήσαντες εἶναι πανίερον, θεόπνευστον τὴν τῆς ὀρθοδοξίας ἀκρίβειαν, καὶ τῶν ἀποστολικῶν τε καὶ Πατρικῶν δογμάτων τὴν διαφανεστάτην ἐξάπλωσιν, ὡς ἀκτῖνας ἡλιακὰς προβαλλόμενον. Καὶ λέγει τις ἐπιλήψιμόν τι φέρειν αὐτοὺς ἡγήσασθαι, τὸ τοσαύτης τετυχηκὸς παρ' αὐτῶν ἀναῤῥήσεως; Ἀλλ' οὗτοι μὲν οὕτως· ἡ δ' οἰκουμενικὴ σύνοδος ἀκροασαμένη τετάρακται; τεθορύβηκε; τὸ καινὸν ἀπηγόρευκεν ἄκουσμα, καθὼς εἴωθε συμβαίνειν ταῖς τῶν ἀλλοκότων δογμάτων εἰσαγωγαῖς; Οὐδαμῶς. Ἐροίμην δ' ἂν προσφόρως καὶ τὴν σὴν πολλὴν ἁγιότητα, τῷ ταύτης ἱλαρῷ, καὶ ἀτύφῳ, καὶ πρὸς ἀνοχὴν ἑτοίμῳ τεθαῤῥηκώς. Εἴ τινά ποτε προ-

OCR ABK / FR

ἤνεγκες δόξαν οὐχ ὑγιαίνουσαν, ἐπείη δὲ καὶ γνώμης οὕτως ἔχειν ἔφασκες, οὕτω φρονεῖν, οὕτω πιστεύειν διατεινόμενος, πότερον ἂν ἠρεμαίως οἱ πλησίον σου τὴν τοῦ δυσφήμου προσήκαντο πάροδον; Οὐκ ἂν ἀντεῖπον; οὐκ ἂν ἐξ ἐναντίας σου ἔστησαν; Ἐγὼ μὲν οἶμαι, μηδὲ τὸν οἰκεῖον σφᾶς αὐτοὺς ἐπεγνωκέναι καθηγεμόνα, πρὶν αὐτὸν ἀποσκευάσασθαι τὸ ἀπόβλητον, καὶ ταῖς τοῦ ἀναθέματος ἀραῖς ἐνδικώτατα καθυποβαλεῖν· ἐκεῖ δὲ τοὐναντίον ἅπαν. Οἱ γὰρ τῆς οἰκουμενικῆς συνελεύσεως, καὶ μάλισθ' ὅσοι τὴν ἱερὰν Γραφὴν ἐπιστημονικώτεροι καὶ σοφώτεροι τῶν λιβέλλων καὶ ἀμφοτέρων εἰς ἀκρόασιν ὑπανεγνωσμένων κοινὴν, ὡς ἕνα τούτους κεκρίκασι, τῷ μὴ θατέρου θάτερον παραλλάττειν τι κατ' εὐσέβειαν. Ἤδεισαν γὰρ ἀκριβῶς τοὺς τῶν θεοφόρων Πατέρων προέχοντας, δι' Υἱοῦ τὴν τοῦ Πνεύματος ἐκπόρευσιν εἶναι τεθεολογηκότας ἐκ τοῦ Πατρὸς, τούς τε παρὰ Πατρὸς διηγγελκότας αὐτὸ ἐκπορευόμενον, οὐκ ἀνηναμένους τὸ δι' Υἱοῦ. Εἰ τοίνυν τοῖς ἐκ τοῦ Πατρὸς εἰρηκόσι τὸ Πνεῦμα ἐκπορευόμενον οὐκ ἀπείρηται ὅλως τὸ δι' Υἱοῦ, τοῖς δέ γε διαρθρῶσαι τὴν ἐκ Πατρὸς ἐκπόρευσιν τοῦ Πνεύματος παρ' αὐτοῦ κεκινημένοις τοῦ Πνεύματος προσαῤῥέθη τὸ δι' Υἱοῦ, εὔδηλον ὅτι σύμπαντες οἱ τοῦ Πνεύματος, οὐκ ἄλλως ἐκ τοῦ Πατρὸς αὐτὸ πεφρονήκασιν ἐκπορεύεσθαι, εἰ μὴ δι' Υἱοῦ, μηδεμίαν παρείσδυσιν ἔχοντες τοῦ ἐναντιολογεῖν ἐν αὐτοῖς, ἄκρας δὲ μᾶλλον συμφωνίας οὔσης ἐν τοῖς ἁγίοις, καὶ τὸ αὐτὸ τῶν ὅλων πεπαιδευμένων φρονεῖν, καὶ τῆς ἀγάπης καὶ εἰρήνης, καὶ ὁμονοίας ὄντων ἐν Πνεύματι, καθὰ δὴ καὶ οἱ τὸ ἱερὸν μάθημα παραδεδωκότες συνοδικῶς. Κἀκεῖνοι γὰρ κατὰ τὴν αὐτὴν ἔννοιαν ἱερογραφικῶς τὸ τοιοῦτον ἐξέθεντο, λόγοις οἰκονομίας τὴν φωνὴν παρασιωπήσαντες, τῷ τε πρὸς ἄλλα σπουδὴν ἐπείγοντα, καὶ τῷ τῶν αἱρετιζόντων τὸν θόρυβον ἀποσείεσθαι. Δι' ἣν αἰτίαν οὐδὲ Θεὸν τὸ Πνεῦμα τὸ ἅγιον σαφῶς οὕτω καὶ καθαρῶς προσηγόρευσαν, τῷ μὴ ἔχειν ἐκ τῶν Εὐαγγελίων ἑτοίμως τὴν προσηγορίαν πιστώσασθαι. Τί δ' ἔδει πρὸς διαλέξεις καὶ ὑπὲρ τῶν τοιούτων φωνῶν χωρεῖν αὐτοὺς, καὶ λογομαχεῖν, καὶ τὸν πολὺν κλονεῖσθαι λαὸν, ἐνὸν καὶ ἄλλως ἀναντιῤῥήτως τὴν εὐσεβῆ κρατύνεσθαι καὶ ὀρθόδοξον ἔννοιαν;

κϛ'. Ὅτι δὲ τὸ ἐκ Πατρὸς λέγειν ἐκπορευόμενον τὸ Πνεῦμα τὸ ἅγιον, καὶ τὸ ἐκ Πατρὸς δι' Υἱοῦ, ταυτὸν κατ' ἔννοιαν, οὐ διάφορον, ἐκ τῶν τῆς αὐτῆς ἑβδόμης συνόδου πρακτικῶν ἐναργέστατα καταφαίνεται. Τῶν Τόμων γὰρ ὑπανεγνωσμένων συνοδικῶς, τοῦ τε τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ διασαφοῦντος ἐκπορευόμενον, καὶ τοῦ, ἀϊδίως ἐκπορευόμενον ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς τὸ αὐτὸ Πνεῦμα, διαγορεύοντος, ὁ μὲν τῶν τῆς συνόδου σεπτῶν Πατέρων, οὕτως ἔχουσαν τὴν γνώμην ἐξήνεγκεν. Ἐν μηδεμιᾷ ἐννοίᾳ παραλλάττοντα καὶ τὰ νῦν ἀναγνωσθέντα ἐκ τῆς Ἀνατολῆς πεμφθέντα πρὸς Ταράσιον τὸν ἁγιώτατον ἀρχιεπίσκοπον καὶ οἰκουμενικὸν πατριάρχην, τοῦ ὑπ' αὐτοῦ προωμολογηθέντος ὅρου τῆς πίστεως εὑρὼν, κἀγὼ ὁ ἀνάξιος τούτοις συντίθεμαι. Ὁ δὲ τοιαύτην ὧν

sanctitate, illius hilaritati, et dejectioni et ad tolerandum facilitati maxime fidens. Si quam aliquando opinionem non sanam in medium attulisti et te ita tenere contenderes, ita sentire, ita credere obnixe affirmares, an qui audiunt propinqui tacite blasphemam opinionem persentiscerent? Annon contradicerent? Annon adversum te omnia facerent? Ego sane existimo neque proprium doctorem eosdem velle recognoscere, ni prius rejiculam opinionem abjecerit, et anathematis diris justissime subjecerit. Ibi vero totum contrarium contigit. Nam qui in universalem congressum convenerant, et potissimum in sacris litteris scientiores, et sapientiores, cum uterque libellus aliis audientibus legeretur tanquam unum judicarunt, cum unus ab alio in nullo, quod ad pietatem faceret, discreparet. Plane siquidem callebant, inter Deiferos Patres præcipuos, per Filium Spiritus processionem esse a Patre asseverasse; eosque qui illum ex Patre pronuntiassent, non respuisse per Filium. Si itaque ab iis qui ex Patre affirmaverunt Spiritum procedere, non rejicitur omnino, *per Filium*: ab iis vero, qui enucleate tradiderunt Spiritus ex Patre processionem, ab eodem Spiritu excitatis, additum fuit, *per Filium*, manifestum est universos, qui e Spiritu sunt, non aliter ex Patre eum procedere, quam per Filium sensisse, cum nulla in illis ratio contradicendi interveniat; imo summe inter se sancti conveniunt, doctique omnes hoc idem sentiunt, amorem, pacem, atque unionem amplectentes in Spiritu: quemadmodum et qui sacram hanc doctrinam plena synodo tradiderunt. Illi etenim eodem sensu sacris innixi Litteris hoc exposuerunt e prudentiæ legibus vocem obticescentes; tunc ad alia procuranda, et sectariorum strepitus comprimendos intenti: ideoque neque Spiritum sanctum plane et clare Deum pronuntiarunt, cum non haberent in promptu quibus id ex Evangeliis comprobarent. Et quid opus erat eos pro his vocibus, disputationibus verbisque decertare, turbasque ciere in populo, cum possent alia ratione irrefragabiliter piam orthodoxamque sententiam constabilire?

26. Verum ex Patre asserere procedere Spiritum sanctum, et ex Patre per Filium sensu idem esse, nec diversum, ex actis ejusdem septimæ synodi apertissime evincitur. Nam cum tomi in synodo lecti fuissent, ille videlicet, qui Spiritum sanctum ex Patre per Filium procedentem affirmat; tum alius, qui ab æterno procedentem ex Deo et Patre eumdem Spiritum asserit, unus ex synodi venerandis Patribus sententiam ita se habentem protulit: *Cum scripta, quæ nunc lecta, et ex Oriente missa sunt ad Tarasium sanctissimum archiepiscopum et œcumenicum patriarcham in nullo sensu discrepare a definitione fidei ab eodem emissa comperiam, ego quoque indignus assentior.* Alius eorum quæ audiit, sententiam hanc dedit: *Scripta Tarasii sanctissimi archiepiscopi et œcumenici patriarchæ*

OCR ABK / FR

*quæ lecta et ab Orientali diœcesi ab illius præsulibus missa sunt, talem conformitatem cum scriptis antistitis Constantinopolitani habere existimo, ut nulla diversitas inter ea sit, sed perfecta identitas : ita ut unum utraque sint, plena scilicet omni orthodoxia.* Alius ita determinavit : *Quibus pietas curæ est, iis utique et orthodoxiæ oratio resplendet. Jure itaque merito mea parvitas lectis sacris, ac synodicis litteris sanctissimi et beatissimi Regiæ urbis archipræsulis Tarasii, quas ad Orientales transmissit : necnon et his, quæ ab eis ad ipsum directæ sunt, animum diligenter advertens, per omnia sanctorum Patrum fidei orthodoxæ concordantes legens cognovi.* Alius has voces emisit : *Consentientes intuens synodicas litteras Tarasii sanctissimi et œcumenici patriarchæ et rescripta eorum ab orientalibus præsulibus transmissa, illis consentio.* Alius ita pronuntiavit : *Sicut unum sentientes convenimus, ita et unum dicere edocti sumus; quoniam itaque synodici apices Tarasii sanctissimi œcumenici patriarchæ ad sanctissimos Orientis præsules per eumdem transmissi, et rescripta per eosdem ad ipsum directa, de sancta et orthodoxa fide sex universalium synodorum inter se recte conveniant, ita et ego credo.* Reliqui sanctissimi episcopi hæc conclamarunt : *Tota, quæ per gratiam Christi veri Dei nostri, et piam tranquillissimorum, et orthodoxorum nostrorum imperatorum sanctionem congregata est synodus, relationem ab Adriano papa senioris Romæ ad maxime orthodoxos imperatores nostros, et chartam nunc lectam, quæ rectam orthodoxamque definitionem sanctissimi, et beatissimi œcumenici patriarchæ Tarasii complectitur, atque litteras ad beatitudinem ejus ab Orientis præsulibus missas, recipientes confirmamus, et veneramur.* Hinc indagatores veritatis astruunt, sanctissimum Tarasium processionem Spiritus sancti ex Patre per Filium in germana synodo cum examinasset, approbassetque, ita pie admodum, et divino instinctu tradidisse, multorum judicio stabilientem illud, et confirmantem, et per epistolam ad universas Christi Ecclesias promulgationem universalem transmittentem.

A ἠκροάσατο τὴν κρίσιν πεποίηκε· Τὰ ἀναγνωσθέντα γράμματα Ταρασίου τοῦ ἁγιωτάτου ἀρχιεπισκόπου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τὰ ἀπὸ τῆς ἀνατολικῆς διοικήσεως παρὰ τῶν αὐτόθι ἀρχιερέων, τοιαύτην οἰκειότητα ἔχειν πρὸς τὰ τοῦ αὐτοῦ ἡγοῦμαι ἀρχιερέως Κωνσταντινουπόλεως, ὥστε μηδεμίαν ἑτερότητα ἐν αὐτοῖς εἶναι, ἀλλὰ τελείαν ταυτότητα, ὡς ἓν καὶ τὸ αὐτὸ τὰ ἄμφω εἶναι, ἤως πεπληρωμένα πάσης ὀρθοδοξίας. Ἕτερος οὑτωσὶ ἀπεφήνατο· Οἷς ὁ τῆς εὐσεβείας μεμελέτηται τρόπος, τούτοις δήπου πάντως καὶ ὁ τῆς ὀρθοδοξίας διαλάμπεται λόγος. Εἰκότως τοίνυν καὶ ἡ ἐμὴ βραχύτης, τοῖς ἀναγνωσθεῖσιν ἱεροῖς καὶ συνοδικοῖς γράμμασι τοῦ ὁσιωτάτου καὶ μακαριωτάτου τῆς βασιλευούσης B τῶν πόλεων ἀρχιπροέδρου Ταρασίου, ἃ πρὸς τοὺς τῆς Ἑῴας ἐξαπέστειλεν, ἔτι γε μὴν καὶ τοῖς παρ' αὐτῶν πρὸς αὐτὸν ἀποσταλεῖσι νουνεχῶς τὸ τῆς διανοίας ἐνερείσας ὄμμα, κατὰ πάντα τῇ τῶν ἁγίων Πατέρων συμφωνοῦντα ὀρθοδόξῳ πίστει, διὰ τῆς ἀναγνώσεως ἔγνων. Ἄλλος ταύτας εἴρηκε τὰς φωνάς· Σύμφωνα ὁρῶν τὰ συνοδικὰ γράμματα Ταρασίου τε τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου, καὶ τὰ ἀντίγραφα αὐτῶν τὰ ἀπὸ τῶν τῆς Ἀνατολῆς ἀρχιερέων, συντίθεμαι αὐτοῖς. Ἕτερος οὕτως ἐφθέγξατο· Ὥσπερ ἓν φρονοῦντες ἐληλύθαμεν, οὕτω καὶ ἓν λέγειν ἐδιδάχθημεν. Συμφώνων τοίνυν οὐσῶν τῶν ὑπαναγνωσθεισῶν συνοδικῶν κεραιῶν Ταρασίου τοῦ ἁγιωτάτου οἰκουμενικοῦ πατριάρχου, τῶν σταλεισῶν παρ' αὐτοῦ πρὸς τοὺς τῆς Ἑῴας ἁγιω- C τάτους ἀρχιερεῖς, καὶ τῶν ἀντιγράφων τῶν παρ' αὐτῶν πρὸς αὐτὸν πεμφθέντων, πρὸς τὴν ἁγίαν καὶ ὀρθόδοξον πίστιν τῶν ἓξ οἰκουμενικῶν συνόδων, οὕτω κἀγὼ πιστεύω. Οἱ λοιποὶ τῶν ὁσιωτάτων ἐπισκόπων ταῦτ' ἐξεφώνησαν· Πᾶσα ἡ κατὰ χάριν Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, καὶ τὰ φιλευσεβὲς θέσπισμα τῶν γαληνοτάτων καὶ ὀρθοδόξων ἡμῶν βασιλέων συναθροισθεῖσα ἁγία σύνοδος, τὴν γενομένην ἀναφορὰν παρὰ Ἀδριανοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης πρὸς τοὺς ὀρθοδοξοτάτους ἡμῶν βασιλεῖς, καὶ τὸν νυνὶ ἀναγνωσθέντα χάρτην, ὅρον ὀρθοδοξίας τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου οἰκουμενικοῦ πατριάρχου Ταρασίου ὄντα, καὶ τὰ ἀπὸ τῆς Ἀνατολῆς ἀναπεμφθέντα πρὸς τὴν αὐτοῦ μακαριότητα παρὰ τῶν ἀρχιερέων γράμματα ἀποδεχόμενοι, στοιχοῦμεν, καὶ ἀσπαζόμεθα. Ἐντεῦθεν οἱ τὸ ἀληθὲς ἐκζητοῦντες πορίζονται, καὶ ὅτι τὸ ἐκ τοῦ Πατρὸς δι' Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι μετὰ τῆς οἰκείας συνόδου κατεξετάσας καὶ δοκιμάσας ὁ ἁγιώτατος Ταράσιος, οὕτω θεοπνεύστως ἐξέθετο, κρίσει πολλῶν κυρωσάμενος αὐτὸ, καὶ βεβαιωσάμενος, καὶ κήρυγμα παγκόσμιον δι' ἐπιστολῆς εἰς πᾶσαν διαπεφοιτηκυίας ἐκκλησίαν Χριστοῦ πεποιημένος.

27. Quod si fidei Symbolum, quod a Patribus in D synodo secunda expositum fuit, etiam et illi in septima postea definitionem fidei esse decreverunt, non est cur miremur. Maluerunt enim publice cognitam omnibus, approbatamque definitionem robur adhuc habere, ne viderentur novam professionem sine ullo emolumento tradere cum eo tempore universa Ecclesia Christi unionis vinculo colligaretur. Nec ullus tunc temporis ex his omnibus patriarchæ contradicere ausus est. Esset enim

κζʹ. Εἰ δὲ τὸ τῆς πίστεως Σύμβολον, ὃ παρὰ τῶν τῆς δευτέρας συνόδου Πατέρων ἐκτέθειται, καὶ οἱ τῆς ἑβδόμης ὅρον τῆς πίστεως καὶ αὖθις εἶναι κεκρίκασιν, οὐδὲν θαυμαστόν. Ἠρετίσαντο γὰρ ἐν τῷ κοινῷ τὸν πᾶσιν ἐγνωσμένον καὶ καθωμολογημένον λόγον, καὶ εἰσέτι κρατεῖν, καὶ μὴ δοκεῖν νέαν ὁμολογίαν ἐπὶ μηδενὶ κέρδει παραδιδόναι αὐτοὺ, ἡνωμένης οὔσης τῷ τότε τῆς ἐκκλησίας ἁπάσης Χριστοῦ· τέως τῶν ἁπάντων οὐδεὶς ἀντιφθέγξασθαι τῷ πατριάρχῃ τετόλμηκεν. Ἦν γὰρ ἂν τοῖς πρακτικοῖς

OCR ABK / FR

ἐντεταγμένη καὶ ἡ ἀντίῤῥησις. Ἀλλ', ὡς ἔοικε, νῦν σύμπασα γνῶσις, σύμπας ζῆλος, τότε δέ γε καὶ ἐφεξῆς τοιοῦτον οὐδέν. Πῶς γὰρ ἂν τὸ τῆς ὀρθοδοξίας ἀλλότριον, εἴπερ ἦν ὅλως, ἀνεπισήμαντον, ἕως δεῦρο παρεωράθη, καὶ ἀστηλίτευτον; Ποῖον τῶν ἐκφύλων δογμάτων οὐ διεφαυλίσθη πολυτρόπως παραδειγματισθέν; Ποῖος ἀρχηγὸς τῆς οἱασοῦν αἱρέσεως, ἢ συνήγορος, οὐκ ἐκκήρυκτος; Τὸ δι' Υἱοῦ παρὰ Πατρὸς ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, τίνες ἀποβάλλονται; Καὶ τούς τὸ δόγμα θεμένους ἀνάγραπτον οἰκειοῦνται, καὶ Πατέρας ἀποκαλοῦσι, καὶ διδασκάλους, καὶ ἁγίους Θεῷ, καὶ φωναῖς εὐφήμοις ἐπ' Ἐκκλησίας γεραίρουσι, καὶ τὰς εὐχὰς αὐτῶν αἰτοῦνται, καὶ τῆς ἐξ αὐτῶν ἐπικουρίας ἱκετεύουσιν ἐπιτεύξασθαι; Καὶ ποίας ταῦτα τῆς συμφωνίας; Ἀλλ' ἔγωγε τέως τῶν ἁγίων ἀνδρῶν B ὑγιῆ πέπεισμαι εἶναι τὰ δόγματα, καὶ ὧν οὐχ ὑγιῆ τὰ δόγματα, τούτους οὐκ ἂν εἴποιμι ἁγίους ποτὲ, οὕτως ἀφελῶς ἔχω καὶ ἀπραγμόνως. Οὐδὲ γὰρ δένδρον ἀγαθὸν ἑωράκειν ποτὲ καρπὸν πονηρὸν προβαλλόμενον, ἀλλὰ τοῦ σαπροῦ δένδρου καρπὸν ἐκεῖνον εἶναι πεπείραμαι πονηρὸν, τοῦ δ' ἀγαθοῦ δένδρου καλὸς ἀραρότως καὶ ὁ καρπός.

A utique et contradictio in actis inserta. Sed, ut videtur, hoc tempore omnis scientia, et omnis zelus abundat; tunc vero et subsecutis temporibus nihil simile fuit. Quomodo enim quod erat ab orthodoxa fide alienum, si quid fuerat, omnino ad hæc usque tempora sine ulla nota, atque reprehensione neglectum delituisset? Quodnam de extraneis dogmatibus reprehensioni non patuit, multis modis palam traductum? Quis cujuscunque hæreseos auctor, sive patronus proscriptus non fuit? Per Filium a Patre procedere Spiritum sanctum, quinam condemnant? Annon eos qui simile dogma scripto tradiderunt, sibi associant, Patresque nuncupant, et præceptores, sanctosque Dei, et vocibus bene ominatis in Ecclesia cohonestant, et preces eorum imploranti, eorumque subsidia consequi B contendunt? Et quænam in his consensio? Ego vero sanctorum Patrum dogmata sana esse existimo, et quorum dogmata sana non sunt, eos nunquam ipse sanctos compellarim. Ita sum simplex, et minime curiosus: neque enim arborem bonam unquam conspicatus sum fructum malum producere, sed arboris putridæ fructum illum malum esse experientia ipsa cognovi; bonæ vero arboris bonus, ut et convenit, fructus est.

---

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

## ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ

### ΠΕΡΙ ΤΙΝΩΝ ΔΟΓΜΑΤΙΚΩΝ ΣΥΖΗΤΗΣΕΩΝ,

### ΠΡΟΣ ΤΟΝ ΕΥΣΕΒΗ ΒΑΣΙΛΕΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΘΕΟΔΩΡΟΝ ΔΟΥΚΑΝ ΤΟΝ ΛΑΣΚΑΡΙΝ.

# NICEPHORI BLEMMIDÆ

## ORATIO SECUNDA

### DE NONNULLIS DOGMATICIS QUÆSTIONIBUS,

### *AD PIUM IMPERATOREM CONSTANTINOPOLITANUM, THEODORUM DUCAM LASCARIUM.*

α'. Ὁ αἰτῶν ἐν οὐ καιρῷ, καὶ λαμβάνων ἐν καιρῷ, C παρίστησι τεκμηριωδῶς τὴν αἴτησιν εὔκαιρον, εἴ γε προηγουμένῳ τῷ μὴ κατὰ καιρὸν ἕποιτ' ἂν τὸ κατὰ καιρόν. Εἰ δέ τις τῇ τοῦ παρέχοντος ἐπιγράφοιτο προμηθείᾳ τὸ ἀποτέλεσμα, κἀντεῦθεν οὐχ ἧττον τὸ τοῦ κατάρξαντος δείκνυται νουνεχὲς, ὅτι τε καλῶς ᾔδει καὶ λίαν ἐπιστημόνως, ᾗ προκαταβάλλει τὰ σπέρματα, καὶ ὅτι τότε πάντως ἐχρῆν, ἵν' ὅτε δέοι μεταλήψαιτο τοῦ καρποῦ, προϋποτεθειμένης τῆς τοῦ ἐφίεσθαι συνετίσεως. Οὕτω καὶ γεωργὸς, οὕτω καὶ φυτουργὸς, κἂν μὴ παρὰ πόδας αὐτοῖς ἡ ἀπόλαυσις, προ-

1. Qui intempestive poscit, et tempestive accipit, perspicuis argumentis tempestivam petitionem ostendit, si, cum id quod intempestivum erat, præcesserit, subsequatur illud quod opportunum est. Si vero quis rei assecutionem ejus, qui eam exhibet providentiæ ascribat, inde non minor illius prudentia monstratur, qui eidem principium dedit, scivit enim caute et solerter quonam in locum sementem projiceret, ut cum opus esset, postmodum fructum percipere posset, præhabita, scilicet solerti cognitione illius quod appeteret. Eadem ra-

OCR ABK / FR

A tione et agricola, et sator, licet tum nullum ipsis emolumentum sit, ob eventum nihilominus labores præassumunt, spe meliore corroborati, quidquid illis adversari posset excutientes, tenentesque nihil illis evenire posse, quod spem frustretur, vel minuat. Propterea tu quoque sapientiæ fœtus, atque alumnus, nondum hæc in urbe mota, quæ jam eruperat, dogmatica quæstione, de ea providus rationes exposcis ab iis quos tibi futuros morigeros existimasti, licet aliis studiis tum temporis occuparentur, et petitio illa non tantum molestiæ secum, quantum providentiæ afferebat, et in capite sapientis illis, qui res concipere poterant, oculos illius prænuntiabat, ea quæ nondum erant, melius prævidentis, quam eorum quæ jam sunt, exsistentiam capiant illi qui ea tantum quæ ante pedes B sunt, intelligunt. Cum vero nunc rebus ita poscentibus, vocemur, non dicam, sed compellamur, licet infirma atque ægra valetudine simus, ad petitionis exactionem atque solutionem, veluti cujusdam præscripti vectigalis, et satis jam dilati debiti, habes opportune fructus eorum quæ antea projeceras; habes quantum nobis imbecillitas carnis mentisque permittit.

μοχθοῦσιν ὅμως διὰ τὴν ἔκβασιν. τῷ κρείττονι τῆς ἐλπίδος νευρούμενοι, τοὐναντίον ἀποσειόμενοι, καὶ ὡς ἐπ' ἔλαττον οἷα μηδέποτ' ἐσόμενον λογιζόμενοι, τῷ τοι καὶ σὺ σοφίας μαίευμα καὶ τιθήνημα, μήπω κεκινημένης ἐνταυθοῖ τῆς ἤδη συνεῤῥηγμένης δογματικῆς συζητήσεως, φθάνεις ἐξῃτημένος λόγους περὶ ταύτης, ἐξ ὧν τεθάῤῥηκας ἑτέροις ἐνασχολουμένων τηνικαῦτα σπουδάσμασι, καὶ ἦν ἡ αἴτησις οὐ τόσον ἑαυτῇ συνεπαγομένη τὸ φορτικὸν, ὅσον δὴ τὸ προοπτικὸν, κἀν τῇ κεφαλῇ τοῦ σοφοῦ τοῖς γε ξυνιέναι δυναμένοις τοὺς ὀφθαλμοὺς αὐτοῦ καταγγέλλουσα τὰ μήπω ὄντα προορωμένου πλέον, ἢ τὴν τῶν ὄντων ὑπόστασιν, οἱ κατανοεῖν ᾑρημένοι μόνα τὰ ἐν ποσίν. Ἐπεὶ δὲ νῦν τῇ φύσει τῶν πραγμάτων, οὐκ ἂν φαίημεν, ὅτι κεκλήμεθα, μᾶλλον μὲν οὖν ἀλλ' ἠπείγμεθα, καί τοι τὸ σῶμα νοσηλευόμενοι, πρὸς τὴν τοῦ αἰτήματος εἴσπραξιν καὶ ἀπότισιν οἷά τινος ὡρισμένου φόρου καὶ ἱκανῶς ἀφωσιωμένου ὀφλήματος, ἔχεις τοῦ προκαταβεβλημένου τὴν ἐπικαρπίαν κατὰ καιρόν. Ἔχεις δ' ὁπόσην ἡ ἐν ἡμῖν ἀσθένεια τῆς σαρκὸς ἅμα καὶ τῆς διανοίας παραχωρεῖ.

2. Ante omnia itaque scito processionem in Spiritu sancto modum exsistentiæ esse, et hypostaticam proprietatem, quemadmodum est in Filio nascibilitas, et in Patre inascibilitas. Illud etenim ingenitum esse, et genitum, et procedere, hunc quidem Patrem, illum Filium, hunc vero, de quo dicitur, Spiritum sanctum nuncupavit, ut in rebus theologicis pertractandis eximius Gregorius ait. Qui C vero τὸ procedere in Spiritu sancto homonymum affirmant, assignent aliam vocem, quæ proprie exsistentiam Spiritus sancti notet; sin minus, innascibilitatem, et nascibilitatem in aliis divinis hypostasibus eodem stupore homonymon astruant. Etenim τὸ procedere cum rebus aliis annexum, eorum quibuscum construitur, conjunctionem significabit, verbi gratia: *Fluvius ex Edem procedit*; et hoc: *Procedebat foras, et loquebatur in idipsum*; verumtamen Spiritu sancto annexum, ipsam et solam Spiritus sancti exsistentiam significat, ut in Evangeliis, qui solus sapiens est, tradidit. Progredi vero, et effulgere, et si quid simile est, aliis rebus connexa alios sensus præseferunt; D veluti: *Progreditur Rex*; et: *Justi fulgebunt sicut sol*, quæ in divinis assumpta, in Spiritu quidem Spiritus sancti exsistentiam significant, in Filio autem Filii; et testimonia, quæ plurima sunt, ex sacris Litteris, in promptu sunt perquirenti.

β'. Πρῶτον μὲν οὖν ἴσθι τὴν ἐκπόρευσιν ἐπὶ τοῦ ἁγίου Πνεύματος, τρόπον ὑπάρξεως, ὑποστατικὴν ἰδιότητα, καθώς ἐστιν ἡ γέννησις ἐπὶ τοῦ Υἱοῦ, καὶ ἡ ἀγεννησία ἐπὶ τοῦ Πατρός. Αὐτὸ γὰρ τὸ μὴ γεγεννῆσθαι, καὶ τὸ γεγεννῆσθαι, καὶ τὸ ἐκπορεύεσθαι, τὸν μὲν Πατέρα, τὸν δὲ Υἱὸν, τὸ δὲ τοῦθ' ὅπερ λέγεται Πνεῦμα ἅγιον, προσηγόρευσεν, ὥς φησιν ὁ πολὺς ἐν θεολογίᾳ Γρηγόριος. Οἱ δ' ὁμώνυμον ἐπὶ τοῦ ἁγίου Πνεύματος τιθέντες τὸ ἐκπορεύεσθαι, δότωσαν ἑτέραν φωνὴν τῆς τοῦ ἁγίου Πνεύματος ὑπάρξεως ἰδίως σημαντικὴν, ἢ μὴν καὶ τὴν ἀγεννησίαν, καὶ τὴν γέννησιν ἐπὶ τῶν ἄλλων τῆς θεότητος ὑποστάσεων μετὰ ἧς αὐτῆς παραπληξίας ὁμωνυμείτωσαν. Μεθ' ἑτέρων μὲν γὰρ πραγμάτων τὸ ἐκπορεύεσθαι συντασσόμενον, οἷς ἂν συντάττοιτο, δηλώσειε τὸ κατάλληλον, ὡς τὸ, Ποταμὸς ἐξ Ἐδὲμ ἐκπορεύεται, καὶ Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. Κατὰ δὲ τοῦ ἁγίου Πνεύματος εὑρισκόμενον, αὐτὴν καὶ μόνην σημαίνει τὴν τοῦ ἁγίου Πνεύματος ὕπαρξιν, καθὼς ἐν Εὐαγγελίοις ὁ μόνος σοφὸς παραδέδωκε. Τὸ δέ γε προέρχεσθαι, καὶ τὸ ἐκλάμπειν, καὶ εἴ τι τοιοῦτον, ἄλλοις μὲν καὶ αὐτὰ συντιθέμενα πράγμασιν, ἄλλας ἐννοίας εἰσάγουσιν, ὡς τὸ, Προέρχεται ὁ βασιλεὺς, καὶ, Οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος, ἐν θεολογίᾳ δὲ παραλαμβανόμενα, τῇ μὲν περὶ τοῦ Πνεύματος τὴν τοῦ Πνεύματος σημαίνουσιν ὕπαρξιν, τῇ δὲ περὶ τοῦ Υἱοῦ, τὴν τοῦ Υἱοῦ, καὶ τὰς μαρτυρίας εὐχερὲς τῷ βουλομένῳ πολλάς γε οὔσας ἐκ τῆς ἱερᾶς Γραφῆς ἀναλέγεσθαι.

3. Verumenimvero Spiritus sancti processionem ex Patre per Filium esse multo jam antea in confessis erat, et usque ad hæc nostra tempora a piis hominibus asseritur, et veluti commune dogma Ecclesiæ recipitur. Sed non diu est, ex quo nonnulli ridicule dicam, an miserrime affecti, dum vel-

γ'. Τὸ δὲ τὴν τοῦ ἁγίου Πνεύματος ἐκπόρευσιν δι' Υἱοῦ εἶναι παρὰ Πατρὸς ὁμολογούμενον ἦν ἀνέκαθεν, καὶ ἕως ἡμῶν τοῖς εὐσεβέσι καὶ πρεσβευόμενον, καὶ οἷα δόγμα κοινὸν ἀνατεθειμένον τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ. Καιρὸς δ' οὐ πολὺς, ἐξ οὗ τινες ἔπαθόν τι γελοιότατον, ἢ μᾶλλον εἰπεῖν, ἀθλιώτατον,

OCR ABK / FR

βουλόμενοι γὰρ ἐκ περιουσίας ἀνελεῖν, τὸ, ἐκ τοῦ Υἱοῦ, συνανεῖλον αὐτῷ καὶ τὸ, δι' Υἱοῦ, καὶ τὰ διδάγματα τῶν τοσούτων ἁγίων, ὅπου μὲν ἦν τις λαβὴ δοκοῦσα, διέστρεψαν, ὅπου δ' οὐκ ἦν οὐδαμῶς, ὡς ἀσύμφωνα δῆθεν τοῖς πολλοῖς διεκρούσαντο. Καὶ ὅπου μὲν ἦν τὸ ἐκ τοῦ Πατρὸς εἴτε προχεῖσθαι, εἴτε προέρχεσθαι τὸ Πνεῦμα τὸ ἅγιον, ἐπὶ τῆς ἐκπορεύσεως παρεδέξαντο τὰ ὀνόματα· ὅπου δὲ τὸ δι' Υἱοῦ προσέκειτο, τὴν πρόχυσιν ἐκεῖ καὶ τὴν πρόοδον, καὶ εἴ τι ἄλλο τοιοῦτον ἀντὶ τῆς δωρεᾶς ἐξειλήφασι.

δ'. Σύνεσις δὲ οὐδεμία συνεωρακέναι, πρῶτον μὲν ὅτι πολλοὶ τῶν ἁγίων Πατέρων ἐδογμάτισαν καὶ λίαν σαφέστατα τὸ διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Πατρὸς ἐκπορεύεσθαι, τὸ δὲ μὴ διὰ τοῦ Υἱοῦ, τῶν ὅλων οὐδεὶς τῇ θεολογίᾳ προσέθετο, πλὴν εἰ μή τις εἰσάγει τὸ τοῦ Θεοδωρήτου φιλόνεικον. Δι' ὃ καὶ καθῄρητο, καὶ ἀποκεκήρυκτο, κἂν ὕστερον καταγνωκὼς καὶ αὐτὸς ἑαυτοῦ, καὶ τοὺς οἰκείους λόγους, ὅσοι τῆς θεοστυγοῦς ἔριδος, ἀποσκευασάμενος, οὐ μὴν ἀλλὰ καὶ ταῖς τοῦ ἀναθέματος ἀραῖς καθυποβαλὼν, μόλις οὕτω προσδέδεκτο.

ε'. Δεύτερον δὲ, τὸ πῶς ἂν ἔχοι ὁ Υἱὸς χορηγεῖν τὸ Πνεῦμα, μὴ κατά τινα σχέσιν ἑτέραν τῆς ὁμοουσιότητος ᾠκειωμένον αὐτῷ; Εἰ γὰρ τὸ ὁμοούσιον αἴτιον τῷ Υἱῷ τῆς χορηγίας τοῦ Πνεύματος, ἢ τινὸς τῶν ἄλλων, ὧν ἔχειν λέγεται παρὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, ἐπεὶ ὥσπερ ὁ Υἱὸς τῷ Πνεύματι ὁμοούσιον, οὕτω καὶ τὸ Πνεῦμα τῷ Υἱῷ, χορηγεῖ δὲ ὁ Υἱὸς τὸ Πνεῦμα, χορηγήσοι ἂν καὶ τὸ Πνεῦμα τὸν Υἱόν. Ἴδιον τὸ Πνεῦμα τοῦ Υἱοῦ, ἴδιος ἂν λέγοιτο καὶ ὁ Υἱὸς τοῦ Πνεύματος. Ἀποστέλλει ὁ Υἱὸς τὸ Πνεῦμα, καὶ αὐτὸς ὡς Θεὸς ἀνταποσταλείη παρὰ τοῦ Πνεύματος. Ἐκεῖνα λαλεῖ τὸ Πνεῦμα, ὅσα ἂν ἀκούσαι παρὰ τοῦ Υἱοῦ, καὶ ὁ Υἱὸς ἐκεῖνα λαλήσει, ὅσα ἂν ἀκούσειε παρὰ τοῦ Πνεύματος. Ἐκ τοῦ Υἱοῦ λαμβάνει τὸ Πνεῦμα, λήψαιτο καὶ ὁ Υἱὸς ἐκ τοῦ Πνεύματος. Διὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα συνάπτεται τῷ Πατρὶ, καὶ ὁ Υἱὸς διὰ τοῦ Πνεύματος συνάπτοιτο τῷ οἰκείῳ Πατρί. Ὅσα ἔχει τὸ Πνεῦμα, παρὰ τοῦ Λόγου ἔχει, καὶ ὁ Υἱὸς ὅσα ἔχει, ταῦτ' ἂν ἔχοι παρὰ τοῦ Πνεύματος. Διὰ τοῦ Πνεύματος ὁ Υἱὸς ἐνεργεῖ, ἐνεργοίη καὶ τὸ Πνεῦμα διὰ τοῦ Υἱοῦ. Εἰκών ἐστι τοῦ Υἱοῦ τὸ Πνεῦμα, καὶ ὁ Υἱὸς εἰκὼν ἂν εἴη τοῦ Πνεύματος. Τοιαύτην τάξιν καὶ φύσιν ἔχει τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν, οἵαν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα· τοιαύτην ἂν ἔχοι καὶ ὁ Υἱὸς πρὸς τὸ Πνεῦμα καὶ τάξιν καὶ φύσιν, οἵαν αὐτὸ πρὸς τὸν Πατέρα. Πολλὰ τὰ τοιαῦτα· τέως δὲ καὶ ἀπὸ τῶν ἀπηριθμημένων ὅγε μὴ πάντη ἀπηναιδευμένος, καὶ ἀπονενοημένος τῇ ἀληθείᾳ κατάθοιτο.

ς'. Ζητεῖς μαρτυρίας, ὧν ἀρτίως εἰρήκαμεν; Πλείστας ἔναγχός σοι προκεκομίκαμεν. Τόμον ὅλον ἐγκεχειρικότες τοιούτων μεστόν. Ὅμως ἂν ἐξ ἐκείνων κἀνταῦθα βραχείας τινὰς παραθήσομεν. Ὁ τοίνυν τὰ θεῖα πολὺς Ἀθανάσιος, ἐν μὲν τῷ κατὰ Ἀρειανῶν πρώτῳ τάδε φησίν· Ὁ δὲ Σωτὴρ τὸ ἔμπαλιν Θεὸς ὢν, καὶ τῇ βασιλείᾳ τοῦ Πατρὸς

A lent penitus *ex Filio* tollere, una cum eo sustulerunt et *per Filium*, et tantorum Patrum documenta, si qua captionis dabatur ansa, perverterunt, sin vero nulla apparebat, tum illa, tanquam quæ cum multis aliis non convenirunt, rejecerunt. Et ubicunque erat ex Patre sive effundi, sive emanare Spiritum sanctum, de processione voces acceperunt, ubicunque vero per Filium annexum erat, effusionem ibi, et emanationem, et si quid aliud simile, pro dono, et munere dici contenderunt.

4. Neque ulla illis prudentia adfuit discernendi. Primum quidem multos sanctos Patres et apertissime omnino sancivisse per Filium Spiritum sanctum ex Patre procedere, at per Filium non pro-
B cedere nullum, dum de rebus divinis ageret, affirmasse, nisi quis hoc a Theodoreto contentionis vitio dictum in medium afferat, propter quod depositus et proscriptus est; licet postea semetipsum condemnans, sermonibus propriis quos exsecrandæ contentionis studio effutierat, ablegatis, et anathematis diris subactis, vix tandem receptus sit.

5. Secundo vero, quonam modo posset Filius Spiritum largiri, nisi esset cum eo aliqua alia habitudine, quam consubstantialitatis conjunctus? Etenim, si consubstantialitatis causa in Filio esset suppeditationis Spiritus, sive alterius cujuspiam ex iis quæ Spiritus habere dicitur a Filio, quando quemadmodum ejusdem essentiæ est cum Spiritu Filius; ita et Spiritus cum Filio, largitur vero
C Filius Spiritum, suppeditaret quoque Filium Spiritus: proprius est Filii Spiritus, proprius diceretur et Filius Spiritus; mittit Filius Spiritum, et ipse ut Deus contra mitteretur a Spiritu; loquitur Spiritus, quæcunque a Filio audit, et Filius loqueretur quæcunque a Spiritu audiret; ex Filio accipit Spiritus, acciperet et ex Spiritu Filius; per Filium Spiritus conjungitur Patri, et Filius per Spiritum proprio Patri conjungeretur; quæcunque habet Spiritus, a Filio habet, et Filius quæcunque habet, ea haberet a Spiritu; per Spiritum Filius operatur, et Spiritus per Filium operaretur; imago est Filii Spiritus, et Filius imago Spiritus esset: talem ordinem, naturamque habet Spiritus ad Filium, qualem Filius habet ad Patrem, talem ha-
D beret et Filius ad Spiritum et ordinem, et naturam, qualem ipse Spiritus ad Patrem. Multa his similia sunt. Interim autem, et ex his quæ numerata jam sunt, qui omnino verecundiam non deposuit, et prorsus oblitus sui non est, veritati assensum præbebit.

6. Testimonia jam dictorum exposcis? Plurima paulo ante obtulimus, cum tomum traderemus horum refertissimum; nihilominus ex iis et hic nonnulla apponemus. Divinissimus Athanasius contra Arianos Oratione hæc habet: *Rursum vero Salvator Deus exsistens, dominatu Patris perpetuo imperans, et Spiritum sanctum unicus ipse largiens.*

OCR ABK / FR

A Item : *Neque enim ex seipso Spiritus loquitur, sed Verbum est, quod illum dignis subministrat :* Item : *Denique quemadmodum ante incarnationem Verbum cum esset, sanctis veluti proprium Spiritum elargiebatur, sic et homo factus Spiritu sanctificat omnes.* Et tertia oratione : *Si Spiritus scit, multo magis scit Verbum, qua Verbum est, ex quo et Spiritus accipit.* Rursum : *Quæcunque habet Spiritus, ea habet a Verbo.* Illud autem : *Quicunque dixerit contra Filium hominis, remittetur ei,* exponens ait de Christo : *Ipse Verbum Dei cum sit, ipse per Spiritum omnia operatur.* Et ad Serapionem episcopum : *Imago Filii dicitur, et est Spiritus.* Item : *Filius a Patre quidem mittitur, ipse vero Spiritum mittit ; et Filius quidem Patrem glorificat, dicens : « Pater, ego te glorificavi. » Spiritus autem glorificat Filium : « Ille enim, » ait, « me glorificabit. » Et Filius inquit : « Quæ audivi a Patre, hæc et loquor mundo. » Spiritus ex Filio accipit : « De meo enim, » inquit, « accipiet, et annuntiabit vobis. » Et Filius in nomine Patris venit : « Spiritus autem sanctus, » ait, « quem mittet Pater in nomine meo. » Talem ordinem et naturam cum habeat Spiritus ad Filium, qualem habet Filius ad Patrem, quomodo hunc creaturam vocat, non idem et de Filio necessario sentiet? Etenim si Spiritus est creatura Filii, subsequens omnino fuerit affirmare eosdem, et Verbum Patris esse creaturam.* Magnus tum in agendis, tum in meditandis Basilius, de fide tractans in Asceticis : *Patre mittente Filium, Filio mittente Spiritum sanctum.* Item : *Spiritus sanctus, qui docet, et memoriæ suggerit, quæcunque a Filio audierit.* Et ad Amphilochium scribens : *Unus vero est et Spiritus sanctus, qui et ipse singulariter enuntiatur, et per unum Filium uni Patri conjungitur.* Et ad fratrem suum inter sanctos sapientissimum Gregorium de differentia essentiæ et hypostasis : *Quemadmodum,* ait, *in catena, qui unam extremitatem arripit, et aliud extremum una cum ea attrahit, sic et qui Spiritum traxit, per eum et Filium simul traxit ; et si quis Filium vere susceperit, habebit ipsum utraque ex parte, hac Patrem, illa proprium Spiritum una secum ducentem. Neque enim a Patre, qui semper in Patre est, præscindi potest ; neque a Spiritu unquam dissociabitur proprio, qui omnia in ipso operatur.* Et in Antirrheticis : *Unus Deus cum sit, Deus Filius paterna natura et paterno nomine ; unus cum sit Dominus Filius, Dominus Pater, imaginis nomine vocitatus, tanquam exemplar illius et genitor, sic et Spiritus Dominus a Domino nomen habet, a quo subministratur, et Dominus ab imagine Spiritus, quando et Deus Spiritus ab eodem cognominetur.* Sapientissimus Cyrillus, ad imperatorem Theodosium de Christo : *Liberans enim a peccatis eum qui ipsi adhæret, proprio deinceps ungit Spiritu, quem immittit ipse tanquam ex Deo Patre Verbum ; et ex propria natura nobis emittens, et tanquam rem incarnationis, dispensatione communem ponens propter unionem etiam, ut homo corporaliter insufflabat.*

ἀεὶ βασιλεύων, τοῦ τε Πνεύματος τοῦ ἁγίου αὐτὸς ὢν χορηγὸς μόνος. Καὶ πάλιν· Οὐ γὰρ ἀφ' ἑαυτοῦ τὸ Πνεῦμα λαλεῖ, ἀλλ' ὁ Λόγος ἐστὶν ὁ τοῦτο διδοὺς τοῖς ἀξίοις. Καὶ αὖθις· Ἀμέλει ὥσπερ πρὸ τῆς ἐνανθρωπήσεως Λόγος ὢν ἐχορήγει τοῖς ἁγίοις ὡς ἴδιον τὸ Πνεῦμα, οὕτω καὶ ἄνθρωπος γενόμενος, ἁγιάζει τοὺς πάντας τῷ Πνεύματι. Ἐν τῷ τρίτῳ δὲ τῶν αὐτῶν· Εἰ τὸ Πνεῦμα οἶδε, πολλῷ μᾶλλον ὁ Λόγος, ᾗ Λόγος ἐστὶν, οἶδε, παρ' οὗ καὶ τὸ Πνεῦμα λαμβάνει. Καὶ αὖθις· Καὶ ὅσα ἔχει τὸ Πνεῦμα, ταῦτα παρὰ τοῦ Λόγου ἔχει. Τὸ δ', Ὃς ἂν εἴπῃ κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ, διερμηνεύων, φησὶ περὶ τοῦ Χριστοῦ, ὅτι, Αὐτὸς Λόγος ὢν τοῦ Θεοῦ, αὐτὸς διὰ τοῦ Πνεύματος ἐνεργεῖ τὰ πάντα.
B Πρὸς Σεραπίωνα δὲ τὸν ἐπίσκοπον· Εἰκὼν τοῦ Υἱοῦ λέγεται, καὶ ἔστι τὸ Πνεῦμα. Καὶ πάλιν· Ὁ μὲν Υἱὸς παρὰ τοῦ Πατρὸς ἀποστέλλεται, αὐτὸς δὲ τὸ Πνεῦμα ἀποστέλλει· καὶ ὁ μὲν Υἱὸς τὸν Πατέρα δοξάζει, λέγων, Πάτερ, ἐγώ σε ἐδόξασα, τὸ δὲ Πνεῦμα δοξάζει τὸν Υἱόν. Ἐκεῖνος γὰρ, φησὶν, ἐμὲ δοξάσει. Καὶ ὁ μὲν Υἱὸς φησὶν, Ἃ ἤκουσα παρὰ τοῦ Πατρὸς, ταῦτα καὶ λαλῶ εἰς τὸν κόσμον, τὸ δὲ Πνεῦμα ἐκ τοῦ Υἱοῦ λαμβάνει. Ἐκ τοῦ ἐμοῦ γὰρ, φησὶ, λήψεται. Καὶ ὁ μὲν Υἱὸς ἐν τῷ ὀνόματι τοῦ Πατρὸς ἦλθε. Τὸ δὲ Πνεῦμα τὸ ἅγιον, φησὶν, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου. Τοιαύτην δὲ τάξιν καὶ φύσιν ἔχοντος τοῦ Πνεύματος πρὸς τὸν Υἱὸν, οἵαν ἔχει ὁ Υἱὸς πρὸς τὸν Πατέρα, πῶς ὁ τοῦτο κτίσμα λέγων, οὐ τὸ αὐτὸ καὶ περὶ τοῦ Υἱοῦ ἐξ ἀνάγκης φρονήσει;
C Εἰ γὰρ ἔστι τὸ Πνεῦμα τοῦ Υἱοῦ κτίσμα, ἀκόλουθον ἂν εἴη λέγειν αὐτοὺς καὶ τὸν Λόγον τοῦ Πατρὸς εἶναι κτίσμα. Ὁ μέγας ἐν θεωρίᾳ καὶ πράξει Βασίλειος περὶ τῆς πίστεως διαλαμβάνων ἐν τοῖς Ἀσκητικοῖς· Τοῦ μὲν Πατρὸς πέμποντος τὸν Υἱὸν, τοῦ δὲ Υἱοῦ πέμποντος τὸ ἅγιον Πνεῦμα. Καὶ πάλιν, Τὸ Πνεῦμα τὸ ἅγιον τὸ διδάσκον, καὶ ὑπομιμνῆσκον πάντα, ὅσα ἂν ἀκούοι παρὰ τοῦ Υἱοῦ. Ἐπιστέλλων δὲ πρὸς Ἀμφιλόχιον· Ἓν δὲ καὶ τὸ ἅγιον Πνεῦμα, φησὶ, καὶ αὐτὸ μοναδικῶς ἐξαγγελλόμενον, καὶ δι' ἑνὸς Υἱοῦ τῷ ἑνὶ Πατρὶ συναπτόμενον. Πρὸς δὲ τὸν ἀδελφὸν αὐτοῦ τὸν σοφὸν ἐν ἁγίοις Γρηγόριον, περὶ διαφορᾶς οὐσίας καὶ ὑποστάσεως, Ὥσπερ, φησὶν, ἐξ ἁλύσεως, ὁ τοῦ ἑνὸς ἄκρου ἀψάμενος, καὶ τὸ ἕτερον ἄκρον
D συνεπεσπάσατο, οὕτως ὁ τὸ Πνεῦμα ἑλκύσας, δι' αὐτοῦ καὶ τὸν Υἱὸν συνεφελκύσατο, καὶ εἰ τὸν Υἱὸν ἀληθῶς τις λάβοι, ἕξει αὐτὸν ἑκατέρωθεν, πῇ μὲν τὸν ἑαυτοῦ Πατέρα, πῇ δὲ τὸ ἴδιον Πνεῦμα συνεπαγόμενον. Οὔτε γὰρ τοῦ Πατρὸς ὁ ἀεὶ ὢν ἐν τῷ Πατρὶ ἀποτμηθῆναι δύναται, οὔτε τοῦ Πνεύματος ποτὲ διαζευχθήσεται τοῦ ἰδίου, ὁ πάντα ἐν αὐτῷ ἐνεργῶν. Ἐν δὲ τοῖς Ἀντιῤῥητικοῖς, Ἑνὸς ὄντος τοῦ Θεοῦ, Θεὸς ὁ Υἱὸς, Πατρικῇ φύσει, καὶ Πατρικῷ ὀνόματι. καὶ ἑνὸς ὄντος Κυρίου τοῦ Υἱοῦ, Κύριος ὁ Πατὴρ, τῷ τῆς εἰκόνος ὀνόματι καλούμενος, ὡς πρωτότυπος αὐτῆς καὶ γεννήτωρ, οὕτω καὶ τὸ Πνεῦμα Κύριος

OCR ABK / FR

ἀπὸ τοῦ Κυρίου τὴν ἐπωνυμίαν ἔχει, ἀφ' οὗ καὶ A μεταδίδοται· καὶ ὁ Κύριος ἀπὸ τῆς εἰκόνος Πνεῦμα, ἐπεὶ καὶ ὁ Θεὸς Πνεῦμα ἀπ' αὐτοῦ προσηγόρευται. Ὁ σοφώτατος Κύριλλος πρὸς τὸν βασιλέα Θεοδόσιον περὶ τοῦ Χριστοῦ· Ἀπολύων γὰρ ἁμαρτίας τὸν αὐτῷ προσκείμενον, τῷ ἰδίῳ λοιπὸν καταχρίει Πνεύματι, ὅπερ ἐνίησι μὲν αὐτὸς ὡς ἐκ Θεοῦ Πατρὸς Λόγος, καὶ ἐξ ἰδίας ἡμῖν ἀναπηγάζων φύσεως, κοινὸν δὲ ὥσπερ τὸ χρῆμα τιθεὶς τῇ μετὰ σαρκὸς οἰκονομίᾳ διὰ τὴν ἕνωσιν, καὶ ὡς ἄνθρωπος ἐνέπνει σωματικῶς. Ἐν δευτέρῳ βιβλίῳ τῶν Θησαυρῶν· Ἀνάγκη τὸ Πνεῦμα τῆς οὐσίας ὑπάρχειν ὁμολογεῖν τοῦ Υἱοῦ. Ὡς γὰρ ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχον, καὶ ἐπὶ τὴν κτίσιν παρ' αὐτοῦ πεμπόμενον, τὸν ἀνακαινισμὸν ἐργάζεται. Καὶ πάλιν, Οὐκ ἀλλότριον τῆς οὐσίας τοῦ Υἱοῦ τὸ ἅγιον Πνεῦμα, ἀλλ' ἐν αὐτῷ, καὶ ἐξ αὐτοῦ, καὶ ὥσπερ ἐνέργειά τις φυσική. Πρὸς δὲ Νεστόριον περὶ τοῦ Χριστοῦ πάλιν, Αὐτὸς ἐνεργῶν διὰ τοῦ ἁγίου Πνεύματος, ἔφασκεν, ὅτι Ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν. Ἀλλ' ἐκ τούτων μὲν φανερόν, ὅτι δι' Υἱοῦ τὸ Πνεῦμα παρὰ Πατρός.

Secundo *Thesaurorum* libro: *Necessario Spiritum ex natura Filii exsistere fatendum est: namque ut ex eo natura exsistens, et in creaturas ab eodem missus renovationem efficit.* Item: *Non est alienus ab essentia Filii Spiritus sanctus, sed in ipso, et ex ipso, et veluti operatio quædam naturalis.* Item ad Nestorium de Christo: *Ipse operans per Spiritum sanctum dicebat: « De meo accipiet, et annuntiabit vobis. »* Atque ex his quidem manifestum est, per Filium esse Spiritum a Patre.

ζ'. Ἤδη δὲ καὶ τινας ἐνστάσεις τῶν ἀντιφερομένων τάς γε βιαιοτέρας ἐπισκεπτέον, ὅπως ἂν ἐξεταζομένων αὐτῶν ἡ τῆς ἀληθείας σύστασις ἐπὶ πλέον ἰσχυροτέρα φανείη τῇ τῶν τῆς ἀπάτης συστροφῶν διαλύσει συντρέχουσα, καὶ τὸ δι' Υἱοῦ τὸ Πνεῦμα πεφηνέναι παρὰ Πατρὸς ἐκφαίνουσα τρανότερον καὶ κρατύνουσα. Πῶς οὖν εἰκών ἐστι τοῦ Υἱοῦ τὸ Πνεῦμα; φασίν. Εἰ τοῦτό ἐστι, τῷ Υἱῷ κατὰ πάντα παρισωθήσεται, καὶ ἕξει παρ' ἑαυτῷ τὰ τῆς τοῦ Υἱοῦ γνωριστικὰ ὑποστάσεως. Πῶς οὖν οὐκ ἔσται γέννημα τοῦ Πατρός, ἀλλὰ πρόβλημα; ἢ πῶς οὐ τοῦ Υἱοῦ μὲν Υἱός, ἔγγονος δὲ τοῦ Πατρός, εἴπερ εἰς τὸν Υἱὸν ὡς εἰς ἀρχέτυπον ἀναφέρεται; Πρὸς ταῦτα κἂν μὴ πρὸς ἡμᾶς ἡ μάχη, πρὸς γὰρ τοὺς εἰρηκότας εἰκόνα τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ' ἡμεῖς οὕτω φαμέν. Πᾶσα εἰκὼν ἐξ ἀνάγκης διαφέρει κατά τι πρὸς τὸ ἀρχέτυπον. Διαφορᾶς γὰρ οὐκ οὔσης τινὸς ἐν αὐτοῖς, εἶεν ἂν αἱ εἰκόνες ἀρχέτυπα· διὸ καθάπερ ὁ Υἱὸς εἰκὼν ὑπάρχων Πατρὸς διενήνοχε τοῦ πρωτοτύπου τῷ ἰδιώματι. Υἱὸς γὰρ οὐ Πατήρ, γεννητός, οὐκ ἀγέννητος, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον, εἰκὼν τοῦ Υἱοῦ, καὶ ὂν καὶ λεγόμενον Πνεῦμά ἐστιν, οὐχ Υἱός, προβλητόν, ἀλλ' οὐ γεννητόν. Ἡ γὰρ ἰδιότης ἀκίνητός ἐστιν ἐκ τοῦ ταύτην ἔχοντος· ἢ πῶς ἂν ἰδιότης μένοι κοινουμένη, καὶ ἀφ' ἑτέρου πρὸς ἕτερον μεταπίπτουσα; Τὸ γὰρ ἐν δυσὶν ἢ πολλοῖς θεωρούμενον, κοινότης, ἀλλ' οὐκ ἰδιότης ἐστίν.

B 7. Sed jam adversariorum objectiones aliquæ, et validiores considerandæ sunt, ut iis examinatis, veritas magis, fraudum machinis dissolutis, elucescat, per Filium Spiritum exsistere ex Patre, planius confirmans, atque stabiliens. Quomodo itaque imago Filii Spiritus est? *inquiunt.* Si id fuerit, Filio in omnibus exæquabitur, habebitque apud semetipsum per omnia hypostaseos Filii notas. Quomodo itaque non erit generatus a Patre, sed procedens? et quomodo non erit Filius Filii, et Patris nepos, si in Filium tanquam ad exemplar transfertur? Ad hæc, licet contentio contra nos suscepta non sit, sed contra eos qui Filii imaginem Spiritum sanctum asseverant, nos ita occurrimus: Omnis imago necessario ab exemplari suo in aliquo C differt. Nam si nulla esset inter ea differentia, essent plane imagines exemplaria. Quapropter, quemadmodum Filius imago Patris cum sit, differt tamen ab exemplari proprietate; Filius enim est, non Pater; generatus, non ingenitus: sic et Spiritus sanctus imago Filii cum sit, et dicatur, Spiritus, est non Filius; effusus, sed non generatus; proprietas enim ab eam possidente avelli non potest; vel quomodo proprietas, si communicaretur, et ab uno in alium transmearet? Quod enim in duobus, aut pluribus conspicitur, communitas est, non proprietas.

η'. Ὅθεν οὐδὲ Υἱὸς ὅλως ἐκλήθη τὸ Πνεῦμα τὸ ἅγιον, ὡς ἂν εἴη μόνος Υἱός, ὁ Υἱὸς καὶ μόνον Υἱός, οὐ μὴν καὶ Πατήρ, τὸ Πνεῦμα τὸ ἅγιον, Πνεῦμα μόνον, ἀλλ' οὐχὶ καὶ Υἱός, καθὼς καὶ ὁ Πατὴρ μόνον Πατήρ. Διὸ καὶ ὁ μέγας ἐν θεωρίᾳ καὶ πράξει Βασίλειος οὕτω φησὶ πρὸς Εὐνόμιον ἀποροῦντα· Διὰ τί μὴ καὶ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλ' ἵνα τὸ Πνεῦμα Υἱὸς τοῦ Υἱοῦ. Ὅτι οὐ διὰ τὸ μὴ εἶναι ἐκ Θεοῦ δι' Υἱοῦ, ἀλλ' ἵνα ἡ Τριὰς μὴ νομισθῇ πλῆθος ἄπειρον υἱοὺς ἐξ υἱῶν, ὡς καὶ ἐν ἀνθρώποις, ἔχειν ὑποπτευθεῖσα. Ἀλλὰ λέγεις, Εἰ Θεοῦ μὲν εἰκὼν ὁ Υἱός, Υἱοῦ δὲ τὸ Πνεῦμα. καὶ εἰ Θεοῦ μὲν Λόγος ὁ Υἱός, ῥῆμα δὲ Υἱοῦ τὸ

8. Hinc neque Filius prorsus vocatus est Spiritus sanctus; et solus Filius esset Filius, et tantummodo Filius, et non Pater: et Spiritus sanctus D Spiritus solum, non item et Filius, quemadmodum et Pater solum Pater. Propterea magnus tum agendis, tum meditandis Basilius Eunomio hæsitanti, quare non et Spiritus Filius Filii? respondet: *Non quod non sit ex Deo per Filium, sed ne Trias infinitam multitudinem, Filios scilicet ex Filiis, ut in hominibus solet, in se habere existimaretur. Sed ais: Si Dei imago est Filius, Filii vero Spiritus; et si Dei quidem Verbum Filius, Verbum vero Filii Spiritus, quare non et Filius Filii Spiritus dictus est?*

OCR ABK / FR

*hoc siquidem validissimo argumento ad tuam impietatem astruendam usus es. Aut enim Filium, aut creaturam jubes non tenere : et quod Filius nuncupatus non est, ideo creaturam esse impie asseris illum qui creaturæ causa est, qui creaturam sanctificat, et deificat, qui Domini, Deique appellatione glorificatur, qui divinas complet operationes. Cum itaque appellatione Filii indignus tibi judicetur, tanquam a Patre et Filio alienus, considera quanam ratione Filios efficit eos qui sanctificantur. Quod si tu per Spiritum Filius Dei es, quomodo Spiritus a filiatione alienus est?* Item : *Dicimus itaque affirmare Filium ex Filio Triadem in multitudinis deitatum suspicionem homines, qui id audissent, adduxisset ; in promptu namque erat suspicari, sicut Filius ex Filio generatus est, ita ex hoc rursus alium prognatum esse, et rursus alium, et sic item plures alios unum post alium. Propterea ex Deo quidem esse Spiritum, palam Apostolus edixit, dicens : « Spiritum, qui ex Deo est, accepimus. » Et per Filium apparere plane demonstravit, cum Spiritum illum vocasset uti Dei et mentem Christi insuper asserens, quemadmodum et Dei Spiritum ut hominis. Filium vero Filii dicere cavit, ut unus quidem Pater et Deus, qui semper Pater perseverat, et est ab æterno quod est : unus vero Filius sempiterna generatione generatus qui sine principio est cum Patre, et Filius verus Dei semper est, qui est Deus Verbum et Dominus : unus et Spiritus sanctus vere Spiritus sanctus.*

9. *Et quare,* inquit, *Spiritus descendit ad Filium in specie columbæ, si omnino ex Filio erat? Qui ita sentit, modis omnibus in duo Christum unum dividit, ut ex Filio Dei Spiritum sanctum descendere dicat in filium hominis. Dicimus itaque non aliunde quam de cælo in Dominum Spiritum descendere decuisse, unde etiam vox Patris advenit, ut cælestem esse confirmaret, et Filium vere Dei, qui in terra abluebatur. Deinde ut in hominem propter dispensationem super Filium Spiritus descendit.* Hoc et sapientissimus docuit Cyrillus, prophetam Joelem exponens : *Qua enim est,* ait, *Deus et ex Deo secundum naturam Filius (generatus enim vere est ex Deo Patre) proprius ejus et in eo Spiritus est : quemadmodum et de ipso Deo et Patre intelligitur. Qua vero factus est homo, et modo nostro apparuit, ascititius illi esse Spiritus dicitur ; descendit enim super ipsum in specie columbæ, cum secundum nos factus, ut dixi, tanquam unus ex nobis per dispensationem baptizaretur. Tum et proprius ipsius Spiritus donatus ipsi dicitur propter humanitatem ; et hæc est exinanitio. Cum itaque ut homo propter dispensationem accipiebat Spiritum suum, undenam illum nisi de cælo in sui gloriam debebat accipere? Post passionem vero, et resurrectionem, jam dispensatione perfecta, non accipit Spiritum sanctum, sed elargitur, et ex semetipso transmittit per insufflationem, facto ipso edocens, per eum a Patre procedere. Interim itaque*

A Πνεῦμα, διατί μὴ Υἱὸς Υἱοῦ τὸ Πνεῦμα εἴρηται; Τούτῳ γὰρ ἰσχυροτάτῳ πρὸς τὴν ἀσέβειαν ἐχρήσω. Ἢ γὰρ Υἱὸν, ἢ κτίσμα κελεύεις νοεῖν. Καὶ ὅτι μὴ Υἱὸς ὠνόμασται, διὰ τοῦτο κτίσμα εἶναι, βλασφημεῖς, τὸ τῆς κτίσεως αἴτιον, τὸ τῆς κτίσεως ἁγιαστικὸν καὶ θεοποιὸν, τὸ Κυρίου καὶ Θεοῦ δοξαζόμενον ὀνόματι, τὸ τῶν θείων ἐνεργειῶν πληρωτικόν. Ἐπεὶ οὖν ἀνάξιόν σοι φαίνεται τῆς τοῦ Υἱοῦ προσηγορίας ὡς ἀλλότριον Πατρὸς καὶ Υἱοῦ, σκέψαι, πῶς υἱοὺς ἀπεργάζεται τοὺς ἁγιαζομένους. Εἰ δὲ σὺ διὰ τοῦ Πνεύματος Υἱὸς Θεοῦ, πῶς τὸ Πνεῦμα ξένον υἱότητος; Καὶ αὖθις· Λέγομεν οὖν ὅτι τὸ εἰπεῖν Υἱὸν ἐξ Υἱοῦ, τὴν Τριάδα τῆς θεότητος εἰς πλήθους ὑποψίαν προσῆγεν ἀνθρώποις, ἀκούσασιν. Ἕτοιμον B γὰρ ἦν ὑπολαβεῖν, ὡς εἴπερ Υἱὸς ἐξ Υἱοῦ γεγέννηται, καὶ ἐκ τούτου πάλιν ἕτερος ἂν εἴη γεγεννημένος, καὶ πάλιν ἄλλος, καὶ ἐπὶ πλῆθος ἑξῆς· Διὰ δὴ τοῦτο τὸ μὲν ἐκ Θεοῦ τὸ Πνεῦμα εἶναι, τρανῶς ἀνεκήρυξεν ὁ Ἀπόστολος, λέγων, ὅτι Τὸ Πνεῦμα τὸ ἐκ τοῦ Θεοῦ ἐλάβομεν, καὶ τὸ δι' Υἱοῦ πεφηνέναι σαφὲς πεποίηκει Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτὸ καθάπερ Θεοῦ, καὶ νοῦν Χριστοῦ προσειπὼν, καθάπερ καὶ Θεοῦ Πνεῦμα ὡς τοῦ ἀνθρώπου, Υἱὸν δὲ τοῦ Υἱοῦ προσειπεῖν ἐφυλάξατο, ἵνα εἷς μὲν Πατὴρ καὶ Θεὸς, ὁ ἀεὶ Πατὴρ διαμένων, καὶ ὢν ἀϊδίως ὅ ἐστιν. Εἷς δὲ Υἱὸς ἀϊδίῳ γεννήσει γεγεννημένος, ὁ ἄναρχος σὺν τῷ Πατρὶ, Υἱὸς ἀληθινὸς Θεοῦ, ἀεὶ ὢν, ὅ ἐστι, Θεὸς Λόγος καὶ Κύριος, ἓν δὲ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀληθῶς ἅγιον Πνεῦμα.

C Θ'. Καὶ ἵνα τι, φησὶ, τὸ Πνεῦμα κατῆλθεν ἐπὶ τὸν Υἱὸν ἐν εἴδει περιστερᾶς, εἴπερ ἦν ὅλως ἐκ τοῦ Υἱοῦ; Πάντως ὁ οὕτω φρονῶν, εἰς δύο διαιρεῖ τὸν ἕνα Χριστὸν, ἵνα ἐκ τοῦ Υἱοῦ τοῦ Θεοῦ καταβαῖνον εἴπῃ τὸ Πνεῦμα ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. Λέγομεν οὖν, ὡς οὐκ ἄλλοθεν ἐχρῆν κατιέναι τὸ Πνεῦμα ἐπὶ τὸν Κύριον, ἢ ἐκ τῶν οὐρανῶν, ὅθεν καὶ ἡ φωνὴ τοῦ Πατρὸς, ὡς ἂν οὐράνιον εἶναι πιστώσηται, καὶ Υἱὸν ὄντως Θεοῦ τὸν ἐπὶ γῆς βαπτιζόμενον. Ἔπειτα καὶ ὡς εἰς ἄνθρωπον διὰ τὴν οἰκονομίαν ἐπὶ τὸν Υἱὸν τὸ Πνεῦμα κατέρχεται. Τοῦτο καὶ ὁ σοφώτατος ἐδίδαξε Κύριλλος, τὸν προφήτην Ἰωὴλ ἐξηγούμενος. Ἧ μὲν γάρ ἐστιν, εἰπὼν, Θεὸς καὶ ἐκ Θεοῦ κατὰ φύσιν ὁ Υἱὸς (γεγέννηται γὰρ ἀληθῶς ἐκ τοῦ D Θεοῦ καὶ Πατρὸς), ἴδιον αὐτοῦ τε καὶ ἐν αὐτῷ καὶ ἐξ αὐτοῦ τὸ Πνεῦμά ἐστι καθάπερ ἀμέλει καὶ ἐπ' αὐτοῦ νοεῖται τοῦ Θεοῦ καὶ Πατρός. Ἧ δὲ γέγονεν ἄνθρωπος καὶ πέφηνε καθ' ἡμᾶς, ἐπακτὸν αὐτῷ εἶναι τὸ Πνεῦμα λέγεται. Καταπεφοίτηκε γὰρ ἐπ' αὐτὸν ἐν εἴδει περιστερᾶς, ὅτε καθ' ἡμᾶς γεγονὼς, ὡς ἔφην, ὡς εἷς ἐξ ἡμῶν οἰκονομικῶς ἐβαπτίζετο. Τότε καὶ τὸ ἴδιον αὐτοῦ Πνεῦμα δοτὸν αὐτῷ λέγεται, διὰ τὸ ἀνθρώπινον· καὶ τοῦτό ἐστιν ἡ κένωσις. Ἐπεὶ γοῦν ὡς ἄνθρωπος διὰ τὴν οἰκονομίαν ἐδέχετο τὸ Πνεῦμα αὐτοῦ, πόθεν ἔδει τοῦτο δέχεσθαι, εἰ μὴ ἀπὸ τῶν οὐρανῶν εἰς δόξαν αὐτοῦ; Μετὰ δὲ τὸ πάθος καὶ τὴν ἀνάστα-

OCR ABK / FR

σιν ἤδη τῆς οἰκονομίας τετελεσμένης, οὐ δέχεται τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλὰ δίδωσι καὶ ἀφ' ἑαυτοῦ προΐησι δι' ἐμφυσήσεως, πρακτικῶς ἐκδιδάσκων, ὅτι δι' αὐτοῦ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται. Τέως δ' οὖν ἐπεὶ ἀπερίγραπτος ὁ Λόγος καὶ ἐν τῷ Ἰορδάνῃ μετὰ σώματος ἦν, οὐ προσείληφε, καὶ ἀσωμάτως ἐν οὐρανῷ καθὼς καὶ ἁπανταχοῦ. Αὐτὸς οὖν ἀπὸ τῶν οὐρανῶν ὡς Θεὸς πέμπει τὸ Πνεῦμα αὐτοῦ εἰς ἑαυτὸν ὡς εἰς ἄνθρωπον. Διὸ καὶ ὁ τὰ θεῖα πολὺς Ἀθανάσιος, ἐν οἷς περὶ τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς Λόγου διέξεισιν, εἰπὼν ὅτι, ὥσπερ περιστερὰ ὤφθη τὸ Πνεῦμα τὸ ἅγιον καταβαῖνον καὶ μένον ἐπὶ τὸν Κύριον, ἐπάγει λοιπόν· Αὐτὸς γὰρ ἄνωθεν αὐτὸ ἔπεμπεν ὡς Θεὸς, καὶ αὐτὸς αὐτὸ κάτωθεν ὑπεδέχετο ὡς ἄνθρωπος. Ἐξ αὐτοῦ οὖν εἰς αὐτὸν κατῄει, ἐκ τῆς θεότητος αὐτοῦ εἰς τὴν ἀνθρωπότητα αὐτοῦ.

ι'. Πάλιν ἐνίστανται γενναιότερον οὕτω προτείνοντες. Πᾶν ὃ περὶ Θεοῦ λέγεται, ἢ κοινόν ἐστι τῆς Τριάδος, ἢ μιᾶς ὑποστάσεως ἴδιον· ὥστε καὶ τὸ ἐκπορευτικὸν, ἢ καὶ τῶν τριῶν εἴη ἂν ὑποστάσεων, ἢ μιᾶς ἐξ αὐτῶν· μέσον γάρ τι φυσικοῦ καὶ ὑποστατικοῦ ἰδιώματος, οὐ γινώσκομεν. Ἐπεὶ δὲ παρὰ τοῦ Πατρὸς ὁμολογουμένως ἐκπορεύεται τὸ Πνεῦμα, παρ' ἑαυτοῦ δὲ ἀδύνατον ἐκπορεύεσθαι, οὐδὲ παρὰ τοῦ Υἱοῦ ἐκπορεύεται, καὶ ἔσται τῆς Πατρικῆς ὑποστάσεως ἴδιον τὸ ἐκπορευτικόν. Οὕτω γὰρ καὶ Γρηγόριος ἐν βίβλῳ τῇ Θεογνωσίᾳ διδάσκει τῶν Νυσσαέων ὁ πρόεδρος, Πνεῦμα λέγων, τὸ τῆς Πατρικῆς ὑποστάσεως ἐκπορευόμενον, τοῦ δ' ἕνεκα γὰρ καὶ Πνεῦμα στόματος, ἀλλ' οὐχὶ Λόγον στόματος εἴρηκεν ὁ Δαβὶδ, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πατρὶ μόνῳ προσοῦσαν πιστώσηται.

ια'. Τί οὖν ἡμεῖς πρὸς ταῦτα φαμέν; Πρῶτον μὲν, ὅτι τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ Υἱοῦ καθάπερ ἐκ πρώτης ἀρχῆς δογματίζομεν, ἀλλὰ διὰ τοῦ Υἱοῦ παρὰ τοῦ Πατρός. Ἔπειτα καθὼς οὐ δύναται παρ' ἑαυτοῦ ἐκπορεύεσθαι πάντως, οὐδ' ἀποστέλλεσθαι παρ' ἑαυτοῦ δύναιτ' ἂν, ἵνα μὴ τὸ αὐτὸ καὶ ἀποστέλλον εἴη κατὰ ταυτὸν, καὶ ἀποστελλόμενον. Ἐπεὶ δὲ καὶ παρὰ Πατρὸς ἀποστέλλεται, καὶ παρὰ τοῦ Υἱοῦ, καθὼς αὐτὸς ὁ τοῦ Πατρὸς Υἱὸς ἐν Εὐαγγελίοις ἐδίδαξεν, ἔγνωμεν, ἰδοὺ τὴν ἀποστολὴν τοῦ Πνεύματος, μέσην ὑποστατικῆς τε καὶ φυσικῆς ἰδιότητος. Ὅθεν ὁ τῆς ἐνστάσεως θέμεθλος διασέσεισται καὶ σεσάθρωται. Τί δ' ἂν φαῖεν καὶ κατ' αὐτὸ τὸ τοῦ Πνεύματος ὄνομα τοῦ ἀγνώστου μέσου γινωσκομένου; Πνεῦμα γὰρ Πατρὸς, καὶ Πνεῦμα Υἱοῦ, τὸ ἅγιον Πνεῦμα λέγεται, καὶ ἐστὶν, ἑαυτοῦ δὲ Πνεῦμα οὔτ' ἔστιν, οὔτε λέγεται, καθὼς οὐδὲ ὁ Πατὴρ ἑαυτοῦ Πατὴρ, ἢ ὁ Υἱὸς ἑαυτοῦ Υἱός.

ιβ'. Ἀλλ' ἐξεταστέον λοιπὸν, εἴπερ ὀρθῶς τε καὶ ἀσφαλῶς τὸ τοῦ σοφοῦ Γρηγορίου ῥητὸν παρενήνεκται, λέγοντος, ὡς αὐτοί φασι, τὸν Δαβὶδ τούτου χάριν εἰρηκέναι τὸ Πνεῦμα στόματος πνεῦμα, καὶ μὴ τὸν Λόγον στόματος λόγον, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα τῷ Πατρὶ μόνῳ προσοῦσαν πιστώσηται. Πῶς οὖν εἰ τὸν Λόγον εἰρήκει στόματος λόγον, καί τινι μετὰ τοῦ Πατρὸς ἑτέρῳ τὴν τοιαύτην ἂν ἐκπορευτικὴν ἰδιότητα ἐκοινώσατο; Ποίαν ἔχει τὴν

A *Verbum incircumscriptum cum esset, in Jordane erat cum corpore, quod assumpserat, et sine corpore, in cœlo, ut et ubique. Ipse igitur de cœlo ut Deus mittit Spiritum suum in semetipsum ut hominem.* Quapropter in rebus divinis præstans Athanasius, in iis quæ de incarnatione unigeniti Verbi per tractat, postquam dixisset tanquam columbam visum fuisse Spiritum sanctum descendentem manentemque super Dominum, subdit : *Ipse enim superne demittebat ut Deus, et inferne ipse eum suscipiebat ut homo. Ex eo igitur in eum descendebat, ex ejus deitate in humanitatem ipsius.*

10. Adhuc validius instant atque objiciunt : Quidquid de Deo dicitur, aut Triadi commune est, aut uni hypostasi proprium ; quare id quod est B emittere, aut tribus hypostasibus conveniet, aut uni ; nihil enim medium inter naturalem et hypostaticam proprietatem agnoscimus. Quando vero ex Patre, nemine hæsitante, Spiritus procedit, et fieri nequit ut a semet aliquid procedat neque ex Filio procedet, et sic vis emittendi erit propria hypostasis paternæ. Sic etenim et Gregorius in libro qui *De Dei cognitione* inscribitur, Nyssaensium antistes docet : *Spiritus,* inquiens,*ex paterna hypostasi procedens ; hanc etiam ob causam, et Spiritum oris, non autem Verbum oris David appellavit, ut proprietatem procedendi Patri soli astrueret.*

C

11. Quid itaque nos ad hæc dicimus ? Primum quidem nos Spiritum sanctum non ex Filio tanquam ex primo principio asseveramus, sed per Filium ex Patre. Deinceps, quemadmodum non potest ex seipso procedere omnino, neque a semetipso mitti poterit, ne idem et mittens sit secundum idem et missum. Cum autem et a Patre mittitur, et a Filio, sicuti ipse Patris Filius in Evangelio docuit, novimus, missionem Spiritus mediam inter hypostaticam, et naturalem proprietatem. Quare instantiæ fundamentum disjectum plane emarcuit. Quid porro dicerent de ipso Spiritus nomine, quod in iis in quibus medium non agnoscunt, medium tamen esse cognoscitur. Spiritus enim Patris, et Spiritus Filii sanctus Spiritus D dicitur et est ; sui ipsius vero Spiritus neque est, neque dicitur ; quemadmodum neque Pater sui ipsius Pater, neque Filius sui ipsius Filius.

12. Cæterum illud examinandum est, utrum recte tutoque sapientis Græcorii dictum adductum sit, dicentis, ut ipsi aiunt, Davidem ideo dixisse spiritum oris Spiritum, et non verbum oris Verbum, ut proprietatem emittendi soli Patri assereret. Quomodo itaque si dixisset verbum oris Verbum, aliquem una cum Patre hujus emittendi propietatis participem fecisset? Quam oratio necessitatem arguit ? Sed, ut videtur, Scripturarum

OCR ABK / FR

subita, nec satis accurata lectio, non minus quam mores contentiosi, et quæ inde subsequitur, facinorosa astutia absurda hæc in medium protulit. Cum enim tribus elementis, et apice superposito vox *Spiritus* exaretur, dum abbreviatur, et pari modo etiam vox *Patris* medio elemento tantum discrepante, medii corruptio atque immutatio, quod facile fieri potuit, in fraudem parum consideratos deduxit, qui quod proprium erat Spiritus, Patri adaptarunt.

13. Sed oportebat porro considerare ἐκπορεύεσθαι *procedere*, passive quidem formari, sed sensum præseferre activum; ut potius sit Spiritus sanctus ἐκπορευτικὸς *procedens*, quam ἐκπόρευτος *emanatus*, aut profusus, ut ita dicam: agere enim est, et non pati, progredi et procedere. Quapropter sapiens hic vir opportune interpretans ait: *Ideo Spiritum oris, non vero Verbum oris David dicit, ut procedendi proprietatem soli Spiritui vindicaret*: non vero et ipsi Verbo, quia verba oris procedere dicuntur: *Quæ enim procedunt, ait, per labia mea, non faciam irrita*. Propterea vates dixit: *Verbo Domini cœli firmati sunt*, et non verbo oris Domini, ne dicendo *Verbo oris* astrueret Filio et Verbo vim procedendi. Subnexuit autem: *Et Spiritui oris ejus*, ut inde Spiritui et soli processionem vindicaret. Procedendi porro proprietatem tanquam propriam Spiritus notionem agnovisse Nyssaensium, et totius orbis splendorem, ex his quæ subdit, manifeste colligimus: sic enim infert: *Ut cum Verbum diceret, veluti ex intellectu Dei, et Patris nullis passionibus obnoxium, atque ineffabilem Filii generationem haberemus; cum vero Spiritum oris, sanctificantem et essentialem facultatem, et vivificantem Spiritus hypostasim intelligeremus, processivæ proprietas nomine, quasi nota signatam*. Sanctus quoque Pater Anastasius proprietatem Spiritus processionem agnoscit Namque decimo sexto capite libri, cui *Duci viæ* nomen est, hæc habet: *Neque enim ingenita Patris persona carnem assumpsit, neque procedens sancti Spiritus hypostasis*. Et a paterna hypostasi Spiritum sanctum procedere nullo modo impedit, quin etiam per Filium, ut sapiens hic Antistes de sancta Trinitate ad Ablabium pertractans palam clamat: *Immutabilitatem, dicens, naturæ confitentes, non imus inficias secundum causam et causatum differentiam, in qua sola discerni aliud ab alio deprehendimus, cum hoc quidem causam credamus esse, illud ex causa. Et illius etiam, quod ex causa est, rursus aliud discrimen observamus: hoc etenim est immediate ex primo, hoc vero per id, quod contiguum atque immediatum est, ex primo; ut et unigeniti proprietas absque ambignitate in Filio maneat, et ex Patre Spiritum esse nulli dubium sit, Filio, qui medius est, sibi ipsi unigeniti proprietatem conservante, et Spiritum a naturali ad Patrem habitudine minime arcente*. Idem de Spiritu sancto agens, et adversus Macedonium disserens, ita et Filii gene-

A ἀνάγκην ὁ λόγος; Ἀλλ' ὡς ἔοικεν ἡ παροδικὴ τῶν Γραφῶν διεξέλευσις, οὐχ ἧττον ἢ τὸ τοῦ τρόπου φίλερι, καὶ τὸ ἐντεῦθεν κακοῦργον τὰς τοιαύτας ἀτοπίας εἰσήνεγκε. Τρισὶ γὰρ στοιχείοις μετ' ἐπιθέσεως κεραίας τῆς Πνεύματι λέξεως διαχαραττομένης συγκοπτικῶς, κατὰ ταῦτα δὲ καὶ τῆς Πατρὶ, τοῦ μέσου μόνου γε διενηνοχότος, ἡ τοῦ μέσου παραφθορά τε καὶ μεταποίησις (καὶ γὰρ εὐχερὴς) τὴν ἀπάτην τοῖς μὴ ὑπεσκεμμένοις προὐξένησε, τὸ τοῦ Πνεύματος ἴδιον τῷ Πατρὶ προσαρμόσασιν.

ιγ'. Ἀλλ' ἐχρῆν ἐννοῆσαι τὸ ἐκπορεύεσθαι παθητικῶς μὲν ἐσχηματισμένον, φέρον δὲ δήλωσιν ἐνεργητικὴν, ὡς εἶναι μᾶλλον ἐκπορευτικὸν τὸ Πνεῦμα τὸ ἅγιον, ἤπερ ἐκπόρευτον· ἐνεργεῖν γὰρ, ἀλλ' οὐχὶ πάσχειν ἐστὶ τὸ πορεύεσθαί τε, καὶ ἐκπορεύεσθαι. Διὸ καὶ ὁ σοφὸς οὗτος ἀνὴρ καιρίως ἀπαγ- B γέλλων φησί· Τοῦ δ' ἕνεκα Πνεῦμα στόματος, ἀλλ' οὐχὶ λόγον στόματος εἴρηκεν ὁ Δαβὶδ, ἵνα τὴν ἐκπορευτικὴν ἰδιότητα μόνῳ προσοῦσαν τῷ Πνεύματι πιστώσηται· μὴ μέν τοι δηλαδὴ καὶ τῷ Λόγῳ. Καὶ γὰρ ἐπεὶ τὰ τοῦ στόματος ῥήματα ἐκπορευόμενα λέγεται· Τὰ γὰρ ἐκπορευόμενα, φησὶ, διὰ τῶν χειλέων μου, οὐ μὴ ἀθετήσω. Τούτου χάριν εἴρηκεν ὁ προφήτης· Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, ἀλλ' οὐχί. Τῷ Λόγῳ τοῦ στόματος Κυρίου· ἵνα μὴ διὰ τοῦ εἰπεῖν τῷ λόγῳ τοῦ στόματος, προσμαρτυρήσῃ τῷ Υἱῷ καὶ Λόγῳ τὸ ἐκπορευτικόν. Ἐπήγαγε δὲ καί· Τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ, ὡς ἂν ἐντεῦθεν τῷ Πνεύματι καὶ μόνῳ πιστώσηται τὸ ἐκπορευτικόν. Ὅτι δὲ τὴν ἐκπορευτικὴν ἰδιότητα χαρακτηριστικὴν οἶδε τοῦ Πνεύ- C ματος ὁ τῶν Νυσσαέων καὶ τῆς οἰκουμένης φωστὴρ, ἀριδήλως ἐξ ὧν ἐπιφέρει, παρίστησι· λέγει γὰρ οὕτως· Ἵνα διὰ μὲν τοῦ, Λόγον εἰπεῖν, τὴν ὡς ἐκ νοῦ Θεοῦ, καὶ Πατρὸς ἀπαθεστάτην καὶ ἄῤῥητον τοῦ Υἱοῦ παραδεξώμεθα γέννησιν· διὰ δὲ τοῦ εἰρηκέναι Πνεῦμα στόματος τὴν ἁγιαστικὴν καὶ οὐσιώδη δύναμιν, καὶ ζωαρχικὴν τοῦ Πνεύματος ὑπόστασιν ὑπολάβωμεν, τῷ τῆς ἐκπορευτικῆς ἰδιότητος ὀνόματι δηλονότι χαρακτηριζομένην. Καὶ ὁ ἐν ἁγίοις δὲ Πατὴρ Ἀναστάσιος, ἰδίωμα τοῦ Πνεύματος γινώσκει τὸ ἐκπορευτικόν. Ἐν γὰρ ἕκτῳ καὶ δεκάτῳ κεφαλαίῳ τῆς αὐτοῦ βίβλου τῆς Ὁδηγοῦ κεκλημένης, οὕτω φησίν· Οὐ γὰρ τὸ ἀγέννητον τοῦ Πατρὸς πρόσωπον ἐσαρκώθη, οὔτε μὴν ἡ ἐκπορευτικὴ τοῦ ἁγίου Πνεύματος D ὑπόστασις. Τοῦ δέ γε παρὰ τῆς Πατρικῆς ὑποστάσεως τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι, κωλυτικὸν οὐκ ἔστιν οὐδαμῶς τὸ διὰ τοῦ Υἱοῦ. Καθὼς καὶ ὁ σοφὸς οὗτος ἱεράρχης περὶ τῆς ἁγίας Τριάδος πρὸς Ἀβλάβιον θεολογῶν, διαῤῥήδην βοᾷ· Τὸ ἀπαράλλακτον, λέγων, τῆς φύσεως ὁμολογοῦντες, τὴν κατὰ τὸ αἴτιον καὶ αἰτιατὸν διαφορὰν οὐκ ἀρνούμεθα. Ἐν ᾧ μόνῳ διακρίνεσθαι τὸ ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν. Τῷ τὸ μὲν αἴτιον πιστεύειν εἶναι, τὸ δὲ ἐκ τοῦ αἰτίου. Καὶ τοῦ ἐξ αἰτίου δὲ ὄντος, πάλιν ἄλλην διαφορὰν ἐννοοῦμεν. Τὸ μὲν γὰρ προσεχῶς ἐκ τοῦ πρώτου, τὸ δὲ διὰ τοῦ προσεχῶς ἐκ τοῦ πρώτου. Ὥστε καὶ

OCR ABK / FR

τὸ μονογενὲς ἀναμφίβολον ἐπὶ τοῦ Υἱοῦ μένειν, A καὶ τὸ ἐκ τοῦ Πατρὸς εἶναι τὸ Πνεῦμα μὴ ἀμφιβάλλειν, τῆς τοῦ Υἱοῦ μεσιτείας καὶ ἑαυτῷ τὸ μονογενὲς φυλαττούσης, καὶ τὸ Πνεῦμα τῆς φυσικῆς πρὸς τὸν Πατέρα σχέσεως μὴ ἀπειργούσης. Ὁ αὐτὸς περὶ τοῦ ἁγίου Πνεύματος διαλαμβάνων, καὶ κατὰ Μακεδονίου φερόμενος, οὕτω διατυποῖ τὴν τοῦ Υἱοῦ γέννησιν, καὶ τὴν τοῦ Πνεύματος πρόοδον· Ἐφ' ὧν ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια, φάσκων, οὐδεμίαν ἐλάττωσιν, ἢ παραλλαγὴν ἔχει, πῶς ἔστιν εὔλογον τὴν κατὰ τὸν ἀριθμὸν τάξιν, ἐλαττώσεώς τινος τῆς κατὰ φύσιν παραλλαγῆς οἴεσθαι σημεῖον εἶναι; Ὥσπερ ἂν εἴ τις ἐν τρισὶ λαμπάσι διῃρημένην βλέπων τὴν φλόγα· αἰτίαν δὲ τοῦ τρίτου φωτὸς αἰτίαν ὑποθώμεθα εἶναι τὴν πρώτην φλόγα ἐκ διαδόσεως B διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάψασαν), ἔπειτα κατασκευάζει πλεονάζειν ἐν τῇ πρώτῃ φλογὶ τὴν θερμασίαν, τῇ δ' ἐφεξῆς ὑποβεβηκέναι καὶ πρὸς τὸ ἔλαττον ἔχειν τὴν παραλλαγὴν, τὴν δὲ τρίτην, μηδὲ πῦρ ἔτι λογίζεσθαι, κἂν παραπλησίως καίῃ καὶ φαίνῃ, καὶ πάντα τὰ τοῦ πυρὸς ἐργάζηται. Πάλιν ὁ αὐτὸς ἐν τῷ πρώτῳ τῶν Ἀντιῤῥητικῶν τάδε φησί· Οὐκ ἀνάγκη πάσῃ τῇ εἰκόνι δουλεύοντας δοῦναι τοῖς συκοφάνταις λαβὴν ἐν τῇ τοῦ ὑποδείγματος ἀτονίᾳ. Οὐχὶ ἀκτῖνα ἐξ ἡλίου νοήσομεν, ἀλλ' ἐξ ἀγεννήτου Ἡλίου ἄλλον Ἥλιον τὸν Υἱὸν ὁμοῦ τῇ τοῦ πρώτου ἐπινοίᾳ γεννητῶς αὐτῷ συνεκλάμποντα, καὶ κατὰ πάντα ὡσαύτως ἔχοντα κάλλει, δυνάμει, καὶ λαμπηδόνι, μεγέθει, φαιδρότητι, καὶ πᾶσιν ἁπλῶς τοῖς περὶ τὸν ἥλιον θεωρουμένοις. Καὶ πάλιν, Ἕτε- C ρον τοιοῦτον φῶς τὸ Πνεῦμα κατὰ τὸν αὐτὸν τρόπον οὐ χρονικῷ τινι διαστήματι τοῦ γεννητοῦ φωτὸς ἀποτεμνόμενον, ἀλλὰ δι' αὐτοῦ μὲν ἐκλάμπον, τὴν δὲ τῆς ὑποστάσεως αἰτίαν ἔχον ἐκ τοῦ πρωτοτύπου. Ἐκλάμποντα εἴρηκε τὸν Υἱὸν, ἐκλάμπον εἴρηκε καὶ τὸ Πνεῦμα τὸ ἅγιον· διὰ τοῦ ἐκλάμπειν ἐδήλωσε τὴν ὕπαρξιν τοῦ Υἱοῦ, διὰ τοῦ ἐκλάμπειν ἐδήλωσε καὶ τὴν τοῦ Πνεύματος ὕπαρξιν, τὸ ἀπαθὲς, καὶ ἄχρονον, τῆς τοῦ Υἱοῦ γεννήσεως, καὶ τῆς τοῦ Πνεύματος ἐκπορεύσεως σημηνάμενος δι' οἰκειότητα ὀνόματος τοῖς πράγμασιν, οἷς ἐχρήσατο τῷ ἡλίῳ καὶ τῷ φωτί· προσμαρτυρήσας δέ γε τῷ διὰ τοῦ γεννητοῦ φωτὸς ἐκλάμποντι τὴν αἰτίαν τῆς ὑποστάσεως ἐκ τοῦ πρωτοτύπου φωτὸς, ἐδήλωσε καθαρῶς καὶ εἰλικρινῶς, ὅτι δι' Υἱοῦ D τὸ Πνεῦμα παρὰ Πατρός. Τοιούτῳ χρᾶται τῷ ὑποδείγματι περὶ τῶν αὐτῶν, καὶ ὁ τοῦδε τοῦ Πατρὸς ὁμώνυμος καὶ τῆς Θεολογίας ἐπώνυμος, ἐν οἷς δογματίζει περὶ τοῦ Πνεύματος. Ἀμέριστος γὰρ, φησὶν, ἐν μεριστοῖς, εἰ δεῖ συντόμως εἰπεῖν, ἡ Θεότης, καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων. Μία τοῦ φωτὸς σύγκρισις· οὐκ εἶπεν, ἁπτομένοις ἀλλ' ἐχομένοις. Οὕτω δ' ἂν ἔχοιεν οἱ ἥλιοι τὸ εἶναι καὶ φαίνειν, ὁ μὲν ἀρχικῶς, οἱ δ' ἀχρόνως ἐκ τῆς ἀρχῆς· οὔ φημι μετὰ τὴν ἀρχὴν οὐδαμῶς· καὶ ὁ μὲν αὐτῶν ἀμέσως ἐκ τῆς ἀρχῆς, ὁ δὲ διὰ τοῦ μέσου παρ' αὐτῆς τῆς ἀρχῆς. Οὕτως ἔστιν ἐννοῆσαι τὸ συμφυὲς τοῖς ἡλίοις καὶ ἄπειρον· οὕτω τριῶν ἀπείρων ἄπειρος συμφυΐα θεωρηθήσεται.

rationem, et Spiritus processionem exprimit: *In quibus, quæ secundum bonum operatio est, nullam imminutionem aut immutationem habet. Quomodo rationi consentaneum fuerit, ordinem secundum numerum imminutionis alicujus, aut secundum naturam immutationis signum esse existimare. Quemadmodum si quis in tribus lampadibus subdivisam flammam conspiciens (causam vero tertii luminis supponamus esse primam flammam ex communicatione cum medio extremum inflammantem), postmodum astrueret in prima flamma abundare calorem; eam vero, quæ subsequitur, immutari et paulatim imminui; tertiam nec ignem amplius censendum esse, licet æqua ratione urat, et splendeat omniaque ignis operetur.* Rursus ipse in primo *Antirrheticorum* hæc ait: *Non oportet imagini servientes præbere calumniatoribus ansam in exempli imbecillitate. Non radium ex sole intelligimus, sed ex ingenito Sole alium Solem, Filium scilicet simul cum primi intellectione per generationem una cum ipso effulgentem, eidemque per omnia æqualem pulchritudine, virtute, splendore, magnitudine, claritate, et uno verbo omnibus, quæ soli inesse cernuntur.* Et rursus: *Aliud simile lumen Spiritum eodem modo, non temporis aliquo intervallo a genito lumine dissectum; sed per illud splendens, ac hypostaseos causam habens ex primo illo, ac exemplari lumine.* Effulgentem dixit Filium, splendentem dixit et Spiritum sanctum, per splendorem existentiam Filii, per splendorem Spiritus quoque exsistentiam manifestavit; nulli passioni obnoxium, nulli tempori subjacentem Filii generationem, et Spiritus processionem indicans per nomen rebus affine *solis*, et *luminis*, quibus usus est: suo testimonio constabiliens, illius qui per genitum lumen splendet, causam hypostasis ex prototypo lumine, pure planeque commonstravit, per Filium esse Spiritum ex Patre. Hoc idem exemplum usurpat de iisdem Pater hujusce nominis, et cui Theologo cognomen est, in his quæ de Spiritu docet: *Indivisa enim, ait, in distinctis, si breviter nos expedire volumus. Deitas, et veluti in tribus solibus sibi invicem cohærentibus est.* Una est luminis comparatio; non dixit, se mutuo tangentibus, sed cohærentibus: hac enim ratione soles haberent et esse, et illuminare; hic quidem principaliter, illi sine tempore ex principio; non inquam, post principium omnino; et unus quidem ex ipsis immediate ex principio, alius per medium ab ipso principio. Et hac ratione possumus intelligere, quod solibus cognatum est, et infinitum: hoc modo trium infinitorum infinita cognatio conspicietur.

ιδ'. Μὴ γὰρ διὰ τοῦ Λόγου παρὰ τοῦ Πατρὸς ἐκπορευομένου τοῦ Πνεύματος, μέσος ἂν εἴη ὁ Πατὴρ,

14. Nam si per Verbum a Patre non procedit Spiritus, medius Pater erit, utraque ex parte fe-

OCR ABK / FR

A παρ' ἑκάτερα φέρων Λόγον καὶ Πνεῦμα. Ὡμολόγηται δὲ καὶ ἡ ἀρχή, καὶ εἴπερ ὡς ἐξ ἀρχῆς τοῦ Πατρὸς Λόγος καὶ Πνεῦμα, μὴ διὰ θατέρου θάτερον, διαίρεσις εἰσάγεται τῆς θεότητος. Ἀπείη δὲ καὶ τὸ, ἀντιδιῃρημένα εἶναι Λόγον καὶ Πνεῦμα. Πῶς γὰρ ἑνὰς ἡ Τριάς; Εἰ μὴ τοῦτο δὲ, πῶς ἀπερίγραπτος; Τίνα δὲ τρόπον μετὰ τοῦ Υἱοῦ τὸ Πνεῦμα, καθάπερ ὁ Υἱὸς μετὰ τοῦ Πατρὸς, κατὰ τὸν αὐτὸν Θεολόγον; Πάντα ὅσα ὁ Πατὴρ τοῦ Υἱοῦ, πλὴν ἀγεννησίας. Πάντα ὅσα ὁ Υἱὸς τοῦ Πνεύματος, πλὴν γεννήσεως· καὶ οὐκ ἔπρεπεν ἐλλείπειν ποτὲ, ἢ Υἱὸν Πατρὶ, ἢ Πνεῦμα Υἱῷ. Καὶ μίαν μὲν δόξαν Πατρὸς γινώσκομεν, τὴν ὁμοτιμίαν τοῦ Μονογενοῦς, μίαν δὲ Υἱοῦ, τὴν τοῦ Πνεύματος. Καὶ οὐκ ἀνέχεται Πατὴρ Υἱὸν ζημιούμενος, οὐδὲ Υἱὸς τὸ B Πνεῦμα τὸ ἅγιον. Καὶ πῶς κατὰ τὸν μέγαν Βασίλειον, Ὡς ὁ Υἱὸς πρὸς τὸν Πατέρα ἔχει, οὕτως τὸ Πνεῦμα πρὸς τὸν Υἱόν; καὶ κατὰ τὸν τὰ θεῖα πολὺν Ἀθανάσιον, Τὴν αὐτὴν ἑνότητα ἔχει τὸ Πνεῦμα τὸ ἅγιον πρὸς τὸν Υἱὸν, ἣν ὁ Υἱὸς ἔχει πρὸς τὸν Πατέρα;

ιε'. Τί δὲ καὶ τὸ ἀπεῖργον λέγεσθαί πη καὶ τὰ ἀντίστροφα; πάντως οὐθέν· ἀλλὰ τοῦ Υἱοῦ γεννωμένου παρὰ τοῦ Πατρὸς, τοῦ δὲ Πνεύματος ἐκπορευομένου δι' Υἱοῦ παρ' αὐτοῦ τοῦ Πατρὸς, πᾶν ἄτοπον, πᾶν ἀδύνατον ἀπελήλαται. Δείκνυται γὰρ ἀρχὴ καὶ μέσον καὶ τέλος ὁ Θεὸς, δι' ἑαυτοῦ καὶ τῶν ἐξ αὐτοῦ, καὶ ἀναγκαίως ἡ θεότης Τριάς. Ἓν γὰρ μέσον οἶδεν ὁ λόγος· πλειόνων δ' ὑποτιθεμένων, οὐδὲν τὸ μέσον ὄντως ἐστί. Διὰ τοῦτο μονὰς εἰς δυάδα κινηθεῖσα μέχρι Τριάδος ἔστη. Οὕτως οὖν καὶ ἡ C ἀρχὴ κυρίως ἀρχὴ, καὶ τὰ ἐκ τῆς ἀρχῆς, ἔν τε τῇ ἀρχῇ καὶ ἐν ἀλλήλοις, ἄκραν καὶ τὴν ἕνωσιν, ἄκραν καὶ τὴν συμφυΐαν αὐχοῦντα καὶ πρὸς ἄλληλα, καὶ πρὸς τὴν ἀρχὴν, ἓν κράτος ἀδιαίρετον παριστῶντα, καὶ ἄπειρον. Ὅπου γὰρ τὸ μέσον ὄντως μέσον, ἐκεῖ καὶ τὸ ἕν, καὶ ὅπου ἕνωσις, κατὰ τὴν μετοχὴν γίνεται τοῦ ἑνός. Κατὰ τοσοῦτον γὰρ ἑνοῦνται τὰ ἡνωμένα, καθόσον μετέχει τοῦ ὄντως ἑνός. Τοῦτο καὶ οἱ θύραθεν ἀμυδρῶς ἐφαντάσθησαν. Ὅθεν καὶ τὰ τρία πάντα, καὶ τὸ τρὶς πάντῃ, κατὰ τὴν ἄκραν ἀλληλουχίαν ἐφιλοσόφησαν. Ἐντεῦθεν ἄπειρον ὑπειληφέναι τινὲς τὸ πᾶν ἐπλανήθησαν, μὴ διακρίναντες οὐσίαν κτίσεως καὶ θεότητος, μηδὲ συνιδόντες τί τὸ φύσει, καὶ τί τὸ μεθέξει, καὶ πόσον τὸ παρηγμένον τῆς παρακτικῆς αἰτίας καὶ ἀρχῆς ἀπολείπεται. Δέ- D δεικται λοιπὸν, εἰ καὶ διὰ βραχέων, ἀλλ' οὖν ἱκανῶς τῷ γε κρίνειν ἐπισταμένῳ τὸ ἀληθὲς, ὡς οὐκ ἄλλως πέφυκεν ἐκπορεύεσθαι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς εἰ μὴ δι' Υἱοῦ, καθὼς ἐθεολόγησαν οἱ τοῦ Πνεύματος.

rens Verbum et Spiritum. In confesso porro est, esse principium; et si tanquam a principio Patre Verbum et Spiritus, et non alius per alium, Deitatis divisio introducitur, præterquam quod Verbum et Spiritus ab invicem non distinguerentur. Quomodo enim unum esset Trias? Et si id non fuerit, quomodo incircumscripta? Quonam modo cum Filio Spiritus, quemodmodum Filius cum Patre secundum eumdem Theologum: *Omnia quæcunque Pater habet, sunt Filii, præter ingeniti rationem; omnia quæ habet Filius, sunt Spiritus, excepta generatione; dedecebatque omnino deficere aliquando aut Filium Patri, aut Spiritum Filio; et unam gloriam Patris agnoscimus, æqualem cum eo Unigeniti honorem: unam Filii et Spiritus gloriam. Neque sustinet Pater Filio privari, neque Filius Spiritu sancto*; et secundum magnum Basilium: *Quemadmodum se habet Filius ad Patrem, ita Spiritus ad Filium*? et plane secundum divinum Athanasium: *Eamdem unitatem habet Spiritus ad Filium, quam habet Filius ad Patrem?*

15. Quid porro impediet aliquando effari, quæ ex altera parte respondent? penitus nihil. Sed si Filius generatur a Patre, Spiritus per Filium ab eodem Patre procedit, omne absurdum, atque improbabile longe fit: namque ostenditur Deus principium, et medium, et finis, per seipsum, et per ea quæ ex ipso sunt; et necessario Deitas Trinitas. Unum etenim medium ratio novit, quod si plura supponantur, medium omnino nullum erit: *Propterea unitas in dyadem mota in Triadem stetit.* Sic itaque et principium proprie principium; et quæ ex principio, et in principio erunt, in seipsis summam unionem, summamque consociationem sibi et inter se vindicantia, et ad principium unam vim indivisam præseferentia atque infinitam. Ubi enim medium vere medium est, ibi et unum, et ubi unio est, ea secundum unius participationem gignitur in tantum namque, quæ unita sunt, uniuntur, in quantum vere unius participant. Hoc et externi subobscure imaginati sunt. Unde et tria omnia, et ter ubique secundum summam ac mutuam cohærentiam philosophantur. Hinc infinitum nonnulli hoc universum asseverantes, aberrarunt a veritate, cum nullum discernerent inter creaturam et Deitatem discrimen, neque caperent quid sit id quod natura, et quid quod participatione est, et quantum quod productum est, a productrice causa et principio differat. Demonstratum est itaque, etsi succincte, abunde nihilominus ei qui veritatem dijudicare novit, nulla alia ratione Spiritum sanctum ex Patre procedere nisi per Filium, quemadmodum eodem Spiritu afflati tradiderunt.

OCR ABK / FR

# MONITUM

Opusculum subsequens edidit Dositheus, Hierosolymitanus patriarcha schismaticus, in ΤΟΜΩ ΑΓΑΠΗΣ, Iassiæ 1698, qui totus scriptis heterodoxorum placitis faventibus conflatus est. Certe doctrina de processione Spiritus sancti in hoc sermone tradita cum ea quam Blemmides in opusculis superioribus propugnavit conciliari omnino non potest. Sub eodem titulo sermonem istum exstare ait Bandinius (II, 399) Florentiæ in biblioth. Mediceo-Laurent., cod. 16, plut. 87, n. 17.

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΜΟΝΑΧΟΥ

# ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

ΠΡΟΣ ΤΟΥΣ ΜΟΝΑΧΟΥΣ

ΤΟΥ ΑΝΕΓΕΡΘΕΝΤΟΣ ΠΑΡ' ΑΥΤΟΥ ΦΡΟΝΤΙΣΤΗΡΙΟΥ

ΕΚ ΤΟΥ ΤΡΙΤΟΥ ΑΥΤΟΥ ΒΙΒΛΙΟΥ ΠΕΡΙ ΠΙΣΤΕΩΣ

## ΛΟΓΟΣ.

SAPIENTISSIMI MONACHI

# NICEPHORI BLEMMIDÆ

AD MONACHOS MONASTERII AB IPSO EXSTRUCTI

*EX TERTIO IPSIUS LIBRO DE FIDE*

## SERMO

A Τοῖς ὁσίοις τοῦ Δεσπότου Χριστοῦ τοῦ ὄντος, καὶ ἐκλεκτοῖς φοιτηταῖς ὁ κατ' εὐδοκίαν αὐτοῦ καὶ χρηστότητα κτήτωρ τοῦ καθ' ἱεροῦ φροντιστηρίου, Νικηφόρος ἐν μονάζουσιν ἱερεὺς γηραιὸς ἀσθενὴς, τῶν τῆς ὑμῶν ὁσιότητος εὐχῶν ἐπιδεὴς, τὴν παροῦσαν ὑμῶν ὑπόμνησιν ἐξ ἀγάπης ὑπαγορεύω, πάσης αὐτὴν ὑποτυπώσεως ἑτέρας προεκτιθέμενος.

Ἐπειδὴ γὰρ πρώτιστον τῷ Χριστιανῷ καὶ πάντων ἀναγκαιότατον εἰδέναι τὴν εὐσέβειαν, καὶ ταύτην ἀσπάζεσθαι καὶ ταύτῃ συζῆν, καὶ ζωῆς τῆς παρούσης συνεκδημεῖν, ἄξιόν ἐστι πιστεύειν καὶ ὁμολογεῖν καὶ κηρύττειν ἡμᾶς, ὅτι Θεὸς εἷς ἐστιν, ἤγουν οὐσία μία θεότητος, ἀκατάληπτος καὶ ἀπρόσιτος, ἐν τρισὶ τελείαις ταῖς ὑποστάσεσι τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι. Ἄκτιστος ὁ Πατὴρ, ἄκτιστος ὁ Υἱός, ἄκτιστον τὸ Πνεῦμα τὸ ἅγιον. Ὁ Πατὴρ B ἀγέννητος, ὁ Υἱὸς οὐκ ἀγέννητος· ἐγέννησε γὰρ τὸν Υἱὸν ὁ Πατὴρ πρὸ πάντων τῶν αἰώνων θεοπρεπῶς· τὸ

Sanctis Heri Christi viventis, et electis discipulis, qui secundum ejus placitum et bonitatem dominus sum sacrati monasterii, Nicephorus inter monachos sacerdos, senex, debilis, sanctitatis vestræ precum indigens, præsentem vestri memoriam ex charitate suggero, eam præ omni demonstratione exponens.

Cum revera primum est Christiano homini et ante omnia maxime necessarium, pietatem noscere, amplecti, cum ea conversari et præsenti vita peregrinari, dignum est credamus et confiteamur et prædicemus quoniam unus est Deus, hoc est, unica substantia divinitatis, incomprehensibilis, inaccessibilis, in tribus perfectis personis, Patre, Filio et sancto Spiritu. Increatus Pater, increatus Filius, increatus Spiritus sanctus. Ingenitus Pater; non ingenitus Filius, genuit enim Filium Pater ante omnia sæcula divinitus; nec genitus nec ingenitus Spiritus



OCR ABK / FR

sanctus, sed procedens substantialiter a Patre. Semper erat Pater, et semper erat Filius, et semper erat Spiritus sanctus. Et quemadmodum concipere non datur unquam solem absque suo lumine, ita nec Patrem omnino quis concipere potest absque Filio; Pater enim semper erat Pater, manifestum igitur quod semper haberet Filium. Idcirco quoad initium in tempore, ut Pater principio caret, ita et Filius principio caret; semper enim erat Filius, et semper Filius; divinum enim nescit mutationem. Quoad autem principium naturale seu causale, principio non caret Filius, principium enim ejus est Pater, substantiale, non creans. Solus igitur, quoad principium naturale, principio caret Pater, nullam utpote habens causam sui, propter quod sane et Dominus Patrem suum glorificans dicebat: *Pater meus major me est* [1]; major ut principio carens, ut causa carens, ut principium naturale et causa substantialis Filii. Et rursus, quemadmodum sol naturaliter et absque ulla affectione vel segnitie emittit lucem, nec separatur a luce; lux enim et ex ipso et in ipso est; simili fere modo Pater substantialiter absque passione, extraque tempus genuit Filium, nec ullo modo separatur a Filio; est enim Filius et ex Patre semper et in Patre semper, et Pater in eo semper. Et Spiritus sanctus ex Patre procedit semper, et in Patre Filioque semper est. Monas igitur et secundum illud constituitur sancta Trinitas, et secundum omnia quidem, sepositis proprietatibus, Pater et Filius et Spiritus sanctus unum sunt. Perfectus Deus est Pater; perfectus Deus Filius; perfectus Deus Spiritus sanctus; sed unus Deus, non tres dii. Tres autem homines, vel etiam et duo, unum hominem dicere non licet, etsi unius sint naturæ omnes homines, ab invicem enim in re distinguuntur, et unusquisque, inter eos, propriam habet formam in spatio; sed etiam et tempore, et voluntate, et potentia, et gloria, et multis aliis alter ab altero differt. Aliquid simile et de angelis suscipiendum est, horum enim quisque suo loco spiritualiter circumscribitur; quia omnes finiti, et alius alii, obtingit gradus, et unus alium splendorem accipit; et alius quidem prius, alius vero posterius; alius immediate, alius non immediate, sed sive per unum sive per plures interpositos. Et alius alio mittitur; et, in summa, multa sunt quæ eos ab invicem discriminent. Solas autem tres personas summæ divinitatis nec locus ab invicem separat, quia non finitæ, et quia ubique et omnino in invicem circumincedunt absque confusione; nec tempus, ante enim sæcula pariter sunt hæ tres personæ, et extra tempus; nec alia quidem prior, alia vero posterior. Sed etiam et una tribus est deliberatio et voluntas, una potentia omnipotens, una operatio operans omnia, una dominatio omnibus dominans; gloria, splendor, supergloriosa, superlucentia eadem tribus; ejusdemque substantia, et honoris,

A Πνεῦμα τὸ ἅγιον οὐ γεννητὸν, οὐκ ἀγέννητον, ἀλλ' ἐκπορευόμενον οὐσιωδῶς παρὰ τοῦ Πατρός. Ὁ Πατὴρ ἦν ἀεὶ, καὶ ὁ Υἱὸς ἦν ἀεὶ, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἦν ἀεί. Καὶ ὥσπερ οὐκ ἔστιν ἐννοῆσαί ποτε τὸν ἥλιον ἄνευ τοῦ οἰκείου φωτὸς, οὕτως οὐδὲ τὸν Πατέρα δύναταί τις ὅλως φαντασθῆναι χωρὶς τοῦ Υἱοῦ. Πατὴρ γὰρ ἦν ὁ Πατὴρ ἀεί. Δῆλον οὖν ὅτι καὶ Υἱὸν εἶχεν ἀεί· διὸ κατὰ τὴν χρονικὴν ἀρχὴν, ὥσπερ ὁ Πατὴρ ἄναρχος, οὕτω καὶ ὁ Υἱὸς ἄναρχος· ἀεὶ γὰρ ἦν ὁ Υἱὸς, καὶ ἀεὶ Υἱὸς, τὸ γὰρ θεῖον τροπὴν οὐ προσίεται. Κατὰ δὲ τὴν φυσικὴν ἀρχὴν, εἴτουν τὸ αἴτιον, οὐκ ἄναρχος ὁ Υἱὸς, ἀρχὴ γάρ ἐστιν αὐτοῦ ὁ Πατὴρ, οὐσιώδης, οὐ δημιουργική. Μόνος τοίνυν κατὰ τὴν φυσικὴν ἀρχὴν ἄναρχος ὁ Πατὴρ μὴ ἔχων τινὰ αἴτιον ἑαυτοῦ. Διά τοι τοῦτο καὶ ὁ B Κύριος τὸν αὐτοῦ Πατέρα τιμῶν ἔλεγεν· Ὁ Πατήρ μου μείζων μού ἐστι. Μείζων ὡς ἄναρχος, ὡς ἀναίτιος, ὡς ἀρχὴ φυσικὴ, καὶ κατ' οὐσίαν αἴτιος τοῦ Υἱοῦ. Ὥσπερ δ' αὖ ὁ ἥλιος φυσικῶς καὶ ἄνευ τινὸς πάθους, ἢ βραδύτητος ἐκπέμψας τὸ φῶς, οὐκ ἀποτέμνεται τοῦ φωτὸς, ἔστι γὰρ τὸ φῶς καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ· παραπλησίως ὁ Πατὴρ οὐσιωδῶς καὶ ἀπαθῶς καὶ ἀχρόνως γεννήσας τὸν Υἱὸν, οὐδ' ὁπωστοῦν διέστη τοῦ Υἱοῦ. Ἔστι γὰρ ὁ Υἱὸς καὶ ἐκ τοῦ Πατρὸς ἀεὶ, καὶ ἐν τῷ Πατρὶ ἀεί. Καὶ ὁ Πατὴρ ἐν αὐτῷ ἀεί· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ Πατρὸς ἀεὶ ἐκπορεύεται. καὶ ἐν τῷ Πατρὶ καὶ ἐν τῷ Υἱῷ ἐστιν ἀεὶ, καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἐν τῷ Πνεύματι τῷ ἁγίῳ ἀεί. Μονὰς οὖν καὶ κατὰ τοῦτο καθέστηκεν ἡ ἁγία Τριάς. Καὶ κατὰ πάντα δὲ, πλὴν τῶν ἰδιοτήτων ὁ Πατὴρ καὶ ὁ Υἱὸς καὶ C τὸ Πνεῦμα τὸ ἅγιον ἕν εἰσι. Θεὸς τέλειος ὁ Πατὴρ, Θεὸς τέλειος ὁ Υἱὸς, Θεὸς τέλειος τὸ Πνεῦμα τὸ ἅγιον. Ἀλλ' εἷς Θεὸς, οὐ τρεῖς θεοί. Τοὺς μὲν γὰρ τρεῖς ἀνθρώπους, ἀλλὰ δὴ καὶ τοὺς δύο, οὐκ ἔστιν εἰπεῖν ἄνθρωπον ἕνα, κἂν φύσεως ὦσιν ἄνθρωποι πάντες μιᾶς· Ἀπ' ἀλλήλων γὰρ διακέκρινται πραγματικῶς, καὶ ἕκαστος αὐτῶν ἰδίαν ἔχει περιγραφὴν τοπικὴν, ἀλλὰ καὶ χρόνῳ καὶ βουλήσει, καὶ δυνάμει, καὶ δόξῃ, καὶ πολλοῖς ἄλλοις ἕτερος ἑτέρου διαφέρεται. Παραπλήσιόν τι κἀπὶ τῶν ἀγγέλων ὑποληπτέον. Κἀκείνων γὰρ ἕκαστος ἰδίῳ τόπῳ νοερῶς περιγράφεται, διότι πάντες περιγραπτοὶ, καὶ βαθμὸς ἄλλος ἄλλῳ κεκλήρωται, καὶ ἄλλος ἄλλην ἔλλαμψιν δέχεται. Καὶ ὁ μὲν πρότερον, ὁ δ' ὕστερον· καὶ ὁ μὲν ἀμέσως, ὁ δ' οὐκ ἀμέσως, ἀλλ' ἢ D δι' ἑνὸς, ἢ διὰ πλειόνων τῶν μεταξύ. Καὶ ἄλλος ἀλλαχοῦ ἀποστέλλεται, καὶ ἁπλῶς εἰπεῖν πολλά ἐστι τὰ ἐξ ἀλλήλων αὐτοὺς διατέμνοντα. Μόνα δὲ τὰ τρία πρόσωπα τῆς ὑπερτάτου θεότητος οὔτε τόπος ἀπ' ἀλλήλων διΐστησιν, ὅτι ἀπερίγραπτα, καὶ ὅτι πάντῃ τε καὶ πάντως ἐν ἀλλήλοις περικεχωρήκασιν ἄτερ συγχύσεως· οὔτε χρόνος. Προαιώνια γὰρ ὁμοῦ τὰ τρία καὶ ὑπέρχρονα, καὶ οὐ τὸ μὲν πρότερον, τὸ δὲ μετ' αὐτὸ, ἀλλὰ καὶ μία τοῖς τρισὶ βούλησίς τε καὶ θέλησις, μία δύναμις πανσθενὴς, ἐνέργεια μία παντουργικὴ, μία κυριότης παντοκρατὴς, δόξα, λαμπρό-

[1] Joan. XIV, 28.

OCR ABK / FR

τῆς, ὑπέρδοξος, ὑπέρλαμπρος, ἡ αὐτὴ τοῖς τρισίν. Ὁμοουσίως τε τοῖς αὐτοῖς καὶ ὁμοτίμως τὸ ὑπερούσιον. Οὕτω τοι τὰ τρία ἓν ἀρρήτως εἰσὶν ἀσύγχυτα ταῖς ὑποστατικαῖς ἰδιότησι, καὶ ὄντα καὶ πιστευόμενα.

Ἰδιότης δὲ καὶ ἰδίωμα καὶ ἴδιον λέγεται τὸ μιᾶς ἑκάστης χαρακτηριστικὸν ὑποστάσεως γνώρισμα, διὰ τὸ ἰδικῶς ἐκείνῳ μόνῳ προσεῖναι, τῷ οὗ ἐστιν ἴδιον, οὐ μὴν καὶ ἄλλῳ τινί. Τὸ γὰρ καὶ ἄλλῳ τινὶ προσὸν, τοῦτο κοινὸν καὶ οὐκ ἴδιον. Οἷον ἴδιον τοῦ Πατρὸς τὸ ἀγέννητον, τοῦτο ἰδικῶς μόνῳ πρόσεστι τῷ Πατρί. Μόνος γὰρ ὁ Πατὴρ ἀγέννητος, ἐπεὶ καὶ μόνος Πατήρ. Ἴδιον τοῦ Υἱοῦ τὸ γεννητόν. Ἴδιον τοῦ ἁγίου Πνεύματος τὸ ἐκπορεύεσθαι παρὰ τοῦ Πατρός. Οὔτε δὲ τὸ Πνεῦμα γεννᾶται τὸ ἅγιον, οὔτε ὁ Υἱὸς ἐκπορεύεται. Τὸ μέντοι ἄκτιστον καὶ ἀπερίγραπτον καὶ ὑπερούσιον καὶ τὰ τοιαῦτα κοινὰ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος· διὰ τοῦτο καὶ τῆς θείας φύσεως ἰδιώματα λέγονται· τῆς θείας μὲν φύσεως ὅτι φυσικὰ καὶ οὐχ ὑποστατικὰ ταῖς τρισὶν ὁμοτίμως προσόντα τῆς θεότητος ὑποστάσεσιν· ἰδιώματα δὲ, ὡς ἄλλῃ πάσῃ φύσει πλὴν μόνης τῆς θείας οὐσίας πάμπαν ἀμέθεκτα, μήτ' ἀνθρώποις, μήτ' ἀγγέλοις ὅλως ἐνθεωρούμενα.

Καλεῖται δὲ καὶ ἡ οὐσία καὶ φύσις καὶ μορφὴ κοινῶς, ἡ τῶν ἰδικῶς ὄντων περιοχικὴ οὐσία, ὡς οὖσα ἀεί· φύσις δὲ, ὡς φύουσα τὰς ὑποστάσεις· μορφὴ δὲ, ὡς ὅλων τῶν μορφωμάτων τῶν ὑπ' αὐτὴν ἤτοι τῶν χαρακτήρων συλληπτική. Τὰ δὲ περιεχόμενα λέγονται καὶ ἄτομα καὶ ὑποστάσεις, καὶ πρόσωπα. Καὶ ἄτομα μὲν διὰ τὸ μηδὲν αὐτῶν τομὴν ἤτοι διαίρεσιν ἐπιδέχεσθαι· τῆς γὰρ ἀνθρωπίνης οὐσίας, ταυτὸν δ' εἰπεῖν ἀνθρωπότητος, εἰς τοὺς κατ' αἴσθησιν ἀνθρώπους διαιρουμένης, οὐδεὶς αὐτῶν εἰς ἄλλους ἀνθρώπους τέμνεσθαι δύναται, ζῶα λογικὰ καὶ θνητὰ, νοῦ καὶ ἐπιστήμης δεκτικὰ καὶ κατὰ τοῦτον τὸν λόγον οἱ ἐπὶ μέρους ἅπαντες, ἄτομα. Ὑποστάσεις δὲ ὡς ὑπὸ τὴν φύσιν ἑστῶτα καὶ μένοντα καθόλου ταύτης οὔσης καὶ θεωρουμένης ἐννοηματικῶς, τῶν δὲ μερικῶν ὄντων, καὶ τὸ εἶναι ἐχόντων πραγματικῶς. Πρόσωπα δὲ, διότι ἕκαστον αὐτῶν οἰκεῖον ἔχει χαρακτῆρα τοῖς λοιποῖς ἀκοινώνητον. Τοιγαροῦν ἐπὶ τῆς θεότητος μίαν οὐσίαν, φύσιν μίαν, καὶ μίαν μορφὴν δογματίζομεν. Ἄτομα δὲ τρία, τρεῖς ὑποστάσεις, τρία πρόσωπα χαρακτῆρσι καταλλήλοις, εἴτουν ἰδιώμασι, γνωριζόμενα. Χαρακτὴρ δὲ λέγεται τῆς πατρικῆς ὑποστάσεως ὁ Υἱὸς, οὐχ ὅτι αὐτός ἐστι τὸ ἴδιον τοῦ Πατρὸς, τίς γὰρ ἂν τοῦτο ὑπονοήσειε λόγου μετεσχηκώς; ἀλλ' ὅτι καθὸ πατὴρ ὁ Πατὴρ ἐκ τοῦ ἔχειν Υἱὸν χαρακτηρίζεται καὶ γνωρίζεται, καὶ ὅτι πάντα τὰ τοῦ Πατρὸς ἔχων ὁ Υἱὸς ἐν ἑαυτῷ μένων Υἱὸς δείκνυσι τὸν ἐξ οὗ, καθάπερ εἰκὼν αὐτοῦ φυσικὴ καὶ ἀπαράλλακτος· διὸ καὶ φησιν· Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα. Νοῦς δὲ ὢν ὁ ἄναρχος φύσει Θεὸς ὁμοφυοῦς ὑπάρχει Λόγου πηγαστικός· Πατὴρ δὲ ὢν, γεννητικός ἐστιν ὁμοουσίου Υἱοῦ· διὰ τοῦτο καὶ τοῦ Θεοῦ Λόγος

² Joan. xiv, 9.

A iisdem est supersubstantiale. Sic sane tres personæ unum apte sunt inconfusæ, personalibus proprietatibus, et sunt et creduntur.

Proprietas vero et idioma et proprium dicitur uniuscujusque personæ, signum peculiare, propterea quod huic tantum conveniat proprie, cujus est proprium, nec tamen alii cuipiam. Quod enim alii cuipiam convenit, id commune est et non proprium. Ut Patris proprium est esse ingenitum, quod proprie Patri solum convenit, solus enim Pater est ingenitus, quia et solus Pater, Filii proprium est esse genitum; et Spiritus sancti, procedere a Patre: nec enim gignitur Spiritus sanctus, nec Filius procedit. Attamen creatos non esse nec finitos, sed B esse supersubstantiales, et alia hujusmodi communia sunt et Patri et Filio et Spiritui sancto, propterea que dicuntur divinæ naturæ idiomata: divinæ quidem naturæ, quia naturalia et non personalia: tribus æque convenientia Divinitatis hypostasibus, idiomata vero utpote cuilibet alii naturæ, excepta sola divina substantia, omnino non participanda, nec in hominibus nec in angelis omnino inspecta.

Vocatur autem essentia (substantia) et natura et forma communiter; essentia includens ea quæ sunt propria, utpote quæ est semper; natura vero utpote producens personas, et forma utpote omnes formas sub ipsa et signa comprehendens. Quæ autem includuntur, dicuntur et individua, et hypostases et personæ. Individua quidem, cum C nullum eorum sectionem vel divisionem admittere possit. Essentia enim humana, et ut ita dicam, humanitate in hominibus sensibilibus divisa, nemo horum in aliis hominibus dividi potest; sunt animalia rationabilia et mortalia, intelligentiæ et scientiæ capacia, et juxta hanc rationem omnes singuli sunt individua. Hypostases vero, quasi sub natura stantia manentiaque hac ipsa exsistente consideratæque in specie, partiumque exsistentibus et esse habentibus in re. Personæ autem, quia unumquodque horum proprium habet characterem, cæteris non communem. Sic igitur de Divinitate, unam essentiam, unam naturam, unam formam dogmatizamus; individua tria, hypostases tres, personas tres quæ characteribus convenien- D tibus, id est, idiomatibus noscuntur. Character quidem paternæ hypostaseos dicitur Filius, non quod ipse sit proprium Patris, quis enim illud suspicaretur mentis compos? sed quod Pater ut pater distinguitur et noscitur ex eo quod Filium habet, et quia omnia Patris habens Filius, in se manens Filius, monstrat unde sit, tanquam imago ejus naturalis nec discrepans; idcirco et ait: *Qui vidit me, vidit Patrem* [2], Spiritus cum sit ille, qui natura absque principio est, Deus fons est verbi ejusdem naturæ; Pater cum sit, gignit Filium ejusdem

OCR ABK / FR

essentiæ. Ipse Dei Verbum et Patris Filius idem est. Hic est Filius et Verbum Dei et Patris, per quem omnem creationem ut per propriam sapientiam potentiamque creavit Pater; ipse enim est Patris sapientia et potentia, hic propter nos, benevolentia genitoris semel incarnavit. In Patre exsistens, et nobiscum factus, nam non est finitus, et carnem, animam, mentem, rationem, voluntatem, vim, omnia homini quæ natura conveniunt, assumpsit, nec ipsarum, quæ post primam culpam in nos inductæ sunt passiones, quas non attingit exprobratio, expers mansit, sed et ista propter magnam (indulgentiam) condescensionem admisit, ut reformaret in melius omnem humanitatem, et ne plura dicam, perfectus homo factus est non secundum phantasiam aut opinionem, sed vere et evidenter homo factus, sicut et nos, et supra nos. Sicut et nos : quia conceptus in utero mulieris, in eo formatus, gestatus quantum et quomodo lex naturæ juberet, more infantium est partus. Supra nos : quia conceptio ex Spiritu sancto fuit sine copulatione, extra carnalem voluptatem, extra (moventem) cogitationem turbidam ; corporis compaginatio ex purissimis fuit virgineisque sanguinibus ; perfectioque formationis operis ex primo principio, ex ipsa conceptione ; sic enim decebat quia sine semine ; partus absque pariendi pœnis parientis virginitatem non vitiavit ; mansit enim ipsa virgo et post partum, sicut erat et ante partum et ante conceptionem, quæ et per totam vitam semper virgo fuit puraque et immaculata, talem enim decebat esse quæ Deum pareret. Sicut nos : quia corpus de limo assumpsit et corruptibile ex quatuor compositis humoribus, vivificatum anima trina, calore innato et naturalibus viribus habitum, fami et siti et aliis innocentibus vitæ infirmitatibus subjectum. Supra nos : quia non mere homo erat, sed homo una et Deus, non enim e Deo conversus in hominem suam incarnationem perfecit ; sed manens Deus quod erat, factus est homo quod non erat ; non in divinam naturam mutans humanam quam assumpsit, sed in propriis limitibus constantem hanc deificans summa unione : quemadmodum enim ferro ignis unitus, illud ex omni parte quidem concalefacit nec tamen a natura ferri separat ; ipsum enim, et post calefactionem, manet ferrum ignitumque et est et dicitur ; eodem modo mortali naturæ unitus Dei Filius et Verbum et Deus, hanc quidem deificavit nec a statu mortali separavit ; manet enim ipsa mortalis et post deificationem natura, mortalisque est et dicitur deificata natura, deificata caro cum anima spirituali, rationabili volenteque et sperante.

Cum autem spurium sit et contra naturam peccatum, forinsecus (a foris) enim nobis, si quando non, vigilemus (abstineamus), supervenit, hoc et merito Deus Verbum non admisit, cum rursus assumptam naturam totam deificavit, inaccessa juste mansit deificata, et omnimodo intacta peccato.

A καὶ Υἱὸς τοῦ Πατρὸς ὁ αὐτός. Οὗτος ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς, δι' οὗ πᾶσαν τὴν κτίσιν ὡς δι' οἰκείας σοφίας τε καὶ δυνάμεως ἐδημιούργησεν ὁ Πατήρ· αὐτὸς γάρ ἐστιν ἡ τοῦ Πατρὸς σοφία καὶ δύναμις· οὗτος δι' ἡμᾶς εὐδοκίᾳ τοῦ γεγεννηκότος αὐτὸν ἐνηνθρώπησεν. Ἐν τῷ Πατρὶ ὢν καὶ μεθ' ἡμῶν γεγονὼς, ἀπερίγραπτος γὰρ, καὶ σάρκα, ψυχὴν, νοῦν, λόγον, θέλησιν, ἐνέργειαν, πάντα τὰ κατὰ φύσιν τῷ ἀνθρώπῳ προσόντα προσείληφε, μηδ' αὐτῶν τῶν μετὰ τὴν πρώτην ἁμαρτίαν ἐπεισαχθέντων ἡμῖν παθῶν· ὧν οὐ καθικνεῖται μῶμος, μείνας ἀπείρατος· ἀλλὰ καὶ ταῦτα διὰ πολλὴν συγκατάβασιν προσηκάμενος, ἵνα μετασκευάσῃ πρὸς τὸ κρεῖττον πᾶσαν τὴν ἀνθρωπότητα, καὶ ἁπλῶς εἰπεῖν τέλειος γέγονεν ἄνθρωπος, οὐ κατὰ φαντασίαν, ἢ δόκησιν, ἀλλ' ὄντως καὶ ἐναργῶς ὑπάρξας ἄνθρωπος, καθ' ἡμᾶς ὁμοῦ καὶ ὑπὲρ ἡμᾶς· καθ' ἡμᾶς B ὅτι συλληφθεὶς ἐν μήτρᾳ γυναικὸς, ζωοπλασθεὶς ἐν αὐτῇ, κυοφορηθεὶς ἐφ' ὅσον καὶ καθὼς ὁ τῆς φύσεως ἐδίδου νόμος ἐτέχθη βρεφοπρεπῶς. Ὑπὲρ ἡμᾶς, ὅτιπερ ἡ σύλληψις ἐξ ἁγίου Πνεύματος, ἄτερ συνδυασμοῦ, σαρκικῆς ἐκτὸς ἡδονῆς, χωρίς τινος ἐμπαθοῦς ἐννοήματος, ἡ τοῦ σώματος σύμπηξις ἐκ πανάγνων αἱμάτων παρθενικῶν, ἡ τελεσιουργία τοῦ σχήματος ἐκ πρώτης ἀρχῆς ἐξ αὐτῆς τῆς συλλήψεως· οὕτω γὰρ ἔπρεπε τῷ δίχα σπορᾶς. Ὁ τόκος ἄνευ ὠδίνων τὴν τῆς γειναμένης παρθενίαν οὐκ ἐλυμήνατο. Μεμένηκε γὰρ αὕτη παρθένος καὶ μετὰ τόκον, ὥσπερ ἦν καὶ πρὸ τόκου καὶ πρὸ συλλήψεως, ἣ καὶ διὰ βίου παντὸς ἀειπάρθενος, ἄχραντός τε καὶ ἀκηλίδωτος. Τοιαύτην γὰρ ἔπρεπεν εἶναι τὴν C τεκοῦσαν Θεόν. Καθ' ἡμᾶς ὅτι σῶμα χοϊκὸν ἀνελάβετο καὶ φθαρτὸν ἐκ τῶν τεσσάρων συντεθειμένων χυμῶν, ψυχῇ τριμερεῖ ζωοποιούμενον, ἐμφύτῳ θερμῷ καὶ δυνάμεσι φυσικαῖς διοικούμενον, πείνῃ καὶ δίψῃ, καὶ τοῖς ἄλλοις ἀνεγκλήτοις τῆς φύσεως ἀσθενήμασιν ὑποκείμενον. Ὑπὲρ ἡμᾶς, ὅτι οὐ ψιλὸς ἄνθρωπος ἦν, ἀλλ' ἄνθρωπος ὁμοῦ καὶ Θεός· οὐ γὰρ τραπεὶς ἐκ τοῦ εἶναι Θεὸς, εἰς τὸ γενέσθαι ἄνθρωπος τὴν οἰκείαν ἐνανθρώπησιν ἐξετέλεσεν, ἀλλὰ μείνας Θεὸς ὅπερ ἦν, γέγονεν ἄνθρωπος ὅπερ οὐκ ἦν, οὐκ εἰς θείαν φύσιν τὴν ἀνθρωπίνην φύσιν μεταβαλὼν, ἣν προσείληφεν, ἀλλ' ἐν τοῖς οἰκείοις ὅροις μείνασαν, θεώσας αὐτὴν διὰ τῆς ἄκρας ἑνώσεως· ὥσπερ γὰρ τῷ σιδήρῳ τὸ πῦρ ἑνούμενον ὁλικῶς ἐκπυροῖ μὲν αὐτὸν, τῆς δὲ τοῦ σιδήρου φύσεως οὐκ ἐξίστησι, D μένει γὰρ οὗτος καὶ μετὰ τὴν ἐκπύρωσιν σίδηρος, καὶ πεπυρωμένος σίδηρός ἐστί τε καὶ λέγεται, τοιουτοτρόπως τῇ βροτείᾳ φύσει ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Θεὸς ἑνωθεὶς, ἐθέωσε μὲν αὐτὴν, τοῦ δὲ βροτείαν εἶναι φύσιν αὐτὴν οὐκ ἐξέστησε. Μένει γὰρ αὕτη βροτεία φύσις καὶ μετὰ τὴν θέωσιν. Καὶ τεθεωμένη φύσις βροτεία καὶ λέγεται καὶ ἔστι, τεθεωμένη σὰρξ μετὰ ψυχῆς νοερᾶς, λογικῆς, θελητικῆς, ἐνεργητικῆς.

Ἐπεὶ δὲ νόθον ἡ ἁμαρτία καὶ παρὰ φύσιν, ἔξωθεν γὰρ ἡμῖν ὅταν μὴ νήφωμεν ἐπεισέρχεται, ταύτην εἰκότως ὁ Θεὸς Λόγος οὐ προσελάβετο. Πάλιν ἐπεὶ τὴν προσληφθεῖσαν φύσιν ὅλην ἐθεώ-

OCR ABK / FR

σεν, ἀνεπίβατος δικαίως ἡ θεωθεῖσα καὶ ἄψαυστος κατὰ πάντα τρόπον τῇ ἁμαρτίᾳ μεμένηκεν. Ἀλλ' οὐδὲ προαίρεσις ἡ ἀμφιῤῥεπὴς ἦν ἐν Χριστῷ. Προαιρετικὸς μὲν γὰρ ἦν ὡς αὐτεξούσιος καὶ κατὰ τὸ ἀνθρώπινον ὁ Χριστὸς, ὅτι καὶ λογικός. Πᾶν γὰρ λογικὸν αὐτεξούσιον. Πᾶν δ' αὐτεξούσιον προαιρετικόν. Βουλῆς δὲ καὶ σκέψεως καὶ γνώμης καὶ προαιρέσεως, ὥσπερ ἡμεῖς, ἔχρηζεν οὐδαμῶς, ὥσπερ αὖ οὐδὲ νήψεως. Θεὸς γὰρ ἦν κατ' ἄμφω τὸ μὲν φύσει, τὸ δὲ θεώσει. Διὸ δὴ καὶ κατὰ τοῦτον τὸν λόγον πάσης ἁμαρτίας ἀνώτερος ἦν· ἢ γὰρ ἐξ ἐπισφαλοῦς προαιρέσεως τὸ ἁμαρτάνειν, ἢ καὶ παρὰ προαίρεσιν ἐξ ἀπροσεξίας ἡμῖν ἐπιγίνεται. Μᾶλλον δὲ καὶ αὐτὸ τὸ ἀπροσεκτεῖν ἁμαρτία ἐστὶν, ἢ τέως γοῦν ἁμαρτίας ἀρχή· διά τοι τοῦτο καὶ τῶν ἀκουσίων ἁμαρτημάτων εἰσπραττόμεθα δίκας. Ὅθεν δ' ἀπέδρα τὸ αἴτιον, ποίαν ἐκεῖ τὸ αἰτιατὸν εἶχε παρείσδυσιν;

Προαίρεσις μὲν οὖν ἁπλῶς ἐστι πρόοδος πρὸς τὸ αἱρετὸν, ἤγουν αὐτεξούσιος ἄλογος ὁρμὴ πρὸς τὸ θελητὸν, ἥτις πρόσεστι κατὰ φύσιν παντὶ λογικῷ. Προαίρεσις λέγεται πάλιν ἡ πρὸ ἑτέρου αἵρεσις, ἥτις γίνεταί βουλῆς προηγησαμένης, εἶτα κρίσεως, μεθ' ἣν ἡ πρὸς τὸ ἐκ βουλῆς κριθὲν διάθεσις ἕπεται, καὶ λέγεται γνώμη, ἡ νῦν δηλουμένη προαίρεσις, εἴτουν ἡ ἐπιλογὴ τοῦ δόξαντος καλοῦ, διαδέχεται. Τὴν τοιαύτην προαίρεσιν οὐκ ἂν εἴπῃ τις εὖ φρονῶν ἐπὶ τοῦ Χριστοῦ. Ποίας γὰρ ἦν βουλῆς ἐνδεής; ἢ τίνος τῶν ἐκ βουλῆς ὁ θαυμαστὸς σύμβουλος, ἡ σοφία τοῦ Θεοῦ καὶ Πατρός; ἢ πῶς ἂν προσαφθείη προαίρεσις ἡ ἐν ἡμῖν τῷ προεκλεξαμένῳ τὸ ἀγαθὸν, καθὼς μεμαρτύρηται; καὶ γὰρ Ἡσαΐας προανακέκραγεν, ὅτι πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν· τουτέστιν οὔτ' ἂν προέλοιτο, τὸ δ' ἀγαθὸν ἐκ πρώτης ἀρχῆς ἐκλέξεται. Καὶ αὖθις, πρινὴ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. Ἤγουν πρὸ πάσης γνώσεως τὸ παιδίον, ἐν ἄκρᾳ νηπιότητι πρὸς τὸ πονηρὸν ἀπειθῶς ἔχον καὶ ἀῤῥεπῶς, τὸ ἀγαθὸν οἰκειώσεται. Τὸ δὲ, « πρινὴ γνῶναι » κατὰ τὸ φαινόμενον εἴρηται. Πότε γὰρ ἦν μὴ γινώσκον τὸ παιδίον, ἐν ᾧ πάντες οἱ θησαυροὶ τῆς σοφίας καὶ τῆς γνώσεως ἀπόκρυφοι, καταλλήλοις καιροῖς ἐφ' ὅσον ἐχρῆν φανερούμενοι; Τοιοῦτόν ἐστι καὶ τὸ σοφίᾳ καὶ χάριτι προκόπτειν μετὰ τῆς ἡλικίας τὸν Ἰησοῦν, κατὰ τὸ φαινόμενον δηλαδή. Τῆς μὲν γὰρ ἡλικίας ἐπίδοσις ἦν αὐξομένου τοῦ σώματος φυσικῶς, σοφίας δὲ καὶ χάριτος τῶν πρωτίστων καὶ ἀκροτάτων οὐκ ἐπίδοσις, ἀλλὰ φανέρωσις εὔκαιρος. Τοιγαροῦν ὁ Χριστὸς Θεὸς ὢν ἡνωμένος τῇ ἀνθρωπίνῃ οὐσίᾳ καθ' ὑπόστασιν, ἦν ἀγαθὸς ὡς Θεός. Εἶχε δὲ καὶ ὡς ἄνθρωπος αὐτεξουσίως τὸ ἀγαθὸν κατὰ φύσιν ὄν· ὥσπερ γὰρ τὸ κακὸν καὶ ἡ ἁμαρτία παρὰ φύσιν, οὕτω δὴ τὸ ἀγαθὸν ἡ ἀρετὴ κατὰ φύσιν ἐστί· διὰ τοῦτο καὶ ἡ ἁμαρτία τοιαύτην ἔσχε προσηγορίαν, ὡς ἀποτυχία τοῦ κατὰ φύσιν καὶ ἀγαθοῦ.

Οἱ μὲν οὖν ἄγγελοι δυσκίνητοι πρὸς τὸ κακὸν καὶ λέγονται καί εἰσι, τῇ περὶ Θεὸν προσεδρείᾳ, καὶ τῇ ἐλλάμψει τῇ συνεχεῖ βοηθούμενοι· ἡ δὲ τοῦ Κυρίου

A Sed nec prælatio incerta (æquilibrans) erat in Christo, prælationis erat capax ut pote sui juris vel secundum humanitatem Christus, quia rationabilis; omne enim rationabile est sui juris, et omne quod est sui juris, prælationis capax est. Consilio autem et consideratione et judicio et prælatione, sicut nos nullo modo egebat, quemadmodum rursus nec abstinentia) vigilantia: Deus enim erat secundum duo, naturam quidem et deificationem; propterea sane et secundum hanc rationem longe superior erat omni culpa; vel enim ex prælatione incerta culpa venit, vel præter prælationem ex inconsiderantia: imo quidem et ipsa inconsiderantia culpa est, vel saltem aliquatenus initium peccandi: quamobrem sane et de involuntariis peccatis pœnas solvere debemus. Unde fugit causa qualem ibi introitum habebat quod allegatur?

B Prælatio quidem est igitur simpliciter processus ad volitum, scilicet liber incogitatusque ad volitum impetus qui natura, est omnis creaturæ rationaa bilis. Rursus dicitur prælatio præ alio electio, quæ fit præeunte deliberatione, postea judicio, posteaque sequitur dispositio ad judicatum ex deliberatione tendens, et dicitur sententia; nunc demonstrata prælatio, seu selectio ejus quod videtur bonum, succedit. Talem prælationem nemo recte sentiens diceret de Christo. Quali enim deliberatione, vel quo, eorum quæ ad hanc pertinent, egeat mirabilis consilarius, Sapientia Dei et Patris? Vel quomodo prælatio ut in nobis est et aptaretur qui bonum præeligit ut testatur (propheta)? Etenim

C Isaias ante clamavit quia priusquam cognoverit ille, vel malum prætulerit, bonum eliget. Hoc est, nec præferret, sed bonum a principio primum eliget. Et rursus priusquam cognosceret puer bonum vel malum, non confidit malitiæ, eligendi causa boni: id est, ante omnem cognitionem puer, a tenera infantia nec docilem nec proclivem ad malum se habens, bonum sibi assumet; quod autem dicitur, « Priusquam cognosceret. » ex specie dicitur. Quando enim nesciens erat puer in quo omnes thesauri sapientiæ et scientiæ absconditi sunt, aptis temporibus, quantum opus erat, apparentes? Illud est quod dicitur Jesum proficere sapientia et gratia cum ætate, in specie scilicet. Ætatis enim accretio erat corporis naturalis accretio; sapientiæ vero et

D gratiæ accretio non auctio erat eorum quæ prima summaque fuere, sed apparitio opportuna. Sic igitur Christus jam Deus humanæ substantiæ unitus hypostatice, bonus erat ut Deus; habet autem et ut homo libere quod secundum naturam est bonum. Quemadmodum enim malum et culpa sunt contra naturam, sic sane bonum et virtus secundum naturam sunt; propterea etiam nomen habet culpa (defectus) quasi defectio, ab eo quod est secundum naturam et quod est bonum.

Angeli quidem propterea tardi ad malum dicuntur et sunt, eo adjuti quod Deo astent, et continua exinde luce illuminentur. Sed Domini

OCR ABK / FR

anima omnimo ad malum non prona erat, in se ipsa ipsum habens Deum Verbum, non possessione sed unione; et illa quidem imperium exercebat in corpore, Deus vero Verbum ejus erat dux, quem libere sequebatur, dum divinæ voluntatis impletionem ipsa, summa sanctitate, valde appeteret. Propterea et Dominus, Patrem orans in tempore passionis, ut homo dicebat: *Non sicut ego volo, sed sicut tu; fiat voluntas tua* [3]. Et vero hic sermo est animæ Domini unam scientis voluntatem sic uniti Dei Verbi et Patris. Habebat igitur Herus ea quæ sunt servorum propter servos, sed supra servos; herus enim erat licet servilem induisset formam; nam vere sicut nos, esuriebat, soporem sustinebat, defatigabatur, mœrebat, lacrymabatur, timebat, sed libenter. Quando volens ipse humanitati suæ dabat proprium patienter agere, et id supra nos, rursus comedebat, bibebat, dormiebat, colloquebatur sicut nos, sed omnia hæc sancte et supra nos. Quis enim inter nos in naturalibus innoxiis inveniretur prorsus innocens? Patiebatur pro nobis, in cruce fixione et tensione (algebat) dolebat. Demum mortuus est sed libenter; aderant et passio et dolor et mors; patiebatur caro, naturaliter dolebat anima propter societatem; ex ea enim carni sensus. Attamen divinitas in utraque non patiebatur, non dolebat; longe enim supra hæc est Divinitas, anima separata est a carne, sed Divinitas indivisa ab utraque erat. Passus Dominus et mortuus et sepultus corruptionem excussit, et quæ sunt corruptionis, et postquam ad incorruptionem disposuisset, propriamque animam ex potestate ut Deus assumpsisset surrexit tertia die. *Ego*, enim, ait, *pono animam meam ut iterum eam sumam*; *nam potestatem habeo ponendi eam, et potestatem habeo iterum eam sumendi* [4] Si autem et post resurrectionem Dominus comedit, id certe ex dispositione fecit, cum suis prandens discipulis, quasi is surrexisset qui prius erat cum eis. Quando autem dico ex dispositione, excludo phantasiam; etenim vere comedit, cibum vero novo quodam decenti modo ut ipsi visum est, digessit. Propterea quoque signa vulnerum ostendit, quæ fuerant quidem et jam non erant, præsentia ea reddens ut omnipotens. Cum enim corpus illud omni penuria, omni repercussu superius factum sit, neque cibos, neque contrectationem admittebat, idcirco etiam non secundum carnem nunc esse Dominum dicimus, ut pote qui carnalia deposuit, cibi appetitum, somnum, laborem et alia hujusmodi, præterea que et renisum; ejus enim corpus excussa corruptione, nihil egens factum est, et impassibile, intactile, et immortale; non tamen increatum, neque infinitum, hæc enim solius Divinitatis sunt; et ut verba contraham, quantum erat capax divinorum honorum humanitas Christi, ex ipso Verbo per unionem habuit, per quam et veneranda et ado-

[3] Luc. xxvi, 39. [4] Joan. x, 18.

A ψυχὴ παντελῶς πρὸς τὸ κακὸν ἀκίνητος ἦν, αὐτὸν ἔχουσα τὸν Θεὸν Λόγον ἐν ἑαυτῇ, οὐ κατὰ σχέσιν, ἀλλὰ καθ' ἕνωσιν. Καὶ ἡ μὲν τὴν ἡγεμονίαν ἐνήργει τοῦ σώματος, ὁ δὲ Θεὸς Λόγος ἦν αὐτῆς ἡγεμὼν, αὐτεξουσίως ἑπομένης αὐτῷ, καὶ τὴν τοῦ θείου θελήματος αὐτοῦ καὶ λίαν ἐπιποθούσης ἐκπλήρωσιν, τῷ τῆς ἁγιότητος ὑπερβάλλοντι. Διὸ καὶ ὁ Κύριος πρὸς τὸν αὐτοῦ Πατέρα προσευχόμενος ἐν τῷ καιρῷ τοῦ πάθους ὡς ἄνθρωπος ἔλεγεν, Οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· γεννηθήτω τὸ θέλημά σου. Καὶ γὰρ οὗτος ὁ λόγος τῆς τοῦ Κυρίου ψυχῆς, ἓν εἰδυίας θέλημα τοῦ ἡνωμένου ταύτῃ Θεοῦ Λόγου, καὶ τοῦ Πατρός. Εἶχε μὲν οὖν ὁ Δεσπότης τὰ τῶν δούλων διὰ τοὺς δούλους, ἀλλ' ὑπὲρ τοὺς δούλους. Δεσπότης γὰρ ἦν, εἰ καὶ δουλικὴν εἰλήφει μορφήν· ἐπείνα B κατ' ἀλήθειαν ὡς ἡμεῖς, ἐδίψα, νυσταγμὸν ἔφερε, κοπιῶν ἦν, λυπούμενος ἦν, δακρύων, δειλιῶν, ἀλλ' ἑκουσίως. Ὅτε θέλων αὐτὸς ἐνεδίδου τῇ αὐτοῦ ἀνθρωπότητι τὸ ἴδιον ἀμέμπτως ποιεῖν, καὶ τοῦτο ὑπὲρ ἡμᾶς, πάλιν ἤσθιεν, ἔπινεν, ἐκάθευδε, διελέγετο καθάπερ ἡμεῖς. Ἀλλὰ πάντα ἀναμαρτήτως, καὶ τοῦτο ὑπὲρ ἡμᾶς. Τίνι γὰρ ἂν ἡμῶν ἐν τοῖς φυσικοῖς ἀδιαβλήτοις εὑρεθείη διόλου τὸ ἄμεμπτον; Ἔπασχεν ὑπὲρ ἡμῶν, ἤλγει τῇ ἐν σταυρῷ προσηλώσει καὶ διατάσει· τέλος ἀπέθανεν. Ἀλλ' ἐθελουσίως ἦν αὐτῷ καὶ τὸ πάθος καὶ τὸ ἄλγος, καὶ τὸ θανεῖν. Ἔπασχεν ἡ σάρξ. Ἤλγει φυσικῶς ἡ ψυχὴ διὰ τὴν συνάφειαν, ἐξ αὐτῆς γὰρ ἡ αἴσθησις τῇ σαρκί, πλὴν ἡ θεότης ἡ ἐν ἀμφοῖν οὐκ ἔπασχεν, οὐκ ἤλγει. Τῶν γὰρ τοιούτων τὸ θεῖον ὑπέρτερον. Ἡ ψυχὴ διῄρητο τῆς σαρκός, ἀλλ' ἡ θεότης ἐξ ἀμφοῖν C ἀδιαίρετος ἦν. Παθὼν ὁ Κύριος καὶ θανὼν καὶ ταφεὶς ἀπετινάξατο τὴν φθορὰν καὶ τὰ τῆς φθορᾶς. Καὶ κατασκευάσας αὐτοῦ τὸ σῶμα πρὸς ἀφθαρσίαν, καὶ τὴν οἰκείαν ψυχὴν κατ' ἐξουσίαν ὡς Θεὸς προσλαβόμενος ἀνέστη τριήμερος. Ἐγὼ γὰρ τίθημι τὴν ψυχήν μου, φησίν, ἵνα λάβω πάλιν αὐτήν. Ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν. Εἰ δὲ καὶ μετὰ τὴν ἀνάστασιν ὁ Κύριος ἔφαγεν, ἀλλὰ κατ' οἰκονομίαν τοῦτο πεποίηκε, τοῖς ἰδίοις παριστῶν μαθηταῖς, ὡς αὐτὸς ἦν ἀναστὰς, ὁ πρότερον ὢν μετ' αὐτῶν. Ὅταν δὲ λέγω κατ' οἰκονομίαν τὴν φαντασίαν ἐκκρούομαι· καὶ γὰρ ἔφαγεν ἀληθῶς, τὴν τροφὴν δὲ καινοπρεπῶς ὡς οἶδεν αὐτὸς διῳκήσατο. Διὰ τοῦτο καὶ τύπους ὑπεδείκνυ πληγῶν, τὰ γεγονότα μὲν, μὴ ὄντα δὲ, παρόντα ποιῶν ὡς D παντοδύναμος. Ἐπεί τοί γε τὸ σῶμα ἐκεῖνο πάσης ἐνδείας, πάσης ἀντιτυπίας ὑπέρτερον γεγονὸς, οὔτε τροφὰς οὔτε ψηλαφήσεις προσίετο. Διὸ καὶ μὴ κατὰ σάρκα νῦν εἶναι τὸν Κύριον λέγομεν, ὡς τὰ τῆς σαρκὸς ἀποθέμενον, τροφῆς ὄρεξιν, ὕπνον, κόπον καὶ τὰ τοιαῦτα· πρὸς τούτοις καὶ τὸ ἀντίτυπον. Τὸ σῶμα γὰρ αὐτοῦ διὰ τῆς ἀπεκδύσεως τῆς φθορᾶς ἀνενδεὲς ἀπετελέσθη καὶ ἀπαθὲς, καὶ ἀναφὲς, καὶ ἀθάνατον, οὐ μὴν καὶ ἄκτιστον, οὔτ' αὖ ἀπερίγραπτον, ταῦτα γὰρ μόνης θεότητος· καὶ ἵν' εἴπω συνελὼν, ὅσον μὲν ἦν δεκτικὸν θείων αὐχημάτων τὸ ἀνθρώπινον τοῦ

Χριστοῦ, μετέσχεν ὑπ' αὐτοῦ τοῦ Λόγου διὰ τὴν A ἕνωσιν, δι' ἣν καὶ σεπτόν ἐστι, καὶ προσκυνητόν· ὅσον δὲ οὐκ ἦν δεκτικὸν οὐ μετέσχεν, ἵνα κἀντεῦθεν τό τε διάφορον τῶν φύσεων τοῦ Χριστοῦ, τό τε μοναδικὸν τοῦ προσώπου γινώσκωμεν.

Πρεσβεύομεν τοίνυν ἐπὶ Χριστοῦ μίαν ὑπόστασιν σύνθετον, ἐκ δύο συντεθειμένην φύσεων, θεότητος δηλονότι καὶ ἀνθρωπότητος, ἀλλήλαις ἡνωμένων κατ' αὐτὴν τὴν τοῦ Λόγου ὑπόστασιν. Διὰ τοῦτο γὰρ καὶ τὴν τοιαύτην ἕνωσιν καθ' ὑπόστασιν λέγομεν, ὅτι μίαν ὑπόστασις ἐκ τῶν τριῶν τῆς θεότητος ὑποστάσεων, ἥτις ἐστὶν ἡ τοῦ Υἱοῦ, τὰς δύο φύσεις ἀλλήλαις ἥνωσεν ἀσυγχύτως ἐν ἑαυτῇ τε καὶ καθ' αὑτήν. Οὐ γὰρ ὑπέστη καθ' αὑτὸ, κἂν ἀκαριαίως τὸ τοῦ Χριστοῦ ἀνθρώπινον ὡς ἂν ὑπόστασις τοῦτο λέγοιτο. Καὶ γὰρ οὐκ ἐχρῆν· τί γὰρ ἦν τὸ κέρδος B ἡμῖν τὸ θεωθῆναι μίαν ὑπόστασιν; ἀλλὰ τὴν φύσιν ὁ Θεὸς Λόγος ἐν ἑαυτῷ προσελάβετο πᾶσαν τῆς ἀνθρωπότητος, ἵνα θεώσῃ πάντας ἡμᾶς. Ὅθεν μιᾶς ὑποστάσεως κηρύττομεν τὸν Χριστὸν, καὶ δύο φύσεων ἡνωμένων ἀλλήλαις ἀσυγχύτως ἕνωσιν ἄκραν, ἀδιαιρέτων μενουσῶν ἀϊδίως, ἔκ τε ἀλλήλων καὶ τῆς ὑποστάσεως καθ' ἣν ἥνωνται. Τῶν δὲ φύσεων ἐχουσῶν τὸ ἀσύγχυτον καὶ τὰ προσόντα ταύταις ἀσύγχυτα, τὰς θελήσεις καὶ τὰς ἐνεργείας φημί. Μένει γοῦν ἡ θεϊκὴ θέλησις θεϊκὴ, καὶ ἡ ἀνθρωπικὴ πάλιν ἀνθρωπικὴ, πλὴν τεθεωμένη, διὰ τὴν ἕνωσιν. Τοῦτο κἀν ταῖς ἐνεργείαις γινώσκεται. Δύο τοίνυν θελήσεις ἐν τῷ Χριστῷ. Θέλων δὲ καὶ κατ' ἄμφω τὰς θελήσεις, κατ' ἄμφω τε τὰς ἐνεργείας ἐνεργῶν, εἷς ὁ αὐτὸς ὁ θεάνθρωπος, μὴ διαιρούμενος εἰς C Θεὸν ἰδικῶς, καὶ εἰς ἄνθρωπον ἰδικῶς, ἀλλ' εἷς ἀμερίστως ὑπάρχων Θεὸς καὶ ἄνθρωπος ὁ αὐτὸς, ταυτὸν δ' εἰπεῖν Θεὸς καὶ ἀνήρ· ὅθεν θεανδρικὴν ἐνέργειαν ὁ εἰπὼν οὐ σύγχυσιν ταῖς φυσικαῖς ἐνεργείαις εἰσήγαγεν, ἀλλὰ τὴν εἰς ἄκρον αὐτῶν παρίστησιν ἕνωσιν καὶ τὸ τεθεῶσθαι τὴν ἀνθρωπίνην ἐνέργειαν. Ὥσπερ γὰρ ἐν Χριστῷ διὰ τῆς ἑνώσεως ἡ ἀνθρωπίνη τεθέωτο φύσις, οὕτω δὴ καὶ ἡ θέλησις συντεθέωτο καὶ ἡ ἐνέργεια. Διὸ καὶ τερατουργοῦντος αὐτοῦ τοῖς θεϊκοῖς ἐνεργήμασι τὰ ἀνθρωπικὰ συνεζεύγνυτο, κἀκ τῶν ἀνθρωπικῶν ἐνεργημάτων, λόγου δηλονότι καὶ ἀφῆς καὶ τῶν τοιούτων, αἱ θεοσημεῖαι προέβαινον· καθάπερ σιδήρου τμητικοῦ πυρωθέντος καὶ τέμνοντος καὶ καίοντος ἐν ταυτῷ, καὶ ἡ τομὴ μετὰ τῆς καύσεως γίνεται, καὶ ἡ καῦσις ἀχώριστός ἐστι τῆς τομῆς καὶ ἡ τῶν δύο ἐνεργειῶν συνδρομὴ D τὸ ἑνιαῖον εἰσφέρει ταύταις οὐ κατὰ φύσιν, ἀλλὰ καθ' ἕνωσιν. Ὁ τοίνυν θεανδρικὴν φήσας ἐνέργειαν διὰ μὲν τῆς ἑνικῆς προφορᾶς τὸ τὰς δύο ἐνεργείας ἓν εἶναι τῇ συνελεύσει καὶ μὴ διακεκρίσθαι ταύτας πραγματικῶς ἀπ' ἀλλήλων δεδήλωκεν· ἐν δὲ τῷ εἰπεῖν θεανδρικὴν, θείαν δηλονότι καὶ ἀνδρικὴν, τὸ τῶν ἐνεργειῶν τῇ φύσει διάφορον καὶ μετὰ τὴν ἕνωσιν ἔδειξεν. Ἄλλως δὲ δύο τινὰ δηλοῦντος τοῦ τῆς ἐνεργείας ὀνόματος, ἐνέργεια γὰρ φυσική ἐστιν ἡ τῆς ἐνοικούσης τῇ φύσει δυνάμεως πρόβασις εἰς ἔργου τινὸς ἐκπλήρωσιν, ἥτις ἐν τῷ ἐνεργεῖν ἔχει τὸ εἶναι, καθὼς ἡ δύναμις ἐν τῷ πεφυκέναι καὶ

randa est; quantum autem non erat capax, non participavit, ut exinde quoque differentiam naturarum unitatemque personæ cognoscamus.

Veneramur igitur in Christo unam hypostasim compositam, duobus compositam naturis, divinitate scilicet et humanitate sibi invicem unitis secundum ipsam Verbi hypostasim; ideo enim hanc unionem dicimus secundum hypostasim, quia una hypostasis, inter tres divinitatis hypostases, quæ est hypostasis Filii, duas naturas inter se invicem univit inconfuse in seipsa, et secundum ipsam; non enim substitit secundum se, vel unum momentum, humanitas Christi, ita ut illa hypostasis diceretur, et revera non oportebat. Quid enim lucri nobis si deificata fuisset una hypostasis? Sed Deus Verbum in seipso assumpsit totam naturam humanitatis ut nos omnes deificaret, unde unius hypostaseos esse Christum prædicamus, et duarum naturarum inter se summa unione unitarum inconfuse, in æternumque manentium indivisarum ab invicem atque hypostasi secundum quam uniuntur. Naturis vero habentibus esse inconfusas, et inconfusa sunt quæ eis conveniunt: voluntates dico et operationes: manet igitur divina voluntas divina, et rursus humana humana, excepto quod et per unionem deificata sit, quod et operationibus cognoscitur. Duo sunt igitur in Christo voluntates. Volens autem secundum duas voluntates, operans secundum duas operationes. Unus idem est Deus homo, non divisus in Deo proprie et homine proprie, sed unus modo indivisibili Deus et homo idem est, aliis verbis, Deus et vir. Unde divino virilem operationem dicens, non confusionem in naturales operationes induxit, sed earum in summa unionem proposuit, et deificationem operationis humanæ. Quemadmodum enim in Christo, per unionem deificata est humana natura, ita sane et voluntas una deificata fuit, et operatio; ideoque et miracula edens Christus, divinis operationibus humanas conjungebat; et ex humanis operationibus Verbi evidenter, tactuque et aliis hujusmodi, Dei manifestationes prodibant; quomodo ferrum acutum ardensque, et secat et urit idem, et fit cum ustione sectio et ustio inseparabilis est a sectione, et duarum operationum concursus unitatem his inducit, non secundum naturam, sed secundum unionem. Qui igitur dixit divino virilem operationem, unica enuntiatione ostendit duas operationes unum quid esse concursu, nec in re illas ab invicem discriminari, sed quia dixit divino virilem, divinam scilicet et virilem, operationum naturalem differentiam vel post unionem ostendit. Aliter vero duo quædam indicante operationis homine, operatio enim naturalis, est naturæ inhærentis potentiæ processio ad alicujus operis impletionem, quæ in operandum habet esse, sicut potentia habet esse in eo quod sit a natura et possit, dicitur rursus

OCR ABK / FR

A operatio operis impletio, ipsum operatum, operis perfectio, actio ipsa, hoc igitur posterius significatum operatione, aptandum est operationi divino virili ; Deus homo enim cum est Christus, et omnis ejus operatio divino-humana est, et divinovirilis. Sic autem loqui non infert confusionem operationibus naturalibus, sed unum et eumdem esse demonstrat qui divino et humane operatur : nec divina secundum Deum, nam est homo ; nec humana secundum hominem, nam est Deus. Similiter qui dixit unam naturam Dei Verbi adjiciens incarnatam, hanc abstulit suspicionem ; alia enim est Verbi natura, scilicet divina, aliaque rursus natura carnis, scilicet humana ; et syncedochice, alia voluntas naturæ divinæ, et alia humanæ. Voluntatem dicimus actum volendi, ipsam B potestatem volentem, quæ est voluntas naturalis. Voluntatem igitur humanæ naturæ Dominus postquam assumpsisset deificasset que ipsam servavit quæ erat secundum naturam humanam. Et illud cum evidenter proponere vellet, domum ingressus in regionibus Tyri et Sidonis, a nomine cognosci voluit nec potuit latere ; ex dispositione latere volens, nequivit, docens nos ex ipsis operibus, voluntatem his quæ sunt humanæ naturæ debilem, ab omnipotente non recusatam, sed essentialiter ipsam ei dispositam, dum nostram totam naturam cum omnibus quæ sunt secundum naturam accepit.

C Dicitur quidem igitur voluntas actio volendi quæ est voluntas naturalis, ut monstratum est ; dicitur autem voluntas etiam ipsum volitum quod in hominibus est subjiciens non idildem omni naturæ conveniens. Alii enim hominum solum vivere placet, alii quidem libere loqui, alii terram exercere, alii navigare, et rursus alii aliud est in mente. Plerumque autem eidem et uni diversum, et aliud aliudque est volitum. Vocatur autem hæc voluntas subjiciens (moralis, ex more, juxta morem, sententiam). Cum igitur duarum esse naturarum Dominum confitentur, creditur et duas habere voluntates naturales, divinam et humanam, scilicet duas potentias volentes ab invicem distinctas ratione naturæ. Cum igitur cum unius esse hypostaseos cognoscitur, non cautum est dicere de eo diversas voluntates morales. Volitum enim D unum est quia et volens unus, voluntate ejus humana ad proprium volitum inclinata, quando hoc ejus volitum, et in quantum erat volitum, voluntati divinæ erat. Dupliciter autem dicitur (mos) sententia ; dicitur enim et merus motus ad volitum ut sapienter exsistens et cum cognitione in creaturis rationabilibus ; dicitur etiam sententia, et ex deliberatione prævia judicioque dispositio ad aliquid. Non cautum est sive sententiam sive voluntatem moralem dicere de Christo, secundum posterius sententiæ sensum ; quia cum his inducitur ignorantia ; etsi enim ignorantem naturam sumpserit

A δύνασθαι, λέγεται πάλιν ἐνέργεια καὶ ἡ τοῦ ἔργου ἐκπλήρωσις, αὐτὸ τὸ ἐνεργητόν, ὁ τοῦ πράγματος ἀποτελεσμός, ἡ πρᾶξις αὐτή. Τοῦτο δὴ τὸ δεύτερον σημαινόμενον τῆς ἐνεργείας προσαρμοστέον τῇ θεανδρικῇ. Θεανθρώπου γὰρ ὑπάρχοντος τοῦ Χριστοῦ καὶ πᾶσα πρᾶξις αὐτοῦ θεανθρωπινὴ καὶ θεανδρική. Τὸ δ' οὕτω λέγειν οὐ φέρει σύγχυσιν ταῖς ἐνεργείαις ταῖς φυσικαῖς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν εἶναι διασαφεῖ τὸν ἐνεργοῦντα καὶ θεϊκῶς καὶ ἀνθρωπικῶς, οὔτε τὰ θεῖα κατὰ Θεόν, ἄνθρωπος γάρ, οὔτε κατ' ἄνθρωπον τὰ ἀνθρώπινα, Θεὸς γάρ. Ὡσαύτως καὶ ὁ μίαν φύσιν εἰρηκὼς τοῦ Θεοῦ Λόγου σεσαρκωμένην προσθεὶς τὴν τοιαύτην ἀνεῖλεν ὑπόνοιαν. Ἑτέρα γὰρ ἡ Λόγου φύσις, ἤγουν ἡ θεία, καὶ ἑτέρα πάλιν ἡ τῆς σαρκὸς ἤτοι ἡ ἀνθρωπικὴ, συνεκδοχικῶς ἕτερον θέλημα τῆς θείας φύσεως, καὶ ἕτερον B τῆς ἀνθρωπικῆς. Θέλημα δὲ τὴν θέλησιν λέγομεν, αὐτὴν τὴν δύναμιν τὴν θελητικὴν, ἥτις ἐστὶ θέλημα φυσικόν. Τὸ τοίνυν τῆς ἀνθρωπίνης θέλημα φύσεως ὁ Κύριος προσλαβόμενος, καὶ θεώσας αὐτὸ διετήρησεν ὅπερ ἦν κατὰ φύσιν ἀνθρώπινον. Καὶ τοῦτο παραστῆναι βουλόμενος ἐναργῶς, εἰσελθὼν εἰς οἶκον ἐν τοῖς μέρεσι Τύρου καὶ Σιδῶνος, οὐδένα ἠθέλησε γνῶναι, καὶ οὐκ ἠδυνήθη λαθεῖν· οἰκονομικῶς γὰρ θελήσας λαθεῖν οὐ δεδύνητο, διδάσκων ἡμᾶς διὰ τῶν πραγμάτων αὐτῶν, ὅτι τὸ τῆς ἀνθρωπίνης φύσεως θέλημα τὸ ἀσθενὲς ὁ πανσθενὴς οὐκ ἀπεδοκίμασεν, ἀλλ' οὐσιωδῶς ᾠκειώσατο καὶ αὐτὸ, τὴν ἡμετέραν ὅλην φύσιν μετὰ πάντων τῶν κατὰ φύσιν ἀναλαβών.

C Λέγεται μὲν ἓν θέλημα προηγουμένως ἡ θέλησις, ἥτις ἐστὶ θέλημα φυσικόν, ὡς δεδήλωται. Λέγεται γὰρ θέλημα καὶ αὐτὸ θελητόν, ὅπερ ἐν ἀνθρώποις ἐστὶν ὑποτακτικὸν οὐ τὸ αὐτὸ πάσῃ τῇ φύσει προσόν. Τῷ μὲν γὰρ τῶν ἀνθρώπων τὸ ἰδιάζειν τυχὸν τεθέληται, τῷ δὲ τὸ παρρησιάζεσθαι· καὶ τῷ μὲν τὸ γεηπονεῖν, τῷ δὲ τὸ ναυτίλλεσθαι· καὶ ἄλλῳ πάλιν ἄλλο τι κατὰ γνώμην ἐστί. Πολλάκις δὲ τῷ αὐτῷ καὶ ἑνὶ διάφορον, καὶ ἄλλοτε ἄλλο τὸ θελητόν. Καλεῖται δὲ τὸ τοιοῦτον ὑποτακτικὸν θέλημα γνωμικόν. Τοιγαροῦν ὁ Κύριος ἐπεὶ δύο φύσεων ὡμολόγηται, δύο κεκτῆσθαι καὶ θελήματα πιστεύεται φυσικά, θεῖόν τε καὶ ἀνθρώπινον· ἤγουν δυνάμεις δύο θελητικὰς ἀλλήλων διαφερούσας τῷ λόγῳ τῆς φύσεως. Ἐπεὶ δὲ μιᾶς ὑποστάσεως ἔγνωσται, σφαλερὸν εἰπεῖν ἐπ' αὐτοῦ διάφορα θελήματα γνωμικά. Τὸ γὰρ θελητὸν D ἕν, ὅτι καὶ ὁ θέλων εἷς, τῆς ἀνθρωπικῆς αὐτοῦ θελήσεως πρὸς τὸ οἰκεῖον θελητὸν κινουμένης, ὅτε τοῦτο τῇ θεϊκῇ θελήσει αὐτοῦ θελητὸν ἦν, καὶ ἐφ' ὅσον ἦν θελητόν. Διχῶς δὲ τῆς γνώμης λεγομένης, λέγεται γὰρ γνώμη καὶ ἡ ἁπλῶς ῥοπὴ πρὸς τὸ θελητόν, ὡς ἐλλόγως γινομένη καὶ μετὰ γνώσεως ἐν τοῖς λογικοῖς, λέγεται γνώμη καὶ ἡ ἐκ προβουλεύσεως καὶ κρίσεως περί τι διάθεσις. Οὐκ ἀσφαλὲς ἢ γνώμην ἢ θέλημα γνωμικὸν εἰπεῖν ἐπὶ τοῦ Χριστοῦ κατὰ τὸ τῆς γνώμης δεύτερον σημαινόμενον, διὰ τὸ συνεισάγεσθαι τούτοις τὴν ἄγνοιαν. Εἰ γὰρ καὶ τὴν ἀγνοοῦσαν ὁ Κύριος φύσιν ἀνέλαβεν, ἀλλὰ τῶν θείων ἐξηγημάτων ταύτῃ μετέδωκε. Καὶ ἦν τοῦ Κυρίου

OCR ABK / FR

ψυχὴ πᾶσαν ἔχουσα σοφίαν, θείαν ἅμα δὲ καὶ ἀνθρωπικὴν, πᾶσαν γνῶσιν, τῶν γεγονότων, τῶν ὄντων, τῶν ἐσομένων, οὐ φύσει, οὐ χάριτι, διὰ δὲ τὴν πρὸς αὐτὸν τὸν μόνον σοφὸν, καὶ πάντα καὶ πρὸ τῆς αὐτῶν γενέσεως εἰδότα προαιωνίως καθ' ὑπόστασιν ἕνωσιν. Ποίας οὖν ἔχρῃζεν αὕτη βουλῆς; τίνος τῶν μετὰ τὴν βουλὴν ἡ πάντα γινώσκουσα, καθὼς ἔφαμεν;

A Dominus hanc saltem participem reddidit divinæ gloriæ (divinorum honorum),et erat Domini anima omnem habens sapientiam, divinam simul et humanam ; omnem scientiam præteritorum, præsentium et futurorum non natura, non gratia, sed unione secundum hypostasim, cum ipso solo sapiente et omnia vel antequam fiant cognoscente. Qua igitur deliberatione hæc egeret,vel quo eorum quæ sunt post deliberationem egeret ea quæ omnia cognoscit, ut diximus ?

Εἰ δέ ποτε πεινῶντα τὸν Κύριον ἐλθεῖν γέγραπται πρὸς συκῆν καρπὸν οὐκ ἔχουσαν, εἰ ἄρα εὑρήσει τι ἐν αὐτῇ, καὶ οὐχ εὗρεν, εἰ μὴ φύλλα, καθ' ὑπόνοιαν ὁ τοιοῦτος τοῦ λόγου σχηματισμὸς, καθὼς ἂν ὑπενόησεν ἴσως ὁ τὴν αὐτοῦ πρὸς τὴν συκῆν κατιδὼν ἔλευσιν, μὴ μέντοι τὸν τῆς οἰκονομίας λόγον εἰδώς. Τίνι γὰρ ἂν καὶ τῶν τυχόντων ἠγνοήθη B τὸ πρόδηλον; ἐπεὶ καὶ καιρὸς σύκων οὐκ ἦν, ἀλλ' ὡς ἂν ὁ τὸ πᾶν ἰσχύων ἐνδείξηται κατὰ καιρὸν ὅτι μὴ μόνον εὐεργετικὴν ἔχων δύναμιν, ἀλλά γε καὶ τιμωρητικὴν, καὶ ὡς εἴπερ ἐθέλοι λόγῳ μόνῳ τοὺς σταυρώσαντας ἀποξηρανεῖ, τὴν πεῖναν καὶ τὴν πρὸς τὴν συκῆν ἔλευσιν προηγούμενα τίθησι τῆς τοιαύτης ἐνδείξεως ὁ σοφὸς καὶ φιλάνθρωπος· διά τοι τοῦτο καὶ παρὰ τὸ εἰωθὸς ἡ πεῖνα πρωΐας οὔσης, καθὼς τεθέλητο. Τοιγαροῦν ἡ πρὸς τὴν συκῆν ἄφιξις, ὡσαύτως καὶ ἡ περὶ τοῦ Λαζάρου πεῦσις, ὅποι τέθειτο θανὼν ἐκεῖνος, καὶ εἴ τι παραπλήσιον, οὐκ ἀγνοίας, ἀλλ' οἰκονομίας καὶ προσφόρου συγκαταβάσεως. Κατὰ μὲν οὖν τὸ δεύτερον τῆς γνώμης καὶ τῆς προαιρέσεως σημαινόμενον οὔτε γνώμην, οὔτε προαίρεσιν εἴποιμεν ἂν ἐπὶ τοῦ Χριστοῦ· κατὰ δὲ C τὸ πρῶτον καὶ κατὰ γνώμην Θεοῦ τόδε τι διαπεπρᾶχθαί φαμεν· τουτέστι θελητὸν τῷ Θεῷ καὶ ἀποδεκτὸν τὸ πραχθέν. Ὡς εἰ λέγοιμεν τὸν Δαβὶδ βεβασιλευκέναι κατὰ γνώμην Θεοῦ, καὶ προαιρετικὸς μὲν ὁ τοῦ Θεοῦ Λόγος, προαιρετικὸν δὲ τὸ Πνεῦμα τὸ ἅγιον εἴρηται. Δέον οὖν ἐρευνᾶσθαι τὴν λέξιν ἐν ἅπασιν, εἰ πλείω δηλοῖ τοῦ ἑνὸς, καὶ μετ' εὐκρινείας τοὺς λόγους προβαίνειν πρὸς τὰ δηλούμενα. Πολλὴ γὰρ ἡ ἐκ τῆς ὁμωνυμίας ἀπάτη, καὶ πρῶτος αὕτη τρόπος ἐν τοῖς σοφίσμασιν. Οὕτω τοι καὶ τὸ Θεὸς ὄνομα, καὶ τὸ ἄνθρωπος ποτὲ μὲν φύσιν σημαίνει, ποτὲ δ' ὑπόστασιν. Ἡ δὲ θεότης ὡσαύτως καὶ ἡ ἀνθρωπότης φύσιν ἀεὶ μόνην, ἀλλ' οὔποτε καὶ ὑπόστασιν. Τὸ δὲ Χριστὸς δηλοῖ σύνθετον ἐκ θεότητός τε καὶ ἀνθρωπότητος. Καὶ τὸ χρίσμα μὲν ἡ θεότης, ἡ ἀνθρωπότης δὲ τὸ χρισθέν. D Χρίσιν δὲ νοητέον τὴν ὅλου τοῦ χρίσματος εἰς ὅλον τὸ χρισθὲν περιχώρησιν. Οὕτω γὰρ ἂν εἴη τὸ τὴν χρίσιν δεδεγμένον ταῖς ἀληθείαις ὅλον Χριστόν. Τὸ γὰρ ἐπιπολαίως χρισθὲν ἐκ μέρους Χριστὸν, ἀλλ' οὐχ ὅλον, ὅθεν οὐδὲ κυρίως Χριστόν. Διὸ βασιλεῖς τε καὶ ἀρχιερεῖς τῷ ἐλαίῳ χριόμενοι, καὶ τὴν ἐπιπόλαιον δεχόμενοι χρίσιν, οὐ κυρίως Χριστοί. Εἰ δὲ ἡ χάρις εἰς βάθος διὰ τοῦ χρίσματος, οὐ κυρίως Χριστοί, χάριτι γὰρ καὶ ἐπίκληροι. Μόνος τοίνυν ὁ Κύριος κυρίως Χριστὸς, ὡς ὅλος δι' ὅλου, καὶ οὐ χάριτι. Τῇ δὲ καθ' ὑπόστασιν ἑνώσει καὶ ἀϊδίως Χριστός. Τὸ δὲ Θεὸς ὄνομα σημαίνει μὲν καὶ τὸ

Si quando quidem scriptum est : Dominum esurientem venisse ad ficum non habentem fructum, si forte aliquid inveniret in ea nec invenit nisi folia,secundum conjecturam is est sermonis modus ut forsan conjecisset qui eum vidisset ad ficum venientem nec tamen dispositionis rationem scivisset, a quo enim et accidentium ignorata fuisset evidentia, cum tempus ficorum non adesset ; sed ut omnipotens ille ostenderet secundum tempus, quod non solum habeat potentiam quæ benefaciat, sed etiam quæ castiget, et quod, si velit verbo solo crucifigentes siccabit ; famem et accessum ad ficum exempla ponit talis demonstrationis sapiens et hominum amator; ideo sane et contra morem fuit fames mane sicut placuerat. Idcirco sane ad ficum accessus, sicut et de Lazaro interrogatio : ubi positus fuisset mortuus ille ? et si quid simile, non ignorantiæ sunt sed dispositionis et condescensionis aptæ.Secundum igitur posteriorem sententiæ et prælationis sensum, neque sententiam neque prælationem diceremus de Christo ; secundum vero priorem, (et) secundum sententiam Dei aliquid factum fuisse dicimus, hoc est, voluit, factum gratumque habuit Deus, ut si dicamus, Davidem regnasse secundum sententiam Dei. Et quidem Verbum Dei (sui juris et sui juris Spiritus sanctus dicuntur) prælationis capax et capax prælationis Spiritus sanctus dicitur. Oportet igitur scrutari enuntiationem in omnibus, si plura uno significet, et cum discretione verba procedere ad ea quæ significantur. Multus enim ex homonymia error, et præcipuus ea mos est in sophismatibus. Sic sane et nomen « Deus » et nomen « homo ; » modo enim naturam significat, modoque hypostasim. Divinitas quoque sicut et humanitas naturam semper solam, sed nunquam et hypostasim ; Christus autem præbet compositum ex Divinitate et humanitate. Unguentum quidem Divinitas,unctum humanitas, unctionem vero intelligere est (transitionem, transfusionem) circumincessionem totius unguenti in tota uncto ; sic enim qui unctionem accepisset, vere foret totus Christus (unctus), nam summatim tantum unctus ex parte Christus est, non vere totus unde nec regie Christus. Ideo reges et sacerdotum principes oleo uncti, et summatim unctionem accipientes, non regie Christi sunt,et si gratia in profundo per unctionem, non regie Christi sunt, nam vel cum gratia caduci. Solus igitur Dominus regie Christus est utpote totus omnino ; non vero gratia,sed unione secundum

OCR ABK / FR

hypostasim perpetuo Christus. Nomen quidem Deus Θεός indicat quidem quod agendi, quod creandi capax est; fecisse enim est posuisse θεῖναι et qui fecit est qui posuit θεὶς evidentissimum quoque est quod proponat operationem (spectantem) θεατικῆς (qua spectetur) spectando idoneam. Nam ipsorum quæ nondum facta sunt quasi sub oculis jacentium spectator est Deus, et inspector omnium universim. Omniumque nominum aptissimum et qui principio carens, immensus est, et quæ non erant educit, est: (ens) « qui est » et quia semper solus ipse est, et quia (τοῦ esse) exsistentiæ fons ipse solus.

A ποιητικὸν, καὶ τὸ δημιουργικὸν, θεῖναι γὰρ τὸ ποιῆσαι, καὶ θεὶς ὁ ποιήσας, ἀριδηλότερον δὲ τῆς θεατικῆς ἐνεργείας ἐστὶ παραστατικόν. Καὶ αὐτῶν γὰρ τῶν μήπω γενομένων ὡς ὑπ' ὄψιν κειμένων θεατής ἐστιν ὁ Θεὸς, ἔφορός τε τῶν ὅλων ἁπαξαπλῶς. Πάντων δὲ τῶν ὀνομάτων οἰκειότερον τῷ ἀνάρχῳ καὶ ἀπείρῳ καὶ παραγωγεῖ τῶν ποτὲ μὴ ὄντων τὸ ὤν· ὅτι τε ἀεὶ ἔστι μόνος αὐτὸς, καὶ ὅτι πηγὴ τοῦ εἶναι μόνος αὐτός.

Qui in sanctis est Nicephorus Blemmides a rege Joanne Duca de processione sanctissimi Spiritus interrogatus: Utrum recte sentiant Latini necne, sic respondit: eos etsi lingua duas causas inducere vel duo principia recusent, dum rursus ex Filio Spiritum procedere dicunt, in eo præcipue mente falli, et quod verbis refugiunt in idipsum operibus converti, eadem enim agunt ac si quis « hominem » dicens intendat (includat) ipsum et animal esse non dicere; et quomodo, quaque ratione eos conversos inveniamus in id quod refugiunt ex eo patere: si gigni Filium, et procedere Spiritum inveniuntur propria differentiæ hypostaticæ utriusque, quatenus gignitur Filius causam habet, quoad id, Patrem; quatenus procedit Spiritus de Filio quoque causam habet, quoad id, Filium quoque. Si Pater gignens Filium causa ejus est, emittens Spiritum causa ejus est; sed et Filius emittit Spiritum. Spiritus igitur causa est et Filius. Si, secundum veritatem, et traditionem pietatis, et Patrum doctrinam, (τὸ) procedere et processio de Spiritu sancto dicta, ea inveniantur quæ significent quomodo sit a Patre, et hypostaticæ differentiæ erga Filium discretivæ proprium admittitur, non tamen quod indicet cum eo conjunctionem, sive connaturam, seu consubstantialitatem. Hujus autem causa Pater est, sed id habet ille juxta ipsos, et ex Filio quid nihil aliud dat (igitur) illud, et positum de Filio, sed quam potius ut ex Patre. Sic sane etiam de Filio Spiritum sanctum procedere proponitur. Duo igitur causæ Spiritus, scilicet ejus quæ ei obtingit hypostaticæ proprietatis, id est, processionis, omni modo conducuntur. Qui dicit igitur Filium a Patre gigni, non autem hunc ejus causam esse contendit, omnino mentitur. Si enim gignitur, causam habet etiam id unde gignitur. Et qui dicit Spiritum procedere de Patre, nec ejus causam et hunc esse, mentitur, nam per processionem indicit et hunc ejus causam esse, cum ex hoc procedit. Qui dicit Spiritum procedere et de Filio, non autem et causam ejus hunc esse dicit, mentitur. Concludentes igitur declaramus ita quod naturaliter, in his quæ dicunt, blasphemant et propter blasphemiam reprobatorum judicabuntur. Etsi enim additio concederetur, quod naturaliter est malum adest, et etsi admitteretur non esse ma-

Ὁ ἐν ἁγίοις Νικηφόρος ὁ Βλεμμίδης παρὰ τοῦ βασιλέως Ἰωάννου τοῦ Δούκα περὶ τῆς ἐκπορεύσεως τοῦ παναγίου Πνεύματος ἐρωτηθεὶς, εἰ καλῶς φρονοῦσι Λατῖνοι ἢ οὔ, ἀπεκρίθη οὕτως· ὡς εἰ καὶ τῇ γλώσσῃ τὸ δύο εἰσάγειν αἴτια, ἢ δύο ἀρχὰς B ἀποφεύγουσιν, ἀλλὰ καὶ πάλιν ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα λέγοντες ἐκπορεύεσθαι εἰς τοῦτο μᾶλλον τῷ νοΐ ἐκπίπτουσι (1). Καὶ ὃ διὰ λόγων ἀποδιδράσκουσιν εἰς τοῦτ' αὐτὸ διὰ τῶν ἔργων περιτρέπονται. Ταυτὸν γὰρ ποιοῦσιν, ὡς εἴ τις ἄνθρωπον λέγων, ἐνίσταται καὶ ζῶον μὴ λέγειν εἶναι αὐτόν. Καὶ ὅπως καὶ τίνι λόγῳ περιτρεπομένους αὐτοὺς εὑρίσκομεν εἰς ὅπερ ἀπαγορεύουσι, δῆλον ἐντεῦθεν· εἰ τὸ γεννᾶσθαι τὸν Υἱὸν καὶ ἐκπορεύεσθαι τὸ Πνεῦμα τῆς ὑποστατικῆς διαφορᾶς ἑκατέρων τυγχάνουσιν ἴδια, καθὸ γεννᾶται ὁ Υἱὸς κατὰ τοῦτο αἴτιον ἔχει τὸν Πατέρα· καθὸ ἐκπορεύεται τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, κατὰ τοῦτο αἴτιον ἔχει καὶ τὸν Υἱόν. Εἰ ὁ Πατὴρ γεννῶν τὸν Υἱὸν αἴτιος αὐτοῦ ἐστιν, ἐκπορεύων δὲ τὸ Πνεῦμα αἴτιος αὐτοῦ ἐστιν, ἐκπο- C ρεύει δὲ τὸ Πνεῦμα καὶ ὁ Υἱὸς, αἴτιος καὶ ὁ Υἱὸς ἄρα τοῦ Πνεύματος. Εἰ κατὰ τὴν ἀλήθειαν καὶ τὴν τῆς εὐσεβείας παράδοσιν καὶ τὴν τῶν Πατέρων διδασκαλίαν τὸ ἐκπορεύεσθαι καὶ ἡ ἐκπόρευσις ἐπὶ τοῦ ἁγίου λεγόμενα Πνεύματος τοῦ πῶς ἀπὸ τοῦ Πατρὸς εἶναι τυγχάνουσι δηλωτικὰ, καὶ τῆς ὑποστατικῆς διαφορᾶς τῆς πρὸς τὸν Υἱὸν γνωριστικῆς ἴδιον ὁμολόγηται, οὐμενοῦν τῆς πρὸς αὐτὸν συναφείας, εἴτουν συμφυΐας ἢ ὁμοουσιότητος δεικτικόν. Τούτου δ' αἴτιος ὁ Πατήρ. Ἔχει δὲ τοῦτο κατ' αὐτοὺς καὶ ἐκ τοῦ Υἱοῦ. Ὅτι μηδὲν ἄλλο διδῶσιν οὖν τὸ καὶ τιθέμενον ἐπὶ τοῦ Υἱοῦ, ἀλλὰ μᾶλλον ὡς ἐκ τοῦ Πατρός. Οὕτω δὴ καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεσθαι παριστᾶν. Δύο ἄρα τὰ αἴτια τοῦ Πνεύματος, εἴτουν τῆς ἀποκληρωθείσης αὐτῷ D ὑποστατικῆς ἰδιότητος, τῆς ἐκπορεύσεως δηλαδὴ κατὰ πάντα τρόπον συνάγεται. Ὁ λέγων γεννᾶσθαι τὸν Υἱὸν ἐκ τοῦ Πατρὸς, μὴ καὶ αἴτιον δὲ ἀπισχυριζόμενος τοῦτον αὐτοῦ, ψεύδεται πάντως. Εἰ γὰρ γεννᾶται, καὶ αἴτιον ἔχει τὸ ἐξ οὗ γεννᾶται. Καὶ ὁ λέγων ἐκπορεύεσθαι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Πατρὸς, μὴ καὶ αἴτιον δὲ αὐτοῦ τοῦτο λέγων, ψεύδεται. Συνεισάγει γὰρ διὰ τῆς ἐκπορεύσεως καὶ τὸ αἴτιον αὐτοῦ εἶναι ἐπείπερ ἐξ αὐτοῦ ἐκπορεύεται. Ὁ λέγων ἐκπορεύεσθαι τὸ Πνεῦμα καὶ ἐκ τοῦ Υἱοῦ, μὴ καὶ αἴτιον δὲ αὐτοῦ τοῦτον λέγων, ψεύδεται.

(1) Hæc qui poterit conciliet cum iis quæ extant supra col. 534.

OCR ABK / FR

Συμπεριλαμβάνοντες δὲ ἀποφαινόμεθα οὕτως· ὅτι A φυσικῶς εἰς ἃ λέγουσι βλασφημοῦσι καὶ διὰ τὴν βλασφημίαν τῶν ἀποβλήτων· κριθήσονται. Ὅταν γὰρ ἡ προσθήκη συγχωρηθῇ, τὸ καὶ φυσικῶς κακὸν εἶναι προσίσταται· καὶ ὅταν δοθῇ τὸ μὴ κακὸν εἶναι, τὸ τῆς προσθήκης ἐπισφαλὲς οὐ συγχωρεῖ τὰ κατὰ διαδοχήν· καὶ οὕτως ἀμφοτέρωθεν ἀλληλουχεῖται τὰ τῆς κακότητος, καὶ κατὰ τοὺς ἐπεμβεβλημένους τῶν κρίκων ἀλλήλοις συνδέδενται.

lum. Additionis periculum non admittit quæ secundum traditionem sunt, et sic utrobique connectuntur quæ sunt malitiæ et sicut incerti circuli alia aliis colliguntur.

---

# ΝΙΚΗΦΟΡΟΥ

## ΜΟΝΑΣΤΟΥ ΚΑΙ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΟΥ ΚΑΤΑ ΤΑ ΗΜΑΘΙΑ ΗΣΥΧΑΣΤΗΡΙΟΥ

# ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

## ΕΠΙΣΤΟΛΗ ΚΑΘΟΛΙΚΩΤΕΡΑ ΚΑΙ ΠΡΟΣ ΠΟΛΛΟΥΣ.

# NICEPHORI BLEMMIDÆ

## MONACHI ET PRESBYTERI QUOD IN EMATHIIS EST MONASTERII

## EPISTOLA UNIVERSALIOR ET AD MULTOS

*De Marchesina, impp. Joannis Ducæ pellice, quam templo ejecerat Blemmida.*

(Ex Leonis Allatii libro *De consensu* p. 717.)

---

Ὅτε ἡ ἀρχόντισσα ἡ Μαρκεσίνα, ἡ ἐξόχως ἐρωB μένη τῷ βασιλεῖ, καὶ διὰ τοῦτο πάντων ὑπερτεροῦσα, καὶ αὐτῆς τῆς Αὐγούστης προτεύουσα τυραννικῶς, εἰσέφρησεν ἐν τῇ καθ' ἡμᾶς σεβασμίᾳ μονῇ τοῦ Ἁγίου Γρηγορίου τοῦ Θαυματουργοῦ, ἐν ἐκείνῃ τῇ μονῇ τῷ τότε διαγόντων ἡμῶν· εἰσῆλθε δὲ καὶ πρὸς τὸν ναὸν τοῦ Θεοῦ, τελουμένης τῆς λειτουργίας, καὶ ἀπεκλείσθη παρ' ἡμῶν τῆς ἱερᾶς ἀκροάσεως, καὶ ἀπεδιώχθη μετ' αἰσχύνης, ὀδυρομένη τὸ γεγονὸς ἐπὶ αὐτῇ· πάλιν ἡμεῖς ἐν πνεύματι τολμητίας, καὶ πάλιν ἡμῖν ἀπειλαὶ καὶ περιστάσεις καὶ κίνδυνοι. Ἔτι τὴν κοσμικὴν ἐσμὲν σοφίαν ἀπαίδευτοι, καὶ στυγητοὶ διὰ τοῦτο καὶ ἀποτρόπαιοι. Πάλιν ἀντιφερόμεθα ταῖς ἀρχαῖς, καὶ εἰκότως ἀπελεγχόμεθα δύσχρηστοι. Μικρὸν τῆς τῶν δεινῶν ἐπιφορᾶς ἀνεψύξαμεν, καὶ ὁ Σατὰν ἤγαγεν εἰς ἡμᾶς C τὴν ἀσελγῆ τε, καὶ φαρμακὸν, τῆς οἰκουμένης τὸ πρόσκομμα, τὸ παγκόσμιον σκάνδαλον, μετὰ τοῦ αὐχένος καὶ τῆς ὀφρύος καὶ τοῦ φρυάγματος τάχα μὲν καταπλήξων καὶ καταπαλαίσων ἡμᾶς, ἤδη ταῖς τῶν ἀλγεινῶν ἐκδειματωθέντας καὶ προκατασεισθέντας ἐπαγωγαῖς. Τοῦτο γὰρ ᾠήθη, πτωχοὺς τὴν διάνοιαν, καὶ τὸν τῆς ψυχῆς τόνον παρειμένους εἰδὼς, ὄντως δὲ τῷ μόνῳ σοφῷ τε καὶ ἰσχυρῷ κατασοφισθησόμενός τε καὶ ἐκνευρισθησόμενος.

B Principem Marcesinam, effictim ab imperatore adamatam, ideoque reliquos alios superantem, et ipsi Augustæ prælatam, tyrannice in venerandum Sancti Gregorii Thaumaturgi monasterium, ubi eo tempore nos degebamus, irrepsisse; introisse etiam in Dei templum, cum sacrificium missæ fieret, et exclusam fuisse per nos a sacra auditione, atque cum dedecore fugatam, dum interim illa de hoc facinore lamentaretur, et dolenter ferret; iterum nos spiritu audaces, confidenter loquimur, et agimus; rursumque minæ, angustiæ, et pericula. Adhuc nos mundanam sapientiam non edidicimus; ideoque et odiosi sumus et exsecrandi. Rursus potestatibus obsistimus, meritoque inutiles redarguimur. Haud diu est, cum, a malorum im- C petu emergentes, nos recreavimus, et Satan ad nos traduxit impudicam et veneficam, orbis offendiculum, universale scandalum, cum cervice et supercilio ac fastu forte nos attonitos redditurus, ac prostraturus, infortuniorum atque incommodorum crebris occursationibus jam perterritos concussosque. Id enim sibi proposuerat, facile inopes nos mente et animi viribus delassatos agnoscens, sed vere a solo sapiente et valido decipiendus et enervandus. Repentina, effrenis, projectaque mæ-

OCR ABK / FR

nas ista ad venerandum nostrum hospitium, cum gravi ingentique pompa, non sine cæco impetu, instar rapidi varioque aquarum decursu tumidi torrentis, irruit. Nostri, qui fores custodiebant, et quicunque alii intra templum aderant, intuiti obriguerunt; nec una omnes sententia tenebat. Cum omni apparatu et in ipsum templum, dum divinum ac mysticum sacrificium conficiebatur, exsecrabilis illa influxit. Nos, rei inexspectatæ novitate, quid ageremus, nescientes, statim adulteram a sacra auditione, communi concordique fidelium oratione ac hymnodia repellimus, aversamur impudentem, maximeque Christi legibus injuriosam, et injuriam palam profitentem; totis conatibus e sacris locis profanam ejicimus; infirmitate carnis trementes et timidi, sed Dei inconcusso timore hominem exuentes, ducentesque mortem improbitate impietateque ipsa multo optabiliorem; et cum ea, cujus cum Christianis nullum consortium est, simul in ecclesia commorari, exsecrabilius æstimantes, quam pessima morte ex hoc corpore separari, verbera simul et carceres et famem, et si quid his pejus excogitari poterit, per totam vitam sustinentes. Præsentium enim malorum violentissimum atque longissimum in ævum perdurans, non ultra vinculi abruptione extentum cum marcida hac vita convolvitur, maximorum et nunquam dissolvendorum præmiorum copiam retribuens. At leges Dei contemnere, et quod sensum oblectat, Dominicis sancitis præferre, trudi etiam, ex se mœrorem affert intolerabilem, et nullis terminis circumscriptam infamiam. Oportet itaque nos invocationem, quam inter orandum effundimus, veram ostendere, et veluti illius boni filii bonum operari; et licet pulvis subtrahat, intente nosmetipsos ad superiora propter erga Patrem altissimum reverentiam compellere, et conversationem, tanquam in patria, in cœlis habere, salvere jusso, ante etiam ipsam solutionem, quidquid in nobis terreni conspicitur. Quod si ad primum ordinem non pervenerimus, saltim ad delectationes, quæ verbis exprimi nequeunt, et quæ veluti victoriæ præmium iis, qui virtutibus insudarunt, præparatæ sunt, animum intendere, et propter sempiternam beatitudinem afflictiones omnes perferre. Neque enim sunt hujusce temporis passiones, quotcunque illæ et quantæcunque sint, illius, quam speramus, retributionis condignæ. Quod si e mercenariorum cœtu exciderimus, saltim in postremo eorum, qui salvantur, ordine annumerari, et præceptorum Domini causam defensionemque suscipere, neglectus pœnam, in gehenna scilicet condemnationem, timentes; propterеaque, si opus fuerit, eorum causa vitæ discrimen adire. Quandoquidem quantæ dementiæ est pusillis castigationibus majores, et exiguis tormentis perenniora præponere; eoque potissimum, si breviores sobrietatem et sapientiam conciliant, hominemque expurgant (quis enim, dummodo vixerit, non deliquit? et quis ab immunditia mun-

A Ἄθρους ἀκάθεκτος ἡ μαινὰς τῷ ἡμεδαπῷ σεμνείῳ προσέῤῥαξε, μετὰ βαρείας ὄτα, καὶ σφοδρᾶς τῆς πομπῆς, ὀξυῤῥόπων δίκην χειμάῤῥου πολυμιγοῦς τε ἑωρακότες αὐτὴν οἱ περὶ τὰς πύλας ἡμέτεροι καὶ ὅσοι τῶν ἐντὸς πεφρίκασι, διαπεφωνήκασιν. Εἰσεῤῥύη πανετοίμως καὶ εἰς αὐτὸν τὸν νεὼν, τῆς θείας καὶ μυστικῆς ἐπιτελουμένης θυσίας, ἐναγής. Ἡμεῖς δὲ καὶ ταῦτ' ἐν ἀμηχανίᾳ γεγονότες τῷ ἀδοκήτῳ τοῦ πράγματος ἀπείργομεν εὐθὺς τὴν μοιχαλίδα τῆς ἱερᾶς ἀκροάσεως, τῆς κοινῆς καὶ συμφώνου τῶν πιστῶν εὐχῆς τε καὶ ὑμνῳδίας, ἀποτροπιαζόμεθα τὴν ἀσχήμονα, τὴν ἐκτόπως τοῖς νόμοις τοῦ Χριστοῦ ἐνυβρίζουσαν, καὶ τὴν ὕβριν δημοσιεύουσαν· ὅλαις ὁρμαῖς ἐξοστρακίζομεν τῶν ὁσίων τόπων τὴν βέβηλον, περιδεεῖς μὲν ὄντες τῇ ἀσθενείᾳ τῆς σαρκὸς B καὶ ὑπότρομοι, τῷ τοῦ Κυρίου δὲ κρατίστῳ φόβῳ τὸν ἄνθρωπον ἐκκρουόμενοι, καὶ τοῦ παρανομῆσαι τὸ θανεῖν μᾶλλον αἱρούμενοι, καὶ τῷ τῇ ἀκοινωνήτῳ συνεκκλησιάσαι τῶν ἀπευκταίων πλέον ἡγούμενοι τοῦ πικρῶς ἀπαλλαγῆναι τοῦδε τοῦ σκήνους, πληγὰς ἐν αὐτῷ καὶ καθείρξεις, καὶ λιμώξεις, καὶ εἴ τι ἄλλον τῶν ἀπειλουμένων ὑπενεγκόντες διὰ βίου παντός. Τῶν μὲν γὰρ παρόντων ἀδρῶν τὸ βιαιότατόν τε καὶ μονιμώτατον μὴ περαιτέρω τῆς τοῦ δεσμοῦ διαῤῥήξεως ἐξισχύσαν, τῇ ἐπικήρῳ συγκατεστράφη ζωῇ, μεγίστων ἀντιφιλοτιμησάμενον καὶ ἀκαταλύτων ἐπάθλων ἑσμόν· τὸ δ' ἀλογῆσαι νόμων Θεοῦ, καί τι τῶν θελγόντων τὴν αἴσθησιν προκρῖναι τῶν τοῦ Κυρίου θεσμῶν τὸ ἀπεῤῥίφθαι προξενεῖ ἐξ αὐτοῦ πικρίαν ἀνύποιστον, αἰσχύνην ἀπέραντον. Χρὴ μὲν οὖν ἡμᾶς τὴν ἐν C προσευχαῖς ἀληθίζειν ἐπίκλησιν, καὶ οἷα τέκνα τοῦ ἀγαθοῦ τὸ ἀγαθὸν ἐνεργεῖν, εἰ καὶ ὁ χοῦς ὑποσύρει, συντόνως ἀνθέλκειν ἑαυτοὺς πρὸς τὰ ἄνω διὰ τὴν πρὸς τὸν Ὕψιστον Πατέρα αἰδῶ, καὶ τὸ πολίτευμα ἔχειν ὡς ἐν πατρίδι ἐν οὐρανοῖς, ἔῤῥειν ἀφέντας πᾶν γεηρὸν καὶ πρό γε τῆς ἀναλύσεως. Εἰ δὲ τῆς πρώτης οὐκ ἐφικνούμεθα τάξεως, πρὸς τὰς ἀνεκφράστους ἀπολαύσεις τέως ὁρᾶν, αἳ δὴ βραβεῖα τοῖς ἐν ἀρετῇ καμοῦσι προητοιμάσθησαν, καὶ πᾶσαν θλίψιν ὑποφέρειν διὰ τὴν αἰωνίζουσαν εὐκληρίαν. Οὐ γάρ ἐστιν ὅλως τοῦ νῦν καιροῦ τὰ παθήματα, κἂν ὁπόσα, κἂν ὁποῖά ποτ' ἂν εἴη πρὸς τὴν ἐλπιζομένην ἀντίδοσιν ἄξια. Εἰ δὲ καὶ τῆς τῶν μισθωτῶν διαμαρτάνομεν ὁμηγύρεως, κἂν γοῦν τῇ ἐσχάτῃ μοίρᾳ τῶν σωζομένων ἐγκαταλέγεσθαι, καὶ τῶν δεσποτι- D κῶν προσταγμάτων ἀντέχεσθαι, δεδοικότας τὸ τῆς περιφρονήσεως ἐπιτίμιον, τὴν ἐν γεέννῃ κατάκρισιν, καὶ διὰ τοῦτο καὶ προκινδυνεύειν αὐτῶν, εἰ δεήσειεν. Ἐπεὶ πόσης ἀνοίας ἐστὶ μικρῶν τιμωριῶν τὰς μείζους, καὶ παυροτέρων βασάνων τὰς διαρκεστέρας ἀλλάξασθαι, καὶ μᾶλλον εἴπως αἱ μὲν αἱ βραχεῖαι σωφρονίζουσι, καὶ καθαίρουσι, τίς γὰρ ζήσας οὐχ ἥμαρτεν; ἀπὸ ῥύπου δὲ τίς καθαρός; αἱ δὲ λάχος εἰσὶν ἀναφαίρετον; ὥσπερ γάρ τις ὁπωσοῦν ἐπταικὼς, ἐκλογῆς αὐτῷ προκειμένης κολάσεων, εἰ τῶν τήμερον κουφοτάτων, μετρίων ἴσως τινῶν ῥαπισμῶν, προέλοιτο τὰς ἐπιπονωτέρας εἰς τὸ ἑξῆς, οἷον στρεβλώσεις, ξέσεις, μελῶν ἐκτομὰς,

OCR ABK / FR

ἀφρονέστατος κρίνοιτ' ἂν δίκαιος καὶ ἀλογώτατος οὕτως ὁ τῶν ἄρτι προελόμενος δυσχερῶν τὰς ἐσομένας ἀλγηδόνας ἐν αἰῶνι τῷ τῆς ἐκτίσεως, ὅταν ἑκάστου τὸ ἔργον, ὁποῖόν ἐστι, δοκιμάσῃ τὸ πῦρ· ἀνοητότατός τε καὶ ἀθλιώτατος παραπλησίως καὶ ὁ τὴν τῶν ἀνθρώπων ἀπάτην ὑπὲρ τὴν τοῦ Θεοῦ δόξαν ἠγαπηκώς. Καὶ οὗτος γὰρ ὄντως τετύφλωται, καὶ σκιᾶς ἐπειλημμένος, ἢ νηὸς ἴχνους ἐν ὕδασιν, οἴεταί τι ἔχειν ἔχων οὐδέν. Ἐπεί τοί γε εἰ φιλοδοξῇ, ζητείτω δόξαν τὴν ἀληθῆ τε καὶ μένουσαν, μὴ τὴν ψευδομένην καὶ παραῤῥέουσαν, ἀνθρώποις προσκείμενος, καὶ Θεοῦ ἀφιστάμενος. Ὁ γὰρ ἀνθρώποις σπεύδων ἀρέσκειν οὐκ ἔστι δοῦλος Χριστοῦ, καὶ οἷς πάντες ἄνθρωποι λέγουσι καλῶς, τούτοις ὁ ἀληθὴς λόγος ἀποκληροῖ τὸ, οὐαί. Κἂν οὐχ οἱ πολλοὶ τῆς ἴσης γνώμης ἡμῖν, ἀλλὰ μήτ' ἐν πονηρευομένοις παραζηλοῦν διδασκόμεθα, μήτε τοὺς τὴν ἀνομίαν ποιοῦντας ζηλοῦν. Κἂν οὗτοι πατέρες εἶεν, ἀφιέναι προσῆκον αὐτοὺς, καὶ ἀκολουθεῖν ὀπίσω Χριστοῦ, τῶν ἰχνῶν αὐτοῦ δεδράχθαι, τῶν αὐτοῦ δικαιωμάτων ἐξέχεσθαι. Μὴ οὕτως γάρ τις ποιῶν, ἄξιος οὐκ ἔστι Χριστοῦ. Τοῖς τοιούτοις ἐπειγόμενοι λογισμοῖς, ἀπελαύνομεν παραυτίκα τῶν θείων σηκῶν τὴν ἀνόσιον, οὔτε τὸν ἅγιον ἄρτον τῇ ἀναιδεῖ καὶ ἀκαθάρτῳ δοῦναι τολμήσαντες, οὔτε μὴν ἔμπροσθεν τῆς καλινδουμένης τῷ τῆς μοιχείας βορβόρῳ τοὺς λαμπροὺς βαλεῖν καὶ μαργαρώδεις λόγους τῆς ἱερᾶς τελετῆς. Ὅθεν ἐν Κυρίῳ καρτεροῦμεν τὰ ἐπερχόμενα.

A dus fuerit?) perenniora vero sors sunt auferri nescia! Quemadmodum enim quoquo modo delinquens, optione illi punitionum proposita, si præsentibus levissimis, paucis nempe alapis, molestius in futurum tempus ærumnari, excruciari, deartuarique peroptaret, jure meritio insipientissimus ac dementissimus haberetur; pari ratione, qui præsentibus noxis, tempore retributionis futuras calamnitates, cum, uniuscujusque opus quale sit, ignis probabit, prælerret, amentissimus æque ac miserrimus existimaretur, et qui hominum fraudes gloria divina cariores haberet: hic siquidem vere oculis captus est, ut qui, cum umbram apprehenderit, aut navis in aquis vestigium, aliquid se possidere opinatur, cum nihil possideat. Quandoquidem si gloriæ amans est, gloriam veram ac B permanentem, non decipientem ac fluxam, hominibus adhærens, et a Deo recedens, conquirat. Qui enim id studet, ut hominibus placeat, servus Christi non est; et de quibus omnes homines recta enuntiant, illis verus sermo *væ*, impertitur. Et licet multorum non eadem est ac nostri sententia, verumtamen neque malitiose facientes æmulari docemur neque imitari operantes iniquitatem. Et si hi Patres sunt, negligendi sunt, sectandusque est Christus, illius vestigiis inhærendum, et ex illius justificationibus dependendum. Namque qui non operatur hoc modo, dignus Christo non est. His freti cogitationibus, statim e sacris ædibus impiam pellimus, neque sanctum panem inverecundæ atque immundæ exhibere ausi sumus, neque ante volutantem sese continuo in cœno ac adulterii sordibus, splendida et instar margaritarum candida sacrosancti sacrificii verba mittere. Quare in Domino, quæ nobis inferuntur danturque, sustinemus.

---

# DE NICEPHORI BLEMMIDÆ

## ORATIONE POLITICA

# EDITORIS ROMANI MONITUM [(a)].

Scriptis politicis, quæ in hoc meo volumine multa sunt, bonam mantissam mihi attexere videor, edendo Nicephori Blemmidæ de arte regnandi luculento libello, quem hactenus invulgatum tum Vaticana bibliotheca tum aliæ etiam nonnullæ possidebant. Quo super scripto illud in primis adnotandum est, duplex ejus esse exemplar, alterum purum et originale, quale scilicet e Nicephori ingenio manuque prodiit; alterum metaphrasi ad planiorem elocutionem translatum; quam diserte nos docet Vindobonensis codex apud Lambecium ed. nov. tom. VII, p. 481: Τοῦ σοφωτάτου κυροῦ Νικηφόρου τοῦ Βλεμμίδου λόγος περὶ βασιλείας, μεταφρασθεὶς πρὸς τὸ σαφέστερον παρὰ τοῦ σακελλίου τῆς Μεγάλης Ἐκκλησίας διακόνου κυροῦ Γεωργίου τοῦ Γαλησιώτου, καὶ τοῦ Οἰναιώτου κυροῦ Γεωργίου, τῶν λογιωτάτων ἀνδρῶν καὶ ῥητόρων. *Nicephori Blemmidæ oratio de regno, ad clariorem stylum translata a domino Georgio Galesiota Magnæ Ecclesiæ* (id est Constantinopolitanæ) *diacono, et a domino Georgio Œnæota, viris sapientissimis et rhetoribus.* Ergo codex Vindobonensis transformatam habet non primigeniam, orationem; sicuti etiam codex regius Parisiacus a Cangio laudatus, ut nos infra dicemus in scholiis ad capitulum orationis octavum. Eadem oratio sic, ut diximus

(a) Ang. Maii *Script. Vet.* tom. II, p. 609.

OCR ABK / FR

transfigurata occurrit etiam in duobus Vaticanæ bibliothecæ codicibus, quorum recentior ab altero vetustiore descriptus est, bona quidem calligraphia, sed mala interdum Græcorum nexuum intelligentia, ut identidem conferens ego agnovi.

Reliquum ergo erat, ut Nicephori primigenia illa, ante Georgiorum metaphrasin, oratio vestigaretur ; quam item, etsi fine multatam, in uno Vaticano codice feliciter offendi (1) lectam autem, paulo abstrusiore atque interdum poetico prope stylo constare sensi ; ita ut bene de hoc libello meriti sint Georgii illi duo, a quibus molliore syntaxi verbisque communioribus Nicephorus convestitus est. Quæ cum ita se haberent, ego quoque de lectoribus meis bene me credidi meriturum, si hanc potius metaphrasim quam originalem ipsam lucubrationem in Latinam linguam transferrem, ac politicorum hominum principumque commoditati exhiberem. Ne tamen ipsum Nicephori purum scriptum ingratis tenebris premerem ; id quoque si non præmittendum metaphrasi, certe adjiciendum, in hac mea editione putavi : præsertim quia non semper methaphrasis lucem originali scripto affert ; sed hoc potius illam illuminat aliquando et corrigit.

Nicephori Blemmidæ, inter monachos dignitate abbatis, scripta plurima, eruditionem multiplicem, virtutem non vulgarem, ex historia satis cognoscimus. Ætas quoque ejusdem apprime constat ; vixit enim sub Græcis Cæsaribus Nicææ regnantibus propter Byzantium a Latinis occupatum ; circaque annum 1255 Constantinopolatini patriarchatus dignitatem a Theodoro Lascare imp. sibi delatam recusavit. Jam neque metaphrastes Georgius Galesiota ab eadem ætate multum abest : fuit is enim Gregorii Cyprii (qui anno 1289 patriarchatum Constantinopolitanum abdicavit) familiaris (2). Denique etiam participem metaphraseos faciendæ Georgium Œnæotam, æqualem Galesiotæ fuisse patet : quanquam hunc postremum inter Georgios Allatius oblitus est.

Oratio hæc inscripta fuit a Nicephoro Βασιλικὸς Ἀνδριὰς *Regia Statua* ; quia videlicet regis optimi imaginem sibi effingere conatus est ; veluti Polycliteum aliquod signum omni arte laboratum atque pulcherrimum, ut ipse loquitur cap. 6. Et sane hinc patet quantum conferat ad civilem philosophiam Christiana doctrina ; quæ nisi adsit, omnis propemodum disputatio politicorum inanis esse videtur et infructuosa. Ecce enim in uno Christiani Nicephori libello plus fortasse utilitatis est quam in multis veterum ethnicorum. Auctor in priore operis parte capitalia vitia persequitur et virtutes cardinales commendat : in postrema vero parte pietatem adversus Deum et ecclesiasticorum dogmatum observantiam, proposita præsentis ac multo magis futuræ vitæ beatitute, eloquenter suadet.

(1) In eodem codice præmittitur orationi politicæ illa Nicephori epistola de alio argumento (id est de pellice Joannis Ducæ imp. a Nicephoro templo ejecta) quam jamdiu vulgavit Leo Allatius in opere *De consensu*, p. 717 sqq. Est autem hic codex Vaticanus auctori suppar, nempe inter XIII et XIV sæculum scriptus.

(2) Vide Allatium *de Georgiis*, cap. 51 ; Lequinium *Or. Christ.* tom. I, p. 289.

---

# ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ
# ΝΙΚΗΦΟΡΟΥ ΒΛΕΜΜΙΔΟΥ
## ΛΟΓΟΣ
# ΟΠΟΙΟΝ ΔΕΙ ΕΙΝΑΙ ΤΟΝ ΒΑΣΙΛΕΑ

# SAPIENTISSIMI
# NICEPHORI BLEMMIDÆ
## ORATIO
# QUALEM OPORTEAT ESSE REGEM.

1. *Rex sermonen sapientium audiat.* — Vetusta quædam lex vim obtinuit, publico regimini con-

Α'. Παλαιός τις νόμος ἐπεκράτησε τοῖς πράγμασι συμφωνῶν, ὥστε τοὺς δούλους διδόναι τῷ βασιλεῖ,

OCR ABK / FR

ὅπερ προξενεῖ πολλὴν τοῖς τοιούτοις δούλοις ὠφέλειαν· οὕτως γὰρ μέλλουσι πληροῦσθαι τὰ πρέποντα· ὁ γὰρ ἐμπιστευθεὶς τὴν τῶν πάντων διοίκησιν, ἐκεῖνος ἔχει τὴν προμήθειαν· διὰ τοῦτο ἀφ' ἑαυτοῦ τὸν βασιλέα μηδὲν ἔχοντα ἴδιον (1), πρέπον ἐστὶν ἐκ τῶν κοινῶν λαμβάνειν, καὶ κοινὰ τὰ τῶν ὅλων ποιεῖν· ὡς ἂν ἐντεῦθεν οἰκονομῇ πάντας ἀσφαλῶς ἔχειν τὰ ἴδια, συγκροτοῦντας καὶ συμβοηθοῦντας ἀλλήλοις, καὶ διὰ παντὸς ἐπιμελουμένους ἵνα φυλάττωνται ἀδιαχώριστοι, ὥσπερ ἓν σῶμα ὄντες· οὕτω δὲ καὶ ζῶον ἀκαταμάχητον δύναται εἶναι, ἐὰν πάντα τὰ ἑαυτοῦ μέλη καὶ μέρη τὰς ἑαυτῶν ἐνεργείας πληρῶσιν· ὁ γοῦν βασιλεὺς κεφαλὴ καὶ νοῦς τῶν ὅλων ὑπάρχων, ἔχει δίκαιον λαμβάνειν ἀπὸ πάντων τελέσματα, εἰς τὴν αὐτῶν κατοχύρωσιν καὶ ἀσφάλειαν· ἀπὸ μὲν οὖν τῶν πραγματευομένων, καὶ κερδαινόντων ἁρμόζει λαμβάνειν τὸν βασιλέα μερίδα· ἀπὸ δὲ τῶν ἐχόντων λογιότητα καὶ σοφίαν δέχεσθαι τὴν διὰ τῶν λόγων εὐφημίαν καὶ τοὺς ἐπαίνους· ὅπερ ἐστὶ χρησιμώτερον παντὸς ἄλλου τελέσματος, τόσον ὅτι καὶ οἱ λόγοι τῶν ἄλλων τεχνῶν εἰσι τιμιώτεροι· εἰ γοῦν ἁπάντων ἀνθρώπων ὑψηλότερος ὁ βασιλεύς, ἡ δὲ φιλοσοφία τῶν ἄλλων τεχνῶν χρησιμωτέρα, τί ἄλλο ἁρμοδιώτερον εἰς βασιλέα τοῦ διὰ τῶν λόγων ἐπαίνου; ἐπειδὴ τὰ μεγάλα τοῖς μεγάλοις ἁρμόζει, καὶ τὰ ὑψηλὰ πάντων τοῖς ὑψηλοῖς· τοίνυν ἡ βασιλεία μὲν εἰκόνα καὶ ὁμοίωσιν ἔχει Θεοῦ (2), ἡ δὲ φιλοσοφία εἰκόνα τῆς τοῦ Θεοῦ προνοίας· ὥστε ἡ βασιλεία ἡ μὴ ἀγαπῶσα τὴν σοφίαν μακράν ἐστι τοῦ Θεοῦ· διὰ τοῦτο πρέπουσι τῷ βασιλεῖ οἱ ἀπὸ τῆς σοφίας καρποί.

Β'. Ἀναγκαίως τοίνυν ἐστὶ πρῶτον εἰπεῖν τὸν ὅρον τῆς βασιλείας· ἔστι δὲ αὕτη λαοῦ στηριγμὸς ἀμετακίνητος· οὐκ ἐν ὑποκρίσει καὶ ἀπάτῃ ἐναντία τὰ ἔργα δεικνύουσα, καὶ τῷ ὑψηλῷ ὀνόματι ἀντιλέγουσα· πῶς δὲ ἑδραίωμα καὶ σύστασις μέλλει ὁ βασιλεὺς δικαίως ὀνομάζεσθαι, ἐὰν εἰς ἀλόγους ἐπιθυμίας ἐμπίπτῃ καὶ θυμοὺς ἀσχήμονας καὶ ἀτάκτους; Μᾶλλον μὲν οὖν ταραχῆς καὶ ἐμποδισμοῦ γίνεται πρόξενος, ὡς παράδειγμα τοῦ ὑπηκόου λαοῦ, ἀναγκαζομένου καὶ σπουδάζοντος μιμεῖσθαι αὐτόν· ὥστε ἁρμόζει τὸν βασιλέα, ἵνα πρῶτον ἑαυτοῦ βασιλεύῃ, καὶ μετὰ ταῦτα παντὸς τοῦ λαοῦ. Ὁ δὲ μὴ δυνάμενος μιᾶς οἰκίας τῆς ἰδίας κατάρχειν πῶς ἀληθῶς αὐτοκράτωρ πόλεων καὶ λαῶν ὀνομάζεσθαι δίκαιος; Εἰ δὲ ὁ τοιοῦτος λαίμαργος ὑπάρχει καὶ δοῦλος τῶν αἰσχρῶν ἡδονῶν, ἄξιός ἐστι μισεῖσθαι καὶ ἀποστρέφεσθαι παρὰ τῆς ὑπερτάτης τιμῆς καὶ τοῦ ὕψους τῆς βασιλείας· τίς γὰρ οὐκ ἂν αἰσχυνθείη καὶ μόνον ἐνθυμηθεὶς βασιλικὴν σεμνότητα εἰς αἰσχρὰς καὶ ἀπρεπεῖς πράξεις ἐμπίπτουσαν, καὶ παρόμοια πάσχουσαν, ὥσπερ τινὲς ὑπὸ τῆς μυθευομένης μαγικῆς Κίρκης ἐκείνης

sentanea, ut subditi mortales tributum regi pendant: quæ res ipsismet subditis multam exhibet utilitatem. Sic enim officium quisque suum exsequitur. Nam rex, cui omnia administranda commissa fuerunt, providendo invigilat: ideoque ipsum nihil proprium habentem decet de publico accipere, et quodammodo publicas efficere omnium facultates. Sic enim is curaverit, ut rem quisque suam tuto possideat, dum invicem homines conspirant et adjuvant, omnique ope nituntur ut unius corporis instar inter se cohæreant. Quippe animal inviolabile est, quoad ejus membra partesque muneribus quæque suis defunguntur. Jam vero rex, cum sit omnium civium caput et mens, tributa ab omnibus jure meritoque capit, quibus ad eosdem protegendos conservandosque utatur. Ab iis igitur qui negotiantur lucrisque dant operam, æquum est regem particulas accipere: ab iis autem qui sapientiam litterasque profitentur, verborum elogia famamque referre: quod quidem tributorum omnium pretiosissimum est; quatenus nimirum litteræ reliquis artibus sunt præstantiores. Igitur si aliis hominibus celsior rex est, philosophia autem cæteris artibus excellentior, quidnam regi convenientius est, quam litterarum præconium? quandoquidem magna magnos decent, sublimia sublimes. Regnum quidem imago quædam similitudoque Dei est: philosophia autem providentiæ divinæ repræsentatio: ita ut siquod aliquando regni genus a sapientia abhorret, id longe a Deo recedat. Igitur regi conveniunt sapientiæ fructus.

II. *Rex vitet impudicitiam.* — Sed enim quid sit regnum ante omnia definiendum est. Regnum sermone Græco significat populi basim. Est ergo res constans, non quæ per hypocrisin atque fraudem contraria opera exhibeat, nominisque excelsitati repugnet. Cur autem basis firmamentumque juste appelletur rex, qui absurdis cupiditatibus, inhonestis scilicet inordinatisque animi motibus, obnoxius sit? Imo vero scandali perturbationisque occasio fit, quandoquidem ipse propositus ad exemplum est, cui se conformare subjectus populus vel invitus vel sponte solet. Rex ergo oportet se ipsum primum, deinde populum universum, regat. Jam qui ne uni quidem propriæ domui moderari potest, quomodo is, inquam, populorum et urbium jure meritoque imperator appellabitur? Quod si is avidus servusque turpium voluptatum est, in odium publicum merito incurrit, et de summa sua dignitate regalique fastigio periclitatur. Quem enim paululum cogitantem non pudeat majestatis regiæ ad indecoros fœdosque actus se deprimentis, idemque patientis, atque illi homines, quos nota

(1) Sic optimus imperator Antoninus Pius aiebat: *Postea quam ad imperium transivimus, et illud quod habuimus ante, perdidimus.* Capitolin. cap. 4. Contra irridebatur Vespasianus imp. qui de suo impensas facere identidem dictitabat. *Excerpt. Vat.* p. 219.

(2) Lege Petri Magistri fragmenta politica, lib. v [ap. Maium tomo eodem *Script. Vet.* secundo].

OCR ABK / FR

in fabulis saga Circe in sues canesque transformabat? Et illi quidem sues effecti fuerunt, quia voluptatum in cœno sese volutabant; canes autem, quia rabie quadam atque insania conciti ad impudicos amores ruebant. Itaque regi valde idoneum est rationale sapientis doctrinæ a Mercurio inventum pharmacum, quod petulantes voluptatis vires compescat, tanquam illa in fabulis herba dicta *moly*. Imo regi opus est gladio ancipite, qui non sine sapiente consilio bonum deteriore discriminet; ita ut virtutem sibi vindicet atque adserat, vitium repellat atque castiget. Sic enim et Ulyxes non solum ipse Circes incantamenta vitavit, verum etiam socios, qui in id malum incurrerant, liberavit. Similiter regis officium est non solum ut ipse ab omnibus voluptatum illecebris liber immunisque sit, verum etiam ut alios homines ab his expediat tum oratione sua tum exemplo: ita ut sacris hymnis perpetuo celebrari se audiat. Jam si cordati prudentesque homines magnopere dolent, cum a rege subditus aliquis in captivitate apud hostes detentus negligitur; quanto tristius molestiusque est, si forte rex sponte sua pudendis voluptatibus servit, seque risui atque conviciis adpetendum exhibet? qui etiamsi in tenebris facinora sua continere satagat, verax tamen conscientiæ suæ testimonium effugere nequit, Deique præsertim omnituentem oculum, qui secretæ quoque turpitudinis opera odio prosequitur. Præter quam quod homines quoque pleraque observant, risuque et maledictis differunt; eaque irrisio in futurum quoque tempus propagatur. Ecce enim multos videmus in historicis libris infamia conspersos: plurimos item propter suum honestorum operum studium laude mactatos, atque æternæ posterorum memoriæ perenni cum fama traditos. Rex Græcorum Alexander post devictum Darium, filias hujus pulchritudine mira conspicuas, ceu maximum victoriæ præmium sibi oblatas, ne videre quidem passus est; aitque, turpe fore, si is qui viros vicisset, a feminis vinceretur. Cyri Medorum Persarumque regis par virtus fuit. Nam et hic superatis acie Assyriis, atque ab exercitu suo, manubiarum nomine, Susiorum regina donatus, quæ insigni forma præstabat, reginæ is quidem magnam curam gessit; ceteroquin ipsam aspicere recusavit, dicens, opus esse ut pudicitiæ reges custodes fiant, non insidiatores; tum quia id supremam dignitatem decet, tum quia pudicitia fortitudinem prudentiamque conservat et copulat. Revera qui se voluptatum famulitio addicunt, ac furiosum feminarum amorem præ se ferunt, effusisque habenis ad

A εἰς χοίρους καὶ κύνας μετεβάλοντο; χοῖροι μὲν γινόμενοι, ὡς κυλιόμενοι ἐν τῷ βορβόρῳ τῶν ἡδονῶν· κύνες δὲ, ὡς λυσσῶντες καὶ ἐκμαινόμενοι πρὸς τοὺς ἀσελγεῖς ἔρωτας· τῷ δὲ βασιλεῖ καταπυλύ ἐστιν εὐπρεπὲς τὸ παρὰ τοῦ Ἑρμοῦ τῆς τοῦ λόγου σοφίας φάρμακον λογικὸν, ἐναντιούμενον πρὸς τὰς ἀκολάστους δυνάμεις τῆς ἡδονῆς, ὥσπερ ἐν τῷ μύθῳ βοτάνη τις λεγομένη μῶλυ (3)· ἀλλὰ δὴ καὶ δίστομον ξίφος τὸ χωρίζον μετὰ συνετῆς γνώσεως τὸ καλὸν ἐκ τοῦ χείρονος· καὶ τὸ μὲν καλὸν ὡς ὠφέλιμον προκρίνον καὶ συνιστῶν, τὸ δὲ ἐναντίον, ἀποδιῶκόν τε καὶ μεμφόμενον· οὕτω γὰρ καὶ Ὀδυσσεὺς οὐ μόνον ἐξέφυγε τὰς γοητείας τῆς Κίρκης, ἀλλὰ καὶ τοὺς παθόντας ἠλευθέρωσε φίλους· καὶ τὸν βασιλέα πρέπει, ἵνα οὐ μόνον αὐτὸς
B ὑπάρχῃ ἀδούλωτος καὶ πεφυλαγμένος ἀπὸ πασῶν ἡδονῶν ἀλλὰ καὶ τοὺς ἄλλους ἐλευθεροῖ καὶ διὰ λόγου καὶ ὑποδείγματος, καὶ ὕμνων ἱερῶν ἀκούειν διηνεκῶς (4). Εἰ γοῦν μεγάλην προξενεῖ λύπην εἰς τοὺς νουνεχεῖς καὶ φρονίμους ἀνθρώπους τὸ παρορᾷν τὸν βασιλέα αἰχμάλωτον τὸ ὑπήκοον, πόσῳ μᾶλλόν ἐστι λυπηρὸν καὶ ὀδυνηρὸν, ἐὰν ὁ βασιλεὺς οἰκειοθελῶς αἰχμάλωτος γένηται ὑπὸ τῶν αἰσχρῶν ἡδονῶν, καὶ εἰς ὄνειδος καὶ γέλωτα καταστῇ; κἂν γὰρ κρύπτηται καὶ σπουδάζῃ λανθάνειν, ἀλλὰ διαφυγεῖν οὐ δύναται τὸ τῆς συνειδήσεως ἀληθὲς, καὶ μάλιστα τὸν τὰ κρυπτὰ βλέποντα παντεπόπτην ὀφθαλμὸν τοῦ Θεοῦ, καὶ τὰ τῆς αἰσχύνης ἔργα μισοῦντα· ὅπου τι τὰ πλείονα καὶ οἱ ἄνθρωποι βλέποντες καταγελῶσι καὶ διασύρουσι, καὶ ὁ γέλως παραπέμπεται καὶ εἰς τοὺς ἐφεξῆς χρόνους· πολ-
C λοὺς γὰρ βλέπομεν ἐν τοῖς ἱστορικοῖς βιβλίοις ὑβριζομένους, καὶ πλείστους ἐπαινουμένους διὰ τὴν περὶ τὰ καλὰ σπουδὴν αὐτῶν, καὶ εἰς αἰωνίαν καὶ διηνεκῆ μνήμην περιλαλουμένους καὶ παραπεμπομένους. Βασιλεὺς Ἑλλήνων Ἀλέξανδρος, νικήσας Δαρεῖον, καὶ τὰς ἐκείνου θυγατέρας ὡς προτίμησιν τῆς νίκης διὰ τὸ ὑπερβολικὸν τοῦ κάλλους προσαγομένας αὐτῷ, οὐδὲ ἰδεῖν κατεδέξατο· εἰπὼν αἰσχύνης ἄξιον εἶναι νικῆσαι μὲν ἄνδρας, ὑπὸ γυναικῶν δὲ ἡττηθῆναι. Ὅμοιον δὲ τούτῳ ἐποίησε Κῦρος ὁ τῶν Μήδων καὶ Περσῶν βασιλεύς· νικήσας γὰρ τὸν πόλεμον Ἀσσυρίων, καὶ παρὰ τοῦ στρατεύματος τὴν τῶν Σουσίων βασιλίδα (5) ὡς λάφυρον λαβὼν διὰ τὴν τοῦ κάλλους ὑπερβολὴν, πολλὴν μὲν αὐτῆς ἐποιήσατο ἐπιμέλειαν, ἰδεῖν δὲ οὐδόλως ἠξίωσεν,
D ἀποφηνάμενος φύλακας εἶναι χρὴ τῆς σωφροσύνης τοὺς βασιλεῖς, ἀλλ' οὐκ ἐπιβούλους, διά τε τὸ μέγεθος τῆς ἀξίας, καὶ ὅτι σωφροσύνη ἀνδρείαν καὶ φρόνησιν συνέχει τε καὶ συνάπτει· τὸ γὰρ δουλωθῆναι ταῖς ἡδοναῖς καὶ γυναικομανῆ φαίνεσθαι, καὶ ὥσπερ διὰ χαλινοῦ πρὸς τὰ αἰσχρὰ φέρεσθαι

(3) *Odyss.* x, 305.

(4) Hymnus reapse laudativus a Photio scriptus, atque ore Ecclesiæ dictus ad Basilium imperatorem, exstat in melodorum ineditorum codice Barberino, de quo locutus sum in prioris voluminis præfatione, p. 44. Videtur ergo in Græcorum more positum fuisse, ut principes suos sacris etiam, hymnis celebrarent. Nisi forte Nicephorus respicit potius ad hymnos illos, de quibus Plato *Leg.* VII, p. 800 sqq. ed. Serr. Vel explicandum est, *tum sacris hymnis perpetuo audiendis.*

(5) Lege Xenophontem *Cyrop.* lib. v, 1. Addere licebat Africani majoris exemplum, quod est apud Polybium, x, 19.

OCR ABK / FR

ἔργα, καὶ δειλοὺς ποιεῖ τοὺς τοιούτους καὶ ἄφρονας· **A** κἂν ῥωμαλέος λογίζηται εἶναι, δειλός ἐστι καὶ ἀθλιώτερος ἀῤῥώστου παντὸς, ἐπειδὴ τὴν δύναμιν παρέλυσε τῆς ψυχῆς· καὶ εἴ τις τὴν κατάλυσιν τῶν ἱστορουμένων βασιλέων ἐξετάσει, οὐδὲν ἄλλο ἢ τὴν λαγνείαν ἣν εἶχον, εὑρήσει τὸ αἴτιον· καὶ γὰρ ὁ Ἀσσύριος Σαρδανάπαλος πόθεν ἀφῃρέθη τὴν ἀρχὴν παρὰ τοῦ Μήδου Ἀρσάκου, καὶ ταῦτα πλοῦτον ἔχων τοσοῦτον, καὶ τηλικοῦτον πλῆθος στρατεύματος ἐπαγόμενος; Πάντως ἀπὸ τοῦ ἐκμανῆναι ταῖς αἰσχίσταις ἐπιθυμίαις, καὶ τῆς οἰκείας δειλίας καὶ γυναικώδους ψυχῆς, ἥτις ἄνανδρον ἐποίησε καὶ τὸ στράτευμα· τῆς γὰρ κεφαλῆς παθαινομένης, ἀνάγκη καὶ τὸ λοιπὸν σῶμα συμπάσχειν· Ἕως μὲν οὖν διὰ τῆς σωφροσύνης ὥπλιζεν ἑαυτὸν, ἰσχυρὸς ἦν καὶ ἅπασι φοβερός· ἀφ' οὗ δὲ τῶν ἡδονῶν δοῦλος ἐγέ- **B** νετο· ὑπὸ πάντων κατεπατεῖτο· καθὼς τις τοῦτο προεμαντεύσατο (6). Ὁ δὲ Δαρεῖος ὁ Ἀστυάγους υἱὸς (7), τὴν Βαβυλωνίων ἀρχὴν μετὰ πάσης εὐκολίας κατέλυσε, μέχρις ἂν τὴν σωφροσύνην ἐτίμα· ὕστερον δὲ εἰς ἀσέλγειαν ἐμπεσὼν, οὐ μόνον τὴν βασιλείαν ἀπώλεσεν, ἀλλὰ καὶ ζωῆς ἐστερήθη παρὰ Κύρου τοῦ Πέρσου ὃς εἶχε τὴν σωφροσύνην. Τί δὲ κατέβαλε τὸν τοῦ Ἀρτάμου Δαρεῖον καὶ πᾶσαν κατέλυσε τὴν ἀρχὴν τῶν Περσῶν; Πάντως ἡ περὶ τὰς ἀκολασίας ὄρεξις καὶ ἐπιθυμία. Καὶ ἵνα τοὺς μὲν παλαιοὺς καταλείψωμεν, τῶν δὲ νεωτέρων μνησθῶμεν, ἐρῶ· Τί ἄλλο τὴν μεγαλόπολιν ταύτην αἰχμάλωτον τοῖς Λατίνοις παρέδωκε, καὶ πάσης συμφορᾶς τὴν οἰκουμένην ἐπλήρωσεν, ἢ ἡ ἐπίψογος τῶν τότε κρατούντων διαγωγὴ, καὶ ἡ ἐντεῦθεν χαύνωσις καὶ δειλία (8); καὶ γὰρ ἕτερον οὐδέν τι **C** καὶ τοὺς ἄνδρας γυναικώδεις ποιεῖ, ὡς ἡ πρὸς γυναῖκας (9) ἄλογος ὁρμὴ καὶ ἐμπάθεια· ἐκ τούτων γὰρ σαθροῦται καὶ σῶμα καθόλου· σωφροσύνη μὲν γὰρ ἐνδυναμοῖ σῶμα καὶ ψυχὴν ἰσχυροποιεῖ, ἀκολασία δὲ καὶ ἀμφότερα βλάπτει καὶ ζημιοῖ· κἂν γὰρ δοκῇ ὁ ἀκόλαστος ὑγείαν ἔχειν καὶ εὐκρασίαν σωματικὴν, οὐδὲν διαφέρει τῶν μυθευομένων τοῦ Ἀδώνιδος κήπων, οἵτινες καὶ ἐπάνω τῶν λίθων πεφυτευμένοι πολὺν ἐλάμβανον γέλωτα (10). Οἷα δὲ τὰ σπουδάσματα τῆς πορνικῆς ἐργασίας, τοιαῦτα καὶ τὰ τῆς ὑγείας τῆς ἐξ αὐτῆς ὀνείρου παντὸς ἀσθενέστερα· φθείρει γὰρ τὴν ζωὴν, καὶ τὸν τῆς ἀνδρίας θεμέλιον ἀνατρέπει. Τὴν δὲ φρόνησιν εἰς τὸ ἐναντίον καὶ τὸ μηδὲν γινώσκειν παρασκευάζει· καὶ τὴν εὐδαιμονίαν ματαίως ποιεῖ φέρεσθαι ὡς **D** ὕλην ἀργὴν τεχνίτην μηδαμῶς ἔχουσα. Διὰ ταῦτα

turpia opera prorunnt, timidi mox dementesque evadunt: hique etiamsi robustis viribus præditi existimentur, nihilominus formidolosi sunt atque ægroto quolibet miseriores, postquam animi vim fregerunt. Profecto qui regum in historiis ruinas investigaverit, nullam fere ejus rei causam, præter illorum lasciviam, deprehendet. Namque et Assyrius Sardanapalus curnam regno ab Arbace Medo spoliatus fuit, cum cæteroqui tantis opibus tantoque exercitus numero esset succinctus? Prorsus ob turpissimas, quibus deditus erat, cupiditates, atque ob suam ignaviam effeminatumque animum, qui militares quoque ejus copias corrupit. Nam si caput languet, reliquum quoque corpus compati necesse est. Quandiu igitur honestis moribus semet ille communivit, validus fuit ac nemini non formidabilis: postquam autem voluptatibus succubuit, cuncti eum gravi pede presserunt: quam rem vates quidam præcinuerat· Jam et Darius, Astyagis filius, Babyloniorum imperium facile delevit, cum adhuc ipse probitatem coleret: verum ubi, ad luxuriam deflexit, non regnum tantummodo amisit, verum etiam vita a Cyro Persa, frugi homine, orbatus fuit. Præterea curnam Arsami filius Darius cum universo Persarum imperio concidit? Sine dubio propter intemperantis libidinis effrenem cupiditatem. Atque ut, veteribus omissis, recentiora tempora commemoremus, quid, inquam, aliud magnam hanc urbem captivam Latinis tradidit, orbemque omni calamitate inuntavit, quam culpabilis illorum qui tunc imperabant vita, ex eaque manans ignavia atque timiditas? Nihil mehercule æque viros effeminat, quam erga mulieres cæcum studium atque proclivitas. Etenim hinc etiam corpus penitus flaccescit. Secus vero pudicitia et corpus roborat et animo vires suppeditat: intemperantia autem utrique nocet perniciemque creat [1]. Etiamsi enim libidinosus homo videatur recta valetudine bonaque corporis temperatione præditus, nihilominus a fabulosis Adonidis hortis non differt, qui in saxeo solo plantati magnopere deridebantur. Jam qualis meretriciæ operæ substantia est, talis item quæ inde consequitur valetudo, quovis nimirum somnio fragilior: dissolvitur enim vita, et virilitatis fundamenta quatiuntur; lumenque ingenii in contrarias tenebras inscitiæ convertitur. Tum vero regii status fortuna temere circumagitur, veluti otiosa materia fictore suo de-

(6) Intellige Belesyos vaticinium, ut dicerte ait in genuino scripto noster Nicephorus: et confer Diodorum Siculum lib. II, 24.

(7) Darium hunc Græci Cyaxarem appelant (nominatim Xenophon), ut diserte ait Polychronius a me nuper editus in Comm. ad Dan. *Coll Vat.* tom. I, part. II, p. 131. Jam Cyrum Cyaxari et Astyagi successisse exploratum est; utrum vero hæreditario et pacifico jure, au armorum vi, historici discrepant. Lege citatum locum p. 151, Xenophontem, etc.

(8) Lege Nicetæ Choniatæ historiam ed. Paris. p. 393 sqq., de Græcorum principum, qui fugam capessiverunt, solutis moribus, deque Balduini Flandri, qui in imperium successit, castitate verba fiunt. Capta est Latinis Constantinopolis anno 1204, recepta a Græcis anno 1261. Ergo inta id intervallum scripta est hæc oratio.

(9) Codd.

(10) Scilicet id evasit in proverbium apud Græcos. Legesis Zenob. I, 49. Diogen. I. 14; ne alia testimonia, quæ multa sunt, congeram.



OCR ABK/FR

stituta. Quæ cum ita se habeant, summopere necesse est ut rex voluptatum victor sit, easque regat.

III *Rex ne sit iracundus.* — Age vero iracundiæ quoque vesaniam ad latrones rex amandabit; quorum furor instar serpentium est; crudelitas autem et immitis animus a malorum dæmonum adversus homines odio non differt. Porro virum, quem Deus legatum veluti suum orbi præfecit, et cui creaturarum suarum, id est subditorum hominum, curam commisit, tranquillitas decet, mansuetudo atque clementia; reputantem scilicet, oportere a se hominibus subditis eamdem curam impendi, quam cognatis suis, quam sibimet ipsi impertiri solet. Incolumes igitur prudenter reget; infirmis omni ope consultum volet, et quolibet providentiæ studiique genere subveniet eosdemque beneficiis et comitate sibi devinciet. Quod si quos forte, quamtumvis benefactis ac largitionibus sæpenumero ornatos, refractarios adhuc minimeque benevolos experietur, cum his sane severius agendum est; ita tamen ut hujusmodi quoque hominibus, veluti membris nostris morbo aliquo laborantibus, compatiamur. Sic enim rex benignitatem sibi Dei conciliabit; sic firmum regnum inconcussumque tenebit, sic in omnium amore erit, atque ab omnibus uno ore quaquaversus prædicabitur. Nimirum his laudibus homines coronam regi contexent, dum concordi voce iterabunt: Hic temperantissimus, hic mitissimus, hic Deo similis est. Secus vero qui levis cujuslibet delicti causa dure atque inhumaniter servos homines plectit, is nihil ab eo differt qui diabolico instinctu perculsus carnes proprias forte voraret. Sicuti enim in ejus modi insania vincit dolorem furor, sic indomita ira inexorabiles ad expetendas pœnas facit eos qui commoti sunt; neque cogitare sinit quantus illorum dolor futurus sit qui puniuntur; et quod homogeneæ naturæ sit qui cruciatur homo, quantumque mœrorem contrahat; et quod miserator alienæ calamitatis Deus magnam paret sævo homini pœnam atque vindictam. Acerbe aliquis, puta, aliquem virgis cædit, aut alio modo plagas imponit injusta ira commotus: ecce idem repercutitur vicissimque pulsatur, febri puta, dolore capitis, paroxismi horrore, aliisve gravibus infirmitatibus: et quanto molestior aliis fuit, tanto graviorem talionis pœnam a Numine refert. Quod si minus cito vindictam experitur, attamen insperato tempore pœnas luet. Quippe sacris divinisque oraculis admonemur, alio nos tempore peccare solere, alio facti mercedem recipere, veluti propter cæcus Gabaonitas famem deinceps coortam scimus. Quod si quis forte per hujus temporis lapsum impunis fuerit, idem tamen in vitæ termino multo

(11) Quantopere virum principem iracundia dedeceat, sapienter disputat Cicero in insigni illa epistola ad Q. fratrem, 1; necnon Tuscul IV, 22, et *De rep.* II, 41.

(12) Ita cold. pro ὀργιζομένους, uod est in genuina oratione.

A τῶν ἀναγκαιοτάτων τῷ βασιλεῖ κρατεῖν καὶ βασιλεύειν τῶν ἡδονῶν.

Γ'. Τὸ δὲ ὀργίλον καὶ μανικὸν παραπέμπειν εἰς τοὺς λῃστὰς (11)· τούτων γὰρ ὁ θυμὸς κατὰ τὴν ὁμοίωσίν ἐστι τοῦ ὄφεως· καὶ τὸ ἀπηνὲς καὶ ἀσυμπάθητον κατὰ τὴν τῶν πονηρῶν δαιμόνων μισανθρωπίαν. Ὁ δὲ ταχθεὶς κατὰ τὴν ὁμοιότητα τοῦ Θεοῦ, καὶ τοῦ πλάσματος αὐτοῦ, ἤγουν τῶν δούλων τὴν ἐπιμέλειαν πιστευθείς, τὸ γαληνὸν ὀφείλει ἔχειν καὶ ἥμερον καὶ φιλάνθρωπον· γινώσκων καλῶς ὅτι χρεωστεῖ περιέπειν ὡς συγγενὲς τὸ ἀρχόμενον καὶ καθὼς ἑαυτόν· καὶ τῶν μὲν ὑγιαινόντων ποιεῖσθαι προμήθειαν, ἐπισκέπτεσθαι δὲ παντοίως τοὺς ἀῤῥωστοῦντας, καὶ θεραπεύειν κατὰ πᾶσαν πρόνοιαν
B καὶ σπουδὴν, καὶ οἰκειοῦσθαι τούτους δι' εὐεργεσίας καὶ ἱλαρότητος. Εἰ δέ τινας ἴδοι μετὰ τὸ εὐεργεσιῶν τε καὶ δωρεῶν ἀπολαύειν συχνῶν, ἀνυποτάκτους καὶ μὴ εὔνοιαν ἔχοντας, καὶ αὐστηρότερον ἀνάγκη τούτοις προσφέρεσθαι· πλὴν καὶ οὕτως ὡς οἰκείοις αὐτοῦ μέλεσι συλλυπεῖσθαι τοῖς πάσχουσιν· οὕτω γὰρ ὁ βασιλεύων εἰς ἑαυτὸν ἕλκει τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ· οὕτω τὴν βασιλείαν ἔχει μόνιμόν τε καὶ ἀκατάλυτον· οὕτω παρὰ πάντων φιλεῖται, καὶ παρὰ πάντων ὡς ἀφ' ἑνὸς στόματος εἰς πάντα τόπον διαφημίζεται· τοιούτοις ἐπαίνοις πλεκόντων καὶ στεφανούντων τὸν βασιλέα, καὶ ἀπὸ συμφωνίας λεγόντων, Οὗτός ἐστιν ὁ σωφρονέστατος· ὁ πραότατος, ὁ ἐξομοιούμενος τῷ Θεῷ· τὸ δὲ δι' ὀλίγον τι πλημμέλημα ἀπηνῶς καὶ ἀπανθρώπως τοὺς δούλους κολάζειν οὐδὲν διαφέρει τοῦ διὰ μανίαν δαιμονικὴν
C τὰς ἰδίας κατατρώγοντος σάρκας· καὶ γὰρ ὥσπερ ἐν τῇ τοιαύτῃ μανίᾳ ἡ ταύτης ὁρμὴ κατισχύει τῶν ὀδυνῶν, οὕτω καὶ τὸ τοῦ θυμοῦ ἀκράτητον ἀναισθητεῖν τοὺς βουλομένους (12) παρασκευάζει πρὸς τὰς κολάσεις, καὶ οὐδὲν ἀφίησι νοεῖν ὅσην ἔχουσι λύπην οἱ κολαζόμενοι· καὶ ὅτι τῆς αὐτῆς ἐστι φύσεως ὁ κολαζόμενος ἄνθρωπος, καὶ πόσην ὑπομένει τὴν λύπην, καὶ ὅπως ὁ συμπαθὴς Θεὸς μεγάλην ἐπάγοι κατ' αὐτοῦ τὴν τιμωρίαν τε καὶ ἐκδίκησιν· οἷον ἔτυψέ τις καὶ ἔδειρέ τινα πικρῶς διὰ ῥάβδου, καὶ τρόπον ἕτερον ἐμαστίγωσεν ὑπὸ ἀλόγου θυμοῦ κινηθείς· ἀντετύφθη, ἀντεπλήγη ὑπὸ πυρετοῦ τυχὸν, ὑπὸ κεφαλῆς ἄλγους, ὑπὸ ῥίγους καὶ ὑπὸ ἑτέρων μεγάλων ἀσθενειῶν· ὅτε δὲ πλέον τι ἐκακοποίησε, καὶ πλείονα τιμωρίαν καὶ ἄμυναν ἀπέλαβεν ἀπὸ
D Θεοῦ. Εἰ δὲ τὰ τῆς δίκης οὐ παραυθὺς, δώσει τὴν τιμωρίαν καθ' ὃν οὐ γινώσκει καιρόν· ὥσπερ ἐν τοῖς θείοις καὶ ἱεροῖς λογίοις ἀκούομεν καὶ διδασκόμεθα, ὅτι ἐν ἄλλοις πταίομεν καιροῖς, ἐν ἄλλοις ἀπολαμβάνομεν· ὥσπερ οἴδαμεν ὑπὸ λιμοῦ παθόντας καὶ τοὺς Γαβαωνίτας (13). Εἰ δ' ἴσως τοῦ χρόνου παρατρέχοντος ἀτιμώρητος φαίνεται, ἀλλ' ἐν τῷ τέλει τῆς ζωῆς πολλαπλασίονα ὑποστήσεται καὶ

(13) Male explicavit Metaphrastes Nicephorum, qui recte habet ὁ ὑπὲρ τῶν Γαβαωνιτῶν λιμοῦ; consentiens videlicet cum sacra Historia II Reg. XXI, 1. Ego igitur in interpretatione Nicephorum malui quam Metaphrastem sequi.

OCR ABK / FR

δώσει τὴν τιμωρίαν. Τέως γε μὴν οὐ δυνατὸν διαφυγεῖν αὐτὸν τὸ παρὰ πάντων μισεῖσθαι· κἂν διὰ δειλίαν οἱ μισοῦντες οὐ δεικνύουσι τὸ μῖσος, ἀλλ' ἐν τῷ κρυπτῷ τῆς ψυχῆς καὶ ἐν τοῖς διαλογισμοῖς ἔχουσι κατ' αὐτοῦ. Καταπολὺ δὲ ἐστι καλλίων καὶ ὠφελιμώτερος ὁ διὰ τὴν χρηστότητα τῆς γνώμης καὶ τὴν σύνεσιν καὶ τὴν ἀρετὴν ἀπὸ κοινῆς γνώμης αἱρετὸς βασιλεὺς τοῦ διὰ τὸ κολαστικὸν καὶ τὸ βίαιον φοβεροῦ φαινομένου· τὸν μὲν γὰρ ἀπὸ διαθέσεως καὶ γνώμης κοινῆς αἱρετὸν βασιλέα καὶ ἀγαπῶσι καὶ μετ' εὐνοίας φοβοῦνται· τὸν δὲ κολαστικὸν ἐπιθυμοῦσι σφόδρα ἐκφεύγειν. Πῶς δ' ἄν τις δύναιτο λέγειν, πόσην ἔχει τὴν ἀσχημοσύνην ὁ βασιλεὺς, εἴπερ θυμοῦται ἀκράτητα, καὶ οὐ συνήθη ποιήσει τὴν ψυχὴν αὐτοῦ ὑπομένειν καὶ κατέχειν τὸ πῦρ τοῦ θυμοῦ; ὁπότε ἡ τούτου φλὸξ ἀνάπτει τὴν καρδίαν καὶ ἀναφλέγει, τοῦ περὶ τὴν καρδίαν αἵματος περιζέοντος καὶ ταραττομένου. ἐν γὰρ τοῖς ἀγγείοις τοῦ σώματος τὸ αἷμα στενοχωρούμενον, καὶ πρὸς τὴν ἔξω ἐπιφάνειαν βιαζόμενον τρέχειν, τὸ μὲν πρόσωπον ὠγκωμένον ποιεῖ, καὶ ἀπὸ ἀναιδείας ἐρυθρόν· εἶτα καὶ μέλαν, τοῦ λοιποῦ σώματος κλονουμένου τε καὶ ταραττομένου· τοὺς δὲ ὀφθαλμοὺς πυροειδεῖς καὶ φλογώδεις, καὶ οἵους τῶν δρακόντων ἀκούομεν, ἀτάκτως καὶ συνεχῶς κινουμένους τε καὶ ἀναπηδῶντας, καὶ τοὺς οἰκείους ὅρους ἐκφυγεῖν βουλομένους· τὴν δὲ φωνὴν ἐπὶ μέγα ἐξαίρει· καὶ τοὺς λόγους ἀτάκτους καὶ μὴ δηλοῦντας ποιεῖ σαφῶς τὰ λεγόμενα, διὰ τὸ πολὺ τῆς ὀργῆς. Βασιλέως τοίνυν οὕτω διακειμένου, ποταπὴν οἰήσεταί τις τὴν κατάστασιν τῆς τούτου ψυχῆς; Ὡς εὐστόχως ἄρα καὶ καλῶς εἶπεν ὁ Σολομὼν, ὅτι θυμώδης ἀνὴρ οὐκ εὐσχήμων (14)· διὰ τοῦτο καὶ ἀπρεπὲς καθόλου καὶ ἀνάξιον τὸ τοῦ θυμοῦ πάθος τῆς βασιλικῆς κοσμιότητος.

Δ'. *Λαῶν κοσμήτορες οἱ βασιλεῖς ἔκπαλαι παρὰ* τῶν σοφῶν ὠνομάσθησαν, καὶ ποιμένες λαῶν (15). Ὁ δὲ προτιμηθεὶς εἰς καλλωπισμὸν λαοῦ, ὥσπερ ἐν πολέμοις ὁ στρατηγὸς, καθὰ πρῶτος ἀρχηγὸς καὶ διδάσκαλος τῶν ἠθῶν, πόσην πλέον τῶν ἄλλων ὀφείλει ἔχειν οὗτος τὴν κοσμιότητα; πόσην δὲ ἐπιμέλειαν καὶ περὶ τὰ πρόβατα ὁ ποιμὴν ἐνδείκνυται; ἄγων μὲν ἐπὶ νομὰς ἀγαθὰς, τέρπων δὲ καὶ εὐφραίνων αὐτὰ μετὰ αὐλῶν καὶ ᾀσμάτων· οὐ καταδυσμενῶν, οὐδὲ πιέζων, οὐδὲ θλίβων, οὐδὲ λυπῶν, διὰ πρόφασιν αἰτιῶν· ταῦτα γὰρ οὐ καλοῦ εἰσι ποιμένος, οὐδὲ κατὰ τὸν εὐαγγελικὸν ὁρισμὸν τιθέναι τὴν ψυχὴν ὑπὲρ τῆς ποίμνης πεπαιδευμένου. Τὸ δὲ μὴ λυπεῖσθαι ἐπὶ τῇ ταλαιπωρίᾳ καὶ τῇ συντριβῇ τῶν ἀρχομένων, τῆς ἴσης καὶ ὁμοίας φύσεως ἠξιωμένων παρὰ Θεοῦ, ἀλλὰ τέρπεσθαι καὶ χαίρειν ἐπὶ τοῖς ἑτέρων κακοῖς, ὅμοιόν ἐστι τῆς ὠμότητος καὶ θηριωδίας τοῦ διαβεβοημένου ἐκείνου Ἐχέτου (16). Ὁ Σέσωστρις ὁ τῶν Αἰγυπτίων καὶ Ἀσσυρίων δυνάστης, βασιλέας πολλοὺς δουλωσάμενος, σχεδὸν γὰρ

majus supplicium subibit. Interim vero haud effugere potest universale odium : quamvis enim inimici ejus retinentur metu quominus odium declarent, in animorum tamen arcano mentiumque latebris iram fovent. Valde ergo præstat opportuniorque est leni animo præditus rex, qui ob suam prudentiam atque virtutem communi suffragio creatus fuerit, quam qui suppliciis ac violentia tremendum se fecerit. Etenim regem ex animi sententia communique voto delectum amant omnes, et cum benevolentia verentur ; sævum regem magnopere aversantur atque devitant. Quis autem satis dicere queat, quam turpe sit regem sine modo iræ indulgere, neque animum suum ad patientiam consuefacere atque ad cohibendas iracundiæ flammas? videlicet cum hujus ardor viscera incendit atque perurit ; cumque sanguis circa cor fervet ac tumultuatur. Quippe in corporis vasis compressus sanguis atque ad cutis superficiem concurrere adactus, vultum quidem tumidum efficit impudenterque rubentem ; tum etiam nigros colores trahit, et corpus reliquum quatitur et tremiscit : oculi ignei flammeique, quales serpentium esse audimus, incomposite perpetuoque moventur, vel potius agitantur, suisque sedibus exsilire videntur : vox magnopere intenditur : sermo neque verborum sententiam aperte significans, neque ordinatus, ira nimia impediente. Cum ergo rex ita se habet, quinam erit animi ejus status? Recte igitur atque egregie dixit Salomon, virum iracundum non esse venustum. Quamobrem iræ perturbatio indigna prorsus est majestate regia eamque dedecorat.

IV. *Rex sit clemens.* — Populorum compositores dicti sunt olim a sapientibus reges, itemque pastores populorum. Jam qui recte instruendo populo præpositus est (haud aliter quam in exercitu est imperator), ut morum scilicet antesignanus sit atque magister, quantam is quamque præcipuam moris proprii compositionem præ se ferre debet? Age sis considera quantam gregis sui curam pastor expromit : au pastiones uberes ducit, fistula cantuque oblectat et recreat ; neque porro vinculis impedit, neque vexat, neque illi culparum obtentu gravis molestusve est. Non enim id boni pastoris officium foret, neque ejus qui ex evangelica norma pro grege animam ponere edoctus fuit. Porro rex qui calamitatibus angoribusque subditorum hominum non commovetur, quos Deus homogenea natura donavit, immo etiam alienis lætatur malis : hic, inquam, rex ab illius famigerati Echeti sævitia moribusque ferinis non abest. Ægyptiorum Assyriorumque rex Sesostris, multis devictis regibus

(14) Proverb. xi, 25, ed. Gr.

(15) Utraque appellatio occurrit apud Homerum. Tum etiam in Creta publici rectores vocabantur *cosmæ*. Aristot. *De rep.* ii, 10 ; item Cic. *De rep.* ii, 33.

(16) *Odyss.* xviii. 84.

OCR ABK / FR

(maximam enim propemodum orbis partem perdomuit) in tantum impudentiæ protervìæque venit, ut captos ab se reges currui subjunxerit, multaque dementiâ tumidus, desuper sublimis residens, brutorum animantium loco regibus abuteretur, eaque re stultissime oblectaretur ac superbiret. Tum vero cum unus de subjunctis currui regibus tardius incederet, causamque a Sesostride rogaretur, idcirco se ait demoratum, quia ad rotarum conversiones mentem intenderet. Sesostris autem probe intelligens, id ab eo sibi dictum, ut fortunæ inconstantiam volubilitatemque significaret, milior in posterum clementiorque fuit. Hiero Syracusanus, quanquam invitis Siculis imperium arripuerat, nulli tamen adversariorum molestus fuit, postquam imperio potitus est; quia immo perpetuis eos beneficiis ornavit, atque ut mitis pater cum populo versatus est. Ergo imperium annos quatuor et quinquaginta retinuit, pacem patriæ conservavit, sibi vero quietem imperturbatamque securitatem, Nam et non semel conatus imperium deponere, communibus populi precibus vetitus fuit. Tantus erat erga eum subditorum omnium amor! propterea quod temperantissimus esset et beneficentissimus, summaque præsertim clementia præditus. Similis huic Alcimus Lydus fuit: atque idcirco in pace rerumque omnium copia subditus illi populus vitam traduxit. Septimo videlicet regni ejus anno, celebratis ab universa gente comitiis, ut vita regis prorogaretur omnes conceptis votis precati sunt. Igitur ille diuturno ævo incolumis, Lydis felicitatem, sibi gloriam nomenque illustre ad nostram usque ætatem peperit. Lauco inter reges inclytum Constantinum illum Magnum, propterea quod in legibus suis loco tituli *Majestas mea decernit*, scribebat *Tranquillitas mea mandat*: quo vocabulo significabat, tranquillitatem mansuetudinemque singulariter regum esse propriam, ipsosque ab ea magis ornari quam a purpura atque diademate. Hæc enim, ut reor, tyranni quoque habent; sola vero tranquillitas securus est dignitatis regiæ thesaurus nullique direptioni obnoxius. Quamobrem multi olim reges super hac virtute tum re tum verbis philosophati sunt: Trajanus in primis, qui patri Nervæ principi bono successit, eumque æmulatus est. Is adeo modestus, clemens atque incomparabili virtute fuit, ut cuilibet dolenti compateretur atque adgemeret: offensas æquo animo ferret, dicens, oportere regem Deo parem esse atque erga peccantes famulos indulgentem. Igitur ipse quoque veniam a Deo consecutus est, non peccatorum tantummodo, verum etiam paganitatis

A τὸ πλεῖστον μέρος τοῦ κόσμου ὑπεποιήσατο (17). ἐπὶ τοσοῦτον ἀναιδείας καὶ ἀναισχυντίας ἐχώρησεν, ὥστε τοὺς κρατηθέντας ὑπ' αὐτοῦ βασιλεῖς ὑποζεῦξαι ἐν ἅρματι, μετὰ πολλῆς ἀπονοίας τε καὶ ἐπάρσεως ἐπάνω καθίσας αὐτῶν, ἀντὶ ἀλόγων ζώων ἐχρῆτο τοῖς βασιλεῦσι, τερπόμενος ἀλογίστως καὶ θρασυνόμενος (18). Ἑνὸς δὲ τῶν ὑποζευγμένων βραδύνοντος πρὸς τὴν κίνησιν, τὴν αἰτίαν ἐρωτήσας ὁ Σέσωστρις, ἤκουσε παρ' ἐκείνου, διὰ τοῦτο βραδύνειν, ὅτι τὸν λογισμὸν εἶχε βλέποντα τὴν κίνησιν τῶν τροχῶν. Καταλαβὼν δὲ ὁ Σέσωστρις ὅτι τὸν τοιοῦτον λόγον εἶπεν αὐτῷ, τὸ τῆς τύχης δηλῶν ἄστατόν τε καὶ μετάβολον, πραότερος εἰς τὰ ἑξῆς καὶ συμπαθέστερος ἦν. Ἱέρων δὲ ὁ Συρακούσιος, καὶ ταῦτα μὴ βουλομένων ἄρξας τῶν Σικελῶν, οὐδένα
B τῶν ἀντιμαχομένων καὶ πολεμίων ἐλύπησεν ἐπιλαβόμενος τῆς ἀρχῆς, ἀλλὰ μᾶλλον εὐηργέτει τούτους διὰ παντὸς, καὶ ὡς πατὴρ ἱλαρὸς πρὸς ἅπαν τὸ πλῆθος διέκειτο· ἄρξας οὖν ἔτη πεντήκοντα τέσσαρα, διεφύλαξε μὲν τῇ πατρίδι τὴν εἰρήνην, ἑαυτῷ δὲ τὸ ἀτάραχόν τε καὶ ἀνενόχλητον· καὶ πολλάκις δὲ βουληθεὶς παραιτήσασθαι τὴν ἀρχὴν, κοινῇ παρακλήσει τοῦ πλήθους διεκωλύθη· ἐπὶ τοσοῦτον ἠγαπᾶτο παρὰ πάντων τῶν ἀρχομένων, σωφρονικώτατος ὢν καὶ εὐεργετικώτατος, καὶ μᾶλλον ἡμερώτατος. Ὅμοιος αὐτῷ ἦν καὶ Ἄλκιμος ὁ Λυδός· διὰ τοῦτο ἐν γαλήνῃ καὶ ἀφθονίᾳ τὸ ὑπήκοον ἐποίησε ζῆν· μετὰ δὲ παρέλευσιν ἑπτὰ χρόνων τῆς ἀρχῆς αὐτοῦ συναχθέντες πάντες ὁμοῦ οἱ λαοὶ παρεκάλουν τὴν ζωὴν τοῦ βασιλέως αὐξάνεσθαι· γενόμενος δὲ πολυχρόνιος, τοῖς μὲν Λυδοῖς εὐδαιμονίαν κατέλιπεν,
C ἑαυτῷ δὲ κλέος καὶ ὄνομα μέχρι καὶ τοῦ νῦν χρόνου (19). Ἐπαινῶ τὸν ἐν βασιλεῦσιν ἀοίδιμον Κωνσταντῖνον τὸν Μέγαν ὅτι ἐν τοῖς ἐκείνου προστάγμασιν ἀντὶ τοῦ γράφειν, Ἡ βασιλεία μου διορίζεται, Ἡ γαληνότης (20) μου παρακελεύεται, ἔγραφε· δηλῶν ὅτι τὸ γαληνὸν καὶ ἥμερον ἴδιον ἐξαιρέτως τῶν βασιλέων, πλέον κοσμοῦν αὐτοὺς καὶ καλλωπίζον τῆς ἁλουργίδος τε καὶ τοῦ διαδήματος· αὐτὰ γὰρ ἴσως καὶ τύραννοι ἔχουσι. Γαληνότης δὲ μόνη τῆς βασιλικῆς ἀξίας ἐστὶν ἄσυλος θησαυρὸς καὶ ἀνεπιβούλευτος· διὸ πολλοὶ τῶν πάλαι βασιλέων ἔργοις καὶ λόγοις ἐφιλοσόφησαν περὶ ταύτης τῆς ἀρετῆς· οὐκ ἔλαττον δὲ τῶν ἄλλων Τραϊανὸς ὁ βασιλεὺς τὸν πατέρα Νερούαν διαδεξάμενος, καλῶς καὶ αὐτὸν βασιλεύσαντα ἐμιμεῖτο· τοσοῦτον γὰρ εἶχε τὸ ταπει-
D νὸν καὶ συμπαθὲς καὶ ἀπρόσιτον ὡς καὶ παντὶ λυπουμένῳ συμπάσχειν, καὶ συνάλγειν· καὶ πρὸς τοὺς πταίοντας ἀνεξίκακον εἶναι, λέγων, Ἁρμόζει τῷ βασιλεῖ ἐξισοῦσθαι Θεῷ καὶ τῶν πταισάντων τῶν δούλων ἀνέχεσθαι· διὰ τοῦτο καὶ συγγνώμης ἠξιώθη παρὰ Θεοῦ οὐ μόνον τῶν ἁμαρτιῶν, ἀλλὰ καὶ τῆς ἀσεβείας

(17) Revera in obelisco quodam Ægyptio sacris litteris et hieroglyphicis inscriptum erat: *Rex Ægypti Sesonchosis orbis potens.* (Est autem Sesonchosis Sesostris). Lege Julium Valerium a me editum. *De rebus Alexandri Maced.* lib. i, 31, et Diodorum i 55.

(18) Lege Diodorum Siculum i, 58.

(19) Lege Suidam voc. Ξανθός.

(20) Interpretor potius *tranquillitas* quam *serenitas*. Cæterum de utroque hoc titulo in Cæsareis decretis usitato legesis Jureti doctas observationes ad Symmachi epistolas lib. ii, 8, p. 54; lib. x, 46, p. 290.

OCR ABK / FR

αὐτοῦ, τὸ μέγιστον καὶ παράδοξον, ταῖς δεήσεσι τοῦ A θαυματουργοῦ (21) Γρηγορίου, οὗ ὁ διάλογος (22)· τῆς γὰρ φιλανθρωπίας καὶ συμπαθείας ἧς ἐκεῖνος πλουσίως μετεδίδου τοῖς πταίουσιν, ἔτυχε καὶ αὐτὸς ἐν τῷ τῆς ζωῆς τέλει παρὰ Θεοῦ, τοῦ ἀποδεχομένου μὲν τὸ συμπαθὲς καὶ φιλάνθρωπον, μισοῦντος δὲ τὸ ἀπηνὲς καὶ ἀπάνθρωπον· καὶ τοὺς πρὸς ὁμόφυλον ἀκαμπεῖς καὶ ἀσυμπαθεῖς κατ᾽ ἀξίαν κολάζοντος· ἔδειξε γὰρ ὅτι συνεργούσης εὐχῆς δικαίου νικᾷ τὸ συμπαθὲς καὶ αὐτὴν τὴν ἀσέβειαν. Ὅτι δὲ καὶ σωφροσύνην εἶχεν ὁ Τραϊανὸς ὁ βασιλεὺς κοσμοῦσαν αὐτῷ, πρόδηλον· ἐπειδὴ οὐδεὶς κἂν τὰς λοιπὰς ἀρετὰς ἔχῃ, χωρὶς αὐτῆς σωφροσύνης τὸν Κύριον ὄψεται (23)· καὶ γὰρ ἀδύνατον ἄνευ σωφροσύνης ἔχειν τινὰ ἀρετὴν ἑτέραν ἀνόθευτον· ἀνδρεῖον γὰρ πῶς ἄν τις εἴπῃ κατὰ τῶν σαρκικῶν παθῶν ἀνανδριζόμενον; ὁ γὰρ ἑαυτόν τε B καὶ τὴν μεθ᾽ ἧς ἀσελγαίνει μὴ παραιτούμενος ἀδικεῖν πάντως οὐδὲ δίκαιός ἐστιν ὁ τοιοῦτος, ἀλλ᾽ οὐδὲ φρόνιμος ὁ μὴ ζητῶν τὸ φέρον ὄνησιν αὐτῷ καὶ ὠφέλειαν τὴν ἀρίστην, λέγω δὴ καὶ τὸν ἁγιασμόν· ἀλλὰ καὶ τὸν ἡγεμόνα νοῦν δοῦλον ποιῶν ἀκαθάρτων ὀρέξεων, καὶ διὰ τὴν μυσαρὰν καὶ βδελυκτὴν ἡδονὴν τῶν ἀῤῥήτων καὶ αἰωνίων ἀγαθῶν ἀποστερῶν ἑαυτόν.

A (quæ maxima perque mira res fuit) precibus scilicet magni Gregorii, cujus est ille dialogus. Nimirum clementiam misericordiamque, quam erga offensores suos vel calamitosos copiose exprompserat, vicissim ipse post mortalem hanc vitam a Deo impetravit; qui ut benignitatem charitatemque plectitur ita sævitiam inhumanitatemque aversatur, durosque et inexorabiles erga homogeneam naturam homines pro dignitate ac merito ulciscitur: demonstravitque aliquando, justi hominis intercedentibus precibus, paganitatis ipsum crimen misericordia posse superari. Quod autem temperantia quoque Trajanus præditus fuerit, vel inde patet, quod nemo etiamsi cæteris ornatus virtutibus, absque tamen temperantia Deum visurus est. B Et quidem fieri non potest ut homo intemperans virtutem ullam haud fucatam possideat. Quomodo enim fortis erit, qui carnalibus affectibus semet debilitat? Sed ne justus quidem erit, qui se et illam, cum qua luxuriam exercet, injuria afficit. Postremo is procul prudentia est, qui rem multo sibi pretiosissimam et utilissimam negligit, animæ scilicet sanctificationem, quique mentem suam natura reginam, impurarum cupiditatum famulam facit; qui scelestæ denique detestandæque voluptatis causa summis bonis ac sempiternis semet excludit.

Ε. Ἔστι δὲ καὶ ὁ τῶν χρημάτων ἔρως ἀπρεπὴς μάλιστα τῷ βασιλεῖ καὶ ἀνάρμοστος· τέσσαρα γὰρ ἀπὸ τῆς φιλοχρηματίας γεννῶνται τὰ κάκιστα· τὸ μικροπρεπὲς καὶ φειδωλὸν ἐν ταῖς δόσεσι· τὸ καπηλικὸν καὶ πλεονεκτικὸν ἐν τῷ παρ᾽ ἑτέρων λαμβάνειν αὐτῷ· τὸ μὲν γὰρ μηδόλως ἢ μετὰ βίας καὶ ὀλίγοις εὐεργετεῖν δουλικόν· δοῦλος γὰρ οὐ δίδωσιν· εἰ δ᾽ ἴσος δώσει, καὶ τοῦτο πάνυ μικρὸν καὶ ὀλίγον, C καὶ ἀπὸ κλοπῆς τῶν τοῦ δεσπότου πραγμάτων. Ὁ γὰρ καὶ αὐτὸ τὸ σῶμα δεδουλωμένος πῶς ἂν ἔχῃ διδόναι; τὸ δὲ πολλοῖς μὲν διδόναι πλὴν μετὰ μικρολογίας, καὶ ταῦτα πρὸς τοὺς ἀξίους πολλῶν, τοῦτο εὐτελοῦς τινος καὶ οὐδαμινοῦ, οὐ μὴν τοῦ εἰς βασιλικὸν καὶ ὑψηλὸν θρόνον ἐγκαθημένου. Τὸ δὲ τοῖς ταπεινοῖς πράγμασι συναναμίγνυσθαι, καὶ τοὺς τῶν κοινῶν ἀνθρώπων πορισμοὺς ἀνελευθέρως μηχανᾶσθαι καὶ οἰκονομεῖν, ὥστε μεταφέρειν εἰς τὸ δημόσιον καὶ ὑποκλέπτειν καὶ ὑπαρπάζειν τὴν τοῦ

V. *Rex ne sit avarus.* — Insuper pecuniæ amor dignitate regis maxime abhorret. Etenim ex hac cupiditate quatuor pessima gignuntur vitia; scilicet in dando, tenuitas et difficultas: in accipiendo cauponium et ingluvies. Et nihil omnino vel difficulter raroque largiri, servile est: nihil enim dat servus; vel si forte dat, id plane tenue minutumque est, ac de domini patrimonio furtim detractum. C Quam enim is habebit dandi copiam, cujus ipsum corpus in mancipio est? Porro autem multis dare, sed tenuiter, præsertim si multa meriti sunt, hoc vilis hominis est et contemptibilis, non ejus qui regalem sublimemque thronum insidet. Tum humilibus negotiis semet immiscere, et vulgarium hominum lucra illiberaliter sectari atque tractare, ut in fiscum transferas subtractum ereptumque subdito homini victum, hoc cauponarium est. Exigere autem tributa insolita prætorque subditorum vires

(21) Falli mihi videtur Metraphrastes scribens ματουργοῦ pro μεγάλου,, sive quia non satis intellexit vim vocabuli πολὺς,, quod utitur Nicephorus: sive quia cogitavit incautus de Græco Gregorio Thaumaturgo, pro Magno Gregorio Romano. Scimus tamen Gregorium quoque Romanum prodigiis inclaruisse, et Græcos Thaumaturgi epitheton haud uni Neocæsariensi tribuere.

(22) Fabulam hanc, qua Trajanus imp. dicitur precibus magni Gregorii ex inferorum pœnis liberatus, jamdiu refutarunt docti theologi, quos enumerat Carolus Sardagna, *Theolog.* tom. IV, ed. Rom, p. 253. Ea narratur in Vita magni Gregorii a Paulo diacono, qui tamen hac super re ut nemo discutiat suadet. Rursus eadem narratio occurrit in Vita pariter sancti Gregorii a Joanne diacono scripta, qui, rem intra arctiores limites cogens, Trajanum a cruciatibus quidem resolutum, sed neque ex inferorum claustris eductum, neque certo in paradiso repositum, ait. Verumtamen Maurini Patres in ejusdem S. Gregorii Vita copiosius doctiusque scripta, lib. III, cap. 49, fabellam hanc evidentibus argumentis explodunt, citatis præsertim Gregorii Dialogis, in quibus justa (ideoque D contraria) sententia semper legitur. Adeo fallitur Græcus Nicephorus, dum erroris hujus testimonium e Gregorii nescio quo Dialogo accersit, sive revera spurius aliquis apud Græcos exstiterit sive lapsus memoria Nicephorus est. Quod autem Paulus diaconus narrationem suam ex Anglorum sacris libris haurire se ait, recte est: nam in ejus gentis aliquot liturgiis preces quoque pro damnatorum minuenda pœna leguntur; qui error a fabula illa Trajani manavisse videtur, sicuti a spuria Damasceni quadam oratione, quæ Trajani pariter fabulam habet migravit ejusdem rei commemoratio in Græcorum Euchologium.

(23) Matth. v, 8.

OCR ABK / FR

impudens atque iniqua avaritia est. Quamobrem avaritiæ morbus pessimus, qui animæ decus infringit atque obscurat, regiam dignitatem humilificat atque imminuit, totis animi viribus detestandus est. Quippe huic avaritiæ rex Perseus deditus, regnum suum ac dignitatem amisit; captusque a Romanis, vinculis onustus in triumpho ductus est; cumque sua pecunia in cæcum carcerem conjectus, vitam misere clausit: magnopere et tunc ob stultam suam avaritiam irrisus, atque ad nostram usque ætatem ludibrio habitus. At vero Alexander admirandus rex, avaritiæ victor, dum hoc vitium odio et contemptui habet, universi prope orbis brevi tempore dominium obtinuit. Is quia thesaurorum apud se locum tenere dicebat familiares suos, quos defensores in omni bello atque auxiliares circumferebat, a nemine non laudatur, multisque regibus major evasit atque ad hunc usque diem præconiis celebratur. Eodem animi habitu Cyrus quoque fuit: qui opes universas amicis suis largiens, cunctas se possidere putabat; qui dum suos dites faceret atque exornaret, lætabatur ipse atque gestiebat. Dicente autem nescio quo, Tu vero, Cyre, ecquando temet ornabis? Vel maxime, respondit, ornatus sum, dum vos omnes ornatos aspicio. Rursus alio rogante, Curnam tibi opes non sumis? Atqui, inquit sum ditissimus, quia meos omnes divitiis affluentes video. Ejusmodi cum esset Cyrus, patris nomen ob suam clementiam obtinuit, quia videlicet omnem dabat operam ut qui in ejus ditione degebant, beatissimi essent. At Cambyses, quia contrariis moribus præditus fuit, asper acerbusque dominus vocitatus est. Darius avarus, sordidus, turpisque lucri studiosus, qui acervandæ pecuniæ causa nullum lapidem non movebat, caupo dicebatur. Jam et Thebanorum dux Epaminondas hunc tantopere pecuniæ morbum oderat, ut observato aliquando milite, qui captivum suum divendebat, scutum illi eripuerit, eumdemque albo militari expunxerit, dicens: Mihi quidem scutum restitue; tu vero cauponium tuum exerceto. Cato Romanorum imperator cum eum legati Britannici amicitiæ charitatisque ineundæ causa convenissent, multamque vim auri offerrent, homines quidem hilariter benevoleque admisit, postulatamque amicitiam libenter largitus est; aurum tamen remisit, dicens: servos emi solere, amicos eligi. Adeo his etiam pecuniæ contemptor fuit! quam ob rem late per orbem prope universum nomen ejus inclaruit. Jam quæ Cyrus et Epaminondas, hac virtute ac prudentia insignes, splendide patraverunt, alii scilicet narrent, qui historiis illorum legendis tempus contriverunt. Etenim Alexandri, Cyri atque Epaminondæ res præclare gestæ ingenti face splendidiores relucent; nemoque eas ignorat, nisi qui forte plane socors est atque omnis honestatis incuriosus. Sunt

A ὑπηκόου ζωήν, τοῦτο καπηλικόν. Τὸ δὲ ἀπαιτεῖν τέλη παράλογα καὶ ὑπὲρ τὴν τῶν ἀρχομένων δύναμιν ἀναιδεστάτης πλεονεξίας καὶ ἀδικίας ἐστίν. Ὅθεν τὴν τῆς φιλοχρηματίας κακίστην νόσον ἀμαυροῦσαν μὲν καὶ σκοτίζουσαν τὸ τῆς ψυχῆς κάλλος, τὴν δὲ βασιλείαν ἐλαττοῦσαν καὶ ἀκρωτηριάζουσαν, δεῖ μισεῖν ἐξ ὅλης ψυχῆς· ταύτην γὰρ τὴν φιλοχρηματίαν ὁ μὲν βασιλεὺς Περσεὺς ἀγαπήσας (24), ἐξεβλήθη καὶ τῆς ἀρχῆς αὐτοῦ καὶ τιμῆς· καὶ κατασχεθεὶς ὑπὸ τῶν Ῥωμαίων, ἤγετο δέσμιος· καὶ μετὰ τῶν χρημάτων εἰς σκοτικὸν λάκκον ἐνεβλήθη, καὶ τὴν ἑαυτοῦ ζωὴν ἀθλίως ἀπώλεσεν· πολλὰ διὰ τὴν ἀφροσύνην καὶ φιλοχρηματίαν καταγελασθεὶς, καὶ μέχρι τοῦ παρόντος χρόνου καταγελᾶται. Ἀλέξανδρος δὲ ὁ θαυμάσιος βασιλεὺς, τὴν φιλοχρηματίαν B νικήσας, καὶ τὸ ταύτης πάθος μισήσας καὶ βδελυξάμενος, σχεδὸν τῆς οἰκουμένης ἁπάσης ἐν βραχεῖ χρόνῳ γέγονε βασιλεύς· θησαυροὺς γὰρ οὗτος τοὺς φίλους ἡγούμενος, οὓς συνασπιστὰς εἰς πάντα πόλεμον εἶχε καὶ βοηθοὺς, παρὰ πάντων ἐπαινεῖται, πολλῶν βασιλέων μείζων γενόμενος, καὶ μέχρι τοῦ νῦν θαυμαζόμενος. Ταύτης τῆς γνώμης καὶ Κῦρος ἐτύγχανε· πάντα γὰρ χρήματα τοῖς φίλοις δωρούμενος, τὰ πάντων ἔχειν ἐνόμιζε· καὶ πλουτίζων τοὺς αὐτοῦ καὶ κοσμῶν, αὐτὸς ἠγάλλετό τε καὶ ἐφαιδρύνετο. Τινὸς δὲ εἰπόντος αὐτῷ, Σὺ δὲ, ὦ Κῦρε, πότε κοσμήσεις σαυτόν; Καὶ μὴν ἐξόχως, εἶπε, Κεκόσμημαι, πάντας ὑμᾶς κεκοσμημένους ὁρῶν. Ἄλλου δέ τινος ἐρωτήσαντος αὐτὸν, Διατί οὐ πλουτεῖς; Καὶ μὴν, εἶπε, τοῦτο μέγας πλοῦτος ἐμοὶ, ὅτι βλέπω πλουτοῦντας πάντας τοὺς ἡμετέρους. Ὁ C τοιοῦτος Κῦρος πατὴρ ἐκαλεῖτο (25) διὰ τὸ συμπαθὲς, καὶ τὸ κατὰ πάντα τρόπον ἐπιμελεῖσθαι, ἵνα πάντα τὰ κάλλιστα ἔχωσιν οἱ ὑπὸ τὴν ἐκείνου ἀρχήν. Ὁ δὲ Καμβύσης διὰ τὸ τὰ ἐναντία τούτῳ ποιεῖν, χαλεπὸς καὶ πικρὸς δεσπότης ἐλέγετο. Ὁ δὲ Δαρεῖος φιλοχρήματος ὢν καὶ φειδωλὸς καὶ αἰσχροκερδὴς καὶ τρόπους ἐπινοῶν χρημάτων συναγωγῆς, κάπηλος ὠνομάζετο (26). Ἀλλὰ καὶ Ἐπαμινώνδας ὁ Θηβαίων στρατηγὸς οὕτως ἀπὸ ψυχῆς ἐμίσει τὴν τοιαύτην νόσον περὶ τὰ χρήματα, ὥστε ὡς εἶδέ ποτέ τινα τῶν στρατιωτῶν ἀπεμπολήσαντα ὃν εἶχεν αἰχμάλωτον, ἀφελόμενος τὴν ἀσπίδα, τοῦ στρατιωτικοῦ τάγματος αὐτὸν ἀπεδίωξε, εἰπὼν, Ἐμοὶ μὲν ἀντίστρεψον τὴν ἀσπίδα· σὺ δὲ σὺ τῷ καπήλῳ εὐτρέπιζον. Κάτων δὲ ὁ τῶν Ῥωμαίων στρατηγὸς D τοὺς ἐλθόντας εἰς αὐτὸν πρέσβεις ἀπὸ Βρετανίας ἕνεκεν φιλίας καὶ ἀγάπης, καὶ πολλοὺς χρυσοῦ κομίσαντας θησαυροὺς, ἐκείνους μὲν ἡδέως καὶ μετ' εὐφροσύνης ἐδέξατο, καὶ τὴν φιλίαν ἣν ἐζήτουν ἀποδεξάμενος ἔστερξε· τὸν δὲ χρυσὸν ἀπεπέμψατο [εἰπὼν] ὡς οἱ δοῦλοι μέν εἰσιν ὠνητοὶ, οἱ δὲ φίλοι αἱρετοί. Τοσοῦτον δὲ καὶ οὗτος καταφρονητὴς ἐγένετο τῶν χρημάτων· διὰ τοῦτο καὶ πανταχοῦ σχεδὸν τῆς οἰκουμένης γέγονε περιώνυμος. Ὅσα δὲ ἀμφότεροι οὗτοι οἱ στρατηγοὶ ὅ τε Κῦρος καὶ ὁ Ἐπαμινώνδας

(24) Lege Diodori ac Polybii Vaticana excerpta, p. 73, 129.

(25) Ita diserte testatur Diodorus Siculus ed. Wessel. tom. II, pag. 553. Confer Cic. *De rep.* I, 28.

(26) Ex Herodoto III, 89.

OCR ABK / FR

A τοιοῦτοι φανέντες τὴν ἀρετὴν καὶ τὴν σύνεσιν κατώρθωσαν μεγαλοπρεπῶς, λεγέτωσαν ἄλλοι, ὅσοι τὰς περὶ αὐτῶν ἱστορικὰς βίβλους ἀνέγνωσαν· Ἀλεξάνδρου γὰρ καὶ Κύρου καὶ Ἐπαμινώνδου κατορθώματα μεγάλου πυρσοῦ φαίνει λαμπρότερον· καὶ μόνοις εἰσὶν ἄγνωστα τοῖς ῥαθύμως καὶ ἀμελῶς ἔχουσι περὶ τὰ καλά· καὶ οὐδέποτε συντελεσθήσονται ταῦτα, μέχρις ἂν ὁ ἥλιος περιαυγάζῃ τὴν γῆν· καὶ εἰς οἷον δὲ ἕτερον τὰ τρία ταῦτα συνέλθωσι, τό τε σωφρονικὸν, τὸ πρᾶον, καὶ τὸ φιλότιμον, ἐκεῖ πάντως ἀκολουθοῦσι τὰ ἀνδραγαθήματα καὶ ἡ δόξα· σωφροσύνη μὲν γὰρ ἀνδρίας ἐστὶ παίδευμα καὶ μελέτημα, προξενοῦν τροποῦσθαι τοὺς πολεμίους τε καὶ ἐχθρούς· πραότης δὲ καὶ τὸ ἀνεξίκακον γυμνάσιόν ἐστι μεγαλοψυχίας τε καὶ ὑπομονῆς, καὶ ἄντικρυς πρόξενος τοῦ παρὰ πάντων στέργεσθαι καὶ B φιλεῖσθαι· τὸ δέ γε φιλότιμον καὶ εὐεργετικὸν καὶ τοὺς συμμάχους καὶ φίλους ἐνδυναμοῖ, καὶ τοὺς αὐχένας τῶν ἐχθρῶν καταστρέφει· καὶ τὸ οἰκεῖον κατισχυρωμένον ποιεῖ, καὶ τὸ ἀλλότριον καὶ ξένον δουλοῖ, καὶ ἀνοίγει πᾶν στόμα, καὶ πᾶσαν γλῶσσαν διερεθίζει πρὸς ἔπαινον· ὥστε τὰ τρία ταῦτα τὰ προτεθέντα, ἐν συντόμῳ εἰπεῖν, νίκης καὶ λαμπρᾶς δόξης εἰσὶ πρόξενα τῷ τούτοις κεκοσμημένῳ. Μῦθός ἐστι τῶν Ἑλλήνων, ὅτι δὴ μῆλα χρυσᾶ ὁ Ἡρακλῆς ἀφελόμενος ἀπὸ τῶν θυγατέρων τοῦ Ἄτλαντος Ἑσπερίδων, ὅτε ἀπέκτεινε καὶ τὸν ποικιλόμορφον καὶ ἑκατοντακέφαλον δράκοντα· δοκεῖ γοῦν ἀπὸ ἀλληγορίας, ὅτι μῆλα μὲν λέγονται διὰ τὴν νίκην (27), χρυσᾶ δὲ διὰ τὴν δόξαν· ὁ γοῦν τὰ τρία ταῦτα μισήσας, ἤγουν ἡδονὴν, ὀργὴν καὶ χρημάτων ἔρωτα, C εἰς ἃ ὡς ἐπὶ πολὺ περιπίπτουσιν οἱ ἄνθρωποι, ἔχοντες ἐπὶ τούτοις, ὡς Ἄτλαντα, τὸν ἀνένδοτον λογισμὸν, οὗτος ὁ ταῦτα νενικηκὼς, τέλειός ἐστι καὶ ἀξιοθαύμαστος, προλαμβάνων ἐν τῇ νεότητι τὰ ἐν γήρᾳ πρέποντα κατορθώματα, καὶ τὸ τῆς ἀμελούσης ψυχῆς θηρίον μετὰ σπουδῆς καταβάλλων, καὶ ῥᾳθύμως διακειμένης περὶ τὰς λογικὰς κατὰ φύσιν ὁρμὰς, αἵτινες τὰς παρὰ φύσιν καὶ ἀλόγους κινήσεις καταβάλλουσι· πρὸς γὰρ τὸ ἰσχυρόν τε καὶ ὑψηλὸν τοῦ ἡγεμονικοῦ δειλιᾷ καὶ νεκροῦται τὸ ἀπηλλοτριωμένον καὶ παρὰ φύσιν· καὶ πάσχει πλέον ἢ αἴλουρος ὠρυομένου λέοντος· ὥσπερ πάλιν ἐκ τοῦ ἐναντίου ἀπὸ τοῦ ῥᾳθυμεῖν καὶ ἀμελεῖν, καὶ ἀγαπᾷν ὕπνους πλέον τοῦ δέοντος, ἰσχυροποιοῦνται τὰ πάθη καὶ θράσος λαμβάνουσι· καὶ παραλαβόντα τοῦτον ὡς αἰχμάλωτον τὰ τοιαῦτα πάθη, ἀποτυφλοῦσιν ὥσπερ ἡ Δαλιδὰ τὸν ἀνδρικώτατον ἐκεῖνον Σαμψὼν, τὰς ἐπὶ τῆς κεφαλῆς τρίχας ἐκκόψασα· καὶ γίνεται εἰς ἐμπαιγμὸν καὶ τυφλὸς καὶ ἀναίσθητος.

D ζʹ. Ἔστιν ὅτε καὶ ὑπὸ ματαίας ἐπάρσεως δόξαν τὴν αἰσχύνην ἡγούμενος· ἂν δὲ καὶ κόλακες αὐτὸν οἱ κατάρατοι καὶ ἐπίτριπτοι καὶ φθορεῖς πλησιάζοντες κολακεύωσι, καὶ τὰ πρὸς χάριν καὶ ἡδονὴν λέγωσιν, ὡς γνησίους τούτους φίλους ἀσπάζεται, μὴ δυνάμενος διακρίνειν ὅσην ἔχουσι τὴν διαφορὰν φίλοι καὶ κόλακες· οἱ μὲν διὰ παντὸς, ἤγουν οἱ κόλακες, ἐπιχειροῦσι τὰ πρὸς ἡδονὴν λέγειν, καὶ βλάβης εἰσὶ πρόξενοι· φίλοι δὲ πρὸς τὸ λυσιτελὲς καὶ ὠφέλιμον βλέπουσιν, εἰ καὶ πρὸς τὴν αἴσθησιν οἱ τούτων λόγοι φαίνονται λυπηροί· οἱ μὲν γὰρ πρὸς μόνον σπουδάζουσι τὸ λαμβάνειν, οἱ δὲ ὑπὲρ τῆς ὠφελείας

enim res ejusmodi, quarum fama nunquam conticescet, quandiu Phœbi radius tellurem collustrabit. Profecto ubicunque tres hæ virtutes convenerint, temperantia, mansuetudo et liberalitas, ibi præclara facinora gloriamque exsistere necesse est. Etenim temperantia, fortitudinis magisterium est atque exercitatio, eaque vires suppeditat ad privatos publicosque hostes vincendos. Mansuetudo ac patientia magnitudinem animi constantiamque nos docet, et universalem nobis conciliat benevolentiam atque amicitiam. Denique liberalitas et beneficentia socios nobis amicosque arctius devincit, et inimicorum fastum humilificat propria firmat, aliena atque externa perdomat : omnium ora resolvit, linguasque ad præconium excitat. Ut verba ad compendium conferam, tribus his virtutibus ornatus homo splendidam gloriam victoriamque referet. Græcorum fabulæ narrant, Herculem aurea mala abstulisse Hesperidum Atlantis filiarum, postquam draconem multiformem centicipitemque interfecit. Videntur autem dici per allegoriam mala quidem propter victoriam, aurea vero propter gloriam. Qui tria hæc igitur vitia devicerit, voluptatem, iram, avaritiam, in quæ plerumque homines incurrunt, ibique atlantica veluti firmitate hærent ; talis, inquam, viator, et perfectus vir est admirabilis ; atque adhuc juvenis digna senilibus annis facinora perpetrat : idemque pigri animi monstrum impigre perimit ; pigri inquam, animi ad rationales dignosque natura sua actus, quibus alieni a ratione naturaque motus cohibendi sunt. Nam coram forti excelsaque mentis potentia formidare solet atque torpere quidquid spurium præterque naturam est : graviusque timet, quam leone rugiente feles. Secus autem ex ignavia, incuria, somnique superflui studio, corroborantur vitia atque audaciam sumunt, moxque hominem irretitum excæcant ; ceu fortissimum illum Sampsonem Dalida, postquam ei caput capillis nudaverat : denique oculis sensuque orbatus, ludibrio habetur.

VI. *Rex caveat ab inani gloria.* — Aliquando vero contingit, ut inani elatione abreptus rex, gloriam esse existimet quæ reapse ignominia est : nempe cum eum maledicti et scelesti exitiosique adulatores circumstant, qui ad gratiam voluptatemque aurium loquuntur ; atque hos ille ceu fideles amicos amplectitur, neque potis est discernere quantopere ab amico differat adsentator. Hoc ergo hominum genus blanda semper verba connectit, perniciemque propinat. At amici ad regis utilitatem juvamenque spectant, etiamsi forte oratio eorum molesta videatur. Adsentatores habendo inhiant ;

(27) Poeta nobilis ait : *E come quel fantin che corre al pome.* Non ergo est aqud poetam *pome* pro Gallico *paume* (*la palma*), ut quidam ingeniosus amicus meus arbitrabatur.

OCR ABK / FR

amici vitam quoque suam pro rege prodigere non recusant. Denique adsentatores corvis pejores sunt; hi enim corporum oculos effodiunt; illi animam excæcant. Ast amicus amici tanquam altera persona est. Nonnulli igitur sæpenumero levitate quadam elati hoc morbo urgentur, atque a palponibus mancipiorum instar circumaguntur: nonnulli etiam ob insaniam mentis atque superbiam. Aiunt Hipponoum Corinthium qui, præter victorias ceteras, de Amazonibus quoque triumphaverat, cum inani fastu tumidus, Pegaso conscenso, per aerem quoque ferri voluit, lacrymabili ex ea celsitate casu ruisse: quo excæcatus, errabat incertis gressibus, ne viæ quidem ducem habens. Similiter humana quoque mens, etiamsi adversus voluptatem gloriabunda decertans primo vicerit, flammamque harum extinxerit, tum etiam iracundiam profligaverit, et avaritiæ pondus a se depulerit, egregiis triumphis partis propterea quod res omnes humiles proculcaverit; si, inquam, homo elationem suam hactenus non stiterit, sed sublimius adhuc evehi voluerit, neglectaque officiorum cura, prudentium quoque admonitorum consilia respuerit, non solum lapsu improviso corruet, verum instar carentis lumine errabit, nullo honestatis sensu retento, turbine veluti ventorum atque fluctuum in intemperantiæ petulantiæque mare submersus. Nam quia superbus, fuit quia mediocritatis oblitus, idcirco vim animi volatilem, fabulosi instar Icari, amisit. Mitto Lycaonidas, qui ob vanum tumorum suum fulminibus cum duce proprio deflagraverunt, qui ipsis potissimum antesignanus superbiæ fuerat. Præterea illum Salmoneum, qui eo vesaniæ prorupit, ut tonitrua quoque bovinis pellibus imitaretur: cujus superbiæ causa cum nova urbe sua ejusdemque incolis deletus est. Sileo denique fabulosos illos Haloadas, eorumque humi lapsum, postquam celso quodam connisi fuerant Pelio monte conscenso cœlum adpetere. Expedit igitur tumidas elatasque cogitationes animo expellere, quæ casus atque ruinæ ministræ sunt; sectari autem atque omni studio complecti modestiam, quæ parens firmitatis est. Ergo opus est inhonestas animi perturbationes bello persequi atque amputare. Atque ut ille inclytus Perseus, accepta a Mercurio falce, tria Gorgonis capita abstulit, nullum ipse detrimentum ab ea passus; ita oportet regem rationis ope fretum primos suborientum cupiditatum motus animo deliberato præcidere? tum etiam humilitate ac modestia diversorum vitiorum capita amburere, velut ille Hercules fabulosæ hydræ capita amputavit. Regem quippe thronus decst flammeus simul et igneus,

A τοῦ φίλου ἕτοιμοι δοῦναι καὶ αὐτὴν τὴν ψυχήν· καὶ ὅτι κόλακες μὲν, καὶ τῶν κοράκων εἰσὶ χείρονες; ὥσπερ ἐκεῖνοι τῶν σωμάτων τοὺς ὀφθαλμοὺς (28), οὕτω καὶ οὗτοι τὴν ψυχὴν ἐκτυφλοῦντες· φίλοι δὲ ἀντὶ ἄλλων εἰσὶν ἑαυτῶν· πολλάκις μὲν γὰρ ὑπὸ χαυνότητος πάσχουσι τοῦτό τινες, καὶ ἄγονται ὡς ἀνδράποδα ὑπὸ τῶν κολάκων· πολλάκις δὲ καὶ ἐξ ἀπονοίας τε καὶ ἐπάρσεως· λέγουσι γὰρ καὶ Ἱππόνουν τὸν Κορίνθιον (29), πολλὰς καὶ ἄλλας νίκας νικήσαντα, καὶ αὐτὰς Ἀμαζόνας κατατροπωσάμενον, ἐπεὶ ἐξ ἐπάρσεως ἐβουλήθη καὶ εἰς αὐτὸν τὸν αἰθέρα διὰ τοῦ Πηγάσου ἵππου δραμεῖν, πεσεῖν πτῶμα δακρύων ἄξιον· τοὺς ὀφθαλμοὺς γὰρ ἐκτυφλωθεὶς, περιεπάτει πλανώμενος, μηδὲ χειραγωγὸν ἔχων τὸν ὁδηγοῦντα. Ὁμοίως καὶ ὁ ἀνθρώπινος λογισμὸς, εἰ καὶ μετὰ τῶν ἡδονῶν ἀλαζονευσάμενος

B νικήσει πρότερον, κατασβέσει τε τὴν αὐτῶν φλόγα, καὶ τὸν θυμὸν πατάξει, καὶ τὸ τῆς φιλοχρηματίας βάρος ἀποῤῥίψει, κατορθώσας νίκην ἀρίστην, ὅτι πάσας χαμαιζήλους πράξεις ὑπερανέβη, ἐὰν μὴ μέχρι τούτου στήσῃ τὸ ὑπεροπτικὸν, ἀλλ' ἤδη καὶ εἰς τὰ ὑψηλότερα κατεπαρθῇ, ἀμελήσας τοῦ φροντίζειν τοῦ δέοντος, καὶ τοῦ τὰς τῶν φρονίμων ἀνθρώπων δέχεσθαι συμβουλὰς, οὐ μόνον πτῶμα πίπτει παράδοξον, ἀλλ' ὥσπερ τυφλὸς περιπλανᾶται, μηδενὸς καλοῦ αἰσθανόμενος· καθάπερ ὑπὸ ταραχῆς πνευμάτων καὶ κυμάτων τῷ τῆς ἀκολασίας καὶ ἀδιαφορίας πελάγει καταποντιζόμενος, ἐκ τοῦ ἐπαρθῆναι καὶ πλέον φρονῆται τοῦ δέοντος, τὸ ὀξύπτερον τῆς ψυχῆς ἀπολέσας, ὥσπερ ὁ μυθευόμενος Ἴκαρος· ἐῶ γὰρ λέγειν τοὺς Λυκαονίδας, οἳ διὰ τὸν μάταιον τῦφον αὐ-

C τῶν κεραυνοῦ γεγόνασι παρανάλωμα μετὰ καὶ τοῦ στρατηγοῦ αὐτῶν, ὃς ἐπὶ μᾶλλον καὶ τῆς ἀπονοίας αὐτῆς ἐτύγχανε στρατηγός (30). Ἀφίημι δὲ τὸν Σαλμωνέα (31) ἐκεῖνον, ὃς εἰς τοσοῦτον ἦλθεν ἀπονοίας, ὅτι καὶ βροντὰς ἠθέλησε ποιεῖν ἐκ βοείων δερμάτων (32)· καὶ διὰ τὴν τοιαύτην ἔπαρσιν ἐκείνου ἀφανισθέντα σὺν τῇ καινῇ πόλει καὶ τοῖς ταύτης οἰκήτορσι· τούς τε μυθευομένους Ἀλωάδας ἐκείνους (33), καὶ ἣν ἔπεσον ἐν γῇ πτῶσιν, ἐπεὶ θρασυνθέντες διά τινος ὑψηλοῦ ὄρους Πηλίου λεγομένου εἰς οὐρανὸν ἐπεχείρησαν ἀναβαίνειν· διὰ τοῦτο πρέπον ἐστὶν ἐξορίζειν ἀπὸ ψυχῆς τὸ ἐπηρμένον καὶ μετέωρον φρόνημα, ἐπειδὴ καταπτώσεως καὶ καταβολῆς ἐστι πρόξενον· ἀγαπᾷν δὲ καὶ ζητεῖν ἐκ παντὸς τρόπου τὸ μέτριον καὶ στηριγμοῦ πρόξενον.

D Ἄξιον οὖν μάχεσθαι καὶ ἐκτέμνειν τὰ αἰσχρὰ πάθη· καὶ ὥσπερ ὁ ἔνδοξος ἐκεῖνος Περσεὺς παρὰ Ἑρμοῦ δρέπανον λαβὼν ἐξέτεμε τῆς Γοργόνης τρεῖς κεφαλὰς, πᾶσαν ἐξ ἐκείνης βλάβην ἀποφυγὼν, οὕτω χρὴ καὶ τὸν βασιλέα διὰ τοῦ λόγου τὰς ὑποβαλλούσας τὰ πάθη πρώτας κινήσεις ἐκκόπτειν τῇ τῆς ψυχῆς διακρίσει· οὐ μὴν δὲ ἀλλὰ καὶ τῷ τῆς ἀτυφίας καὶ

(28) Notum est antiquorum proverbium *cornicum oculos configere*, cujus egregiam interpretationem habes apud classicum interpretem a me Romæ editum ad Ciceronis orationem *pro Flacco* xx. 2.

(29) De Hippono tragœdiam scripserat Sophocles, teste non semel Hesychio, Polluce, iv, 5, et Stephano voc Ὤλενος.

(30) Apollodorus Bibl. III. 8.

(31) Cod. στρατηγὸν pro Σαλμωνέα, vel inutili varietate, vel manifesto mendo, quod coarguitur a genuino Nicephori textu.

(32) Appollodorus Bibl. I, 9

(33) Idem I, 7.

OCR ABK / FR

ταπεινώσεως περὶ τὰς κεφαλὰς τῶν ποικίλων παθῶν καταφλέγειν, ὥσπερ ὁ Ἡρακλῆς τὰς τῆς μυθευομένης ἐκείνης ὕδρας ἀπέκοπτε κεφαλάς· τοιοῦτος θρόνος πρέπει τῷ βασιλεῖ φλογώδης ὁμοῦ τε καὶ πύρινος, κατακαίων μὲν τοὺς ἐναντίους ἐχθρούς· τὸν δ' ἐπ' αὐτοῦ τοῦ θρόνου καθεζόμενον βασιλέα οὐ μόνον οὐ καταβλάπτων, ἀλλὰ καὶ πρὸς ὕψος ἀναβιβάζων οὐράνιον, καὶ καταφανῆ καὶ λαμπρὸν καὶ περίδοξον, καὶ διάδηλον ἕως αὐτῶν τῶν τῆς οἰκουμένης περάτων ἀπεργαζόμενος· ὥστε καὶ τὴν προφητικὴν μεγαληγορίαν ἐφαρμόζεσθαι τούτῳ, λέγουσαν (34)· « Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ. » Πᾶς ἄνθρωπος βλέπων χαρᾶς πληροῦται ὁμοῦ καὶ ἐκπλήξεως. Τί χρὴ πολλὰ λέγειν; Βασιλεὺς μετὰ τῶν ἄλλων καλῶν καὶ ταπεινόφρων γενόμενος, αὐτοῦ τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν ἐστι μιμητής· ὃς κλίνας τοὺς οὐρανούς, διὰ τὴν κοινὴν ἡμῶν σωτηρίαν τοῦ τῶν ἀνθρώπων γένους, καταβέβηκεν εἰς ἡμᾶς καὶ δούλου μορφὴν ἀνεδέξατο· ὃς ἀνῆλθε μετὰ σώματος πάλιν εἰς οὐρανοὺς ὑπερκοσμίως, αὐτῷ τῶν οὐρανίων πυλῶν διανοιχθεισῶν. Ὁ γοῦν κεκοσμημένος ὑπὸ Χριστοῦ βασιλεὺς καὶ διὰ τοῦτο θεοειδέστατος, ἐν οἷς μὲν τὸ ἀλλότριον ἀποδιώκει καὶ πάντη ἀνοίκειον αὐτῷ αἶσχος, μεγάλην ἔχει τὴν εὐφροσύνην· ἐν οἷς δὲ τὸ βασιλικὸν ἐνδείκνυται κάλλος, χαρᾶς πληροῦται καὶ ἡδονῆς. Γινώσκω τοῦτο ἐγὼ ἀκριβῶς ἐξ αὐτῆς τῆς πείρας καὶ τῶν πραγμάτων. Οὕτω δ' ἔχων ὁ βασιλεύς, κανών ἐστι καὶ ὑπόδειγμα παντὸς ἀγαθοῦ, καὶ διαλάμπει φαιδρότερον τοῦ περιᾳδομένου Πολυκλείτου (35) ἐκείνου· καὶ κατὰ δύο τρόπους εὐφραίνεται, ἔν τε τῷ μετὰ σπουδῆς τὰ καλὰ διαπράττεσθαι, καὶ τὰ ἐναντία τούτοις μισεῖν καὶ ἀποδιώκειν ὡς ἀνοίκεια τούτῳ.

Ζ'. Δεῖ δὲ πρὸς τούτοις τὸν βασιλέα καὶ σπουδαῖον εἶναι· οὐδὲν γὰρ ἄλλο οἶδεν εὐφραίνειν αὐτὸν ὡς τὸ ἐξ ἱδρώτων καὶ πόνων νίκας καὶ ἀριστείας ποιεῖν, καὶ τὴν ἰδίαν ἐπαυξάνειν ἀρχήν· ἔσται δὲ πάντως τοιοῦτος, εἴπερ ἐστὶ καὶ καρτερικός, καὶ προσδέχεται τοὺς ἐξ εὐνοίας ὑπομιμνήσκοντας αὐτόν τινος ἐλαττώματος· ἐπεὶ καὶ τῶν φαρμάκων καὶ βοηθημάτων τὰ καθαρτήρια ἐπαχθῆ μὲν δοκοῦσι καὶ λυπηρὰ πρὸς τὰ σώματα· τὴν δέ γε μοχθηρὰν προσλαμβάνοντα ὕλην, ὑγείαν προξενοῦσι τοῖς σώμασιν· τοῖς μὲν ἀπὸ νόσου βοηθοῦσιν ἀντίδοτοι καὶ καθάρσια, ἐὰν μόνον παρασκευαζομένους τοὺς ἰατροὺς παραδέχωνται· τῷ δὲ κατὰ ψυχὴν ὑγιαίνειν ἐθέλοντι ἀντὶ τρυφῆς πάσης καὶ ἡδυσμάτων εἰσὶν αἱ καλαὶ παραινέσεις καὶ συμβουλαὶ ἀπὸ ἱστορίας· ὧν ἄνευ οὐδὲ τὸ ζῆν ἡγεῖται καλόν· νοερὸς γὰρ ὅλος ὑπάρχων, εἰκότως ὀφείλει σπουδάζειν καὶ τὸν ἡγεμόνα νοῦν συνιστᾶν. Ὁ δὲ λόγος ἐπικοσμείτω τὸν βασιλέα πρὸς τὸ κοινὸν προκεῖσθαι τοῖς πᾶσιν ὑπόδειγμα. Ἔστω δὲ αὐτῷ καὶ κόσμος εὐπρεπέστατος ἡ ἀλήθεια· ταύτῃ γὰρ λαμπρυνόμενος ὁ ὑψηλότατος βασιλεύς, πάλιν ἐπιφανὴς γενήσεται καὶ περίβλεπτος· πάντας γὰρ ἐφέλκεται καὶ ἐπισπᾶται πρὸς ἑαυτόν, οἷον ἡ μαγνῆτις, διὰ τῆς ἀληθείας ἅπαντας ἐπισπώμενος. Εἰ δ' ἴσως ἕτοιμός ἐστιν εἰς τὸ ψεύ-

A qui hostes quidem amburat, sedentem autem in ipso regem non solum haud lædat, verum etiam ad astra sublevet; thronus, inquam, coruscus, splendidus, illustris, qui regem ad extremos usque orbis fines fama clarificet: ita ut prophetæ quoque sublime effatum huic conveniat, quod ait: *Apparuerunt fulgura tua orbi terrarum*; omnis homo videns, gaudio simul ac stupore completur. Quid plura? Rex, si ad cæteras virtutes modestiam quoque adjecerit, Christi ipsius veri nostri Dei imitator fit; qui cœlos inclinans, propter communem humani generis salutem, servili forma circumdatus ad nos descendit; qui cum corpore cœlos denuo sublimiter repetiit, supernis illi patentibus januis. Rex igitur qui dignitatem a Christo accepit,
B ideoque summe venerandus est, quatenus quidem turpitudinem vitat quæ ab ejus persona maxime abhorret, ingenti hilaritate perfunditur; quatenus autem regium decus ostentat, maximam rursus percipit voluptatem. Hoc ego apprime compertum habeo experientia vitæ ac negotiorum. Rex, si ita se habeat, omnis honestatis regula exemplumque fit, celebratoque illo Polycleto splendidior coruscat, duplicique gaudio distenditur, tum quia honestatem studiose sectatur, tum quia vitium huic contrarium odit atque repellit.

C VII. *Rex sit actuosus et verax.* — Insuper oportet regem vitæ genus actuosum sectari: nihil enim eum magis delectabit, quam res egregias sudore proprio ac labore partas conficere, suumque imperium incrementis amplificare. Is autem hujusmodi futurus est, si patientiam non detrectabit, et si benevole audiet eos a quibus, si qua in re peccaverit, admonebitur. Nam pharmaca etiam et purgandorum viscerum adjumenta, videntur sane molesta corporibus et ingrata; eadem tamen materiam noxiam detrahunt, sanitatemque restituunt. Morbosis nimirum corporibus opitulantur antidota et purgationes, si certe medicis a quibus ministrantur, obtemperemus. Ast homini curandi animi sui studioso, præsto sunt, adversus omnes
D delicias atque illecebras, præclaræ admonitiones atque hortamenta historiarum, sine quibus ne vivere quidem præclarum videtur. Etenim homo cum sit totus intelligens, actuosus sit oportet, mentemque ducem se habere demonstret. Rationis igitur lumen regem ornet, ita ut cunctis exemplo luceat. Sit autem præcipuum ejus ornamentum veritas: hac enim fastigium regis collustratum si fuerit, vicissim ipse fit clarus atque conspicuus, mortalesque omnes ad se contrahit, ceu magnetis

(34) Psal. LXXVI, 19.

(35) Non intellexit Metaphrastes Πολυκλείτιον Nicephori; itaque pro opere Polycleti posuit ipsum Polycletum. Loquitur autem reapse auctor de signo statuarii Polycleti omnium præconiis celebrato; cui similem fore dicit regem virtute perfectum. Ego igitur Latine interpretans, Nicephori mentem sequi malui, quam Metaphrastæ.

OCR ABK / FR

quædam, veritatis cogente vi. Quod si forte rex a mendacio non abhorreat, seque hujus tenebris circumtegat, qui licet hunc gloria præditum dicere? Immo vero is exsecrabilis est atque invisus, et bonorum comparatione damnatur, seu solaribus coram radiis ingens nebula. Ergo falsitas procul esto, secuto veritatis ense præcisa; nullusque ei sit liber aditus, sed ad reorum carcerem relegetur. Triumphet veritas, et sponsionibus atque promissis anteat, tum etiam ad finem usque prosequatur. Nam si fidem liberare vel parum differas, id pœnitentiam animi exilitatemve demonstrat. Is autem hoc esse habitu mentis cognoscitur, qui non statim promissa facit, verum differt atque procrastinat, ceu philosophus ille Pyrrhon, qui propterea ephecticus, id est assensum sustinens, appellatus fuit. Qui vero promissorum omnino fidem fallit, is hinc satis demonstrat mentis suæ fundamentum prorsus esse putridum atque quassatum: quæ res regi apprime indecora est eodemque indigna. Nulla quippe eum necessitas cogit ad falso fraudulenterque loquendum. Qui enim id homini accidat, cui rerum potestas omnium arbitriumque commissum est? Nisi autem hic præ cæteris veritatem coluerit, quomodo fidem deinceps nanciscetur? Rursus quomodo subditi homines ad constantiam orationis erudientur? Immo invicem suspecti erunt princeps ac subditus, atque omnia perturbatione laborabunt, secundum Empedoclis opinionem, qui existimabat elementa omnia mundana fuisse permixta, priusquam ea dissociarent rixa et sympathia, et suo quodque elementum adfini adhæresceret; quæ eadem fere dogmata fuerunt Heracliti quoque et Democriti et Zenonis cognomento immoti, de copula rerum et de repugnantia. Igitur nullum convenientius regi ornamentum est quam veritas, et precum supplicum, quæ quidem justæ sunt, compendiosa exauditio nullis dilationibus prorogata. Non enim sinendum est ut supplices tristitia adficiantur, et diem de die prospectantes angantur, dum suas preces irritas cernunt. Id enim a regali providentia longe recedit.

VIII. *Rex milites exerceat.* — Age vero milites quoque ad exercitia excitandi sunt, ejusque rei regem oportet esse incentorem atque magistrum. Inexercitatus enim miles rudis est et laboris intolerans: omnis autem ars resque gerenda, meditatione et cura melior fit et bene constituitur; quare apte omnino, et secundum rei veritatem, consuetudo dicitur altera natura. Namque adsueti laboribus atque molestiis, etiamsi infirmi sint et senes, attamen validiores patientioresque videntur juvenilibus atque robustis, sed usu expertibus. Spectare id licet in tignariis fabris, in fossoribus, vinitoribus atque bajulis: hi enim quotidiana hæc opera,

A δεσθαι καὶ τῷ ἐντεῦθεν σκότει περικαλύπτεσθαι, πῶς ἂν ὁ τοιοῦτος ἔνδοξος ὀνομάζεσθαι δίκαιος; εἰ μὴ μᾶλλον στυγητὸς καὶ μεμισημένος, συγκρινόμενος τοῖς ἑτέρων καλοῖς καὶ ἀπελεγχόμενος, ὥσπερ μέγα νέφος ἀκτῖσιν ἡλιακαῖς. Τοιγαροῦν ἀποδιωκέσθω τὸ ψεῦδος μακρὰν ἀποκοπτόμενον τῷ τμητικωτάτῳ ξίφει τῆς ἀληθείας, μηδεμίαν ἔχον παῤῥησίαν, ἀλλ' εἰς τὸν τόπον τῶν καταδίκων ἀπελαυνόμενον. Ἡ δὲ ἀλήθεια παῤῥησιαζέσθω, καὶ ἐν ταῖς ἐπαγγελίαις καὶ ὑποσχέσεσι προφθανέτω, καὶ ἐπακολουθείτω τὸ τέλος· τὸ γὰρ καὶ ἐπ' ὀλίγον βραδύνειν καὶ μὴ τελειοῦν τὴν ὑπόσχεσιν, μεταμέλειαν καὶ φαυλίαν δηλοῖ. Τῆς δὲ γνώμης ταύτης παράστασις τὸ μὴ παραυτίκα πληροῦν τὰ ὑπεσχημένα, ἀλλ' ἐπέχειν καὶ ἀμφιβάλλειν, ὥσπερ ὁ φιλόσοφος ἐκεῖνος Πύῤῥων (36) ἐποίει, καὶ διὰ τοῦτο ὠνομάσθη
B ἐφεκτικός. Εἰ δὲ καὶ εἰς τέλος οἱ τῆς ὑποσχέσεως λόγοι ψευδεῖς ἀπελέγχονται, ἐκ τούτου ἀληθῶς δείκνυται, ὡς διασεσεισμένος ἐστὶ καὶ σαθρὸς τοῦ λογισμοῦ ὁ θεμέλιος. Τοῦτο δὲ ἀπρεπές ἐστι βασιλέως καὶ πάντῃ ἀνάξιον· οὐδὲ γὰρ ἀνάγκην ἔχει βιαζομένην, ὥστε ἀπατηλὰ καὶ ψευδῆ λέγειν· πῶς γάρ; ᾧ πολὺ τὸ κράτος καὶ κατὰ πάντων ἡ δύναμις· εἰ γὰρ μὴ πρὸ τῶν ἄλλων ἁπάντων οὗτος τιμᾷ τὴν ἀλήθειαν, πόθεν ἕξει τὸ ἀξιόπιστον; ἢ πόθεν τὸ ἀρχόμενον καὶ ὑπήκοον ἐκπαιδευθείη τὴν τῶν λόγων ἀσφάλειαν; ἔσονται γὰρ πρὸς ἀλλήλους ἐν ὑποψίᾳ ὅ τε ἄρχων καὶ ὁ ἀρχόμενος, καὶ συγχύσεως τὰ πάντα μέλλουσιν εἶναι μεστὰ, κατὰ τὴν τοῦ Ἐμπεδοκλέους δόξαν, ἧς ἐδόξαζεν, ὅτι τὰ ἐν κόσμῳ πάντα πράγματα ἦσαν ἐν συγχύσει καὶ ἀνα-
C μεμιγμένα, πρὸ τοῦ τὸ νεῖκος καὶ τὴν φιλίαν διαχωρίσαι αὐτὰ, καὶ ἕκαστον πρὸς τὸ οἰκεῖον καὶ συγγενὲς καταστῆσαι· ἀλλὰ δὴ καὶ κατὰ τὰ δόγματα τοῦ τε Ἡρακλείτου καὶ Δημοκρίτου, καὶ Ζήνωνος τοῦ ἀκινήτου, περὶ μίξεως καὶ ἐναντουμένων ἀλλήλοις. Ἁρμοδιώτατος ἄρα καλλωπισμὸς ἡ ἀλήθεια τῷ βασιλεῖ, καὶ τὸ πρὸς τὰς εὐλόγους τῶν δεομένων αἰτήσεις ἀποπληρωτικὸν ἐν συντόμῳ καὶ μὴ ἐν ἀναβολαῖς τε καὶ ὑπερθέσεσιν. Οὐ χρὴ δὲ παραλιμπάνειν τοὺς ἱκετεύοντας ἀνιᾶσθαι καὶ ἐκπιέζεσθαι ἀπὸ τοῦ ἡμέραν ἐξ ἡμέρας παρατρέχειν, καὶ μὴ ἀποπληροῦν τὰς δεήσεις αὐτῶν· τοῦτο γὰρ πόῤῥω κηδεμονίας βασιλικῆς.

II. Χρὴ δὲ καὶ τοὺς στρατιώτας διεγείρειν πρὸς τὰ γυμνάσια, καὶ αὐτὸν εἶναι τὸν βασιλέα καὶ εἰς
D τοῦτο ἀλείπτην καὶ παιδευτήν· τὸ γὰρ ἀγύμναστον, ἀμαθές τε καὶ ἀκαρτέρητον· πᾶσα δὲ τέχνη καὶ πρᾶξις διὰ μελέτης καὶ ἐπιμελείας βελτιοῦται καὶ καλῶς συνίσταται, καὶ ἡρμοσμένως πάντως καὶ προσφυῶς ὡς ἄλλη φύσις ἡ συνήθεια ὀνομάζεται· καὶ γὰρ οἱ συνειθισμένοι τοῖς πόνοις καὶ ταῖς κακοπαθείαις, κἂν ἀσθενεῖς ὦσι καὶ γηραιοὶ, ἰσχυρότεροι καὶ καρτερικώτεροι φαίνονται τῶν νέων καὶ δυνατῶν, ἀσυνήθων δὲ ὄντων· καὶ δῆλον ἀπὸ τῶν διενεργούντων τὰς οἰκοδομὰς καὶ τὰς κτίσεις, καὶ ἀπὸ ἐργαζομένων τὴν γῆν σκαπανέων καὶ φυτηκό-

(36) Codd. Πύῤῥος.

OCR ABK / FR

μιον καὶ τῶν βασταζόντων ἐν τοῖς ὤμοις βάρη δυσβάστακτα· ὡς ἔργον γὰρ ἔχοντες τὰ τοιαῦτα, καὶ ὑπὸ τῆς μακρᾶς συνηθείας γεγυμνασμένοι, μετ' εὐκολίας ἐπιτηδεύουσι καὶ ἀνύουσι. Πρὸς ταῦτα δὲ οἱ καταπολὺ ἀνδρικώτατοι ἀδύνατοι καὶ ἀδόκιμοι φαίνονται· ὡσαύτως οἱ προεθίζοντες ἑαυτοὺς εἰς ἵππων ἐποχήσεις καὶ ὁπλοφορίας καὶ ξιφῶν καὶ δοράτων μεταχειρίσεις ἐν καιροῖς πολέμου φαίνονται χρήσιμοι, καὶ νικῶσι πολλοὺς δυνατωτέρους διὰ τὴν ἐκείνων ἀπειρίαν. Ἀγνοῶ δὲ καὶ κατὰ τί δοκεῖ λυσιτελὲς καὶ ὠφέλιμον τὸ καταγίνεσθαι εἰς παίγνια, καὶ μεταχειρίζεσθαι ποτὲ μὲν ἐν τῇ δεξιᾷ, ποτὲ δὲ ἐν τῇ ἀριστερᾷ ἐν τῷ μετεωρίζειν εἰς ὕψος διὰ τοῦ δίνου τὴν σφαῖραν, ὃ δὴ κοινῶς ὀνομάζεται τζυκάνιον (37). Ὁμοίως καὶ τὰ ἄλλα τῶν παιγνίων εἰς ἃ κεχήνασι πολλοὶ καὶ σπουδάζουσιν· οὐδὲν πάντως λυσιτελοῦσιν ἢ συμβάλλονται εἰς ἀντιπαρατάξεις πολεμικὰς καὶ μονομαχίας ἀνθρώπων ἰσχυρῶν καὶ μαχίμων· ἂν δέ τις εὐλογεῖν θέλῃ, καὶ λέγῃ ὅτι διὰ τῆς τοιαύτης γυμνασίας γίνονται οἱ ἄνθρωποι εὔστροφοι καὶ εὐκίνητοι, οὕτως ἂν ὁ μάγειρος καὶ τὸ χυτρίδιον διὰ τὸ ἀκίνητον ἀξιώσει μετακινεῖν τε καὶ στρέφειν, ἢ καὶ ἐπάνω ἀσκοῦ ἑνὶ ποδὶ ἅλλεσθαι καὶ πηδᾷν, καὶ τοιαῦτα ἕτερα ποιεῖν καταγνώσεως ἔργα, τῇ προφάσει τοῦ γενέσθαι εὐκίνητος. Ὁπότε δὲ κατανεύσει τις εἶναί τινα καὶ ἐκ τούτων ἴσως ὠφέλειαν, ἀλλ' ὡς εἴπομεν, καταπολύ ἐστι κάλλιον τὸ στρατιωτικῶς ἐγγυμνάζεσθαι, εἴ γε μετὰ τῆς εὐκινησίας κατεπέκεινα ἔχει καὶ ταῦτα. Οὐ δὲ τοῦτό ἐστιν ἐπαινετὸν καταπολὺ τὸ ἐν ἀμφοτέραις ταῖς χερσὶ λίθον ἔχοντά τινα περικλονεῖν τὸ ἴδιον σῶμα καὶ οὕτω πηδᾷν; Μᾶλλον μὲν οὖν ἐστι κάλλιον τὸ μεθ' ὅπλων τρέχειν τινὰ, ἢ καὶ πάλην ἀσκεῖν καὶ ἀκοντισμοὺς, τὸ βάρος τῶν ὅπλων εἰς πᾶσαν γυμνασίαν εἰ δυνατὸν περιφέροντα, καὶ μεγάλην δόξαν ἐκ τούτου κερδαίνοντα. Ἐκύκλωσάν ποτε βάρβαροι Ῥωμαίους· οἱ δὲ ἐκ πλαγίου ἐνέδραν καὶ λόχον ποιήσαντες, ἐξαίφνης τοὺς κυκλοῦντας ἐκύκλωσαν, καὶ διὰ δοράτων ἀπέκτειναν· ἦσαν γὰρ ἀκριβῶς πρότερον παιδευθέντες ἀκοντίζειν, καὶ μεθ' ὅπλων ἱππάζεσθαι καὶ ταχυδρομεῖν, καὶ πῶς χρὴ πολεμίους κυκλῶσαι, καὶ πῶς ὑπὸ τούτων κυκλωθέντας ἀποφυγεῖν· ἡ γὰρ μελέτη πᾶν πρᾶγμα βελτιοῖ καὶ αὐξάνει (38)· διὰ τοῦτο σφόδρα ἐστὶ καὶ ἀναγκαῖον προγυμνάζεσθαι εἰς πάντα τὰ συμβαλλόμενα κατὰ πόλεμον, καὶ μὴ ἐν τῷ καιρῷ τοῦ πολέμου ζητεῖν τὴν αὐτῶν ἐπιτήδευσιν (39).

A propter diuturnum usum, facile exercent: cum interim vel fortissimos alios ad ea ineptos videmus. Similiter quia equitando et gerendis armis et gladiis lanceisque tractandis semet exercuerunt, belli tempore utiles sunt, et fortioribus sed minus exercitatis prævalent. Nescio autem cur utilis videatur ludorum exercitatio, nempe cum modo dextra modo sinistra manu jacitur in sublime rotante turbine sphæra: idemque aio de aliis ludis quos multi valde mirantur et adpetuunt: siquidem hi nihil prosunt usibus bellicis neque conferunt ad pugnacium hominum dimicationes. Quod si moderate loquendum est, sane licet dicere homines hoc exercitio fieri agiles et expeditos. Sic enim etiam coquo, ne quietus degat, ollam circumagere B licet, super utre uno pede insistere vel saltare, atque alios hujusmodi ridendos motus actitare, dum agilitatis adquirendæ studium simulat. Sed fac esse aliquam horum fortasse ludorum utilitatem; nihilominus, ut diximus, multo honestius est militariter se exercere, quandoquidem præter agilitatem alios quoque fructus consequemur. Dicet aliquis: Nonne saltem laudabile est saxum utraque manu tenentem circumagere corpus et saltare? Atqui, aio, multo est præclarius armatum decurrere, et luctam vel jaculationem frequentare, armorumque pondus in omni, si fieri potest, exercitio gestare, atque hinc laudem insignem referre. Romanos olim circumdederant barbari; verum illi ex obliquo insidiis structis obsessores suos repente obsiderunt et lanceis confoderunt. Erant enim C antea ad jaculandum accurate exerciti, ad equitandum cum armis decurrendumque, ad circumveniendos hostes, ad effugium ex obsessione captandum. Quippe exercitatio meliora omnia facit et auget. Ergo magnopere necesse est cuncta quæ ad bellum pertinent exercitio præoccupare: non autem, instante bello, tum demum de iis cogitare.

Θ'. Εἰ δὲ καὶ τῆς κατὰ θάλασσαν εὐδοκιμήσεως ἐπιτυγχάνειν καιρὸς, οὐδὲ ταύτην χρὴ παραιτεῖσθαι· λίαν γάρ ἐστι χρήσιμος εἰς τὸ ναυμαχεῖν· ποιεῖ γὰρ τὸν ὁπλίτην ἑδραίως καὶ στηριγμένως ἵστασθαι ἐπὶ τῆς νηὸς ὥσπερ ἐπὶ πέτρας τινὸς, καθὼς ἱστοροῦσι τὸν Εὔφημον (40) ἐκεῖνον, μηδὲν δεινὸν ἀπὸ τοῦ τῆς θαλάσσης κλύδωνος ὑφιστάμενον· ὁ δὲ μὴ διὰ πείρας προπαιδευθεὶς ἐκ πρώτης προσβολῆς καταπίπτει, εἰ καὶ ἄλλως ῥωμαλέος ἐστὶ καὶ δυσκαταγώνιστος·

IX. *Rex scientiam maritimæ rei militaris haud negligat.* — Quod si opportunitas ferat maris quoque peritiam adipiscendi, ne hanc quidem negligere oportet; multum enim ea interest, siquando maritimo bello opus fuerit. Sic enim miles firmiter in navi constanterque veluti in petra stare con- D suescit (qualem narrant Euphemum illum), nihilque a maris fluctuatione patitur. Qui autem haud exercitio se præmuniverit, primo statim progressu

(37) Vocabulum hoc explicatur *ludus pilæ in equo* a Cangio, qui de eo dissertationem se instituisse affirmat. Citat autem Cangius hunc ipsum auctoris nostri locum ex ms.; sed incautius dicit esse vocabulum Blemmydæ; est enim paraphrastæ; Blemmyda autem in genuino scripto id non habet. Nimirum Cangius ignoravit, scriptum Blemmydæ a Galesiota fuisse interpolatum seu potius refectum.

(38) Est illud sapientis Periandri effatum Μελέτη τὸ πᾶν, *in exercitatione sunt omnia*.

(39) Legesis Ciceronem *De rep.* I, 6.

(40) Ab Euphemo Argo navem, defuncto Tiphy, fuisse gubernatam exploratum est.

OCR ABK / FR

labitur, quantumlibet robustus pugnaxque sit. Non enim potest maritimis hostibus resistere, dum navis fluctuat, dum ipse vomitu et vertigine quatitur, neque pedem firmiter figere potest. Laudo Athenienses veteres, qui vitam suam eloquentia, juris prudentia, bellis terrestribus ac maritimis, exercebant: siquidem eloquentia mentem linguamque erudiebant; jure justitiam condiscebant; [armis] libertatem tuebantur, victoriasque plurimas et trophæa gloriosa sibi comparabant. Nam primo quidem Darium Xerxis patrem turpiter fugere coegerunt, deletis apud Marathonem trecentis militum millibus, quos Datis atque Artaphernes ducebant; cum ipsi Athenienses haud plus novem mille numero essent, præter Platæensium mille auxiliares: imperatoribus nimirum Militiade et Stesilao, polemarchis autem Callimacho et Cynegyro. Iidem postea Athenienses, suppetias ferente universa Græcia, Xerxem quoque debellaverunt. Ergo is qui pridem sine modo superbiebat, elementa pervertebat, mare in tellurem, tellurem in mare, convertens; qui etiam mare sæviens virgis castigaverat; qui exercitum multitudine innumerabilem, meta castrorum tanquam modio quodam dimetiebatur: cujus equitatus fluvios exsiccabat, veluti in Phrygia Scamandrum, in Thessalia Peneum, in Attica Ilissum; qui denique solem multitudine sagittarum obscurabat; hic, inquam, magnus et immensus, vix una navi ex ostiis Strymonis fluvii evadens, saluti consuluit, ægre admodum nec sine terrore ingenti manibus Atheniensium elapsus. Tanta autem victoria patrata est, cum Græciæ universæ nonnisi naves ducentæ septuaginta et una ad Salaminam starent; ipse autem Xerxes bis mille et ducentas septem naves secum duceret. Deinde terra quoque infinitum bellatorum numerum amisit, partim acie, partim fame et frigore in fuga consumptorum: atque haud scio an vix aliqui Persidem reviserint. Has nimirum victorias, hæc trophæa referunt, qui se ad præclara opera exercitio diligentique meditatione comparaverunt. Eruditio enim trophæa confert et ornat.

X. *Rex ne sit cunctator, et captandæ occasioni invigilet.* — Cujusvis autem negotii caput est et robur, ne rex in prædictarum rerum apparatu cunctator sit aut occasionem prætervehi sinat: more illius Charinadæ, quem agendi socordia et ignavia celebrem reddidit. Immo vero ab apparatu non est desinendum, etiamsi nullum exspectetur bellum. Sic enim comparati militum animi, siquod improvisum exsistat bellum, patriæ utiles erunt, hostesque propulsabunt. Volucre tempus est; neque id quisquam a tergo persequens consequi po-

A οὐδὲ γὰρ ἂν δυνηθείη πρὸς τοὺς κατὰ θάλασσαν πολεμίους ἀντιμάχεσθαι, τῆς νηὸς σαλευομένης, αὐτὸς πρὸς ἐμέτους τρεπόμενος, καὶ ταρασσόμενος καὶ ἰλιγγιῶν, καὶ τὴν τῶν ποδῶν βάσιν ἔχων ἀστήρικτον. Ἐπαινῶ τοὺς Ἀθηναίους ἐκείνους, μερίσαντας τὸν ἑαυτῶν βίον εἰς λόγους καὶ νόμους, καὶ πεζομαχίας καὶ ναυμαχίας· ἐκ μὲν γὰρ τῆς τῶν λόγων μελέτης καὶ νοῦν καὶ γλῶσσαν ἐπαίδευσαν· ἐκ δὲ τῶν νόμων δικαιοσύνην ἐξήσκησαν, ἐλευθερίαν ἐφύλαξαν, καὶ νίκαις καὶ ἀριστείαις πολλαῖς ἐκοσμήθησάν τε καὶ ἐδοξάσθησαν; πρότερον μὲν γὰρ Δαρεῖον τὸν τοῦ πατέρα κατῄσχυναν, κατατροπωσάμενοι καὶ καταλύσαντες εἰς Μαραθῶνα τὰς τριάκοντα μυριάδας, ἃς Δάτις καὶ Ἀρταφέρνης οἱ στρατηγοὶ ἐπεφέροντο, Ξέρξου ἔχοντες στρατεύματα χιλιάδας ἐννέα, καὶ Πλαταιέων χιλίους συμμάχους· στρατηγούντων μὲν Μιλ-
B τιάδου τε καὶ Στησίλεω (41), πολεμαρχούντων δὲ Καλλιμάχου καὶ Κυναιγείρου· ὕστερον δὲ οἱ αὐτοὶ Ἀθηναῖοι, συμμαχούσης καὶ τῆς ἄλλης Ἑλλάδος, καὶ τὸν Ξέρξην κατηγωνίσαντο· καὶ ὁ πρὶν ἄμετρα κομπάζων, καὶ στοιχεῖα μετακινῶν, καὶ τὴν μὲν ξηρὰν ποιῶν θάλασσαν, τὴν δὲ θάλασσαν ξηρὰν, καὶ ἀγριουμένην μαστιγῶν, καὶ διὰ τὸ τοῦ στρατεύματος πλῆθος καὶ ἀριθμὸν σχεδὸν ὑπερβαῖνον ἀντὶ μοδίου τινὸς κάστρῳ χρώμενος πρὸς τὴν μέτρησιν, καὶ ποταμοὺς ἀποξηραίνων πινόντων τῶν ἵππων, ὡς ἐν Φρυγίᾳ μὲν τὸν Σκάμανδρον, ἐν Θετταλίᾳ δὲ τὸν Πηνειὸν, ἐν Ἀττικῇ δὲ τὸν Ἰλισσὸν, τὸν δὲ ἥλιον ἀποκρύπτων διὰ τῶν τοξευμάτων τῆς στρατιᾶς, ἐκεῖνος ὁ δοκῶν πολὺς εἶναι καὶ μέγας, μόλις ἐν μιᾷ νηῒ ἀπὸ τοῦ ποταμοῦ Στρυμόνος διεσώζετο, μετὰ
C πολλῆς ἀγωνίας καὶ φόβου τὰς Ἀθηναίων χεῖρας διαφυγών· καὶ ταῦτα τῶν πάντων Ἑλλήνων διακοσίας ἑβδομήκοντα καὶ μίαν νῆας ἐχόντων εἰς Σαλαμῖνα· ἐκεῖνος δισχιλίας διακοσίας ἑπτὰ ἐπαγόμενος νῆας κατεναυμαχήθη. Κατὰ δὲ τὴν ξηρὰν ὕστερον, πεντακοσίων (42) μυριάδων ἀνδρῶν μαχίμων διαφθαρεισῶν, τῶν μὲν πολέμῳ, τῶν δὲ ὑπὸ λιμοῦ καὶ κρύους ἐν τῷ φεύγειν ἐπιχειρεῖν, οὐκ οἶδα τίνες ὑπολειφθέντες τὴν Περσίδα κατέλαβον γῆν. Τοιαύτας ἀριστείας καὶ τρόπαια ποιοῦσιν οἱ τὰ καλὰ ἔργα προπαιδευόμενοι, καὶ τούτοις μετὰ σπουδῆς προεθίζοντες ἑαυτοὺς, τοῦ λόγου κοσμοῦντος καὶ διδόντος τὰ τρόπαια.

Ι'. Ὃ δὲ μέγιστόν ἐστιν ἔργον ἐν πάσαις πράξεσι καὶ ἀνυσιμώτατον, τὸ μὴ βραδύνειν τὸν καιρὸν ἐν τῇ
D παρασκευῇ τούτων· κατὰ τὸν Χαρινάδην (43) ἐκεῖνον, ὃς ἀμελῶς καὶ ῥᾳθύμως ἐν τῷ πράττειν διέκειτο· ἀλλὰ προευτρεπίζεσθαι καὶ μή τινος ἀνάγκης προσδοκωμένης πολέμου· ὡς ἂν προπαρεσκευασμένας τὰς ψυχὰς ἔχοντες, ἐὰν ἴσως καὶ ἀπροσδοκήτως ἐπέλθῃ τις πόλεμος, ὠφελήσωσι μὲν ἑαυτοὺς, τοὺς δὲ ἀντιμάχους κατατροπώσωνται· ὁ γὰρ χρόνος ταχύτατος, καὶ οὐδένα περιμένει τῶν ῥᾳθυμούντων, οὐδὲ δυνήσεταί τις φθάσαι αὐτὸν κατόπισθεν τρέχων·

(41) Stesilaus ergo unus erat e decem prætorum numero, qui Marathoniam pugnam rexerunt (Nep. *in Milt.* cap. 6). Nomen Stesilai Thrasylao geniti prodit etiam Herodotus VI, 114, eumque in dicta pugna occubuisse dicit.

(42) Scribe πεντήκοντα.

(43) Est hoc nomen tardissimi et socordis senis apud Aristophanem *Vesp.* v, 232, et *Pac.* 1155.

OCR ABK / FR

οὐδὲ ἐὰν παραπλήσιος ᾖ τὴν ταχύτητα τῶν τοῦ βορέου πτερωτῶν υἱῶν, ὡς οἱ Ἕλληνες μυθολογοῦσι τοῦ Ζῇ (44) τε καὶ τοῦ Κάλαϊ. Λέγουσί τινες ὅτι καὶ Λύσιππος ὁ ζωγράφος (45) ἐκεῖνος ὁ Σικυώνιος βουληθεὶς ζωγραφῆσαι καὶ ὡς ἐν παραδείγματι δεῖξαι ὁποίαν ἔχει τὴν φυγὴν ὁ χρόνος, ἐποίησε τοῦτον κωφὸν, ὀπισθοφάλακρον, πτερόποδα, καὶ ἐπάνω τοῦ τροχοῦ βεβηκότα, μάχαιραν διδόντα κάτωθεν ἱσταμένῳ τινί· κωφὸν μὲν, ὡς πρὸς τοὺς αὐτὸν φωνοῦντας μηδαμῶς αἰσθανόμενον· φαλακρὸν δὲ τὰ ὄπισθεν, ὡς ἀδυνάτου ὄντος ὄπισθεν διώκοντά τινα κρατῆσαι αὐτόν. Πῶς δέ τις αὐτὸν παραδραμόντα φθάσαι ἰσχύσειε πτερόποδα ὄντα καὶ ἐπὶ σφαίρας ἱστάμενον; διδόντα δὲ ξίφος, διότι οἱ μήτε δυνάμενοι τῆς κόμης κρατῆσαι, μήτε φθάσαι φεύγοντα, τιτρώσκονται τῷ βέλει τῆς λύπης ὡς τῆς ζημίας ἐπαισθανόμενοι. Ἀννίβας ὁ τῆς Σικελίας καὶ Ἀφρικῆς στρατηγὸς, τῶν Ῥωμαίων ποτὲ βουληθέντων ἐπιστρατεῦσαι κατὰ τῆς Σικελίας, προλαμβάνει τὴν ἔφοδον· καὶ τὰ δύσβατα τῶν ἀλπίων ὀρέων διακαθάρας, δι' αὐτῶν πρὸς Ἰταλίαν χωρεῖ· καὶ διαφόρως αὐτοὺς πολεμήσας, πολυτρόπως αὐτοὺς ἐκνικᾷ· τέλος δὲ πάλιν εἰς πολὺ πλῆθος συναχθεῖσιν ἐπιτεθεὶς εἰς Καλαβρίαν (46), παράδοξόν τινα ἐπάγει τὸν ὄλεθρον· λέγουσι γὰρ τοὺς χρυσοῦς δακτυλίους τῶν πεφονευμένων στρατιωτῶν μοδίῳ μετρῆσαί τε καὶ διαμερίσασθαι· τὰς δὲ γυναῖκας Ῥωμαίας διὰ τὴν τοιαύτην τῶν ἀνδρῶν σπάνιν ἀνδραπόδοις καὶ βαρβάροις συζεύγνυσθαι. Ἀλλ' ὁ τοσοῦτος νικητὴς, ἐκεῖνος Ἀννίβας, ἐπάρσει καὶ τρυφῇ καταχαυνωθεὶς, καὶ διὰ τοῦτο ἀμελήσας τέλος ἄριστον ἐπιθεῖναι ταῖς τοιαύταις πράξεσιν, ἕως ἐκπορθῆσαι τὴν Ῥώμην καὶ κατασκάψαι, ὕστερον ὑπὸ Σκηπίωνος τοῦ στρατηγοῦ Ῥωμαίων κατεδιώκετο, καὶ φεύγων τὴν Βιθυνίαν κατέλαβε, καὶ δηλητήριον φάρμακον πιὼν, πικρῶς ἀπώλεσε τὴν ζωήν· ὡσαύτως καὶ ἄλλως ἄλλοτε κατὰ διαφόρους καιροὺς ἀμελήσαντες τὰ ὅμοια ἔπαθον. Ἐπιμελητέον τοίνυν ἁρπάζειν τὸν ἁρμοδιώτατον ἐλθόντα καιρὸν, καὶ μὴ παραχωρεῖν αὐτὸν μὲν παρέρχεσθαι, εἰς τὸ μέλλον δὲ ἐλπίζειν ἀδήλως τῶν λυσιτελούντων ἐπιτυχεῖν, ἢ τὴν τύχην ἀναμένειν τὰ συντείνοντα ἐκτελέσαι· ἀλλὰ μὴ προπαιδευτικὴν ἐπιστήμην ἔχειν κατορθοῦσαν πάντα τὰ χρήσιμα. Καὶ κυβερνήτης γὰρ ἄριστος ἐκεῖνός ἐστιν ὃς ἐν εὐδίαις εὐθέτῳ καιρῷ καὶ γαλήνῃ σπουδάζει καὶ λογισμὸν ἔχει καὶ μέριμναν, εὐτρεπίζειν ἅπαντα τὰ πρὸς ἀπαρτισμὸν τῆς νηός· καὶ ἐπιμελεῖται ἵνα ἐπιτήδεια ὦσι τά τε πηδάλια καὶ ἄρμενα καὶ σχοινία· ὡς ἄν ποτε τρικυμίας καὶ κλύδωνος ἐπελθόντος, ἀβλαβῆ καὶ ἀκίνδυνον εἰς λιμένα διασώσῃ τὴν ναῦν. Ὁ δὲ τῶν ἀναγκαίων τῆς νηὸς χρειωδῶν ἀμελῶν, καὶ τὸν εὐδιεινὸν τῆς εὐπλοίας καιρὸν ὑπὸ ῥᾳθυμίας καταλιμπάνων, καὶ πρὸς τὸ ἔργον δυσκίνητος ὤν, καταποντιστὴς μᾶλλον ἢ κυβερνήτης δί-

A terit; nemo, inquam, ne si alatos quidem Boreæ filios, ut Græci fabulantur, Zetin et Calain pernicitate sua æmuletur. Aiunt Lysippum pictorem inclytum, dum Sicyoniis tempus ejusque celerem fugam exprimere vellet, repræsentasse illud surdum occipitio calvo, pedibus alatis, rotæ insidens, ensemque cuidam inferne adstanti porrigens. Surdum quidem, quia neminem a quo vocetur exaudit: retro calvum, quia nemo illud præteritum retinere potest. Quis enim cursum adæquet alipedis et prælerlapsi rotæque insistentis? Denique gladium porrigens, quandoquidem hi qui neque capillo retinere, neque cursu æquiparare potuerunt, mœroris telo figuntur, quia suum detrimentum sentiunt. Hannibal per Siciliam et Africam creatus imperator, B cum in Siciliam Romani expeditionem molirentur, transitum ipse anticipavit, viaque sibi per alpinos montes patefacta, in Italiam irrupit; Romanos diversis prœliis pulsatos fregit; novissime vero magnam illorum multitudinem denuo contractam incredibili clade in Calabria profligavit. Fertur enim Hannibal occisorum Romanorum aureos annulos modio metitus distribuisse: Romanas autem matronas fama est, penuria civium, servis et barbaris nupsisse. Sed enim tantus hic Hannibal superbia deliciisque inflatus, cum neglexisset præclarum terminum facinoribus suis imponere, ita ut Romam obsideret atque exscinderet, postea a Romanorum duce Scipione fugatus est: atque ita exsul in Bithyniam delatus, veneno epoto, amarum vitæ finem nactus est. Similiter alii aliter C diversis temporibus pari negligentia utentes pares adversitates experti sunt. Studiose igitur curandum est, ut opportunissimum quodque tempus captemus, neque id sinamus elabi, cæca spe lusi fore ut quod utile est nanciscamur, dum fortunam ipsam quæ nobis expediunt curaturam arbitramur, etiamsi nos ea minime scientia instructi simus, quæ quidquid frugi est operatur. Profecto ille optimus gubernator est, qui sereno tranquilloque tempore, studium omne, cogitationem, et curam collocat in apparandis quæcumque ad instruendam navem pertinent: quique consulit ut aptus sit malus, et vela, et funes, ita ut cum decumanus fluctus tempestasque surrexerit, navim incolumem in portum referat. Secus vero qui necessaria navis D instrumenta negligit, idoneumque prospere navigando serenum tempus socorditer omittit, neque ad laborem alacriter incumbit, is navifragus potius quam gubernator appellari debet. Quanquam enim e tempestate navis aliquando incolumis redeat, id fortunæ imputandum erit; nam per gubernatoris quidem incuriam non stetit, quominus ea fluctibus absorberetur. Pari ergo ratione ne du-

(44) Ita codd.

(45) Atqui Lysippum Sicyonium dicit statuarium Plinius lib. xxxiv, sect. 19. Consentit autem in oratione genuina Nicephorus qui nec pictorem vocat, immo statuarium se agnoscere demonstrat verbo ἠγαλμάτωσεν.

(46) Leviter errare videtur Nicephorus, geographiæ cæteroquin, de qua etiam scripsit, non ignarus, dum Calabriam dicit pro finitima Apulia, in qua provincia sunt

OCR ABK / FR

cem quidem imparatum esse oportet vel negligentem, sed bene potius eruditum, arte sua exactum, atque in omni sui muneris parte perfectum, celerem, navum; alis in summa, si fieri potest, instructum sive ad suorum tutelam et conservationem, sive ad hostes venandos præoccupandosque. Et sane is caveat ne similis sit inscitis medicis, qui congrua ægrotis pharmaca haud ante sibi comparant, sed necessitatis demum tempore ea requirunt; quæ tunc si forte haud nanciscuntur, mira dicunt et jactant, illico nimirum a se morbum pulsum iri, siquidem idonea pharmaca non desiderarent : atque interim plurimum de pharmacorum virtute blaterant. Nonnulli contra ex his medicis impotentiam suam naturæ imputant, atque ita nonnisi oneri ægrotantibus sunt. Si quis vero eos reprehendit, naturæ tantummodo se ministros esse aiunt, librorumque doctrinas conspuunt. Mitto quod hi sæpenumero naturæ ipsi adversantur, neque medici sunt, sed pestes et homicidæ. Imitandi sunt igitur docti potius prudentesque medici, qui, gnari quum volucre tempus sit, artem suam cum omni sedulitate expromunt, primis morbi motibus adversantes, ut quam ocissime valetudinis integritatem restituant.

A καιος ὀνομάζεσθαι· καὶ ἐὰν κλύδωνος ἐπιγενομένου ἡ ναῦς ἀπὸ τῶν κυμάτων ἀβλαβὴς διαφυλαχθείη, τοῦτο τῆς τύχης ἔργον εἴποι τις εἶναι· ὅσον γὰρ τὸ ἀπὸ τῆς ἀμελείας ἐκείνου πάντως ἂν ἡ ναῦς ἐκινδύνευσε καταποντισθεῖσα. Οὐ χρὴ τοίνυν οὐδὲ τὸν στρατηγὸν ἀπαρασκεύαστον εἶναι καὶ ἀμελῆ, ἀλλὰ κατηρτισμένον καὶ τέλειον εἶναι ἐν πᾶσι τοῖς ἔργοις τῆς ἀρχῆς, ἤγουν ταχὺν εἶναι, σπουδαῖον, πτερωτόν, εἰ δυνατόν, εἴς τε τὴν τῶν οἰκείων φυλακὴν καὶ συντήρησιν, εἴς τε τὴν τῶν ἐναντίων θήραν καὶ πρόσληψιν· καὶ μὴ ὅμοιον εἶναι τοῖς ἀμαθέσι τῶν ἰατρῶν, οἵτινες οὐ παρασκευάζουσιν ἔχειν τὰ τοῖς νοσοῦσι προσήκοντα φάρμακα, ἀλλὰ κατ' αὐτὸν τῆς ἀνάγκης καιρὸν ἐπιζητοῦσι πορίζεσθαι· καὶ μὴ δυνηθέντες εὑρεῖν, τερατολογοῦσι καὶ ἐγκαυχῶνται B ὡς εἴπερ εἶχον φάρμακα τὰ χρειώδη, ταχέως ἂν τὴν νόσον ἀπήλασαν, πλεῖστα περὶ τῆς τῶν φαρμάκων δυνάμεως φυσιολογοῦντες. Τινὲς δὲ τῶν τοιούτων ἰατρῶν τὴν ἑαυτῶν ἀδυναμίαν τῇ φύσει ἀνατιθέασι, φόρτος μόνον κενὸς τοῖς ἀρρώστοις φαινόμενοι· καὶ εἴ τις αὐτοῖς ὀφθείη μεμφόμενος, φύσεως μόνης ὑπουργοὶ λέγουσιν εἶναι, τὰς ἀπὸ τῶν βιβλίων ἐπιστήμας παραιτησάμενοι· ἐῶ γὰρ λέγειν, ὅτι πολλάκις καὶ αὐτῇ τῇ φύσει ἐναντιοῦνται. Θεραπευταὶ μὲν οὐκ ὄντες, βροτολοιγοὶ δὲ μάλιστα καὶ φθορεῖς. Ἀλλὰ μιμεῖσθαι τοὺς τῶν ἰατρῶν ἐπιστήμονας καὶ φρονίμους οἱ τὸν καιρὸν εἰδότες ὀξύτατον μετὰ πάσης ἵστανται τῆς σπουδῆς, τῇ πρώτῃ κινήσει τοῦ νοσήματος ἀνθιστάμενοι, ἵνα ὡς ἐν συντόμῳ τὸ τῆς ὑγείας καλὸν ἰασώσωσιν.

XI. *Rex dignos magistratus eligat.* — Age vero nihil magis a rege fieri necessarium est, quam judicum in universa ditione sua constitutionem; itemque in foris mercatoriis, curatorum; qui sane haud aveant humanis carnibus vesci (id quod Prometheo contingere fabulæ narrant, cui adfixo in Caucasi rupibus jecur depascitur aquila), sed qui apprime studiosi justitiæ sint, qui avaritiam et ipsi a se repellant et in aliis persequantur, qui tutam æquabilitatem conservent, neque pecuniæ per scelus colligendæ inhient, publicamque rem compilent, verum prudenti consilio jus ubique æquitatemque præ se ferant, atque a cæteris mortalibus longe differant. Neque tamen hi similes Corœbo vel Margitæ vel etiam Melitidæ sint, quorum primus in littore stans fluctus numerabat; ita tamen ut post tertium subsisteret, majorem numerum percensere nesciens. Alter dubitans rogabat uter parentum suorum se genuisset. Tertius denique uxoris consortium vitabat, haud cœlibatus puriorisque vitæ desiderans, sed a socru sua vapulare metuens, si forte uxorem attingeret. Quos omnes consilii expertes atque dementes fuisse nemo non videt. Rursus populorum judices ne sint astuti ac perversi, neque ad maleficia solertes : quales erant Cacus, Autolycus, et Eurybates, qui aliena armenta furantes ad suas caulas atque latebras aversis corporibus pertrahebant : ita ut qui pedum vestigia in latronum vestibulis obser-

ΙΑ'. Ὃ δὲ ἀναγκαιότατόν ἐστι τῷ βασιλεῖ πάντων μάλιστα τὸ εἰς ἅπασαν τὴν ὑπ' αὐτὸν ἀρχὴν δικαστὰς ἐγκαταστῆσαι· οὐ μὴν δὲ ἀλλὰ καὶ ἐν ἀγοραῖς ἐπιμελητάς, οὐκ ἀνθρωπίνας σάρκας ἐπιθυμοῦντας ἐσθίειν (καθὼς ὁ μῦθος λέγει τὸν Προμηθέα παθεῖν C ἐν τῷ ὄρει Καυκάσῳ προσηλωμένον, ἀετοῦ τὸ ἧπαρ αὐτοῦ κατεσθίοντος)· ἀλλὰ περὶ πλείστου ποιουμένους τὰ δίκαια, πλεονεξίας ἀπεχομένους, καὶ ἀπὸ τῶν ἄλλων ταύτην ἀποδιώκοντας, ἰσοτιμίαν οἰκονομοῦντας παῤῥησιάζεσθαι· οὐ πρὸς συλλογὴν χρημάτων παράνομον ἀποβλέποντας, καὶ λῃστρικῶς διακειμένους τῇ πολιτείᾳ, ἀλλὰ μετὰ λελογισμένης συνέσεως τὸ νόμιμον ἐπὶ πᾶσι καὶ διορθωτικὸν συνεισφέροντας, καὶ διαφέροντας τῶν ἄλλων πολλῇ τῇ περιουσίᾳ· μὴ παραπλησίους δὲ Κοροίβῳ, Μαργίτῃ τε, καὶ τῷ Μελιτίδῃ (47)· ὧν ὁ μὲν περὶ τοὺς αἰγιαλοὺς βαδίζων ἐμέτρει τὰ κύματα, καὶ μέχρι τριῶν προβαίνων, ἵστατο ἐπὶ πλέον μὴ δυνάμενος προχωρεῖν· ὁ δὲ διαπορῶν ἠρώτα, ὁπότερος τῶν γονέων αὐτὸν ἐγέννησεν· ὁ δ' ἕτερος οὐκ ἤθελγε D συμμιγῆναι τῇ αὐτοῦ γυναικί, οὐ παρθενίαν τιμῶν, οὐδὲ ἁγνεύειν βουλόμενος, ἀλλὰ λέγων φοβεῖσθαι μή ποτε κόλασιν εὕρῃ παρὰ τῆς πενθερᾶς αὐτοῦ χάριν τῆς συνουσίας· ἀφελεῖς ὄντες παντελῶς καὶ ἀνόητοι· μηδὲ πάλιν περιέργους καὶ κακοτρόπους καὶ ἐπινοητικοὺς εἰς τὸ πονηρεύεσθαι· ὁποῖοι ἦσαν ὅ τε Κάκκος, ὁ Αὐτόλυκος, καὶ ὁ Εὐρυβάτης (48), τὰ ἀλλότρια κλέπτοντες ζῶα, καὶ εἰς τὰς οἰκίας αὐτῶν ἀντιστρόφως εἰσάγοντες καταδύσεις καὶ μάνδρας·

(47) Priores duos memorat Polybius in *Vaticanis excerptis* p. 381, tertium Aristophanes *Ran.* v, 1022, et Lucianus in *Amoribus* haud procul fine.

(48) Sunt hi latrones in fabulis famosi.

OCR ABK / FR

A ὥστε τοὺς περιεργαζομένους τὰ τῶν ποδῶν αὐτῶν ἴχνη ἐν τῇ εἰσελεύσει τῆς καταδύσεως τῶν κλεπτῶν, ὑπολαμβάνειν ὅτι μᾶλλον ἐξῆλθον τὰ ζῶα· καὶ οὐ τοῦτο μόνον ἐποίουν, ἀλλὰ καὶ μετήμειβον ταῦτα, καὶ μετεχρωμάτιζον, καὶ παντοίαις μηχαναῖς τε καὶ τέχναις τοὺς ἔχοντας αὐτὰ παρεκρούοντο· καὶ τοὺς παρατηροῦντας λανθάνοντες διέφευγον, δίκην καπνοῦ κρημνοὺς διερχόμενοι, καὶ τοίχους ὑπερπηδῶντες, καὶ ποικίλως ἐναλλασσόμενοι· ὡς ὁ Νηρεὺς ἐκεῖνος, καὶ Περικλύμενος (49), καὶ Πρωτεὺς ὁ Αἰγύπτιος σοφιστής· ὃν λέγουσιν ἀπὸ Παλλήνης τῆς Θρακικῆς ὑποστρέψαι ποτὲ εἰς Αἴγυπτον· ἐν μυχοῖς καὶ χάσμασιν ἀδύτοις τε καὶ ἀγνώστοις· ἀλλὰ χρὴ ἐκλέγεσθαι πόλεων ἐπιστάτας καὶ δημαγωγούς, οἵτινες ὁμοίως καὶ ἀφέλειαν καὶ πονηρίαν ἐξέφυγον, καὶ φρονήσει καὶ δικαιοσύνῃ κεκόσμην-
B ται· τοιούτων γὰρ ὄντων αὐτῶν, τό τε πλῆθος εὔκοσμον ἔσται σὺν εὐταξίᾳ, καὶ ὁ βασιλεὺς ἕξει δόξαν καὶ κλέος τοιούτου βασιλεύων λαοῦ. Ἵνα δὲ καὶ πρὸς ἀρίστους ἄνδρας τὸν λόγον ἐπαναγάγωμεν, τοιούτους εἶναι δεῖ τοὺς στρατηγοὺς καὶ τοῦ λαοῦ διαιτητὰς καὶ ἐφόρους, οἷος ἦν ὁ Ἄραψ ἐκεῖνος Γουνεὺς Κέφαλος ὁ ἐξ Ἰταλῶν πολιτογραφηθεὶς εἰς Ἀθήνας, Ἀριστείδης τε καὶ Ἀριστοφῶν, συνήθεις ὄντες τῶν Ἀθηναίων· ὁ μὲν γὰρ Γουνεὺς ἐννομώτατος ὢν δικαστὴς καὶ πλεονεξίαν πᾶσαν μισῶν, καὶ τοὺς πλεονέκτας κολάζων, Βαβυλωνίων καὶ Φοινίκων στασιασάντων ποτὲ, ἥκει πρὸς αὐτοὺς κελευσάσης τῆς Σεμιράμιδος· ὁ δὲ καὶ μόνον ὀφθεὶς διαλύει τὴν στάσιν· καὶ πρὸς φιλίαν συνάπτει τὰ γένη, τῷ τρόπῳ καὶ τῇ ἀρετῇ αἰδῶ καὶ ἐντροπὴν
C ἐμβαλὼν εἰς αὐτούς. Ἀριστείδης ἐπὶ τοσοῦτον ἐφίλει τὸ δίκαιον, ὥστε καὶ ἐξορίαν διὰ τοῦτο κατεδικάσθη, τῶν πλειόνων δύσχρηστον αὐτὸν ἡγουμένων· ὥσπερ ἐν Ῥώμῃ ποτὲ λέγουσι Μάρκιον τὸν στρατηγὸν διὰ δικαιοσύνην ὑπὸ τοῦ πλήθους ἐξελαυνόμενον τῆς πατρίδος· καὶ τῶν ἐχεφρόνων πενθούντων αὐτὸν, ἐκεῖνος πρὸς οὐδὲν ἐχαυνώθη, ἀλλὰ τὴν γνώμην εἶχε στερεὰν καὶ ἀκλόνητον· Κέφαλος δὲ σχεδὸν παντελῶς ἀνέγκλητος ἔμεινεν ἂν, εἰ μὴ συκοφαντίᾳ τινὸς ἀπροβούλευτον ψήφισμα γέγονε κατ' αὐτοῦ, καίτοι γε ἀναιτίου ὄντος παντάπασιν· Ἀριστοφῶν δὲ κατηγορούμενος διὰ πάσης αὐτοῦ τῆς ζωῆς, ἐπειδὴ μισοπόνηρος ἦν καὶ τοὺς κακοὺς ἀμυνόμενος, ὅμως ἅπαν κατηγορίας δικαστήριον ἐξενίκησεν. Εἰ δὲ λέγοι τις δυσχερὲς εἶναι τοιούτους ἄνδρας νῦν εὑρεθῆναι, ἀλλ' οὐκ ἄλλοθέν ἐστι τὸ αἴτιον,
D ἢ ὅτι περιφρονοῦνται μὲν οἱ καλοὶ, καὶ ἐν οὐδεμιᾷ βελτίστῃ κρίνονται μοίρᾳ· οἱ πονηροὶ δὲ προκρινόμενοι ἐπιδιδόασι καὶ αὐξάνουσι· πᾶν γὰρ τὸ ζητούμενον αὐξάνει τε καὶ παῤῥησιάζεται· τὸ δ' ἀμελούμενον ἐλαττοῦται καὶ ἀποκρύπτεται· πόθεν γὰρ ἄλλοθεν ἐν τοῖς καθ' ἡμᾶς τούτοις χρόνοις ἐσπάνισε τὰ τῶν λόγων καὶ μαθημάτων καὶ ἀπεσβέσθη, καὶ ἡ τῶν ἠθῶν κοσμιότης ἐφθάρη, ἢ πάντως ὅτι παρευδοκιμοῦνται μὲν οἱ τοῦ καλοῦ καὶ τῶν λόγων, καὶ ἐν οὐδενὶ λόγῳ τάττονται· ἐκλέγονται δὲ καὶ προτι-

varent, illinc potius armenta egressa existimarent. Neque id solum latrones faciebant, verum etiam fucatis coloribus armenta transfigurabant, et sexcentis dolis atque artificiis justos dominos fallebant: nam et illorum custodes latebant per inaccessa, fumi instar, obrependo, muro transiliendo, varias formas induendo, veluti Nereus ille, et Periclymenus, et Proteus sophista Ægyptius; quem aiunt e Pallene Thracica migravisse in Ægyptum, ibique in antris quibusdam adytisque incognitis habitavisse. Oportet igitur eligere urbium præfectos populique rectores, qui inscitia non minus quam improbitate careant, quippe prudentia et justitia præditi sint. His enim ita se habentibus et populus bene moratus erit, et rex inclytam gloriam referet tali populo præsidens. Jam ut ad viros quoque, optimates orationem nostram convertamus, plane opus est ut duces et populi compositores et ephori ejusmodi sint, qualis ille Arabs Guneus, Cephalus Italus qui ad Atheniensium civitatem transiit: qualis item Aristides et Aristophon qui Atheniensium consuetudine et patria utebantur. Guneus quidem judex æquissimus, injustitiæ omnis osor atque vindex, bello inter Babylonios Phœnicasque oborto, jubente Semiramide ad eos venit; vixque ab his visus, bellum exstinxit, suaque virtute discordes gentes composuit, reverentiam iis et pudorem incutiens. Aristides autem tantopere justitiæ tenax erat, ut exsilium quoque ob eamdem sit passus, quoniam ejus causa in multorum offensionem incurrit. Veluti Romæ Marcius dux propter suam justitiam a populo pulsus patria fuit: quo tempore cordatis hominibus casum ejus deflentibus, ipse tamen animo non est fractus, sed suam sententiam firmam imperturbatamque retinuit. Cephalus autem omni fere criminatione liber fuisset, nisi, ob calumniam nescio cujus, improvida sententia, quanquam plane innocens, percussus fuisset. Aristophon denique in omni vita calumniis adpetitus, quia improbitatis atque improborum hostis erat, in cunctis tamen judiciis superior discessit. Porro si quis dicat, homines hujusmodi ægre his temporibus inveniri, causa rei quidem haud alia est, quam quia boni contemnuntur, neque præclarum aliquem fructum consequuntur; scelesti autem bonis præclari subvehuntur altius honoribusque mactantur. Nam res cujus usus expetitur, facile crescit atque emergit; quæ vero negligitur, ea minuitur latebrasque petit. Cur enim ætate nostra disciplinæ ac literæ perraræ vel exstinctæ sunt? cur morum quoque honestas defloruit, nisi quia docti honestique viri prætermittuntur, nulloque in pretio habentur, pravus autem quisque deligitur et antefertur, tum in ecclesiasticis dignitatibus tum etiam civilibus? Neque pensi habetur, quam laudabile gloriosumque, item quam turpe atque infame, summæ ipsi potestati sit

(49) De hoc lege Apollodorum, I, 9. Reliqui notissimi.

OCR ABK / FR

prout boni vel mali deliguntur, fiuntque pontifices, præfecti urbium, prætores, duces, vel alii hujusmodi magistratus. Neque item disquiritur, quanta utilitas, vel secus quantum damnum, non solum ad populum, sed etiam ad reges ipsos, a quibus electio fit, redundet. Nam quibus hominibus haud inest animæ rectrix ratio, in his dementia, inscitia et pravorum operum studium dominatur. Rursus ubi honesta virtutis forma non est, ibi impudenter versari et debacchari vitia necesse est. Quid ergo aliud regem maximum, inlustrem, gloriosum, ab omnium linguis collaudatum celebratumque reddit nisi quod is honore, benevolentia omnique reverentiæ officio prosequitur homines eruditione, virtute, prudentia, ornatos? Quid e contrario aliud malam regi famam conciliat, nisi quod familiares habet complectitur atque honorat incompositis moribus homines, insipientes atque lascivos? Quippe cum rex aspernatur despicitque homines litteris et consilio instructos; habet autem in aere perditum quemvis et ab honestate modestiaque alienum: id hercle documento est, magnificari ab eo vitium, odio haberi spernique virtutem; in pretio esse apud eum inscitiam, litteras conspui. Jam qui hac mente est, is sine dubio cum imperiti vulgi sententia animisque conspirat. Ergo decet atque apprime necessarium est, bonos honestosque viros honoribus et gloria ornare. Sic enim rex efficiet, ut et bonorum numerus augeatur, et sibi immortale nomen atque ab omnibus laus contigat.

A μῶνται οἱ φαῦλοι ἔν τε τοῖς ἐκκλησιαστικοῖς ἀξιώμασι, καὶ ἐν αὐτοῖς τοῖς πολιτικοῖς; καὶ οὐδὲ κρίνεται, πόσον εἰς εὐδοξίαν καὶ ἔπαινον, ἢ ἀδοξίαν καὶ ψόγον, συμβάλλεται εἰς τὴν πρώτην καὶ μεγίστην ἀρχὴν, τὸ ἢ τοὺς καλοὺς, ἢ τοὺς κακοὺς ἐκλέγεσθαι, καὶ καθιστᾷν ἱεράρχας καὶ πολιτάρχας, πραίτωράς τε καὶ στρατηγοὺς καὶ ἑτέρους προβιβασμούς· καὶ πόσον τὸ ὠφέλιμον ἢ τὸ ἐπιβλαβὲς περιγίνεται ἀπὸ τούτων, οὐ μόνον εἰς τὸ τοῦ λαοῦ πλῆθος, ἀλλὰ καὶ εἰς αὐτοὺς τοὺς ἐν ἀξιώμασιν ὄντας· ἐν οἷς γὰρ ἀνθρώποις οὐκ ἔστιν ὁ κοσμήτωρ τῆς ψυχῆς λόγος, ἐν τούτοις ἐπικρατεῖ ἀλογία καὶ ἀπαιδευσία, καὶ ἡ τῶν φαύλων ἐπιτήδευσις ἔργων· ἐν οἷς δὲ πάλιν οὐ πάρεστι τὸ τῆς ἀρετῆς καλὸν, ἐξ ἀνάγκης ἀνερυθριάστως καὶ ἀναιδῶς τὰ τῆς κακίας αἴσχιστα ἔργα B πράττεται καὶ σπουδάζεται. Τί οὖν ἄλλο τὸν βασιλέα μέγιστον καὶ περιφανῆ καὶ περίδοξον καὶ διὰ πάσης γλώττης εὐφημούμενον, καὶ περιᾳδόμενον καὶ ἀγαπώμενον ἀπεργάζεται ἢ τὸ διὰ τιμῆς καὶ εὐμενείας ἄγειν καὶ περὶ πολλοῦ ποιεῖσθαι τοὺς λογιότητι καὶ ἀρετῇ καὶ συνέσει κεκοσμημένους; Τί δ' ἄλλο ἐκ τοῦ ἐναντίου τὴν ἄδοξον φήμην αὐτῷ προξενεῖ ἢ τὸ οἰκειοῦσθαι καὶ ἀναδέχεσθαι καὶ τιμᾷν τοὺς ἀτάκτους καὶ ἀλόγους καὶ ἀσελγεῖς; τὸ γὰρ περιφρονεῖν μὲν καὶ ἀτιμάζειν τοὺς λόγῳ καὶ συνέσει πεπαιδευμένους, ἀναδέχεσθαι δὲ καὶ τιμᾷν τοὺς κατεγνωσμένους καὶ μακρὰν ὄντας τοῦ καλοῦ καὶ τῆς εὐτάκτου διαγωγῆς, δεῖγμα σαφές ἐστιν, ὅτι κακίαν μὲν ἐξαίρει καὶ ἀνυψοῖ, ἀρετὴν δὲ ἀποτρέπεται καὶ μισεῖ· καὶ θαυμάζει μὲν ἀλογίαν, τοὺς δὲ λόγους βδελύττεται. Τὸ δ' οὕτω κρινόμενον ὁμολογουμένως μετὰ τοῦ πλήθους ἐστὶ καὶ τῆς αὐτοῦ συμφωνίας καὶ γνώμης. Διὰ ταῦτα πρέπον ἐστὶ καὶ ἀναγκαιότατον, ἐνδόξους καὶ ἐντίμους ποιεῖν τοὺς καλοὺς καὶ ἀγαθοὺς ἄνδρας· ἵνα ὁ τοῦτο ποιῶν βασιλεὺς παρασκευάζῃ μὲν αὐξάνεσθαι τοὺς καλοὺς, οἰκονομῇ δὲ εἰς ἑαυτὸν παρὰ πάντων ἄπαυστον δόξαν καὶ κλέος.

XII. *Rex apprime sit religiosus.* — Sed enim omnis rei bonæ caput est, et in primis decet regem, in quovis opere Deum spectare, atque omni nisu viribusque curare, ut a sanctis Patribus definitos in re religiosa terminos conservet atque retineat, ab eorumque firmis decretis nunquam discedat; neque ea ullo modo negligat; atque ita a Deo miserante impetret incolumitatem eorumdem perpetuam et custodiam. His a rege diligenter peractis non sine constanti puraque erga Deum spe, res curæque ejus lætum exitum nanciscentur, adversarii hostesque profligabuntur et corruent. Ita se gessit Ezecias rex quo tempore Senacherimus adversus Hierosolyma copias adduxit. Etenim agrum suburbanum lateque cibariis spoliavit, puteos excæcavit, fossas ingentes perduxit, urbem externis operibus circumvallavit; intra ipsam vero vigiles constituit, sagittarios, scutatos, hastatos, funditores, armavit, necnon alios, qui manibus aut machinis lapides jacularentur. Cum his collocavit delectos optimates qui vigilibus præessent ac moderarentur, alios denique qui circum opera discurrerent nihilque prætermisit, quod tutelæ munitioni-

C ΙΒ'. Κεφαλὴ δὲ πάντων τῶν ἀγαθῶν πρέπει τὸν βασιλέα βλέπειν διὰ παντὸς πρὸς Θεὸν, καὶ κατὰ πᾶσαν ἰσχύν τε καὶ δύναμιν συντηρεῖν καὶ φυλάσσειν τὰ τῶν θεοφόρων Πατέρων περὶ εὐσεβείας ὅρια καὶ θεσπίσματα παντελῶς ἀπαράβατα καὶ ἀμετακίνητα, καὶ μὴ κατά τινα τρόπον τούτων καταμελεῖν· καὶ οὕτως ἐνδέχεσθαι παρὰ τοῦ ἐλεοῦντος Θεοῦ τὴν τούτων συντήρησιν καὶ κατόρθωσιν· καὶ διὰ τῆς πρὸς αὐτὸν τὸν Θεὸν ἀπαρασαλεύτου καὶ καθαρᾶς ἐλπίδος μετὰ τὸ ἀποπληροῦν σπουδαίως πάντα τὰ εἰρημένα, μέλλουσι κατευθύνεσθαι τὰ ἔργα καὶ οἱ κόποι αὐτοῦ· καὶ οἱ ἀντίμαχοι αὐτοῦ καὶ πολέμιοι καταπίπτειν καὶ καταβάλλεσθαι. Οὕτω καὶ ὁ βασιλεὺς Ἐζεκίας ἐποίησεν, ὁπότε ὁ Σεναχαρεὶμ στρατιὰν κατὰ τῆς Ἱερουσαλὴμ ἤγειρεν (50)· ἀπὸ μὲν γὰρ τῶν ἐκτὸς τῆς πόλεως χωρίων, ἀφῃρεῖτο μὲν τὰς D τροφὰς, ἔφραττε δὲ τὰς πηγὰς, ἐξώρυττε δὲ τάφρους εἰς βάθος, κατησφαλίζετο δὲ τὴν πόλιν οἰκοδομήμασι προτειχισμάτων· ἐντὸς δὲ τῆς τοιαύτης πόλεως ἀπέταττε φύλακας, τοξότας καθώπλιζεν· ἔτι τε πελταστὰς καὶ δορυφόρους καὶ σφενδονήτας, καὶ τοὺς ἐκ χειρῶν καὶ μηχανημάτων πετροπομπούς. Σὺν τούτοις ἐξελέγετο τοὺς ἀρίστους τῶν φρουρούν-

(50) II Paralip. xxxii.

OCR ABK / FR

τῶν ἐπιστάτας καὶ ἄρχοντας, καὶ τοὺς εἰς διατροχὴν τεταγμένους, καὶ πᾶσαν ἀσφάλειαν ἐμηχανᾶτο καὶ κατοχύρωσιν. Ὅμως καὶ ταῦτα πάντα ποιῶν, ἀπὸ μόνου τοῦ ὑψίστου Θεοῦ ἤλπιζε καὶ προσεδόκα τὴν ἀπολύτρωσιν· καὶ νύκτα καὶ ἡμέραν ἐν συντριβῇ καρδίας ἐζήτει καὶ παρεκάλει τὴν ἀπαλλαγὴν τῶν δεινῶν· διὰ τοῦτο οὐδὲ τῶν ἐλπίδων ἀπέτυχεν· ὁ γὰρ Σεναχερεὶμ ὁ θρασὺς καὶ ὑπέρογκος ἅμα τῷ προσβαλεῖν τῇ χώρᾳ τῶν Ἰουδαίων, ὑπὸ δειλίας μεταμέλος γεγονὼς, ἤρξατο φεύγειν· τοὺς δὲ στρατηγοὺς αὐτοῦ μετὰ πολλοῦ στρατεύματος ἐκεῖσε κατέλιπε, τὸν πόλεμον αὐτοῖς ἀναθέμενος. Ἀπέστειλε δὲ τῷ βασιλεῖ Ἐζεκίᾳ γράμματα βλασφημίας καὶ ὀνειδισμοὺς ἔχοντα, ἅπερ ὁ σοφὸς βασιλεὺς ἀναγνοὺς καὶ τὴν καρδίαν πληγεὶς, μετὰ πλείστης λύπης καὶ στεναγμοῦ καταλαμβάνει πρὸς τὸν ναόν· καὶ ἀναγνοὺς ἐν τῷ ἱερῷ τὴν ἐπιστολὴν, τὸν Θεὸν προσκαλεῖ γενέσθαι τῶν βλασφημουμένων ἐκδικητὴν, ἱκετεύων τοιαῦτα (51)· « Ἴδε, Κύριε Σαβαὼθ, ὅσα Σεναχερεὶμ ἐξ ἀπονοίας καὶ ἐπάρσεως ὠνείδισεν εἰς τὸ ἅγιον. Σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ, Δέσποτα· γνώτω ὅτι σὺ εἶ μόνος Θεός· » τί οὖν; ὁ τοῖς στεναγμοῖς τῶν εἰς αὐτὸν ἠλπικότων ἕτοιμος, ὁ συντρίβων πολέμους, ὁ καταβάλλων ὑπερηφάνους, ὁ θανατῶν ἀσεβεῖς, ὁ εἰς ᾅδου κατάγων ἁμαρτωλοὺς, ὀκτωκαιδέκα μυριάδας τῶν πολεμίων, ἀλλὰ καὶ χιλιάδας αὐτῶν πέντε, ἐν μιᾷ νυκτὶ ἀναιρεῖ· καὶ οἱ τὴν τοῦ Θεοῦ πόλιν ἐν συντόμῳ ἐγκαυχώμενοι καταβαλεῖν ἀθλίως καὶ παρ' ἐλπίδα ἀποβάλλουσι τὴν ζωὴν, καὶ ἐν μιᾷ ῥοπῇ αἰχμαλωτίζονται τὰς ψυχάς· μόλις δὲ ὁ Ἀσσύριος τηνικαῦτα τὸν ὄλεθρον ἐκφυγὼν, ὅπως ἂν αἴσθησιν λάβοι τῆς τοῦ βλασφημουμένου δυνάμεως, ὅπως ἂν αἰσχύνην περιβάλοιτο ὡς ἔνδυμα, καὶ ἀτιμίας πληρωθείη τὸ πρόσωπον, καὶ κατεγνωσμένος τὴν τῶν Νινευιτῶν καταλάβοι· ὕστερον παρὰ τῶν αὐτοῦ παίδων κατασφάττεται· ἀξίαν τιμωρίαν δοὺς, ὡς μετὰ βλασφημίας ἐκμανεὶς κατὰ τοῦ πεποιηκότος Θεοῦ. Βασιλεὺς Ἰουδαίας ἦν ὁ Ἰωσαφὰτ (52) πολλῶν καὶ διαφόρων ἐθνῶν συμφωνησάντων κατ' αὐτοῦ, ἐξ ἀνάγκης καὶ αὐτὸς μετὰ σπουδῆς ἡτοιμάσθη πρὸς ἀντιμάχησιν, συναθροίσας καὶ καθοπλίσας ὡς ἔπρεπε τὸν οἰκεῖον λαὸν, καὶ τὰ τῆς πολεμικῆς καθόσον ἦν δυνατὸν προδιαθέμενος ἄριστα. Πλὴν οὔτε τῷ πλήθει τῶν πολεμούντων (53) ἐθάρρησεν, οὔτε τοῖς ὅπλοις, οὔτε τῇ κατὰ τὸν πόλεμον ἐμπειρίᾳ· ἀλλὰ εἰς μόνον τὸν κραταιὸν καὶ βοηθὸν καὶ παντοδύναμον Θεὸν καταφυγών· καὶ διὰ νηστείας καὶ δακρύων ὅ τε βασιλεὺς καὶ ὁ ὑπ' αὐτὸν ἅπας λαὸς ποιήσαντες εὐμενῆ, οὕτως ἦλθεν εἰς πόλεμον καὶ ἀντιπαράταξιν τῆς πολλαχόθεν συναχθείσης ἐκείνης στρατιᾶς. Τί τὸ ἐντεῦθεν; Ὁ μὲν βασιλεὺς Ἰωσαφὰτ ἐπί τινος ὑψηλοῦ καὶ μετεώρου τόπου συνάγεται· καὶ τὰ τῶν ὑπεναντίων στρατεύματα κατ' ἀλλήλων μεθ' ὁρμῆς φέρονται· καὶ Ἰδουμαῖοι μὲν ὑπὸ Μωαβιτῶν καὶ Ἀμμανιτῶν φονεύονται πρότερον· πάλιν δὲ μικρὸν ὕστερον ἄμφω ταῦτα τὰ γένη κατακτείνονται ὑπ' ἀλλήλων· καὶ ὁ βασιλεὺς μετὰ τοῦ ὑπ' αὐτὸν

A que conferret. Et tamen his actis, ab uno Deo altissimo salutem exspectabat, et diu noctuque cum cordis sui contritione propulsationem malorum implorabat. Quare neque spes ejus lusa fuit. Etenim audax ille et superbus Senacherimus simul se Judæorum regionem attigit, timore resipuit fugamque capessivit; duces tamen suos ibidem reliquit, quibus belli summam mandavit. Tum ad regem Ezechiam litteras blasphemiis conviciisque plenas misit, quibus rex catus lectis, corde ingemiscens, multo cum mœrore atque ejulatu ad templum contendit; ibique iterum lecta epistola, Deum, ut blasphemiarum ultor fieret, his verbis rogavit : Respice, Domine exercituum, quæ convicia Senacherimus dementia fastuque elatus adversus tuum sanctuarium conjecerit. Serva nos de manu ejus,
B Domine. Sentiat ille Deum te esse. Quid ergo egit ille qui sperantium gemitus sine mora exaudit, qui bella confringit, superbos deprimit, impios interimit, peccatores ad inferos detrahit? Hostium octoginta quinque millia una nocte occidit. Atque ita qui Dei civitatem brevi se capturos jactabant, misere atque insperato vitam amiserunt; horæque momento cum animabus suis in captivitatem deciderunt. Rex vero Assyrius vix tunc exitium vitavit; videlicet ut ejus Numinis, quod blasphemiis læserat, vim agnosceret; ut ignominia tanquam veste oblimaretur, et facies ejus pudore rubesceret, atque ita ab omnibus exsibilatus Ninivem reverteretur. Postremo tamen a suis liberis interficitur, dignas crimine pœnas luens, propterea quod blas-
C phemias adversus Deum creatorem furiose eructaverat. Judææ rex Josaphatus, multis diversisque populis adversus eam conspirantibus, ipse quoque necessitate coactus fuit ad parandam sedulo defensionem, populum suum conscribendo armisque instruendo, remque bellicam pro copia et viribus disponendo. Is tamen neque bellatorum numero confidebat, neque armis, neque peritia bellica; verum unico ad fortem et auxiliatorem et omnipotentem Deum confugiebat; ideoque jejunans et lacrymans tum rex tum cunctus populus ei subjectus, postquam Deum sibi conciliarunt, ad bellum progressi sunt, et collectitiæ hostium multitudini occurrerunt. Quid inde? Josaphatus rex excelso quodam in loco cum suis copiis constitit; Idumæi au-
D tem a Moabitis atque Ammanitis cædi cœperunt. Deinde similiter hi duo postremi populi inter se digladiati sunt atque occiderunt. Rex autem cum proprio exercitu in sublimi specula se continens, cædis hostilis otiosus spectator erat, dum universa alienigenarum multitudo partim captivata fuit, partim occisa. Tum auctori prodigiorum Deo, qui unica voluntatis vi omnia peragit, quique tantam victoriam triumphumque referendum curaverat, concordi regis universique exercitus voce gratiæ persolutæ sunt hymnusque dictus : nam sine ullo

(51) IV Reg. xix ; Isa xxxvii.
(52) II Paralip. xx.

(53) Codd. πολεμίων.



OCR ABK/FR

conflictu bellico tam insigne trophæum rex constituit; ita ut locus etiam, in quo tam mirabile facinus patratum fuit eucharisticam quamdam appellationem adsciverit. Hæc egregia facta atque victoriæ, absque etiam decertatione, contingunt illis qui firmam indeficientemque in Deo spem fundaverunt. Hi sunt fructus vitæ sanctæ Deoque placentis. Quem enim quis delectat, ab eodem vicissim diligitur. Et ille quidem ab amante fidenter petit, hic petentem non respuit neque tristem dimittit. Contrariis contraria accidunt. Igitur Israeli, quamdiu divinæ legi parebat, prosperitates victoriæque obveniebant; peccanti autem, calamitas in promptu erat. Revera quotiescunque Deum pie colebat, ditio ejus finesque protelabantur, hostes ei fiebant obnoxii, mœnia subito prosternebantur, urbes raptim capiebantur, agmina adversaria concidebantur, grando violenter illapsa hostes exterrebat, sol restitabat diemque producebat, ut hostium internecioni conficiendæ sufficeret, duce Josu Navi filio. Præterea trecenti qui Gedeonem comitabantur viri, quique veluti prælibantes ac more catulorum raptim de flumine lambuerant, totidem lagenis cum lampadibus et tubis instructi multa hostium millia consumpserunt. Item sub una manu aratrique manubrio sexcenti ceciderunt; rursusque Sampsonis manu asinique maxilla mille homines icti perierunt. Sed enim quis temporum illorum prosperitates narrare queat? quis celebria facta, morborum et mortium depulsiones, incrementaque annorum ad vitæ propagationem concessa? manifestum solis regressum, ita ut diuturniore lucis præsentia longiores dies fierent? flumen suspensum, rupem aquas fundentem stagnumque gignentem; coturnices cœlitus projectas, imbrium ritu, ne israelitica plebs victu careret; Erythræum mare divisum, Judæorum absque periculo transitum; Ægyptiorum persequentium naufragium; igneæ columnæ nubisque ducatum; Ægypti plagas: quinque et septuaginta hominum turbæ incrementum tantum, ut in sexcenta animarum millia, atque etiam ultra, Jacobi stirps excreverit; quanquam innumeris adpetita insidiis, ut illorum historia singillatim demonstrat. Profecto Dei beneficia, erga illos qui legi ejus obtemperant, vim facundiæ naturæque vincunt. E contrario ii qui herilibus Dei mandatis cum contemptu repugnant, magnis suppliciis irretiuntur, rabidos scilicet venenatorum serpentium, scorpiorum et aspidum, morsus experiuntur; terræ hiatibus absorpti æternis vinculis in profundo retinentur; fulminibus inflammantur fœni ritu ac cinerescunt; clades fugasque insignes ab hostibus perpetiuntur; urbes suas eversas vident, necessarios in servitutem abactos, bella civilia et internecioues. Insuper pluviarum penuria exarescunt, et agrorum sterilitate ac fame conficiuntur. Multo

στρατεύματος ἀπὸ περιωπῆς καὶ ὕψους τὴν παράταξιν ἔχων, ἔβλεπε μόνον τὰς τῶν πολεμίων σφαγὰς, παντὸς τοῦ πλήθους τῶν ἀλλοφύλων ἐν ἡμέραις τρισὶν αἰχμαλωτισθέντος καὶ φονευθέντος. Ὁ δὲ τῶν θαυμάτων Θεὸς, ὁ πάντα μόνῳ τῷ βούλεσθαι οἰκονομῶν, καὶ τὴν τοσαύτην τροπαιουχίαν καὶ νίκην ἐπευδοκήσας, μιᾷ γλώττῃ τοῦ βασιλέως καὶ τῆς στρατιᾶς ἁπάσης τὴν εὐχαριστίαν ἔλαβε καὶ τὸν ὕμνον· ἄνευ γὰρ πολεμικῆς συμμίξεως τὸ μέγα τοῦτο τρόπαιον ὁ βασιλεὺς ἔστησεν· ὥστε καὶ ὁ τρόπος ἔνθα τὸ θαυμασιώτατον ἔργον πεπλήρωται, ἐκληρώσατο τὴν τῆς εὐλογίας ἐπωνυμίαν (54). Τοιαύτας ἀριστείας καὶ νίκας ἄνευ πολεμικῆς ποιοῦσιν οἱ βεβαίαν ἐλπίδα καὶ ἀκλινῆ πρὸς τὸν Θεὸν ἔχοντες· ταύτας δὲ προξενεῖ βίος σεμνὸς καὶ θεάρεστος ἀγωγή· ὃν γὰρ εὐφραίνει τις, καὶ ὑπ' αὐτοῦ πάντως φιλεῖται· ἔχει δὲ καὶ θάῤῥος πρὸς τὸν φιλοῦντα· ὁ δὲ οὐκ ἀποστρέφεται, οὐδὲ λυπῶν ἀποπέμπει· εἴωθε δὲ τὰ ἐναντία τοῖς ἐναντίοις συμβαίνειν. Διὰ τοῦτο καὶ τῷ Ἰσραὴλ κατορθοῦντι μὲν τοὺς θείους νόμους ὑπῆρχε τὸ κατορθώματα καὶ νίκας ποιεῖν· ἀθετοῦντι δὲ καὶ παραβαίνοντι τούτους, τὸ καταβάλλεσθαι· ὅτε μὲν γὰρ τὸν Θεὸν ἐξεζήτει, τὰ τούτου σχοινίσματα καὶ τὰ ὅρια ἐπλατύνετο, κατάσχεσις τῶν ἀλλοτρίων ἐδίδοτο, τείχη κατεβάλλοντο ἐξαίφνης, πόλεις ἑτοίμως ἡλίσκοντο, συντάξεις τῶν ἐθνῶν συνεκόπτοντο, χάλαζα τινασσομένη μετὰ βιαίας ῥύμης τε καὶ ὁρμῆς τοὺς πολεμίους ἐξεφόβει καὶ συνετάρασσεν· ἥλιος ἵστατο τοῦ δρόμου καὶ τὴν ἡμέραν παρακατεῖχεν, εἰς παντελῆ ἐξολόθρευσιν καὶ ἀφανισμὸν τῶν ἐχθρῶν, Ἰησοῦ τοῦ Ναυῆ στρατηγοῦντος· τριακοσίοις ἀνδράσι τοῖς κυνηδὸν ἀπὸ τοῦ ποταμοῦ λείψασι καὶ οἷον μεθ' ἁρπαγῆς ἐκπιοῦσι τὸ ὕδωρ καὶ μετὰ τοῦ Γεδεὼν εὑρισκομένοις, καὶ τοσαύταις ὑδρίαις ὡς ἀγγείοις ὀστρακίνοις καὶ λαμπάσι καὶ σάλπιγξι, μυριάδες πολεμίων διεφθείροντο· δυνάμει τε μιᾶς χειρὸς ἐν ποδὶ ἀρότρου ἑξακόσιοι ἔπιπτον. Πάλιν δὲ τῇ τοῦ Σαμψὼν χειρὶ διὰ σιαγόνος καὶ παρειᾶς ὄνου κατεκτείνοντο χίλιοι. Ἀλλὰ τίς ἂν εἰπεῖν δυνηθείη τὰς εὐκολίας τῶν χρόνων ἐκείνων; τὰς εὐδοξίας, τὰς τῶν νοσημάτων καὶ θανάτων ἀποφυγὰς, τὰς ἐπαυξήσεις καὶ προσθήκας τῶν ἐνιαυτῶν εἰς παρέκτασιν τῆς ζωῆς; προδηλουμένῃ ἡλίου ἀναστροφῇ, καὶ πλείονι παρουσίᾳ φωτὸς μακροτέρων γινομένων τῶν ἡμερῶν· ἀνακοπὴν ποταμοῦ, πέτραν ὕδωρ ἐκβλύζουσαν ὡς καὶ λίμναν ποιεῖν· ὀρτυγομήτραν οὐρανόθεν καταπεμπομένην ὡς ὑετὸν, καὶ τὸν Ἰσραηλιτικὸν λαὸν τρέφουσαν· Ἐρυθρᾶς θαλάσσης διαίρεσιν, καὶ τὴν τῶν Ἰουδαίων ἄνευ κινδύνου διαπεραίωσιν, καὶ τὴν τῶν Αἰγυπτίων διωκόντων καταπόντωσιν· στύλου πυρὸς καὶ νεφέλης προκαθοδήγησιν· Αἰγύπτου πληγὰς καὶ μάστιγας· τὴν ἐξ ἀνθρώπων πέντε καὶ ἑβδομήκοντα ἐπίδοσιν καὶ διαδοχὴν μετὰ πλήθους, τοῦ γένους, ὡς εἰς ἑξακοσίας χιλιάδας καὶ ἐπέκεινα προχωρῆσαι αὐτὴν ἐκ τῆς ῥίζης τοῦ Ἰακώβ· καὶ ταῦτα μυρίαις περικυκλουμένου ἐπιβουλαῖς, ὡς κατὰ μέρος ἡ περ.

(54) II Paralip. xx, 26: *Vocaveruntque locum illum Vallem Benedictionis usque in præsentem diem.*

OCR ABK / FR

αὐτῶν ἱστορία δηλοῖ. Ὄντως αἱ παρὰ τοῦ Θεοῦ A εὐεργεσίαι εἰς τοὺς φυλάσσοντας τὰς αὐτοῦ ἐντολὰς νικῶσι καὶ λόγους καὶ φύσεως δύναμιν· ὥσπερ πάλιν οἱ ἐκτρεπόμενοι ἀπὸ τῶν δεσποτικῶν θείων προστάξεων, καὶ καταφρονηταὶ τούτων γινόμενοι, μεγάλοις δεινοῖς περιέπιπτον· χολέραις δηλονότι καὶ τρώσεσιν ἰοβόλων ὄφεων, σκορπίων τε καὶ ἀσπίδων· ἀλλὰ καὶ ἀπὸ σεισμῶν γῆς συγχώσεις καὶ δεσμοὺς ἀφίκτους ἐν ἀβύσσοις ὑπέμενον, καὶ ἐμπρησμοὺς ἀπὸ κεραυνῶν φλογώδεις καὶ ἐκτεφρώσεις δίκην κονιορτοῦ, τροπὰς ἐξ ἐχθρῶν, καὶ πτώσεις διαβεβοημένας· ἔτι δὲ πόλεων ἐκπορθήσεις, τῶν οἰκείων ἀνδραποδισμοὺς καὶ ἀπαγωγὰς καὶ καταδουλώσεις, ἐμφυλίους μάχας τε καὶ σφαγάς· πρὸς τούτοις ἀνομβρίαις κατεξηραίνοντο, καὶ ἀφορίαις καρπῶν, καὶ λιμοῖς κατετήκοντο· συνέθλιβον δὲ B μᾶλλον αὐτοὺς καὶ ἀέρων φθοραί, ἐξ ὧν καὶ λοιμώδεις ἀποτίκτονται νόσοι καὶ συντριβαὶ σωμάτων, δαιμονίων καὶ πονηρῶν πνευμάτων διενοχλήσεις ἐπίεζον δεινῶς ἀποπνιγόντων τε καὶ στρεβλούντων· λέπραι καὶ ἀργίαι μελῶν, σπλάγχνων σήψεις καὶ διαβρώσεις, καὶ ὀδύναι μετὰ πολλῆς δριμύτητος πλήττουσαι, ὥσπερ ὁμοῦ συνδραμοῦσαι. Ἀλλὰ τίς ἂν δυνηθείη ἀπαριθμεῖν τῶν καταφρονητῶν Θεοῦ τὰς ποινάς τε καὶ τιμωρίας, καὶ τοὺς κατὰ καιρικὰς περιόδους ἀφανισμούς; Τὰ δὲ μετὰ τὴν τοῦ παρόντος βίου τελευτὴν δικαιωτήρια ἐν τῷ μέλλοντι κατὰ πολὺ τῶν εἰρημένων εἰσὶ λυπηρότερα· ὅσῳ καὶ τὸ διηνεκὲς καὶ μόνιμον καὶ ἄπαυστον ἔχουσι· τοῦτο γάρ ἐστι τὸ κάκιστον· ἐκείνοις γὰρ τοῖς αἰωνίοις κολαστηρίοις οἱ μὴ ἐν τῇ παρούσῃ ζωῇ ἐπιστρέφοντες παραπέμπονται, ἀνυπομόνητον τὴν αἰσχύνην C κληρούμενοι· οἱ δέ γε πρὸς τὸν Κύριον ἀποβλέποντες, καὶ τὰς ἑαυτῶν πράξεις καὶ τὰ διανοήματα ἔμπροσθεν τιθέντες αὐτοῦ, ἐν μὲν τῷ κόσμῳ καὶ τῷδε τῷ βίῳ ἔχουσι τὸ παρὰ πάντων ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι, τὸ ἐν ταῖς εὐφημίαις μνήμην ἔχειν διὰ παντός, τὸ κατὰ νοῦν εὐφροσύνην ἔχειν καὶ ἡδονήν, ἐξ αὐτῶν τῶν ἔργων ὧν πράττουσι, καὶ ἐκ τῆς ἐλπίδος τῶν ἀμοιβῶν. Αὐτὰ δὲ τὰ ὑπερκόσμια καὶ αἰώνια ἔπαθλα ποία γλῶσσα ἰσχύσει διηγήσασθαι; Ποῖος ὀφθαλμὸς ἐθεάσατο; Ποῖον οὖς ἤκουσεν; ἐπὶ τίνος ἀνθρώπου καρδίαν ἀνέβη; Ἀκατάληπτός ἐστιν ἀνθρώπῳ παντὶ διὰ τὴν ὑπερβολὴν ἡ εὐτρεπισθεῖσα ἀπόλαυσις τοῖς ἐξ ὅλης ψυχῆς τὸν Θεὸν ἀγαπήσασι, καὶ ἡ λαμπρότης, καὶ ἡ ἀγαλλίασις καὶ ἡ δόξα. Ὁ τοίνυν τοσαύτην εὐδοξίαν καὶ εὔκλειαν, καὶ τοσούτων ἀγαθῶν πλῆθος ἀποδιώκων διὰ ματαίαν ἐπιθυμίαν καὶ ὄρεξιν, τὴν δὲ διπλῆν ἀδοξίαν καὶ ἀτιμίαν μετὰ τῶν ἀνυποίστων ὀδυνηρῶν ἐκείνων ἀντιλαμβάνων, πόσης ἀλογίας καὶ ἀφροσύνης κρίνεται ἄξιος;

ιγ'. Καίτοι γε πλεῖον εὑρήσει τις ἐν τῷ παρόντι D βίῳ τὸ ἀνήδονον τοῦ νομιζομένου ἡδέος, ὅταν ὁ νοῦς ἀπὸ τῶν παθῶν ἀχλύος καθαρεύσῃ ποσῶς (55), καὶ γνωρίσῃ ἑαυτὸν ἐν τοῖς ῥυπάσμασι καὶ μολυσμοῖς κατακυλιόμενον τῆς ἐμπαθοῦς ἀσελγείας, καὶ παρὰ τῶν πλειόνων εἰς παροιμίαν τό, Ὗς ἐν βορβόρῳ, περισυρόμενον καὶ καταγελώμενον. Γινώσκομεν δὲ τὸν κεκρατημένον ἐν τοῖς τοιούτοις ὑποπτεύοντα προχείρως τοὺς μὴ τοιούτους αὐτοῦ, καὶ οὕτω τὴν κακὴν ταύτην ὑποψίαν αὐξάνοντα· ποτὲ μὲν ἐξαπατώμενον ἐξ ἀπονοίας ἀλογίστου καὶ ἄφρονος, ποτὲ δὲ καὶ ἐκ ψευδῶν λόγων ἐξ ὑπονοίας τινῶν βασκάνων παρασυρέντα· οὐδὲν γὰρ οὕτως ἀνοίγει τὴν παρείσδυσιν τῆς συκοφαντίας, ὡς ἡ τῆς συνειδήσεως

A vero magis eisdem nocet pestilens aer, et malorum spirituum molestiæ modo strangulantium modo aliter excruciantium; lepra paralysisque membrorum, viscerum putredines ac lacerationes, acutissimorum denique dolorum cumulus. Quanquam quis demum percenseat contemptorum Dei pœnas atque supplicia et diversis temporibus exitia? Ceteroquin quæ post hujus vitæ exitum supersunt ergastula, ea multo prædictis pœnis molestiora scimus, quatenus nimirum perpetua sunt atque immotis claustris conclusa. Nam in ista demum æternitate summum malum versatur. Atqui ad æterna illuc ergastula, hi qui in præsente vita non resipiscunt, amandantur, intoleranda ignominia obruti. Contra ii qui ad Deum respiciunt suosque actus et cogitationes coram illo componunt, B hoc quidem in orbe vitaque laudantur ab omnibus ac suspiciuntur, nemoque est qui de illis honorificam commemorationem non faciat; conscientia denique recte factorum speque mercedis animum erectum lætumque gerunt. Nam cœlestia quidem supermundalia præmia quænam lingua eloquetur? quis oculus vidit? quænam auris audivit, vel in cujusnam hominis cor ascenderunt. Incomprehensibilis est cuivis homini, propter suam magnitudinem, parata illis beatitudo, splendor, gaudium, et gloria, qui Deum toto ex animo diligunt. Siquis ergo tantam dignitatem excelsitatemque, tantamque bonorum copiam propter insanas quasdam cupiditates desideriaque abjicit; vicissimque gravissimam ignominiam et dedecus cum intolerandis C doloribus sibi deligit; nonne hic summam suam stultitiam dementiamque demonstrat?

D XIII. *Rex caveat a mala fama.* Quin adeo vitæ quoque hujus multo abundantiorem tristitiam quam suavitatem agnoscere licebit, si quando animus paulisper perturbationum caliginem absterserit, seque in sterquilinio sordibusque versantem agnoverit luxuriæ intemperantis, derisumque et expositum illi vulgi proverbio, Sus in cœno. Sane novimus facile accidere ut qui hujusmodi illecebris deditus fuerit, de aliis quoque qui aliter vivunt injuriose suspicetur; atque ita malam existimationem propagari: et modo quidem reapse hominem fragilitate propria vitiosoque animo labi; modo tamen falsis etiam rumoribus immerito traduci. Nihil enim tantopere viam calumniæ sternit, quam

(55) Ita cod.

OCR ABK / FR

præjudicata vitiorum conscientia. Verum ille rex, qui vanas cupiditates freno coercet, caput suum constanter in cœlum usque sublatum tenet, suæque dignitatis et gloriæ celsitudinem splendoremque contemplans, mendacem quemvis sermunculum flocci facit, nullis scurrilium hominum nugis aurem præbet, quia nihil in se reprehensione dignum agnoscit. Sicuti enim ille qui vituperanda opera exercet, ex semetipso ignominiam haurit; ita qui laudabiliter vivit, jam ipse per se honoratissimus est, etiamsi eum sexcenti stultis maledictis oppugnent. Quod si forte actus aliquis damnabilis fuerit, is sedulo corrigendus est; multoque impensius quam Ægyptii solebant, apud quos animarum purgationes in more positæ erant. Sin aliter res sit, maledictum quidem ceu furiosum aliquem despiciendum esse, vetus sapiensque lex monet. Nam qui clam atque in angulis maledicit, nihil ei nocebit qui ab omnibus uno ore laudatur. Quod si forte dolor aliquis maledici linguam acuit, sane expedit rei radicem exscindere: quo facto germen quoque exarescere nemo non videbit. Sic enim se gessit Philippus rex. Nam cum Parmenio apud eum accusaret Nicanorem regi maledicere solitum, Philippus rei causam accurate vestigavit: cumque comperisset Nicanorem egestate ac fame premi, lautas divitias in maledicum contulit; qui deinde laudandi extollendique benefactoris sui nullum finem faciebat: qua re cognita rex, per præconem edici publice in ditione sua jussit; nimirum principes tum laudum tum etiam maledictorum sibimet auctores fieri. Namque Nicanorem egenum atque famelicum beneficiis cumulans ex obtrectatore ferventissimum laudatorem sui effecerat. Quod si forte improbum aliquid ad regis aures deveniat, par est de illo diligentiorem quæstionem institui; reque comperta, peccantem corrigere oportet non inclementer, ut ne pœna meritum excedat. Id enim vel maxime regem decet. Multi enim injuriam patiuntur ab accusantium fraudibus et commentis, dum mendaciorum obtentu judex decipitur: veluti ii qui neque explorando neque lydio lapide colorem æneo metallo detegunt, falluntur sæpe atque adulterinam materiam instar auri reputant: nonnulli etiam vilissimum vitrum gemmæ nitidæ pretiosæque loco habent, quia spurius videlicet fucatusque color visum perturbat, vel inexpertum fortasse vel incuriosum vel etiam infirmitate aliqua laborantem. Similiter mendacium dolose objectum, perturbat judicis mentem, vel quia is imperitus est, vel quia socorditer vestigationem omittit, vel quia denique ira commotus est ob delati criminis atrocitatem. Quod si ille, qui reus peragitur, jamdiu suspectus

A ἐπὶ ταῖς κακοῖς προκατάγνωσις. Ἀλλ' ὁ βασιλεὺς, αὐτοκράτωρ τῶν ἀλογίστων ὁρμῶν, τὴν κεφαλὴν ἔχει ἐστηριγμένην ἐν οὐρανῷ· καὶ τὸ ὑψηλὸν τῆς ἑαυτοῦ τιμῆς καὶ ἀξίας, καὶ λαμπρότητος βλέπων, παντὸς ψευδῆ καὶ μάταια λέγοντος, οὐδαμῶς ἐπιστρέφεται· πάσης φλυαρίας οὐδόλως ἀκούει, μηδὲν ἐπίψογον γινώσκων εἰς ἑαυτόν· ὥσπερ γὰρ ὁ τὰ τῆς ὕβρεως ἔργα πράττων ἀφ' ἑαυτοῦ ἔχει τὸ ἄτιμον, οὕτως ὁ τὰ ἐπαίνου ἄξια ποιῶν οἴκοθέν ἐστι τιμιώτατος, κἂν μυρίοι ματαίως ἐξυβρίζωσι κατ' αὐτοῦ. Εἰ μὲν τὸ ἔργον καταγνώσεώς ἐστιν ἄξιον, ἐπιμελητέον πάσῃ σπουδῇ διορθώσασθαι τοῦτο· πολλῷ μᾶλλον παρ' ὃ Αἰγύπτιοι, καθ' οὓς εἶχον ἀπὸ συνηθείας ποιεῖν καθαρμοὺς τῶν ψυχῶν (56)· εἰ δ' οὖν, ἀλλ' ὁ φλυαρῶν ὡς μαινόμενος ἄξιος παραβλέπεσθαι· ἀρχαία καὶ συνεχής B ἐστι τοῦτο νομοθεσία· οὐδὲν γὰρ βλάψειεν ὁ ἐν παραβύστῳ καὶ γωνίᾳ ὑβρίζων τὸν ὑπὸ πάντων ὡς ἀφ' ἑνὸς στόματος ἐπαινούμενον. Εἰ δ' ἴσως καὶ λύπη τις τὴν ἀπὸ τοῦ ὑβρίζοντος λοιδορίαν ἐγέννησε, ἄξιον ἐκκόψαι τὴν ῥίζαν. καὶ πᾶς τις ἂν ἴδοι ταχέως συναπομαραινόμενον καὶ τὸ βλάστημα. Ὅμοιον γὰρ καὶ ὁ βασιλεὺς ἐποίησε Φίλιππος· ἐπεὶ γὰρ ὁ Παρμενίων κατήγορος ἐγένετο πρὸς αὐτὸν ὡς ὁ Νικάνωρ ἐξύβρισε κατ' αὐτοῦ, ἀκριβῶς ὁ Φίλιππος ἀνεψηλάφησε τὴν αἰτίαν· καὶ τὴν τοῦ Νικάνορος ἀπὸ λιμοῦ ἔνδειαν καὶ στέρησιν εὑρηκὼς, εὔπορον καὶ πλούσιον τὸν δυσφημοῦντα ἀπέδειξεν. Ὁ δὲ ἔκτοτε οὐκ ἐπαύετο τὸν εὐεργέτην ἀποσεμνύνων καὶ ἐκθειάζων· μαθόντα δὲ τοῦτο τὸν βασιλέα, κήρυκα πέμψαι καὶ διαφημίσαι καὶ δῆλον ποιῆσαι πρὸς ἅπαντας τοὺς ὑπ' αὐ- C τόν, ὅτι οἱ ἄρχοντές εἰσιν αἴτιοι ἑαυτοῖς καὶ τῶν ἐπαίνων καὶ τῶν λοιδοριῶν (57)· εὐποιήσας γὰρ τὸν Νικάνορα, ἐνδεῶς ἔχοντα, ὡς εἴρηται, καὶ λιμώττοντα, καὶ διὰ τοῦτο δυσφημοῦντα, θερμότατον ἐπαινέτην μετὰ τοῦτο πεποίηκεν ἑαυτοῦ. Εἰ δ' ἴσως πονηρόν ἐστι τὸ διαγγελλόμενον, ἄξιον ἐξακριβοῦσθαι καὶ διερευνᾷν αὐτὸ μάλιστα· καὶ φανεροῦ τοῦ τολμήματος γινομένου, σωφρονίζειν μετὰ χρηστότητος καὶ οὐκ ἔξω τοῦ πρέποντος ὅρου τὸν πλημμελήσαντα· ἐπεὶ τοῦτο κόσμος ἐστὶ διαφερόντως πρέπων τῷ βασιλεῖ. Πολλοὶ δὲ πεπόνθασιν ἄδικα παρὰ τῶν ὑποβαλλόντων ῥᾳδιουργίας καὶ δολιότητας, τῇ τοῦ ψεύδους ἐπικαλύψει ἀπατωμένου τοῦ κρίνοντος· ὥσπερ οἱ μὴ τῇ βασάνῳ καὶ τῇ λυδίᾳ λίθῳ τὰ ὑπὸ τῆς τοῦ χαλκοῦ βαφῆς παρατρίβοντες κατασο- D φίζονται πολλάκις, καὶ τὴν νενοθευμένην ὕλην φαντάζονται ὡς χρυσόν· τινὲς δὲ καὶ οὐδαμινὴν ὕελον ὑπολαμβάνουσι λίθον τιμίαν καὶ καθαράν, τοῦ νόθου καὶ ἐξωτερικοῦ χρώματος τὴν ὁρατὴν συγχέοντος δύναμιν, ἢ μὴ πεπειραμένην, ἢ μὴ περιεργασαμένην, ἢ καὶ ἀσθενεστέραν ἴσως ὑπό τινος πάθους γεγενημένην· οὕτω δὴ καὶ ψεῦδος κατασκευασθὲν μετὰ μηχανῆς, συγχέει τὸν λογισμὸν, ἢ δι' ἀπειρίαν,

(56) Num intelligendum est animarum judicium quod nobis passim papyri exhibent? (Corpora quidem Ægyptios sæpissime purgare solitos, ait Diodorus I, 8.) De animæ purgationibus legendus est Porphyrius in Sententiis, tum etiam in epistola ad Marcellam a me Mediolani edita.

(57) Lege Plutarchum *Apophth.* ed. Reisk. tom. VI, p. 776, qui tamen accusatorem dicit *Smicythum*, non *Parmenionem*.

OCR ABK / FR

ἢ δι' ἀμέλειαν τὴν ἀκριβῆ ἐξέτασιν παραιτούμενον, ἢ τεταραγμένον ὑπὸ θυμοῦ καὶ ὀργῆς διὰ μέγιστον, ἔγκλημα. Εἰ δὲ τὸ κατηγορούμενόν ἐστιν ἐν ὑποψίᾳ καὶ ἄλλοτέ ποτε τὸ τοιοῦτον πρόσωπον ἐπὶ τοῖς ὁμοίοις ἔφθασε κατηγορηθῆναι, ἢ καὶ ὁ κατήγορος εὐνοίας καὶ ἀληθείας κέκτηται δόξαν, πολύς ἐστιν ἐντεῦθεν ὁ κίνδυνος. Ἀλλὰ τούτων ἁπάντων ὁμοῦ συνελθόντων καὶ μὴ δυνηθέντων παρασαλεῦσαι τῆς ὀρθῆς κρίσεως τὸν κριτήν, κατὰ τοῦτον τὸν τρόπον γίνεται φανερὸν καὶ θαυμάζεται τῆς τούτου φρονήσεως τὸ στερεὸν καὶ ἑδραῖον καὶ κατωχυρωμένον καὶ βεβηκὸς καὶ κατὰ ἀλήθειαν ἀνδρικὸν καὶ γενναῖον.

ιδʹ. Ταῦτα ὁ μετὰ πολλῆς εὐνοίας συντεθειμένος παρ' ἐμοῦ λόγος οὗτος ὁ πενιχρὸς, ὥσπερ ἄλλο τι χρέος, προσφέρει τῷ βασιλεῖ· πίστιν ἐντεῦθεν διδοὺς καὶ πληροφορίαν τῆς ἡμετέρας ἀκραιφνοῦς καὶ καθαρᾶς μετὰ προαιρέσεως δουλείας τε καὶ ὑποταγῆς· καὶ ὁ βασιλεὺς ἡδέως καὶ ἱλαρῶς καὶ εὐμενῶς αὐτὸν προσδεξάμενος, τὰ κρείττονα δὲ καὶ πλείονα παρὰ τῶν ἐλλογιμωτέρων καὶ σοφωτέρων ἀπαιτήσας, δίκαιον ἀπαραίτητον ἔχει ἐνθεῖναι καὶ φυλάξαι αὐτὰ ἐν τῷ ταμείῳ τῆς ψυχῆς, καὶ κατέχειν καὶ συντηρεῖν ἄσυλα καὶ ἀμετακίνητα, ἀσφαλῶς καὶ καλῶς συγκλείσας καὶ ἁρμοσάμενος τὰς θύρας αὐτῆς, καὶ κλείθροις καὶ μοχλοῖς ἰσχυροῖς στηρίξας μετ' ἀσφαλείας, καὶ φύλακας ἀνυστάκτους τε καὶ ἀγρύπνους ἐπιστήσας αὐτοῖς· καὶ οὕτω λοιπὸν θησαυρίσας πλοῦτον βασιλικῆς μεγαλειότητος ἄξιον, καὶ μεγαλοπρεπῶς καὶ αὐτοκρατορικῶς ἀπολαύων αὐτοῦ, ὀφείλει μεταδιδόναι φιλοτίμως καὶ δαψιλῶς πᾶσι τοῖς ἀρχομένοις· ἵν' οὕτως αὐξάνωσι τὰ καλὰ καὶ πληθύνωνται, καὶ ἀφ' ἑτέρου εἰς ἕτερον διαδόσιμα γίνωνται· πάντως εἰς παράδειγμα καὶ ἀρχέτυπον βλεπόντων τὸν βασιλέα οὕτω κεκοσμημένον, καὶ ἔργῳ καὶ λόγῳ παριστῶντα καὶ δεικνύοντα ἑαυτὸν εὑράμενον τὴν κρατίστην καὶ ἀληθεστάτην εὐδαιμονίαν, καὶ τὴν ἀποκειμένην ἀπὸ ταύτης ἀτελεύτητον καὶ αἰωνίαν μακαριότητα.

A fuerit, atque alias etiam de re simili accusatus, vel si accusator benivolus veraxque creditur, tunc sane negotium periculosius est. Nihilominus si horum omnium concursu judex a sententia recta inflexus non fuerit, tunc enimvero palam fiet ac celebrabitur mentis ejus sapientia atque constantia summis viribus fulta, veritatisque studium generosum et viro dignum.

XIV. *Conclusio.* Hanc ego pauperculam orationem cum multa animi benivolentia compositam, instar debiti tributi, regi offero, ut fidele testimonium sit sinceræ meæ puræque volente animo devotionis ac servitutis. Quam ubi rex libenter læto vultu benivoloque animo exceperit, tum alia meliora et plura ab eruditioribus prudentioribusque exqui- B siverit; tacere non poterit, quid ea reponat in animi arca atque custodiat, atque ab omni direptione protegat, claustris ejus egregie obseratis, seris validisque vectibus ad cautelam adhibitis, vigilibus denique custodibus juxta positis. Atque ita omne opum genus regia magnitudine dignum congerens, eoque splendide et regaliter utens, partes ejus liberaliter atque copiose in subjectos populos effundet; ut sic bona magno numero proveniant, vicissimque et ex ordine propagantur; dum omnes scilicet ad sic exornatum regem, tanquam ad exemplar archetypumque, respectant; ad regem, inquam, qui factis verbisque demonstret, summam se verissimamque tum præsentis temporis felicitatem esse adeptum; tum etiam illum, quæ C nos deinde manet, perennem sine fine beatitudinem.

---

# ΝΙΚΗΦΟΡΟΥ ΒΛΕΜΜΥΔΟΥ

### ΛΟΓΟΣ ΟΣ ΕΠΕΣΤΑΛΗ ΤΩ ΒΑΣΙΛΕΙ

## ΒΑΣΙΛΙΚΟΣ ΚΛΗΘΕΙΣ ΑΝΔΡΙΑΣ *.

αʹ. Νόμος ἀρχῆθεν συμβαίνων τοῖς πράγμασι τοὺς ὑπηκόους εἰσφέρειν τῷ βασιλεῖ· καὶ τοῦτο σφίσιν αὐτοῖς τὰ μάλιστα συντελεῖ· καὶ οὐ μὴν ἄλλως ἐκτελοῖντο τὰ δέοντα· τῷ μὲν γὰρ ἡ τῶν ὅλων ἐπιτροπὴ, τούτῳ δὴ καὶ ἡ πρόνοια· τὸν δὲ μηκέτι ἴδιον ἔχοντα, τῶν ἰδιωτῶν, ἐπείπερ ἐξῄρηται, χρεὼν ἔχειν ἐκ τῶν κοινῶν ὑπὲρ τοῦ κοινοῦ, καὶ τὰ πάντων οἰκειοῦσθαι μετὰ τῶν πάντων· καὶ οὕτω τοὺς ἰδίους D παρασκευάζειν ἀσφαλῶς κεκτῆσθαι τὰ ἴδια, τῷ συνδιδόναι καὶ συναρήγειν ἀλλήλοις, καὶ τὸ συμφυὲς ἐκ παντὸς τρόπου τηρεῖν ὡς ἐν ὁλομελείᾳ, καὶ ἀδιάσπαστοι· οὕτω δὴ καὶ ζώου σῶμα δυσκαταγώνιστον, πάντων μελῶν καὶ μερῶν ἀκραιφνῆ συνεισαγόντων (1) τὰ σφῶν αὐτῶν ἐνεργήματα· τῷ τοι καὶ βασιλεὺς κεφαλὴ τῶν ὑπηκόων ἢ νοῦς καθεστὼς, ἔχοι ἂν δικαίως ἀπαιτεῖν ἐξ ἁπάντων καταλλήλους

(1) Cod. συνεισάγων.

* *Recole monitum priori hujus orationis exemplari præfixum.*

OCR ABK / FR

τὰς εἰσφοράς· καὶ τοῦτο δρᾷν εἰς συντήρησιν τῆς A ὁλότητος· τοὺς μὲν οὖν περὶ τὰς ὕλας ἠσχολημένους εὖ ἂν ἔχοι προσήκουσαν τῶν ἐργασιῶν εἰσπράττεσθαι τὴν ἀπόμοιραν· ἢ μὴν ἀνταλλαττομένους καὶ καθαρμόζοντας πρὸς τὴν κρίσιν τοῦ ὑπερέχοντος· τοὺς δὲ περὶ λόγον ἐσπουδακότας καὶ τὴν ἀλήθειαν τὸν ἀληθῆ λόγον εἰσφέρειν, φόρου παντὸς ἑτέρου λυσιτελέστερον, ὅσῳ καὶ τὸ σπούδασμα τῶν ἄλλων ἁπλῶς ὑπερέκεινα. Τοιγαροῦν εἰ πάντων ἀνθρώπων ὑπερτερεῖ βασιλεύς, ἡ φιλοσοφία δὲ πασῶν ἐπιστημῶν ὁμοῦ καὶ τεχνῶν, τί ἂν εἴη φιλοσοφίας δώρου τῷ βασιλεῖ πρεπωδέστερον; εἴ γε τὰ ὑπερέχοντα τοῖς ὑπερέχουσι, καὶ αἱ ἀπαρχαὶ τοῖς ἐξάρχουσι· βασιλεία μὲν οὖν εἰκονίζει κράτος Θεοῦ, φιλοσοφία δὲ σοφίαν καὶ πρόνοιαν Θεοῦ· ἄσοφον δὲ κράτος καὶ προνοίας ἄνευ πόῤῥω Θεοῦ· διὸ τὰ τῆς B φιλοσοφίας νοήματά τε καὶ πράγματα τῷ βασιλεῖ καθέστηκεν οἰκειότερα.

β'. Πρῶτον μὲν οὖν εἴ γε συνεπτυγμένος ὅρος τοὔνομα, τοῦτ' εὔλογον ἀναπτύξαι, κἀντεῦθεν δῆλον θέσθαι τί βασιλεύς. Ἔστι τοίνυν βασιλεὺς βάσις λαοῦ· τὸ γὰρ ἄστινὲς οὐ κατ' ἄνθρωπον πρὸς τὸ δεῖσθαι προσθήκης τε καὶ τροπῆς· ἡ δέ γε βάσις στεῤῥοτάτη πέφυκεν εἶναι τῶν ἐπ' αὐτῆς, μὴ κατειρωνευομένην μηδ' ἀντιπεφρασμένην τὴν κλῆσιν φέρουσα. Πῶς οὖν τις ἐπιθυμίαις ἐκτόποις ἢ θυμοῖς ἀλόγοις περικλονούμενος βάσις ἂν εἴη λαοῦ; μενοῦνγε τάραχος, περιτροπή· κἀπειδὴ καὶ σκοπός, ὑπόδειγμα πονηρὸν τοῦ ἄρχεσθαι λαχόντος πρὸς τὴν ἐξομοίωσιν ἐπισπεύδοντος, χρὴ λοιπὸν τὸν βασιλέα προβασιλεύειν τῶν ἐν αὐτῷ, καὶ οὕτω δὴ τῶν περὶ αὐτῶν τε καὶ τῶν ἐκτός. Τὸν δέ γε μιᾶς οἰκίας οὐκ C ἰσχύσαντα τῆς ἔνδον κατακρατεῖν πολλοῦ ἂν δέοι πολλῶν ἀναγορεύεσθαι πόλεων ἀψευδῶς αὐτοκράτορα. Τὸ μὲν οὖν ἀνδραποδῶδες καὶ λίχνον περὶ τὰς αἰσχίστας τῶν ἡδονῶν ὅσης ὑπεροψίας ἄξιον, ὅσων ἀποτροπιασμῶν, πρὸς τοσαύτης δεσποτείας, πρὸς τηλικαύτης τιμῆς; τίς γὰρ οὐκ ἂν ἐγκαλύψαιτο, καὶ μόνον διανοησάμενος βασιλικῆς σεμνότητος καὶ θειότητος ὄλισθον εἰς αἴσχρότατα; τούτων δὴ πασχόντων, οἱ πρὸς τῆς Κίρκης ἠλόγωνται τὸ πάθος τὸ ἀτιμότατον, οἱ κάπροι καὶ κύνες ἐξ ἀνθρώπων γεγένηνται· τὸ μὲν ὡς τῷ βορβόρῳ τῆς ἡδυπαθείας ἐγκαλινδούμενοι, τὸ δ' ὡς λυσσῶντες τῷ ἔρωτι· βασιλεῖ δ' ἂν ἐπιπρεπὲς, ἑρμαϊκὸν μῶλυ, φάρμακον λογικὸν, πρὸς τὰς τῆς ἡδονῆς γοητείας ἀντιπαθές· ἤδη δὲ καὶ ξίφος ἀμφίστομον, ὀξεῖα τομὴ διακρίσεως, D διαιροῦσα τὸ κρεῖττον εὐθὺς ἐκ τοῦ χείρονος· καὶ τὸ μὲν αἱρουμένη καὶ συνιστῶσα, τοῦ δὲ κατατρέχουσα. τούτοις γὰρ καὶ τὸν Λαερτίου φασὶ μὴ μόνον αὐτὸν διατετηρῆσθαι ταῖς τῆς Κίρκης μαγγανείαις ἀνάλωτον, ἀλλὰ καὶ τοὺς ἑαλωκότας τῶν ἑταίρων ἐπανασώσασθαι. Οὕτω καὶ βασιλέα χρὴ μὴ μόνον αὐτὸν ἀδούλωτον διαπεφυλάχθαι ταῖς ἡδοναῖς, ἀλλὰ καὶ τοὺς δεδουλωμένους ἐλευθεροῦν καὶ λόγῳ καὶ ὑποδείγματι, καὶ παιάνων ἱερῶν ἐπαΐειν διαπαντός· ἀνέβης εἰς ὕψος σωφροσύνης αἰχμαλωσίαν τῷ ἀγαθῷ

A αἰχμαλωτεύσας· ἐπεί τοί γε μέγα πένθος τοῖς γε νοῦν ἔχουσι περιορᾶσθαι βασιλεῖ τὴν αὐτὴν κληρουχίαν αἰχμάλωτον. Εἰ δέ τοι καὶ αὐτὸς πάθοι τοιοῦτον, ποίαν οὐχ ὑπερβαίνει βαρυαλγῆ συμφοράν; ἢ ποῖον οὗτος τὸ γενναῖον ἐνδείξαιτο πρὸς ἀντίπαλον καὶ ἀνδρικὸν ὁ μὴ πρὸς ἐπανάστασιν ἄτερ δοράτων, ἄτερ ξιφῶν ὠκὺ παυομένην ἀνθεστηκώς; ἀλλὰ μαλακιζόμενός τε καὶ θηλυνόμενος, καὶ αὐθαιρέτοις ἐμπαιγμοῖς προδιδόμενος; Κἂν μή τις ὁρῴη, τὴν ἀλήθειαν οὐ διαφυγγάνει καὶ τὴν συνείδησιν· καὶ πρό γε τούτων τὸ τηλεσκόπον ὄμμα καὶ πανδερκὲς, τὸ τὰ λαθρηδὸν τολμώμενα, καὶ κατοπτεῦον ἀκριβῶς οὐδ' ὅσον εἰπεῖν, καὶ τὰ τῆς αἰσχύνης ἐναντίον αὐτοῦ τελούμενα μυσαττόμενον· ὅπου γε καὶ ἀνθρώποις οὐκ ἄδηλα τὰ πολλὰ, καὶ καταμωκῶνται καὶ διακωμῳB δοῦσι καὶ ἐκθειάζουσι, καὶ εἰς αἰωνίζουσαν μνήμην τὴν περὶ τὰ καλὰ σπουδὴν αὐτῶν παραπέμπουσι. Βασιλεὺς Ἑλλήνων Ἀλέξανδρος ἡττηθέντος Δαρείου καὶ τῶν ἐκείνου θυγατέρων προσηγμένων αὐτῷ γέρας ἀπόλεκτον διὰ κάλλους ὑπεροχὴν οὐ κατεδέξατο ταύταις (2) δὴ προσιδεῖν· αἰσχρὸν εἶναι φάμενος ἄνδρας νικήσαντας ὑπὸ γυναικῶν ἡττηθῆναι· τὸ δ' αὐτὸ καὶ Κῦρος πρώην, ὁ Περσῶν αὐτοκράτωρ καὶ Μήδων· ἐπεὶ γὰρ Ἀσσυρίους καὶ τοὺς ἐκείνων συμμάχους κατετροπώσατο, καὶ ἡ Πάνθεια τῶν Σουσίων ἡ βασιλὶς πάντων αὐτῷ λαφύρων ἐξῄρητο παρὰ τοῦ στρατοῦ, καὶ ἦν διαβεβοημένη τὸ εἶδος ὡς ἀπαράμιλλος τῆς Ἀσίας ἁπανταχῇ, πολλῆς μὲν αὐτὴν ἐπιμελείας ἠξίωσεν, ἑωρακέναι δ' ὅλως οὐχ ᾑρετίσατο· φύλακας σωφροσύνης, οὐκ ἐπιβούλους, κρίνας εἶναι τοὺς βασιλεῖς, διά τε τὸ τῆς ἀξίας θεοειδὲς, C καὶ ὅτι σωφροσύνη καὶ ἀνδρίας καὶ φρονήσεως συνοχή· τὸ γὰρ ἐκδεδύσθαι πρὸς ἔρωτας καὶ πρὸς γυναῖκας κεχηνέναι, καὶ ὡς διὰ φορβειᾶς ἕλκεσθαι πρὸς τὰ αἴσχιστα, καὶ δειλοὺς καὶ ἄφρονας ἀπεργάζεται· κἂν ὁ οὕτω ἔχων σφριγῴη τὸ σῶμα, ψοφοδεὴς καὶ παντὸς κάχεκτοῦντος ἀλλοιότερον διακείμενος, ἐπειδὴ τὸν τόνον τῆς ψυχῆς παραλέλυται· καὶ εἴ τις ἂν τὴν τῶν θρυλλουμένων ἡγεμονιῶν σκοποίη κατάλυσιν, ὑπὸ τῆς συνούσης αὐταῖς εὑρήσει λαγνείας ἐξειργασμένην· αὐτίκα γὰρ ὁ Ἀσσύριος Σαρδανάπαλος πόθεν ἐδρατο τὴν πυρὰν, καὶ εἰς τὸν Μῆδον Ἀρτάκην τὴν δυναστείαν ἀπετινάξατο; καὶ ταῦτα πόσῳ πλούτῳ βρίθων; πόσον ἐπαγόμενος στράτευμα; πάντως ἐκ τοῦ ἐκκεκαῦθαι ταῖς ἐπιθυμίαις αὐτοῦ πάντας ἐκ τῆς οἰκείας θηλύτητος, ἢ καὶ D τὸν στρατὸν ἐξήνδρισε παθούσης γὰρ κατάκρως τῆς κεφαλῆς, τὸ συνημμένον σῶμα τίς μηχανὴ μὴ πάθῃ; Ἕως μὲν οὖν σωφροσύνῃ καλώπλιστο, κραταιὸς ἦν, ἀπρόβλητος ἦν, πάντες αὐτὸν ἐδεδίεσαν, πάντες αὐτὸν ἐπεφρίκεσαν· ἀφ' οὗ δὲ ταύτην ἀπεσκευάσατο, καὶ ταῖς ἡδοναῖς ἀνέπεσε καὶ ὑπτίασεν, ἴδε τίνος ἐξῆς ὥστε καὶ καταπατεῖσθαι λοιπόν; ἢ Βελεσῦος χρησμολογοῦντος καὶ τοῦ λακτίζοντος; Ὁ δ' Ἀστυάγους Δαρεῖος ὁπόσος ἦν, ὃς τὴν Βαβυλωνίων ὡς ἐν ἀθυρματίῳ τινὶ καὶ παιδιᾷ σύμπασαν ἐξηλάπαξε; Πλὴν ἀλλὰ καὶ οὗτος καὶ βασιλείας

(2) Ita Cod.

OCR ABK / FR

ἀπεστέρητο καὶ ζωῆς διὰ τὴν ἐπεισαχθεῖσαν ἀσέλγειαν, τὸν Πέρσην Κῦρον οὐχ ὑπομείνας τὸν σώφρονα. Τί δὲ καθεῖλε τὸν Ἀρσάμου Δαρεῖον, καὶ πᾶσαν Περσῶν κατέλυσε τὴν ἀρχήν; οὐχ ἡ περὶ τὰς φαύλας ὀρέξεις ῥοπὴ καὶ τὸ ἀκρατές; καὶ ἵνα τῶν πόῤῥω διὰ τὸ πλῆθος ἀφέμενοι, τῶν ἐγγυτάτω μνησθείημεν, τί τὸ ἡμέτερον ἀνάκτορον παρεστήσατο, τὴν ἁπασῶν τῶν πόλεων κρατιστεύουσαν, καὶ τῶν ἀῤῥήτων δεινῶν τὴν οἰκουμένην ἀνέπλησεν; ἆρ' οὐχ ἡ τῶν προμάχων ἐπίῤῥητος βιοτή; τὸ ἀξιοζήλωτον σπούδασμα, καὶ τὸ ἐντεῦθεν διακεχαυνῶσθαι πρὸς πᾶσαν ἔνστασιν; οὐδὲ γὰρ ἕτερον οὐδὲν ἄνδρας εἰς γυναῖκας ἀμείβειν οἶδεν, ὡς ἡ πρὸς αὐτὰς ἐμπαθὴς σχέσις καὶ ἐμμανής· οὐδὲν ἕτερον δυσαλέας ζωῆς καὶ μαγλοσύνης καὶ σῶμα σαθροῖ καὶ ψυχήν· σωφροσύνη ῥώννυσι σῶμα, σωφροσύνη κραταιοῖ τὴν ψυχήν· ἀκολασία δὲ καὶ ἄμφω διαλυμαίνεται· κἂν ὑγεία τις ἐξ ἡδονῆς τῷ καταβεβλακευμένῳ, κἂν εὐσαρκία νομίζοιτο, τῶν Ἀδώνιδος κήπων οὐδέν τι διενηνόχατον, οἵπερ ἐπ' ὀστράκων τεθηλότες, πλέον τὸν γέλων συνίστων τοῖς ἐνορῶσιν, ἢ τὸ τεθηλὸς ἑαυτοῖς. Οἷα δὲ τῶν τῆς Κύπριδος τὰ σπουδάσματα, τοῖα καὶ τὰ τῆς εὐεξίας αὐτοῖς· ὀνείρων ἀποσκιάσματα· τὸ τῆς ζωῆς γὰρ κεφάλαιον τῆς ἀνθρωπίνης διέφθορεν, ὁ τῆς ἀνδρίας θέμεθλος ἀνατέτραπται, φρόνησις εἰς τὸ μηδὲν εἰδέναι, μηδ' ὡς οὐκ ἴσασι, περιέστηκε· τὰ δὲ τῆς εὐκληρίας ὕλη μόνη, τεχνίτου λείποντος, εἰκῇ φερομένη, καὶ ἀποτελοῦσα τὸ καθὼς ἔτυχε· διὰ ταῦτα τῶν ἀναγκαιοτάτων τῷ βασιλεῖ βασιλεύειν τῶν ἡδονῶν.

γ'. Τὸ δ' ὀργίλον καὶ μεμηνὸς ἀπεῤῥίφθω λησταῖς, ὧν κατὰ τὴν τοῦ ὄφεως ὁμοίωσιν ὁ θυμός· ὧν κατὰ τὴν δαιμονικὴν μισανθρωπίαν τὸ ἀπηνές· τῷ καθ' ὁμοίωσιν τεταγμένῳ Θεοῦ καὶ τοῦ πλάσματος αὐτοῦ πεπιστευμένῳ τὴν ἐπιμέλειαν, τὸ γαληνὸν προστηρμόσθω καὶ ἥμερον, τὸ ἐπιεικὲς καὶ φιλάνθρωπον· εἰδότι καλῶς ὅτι τὸ ἀρχόμενον συγγενὲς, καὶ ὡς ἑαυτὸν περιέποντι, τῶν ὑγιαινόντων προμηθουμένῳ, τοὺς ἀῤῥωστοῦντας ἐπισκοπτομένῳ, καὶ θεραπείας ἀξιοῦντι τῆς κρείττονος, μαλάγματι μὲν ὡς ἐπίπαν καὶ καταδέσμοις· ποτὲ δὲ καὶ κατὰ πολλὴν ἀνάγκην προσφερομένῳ καὶ αὐστηρότερον, εἴπερ μετὰ συχνὴν καὶ παρήγορον ἀγωγὴν ὁρῴη τὴν νόσον ἀγρίαν τε καὶ δυσκάθεκτον· ὡς μέντοι μέλεσι γνησίοις συνοδυνωμένῳ τοῖς πάσχουσιν· οὕτω τις εἰς ἑαυτὸν ἕλκει τοὺς οἰκτιρμοὺς τοῦ Θεοῦ· οὕτω βασιλείαν ἀκατάλυτον ἑαυτῷ προμνηστεύεται· οὕτω κἀνταῦθα πᾶσι φιλεῖται, πᾶσιν ἑκασταχῇ περιᾴδεται, διακεκραγόσιν· Ὁ σωφρονέστατος, ὁ πρᾳότατος, ὁ ἀφομοιότατος Θεῷ. Τὸ δὲ σάρκας ἀνθρώπων καταξαίνειν δι' ἀμυδρόν τι πλημμέλημα τοῦ κατεσθίειν διὰ μανίαν ἑαυτοὺς οὐ πάμπολυ διενήνοχεν· ὥσπερ γὰρ ἐκεῖ τῆς τῶν ὀδυνῶν αἰσθήσεως ἡ φορὰ τῆς νόσου κατακρατεῖ, παραπλησίως κἀνταῦθα τοὺς ὀργιζομένους τὸ τοῦ θυμοῦ διατίθησιν ἀκατάσχετον, καὶ οὐ μεθίησιν ἐννοεῖν, ὅσον ἂν ἠνιῶντο πάσχοντες οὗτοι· καὶ ὅτι τῆς αὐτῆς οὐσίας ὁ τιμωρούμενος, καὶ οἷον φέρει τὸ ἄλγος· καὶ οἵαν ὁ συμπαθὴς δεσπότης ἐπάγει τὴν ἄμυναν· ἔτυψέ τις ῥοπάλοις πικρῶς,

A πυγμαῖς ἔπληξεν, ἀλόγῳ θυμῷ χαριζόμενος· ἀντιτέτυπται, ἀντιπέπληκται, ῥίγει τυχὸν, πυρετῷ, κεφαλῆς ἄλγει, καρδιωγμοῖς, τηνεσμοῖς, ἑτέροις ἀνιαροῖς· ὅτ' οὐκ ἔμελλε, πλεῖόν τι δέδρακε, πλεῖόν τι πεπόνθει· εἰ δ' οὐ παρὰ πόδας παντὶ ποινὰ, κατὰ καιροὺς οὓς οὐκ εἴσεται· μαρτυρεῖ πρὸς ἑτέροις πολλοῖς ὁ ὑπὲρ τῶν Γαβαωνιτῶν λιμὸς, ὡς ἐν ἄλλοις πταίοντες καιροῖς, ἐν ἄλλοις ἀπολαμβάνομεν. Ὁ δ' ἐνταυθοῖ τὰ πάντα παραδραμὼν βιαιοτέροις ἂν ἐγκύρσοι καὶ μονιμωτέροις ἐν τῷ τέλει δεινοῖς. Τὸ δέ γε μισεῖσθαι καὶ ἀπευκταῖος εἶναι καὶ ἀποτρόπαιος καρπώσαιτο καὶ ἔτι περιών· κἂν οὐκ εἰς τοὐμφανὲς διὰ δέος, ἀλλ' ἐν διαθέσει ψυχῆς ῥίζῃ πονηρῶν διαλογισμῶν· ὅσῳ δὲ κρείττων αἱρετὸς ἡγεμὼν διὰ τὸ χρηστὸν, τοῦ φοβεροῦ διὰ τὸ κολαστικόν· ὑπὲρ μὲν B γὰρ τοῦ προτέρου φόβος πολὺς, αἱρετὴ δὲ καὶ μᾶλλον τοῦ δευτέρου ἀπαλλαγή. Τί δὲ χρὴ λέγειν τὰ τῆς ἀσχημοσύνης, εἴ ποτ' ἂν ἴσως ἐκ τοῦ μὴ συνειθίσθαι τὴν ἐποχὴν τοῦ θυμοῦ μακρὸν ὑπερβαίη τοὺς ὅρους αὐτὸς παρὰ τὴν τοῦ πάσχοντος βούλησιν· ὅταν τὸ περὶ τὴν κάραν αἷμα παφλάζον σφοδρῶς καὶ ἀνακυκώμενον, κατὰ πολλὴν ἐρημίαν τοῦ κατευνάζοντος καὶ καταστέλλοντος λογισμοῦ, κἂν τοῖς ἀγγείοις συνωθούμενον οὕτω δὴ καὶ στενοχωρούμενον ταράττοι καὶ παρακινοίη τὸν ὀργιζόμενον, πρός τε τὴν ἐπιφάνειαν αὐτὴν βιαζόμενον, τὸ μὲν πρόσωπον διφθηκὸς ἐκτελοίη μετά τινος ἀναιδοῦς ἐρύθους καὶ πελιδνότητος καὶ ποικίλης περικλονήσεως· τοὺς δ' ὀφθαλμοὺς ἄντικρυς ἄνθρακας ἀπεργάζοιτο καὶ οἵους τοὺς δρακόντων ἀκούομεν, πυκνὰ περιστρεφομένους καὶ ἀναπάλλοντας καὶ τὰς οἰκείας ἕδρας οὐ C στέγοντας· ἡ φωνὴ δ' ὑπερτείνοιτο, καὶ ὁ λόγος οὐκ εὔσημος ἀκριβῶς, ἅπαν τε τὸ σῶμα σπαράττοιτο καὶ ἀτάκτως ᾄττοι καὶ παραφέροιτο, τῷ πνεύματι τῆς ὀργῆς ἐνεργούμενον· ὁποία τότε ψυχῆς φανείη κατάστασις; ὄντως ἀνὴρ θυμώδης οὐκ εὐσχήμων, εὐστόχως εἴρηται· διὸ καὶ λίαν ἀπᾷδον τοῦτο τὸ πάθος τῇ βασιλικῇ κοσμιότητι.

δ'. Λαῶν κοσμήτορες οἱ βασιλεῖς ἔκπαλαι κέκληνται καὶ ποιμένες λαῶν· ὁ τοίνυν λαοὺς προβεβλημένος κοσμεῖν, ὡς στρατηγὸς ἐν ταῖς παρατάξεσιν, ὡς πρῶτος ἡγεμὼν καὶ παιδευτὴς ἐν τοῖς ἤθεσιν, ὅσον ἔχειν αὐτὸς ὀφείλει τὸ κόσμιον; ὅσον δὲ πρὸς τὰ ποίμνια τὸ κηδεμονικὸν ὁ ποιμὴν, ἄγων μὲν ἐπὶ νομὰς ἀγαθὰς, αὐλῷ δὲ τέρπων καὶ σύριγγι καὶ ᾠδαῖς· οὐ δεσμῶν, οὐ στρεβλῶν, οὐ καταικίζων D μικραῖς προφάσεσι· ταῦτα γὰρ οὐ καλοῦ ποιμένος, οὐδὲ τιθέναι τὴν ψυχὴν ὑπὲρ τῆς ποίμνης πεπαιδευμένου. Τό γε μὴν κἀπὶ τῇ τῶν ἀγομένων τέρπεσθαι συντριβῇ τῶν τῆς αὐτῆς φύσεως ἠξιωμένων, καὶ τοῖς ἑτέρων ἀλγεινοῖς ἐφήδεσθαι, τῆς Ἐχέτου θηριωδίας καὶ ἰταμότητος. Σέσωστρις Αἰγυπτίων καὶ Ἀσσυρίων δυνάστης, βασιλέας ὑποτάξας πολλοὺς, κόσμου γὰρ κατῆρξεν, εἰ μὴ παντὸς, τοῦ γε πλείονος, ἅρματι μὲν αὐτοὺς ὑπεζεύγνυ λαμπρῷ, δι' αὐτῶν δ' ἐπιβαίνων πεφρονηματισμένος καὶ γηθόσυνος· καί τινός ποτε τῶν ὑπεζευγμένων βράδιστον καὶ ἀνακεκομμένον βαδίσαντος, Τί δῆτα μέλλεις, ἀνήρετο; καὶ ὃς, Ὅτι τὰς τῶν τροχῶν, ἐπήγαγε,

OCR ABK / FR

στροφὰς καθορῶ· συνεὶς οὖν ὁ Αἰγύπτιος τὸ τῆς A τύχης ἄστατον ὑποδηλωθὲν, πρᾳότερος τοῦ λοιποῦ καὶ συμπαθέστερος ἦν. Ἱέρων δὲ Συρακούσιος οὐχ ἑκόντων ἡγεμονεύσας τῶν Σικελῶν, οὕστινα τῶν πρὶν ἀντικαθισταμένων μετὰ τὴν ἡγητορίαν λελύπηκε· μᾶλλον μὲν οὖν εὖ ἐποίει πᾶν τὸ πλῆθος διὰ παντὸς, οἷα πατὴρ ἱλαρὸς ἑκάστῳ δὴ προφερόμενος. Ἔτεσι δὲ κατάρξας τέσσαρσι πρὸς πεντήκοντα, τῇ πατρίδι μὲν τὴν εἰρήνην, ἑαυτῷ δὲ τὴν ἀρχὴν ἀστασίαστον πάντῃ διατετήρηκεν. Ἐπιβαλλόμενος δὲ πολλάκις ἀποθέσθαι τὴν δυναστείαν, κοινῇ τοῦ πλήθους ἀντιβολήσει διακεκώλυται· τοσοῦτον ἐράσμιος ἐγεγόνει τοῖς ἀρχομένοις, σωφρονικώτατος ὢν, εὐεργετικώτατος, ἔτι μᾶλλον ἡμερώτατος. Τοῦ δ' αὐτοῦ τρόπου καὶ Ἄλκιμος ἦν ὁ Λυδός· ὅθεν ἐν γαλήνῃ καὶ ἀφθονίᾳ τὸ ὑπήκοον βιοῦν παρεσκεύασεν· ἑπτὰ δὲ B διεληλυθότων ἐτῶν ἐθεοκλύτουν οἱ λαοὶ παγγενῆ συνιόντες καὶ πανδημεὶ τὸν βίοτον ἐπεκτείνεσθαι τῷ σφῶν αὐτῶν βασιλεῖ· καὶ ἦν τοῦτο· καὶ πολυετὴς ὁ Ἄλκιμος γεγονὼς, εὐημερίαν μὲν τῷ τότε Λυδοῖς, ἑαυτῷ δ' ὄνομα καὶ ἕως δεῦρο πολὺ καὶ κλεινὸν καταλέλοιπεν. Ἐπαινῶ τοὺς προγενέστερον βεβασιλευκότας Ῥωμαίων, ὅτι τὸ, Ἡ γαληνότης ἡμῶν, πᾶσιν αὐτῶν ἐνετίθουν τοῖς διατάγμασιν, ἀντὶ τοῦ γράφειν, Ἡ βασιλεία μου· δηλοῦντες ὅτι τὸ γαληνόν τε καὶ ἥμερον ἀφωσιωμένον τῷ βασιλεῖ καὶ ἐξαίρετον, καὶ ὑπὲρ αὐτὴν τὴν ἁλουργίδα καὶ τὸ διάδημα· τὰ μὲν γὰρ καὶ τύραννοι σφετερίζονται· γαληνότης δὲ βασιλικῆς ἀξίας καὶ μόνης ἄσυλόν τι χρῆμα καὶ ἀναφαίρετον· διὸ πολλοὶ τῶν πάλαι βασιλέων ἔργοις τε καὶ λόγοις ἐφιλοσόφησαν περὶ ταύτης τῆς ἀρετῆς· οὐκ ἔλαττον δὲ τῶν ἄλλων ὁ μετὰ Νερούαν τὸν C πρᾴως καὶ σοφῶς καὶ αὐτὸν βεβασιλευκότα, τὴν αὐτοκρατορίαν περιζωσάμενος· οὗτος γὰρ τοσοῦτον ἔσχηκε τὸ πρᾶον καὶ φιλοικτον, ὡς καὶ συγκάμπτεσθαι παντὶ λυπουμένῳ καὶ συναλγεῖν· πρὸς δὲ καὶ τωθασμοὺς φέρειν καὶ ἀνεξικακεῖν· δεῖν ἐξισοῦσθαι λέγων τὸν βασιλέα τῷ Θεῷ, καὶ πλημμελειῶν καὶ σκωμμάτων ἀντέχεσθαι. Τί οὖν ἀπῆγε τῆς τοσαύτης χρηστότητος; συγγνώμην τῶν ἠγνοημένων εὕρατο καὶ ἠσεβημένων, τὸ μέγιστον, ὑπὸ πρεσβευτῇ τῷ πολλῷ Γρηγορίῳ, οὗ ὁ διάλογος· οὐ γὰρ ἑτέροις μετέδωκε δαψιλῶς, τούτου μετὰ τέλος ἀπήλαυσεν δαψιλέστερον· δείξας τὸ συμπαθὲς, εὐχῆς δικαίου συναρηγούσης, ἀσεβείας ἐπικρατέστερον. Ὅτι δὲ καὶ σωφροσύνῃ κεκόσμητο, πρόδηλον· χωρὶς D γὰρ ταύτης οὐδεὶς τὸν Κύριον, κἂν εὐσεβοίη, κατόψαιτο, κἂν ταῖς ἄλλαις λέγοιτο κομᾷν ἀρεταῖς· καὶ γὰρ ὄντως οὐδ' ἔστιν ἀρετὴν οὐδεμίαν ἄνευ σωφροσύνης εὑρεῖν ἀνόθευτον· ἀνδρεῖος γὰρ πῶς ὁ μὴ κατὰ σαρκικῶν ὁρμῶν ἀνδριζόμενος; Ὁ δ' αὐτὸν ἀδικῶν καὶ μεθ' ἧς ἀσελγαίνει, πῶς δίκαιος; Ἢ ποίαν αὐχοίη φρόνησιν ὁ μὴ τὸ φέρον ὄνησιν ἑαυτῷ τὴν ὑπερτάτην συνειδὼς τε καὶ ἐκλεγόμενος; λέγω δὲ τὸν ἁγιασμόν· ἀλλὰ τὸν ἡγεμόνα καταδουλαγωγῶν ταῖς ἀκαθάρτοις ὀρέξεσι, καὶ τοῦ ἀκροτάτου τῶν ἐφετῶν ἀποστερῶν ἑαυτὸν, διὰ τὴν ἐξάγιστον ἡδονήν.

Ε'. Ἔστι δὲ καὶ ὁ τῶν χρημάτων ἔρως ἀπρεπὴς ἄγαν τῷ βασιλεῖ καὶ ἀνάρμοστος· τέτταρα γὰρ ἐντεῦθεν ἀποκυΐσκεται τέρατα, τὸ ἀνελεύθερον, καὶ τὸ μικροπρεπὲς ἐν ταῖς δόσεσι, τὸ καπηλικὸν, καὶ τὸ πλεονεκτικὸν ἐν ταῖς λήψεσι· τὸ μὲν γὰρ μηδ' ὅλως ἢ ὀλίγους καὶ βεβιασμένως εὐεργετεῖν δουλικόν· δοῦλος γὰρ οὐ δίδωσιν, ἢ ὀλίγοις εἴπερ ἐκβιασθείη, καὶ τούτοις κλέπτων τὰ τοῦ δεσπότου· πῶς γὰρ ἄλλως ὁ μηδὲν ἔχων, καὶ αὐτὸ τὸ σῶμα δεδιαπεπραμένος; Τὸ δὲ πολλοῖς μὲν δωρεῖσθαι, πεφεισμένως δέ γε καὶ γλισχρῶς, καὶ μάλιστα τοῖς ἀξίοις πολλοῦ, τοῦτ' εὐτελοῦς τινος καὶ μικροῦ, μὴ μέντοι, τοῦ πάντων ὑπερτεροῦντος καὶ ὑπερέχοντος· τὸ δ' αὐτοῖς χαμαιζήλοις συμφέρεσθαι πράγμασι, καὶ τοὺς ἰδιωτικοὺς πορισμοὺς μεταβιβάζειν εἰς τὸ δημόσιον, μηχαναῖς τέ τισι κατασοφίζεσθαι καὶ περισυλᾷν τὸ ὑπήκοον, τοῦτο καπηλικόν· τὸ φορολογεῖν δὲ πέρα τοῦ δέοντος καὶ παραλόγως δασμολογεῖν, ἢ καὶ παντὶ τρόπῳ νηλεῶς ἐκλωπίζειν τοὺς ὑπὸ χεῖρα καὶ τραχηλίζειν ἀπηρυθριασμένης πλεονεξίας ἐστίν· ὅθεν τὴν τῆς φιλοχρηματίας κακίστην νόσον, ὡς τὸ τῆς ψυχῆς ἀχρειοῦσαν κάλλος, ὡς αὐτὴν τὴν ἀρχὴν ἀκρωτηριάζουσαν, ἀποστυγητέον ὅλῃ σπουδῇ· τοιαύτην γὰρ ὀλέτειραν οὖσαν τῶν ἀγαθῶν Περσεὺς καὶ Ἀλέξανδρος βασιλεῖς Μακεδόνων, ὁ μὲν προσηκάμενος, καὶ συμμαχίας ἠρήμωτο καὶ τιμῶν, καὶ καθῃρημένος ὑπὸ Ῥωμαίων, καὶ δέσμιος ἠγμένος, λάκκῳ ζοφώδει μετὰ τῶν χρημάτων ἐγκαθεῖρκτο, καὶ τὴν ἐκεῖσε ζωὴν ἀθλίως οὕτω κατέστρεψεν· ἱκανῶς τε τῆς φρενοβλαβείας τῷ τότε μυκτηρισθεὶς, καὶ εἰς ἔτι χλευάζεται παρὰ τῶν εἰδότων καὶ ταλανίζεται· κρείττων δὲ τοῦ πάθους Ἀλέξανδρος γεγονὼς, καὶ ἀποπτύσας καὶ ἀποδιοπομπήσας αὐτὸ, μικροῦ δεῖν ἁπάσης οἰκουμένης ἐν βραχεῖ κατεκράτησεν· θησαυροὺς γὰρ οὗτος τοὺς φίλους ἡγούμενος, ὑφ' ὧν καὶ συνασπίζοιτο καὶ δοξάζοιτο, τῆς ἀρίστης ἀπηύρα κρίσεως, ὑπὲρ ὅσους βασιλέας μεγαλυνθείς. Ταύτης τῆς γνώμης καὶ Κῦρος ἐτύγχανε, καὶ πάντα διδοὺς τοῖς φίλοις, τὰ πάντων ἔχειν ἐνόμιζε· καὶ πλουτίζων τοὺς αὐτοῦ καὶ κοσμῶν, αὐτὸς ἠγάλλετό τι καὶ ἐφαιδρύνετο· καί ποτε παρ' αὐτῶν ἠρωτημένος, Σὺ δὲ, Κῦρε, πότε κοσμήσεις σαυτόν; Ἆρ' οὐκ ἐξόχως, ἔφη, κεκόσμημαι, πάντας ὑμᾶς κεκοσμημένους ὁρῶν; Παρ' ἄλλων δὲ, Διὰ τί οὐ πλουτεῖς; τί δ' εἴρηκεν; Οὐχ ὑπερβαλλόντως πλουτῶ, τοὺς ἐμοὺς πάντας πλουτοῦντας εἰδώς; Οὗτος πατὴρ ἐκαλεῖτο διὰ τὸ συμπαθὲς, καὶ τὸ πάντα τἀγαθὰ μηχανᾶσθαι τοῖς ὑπ' αὐτόν· ὥσπερ αὖ ὁ Καμβύσης διὰ τὸ χαλεπὸν καὶ ὀλίγωρον δεσπότης πικρός. Ὁ δέ γε Δαρεῖος, διὰ τὸ φιλοκερδὲς, διὰ τὸ χυδαιότροπον, διὰ τὸ μετακινεῖν καὶ ὑπονοθεύειν τὰ πράγματα, κάπηλος. Ἀλλ' Ἐπαμινώνδας Θηβαίων στρατηγὸς οὕτως ἐτίθει τὴν τοιαύτην λώβην ἐν βδελυκτοῖς, ὥστ' ἐπειδή ποτε κατεῖδέ τινα τῶν ὑπασπιστῶν αἰχμαλώτου δεδεγμένον λύτρα, τὴν ἀσπίδα λαβὼν ἀπώσατο τοῦτον τοῦ τάγματος· Ἐμοὶ, φήμενος, ἀπόδος τὴν ἀσπίδα, σὺ δὲ καπηλεῖον ἐξώνησαι. Πρὸς δέ γε Κάτωνα Ῥωμαίων στρατηγὸν οἱ τῶν Βρετανῶν ὑπὲρ φιλίας διαπρε-

OCR ABK / FR

σβευσάμενοι βασιλεῖς, ἕως γὰρ κἀκείνων ἡ τοῦ ἀνδρὸς ἐπεφθάκει φήμη, καὶ χρυσοῦ μακρὰ τάλαντα διαπεπόμφασιν εἰς τοῦτο· καὶ ὃς τὴν μὲν φιλίαν ὡμολόγησε καὶ ἐκύρωσεν· τὸν δὲ χρυσὸν ἀπεπέμψατο· τοὺς δούλους εἰπὼν εἶναι τῶν ὠνητῶν· τοὺς δέ γε φίλους τῶν αἱρετῶν· τοσοῦτον δὴ καὶ οὗτος τοῦ τῶν χρημάτων κατεστρατήγησεν ἔρωτος. Ὁπόσα δ' ἄμφω καὶ διὰ ταύτην τὴν ἕξιν κατωρθωκείτην τὼ στρατηγώ, δεικνύντων ἄλλοι, τῆς ἱστορίας ἀπολαμβάνοντες· τὰ γὰρ Ἀλεξάνδρῳ καὶ Κύρῳ καὶ πρὸς ταύτης ἐξειργασμένα, πυρσοῦ διαφαίνει λαμπρότερον, οἷς μὴ τῷ τῆς διανοίας ὀπτικῷ ῥαστώνης ἀμαύρωσις ἐπικέχυται· καὶ οὔποτ' ἂν ἀποσβαίη, τοῦ ἡλίου χθόνα περιαυγάζοντος· καὶ ὅπη δ' ἄλλῃ τὰ τρία ταῦτα συνέλθοιεν, τὸ σώφρον, τὸ ἤπιον, τὸ φιλότιμον, ἐκεῖ καὶ τὸ ἀριστεύειν καὶ τὸ κλεΐζεσθαι. Σωφροσύνη μὲν γὰρ ἀνδρίας παίδευμα καὶ μελέτημα, καὶ τοῦ τῶν ἀνθισταμένων κατεπεμβαίνειν καὶ ἡττᾷν αὐτοὺς καὶ τροποῦν· πρᾳότης δὲ καὶ τὸ ἀνεξίκακον καρτερίας καὶ μεγαλοψυχίας γυμνάσιον καὶ στεῤῥότης· ἅμα δὲ καὶ τῆς παρὰ πάντων στοργῆς ἀρχὴ καὶ κρηπίς· τὸ δ' εὐεργετικὸν καὶ τὰς τῶν συμμάχων χεῖρας νευροῖ, καὶ, τοὺς τῶν ἀντιμάχων αὐχένας κλίνει, καὶ τὸ οἰκεῖον ἐχυροῖ, καὶ τὸ ἀλλότριον ὑποτάττει, καὶ πάντων ἀνοίγει στόμα, πᾶσαν γλῶσσαν θήγει πρὸς ἔπαινον· ὥστε καὶ νίκης καὶ δόξης ὁμοῦ τὰ δειλημμένα ποριστικώτατα· φύσει γὰρ νικητὴν ἔνδοξόν τε φύσει τὸν κατωρθωκότα προαπετέλεσεν· μήποτ' οὖν ὀρθῶς ταῦτ' ἂν λέγοιτο μῆλα χρύσεα πρὸς Ἡρακλέους ἀφῃρημένα τῶν Ἑσπερίδων ἐπὶ τοῦ Ἄτλαντος, τὸν ἑκατογκέφαλον ὅτε δὴ πέφνε καὶ ποικιλόφωνον δράκοντα τοῦ Ἀθόμαντος (3); εὖ γὰρ ἂν ἔχοι τῷ χρυσῷ τὴν δόξαν ἐξεικονίζεσθαι· τὸν δ' ἀλλόκοτον δράκοντα καὶ τερατώδη πρὸς τὸ τῆς φαύλης ὀρέξεως πολύτροπον ἐκλαμβάνεσθαι. Τοιγαροῦν ὁ τοῦτο κατηργηκὼς καὶ οἷον ἀπεκτονώς, ἤρατο κλέος βραβείων τριῶν, ἡδονὴν, ὀργὴν, ἔρωτα χρημάτων νενικηκώς. Ταῦτα δ' ὡς τὰ πολλὰ ταῖς ἑσπερίσι φυλάττεται βιοταῖς, ἐν αἷς ὁ Ἄτλας λογισμὸς καὶ ἀνένδοτος· ὁ δ' αὖ τὸ τέλειον προειληφὼς χρόνους ἐν ὀλίγῳ πεπληρώκει μακρούς· καὶ τρισαριστεὺς ἀξιοθαύμαστος ἀναδέδεικται τὰ γήρως κατορθώματα προηρπακὼς ἐν νεότητι· καὶ τὸ τῆς ναρκώσης ψυχῆς ποικίλον θηρίον ἀνῃρηκὼς ἐν σπουδῇ τῆς παρειμένης περὶ τὰς ἐλλόγους καὶ κατὰ φύσιν ὁρμάς· δι' ὧν ἄρα λωφῶσιν αἱ παρὰ φύσιν καὶ ἄλογοι· τῷ γὰρ ἀνημμένῳ καὶ συντόνῳ τοῦ καθηγεμόνος διαπέφρικε τὸ ἀλλόφυλον καὶ ἀπέψυχε. καὶ πάσχει πλέον ἢ κνώδαλον ἐκ λέοντος ὠρυγῆς· ὥσπερ τῷ διακεχαυνῶσθαι καὶ πνεῦμα πεπτωκέναι καὶ νήγρετον καθυπνωκέναι τὸν ἰσχυρὸν, ἀναζωπυροῦται τὰ πάθη, καὶ ἀποθρασύνεται, καὶ παρειληφότα τοῦτον ὑπὸ Δαλιδᾷ τῆς ἠρετισμένης συνοίκου νωχελίας, ἀποκεκαρμένον τὴν σύνεσιν ἐκτυφλοῖ, καὶ οὕτω διαπαίζει πολυειδῶς, ἄλλοτε πρὸς ἄλλα τῶν γελοίων καθέλκοντα· τὸ δ' ἀθλιώτερον οὐδ' οἶδεν ὁ κατειλημμένος, οἷ κακοῦ γέγονεν· ἀλλὰ πεπωρωμένος πέφηνε καὶ ἀναίσθητος.

ς'. Ἔστι δ' ἐνίοτε καὶ τῇ συμφορᾷ βρενθυόμενος, καὶ δόξαν τὴν αἰσχύνην ἡγούμενος. Εἰ δὲ καὶ κόλακες ἐπίτριπτοι θωπεύοντες τύχοιεν καὶ καταψῶντες αὐτὸν καὶ σαίνοντες, ἐνασμενίζει τούτοις ἢ (4) φίλοις, μὴ ξυνορῶν τὸ διάφορον· ὅτι κόλαξ μὲν ἐκ παντὸς τρόπου τὸ ἡδὺ καρυκεύει, κἂν δηλητήριον· φίλος δὲ τὸ ἐπωφελὲς ἀγωνίζεται, κἂν πρὸς ἀνάγκην ἀνιῴη τὴν αἴσθησιν· καὶ ὁ μὲν ὅλαις ἡνίαις πρὸς μόνον φέρεται τὸ λαβεῖν· ὁ δ' ὑπὲρ τοῦ τῷ πεφιλμένῳ συνοίσοντος, καὶ αὐτὴν προΐεται τὴν ζωήν· καὶ ὅτι κόλακες μὲν χείρους κοράκων· ὁ δὲ φίλος ἄλλος αὐτός. Ἔστι μὲν οὖν τὸ ἐκλελυμένον τούτων παραίτιον τῶν δεινῶν· αὐτοῦ δὲ πολλάκις τὸ ὑπερήφανον. Διὸ καὶ τὸν Κορίνθιον Ἱππόνουν μετὰ νίκας ὅσας ἱστόρηται, τὴν τῶν ἀρκώων τῆς Ἀντείας ἐξάλυξιν, τῶν ἀδίκων ἐρώτων καὶ ἀδικωτέρων ἐπιβουλῶν, τὴν τῶν Σολύμων, τῶν Ἀμαζόνων τῆς τῶν ἀκμαιοτέρων ἐνέδρας Λυκίων καταπολέμησιν, ἐπεὶ καὶ τὸν αἰθέρα διαπτῆναι τῷ Πηγάσῳ νεανιεύσοιτο, κατενηνέχθαι κύμβαχον, καὶ πεπηρῶσθαι μὲν τὰς ὄψεις, ἀλᾶσθαι δὲ κατὰ πεδίον ἀλήϊον, μὴ τετυχηκότα τέως χειραγωγοῦ· παραπλησίως ἄρα καὶ γαῦρος καὶ ἀλαζὼν λογισμὸς, εἰ καὶ τῆς ἀντιώσης ἐν ἀρχαῖς μαλθακῶς ἡδονῆς περιγένοιτο πρότερον, ἔπειτα δὲ καὶ αὐτὴν τὴν μεσαιτάτην ταύτης φλόγωσιν καταθέσειε, τήν τε τοῦ θυμοῦ προτομὴν ἀνέλοι, καὶ τὸν τῆς χρηματομανίας ὁλκὸν ἀποτάμοι, σύστασιν καὶ λόχησιν ἐμπαθῆ τῷ ὑπερῆρθαι πάσης χαμαιζήλου σχέσεως τροπωσάμενος, εἰ μὴ πρὸς μόνα τὰ φαῦλα φέροι τὸ ὑπεροπτικὸν, ἀλλ' ἤδη καὶ πρὸς τὰ κρείττω καὶ ὑψηλότερα, τοῦ τε συντείνειν ἑαυτὸν εἰς τὸ δέον καταπεφρονηκώς, καὶ συμβουλίας νουνεχοῦς ἑτέρου καταμελῶν, πρὸς τὸ πρῶτον καταβάλλεται πτῶμα· καὶ τὸ διακριτικὸν ἐκτετυφλωμένος, ἔρημος πλανᾶται παντὸς ὁδηγοῦ, μηδενὸς ἐπαΐων χρησίμου· πνευμάτων δὲ καὶ κυμάτων ὄχλῳ, διακένοις ταράχοις περιβομβούμενος, ἢ τῷ τῆς ἀτασθαλίας πελάγει καταποντοῦται, πτεροῤῥυήσας ὥσπερ Ἴκαρος (5), τῷ πέρα τοῦ μέτρου πτερύξασθαι, καὶ τῶν ἡλιακῶν ἀμαρυγμάτων κατεπαρθῆναι· τοὺς γὰρ Λυκαονίτας παρίημι, κεραυνουμένους σὺν τῷ σφῶν αὐτῶν ἀρχηγέτῃ καὶ τῆς ἀπονοίας καὶ τῆς γενέσεως· καὶ τὸν ἀπὸ βύρσης βροντῶντα Σαλμωνέα ταυτὸ πάσχοντα· καὶ τὴν καινὴν πόλιν ἐξαφανιζομένην σὺν τοῖς οἰκήτορσι· καὶ τοὺς Ἀλωάδας, καὶ τὴν ὑπ' ἀλλήλων πτῶσιν αὐτῶν ἐν τῇ γῇ, πρὶν Ὄσσαν ἐπ' Ὄλυμπον θέντας, ἐπὶ δ' Ὄσσαν τὸ Πήλιον ἀναφοιτῆσαι πρὸς οὐρανόν. καὶ τὰς ἄλλας τῆς ὑπερηφανίας ὁρμὰς καὶ καταστροφάς. Ποῤῥωτάτω τοίνυν ἐξοριστέον, ἐπεὶ καταβλητικὸν, τὸ μετέωρον φρόνημα· προσοικειωτέον δὲ τὸ μέτριον, ὅτι βεβηκὸς καὶ ὑπερείδειν εἰδός· καὶ δὴ τῇ τοῦ λόγου συναρμοστέον τιμῇ, καὶ τὴν ἀρίστην

(3) Ita cod. Fort. Ἀθάμαντος.
(4) Ita cod. pro ὡς.

(5) Cod. Ἰκάριος

OCR ABK / FR

ταύτην συζυγίαν ἢ συμφυΐαν, τὴν ἀδαμαντίνην ἅρπην παραληπτέον τὴν Ἑρμαϊκήν· δι' ἧς ὁ θεῖος Περσεὺς, ὁ νοερὸς ἀνὴρ καὶ κατὰ τῆς ἀλογίας πολεμικὸς, οὐ δῆτα μίαν ἐκ τῶν τριῶν, ἀλλ' ὅλας τὰς εἰρημένας τρεῖς Γοργονείους τῆς μοχθηρᾶς ὀρέξεως ἐκτετμηκὼς κεφαλὰς, πάθος ἅπαν καταγωνίσοιτο, τῷ ἑωρακέναι τὰς κορυφαίας ἐκτομὰς ἀπολιθωθὲν, καὶ ὅλως μεῖναν ἄπρακτον καὶ ἀκίνητον. Τοῦτο δὲ τὸ μετριόφρον καὶ ἄτυφον, καὶ πῦρ οὐδὲν ὁ λόγος, τὸν ἐπηρμένην ὄφιν καταπιμπρῶν, καὶ τὴν ἐξ αὐτοῦ γεγεννημένην ὕδραν, τὴν πολύμορφον κακίαν, τελέως ἐξαναιροῦν, μετὰ τῆς ὀρθῆς γενόμενον κρίσεως· ἡ μὲν γὰρ ἐκτέμνει τὴν μοχθηρίαν, τὸ δὲ τὰς ἀναφύσεις οὐ συγχωρεῖ· τοῦτο καὶ λαμπρὸν ὄχημα καὶ ὄντως βασιλικόν· ὡς φλὸξ μὲν ὑπαντιάζον τοῖς ἀντιβαίνουσιν· αὐτὸν δὲ τὸν ἀναβάτην οὐκ ἀποῤῥιπτοῦν ὡς Φαέθοντα διὰ τὸ ἀνέδραστον, ἀλλὰ μετὰ πολλῆς τῆς ἀσφαλείας ἀναφέρον πρὸς ὕψος οὐράνιον, καὶ διάδηλον ἕως αὐτῶν τῶν τῆς οἰκουμένης περάτων ἀπεργαζόμενον· πρὸς ὃν καὶ μεγαληγορία προφητικὴ διακέκραγεν, Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ· πᾶς ἄνθρωπος ἱλαρὸς εἶδε καὶ ἐσαλεύθη καὶ καταπέπληκται· βασιλεὺς γὰρ μετὰ τῶν ἄλλων βασιλικῶν καλῶν μετριοφρονῶν (τί τὰ πολλὰ χρὴ λέγειν;) αὐτὸν ὑπογράφει τὸν κεκλικότα τοὺς οὐρανοὺς, καὶ καταβεβηκότα μέχρι δούλου μορφῆς, τὸν βασιλέα τῆς δόξης· ᾧ τῶν αἰωνίων πυλῶν ἀρθεισῶν ὑπεράνω πάσης ἀρχῆς ὑπερκοσμίου μετὰ σώματος ἡ ἀνάβασις· ἀλλ' ὅ γε τὴν αὐτοῦ φέρων μόρφωσιν θεοειδέστατος βασιλεὺς, οἷς τὸ βασιλικὸν διαδείκνυται κάλλος, ἐπεντρυφᾷ, οἷς τὸ ἀλλότριον αἶσχος ἀποῤῥαπίζεται, γέγηθεν· εὖ οἶδα τοῦτο, παρὰ τῆς ἐναργείας δεδιδαγμένος· ὅτι γὰρ κἂν ἀρετῆς καὶ ὑπὲρ τὸν ᾀδόμενον Πολυκλείτειον πέφηνεν ὡραιότατος, ἀγάλλεται δῆτα καὶ ἀμφοτέρωθεν, ἔκ τε τῆς τῶν οἰκείων προσλήψεως καὶ ἀναῤῥήσεως, ἔκ τε τῆς τῶν ἀνοικείων ἀποθέσεως καὶ φαυλίσεως· ὥσπερ γὰρ τὸ φίλτρον καὶ προσφυὲς ἐγκωμιαζόμενον γάννυσιν, οὕτω στηλιτευόμενον, τὸ ἐχθρὸν καὶ ἀξύμβατον ἐκ τῶν ἐναντίων διὰ τῶν ἐναντίων, συναγομένης μιᾶς οἰκειότητος.

ζ'. Ἀλλ' οὐδὲν τῷ σπουδαίῳ τῆς ὄντως ἡδύτητος οἰκειότερον· ἢ μᾶλλον ἐξαιρέτως τῆς δοκούσης ἐκ πόνων, ἐξ ἱδρώτων, ἐκ βίας πέφυκε γίνεσθαι· τοῦ καρτερεῖν συνειδέναι τὴν τῶν καρτερούντων πικρίαν ἐξαίροντος· καὶ τοῦ καθυπερτερεῖν τὴν καθυπερτεροῦσαν χαρμονὴν συνεισφέροντος· ταύτην ποτὲ καὶ καταγνώσεως λύπη προὐξένησεν ἢ τοὺς ὅρους οὐχ ὑπερβέβηκεν, οὐδὲ πρὸς κρημνὸν ἐξώκειλεν ἀπογνώσεως· ἐπεὶ καὶ τὰ καθαρτικὰ τῶν φαρμάκων πολεμίως μὲν ἔχει πρὸς τὸ σῶμα τοῦ ζώου· τὴν δέ γε μοχθηρὰν ἐπισπώμενα ὕλην, ὑγείας παραίτια γίνεται, ὅταν οὐχ ὑπερβαίνῃ τοὺς ὅρους ἡ κάθαρσις, οὐδὲ συνεκκριθείη τὸ ἀναγκαῖον εἰς σύστασιν· ἄλλοις μὲν οὖν ταυτὶ καθάρσια τυχὸν ἢ καὶ ἀντίδοτοι, τοῖς μὴ πρὸς τὸ ἔσχατον ἐληλακόσι τῆς νόσου καὶ πάνδεινον· ὥστε μηδὲ προσίεσθαι τῆς σκολιότητος ἀποῤῥιπτουμένης, διὰ τῶν κατηγορημάτων αὐτῆς· καὶ πρὸς τὸ εὐθὲς διὰ τῶν εὐφημι-

A σμῶν ἀλλοιουμένου τοῦ δεκτικοῦ. Τῷ δὲ καλῷ κἀγαθῷ τὰ βέλτιστα καὶ προσαρμάτων καὶ ἡδυσμάτων, οἷς χαίρει, οἷς εὐεκτεῖ, ὧν ἄνευ καὶ τὸ εἶναι οἱ μὴ εἶναι λογίζεται· νοερὸς γὰρ ὅλος καθεστηκὼς, νοῦν τρέφειν καὶ ἦθος ἐσπούδακε, καὶ οὕτω κέκρικε ζῆν, καὶ ὑπέρευγε ζῆν. Ὁ δὲ λόγος ἐπικοσμείτω τὸν βασιλικὸν ἀνδριάντα πρὸς τὴν τοῦ παραδείγματος ἐπικόσμησιν. Ἀριπρεπέστατος δὲ κόσμος ἀλήθεια· ταύτην περιβεβλημένος ὁ ὑψηλότατος, ἐπεὶ φῶς πᾶσιν ἐπιφανὴς καὶ περίβλεπτος· πάντας γὰρ ἐπιστρέφει πρὸς ἑαυτόν· εἴ γε μὴν τὸν τοῦ ψεύδους ὑποδύοιτο σκότον, ἔχοι ἂν ἐπὶ τὸ περίοπτον· εἰ μὴ καθότι ζοφώδης ὑπάρχει τοῖς ἑτέρων ἀγασμοῖς παραθεωρούμενος, ὥσπερ καὶ μέλαν νέφος ἑτερογενοῦς τινος φαύσεως προσκεχυμένης τῷ περιέχοντι· τοιγαροῦν ἐπισειέσθω τῷ ψεύδει Τενέδιος πέλεκυς,

B ἵν' ἐκδειματινόμενον ὑποστέλλοιτο, τὴν ἀναίρεσιν ὑφορώμενον· ἢ μακρὰ γραμμὴ καὶ μέλαινα ψῆφος κληρούσθων ἢ μὴν ἐκφοίτησις ἐς Κυνόσαργες, οἷον δὲ πεπαῤῥησιάσθω τὸ ἀψευδές· ἤτω δὲ περισπούδαστον, καὶ τὸ θᾶττον ἀνύττειν τὰ ἐπηγγελμένα, τοῦ ἐπαγγέλλεσθαι· τὸ μὲν γὰρ μέλλον ἐπὶ βραχὺ τὸ προεσκεμμένον δηλοῖ· καθὼς αὖ ἐπὶ μήκιστον Πυῤῥωνείου μόριον ἐποχῆς. Εἰ δ' αὖθις ὑπέστη μὴ παραχρῆμα περαίνοιτο, πῶς οὐκ ἂν ὑπεμφήναι τὸ τῆς γνώμης τῆς μετὰ τὴν κρίσιν ἀμφιῤῥεπές; Εἰ δὲ καὶ διαπίπτοιεν εἰς τέλος, ὄντως αὐνὸ τὸ τοῦ λογισμοῦ βάθρον ὑποσεσάθρωται· τοῦτο δὲ τοῦ προκεκριμένου πάντων ὅσον ἀνάξιον· ᾧ μηδὲν κατ' ἀνάγκην τὸ παλινάγρετα λέγειν· ᾧ πολὺ τὸ κράτος τὸ ἀνεμώλια βάζειν. Πόθεν δὲ τῷ ὑπερέχοντι τὸ ἀξιό-

C πιστον; ἢ πόθεν τὸ τῶν λόγων ἀσφαλὲς ἐκπαιδευθείη τὸ ὑπερβεβηκός; Ἐν ὑποψίᾳ πρὸς ἀλλήλους, ἄρχων τε καὶ ἀρχόμενος, ἐν συγχύσει τὸ πᾶν κατὰ τὸ Ἐμπεδόκλειον σφαῖρον, καὶ τὴν τοῦ νείκους ἡττημένην φιλίαν, δι' ἣν ὁ πικρὸς ἐκθέμενος ἤξια τῷ πυρὶ πεσιλῶτο, ἵν' ὁμοῦ γένηται χρήματα πάντα τό γε αὐτὸ διὰ τῆς ἀναλύσεως ἐν κινήσει τὸ πᾶν, κατὰ τὸν Ἡρακλείτου λόγον τὸν ἄστατον· ᾧ τὴν ἐναντίαν ὁ ἀκίνητος ἐτράπετο Ζήνων· καὶ πῶς εἰς τοῦτο κεκίνηται, πῶς δ' ἐκεῖνο, ἔστησε τὸ δόγμα, καὶ τὴν ὑπόληψιν ἐν δοκήσει τὸ πᾶν, ὡς Δημόκριτος ὁ μετὰ αὐτῶν ληρημάτων οὐκ ὄν· ἐξ ὧν κατεσκεύαζε, καὶ πάλιν νόμῳ χροιὴ, μᾶλλον δὲ γνῶσις καὶ λόγος καὶ ἄνθρωπος· ἐτεῇ δὲ κενόν· ἁρμοδιώτατον ἄρα κόσμημα τῷ κρατοῦντι τὸ ἀληθευτικόν· πρὸς δὲ καὶ τὸ

D τῶν αἰτήσεων εὐλόγως ἡγμένων ἀποπληρωτικόν· ὥσπερ αὖ τὸ τῶν ἄλλως ἐχουσῶν ἀποτρεπτικόν· καὶ ταῦτα τὴν ταχίστην, καὶ μετ' ἐπιγωλῆς· οὐ μὴν ἐατέον τοὺς προσπεφοιτηκότας χρονοτριβοῦντας πιέζεσθαι· τοῦτο γὰρ πόῤῥω κηδεμονίας βασιλικῆς.

η'. Ἰτέον τὸ λοιπὸν ἐπὶ τὰ γυμνάσια τὸ στρατιωτικόν· ἀλείπτης δὲ καὶ παιδευτὴς προηγείσθω κατὰ λόγον ὁ ἡγεμών· τὸ γὰρ ἀγύμναστον ἀδαές τε καὶ ἀκαρτέρητον· μελέτῃ δὲ καὶ ἀσκήσει καὶ πρᾶξις καὶ τέχνη κρατύνεται· καὶ καλῶς εἴρηται, Φύσις ἄλλη τὸ ἔθος· ἐπείπερ οἱ μοχθεῖν εἰθισμένοι καὶ τληπαθεῖν, κἂν γεραιοὶ, τῶν ἀκμαίων τῶν εὐσθενῶν

OCR ABK / FR

ἀσυνήθων φερεπονώτεροι. Καὶ μαρτυροῦσιν οἱ περὶ τὰς οἰκοδομίας καὶ φυτηκομίας ἐξυπουργοῦντες, οἷς ἔργον τὸ σκάπτειν καὶ τὸ ἀχθοφορεῖν· οὕτω καὶ ἱππάζεσθαι προεθισμένος τις ἅμα δὲ καὶ ὁπλοφορεῖν, στεῤῥῶς τε κατέχειν αἰχμὴν ἢ φάσγανον, καὶ πλήττειν καιρίως καὶ νεανικῶς καὶ βῶν ἀζάλην ἠδ' ἐπὶ δεξιὰ νωμᾶν ἠδ' ἐπ' ἀριστερὰ προσφόρως καὶ ἀσφαλῶς, οὔποτ' ἂν ἀδόκιμος ἐν ταῖς κατὰ πόλεμον ξυμβολαῖς· ἀλλὰ καὶ πολλῶν σθεναρωτέρων μετὰ τῆς ἀπειρίας ἐπικρατέστερος· τό γε μὴν τὴν μικρὰν ὑφαρπάζειν σφαῖραν διὰ τοῦ δίνου, καὶ περιάγειν καὶ μετεωρίζειν και ἀπολαμβάνειν ἐν δεξιᾷ, καὶ τἄλλα τῶν ἀθυρμάτων, οὐκ οἶδ' ὁπόσον ἂν πρὸς ὁπλομαχίαν συμβάλλοιντο, καὶ ἀντιπολέμησιν γενναίαν καὶ ἀνδρικήν· εἰ καὶ τἠνάλλως ἐντεῦθεν αἰτιολογοίη τις τὸ ἐν πολέμοις εὐκίνητον· οὗτος δ' ἂν καὶ τὴν χυτρίδα προσλήψαιτο· καὶ μάλιστα διὰ τὴν ἀμφίβασιν ἢ καὶ τὸ ἀσκωλιάζειν, ὥστε κατὰ τοὺς δρόμους ἢ τὰς ἅλσεις μὴ ὀλισθαίνειν· κἀνταῦθα δοίημεν, ἀλλ' ὃ προειρήκαμεν προφερέστερον, εἴ γε μετὰ τῆς εὐκινησίας καὶ πᾶσαν ἄλλην ἐκπαιδεύσει μέθοδον ὁμοῦ καὶ καρτερίαν πολεμικήν. Οὐδὲ τὸ διττῷ λίθῳ χεροῖν ἀμφοῖν διαμερισάμενον, καὶ πρότερον ὥσπερ ἐπὶ τρυτάνης αὐτὼ ταλαντεύσαντα καὶ ζυγοστατήσαντα καὶ σὺν αὐτοῖν τὼ χέρε πρόσω τε καὶ ὀπίσω νωμήσαντα, καὶ τὸ λοιπὸν συγκινήσαντα καὶ περικλονήσαντα σῶμα, μετὰ τοσαύτης μελλήσεως ἅλλεσθαι καὶ ἐφάλλεσθαι, χρήσιμον ἐς πολύ· μᾶλλον μὲν οὖν τοὺς μεθ' ὅπλων δρόμους καὶ τὰς ἐξ αὐτῶν καὶ μετ' αὐτῶν ἅλσεις προαιρετέον, καὶ τὴν πάλην καὶ τοὺς ἀκοντισμούς, τὸ τῶν ὅπλων ἄχθος εἰ οἷόν τε πανταχόθεν συμπεριφέροντα, τόν γε κυδιάνειραν ἀφ' ἑαυτοῦ μάχην γνωσόμενον, καὶ τῶν ἀμφ' αὐτόν. Ἐκύκλωσάν ποτε βάρβαροι Ῥωμαίους· οἱ δὲ τὸ πλαίσιον λύσαντες ἐς λόχους, περιέσχον ἐξαπιναίως τοὺς περιέχοντας· καὶ συγκλείσαντες, ἀκοντισμοῖς διεχρήσαντο· προμεμελέτητο γὰρ αὐτοῖς καὶ τὸ ἀκοντίζειν καὶ τὸ μεθ' ὅπλων ἱππάζεσθαι καὶ ταχυδρομεῖν, καὶ τὸ εὐπερίστροφον, καὶ ὅπως χρὴ διαπεφευγέναι κύκλωσιν, καὶ ὅπως κυκλώσασθαι. Μελέτη δέ τοι πᾶν ἔργον ὀφέλλει καὶ βελτιοῖ· διὸ τῶν ἀναγκαιοτάτων προγεγυμνάσθαι πᾶσι τοῖς κατὰ πόλεμον, καὶ μὴ συνάγειν ἐπ' αὐτὸ τάξιν ἀρεϊκὴν καὶ προπαίδευσιν· ἀλλ' ὥσπερ κεφαλισμούς τινας τὰς προασκήσεις ἀρίστως προεκδιδάσκεσθαι πρὸς εὐχερεστέραν τῶν μειζόνων κατόρθωσιν.

Θ'. Εἰ δὲ καὶ τῆς κατὰ θάλατταν ἐμπειρίας τετυχηκέναι καιρός, μηδὲ ταύτην παραιτητέον· κάρτα γὰρ εὔχρηστος πρὸς τὸ ναυμαχεῖν ὡς ἐπὶ πέτρας τῆς νεὼς ἱστᾶσα τὸν ὁπλίτην ἀκράδαντον, οἷον ἕτερον Εὔφημον, πάσχοντα μηδὲν ἐκ τῶν κλυδασμῶν ἀηδές· ὅμως τοί γε μὴ πεπειραμένος, κἂν ἄλλως ἀκαταγώνιστος μαχητής, ἐκ πρώτης ἡττημένος εὑρίσκεται προσβολῆς· οὐ γὰρ οἷός τέ ἐστι τοῖς ἐναλίοις ἀντιμάχοις ἀντικαθίστασθαι, τῆς τριήρους σαλευομένης, ναυτιῶν, σκοτοδινῶν, τὰς βάσεις περιτρεπόμενον· ἐξαίρω τῶν Ἀθηναίων τοὺς πάλαι

A λόγων καὶ νόμων μελέτῃ πεζομαχίας τε καὶ ναυμαχίας τὸν βίον διηρηκότας· ἐξ ὧν διάνοιαν ἐσυνέτισαν, γλῶσσαν ἐπαίδευσαν, εὐνομίαν ἐξήσκησαν, ἐλευθερίαν ἐφύλαξαν, νίκαις πυκναῖς ἐλαμπρύνθησαν, ἀριστείαις πολλαῖς ἐκλεΐσθησαν· Δαρεῖον μὲν πρότερον τὸν Ὑστάσπου υἱέα καὶ Ξέρξου γενέτην κατῄσχυναν ὁπότε κατ' αὐτῶν ἐπέπεμψε Δάτιν καὶ Ἀρταφέρνην, μυριάδας τριάκοντα στρατοῦ Περσικοῦ τροπωσάμενοι περὶ Μαραθῶνα, χιλιάσιν ἐννέα καὶ Πλαταιεῦσι χιλίοις, Μιλτιάδου μὲν καὶ Στησίλεω στρατηγούντων, καὶ Καλλιμάχου δὲ καὶ Κυναιγείρου πολεμαρχούντων· ὕστερον δὲ καὶ τῆς ἄλλης συμμαχούσης Ἑλλάδος, τὸν Ξέρξην κατηγωνίσαντο· καὶ ὁ πρὶν ἄμετρα κομπάζων, καὶ στοιχεῖα μετακινῶν, ἤπειρον θαλαττῶν καὶ θάλατταν B ἠπειρῶν, καὶ μὴ πειθομένην μαστίζων τε καὶ δεσμῶν, τῆς ἐκπλήξεως! καὶ τειχέων περιοχῇ τὸν στρατὸν ὡς μεδίμνῳ μετρῶν διὰ τὸ δυσάριθμον, κα ποταμοὺς ἀποξηραίνων ἐν τῷ τοὺς ἵππους αὐτοῦ διερχομένου κύψαντας ὕδωρ πιεῖν, ὡς ἐν Φρυγίᾳ τὸν Σκάμανδρον, ἐν Θετταλίᾳ τὸν Πηνειόν, ἐν Ἀττικῇ τὸν Ἰλισσόν, κἀκ τῆς τῶν βελῶν ἐπαφέσεως ἀποκρύπτων τὸν ἥλιον, μόλις ἐκ Στρυμόνος ἐν νηῒ μιᾷ διεσώζετο, τὰς τῶν Ἀθηναίων χεῖρας ἀγωνίᾳ μεγάλῃ καὶ πολλῷ καμάτῳ διαφυγών· ἐν θαλάσσῃ τὸ πρῶτον περὶ Ἀττικῶν πλοίων ὁμοῦ καὶ συμμαχικῶν (6), ἑπτὰ δὲ πρὸς διακοσίοις καὶ δισχιλίοις τῶν Περσικῶν· ἔπειτα κατὰ τὴν ἤπειρον τέλεον ἡττηθείς, καὶ τὰς πεντακοσίας τοῦ μαχίμου καὶ ἀπομάχου λαοῦ μυριοστύας ἀποβαλών, τῶν μὲν πολέμῳ διαφθαρέντων, τῶν δὲ λιμῷ καὶ κρύει κατὰ C τὴν φυγήν· οὐκ οἶδα τίνων τὴν Περσίδα ἑωρακότων· τοιαῦτα ποιεῖν οἶδε προμελέτησις καὶ προεθισμὸς ἔργων ἀρεϊκῶν, τοῦ λόγου συνεργοῦντος καὶ συνιστῶντος τὰ τρόπαια.

Ι'. Τὸ πάντων μέγιστον ἐν ταῖς πράξεσι καὶ ἀνυσιμώτατον μὴ τούτων αὐτῶν ἐν τῷ παρασκευάζεσθαι κατατρίβειν τὸν καιρὸν καὶ ἀναισιμοῦν· μηδ' ἐν τοῖς ἐπιχειρήμασι μελλονικιᾷν, ἢ καὶ σχολαιότερον βαίνειν πρὸς τὸ καλοῦν, ἢ καὶ Χαρινάδου νωθέστερον· ἀλλὰ προητοιμάσθαι μὲν εἰς ἅπαν μὴ προσδοκώμενον, πάντων φυλακτηρίων, πάντων ἀμυντηρίων προητρεπισμένων, εἰρήνης οὔσης, εἰρήνης ἐλπιζομένης· ἐπὰν δέ τι φανείη τῶν δεόντων, ἢ πρὸς ἑαυτῶν λυσιτέλειαν ἢ πρὸς ἐναντίων ἐπήρειαν, αἴφνης καὶ ἀνυπόπτως ἐπιέναι χρεὼν ὅσον τὸ D τῆς ἰσχύος· ὀξὺς γὰρ ὁ χρόνος καὶ οὐκ ἂν οὐδενὶ καταληφθείη παραδραμών, οὐδ' εἰ Ζήτης καὶ Κάλαϊς ἐπετρεχέτην τὼ υἱὼ Βορέου τω πτερωτώ· Λύσιππος ὅθεν ὁ Σικυώνιος ὅ τι ποτὲ ἔστιν ὁ χρόνος καλῶς συμβολογραφῶν, κωφὸν αὐτὸν ἠγαλμάτωσεν, ὀπισθοφάλακρον πτερόποδά τε, κἀπὶ σφαίρας βεβηκότα, μάχαιράν τινι πρὸς τὸ κατόπιν ὀρέγοντα· δηλῶν ἐντεῦθεν ὡς οὐκ ἂν ἐπιστραφείη καλούμενος, διότι κεκώφωκεν· οὔτε τις αὐτὸν ἐκ τῶν ὄπισω παρακατάσχοι δεδραγμένος τῆς κόμης· τὸ γὰρ ὀπισθόκρανον κατεψίλωτο· πῶς δὲ καὶ ὅλως παραδραμόντα

(6) Numerum navium Græcarum habes in metaphrasi.

OCR ABK / FR

τις καταλήψαιτο, τὸν δυσκινησίαν τοσαύτην φέροντα A κὰκ τῶν ποδῶν κὰκ τῆς βάσεως; ῥομφαίαν σπάσαιτο λύπης, ὥστε θυμὸν ἀμύσσειν ὁ τῆς ζημίας αἰσθόμενος. Ἀννίβας Ἀφρικῆς καὶ Σικελικῆς στρατιᾶς ἀρχηγὸς, ἐπειδὴ Ῥωμαῖοι κατὰ Σικελῶν ἐξορμήσειαν, προφθάνει τὴν ἔφοδον, καὶ τὰς τῶν Ἀλπίων ὀρέων διακαθάρας ἀβάτους, δι' αὐτῶν πρὸς Ἰταλίαν χωρεῖ, καὶ διαφόρως Ῥωμαίοις ἀντιταξάμενος, διαφόρως αὐτοὺς ἐνικᾷ· τέλος ὅσον οἷόν τε πλῆθος ἠθροικόσι καὶ παρεμβεβληκόσι κατὰ Καλαυρίαν ἐπεισρυεὶς, ἄπιστον ἐπάγει τὸν ὄλεθρον· λέγεται γὰρ τοὺς τῶν ἀνῃρημένων δακτυλίους μεδίμνοις ἐκμεμετρῆσθαι, τάς τε Ῥωμαίας ἐκ λειπανδρίας βαρβάροις συνῳκηκέναι καὶ ἀνδραπόδοις. Ἀλλ' ὁ τοσοῦτος νικητὴς ἐπάρσει καὶ τρυφῇ καταχαυνωθεὶς, καὶ τοῦ τέλος ἐπιθεῖναι τῇ πράξει καὶ B παραλήψεσθαι τὴν Ῥώμην καὶ κατασκάψαι τὴν ἄνεσιν ἀνθελόμενος, ὕστερον ὑπὸ Σκηπίωνος στρατηγοῦ Ῥωμαίων κατεδιώκετο· καὶ φυγὰς τὴν Βιθυνίαν κατειληφὼς, δηλητηρίῳ τὸν βίον μετήλλαττεν· ἄλλοι τε ἄλλως τοῦ καιροῦ καταμελήσαντες, ἐδυσφόρησαν. Σπευστέον οὖν τὸν εὔθετον ἁρπάζειν ἀπηντηκότα καιρὸν, καὶ μὴ προϊέναι παραχωρεῖν, τῷ τηνικαῦτα ζητεῖν συντείνοντα καὶ οἰκονομεῖν ἢ τῷ νωθρεύεσθαί τε καὶ ἀναβάλλεσθαι, καὶ τύχην ἀναμένειν αὐτουργὸν τῶν ἀποτελεσμάτων, ἀλλ' οὐκ ἐπιστήμην κατορθωτικὴν τῶν χρησίμων προβάλλεσθαι· καὶ κυβερνήτης γὰρ ἄριστος ἐκεῖνός ἐστιν, ὃς οὐ κακῶς τὸν διαπλοϊσμὸν παραπόλλυσιν εὔκαιρον· ᾧπερ εὖ ἔχει τὰ πηδάλια, τὰ ἱστία, τὰ πρότονα, καὶ εἴ τι ἄλλο πρὸς καταρτισμὸν τῆς νεὼς, γαλήνης οὔσης, αἰθρίας οὔσης· C ἥ τε νῆψις ἔμμονος, καὶ τὸ ἐμμέριμνον ἄπαυστον· ὅπως ἂν εἰ προκύψειε καταιγὶς, εἰ κλύδων ἐγείροιτο, παραυτόθεν ἀντικατασταίη καὶ περιγένοιτο, καὶ πρὸς ἀγαθοὺς ἀγάγοι λιμένας τὴν ναῦν· ὅ γε μὴν τῶν τῆς νεὼς ἐπιτηδείων καταμελῶν, ἢ τὸν τῆς εὐπλοίας καιρὸν εἰκῆ προϊέμενος, καὶ ὅλως ἐκ ῥᾳστώνης ὑποσκάζων πρὸς τὸ ἔργον καὶ δυσκινητῶν, καταποντιστὴς μᾶλλον ἢ κυβερνήτης ἐστί· καὶ εἰ διασωθείη τοῦ πελάγους καὶ κρείττων ὀφθείη τῶν κυμάτων ἡ ναῦς, τοῦθ' ὡς ἔτυχε· καὶ τούτου δὲ τὸ εὖ ἡ τοῦ ναυαρχοῦντος εἰκαιοτροπία πρὸς τοὐναντίον μετεσκεύασεν. Οὐ χρὴ τοίνυν οὐδὲ τὸν ἀρχηγὸν ἀπαρασκεύως ἔχειν ἢ νωχελῶς, ἀλλὰ κατηρτισμένον ἐν τοῖς ἔργοις ἅπασι τῆς ἀρχῆς, ὠκὺν εἶναι, πτηνὸν εἶναι, φθάνειν ἀερίως εἴς τε τὴν τῶν προσόντων ὑπερμάχησιν καὶ συντήρησιν, εἴς τε τὴν D τῶν μὴ προσόντων θήραν καὶ πρόσληψιν, καὶ μὴ τοῖς τῶν Ἀσκληπιαδῶν ἀμεθόδοις ἐοικέναι, καὶ φρενολήπτοις· ὧν οἱ δεύτεροι κατ' αὐτὴν τὴν τῆς ἀνάγκης ἀκμὴν τὰ φάρμακα πορίζεσθαι βούλονται· καὶ μὴ εὑρίσκοντες ἴσως, ὑφαίνουσι λήρους μακρούς, Εἴπερ ἦν ἡμῖν τοδὶ τὸ ἀλεξιτήριον, λέγοντες, ἦν ἂν ἡμῖν κάρτιστα πρὸς τὴν νόσον ἀνταγωνίσασθαι· τὸ μὲν γὰρ δυνάμεως τοίας τετύχηκεν, ἡ δὲ τοίας δυσκρασίας ἐξέθορεν· οἱ λοιποὶ τῇ φύσει τὸ πᾶν ἐπιρρίπτουσι, ἑτώσιον ἄχθος ἐπιπεφορτισμένοι τοῖς κάμνουσιν· εἰ καί τις αἰτιῷτο τῆς ἀπραξίας, φύσεως εἶναί φασιν ὑπουργοὶ, τῶν οἰκείων ἐξελόντες βίβλων τὸ λοιπὸν τῆς ὑπογραφῆς· ἐῶ γὰρ εἰπεῖν ὡς τῇ φύσει πολλάκις καὶ ἀντιπράττουσιν, ἀλίττορες μὲν οὐδαμῶς, ἀναφαίνονται δὲ μᾶλλον εὑρισκόμενοι καὶ βροτολοιγοί· τοὺς δ' ἐπιστήμονας ἐκμιμεῖσθαι καὶ νουνεχεῖς, ὅτι λυσιτελές τε καὶ τίμιον· οἱ τὸν καιρὸν εἰδότες ὀξὺν μετὰ πάσης ἵστανται τῆς ἑτοιμασίας ἐπὶ τῆς ἀφετηρίας αὐτῆς· ὡς ἐν ἀκαρεῖ τὸ παρὸν ἀγαθὸν διασώσειαν, ἀνακαλέσοιντό τε τὸ μὴ παρόν· οὐ τὸ εὔκαιρον παραπέμποντες, ἀλλ' ἐξ ὧν ἐργάζονται παρακαλούμενοι, μᾶλλον δ' ἕλκοντες· εἴτ' ἐφεστηκότι πρὸς ἐργασίαν βελτίῳ χρώμενοι· πάμπαν ἀμελλητὶ, μεθ' ὅσης ἠπειγμένης ὁρμῆς εἶεν.

ΙΑ'. Δικασπόλους δὲ καὶ ἀγορανόμους δήμοις ἐγκαταστατέον καὶ πόλεσιν οὐχ ἡπάτων ἀνδρομέων ἐμφορουμένους ὡς τῶν Προμηθέως λέγουσιν ἐν τῷ Σκυθικῷ Καυκάσῳ τὸν ἀετὸν, κεκλοφότος τὸ πῦρ· ἀλλὰ τὴν ἀλόγιστον ἐπιθυμίαν ἐκκόπτοντας, πλεονεξίαν ἐξαίροντας, δικαιοσύνην εἰσφέροντας, εὐταξίαν παιδεύοντας, πᾶσαν ἄτοπον πρᾶξιν κολάζοντας, πρὸς τὸ ἔννομον ἀποσκοποῦντας καὶ διορθωτικὸν, οὐ πρὸς χρημάτων παράνομον ἀθροισμὸν καὶ λῃστείαν τοῦ πολιτεύματος· ἄνδρας συνέσει τῶν πολλῶν ὑπερφέροντας· οὐ κατὰ Κόροιβον ὄντας καὶ Μαργίτην, καὶ Μελιτίδην· ὧν ὁ μὲν τοὺς ῥηγμῖνας περινοστῶν, ἠρίθμει τὰ κύματα, καὶ μέχρι τριῶν προβαίνων, ὑπενόστει, προϊέναι περαιτέρω μὴ ἐγνωκώς· ὁ δ' ἐκμαθεῖν ἀνηρώτα τίς ἐξ ἀμφοῖν τοῖν γονέοιν ἐγκυμονήσας αὐτὸν ἀπέτεκεν· ὁ δ' ὕστατος, οὐ παρθενίαν τιμῶν, οὐχ ἁγνεύειν προῃρημένος, τῇ γαμετῇ συνελθεῖν οὐκ ἐπείθετο, δεδιέναι λέγων μὴ πρὸς τῆς γειναμένης αὐτὴν ἐγκληθεὶς ὀφλήσει δίκας τῆς συνελεύσεως· οὔτε μὴν ἐκ διαμέτρου Κάκκους, Αὐτολύκους, Εὐρυβάτους, ἐκ τῶν ὀπίσω ποιουμένους ἐν ταῖς σφῶν αὐτῶν καταδύσεις τὴν τῶν κλωπευομένων ζώων ὑπείσδυσιν, ὥστε δοκεῖν ἐξιέναι μᾶλλον τὰ εἰσαγόμενα· μεταχρωννύντας τε καὶ μεταμείβοντας, καὶ ποικίλως παραχρουομένους τοὺς ἔχοντας· ἀναρριχωμένους τε καὶ κρημνοβατοῦντας ἐπ' ὄψεσι τῶν τηρούντων, καὶ δίκην ἀέλλης ἐκδραπετεύοντας, διαλανθάνοντας ἀφανιζομένους, πολυειδῶς αὖ ἐξαλλαττομένους· ὡς Νηρεύς τις ἢ Περικλύμενος ἢ Πρωτεὺς ὁ Αἰγύπτιος σοφιστής· οὗ καὶ τὴν πρὸς Αἴγυπτον ἐκ Παλλήνης τῆς Θρᾳκικῆς παλιννόστησιν, ἐν χάσματι καὶ μυχοῖς ὑποποντίοις παραδοξοποιοῦσιν, ὡς ἀδιάγνωστον· ἀλλὰ τὸ εὔηθες ἐκκεκλικότας καὶ πονηρὸν ἐν ταυτῷ, φρονήσει κεκοσμῆσθαι δίκαιον τοὺς τῶν ἄλλων ἐπισκηπτῆρας· οὕτω γὰρ τῶν τῆς ἀφροσύνης ἔργων ἐλαυνομένων, εὐκοσμία τῷ πλήθει προσείη, καὶ δόξα μεγίστη τῷ τοιούτου λαοῦ βασιλεύοντι· τοιούτους· εἶναι προσήκει τοὺς διαιτητὰς καὶ τοὺς ἐφόρους, οἷος ὁ Ἄραψ Γουνεὺς, Κέφαλος ὁ ἐξ Ἰταλῶν εἰς Ἀθήνας πολιτογραφηθεὶς, Ἀριστείδης, καὶ Ἀριστοφῶν, Ἀθηναίων ἰθαγενεῖς· Γουνεὺς μὲν γὰρ ἐννομώτατος ὢν δικαστὴς καὶ πλεονεξίαν πᾶσαν ἀποστυγῶν, καὶ τοὺς ἁρπακτῆρας αἰσχύνων τιμωρούμενος, ἐπειδή ποτε Βαβυλώνιοι καὶ Φοίνικες στασιάσειαν, ἥκει πρὸς αὐτοὺς ἐγκέλευστος ὑπὸ Σεμιράμιδος· ὁ δὲ λύει τὴν στάσιν ὀφθεὶς, καὶ ἀποκαταλλάττει τὰ

OCR ABK / FR

γένη, τῷ τρόπῳ καταιδέσας τοὺς στασιάζοντας. Ἀριστείδης δὲ κατακρινόμενος ἐξοστρακισμὸν, καὶ πυνθανόμενος τί ἂν λυποίη, Δίκαιος εἶ πολλοῦ καὶ τοῖς πλείοσι δύσχρηστος, ἤκουεν· οὕτω ἐν Ῥώμῃ Μάρκιος στρατηγὸς, ὃν διὰ δικαιοσύνην, τῆς πατρίδος ἐξελαυνόμενον ἐπένθει μὲν ἡ πόλις, αὐτὸς δ' ἦν ἄλυπης, καὶ τῆς οἰκείας στεῤῥότητος οὐδέ τι παρέκλινεν· Κέφαλος μικροῦ δεῖν διαμεμενήκει πάμπαν ἀνέγκλητος, εἰ μὴ ψηφίσματος ἀπροβουλεύτου συκοφαντία παρεισδεδύκει, μηδὲν ἔχοντος ἐπιμέμψασθαι τῷ ἀνδρὶ μηδενός· Ἀριστοφῶν δὲ τοὐναντίον διὰ βίου κατηγορούμενος· τὸ γὰρ αὐτοῦ μισοπόνηρον τοὺς ἀντιπολιτευομένους νύττον οὐκ ἀπημβλύνετο· πλὴν ἀλλὰ τὴν νικῶσαν ἀπενηνεγμένος ἐξῄει δικαστηρίου παντός. Εἰ δὲ δυσχερὲς τοιούτους ἄνδρας εὑρίσκεσθαι νῦν, ἀλλ' ὅτι περιφρονοῦνται, πονηροὶ δ' ἐπιδιδόασι προκρινόμενοι· πᾶν γὰρ τὸ ζητούμενον καὶ τιμώμενον αὔξει καὶ παῤῥησιάζεται· τὸ δ' ἀμελούμενον φθινύθει καὶ ἀποκρύπτεται· πόθεν γὰρ ἄλλοθεν ὁ πολὺς λόγος ἀπέσβη παρ' ἡμῖν, καὶ ἡ κοσμιότης διέφθορε τῶν ἠθῶν, ἢ πάντως ἐκ τῆς αὐτῶν ἀποπομπῆς, ἐκ τῆς τῶν ἐναντίων ἐπιλογῆς, ἔν τε τοῖς πολιτικοῖς ἔν τε τοῖς πνευματικοῖς ἀξιώμασι; καὶ οὐκ ἔγνωσται πόσον εἰς εὐδοξίαν ἢ ἀδοξίαν συμβάλλεται τὸ στρατηγοὺς καὶ πραίτωρας καὶ ἱεράρχας καὶ πολιτάρχας, τοίους ἢ τοίους ἐξάδεσθαι προσόντας τῇ πρώτῃ ἀρχῇ· καὶ πόσον εἰς αὐτὴν ἐντεῦθεν διαβιβάζεται μὴ μόνον εἰς τὴν πληθὺν τὸ συνοῖσον ἢ τὸ λυμαντικόν· ὅθεν γὰρ ἀπώχετο λόγος, ἐκεῖ καὶ φήμη καὶ θράσις τῆς ἀλογίας ἐνέσκηψεν· ὅθεν ἀρετὴ ἀπελήλαται, τὸ τῆς κακίας ἔργον διάγδουπον ἐπεισπέπαικε· τί οὖν μέγιστον καὶ ἥδιστον ἐκφανεῖ τὴν προὔχοντα; Τὸ λογιότητα καὶ ἤθους σεμνότητα κεκτημένον ἅμα καὶ περὶ πολλοῦ τιθέμενον ἐξακούεσθαι, ἢ τοὔμπαλιν ἀμουσίαν καὶ ἀβελτηρίαν εἰσοικιζόμενον καὶ τιμῶντα διαφημίζεσθαι· τὸ γὰρ τῶν πεπαιδευμένων ὑπεροῤῥ καὶ τοὺς ἀπυφωλίους προσίεσθαι καὶ ἀνυψοῦν τί ἄλλο ἐστὶν ἢ κακίαν ἐξαίρειν καὶ ἀρετὴν ἀποτρέπεσθαι; θαυμάζειν ἀλογίαν, καὶ λόγον ἀποδιοπομπεῖν; Τὸ δ' οὕτω κρίνον ὁμολογουμένως μετὰ τοῦ πλήθους καὶ τῆς συστοιχίας αὐτοῦ· διὰ ταῦτα πορρώπτους τιθέναι τοὺς ἐσθλοὺς ἄνδρας ἀναγκαιότατον· ἵν' ὁ τοῦτο δρῶν αἴροι μὲν ζῆλον ἔργων σπουδαίων πολλοῖς, αἴροι δὲ κῦδος ἄσπετον ἑαυτῷ.

ιβ'. Κεφάλαιον τῶν ἀγαθῶν ἀτενίζειν ἀεὶ πρὸς τὸν Κύριον, καὶ τρέχειν μὲν καὶ οἰκοδομεῖν καὶ φυλάττειν καθ' ὅλην ἀνθρωπίνην ἰσχύν· ἀμελεῖν ὅλως γὰρ, εὔηθες. . . . . . .

# ΝΙΚΗΦΟΡΟΥ ΒΛΕΜΜΙΔΟΥ

## ΕΙΣΑΓΩΓΙΚΗΣ ΕΠΙΤΟΜΗΣ

ΒΙΒΛΙΟΝ Α΄.

# ΕΠΙΤΟΜΗ ΛΟΓΙΚΗΣ.

# NICEPHORI BLEMMIDÆ

## EPITOMES ISAGOGICÆ

LIBER PRIMUS.

# EPITOME LOGICA.

## JOANNIS WEGELINI AUGUSTANI

EPISTOLA NUNCUPATORIA

*Textui Græco, anno 1605 Augustæ Vindelicorum edito, præmissa.*

Nobilissimo et amplissimo viro, pietate, prudentia et doctrina spectatissimo, D. WOLFGANGO Duo in Hammel et Ainhofen, reipublic. Augustanæ patritio et senatori, ac ecclesiæ ibidem evangelicæ curatori, novique collegii administratori, Domino suo plurimum honorando, gratiam a Deo.

Omnibus hominibus sana mente præditis, nobilissime et amplissime vir, domine plurimum honorande, in primo ortu insitum est a conditore Deo optimo maximo ut non tantum voces simplices pro rerum significatarum natura a se invicem discernere, definiendo declarare, dividendo explicare ; sed etiam inter se conjungere affirmando et a se invicem disjungere negando ; tum ab una enuntiatione ad aliam ratiocinando progredi, et ultro citroque veluti discurrere, syllogismos et alias argumentationum formas conficere ac denique has ad totius alicujus systematis sive corporis constructionem certa quadam methodo disponere et coagmentare possint. Quæ naturalis est logica omnibus hominibus cum rationis beneficio communis ; qua etiam a se invicem tantum differunt, quantum mentis acumine, perspicientia et sagacitate alii aliis antecellunt. Verum enimvero cum lapsu protoplastorum illa mentis concreata acrimonia et perspicacitas, celeritas et dexteritas non tantum in rebus spiritualibus quoad verum et salutarem Dei et mysteriorum ipsius cognitionem prorsus sit amissa, sed etiam in naturalibus et civilibus multum labefactata, ut jam homines partim apprehendendo, definiendo et dividendo simplicia, partim conjungendo et disjungendo eadem, partim ratiocinando et discurrendo, partim connectendo et disponendo sæpe et multis modis aberrent : hinc adeo quidam aliis ingeniosiores et perspicaciores longo usu et observatione cum propria tum aliorum certas quasdam simplicium vocum classes et earumdem logicas distinctiones (quas prædicamenta et prædicabilia vocant) definitionum, divisionum, propositionum et prædicationum, tum syllogismorum ac aliarum argumentationum adhæc locorum omnis generis et denique methodorum genera, formas, differentias exceptarunt, certisque legibus astrinxerunt. Et hæc artificialis logica dicitur, quod certis quibusdam præceptis ad unum finem humano generi utilem spectantibus in formam artis redacta sit. Quanquam autem aliqui etiam sine hac arte logica eruditi et in sua facultate præstantes viri reperiantur : illi tamen quidquid habent doctrinæ, singularis ingenii beneficio consecuti sunt : quale cum omnibus haud contigerit, cæteris hæc ars logica discenda et exercenda, ac ita natura adjuvanda est. Cum

OCR ABK / FR

imprimis illi qui res sine logica sciunt, ut plurimum de illis duntaxat confuse quod ita sint, non etiam distincte cur ita sint cognitum habeant: et proinde in sua qualicunque scientia sæpenumero inconstantes sint, et facili labore ad alias opiniones adduci queant. Quin et hoc ipsum scilicet, quod sciant aliquid, scire non possunt sine logica, qua sola per reflexionem quamdam mentis ad normas logicas vere aliquid nos scire scimus. Sicut enim artis nauticæ imperiti, etsi interdum recte navigent, hoc ipsum tamen ignorant, quia tabulam uti normam non respiciunt: eodem modo imperiti logicæ artis, tametsi sciant aliquid, hoc ipsum tamen se scire sæpe non sciunt; propterea quod scientiam suam arte logica explorare non possunt.

Quæ cum ita se habeant, et hæc artificialis logica pro singulari Dei beneficio agnoscenda, et proinde non contemnenda aut intermittenda, sed magni facienda et in scholis discenda est; ab illo imprimis qui eam optime tradidit. Qui quidem est, communi etiam omnium gentium consensu, miraculum illud naturæ, Aristoteles: qui etiam primus omnium philosophorum artem hanc perfectissime invenit, conscripsit, docuit. Cum enim, ut ipse inquit philosophus, aliæ artes antiquitus inventæ primum, et deinde temporum decursu paulatim auctæ et perfectæ fuerint; aliæ vero nuper inventæ nec adhuc auctæ adeo atque perfectæ sint, sed absolvendæ restent: ars logica nec a veteribus philosophis olim nec nuper ab iis qui circa Aristotlis ætatem vixerunt, inventa, nedum perfecta et absoluta fuit. Quanquam enim negari non potest, quin Pythagoras, Zeno Eleates, Socrates et Plato, logica quædam tradiderint; ut imprimis Socrates ab artificio definitionis et inductionis invento commendatur; nullus tamen eorum totam artem logicam certis canonibus complexus est. Sicut autem qui ad domum aliquam extruendam ligna aliquot, aut lapides, aut cæmenta conferunt, non propterea domum construere, multo minus totam absolvisse dicendi sunt, sic nec illi, etsi utilia quædam præcepta logica hinc inde inculcarunt, artem logicam conscripsisse et perfecisse putandi sunt. Sed et ipse Philosophus allegato loco fatetur jam ante sua tempora exstitisse, qui orationes ad interrogandum aptas tradiderunt ediscendas; eos nimirum qui ex litigiosis disputationibus quæstum fecerunt: verum etiam simul affirmat, institutionem earum Gorgiæ similem fuisse, ut qui interrogationes de iis rebus quæ sæpe in disputationem veniunt proponendo, non ipsam artem, sed tantum ea quæ ab arte proficiscuntur tradiderint; perinde ac si quis omnis generis calceamentorum copiam suppeditaret, sed rationem conficiendorum non doceret; qui prodesset quidem, sed tamen artem sutoriam docuisse dici non posset. Aristoteles igitur artis logicæ primus inter philosophos inventor, excultor et magister jure optimo agnoscitur et prædicatur. Etsi autem Diogenes Laertius plures ab ipso libros logicos confectos et editos commemorat quam hodie in ipsius Logica sive Organo reperimus, hi tamen ipsi, qui divino beneficio hactenus conservati sunt, totius artis logicæ maximam partem saluberrimis præceptis comprehensam optimoque ordine digestam continent. Quod vero a quibusdam in hisce Aristotelis reliquis libris logicis uberior hypotheticorum syllogismorum et aliarum compositarum argumentationum, divisionis item ac denique methodorum doctrina desideratur, defectus ille ex aliis in hoc genere præstantibus logicis, qui inventis Aristotelicis facile aliquid amplius addere potuerunt, compensari potest. Quapropter omni laude dignissimi sunt interpretes Arabes, Græci, Latini, qui cum alia Aristotelis scripta, tum etiam logica, partim paraphrasi, partim exegesi et fusiore commentario omnibus temporibus explicare conati sunt. Sed non minus etiam suam laudem merentur, qui ex logicis Aristotelis libris in gratiam discentium epitomas et synopses extraxerunt, easque vel continuo orationis genere vel dialogistico vel etiam quæstionum et responsionum forma adornarunt. Quarum quidem aliis sæculis major, aliis minor; sed patrum et avorum proxime præterito maxima fuit et etiam nunc est copia; de quibus aliorum esto judicium. Et certo non ita mihi difficile fuisset vel ex Organo Aristotelis vel liberiorem methodum sequenti non ex eo tantum, sed etiam ex interpretibus et aliis auctoribus logicis talem aliquam synopsim colligere. Sed cum in tanta librorum ejuscemodi recentiorum copia supervacaneam quodammodo meam operam futuram existimassem; et vero manuscriptorum quorumdam librorum veterum typis nunquam excusorum occasionem in instructissima reipublicæ nostræ bibliotheca mihi oblatam viderem: huc animum potius applicui ut ex ea tales aliquot cum antiquitatis et doctrinæ causa gratiores, tum juventuti scholasticæ mihi commissæ convenientiores et utiliores eruerem et proferrem, in Latinam linguam converterem et commentariis in tironum usum declararem. Qualis etiam est hæc Nicephori Blemmidæ Epitome logica, quam ex quatuor manuscriptis codicibus bibliothecæ nostræ publicæ inter se collatis optima fide descripsi, Latinam feci, et scholiis cum analyticis tum exegeticis privatim declaravi, et jam etiam ad communem omnium qui uti volunt et possunt utilitatem Græce primus edo. Quæ sane tribus præcipue de causis debet omnibus antiquioribus et solidioris et sincerioris philosophiæ studiosis esse commendatissima. Primum enim non tantum communem logicæ partem universam, quæ est de prædicabilibus, prædicamentis, propositionibus, syllogismis; sed etiam doctrinam definitionis et divisionis, itemque de sophisticis elenchis (ut taceam doctissima prolegomena) ex sententia Aristotelis perspicere et methodice genere orationis optimo explicat, omnesque passim divisiones propositas

OCR ABK / FR

synopticis tabulis uno quasi intuitu conspiciendas exhibet. Deinde vero etiam imperatori, ut diserte in proœmio dicitur et pagina etiam 182 indicatur, nimirum ut ex historiis non dubie colligitur, Joanni Ducæ, Græcorum Nicæno (Orientis enim imperium tum divisum fuerat) imperatori et quidem ipsius jussu ante annos 370 circiter logica epitome confecta fuit. Quod enim aliqui auctorem hujus epitomes Michaeli Psello coætaneum faciunt, quem anno Christi 1057 floruisse constat, quomodo ipsa epitome logica ab annis 550 scripta fuisset, cum historiis ego conciliare non possum, quæ auctorem ipsius in tempore Joannis Ducæ collocant, qui circa annum Christi 1230 rerum Græcarum potitus est. Ac denique auctorem habet Epitome hæc logica Nicephorum Blemmidem, virum et doctissimum et religiosissimum, cujus apud historicos sui temporis honestissima passit fit mentio. Hic enim cum sub Joanne Duca de consensu Græcæ et Latinæ Ecclesiæ ageretur, multa e sacris litteris testimonia collegit, quæ Latinorum dogma confirmarunt. Hic Germano patriarcha exstincto Nicææ, quo post captam Constantinopolim a Latinis sedes illa aliquandiu translata fuit, propter singularem doctrinam et pietatem successor denominatus est ; quanquam vitæ quietioris amore munus oblatum recusavit. Hic Marcesinam pellicem, cujus consuetudine imperator Ducas usus est, posthabita uxore Alemanna, Manfredi Siciliæ regis sorore, Anna, quam, priore conjuge Irene Theodosii Lascaris filia defuncta, duxerat, templo a se exstructo ingressuram exclusit. Nefas enim judicabat nefariam et impudicam mulierem profanis et consceleratis pedibus sacrum pavimentum calcare cum prius eam tam lingua quam calamo redarguisset sæpius ; qui etiam nihil de hoc ab imperatore sibi metuit, quem pellex prætextu læsæ majestatis imperatoriæ ad vindictam contra ipsum incitaverat, frustra tamen : quod ipse imperator tandem peccatum suum agnoscens et confitens in hominem justum et bene de se meritum salva conscientia nihil moliri mali neque posset neque vellet. His nimirum de causis Nicephori Blemmidæ ista logica Epitome charior et commendatior nobis esse debet, ut et alia ejus scripta quæ adhuc in bibliothecis Italiæ præsertim, asservantur ; ex quibus ego etiam physicam illius Epitomen triginta et unius gravissimorum capitum in manibus habeo et interpretor.

Tibi autem, nobilissime et acceptissime vir, domine plurimum honorande, logicam hanc illius Epitomen inscribo, propterea quod etiam de libris ejusmodi philosophicis et laboribus scholasticis rectius judicare potes ; ut qui jam a multis annis in nostra republica non tantum senator sed etiam scholarcha fueris. Accedit huc, quod cum ab aliis, tum in primis a domino meo socero tuus erga litteras et litterarum cultores singularis amor mihi sæpius commendatus fuit. Ac cum non ita pridem in ecclesiæ evangelicæ curatorum, collegiique nostri administratorum ordinem omnium approbatione electus fueris : hac mea nuncupatione non tantum de munere gravissimo oblato, pie gratulari, sed in primis etiam meam obedientiam et subjectionem testari volui. Tanta etiam tua amplitudo est, ut adversus obtrectatores,si qui erunt,librum hunc satis tueri possit. Eum igitur ut in meliorem partem benevole accipiat, et me sibi commendatum habere dignetur, majorem in modum rogo.

Datum in collegio, Augustæ Vindelicorum, 25 Decembris, quo die Filius Dei ante annos 1604 propter nos et nostram salutem homo natus est, qui propter hanc ipsam suam nativitatem Amplitudini Tuæ, totique ejus familiæ annum novum felicem esse clementer concedat. Amen.

*Amplitud. Tuæ observantiss. M. Jo.* WEGELINUS, *Augustanus.*

---

# LECTORI BENEVOLO SALUTEM.

Usus sum, amice lector, quatuor manuscriptis codicibus bibliothecæ Augustanæ in hac logica Nicephori Blemmidæ Epitome describenda et conferenda. Proinde eam ex mutua collatione perfectiorem edo, quam in nullo est singulorum illorum. Subinde enim unus alteri succurrit, vel omissa restituendo, vel perperam scripta corrigendo. Quæ autem in uno deerant, sed in altero reperiebantur, si quidem ad sententiæ integritatem pertinere visa sunt, simpliciter in contextum assumpsi : quæ vero talia erant, ut vel etiam abesse posse viderentur, uncis quadrati formam repræsentantibus inclusi. Tabulas synopticas quæ in duobus manuscriptis codicibus ad calcem erant omnes simul adjectæ, ego suis capitibus ad quæ pertinebant, seorsum adjunxi ; ut in illis quasi uno contuitu præcipuæ divisiones in singulis capitibus conspicerentur. Sic ergo tecum, amice lector, Epitomen hanc logicam eruditissimam, et, ut spero, non ingratam communico ; ex qua quid promittere tibi debeas, en breviter singulorum capitum, quæ sunt quadraginta, argumenta accipe. Prima duo capita sunt de definitione et divisione ; nobilissima profecto capita, et tanto pluris facienda quanto minus de illis, de divisione in primis (de definitione enim in Topicis

OCR ABK / FR

definitas accedit, mox signa enumerat, definit, dividit : ad hæc definitas in universales et particulares subdividit ; atque inde contrarias, subcontrarias, contradictorias, subalternas propositiones determinat, et quomodo quoad verum et falsum in omni materia se habeant, indicat : donec tandem propositionum modos, necessarium, impossibile et contingens dividit. — Cap. 29, indefinitas propositiones describit, et affirmativas particularibus, negativas modo particularibus, modo universalibus (idque sæpius) æquipollere ostendit; sed et definitas, indefinitas et singulares propositiones quomodo in oppositione respectu veri et falsi se habeant, declarat ; interim etiam de vi et usu articuli Græcorum quædam obiter inijiciens. — Cap. 30, de affirmatione et negatione agit, in specie ostendens quomodo in omnis generis propositionibus negatio facienda sit ; quid item sit affirmatio ex transpositione, et cur ita dicta sit, et quomodo fiat ; quatenus insuper nomina et verba, particula negandi et signa in propositionibus transposita idem significent ; quibus omnibus regulam subjicit, qua consequentes propositiones efficiantur. — Cap. 31, definitio syllogismi, mox divisio in simplicem et compositum, utriusque item majores et minores propositiones, itemque termini et eorumdem affectio ; hinc principia canonica, in toto esse, et dici de omni, etc., et regulæ generales de puris particularibus et negativis nil concludentibus ; de consecutione item conclusionis ad deteriorem partem proponuntur et explicantur : quibus omnibus tandem doctrina, de conversione propositionum, contingente, simplici, per contrapositionem, exemplis illustrata subjicitur. — Cap. 32, docetur, quomodo medii termini variata dispositio tres figuras syllogisticas efficiat et quot singulæ modos, quæ item cum aliis communia et sibi propria habeant adjacentia ; et quo ordine quaque ex causa sic numerentur. — Cap. 33, primæ figuræ modos quatuor syllogisticos exemplis declarat et unius asyllogisti inconsequentia cæterorum etiam vitiositatem ostendit. — Cap. 34, secundæ et tertiæ figuræ modos syllogisticos exemplis illustrat, et uno alteroque assyllogisto docet, quid etiam de cæteris judicandum sit. — Cap. 35, syllogismos dividit in perfectos et imperfectos, docetque quomodo secundæ et tertiæ figuræ syllogismi ut imperfecti ad primæ figuræ modos, ut perfectos reduci, vel etiam abductione ad impossibile confirmari possint. — Cap. 36, syllogismorum hypotheticorum partes et species persequitur. — Cap. 37, sex sophismata in dictione. — Cap. 38, septem extra dictionem declarat. — Cap. 39, elenchum definit et explicat, ostendens insuper quomodo ad elenchi ignorationem omnes paralogismi reduci queant. — Cap 40, de propositionibus privativis et transpositis erudita quædam annotat, ac denique cum syllogismorum categoricorum et hypotheticorum tum sophisticorum elenchorum numerum colligit.
ιε'. Ἀλλ' οὐδ' ἀπὸ συμβεβηκότων εἰς συμβεβηκότα γίνεται διαίρεσις. Ἡ γὰρ ἀπὸ γένους εἰς εἴδη ἐστὶν ἡ τοιαύτη διαίρεσις· ὡς ὅταν εἰς λευκὸν καὶ μέλαν διαιρήσω τὸ χρῶμα· γένος γάρ ἐστι τὸ χρῶμα τοῦ λευκοῦ καὶ τοῦ μέλανος· ἢ ἀπὸ οὐσίας εἰς οὐσίας. Τὸ γὰρ λέγειν, ὅτι τῶν λευκῶν τὰ μὲν εἰσι θερμά, τὰ δὲ ψυχρά, οὐδὲν ἄλλο ἐστίν, ἢ ὅτι τῶν σωμάτων τῶν ἐπιδεδεγμένων λευκότητα τὰ μὲν ἔχει θερμότητα, τὰ δὲ ψυχρότητα. Καὶ γὰρ αὐτὴ καθ' ἑαυτὴν ἡ λευκότης, ἥτις ἐστὶ συμβεβηκός, οὔτε θερμή ἐστιν, οὔτε ψυχρά. D Ἐπεὶ οὐκ ἔστι τι συμβεβηκὸς ἑτέρῳ συμβεβηκότι πρὸς ὕπαρξιν ὑποκείμενον· μόνη δὲ ἡ οὐσία πᾶσι τοῖς συμβεβηκόσι πρὸς τὸ εἶναι ταῦτα ὑπόκειται.

ις'. Οὔτε δὲ ἐν τοῖς ἀφ' ἑνὸς καὶ πρὸς ἓν θεωρεῖται διαίρεσις, ἀλλ' ἀπαρίθμησις. Ἀόριστα γὰρ καὶ ταῦτα καὶ ἀπερίληπτα, ὥσπερ δὴ καὶ ἄτομα. Δύναται γὰρ εἰπεῖν τις ἰατρικὸν βιβλίον, καὶ ἰατρικὸν σκεῦος, ἰατρικὸν ἔμπλαστρον, καὶ ἄλλα μυρία· ὡσαύτως ὑγιεινὸν οἶνον, ὑγιεινὴν δίαιταν, ὑγιεινὸν ἀέρα, καὶ τὰ τοιαῦτα.

ιζ'. Ἰστέον δὲ ὅτι διαίρεσις, ἐπιδιαίρεσις, κατὰ

OCR ABK / FR

τοῦτο διαφέρουσιν ἀλλήλων, καθότι ἡ μὲν διαίρεσις A πρώτως τέμνει τὸ πρᾶγμα· ἡ δὲ ἐπιδιαίρεσις κατὰ δευτέραν ἐπιβολὴν τέμνει τὸ αὐτὸ πρᾶγμα· ἡ δέ γε ὑποδιαίρεσις ἓν τῶν τμημάτων παραλαβοῦσα τέμνει αὐτό· οἷον Ὁ ἄνθρωπος διαιρεῖται εἰς ἄρσεν καὶ θῆλυ· τοῦτο διαίρεσις· καὶ πάλιν Ὁ ἄνθρωπος διαιρεῖται εἰς ψυχὴν καὶ σῶμα· τοῦτο ἐπιδιαίρεσις, ἥτις τότε μόνον ὀφείλει γίνεσθαι, ὅτε καθ' ἕκαστον τῶν τμημάτων τῆς πρώτης διαιρέσεως, τὰ τῆς δευτέρας διαιρέσεως, εἴτουν ἐπιδιαιρέσεως, θεωροῦνται τὰ τμήματα. Ἰδοὺ γὰρ ἐν τῷ ἄῤῥενι καὶ ἐν τῷ θήλει θεωρεῖται ψυχὴ καὶ σῶμα. Ὅταν δὲ εἰπὼν ὅτι ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον, εἴπω πάλιν, ὅτι τὸ σῶμα διαιρεῖται εἰς ἔμψυχον καὶ ἄψυχον, ἐποίησα ὑποδιαίρεσιν.

superdivisio et subdivisio secundum hoc differunt, quatenus divisio quidem rem primario **24** secat; addivisio altero aggressu eamdem rem dividit; subdivisio denique unum membrum assumptum partitur: velut Homo dividitur in marem et feminam. Hoc divisio est. Et rursus Homo dividitur in animam et corpus; hoc addivisio est, quæ tum modo fieri debet, cum in quolibet primæ divisionis membro, membra secundariæ divisionis, sive addivisionis considerantur et spectantur. Ecce enim in mare et in femina cum anima tum corpus consideratur. Quando autem primum dixero substantiam dividi in corpus et in incorporeum et denuo dicam corpus in animatum et inanimatum dividi, subdivisionem effeci.

ιη'. Λέγονται δὲ τὰ ἐκ τοῦ αὐτοῦ γένους τμηθέντα B εἴδη ἀντιδιαιρούμενα ὡς ἀντίθεσίν τινα πρὸς ἄλληλα φέροντα, κἂν ἐκ τοῦ αὐτοῦ εἶεν καὶ ἑνός· οἷον τὸ σῶμα καὶ τὸ ἀσώματον ἐκ τῆς οὐσίας διαιρεθέντα, καὶ μετέχοντα τῆς οὐσίας ἐπίσης, ἀντίκεινται θάτερον θατέρῳ κατὰ τὰς οὐσιώδεις διαφοράς· τὸ μὲν γὰρ τριχῆ διαστατόν, τὸ δὲ τοῦ τριχῆ διαστατὸν εἶναι πόῤῥω καθέστηκε. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

18. Dicuntur porro species quæ ex eodem genere sextæ sunt (εἴδη ἀντιδιαιρούμενα), id est species contradivisæ ut quæ mutuam oppositionem secum trahant, tametsi ex uno et eodem sint: veluti, corpus et incorporeum divisa ex substantia et subtantiam ex æquo participantia quoad essentiales differentias sibi opponuntur, alterum alteri. Illud enim tria dimensione constat; hoc autem ab eo ut trifariam in dimensiones pateat, longe remotum est. Et in aliis similem in modum res se habet.

ιθ'. Λέγοιντο δ' ἂν ἀντιδιαιρούμενα, καὶ ὡς ὁμοτίμως μετέχοντα τοῦ γένους ἐξ οὗ διῄρηται, καὶ ὡς ἂν εἴποι τις ὄντα ἰσοδιαιρούμενα καὶ ἀντὶ θατέρου θάτερον κατὰ τὸ ἰσοδιαίρετον λογιζόμενα. Καὶ γὰρ ἐν τούτοις οὐκ ἔστι τὸ μᾶλλον καὶ ἧττον μετέχον C τοῦ γένους· οὔτε γὰρ τὸ σῶμα τυγχάνει οὐσία μᾶλλον τοῦ ἀσωμάτου, οὔτε τὸ ἀσώματον οὐσία μᾶλλον τοῦ σώματος· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Οὔτε δὲ τὸ φύσει πρότερον ἐν τοῖς ἀντιδιαιρουμένοις εὑρίσκεται· κατὰ πάντας γὰρ τοὺς τρόπους τῶν διαιρέσεων ἄπεστιν ἐκ τῶν τμημάτων τό τε μᾶλλον καὶ ἧττον καὶ τὸ φύσει πρότερον, πλὴν τῶν ἀφ' ἑνὸς καὶ πρὸς ἕν.

**25** 19. Sed et dici queant εἴδη ἀντιδιαιρούμενα et quod pari honoris gradu participent genus ex quo divisæ sunt et quod sint, quasi dicat aliquis, ἰσοδιαιρούμενα, id est, æqualiter in divisionem venientes et tales qualium altera ut altera quoad divisionis æqualitatem reputetur. In his enim non est quod, genus participet magis et minus. Nec enim corpus magis est substantia quam incorporeum nec incorporeum magis est substantia quam corpus. Et in aliis eodem modo res se habet. Neque vero etiam quod natura prius est ἐν τοῖς ἀντιδιαιρουμένοις, id est in iis quæ e regione, sive æqualiter dividuntur, reperitur. In omnibus enim divisionum modis cum τὸ magis et minus tum τὸ natura prius a membris, exceptis eorum quæ ab uno et ad unum (sunt dicunturque) longe remotum est.

κ'. Φύσει δὲ πρότερον λέγεται τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον· καὶ συνεισφερόμενον καὶ μὴ συνεισφέρον, οἷον τὸ ζῶον φύσει πρότερον τοῦ ἀνθρώπου, διότι ἀναιρούμενον συναναιρεῖ τὸν ἄνθρωπον. ζώου γὰρ μὴ ὄντος, οὐδὲ ἄνθρωπος ἔσται· D συνεισφερόμενον δὲ οὐ συνεισφέρει· ἐπεὶ συνεισφέρεται μὲν τῷ ἀνθρώπῳ (ἀνθρώπου γὰρ ὄντος καὶ ζῶόν ἐστιν ἐξ ἀνάγκης), οὐ συνεισφέρει δὲ τὸν ἄνθρωπον. Ζώου γὰρ ὄντος οὐκ ἤδη καὶ ἄνθρωπος ἔσται, ἀλλ' ἵππος τυχόν, ἢ βοῦς ἢ κύων, ἢ ἄλλο τι ζῶον. Φύσει γοῦν πρότερόν ἐστι τὸ γένος τοῦ εἴδους, καὶ τὸ εἶδος τῶν ἀτόμων.

20. Natura autem prius dicitur, cum quod simul alterum tolit nec ab illo simul tollitur; tum quod simul infertur ab altero, nec infert alterum: veluti animal natura prius est homine, propterea quod cum tollitur, hominem secum tollit (quippe si non est animal, neque homo erit); **26** cum autem simul infertur, non simul infert; quandoquidem simul quidem cum homine infertur (homine enim exsistente et animal est necessario), non tamen simul infert hominem. Animali enim exsistente non protinus etiam homo erit, sed equus fortasse aut bos, aut canis, aut aliud aliquod animal. Natura proinde prius est genus specie, et species individuis.

κα'. Ἐν δὲ τοῖς εἴδεσιν ἢ τοῖς ἀτόμοις οὐ θεωρεῖται τὸ φύσει πρότερον. Οὐ γὰρ τὸ λογικὸν φύσει πρότερον τοῦ ἀλόγου (ἐπεὶ οὐδὲ συναναιρεῖ, οὐδὲ συνεισ-

21. In speciebus autem vel individuis id quod natura prius est, non spectatur. Non enim rationale natura prius est quam irrationale seu brutum

OCR ABK / FR

(neque enim simul tollit, neque infertur simul), nec rursus Petrus quam Paulus natura prior est.

22. Sed neque rationale magis est animal, minus autem irrationale seu brutum, neque Petrus est magis homo, minusque Paulus. Sed medicamentum medicamento alio est salubrius, et liber alio libro ad medicinam est convenientior sive (si ita liceat dicere) medicinalior.

φέρεται)· οὐδὲ πάλιν ὁ Πέτρος φύσει πρότερος τοῦ Παύλου.

κβ' Ἀλλ' οὐδὲ μᾶλλον ζῶον ὑπάρχει τὸ λογικόν, τὸ δὲ ἄλογον ἧττον. οὐδὲ ὁ Πέτρος μᾶλλον ἄνθρωπος καὶ ἧττον ὁ Παῦλος. Φάρμακον δὲ ἄλλου φαρμάκου ὑγιεινότερον καὶ βιβλίον ἄλλου βιβλίου ἰατρικώτερον.

Σχῆμα κεφαλ. β' περὶ διαιρέσεως.

Πᾶν τὸ διαφορούμενον
- ἢ καθ' αὑτὸ
  - ἢ ὡς πρᾶγμα
    - ἢ ἀπὸ γένους εἰς εἴδη,
    - ἢ ἀπὸ εἴδους εἰς ἄτομα,
    - ἢ ἀπὸ ὅλων εἰς μέρη,
    - ἢ ἀφ' ἑνὸς καὶ πρὸς ἕν,
  - ἢ ὡς φωνὴ καὶ ἔστιν ἀπὸ ὁμωνύμου, φωνῆς εἰς διάφορα σημαινόμενα.
- ἢ κατὰ συμβεβηκός
  - ἢ ἀπὸ οὐσίας εἰς συμβεβηκότα,
  - ἢ ἀπὸ συμβεβηκότων εἰς οὐσίας,
  - ἢ ἀπὸ συμβεβηκότων εἰς συμβεβηκότα.

*Tabula capitis 2 de divisione.*

Quidquid dividitur dividitur
- aut secundum se
  - aut ut res
    - aut a genere in species,
    - aut a specie in individua
    - aut a totis in partes,
    - aut ab uno et ad unum.
  - aut ut vox, et est a voce homonyma in diversa significata.
- aut secundum accidens
  - aut a substantia in accidentia,
  - aut ab accidentibus in substantias,
  - aut ab accidentibus in accidentia.

## 27 SYNOPSIS CAPITIS III.

QUOD EST DE EXPERIMENTO, EXPERIENTIA, ARTE ET SCIENTIA; UBI ETIAM DE ANIMÆ POTENTIIS.

28 1. *Duas notitiæ divisiones proponit: ex quarum membris quatuor inter se invicem combinatis omnes notitiæ species producit, quemadmodum etiam sub finem capitis in tabulis synopticis ob oculos ponitur.* — 2. *Ex prima combinatione experimentum constituit et definit.* — 3. *Ex secunda combinatione experientiam elicit, quam ibidem definit, et exemplo medicorum empiricorum declarat.* — 4. *Ex tertia combinatione artis et scientiæ partem colligit.* — 5. *Ex quarta combinatione perfectam artem et scientiam infert, et utriusque differentiam in objectis indicat.* — 6. *Artis definitionem proponit, ex antecedentibus illatam.* — 7. *Aliam etiam artis definitionem proponit, quam alias Luciano tribuunt et per singulas particulas explicat, ubi etiam per occasionem oppositorum artis* τῆς ματαιοτεχνίας *et* κακοτεχνίας *differentiam ostendit.* — 8. *Tertiam definitionem artis profert.* - 9. *Scientiæ definitionem proponit et explicat, simulque ipsam ab arte distinguit, quarum hæc circa fluxa et non semper eodem modo se habentia versatur, ut etiam medicina; cum illa circa fluxus et mutationis expertia occupetur, ut physica.* — 10. *Etymologiam vocabuli Græci* ἐπιστήμης *assignat.* — 11. *Posteriorem capitis partem aggreditur et animæ potentias dividit.* - 12. *Vegetativas tres recenset, nutricem, auctricem et generatricem.* — **29** 13. *Vitales et appetentes quatuor, voluntatem, electionem, iram et cupiditatem, et porro has in rationales, rationis expertes et medias subdividit.* — 14. *Cognoscentes quinque numerat mentem, dianœam, opinionem, imaginationem, sensum, quas eodem modo subdivinit.* — 15. *Opinionem facit duplicem, cum ratione et sine ratione, et utramque describit, et exemplis declarat.* — 16. *Sensum definit.* — 17. *Phantasiam item.* — 18. *Explicat quare Aristoteles imaginationem vocarit mentem patientem, et primo quidem cur mentem, deinde cur patientem.* 19. *Per porisma causatur cur imaginatione corrupta cognitorum oblivionem patiamur, et cur conceptus mentis passiones animæ dicantur.* — 20. *Dianœam definit,* — 21. *Explicat quare dianœa mens potestate vocetur.* — 22. *Quid conferat et quomodo ad mentem actu perducatur et quod ac quare ejus intellectio passio dicatur.* - 23. *Quatenus ab opinione rationali differat.* — 24. *Mentem describit et determinat, quinam hanc notitiam sinceram habeant.* — 25. *Potentiis animæ declaratis aperit, ex quibus animæ potentiis singulæ notitiarum species proveniant, et primo quidem ex quibus experimentum,* — 26. *Deinde ex quibus experientia, cum quæ* αὐτοψία *tum quæ* ἱστορία *dicitur* — 27. *Tertio, ex quibus ars.* — 28. *Quarto, ex quibus scientia.* — 29. *Per porisma, aliud a superiore, quod fuit membro quarto, artis et scientiæ discrimen infert.*

OCR ABK / FR

## ΚΕΦΑΛ. Γ'.

### Περὶ πείρας, ἐμπειρίας, τέχνης, καὶ ἐπιστήμης· ἐν ᾧ καὶ περὶ τῶν δυνάμεων τῆς ψυχῆς.

α'. Ἡ γνῶσις ἢ ἄνευ λόγου ἐστὶν, ἢ μετὰ λόγου· καὶ ἢ μερική ἐστιν, ἢ καθόλου.

β'. Ἡ μὲν οὖν ἄνευ λόγου γνῶσις ἡ μερικὴ ποιεῖ τὴν πεῖραν· καὶ ἔστιν ἡ πεῖρα ἑνὸς πράγματος ἄλογος γνῶσις· οἷον ὅταν τις ἓν μόνον γινώσκοι βοήθημα, καὶ τούτῳ χρῷτο, τὴν αἰτίαν ἀγνοῶν καθ' ἣν ὠφελεῖ τὸ τοιοῦτον βοήθημα.

γ'. Ἡ δὲ ἄνευ λόγου γνῶσις ἡ καθόλου ποιεῖ τὴν ἐμπειρίαν· καὶ ἔστιν ἐμπειρία ἡ τῶν καθόλου γνῶσις ἄλογος· ὥσπερ ἐπὶ τῶν ἐμπειρικῶν ἰατρῶν· οὗτοι γὰρ πολλὰ μὲν γινώσκουσι βοηθήματα, τὴν αἰτίαν δὲ τῆς βοηθείας αὐτῶν οὐ γινώσκουσιν. Ἐμπειρία τοίνυν ἐστὶ μνήμη καὶ τήρησις ἄλογος τῶν πολλάκις καὶ ὡσαύτως ὀφθέντων. Ὁ γὰρ ἐμπειρικὸς ἰατρὸς ἐν μνήμῃ κατέχων καὶ τηρῶν τὰ πολλάκις καὶ ὡσαύτως ὀφθέντα ἰάματα κέχρηται τούτοις· τὸν γὰρ λόγον τῆς ἰάσεως οὐκ εἰδώς.

δ'. Ἡ δὲ μετὰ λόγου μερικὴ γνῶσις τέχνης ἢ ἐπιστήμης μέρος ποιεῖ· τέχνης μὲν, εἰ τὸ ὑποκείμενον τρεπτὸν, ἐπιστήμης δὲ, εἰ τὸ ὑποκείμενον ἄτρεπτον.

ε'. Ἡ δὲ καθόλου μετὰ λόγου γνῶσις τελείαν τέχνην ἢ τελείαν ἐπιστήμην ποιεῖ· τέχνην μὲν, εἴπερ ἔχει τὰ ὑποκείμενα τρεπτά τε καὶ ἀλλοιωτὰ, εἰ δ' ἄτρεπτα καὶ ἀναλλοίωτα, ἐπιστήμην.

ς'. Τέχνη γὰρ καὶ ἐπιστήμη κατὰ τὰ ὑποκείμενα διαφέρουσιν. Ἔστι μὲν οὖν ἡ τέχνη γνῶσις τῶν καθόλου μετὰ λόγου τρεπτὰ τὰ ὑποκείμενα ἔχουσα.

ζ'. Ἢ πάλιν, τέχνη ἐστὶ σύστημα ἐκ καταλήψεων ἐγγεγυμνασμένων πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ. Σύστημα μὲν οὖν ἐκ καταλήψεων, τουτέστιν ἄθροισμα ἐξ ἐφευρέσεων, εἴρηται, πρὸς ἀντιδιαστολὴν τῆς πείρας ὑπαρχούσης γνώσεως μερικῆς, ἐγγεγυμνασμένων δὲ, ἤτοι δεδοκιμασμένων, διὰ τὴν ἐμπειρίαν ἀδόκιμον οὖσαν τριβήν. Τὸ δὲ, πρός τι τέλος εὔχρηστον τῶν ἐν τῷ βίῳ, προστέθειται διὰ τὰς ματαιοτεχνίας καὶ κακοτεχνίας, αἵτινες οὐδὲ τέχναι εἰσίν. Ἡ γὰρ ματαιοτεχνία οὔτε ὠφέλειαν οὔτε βλάβην εἰσφέρει τῷ βίῳ, ὡς ἡ νευροβατικὴ, καὶ ἡ κοντοπαικτική· ἡ δέ γε κακοτεχνία πρὸς τῷ μηδὲν ὠφελεῖν καὶ βλάπτει τὸν βίον, ὡς ἡ γοητική.

η'. Τέχνη πάλιν ἐστὶν ἕξις ὁδῷ βαδίζουσα μετὰ φαντασίας. Πρόσκειται τὸ μετὰ φαντασίας διὰ τὴν φύσιν· ἕξις γάρ τίς ἐστι καὶ ἡ φύσις, ὡς ἔχουσα τὸ εἶναι ἐν οἷς ἐστιν· οἷον ἐν ζώῳ, ἐν φυτῷ, ἐν λίθῳ καὶ τοῖς λοιποῖς· βαδίζει δὲ καὶ ὁδῷ, τουτέστι κατὰ τάξιν προέρχεται, καὶ πάντα κατὰ λόγον ποιεῖ, ἀλλ' οὐ μετὰ φαντασίας, ὥσπερ ἡ τέχνη. Οὐδὲ γὰρ προδιατυποῖ ἐν ἑαυτῇ ὃ βούλεται κατασκευάσαι. Ἄλογος γάρ ἐστιν. Ἀλλ' ὁ τεχνίτης κεχρημένος τῷ λόγῳ, ἡνίκα τι βούλεται ποιῆσαι, πρότερον διατυποῖ τὸ τοιοῦτον ἐν ἑαυτῷ, καὶ εἶθ' οὕτως ἀποτελεῖ.

## CAPUT III.

### *De experimento, experientia, arte et scientia; ubi etiam de animæ potentiis.*

**30** 1. Notitia vel sine ratione est vel cum ratione, estque vel particularis vel universalis.

2. Quæ quidem igitur sine ratione est particularis notitia, experimentum facit; et est experimentum unius rei notitia rationis expers, ut cum quis unum solum novit remedium eoque utitur, causam ignorans propter quam tale remedium sit utile.

3. Quæ autem sine ratione est universalis notitia, experientiam constituit. Estque experientia, universalium notitia rationis expers, ut in medicis qui empirici dicuntur, propterea nimirum quod experientia nitantur, videre est. Hi enim multa quidem norunt remedia, sed causam quare juvent ipsa et utilia sint, ignorant. Est igitur experientia memoria et observatio eorum quæ sæpe et eodem modo visa sunt. Nam medicus empiricus, id est, qui experientia nititur, cum memoria teneat et observet medicamenta quæ sibi sæpe et eodem modo animadversa sunt, utitur illis, tametsi rationem quare sanent, non intelligat.

4. Porro particularis cum ratione notitia, artis vel scientiæ partem efficit: artis quidem, si subjectum sit mutabile, scientiæ vero, si subjectum immutabile.

**31** 5. Universalis vero cum ratione notitia, perfectam artem aut perfectam scientiam efficit: artem quidem, siquidem subjecta habet mutationi et alterationi obnoxia; scientiam vero, si mutationis et alterationis experientia. Quippe ars et scientia quoad subjecta differunt.

6. Quare ars quidem est notitia universalium cum ratione conjuncta, habens subjecta mutabilia.

7. Vel rursum: ars est constitutio ex observationibus et præceptionibus exercitatione deprehensis ad utilem aliquam rerum humanarum finem pertinentibus conflata. Constitutio proinde quidem ex observationibus et præceptionibus, hoc est, collectio seu congeries ex adinventionibus dicta est, ut ab experimento contradistingueretur, quod particularis notitia est; sed exercitatione deprehensis sive probatis, propter experientiam, quæ probationis expers est exercitatio seu usus. Denique τὸ ad utilem aliquem rerum humanarum finem pertinentibus (conflata), adjectum est propter malas artes et vanas artes, quæ ne quidem artes (simpliciter ita dictæ) sunt. Nam **32** vana ars nec emolumentum, nec detrimentum affert vitæ, ut funambulatoria et contolusoria. At mala ars præterquam quod nihil commodat, obest etiam vitæ, ut incantatoria.

8. Rursus ars est habitus (certa) via procedens cum imaginatione. Adjectum est τὸ cum imaginatione propter naturam. Nam et natura, quidam habitus est, ut quæ habeat sive contineat esse rerum in quibus est: ut in animali, in planta, in lapide et cæteris. Procedit autem etiam certa via, hoc est, ordine progreditur, et omnia secundum rationem

OCR ABK / FR

facit, sed non tamen cum imaginatione quemadmodum ars. Neque enim prius animo in seipsa concipit quod vult construere, quippe rationis expors est; sed artifex qui ratione utitur, quando aliquid efficere vult, prius id apud seipsum animo concipit, et sic deinde perficit.

9. Jam vero scientia est infallibilis et immutabilis universalium notitia. Ea enim quæ cognoscuntur infallibiliter cognoscit, propterea quod natura eorum fluxus et alterationis expers est. Neque enim particularium temperamentorum proprietates exquirit, ut medicina, sed de universali **33** homine et de universali equo et similibus quæ eodem se semper modo habent, disceptat. Ars vero circa fluxa et non eodem modo semper se habentia versatur. Quæ enim huic subjecta sunt fluxa et alterationi obnoxia sunt: quemadmodum medicinæ humana corpora. Unde etiam medici est, cum alicui purgationem opportuno dedit tempore, subito autem tum habitus corporis mutatus et hinc subjectum alteratum est, quod detrimentum, non emolumentum purgationem sit secutum, et sanationis frustratio non ex artis ratione, sed ex mutabili et alterabili subjecti natura contigerit. Hæc autem subjectorum instabilitas in omnibus etiam artibus consideratur.

A θ'. Ἐπιστήμη δέ ἐστιν ἡ τῶν καθόλου ἄπταιστος γνῶσις καὶ ἀμετακίνητος. Ἀπταίστως γὰρ γινώσκει τὰ γινωσκόμενα, διὰ τὸ αὐτῶν ἄῤῥευστόν τε καὶ ἀναλλοίωτον. Οὐδὲ γὰρ ἐξετάζει τῶν ἐπὶ μέρους κράσεων τὰς ἰδιότητας ὥσπερ ἡ ἰατρικὴ, ἀλλὰ περὶ τοῦ καθόλου ἀνθρώπου διαλαμβάνει καὶ τοῦ καθόλου ἵππου καὶ τῶν ὁμοίων, ἅτινα ἀεὶ ὡσαύτως ἔχουσιν· ἡ δὲ τέχνη περὶ τὰ ῥευστὰ, καὶ τὰ μὴ ἀεὶ ὡσαύτως ἔχοντα καταγίνεται. Τὰ γὰρ ὑποκείμενα ταύτῃ ῥευστά εἰσι καὶ ἀλλοιωτά· καθὼς τῇ ἰατρικῇ τὰ ἀνθρώπεια σώματα. Ὅθεν καὶ τοῦ ἰατροῦ ἐστιν, ὅτε δόντος τινὶ καθάρσιον ἐν καιρῷ δέοντι, αἴφνης δὲ τραπέντος τηνικαῦτα τοῦ καταστήματος, κἀντεῦθεν ἀλλοιωθέντος τοῦ ὑποκειμένου, βλάβη καὶ οὐκ ὠφέλεια τῷ καθαρσίῳ ἐπηκολούθησε, καὶ γέγονεν ἡ B ἀποτυχία τῆς ἰάσεως οὐ παρὰ τὸν λόγον τῆς τέχνης, ἀλλὰ παρὰ τὸ τρεπτὸν τοῦ ὑποκειμένου καὶ ἀλλοιωτόν. Τοῦτο δὲ τὸ ἄστατον τῶν ὑποκειμένων καὶ ἐπὶ πασῶν θεωρεῖται τεχνῶν.

10. Unde etiam ἐπιστήμη, quæ subjecta habet stabilia, sic nominata est Græcis quod nos ἐπὶ στάσιν, hoc est ad statum deducat; dum ab infinitione et mutabilitate particularium abducit. Quippe ἐπιστήμη, hoc est scientia, circa universalia et casuum varietatis expertia versatur.

ι'. Ὅθεν ἡ τὰ ὑποκείμενα ἔχουσα στάσιμα ἐπιστήμη ὠνόμασται, διὰ τὸ ἐπὶ στάσιν καὶ ὅρον τῶν πραγμάτων ἄγειν ἡμᾶς, τῆς ἀοριστίας καὶ μεταβολῆς τῶν ἐπὶ μέρους ἀπάγουσα. Ἡ γὰρ ἐπιστήμη περὶ τὰ καθόλου καὶ ἀμετάπτωτα καταγίνεται.

11. Cæterum et hoc cognoscendum est, potentiarum animæ alias quidem esse vegetativas, alias vero vitales et appetitivas, alias denique cognoscentes.

ια'. Δεῖ δὲ καὶ τοῦτο γινώσκειν, ὅτι τῶν ψυχικῶν δυνάμεων αἱ μὲν εἰσι φυτικαὶ αἱ δὲ ζωτικαὶ καὶ ὀρεκτικαὶ, αἱ δὲ γνωστικαί.

**34** 12. Et quidem vegetativæ sunt, et nutrix et auctrix et generatrix, vitales autem, et appetitivæ, voluntas et electio, ira seu irascendi potentia, et cupiditas, seu cupiendi facultas.

ιβ'. Καὶ φυτικαὶ μέν εἰσιν ἥ τε θρεπτικὴ καὶ C αὐξητικὴ καὶ γεννητικὴ, ζωτικαὶ δὲ καὶ ὀρεκτικαὶ βούλησις καὶ προαίρεσις, θυμὸς καὶ ἐπιθυμία.

13. Et voluntas quidem est, rationalis potentia: rationis autem expertes potentiæ sunt, cupiditas et ira. Electio denique utrisque ambigit, sive cum utrisque communicat. Voluntas enim quidem animæ rationalis est ipsius, quatenus per se consideratur et ad solum bonum extenditur; electio autem ipsius est, quatenus cum irrationali natura copulata est; et alias quidem ad rationem, alias autem ad brutam naturam se explicat, et hoc præ illo αἱρεῖται, hoc est amplectitur seu (si ita dicere liceat) legit, quapropter etiam προαίρεσις hoc est electio dicitur.

ιγ'. Καὶ ἡ μὲν βούλησις δύναμίς ἐστι λογική· ἄλογοι δὲ δυνάμεις ἡ ἐπιθυμία καὶ ὁ θυμός. Ἡ δὲ προαίρεσις ἐπαμφοτερίζει. Ἡ μὲν γὰρ βούλησις αὐτῆς καθ' αὐτήν ἐστι τῆς λογικῆς ψυχῆς, καὶ πρὸς μόνον τὸ ἀγαθὸν ἀποτείνεται· ἡ δὲ προαίρεσις τῆς συμπεπλεγμένης ἐστὶ τῇ ἀλόγῳ. Καὶ ποτὲ μὲν πρὸς τοῦ λόγου γίνεται, ποτὲ δὲ πρὸς τῆς ἀλογίας, καὶ αἱρεῖται τόδε πρὸ τοῦδε, διὸ καὶ προαίρεσις λέγεται.

14. Cognoscentes denique animæ sunt potentiæ, mens, dianœa, opinio, imaginatio et sensus; et ex his quidem rationales sunt, mens et dianœa, rationis autem expertes sunt, imaginatio et sensus.

D ιδ'. Γνωστικαὶ δὲ τῆς ψυχῆς δυνάμεις εἰσὶ νοῦς, διάνοια, δόξα, φαντασία καὶ αἴσθησις· καὶ λογικαὶ μὲν τούτων νοῦς καὶ διάνοια· ἄλογοι δὲ φαντασία καὶ αἴσθησις.

15. Opinio denique mediæ naturæ est. Nam et cum ratione et sine ratione est. Ac sine ratione quidem quando res sine causa opinatur: cum ratione **35** vero, quando ex causa aliqua rationi consentanea ad opinandum provehatur: velut opinatur aliquis animam rationalem esse immortalem, nulla ad hoc causa adductus: en hæc est sine

ιε'. Ἡ δὲ δόξα ἐπαμφοτερίζει. Γίνεται γὰρ καὶ μετὰ λόγου καὶ ἄνευ λόγου. Καὶ ἄνευ λόγου μὲν, ὅταν χωρὶς αἰτίας δοξάζῃ τὰ πράγματα· μετὰ λόγου δὲ ὅταν ἐξ αἰτίας εὐλόγου τινὸς εἰς τὸ δοξάσαι προάγηται· οἷον δοξάζει τις τὴν λογικὴν ψυχὴν ἀθάνατον εἶναι, μὴ ἔκ τινος αἰτίας εἰς τοῦτο ἐλθὼν, ἰδοὺ ἄλογος ἡ δόξα. Δοξάζει πάλιν ἄλλος τὴν αὐτὴν ψυχὴν ὑπάρχειν ἀθάνατον, ἀλλ' ἐκ τοῦ εἶναι αὐτὴν αὐτοκίνητον,

OCR ABK / FR

ταυτὸν δ' εἰπεῖν, αὐτενέργητον· τὸ δὲ αὐτοκίνητον A ἀεικίνητον· τὸ δὲ ἀεικίνητον ἀθάνατον· ἰδοὺ μετὰ λόγου δόξα, ἥτις ἐστὶ τὸ συμπέρασμα τῶν προτάσεων.

ιϛ'. Αἴσθησις δέ ἐστιν ἡ τοῦ παρόντος μερικὴ γνῶσις. Τοῦ παρόντος γὰρ ἀντιλαμβάνεται ἡ αἴσθησις· οἷον (ἡ) ὅρασις, εἰ μὴ ὄψεταί τι, οὐ δύναται γνῶναι αὐτό. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

ιζ'. Φαντασία δέ ἐστιν ἡ τοῦ ἀπόντος μερικὴ γνῶσις· ὡς ὅταν χθὲς ἰδὼν ἄνθρωπον σήμερον φαντασθῶ αὐτὸν, ἤγουν ἀναπολήσω τὸν τοιοῦτον.

ιη'. Νοῦν δὲ παθητικὸν ὁ Ἀριστοτέλης τὴν φαντασίαν ὠνόμασε· νοῦν μὲν, ὡς ἔνδον ἐν ἑαυτῇ τὸ γνωστὸν ἔχουσαν, καὶ ταύτῃ διαφέρουσαν τῆς αἰσθήσεως· B ὅτι ἅπερ ἡ αἴσθησις ἔξω κείμενα γινώσκει, δεομένη πάντως τῆς ἐκείνων παρουσίας πρὸς τὸ ἐνεργῆσαι περὶ αὐτὰ, τούτων ἡ φαντασία τοὺς τύπους διὰ τῶν αἰσθήσεων ἀπομαξαμένη, ἔχει ἐν ἑαυτῇ καὶ δύναται προβάλλειν, μὴ δεομένη τῶν ἔξω κειμένων. Διὸ κἂν τοῖς ὕπνοις ἐνεργεῖ τὸ φανταστικὸν, ἀνενεργήτων μενουσῶν τῶν αἰσθήσεων. Νοῦν μὲν οὖν διὰ ταῦτα τὴν φαντασίαν ἐκάλεσεν ὁ Φιλόσοφος, παθητικὸν δὲ, διότι μετὰ μερισμοῦ γινώσκει (τὰ πράγματα) καὶ διαστάσεως ἐκ τῶν αἰσθήσεων ἀρχομένη τε καὶ συνισταμένη καὶ τῇ χρονίῳ διαλυομένη πολλάκις ἀπουσίᾳ τῶν αἰσθητῶν.

ιθ'. Ἐπεὶ οὖν οὐδὲν τῶν ἐνταῦθα πραγμάτων χωρὶς φαντασίας ἰσχύομεν νοεῖν, οὐκ ἀπαθὴς δὲ καθέστηκεν αὕτη· διαλύσει δὲ ὑπόκειται, καθὼς ἔφημεν, C καὶ φθορᾷ διὰ τοῦτο τῆς φαντασίας φθειρομένης, τὴν τῶν ἐγνωσμένων πάσχομεν λήθην, ἐπεὶ συμπεπλεγμένην τῇ φαντασίᾳ τὴν νόησιν ἔχομεν· Ὅθεν καὶ τὰ νοήματα παθήματα λέγεται τῆς ψυχῆς· οὐχ ὅτι πάσχει ἡ λογικὴ ψυχὴ, ἀλλ' ὅτι χωρὶς τοῦ παθητικοῦ νοῦ, τουτέστι τῆς φαντασίας, οὐδὲν πέφυκε τῶν ἐν τῷ κόσμῳ νοεῖν.

κ'. Διάνοια δέ ἐστι γνωστικὴ τῶν καθόλου μετὰ λόγου δύναμις, οὐκ ἀθρόως, ἀλλὰ διά τινος μεθόδου καταλαμβάνουσα τὸ γνωστόν.

D κα'. Καλεῖται δὲ ἡ διάνοια καὶ δυνάμει νοῦς διὰ τὸ συνεπαίρεσθαι τῷ ἐνεργείᾳ νῷ, τουτέστι διὰ συλλογισμῶν ἀνάγεσθαι πρὸς ἅπερ ἁπλαῖς ἐπιβολαῖς ὁ ἐνεργείᾳ νοεῖ νοῦς.

κβ'. Ἡ διάνοια τοίνυν ὁ δυνάμει νοῦς συνεργεῖ πρὸς τὸ δέον, καὶ βοηθεῖ καὶ ταῖς ὀρεκτικαῖς δυνάμεσι τῆς ψυχῆς, καὶ πρὸς τὸ λελογισμένον ἀλόγους οὔσας αὐτὰς ὁδηγεῖ. Συνεπαίρεται δὲ καὶ τῷ ἐνεργείᾳ νῷ πρὸς τὴν τῶν ὄντων ἀναγομένη γνῶσιν, ὡς εἴρηται. Διὸ γοῦν ἐκ τοῦ ἀτελοῦς ἐπὶ τὸ τέλειον πρόεισιν, ἤγουν ἐκ τοῦ δυνάμει πρὸς τὸ ἐνεργείᾳ. Διὰ τοῦτο καὶ ἡ ταύτης ἐνέργεια εἴτουν ἡ νόησις

ratione opinio. Rursus alius opinatur eamdem animam esse immortalem, sed exinde quod a seipsa moveatur, sive quod idem est, a seipsa operetur. Quod autem a seipso movetur, semper movetur. Quod semper movetur, est immortale. Ecce cum ratione, quæ propositionum est conclusio.

16. Sensus autem est præsentis rei notitia particularis. Sensus enim id quod præsens est apprehendit: veluti visus nisi videat aliquid, cognoscere id non potest. Et similem in modum in aliis sensibus res se habet.

17. Imaginatio est absentis rei notitia particularis, ut cum heri conspicatus hominem hodie eum imaginatus fuero, hoc est, ejusmodi recoluero.

18. Aristoteles autem imaginationem, mentem patientem nominavit: mentem quidem quod intus in seipsa habeat id quod cognosci potest, et hactenus a sensu differat, quod ea quæ sensus extra posita cognocit requirens omnino eorum præsentiam **36** ut operetur circa ipsa, horum formas mediantibus sensibus abstersas in seipsa habet imaginatio, et promovere potest, ut iis quæ extra posita sunt, non opus habeat. Quapropter etiam imaginativa in somnis operatur sensibus etiam operationis expertibus manentibus. Hac igitur de causa imaginationem Philosophus mentem vocavit. Patientem autem, quod cum partitione et intervallo (res) cognoscit, ut quæ a sensibus et incipiat et consistat, et sæpe longa sensibilium absentia dissolvatur.

19. Quoniam igitur nihil rerum apud nos sine imaginatione intelligere valemus, hæc autem passionis expers non est, sed dissolutioni, ut diximus, corruptionique subjecta est: propterea cum imaginatio corrumpitur, eorum quæ nobis cognita sunt, oblivionem patimur, quandoquidem cum imaginatione conjunctam intellectionem habemus. Unde etiam conceptus mentis passiones animæ dicuntur; non quod anima rationalis patiatur, sed quod sine mente patiente, hoc est sine imaginatione, nihil rerum mundanarum intelligere per naturam potis sit.

20. Jam vero dianœa (ratiocinatio, seu discursus) **37** est potentia, quæ cum ratione cognoscit universalia; quæ non confestim, sed compendiaria quadam via et ratione, id quod cognosci potest, apprehendit.

21. Vocatur autem dianœa etiam mens potestate, quod simul evehatur ad mentem actu, hoc est, ad ea per syllogismos adducatur, quæ simplicibus applicationibus mens actu intelligit.

22. Dianœa igitur, mens potestate, ad officium cooperatur, opemque fert etiam appetitivis animæ potentiis, ipsasque cum rationis expertes sint, ad rationis magisterium deducit. Sed simul etiam ad mentem actu evehitur, dum ad eorum quæ sunt notitiam, ut dictum est, adducitur. Hac de causa etiam hujus operatio, hoc est intellectio, passio dicitur, ad distinctionem ope-



OCR ABK/FR

rationis mentis, quæ seipsa perfecta et mens actu vocatur, ut quæ cum essentia concurrentem habeat operationem, et cum ea quæ potestate est, impermistam, et ob id passionis prorsus expers sit.

23. Differt autem dianœa ab opinione, quæ cum ratione est, quod opinio quidem cum ratione propositionum est, ut dictum est, conclusio; dianœa autem propositiones extra controversiam **38** positas accipiens quæsitum confirmat. Accipiens enim hoc apud omnes in confesso positum, quod anima a se moveatur, quodque id quod a se movetur semper moveatur, et quod denique id quod semper movetur, immortale sit, confirmat hinc animam immortalem esse : et sic ex hujuscemodi confirmatione concludit opinio, quæ cum ratione est, quod anima immortalis sit.

24. Mens denique simplici applicatione, hoc est confestim, sine tempore, melius quam per demonstrationem omnia quæ sub ipsam cadunt, intelligibilia nimirum, cognoscit. Quam sane notitiam sinceram et impermistam illi habent qui per actionem et contemplationem ad summum purgationis et scientiæ fastigium pervenerunt.

25. Hæc cum ita sese habeant, ex sensu quidem experimentum emergit. Id enim particularis et ratione destituta est notitia.

26. At vero experientia et ex opinione rationis experte, et ex sensu et imaginatione simul provenit : et cum quidem ex sensu et imaginatione, *αὐτοψία*, hoc est, ipsa rei inspectio : etenim empiricus, hoc est, qui experientia nititur, medicus, cum **39** ipse remedia viderit, et eadem per sensum probaverit, eorumque operationes per imaginationem in seipso collegerit, singulis illis per occasionem ad curationes utitur; quando vero ex opinione rationis experte proruit experientia, tunc historia vocatur, ut cum qui arbitratur tales aliquas esse horum remediorum naturas, cum ipse ea nondum expertus fuerit, sed ab aliis audiverit et sic opinatus fuerit.

27. Ex opinione autem cum ratione et dianœa, ars exsurgit. Nam et hæc, perinde ut ipsæ, universalia cum ratione cognoscit.

28. Scientia denique tum ex dianœa, tum ex mente generatur. Ac ea quidem principia, quæ demonstrationibus indigent, veluti quod punctum partes non habeat, et similia, ex dianœa accipit, illa vero quæ apud omnes in confesso sunt et demonstrationibus non indigent, ut quod Deus bonus, et similia, ex mente.

29. Differt igitur etiam quoad hoc ars a scientia, quod ars quidem et ex opinione rationis participe et ex dianœa, scientia autem ex dianœa et mente emergit.

A πάθος λέγεται πρὸς διάκρισιν τῆς ἐνεργείας τοῦ νοῦ, τοῦ αὐτοτελοῦς καλουμένου καὶ ἐνεργείᾳ νοῦ, ὡς τῇ οὐσίᾳ σύνδρομον τὴν ἐνέργειαν ἔχοντος, ἀμιγῆ τε τοῦ δυνάμει καὶ διὰ τοῦτο παντελῶς ἀπαθῆ.

κγ'. Διαφέρει δὲ διάνοια τῆς μετὰ λόγου δόξης· ὅτι ἡ μὲν μετὰ λόγου δόξα συμπέρασμά ἐστιν, ὡς εἴρηται, τῶν προτάσεων· ἡ δὲ διάνοια λαμβάνουσα τὰς προτάσεις ὁμολογουμένας κατασκευάζει τὸ ζητούμενον. Λαμβάνουσα γὰρ ὁμολογούμενον ὅτι ἡ ψυχὴ αὐτοκίνητός ἐστι, καὶ ὅτι τὸ αὐτοκίνητον ἀεικίνητον, καὶ ὅτι τὸ ἀεικίνητον ἀθάνατον, κατασκευάζει ἐντεῦθεν ἀθάνατον τὴν ψυχήν· καὶ οὕτως ἐκ τῆς τοιαύτης κατασκευῆς ἡ μετὰ λόγου δόξα συμπεραίνει, ὅτι ἡ ψυχὴ ὑπάρχει ἀθάνατος.

B

κδ'. Ὁ δὲ νοῦς ἁπλῇ προσβολῇ, τουτέστιν εὐθέως, ἀχρόνως, κρειττόνως ἢ κατὰ ἀπόδειξιν πάντα τὰ ὑποπίπτοντα αὐτῷ γινώσκει, τὰ νοητὰ δηλαδή· ἣν δὴ γνῶσιν ἐκεῖνοι ἔχουσιν ἀκραιφνῆ τε καὶ ἀμιγῆ, οἵτινες διὰ πράξεως καὶ θεωρίας εἰς ἄκρον καθάρσεως καὶ ἐπιστήμης ἀφίκοντο.

κε'. Τούτων οὕτως ἐχόντων, ἐκ μὲν τῆς αἰσθήσεως ἐγείρεται ἡ πεῖρα· καὶ γὰρ αὕτη μερική ἐστι γνῶσις καὶ ἄλογος.

κς'. Ἡ δὲ ἐμπειρία ἔκ τε τῆς ἄνευ λόγου δόξης ἔρχεται, καὶ ἐκ τῆς αἰσθήσεως καὶ φαντασίας ὁμοῦ· καὶ ὅτε μὲν ἐκ τῆς αἰσθήσεως καὶ τῆς φαντασίας, αὐτοψία καλεῖται· καὶ γὰρ αὐτόπτης γενόμενος τῶν

C βοηθημάτων ὁ ἐμπειρικὸς ἰατρὸς, καὶ βασανίσας αὐτὰ διὰ τῆς αἰσθήσεως, καὶ συναγαγὼν ἐν ἑαυτῷ διὰ τῆς φαντασίας τὰς ἐνεργείας αὐτῶν, χρᾶται κατὰ καιροὺς ἑνὶ ἑκάστῳ πρὸς τὰς ἰάσεις· ὁπότε δ' ἐκ τῆς ἀλόγου δόξης ἡ ἐμπειρία ὁρμᾷ, τότε καλεῖται ἱστορία, ὡς ὅταν τις νομίσῃ τὰς φύσεις τῶνδε τῶν βοηθημάτων τοιάσδε τινὰς εἶναι μὴ πειραθεὶς αὐτὸς, ἀλλ' ἀπ' ἄλλων ἀκούσας καὶ οὕτω δοξάσας.

κζ'. Ἐκ δὲ τῆς μετὰ λόγου δόξης καὶ τῆς διανοίας ἡ τέχνη ἀνίσταται. Καὶ γὰρ καὶ αὕτη ταύταις ὁμοίως τὰ καθόλου μετὰ λόγου γινώσκει.

κη'. Ἡ δὲ ἐπιστήμη γεννᾶται ἔκ τε τῆς διανοίας καὶ τοῦ νοῦ. Καὶ τὰς μὲν δεομένας ἀποδείξεων ἀρ-

D χὰς, οἷον ὅτι τὸ σημεῖον ἀμερὲς καὶ τὰ τοιαῦτα, ἐκ τῆς διανοίας λαμβάνει, τὰς δ' ὁμολογουμένας καὶ ἀνενδεεῖς ἀποδείξεων, οἷον ὅτι ὁ Θεὸς ἀγαθὸς καὶ τὰ ὅμοια, ἐκ τοῦ νοῦ.

κθ'. Διαφέρει γοῦν καὶ κατὰ τοῦτο τέχνη ἐπιστήμης, ὅτι ἡ μὲν τέχνη ἔκ τε τῆς μετὰ λόγου δόξης καὶ τῆς διανοίας ἐγείρεται, ἡ δὲ ἐπιστήμη ἐκ τῆς διανοίας καὶ τοῦ νοῦ.

OCR ABK / FR

Σχῆμα κεφαλ. γ', Περὶ γνώσεως.

Ἡ γνῶσις
- ἢ ἄνευ λόγου
  - ἢ μερικὴ,
  - ἢ καθόλου.
- ἢ μετὰ λόγου
  - ἢ μερικὴ,
  - ἢ καθόλου,




Καὶ ἄλλως.

Γνῶσις
- ἢ ἄνευ λόγου
  - ἢ μερικὴ, καὶ ποιεῖ τὴν πεῖραν,
  - ἢ καθόλου, καὶ ποιεῖ τὴν ἐμπειρίαν,
- ἢ μετὰ λόγου
  - ἢ μερικὴ, μέρος — ἐπιστήμης ἢ τέχνης
  - ἢ καθόλου
    - ἢ τρεπτὰ ἔχουσα τὰ ὑποκείμενα, καὶ ποιεῖ τέχνην τελείαν
    - ἢ ἄτρεπτα, καὶ ποιεῖ ἐπιστήμην τελείαν.

---

**40** *Tabula capitis 3, De notitia.*

Notitia est
- vel sine ratione et
  - vel particularis,
  - vel universalis.
- vel cum ratione et
  - vel particularis,
  - vel universalis.




**41** *Et aliter.*

Notitia (est)
- vel sine ratione
  - vel particularis, et efficit experimentum,
  - vel universalis, et efficit experientiam.
- vel cum ratione
  - vel particularis : pars — scientiæ vel artis
  - vel universalis
    - vel mutabilia habens subjecta, et efficit perfectam artem,
    - vel immutabilia, et efficit perfectam scientiam.

OCR ABK / FR

| | | |
|---|---|---|
| Τῶν ψυχικῶν δυνάμεων | αἱ μὲν φυσικαί, | αἱ δὲ γεννητικαί |
| | αἱ δὲ ζωτικαὶ καὶ ὀρεκτικαί, | βούλησις, προαίρεσις, θυμὸς, καὶ ἐπιθυμία. |
| | αἱ δὲ γνωστικαί, | νοῦς, διάνοια, δόξα, φαντασία, αἴσθησις. |

—

**42**

| | | |
|---|---|---|
| Animalium seu animæ potentiarum (sunt) | aliæ quidem vegetantes | aliæ quidem altrices, aliæ vero auctrices, aliæ denique generatrices. |
| | aliæ vero vitales et appetitivæ | voluntas, electio, ira, et cupiditas. |
| | aliæ denique cognoscentes | mens, dianœa, opinio, imaginatio, sensus. |

—

## SYNOPSIS CAPITIS IV.

QUOD EST DE PHILOSOPHIÆ DEFINITIONIBUS.

1. *Sex philosophiæ definitiones commemorat, primum ab objecto, ente, sumptam; quæ tamen metaphysicæ videatur potius convenire, quæ alias prima philosophia dicitur. Illa enim ens simplicissime considerat, non quatenus, quantum aut quale, vel aliter determinatum est.* — **43** 2. *Secundam iterum ab objecto divinarum et humanarum rerum desumptam, per partitionem.* — 3. *Tertiam a fine vel effectu, qui est meditatio mortis, scilicet voluntariæ, quemadmodum etiam per occupationem de* αὐτοχειρίᾳ *tacitam objectionem prævenit, et cum vitam tum mortem distinguit, ut ita manifestum fiat, qua de morte hic sermo sit.* — 4. *Quartam item a fine, qui est similitudo cum Deo.* — 5. *Probat hanc definitionem.* — 6. *Per occupationem explicat, cur in definitione adjiciatur, quanta (similitudo) in hominem cadere potest.* — 7. *Quintam proponit* κατ' ἔπαινον *ab ordine, quem philosophia habet inter artes et scientias; quippe quasi regina super omnes evecta est; quod tamen etiam metaphysicæ convenit.* — 8. *Sextam* κατ' ἐτυμολογίαν *et a fine. Sapientiæ quippe amor, hoc est Dei, qui est ipsa sapientia, dilectio, phylosophiæ finis est.* — 9. *Commemoratas definitiones singulas suis auctoribus assignat.*

—

## CAPUT IV.

*Quænam sint philosophiæ definitiones.*

1. Multæ definitiones philosophiæ sunt expositæ, ex quibus tamen sex meliores et solidiores sunt aliis. Ac primo quidem est quæ dicit, philosophiam esse notitiam entium, quatenus entia sunt; hoc est, quatenus singula naturam, non quatenus numerum et proprietatem habent. Neque enim philosophus **44** sibi propositum habet, ut particulares homines cognoscat, quot numero et quales sint proprietatibus. Neque vero etiam cætera entia sigillatim, sed naturam eorum communiter considerat eodemque modo etiam aliarum rerum naturas scire vult.

2. Secunda definitio est quæ dicit, philosophiam esse cum divinarum tum humanarum rerum notitiam. Quoniam enim entia vel corruptibilia sunt vel incorruptibilia, et incorruptibilium quidem divina, corruptibilium autem humana præstantiora sunt, ex præstantioribus partibus omnes (reliquas) declaravit, et notitiam entium ipsa quoque (hæc definitio) philosophiam vocavit.

A

## ΚΕΦΑΛ. Δ'.

Τίνες οἱ τῆς φιλοσοφίας ὁρισμοί.

α'. Πολλοὶ τῆς φιλοσοφίας ἐκτέθεινται ὁρισμοί· ἓξ δὲ εἰσι τῶν ἄλλων οἱ κρείττους καὶ ἀσφαλέστεροι. Καὶ πρῶτος μὲν ὁ λέγων ὅτι φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστὶν, ἀντὶ τοῦ, καθὸ φύσεως ἔχουσιν ἕκαστα, οὐ μὴν ἀριθμοῦ καὶ ἰδιότητος· οὐ γὰρ προτίθεται ὁ φιλόσοφος εἰδέναι τοὺς ἐπὶ μέρους ἀνθρώπους ὁπόσοι εἰσὶ καὶ ὁποῖοι τὰς ἰδιότητας. Οὐδὲ τὰ λοιπὰ τῶν ὄντων καθ' ἕκαστον ἐπισκέπτεται, τὴν φύσιν δὲ τῶν ὄντων κοινῶς· ὡσαύτως δὲ καὶ τὰς τῶν ἄλλων πραγμάτων φύσεις ἐπίστασθαι βούλεται.

β'. Δεύτερος ὅρος ὁ λέγων ὅτι φιλοσοφία ἐστὶ γνῶ-

B

σις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. Ἐπεὶ γὰρ τὰ ὄντα ἢ φθαρτά εἰσιν ἢ ἄφθαρτα, τιμιώτερα δὲ τῶν μὲν ἀφθάρτων τὰ θεῖα, τῶν δὲ φθαρτῶν τὰ ἀνθρώπινα· ἐκ τῶν τιμιωτέρων μερῶν τὰ πάντα ἐδήλωσε, καὶ γνῶσιν δὲ αὐτὸς τῶν ὄντων τὴν φιλοσοφίαν ἐκάλεσε.

OCR ABK / FR

A γ'. Τρίτος ὅρος ὁ λέγων, ὅτι φιλοσοφία ἐστὶ μελέτη θανάτου, δηλονότι τοῦ προαιρετικοῦ. Οὐδὲ γὰρ βούλεται ὁ φιλόσοφος περὶ τῆς ἀναιρέσεως αὐτοῦ μελετᾷν. Οὕτω γὰρ ἂν τοὺς δημιουργικοὺς ἀνατρέποι νόμους· εἴ γε ὁ μὲν δημιουργὸς συνέδησε τῷ σώματι τὴν ψυχὴν, ὁ δὲ βούλεται τὸν τοιοῦτον ἀναλύειν δεσμὸν παρὰ τὴν τοῦ συνδήσαντος κέλευσιν. Ἀλλ' ἐπεὶ διττή ἐστιν ἡ ζωὴ (καὶ γὰρ ἡ μὲν φυσική, ἡ δὲ προαιρετική· καὶ φυσικὴ μὲν ἡ συνάφεια τῆς ψυχῆς καὶ τοῦ σώματος, καθ' ἣν ὑπὸ τῆς προνοίας ἐτάχθημεν ζῆν, καθ' ἣν τὸ σῶμα δεσμεῖ τὴν ψυχήν· προαιρετικὴ δὲ (ζωὴ) ἡ πρὸς τὸ σῶμα συμπάθεια καὶ περὶ τὰς ἡδονὰς ἀσχολία, καθ' ἣν ἡ ψυχὴ ἑαυτὴν δεσμεῖ καὶ προσπατταλεύει τῷ σώματι)· διττὸς γινώσκεται δὲ ὁ θάνατος, φυσικὸς καὶ προαιρετικός.
B Καὶ φυσικὸς μὲν ἔστι θάνατος ὁ τοῦ σώματος διαχωρισμὸς ἀπὸ τῆς ψυχῆς, καθ' ὃν ἅπας ἄνθρωπος τελευτᾷ· προαιρετικὸς δὲ θάνατος ἡ κατ' ἀρετὴν ὑπάρχει ζωή· καθ' ἣν ὁ ἀληθὴς φιλόσοφος χωρίζει καὶ πρὸ τοῦ φυσικοῦ θανάτου τὴν ψυχὴν ἐκ τοῦ σώματος νέκρωσιν ἀπεργαζόμενος τῶν παθῶν· (καὶ) διὰ τῆς τοιαύτης νεκρώσεως τῷ ἀπαθεῖ κατὰ τὸ δυνατὸν ὁμοιούμενος. Ἔστι δὲ καὶ κοινότερον περὶ τῆς τοῦ θανάτου μελέτης εἰπεῖν · ὅτιπερ ὁ τὴν ἐντεῦθεν ἐκδημίαν ἐν νῷ φέρων διαπαντὸς καὶ μελέτημα ταύτης τιθέμενος ἔμμονον, πάντων φιλοσοφήσει τῶν σωματικῶν τὴν ἀπαλλαγὴν, καὶ ὅσα τὴν ψυχὴν βελτιοῖ κατορθῶσαι σπουδάσει, καὶ τὴν ἀρετὴν καὶ συμπολιτευομένην καὶ συνέκδημον κτήσεται, τῶν ἐπικήρων ἀνταλλαξάμενος τὰ αἰώνια.

3. Tertia definitio est, quæ dicit, philosophiam esse meditationem mortis, electitiæ nimirum seu voluntariæ. Neque enim hoc philosophus meditari vult, quomodo sibi ipsi manus inferat (sic enim conditilias leges everteret; siquidem conditor quidem animam cum corpore copulavit, ille autem hujuscemodi copulam injussu ejus qui copulavit dissolvere præsumit). Sed quoniam vita duplex est (est enim alia quidem naturalis, alia vero electiva; et naturalis **45** quidem, connexio animæ et corporis, secundum quam a divina providentia vivendi dispositionem accepimus, qua corpus ligat animam; electitia vero, conjunctio seu consortium cum corpore et circa voluptates occupatio, qua seipsam anima ligat, et corpori affigit): duplex etiam mors esse cognoscitur, naturalis et electiva. Et naturalis quidem mors est disseparatio animæ a corpore, secundum quam omnis homo decedit, electitia vero mors secundum virtutem vita exsistit; secundum quam verus philosophus etiam ante mortem naturalem separat animam a corpore, dum passionum mortificationem operatur, et hujuscemodi mortificatione naturæ impassibili, quantum ejus fieri potest, similis efficitur. Sed licet etiam communius de meditatione mortis disserere: quod qui ex hoc mundo discessum mente semper circumfert et in constante hujus meditatione versatur, is liberationem ab omnibus corporalibus commentabitur et quæcunque animum meliorem efficiunt, peragere studebit, virtutemque cum in republica comitem, tum in peregrinatione sociam habebit, caducis **46** et fluxis pro æternis permutatis.

C δ'. Τέταρτος ὅρος ἐστὶν ὁ λέγων ὅτι φιλοσοφία ἐστὶν ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ.

4. Quarta definitio est quæ ait, philosophiam esse similitudinem cum Deo, quanta in hominem cadere potest.

ε'. Ἐπεὶ γὰρ ὁ Θεὸς διττὰς ἔχει τὰς ἐνεργείας τὰς μὲν γνωστικὰς τῶν ὄντων, καθ' ἃς πάντα γινώσκει καὶ πρὸ γενέσεως αὐτῶν· τὰς δὲ προνοητικὰς τῶν καταδεεστέρων, καθ' ἃς προνοεῖται τοῦ κόσμου παντός· ἀλλὰ δὴ καὶ ὁ φιλόσοφος τῶν ὄντων σπεύδει πάντων εἶναι θεωρητὴς καὶ τὴν τῶν ὅλων φύσιν ἐπίστασθαι· προνοεῖται δὲ καὶ τῶν καταδεεστέρων · διὰ μὲν τῆς θεωρητικῆς τὰ δόγματα διδάσκων τῆς ἀληθείας, διὰ δὲ τῆς πρακτικῆς ἤθη ῥυθμίζων καὶ νομοθετῶν τὰ δέοντα καὶ δικάζων καὶ παντοίαν ἄλλην ποιούμενος ἐπιμέλειαν τοῦ συνοίσοντος · εἰκότως ἡ
D φιλοσοφία διὰ ταῦτα Θεῷ ὑπάρχει ὁμοίωσις.

5. Quoniam enim Deus habet duplices operationes; alias quidem quibus cognoscit entia, secundum quas omnia etiam ante ortum suum cognoscit; alias vero, quibus egenarum rerum providentiam habet secundum quas toti mundo prospicit, jam vero etiam philosophus eorum quæ sunt contemplator esse, et rerum universarum naturam scire contendit; quin et egenarum rerum rationem et curam habet, quando contemplativæ quidem (philosophiæ) beneficio, dogmata seu decreta veritatis docet; activæ autem mores ad concinnitatem conformat, et de officiis leges promulgat, et sententias dicit, [et in quamvis aliam profuturi curam et diligentiam incumbit: eapropter philosophia jure similitudo cum Deo exsistit.

ς'. Πρόσκειται δὲ τὸ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ καλῶς, ἐπεὶ τῶν γνώσεων καὶ τῶν προνοιῶν πάμπολυ τὸ διάφορον. Ὧν γὰρ αἱ οὐσίαι διάφοροι καὶ καθ' ὅσον, τούτων καὶ αἱ τελειότητες κατὰ τοσοῦτον διάφοροι. Τίς δὲ σύγκρισις φύσεως πάμπαν τρεπτῆς καὶ ῥευστῆς πρὸς τὴν μακαρίαν ἐκείνην οὐσίαν καὶ παντάπασιν ἐξῃρημένην ἁπάσης φθορᾶς καὶ τροπῆς τὴν πάντα νοῦν μὴ μόνον ἀνθρώπινον, ἀλλὰ καὶ ἀγγελικὸν ἐς ἀπειράκις ἄπειρον ὑπερβαίνουσαν;

6. Bene autem adjectum est, quanta in hominem cadere potest; siquidem notitiarum et providentiarum magna est diversitas. Quorum enim substantia sunt diversæ et in quantum sunt diversæ, horum etiam perfectiones **47** in tantum sunt diversæ. Atqui quæ comparatio est naturæ per omnia mutabilis fluxæque cum beata illa substantia quæ ab omni corruptione et mutatione exempta est, quæque omnem non modo humanum, sed etiam angelicum intellectum in infinities infinitum transcendit?

OCR ABK / FR

7. Quinta definitio est, quæ philosophiam artem artium et scientiam scientiarum definit: cum omnes artes et scientiæ sua principia a philosophia accipiant, siquidem hæc universorum naturas scit.

8. Sexta et ultima definitio est, quæ philosophiam esse dicit amorem sapientiæ, hoc est, Dei dilectionem. Ipse enim est αὐτόσοφία, hoc est, ipsa sapientia; quique amat ipsum et quantum fieri potest contemplatione et actione cum ipso congreditur, ille proprie φιλόσοφος, hoc est, sapientiæ amans seu studiosus vocabitur.

9. Prima quidem igitur dictarum definitionum et secunda et sexta Pythagoræ Samio acceptæ feruntur: tertia vero et quarta Platoni; quinta denique Aristoteli.

A ζ'. Πέμπτος ὁρισμός ὁ τὴν φιλοσοφίαν τέχνην τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν ὁριζόμενος, ἐπεὶ πᾶσαι τέχναι καὶ ἐπιστῆμαι παρὰ τῆς φιλοσοφίας λαμβάνουσι τὰς ἀρχὰς, εἴ γε τῶν ὅλων αὕτη τὰς φύσεις ἐπίσταται.

η'. Ἕκτος καὶ τελευταῖός ἐστιν ὁρισμὸς ὁ τὴν φιλοσοφίαν εἶναι λέγων φιλίαν σοφίας, τουτέστιν ἀγάπην Θεοῦ. Αὐτὸς γάρ ἐστιν ἡ αὐτοσοφία· καὶ ὁ φιλῶν αὐτὸν, καὶ κατὰ τὸ δυνατὸν διὰ θεωρίας καὶ πράξεως αὐτῷ συνὼν, ἐκεῖνος ἂν κυρίως κληθείη φιλόσοφος.

θ'. Ὁ μὲν οὖν πρῶτος τῶν εἰρημένων ὁρισμῶν καὶ ὁ δεύτερος, καὶ ὁ ἕκτος, εἰς Πυθαγόραν τὸν Σάμιον ἀναφέρονται, ὁ τρίτος δὲ καὶ ὁ τέταρτος εἰς τὸν Πλάτωνα· ὁ δέ γε πέμπτος εἰς τὸν Ἀριστοτέ-B λην.

Σχῆμα κεφαλ. δ'. Τίνες οἱ τῆς φιλοσοφίας ὁρισμοί.

Ὁρισμοὶ φιλοσοφίας {
φιλοσοφία ἐστὶ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστι·
φιλοσοφία ἐστὶ γνῶσις θείων τε καὶ ἀνθρωπίνων πραγμάτων·
φιλοσοφία ἐστὶ μελέτη θανάτου·
φιλοσοφία ἐστὶν ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατὸν ἀνθρώπῳ·
φιλοσοφία ἐστὶ τέχνη τεχνῶν καὶ ἐπιστημῶν ἐπιστήμη·
φιλοσοφία ἐστὶ φιλία σοφία σοφίας·

—

**48** *Tabula capitis 4, De philosophiæ definitionibus.*

Philosophiæ definitiones (sex): {
philosophia est notitia entium quatenus entia sunt.
philosophia est notitia cum divinarum tum humanarum rerum.
philosophia est meditatio mortis.
philosophia est similitudo cum Deo quanta in hominem cadere potest.
philosophia est ars artium et scientia scientiarum
philosophia est amor sapientiæ.

—

## SYNOPSIS CAPITIS V,

### QUOD EST DE CONCEPTU MENTIS, SEU NOTIONE.

1. Ἐπίνοιαν, *id est notionem seu conceptum mentis, bifariam distinguit.* — 2. *Prius significatum ejus cum etymologia exponit.* — 3. *Exemplo id declarat.* — 4. *Idem et altero exemplo explicat.* — 5. *Idem significativum et proprium et principale esse ostendit.* — 6. *Posterius significatum recenset et exemplis declarat.* — 7. *Nudam* ἐπίνοιαν *a phantasia distinguit.*

—

C

## CAPUT V.

*De conceptu mentis.*

**49** 1. Conceptus mentis duplex dicitur.

2. Unus quidem, qui sit quasi supra rem facta speculatio et cogitatio, quæ a natura conjuncta disseparet et utrumque sub propria subsistentia concipiat.

3. Velut simul anima et corpus sunt condita, et ex utrisque unum, homo scilicet, factum est. Sed mentis conceptus hominem in animam et corpus etiam ante illorum a se invicem secretionem dividit, animamque a corpore seorsim, et corpus seorsim ab anima concipit; propterea quod hæc quidem substantia est immortalis, et corpori vitæ causa: illud autem mortalis naturæ, non habens a seipso quod vivit, et quæ alia utrisque diversa accedunt.

## ΚΕΦΑΛ. Ε'.

Περὶ ἐπινοίας.

α'. Διττὴ λέγεται ἡ ἐπίνοια.

β'. Ἡ μὲν οἷον ἐπίνοιά τις οὖσα καὶ ἐπενθύμησις τὰ ἐκ τῆς φύσεως συνημμένα διαχωρίζουσα καὶ ἰδιοσυστάτως ἐπινοοῦσα ἑκάτερον.

γ'. Οἷον ἅμα ψυχὴ καὶ σῶμα δεδημιούργηνται, καὶ ἓν ἐξ ἀμφοτέρων ὁ ἄνθρωπος γέγονεν. Ἀλλ' ἡ σῶμα καὶ πρὸ τῆς ἀπ' ἀλλήλων αὐτῶν διακρίσεως καὶ τὴν ψυχὴν χωρὶς τοῦ σώματος ἐπινοεῖ, καὶ τὸ σῶμα χωρὶς τῆς ψυχῆς· διὰ τὸ τὴν μὲν ἀθάνατον εἶναι οὐσίαν καὶ ζωῆς αἰτίαν τῷ σώματι, τὸ δὲ θνητῆς φύσεως οὐχ ἀφ' ἑαυτοῦ τὸ ζῆν ἔχον, καὶ ὅσα D ἄλλα πρόσεισιν ἑκατέροις διάφορα.

OCR ABK / FR

A δ'. Πάλιν ὁμοῦ τὸ σῶμα καὶ τὸ χρῶμα πεφύκασιν εἶναι· καὶ οὐκ ἔστι σῶμα χρώματος χωρισθῆναι, οὔτε χρῶμα τοῦ ὑποκειμένου σώματος ἄμοιρον· ἀλλ' ἐξ ἀλλήλων ταῦτα (ἡ) ἐπίνοια διαχωρίζουσα, τὸ κεχρωσμένον φύσει σῶμα συνίστησιν ἐν ἑαυτῇ μεμονωμένον, ἐστερημένον τοῦ χρώματος καὶ τὸ χρῶμα πάλιν ἰδίᾳ διῃρημένον τοῦ σώματος.

ε'. Καὶ αὕτη μὲν ἡ πρώτως καὶ κυρίως ἐπίνοια.

ϛ'. Ἡ δὲ λοιπὴ ψιλὴ ἐπίνοια ὀνομάζεται, ἥτις διανοίας ὑπάρχει ἀνάπλασμα. Τὰ γὰρ μηδαμῇ μηδαμῶς ὄντα ὡς ὄντα λογίζεται· πτερωτὸν ἄνθρωπον συνιστῶσα, καὶ σκύμνους λεόντων ἕλκοντας ἄροτρον, καὶ πλοῖον ἐναέριον, καὶ ἕτερα παραπλήσια, καὶ ἐκ τῶν ὅλων δὲ μέρη λαμβάνουσα καὶ συντιθεῖσα μετ' ἀλλήλων ὑφιστᾷ τὰ πάντη ἀνύπαρκτα. Τοιοῦτον ὁ B κένταυρος, εἴτουν ἱππάνθρωπος, τῶν ὄντων οὐδὲν ἀλλ' ἢ μόνον ψιλὸν ἐπινόημα.

4. Rursus simul et corpus et color esse consueverunt; nec potest corpus a colore separatum esse, nec color subjecto corpore vacare potest. Sed mentis conceptus ista a se invicem disseparans, corpus quod natura coloratum est, in seipso solitarium et colore privatum; et rursus colorem a corpore divisum sigillatim constituit.

5. Et hic quidem primario et proprie conceptus mentis dicitur.

6. Qui autem præter hunc est, nudus mentis conceptus nominatur, qui **50** dianœæ figmentum exsistit. Quæ enim nullo modo uspiam sunt, quasi sint, ratione concipit: quando hominem alatum, et catulos leonum trahentes aratrum, et navigium quod in aere feratur, et alia his similia, constituit. Sed et ex totis partes accipiens, et secum invicem componens, ea quæ nullam prorsus habent exsistentiam, supponit. Tale quid est Centaurus, sive (ut ita Latine dicamus) equhomo seu homequus; quod nihil est entium, sed duntaxat nudum commentum.

ζ'. Διαφέρει δὲ τῆς φαντασίας ἡ ψιλὴ ἐπίνοια, ὅτι ἡ μὲν φαντασία τῶν ὄντων ἐστὶν ἀναπόλησις, ὅταν τις τὸ ὁραθὲν ἀναπολῇ καὶ φαντάζηται. Ἡ δὲ ψιλὴ ἐπίνοια τῶν μηδαμῶς ὄντων ἐστὶ διατύπωσις, γένεσιν ἔχουσα τὴν ἐνθύμησιν, τὴν δὲ λήθην, τελείαν φθοράν.

7. Differt autem ab imaginatione nudus mentis conceptus, quod imaginatio quidem est entium repetitio, quando quis quod sibi visum est recolit et imaginatur; sed nudus mentis conceptus earum quæ prorsus non sunt conformatio; quæ pro generatione cogitationem, pro perfecta corruptione oblivionem habet.

Σχῆμα κεφαλ. ε', Περὶ ἐπινοίας.

Ἡ ἐπίνοια {
- ἡ μὲν ἐπίνοιά τίς ἐστι, τὰ ἐκ φύσεως συνημμένα διαχωρίζουσα καὶ ἰδιοσυστάτως ἐπινοοῦσα ἑκάτερον, ὡς τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος, ἥτις λέγεται κυρίως ἔννοια·
- ἡ δὲ ψιλὴ ἐπίνοια, τὰ μηδαμῇ μηδαμῶς ὄντα συνιστῶσα, οἷον πλοῖον ἐναέριον, ἢ τραγέλαφος.

—

**51** *Tabula capitis 5, De conceptu mentis.*

Conceptus mentis est {
- alius quidem supra rem facta speculatio quæ a natura conjuncta dirimit, et utrumque sub peculiari hypostasi seu subsistentia concipit, ut hominem ex anima et corpore: qui proprie conceptus mentis dicitur;
- alius vero nudus mentis conceptus, qui quæ nuspiam prorsus sunt constituit, ut sunt navigium quod in aere feratur, aut tragelaphus, quasi dicas hircocervus.

—

## SYNOPSIS CAPITIS VI,

### QUOD EST DE SECTIS.

1. *Sectam philosophicam definit.* — 2. *Definitionem explicat, et primo quidem rationem reddit, quare dicat, quod si virorum non viri opinio, ubi eam etiam a thesi distinguit, quam itidem definit.* — 3. *Cur urbanorum seu elegantium.* — 4. *Cur, inter se quidem consentientium, sed ab aliis dissentientium.* — 5. *Sectam septem modis dici ostendit.* — 6. *Ab auctore.* — 7. *A patria ejus.* — 8. *A loco congressuum.* — 9. *A censura in judicando adhibita.* — **52** 10. *A modo vivendi.* — 11. *A fine.* — 12. *Ab accidente aliquo.*

—

C

## ΚΕΦΑΛ. ϛ'.

### Περὶ αἱρέσεων.

α'. Ἡ κατὰ φιλοσοφίαν αἵρεσίς ἐστιν ἀνδρῶν ἀστείων δόξα, πρὸς ἑαυτοὺς μὲν συμφωνούντων, πρὸς ἑτέρους δὲ διαφωνούντων.

β'. Ἀνδρῶν εἴρηται καὶ οὐχὶ ἀνδρός, ἐπειδὴ ἡ τοῦ ἑνὸς ἀνδρὸς δόξα αἵρεσιν οὐ ποιεῖ, ἀλλὰ θέσιν. Θέσις γάρ ἐστι παράδοξος ὑπόληψις (καὶ) ἑνός τῶν

## CAPUT VI.

### *De sectis.*

1. Secta secundum philosophiam est virorum urbanorum secum ipsis quidem consentientium, ab aliis vero dissentientium opinio.

2. Virorum dictum est, et non viri; quandoquidem unius viri opinio sectam non facit, sed thesin. Nam thesis est præter (omnium opinionem existi-

OCR ABK / FR

matio unius alicujus eorum qui in philosophia sunt celebres, ut Heracliti, quod omnia moveantur; et Parmenidis, quod ens sit unum et immobile; et Antisthenis, quod non liceat contradicere. Proinde qui sectam constituant, multi sunt.

3. Verum etiam urbani, hoc est, cum alicujus auctoritatis tum docti; si enim vulgares sint et gregarii, quomodo in philosophia sectam constituent?

4. Denique certam sectæ notam dat, consensio cum dissensione. Qui enim et secum invicem, et cum aliis consentiunt, sectam non efficiunt. Quod enim ab omnibus unanimiter asseveratur, communis notio est: ut quod Deus bonus sit, et sol illuminandi facultatem habeat.

5. Cæterum sectæ in philosophia septem modis nominatæ sunt.

**53** 6. Vel enim ab ipso sectæ principe, ut Platonici et Aristotelici.

7. Vel a patria ejus qui sectæ princeps est, ut Cyrenaici propter Aristippum Cyrenæum; et Megarici propter Euclidem Megarensem.

8. Vel a loco in quo congressus instituebant, ut stoici propter variam in Attica (sive Athenis) stoam (seu porticum).

9. Vel a censura quam in philosophando adhibuerunt, ut ephectici (hoc est, qui assensionem inhibebant). Hi enim cum opinarentur nihil comprehendi posse, propositionum solutiones inhibebant.

10. Vel a modo vitæ, ut cynici, qui indifferenter canum instar vivebant, quique philosophiæ dogmata muniebant, eademque demonstrationibus propugnabant, et amicos ab alienis, hoc est, ad philosophandum aptos ab ineptis ad id ipsum, secernebant, et illos quidem benevole suscipiebant, hos vero libere et palam reprehendebant, et procul ab auditorio exigebant.

11. Vel a fine, ut voluptarii, qui finem philosophiæ esse dicebant voluptatem quæ ex notitia et ἀπαθείᾳ, hoc est, vacuitate passionum, et adductione ad divinum numen, quod omnium expetendorum primum est, percipitur.

**54** 12. Vel ab accidente aliquo, ut peripatetici, qui sic appellati sunt, quod secundum peripaton, hoc est deambulationem, suos congressus instituerent: ut una cum anima corpus exerceretur.

A κατὰ φιλοσοφίαν γνωρίμων, ὡς ἡ τοῦ Ἡρακλείτου, ὅτι πάντα κινεῖται· καὶ ἡ τοῦ Παρμενίδου, ὅτι ἓν τὸ ὂν καὶ ἀκίνητον· καὶ ἡ τοῦ Ἀντισθένους, ὅτι οὐκ ἔστιν ἀντιλέγειν. Πολλοὶ τοιγαροῦν εἰσιν οἱ συνιστῶντες τὴν αἵρεσιν.

γʹ. Ἀλλὰ καὶ ἀστεῖοι, τουτέστιν ἀξιόλογοί τε καὶ ἐπιστήμονες. Εἰ γὰρ εἰκαῖοι καὶ ἀγελαῖοι, αἵρεσιν ἐν φιλοσοφίᾳ πῶς ποιήσονται;

δʹ. Χαρακτηρίζει δὲ τὴν αἵρεσιν συμφωνία μετὰ διαφωνίας. Οἱ γὰρ καὶ πρὸς ἑαυτοὺς συμφωνοῦντες καὶ πρὸς τοὺς ἄλλους αἵρεσιν οὐ ποιοῦσι. Τὸ γὰρ παρὰ πάντων ὁμολογούμενον κοινὴ ἔννοιά ἐστιν· οἷον ὅτι ὁ Θεὸς ἀγαθὸς, καὶ ὁ ἥλιος φωτιστικός.

B εʹ. Ὠνομάσθησαν δὲ αἱ κατὰ φιλοσοφίαν αἱρέσεις κατὰ τρόπους ἑπτά.

ςʹ. Ἢ γὰρ ἀπ' αὐτοῦ τοῦ αἱρεσιάρχου, ὡς Πλατωνικοὶ καὶ Ἀριστοτελικοί.

ζʹ. Ἢ ἀπὸ τῆς πατρίδος τοῦ αἱρεσιάρχου, ὡς οἱ Κυρηναϊκοὶ, διὰ τὸν Κυρηναῖον Ἀρίστιππον. Καὶ οἱ Μεγαρικοὶ δι' Εὐκλείδην τὸν Μεγαρέα.

ηʹ. Ἢ ἀπὸ τοῦ τόπου, ἐν ᾧ τὰς συνουσίας ἐποιοῦντο, ὡς οἱ στωϊκοὶ, διὰ τὴν ἐν Ἀττικῇ ποικίλην στοάν.

θʹ. Ἢ ἀπὸ τῆς ἐν τῷ φιλοσοφεῖν ἐπικρίσεως, ὡς οἱ ἐφεκτικοί. Οὗτοι γὰρ ἀκαταληψίαν δοξάζοντες ἐπεῖχον τὰς λύσεις τῶν προτάσεων.

ιʹ. Ἢ ἀπὸ τοῦ τρόπου τῆς ζωῆς, ὥσπερ οἱ κυνικοὶ ζῶντες ἀδιαφόρως δίκην κυνῶν· τά τε δόγματα τῆς C φιλοσοφίας φρουροῦντες, καὶ ὑπερμαχοῦντες αὐτῶν διὰ τῶν ἀποδείξεων, καὶ τοὺς φίλους ἐκ τῶν ἀλλοτρίων, ἤγουν τοὺς πρὸς τὸ φιλοσοφεῖν ἐπιτηδείους ἐκ τῶν ἀνεπιτηδείων πρὸς αὐτὸ διακρίνοντες· καὶ τοὺς μὲν εὐμενῶς δεχόμενοι, τοὺς δὲ μετὰ παῤῥησίας ἐλέγχοντες καὶ τοῦ ὁμακοΐου μακρὰν ἐκδιώκοντες.

ιαʹ. Ἢ ἀπὸ τοῦ τέλους, ὥσπερ οἱ ἡδονικοὶ, τέλος τῆς φιλοσοφίας λέγοντες εἶναι τὴν ἡδονὴν, τὴν ἐκ γνώσεως καὶ ἀπαθείας καὶ τῆς πρὸς τὸ Θεῖον ἀναγωγῆς, τὸ πρῶτον τῶν ἐφετῶν.

ιβʹ. Ἢ ἀπό τινος συμβεβηκότος, ὡς οἱ περιπατητικοὶ, κληθέντες οὕτω διὰ τὸ τὰς συνουσίας ποιεῖσθαι κατὰ περίπατον· ὡς ἂν ἅμα τῇ ψυχῇ καὶ τὸ D σῶμα γυμνάζοιτο.

OCR ABK / FR

Σχῆμα κεφαλ. ϛʹ, Περὶ αἱρέσεων.

| | |
|---|---|
| Ποσαχῶς ὠνομάσθησαν αἱ κατὰ φιλοσοφίαν αἱρέσεις. | ἢ ἀπὸ τοῦ αἱρεσιάρχου, ὡς οἱ Πλατωνικοί.<br>ἢ ἀπὸ τῆς πατρίδος τοῦ αἱρεσιάρχου, ὡς οἱ Κυρηναϊκοὶ διὰ τὸν Κυρηναῖον Ἀρίστιππον·<br>ἢ ἀπὸ τοῦ τόπου, ὡς οἱ στωϊκοί·<br>ἢ ἀπὸ τῶν ἐν τῷ φιλοσοφεῖν ἐπικρίσεων, ὡς οἱ ἐφεκτικοί·<br>ἢ ἀπὸ τοῦ τρόπου τῆς ζωῆς, ὡς οἱ κυνικοί.<br>ἢ ἀπὸ τοῦ τέλους, ὡς οἱ ἡδονικοί·<br>ἢ ἀπὸ τινος συμβεβηκότος, ὡς οἱ περιπατητικοί. |

—

*Tabula capitis* 6, *De sectis.*

| | |
|---|---|
| Septem modis sectæ in philosophia nominatæ sunt, | vel a principe sectæ, ut Platonici,<br>vel a patria principis sectæ, ut Cyrenaici, propter Aristippum Cyrenæum,<br>vel a loco, ut stoici,<br>vel a censuris in philosophando, ut ephectici,<br>vel a modo vitæ, ut cynici,<br>vel a fine, ut voluptuarii,<br>vel ab accidente aliquo, ut peripatetici. |

—

## SYNOPSIS CAPITIS VII,

### QUOD EST DE PHILOSOPHIÆ DIVISIONE.

1. *Philosophiam secundum peripateticos bipartito dividit in in contemplativam et activam, ac utriusque cum objectum, tum opus et finem explicat.* — **55** 2. *Ostendit philosophiam sibi ad hos fines consequendos aptum instrumentum invenisse, logicam nimirum, quam etiam describit et similibus declarat.* — 3. *Contemplativam philosophiæ partem in tres alias partes subdividit.* — 4. *Supradictam subdivisionem ab objecti scilicet entis speculabilis triplicitate comprobat, et in entibus mathematicis diutius immoratur, et eorum conditionem simili declarat.* — 5. *Contemplativæ philosophiæ partium objecta sigillatim explicat.* — 6. *Earumdem ordinem quoad nos exponit.* — 7. *Et nomenclationis rationem reddit.* — 8. *Mathematicam in quatuor partes sive species subdividit.* — 9. *Subdivisionem hanc a divisionibus quantitatis confirmat.* — 10. *Singulis mathematicis istis scientiis sua objecta assignat, et hinc definitiones conficit.* — 11. *De subdivisione theoreticæ philosophiæ concludit.* — 12. *Activam philosophiæ partem in tres alias subdividit, et in concreto describit.* — 13. *Ostendit universam philosophiam practicam in legum ferendarum et judiciorum muneribus absolvi.* — 14. *Ex divisione et subdivisionibus animæ, cujus philosophia est medicina, superiorem divisionem philosophiæ in contemplativam et activam elicit.* — 15. *Sed et exinde subdivisionem contemplativæ philosophiæ in physiologicam, metaphysicam et mathematicam deducit, cui etiam dissertationem de anima adjungit.*

—

A

## ΚΕΦΑΛ. Ζʹ.

### Τίς ἡ τῆς φιλοσοφίας διαίρεσις.

αʹ. Ἡ φιλοσοφία διαιρεῖται εἰς τὸ θεωρητικὸν καὶ τὸ πρακτικόν. Καὶ διὰ μὲν τοῦ θεωρητικοῦ γινώσκει τὰ ὄντα· διὰ τοῦ πρακτικοῦ τὰ ἤθη κοσμεῖ. Τοῦ μὲν οὖν θεωρητικοῦ τέλος ἐστὶ τὸ ἀληθὲς, τοῦ πρακτικοῦ δὲ τὸ ἀγαθόν.

βʹ. Ἀλλ' ἐπείπερ ἀναγκαῖόν ἐστι διακρίνεσθαι τὸ ἀληθὲς ἀπὸ τοῦ ψεύδους, καὶ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ, ὥστε τὰ μὲν ἑλέσθαι ἡμᾶς, τὰ δὲ φυγεῖν καὶ μὴ τοῖς ἐναντίοις περιπίπτειν δι' ἄγνοιαν, πρὸς τὴν τοιαύτην διάκρισιν ἐξεῦρεν ἡ φιλοσοφία (τὴν) ἀπόδειξιν ὄργανον ἐπιτηδειότατον· ὅπερ ἐστὶ τὸ λογικόν· ἤγουν περὶ ὃ καταγίνεται ἡ λογικὴ πραγματεία. Καὶ ἔστι τὸ λογικὸν φιλοσοφίας ἐργαλεῖον χρειωδέστατον, ὑπ' αὐτῆς κατεσκευασμένον· ὥσπερ B ὑπὸ χαλκευτικῆς ὁ ἄκμων, καὶ ἡ σφύρα καὶ τὸ ξυλάφιον, ὄργανα ὑπάρχοντα ταύτης δὴ τῆς χαλκευτικῆς.

γʹ. Τὸ θεωρητικὸν τῆς φιλοσοφίας διαιρεῖται εἰς τὸ φυσιολογικὸν, τὸ μαθηματικὸν καὶ τὸ θεολογικόν.

δʹ. Διαιρεῖται δὲ εἰς τρία το θεωρητικὸν, ἐπεὶ καὶ τὰ ὄντα περὶ ἃ τὸ θεωρητικὸν καταγίνεται, τριττά. Ἡ γὰρ τῆς ὕλης ἀχώριστα παντελῶς καὶ τῇ ὑποστά-

## CAPUT VII.

### *Quæ sit philosophiæ divisio.*

**56** 1. Philosophia in contemplativam et activam dividitur. Et per contemplativam quidem ea quæ sunt cognoscit, per activam autem mores exornat. Proinde contemplativæ quidem finis est verum; activæ vero bonum.

2. Verumtamen quandoquidem necessarium est verum a falso et bonum a malo discernere, ut illud quidem amplectamur, hoc vero fugiamus, nec in contraria propter ignorantiam incidamus: philosophia demonstrationem, aptissimum instrumentum, invenit, quod est logica; utpote circa quam logica tractatio occupatur. Et est logica instrumentum philosophiæ utilissimum ab ipsa comparatum et effectum, quemadmodum ab arte ferraria incus et malleus et forceps, quæ hujus, ferrariæ nimirum artis, sunt organa.

3. Contemplativæ philosophiæ (pars) dividitur in physiologiam, mathematicam et theologiam.

4. Dividitur autem contemplativa in tria, quoniam et entia, circa quæ occupatur contemplativa, sunt triplicia. Vel enim a materia prorsus sunt in-

OCR ABK / FR

separabilia cum subsistentia, tum mentis notione, qualia sunt corpora naturalia; aut (prorsus) sunt a **57** materis separabilia et subsistentia et mentis notione; ut quæ supra naturam sunt et incorporea, aut partim quidem inseparabilia a materia, partim vero separabilia, ut quæ quidem quoad subsistentiam in materia, quoad mentis vero notionem, materiæ expertia sunt, velut numeri et figuræ. Neque enim numerus denarius, exempli gratia, aut triangulum sine materia subsistere potest; sed vel in lignis, vel in lapidibus, vel in aliis quibusdam materialibus exsistentiam habeat numerus quidem, quoad discretionem, figura vero, quoad continuitatem. Quando enim aliquis imaginatur et ipsos numeros vel figuras per se recolit; quemadmodum cera quæ sigillum abstergit et exprimit, nihil de lapide signatorio aufert: eodem modo et hic nihil tum de materia absumit, sed solas figuras et numeros sine materia in dianœa exprimit et effingit.

5. Quoniam ergo contemplativæ (philosophiæ parti) omnia entia ad cognitionem subjecta sunt, triplicia autem sunt entia: hujus gratia et contemplativæ (philosophiæ pars) in tria (tres partes) dividitur. Et physiologia quidem circa ea occupatur **58** quæ prorsus sunt in materia, theologia vero circa ea quæ per omnia materia sunt expertia: mathematica denique circa ea quæ et materiam et immortalitatem participant.

6. Et prima quidem quoad nos est physiologia ut quæ nobis qui in materia sumus, propinquet; secunda, mathematica quæ veluti conjunctio quædam est materiæ et immortalitatis: tertia et ultima est theologia, quæ materiæ per omnia est expers.

7. Physiologia igitur, quod circa naturam et corruptibilia occupetur, propterea sic nominata est: theologia vero, quod circa divina et incorruptibilia versetur, vocata est theologia. Quoniam autem per mathematicam ex aliis alia discimus, et a sensibus ea quæ supra sensum sunt, edocemur, et per hanc veluti quodam ponte et scala utentes ad immaterialitatem ex materia transcendimus, et ab humilibus terrenisque ad sublimem et cœlestem contemplationem transferimur; eapropter ipsa est mathematica nuncupata. Mathesis enim seu doctrina est non cognitorum apprehensio et veluti ex ignoratione ad cognitionem transpositio.

**59** 8. Hæc mathematica in arithmeticam, musicam, geometricam et astronomiam dividitur. Etenim circa quantum occupatur. Quantum autem aliud quidem est continuum, aliud vero discretum. Et continuum quidem est cujus partes communi quodam termino conjunguntur, veluti linea.

9. Omnes enim partes illius conjunctæ sunt sibi invicem ut punctis quæ sunt in ipsa nihil a conjunctione impediantur. Punctum enim quod mediæ partis, lineæ, exempli gratia, extremitas est, reliquæ mediæ partis in hac est principium. Discretum autem quantum est, quod partes suas ad

A σει καὶ τῇ ἐπινοίᾳ, ὁποῖα τὰ φυσικὰ σώματα· ἢ (παντελῶς) τῆς ὕλης χωριστὰ καὶ τῇ ὑποστάσει καὶ τῇ ἐπινοίᾳ, οἷα τὰ ὑπὲρ φύσιν (τε) καὶ ἀσώματα· ἢ κατά τι μὲν ἀχώριστα τῆς ὕλης, κατά τι δὲ χωριστά· κατὰ μὲν τὴν ὑπόστασιν ἔνυλα ὄντα, κατὰ δὲ τὴν ἐπίνοιαν ἄϋλα· ὥσπερ οἱ ἀριθμοὶ καὶ τὰ σχήματα. Οὐδὲ γὰρ ὁ δέκα τυχὸν ἀριθμὸς, ἢ τὸ τρίγωνον ἄνευ ὕλης ὑποστῆναι δύναται. Ἀλλ' ἢ ἐν ξύλοις, ἢ ἐν λίθοις, ἢ ἔν τισιν ἄλλοις ὑλικοῖς τὴν ὕπαρξιν ἔχουσιν· ὁ μὲν ἀριθμὸς κατὰ διορισμὸν, τὸ δὲ σχῆμα κατὰ συνέχειαν τῇ μέντοι ἐπινοίᾳ δύνανται τῆς ὕλης χωρίζεσθαι. Καὶ γὰρ ἡνίκα τις φαντάζεται καὶ ἀναπολεῖ τοὺς ἀριθμοὺς αὐτοὺς καθ' ἑαυτοὺς, ἢ τὰ σχήματα, καθὼς ὁ κηρὸς ἀναματτόμενος τὴν σφραγῖδα, οὐδέν τι τοῦ σφραγιστηρίου ἀφαιρεῖται·
B τὸν αὐτὸν τρόπον καὶ οὗτος οὐδέν τι τῆς ὕλης λαμβάνει τότε, μόνα δὲ τὰ σχήματα καὶ τοὺς ἀριθμοὺς ἀΰλως ἐν τῇ διανοίᾳ διατυποῖ.

ε'. Ἐπεὶ γοῦν τῷ θεωρητικῷ πάντα τὰ ὄντα πρὸς γνῶσιν ὑπόκειται, τὰ δὲ ὄντα τριττά· τούτου χάριν καὶ τὸ θεωρητικὸν εἰς τρία διαιρεῖται. Καὶ τὸ μὲν φυσιολογικὸν περὶ τὰ πάντῃ ἔνυλα καταγίνεται, τὸ δὲ θεολογικὸν περὶ τὰ πάντῃ ἄϋλα· τὸ δέ γε μαθηματικὸν περὶ τὰ μετέχοντα καὶ ὕλης καὶ ἀϋλίας.

ς'. Καὶ πρῶτον μέν ἐστι πρὸς ἡμᾶς τὸ φυσιολογικὸν, ὡς πλησιάζον τοῖς ἐνύλοις ἡμῖν· δεύτερον, τὸ μαθηματικὸν, οἷόν τις σύνδεσμος ὑπάρχων ὕλης
C καὶ ἀϋλίας· τρίτον καὶ τελευταῖον τὸ θεολογικὸν, ἀμέτοχον ὂν τῆς ὕλης παντάπασι.

ζ'. Τὸ μὲν οὖν φυσιολογικὸν, ὡς περὶ τὰ φυσικὰ καταγινόμενον καὶ φθαρτὰ, διὰ τοῦθ' οὕτως ὠνόμασται. Τὸ δὲ θεολογικὸν, ὡς περὶ τὰ θεῖα καὶ ἄφθαρτα, κέκληται θεολογικόν. Ἐπεὶ δὲ διὰ τοῦ μαθηματικοῦ ἐξ ἄλλων ἄλλα μανθάνομεν, καὶ ἀπὸ τῶν αἰσθητῶν τὰ ὑπὲρ αἴσθησιν διδασκόμεθα, καὶ οἱονεί τινι γεφύρᾳ καὶ κλίμακι χρώμενοι τούτῳ, πρὸς τὴν ἀϋλίαν ἐκ τῆς ὕλης δι' αὐτοῦ μεταβαίνομεν, καὶ ἀπὸ τῶν χθαμαλῶν καὶ γηΐνων πρὸς θεωρίαν ὑψηλὴν μετατιθέμεθα καὶ οὐράνιον, διὰ τοῦτο μαθηματικὸν αὐτὸ προσηγόρευται. Μάθησις γάρ ἐστι τῶν μὴ ἐγνωσμένων κατάληψις, καὶ οἷον ἐξ ἀγνωσίας εἰς
D γνῶσιν μετάθεσις.

η'. Τοῦτο τὸ μαθηματικὸν διαιρεῖται εἰς ἀριθμητικὴν, μουσικὴν, γεωμετρίαν καὶ ἀστρονομίαν· καὶ γὰρ περὶ ποσὸν γίνεται· τοῦ δὲ ποσοῦ τὸ μέν ἐστι συνεχὲς, τὸ δὲ διωρισμένον. Καὶ συνεχὲς μέν ἐστι, ου τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει, οἷον ἡ γραμμή.

θ'. Καὶ γὰρ πάντα τὰ μέρη αὐτῆς συνημμένα ἐστὶν ἀλλήλοις, μὴ παρὰ τῶν ἐν αὐτῇ σημείων διειργόμενα τὴν συνάφειαν. Τὸ γὰρ σημεῖον, ὃ πέρας ἐστὶ τοῦ ἡμίσεος μέρους τυχὸν τῆς γραμμῆς, ἀρχὴ τοῦ λοιποῦ ἡμίσεος μέρους ταύτης καθέστηκε. Διωρισμένον δὲ ποσόν ἐστι, ὃ τὰ μόρια πρός τινα

OCR ABK / FR

κοινὸν ὅρον οὐ συνάπτει· οἷον ὁ ἀριθμός· οὐ γὰρ τοῦ ἓξ τυχὸν τὸ ἥμισυ μέρος ἤτοι τὰ τρία, κοινὸν ὅρον ἔχει τινὰ μετὰ τοῦ λοιποῦ ἡμίσεος ἤτοι τῶν ἄλλων τριῶν, πρὸς ὃν ὅρον ταῦτα δὴ τὰ μέρη συναφθεῖεν ἄν· ἀλλὰ ταῖς μονάσιν ἀπ' ἀλλήλων ἅπαντα μέρη παντὸς ἀριθμοῦ διακέκριντα. Τοῦ μὲν οὖν διωρισμένου ποσοῦ, τὸ μὲν ἔστι καθ' αὑτό, οἷον τὸ ἄρτιον, τὸ περιττόν, τὸ τέλειον, καὶ τὰ τοιαῦτα· τὸ δὲ σχέσιν ἔχον πρὸς ἄλλο τι, οἷον διπλάσιον, ἥμισυ, μεῖζον, ἔλαττον, ἐπίτριτον, ἡμιόλιον, καὶ τὰ ὅμοια. Τοῦ δὲ συνεχοῦς ποσοῦ τὸ μὲν ἔστιν ἐν μονῇ καὶ στάσει, τὸ δ' ἐν κινήσει καὶ περιφορᾷ.

ι'. Ἡ τοίνυν ἀριθμητικὴ καταγίνεται περὶ ποσὸν διωρισμένον καθ' ἑαυτό, ἡ δὲ μουσικὴ περὶ ποσὸν διωρισμένον ἐν σχέσει. Καὶ ἔστιν ἡ μὲν ἀριθμητικὴ γνῶσις ποσοῦ διωρισμένου καθ' αὑτό, ἡ δὲ μουσικὴ γνῶσις ποσοῦ διωρισμένου ἐν σχέσει. Ἡ γεωμετρία καταγίνεται περὶ ποσὸν συνεχὲς ἀκίνητον, ὁποῖον ἡ γῆ. Καὶ ἔστιν ἡ γεωμετρία γνῶσις ποσοῦ συνεχοῦς ἀκινήτου, ἡ δὲ ἀστρονομία περὶ ποσὸν συνεχὲς ἀεικίνητον, ὁποῖον ὁ οὐρανός. Καὶ ἔστιν ἡ ἀστρονομία γνῶσις ποσοῦ συνεχοῦς ἀεικινήτου.

ια. Ταῦτα μὲν περὶ τοῦ τῆς φιλοσοφίας θεωρητικοῦ.

ιβ'. Τὸ δὲ πρακτικὸν διαιρεῖται εἰς ἠθικόν, οἰκονομικὸν καὶ πολιτικόν. Καὶ ἠθικὸς μέν ἐστι φιλόσοφος ὁ τὰ ἑαυτοῦ ἤθη καὶ ἄλλου ῥυθμίζειν δυνάμενος. οἰκονομικὸς δὲ ὁ καὶ οἶκον ὅλον ἐκπαιδεύειν καλῶς ἐπιστάμενος. Ὁ δέ γε πόλιν ἢ καὶ πόλεις διεξάγων καὶ διακυβερνῶν ἀρίστως πολιτικός.

ιγ'. Κατορθοῦται δὲ τὸ πᾶν πρακτικὸν διά τε τοῦ νομοθετικοῦ καὶ δικαστικοῦ. Καὶ γὰρ νομοθετεῖ ὁ πρακτικὸς φιλόσοφος καὶ πόλει καὶ οἴκῳ καὶ μαθητῇ καὶ ἑαυτῷ τὰ συνοίσοντα. Ὡσαύτως δὲ καὶ δικάζει, τοὺς μὲν καλῶς πράττοντας τῶν ἀγομένων ἐπαινῶν καὶ τιμῶν, καὶ τῶν προσηκουσῶν ἀμοιβῶν ἀξιῶν, τοὺς δὲ κακῶς ἐλέγχων καὶ φαυλίζων καὶ τιμωρούμενος. Γίνεται δὲ καὶ ἑαυτῷ δικαστὴς ὁ φιλόσοφος, καὶ τέρπεται μὲν πράττων τὰ ἀγαθὰ καὶ ταῖς ἀρεταῖς ἐνηδύνεται· παραβαίνων δέ τι τῶν δεόντων πενθεῖ, καὶ ἑαυτὸν ἐπιπλήττει καὶ διόρθωσιν τῶν ἐσφαλμένων ἐργάζεται.

ιδ'. Ὥσπερ τοίνυν τοῦ σώματος τελείωσίς ἐστιν ἡ ἰατρική· οὕτω δὴ τῆς ψυχῆς ἡ φιλοσοφία τελείωσις, ἰατρικὴ γινωσκομένη ψυχῆς. Ἐπεὶ δὲ τῆς ψυχῆς τὸ μέν ἐστιν ὀρεκτικόν, τὸ δὲ γνωστικόν· καὶ τὸ μὲν ἄλογον, τὸ δὲ λογικόν· καὶ τοῦ γνωστικοῦ τε καὶ λογικοῦ τὸ μὲν συνεργοῦν τῷ ὀρεκτικῷ, οἷος ὁ δυνάμει νοῦς, ἡ διάνοια, τὸ δὲ χωριστὸν καὶ ἐξῃρημένον παντάπασιν, οἷος ὁ κατ' ἐνέργειαν νοῦς· ὅσον μὲν τῆς φιλοσοφίας τελειωτικόν ἐστι τοῦ ὀρεκτικοῦ τῆς ψυχῆς, καὶ αὐτοῦ δὴ δυνάμει νοῦ, τοῦ συνεργοῦντος τῷ ὀρεκτικῷ, τοῦτο πρακτικόν, ὀνομάζεται περὶ πρᾶξιν ἠσχολημένον, καὶ τέλος ἔχον τὴν αἵρεσιν καὶ ἐπίτευξιν τοῦ ἀγαθοῦ· ὅσον δὲ τοῦ

A communem terminum non conjungit, veluti numerus. Neque enim senarii, exempli gratia, pars dimidia, sive ternarius, communem quemdam terminum habet cum reliquo dimidio, sive cæteris tribus quo termino hæ scilicet partes conjunctæ essent; sed unitatibus a se invicem omnes partes omnis numeri discretæ sunt. Quapropter discretum quidem quantum aliud est per se, veluti par, impar, perfectum, et quæ sunt hujus generis: aliud vero affectionem seu respectum habet ad aliud; veluti duplum, dimidium, majus, minus, **60** sesquitertium, sesquialterum, et similia. Continuum autem quantum aliud est in mansione et statu, aliud in motu et conversione.

10. Arithmetica quidem igitur circa quantum B discretum per se occupatur, musica vero circa quantum discretum in respectu. Estque arithmetica quidem notitia quanti discreti per se musica vero notitia quanti discreti in respectu. Geometria circa quantum continuum immobile occupatur, quale terra est. Estque geometria notitia quanti continui immobilis. Astronomia vero circa quantum continuum semper mobile versatur, quale cœlum est. Estque astronomia notitia quanti continui quod semper movetur.

11. Hæc quidem de contemplativa philosophiæ parte.

12. Porro activa (philosophiæ pars) in ethicam, œconomicam et politicam dividitur. Et ethicus (seu moralis) quidem philosophus est, qui suos et alterius mores concinne conformare potest: œco- C nomicus autem qui etiam totam domum probe novit erudire: politicus denique qui civitatem aut etiam civitates dirigit et gubernat optime.

13. Omnes autem totius activæ (philosophiæ) **61** partes implentur per legum ferendarum et judiciorum officium. Activus enim philosophus et civitati et domui et discipulo et sibi ipsi de profuturis leges fert. Eodem modo etiam judicat, dum subditorum recte quidem agentes laudat et honore et convenientibus præmiis dignatur; male vero (se gerentes) reprehendit, negligit et punit. Sed et sibi ipsi etiam philosophus fit judex, et bona quidem agens oblectatur et in virtutibus voluptatem capit; sed aliquid officiorum transgrediens, dolet, seque ipsum castigat, et lapsuum correctionem allaborat.

D 14. Quemadmodum igitur medicina corporis est perfectio, ita sane animæ perfectio philosophia est, quæ animæ medicina agnoscitur. Quoniam autem animæ pars alia est quæ appetit, alia quæ cognoscit; et rursus hujus alia quidem rationis particeps, alia rationis expers est; cumque ejus quæ cognoscit, quæque rationis particeps est, una quidem cooperetur appetenti (parti), qualis est mens potestate, ipsa dianœa; altera vero separabilis et prorsus exempta sit, qualis est mens actu; quanta quidem philosophiæ pars **62** appetentem animæ partem, et ipsam scilicet mentem potestate, quæ appetenti cooperatur, perficit,

OCR ABK / FR

hæc activa nominatur, cum circa actionem sit occupata, finemque habeat boni apprehensionem et consecutionem; quanto vero cognoscentem (animæ partem) perficit, veritatem pro fine habens, hæc communiter contemplativa dicitur.

15. Cæterum quanta quidem notitiam mentis potestate perficit, eam nimirum quæ cum sensu et imaginatione circa formas materiatas et a materia inseparabiles occupatur, hæc physiologia vocatur, quod circa has et in his natura sit; quanta vero puram mentis ac operationem perficit, eamque mentis potestate quæ ad mentem actu provehitur, siquidem notitia est circa formas eas quæ omni modo sunt a materia separabiles, talis theologia vocatur et prima philosophia et metaphysica, quod supra naturalia sit collocata; sin vero circa formas est partim quidem a materia separabiles, partim vero inseparabiles, quæ talis est, mathematica nominatur et de anima. Nam et mathematica essentia, media (quædam) est quodammodo materiæ et **63** immaterialitatis: per universale quidem habens, ut a materia separari possit; per id vero quod in dimensiones patet ac discreta est, ut a materia separari non possit. Simili modo etiam anima quoad sensus quidem et imaginationes, et mentem potestate, inseparabilis est a materia; quoad vero mentem actu, quæ suprema et purissima animæ pars est, anima a materia prorsus separata est.

A γνωστικοῦ τελειωτικόν, τέλος ἔχον τὴν ἀλήθειαν, τοῦτο λέγεται κοινῶς θεωρητικόν.

ιε'. Ἀλλ' ὅσον μὲν τὴν γνῶσιν τοῦ δυνάμει νοῦ τελειοῖ, τὴν μετ' αἰσθήσεως καὶ φαντασίας περὶ τὰ ἔνυλα εἴδη καὶ ἀχώριστα τῆς ὕλης καταγινομένην, τοῦτο καλεῖται φυσιολογικὸν, ὅτι περὶ ταῦτα ἡ φύσις καὶ ἐν τούτοις ἐστίν· ὅσον δὲ τὴν τοῦ ἐνεργείᾳ νοῦ καθαρὰν ἐνέργειαν τελειοῖ, καὶ τὴν τοῦ δυνάμει νοῦ τὴν συνεπαιρομένην τῷ ἐνεργείᾳ νῷ, εἰ μὲν περὶ τὰ πάντῃ χώριστα τῆς ὕλης ἡ γνῶσίς ἐστι, τὸ τοιοῦτον θεολογικὸν καλεῖται, καὶ πρώτη φιλοσοφία, καὶ μετὰ τὰ φυσικὰ, ὡς ἐπέκεινα τεταγμένον τῶν φυσικῶν· εἰ δὲ περὶ τὰ πῇ μὲν χωριστὰ τῆς ὕλης εἴδη, πῇ δὲ ἀχώριστα, τὸ τοιοῦτον μαθηματικὸν ὀνομάζεται καὶ περὶ ψυχῆς. Ἥ τε γὰρ μαθηματικὴ οὐσία μέση (τις) πώς ἐστιν ὕλης B καὶ ἀϋλίας· τῷ μὲν καθόλου τὸ χωριστὸν ἔχουσα τῆς ὕλης, τῷ δὲ διαστατῷ καὶ διακεκριμένῳ τὸ ἀχώριστον. Καὶ ἡ ψυχὴ ὁμοίως· κατὰ μὲν τὰς αἰσθήσεις καὶ φαντασίας, καὶ τὸν δυνάμει νοῦν, ἀχώριστος τῆς ὕλης ἐστί· κατὰ δὲ τὸν ἐνεργείᾳ νοῦν, ὅς ἐστι τῆς ψυχῆς τὸ ἀκρότατόν τε καὶ καθαρώτατον, παντάπασιν ἡ ψυχὴ τῆς ὕλης κεχώρισται.

Σχῆμα κεφαλ. ζ, Τίς ἡ τῆς φιλοσοφίας διαίρεσις.

- Ἡ φιλοσοφία (διαιρεῖται)
  - εἰς θεωρητικὸν
    - φυσιολογικὸν,
    - μαθηματικὸν
      - γεωμετρία,
      - ἀστρονομία,
      - ἀριθμητική,
      - μουσική.
    - καὶ θεολογικόν.
  - καὶ πρακτικὸν
    - ἠθικὸν
    - οἰκονομικὸν,
    - πολιτικόν.

*Tabula capitis 7, Quæ sit philosophiæ divisio.*

- Philosophia dividitur in
  - contemplativam (ut sunt)
    - physiologia
    - mathematica (ut sunt)
      - geometria,
      - astronomia,
      - arithmetica,
      - musica.
    - theologia (seu metaphysica)
  - et activam (ut sunt)
    - ethica,
    - œconomia,
    - politica.

## 64 SYNOPSIS CAPITIS VIII,

### QUOD EST DE UNIVOCIS, DIVERSIVOCIS, ET DIVERSIS, ÆQUIVOCIS ITEM ET MULTIVOCIS ET DENOMINATIVIS.

1. *Eorum quæ in mundo exsistunt quodvis et unum et multa est: et quidem ut unum, nomine; ut multa vel definitione vel descriptione declaratur.* — 2. *Ex utriusque nominis et definitonis tum convenientia tum discrepantia quatuor oriuntur syzygiæ: prima eorum quæ nomine et definitione communicant secunda eorum quæ utroque discrepant: tertia eorum quæ nomine conveniunt et definitione discrepant, quarta eorum quæ definitione communicant, et nomine discrepant.* — 3. *Ex prima syzygia sunt univoca, ut eorum definitione et exemplis auctor probat.* — 4. *Ex secunda syzygia et diversivoca et diversa sunt quorum discrimen per definitiones et exempla indicat.* — 5. *Ex tertia syzygia sunt æquivoca, quæ iti-*

OCR ABK / FR

*dem definit. — 6. Indicat cur in superiorum definitionibus ubique adjiciatur, τὸ secundum nomen. — 7. Quid in illis ratio significet. — 8. Quid essentiæ nomen declaret. — 9. Quid nomen philosophis et hic et alibi sæpe significet, quodque etiam verba et aliæ partes orationis homonymως nomina dicantur. — 10. Tria in æquivocis quærenda esse, et quæ sint illa. — 11. Ex quarta syzygia sunt multivoca, quæ describit. — 12. Denominativa inter univoca et æquivoca medio loco constituta sunt, magis tamen propinquant univocis, quia majorem habent communitatem quam differentiam.* **65** *13. Per occupationem docet quid denominativa requirant et æquivocorum etiam octo requisita enumerat. — 14. Singula singulis exemplis declarat. — 15. Concludit dissertationem de æquivocis. — 16. Redit ad denominativa quæ definit. — 17. Exponit quomodo in definitione vox casus accipiatur. — 18. Quatuor requisita denominativorum assignat, quorum si unum desit, non sit verum denominativum, ut exemplis manifestum facit. — 19. Primum exemplum in quo deest tertium requisitum communitas rei. — 20. Secundum, in quo deest quartum requisitum, differentia rei. — 21. Occasione secundi exempli etymologiam vocabuli* παρθένος *enucleat. — 22. Tertium in quo desideratur primum requisitum, nominis communitas. — 23. Quartum, a quo abest secundum requisitum, nominis differentia. — 24. Denominativorum et vocabulorum ab uno discrimen evolvit.*

—

A

## ΚΕΦΑΛ. Η'.

Περὶ συνωνύμων, ἑτερωνύμων, καὶ ἑτέρων, ὁμωνύμων τε καὶ πολυωνύμων, καὶ παρωνύμων.

α. Ἕκαστον τῶν ὄντων ἐν κόσμῳ καὶ ἕν τί ἐστι καὶ πολλά· οἷον ὁ ἄνθρωπος καὶ ἕν (τί) ἐστι καθὸ ἄνθρωπος, καὶ πολλὰ καθὸ ζῶον, καὶ λογικὸν καὶ θνητὸν, καὶ νοῦ καὶ ἐπιστήμης δεκτικόν. Ἐπεὶ οὖν ἕκαστον τῶν ὄντων ἐν κόσμῳ, καὶ ἕν τί ἐστι καὶ πολλὰ, ὡς μὲν ἓν δηλοῦται ὑπὸ τοῦ ὀνόματος, ὡς δὲ πολλὰ δηλοῦται ὑπὸ τοῦ ὁρισμοῦ, ἢ τῆς ὑπογραφῆς. Καὶ γὰρ ὁ ἄνθρωπος, ἓν ὢν καὶ πολλὰ, ὡς μὲν ἓν ὑπὸ τῆς ἄνθρωπος δηλοῦται φωνῆς, ἥτις ἁπλοῦν ἐστιν ὄνομα· ὡς δὲ πολλὰ, ὑπὸ τοῦ ὅρου τοῦ λέγοντος, ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ὅς δὴ ὅρος λόγος ὑπάρχει τῶν ὧν B ἔχει ὁ ἄνθρωπος ἕκαστον ὑπεξιών.

β'. Ἔστωσαν οὖν δύο τινὰ πράγματα ἢ καὶ πλείω, καὶ ταῦτα ἢ καὶ κατὰ τὸ ὄνομα καὶ κατὰ τὸν λόγον κοινωνείτωσαν ἀλλήλοις· ἢ καὶ κατ' ἄμφω διαφερέτωσαν· ἢ (καὶ) κατὰ μὲν τὸ ὄνομα κοινωνείτωσαν, κατὰ δὲ τὸν λόγον διαφερέτωσαν· ἢ τὸ ἀνάπαλιν, κατὰ μὲν τὸν λόγον κοινωνείτωσαν, κατὰ δὲ τὸ ὄνομα διαφερέτωσαν, ὡς εἶναι τέσσαρας τὰς διαφοράς.

γ'. Εἰ μὲν οὖν καὶ κατ' ἄμφω κοινωνοῦσι, κατὰ τὸ ὄνομά φημι, καὶ (κατὰ) τὸν λόγον καλοῦνται συνώνυμα, ὡσανεὶ μεταδιδόντα ἀλλήλοις σὺν τῷ ὀνόματι καὶ τοῦ λόγου· συνώνυμα γάρ εἰσιν, ὧν τό τε ὄνομα κοινὸν καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτὸς, οἷον ζῶον, ὅ τε ἄνθρωπος καὶ ὁ C βοῦς κατὰ τὸ ζῶον ὄνομα συνώνυμα ὄντα· καὶ γὰρ ἄμφω καὶ ζῶα προσαγορεύονται, καὶ τὸν αὐτὸν ἐπιδέχονται λόγον, καθὸ ζῶα· ἔστι γὰρ ἑκάτερον οὐσία ἔμψυχος, αἰσθητικὴ, μεταβατική.

δ'. Εἰ δὴ κατὰ τὸ ὄνομα, καὶ κατὰ τὸν λόγον διαφέρουσιν, εἰ μὲν ἔχουσιν ἓν ὑποκείμενον, λέγονται ἑτερώνυμα, ὥσπερ ἀνάβασις καὶ κατάβασις. Ἔχουσι γὰρ ἓν ὑποκείμενον τὴν κλίμακα· ὁμοίως καὶ σπέρμα καὶ καρπός. Θεωροῦνται γὰρ περὶ τὸν αὐτὸν σῖτον, ὃς πρὸς μὲν τὸ εἶναι καὶ ἀπηρτίσθαι λέγεται καρπὸς, πρὸς δὲ τὸ μέλλειν καὶ πεφυκέναι λέγεται σπέρμα. Εἰ δὲ διάφορα ἔχουσι τὰ ὑποκείμενα, λέγονται ἕτερα, οἷον ἄνθρωπος καὶ ἵππος,

## CAPUT VIII.

*De univocis, deversivocis et diversis, æquivocis item et multivocis et denominativis.*

1. Quodvis eorum quæ sunt in mundo et unum aliquid et multa est: velut homo et unum quid est quatenus homo, et multa, quatenus animal, et rationale et mortale **66** et intelligentiæ scientiæque capax. Quoniam igitur quodvis eorum quæ sunt in mundo, et unum aliquid et multa est: ut unum quidem a nomine declaratur, ut multa autem a definitione seu descriptione declaratur. Homo enim cum sit unum et multa, ut unum quidem a voce declaratur, quæ simplex nomen est: ut multa vero, a definitione quæ dicit: animal rationale, mortale, intelligentiæ et scientiæ capax. Quæ sane definitio est oratio singula quæ habet homo persequens.

2. Sint igitur duæ quæpiam res vel etiam plures, et hæ vel secundum nomen et definitionem inter se communicent; vel etiam quoad utrumque differant; vel quoad nomen quidem communicent, quoad definitionem autem differant; vel contra quoad definitionem quidem communicent, quoad nomen autem differant, ut quatuor sint differentiæ.

3. Quod siquidem igitur quoad etiam utrumque communicent, quoad nomen inquam et definitionem, univoca vocantur, ut quæ sibi invicem cum nomine etiam definitionem impertiant. Univoca enim sunt, quorum et nomen commune et ratio essentiæ secundum **67** nomen eadem: veluti animal est et homo et bos, quæ secundum nomen animal univoca sunt. Ambo enim et animalia appellantur, et eamdem quatenus animalia definitionem suscipiunt. Utrumque enim est substantia animata, sentiens, progressiva.

4. Sin vero quoad nomen et quoad definitionem differant, siquidem unum habeant subjectum, diversivoca dicuntur, quemadmodum ascensio et descensio. Unum enim subjectum, scalam habent. Simili ratione et semen et fructus. In uno enim tritico considerantur, quod ea ratione qua est, et perfectum est, fructus dicitur; qua ratione vero futurum est, et aliud per naturam fieri potest, dicitur semen. Sin vero differentia subjecta habeant

OCR ABK / FR

diversa dicuntur: velut homo et equus, non quatenus animalia (quoad hoc enim sunt univoca), sed quatenus homo et equus sunt. Differentia enim habent nomina, sed et differentes quoad nomina definitiones (habent). Homo enim quatenus homo, est animal rationale, mortale, intelligentiæ et scientiæ capax. Equus autem, quatenus equus, est animal irrationale, quadrupes, hinniendi facultate
**68** præditum. Sed et differentia subjecta habent. Alia enim hominis est substantia, et alia est substantia equi. Dicuntur autem diversivoca quidem, quorum et nomen diversum est, et essentiæ ratio secundum nomen diversa est, cum unum subjectum habeant; diversa vero, quorum et nomen diversum et quad nomen essentiæ ratio diversa est cum differentia subjecta habeant.

A οὐ καθὸ ζῶα (κατὰ τοῦτο γὰρ συνώνυμά εἰσιν), ἀλλὰ καθὸ ἄνθρωπος καὶ ἵππος. Διάφορα γὰρ ἔχουσι καὶ τὰ ὀνόματα καὶ λόγους. Ὁ μὲν γὰρ ἄνθρωπος ᾗ ἄνθρωπος ζῶόν ἐστι λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ὁ δὲ ἵππος ᾗ ἵππος ζῶον ἄλογον, τετράπουν, χρεμετιστικόν. Ἀλλὰ καὶ τὰ ὑποκείμενα διάφορα· ἄλλη γὰρ ἡ οὐσία τοῦ ἀνθρώπου καὶ ἄλλη ἡ οὐσία τοῦ ἵππου. Λέγεται δὲ ἑτερώνυμα μὲν ὧν τό τε ὄνομα ἕτερον καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος ἓν ἐχόντων τὸ ὑποκείμενον· ἕτερα δὲ, ὧν τό τε ὄνομα ἕτερον, καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος διάφορα ἐχόντων τὰ ὑποκείμενα.

5. Si porro quoad nomen quidem communicent, quoad definitionem autem differant, æquivoca nuncupantur. Æquivoca enim sunt, quorum nomen solum commune, sed quoad nomen essentiæ ratio diversa est: quemadmodum duo Ajaces. Hi enim unum quidem commune nomen habent, quod est Ajax; sed quoad Ajacis nomen, definitionem non eamdem (habent). Alter enim eorum est is Ajax qui Telamonis filius, et ex Salamine oriundus fuit, et singulari certamine cum Hectore decertavit: alter est is Ajax, qui Oilei filius, Locrus et pedibus celer fuit, et siquid aliud habet.

B εʹ. Εἰ δὲ, κατὰ μὲν τὸ ὄνομα κοινωνοῦσι, κατὰ δὲ τὸν λόγον διαφέρουσι, καλοῦνται ὁμώνυμα. Ὁμώνυμα γάρ εἰσιν, ὧν ὄνομα μόνον κοινὸν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος· ὥσπερ οἱ δύο Αἴαντες. Οὗτοι γὰρ ἓν μὲν ὄνομα κοινὸν ἔχουσι τὸ Αἴας, τὸν δὲ κατὰ τὸ Αἴας λόγον οὐ τὸν αὐτόν. Ὁ μὲν γάρ ἐστιν Αἴας ὁ τοῦ Τελαμῶνος υἱὸς ὁ ἐκ Σαλαμῖνος, ὁ μονομαχήσας τῷ Ἕκτορι· ὁ δὲ Αἴας ὁ τοῦ Ὀϊλέως υἱὸς, ὁ Λοκρὸς, ὁ τοὺς πόδας ταχὺς, καὶ εἴ τι ἕτερον ἔχει.

6. Bene autem ubique adjicitur τὸ secundum nomen. Æquivoca enim quoad aliud aliquid univoca deprehendentur; et univoca, æquivoca. Ac
**69** in aliis simili ratione comparatum est. Vide enim et duo Ajaces quatenus quidem Ajaces æquivoci sunt: quatenus autem homines, univoci sunt utique.

ςʹ. Πρόσκειται δὲ τὸ κατὰ τοὔνομα καλῶς πανταχοῦ. Κατ' ἄλλο γάρ τι τὰ ὁμώνυμα συνώνυμα εὑρεθήσονται, καὶ τὰ συνώνυμα. καὶ ἐπὶ τῶν ἄλλων
C ὁμοίως. Ἰδοὺ γὰρ καὶ οἱ δύο Αἴαντες καθὸ μὲν Αἴαντες ὁμώνυμοί εἰσι, καθὸ δὲ ἄνθρωποι πάντως συνώνυμοι.

7. Porro ratio, scilicet essentiæ, in his omnibus et de definitione et de descriptione dicta est.

ζʹ. Ὁ δὲ λόγος ἐν τούτοις ἅπασι κατά τε τοῦ ὁρισμοῦ καὶ τῆς ὑπογραφῆς εἴρηται.

8. Essentiæ autem nomen τὸ simpliciter esse declarat. Etenim duo Ajaces, quatenus uterque Ajax est, hactenus definitionem diversam habent; quoad vero naturam, unam et eamdem habent.

ηʹ. Τὸ δὲ τῆς οὐσίας ὄνομα τὸ ἁπλῶς, εἶναι δηλοῖ. Οἱ γὰρ δύο Αἴαντες καθὸ εἰσιν Αἴας ἑκάτεροι, κατὰ τοῦτο τὸν λόγον ἔχουσιν ἕτερον, κατὰ δὲ τὴν φύσιν ἕνα καὶ τὸν αὐτόν.

9. Sciendum autem et hoc, philosophos nomen de omni significativa voce accipere. Quod si hoc, igitur et verba erunt æquivoca: velut τὸ ἐρῶ. Significat enim et *dicam*, et *amantium modo affectus sum*. Et in aliis vero etiam orationis partibus æquivocationem aliquis inveniet.

θʹ. Χρὴ δὲ γινώσκειν, ὅτι τὸ ὄνομα οἱ φιλόσοφοι καὶ κατὰ πάσης φωνῆς σημαντικῆς ἐκλαμβάνουσιν. Εἰ τοῦτο, τοίνυν καὶ ῥήματα ὁμώνυμα ἔσονται, οἷον τὸ ἐρῶ. Ἔστι γὰρ τὸ λέξω, καὶ τὸ ἐρωτικῶς ἔχω. Καὶ ἐφ' ἑτέρων δὲ τοῦ λόγου μερῶν ὁμωνυμίαν εὑρήσει τις.

10. Tria autem in æquivocis quærenda sunt: num sit e numero æquivocorum id de quo sermo est; et quot de significatis nomen ejusmodi usurpetur; et quo de significatorum sermo sit.

D ιʹ. Τρία δὲ δεῖ ἐπὶ τῶν ὁμωνύμων ζητεῖν· εἰ ἔστι τῶν ὁμωνύμων τὸ περὶ οὗ ὁ λόγος· καὶ κατὰ πόσων σημαινομένων τὸ τοιοῦτον ὄνομα φέρεται· καὶ περὶ ποίου τῶν σημαινομένων ὁ λόγος ἐστίν.

11. Cæterum si quoad definitionem quidem res communicent, quoad nomen autem differant, multivoca dicuntur, nempe quando eadem res multis nominibus appellatur, velut ensis, spatha, gladius,
**70** framea. Hæc enim omnia unam definitionem suscipiunt: quippe ferrum utrinque incidens (seu anceps) sunt. Definitio autem multivocorum est, plurima nomina quæ de una re dicuntur.

ιαʹ. Εἰ δὲ κατὰ μὲν τὸν λόγον κοινωνοῦσι τὰ πράγματα, κατὰ δὲ τὸ ὄνομα διαφέρουσι, πολυώνυμα λέγονται, ἤγουν ὅταν τὸ αὐτὸ πρᾶγμα πολλοῖς καλῆται ὀνόμασιν, οἷον φάσγανον, σπάθη, ξίφος, ἄορ. Ἕνα γὰρ λόγον ἐπιδέχονται ταῦτα πάντα. Σίδηρος γὰρ ἀμφήκης εἰσίν. Ἔστι δὲ ὁ τῶν πολυωνύμων λόγος πλεῖστα ὀνόματα καθ' ἑνὸς λεγόμενα πράγματος.

12. Porro sunt etiam quædam medio loco con-

ιβʹ. Εἰσὶ δὲ καί τινα μεταξὺ τῶν ὁμωνύμων καὶ

OCR ABK / FR

τῶν συνωνύμων, κοινωνοῦντα καὶ διαφέροντα τῷ A τε ὀνόματι καὶ τῷ κατὰ τοὔνομα λόγῳ· πλησιάζουσι δὲ ταῦτα μᾶλλον τοῖς συνωνύμοις· πλείονα γὰρ ἔχουσι τὴν κοινωνίαν, ἢ τὴν διαφοράν, ἅπερ καλοῦνται παρώνυμα, ὡς ἀπό τινων παρωνομασμένα· οἷον ἀπὸ τῆς γραμματικῆς γραμματικός, καὶ ἀπὸ τῆς μουσικῆς ὁ μουσικός. Καὶ γὰρ τῷ ὀνόματι κοινωνοῦσι καὶ διαφέρουσι, μὴ τὴν αὐτὴν κατάληξιν ἔχοντα τοῦ ὀνόματος· καὶ τῷ κατὰ τοὔνομα λόγῳ κοινωνοῦσι πάλιν καὶ διαφέρουσιν.

stituta inter æquivoca et univoca quæ communicant et differunt cum nomine, tum definitione quoad nomen; magis tamen ad univoca accedunt (quam æquivoca), quippe plus communitatis habent quam differentiæ; quæ denominativa vocantur, quasi ab aliquibus denominata, velut a grammatica grammaticus, a musica musicus. Partim enim nomine et communicant et differunt, ut quæ eamdem nominis terminationem non habeant; partim iterum definitione quoad nomen communicant et differunt, Grammatica enim et musica sunt notitiæ; grammaticus autem et musicus substantiæ, in quibus sunt notitiæ.

B ιγ'. Ἡ μὲν γὰρ γραμματικὴ καὶ ἡ μουσικὴ γνώσεις εἰσίν· ὁ δὲ γραμματικὸς καὶ ὁ μουσικὸς οὐσίαι, ἐν αἷς αἱ γνώσεις. Ἡ γραμματικὴ δὲ γυνή, καὶ ἡ μουσικὴ γυνὴ οὐκ εἰσὶ παρώνυμα, ἀλλ' ὁμώνυμα. Χρὴ γὰρ ἐπὶ μὲν τῶν παρωνύμων ἐξ ἀνάγκης παρηλλάχθαι τὴν κατάληξιν τοῦ ὀνόματος, ἐπὶ δὲ τῶν ὁμωνύμων σώζεσθαι κατὰ πάντα τὸ ὄνομα ἀπαράλλακτον· μὴ μόνον κατὰ τὴν κατάληξιν, ἀλλὰ καὶ κατὰ τὸ πνεῦμα, καὶ κατὰ τὸν τόνον, καὶ κατὰ τὴν πτῶσιν, καὶ κατὰ τὴν γραφήν, καὶ κατὰ τὸν ἀριθμόν, καὶ κατὰ τὸ γένος, καὶ κατὰ τὸ τοῦ λόγου μέρος, καὶ κατὰ τὴν συνήθειαν.

13. Grammatica autem mulier, et musica mulier, non sunt denominativa, sed æquivoca. In denominativis enim necessario terminationem nominis mutatam esse oportet, et in æquivocis nomen ab immutatione immune conservari **71** oportet; non secundum terminationem duntaxat, sed etiam secundum spiritum, et secundum tonum, et secundum casum, et secundum scripturam, et secundum numerum, et secundum genus, et secundum partem orationis, et secundum consuetudinem.

ιδ'. Τὸ γὰρ οἷος, δασυνόμενον μὲν δηλοῖ τὸ ὁποῖος, ψιλούμενον δέ, τὸ μόνος. Καὶ ἡ τοῦ πνεύματος διαφορὰ χωρίζει τῶν ὁμωνύμων αὐτό. Ἀλλ' οὐδὲ τὸ Ἄργος, καὶ τὸ ἀργός, ὁμώνυμά εἰσι διὰ τὴν τοῦ C τόνου διαφοράν. Τὸ μὲν γὰρ Ἄργος προπαροξυτόνως δηλοῖ τὸν Ἄργον ὃν ἀπέκτεινεν ὁ Ἑρμῆς, καὶ ἄλλων ὀνόματα· τὸ δὲ ἀργὸς ὀξυτόνως δηλοῖ τὸν βραδὺν καὶ λευκόν. Τὸ ἐλάτης, διαφέρον κατὰ τὴν πτῶσιν, οὐκ ἔστιν ὁμώνυμον. Ὅτε γὰρ τὴν ἐλάτην δηλοῖ τὸν ἡνίοχον, εὐθεῖά ἐστιν· ὅτε δὲ τὴν ἐλάτην τὸ δένδρον, γενική· ἐνταῦθα δὲ κατὰ τὸ γένος ἐστὶν ἡ διαφορά· τὸ καινὸν καὶ κατὰ τὴν γραφὴν διαφέρον οὐκ ἔστιν ὁμώνυμον· ψιλούμενον γὰρ σημαίνει τὸ μάταιον καὶ τὸ κοῦφον, διφθογγιζόμενον δέ, τὸ νέον καὶ τὸ παράδοξον. Τὸ εἶπον, ἐπεὶ διαφέρει τῷ ἀριθμῷ καὶ ἑνικῶς μὲν δηλοῖ τὸ εἶπον ἐγώ, πληθυντικῶς δὲ τὸ εἶπον ἕτεροι. Διὰ τοῦτο οὐκ ἔστιν ὁμώνυμον. Τὸ φάρος ὅτε διαφέρει τὸ γένος οὐκ ἔστιν ὁμώνυμον. Ἀρσενικῶς μὲν γὰρ αὐτὸ τὸ κτίσμα δηλοῖ, θηλυκῶς δὲ τὴν πόλιν· οὐδετέρως D δὲ τὸ ἱμάτιον. Τὸ ἔχεις μέρει λόγου διαφέρει. Καὶ ὅτε μὲν ὄνομά ἐστι, γένος ὄφεων σημαίνει πληθυντικῶς, ὅτε δὲ ῥῆμα, ἐπὶ δευτέρου προσώπου τὸ κέκτησαι· διὸ καὶ τῆς ὁμωνυμίας ἐξέπεσε. Τὸ ἅρμα, συνηθείᾳ μὲν Ἑλληνικῇ ταττόμενον ἐπὶ τοῦ ἱππικοῦ ζεύγους, ἐπὶ τῶν ὅπλων δὲ τῷ τῶν Ῥωμαίων ἔθει φερόμενον, τῶν ὁμωνύμων ἀπηλλοτρίωται.

14. Etenim (nomen) οἷος aspero spiritu affectum, *qualis*; leni præditum, *solus* declarat. Atque (ita) spiritus differentia ipsum ab æquivocis separat. Sed neque Ἄργος et ἀργός propter toni differentiam sunt æquivoca. Etenim τὸ Ἄργος, tono in priore syllaba affectum, significat Argum quem Mercurius interfecit et aliorum nomina: at ἀργός tono acuto in ultima affectum, tardum et album declarat. Τὸ ἐλάτης quod casu differt, non est æquivocum. Quando enim aurigam declarat, agitatorem (nimirum) *frena tenentem*, rectus est (nominandi causa): quando autem abietem, arborem, gignendi est (casus). Hic autem (etiam) quoad genus est differentia. Τὸ καινὸν quod etiam scriptura differt, non est æquivocum. Cum enim per ε scribitur, vanum et leve significat; cum diphthongo signatur, novum et quod præter opinionem **72** est. Τὸ εἶπον quia numero differt, et singulariter quidem significat, *Ego dixi*; pluraliter autem, *Alii dixerunt*; hac de causa non est æquivocum. Τὸ φάρος quia genere differt, non est æquivocum. Masculino enim quidem genere ipsam structuram (seu turrim); feminino autem, urbem, neutro denique vestimentum declarat. Τὸ ἔχεις parte orationis differt. Et quando quidem nomen est numero multitudinis genus serpentum declarat: quando vero verbum est in secunda persona, τὸ *habes* (seu *possides*) denotat. Proinde etiam ab æquivocatione excidit. Τὸ ἅρμα quandoquidem Græca consuetudine pro jugo equestri ponitur, Romanorum autem more pro armis profertur, ab æquivocis liberatum est.

ιε'. Τοσαῦτα περὶ τῶν ὁμωνύμων.

15. Et tantum quidem de æquivocis.

ις'. Τὰ δὲ παρώνυμα ὑπογράφουσιν οὕτως· παρώνυμά εἰσιν, ὅσα ἀπό τινος ἀποφέροντα τῇ πτώσει, τὴν κατὰ τοὔνομα προσηγορίαν ἔχει. Οἷον ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικός, καὶ ἀπὸ τῆς ἀνδρείας ὁ ἀνδρεῖος.

16. Denominativa autem sic describunt: Denominativa sunt quæ ab aliquo differentia casu, quoad nomen appellationem habent, velut a grammatica grammaticus et a fortitudine fortis.

OCR ABK / FR

17. In hac denominativorum descriptione casus vocatur dictionis terminus.

18. Quatuor autem quibusdam (requisitis) opus est ut demonstrativa **73** fiant: communitate et differentia nominis et communitate differentiaque rei.

19. Unde τὸ Helenus et Helena non sunt denominativa. Communitatem enim quidem et differentiam nominis habent; rei autem communitatem non habent. Helenus enim qui ex Troja (oriundus) Priamides, vates fuit, alius est. Rursumque alia est Helena Lacæna Ledæ ex Tyndaro filia, quæ infinitarum calamitatum Phrygibus et Achivis causa fuit; nec ut a scientia sciens ita ab Helena Helenus (dicitur).

20. Sed neque etiam παρθένος et παρθενικὴ denominativa sunt. In his enim rei non est differentia. Idem enim etiam ambæ dictiones significant.

21. Παρθένος autem (id est virgo) nobis (Græcis) ex eo quod παρὰ Θεῷ, id est πλησίον Θεοῦ apud Deum, hoc est prope Deum sit, propter sanctitatem dicta est, siquidem per omnia virgo sit, animaque etiam cum corpore virginitatem servet.

22. Neque vero virtus et vir bonus denominativa sunt. Ab his enim abest nominis communio.

23. Neque vicissim musica mulier et scientia musica sunt denominativa, propterea quod differentiam **74** aliquam nominis non habeant.

24. Differunt autem denominativa ab illis quæ ab uno dicuntur, quod denominativa continent ea a quibus denominativa sunt: quemadmodum grammaticus grammaticam et justus justitiam continent. At quæ ab uno sunt, non etiam. Neque enim instrumentum medicum medicinam continet, neque liber grammaticus grammaticam; quoniam id quidem ex seipso moderetur, hic autem scriberet et legeret.

A ιζ'. Ἐν ταύτῃ τῇ τῶν παρωνύμων ὑπογραφῇ πτῶσις καλεῖται πέρας τῆς λέξεως.

ιη'. Τεσσάρων δὲ τινων χρεία, ἵνα γίνωνται τὰ παρώνυμα· κοινωνίας καὶ διαφορᾶς ὀνόματος καὶ κοινωνίας καὶ διαφορᾶς πράγματος.

ιθ'. Ὅθεν τὸ Ἕλενος καὶ Ἑλένη παρώνυμα οὐκ εἰσί. Κοινωνίαν μὲν γὰρ καὶ διαφορὰν ὀνόματος ἔχουσι· πράγματος δὲ κοινωνίαν οὐκ ἔχουσιν. Ὁ μὲν γὰρ Ἕλενος ὁ ἐκ Τροίας ὁ Πριαμίδης ὁ μαντικὸς ἕτερος· ἄλλη δὲ πάλιν ἡ Ἑλένη ἡ Λάκαινα, ἡ τῆς Λήδης ἐκ Τυνδάρεω παῖς, ἡ μυρίων συμφορῶν Φρυξὶν αἰτία καὶ Ἀχαιοῖς· καὶ οὐχ ὡς ἐξ ἐπιστήμης ὁ ἐπιστήμων, ἐκ τῆς Ἑλένης ὁ Ἕλενος.

B κ'. Ἀλλ' οὐδὲ τὸ παρθενικὴ καὶ παρθένος παρώνυμα. Πράγματος γὰρ ἐν τούτοις οὐκ ἔστι διαφορά· ταυτὸ γὰρ αἱ λέξεις καὶ ἄμφω σημαίνουσι.

κα'. Παρθένος δ' ἡμῖν ἐκ τοῦ παρὰ Θεῷ εἶναι, τουτέστι πλησίον Θεοῦ, διὰ τὴν ἁγνείαν ἠτυμολογῆται· εἴγε τὸ ὅλον παρθένος εἴη καὶ τῆς ψυχῆς παρθενευούσης μετὰ τοῦ σώματος.

κβ'. Οὔτε δὲ τὸ ἀρετὴ καὶ σπουδαῖος παρώνυμα. Καὶ γὰρ ἄπεστιν ἐκ τούτων ἡ κοινωνία τοῦ ὀνόματος.

κγ'. Οὔτ' αὖ μουσικὴ γυνὴ, καὶ μουσικὴ ἐπιστήμη παρώνυμα· διὰ τὸ μὴ κεκτῆσθαί τινα διαφορὰν τοῦ ὀνόματος.

κδ'. Διαφέρουσι δὲ τὰ παρώνυμα τῶν ἀφ' ἑνός· ὅτι τὰ μὲν παρώνυμα περιέχουσι τὰ ἀφ' ὧν παρωνομάσθησαν, ὡς ὁ γραμματικὸς τὴν γραμματικὴν, καὶ C ὁ δίκαιος τὴν δικαιοσύνην· τὰ δὲ ἀφ' ἑνὸς οὐκ ἔτι. Οὐδὲ γὰρ περιέχει τὸ ἰατρικὸν ἐργαλεῖον τὴν ἰατρικὴν, οὐδὲ τὸ γραμματικὸν βιβλίον τὴν γραμματικήν· ἐπεὶ τὸ μὲν ἂν ἰάτρευεν ἐξ ἑαυτοῦ, τὸ δ' ἔγραφε καὶ ἀνεγίνωσκε.

Σχῆμα κεφαλ. η', Περὶ συνωνύμων, ἑτερωνύμων, ἑτέρων ὁμωνύμων τε καὶ πολυωνύμων, καὶ παρωνύμων.

Δύο τινὰ
- ἢ καὶ κατὰ τοὔνομα καὶ κατὰ τὸν λόγον κοινωνοῦσι· καὶ εἰσι συνώνυμα, οἷον ζῶον, ὅ τε ἄνθρωπος καὶ ὁ βοῦς κατὰ τὸ ζῶον ὄνομα.
- ἢ καὶ κατὰ τοὔνομα, καὶ κατὰ τὸν λόγον διαφέρουσιν,
  - ἢ ἓν ἔχουσιν ὑποκείμενον, καί εἰσιν ἑτερώνυμα, ὡς ἀνάβασις καὶ κατάβασις·
  - ἢ διαφορά, καὶ εἰσιν ἕτερα, ὡς ἄνθρωπος καὶ ἵππος, καθὸ ἄνθρωπος καὶ ἵππος·
- ἢ κατὰ μὲν τὸ ὄνομα κοινωνοῦσι, κατὰ δὲ τὸν λόγον διαφέρουσι καὶ εἰσιν ὁμώνυμα· ὡς οἱ δύο Αἴαντες κατὰ τὸ Αἴας ὄνομα·
- ἢ κατὰ μὲν τὸν λόγον κοινωνοῦσι, κατὰ δὲ τὸ ὄνομα διαφέρουσι καὶ εἰσι πολυώνυμα, ὡς ἄορ, ξίφος, μάχαιρα·
- ἢ κοινωνοῦσι καὶ διαφέρουσι καὶ κατὰ τοὔνομα καὶ κατὰ τοὔνομα λόγον, καὶ εἰσι παρώνυμα, ὡς γραμματικὸς καὶ γραμματική.

OCR ABK / FR

*Tabula capitis 8, de univocis, diversivocis, diversis, æquivocis item et multivocis et denominativis.*

75 Duo aliqua
- vel et quoad nomen et quoad definitionem communicant et sunt univoca; velut animal (est) et homo et bos quoad nomen animal.
- vel quoad nomen et quoad definitionem differunt : (et)
  - vel unum habent subjectum et sunt diversivoca ut ascensio et descensio,
  - vel differentia (subjecta habent) et sunt diversa, ut homo et equus quatenus homo et equus.
- vel secundum nomen quidem communicant, secundum definitionem autem differunt, et sunt æquivoca : ut dico Ajaces quoad nomen Ajacis,
- vel quoad definitionem quidem communicant, quoad nomen autem differunt, et sunt multivoca, ut ensis, gladius, machæra.
- vel communicant et differunt cum quoad nomen tum quoad definitionem secundum id nomen, et sunt denominativa ut grammaticus et grammatica.

## 76 SYNOPSIS CAPITIS IX,

### QUOD EST DE QUINQUE VOCIBUS.

1. *Methodo divisiora per divisiones et subdivisiones vocis numerum quinque vocum erudite colligit.* — 2. *Subdivisio prima.* — 3. *Secunda.* — 4. *Tertia.* — 5. *Quarta.* — 6. *Quinta.* — 7. *Sexta.* — 8. *Septima.* — 9. *Octava.* — 10 *Hinc numerum quinarium prædicabilium conficit.* — 11. *Ostendit quare genus præcedat differentiam.* — 12. *Quare differentia speciem.* — 13. *Quare species proprium.* — 14. *Quare proprium accidens.* — 15. *Quare proprium essentiæ adjunctum accidente etiam melius adeoque prius sit.* — 16. *Et accidens postremo constituatur loco.* — 17. *Quinque vocum seu prædicabilium collationem instituit.* — 18. *Docet proprium esse ut plurimum* ἐπουσιῶδες *saltem, reperiri tamen etiam alicubi essentiale, ut in homine intelligentiæ et scientiæ capax.* — 19. *Probat* τὸ *risibile esse proprium hominis* ἐπουσιῶδες *saltem.* — 20. *Judicat etiam propria in definitionibus assumi.* — 21. *Monet interim ut essentiale* ἐπουσιώδει *præferatur.* — 22. *In defectu tamen essentialis et* τὸ ἐπουσιῶδες *adhibeatur.* — 23. *Quare bruta proprium* ἐπουσιῶδες *saltem, homo et essentiale et* ἐπουσιῶδες *habeat.*

A

## ΚΕΦΑΛ. Θ'.

### Περὶ τῶν πέντε φωνῶν.

α'. Ἡ φωνὴ ἢ ἔναρθρός ἐστιν ἢ ἄναρθρος. Καὶ περὶ μὲν τῆς ἀνάρθρου φωνῆς, ἐπείπερ οὐκ ἔγγράμματος αὕτη, λόγος οὐδείς.

β'. Ἡ δ' ἔναρθρος φωνὴ καὶ ἐγγράμματος ἢ σημαντική ἐστιν, ἢ ἄσημος. Ἄσημος μὲν οὖν ἐστιν ἡ μὴ δηλοῦσά τι πρᾶγμα. Τοιαύτην ἄσημον ἔφασάν τινες εἶναι τὸ βλίτυρι καὶ τὸ σκινδαψός· ἥτις φωνὴ καὶ ἀκατηγόρητος λέγεται, ὡς μὴ κατά τινος πράγματος ἀγορευομένη, τουτέστι λεγομένη. Σημαντικὴ δὲ καὶ κατηγορικὴ φωνή ἐστιν ἡ σημαίνουσα πρᾶγμα· οἷον ζῶον, ἄνθρωπος, λίθος· ἥτις λέγεται καὶ ἁπλῶς κατηγορικὴ, ὡς ἀγορευομένη καὶ λεγομένη κατὰ πράγματος ὁπωσοῦν.

B

γ'. Αὕτη (τοίνυν) ἡ ἁπλῶς κατηγορικὴ λεγομένη (φωνὴ) ἢ μερική ἐστιν, ἢ καθόλου. Καὶ μερικὴ μὲν ἔστιν ἡ ἐπὶ τῶν ἀτόμων παραλαμβανομένη· περὶ ὧν οὐ διαλαμβάνουσιν οἱ φιλόσοφοι, διὰ τὸ ἄπειρα ὑπάρχειν αὐτά.

δ'. Ἡ δὲ ἁπλῶς κατηγορικὴ καθόλου φωνὴ ἢ οὐσιωδῶς κατηγορεῖται ὧν κατηγορεῖται, ἢ ἐπουσιωδῶς.

ε'. Καὶ εἰ μὲν οὐσιωδῶς κατηγορεῖται, ἢ πολλαῖς φύσεσιν ἁρμόζει, ἢ μιᾷ.

ς'. Καὶ εἰ μὲν πολλαῖς φύσεσιν ἁρμόζει, ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ ποιεῖ γένος, ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, καὶ ποιεῖ τὴν διαφοράν.

## CAPUT IX.

### *De quinque vocibus.*

77 1. Vox aut articulata est aut inarticulata. Et de inarticulata quidem voce, quandoquidem hæc scribi non potest, nullus sermo.

2. Articulata autem vox quæ etiam scribi potest, aut significativa est, aut non significativa. Ergo non significativa quidem est, quæ rem aliquam non declarat. Ejusmodi non significativam vocem aliqui dixerunt esse τὸ blityri et τὸ scindapsus ; quæ vox etiam acategoretos, quasi dicas, imprædicabilis dicitur, ut quæ de re aliqua non prædicetur, hoc est dicatur. Significativa autem et prædicativa vox est quæ rem significat : velut animal, homo, lapis : quæ etiam simpliciter prædicativa dicitur, ut quæ de re quoquo modo prædicetur et dicatur.

3. Hæc (igitur) quæ simpliciter prædicativa (vox) dicitur, aut particularis est, aut universalis. Et particularis quidem est, quæ de individuis assumitur, de quibus philosophi non disserunt propterea quod ipsa infinita exsistant.

4. Ea autem quæ simpliciter prædicativa universalis vox est, aut essentialiter prædicatur de quibus prædicatur, aut in modum adjunctorum essentiæ.

5. Et siquidem essentialiter prædicatur, aut multis naturis congruit, aut uni.

6. 78 Et cum quidem multis naturis congruit, aut in quid est prædicatur, et efficit genus ; aut in quale quid est, et facit differentiam.



OCR ABK/FR

A 7. Sin autem uni naturæ congruit, aut in quid est prædicatur et speciem facit: aut in quale quid est, et facit proprium essentiale.

8. Et ita quidem se habet vox universalis quæ essentialiter prædicatur. Quæ autem in modum adjunctorum essentiæ prædicatur, ipsa quoque aut uni naturæ congruit, aut multis. Et si quidem uni naturæ congruit, proprium facit adjunctum essentiæ: constat quippe de eo, quod etiam in quale quid est prædicetur. In iis enim quæ essentiæ adjuncta sunt, ipsum quid est nullum locum habet. Si autem multis naturis congruit, efficit accidens.

9. Et si quidem in tale quid est prædicatur, inseparabile facit accidens. Sin vero, quomodo aliquid se habeat, separabile facit accidens.

B 10. Hinc igitur voces universales simpliciter prædicativæ, sive significativæ quinque colliguntur: genus, differentia, species, proprium et accidens. Et de his apud philosophos sermo est.

**79** 11. Genus quidem igitur prius est differentia, quia differentias continet. Etenim animal, cum genus sit, rationale et irrationale in seipso continet.

12. Differentia autem præcedit speciem, quandoquidem specie est universalior. Rationale enim homine est universalius. Non enim de homine tantum, sed etiam de angelo effertur.

13. Species autem præcedit proprium, quandoquidem species quidem duntaxat essentialis est, C proprium vero etiam essentiæ adjunctum. Essentialia autem adjunctis essentiæ honoratiora sunt. Illa enim cum adsunt quidem, speciem conservant; cum vero absunt, corrumpunt eam. At essentiæ adjuncta, neque cum adsunt, conservant; neque cum absunt, corrumpunt (speciem). Et vero alio modo speciem oportet priorem esse et sic habere proprium quod aliis speciebus sit incommunicabile.

14. Proprium autem accidente prius est: quandoquidem accidens tantum essentiæ adjunctum est, proprium autem et essentiale et essentiæ adjunctum est.

15. Sed ipsum etiam essentiæ adjunctum proprium accidente est honoratius. Illud enim animalis quædam facultas **80** est quæ interius conside- D ratur et speciem designat seu certa quadam nota insignit. Soli enim speciei et omni et semper inest: unde etiam convertitur. Si quid enim homo est, risibile est: et si quid risibile est, homo est. Accidens autem extrinsecus circa corpus, et in ipsa magis est superficie, nec etiam soli speciei inest, ut eam ab aliis speciebus discernat. Etenim cygnus quidem albus est, sed non etiam convertitur: quandoquidem non si quid album, hoc jam etiam cygnus est. Multa enim præter cygnum animalia volatilia conspeximus alba et magis in oris maritimis. Sed et nix et gypsum et alia multa quæ alba sunt,

A ζʹ. Εἰ δὲ μιᾷ φύσει ἁρμόζει, ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται καὶ ποιεῖ τὸ εἶδος· ἢ ἐν τῷ ὁποῖόν τί ἐστι καὶ ποιεῖ τὸ οὐσιῶδες ἴδιον.

ηʹ. Καὶ οὕτω μὲν ἡ οὐσιωδῶς κατηγορουμένη καθόλου φωνή. Ἡ δ' ἐπουσιωδῶς κατηγορουμένη ἢ μιᾷ φύσει ἁρμόζει καὶ αὕτη ἢ πολλαῖς. Καὶ εἰ μὲν μιᾷ φύσει ἁρμόζει, ποιεῖ τὸ ἐπουσιῶδες ἴδιον· δῆλον δ' ὅτι καὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται. Ἐπὶ γὰρ τῶν ἐπουσιωδῶν οὐδεμίαν χώραν ἔχει τὸ τί ἐστιν. Εἰ δὲ πολλαῖς φύσεσιν ἁρμόζει, ποιεῖ τὸ συμβεβηκός.

θʹ. Καὶ εἰ μὲν ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται, ποιεῖ τὸ ἀχώριστον συμβεβηκός. Εἰ δ' ἐν τῷ πῶς ἔχον ἐστὶ, ποιεῖ τὸ χωριστὸν συμβεβηκός.

B ιʹ. Συνάγονται τοίνυν ἐντεῦθεν καθόλου φωναὶ κατηγορικαὶ ἁπλῶς ἤτοι σημαντικαὶ πέντε· γένος, διαφορὰ, εἶδος, ἴδιον καὶ συμβεβηκός· (καὶ) περὶ τούτων παρὰ τοῖς φιλοσόφοις ὁ λόγος.

ιαʹ. Τὸ μὲν οὖν γένος προτερεύει τῆς διαφορᾶς, ὅτι περιεκτικόν ἐστι τῶν διαφορῶν. Τὸ γὰρ ζῶον, γένος ὂν, περιέχει ἐν ἑαυτῷ τὸ λογικὸν καὶ τὸ ἄλογον.

ιβʹ. Ἡ διαφορὰ δὲ προτερεύει τοῦ εἴδους, ἐπεὶ καθολικωτέρα τοῦ εἴδους ἐστί. Καὶ γὰρ τὸ λογικὸν καθολικώτερόν ἐστι τοῦ ἀνθρώπου. Φέρεται γὰρ οὐ κατὰ τοῦ ἀνθρώπου μόνον, ἀλλὰ καὶ κατὰ τοῦ ἀγγέλου.

ιγʹ. Τὸ δὲ εἶδος προτερεύει τοῦ ἰδίου· ἐπειδὴ τὸ C μὲν εἶδος μόνον οὐσιῶδές ἐστι, τὸ δὲ ἴδιον καὶ ἐπουσιῶδες. Τὰ οὐσιώδη δὲ καὶ ἐπουσιωδῶν τιμιώτερα. Ταῦτα γὰρ παρόντα μὲν σώζουσι τὸ εἶδος, ἀπόντα δὲ φθείρουσιν αὐτό. Τὰ δὲ ἐπουσιώδη οὔτε παρόντα σώζουσιν, οὔτε ἀπόντα φθείρουσι. Καὶ ἄλλως δὲ δεῖ πρότερον εἶναι τὸ εἶδος καὶ οὕτως ἔχειν τὸ ἴδιον εἴδεσιν ἄλλοις ἀμέθεκτον.

ιδʹ. Τὸ δὲ ἴδιον προτερεύει τοῦ συμβεβηκότος· ἐπειδὴ τὸ μὲν συμβεβηκὸς μόνον ἐπουσιῶδές ἐστι, τὸ δὲ ἴδιον καὶ οὐσιῶδες καὶ ἐπουσιῶδες.

ιεʹ. Ἀλλὰ δὲ αὐτὸ τὸ ἐπουσιῶδες ἴδιον τιμιώτερόν ἐστι τοῦ συμβεβηκότος. Τὸ μὲν γὰρ ψυχική τίς D ἐστι δύναμις ἐντὸς θεωρουμένη καὶ τὸ εἶδος χαρακτηρίζουσα. Μόνῳ γὰρ ὑπάρχει τῷ εἴδει καὶ παντὶ καὶ ἀεί· ὅθεν καὶ ἀντιστρέφει. Καὶ γὰρ εἴ τι ἄνθρωπος, γελαστικόν· καὶ εἴ τι γελαστικὸν, ἄνθρωπος. Τὸ δὲ συμβεβηκὸς ἐκτός ἐστι περὶ τὸ σῶμα, καὶ πρὸς αὐτὴν μᾶλλον τὴν ἐπιφάνειαν, καὶ οὐδὲ μόνῳ τῷ εἴδει ὑπάρχει, ἵνα διαχωρίσῃ αὐτὸ τῶν ἄλλων εἰδῶν. Καὶ γὰρ λευκὸς μὲν ὁ κύκνος ἐστὶν, οὐ μὴν δὲ καὶ ἀντιστρέφει· ἐπείπερ οὐκ εἴ τι λευκὸν, τοῦτο ἤδη καὶ κύκνος. Πολλὰ γὰρ παρὰ τὸν κύκνον πτηνὰ ζῶα κατείδομεν λευκὰ καὶ μᾶλλον ἐν τοῖς αἰγιαλοῖς. Ἀλλὰ καὶ ἡ χιὼν, καὶ ἡ τίτανος, καὶ ἄλλα πολλὰ λευκὰ ὄντα, οὐκ εἰσὶ κύκνοι. Καὶ

OCR ABK / FR

κατὰ τοῦτον οὖν τὸν λόγον εἰκότως καὶ τὸ ἐπουσιῶδες A ἴδιον προτέτακται τοῦ συμβεβηκότος.

ιϛ'. Τὸ δὲ συμβεβηκὸς τὴν ἐσχάτην εἴληχε τάξιν.

ιζ'. Τὸ μὲν οὖν γένος, ἡ διαφορὰ καὶ τὸ εἶδος, οὐσιώδη πάντοτέ εἰσι, τὸ δὲ συμβεβηκὸς ἐπουσιῶδες ἀεί. Τὸ δέ γε ἴδιον ἐπαμφοτερίζει.

ιη'. Καὶ τὰ πολλὰ μὲν ἐπουσιῶδές ἐστιν· εὑρίσκεται δέ που καὶ οὐσιῶδες· οἷον ἐν τῷ ἀνθρώπῳ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικόν. Οὐ γάρ ἐστι τοῦτο διαφορά. Κατὰ πλειόνων γὰρ εἰδῶν, οὐ καθ' ἑνὸς ἡ διαφορά. Τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν ἰδίως μόνῳ τῷ ἀνθρώπῳ ὑπάρχει· μόνος γὰρ ὁ ἄνθρωπος δέχεται τὸν θύραθεν νοῦν τὸν ἐκ τῆς μαθήσεως, καὶ B μόνος τὰς ἐπιστήμας διδάσκεται.

ιθ'. Λέγεται δὲ οὐσιῶδες (καὶ) τὸ τοιοῦτον ἴδιον, ὅτι καὶ παρὸν σώζει τὸ εἶδος· ὁ γὰρ ἄνθρωπος τοῦτο ὅλον ἐστὶ ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· καὶ ἀπὸν φθείρει. Εἰ μὴ γὰρ ὑπάρχει νοῦ καὶ ἐπιστήμης δεκτικὸν, οὐκ ἔσται ἄνθρωπος. Ἐπεὶ γοῦν τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν καὶ παρὸν σώζει τὸν ἄνθρωπον, καὶ ἀπὸν φθείρει, λέγεται δὲ καὶ καθ' ἑνὸς εἴδους μόνου τοῦ ἀνθρωπείου καὶ ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορεῖται· διὰ ταῦτα οὐσιῶδες ἴδιον εἴρηται.

κ'. Τὸ δὲ γελαστικὸν ἴδιον τοῦ ἀνθρώπου ἐπουσιῶδές ἐστι. Παρὸν μὲν γὰρ οὐ σώζει· καὶ γὰρ οὐ C χρήζομεν τοῦ γελαστικοῦ πρὸς συμπλήρωσιν τῆς φύσεως ἡμῶν· τοῦ δέ γε νοῦ καὶ ἐπιστήμης δεκτικοῦ χρήζομεν διὰ τὴν ἔξωθεν γνῶσιν καὶ τὰς ἐπιστήμας, ὡς εἴρηται· ἀπὸν δὲ πάλιν τὸ τοιοῦτον ἐπουσιῶδες ἴδιον οὐ φθείρει. Δύναται γὰρ καὶ μὴ ἔχων τὸ γελαστικὸν ὁ ἄνθρωπος οὐδὲν ἧττον εἶναι ἄνθρωπος· μὴ ἔχων δὲ καὶ τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν οὐ δύναται εἶναι ἄνθρωπος, μήτε γνῶσιν, μήτε ἐπιστήμην δυνάμενος δέξασθαι.

κα'. Παραλαμβάνονται δὲ καὶ τὰ ἴδια ἐν τοῖς ὁρισμοῖς, χαρακτηριστικὰ τυγχάνοντα τῶν εἰδῶν.

κβ'. Καὶ ὅπου μὲν ἔστιν οὐσιῶδες ἴδιον, τοῦ ἐπουσιώδους προκρίνεται (χαρακτηρίζειν γὰρ μᾶλλον D δύναται), καὶ εἰς τὸν ὁρισμὸν τοῦτο παραλαμβάνεται· ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου. Λέγομεν γὰρ, Ἄνθρωπός ἐστι ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· καὶ οὐ λέγομεν γελαστικόν.

κγ'. Ὅπου δὲ οὐσιῶδες ἴδιον οὐχ εὑρίσκεται, τὸ ἐπουσιῶδες εἰσάγεται, ὡς ἐπὶ τοῦ ἵππου. Λέγομεν γὰρ, Ἵππος ἐστὶ ζῶον ἄλογον, τετράπουν, χρεμετιστικόν. Καὶ ἔστι τὸ χρεμετιστικὸν ἴδιον ἐπουσιῶδες τοῦ ἵππου.

κδ'. Ἐν μὲν οὖν τοῖς ἄλλοις ζώοις ἐπουσιῶδες

cygni non sunt. Et quoad hanc igitur rationem proprium etiam essentiæ adjunctum accidenti præpositum est.

16. Accidens autem postremum ordinem sortitum est.

17. Proin genus quidem differentia et species semper sunt essentialia; accidens vero semper essentiæ; adjunctum est: proprium denique utriusque naturæ est particeps.

18. Et quidem ut plurimum adjunctum est essentiæ; reperitur autem alicubi etiam essentiale, velut in homine intelligentiæ et scientiæ capax **81** Nec enim hoc differentia est. Differentia namque de pluribus speciebus, non de una (prædicatur). Atqui τὸ intelligentiæ et scientiæ capax proprie soli homini inest. Solus enim homo intelligentiam, quæ forinsecus eu institutione est, recipit, et solus scientias docetur.

19. Dicitur autem (etiam) hoc proprium essentiale: quod etenim adest, conservat speciem (homo enim totum, hoc est animal rationale, mortale, intelligentiæ et scientiæ capax), et cum abest, corrumpi. Nisi enim intelligentiæ et scienciæ capax exsistat, non erit homo. Quoniam igitur τὸ intelligentiæ et scientiæ capax et cum adest, conservat hominem, et cum abest, corrumpit, de una autem etiam sola humana specie dicitur et in quale quid est prædicatur: propterera essentiale proprium dictum est.

20. Risibile autem proprium hominis est essentiæ adjunctum. Cum enim adest quidem, non conservat speciem (neque enim indigemus risibili ad completionem naturæ nostræ. At ejus quod est intelligentiæ et scientiæ capax indigemus propter extrinsecus (advenientem) notitiam et scientias, ut dictum est); **82** iterum autem cum abest ejusmodi proprium essentiæ adjunctum, non corrumpit (speciem). Potest enim homo, etiamsi non habeat τὸ risibile, nihilominus esse homo. At si τὸ intelligentiæ et scientiæ capax non habeat, non potest esse homo, ut qui neque notitiam neque scientiam recipere possit.

21 Assumuntur porro etiam propria in definitionibus ut quæ species certo aliquo charactere seu nota insigniendi vim habeant.

22. Ac ubi quidem essentiale est proprium, ei quod essentiæ adjunctum est præfertur (magis enim species charactere insignire potest), ideoque in definitionem assumitur: quemadmodum in homine. Dicimus enim. Homo est animal rationale, mortale, intelligentiæ et scientiæ capax: nec dicimus risibile.

23. Ubi autem essentiale proprium non reperitur, id quod essentiæ adjunctum est, substituitur, ut in equo. Dicimus enim. Equus est animal irrationale, quadrupes, hinniendi facultate præditum. Estque τὸ hinniendi facultatem habens, proprium quod essentiæ equi adjunctum est.

24. Itaque in cæteris quidem animalibus proprium

OCR ABK / FR

duntaxat essentiæ adjunctum est. Homo autem **83** quoniam et irrationalem naturam vitamque participat, et animam rationalem præ omnibus animalibus singularem habet, propterea duplex proprium habet : τὸ risibile quidem, quod cum brutis communicat ; τὸ intelligentiæ vero et scientiæ capax, quod intellectualis et rationalis est, et modo quodam cum angelis conjungitur et angelus est cum corpore.

A μόνον τὸ ἴδιον· ὁ δὲ ἄνθρωπος, ἐπεὶ καὶ τῆς ἀλόγου μετέχει φύσεως καὶ ζωῆς, καὶ τὴν λογικὴν ψυχὴν ἐξαίρετον ἔχει παρὰ πάντα τὰ ζῶα, διὰ τοῦτο διττὸν φέρει τὸ ἴδιον· τὸ μὲν γελαστικὸν, ὡς κοινωνῶν τοῖς ἀλόγοις· τὸ δὲ νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ὡς νοερός τε καὶ λογικὸς, καὶ τοῖς ἀγγέλοις τρόπον τινὰ συναπτόμενος καὶ ἄγγελος ὢν μετὰ σώματος.

Σχῆμα κεφαλ. θ', Περὶ τῶν πέντε φωνῶν.

Ἡ φωνὴ
- ἢ ἔναρθρος
  - ἢ σημαντική
    - ἢ καθόλου
      - ἢ οὐσιώδης
        - ἢ πολλαῖς φύσεσιν ὑπάρχει
          - ἢ ἐν τῷ τί ἐστι κατηγορεῖται, καὶ ποιεῖ τὸ γένος·
          - ἢ ἐν τῷ ὁποιόν τί ἐστι, καὶ ποιεῖ τὴν διαφοράν·
        - ἢ μιᾷ
          - ἢ ἐν τῷ τί ἐστι, καὶ ποιεῖ τὸ εἶδος·
          - ἢ ἐν τῷ ὁποῖόν τί ἐστι, καὶ ποιεῖ τὸ οὐσιῶδες ἴδιον·
      - ἢ ἐπουσιώδης
        - ἢ μιᾷ φύσει ἁρμόζει, καὶ ποιεῖ τὸ ἐπουσιῶδες ἴδιον·
        - ἢ πολλαῖς, καὶ ποιεῖ τὸ συμβεβηκός.
    - ἢ μερική
  - ἢ ἄσημος
- ἢ ἄναρθρος

---

**84** *Tabula capitis 9. De quinque vocibus.*

Vox
- aut articulata
  - aut significativa
    - aut universalis
      - aut essentialis
        - aut multis naturis congruit : (et)
          - aut in quid est prædicatur et facit genus,
          - aut in quale quid est prædicatur et facit differentiam.
        - aut uni (naturæ congruit, et)
          - aut in quid est (prædicatur) et facit speciem,
          - aut in quale quid est et facit essentiale proprium.
      - aut essentiæ adjuncta
        - aut uni naturæ congruit et facit proprium essentiæ adjunctum,
        - aut multis (naturis congruit) et facit accidens,
    - aut particularis (ut Petrus, Paulus),
  - aut non significativa (ut blityri, scindapsus),
- aut inarticulata (ut latratus canum, mugitus boum).

---

## **85** SYNOPSIS CAPITIS X.

### QUOD EST DE GENERE ET SPECIE ; UBI ETIAM DE SCHESI SEU HABITUDINE.

1. *Generis ut vocabuli homonymi diversa significata recenset, quorum hoc primum est.* — 2. *Secundum significatum.* — 3. *Incidenter homonymiam vocabuli Judæorum exponit.* — 4. *Tertium significatum, quo accipitur apud logicos.* — 5. *Genus quomodo hic accipiatur definit.* — 6. *Speciei etiam ut vocabuli homonymi significatum prius exponit.* — 7. *Posterius, quo speciem definit.* — 8. *Ostendit genus et speciem relata esse, et naturalem relationem habere.* — 9. *Hac occasione relationem facit quadruplicem.* — 10. *Probat etiam genus et speciem quoad naturam referri ad se invicem.* — 11. *Analogia Adami, Abelis, Sethi. Divisionem generis in summum et subalternum, itemque speciei in subalternam et infimam instituit.* — 12. *Analogiam accommodat, et primum summa genera, dein species infimas, ac denique genera subalterna et species subalternas describit.* — 13. *Rationem reddit quare genera subalterna sic vocentur.* — 14. *Omnia exemplis declarat in substantiæ divisionibus.* — **86** 15. *Docet hominem uti speciem specialissimam et respectu generis sui et respectu individuorum suorum genus non esse, sed saltem speciem.* — 16. *Et ab absurdo probat hominem uti*

OCR ABK / FR

*speciem specialissimam suorum individuorum genus non esse, sed saltem speciem.* — 17. *Declarat individua suarum specierum itemque species suorum generum et omnino subalterna genera superiorum usque ad supremum adeoque omnia inferiora superiorum, et nomen et definitionem recipere, sed superiora inferiorum non item.* — 18. *Species item inter se invicem collatas neque nomine neque definitione communicare.* — 19. *Sed communis generis et nomen definitionem ex æquo accipere.*

---

## ΚΕΦΑΛ. Ι'.

### Περὶ γένους καὶ εἴδους, ἐν ᾧ καὶ περὶ σχέσεως.

α'. Τὰ σημαινόμενα τοῦ γένους ὑπάρχει διάφορα. Γένος γὰρ λέγεται καὶ ἡ ἑκάστου τῆς γενέσεως ἀρχὴ, εἴτε ἀπὸ τοῦ τεκόντος, εἴτε ἀπὸ τῆς πατρίδος· ἀπὸ μὲν τοῦ τεκόντος, ὡς ὅταν εἴπωμεν, τὸν Ἰούδαν ἐκ τοῦ Ἰσραὴλ ἔχειν τὸ γένος ἢ ἐκ τοῦ Ἀβραάμ. Ἀπὸ δὲ τῆς πατρίδος, ὡς ὅταν λέγωμεν τὸν Παῦλον Ταρσέα εἶναι τὸ γένος. Ἐκεῖ μὲν γὰρ τὸ γένος εἴτουν ἡ ἀρχὴ τῆς γενέσεως ὁ Ἀβραὰμ καὶ ὁ Ἰσραὴλ, ἐνταῦθα δὲ πάλιν γένος καὶ ἀρχὴ γενέσεως ἡ Ταρσός. Διττὴ τοίνυν ἡ τῆς γενέσεως ἀρχὴ, φυσική τε καὶ τοπική· φυσικὴ μὲν ἡ ἐκ τοῦ τεκόντος, τοπικὴ δὲ ἡ ἐκ τῆς πατρίδος.

β'. Λέγεται γένος καὶ αὐτὸ τὸ πλῆθος τῶν ἀπὸ μιᾶς ἀρχῆς, καθὸ σχέσεως ἔχουσι πρός τε τὴν πρώτην ἀρχὴν καὶ πρὸς ἀλλήλους αὐτούς· ὡς ὅταν λέγωμεν τὸ γένος τῶν Ἰουδαίων. Καὶ γὰρ οἱ Ἰουδαῖοι σχέσιν ἔχουσι καὶ πρὸς τὴν πρώτην ἀρχὴν τῆς γενέσεως, ἤγουν τὸν Ἰούδαν, ἐξ οὗ κατάγονται, καὶ πρὸς ἀλλήλους τὴν τῆς συγγενείας.

γ'. Ἐκλήθησαν δὲ πρώτως καὶ κυρίως οἱ Ἰουδαῖοι οἱ ἐκ τοῦ Ἰούδα κατὰ ἀποτομὴν τῶν ἀπὸ τῶν ἄλλων κεκλημένων γενῶν, ἤγουν τῶν Λευϊτῶν, τῶν Βενιαμιτῶν, καὶ τῶν λοιπῶν φυλῶν· ὕστερον δὲ καὶ τὸ ἅπαν ἔθνος τῶν Ἑβραίων Ἰουδαῖοι κατονομάζονται διὰ τὸ τῆς Ἰούδα φυλῆς ἐπίσημον καὶ βασιλικόν.

δ'. Ἄλλως δὲ λέγεται γένος, ᾧ ὑποτάσσεται τὸ εἶδος, καθ' ὁμοιότητα τῶν εἰρημένων γενῶν. Ἀρχή τε γάρ ἐστι τὸ τοιοῦτον γένος τῶν ὑφ' ἑαυτὸ, καὶ περιέχει καὶ πάν τὸ πλῆθος τῶν ὑπ' αὐτό.

ε'. Τριχῶς οὖν τοῦ γένους λεγομένου, περὶ τοῦ τρίτου τοῖς φιλοσόφοις ὁ λόγος ὃ καὶ ὑπογράφοντες λέγουσι· Γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον.

ς'. Καὶ τὸ εἶδος δὲ οὐχ ἕν τι δηλοῖ· λέγεται γὰρ τὸ εἶδος καὶ ἐπὶ τῆς ἑκάστου μορφῆς, καθὸ λέγομεν εὐειδεῖς ἀνθρώπους καὶ δυσειδεῖς· οἷον ὁ Νιρεὺς εὐειδὴς, ὁ Θερσίτης δὲ δυσειδής. Καὶ τὸ εἶδος τοῦ ἀνδριάντος τοιόνδε.

ζ'. Λέγεται εἶδος καὶ τὸ τασσόμενον ὑπὸ τὸ γένος καὶ οὗ κατηγορεῖται τὸ γένος ἐν τῷ τί ἐστι. Περὶ τούτου τοῖς φιλοσόφοις ὁ λόγος.

η'. Ἐπεὶ δὲ τὸ γένος ἀποδιδόντες τοῦ εἴδους ἐμνήσθημεν, εἰπόντες· Γένος ἐστὶ τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον, καὶ τὸ εἶδος ὑπογράφοντες, καὶ περὶ τοῦ γένους διαλαμβάνομεν· Εἶδός ἐστι, λέγοντες, τὸ τασσόμενον ὑπὸ τὸ γένος καὶ οὗ κατηγορεῖται τὸ γένος ἐν τῷ τί ἐστι· χρὴ γινώσκειν, ὅτι καθάπερ ἐν τῷ

## CAPUT X.

### *De genere et specie, ubi etiam de schesi*

1. Significata generis diversa sunt. Genus enim dicitur etiam generationis cujusque principium, sive ab eo qui genuit, sive a patria. Ab eo quidem qui genuit, ut cum dixerimus, Judam habere genus ex Israel aut ex Abraham. A patria vero, ut cum dicimus Paulum genere Tarsensem esse. Etenim ibi quidem genus sive generationis principium est Abraham et Israel, hic autem rursum Tarsus genus et principium generationis est. Duplex igitur generationis est principium, naturale et locale; naturale quidem quod a genitore, locale quod a patria est.

2. Dicitur genus etiam ipsa multitudo eorum qui ab uno sunt principio, quatenus et ad primum principium et ad se invicem **87** schesin seu respectum habent: ut cum genus Judæorum dicimus, Judæi enim et ad primum principium ortus, nempe Judam, a quo deducuntur; et ad se invicem schesin habent, eam quæ in cognatione consistit.

3. Cæterum primo et proprie Judæi vocati sunt, qui ex Juda sunt, ut sejungerentur a generibus quæ ab aliis denominata sunt, a Levitis, Benjaminitis, et cæteris tribubus. Deinde vero etiam universa gens Hebræorum Judæi cognominati sunt, propter tribus Juda celebritatem et dignitatem.

4. Alio autem modo dicitur genus, cui subjicitur species, forte secundum similitudinem generum quæ dicta sunt. Ejusmodi enim genus et principium est eorum quæ sub se sunt, et universam etiam multitudinem continet eorum quæ sub ipso sunt.

5. Cum igitur genus tribus modis dicatur, de tertio apud philosophos sermo est, quod etiam describentes dicunt: Genus est quod de multis et differentibus specie in quid est prædicatur.

6. Et vero etiam species non unum aliquid declarat. Etenim species etiam de cujusque rei forma dicitur, quatenus formosos et deformes homines dicimus, veluti Nireus **88** formosus, Thersites autem deformis: et forma statuæ, tale quid est.

7. Dicitur species etiam quod sub genere collocatur et de quo genus in quid est prædicatur. De hoc philosophis sermo est.

8. Quoniam autem genus definientes speciei mentionem fecimus, cum diximus; Genus est quod de pluribus et differentibus in quod est prædicatur, speciemque describentes etiam de genere disserimus; dicentes: Species est quæ sub genere collocatur, et de qua genus in quid est prædicatur; sciendum est quod quemadmodum in oratione de

OCR ABK / FR

patre etiam filius inducitur et vicissim pater in oratione de filio (pater enim est qui filium habet, et filius qui patrem habet), eodem modo etiam in oratione de genere etiam species, et in oratione de specie genus infertur. Genus enim speciei est genus, et species generis est species. Schesin enim ad se invicem naturalem habent.

9. Quatuor autem modis schesis dicitur : aut secundum artem, ut magistri et discipuli, aut secundum fortunam, ut domini et servi, aut secundum electionem, ut amici ad amicum, aut secundum naturam, ut patris et filii, et generis ac speciei.

10. **89** Quemadmodum enim Pater filii est causa, filius autem (si ita liceat loqui) causatus seu effectus ; sic etiam genera propriarum specierum causæ, species autem causata seu effecta sunt.

11. Quemadmodum autem primus homo, nempe Adam, pater quidem dicitur, propter quod filios habuit ; filius autem non dicitur, cum patrem non habuerit : Abel vero filius quidem dicitur, propterea quod a patre Adam genitus est ; pater autem non dicitur quandoquidem filium non genuit ; Seth denique et pater dicitur et filius ; pater quidem ut qui filium genuerit ; filius vero ut qui ex patre Adam sit genitus : ita sane etiam in generibus et speciebus deprehendere id licet.

12. Sunt enim prima quædam et suprema genera, quæ supra se aliud genus non habent. Hæc vocantur generalissima. Genus enim generalissimum, quod cum genus sit non est species, et supra quod aliud aliquod transcendens genus non fuerit. Sunt autem etiam species quædam ultimæ et infinitæ, quæ alias species non habent, quæ ex ipsis dividantur. Hæ vocantur species specialissimæ. Species **90** specialissima est, quæ cum species sit non est genus : et quam cum species sit, in species amplius dividere non possumus : (et) quæ de pluribus ac differentibus numero in quid est prædicatur. Sunt autem (etiam) alia extremorum media quæ eadem species sunt et genera ; antecedentium quidem species, consequentium autem genera.

13. Dicuntur vero hæc media, genera subalterna ; non quod de quolibet quodlibet efferatur, ejusdemque idem sit et genus et species ; sed quod genus sub alio genere finiat, et rursus hoc sub alio, ac inter se invicem commune habeant, ut veluti species subjiciantur, quamvis sint genera.

14. Veluti substantia primum et generalissimum est genus. Sub substantia, corpus. Dividitur enim substantia in corpus et incorporeum. Sub corpore animatum corpus. Rursus sub hoc sentiens ; sub quo animal : sub animali vero, animal ratione præditum, sub quo Petrus, Paulus, et reliqui particulares homines, qui omnes individua nominantur. Substantia quidem igitur genus est, ut dictum est, generalissimum, quod non habeat aliud genus quod ipsam transcendant : homo **91** autem species est specialissima, quod aliam speciem quæ infra se descendat, non habeat, quæ porro media sunt inter

A περὶ τοῦ πατρὸς λόγῳ καὶ ὁ υἱὸς συνεισάγεται, καὶ ὁ πατὴρ πάλιν ἐν τῷ περὶ τοῦ υἱοῦ, πατὴρ γάρ ἐστιν ὁ ἔχων, υἱὸν, καὶ ὁ υἱὸς ὁ ἔχων πατέρα· τὸν αὐτὸν τρόπον κἀν τῷ περὶ γένους λόγῳ καὶ τὸ εἶδος εἰσφέρεται, κἀν τῷ περὶ εἴδους τὸ γένος. Τὸ γὰρ γένος εἴδους ἐστὶ γένος, καὶ τὸ εἶδος γένους ἐστὶν εἶδος. Σχέσιν γὰρ ἔχουσι πρὸς ἄλληλα φυσικήν.

θ'. Λέγεται δὲ ἡ σχέσις τετραχῶς· ἢ κατὰ τέχνην, ὥσπερ διδασκάλου καὶ μαθητοῦ· ἢ κατὰ τύχην, ὡς δεσπότου καὶ δούλου· ἢ κατὰ προαίρεσιν, ὡς φίλου πρὸς φίλον· ἢ κατὰ φύσιν, ὡς πατρὸς καὶ υἱοῦ, καὶ γένους καὶ εἴδους.

ι'. Ὥσπερ γὰρ ὁ πατὴρ αἴτιός ἐστι τοῦ υἱοῦ, ὁ δὲ υἱὸς αἰτιατός· οὕτω καὶ τὰ γένη τῶν οἰκείων εἰδῶν αἴτιά εἰσι, τὰ δὲ εἴδη αἰτιατά.

B

ια'. Ὥσπερ δὲ ὁ πρῶτος ἄνθρωπος, ἤγουν ὁ Ἀδὰμ, πατὴρ μὲν λέγεται, διότι ἔσχεν υἱούς· υἱὸς δὲ οὐ λέγεται πατέρα μὴ σχών· ὁ δὲ Ἄβελ υἱὸς μὲν λέγεται, διότι γεγέννηται παρὰ πατρὸς τοῦ Ἀδάμ· οὐ λέγεται δὲ πατὴρ, ἐπείπερ υἱὸν οὐκ ἐγέννησεν· ὁ δέ (γε) Σὴθ καὶ πατὴρ λέγεται καὶ υἱὸς, πατὴρ μὲν ὡς γεννήσας υἱὸν τὸν Ἐνὼς, υἱὸς δὲ, ὡς γεννηθεὶς ἐκ τοῦ πατρὸς τοῦ Ἀδάμ· οὕτω δὴ καὶ ἐπὶ τῶν γενῶν καὶ τῶν εἰδῶν ἔστιν εὑρεῖν.

ιβ'. Εἰσὶ γάρ τινα γένη πρώτιστα καὶ ἀνώτατα, μὴ ἔχοντα ἐπάνω αὐτῶν ἕτερον γένος· ταῦτα καλοῦνται γενικώτατα γένη. Γενικώτατον γὰρ γένος ἐστὶν, ὃ γένος ὂν οὐκ ἔστιν εἶδος, καὶ ὑπὲρ ὃ οὐκ ἂν εἴη ἄλλο τι ἐπαναβεβηκὸς γένος. Εἰσὶ δὲ καί τινα C εἴδη ἔσχατα καὶ κατώτατα, μὴ ἔχοντα ἕτερα εἴδη, ἐξ αὐτῶν διαιρούμενα. Ταῦτα ὀνομάζεται εἰδικώτατα εἴδη. Εἰδικώτατον γὰρ εἶδός ἐστιν, ὅπερ εἶδος ὂν οὐκ ἔστι γένος· καὶ ὃ εἶδος ὂν οὐκ ἂν διελοίμεθα εἰς εἴδη ἔτι, (καὶ) τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον. Εἰσὶ δὲ (καὶ) ἄλλα μέσα τῶν ἄκρων εἴδη καὶ γένη τὰ αὐτά· εἴδη μὲν τῶν πρὸ αὐτῶν, γένη καὶ τῶν μετ' αὐτά.

ιγ'. Λέγεται δὲ ταῦτα τὰ μέσα γένη ὑπάλληλα· οὐχ ὅτι ἕκαστον ἐφ' ἕκαστον φέρεται καὶ τοῦ αὐτοῦ τὸ αὐτὸ γένος καὶ εἶδός ἐστιν· ἀλλ' ὅτι γένος ὑπ' ἄλλο γένος τελεῖ, κἀκεῖνο ὑφ' ἕτερον, καὶ ἔχουσιν ἄλληλα κοινὸν τὸ ὑποκεῖσθαι ὡς εἴδη καὶ γένη D ὄντα.

ιδ'. Οἷον ἡ οὐσία πρώτιστόν ἐστι γένος καὶ γενικώτατον. Ὑπὸ (γὰρ) τὴν οὐσίαν τὸ σῶμα. Διαιρεῖται γὰρ ἡ οὐσία εἰς σῶμα καὶ ἀσώματον. Ὑπὸ (δὲ) τὸ σῶμα τὸ ἔμψυχον σῶμα· ὑπ' αὐτὸ πάλιν τὸ αἰσθητικόν· ὑφ' ὃ τὸ ζῶον· ὑπὸ τὸ ζῶον δὲ τὸ λογικὸν ζῶον, ὁ ἄνθρωπος· ὑφ' ὃ ὁ Πέτρος, ὁ Παῦλος καὶ οἱ λοιποὶ κατὰ μέρος ἄνθρωποι, οἵτινες ὀνομάζονται πάντες ἄτομα. Ἡ μὲν οὖν οὐσία γένος ἐστὶν, ὡς εἴρηται, γενικώτατον, διὰ τὸ μὴ ἔχειν ἕτερον γένος ταύτην ἐπαναβεβηκός· ὁ δὲ ἄνθρωπος εἶδός ἐστιν εἰδικώτατον, διὰ τὸ μὴ ἔχειν ἕτερον εἶδος ὑποβεβηκός· τὸ δὲ μέσον τῆς οὐσίας καὶ τοῦ ἀνθρώπου,

OCR ABK / FR

καὶ γένη καὶ εἴδη εἰσὶ τὰ αὐτά· τῶν μετ' αὐτὰ A γένη, τῶν πρὸ αὐτῶν εἴδη. Τὸ γὰρ σῶμα τῆς μὲν οὐσίας εἶδος, τοῦ δὲ ἐμψύχου σώματος γένος· ἔχει γὰρ τὸ ἁπλῶς σῶμα τεταγμένον ὑφ' ἑαυτὸ τὸ ἔμψυχον σῶμα. Τοῦτο δὴ τὸ ἔμψυχον εἶδος μέν ἐστι τοῦ σώματος, γένος δὲ τοῦ αἰσθητικοῦ· τὸ αἰσθητικὸν εἶδος μὲν τοῦ ἐμψύχου, γένος δὲ τοῦ ζώου· τὸ ζῶον εἶδος μὲν τοῦ αἰσθητικοῦ, γένος δὲ τοῦ λογικοῦ· τὸ δὲ λογικὸν ζῶον, ὁ ἄνθρωπος, εἶδος μὲν τοῦ ζώου, οὐκέτι δὲ γένος τοῦ Πέτρου, καὶ τοῦ Παύλου, καὶ τῶν λοιπῶν ἀτόμων, ἀλλ' εἶδός ἐστι καὶ αὐτῶν.

ιε'. Τοῦ μὲν οὖν ζώου, εἶδος λέγεται, διότι περιέχεται ὑπ' αὐτοῦ, τῶν δὲ ἀτόμων εἶδος, ὅτι περιέχει αὐτά.

B

ιϛ'. Εἰ γὰρ ἦν γένος τῶν ἀτόμων ὁ ἄνθρωπος, εἴδη ἂν ὑπῆρχον τὰ ἄτομα. Πᾶν γὰρ γένος εἰς εἴδη διαιρεῖται· τὰ δὲ εἴδη τεμνόμενα μεταδιδόασι (καὶ) τοῖς ἐξ αὐτῶν καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ. Ὥστε καὶ ὁ Πέτρος, εἰς ψυχὴν καὶ σῶμα τεμνόμενος, μετεδίδου ἂν τοῖς ἐξ αὐτοῦ καὶ τοῦ ὀνόματος καὶ τοῦ ὁρισμοῦ· καὶ ἦν οὕτως ἡ τοῦ Πέτρου ψυχὴ Πέτρος· καὶ τὸ σῶμα πάλιν Πέτρος· καὶ τὸν τοῦ Πέτρου ὅρον, ἀλλὰ δὴ καὶ τὸν τοῦ ἀνθρώπου παρὰ μέρος ἐκληροῦντο ἀμφότεροι. Νῦν δὲ τοῦτο οὐκ ἔστιν. οὐκ ἄρα γένος ὁ ἄνθρωπος, ἀλλ' εἶδος εἰς ἄτομα διαιρούμενον.

ιζ'. Πάντα δὲ τὰ ἄτομα καὶ τὸ ὄνομα καὶ τὸν ὁρισμὸν τῶν οἰκείων εἰδῶν ἀνελλιπῶς ἐπιδέχονται, οὐ μὴν ἀλλὰ καὶ αὐτῶν τῶν γενῶν. Ὡσαύτως δὲ καὶ τὰ εἴδη τῶν γενῶν, καὶ τὰ ὑπάλληλα γένη τῶν C ἀνωτέρω γενῶν ἕως τοῦ γενικωτάτου· καὶ ἁπλῶς εἰπεῖν, τὰ μὲν ὑποκάτω λαμβάνουσι τῶν ἄνω πάντων ἀνελλιπῶς καὶ τὰ ὀνόματα καὶ τοὺς ὁρισμούς· τὰ ἐπάνω τῶν ὑποκάτω οὐδ' ὁπωσοῦν.

ιη'. Ἀλλ' οὐδὲ τὰ εἴδη κοινωνοῦσιν ἀλλήλοις, ἢ κατὰ τοὺς ὅρους, ἢ κατὰ τὰ ὀνόματα. Καὶ γὰρ ὁ ἄνθρωπος οὔποτ' ἂν ἵππος κληθείη, ἢ ὁ ἵππος ἄνθρωπος. Οὔτε δὲ ὁ τοῦ ἵππου ὅρος ἁρμόσει τῷ ἀνθρώπῳ, ἢ ὁ τοῦ ἀνθρώπου τῷ ἵππῳ. Τὸν γὰρ ἄνθρωπον οὐδεὶς εἶναι φαίη ἂν ζῶον ἄλογον, τετράπουν, χρεμετιστικόν· ἢ τὸν ἵππον, ζῶον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν.

ιθ'. Τοῦ δὲ κοινοῦ γένους καὶ τὸ ὄνομα καὶ τὸν ὅρον τὰ εἴδη ἐπίσης λαμβάνουσιν· οὐ τὸ μὲν τῶν εἰδῶν μᾶλλον, τὸ δὲ ἧττον· καὶ γὰρ ὁ ἄνθρωπος καὶ D ὁ ἵππος, κοινὸν γένος ἔχοντες τὸ ζῶον, καὶ ζῶα καλοῦνται ὁμοῦ, καὶ ὁμοίως τὸν τοῦ ζώου κέκτηνται ὁρισμόν. Καὶ ἄμφω γὰρ οὐσίαι εἰσὶν ἔμψυχοι, αἰσθητικαὶ καὶ μεταβατικαί.

substantiam et hominem, eadem et genera sunt et species: consequentium genera, antecedentium species. Corpus enim substantiæ quidem species; animati autem corporis genus est. Simpliciter enim corpus sibi subjectum habet animatum corpus. Hoc porro animatum corporis quidem species, sentientis vero genus est. Sentiens animati quidem species, sed animalis genus est. Animal sentientis quidem species, ratione autem præditi genus est. Denique ratione præditum animal, homo, species quidem animalis, sed non amplius Petri et Pauli et reliquorum individuorum genus est, sed etiam eorumdem est species.

15. Proin animalis quidem species dicitur, quia continetur ab eo; individuorum autem species, quia continet ipsa.

16. Si enim homo individuorum genus esset, individua species essent. Omne enim genus in species dividitur; species autem cum secantur, **92** his quæ ex ipsis sunt et nomen et definitionem impertiunt. Quare Petrus qui in animam et corpus secatur, his quæ ex se sunt et nomen et definitionem impertiret: et sic anima Petri Petrus, et rursum corpus Petrus esset: et Petri definitionem, quin et hominis sigillatim utraque acciperent. Atqui hoc non est; non ergo homo genus est, sed species quæ in individua dividitur.

17. Omnia autem individua et nomen et definitionem propriarum specierum, quin et ipsorum generum sine defectu recipiunt. Eodem vero modo sunt species generum et genera subalterna superiorum generum usque ad generalissimum. Et ut simpliciter dicam, inferiora quidem superiorum omnium et nomina et definitiones absque detractione accipiunt: superiora autem inferiorum nullo modo.

18. Sed neque generum species communicant invicem, vel quoad definitiones, vel quoad nomina. Nunquam enim homo equus vocabitur, aut equus homo. Neque vero etiam equi definitio homini aut hominis equo congruet. Nemo enim hominem animal irrationale, quadrupes, hinniendi facultate præditum; aut equum animal rationale, mortale, intelligentiæ et scientiæ capax dixerit.

19. **93** At vero communis generis et nomen et definitionem species ex æquo accipiunt; non una quidem specierum magis, altera minus. Nam et homo et equus cum genus habeant commune animal, et simul animalia vocantur et simili ratione definitionem animalis obtinent. Ambo enim sunt substantiæ animatæ, sentientes, progressivæ.

Σχῆμα κεφαλ. ι', Περὶ γένους καὶ εἴδους, ἐν ᾧ καὶ περὶ σχέσεως.

Τὸ γένος
- ἡ ἑκάστου τῆς γενέσεως ἀρχή
  - ἢ φυσική, εἴτουν ἀπὸ τοῦ τεκόντος ὡς Ἰσραηλῖται·
  - ἢ τοπική, εἴτουν ἀπὸ τῆς πατρίδος, ὡς Θηβαῖοι.
- ἢ ἀπὸ μιᾶς σχέσεως, ὡς Ἡρακλεῖδαι καὶ Ἰουδαῖοι
- καὶ ᾧ ὑποτάσσεται τὸ εἶδος.

OCR ABK / FR

Τὸ εἶδος { ἡ ἑκάστου μορφή, ὡς δυσειδής τις, ἢ εὐειδής· καὶ οὗ κατηγορεῖται τὸ γένος ἐν τῷ τί ἐστι.

Ἡ σχέσις { φυσική, ὡς πατὴρ, υἱὸς, καὶ γένος καὶ εἶδος· τυχική, ὡς δοῦλος καὶ δεσπότης· τεχνική, ὡς μαθητὴς καὶ διδάσκαλος· καὶ προαιρετική, ὡς φίλος καὶ φίλος.

---

*Tabula capitis* 10. *De genere et specie, ubi etiam de schesi.*

Genus (dicitur) { cujusque generationis principium { aut naturale, sive a genitore, ut Israelitæ, aut locale, sive a patria ut Thebani, aut ab una schesi, ut Heraclidæ et Judæi, et cui species subjicitur.

(Species dicitur) { cujusque forma, ut aliquis deformis aut formosus (dicitur), et de quo genus in quid est prædicatur.

**94** Schesis (est) aut { naturalis, ut pater, filius : et genus ac species, fortuita, ut servus ac dominus, artificialis, ut discipulus et magister, et electitia (seu ex consilio), ut amicus et amicus.

---

## SYNOPSIS CAPITIS XI.

QUOD EST DE GENERE ET SPECIE ; UBI ETIAM DE INDIVIDUIS.

1. *Methodo divisoria generum et specierum naturam ex parte investigat, quod nimirum sint entia incorporea quæ in aliis esse habeant.* — 2. *Ostendit eadem, et ante multa, et in multis, et post multa recte dici diverso tamen respectu.* — 3. *Simili id declarat.* — 4. *Simile applicat, et primum exponit, quomodo genera et species sint et dicantur ante multa, nimirum ut formæ in Deo.* — 5. *Deinde quomodo in multis, quatenus scilicet species in individuis, et genera in speciebus, et his mediantibus in individuis ipsa quoque considerantur.* 6. *Denique quomodo post multa, quatenus nimirum per mentem a singularibus abstrahuntur,et in illa velut in loco intelligibili reponuntur.*— 7. *Excipit omnia quidem genera,sed non omnes etiam species post multa dici posse, idque divisione entis probat,* **95** *quatenus id cum natura tum notitia vel terminatum est vel non est terminatum.* - 8. *Docet genera generalissima et subalterna, terminata esse cum natura tum notitia.* - 9. *Individua contra nec natura nec notitia.*— 10. *Species specialissimas natura quidem terminatas esse, sed non etiam notitia, ut quæ a nobis omnes percipi non possint propter causas in textu expositas.*- 11. *Obiter explicat, quomodo sit intelligendum, Deum ab operibus suis quievisse,et quatenus adhuc operetur.* — 12. *Ostendit quæ et quot Plato genera summa statuerit,quæ primum enumerat, et deinde explicat, causa etiam indicata, propter quam ea cum summis generibus recensuerit.* — 13. *Aristotelem variare de numero summorum generum in physica et logica.* — 14. *Genera generalissima cum species specialissimas sub se habere, tum genera subalterna.* — 15. *Ex speciebus specialissimis immediate in individua fieri divisionem, quo nomine etiam ab aliquibus individua genera appellantur.*— 16. *Individui quatuor significata recenset.* — 17. *In quarto significato describit.*

---

A

## CAPUT XI.

*De genere et specie; ubi etiam de individuis.*

1. Eorum quæ dicuntur esse, alia quidem subsistunt, alia vero non subsistunt, sed in solis animi nudis notionibus sunt posita. Porro eorum quæ subsistunt alia quidem sunt corpora, alia vero incorporea. Incorporeorum autem **96** quædam pro priam habent subsistentiam, ut angelus et anima; quædam in aliis esse habent. Talia etiam genera sunt et species.

2. Dicuntur autem genera et species ante multa, in multis, post multa.

3. Velut concipiatur aliquod signum quamcunque habens effigiem, ex quo multæ ceræ effigiem participent; et aliquis has ante oculos sibi proponat, cum antea nunquam signum viderit, inspexerit B autem ea in quibus est effigies, consideraveritque quod eamdem omnia participent; et quæ multa videntur, in unum definitione seu ratione complexus, hoc in dianœa retineat; effigies quidem quæ in signo est, ante multa; quæ autem in ceris, in

## ΚΕΦΑΛ. ΙΑ'.

Περὶ γένους καὶ εἴδους· ἐν ᾧ καὶ περὶ ἀτόμων.

α'. Τῶν λεγομένων εἶναι τὰ μὲν ὑφέστηκε, τὰ δὲ οὐχ ὑφέστηκεν. ἀλλ' ἐν μόναις ἐπινοίαις κεῖται ψιλαῖς. Τῶν δὲ ὑφεστηκότων τὰ μὲν σώματά εἰσι, τὰ δὲ ἀσώματα. Τῶν δὲ ἀσωμάτων τὰ μὲν ἰδίαν ὑπόστασιν ἔχει, ὡς ἄγγελος καὶ ψυχή· τὰ δὲ ἐν ἑτέροις ἔχει τὸ εἶναι· τοιαῦτά εἰσι καὶ τὰ γένη καὶ τὰ εἴδη.

β'. Λέγονται δὲ τὰ γένη καὶ τὰ εἴδη πρὸ τῶν πολλῶν, ἐν τοῖς πολλοῖς, ἐπὶ τοῖς πολλοῖς.

γ'. Οἷον ἐννοείσθω τι σφραγιστήριον, ἔχον καὶ ἐκτύπωμα τὸ τυχὸν, ἐξ οὗ κηρία πολλὰ μεταλαβέτω τοῦ ἐκτυπώματος, καί τις ὑπ' ὄψιν ἀγαγέτω ταῦτα· μὴ προκατιδὼν μηδόλως τὸ σφραγιστήριον, ἑωρακὼς δὲ τὰ ἐν οἷς τὸ ἐκτύπωμα, καὶ ἐπιστήσας ὅτι πάντα τοῦ αὐτοῦ μετέχουσιν ἐκτυπώματος, καὶ τὰ δοκοῦντα πολλὰ τῷ λόγῳ συναθροίσας εἰς ἓν, ἐχέτω τοῦτο κατὰ διάνοιαν. Τὸ μὲν οὖν σφραγιστήριον τύπωμα λέγεται πρὸ τῶν πολλῶν· τὸ δ' ἐν τοῖς κη-

OCR ABK / FR

ρίοις ἐν τοῖς πολλοῖς· τὸ δὲ ἐξ αὐτῶν καταληφθὲν A καὶ κατὰ διάνοιαν ἀΰλως ὑποστὰν ἐπὶ τοῖς πολλοῖς.

δ'. Οὕτως οὖν καὶ τὰ γένη καὶ τὰ εἴδη πρὸ τῶν πολλῶν μέν εἰσιν ἐν τῷ δημιουργῷ, κατὰ τοὺς ποιητικοὺς λόγους· ἐν τῷ Θεῷ γὰρ οἱ οὐσιοποιοὶ λόγοι τῶν ὄντων ἑνιαίως προϋφεστήκασι· καθ' οὓς λόγους, ὁ ὑπερούσιος τὰ ὄντα πάντα καὶ προώρισε καὶ παρήγαγεν.

ε'. Ὑφεστηκέναι δὲ λέγονται τὰ γένη καὶ τὰ εἴδη ἐν τοῖς πολλοῖς, διότι ἐν τοῖς κατὰ μέρος ἀνθρώποις τὸ τοῦ ἀνθρώπου εἶδός ἐστι, καὶ τοῖς κατὰ μέρος ἵπποις τὸ τοῦ ἵππου εἶδος· ἐν ἀνθρώποις δὲ καὶ ἵπποις καὶ τοῖς ἄλλοις ζώοις τὸ γένος εὑρίσκεται τῶν τοιούτων εἰδῶν, ὅπερ ἐστὶ τὸ B ζῶον· κἀν τοῖς ζώοις ὁμοῦ καὶ τοῖς ζωοφύτοις τὸ καθολικώτερον γένος τὸ αἰσθητικὸν ἐξετάζεται· συναχθέντων δὲ καὶ τῶν φυτῶν, θεωρεῖται τὸ ἔμψυχον. Εἰ δὲ σὺν τοῖς ἐμψύχοις ἐθέλει τις ἐπισκοπεῖν καὶ τὰ ἄψυχα, τὸ σῶμα σύμπαν κατόψεται. Συνδραμουσῶν δὲ τοῖς εἰρημένοις τῶν ἀσωμάτων οὐσιῶν, τὸ πρῶτον γένος φανεῖται καὶ γενικώτατον, καὶ οὕτω μὲν ἐν τοῖς πολλοῖς ὑφέστηκε τὰ εἴδη καὶ τὰ γένη.

ς'. Καταλαβὼν δέ τις ἐκ τῶν κατὰ μέρος ἀνθρώπων τὴν αὐτῶν φύσιν, τὴν ἀνθρωπότητα, ἐκ δὲ τῶν κατὰ μέρος ἵππων αὐτὴν τὴν ἱππότητα, καὶ οὕτω τὸν καθόλου ἄνθρωπον καὶ τὸν καθόλου ἵππον ἐπινοήσας· καὶ τὸ καθόλου ζῶον ἐκ τῶν καθέκαστα τῷ λόγῳ συναγαγών· καὶ τὸ καθόλου αἰσθητικόν, καὶ τὸ C καθόλου ἔμψυχον, καὶ τὸ καθόλου σῶμα, καὶ τὴν καθολικωτάτην οὐσίαν ἐξ ἁπάντων συλλογισάμενος, ὁ τοιοῦτος ἐν τῇ ἑαυτοῦ διανοίᾳ τὰ γένη καὶ τὰ εἴδη ἀΰλως ὑπέστησεν ἐπὶ τοῖς πολλοῖς, τουτέστι μετὰ τὰ πολλὰ καὶ ὑστερογενῶς.

ζ'. Ἰστέον δὲ ὅτι πάντα μὲν τὰ γένη λεχθήσονται ἐπὶ τοῖς πολλοῖς, οὐ πάντα δὲ τὰ εἴδη. Τὸ γὰρ ὂν ἢ καὶ τῇ φύσει καὶ τῇ γνώσει πεπερασμένον ἐστίν· ἢ οὐδὲ τῇ φύσει οὐδὲ τῇ γνώσει· ἢ τῇ φύσει μὲν πεπέρασται, τῇ γνώσει δὲ οὐ πεπέρασται· οὐδὲν δέ πού ἐστι τῇ γνώσει πεπερασμένον, ἄπειρον ὂν τῇ φύσει.

η'. Τούτων οὕτως ἐχόντων, τὰ μὲν γενικώτατα γένη καὶ τὰ ὑπάλληλα καὶ φύσει καὶ γνώσει πεπέ- D ρασται. Δέκα γάρ εἰσι τὰ γένη τὰ γενικώτατα· ὡρισμένα δέ γε καὶ τὰ ὑπάλληλα.

θ'. Τὸ δὲ τῶν ἀτόμων πλῆθος οὔτε τῇ φύσει οὔτε τῇ γνώσει πεπερασμένον ἐστίν. Ἀεὶ γὰρ γίνεται καὶ ἀεὶ φθείρεται, καὶ οὔτε πέρας ὑπὸ τῆς φύσεως εἴληφεν, οὔτε τὸ γεγονὸς στάσιμον ὑπάρχει καὶ μόνιμον. Τὸ δὲ τοιοῦτον πῶς τῇ γνώσει περιληφθήσεται;

ι'. Τὰ δὲ εἰδικώτατα εἴδη τῇ μὲν φύσει πεπέρασται, τῇ γνώσει δὲ εἰσιν ἀπερίληπτα. Πολλὰ γὰρ ἡμῖν ἄγνωστα τῶν τοιούτων εἰδῶν, ἢ ἐν ἐρημίαις

multis, quæ denique ex eis deprehensa immaterialiter in dianœa subsistit, post multa dicitur.

4. Sic igitur et genera et species ante multa quidem sunt in conditore, quoad efficientes rationes (seu formas). In Deo enim essentiantes (ut ita dicam) rationes entium simul et singulariter præsubstiterunt, secundum quas rationes is qui supra essentiam longe omnem evectus est, omnia entia et prædefinivit et produxit.

5. Subsistere autem genera et species in multis dicuntur, quod in **97** particularibus hominibus species hominis, et in particularibus equis species equi est: in hominibus autem et equis et aliis animalibus specierum ejusmodi genus reperitur quod est animal; et in animalibus simul et plantanimantibus genus universalius quod est sentiens exquiritur; ad quæ collectis etiam plantis animatum spectatur. Quod si quis cum animatis etiam inanimata insuper considerare velit, universum corpus inspiciet. Si denique cum dictis etiam incorporeæ substantiæ concurrerint, primum et generalissimum genus aparebit. Atque sic in multis quidem genera et species subsistunt.

7. Porro si quis ex particularibus hominibus naturam eorumdem, anthropoteta, id est humanitatem (ut nobis ita secundum Græcum dicere liceat), et ex equis particularibus ipsam hippoteta, id est equitatem comprehenderit; atque sic universalem hominem et universalem equum mente conceperit; et (præterea) universale animal ex singularibus ratione collegerit; et universale sentiens, et universale animatum, et universale corpus, et universalissimam substantiam ex omnibus complexus **98** fuerit, talis in dianœa sua genera et species immaterialiter ἐπὶ τοῖς πολλοῖς, hoc est, post multa et generatione posteriore constituit.

7. Sciendum autem omnia quidem genera, sed non omnes species, post multa dici posse. Ens enim vel et natura et cognitione terminatum est; vel neque natura neque cognitione: vel natura quidem terminatum est, cognitione autem terminatum non est; nihil autem uspiam cognitione terminatum est, quod natura infinitum sit.

8. Quæ cum ita se habeant, generalissima quidem et subalterna genera cum natura tum cognitione terminata sunt. Decem enim sunt genera generalissima; finita autem sunt quin etiam subalterna genera.

9. At individuorum multitudo neque natura neque cognitione terminata est. Semper enim cum generantur tum corrumpuntur, et nec a natura terminum acceperunt, nec cum generata sunt, stabilia existunt et permanent. At quod tale est, qui cognitione comprehendetur?

10. Jam vero specialissimæ species natura quidem terminatæ sunt, cognitione autem sunt incomprehensibiles. Multæ enim ex ejusmodi speciebus

OCR ABK / FR

incognitæ **99** sunt nobis, cum vel in desertis inaccessis vel in speluncis sint nostramque cognitionem effugiant.

11. Quatenus igitur quidem omnes species natura terminatæ sunt, quievit Deus ab operibus suis; diversam enim ab illis quas condidit, non facit. Quatenus autem individua adhuc generantur, nec a natura horum generatio adhuc terminata est; Pater Domini usque in præsens operatur, Filiusque operatur : quin et liquet quod Paracletus qui simul omnia condidit, simul operetur et hæc et providentiam et dispensationem et mirabilia.

12. Porro haud ignorandum est, quod Plato quinque dicat entium genera : substantiam, identitatem, diversitatem, motum et statum; substantiam inquiens eam quæ simpliciter est exsistentia; identitatem, communitatem; diversitatem, differentiam; motum, actum; statum cum quietem, hoc est hujus alicujus motus abjectionem, tum in eo quod aliquid movetur, mansionem; secundum quam etiam cœlo et divinis statum tribuit; in eodem enim semper moveri statum declarare dicit. Quoniam igitur in omnibus entibus et exsistentia est, et communitas differentiaque **100** mutua, actio item et status actionis qualiscunque : ideo talia entium genera appellant, quod in multis quæ quidem sunt, spectentur.

13. Aristoteles autem in physicis quidem materiam ponit pro genere; in logica autem tractatione decem prædicamenta, genera generalissima pronuntiat : substantiam, quantum, quale, ad quid, ubi, quando, agere, pati, habere, situm esse.

14. Horum quodvis et species specialissimas et genera subalterna habet.

15. Ex speciebus autem specialissimis confertim in individua fit divisio; quæ nec divisio est proprie, sed enumeratio. Quare etiam aliqui species specialissimas genera individua nominarunt : genera quidem, quod comprehendant partes sibi subjectas, individua vero, quod dividi non possint. Genus enim quod dividitur necessario in species dividitur.

16. Individuum autem quatuor significat : quod dividi non potest, quatenus partes non habet, ut punctum et nunc et unitas, quæ etiam quantitatis expertia dicuntur; quod difficulter secari potest, ut adamas lapis; speciem specialissimam quod in alias species non dividatur; **101** et proprie insectile seu individuum, quod secatur quidem, sed priorem speciem post sectionem non servat : veluti Petrus secatur quidem in animam et corpus; sed neque anima per se perfectus Petrus est (quoniam nec homo perfectus est), neque corpus.

17. De hoc individuo apud philosophos sermo est, quod ita definiunt : Individuum est quod constat ex proprietatibus, quarum congeries in alio nunquam conspicitur.

A ἀβάτοις, ἢ ἐν σπηλαίοις ὄντα καὶ τὴν ἡμετέραν γνῶσιν διαδιδράσκοντα.

ια'. Καθὸ μὲν οὖν πάντα τὰ εἴδη τῇ φύσει πεπέρασται, κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ· ἑτεροῖον γὰρ ὧν ἐποίησεν οὐ ποιεῖ· καθὸ δὲ τὰ ἄτομα γίνεται ἔτι, καὶ οὔπω πεπέρασται τούτων ἡ γένεσις ὑπὸ φύσεως· ὁ Πατὴρ τοῦ Κυρίου ἕως ἄρτι ἐργάζεται, καὶ ὁ Υἱὸς ἐργάζεται· δῆλον δ' ὅτι καὶ ὁ συμπαντουργὸς Παράκλητος συνεργάζεται, ταῦτά τε καὶ τὰς προνοίας καὶ τὰς οἰκονομίας καὶ τὰ θαυμάσια.

ιβ'. Χρὴ δὲ γινώσκειν ὡς ὁ Πλάτων πέντε γένη τῶν ὄντων φησίν· οὐσίαν, ταυτότητα, ἑτερότητα, κίνησιν καὶ στάσιν· οὐσίαν λέγων τὴν ἁπλῶς ὕπαρ-B ξιν, ταυτότητα τὴν κοινωνίαν, ἑτερότητα τὴν διαφορὰν, κίνησιν τὴν ἐνέργειαν, στάσιν τήν τε ἠρεμίαν, ἤγουν τὴν ἀποβολὴν τῆς τοιᾶσδε κινήσεως, καὶ τὴν ἐν τῷ κινεῖσθαι μονὴν, καθ' ἣν καὶ τῷ οὐρανῷ καὶ τοῖς θείοις δίδωσι στάσιν· τὸ γὰρ ἀεὶ ἐν τῷ αὐτῷ κινεῖσθαι στάσιν λέγει δηλοῦν. Ἐπεὶ τοίνυν ἐν τοῖς οὖσι καὶ ὕπαρξίς ἐστι καὶ κοινωνία πρὸς ἄλληλα καὶ διαφορὰ, ἐνέργειά τε καὶ στάσις τῆς ἐνεργείας ὁποιασοῦν· διὰ τοῦτο τὰ τοιαῦτα γένη ὀνομάζει τῶν ὄντων ὡς πολλοῖς τοῖς γε οὖσιν ἐνθεωρούμενα.

ιγ'. Ὁ δὲ Ἀριστοτέλης ἐν μὲν τοῖς φυσικοῖς τὴν ὕλην τίθεται γένος· ἐν δὲ τῇ λογικῇ πραγματείᾳ τὰς δέκα κατηγορίας γένη λέγει τὰ γενικώτατα· οὐσίαν, ποσὸν, ποιὸν, πρός τι, ποῦ, πότε, ποιεῖν, C πάσχειν, ἔχειν, κεῖσθαι.

ιδ'. Τούτων ἕκαστον ἔχει καὶ εἰδικώτατα εἴδη καὶ ὑπάλληλα γένη.

ιε'. Ἐκ δὲ τῶν εἰδικωτάτων εἰδῶν εὐθὺς εἰς ἄτομα γίνεται ἡ διαίρεσις· ἥτις οὐδὲ διαίρεσίς ἐστι κυρίως, ἀλλ' ἀπαρίθμησις. Διὸ καί τινες αὐτὰ τὰ εἰδικώτατα εἴδη γένη ὠνόμασαν ἄτομα· γένη μὲν ὡς περιληπτικὰ τῶν ὑπ' αὐτὰ μερῶν· ἄτομα δὲ ὡς ἀδιαίρετα. Τὸ γὰρ διαιρούμενον γένος εἰς εἴδη διαιρεῖται ἀναγκαίως.

ιϛ'. Σημαίνει δὲ τὸ ἄτομον τέσσαρα· τὸ ἀδιαίρετον καθὸ ἀμερὲς, ὡς ἡ στιγμὴ, καὶ τὸ νῦν, καὶ ἡ μονὰς, ἅτινα καὶ ἄποσα λέγεται· τὸ δύστμητον, ὡς ὁ ἀδάμας, λίθος· τὸ εἰδικώτατον εἶδος διὰ τὸ μὴ τέμνεσθαι εἰς ἕτερα εἴδη· καὶ τὸ κυρίως ἄτομον, ὃ D τέμνεται μὲν, οὐ σώζει δὲ μετὰ τὴν τομὴν τὸ πρότερον εἶδος· οἷον ὁ Πέτρος τέμνεται μὲν εἰς ψυχὴν καὶ σῶμα, ἀλλ' οὔτε ἡ ψυχὴ καθ' ἑαυτήν ἐστι Πέτρος τέλειος, ἐπεὶ οὐδὲ ἄνθρωπος τέλειός ἐστιν, οὔτε τὸ σῶμα.

ιζ'. Περὶ τούτου τοῦ ἀτόμου τοῖς φιλοσόφοις ὁ λόγος· ὅπερ ἀποδιδόασιν οὕτως· Ἄτομόν ἐστι τὸ ἐξ ἰδιοτήτων συγκείμενον, ὧν τὸ ἄθροισμα οὐκ ἂν ὀφθείη ἐπὶ ἑτέρου ποτέ.

OCR ABK / FR

Σχῆμα κεφαλ. ια', Περὶ γενῶν καὶ εἰδῶν, ἐν ᾧ καὶ περὶ ἀτόμου.

τὰ γένη καὶ τὰ εἴδη.
- πρὸ τῶν πολλῶν, ὡς ἐν τῷ δημιουργῷ·
- ἐν τοῖς πολλοῖς, ὡς ἐν τοῖς κατὰ μέρος ἀνθρώποις τὸ ἀνθρώπου εἶδος·
- ἐπὶ τοῖς πολλοῖς, ὡς ἐν τῇ διανοίᾳ.

Τῶν λεγομένων εἶναι
- τὰ μὲν ὑφέστηκε
  - τὰ μὲν σώματα
  - τὰ δὲ ἀσώματα
    - τὰ μὲν ἰδίαν ὑπόστασιν ἔχει, ὡς ἄγγελος, ψυχή.
    - τὰ δὲ ἐν ἑτέροις ἔχει τὸ εἶναι, ὡς τὰ γένη καὶ τὰ εἴδη.
- τὰ δὲ ἐν μόναις ψιλαῖς ἐπινοίαις εἰσί.

Τὸ ἄτομον
- τὸ ἀδιαίρετον, ὡς ἡ στιγμὴ καὶ τὸ νῦν καὶ ἡ μονάς·
- τὸ δύστμητον, ὡς ὁ ἀδάμας.
- τὸ εἰδικώτατον εἶδος, ὡς μὴ τεμνόμενον εἰς εἴδη·
- καὶ τὸ κυρίως ἄτομον, ὡς Σωκράτης.

Τὸ ὂν πεπέρασται




*Tabula capitis 11, De generibus et speciebus, ubi etiam de individuo.*

Genera et species (sunt)
- ante multa, ut in conditore,
- in multis, ut in particularibus hominibus species hominis,
- post multa, ut in dianœa.

Eorum quæ dicuntur esse
- alia subsistunt et
  - alia sunt corpora,
  - alia incorporea, et
    - alia propriam habent subsistentiam ut angelus et anima,
    - alia in aliis esse habent, ut genera et species.
- alia in solis nudis notionibus sunt.

**102** Individuum (dicitur)
- quod dividi non potest, ut punctum et nunc et unitas,
- quod difficulter secari seu dividi potest, ut Adamus,
- specialissima species, quod in species non dividatur,
- et proprie individuum, ut Socrates.

*Ens terminatur*




OCR ABK / FR

## **103** SYNOPSIS CAPITIS XII.

### QUOD EST DE DIFFERENTIA ET ACCIDENTE

*1. Per occupationem reddit rationem quare simul de differentia et accidente agat, qua nimirum accidens est differentia ἐπουσιώδης, id est essentiæ adjuncta. — 2. Essentialis differentia quænam habeat attributa, et quando vocetur propriissime, nimirum differentia. — 3. Definitionem differentiæ propriissime dictæ assignat ex Porphyrio, eamdemque explicat, ostendens juxta quomodo differentiæ sint in genere, et quomodo non sint. — 4. Aliam definitionem differentiæ profert. — 5. Tertiam definitionem affert. — 6. Quartam etiam assignat. — 7. Easdem differentias propriissime scilicet dictas docet ei constitutivas et divisivas dici diverso respectu, idque exemplis declarat, ubi obiter etiam animal plantanimal, et plantam definit. — 8. Cur differentiæ, sacrificæ dictæ sint. — 9. Utilem annotationem proponit de homonymia differentiarum, quomodo pro differentiis, modo pro generibus subalternis usurpantur, quam etiam simili alterius homonymiæ calidi et frigidi declarat. — 10. Simile accommodat. — 11. Explicat quo discrimine differentiæ et quo genera subalterna sint. — 12. Probat divisionem substantiæ in corpus et incorporeum ut in species, et iterum corporis in animatum et inanimatum,* **104** *ut in species, non posse fieri nisi per dictas differentias corporeitatis, incorporeitatis, animalitatis et inanimalitatis, quæ tamen sæpe* καθ' ὁμωνυμίαν *concrete proferantur. — 13. Monet quod in divisione corporis in animatum et inanimatum, ut in divisione generis in species, subintelligendum sit corpus ad discrimen differentiarum. — 14. Concludit de differentia essentiali; quæ propriissime differentia est. — 15. Ad differentiam essentiæ adjunctam transit, eamque accidens esse pronuntiat. — 16. dividit eam in communiter et proprie sic dictam. — 17. Utramque describit, quod illa sit accidens separabile, hæc inseparabile. — 18. Accidentis separabilis naturam exponit et exemplis declarat. — 19. Accidentis inseparabilis naturam declarat et illustrat. — 20. Ostendit hæc accidentia inseparabilia quatenus separari non possint, et quatenus etiam separari possint. — 21. Infert ex præmissa distinctione per* πόρισμα· *quod accidenti et separabili et inseparabili communes definitiones accidentis conveniant quarum duas recenset. — 22. Triplicis differentiæ, communiter, proprie, propriissime communitas et diversitas, eaque ab effectibus sumpta. — 23. Earumdem differentiarum aliud discrimen a modo prædicationis et inhærentiæ. — 24. Tertium discrimen ab usu quem habent ad definitiones. — 25. Homonymia essentiæ et accidentis.* **105** *26. Accidens pro proprio essentiali sumptum et primo et per se inest. — 27. Nec tamen etiam quidquid per se inest, etiam primo inest, quippe illud latius patet quam hoc. — 28. Definitiones quomodo insint definitis — 29. Demonstratio ex quibus fiat.*

---

## CAPUT XII.

*De differentia et accidente.*

1. Disserenti de differentia non inconveniens est de accidente dicere, quoniam et ipsum differentia nominatur. Differentia enim vel essentialis est, vel essentiæ adjuncta.

2. Essentialis quidem differentia est, quæ et per se est et naturalis et specifica; quæ apud philosophos propriissime differentia vocatur; qua species differt a specie: veluti a rationale. Quoad hoc enim species hominis a specie equi et cæteris præter hominem animalibus differt: quod utique rationale per se inest homini, et hominis naturam constituendi, humanamque speciem faciendi facultatem habet. Differentiam autem propriissime sic dicunt (et describunt):

3. Differentia est qua species superat genus. Homo enim superat animal per rationale. Animal enim actu neque rationale est neque irrationale; quoniam idem opposita habent. Potestate tamen animal et **106** rationale exsistit et irrationale, omnesque habet sub se (constitutas) differentias. Hoc enim nisi ita esset, unde species haberent differentias? Nec igitur ex non entibus in genere species consistit (potestate enim in genere sunt specierum differentiæ), ne circa idem simul sunt opposita. Quippe genus actu nullam habet specierum differentiam.

4. Definiunt autem hanc essentialem et propriissime differentiam etiam sic: Differentiam est quod de pluribus et differentibus specie in quale quid

A

## ΚΕΦΑΛ. ΙΒ'.

*Περὶ διαφορᾶς καὶ συμβεβηκότος.*

α'. Τῷ διαλαμβάνοντι περὶ διαφορᾶς οὐκ ἀπεικὸς καὶ περὶ συμβεβηκότος εἰπεῖν· ἐπεὶ καὶ αὐτὸ διαφορὰ ὀνομάζεται. Ἡ γὰρ διαφορὰ ἢ οὐσιώδης ἐστὶν, ἢ ἐπουσιώδης.

β'. Οὐσιώδης μὲν ἔστι διαφορὰ ἡ καθ' αὑτήν τε καὶ φυσικὴ καὶ εἰδοποιὸς, ἥτις καλεῖται παρὰ τοῖς φιλοσόφοις ἰδιαίτατα διαφορά· καθ' ἣν εἶδος εἴδους διαφέρει· οἷον τὸ λογικόν. Κατὰ τοῦτο γὰρ διαφέρει τὸ εἶδος τοῦ ἀνθρώπου τοῦ εἴδους τοῦ ἵππου καὶ τῶν λοιπῶν τῶν παρὰ τὸν ἄνθρωπον ζώων. Ὃ δὴ λογικὸν καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ, καὶ τῆς τοῦ ἀνθρώπου φύσεώς ἐστι παραστατικὸν, καὶ τοῦ ἀνθρωπείου εἴδους ποιητικόν. Λέγουσι δὲ τὴν ἰδιαίτατα

B διαφορὰν οὕτως·

γ'. Διαφορά ἐστιν, ᾗ περισσεύει τὸ εἶδος τοῦ γένους. Ὁ γὰρ ἄνθρωπος πλέον ἔχει τοῦ ζώου τὸ λογικόν. Τὸ γὰρ ζῶον οὔτε λογικόν ἐστιν ἐνεργείᾳ, οὔτε ἄλογον· ἐπεὶ τὸ αὐτὸ ἕξει τὰ ἀντικείμενα. Δυνάμει δέ γε τὸ ζῶον καὶ λογικὸν ὑπάρχει καὶ ἄλογον, καὶ πάσας ἔχει τὰς ὑπ' αὐτὸ διαφοράς. Εἰ μὴ γὰρ τοῦτο, πόθεν ἂν τὰ εἴδη σχοῖεν (τὰς) διαφοράς; Οὔτε γοῦν ἐκ τῶν οὐκ ὄντων ἐν τῷ γένει τὸ εἶδος συνίσταται (δυνάμει γάρ εἰσιν ἐν τῷ γένει τῶν εἰδῶν αἱ διαφοραί)· οὔτε περὶ (τὸ) αὐτό εἰσιν ἅμα τὰ ἀντικείμενα. Ἐνεργείᾳ γὰρ οὐδεμίαν ἔχει τὸ γένος διαφορὰν τῶν εἰδῶν.

δ'. Ὁρίζονται δὲ ταύτην τὴν οὐσιώδη καὶ ἰδιαίτατα διαφορὰν καὶ οὕτω· Διαφορά ἐστι τὸ κατὰ πλειόνων

C καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ ὁποῖόν τί ἐστι κατ-

ηγορούμενον. Ἐρωτώμενοι γὰρ τί ἐστιν ἄνθρωπος, A
οἰκείως ἂν λέγοιμεν ὅτι ζῶον· πυνθανομένου δέ τινος ὁποῖόν τι ζῶον ὁ ἄνθρωπος, τότε πάλιν οἰκείως ἔστιν εἰπεῖν, ὅτι λογικόν.

ε'. Ὑπογράφουσι δὲ τὰς τοιαύτας καὶ οὕτω· Διαφορά ἐστι τὸ χωρίζειν πεφυκὸς τὸ ὑπὸ τὸ αὐτὸ γένος. Τὸ γὰρ λογικὸν καὶ τὸ ἄλογον χωρίζει τὸν ἄνθρωπον καὶ τὸν ἵππον, ὑπὸ τὸ αὐτὸ γένος ὄντα τὸ ζῶον.

ς'. Πάλιν διαφορά ἐστιν, ὅτῳ διαφέρει ἕκαστον. Ἄνθρωπος γὰρ καὶ ἵππος κατὰ μὲν τὸ γένος οὐ διενήνοχε (ζῶα γὰρ καὶ ἀμφότερα)· κατὰ δὲ τὰς διαφοράς, ἤτοι κατὰ τὸ λογικὸν καὶ τὸ ἄλογον, ἀπ' ἀλλήλων διέστηκε.

ζ'. Λέγονται δὲ αἱ ἰδιαίτατα διαφοραὶ διαιρετικαὶ B
καὶ συστατικαί· διαιρετικαὶ μὲν τῶν γενῶν, συστατικαὶ δὲ τῶν εἰδῶν. Τὸ γὰρ σῶμα καὶ τὸ ἀσώματον διαιροῦσι τὴν οὐσίαν· τὸ δὲ ἔμψυχον καὶ τὸ ἄψυχον διαιροῦσι τὸ σῶμα· καὶ τὸ αἰσθητικὸν καὶ τὸ ἀναίσθητον διαιροῦσι τὸ ἔμψυχον· καὶ τὸ μεταβατικὸν καὶ τὸ ἀμετάβατον διαιροῦσι τὸ αἰσθητικόν. Ταῦτα γοῦν τὰ τῶν γενῶν διαιρετικὰ γίνονται συστατικὰ τῶν εἰδῶν· τὸ γὰρ ἔμψυχον, καὶ τὸ αἰσθητικὸν καὶ τὸ μεταβατικὸν συνιστῶσι τὸ ζῶον. Ζῶον γάρ ἐστιν οὐσία ἔμψυχος αἰσθητική, μεταβατική. Τὸ ἔμψυχον, τὸ αἰσθητικόν, τὸ ἀμετάβατον, συνιστῶσι τὸ ζωόφυτον. Ἔστι γὰρ τὸ ζωόφυτον οὐσία ἔμψυχος, αἰσθητική, ἀμετάβατος. Τὸ ἔμψυχον δὲ μετὰ τοῦ ἀναισθήτου τὸ φυτὸν συνιστῶσι, καὶ ἔστι (τὸ) φυτὸν οὐσία ἔμψυχος, ἀναίσθητος. C
Καὶ ἕτερα πάλιν ἑτέρων εἰδῶν γίνονται συστατικά, πρότερον ὄντα γενῶν διαιρετικά.

η'. Διότι γοῦν αἱ διαιρετικαὶ τῶν γενῶν διαφοραὶ γίνονται συστατικαὶ τῶν εἰδῶν, ὁμοῦ πᾶσαι κέκληνται εἰδοποιοί.

θ'. Αὗται δὲ αἱ διαφοραὶ λέγονται εἶναι τὰ ὑπάλληλα γένη, ἀπαραλλάκτως δὲ οὐκ εἰσίν, ἀλλ' ὥσπερ θερμὸν καὶ ψυχρόν. Ὀνομάζονται μὲν καὶ αὗται μόναι αἱ ποιότητες, ἡ θερμότης δηλονότι καὶ ἡ ψυχρότης· καλοῦνται δὲ οὕτω καὶ τὰ τῶν τοιούτων ποιοτήτων μετέχοντα σώματα, ἤγουν τὸ σῶμα τὸ ἔχον ἐν ἑαυτῷ τὴν θερμότητα καλεῖται θερμόν, καὶ τὸ τὴν ψυχρότητα κεκτημένον ψυχρόν. Τὸ δ' αὐτὸ κἀπὶ τῶν ἄλλων ποιοτήτων τε καὶ πεποιωμένων σωμάτων ἔστιν εὑρεῖν. D

ι'. Οὕτω δὴ (καὶ σῶμα καὶ) ἀσώματον, ἔμψυχόν τε καὶ ἄψυχον, καὶ αἰσθητικὸν καὶ λογικόν, καὶ τἄλλα ὁμοίως. Λέγονται μὲν καὶ αὗται μόναι αἱ ποιότητες· ἡ σωματότης, ἡ ἀσωματότης, ἡ ἐμψυχότης, ἡ ἀψυχότης, ἡ αἰσθητικότης, ἡ λογικότης καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως· λέγονται δ' οὕτως καὶ αἱ οὐσίαι αἱ τὰς τοιαύτας ἐν ἑαυταῖς κεκτημέναι ποιότητας. Σῶμα μὲν ἡ τὴν σωματότητα κεκτημένη οὐσία· ἀσώματον δὲ ἡ τὴν ἀσωματότητα· καὶ ἡ μὲν τὴν ἐμψυχότητα ἔχουσα ἔμψυχον· ἡ δὲ τὴν ἀψυχότητα ἄψυχον· ἡ δὲ τὴν αἰσθητικότητα αἰσθητικόν· καὶ ἡ τὴν λογικότητα λογικόν.

est prædicatur. Si enim interrogamur quid sit homo, convenienter dicimus, quod animal sit : sin autem sciscitetur aliquis, quale quid est homo animal, tunc iterum apte dicere licet, quod rationale.

5. Porro hujuscemodi (differentias) etiam sic describunt : Differentia est quod naturalem vim habet separandi ea quæ sunt sub eodem genere. Etenim rationale et irrationale separat hominem et equum qui sub eodem sunt genere, animali.

6. Rursus differentia est quo quodvis differt. Homo enim et equus secundum genus quidem non differunt (ambo enim etiam animalia sunt), secundum **107** differentias autem, sive quoad rationale et irrationale, dissident a se invicem.

7. Dicuntur autem differentiæ propriissime cum constitutivæ tum divisivæ; divisivæ quidem generum, constitutivæ vero specierum. Corpus enim et incorporeum substantiam dividunt, et sentiens sensusque expers animatum dividunt, et progressivum progressionisque expers sentiens dividunt. Hæc scilicet quæ genera dividunt, species ipsas constituunt. Animatum enim et sentiens et progressivum constituunt animal. Animal enim est substantia animata, sentiens, progressiva. Animatum, sentiens progressionis expers, constituunt plantanimal. Plantanimal enim est substantia animata, sentiens, progressionis expers. Animatum autem cum eo quod sensus expers est plantam constituit. Estque planta substantia animata, sensus expers Et rursus alia alias species constituunt, cum prius genera diviserint.

8. Propterea igitur quod divisivæ generum differentiæ specierum constitutivæ efficiuntur, specificæ simul omnes vocatæ sunt.

9. Hæ (porro) differentiæ dicuntur esse **108** genera subalterna, indiscriminatim tamen non sunt, sed sicut calidum et frigidum (se habent). Nominantur quidem (sic) et hæ solæ qualitates, caliditas videlicet et frigiditas : sed vocantur sic etiam corpora, quæ hujusmodi qualitates participant : nempe corpus quod in seipso caliditatem habet, calidum vocatur, et quod frigiditatem obtinet, frigidum. Idemque etiam in aliis et qualitatibus et qualitate præditis corporibus deprehendere licet.

10. Sic sane etiam et corpus (corporeum) et incorporeum et animatum inanimatumque, et sensitivum et rationale, et alia similiter. Dicuntur quidem et hæ solæ qualitates; corporeitas (ut ita dicam), incorporeitas, animatitas, inanimatitas, sensitivitas, rationalitas (vel corporea, incorporea, animata, inanimata, sentiens, rationalis qualitas) : et eodem modo in aliis se res habet; sed dicuntur etiam sic substantiæ quæ hujuscemodi in seipsis qualitates obtinent : corpus quidem, substantia quæ corporeitatem obtinet; incorporeum autem, quæ incorporeitatem; et quæ quidem animatitatem habet,

OCR ABK / FR

animatum; quæ vero inanimatitatem, inanimatum: **190** quæ sensitivitatem, sensitivum; quæ rationalitatem rationale.

11. Hæ igitur qualitates per se quidem (consideratæ) differentiæ sunt: substantiæ autem quæ qualitates ejusmodi participant, subalterna genera exsistunt, (quomodo enim alias eadem et genera fuerint et differentiæ?) et ut differentiæ quidem in quale quid est, ut genera vero in quid est prædicabuntur.

12. Quod si autem etiam omne genus quod in species dividitur, per differentias divisivas dividitur; omnium autem consensu et confessione substantiæ species sunt corpus et incorporeum: per quales differentias in has substantia dividitur aut dividetur nisi per ipsam et corporeitatem et incorporeitatem? Rursus autem corpus in proprias species, animatum et inanimatum, quomodo utique secabitur quam scilicet per animatitatem et inanimatitatem? Quando enim substantiam in corpus et incorporeum dividi dicimus, in substantiam corporatam et non corporatam simpliciter substantiam dividi pronuntiamus: quoniam corpus antea quidem substantia tantum erat, posteaquam autem actu corporeitatem **110** etiam assumpsit, substantia corporea factum est. Eodemque modo incorporeum incorporeitate accepta, substantia incorporea factum est. Sed et animatum antea erat simpliciter corpus, hoc est substantia corporea; posteaquam autem animatitatis particeps est factum, corpus animatum effectum est.

13. Quando igitur divisionem corporis facimus in animatum et inanimatum, corpus subaudire oportet, ut corpus in corpus animatum et inanimatum corpus dividatur. Sicque etiam in aliis est faciendum; ut et differentiæ et genera speciesque sine confusione conserventur id quod sunt.

14. De essentiali quidem igitur differentia, quæ etiam propriissime differentia vocatur, hæc dicta sint.

15. At vero differentia essentiæ adjuncta est ipsum accidens.

16. Dividitur autem hæc et in communiter et in proprie (dictam) differentiam.

17. Et communiter quidem (dicta) differentia est accidens separabile, quod etiam in eo quomodo aliquid se habeat, prædicatur. Proprie autem dicta differentia est inseparabile accidens, quod etiam in quale quid est dicitur. Accidentis **111** enim aliud separabile, aliud inseparabile est.

18. Quoad igitur quidem separabile accidens differt individuum ab alio individuo et a seipso: veluti sedet Petrus, ambulat Paulus: quippe quoad sedere et ambulare Petrus et Paulus a se invicem differre dicuntur. Contingit autem sedere Paulum et Petrum ambulare; et sic ab illis differentiam ejusmodi separari, et utrumque etiam pro alio accipere. Rursus individuum a seipso differt, dum aliquando quidem sedet, aliquando autem stat aut ambulat; et aliquando quidem dormit, aliquando

A ιαʹ. Αὗται μὲν οὖν καθ' ἑαυτὰς αἱ ποιότητές εἰσιν αἱ διαφοραί· αἱ δὲ μετέχουσαι τῶν τοιούτων ποιοτήτων οὐσίαι τὰ ὑπάλληλα γένη τυγχάνουσιν. Ἐπεὶ πῶς ἂν τὰ αὐτὰ καὶ γένη εἶεν καὶ διαφοραί; Καὶ ὡς διαφοραὶ μὲν, ἐν τῷ ὁποῖόν τί ἐστι κατηγορηθεῖεν, ὡς γένη δ' αὖ ἐν τῷ τί ἐστιν.

ιβʹ. Εἰ δὲ καὶ πᾶν γένος εἰς εἴδη διαιρούμενον διὰ τῶν διαιρετικῶν διαιρεῖται διαφορῶν· εἴδη δὲ τῆς οὐσίας ὁμολογοῦνται εἶναι τὸ σῶμα καὶ (τὸ) ἀσώματον· διὰ ποίων διαφορῶν εἰς ταῦτα ἡ οὐσία διαιρεῖται ἢ διαιρεθήσεται, εἰ μὴ δι' αὐτῆς σωματότητός τε καὶ (τῆς) ἀσωματότητος; Τὸ δὲ σῶμα πάλιν εἰς τὰ οἰκεῖα εἴδη, τὸ ἔμψυχόν τε καὶ τὸ ἄψυχον, πῶς ἄρα τμηθήσεται, ἢ πάντως διὰ τῆς ἐμψυ-
B χότητος καὶ ἀψυχότητος; Ὅτε γὰρ λέγομεν τὴν οὐσίαν διαιρεῖσθαι εἰς σῶμα καὶ ἀσώματον, εἰς οὐσίαν σεσωματωμένην καὶ μὴ σεσωματωμένην, τὴν ἁπλῶς οὐσίαν διαιρεῖσθαί φαμεν· ἐπεὶ τὸ σῶμα πρότερον ἦν οὐσία μόνον, ἐνεργείᾳ δὲ λαβὸν καὶ (τὴν) σωματότητα, γέγονεν οὐσία ἐνσώματος. Ὡσαύτως δὲ καὶ τὸ ἀσώματον δεξάμενον τὴν ἀσωματότητα οὐσία ὑπῆρξεν ἀσώματος. Καὶ τὸ ἔμψυχον δὲ πρότερον ἦν ἁπλῶς σῶμα, τουτέστιν οὐσία ἐνσώματος· μετασχὸν δὲ καὶ τῆς ἐμψυχότητος, σῶμα ἔμψυχον ἐκτετέλεσται.

ιγʹ. Ὅτε γοῦν τοῦ σώματος τὴν διαίρεσιν εἰς ἔμψυχον ποιοῦμεν καὶ ἄψυχον, χρὴ προσυπακούειν τὸ σῶμα· ἵνα διαιρῆται τὸ σῶμα εἰς ἔμψυχον σῶμα
C καὶ ἄψυχον σῶμα. Οὕτω δὴ κἀπὶ τῶν ἄλλων ποιητέον· ὡς ἂν καὶ αἱ διαφοραὶ καὶ τὰ γένη καὶ τὰ εἴδη σώζωνται ἀσυγχύτως ὅπερ εἰσί.

ιδʹ. Περὶ μὲν οὖν τῆς οὐσιώδους διαφορᾶς, ἥτις καὶ ἰδιαίτατα καλεῖται διαφορά, τοσαῦτα εἰρήσθω.

ιεʹ. Ἡ δ' ἐπουσιώδης διαφορὰ αὐτό ἐστι τὸ συμβεβηκός.

ιϛʹ. Διαιρεῖται δ' αὕτη εἴς τε τὴν κοινῶς διαφορὰν, καὶ εἰς τὴν ἰδίως διαφοράν.

ιζʹ. Καὶ κοινῶς μὲν διαφορά ἐστι τὸ χωριστὸν συμβεβηκὸς, ὃ καὶ ἐν τῷ πῶς ἔχον ἐστὶ κατηγορεῖται· ἰδίως δὲ διαφορὰ τὸ ἀχώριστον συμβεβηκός· ὃ καὶ ἐν τῷ ὁποῖόν τί ἐστι λέγεται. Τοῦ γὰρ συμβεβηκότος τὸ μὲν ἔστι χωριστὸν, τὸ δὲ ἀχώριστον.

D

ιηʹ. Κατὰ μὲν οὖν τὸ χωριστὸν συμβεβηκὸς διαφέρει ἄτομον ἑτέρου ἀτόμου καὶ ἑαυτοῦ· οἷον κάθηται Πέτρος, βαδίζει Παῦλος. Κατὰ γοῦν τὸ καθῆσθαι καὶ τὸ βαδίζειν ἀλλήλων λέγονται διαφέρειν ὁ Πέτρος καὶ ὁ Παῦλος. Ἐνδέχεται δὲ καθῆσθαι τὸν Παῦλον καὶ βαδίζειν τὸν Πέτρον, καὶ οὕτω χωρισθῆναι αὐτῶν τὴν τοιαύτην διαφορὰν, καὶ λαβεῖν ἄλλην ἀντ' ἄλλης ἑκάτερον. Πάλιν διαφέρει ἄτομον ἑαυτοῦ ἐν τῷ ποτὲ μὲν καθῆσθαι, ποτὲ δ' ἑστάναι ἢ βαδίζειν· καὶ ποτὲ μὲν καθεύδειν, ποτὲ δ' ἐγρη-

OCR ABK / FR

A γορέναι· καὶ ὅτε μὲν νοσεῖν, ὅτε δὲ ὑγιαίνειν· καὶ νῦν μὲν νεάζειν, ἔκτοτε δὲ γεγηρακέναι. Ταῦτα γοῦν καὶ τὰ παραπλήσια λέγονται κοινῶς διαφοραὶ, καὶ χωριστὰ συμβεβηκότα.

ιθ'. Κατὰ δὲ τὸ ἀχώριστον συμβεβηκὸς ἑαυτοῦ μὲν οὐ διαφέρει τὸ ἄτομον, ἑτέρου δὲ ἀτόμου διαφέρει. Οἷον, Ἔστι τις σιμός· ἀδύνατον χωρισθῆναι αὐτοῦ τὴν σιμότητα· διαφέρει δὲ οὗτος τοῦ γρυποῦ. Ὡσαύτως καὶ ὁ γλαυκὸς καὶ ὁ ἔχων ἐν τραύματος ἐσκιῤῥωμένην οὐλὴν, ἑαυτῶν μὲν οὐ διαφέρουσιν, ἄλλων δὲ διαφέρουσιν.

κ'. Ἔστι δὲ ἡ σιμότης, ἡ γλαυκότης, ἡ ἐν τῷ Αἰθίοπι μελανία καὶ ἡ ἐν τῷ κόρακι, καὶ ἡ ἐν τῷ κύκνῳ λευκότης, καὶ τὰ τοιαῦτα συμβεβηκότα ἀχώριστα· καθὸ οὐ δύναται χωρισθῆναι πραγματι- B κῶς τῶν ἐν οἷς ἀτόμων εἰσί· κατ' ἐπίνοιαν δὲ χωρίζονται καὶ αὐτὰ τῶν πραγμάτων, τὴν φύσιν μὴ λυμαινόμενα.

κα'. Διὰ τοῦτο παντὸς συμβεβηκότος ἀχωρίστου καὶ χωριστοῦ κοινὸς ὁ λόγος οὗτός ἐστι· Συμβεβηκός ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. Καὶ πάλιν, συμβεβηκός ἐστιν ὃ ἐνδέχεται τῷ αὐτῷ ὑπάρχειν ἢ μὴ ὑπάρχειν. Ἐνδέχεται γὰρ ἄνθρωπον καὶ καθῆσθαι καὶ ἑστάναι καὶ βαδίζειν καὶ εἶναι σιμὸν καὶ μὴ εἶναι· καὶ ἀπογινομένης τῆς γλαυκότητος, οὐδὲν ἧττον ὁ ἄνθρωπος μένει. Δύναται δὲ καὶ κύκνος ἐπινοηθῆναι μέλας, καὶ ὁ κόραξ λευκὸς, καὶ Αἰθίοψ ἀποβαλὼν τὴν χροιάν. Καὶ ταῦτα πάντα γενέσθαι δύναται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς.

C κβ'. Τριχῶς οὖν τῆς διαφορᾶς λεγομένης, κοινῶς καὶ ἰδίως καὶ ἰδιαίτατα, πᾶσα μὲν διαφορὰ ἑτερότης τέ ἐστι καὶ ἑτεροῖόν τι ποιεῖ προσγινομένη τινί. Ἀλλ' αἱ μὲν κοινῶς καὶ ἰδίως διαφοραὶ ἀλλοῖον ποιοῦσιν· αἱ δὲ ἰδιαίτατα ἄλλο· αἵτινές εἰσιν ἀχώριστοι καὶ κατ' αὐτὴν τὴν ἐπίνοιαν. Οὐδὲ γὰρ ἔστιν ἐπινοῆσαι ζῶον ἀναίσθητον, ἢ ἄνθρωπον ἄλογον, ἢ ἵππον ἀλογίας κεχωρισμένον.

κγ'. Αὗται μὲν οὖν αἱ ἄλλο ποιοῦσαι διαφοραὶ καθ' ἑαυτάς τέ εἰσι, καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον οὐκ ἐπιδέχονται. Οὔτε γὰρ τὸ γένος μᾶλλον καὶ ἧττον κατηγορεῖται οὗ ἂν εἴη γένος, οὔτε αἱ τοῦ γένους διαφοραὶ, καθ' ἃς διαιρεῖται τὸ γένος εἰς τὰ εἴδη. Αἱ δὲ ἀλλοῖον ποιοῦσαι κατὰ συμβεβηκός τέ εἰσι, καὶ ἐπιτείνονται καὶ ἀνίενται ἅπασαι. D Κάθηται γάρ τις πλέον ἑτέρου, καὶ ἄλλος ἄλλου βαδίζει πλέον· καὶ σιμοῦ σιμότερός ἐστί τις, καὶ γλαυκοῦ γλαυκότερος.

κδ'. Οὐδεμία δὲ τῶν κοινῶς ἢ ἰδίως διαφορῶν συντελεῖ πρὸς τὸν ὁρισμόν. Ὑπογράφουσι γὰρ αὗται τὰ πράγματα, οὐ μὴν καὶ ὁρίζουσιν. Αἱ δὲ ἰδιαίτατα διαφοραὶ πράγματος ἑκάστου συμπληροῦσι τὸν ὁρισμόν.

κε'. Ἀναγκαῖον δὲ εἰδέναι, ὅτι (τε) τὸ τῆς οὐσίας ὄνομα καὶ ἐπὶ τῆς ἁπλῶς ὑπάρξεως ἐνίοτε τάττεται, καὶ ὅτι τὸ συμβεβηκὸς δηλοῖ ποτε τὸ οὐσιῶδες

vero vigilat; et alias quidem ægrotat, alias vero sanum est; et nunc quidem juvenescit, abhinc vero senescit. Hæc proinde et his similia dicuntur communiter differentiæ et separabilia accidentia.

19. Quoad autem accidens inseparabile a se ipso quidem non differt individuum, differt autem ab alio individuo. Veluti, aliquis simus est, fieri non potest ut ab eo simitas separetur: differt autem hic ab eo qui adunco naso est. Similiter et qui cæsios habet oculos, et qui cicatricem habet ex vulnere quasi callo obductam, a seipsis quidem non differunt, ab aliis autem differunt.

**112** 20. Sunt autem simitas et cæsius oculorum color, nigredo in Æthiope et in corvo, et albedo in cygno et hujuscemodi, accidentia inseparabilia: quomodo reipsa separari non possunt ab individuis in quibus sunt, quamvis et ipsa separantur animi notione seu conceptu, ut rerum naturam non labefaciant (seu corrumpant).

21. Quapropter omnis accidentis inseparabilis et separabilis est hæc communis definitio: Accidens est quod adest et abest circa subjecti corruptionem. Et rursus: Accidens est quod contingit eidem inesse aut non inesse. Contingit enim hominem et sedere et stare et ambulare, et esse simum ac non esse; et absente cæsio oculorum colore nihilominus homo manet; sed et cygnus cogitari potest niger, et corvus albus, et Æthiops colore abjecto; possuntque hæc omnia sine subjecti corruptione fieri.

22. Cum igitur tripliciter differentia dicatur, communiter et proprie et propriissime, omnis equidem differentia est (ut ita dicam) alteritas, et varium aliquid efficit cum adjungitur alicui, sed quæ quidem communiter et proprie sunt differentiæ, diversum, **113** quæ autem propriissime sunt, aliud efficiunt; quæ etiam quoad ipsam animi notionem sunt inseparabiles. Neque enim animal sensus expers aut hominem ratiocinandi facultate destitutum, aut equum a rationis experte conditione separatum licet animo concipere.

23. Hæ quidem igitur differentiæ quæ aliud faciunt cum per se sunt, tum magis et minus non recipiunt. Neque enim genus magis et minus prædicatur de eo cujus est genus; neque differentiæ generis secundum quas genus in species dividitur. Quæ vero aliud faciunt cum per accidens sunt, tum omnes intenduntur et remittuntur. Etenim aliquis plus sedet alio, et alius alio plus ambulat, et simo aliquis est magis simus, et cæsio aliquis magis est cæsius.

24. Nulla autem communiter aut proprie (dictarum) differentiarum ad definitionem confert. Hæ enim describunt quidem res, sed non etiam definiunt. Propriissime autem (dictæ) differentiæ definitionem complent cujusque rei.

25. Necessarium porro scitu est, quod essentiæ nomen nonnunquam etiam de simpliciter existentia adhibeatur; et quod accidens aliquando **114**

OCR ABK / FR

denotet proprium essentiale, ut quod accidat rei et cum ipsa concurrat. Dicimus enim essentiam coloris propterea quod et accidens in numero entium consistat, et ipsum quoquomodo sit. Et iterum dicimus conclusionem propositionibus accidere; hoc est naturaliter et essentialiter ad eas consequi.

26. Dicitur autem ejusmodi accidens, hoc est, essentiale proprium quodque omnino est inseparabile quoad ipsam etiam animi notionem, primo et per se inesse rei; ut corpori, patere in tres dimensiones; primo quidem, quia ei soli immediate inest; per se autem, quia essentialiter.

27. Non autem siquid per se, hoc etiam primo (inest rei). Latius enim patet quod per se inest eo quod primo inest. Etenim animal quod homini per se et essentialiter inest, non inest etiam primo. Animal enim est, si homo non est. At aliquid tres dimensiones habens non est, si corpus non sit; nec intelligentiæ et scientiæ capax, si homo non sit: nec conclusio, si propositiones non sint: nec definitio, cum abest definitum.

28. Quapropter etiam definitiones et primo insunt definitis, et essentialiter, siquidem proprie definitiones sunt.

115 29. Ex his (igitur) quæ per se et primo insunt demonstratio proprie dicta efficitur: nec vero ex accidentibus, vel ex his quæ quidem per se, non tamen primo rebus insunt.

A ἴδιον, ὡς συμβαῖνον καὶ συντρέχον τῷ πράγματι· Λέγομεν γὰρ τὴν οὐσίαν τοῦ χρώματος, διὰ τὸ ἐν τοῖς οὖσι τετάχθαι καὶ τὸ συμβεβηκὸς καὶ ὁπωσοῦν εἶναι αὐτό. Καὶ πάλιν λέγομεν συμβαίνειν ταῖς προτάσεσι τὸ συμπέρασμα, τουτέστι συνέπεσθαι φυσικῶς τε καὶ οὐσιωδῶς.

κϛʹ. Λέγεται δὲ τὸ τοιοῦτον συμβεβηκὸς, εἴτουν τὸ οὐσιῶδες, ἴδιον καὶ πάντη ἀχώριστον καὶ κατ' αὐτὴν τὴν ἐπίνοιαν, πρώτως καὶ καθ' αὑτὸ ὑπάρχειν τῷ πράγματι· ὡς τῷ σώματι, τὸ τριχῇ διαστατόν· πρώτως μὲν, ὅτι αὐτῷ μόνῳ ὑπάρχει ἀμέσως· καθ' ἑαυτὸ δὲ, ὅτι οὐσιωδῶς.

κζʹ. Οὐκ εἴ τι δὲ καθ' αὑτὸ, τοῦτο καὶ πρώτως. Ἐπὶ πλέον γὰρ τοῦ πρώτως τὸ καθ' αὑτό. Τὸ γὰρ ζῶον ὑπάρχον τῷ ἀνθρώπῳ καθ' αὑτὸ καὶ οὐσιω-
B δῶς, οὐχ ὑπάρχει καὶ πρώτως. Ἔστι γὰρ ζῶον ἀνθρώπου μὴ ὄντος. Τριχῇ δέ τι διαστατὸν, σώματος μὴ ὄντος, οὐκ ἔστιν· οὔτε νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ἀνθρώπου μὴ ὄντος· οὔτε συμπέρασμα, προτάσεων μὴ οὐσῶν· οὔτε ὁρισμὸς, ἀπόντος τοῦ ὁριστοῦ.

κηʹ. Διὸ καὶ οἱ ὁρισμοὶ καὶ πρώτως ὑπάρχουσι τοῖς ὁριστοῖς, καὶ οὐσιωδῶς, εἴ γε κυρίως εἰσὶν ὁρισμοί.

κθʹ. Ἐκ τούτων (οὖν) τῶν καθ' αὑτὰ καὶ πρώτως ἡ κυρίως ἀπόδειξις γίνεται· οὔτε δὲ ἐκ τῶν συμβεβηκότων, οὔτ' ἐκ τῶν καθ' αὑτὰ μὲν, μὴ πρώτως δὲ τοῖς πράγμασιν ὑπαρχόντων.

Σχῆμα κεφαλ. ιβʹ, Περὶ διαφορᾶς καὶ συμβεβηκότος.

Ἡ διαφορὰ
- ἡ οὐσιώδης, ἥτις καλεῖται ἰδιαίτατα, ὡς τὸ λογικόν·
- ἡ ἐπουσιώδης
  - ἡ κοινῶς, ὡς τὸ καθῆσθαι·
  - ἡ ἰδίως, ὡς τὸ φαλακρόν.

Ἡ διαφορὰ
- κοινῶς,
- ἰδίως,
- ἰδιαίτατα.

Τῶν διαφορῶν
- αἱ μὲν ἄλλο ποιοῦσιν, ὡς τὸ λογικόν·
- αἱ δὲ ἀλλοῖον, ὡς τὰ κοινῶς καὶ ἰδίως συμβεβηκότα.

Τῶν διαφορῶν
- αἱ μὲν χωρισταὶ,
  - αἱ μὲν κατ' αὐτό,
  - αἱ δὲ κατὰ συμβεβηκός.
- αἱ δὲ ἀχώριστοι.

---

*Tabula capitis 12, De differentia et accidente.*

Differentia (est)
- aut essentialis, quæ vocatur propriissime (differentia), ut rationale;
- aut essentiæ adjuncta
  - aut communiter, ut sedere,
  - aut proprie, ut calvum.

*Aliter.*

Differentia (tribus modis dicitur)
- communiter,
- proprie,
- propriissime.

Differentiarum
- aliæ faciunt aliud, ut rationale,
- aliæ diversum, ut communiter et proprie accidentia.

Differentiarum (sunt)
- aliæ separabiles
  - aliæ per se,
  - aliæ per accidens.
- aliæ inseparabiles.

OCR ABK / FR

## SYNOPSIS CAPITIS XIII.

DE PROPRIO; IN QUO ETIAM DE COMMUNI.

1. *Distinguit proprium in quatuor modos.* — 2. *Primum.* — 3. *Secundum.* — 4. *Tertium.* — 5. *Quartum.* — 6. *Occupatio.* — 7. *Ostendit quartum modum proprii proprie sic dici quia nimirum convertitur.* — 8. *Alia occupatio.* — 9. *Descriptio proprii.* — 10. *Exponit quamlibet speciem habere suum peculiare proprium quo etiam ab aliarum specierum communione dirimatur.* — 11. *Occupatio : quare homo duplex habeat proprium, aptitudinem ad ridendum et aptitudinem ad intelligentiam scientiamque accipiendam.* — 12. *Conclusio occupationis.* — 13. *Commune in quatuor modos distinguit.* — 14. *Primum.* — 15. *Secundum.* — 16. *Tertium.* — 17. *Quartum.* — 18. *Exempla commemorat quarti modi quo commune aliquid dicatur.* — 19. *Divisio proprii Platonica.*

—

## ΚΕΦΑΛ. ΙΓ'.

A

### Περὶ ἰδίου· ἐν ᾧ καὶ περὶ κοινοῦ.

α'. Τὸ ἴδιον λέγεται τετραχῶς.

β'. Ἢ ὃ παντὶ μὲν ὑπάρχει τῷ εἴδει, οὐ μόνῳ δέ· ὡς τῷ ἀνθρώπῳ τὸ δίπουν· πᾶς μὲν γὰρ ἄνθρωπος δίπους· οὐ μόνος ὁ ἄνθρωπος δίπους, ἀλλὰ καὶ ἕτερα ζῶα.

γ'. Ἢ ὃ μόνῳ μὲν, οὐ παντὶ δὲ, ὡς τῷ ἀνθρώπῳ τὸ φαλακρόν. καὶ γὰρ μόνος ὁ ἄνθρωπος φαλακρὸς, ἀλλ' οὐ πᾶς ἄνθρωπος φαλακρός.

δ'. Ἢ ὃ παντὶ καὶ μόνῳ, οὐκ ἀεὶ δὲ, ὡς τῷ ἀνθρώπῳ τὸ πολιοῦσθαι· οὐκ ἀεὶ γὰρ, ἀλλ' ἐν γήρᾳ, μένοντος τοῦ κατὰ φύσιν.

ε'. Τέταρτον, ἐφ' ᾧ συνδεδράμηκε τὸ παντὶ καὶ τὸ μόνῳ καὶ τὸ ἀεί· ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικόν. B Πᾶς γὰρ ἄνθρωπος, καὶ μόνος ἄνθρωπος, καὶ ἀεὶ, γελαστικός.

ϛ'. Γελαστικὸς δὲ λέγεται, οὐ τῷ ἀεὶ γελᾷν, ἀλλὰ τῷ πεφυκέναι γελᾷν.

ζ'. Τοῦτο τὸ τέταρτον κυρίως ἴδιον λέγεται· ὅτι καὶ ἀντιστρέφει. Πᾶς γὰρ ἄνθρωπος γελαστικὸς, καὶ πᾶν γελαστικὸν ἄνθρωπος.

η'. Εἰ γὰρ καὶ ὁ πίθηκος φαίνεται ἴσως γελῶν· ἀλλ' οὐκ ἔχει ἐν ἑαυτῷ τὴν δύναμιν τοῦ γελᾷν, οὐδὲ ταῖς ἀληθείαις γελᾷ· κατὰ μόνην δὲ τὴν ἐπιφάνειαν τὸ γελᾷν σχηματίζεται, τῷ μιμεῖσθαι τὸν ἄνθρωπον. Ζῶον γὰρ μιμηλότατον τυγχάνει ὁ πίθηκος. Οὕτω γελᾷν οἶμαι καὶ τὸν ἐρωδιὸν, διάκενον γέλωτος καὶ ψυχικῆς ἄμοιρον διαχύσεως. C

θ'. Ὑπογράφεται δὲ τὸ ἴδιον οὕτως· ἴδιόν ἐστι τὸ παντὶ καὶ μόνῳ τῷ εἴδει καὶ ἀεὶ ὑπάρχον.

ι'. Ἑκάστῳ μὲν οὖν εἴδει τῶν ζώων ἐξαίρετόν ἐστιν ἴδιον· τῷ ἀνθρώπῳ τὸ γελαστικὸν, τῷ ἵππῳ τὸ χρεμετιστικὸν, τῷ κυνὶ τὸ ὑλακτικόν· καὶ τοῖς ἄλλοις ἕτερα ἴδια. Κατὰ ταῦτα γὰρ διαχωρίζονται τῆς κοινωνίας ἀλλήλων τὰ εἴδη, καὶ διὰ τοῦτο λέγονται ἴδια· διὰ τὸ ἰδιαζόντως προσεῖναι τοῖς εἴδεσιν, ὧν εἰσιν ἴδια, μηδεμίαν κοινωνίαν ἔχοντος τοῦ εἴδους πρὸς ἕτερον εἶδος κατὰ τὸ ἴδιον.

ια'. Ἐπεὶ δὲ ὁ ἄνθρωπος ὑπάρχει διπλοῦς (μετέχει γὰρ καὶ τῆς τῶν ἀλόγων ζωῆς, καὶ τῆς τῶν D

## CAPUT XIII.

### *De proprio; in quo etiam de communi.*

1. Proprium quatuor modis dicitur.

2. Aut quod omni speciei, sed non soli, inest, ut homini bipes; omnis enim quidem homo bipes, sed non solus homo bipes est, verum etiam alia animalia.

3. Aut quod soli quidem, sed non omni : ut homini calvum; solus enim **117** homo calvus est, sed non omnis homo calvus est.

4. Aut quod omni et soli, sed non semper, ut homini canescere; non enim semper, sed in senectute (canescit), manente eo quod secundum naturam est.

5. Quartum, in quo (hæc) concurrunt, omni et soli et semper; ut homini aptum esse ad ridendum. Omnis enim homo et solus homo et semper, ad ridendum aptus est.

6. Dicitur autem aptus ad ridendum, non quod semper rideat, sed quod naturalem ridendi facultatem habeat.

7. Hoc quartum, proprie (seu principaliter) proprium dicitur : propterea quod etiam convertitur. Omnis enim homo ad ridendum aptus est, et omne quod ad ridendum aptum est, homo est.

8. Etsi enim etiam simia forte ridens conspicitur, in seipsa tamen facultatem ridendi non habet, neque ridet revera; sed quoad solam superficiem τo ridere figuratur, dum hominem imitatur. Etenim animal istud imitationis est studiosissimum et peritissimum. Sic et erodium (alii ardeolam, alii fulicam reddunt) ridere opinor, cum intus sit a risu vacuus, et expers ejus effusionis (et lætitiæ) quæ est ab anima.

**118** 9. Porro proprium sic describitur : proprium est quod omni et soli speciei et semper inest.

10. Cuivis ergo quidem speciei animalis peculiare proprium est : homini aptum esse ad ridendum, equo aptum esse ad hinniendum, cani aptum esse ad latrandum; et aliis alia propria. Quoad hæc enim species a communione quam habent a se invicem dirimuntur; ac ob id propria dicuntur, quod singulariter adsint iis speciebus quarum sunt propria, ut quoad proprium species ad aliam speciem communionem nullam habeat.

11. Quoniam autem homo duplex est (nam et ratione destitutorum vitam et ratione præ-



OCR ABK / FR

ditorum intellectionem participat, ut qui ter- A renus sit et cœlestis, mortalis et immortalis, visibilis et intelligibilis), quatenus quidem cum rationis expertibus communicat, proprium etiam habet, τὸ ad ridendum aptum esse. Quippe aptitudo ad ridendum facultas est animæ ratione carentis quæ per musculos operatur; quemadmodum etiam hinniendi aptitudo et similia; quatenus vero cum ratione præditis communicat, τὸ intelligentiæ et scientiæ capax pro proprio obtinet:
**119** quod animæ ratione præditæ facultas est.

λογικῶν νοήσεως, ἐπίγειος ὢν καὶ οὐράνιος, θνητὸς καὶ ἀθάνατος, ὁρατὸς καὶ νεούμενος), καθὸ μὲν κοινωνεῖ τοῖς ἀλόγοις, ἔχει καὶ τὸ γελαστικόν. Ἔστι γὰρ τὸ γελαστικὸν δύναμις τῆς ἀλόγου ψυχῆς ἐνεργουμένη διὰ τῶν μυῶν· ὡς καὶ τὸ χρεμετιστικὸν καὶ τὰ τοιαῦτα· καθὸ δὲ τοῖς λογικοῖς κοινωνεῖ, τὸ νοῦ καὶ ἐπιστήμης δεκτικὸν κέκτηται ἴδιον· τοῦτο δὲ τῆς λογικῆς ψυχῆς ἐστι δύναμις·

12. Homo igitur singula habet propria communibus singulis convenientia.

13. Cæterum etiam commune quatuor modis dicitur.

14. Vel enim id quod in partes potest dividi, ut ager communis.

15. Vel id quod citra divisionem in communem B usum assumitur (et adhibetur), ut unus servus, aut unus equus diversorum dominorum.

16. Vel id quod in præoccupatione proprium efficitur, quomodo locus qui in theatro communis est, fit proprius ejus qui præoccupavit ipsum.

17. Vel quod in æquo participatur, ut vox præconis.

18. Quoad hoc significatum et materia omnibus quæ sunt communis est, et genera atque differentiæ speciebus ipsa participantibus communia: animal universis animalibus commune est, et rationale universis rationalibus, et irrationale universis irrationalibus: et sic in aliis convenienter se res habet. Quoad hoc significatum etiam in homonymis (æquivocis) nomen solum commune; in synonymis C (univocis) et nomen et quoad nomen definitio communis est. Et est commune, quod in multis consideratur, aut de multis prædicatur.

**120** 19. Ad extremum Platonici proprium tribus modis accipiunt; a coagmentatione partium instrumentalium, ut biceps amphisbænæ, ab actu, ut oblique ambulans cancro: a potentia, ut igni urendi facultas. Etenim ignis magis quam quodvis aliud corpus potest urere.

ιβ'. Ἔχει τοίνυν ὁ ἄνθρωπος ἕκαστον ἴδιον κατάλληλον ἑκάστῳ κοινῷ.

ιγ'. Λέγεται δὲ καὶ τὸ κοινὸν τετραχῶς.

ιδ'. Ἢ γὰρ τὸ εἰς μέρη διαιρετὸν, ὡς ἀγρὸς κοινός.

ιε'. Ἢ τὸ ἀδιαιρέτως ἐν χρήσει κοινῇ λαμβανόμενον, ὡς εἷς δοῦλος, ἢ εἷς ἵππος, δεσποτῶν διαφόρων.

ιϛ'. Ἢ τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον, ὡς ὁ ἐν θεάτρῳ τόπος κοινὸς ὢν, ἴδιος γίνεται τοῦ προκαταλαβόντος αὐτόν.

ιζ'. Ἢ τὸ ἐπίσης μετεχόμενον, ὡς ἡ φωνὴ τοῦ κήρυκος.

ιη'. Κατὰ τοῦτο τὸ σημαινόμενον ἥ τε ὕλη πᾶσι τοῖς οὖσι κοινὴ, καὶ τὰ γένη καὶ αἱ διαφοραὶ κοινὰ τοῖς αὐτῶν μετέχουσιν εἴδεσι· τὸ ζῶον ὅλοις τοῖς ζώοις κοινὸν, καὶ τὸ λογικὸν ὅλοις τοῖς λογικοῖς, καὶ τοῖς ἀλόγοις τὸ ἄλογον· καὶ ἐπὶ τῶν ἄλλων ἁρμοζόντως. Κατὰ τὸ τοιοῦτον τοῦ κοινοῦ σημαινόμενον, καὶ ἐπὶ τῶν ὁμωνύμων τὸ ὄνομα μόνον κοινόν· ἐπὶ δὲ τῶν συνωνύμων τό τε ὄνομα καὶ ὁ κατὰ τοὔνομα λόγος. Ἔστι δὲ κοινὸν τὸ ἐν πολλοῖς θεωρούμενον, ἢ τὸ πολλῶν κατηγορούμενον.

ιθ'. Τὸ δὲ ἴδιον οἱ Πλατωνικοὶ τριχῶς ἐκλαμβάνονται· ἀπὸ τῆς διοργανώσεως, ὡς τὸ δικέφαλον τῇ ἀμφισβαίνῃ· ἀπὸ τῆς ἐνεργείας, ὡς τὸ λοξοβαδιστικὸν τῷ καρκίνῳ· ἀπὸ τῆς δυνάμεως, ὡς τὸ καυστικὸν τῷ πυρί. Δύναται γὰρ ὑπὲρ πᾶν ἕτερον σῶμα καίειν τὸ πῦρ.

Σχῆμα κεφαλ. ιγ', περὶ ἰδίου, ἐν ᾧ καὶ περὶ κοινοῦ.

Τὸ ἴδιον
- ὃ παντὶ μὲν ὑπάρχει, μὴ μόνῳ δὲ, ὡς τῷ ἀνθρώπῳ τὸ δίπουν·
- ὃ μόνῳ, οὐ παντί· ὡς τὸ φαλακρὸν ἢ γραμματικόν·
- ὃ μόνῳ καὶ παντὶ, οὐκ ἀεὶ δέ· ὡς τῷ ἀνθρώπῳ τὸ πολιοῦσθαι·
- ὃ μόνῳ καὶ παντὶ καὶ ἀεί· ὡς τῷ ἀνθρώπῳ τὸ γελαστικὸν, ὃ καὶ κυρίως ἴδιόν ἐστι.

Τὸ κοινὸν
- τὸ εἰς μέρη διαιρετὸν, ὡς ἀγρὸς κοινός·
- τὸ ἀδιαιρέτως ἐν χρήσει κοινῇ λαμβανόμενον, ὡς εἷς δοῦλος δύο δεσποτῶν.
- τὸ ἐν προκαταλήψει ἰδιοποιούμενον, ὡς ὁ ἐν θεάτρῳ τόπος·
- τὸ ἐπίσης μετεχόμενον, ὡς ἡ φωνὴ τοῦ κήρυκος τοῖς ἀκούουσι.

Τὸ ἴδιον ἐκλαμβάνουσιν οἱ Πλατωνικοί
- ἀπὸ τῆς διοργανώσεως, ὡς τὸ δικέφαλον τῇ ἀμφισβαίνῃ·
- ἀπὸ τῆς ἐνεργείας, ὡς τὸ λοξοβαδιστικὸν τῷ καρκίνῳ·
- ἀπὸ τῆς δυνάμεως, ὡς τὸ καυστικὸν τῷ πυρί.

OCR ABK / FR

*Tabula capitis 13, de proprio, in quo etiam de communi.*

| | |
|---|---|
| Proprium (dicitur quatuor modis): | quod omni quidem inest, sed non soli, ut homini bipes;<br>quod soli, sed non omni, ut calvum aut grammaticum (homini);<br>quod soli et omni, sed non semper, ut homini canescere;<br>quod soli et omni et semper, ut homini aptum esse ad ridendum; quod etiam proprie (principaliter) proprium est. |
| **121** Commune (dicitur quatuor modis): | quod in partes potest dividi, ut ager communis;<br>quod citra divisionem in communem usum assumitur, ut unus servus duorum dominorum;<br>quod præoccupatione proprium fit, ut locus in theatro;<br>quod ex æquo participatur, ut vox præconis ab audientibus |
| Proprium accipiunt Platonici (tribus modis): | a partium instrumentalium coagmentatione, ut biceps amphisbænæ;<br>ab actu, ut oblique gradiens cancro;<br>a potentia, ut urendi facultas igni. |

—

## SYNOPSIS CAPITIS XIV,

### QUOD EST DE PRÆDICAMENTIS.

1. *Eorum quæ sunt et dicuntur quadrimembris divisio.* — 2. *Quarti membri subdivisio in decem prædicamenta quibus omnia entia includuntur.* — **122** 3. *Causa finalis propter quam decem prædicamenta a philosophis constituta et his omnia entia comprehensa fuerint, entium nimirum omnium scientia.* — 4. *Modus quo prædicamenta inventa sint, et primo quidem substantiæ prædicamentum.* — 5. *Quomodo accidentium prædicamenta.* — 6. *Quantitatis.* — 7. *Qualitatis.* — 8. *Relatorum, ubi etiam relata generaliter describit.* — 9. *Ubi.* — 10. *Quando.* — 11. *Agere.* — 12. *Pati.* — 13. *Quid agere et pati.* — 14. *Habere, quod etiam describit.* — 15. *Situm esse.* — 16. *Situm esse quid.* — 17. *Divisio* τοῦ *situm esse prima.* — 18. *Divisio secunda.* — 19. *Divisio tertia.* — 20. *Divisio quarta.* — 21. *Conclusio modi quo inventa et constituta sunt decem prædicamenta.* — 22. *In his omnibus complexis nec veritatem nec falsitatem esse, nisi complexione quadam conjungantur, ut propositio efficiatur.* — 23. *Occupatio de verbis primæ et secundæ personæ.*

—

A

## ΚΕΦΑΛ. ΙΔ'.

### Περὶ τῶν κατηγοριῶν.

α'. Τὰ λεγόμενα καὶ ὄντα, ἢ τῇ μὲν προφορᾷ εἰσιν ἁπλᾶ, τῷ δὲ σημαινομένῳ συμπεπλεγμένα (ὡς τὸ τρέχω. Τὸ γὰρ τρέχω ἁπλοῦν μὲν ἐστι τῇ προφορᾷ καὶ ἀσύνθετον, τῷ δὲ σημαινομένῳ, συμπεπλεγμένον καὶ σύνθετον. Δηλοῖ γὰρ ἐμὲ, καὶ τὸν δρόμον, τουτέστιν οὐσίαν καὶ ἐνέργειαν)· ἢ τῇ μὲν προφορᾷ ὑπάρχουσι σύνθετα, τῷ σημαινομένῳ δέ γε ἁπλᾶ (ὡς ὅτε λέγει τις πράγματος ὁρισμόν· ἓν γὰρ τότε δηλοῖ διὰ τῆς συνθέτου φωνῆς, ἐκεῖνο δηλονότι τὸ πρᾶγμα, ὅπερ ὁρίζεται)· ἢ καὶ τῇ προφορᾷ καὶ τῷ σημαινομένῳ συμπεπλεγμένα εἰσὶ τὰ λεγόμενα· ὡς τὸ Παῦλος δημηγορεῖ· ἢ καὶ τῇ προφορᾷ καὶ τῷ σημαινομένῳ ἁπλᾶ.

B

β'. Τούτων τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων ἕκαστον ἢ οὐσίαν σημαίνει, ἢ ποσὸν, ἢ ποιὸν, ἢ πρός τι, ἢ πότε, ἢ ποιεῖν, ἢ πάσχειν, ἢ ἔχειν, ἢ κεῖσθαι. Πάντα γὰρ τὰ ὄντα ὑπὸ τὰς δέκα ταύτας κοινότητας ἀναφέρονται· καὶ οὐκ ἔστι τῶν ὄντων οὐδὲν, ὃ μὴ ταύταις ἐμπερικλείεται.

γ'. Καὶ γὰρ οἱ φιλόσοφοι πάντων τῶν ὄντων ἐπιστήμονες εἶναι βουλόμενοι, ἐπεὶ τῶν κατὰ μέρος ἐπιστήμη οὐκ ἔστι διά τε τὸ πολυάριθμον αὐτῶν καὶ τὸ ἀεὶ γεννητὸν καὶ φθαρτὸν, ταῖς εἰρημέναις κοινότησι τὰ πάντα συμπεριώρισαν.

δ'. Καὶ τοὺς μὲν κατὰ μέρος ἀνθρώπους, καὶ τοὺς κατὰ μέρος ἵππους ἐπισκεψάμενοι πρότερον ὅπως ἔχουσι φύσεως, ἐπὶ τὸν καθόλου ἄνθρωπον καὶ τὸν

## CAPUT XIV.

### De prædicamentis.

1. Quæ dicuntur et sunt, vel sunt prolatione quidem simplicia, significato autem complexa: ut τὸ curro (τὸ curro enim, prolatione quidem simplex est et incompositum; significato autem complexum et compositum est: quippe me et cursum, hoc est, substantiam et actum declarat), vel prolatione quidem sunt composita, sed tamen significato simplicia (ut quando quis rei definitionem dicit; **123** etenim unum tunc voce composita declarat, eam nimirum rem quæ definitur), vel ea quæ dicuntur, et prolatione et significato complexa sunt, ut, Paulus concionatur: vel et prolatione et significato sunt simplicia.

2. Horum quæ citra omnem complexionem dicuntur quodvis, aut substantiam significat, aut quantum, aut quale, aut ad aliquid, aut ubi, aut aliquando, aut agere, aut pati, aut habere, aut situm esse. Omnia enim quæ sunt, sub decem has communitates referuntur: nec ullum ens est, quod his non includatur.

3. Etenim philosophi, cum omnium eorum quæ sunt scientes esse vellent, quia particularium, et propter numerosam multitudinem, et perpetuam generationem corruptionemque suam non est scientia, dictis communitatibus omnia circumscripserunt.

4. Et hominum particularium et particularium equorum considerata prius natura, quam habeant, ad universalem hominem et universalem equum,

OCR ABK / FR

hoc est, ad hominis et equi speciem, ascenderunt. Hoc autem etiam in aliis particularibus animalibus cum fecissent ab his quæ mutationi et alterationi sunt obnoxia ad ea quæ mutationis et alterationis sunt expertia, transierunt. Particularia enim quidem mutationi et alterationi sunt **124** obnoxia : universalibus autem convenit ut eodem modo se semper habeant. Quoniam autem etiam hujuscemodi species non omnes dianœa possunt comprehendi (multæ enim earum ignorantur a nobis), universaliore alio inquisito animal repererunt. Eodem præterea modo particularibus plantis ad universalem plantam et plantanimalibus ad plantanimal collectis ; omnia hæc, animal, plantam, plantanimal, animato constrinxerunt. Sed et porro inanimatas naturas contemplati, lignum, lapidem, ferrum et similia ; his universale inanimatum constituerunt : et hoc cum animato per corpus colligarunt. Quia autem etiam angelum et animam esse cognoverunt, quæ corporis naturam non participant (hoc enim in partes est dividuum, et tres dimensiones habet : illa vero partium prorsus sunt expertia et nullam dimensionem obtinent, non longitudinem, non latitudinem, non profunditatem), per substantiam corpus cum incorporeo univerunt, adeoque **125** substantia horum omnium quæ per se exsistunt, commune genus facta est.

5. Quoniam autem res quædam in substantia sunt nec in seipsis exsistentiam habent, ita etiam de his considerationem susceperunt.

6. Duo quædam et tria et decem et viginti inventa ad numerum : magnum autem et parvum et quæ sunt hujus generis, ad magnitudinem reduxerunt : numerum denique et magnitudinem quanto comprehenderunt. Duas proinde communitates habuerunt, quæ multas res continerent, substantiam (scilicet) et quantitatem.

7. Rursus aliquid album est, nigrum, fulvum (gilvum), hæc sub colore coacervarunt. Estque aliquid dulce, amarum, calidum, frigidum : hæc sane et colorem et artes et scientias una communitate, qualitate circumscripserunt. Est autem qualitas a qua quod ipsam participat, denominative, aut alio quoquo modo denominatur ; ut a grammatica grammaticus, a virtute vir bonus.

8. Quia vero porro et dextrum est aliquid et sinistrum, et duplum et dimidium : talia ei quod est ad aliquid attribuerunt. Sunt autem ad aliquid, alterius ad alterum **126** habitudo, seu respectus.

9. Iterum aliquid est in mente, in foro, in theatro : talia communitati τοῦ ubi adaptarunt ; τὸ ubi autem loci exhibitivum est : suntque tot illius differentiæ quot loci : sursum, deorsum : dextrum, sinistrum : ante, post.

10. Jam vero heri, et prælerito anno, et hodie, et cras, et quotquot sunt hujus generis ad quando collegerunt ; hoc autem temporis significativum est. Suntque differentiæ τοῦ quando, quot etiam temporis sunt, præsens, præteritum, et futurum.

A καθόλου ἵππον ἀνέδραμον, τουτέστιν ἐπὶ τὸ εἶδος τοῦ ἀνθρώπου καὶ ἐπὶ τὸ εἶδος τοῦ ἵππου. Τοῦτο δὲ κἀπὶ τῶν ἄλλων ζώων πεποιηκότες τῶν μερικῶν, ἀπὸ τῶν τρεπτῶν καὶ ἀλλοιωτῶν μετέβησαν ἐπὶ τὰ ἄτρεπτά τε καὶ ἀναλλοίωτα. Τρεπτὰ μὲν γὰρ καὶ ἀλλοιωτὰ ὑπάρχει τὰ μερικὰ, τοῖς δὲ καθόλου τὸ ἀεὶ ὡσαύτως ἔχειν ἐστίν. Ἐπεὶ δὲ καὶ τῶν τοιούτων εἰδῶν οὐκ ἔστιν ἅπαντα τῇ διανοίᾳ περιληπτὰ (πολλὰ γὰρ αὐτῶν ἀγνοεῖται ἡμῖν), τὸ καθολικώτερον αὖθις ζητήσαντες εὗρον τὸ ζῶον. Ὡσαύτως δὲ καὶ τὰ κατὰ μέρος φυτὰ πρὸς τὸ καθόλου συναγαγόντες φυτὸν, καὶ πρὸς τὸ ζωόφυτον τὰ ζωόφυτα· ταῦτα πάντα, τὸ ζῶον, τὸ φυτὸν, τὸ ζωόφυτον, τῷ ἐμψύχῳ συνέδησαν. Θεωρήσαντες δὲ καὶ (τὰς) ἀψύχους φύσεις, τὸ ξύλον, τὸν λίθον, τὸν σίδηρον καὶ τὰ ὅμοια, τὸ καθόλου ἄψυχον δι' αὐτῶν συνεστήσαντο· καὶ
B τοῦτο μετὰ τοῦ ἐμψύχου συνῆψαν διὰ τοῦ σώματος. Ὅτι δὲ καὶ ἄγγελον ἔγνωσαν εἶναι καὶ ψυχὴν, οὐ μετέχει δὲ ταῦτα τῆς τοῦ σώματος φύσεως (τὸ μὲν γὰρ μεριστὸν, καὶ τρεῖς ἔχον διαστάσεις· τὰ δὲ παντελῶς ἀμερῆ, καὶ μηδεμίαν κεκτημένα διάστασιν· οὐ μῆκος, οὐ πλάτος, οὐ βάθος), διὰ τῆς οὐσίας ἥνωσαν τῷ σώματι τὸ ἀσώματον, καὶ γέγονε ἡ οὐσία πάντων τούτων αὐθυπάρκτων ὄντων γένος κοινόν.

ε'. Ἐπεὶ δέ τινα τῶν πραγμάτων ἐν τῇ οὐσίᾳ, μὴ μέντοι ἐν ἑαυτοῖς τὴν ὕπαρξιν ἔχουσιν, οὕτω καὶ περὶ τούτων ἐσκέψαντο.

ϛ'. Δύο τινὰ καὶ τρία, καὶ δέκα καὶ εἴκοσιν εὑρη-
C κότες, ἀνήγαγον ἐπὶ τὸν ἀριθμόν· μέγα δὲ καὶ μικρὸν καὶ τὰ τοιαῦτα ἐπὶ τὸ μέγεθος· τὸν ἀριθμὸν δὲ καὶ μέγεθος περιέλαβον τῷ ποσῷ. Δύο γοῦν ἔσχον κοινότητας περιεκτικὰς πραγμάτων πολλῶν, τὴν οὐσίαν καὶ τὸ ποσόν.

ζ'. Πάλιν ἔστι τι λευκὸν, μέλαν, κιῤῥόν· ταῦτα ὑπὸ τὸ χρῶμα συνήθροισαν. Ἔστι δέ τι γλυκὺ, πικρὸν, θερμὸν, ψυχρόν· ταῦτα δὴ καὶ τὸ χρῶμα, καὶ τὰς τέχνας, καὶ τὰς ἐπιστήμας μιᾷ κοινότητι περιέγραψαν, τῷ ποιῷ. Ποιὸν δέ ἐστιν, ἀφ' οὗ παρωνύμως ὀνομάζεται τὸ μετέχον, ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτοῦ· ὡς ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς, καὶ ἀπὸ τῆς ἀρετῆς ὁ σπουδαῖος.

η'. Ὅτι δὲ καὶ δεξιὸν ἔστι τι καὶ ἀριστερὸν, καὶ
D διπλάσιον καὶ ἥμισυ· τὰ τοιαῦτα τῷ πρός τι ἀπένειμαν. Ἔστι δὲ τὰ πρός τι σχέσις ἑτέρου πρὸς ἕτερον.

θ'. Πάλιν ἔστι τι ἐν νῷ, ἐν ἀγορᾷ, ἐν θεάτρῳ, τῇ τοῦ ποῦ κοινότητι τὰ τοιαῦτα προσήρμοσαν. Τόπου δὲ παραστατικὸν ὑπάρχει τὸ ποῦ· διαφοραὶ δὲ αὐτοῦ ὅσαι καὶ τοῦ τόπου· ἄνω, κάτω, δεξιὰ, ἀριστερὰ, ἔμπροσθεν, ὄπισθεν.

ι'. Τὸ δὲ χθὲς καὶ πέρυσι καὶ σήμερον, καὶ αὔριον, καὶ ὅσα τοιαῦτα, ἐπὶ τοῦ πότε συνήγαγον· τὸ δὲ ἐστι χρόνου σημαντικόν. Διαφοραὶ δὲ τοῦ πότε, ὅσαι καὶ τοῦ χρόνου· ἐνεστὼς, παρεληλυθὼς, καὶ μέλλων.

OCR ABK / FR

ια'. Τὸ δὲ τύπτειν, τὸ θερμαίνειν, τὸ ψύχειν καὶ τὰ τοιαῦτα, ἤγουν παραπλήσια, ἐν τῷ ποιεῖν ἔθεσαν. A

ιβ'. Ὥσπερ αὖ ἐν τῷ πάσχειν, τὸ τύπτεσθαι, τὸ θερμαίνεσθαι, τὸ ψύχεσθαι, καὶ τὰ ὅμοια.

ιγ'. Ἔστι δὲ ποιεῖν μὲν τὸ δρᾷν περί τι, πάσχειν δὲ τὸ ὑφ' ἑτέρου ἀλλοιοῦσθαι.

ιδ'. Πάλιν ἐπειδή ἐστι τὸ ὑποδεδέσθαι, ὡπλίσθαι, δακτύλιον φορεῖν, τὰ ἐοικότα πάντα ταῦτα τῷ ἔχειν δεδώκασιν. Ἔστι δὲ τὸ ἔχειν οὐσίας περὶ οὐσίαν περίθεσις.

ιε'. Τὸ δὲ ἑστάναι, καὶ ἀνακεῖσθαι, καὶ καθῆσθαι, γένει κοινῷ τῷ κεῖσθαι ὑπέταξαν.

ις'. Κεῖσθαι δέ ἐστιν ἡ τοιάδε θέσις τοῦ σώματος.

ιζ'. Εἰ μὲν γὰρ ὄρθια τὰ μέλη πάντα εἰσὶν, ἑστάναι λέγεται· εἰ δ' ὕπτια πάντα, ἀνακεῖσθαι καὶ ἀνακεκλίσθαι. Εἰ δὲ τὰ μὲν ὀρθιάζοντα, τὰ δ' ὑπτιάζοντά πως, καθῆσθαι. B

ιη'. Τοῦ δὲ κεῖσθαι τὰ μὲν φύσει μετέχει, ὡς τὰ τέσσαρα στοιχεῖα, ἐν τοῖς ἰδίοις ἱδρυμένα, καὶ ὁ οὐρανὸς τὴν ἀνωτάτω χώραν ἐπέχων· τὰ δὲ θέσει, ὡς ἀνδριάντες, καὶ κίονες, καὶ σκεύη καὶ ὅλως τὰ κατὰ τέχνην τινὰ ἢ χρείαν τιθέμενα.

ιθ'. Ἔτι τὰ μὲν ἐν στάσει ἔχει τὴν θέσιν, ὡς ἡ γῆ· τὰ δ' ἐν κινήσει, ὡς τὰ οὐράνια σώματα.

κ'. Ἔτι τὰ μὲν διαμένον ἔχει τὸ κεῖσθαι, ὡς τὰ στοιχεῖα καὶ οὐρανός· τὰ δ' ἔγχρονον, ὡς τὰ ἐν μέρει χρόνου ὑφεστῶτα.

κα'. Οὕτω μὲν οὖν οἱ φιλόσοφοι τὰς τοιαύτας δέκα γενικωτάτας ἐξεῦρον κοινότητας. C

κβ'. Ἕκαστον δὲ τῶν κατὰ μηδεμίαν συμπλοκὴν λεγομένων αὐτὸ καθ' αὑτὸ πρᾶγμα μὲν ἐξ ἀνάγκης δηλοῖ, ψεῦδος δὲ ἢ ἀλήθειαν οὐδαμῶς· τῇ δὲ πρὸς ἄλληλα τούτων συμπλοκῇ ἢ ἀλήθεια, ἢ ψεῦδος ἀκολουθεῖ. Ἂν μὲν γὰρ εἴπω, ἄνθρωπος, ἢ ἵππος, ἢ τρέχει, ἢ ἵσταται· πρᾶγμα μὲν σημαίνω ἁπλῶς, οὐκ ἀληθεύω δὲ, οὐδὲ ψεύδομαι· ἐὰν δὲ συμπλέξας ἐρῶ, ἄνθρωπος τρέχει, ἢ ἵππος ἵσταται, τότ' ἐξ ἀνάγκης ἢ ἀληθεύω ἢ ψεύδομαι.

κγ'. Τὰ μὲν οὖν πρῶτα καὶ δεύτερα πρόσωπα, διὰ τὸ εἶναι ὡρισμένα, ὡς τὸ τρέχω καὶ τρέχεις, συμπεπλεγμένα εἰσὶ τῷ σημαινομένῳ· τὰ δὲ τρίτα, διὰ τὸ εἶναι ἀόριστα, μετὰ τῶν ἁπλῶν ἐτάχθησαν. D

11. At τὸ verberare, τὸ calefacere, τὸ refrigare, et hujuscemodi, hoc est, cognata, in τῷ agere reposuerunt.

12. Quemadmodum vicissim in τῷ pati, τὸ verberari, τὸ calefieri, τὸ refrigerari, et similia.

13. Est autem agere quidem operari circa aliquid : pati vero est alterari ab alio.

14. Rursus quoniam est calceatum esse, armatum esse, annulum gestare, omnia his convenientia τῷ habere attribuerunt. Estque τὸ habere substantiæ circa substantiam positio.

15. At τὸ stare, et jacere (recumbere), et sedere, communi generi quod est situm esse subjecerunt.

16. Est autem τὸ situm esse certo quodam modo affecta positio.

**127** 17. Si enim membra omnia recta sunt, stare; si omnia supina, jacere (accumbere). Si quædam erecta, quædam resupina sunt, sedere dicitur.

18. Porro τὸ situm esse quædam natura quodammodo participant, ut quatuor elementa in propriis locis collocata, et cœlum quod superiorem regionem obtinet; quædam positione, ut statuæ et columnæ, et supellectilia, et in universum ea quæ secundum artem aut usum ponuntur.

19. Præterea alia in statu situm habent, ut terra : alia in motu, ut corpora cœlestia.

20. Insuper alia quidem habent situm esse permanens, ut elementa et cœlum : alia temporarium, ut quæ in parte temporis subsistunt.

21. Sic quidem igitur philosophi hujuscemodi decem generalissimas communitates invenerunt.

22. Porro quodvis eorum quæ citra omnem complexionem dicuntur, ipsum seipso rem quidem necessario, falsitatem autem vel veritatem nequaquam declarat; sed mutuam eorum complexionem vel veritas vel falsitas comitatur. Cum enim quidem dixero, homo aut equus, aut currit, aut stat, rem quidem simpliciter significo; non autem verum vel falsum dico. Quando autem complexione **128** facta dico, homo currit, aut equus stat, tum necessario aut verum aut falsum dico.

23. Primæ quidem igitur et secundæ personæ, propterea quod definitæ sint, ut curro et curris, significato complexæ sunt; tertiæ autem propterea quia infinitæ sunt, cum simplicibus collocatæ sunt.

Σχῆμα κεφαλ. ιδ', περὶ τῶν κατηγοριῶν.

Τὰ λεγόμενα καὶ ὄντα
- ἢ τῇ μὲν προφορᾷ εἰσιν ἁπλᾶ, τῷ δὲ σημαινομένῳ σύνθετα, ὡς τὸ τρέχω·
- ἢ τῇ μὲν προφορᾷ σύνθετα, τῷ δὲ σημαινομένῳ ἁπλᾶ, ὡς οἱ ὁρισμοί.
- ἢ καὶ τῇ προφορᾷ καὶ τῷ σημαινομένῳ ἁπλᾶ
  - οὐσία, ὡς ἄνθρωπος, βοῦς·
  - ποσὸν, ὡς δίπηχυ·
  - ποιὸν, ὡς λευκὸν, μέλαν·
  - πρός τι, ὡς πατὴρ, υἱός·
  - ποῦ, ἐν λυκείῳ·
  - πότε, χθὲς, πέρυσι·
  - ποιεῖν, ψύχειν, θερμαίνειν·
  - πάσχειν, θερμαίνεσθαι, ψύχεσθαι·
  - ἔχειν, ὑποδεδέσθαι·
  - κεῖσθαι, καθῆσθαι.

OCR ABK / FR

| | |
|---|---|
| Τὰ κείμενα | τὰ μὲν φύσει, ὡς τὰ στοιχεῖα·<br>τὰ δὲ θέσει, ὡς ἀνδριάντες καὶ (τὰ) σκεύη. |
| Τὸ κεῖσθαι | ἵστασθαι,<br>ἀνακεῖσθαι,<br>καθῆσθαι. |
| Ἄλλως· τὰ κείμενα | ἢ διαμένον ἔχει τὸ κεῖσθαι, ὡς τὰ στοιχεῖα·<br>ἢ ἔγχρονον, ὡς τὰ τεχνητά. |

—

A

*Tabula capitis 14, de prædicamentis.*

| | | |
|---|---|---|
| Quæ dicuntur et sunt | aut prolatione quidem sunt simplicia, significato autem composita, ut τὸ curro; | |
| | aut prolatione quidem sunt composita, significato autem simplicia, ut definitiones; | |
| | aut prolatione et significato sunt composita, ut propositiones. | |
| | aut et prolatione et significatio sunt simplicia, | substantia, ut homo, bos;<br>quantum, ut bicubitum;<br>quale, ut album, nigrum;<br>ad aliquid, ut pater et filius;<br>ubi, ut in lyceo;<br>quando, ut heri, anno præterito;<br>agere, ut refrigerare, calefacere;<br>pati, ut calefieri, refrigorari;<br>habere, ut calceatum esse;<br>situm esse, ut sedere. |

| | |
|---|---|
| **120** Quæ sita sunt | alia natura sita sunt, ut elementa;<br>alia positu (seu arbitrio humano), ut statuæ et supellectilia. |
| Situm esse est (vel) | stare,<br>jacere,<br>sedere. |
| Aliter quæ ista sunt | vel permanens habent τὸ situm esse, ut elementa;<br>vel temporarium, ut artificialia (seu arte facta). |

—

## SYNOPSIS CAPITIS XV.

ADHUC DE PRÆDICAMENTIS.

1. *Divisio entium bimembris et utriusque membri subdivisio.* — 2. *Subjecti homonymia et* κατηγορίας *etymon.* — 3. *Subjectum ad exsistentiam quid.* 4. *Subjectum ad prædicationem quid.* — 5. *Idem exemplis declarat.* — 6. *Canon duplex discernendi subjectum ad exsistentiam et ad prædicationem.* — 7. *Herminia primariæ divisionis.* — 8. *Item subdivisionis prioris et tacite etiam posterioris.* — 9. *Ut melius intelligantur superiores divisiones ostendit, quæ tantum de subjecto dicantur, et quæ tantum subjecta sint, et quæ denique tum de subjecto dicantur, tum subjecta sint.* — **130** 10. *Ex superioribus divisionem antepraedicamentalem quæ quadrimembris est infert.* — 11. *Per divisionem et aliquot subdivisiones entis numerum denarium prædicamentorum invenit.* — 12. *Prædicamenta, voces simplices.* — 13. *Occupatio.* — 14. *Prædicamenta.* — 15. *Prædicamentorum et prædicabilium discrimen.* — 16. *Probatio discriminis.* — 17. *Prædicamenta cur genera generalissima.* — 18. *Occupatio.* — 19. *Ratio prima cur ens non sit genus prædicamentorum.* — 20. *Ratio secunda.* 21. *Accidens non esse genus novem prædicamentorum.* — 2 . *Ratio tertia, quare ens non sit genus decem prædicamentorum.* — 23. *Altera ratio quare nec accidens sit genus reliquorum novem prædicamentorum.* — 24. *Divisio entis in decem prædicamenta, divisio ut vocabuli ab uno et ad unum.*

---

## CAPUT XV.

*Adhuc de prædicamentis.*

1. Eorum quæ sunt alia quidem de subjecto dicuntur, alia vero de subjecto non dicuntur. Quæ porro de subjecto dicuntur, alia quidem in subjecto non sunt, alia vero in subjecto sunt. Itidem etiam, eorum quæ de subjecto non dicuntur, alia quidem in subjecto non sunt, alia vero in subjecto sunt.

2. Duplex autem subjecti significatum est; denotat enim et subjectum ad exsistentiam et subjectum ad prædicationem. Categoria vero (prædicamentum) dicta est, διὰ τὸ κατά τινων ἀγορεύεσθαι, quod de aliquibus **131** dicatur (prædicetur).

A

## ΚΕΦΑΛ. ΙΕ'.

Ἔτι περὶ κατηγοριῶν.

α'. Τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου λέγεται, τὰ δ' οὐ λέγεται καθ' ὑποκειμένου. Τῶν δὲ λεγομένων καθ' ὑποκειμένου τὰ μὲν ἐν ὑποκειμένῳ οὐκ ἔστι, τὰ δ' ἐν ὑποκειμένῳ ἐστίν. Ὡσαύτως καὶ τῶν μὴ λεγομένων καθ' ὑποκειμένου, τὰ μὲν ἐν ὑποκειμένῳ οὐκ ἔστι, τὰ δ' ἐν ὑποκειμένῳ ἐστί.

β'. Διττὸν δὲ τοῦ ὑποκειμένου (τὸ) σημαινόμενον· δηλοῖ γὰρ καὶ τὸ πρὸς ὕπαρξιν ὑποκείμενον, καὶ τὸ ὑποκείμενον πρὸς κατηγορίαν. Κατηγορία δὲ εἴρηται, διὰ τὸ κατά τινων ἀγορεύεσθαι ἤτοι λέγεσθαι.

OCR ABK / FR

γ'. Πρὸς ὕπαρξιν μὲν οὖν ὑπόκειται ἡ οὐσία τοῖς A
συμβεβηκόσι. Ταῦτα γὰρ ἐν τῇ οὐσίᾳ ἔχει τὸ εἶναι· καὶ ἔστι μόνη ἡ οὐσία πρὸς ὕπαρξιν ὑποκείμενον.

δ'. Πρὸς κατηγορίαν δὲ ὑπόκεινται τὰ ἄτομα τοῖς οἰκείοις εἴδεσί τε καὶ γένεσι· καὶ τὰ εἴδη τοῖς ἑαυτῶν γένεσιν ἕως τοῦ γενικωτάτου.

ε'. Οἷον ὁ Πέτρος ἄνθρωπός ἐστιν. Ὑπόκειται ὁ Πέτρος ἐνταῦθα τῷ ἀνθρώπῳ πρὸς κατηγορίαν. καὶ λέγεται ὁ ἄνθρωπος καθ' ὑποκειμένου τοῦ Πέτρου· ἐπεὶ ὁ Πέτρος ὑποκείμενόν ἐστι· κατηγορούμενον δὲ ὁ ἄνθρωπος. Πάλιν τὸ ζῶον οὐσία ἐστίν· ὑπόκειται τὸ ζῶον καθ' ὑποκειμένου τοῦ ζώου, τουτέστι κατηγορούμενον, ἡ οὐσία.

ϛ'. Ἔνθα μὲν οὖν ἡ κατὰ πρόθεσις φαίνεται, καὶ κατὰ γενικὴν πτῶσιν τελεῖται ἡ σύνταξις· ἐκεῖ τὸ B
πρὸς κατηγορίαν παραλαμβάνεται ὑποκείμενον, ὡς ὅταν εἴπωμεν τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου λέγεται. Διὰ τοῦτο γὰρ τίθεμεν καὶ τὸ λέγεται, ἵνα καὶ ἐντεῦθεν τὸ πρὸς κατηγορίαν γνωσθῇ ὑποκείμενον. Τὸ γὰρ λέγεται καὶ τὸ κατηγορεῖται ταυτόν ἐστιν. Ἔνθα δὲ ἡ ἐν πρόθεσις ὁρᾶται, καὶ κατὰ δοτικὴν πτῶσιν γίνεται ἡ σύνταξις· ἐκεῖ τὸ πρὸς ὕπαρξιν ἐστιν ὑποκείμενον, ὡς ὅταν εἴπωμεν· Τὰ δὲ ὑποκειμένῳ ἐστί. Διὰ τοῦτο γὰρ καὶ τὸ ἐστὶ τεθείκαμεν, ἵνα καὶ ἐντεῦθεν τὸ πρὸς ὕπαρξιν γνωσθῇ ὑποκείμενον· ὑπάρξεως γὰρ παραστατικόν τι ἔστιν.

ζ'. Ὅταν οὖν λέγωμεν ὅτι τῶν ὄντων τὰ μὲν καθ' ὑποκειμένου λέγεται, τὰ δὲ οὐ λέγεται καθ' ὑποκει- C
μένου, τοῦτό φαμεν· ὅτι τῶν ὄντων τὰ μέν τινων κατηγοροῦνται, τὰ δὲ οὐ κατηγοροῦνταί τινων.

η'. Ὅταν δὲ λέγωμεν ὅτι τῶν καθ' ὑποκειμένου λεγομένων τὰ μὲν ἐν ὑποκειμένῳ οὐκ ἔστι, τὰ δ' ἐν ὑποκειμένῳ ἐστὶ, τοῦτό φαμεν, ὅτι τῶν κατηγορουμένων τὰ μὲν ἐν ἑτέροις οὐκ ἔχουσι τὴν ὕπαρξιν (οὐσίαι γάρ εἰσιν αὐθύπαρκτα πράγματα καὶ μὴ δεόμενα ἑτέρων πρὸς σύστασιν), τὰ δ' ἐν ἑτέροις ἔχουσι τὸ εἶναι, Συμβεβηκότα γάρ εἰσι, μὴ δυνάμενα καθ' ἑαυτὰ εἶναι, ἀλλ' ἐν ταῖς οὐσίαις τὴν ὕπαρξιν ἔχοντα.

θ'. Μόνως μὲν οὖν καθ' ὑποκειμένου λέγεται καὶ οὐχ ὑποκείμενα τὰ καθόλου τῶν πραγμάτων καὶ γενικώτατα. Ταῦτα γὰρ κατηγοροῦνται μόνον, οὐ μὴν καὶ ὑπόκεινται. Οὐ καθ' ὑποκειμένου δέ εἰσιν, D
ἀλλ' ὑποκείμενα μόνως, δηλονότι τὰ μερικὰ τῶν πραγμάτων καὶ ἄτομα, διὰ τὸ μὴ κατηγορεῖσθαί τινων. Ὁμοῦ δὲ καθ' ὑποκειμένου τε καὶ ὑποκείμενα λέγεται τὰ εἰδικώτατα εἴδη καὶ τὰ ὑπάλληλα γένη· ὡς ἄλλων μὲν ὄντα καθολικώτερα καὶ ἄλλων αὖ μερικώτερα· καὶ τοῖς μὲν ἐπάνω αὐτῶν ὑποκείμενα, τῶν δ' ὑποκάτω κατηγορούμενα.

ι'. Δῆλον ἐντεῦθεν ὡς καθ' ὑποκειμένου, καὶ οὐκ ἐν ὑποκειμένῳ ἐστὶν ἡ καθολικωτέρα οὐσία. Οὐ καθ' ὑποκειμένου, καὶ οὐκ ἐν ὑποκειμένῳ, ἡ μερικὴ οὐσία καὶ ἄτομος. Καθ' ὑποκειμένου, καὶ ἐν ὑποκειμένῳ, τὸ καθολικὸν συμβεβηκός. Οὐ καθ' ὑποκει-

3. Ad existentiam quidem igitur substantia accidentibus subjecta est. Hæc enim in substantia esse habent; estque sola substantia subjectum ad exsistentiam.

4. Ad prædicationem vero individua propriis speciebus et generibus subjecta sunt, et species sui generibus usque ad generalissimum.

5. Veluti Petrus homo est. Hic Petrus homini ad prædicationem subjectus est, et homo de subjecto Petro dicitur: quandoquidem Petrus subjectum: homo, prædicatum est. Rursus animal est substantia; animal subjectum est: de subjecto, animali, hoc est prædicatum substantia est.

6. Ubi igitur præpositio κατὰ (de) spectatur, et (in Græco quidem) casu genitivo (in Latino autem ablativo casu) constructio perficitur, ibi subjectum ad prædicationem assumitur: ut cum dicimus: Eorum quæ sunt alia quidem de subjecto dicuntur. Propterea enim etiam τὸ dicuntur, ponimus, ut vel hinc subjectum ad prædicationem agnoscatur. Idem enim sunt τὸ dicuntur et prædicantur. Ubi autem præpositio ἐν (in) conspicitur et (in Græco quidem casu dativo, in Latino autem iterum **132** ablativo casu fit constructio), ibi subjectum est ad exsistentiam; ut cum dicimus: Alia vero in subjecto sunt. Propterea enim etiam τὸ sunt ponimus, ut et hinc subjectum ad exsistentiam cognoscatur; nam τὸ sunt exsistentiæ repræsentationem habet.

7. Cum ergo dicimus eorum, quæ sunt alia de subjecto dici, alia de subjecto non dici, hoc asseveramus eorum quæ sunt alia prædicari de aliquibus, alia non prædicari de aliquibus.

8. Cum vero dicimus, eorum quæ de subjecto dicuntur, alia in subjecto esse, alia in subjecto non esse: hoc pronuntiamus, eorum quæ prædicantur, alia in aliis non habere exsistentiam (substantiæ enim sunt res per se exsistentes nec aliorum ad sui constitutionem indigentes), alia in aliis esse habere. Accidentia enim sunt quæ per se esse non possunt, sed in substantiis exsistentiam habent.

9. Tantum igitur de subjecto dicuntur et subjecta non sunt, res universales et generalissimæ. Hæ enim prædicantur tantum, nec vero etiam subjiciuntur. Non autem de subjecto sunt, sed subjecta tantum, res puta particulares et individuæ, propterea quod de aliquibus non **133** prædicantur. Simul autem et de subjecto et subjecta dicuntur species specialissima et subalterna genera, ut quæ sint aliis quidem universaliora et vicissim aliis particularia; et superiorum quidem subjecta, inferiorum autem prædicata.

10. Unde manifestum est de subjecto (dici) et non esse in subjecto substantiam universaliorem. Non de subjecto (dici) et non in subjecto (esse) particularem et individuam substantiam. De subjecto (dici) et in subjecto (esse) universale acci-

OCR ABK / FR

deus. Non de subjecto (dici) et in subjecto (esse) A particulare et individuum accidens.

μένου καὶ ἐν ὑποκειμένῳ τὸ μερικὸν καὶ ἄτομον συμβεβηκός.

11. Quibus ita distinctis ens aut in subjecto est, aut non est in subjecto. Quod si quidem igitur in subjecto non fuerit, substantiam efficit; sin in subjecto est, aut non est per se, aut est per se. Sed siquidem per se est, aut in partes non dividitur et quantum efficit; aut in partes non dividitur, et quale constituit. Quod si vero per se non est, aut habitudo tantum est, et efficit ea quæ sunt ad aliquid, aut secundum aliorum habitudinem intelligitur et sex reliqua prædicamenta efficit. Pulcherrimum enim et primum **134** prædicamentum substantiæ, cum quanto quidem, τὸ ubi et quando: cum quali autem, τὸ agere et pati; cum iis denique quæ sunt ad aliquid, τὸ habere et situm esse producit.

ια'. Τούτων οὕτω διακεκριμένων, τὸ ὂν ἢ ἐν ὑποκειμένῳ ἐστίν, ἢ οὐκ ἐν ὑποκειμένῳ. Εἰ μὲν οὖν μὴ ἐν ὑποκειμένῳ εἴη, τὴν οὐσίαν ποιεῖ· εἰ δ' ἐν ὑποκειμένῳ, ἢ οὐ καθ' αὑτό ἐστιν, ἢ καθ' αὑτό. Ἀλλ' εἰ μὲν καθ' αὑτό, ἢ μεριστόν ἐστι καὶ ποιεῖ τὸ ποσόν, ἢ ἀμέριστον καὶ ποιεῖ τὸ ποιόν. Εἰ δ' οὐ καθ' αὑτό, ἢ σχέσις μόνον ἐστὶ καὶ ποιεῖ τὰ πρός τι, ἢ κατὰ σχέσιν ἄλλων νοεῖται, καὶ ποιεῖ τὰς λοιπὰς ἓξ κατηγορίας. Ἡ γὰρ καλλίστη καὶ πρώτη τῶν κατηγοριῶν οὐσία μετὰ μὲν τοῦ ποσοῦ γεννᾷ τὸ ποῦ καὶ τὸ πότε· μετὰ δὲ τοῦ ποιοῦ τὸ ποιεῖν καὶ τὸ πάσχειν· μετὰ δὲ τοῦ πρός τι τὸ ἔχειν καὶ τὸ κεῖσθαι.

12. Atque hæc sunt decem prædicamenta, quæ B omnia sunt simplicia.

ιβ'. Καὶ αὗται εἰσιν αἱ δέκα κατηγορίαι· πᾶσαι δὲ τυγχάνουσι ἁπλαῖ.

13. Etsi enim substantia cum quando quidem τὸ ubi et τὸ quando; cum quali vero τὸ agere et τὸ pati; cum iis denique quæ sunt ad aliquid, τὸ habere et situm esse dicitur progenerare. Prædicamentorum nullum est compositum. Neque enim in loco esse aut in tempore esse, aut tale aliquid, prædicamentum esse (compositum). Eapropter igitur aliqua prædicamenta nominibus infinitivis nuncupata sunt; τὸ agere et pati et situm esse ne personas assumendo compositionem aliquam inducerent.

ιγ'. Κἂν γὰρ ἀπογεννᾷν ἡ οὐσία λέγηται, μετὰ μὲν τοῦ ποσοῦ τὸ ποῦ καὶ τὸ πότε· μετὰ δὲ τοῦ ποιοῦ, τὸ ποιεῖν καὶ τὸ πάσχειν· μετὰ δὲ τῶν πρός τι, τὸ ἔχειν καὶ τὸ κεῖσθαι. Ἀλλ' οὐδεμία τῶν κατηγοριῶν σύνθετός ἐστιν. Οὐδὲ γὰρ κατηγορία τὸ ἐν τόπῳ εἶναι, ἢ τὸ ἐν χρόνῳ εἶναι, ἢ ἄλλο τι τῶν τοιούτων. Διὰ τοῦτο καὶ ὀνόμασιν ἀπαρεμφάτοις τῶν κατηγοριῶν τινες ὠνομάσθησαν· τὸ ποιεῖν δηλαδὴ καὶ τὸ πάσχειν καὶ τὸ ἔχειν καὶ τὸ κεῖσθαι· ἵνα μὴ τῷ ἐφέλκεσθαι πρόσωπα σύνθεσίν τινα εἰσαγάγωσιν.

14. Omnia proin prædicamenta simplices et universales voces sunt, quæ simplices et universales res per medios simplices et universales conceptus significant. C

ιδ'. Πᾶσαι τοίνυν αἱ κατηγορίαι ἁπλαῖ καὶ καθολικαὶ φωναί εἰσιν, ἁπλᾶ καὶ καθολικὰ σημαίνουσαι πράγματα διὰ μέσων ἁπλῶν καὶ καθολικῶν νοημάτων.

15. Differunt autem a quinque vocibus, quod hæc quidem prædicamenta de rebus naturaliter efferuntur dum rerum naturas significant; suntque voces naturarum prædicativæ, sive conceptus **135** qui de rebus naturaliter dicuntur. Propterea etiam prædicamenta proprie vocata sunt. Quinque voces dicuntur equidem et ipsæ simpliciter prædicativæ, quatenus significativæ sunt; veruntamen naturas rerum non significant, neque de rerum exsistentia efferuntur. Et propterea proprie non obtinent, ut prædicativæ voces, sed simpliciter voces sint: conceptus nimirum significativi qui in conceptibus considerantur, his qui de rerum entitate dicuntur. Quapropter rationales potius fuerint, quam prædicativæ (voces).

ιε'. Διαφέρουσι δὲ τῶν πέντε φωνῶν, ὅτι αὗται μὲν αἱ κατηγορίαι κατὰ πραγμάτων φέρονται φυσικῶς, φύσεις πραγμάτων σημαίνουσαι· καὶ εἰσὶ φωναὶ κατηγορικαὶ φύσεων, ἤτοι λόγοι κατὰ πραγμάτων λεγόμενοι φυσικῶς. Διὰ τοῦτο καὶ κατηγορίαι κυρίως ἐκλήθησαν. Αἱ δὲ πέντε φωναὶ λέγονται μὲν καὶ αὗται κατηγορικαὶ ἁπλῶς, ὡς σημαντικαί· οὐ μὴν φύσεις πραγμάτων σημαίνουσιν, οὐδὲ κατὰ πραγμάτων ὑπάρξεως φέρονται. Καὶ κατὰ τοῦτο οὐδὲ κυρίως ἔχουσι τὸ κατηγορικαὶ εἶναι φωναί, ἀλλ' ἁπλῶς φωναί· λόγοι δηλονότι σημαντικοὶ τῆς κατὰ πραγμάτων ὀντότητος, λεγομένοις λόγοις ἐνθεωρούμενοι. Διὸ καὶ λογικαὶ μᾶλλον εἶεν ἄν, ἢ κατηγορικαί.

D

16. Quemadmodum enim in entibus conceptus proprie prædicativi inveniuntur (nam et substantia conspicitur in rebus et quantum et quale et cætera) eumdem ad modum in ejusmodi prædicativis conceptibus, rationales hæ voces considerantur. Nam et in substantia genus et species et differentia et proprium, et accidens in ipsa consistens conspicitur. Et in cæterorum vero prædicamentorum quolibet et genus deprehenditur et species et differentia, et proprium et accidens quod per ipsum totum penetret.

ις'. Καθάπερ γὰρ ἐν τοῖς οὖσιν οἱ κυρίως κατηγορικοὶ λόγοι εὑρίσκονται (καὶ οὐσία γὰρ ἐνορᾶται τοῖς πράγμασι καὶ ποσὸν καὶ ποιὸν καὶ τὰ λοιπά), κατὰ τὸν αὐτὸν τρόπον ἐν τοῖς τοιούτοις κατηγορικοῖς, αἱ λογικαὶ αὗται θεωροῦνται φωναί. Καὶ γένος γὰρ ἐμφαίνεται τῇ οὐσίᾳ καὶ εἶδος καὶ διαφορὰ καὶ ἴδιον, καὶ συμβεβηκὸς ἐν αὐτῇ συνιστάμενον. Καὶ τῶν λοιπῶν δὲ κατηγοριῶν μιᾷ ἑκάστῃ καὶ γένος ἐμφαίνεται καὶ εἶδος, καὶ διαφορὰ καὶ ἴδιον καὶ συμβεβηκὸς δι' αὐτῆς ὅλης χωροῦν.

OCR ABK / FR

ιζ'. Πᾶσαι δὲ αἱ κατηγορίαι γενικώτατα γένη εἰσὶ, διὰ τὸ μὴ ἔχειν ἐπάνω αὐτῶν ἄλλο τι γένος ἐπαναβεβηκός. A

ιη'. Κἂν γὰρ ἐκ τοῦ ὄντος διαιροῦνται, ἀλλ' οὐκ ἔστιν αὐτῶν γένος τὸ ὄν.

ιθ'. Τὸ γὰρ γένος οὐ μόνον τοῦ ὀνόματος μεταδίδωσι τοῖς οἰκείοις εἴδεσιν, ἀλλὰ καὶ ὅλου τοῦ ὁρισμοῦ. Τὸ δὲ ὂν διαιρούμενον εἰς τὰς δέκα κατηγορίας, τοῦ μὲν ὀνόματος αὐταῖς μεταδίδωσιν· τοῦ λόγου δὲ τελείου γε οὐδεμιᾷ· τὸ γὰρ ὂν αὕτως ὑπογράφουσιν. Ὂν ἐστιν ἢ αὐθύπαρκτον πρᾶγμα καὶ μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν· ἢ τὸ μὴ καθ' ἑαυτὸ δυνάμενον εἶναι, ἀλλ' ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν. Ἡ δὲ πρώτη τῶν κατηγοριῶν οὐσία τὸν τοιοῦτον ὅλον λόγον οὐκ ἐπιδέχεται· ἀλλὰ τὸ ἓν μέρος αὐτοῦ· Καὶ γὰρ οὐσία ἐστὶ πρᾶγμα αὐθύπαρκτον, μὴ δεό- B μενον ἑτέρου πρὸς σύστασιν, καὶ οὐδὲν πλέον. Ἀλλὰ καὶ αἱ λοιπαὶ κατηγορίαι συμβεβηκὸς οὖσαι, τὸ λοιπὸν μέρος λαμβάνουσι τῆς τοῦ ὄντος ὑπογραφῆς, καὶ οὐχ ὅλην τὴν ὑπογραφὴν, οὐδὲ αὗται. Συμβεβηκὸς γάρ ἐστι πρᾶγμα, μὴ καθ' ἑαυτὸ δυνάμενον εἶναι, ἀλλ' ἐν ἑτέρῳ ἔχον τὴν ὕπαρξιν. Ὥστε οὐκ ἔστι γένος τῶν κατηγοριῶν τὸ ὄν.

κ'. Ἔτι πᾶν γένος διαιρούμενον εἰς εἴδη μὴ εἰδικώτατα, δύο ἢ τρία ἔχει τὰ ἐξ αὐτοῦ διαιρούμενα, ἢ καὶ κατὰ τὸ σπάνιον τέσσαρα. Τοῦ δὲ ὄντος ἡ διαίρεσις μέχρι δέκα προχωροῦσά τινων μὴ ὄντων εἰδικωτάτων εἰδῶν, εἰκότως οὐδ' ἀπὸ γένους εἰς εἴδη ἐστί. Τὸ δὲ μὴ εἶναι τὰς κατηγορίας εἰδικώτατα εἴδη παρίσταται σαφῶς ἐκ τοῦ ἔχειν ταύτας ὑφ' ἑαυτὰς καὶ εἰδικώτατα εἴδη, καὶ γένη ὑπάλληλα. C

κα'. Ἐντεῦθεν δηλονότι οὐδὲ τὸ συμβεβηκός ἐστι γένος τῶν ἐννέα κατηγοριῶν, εἰ καὶ μεταδίδωσι ταύταις καὶ τοῦ ὀνόματος καὶ τοῦ λόγου τελείου. Ὥσπερ γάρ τι γένος φωνὴ ὂν λογικὴ, μεταδίδωσι ταῖς δέκα κατηγορίαις καὶ τοῦ ὀνόματος καὶ τοῦ λόγου αὐτοῦ (καὶ γὰρ ἑκάστη τῶν κατηγοριῶν καὶ γένος λέγεται, καὶ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει, ἐν τῷ τί ἐστι κατηγορεῖται), κατὰ τοῦτον τὸν λόγον καὶ τὸ συμβεβηκὸς μεταδίδωσι ταῖς ἐννέα κατηγορίαις, καὶ τοῦ ὀνόματος αὐτοῦ καὶ τῆς οἰκείας ὑπογραφῆς, μὴ ὂν γένος τῶν κατηγοριῶν. Φωνὴ γάρ ἐστι καὶ αὐτὸ λογικὴ, μία τῶν πέντε φωνῶν.

κβ'. Πάλιν ἐν οἷς τὸ πρῶτον καὶ τὸ δεύτερον φύσει, D τούτων τὸ κοινῶς κατηγορούμενον γένος οὐκ ἔστιν (οὐδὲ γὰρ ἐν τοῖς εἴδεσι τοῦ αὐτοῦ γένους θεωρεῖται τὸ φύσει πρότερόν τε καὶ ὕστερον). Ἐν δὲ ταῖς κατηγορίαις θεωρεῖται αὐτό· φύσει γὰρ προτέρα τῶν συμβεβηκότων ἡ οὐσία ἐστί. Οὐσίας γὰρ μὴ οὔσης, ἐν τίνι σχοίη ἂν τὴν ὕπαρξιν τὸ συμβεβηκός; Συμβεβηκότος δὲ μὴ ὄντος, ἔσται οὐσία. Πρᾶγμα γάρ ἐστιν αὐθύπαρκτον αὕτη, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν. Ὥστε ἡ οὐσία συναναιρεῖ καὶ οὐ συναναιρεῖται, καὶ συνεισφέρεται καὶ οὐ συνεισφέρει. Ὅπου γὰρ συμβεβηκὸς, ἀναγκαίως ἐκεῖ καὶ οὐσία ἐν ᾗ ἐστι (τὸ) συμβεβηκός. Οὐ μὴν ἔνθα γε

17. Porro omnia prædicamenta sunt **136** genera generalissima, quod supra se non habeant genus aliud aliquod superius.

18. Etsi enim ex ente dividuntur, tamen ens non est genus eorum.

19. Etenim genus non tantum nomen propriis speciebus, sed etiam totam definitionem impertit. Ens vero quod in decem prædicamenta dividitur, nomen quidem eis, definitionem autem, perfectam nimirum, nulli impertit; sic enim ens describunt. Ens est vel res per se exsistens et alia ad sui constitutionem non indigens; vel quæ per se esse non potest, sed in alia habet exsistentiam. Jam vero primum prædicamentum substantia definitionem ejusmodi totam non recipit, sed unam illius partem (duntaxat). Etenim substantia est res per se exsistens non indigens alia ad sui constitutionem; et nihil est amplius. Sed et reliqua prædicamenta quæ sunt accidens, reliquam partem ex descriptione entis accipiunt quidem, sed ne hæc quidem totam descriptionem admittunt. Accidens enim est res quæ per se esse non potest, sed in alia habet exsistentiam. Quare ens prædicamentorum genus non est.

20. Præterea omne genus quod in species **137** non specialissimas dividitur, duas aut tres habet quæ ex se dividuntur; aut, quod etiam raro fit, quatuor. Ergo entis divisio cum ad decem quædam, quæ non sunt species specialissimæ, procedat; merito neque generis in species est divisio. Quod autem prædicamenta specialissimæ species non sint, manifesto per id ostenditur, quod hæc sub se et species specialissimas et genera subalterna habeant.

21. Hinc nimirum neque accidens est genus novem prædicamentorum, tametsi his et nomen et definitionem perfectam impertit. Quemadmodum enim genus quod est vox logica decem prædicamentis et nomen et definitionem suam impertit (etenim quodlibet prædicamentum et genus dicitur et de pluribus differentibus specie in quid est prædicatur), eadem ratione et accidens novem prædicamentis et nomen suum et propriam descriptionem impertit, ut non sit genus prædicamentorum. Etenim et ipsum est vox logica, una (nimirum) ex quinque vocibus.

22. Rursus in quibus est primarium et secundarium natura, hæc genus quod de ipsis communiter prædicatur, **138** non habent (neque enim in speciebus ejusdem generis prius et posterius conspicitur). Atqui in prædicamentis id ipsum animadvertitur; etenim substantia accidentibus natura prior est. Nisi enim substantia accidentibus quonam accidens suam existentiam haberet? Ut autem etiam accidens non sit, substantia erit. Etenim hæc res est per se exsistens ad constitutionem alia non indigens. Quapropter substantia simul tollit, nec simul tollitur; et simul infertur, nec simul infert. Ubi enim accidens est ibi necessario

OCR ABK / FR

et substantia est, in qua est accidens : non tamen ubi substantia est, ibi etiam necessario accidens est. Fieri enim potest ut substantia etiam sine accidente consideretur, ratione ea qua per se habet exsistentiam. Quare ne sic quidem ens prædicamentorum genus est.

23. Spectatur autem etiam in cæteris prædicamentis natura prius et posterius. Etenim quantum quali est prius ; et quale illis quæ sunt ad aliquid ; materia enim formæ expers prius quantitatem et postea modo qualitatem accipit. Rursus quale cum sit per se prius est iis quæ sunt ad aliquid : **139** quippe hæc habitudines (seu respectus) sunt ; quæ autem per se sunt, habitudinibus priora sunt. Quæ cum ita se habeant priora sunt quæ oriuntur ex substantia et quanto, illis, quæ oriuntur ex substantia et quali. Et iterum hæc priora sunt illis quæ ex substantia et iis quæ sunt ad aliquid oriuntur. Quare etiam hoc modo accidens noven prædicamentorum genus non est.

24. Dividitur autem ens in decem prædicamenta nullo alio divisionis modo quam qui est eorum quæ ab uno et ad unum dicuntur. Sola enim hæc divisio ex omnibus prius et posterius natura, quod in sectionibus spectetur, habet.

A οὐσία, εἴη ἂν καὶ συμβεβηκὸς ἐξ ἀνάγκης. Δυνατὸν γὰρ καὶ χωρὶς συμβεβηκότος οὐσίαν θεωρεῖσθαι κατὰ τὸν τῆς αὐθυπαρξίας λόγον. Ὥστε καὶ οὕτως οὐκ ἔστι γένος τῶν κατηγοριῶν τὸ ὄν.

κγ΄. Θεωρεῖται δὲ κἀν ταῖς λοιπαῖς κατηγορίαι τὸ φύσει πρότερόν τε καὶ ὕστερον. Τὸ γὰρ ποσὸν πρότερον τοῦ ποιοῦ· καὶ τὸ ποιὸν τῶν πρός τι· ἡ γὰρ ἀνείδεος ὕλη πρότερον ποσοῦται, καὶ ὕστερον ποιοῦται. Τὸ ποιὸν δὲ πάλιν καθ' αὑτὸ ὂν πρότερόν ἐστι τῶν πρός τι· ταῦτα γὰρ σχέσεις ἐστί· τὰ δὲ καθ' ἑαυτὰ ὄντα τῆς σχέσεως πρότερα. Τούτων οὕτως ἐχόντων, πρότερα τὰ ἐξ οὐσίας καὶ ποσοῦ τῶν ἐξ οὐσίας καὶ ποιοῦ. Καὶ ταῦτα πάλιν πρότερα τῶν ἐξ B οὐσίας καὶ τῶν πρός τι. Τοίνυν καὶ οὕτως οὐκ ἔστιν οὐδὲ τὸ συμβεβηκὸς γένος τῶν ἐννέα κατηγοριῶν.

κδ΄. Διαιρεῖται δὲ τὸ ὂν εἰς τὰς δέκα κατηγορίας κατ' ἄλλον οὐδένα τῶν διαιρετικῶν τρόπων, ἢ ὡς τὸ ἀφ' ἑνὸς καὶ πρὸς ἕν. Μόνη γὰρ ἡ διαίρεσις αὕτη τὸ φύσει πρότερόν τε καὶ ὕστερον ἔχει θεωρούμενον ἐν τοῖς τμήμασι.

Σχῆμα κεφαλ. ιδ΄, ἔτι περὶ κατηγοριῶν.

Τῶν ὄντων
- τὰ μὲν καθ' ὑποκειμένου λέγεται
  - τὰ μὲν ἐν ὑποκειμένῳ ἐστὶν, ὡς τὸ καθολικὸν συμβεβηκός·
  - τὰ δ' ἐν ὑποκειμένῳ οὐκ ἔστιν, ὡς ἡ καθολικὴ οὐσία.
- τὰ δ' οὐ λέγεται καθ' ὑποκειμένου
  - τὰ μὲν ἐν ὑποκειμένῳ ἐστὶν, ὡς τό τι λευκόν·
  - τὰ δ' ἐν ὑποκειμένῳ οὐκ ἔστιν, ὡς ἡ μερικὴ οὐσία καὶ ἄτομον.




Τὸ ὂν
- ἢ ἐν ὑποκειμένῳ
  - ἢ καθ' αὑτὸ
    - ἢ μεριστόν ἐστι καὶ ποιεῖ τὸ ποσόν·
    - ἢ ἀμέριστον καὶ ποιεῖ το ποιόν.
  - καὶ οὐ καθ' αὑτὸ
    - ἢ σχέσις μόνον ἐστὶ, καὶ ποιεῖ τὰ πρός τι.
    - ἢ κατὰ σχέσιν ἄλλων νοεῖται.
      - ἢ οὐσίας καὶ ποσοῦ — ποῦ, πότε
      - ἢ οὐσίας καὶ ποιοῦ — ποιεῖν, πάσχειν·
      - ἢ οὐσίας καὶ πρός τι — ἔχειν, κεῖσθαι.
- ἢ οὐκ ἐν ὑποκειμένῳ, καὶ ποιεῖ τὴν οὐσίαν.

OCR ABK / FR

140 *Tabula capitis 15, item de prædicamentis.*

Eorum quæ sunt
- quædam equidem de subjecto dicuntur, (quorum quidem)
  - alia in subjecto sunt, ut universale accidens;
  - alia in subjecto non sunt, ut universalis substantia.
- quædam vero de subjecto non dicuntur (quorum quidem)
  - alia in subjecto sunt, ut hoc aliquid album (particulare seu singulare accidens);
  - alia in subjecto non sunt, ut particularis substantia et individuum (substantiale, ut hic homo Petrus, Paulus, etc.

Quæ sunt

de subjecto dicuntur — inconsistens — non dicuntur de subjecto

universale accidens velut quantum quale album bicubitum.




substantia particularis, velut homo quidam (Petrus etc.).

in subjecto sunt — inconsistens — non sunt in subjecto

141 Ens
- vel in subjecto est
  - aut per se
    - aut in partes dividitur, et quantum efficit;
    - aut in partes non dividitur, et quale non constituit.
  - aut non per se
    - aut habitudo tantum est, et efficit ea quæ sunt ad aliquid;
    - aut secundum aliorum habitudinem intelligitur
      - vel substantiæ et quanti: ubi, quando;
      - vel substantiæ et qualis: agere, pati;
      - vel substantiæ et eorum quæ sunt ad aliquid: habere, situm esse.
- vel non est in subjecto et substantiam efficit.

—

## SYNOPSIS CAPITIS XVI,

### QUOD EST DE IIS QUÆ PRÆDICANTUR; UBI ETIAM DE IIS QUÆ SUNT IN ALIQUO.

1. *Prædicatio duplex.* — 2. *Prædicatio majoris seu latioris prædicati de subjecto, quæ et qualis.* — 3. *Prædicatio æqualis prædicati, quæ et qualis.* — 4. *Regula antepræedicamentalis prior.* — 5. *Probatio regulæ et alia prædicationis divisio.* — 6. *Prædicatio de subjecto quæ.* — 7. *Exemplis regula declaratur.* — 142
8. *Prædicatio in subjecto quæ.* — 9. *De prædicatione in subjecto, id est accidentali, regula antepræedicamentalis non est vera.* — 10. *Idem tribus exemplis ostenditur.* — 11. *Discrimen prædicationis de subjecto et in subjecto, quarum illa semper est univoca, hæc nunquam, sed partim æquivoca, partim denominativa, partim diversivoca.* — 12. *Essentiæ et essentialis itemque accidentis et accidentalis discrimen, quarum illa res sunt, hæc modi inexsistentiæ.* — 13. *Essentia et accidens quid.* — 14. *Essentia et accidentale quid.* — 15. *Modi undecim quibus aliquid in aliquo esse dicitur.* — 16. *Omnes ad prædicamentum ubi reducuntur.*

—

## ΚΕΦΑΛ. ΙϚ'.

**Περὶ τῶν κατηγορουμένων · ἐν ᾧ καὶ περὶ τοῦ ἔν τινι.**

α'. Πᾶσα κατηγορία ἢ ἐπίσης ἐστὶ τοῦ ὑποκειμένου, ἢ ἐπὶ πλέον· ἐπ' ἔλαττον δὲ οὐδέποτε·

β'. Καὶ ἐπὶ πλέον μὲν, ὅτε τὰ καθολικώτερα κατηγοροῦνται τῶν μερικωτέρων. Οἷον, Πᾶς ἄνθρωπος ζῶόν ἐστιν. Ἰδοὺ τὸ ζῶον ἐπὶ πλέον ὂν τοῦ ἀνθρώπου, κατηγορήθη αὐτοῦ μερικωτέρου ὑπάρχοντος. Οὐκ ἔστι δὲ ἀντιστρέψαντας εἰπεῖν, ὅτι Πᾶν ζῶον

A

## CAPUT XVI.

*De iis quæ prædicantur; ubi etiam de iis quæ sunt in aliquo.*

1. Omnis prædicatio aut æqualiter se habet ad subjectum aut latius: nulla angustius.

2. Ac latius quidem cum universaliora de particularioribus prædicantur. Velut: Omnis homo est animal. Ecce animal cum latius sit homine, prædicatum est de eo qui est aliquid particularius. Non licet autem conversione facta dicere: Omne ani-

OCR ABK / FR

mal est homo. Cum enim homo sit animali angustius quid, prædicari de eo non potest; animal enim continet hominem : homo autem non continet animal. Neque enim solus homo est **143** animal, sed etiam bruta animalia. Atque ita quidem prædicatio fit quæ latius ad subjectum se habet; nequaquam autem (fit prædicatio) quæ angustius se habeat (ad subjectum).

3. Fit autem aliquando prædicatio etiam æqualiter (se habens ad subjectum), ut in speciebus et propriis, in definitionibus et definitis. Velut : Omnis homo est aptus ad ridendum; et, Omne aptum ad ridendum est homo. Similiter, Omnis homo est animal rationis particeps, mortale, intelligentiæ et scientiæ capax. Et, Omne animal rationis particeps, mortale, intelligentiæ et scientiæ capax, est homo. Atque hæc quæ æqualiter se habent, convertibilia et reciprocam prædicationem habentia dicuntur.

4. Sciendum est autem quod cum alterum de altero ut de subjecto, hoc est, essentialiter prædicatur, quæcunque de prædicato essentialiter dicuntur, hæc etiam de subjecto efferri possint.

5. Cum enim duplex sit prædicatio, una de subjecto, altera in subjecto.

6. De subjecto est, cum universaliora de particularioribus prædicantur essentialiter et quoad rem; et, ut totum dicam, univoce : quando videlicet et prædicata et subjecta ad **144** unum idemque commune genus referuntur; verbi causa ad substantiam, aut quantum, aut aliquod aliud ex decem generalissimis generibus. Tunc enim quæcunque de aliquo prædicantur, ut dixi, etiam de subjecto illius prædicabuntur.

7. Velut homo prædicatur essentialiter de Petro, et vero de homine animal essentialiter prædicatur (etenim ambo in uno prædicamento sunt, substantiæ), proin etiam de Petro animal prædicabitur. Etenim Petrus est homo : sed etiam animal est. Rursum de quinque prædicatur numerus essentialiter, et de numero discretum etiam ipsum essentialiter prædicatur. Etenim ambo etiam sub quanto sunt; ergo etiam de quinque discretum prædicabitur. Etenim quinque et numerus et discretum est. Et hæc quidem de subjecto est prædicatio.

8. Prædicatio autem in subjecto est, cum aliquid de aliquo in modum essentiæ adjunctorum (seu accidentaliter) dicitur; quando nimirum etiam ad unum et idem commune genus prædicatum et subjectum non referuntur.

9. Non enim tunc, quæcunque de subjecto sive essentialiter sive accidentaliter dicuntur, **145** ea jam etiam de subjecto efferentur.

10. Veluti de cygno prædicatur album accidentaliter, de albo autem color essentialiter. Cygnus enim in substantia est; at album et color sub quali. Color igitur non dicitur de cygno : nam cygnus, et cerussa, et gypsum et nix alba quidem sunt, sed colores non

A ἄνθρωπός ἐστιν. Ἐπ' ἔλαττον γὰρ τοῦ ζώου ὁ ἄνθρωπος ὢν οὐ δύναται κατηγορηθῆναι αὐτοῦ· τὸ μὲν γὰρ ζῶον περιέχει τὸν ἄνθρωπον· ὁ δὲ ἄνθρωπος οὐ περιέχει τὸ ζῶον. Οὐδὲ γὰρ μόνος ὁ ἄνθρωπός ἐστι ζῶον, ἀλλὰ καὶ τὰ ἄλογα ζῶα. Καὶ οὕτως ἐπὶ πλέον μὲν γίνεται κατηγορία· ἐπ' ἔλαττον δὲ οὐδαμῶς.

γ'. Γίνεται δέ ποτε καὶ ἐπίσης κατηγορία· ὡς ἐπὶ τῶν εἰδῶν τε καὶ τῶν ἰδίων, ἐπὶ τῶν ὁρισμῶν τε καὶ τῶν ὁριστῶν. Οἷον, Πᾶς ἄνθρωπος γελαστικόν ἐστι· καί, Πᾶν γελαστικὸν ἄνθρωπός ἐστιν. Ὁμοίως. Πᾶς ἄνθρωπος ζῶον λογικόν, θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν ἐστι. Καί, Πᾶν ζῶον λογικόν, θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν, ἄνθρωπός ἐστι. Ταῦτα B δὲ τὰ ἐπίσης ἀντιστρέφοντα, καὶ ἀντικατηγορούμενα λέγεται.

δ'. Χρὴ δὲ γινώσκειν, ὡς ὅταν ἕτερον ἑτέρου κατηγορῆται ὡς καθ' ὑποκειμένου, τουτέστιν, οὐσιωδῶς, ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται οὐσιωδῶς, ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται.

ε'. Διττῆς γὰρ οὔσης τῆς κατηγορίας, τῆς μὲν καθ' ὑποκειμένου, τῆς δ' ἐν ὑποκειμένῳ.

ς'. Καθ' ὑποκειμένου μέν ἐστιν, ὅτε τὰ καθολικώτερα κατηγοροῦνται τῶν μερικωτέρων οὐσιωδῶς καὶ πραγματικῶς, καὶ τὸ ὅλον εἰπεῖν συνωνύμως· ὁπότε δηλαδή, καὶ τὰ κατηγορούμενα καὶ τὰ ὑποκείμενα, ὑφ' ἓν καὶ τὸ αὐτὸ γένος κοινὸν ἀναφέρονται, ὑπὸ τὴν οὐσίαν τυχόν, ἢ τὸ ποσόν, ἢ ἄλλο τι τῶν C δέκα γενικωτάτων γενῶν. Τότε γὰρ ὅσα τινὸς κατηγοροῦνται, καθὼς εἴπομεν, καὶ τοῦ ὑποκειμένου αὐτῷ κατηγορηθήσονται.

ζ'. Οἷον ὁ ἄνθρωπος οὐσιωδῶς κατηγορεῖται τοῦ Πέτρου, καὶ τοῦ ἀνθρώπου δ' οὐσιωδῶς κατηγορεῖται τὸ ζῶον (ὑπὸ μίαν γὰρ κατηγορίαν τὴν οὐσίαν καὶ ἀμφότερα), καὶ τοῦ Πέτρου τοίνυν τὸ ζῶον κατηγορηθήσεται. Ὁ γὰρ Πέτρος ἄνθρωπός ἐστιν· ἀλλὰ καὶ ζῶόν ἐστι. Πάλιν τοῦ πέντε κατηγορεῖται οὐσιωδῶς ὁ ἀριθμός· καὶ τοῦ ἀριθμοῦ κατηγορεῖται τὸ διωρισμένον οὐσιωδῶς καὶ αὐτό. Καὶ γὰρ ὑπὸ τὸ ποσὸν καὶ ἀμφότερα, καὶ τοῦ πέντε γοῦν κατηγορηθήσεται τὸ διωρισμένον. Ὁ γὰρ πέντε καὶ ἀριθμός ἐστι, καὶ διωρισμένον ἐστί. Καὶ αὕτη μὲν ἡ καθ' ὑποκειμένου κατηγορία.

D η'. Ἐν ὑποκειμένῳ δὲ κατηγορία ἐστὶν ὅταν κατά τινος λέγηταί τι ἐπουσιωδῶς· ὁπόταν δηλονότι μηδ' ὑφ' ἓν καὶ τὸ αὐτὸ γένος κοινὸν ἀναφέρονται τὸ κατηγορούμενον καὶ τὸ ὑποκείμενον.

θ'. Τότε γὰρ οὐχ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, εἴτε οὐσιωδῶς, εἴτε ἐπουσιωδῶς, ταῦτα ἤδη καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται.

ι'. Οἷον τοῦ κύκνου κατηγορεῖται τὸ λευκὸν ἐπουσιωδῶς· τοῦ δὲ λευκοῦ τὸ χρῶμα οὐσιωδῶς. Ὁ μὲν γὰρ κύκνος ὑπὸ τὴν οὐσίαν ἐστί· τὸ δὲ λευκὸν καὶ τὸ χρῶμα ὑπὸ τὸ ποιόν. Οὐ τοίνυν τὸ χρῶμα κατὰ τοῦ κύκνου ῥηθήσεται· ὁ γὰρ κύκνος, καὶ τὸ

OCR ABK / FR

ψιμμίθιον, καὶ ἡ τίτανος καὶ ἡ χιὼν λευκὰ μὲν εἰσι· A χρώματα δὲ οὐκ εἰσί. Πάλιν τοῦ ἀνθρώπου κατηγορεῖται τὸ ζῶον οὐσιωδῶς· τοῦ δὲ ζώου τὸ δισύλλαβον ἐπουσιωδῶς· ὁ μὲν γὰρ ἄνθρωπος, καὶ τὸ ζῶον, ὑπὸ τὴν οὐσίαν εἰσί· τὸ δὲ δισύλλαβον ὑπὸ τὸ ποσόν. Οὐ τοίνυν καὶ τοῦ ἀνθρώπου τὸ δισύλλαβον κατηγορηθήσεται· καὶ γὰρ ὁ ἄνθρωπος ζῶον μέν ἐστι, δισύλλαβον δὲ οὐκ ἔστι. Πάλιν κατὰ τοῦ Σωκράτους ἐπουσιωδῶς λέγεται τὸ φιλόσοφον· κατὰ δὲ τοῦ φιλοσόφου ὁμοίως ἐπουσιωδῶς τὸ τετρασύλλαβον· ὁ μὲν γὰρ Σωκράτης ὑπὸ τὴν οὐσίαν ἐστὶ, τὸ δὲ φιλόσοφον ὑπὸ τὸ ποιόν· τὸ δὲ τετρασύλλαβον ὑπὸ τὸ ποσόν. Ἀλλ' οὐχὶ καὶ κατὰ τοῦ Σωκράτους ῥηθείη ἂν τὸ τετρασύλλαβον. Φιλόσοφος μὲν γάρ ἐστιν ὁ Σωκράτης, οὐ μὴν δὲ καὶ τετρασύλλαβον.

ια'. Ὥσπερ δὲ πάντοτε τῇ καθ' ὑποκειμένου κατηγορίᾳ ἐμφαίνεται τὸ συνώνυμον, οὕτως τῇ ἐν ὑποκει- B μένῳ οὐδέποτε· ἀλλ' ὁτὲ μὲν τὸ ὁμώνυμον· ὡς ὅταν εἴπῃ τις τήνδε τὴν γυναῖκα μουσικὴν ἢ γραμματικήν· ὁτὲ δὲ τὸ παρώνυμον· ὡς ὅταν ἀπὸ τῆς φιλοσοφίας παρονομάσῃ τις τὸν Ἀριστοτέλη φιλόσοφον· ποτὲ αὖ τὸ ἑτερώνυμον· ὡς ὅταν ἐκ τῆς ἀρετῆς σπουδαῖον τὸν Σωκράτην καλέσῃ τις. Τὸ γὰρ ἐνάρετον ἐν τῇ τοῦ Ἑλληνισμοῦ συνηθείᾳ οὐχ εὕρηται.

ιβ'. Οὐσία δὲ καὶ οὐσιῶδες διαφέρουσιν ἀλλήλων· ὡσαύτως συμβεβηκός τε καὶ ἐπουσιῶδες.

ιγ'. Ἡ μὲν γὰρ οὐσία πρᾶγμά ἐστιν αὐθύπαρκτον, μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν. Τὸ δὲ συμβεβηκὸς πρᾶγμά ἐστιν ἐν τῇ οὐσίᾳ ὑπάρχον, μὴ ὡς C μέρος, καὶ μὴ δυνάμενον εἶναι τῆς οὐσίας χωρίς.

ιδ'. Τὸ οὐσιῶδες δὲ καὶ ἐπουσιῶδες τρόποι εἰσὶν ὑπάρξεώς τινων ἔν τισι. Καὶ τὸ μὲν οὐσιῶδες τὸ οἰκεῖον καὶ γνήσιον τοῦ ἐνυπάρχοντος παρίστησι πράγματος πρὸς ἐκεῖνο ᾧ ἐνυπάρχει. Τὸ δὲ ἐπουσιῶδες τὸ ἀλλότριον δηλοῖ καὶ τὸ ἐπείσακτον. Ὅθεν καὶ ἐν πάσαις ταῖς κατηγορίαις τὸ οὐσιῶδές τε καὶ τὸ ἐπουσιῶδες λαμβάνεσθαι δύναται.

ιε'. Τὸ δ' ἔν τινι λέγεται ἑνδεκαχῶς· ὡς γένος ἐν εἴδει· οἷον τὸ ζῶον ἐν τῷ ἀνθρώπῳ. Τὸ γὰρ γένος ἐξῃρημένην ἔχον τὴν ὕπαρξιν, ὅλον ἐν ἑκάστῳ γίνεται τῶν εἰδῶν, καὶ κοινὸν τοῖς εἴδεσιν ἅπασι καὶ ἰδικὸν ἑνὶ ἑκάστῳ εἴδει ἐστί. Καθὼς ἡ φωνὴ τοῦ D κήρυκος τοῖς ἀκούουσι, καὶ ἡ ὕλη τοῖς ἐν κόσμῳ, καὶ τὸ τοῦ κύκλου κέντρον ταῖς ἐξ αὐτοῦ δὴ τοῦ κέντρου ἀρχομέναις εὐθείαις· ὡς εἶδος ἐν γένει, οἷον ὁ ἄνθρωπος ἐν τῷ ζώῳ. Περιέχεται γὰρ ὁ ἄνθρωπος ἐν τῷ ζώῳ, καὶ πᾶν εἶδος ἐν τῷ οἰκείῳ γένει, ὡς ὅλον ἐν μέρεσι, καθάπερ ὁ Σωκράτης ἐν τοῖς ἑαυτοῦ μέρεσι, κεφαλῇ, χερσὶ, ποσὶ, καὶ τοῖς ἄλλοις· καὶ τοῦτο δ' ἔν τισίν ἐστι, καὶ οὐκ ἔν τινι. Λέγεται δὲ μέρος μὲν ὅλου· ὅλον δὲ μερῶν οὐδαμῶς, ἀλλ' ὅλον ἐν μέρεσιν. Ὡς μέρος ἐν ὅλῳ· καθάπερ χεὶρ ἢ ποὺς ἐν Σωκράτει. Ὡς εἶδος ἐν ὕλῃ· καθὰ τὸ εἶδος τοῦ ἀνδριάντος ἐν τῷ χαλκῷ, καὶ τὸ σημεῖον ἐν τῇ γραμμῇ· εἰδοποιεῖ γὰρ καὶ τὸ σημεῖον τὴν πεπε-

sunt. Rursus de homine animal essentialiter prædicatur; de animali autem trisyllabum accidentaliter; homo enim et animal sub substantia sunt: trisyllabum autem sub quanto est. Non igitur etiam de homine trisyllabum prædicabitur; etenim homo animal quidem est, sed non est trisyllabum. Iterum de Socrate accidentaliter dicitur philosophum; sed de philosopho quadrisyllabum simili ratione accidentaliter dicitur; Socrates enim sub substantia: at philosophum sub quali est: quadrisyllabum denique sub quanto. Sed non etiam de Socrate quadrisyllabum dicetur. Socrates enim quidem est philosophus, sed non etiam quadrisyllabum est.

11. Quemadmodum enim in prædicatione de subjecto univocum semper conspicitur: sic in prædicatione in subjecto (nunquam deprehenditur); sed interdum quidem æquivocum, ut cum aliquis hanc mulierem musicam aut grammaticam dicit: nonnunquam vero denominativum, ut cum a philosophia **146** Aristotelem aliquis denominaverit philosophum; interdum denique diversivocum, ut cum aliquis Socratem a virtute virum bonum dixerit. Etenim in Græcæ linguæ consuetudine τὸ ἐνάρετον (ut etiam in Latina lingua virtuosum) non reperitur.

12. Differunt autem inter se substantia et substantiale, similiter accidens et essentiæ adjunctum (seu accidentale).

13. Substantia enim quidem res est per se exsistens non indigens alia ad sui constitutionem. Accidens autem res est, quæ in substantia non ut pars exsistit, nec seorsim a substantia esse potest.

14. Substantiale autem et accidentale modi sunt exsistentiæ aliquorum in aliquibus. Et essentiale quidem proprietatem et germanam convenientiam rei inexsistentis declarat, ad illam in qua exsistit· Accidentale autem alienum et adventitium denotat. Quare etiam in omnibus prædicamentis et essentiale et essentiæ adjunctum (seu accidentale) accipi potest.

15. Cæterum quod est in aliquo, undecim modis dicitur; ut genus in specie, velut animal in homine. **147** Genus enim cum ex abstractione habeat exsistentiam, totum est in quavis specie, et omnibus speciebus commune et cuique speciei proprium est: Quemadmodum vox præconis audientibus, et materia iis quæ in mundo sunt, et centrum circuli rectis quæ ex eo (scilicet centro) incipiunt; ut species in genere, veluti homo in animali. Continetur enim homo in animali et omnis species in proprio genere; ut totum in partibus quemadmodum Socrates in suis partibus, capite, pedibus, manibus et aliis; et vero hæc in aliquibus est et non in aliquo. Ac dicitur pars quidem totius: totum autem partium nequaquam, sed totum in partibus. Ut pars in toto: quemadmodum manus aut pes in Socrate. Ut forma in materia: quemadmodum forma statuæ in ære, et punctum

OCR ABK / FR

in linea; nam et punctum informat finitam lineam. In tempore, ut Noe in tempore diluvii. In loco, ut sacerdos in templo; in vase, ut aqua in poculo. Et fuerit vas quidem locus translatilis: locus autem, vas intranslatile. In causa efficiente, ut omnia in Deo, et in artifice eorum quæ ab ipso fiunt rationes; et in principe res subditorum. **148** In causa finali, ut lectus in quiete hominum, et in sanitate exercitium. In subjecto, ut accidens in substantia.

A ρασμένην γραμμήν. Ἐν χρόνῳ, ὡς ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ Νῶε. Ἐν τόπῳ, ὡς ἱερεὺς ἐν τῷ ναῷ· ἐν ἀγγείῳ, ὡς ὕδωρ ἐν ἐκπώματι. Καὶ εἴη ἂν τὸ μὲν ἀγγεῖον τόπος μεταφορητός· ὁ δὲ τόπος ἀγγεῖον ἀμεταφόρητον. Ἐν τῷ ποιητικῷ αἰτίῳ, ὡς τὰ πάντα ἐν τῷ Θεῷ, καὶ ἐν τῷ τεχνίτῃ τῶν ὑπ' αὐτοῦ γενομένων οἱ λόγοι· καὶ ἐν τῷ ἄρχοντι, τῶν ἀρχομένων τὰ πράγματα. Ἐν τῷ τελικῷ αἰτίῳ, ὡς ἐν τῇ ἀναπαύσει τῶν ἀνθρώπων ἡ κλίνη, καὶ ἐν τῇ ὑγιείᾳ ἡ γυμνασία. Ἐν ὑποκειμένῳ, ὡς ἐν τῇ οὐσίᾳ τὸ συμβεβηκός.

16. Reducuntur autem ad prædicamentum ubi, quæ sunt in aliquo. Et enumerata quidem ejus sunt, quod secundum naturam est: ejus autem quod præter naturam est, ut corruptio in animali et ignis in ligno. Nam in universum corruptio est in eo quod præter naturam corrumpitur. Neque enim naturæ est intentio ut ipsius opus pereat, sed ut potius conservetur et permaneat.

ιϛʹ. Ἀνάγονται δὲ ὑπὸ τὴν ποῦ κατηγορίαν τὰ ἔν τινι. Καὶ τὰ μὲν ἀπηριθμημένα τοῦ κατὰ φύσιν ἐστί· τοῦ δὲ παρὰ φύσιν, ὡς ἡ φθορὰ ἐν τῷ ζώῳ, καὶ τὸ πῦρ ἐν τῷ ξύλῳ. Καθόλου γὰρ ἡ φθορὰ ἐν
B τῷ φθειρομένῳ παρὰ φύσιν ἐστίν. Οὐδὲ γὰρ ὁ τῆς φύσεως σκοπὸς τὸ ταύτης [ἔργον] ἀπόλλυσθαι· συντηρεῖσθαι δὲ μᾶλλον καὶ διαμένειν.

Σχῆμα κεφαλ. ιϛʹ, περὶ τῶν κατηγορουμένων· ἐν ᾧ καὶ περὶ τοῦ ἔν τινι.

Πᾶσα κατηγορία {
ἢ ἐπὶ πλέον, ὡς τὸ ζῶον τοῦ ἀνθρώπου.
ἢ ἐπίσης, ὡς τὸ γελαστικὸν τοῦ ἀνθρώπου.

Τὰ ἔν τινι {
ὡς γένος ἐν εἴδει· οἷον τὸ ζῶον ἐν ἀνθρώπῳ·
ὡς εἶδος ἐν γένει· οἷον ἄνθρωπος ἐν τῷ ζώῳ·
ὡς ὅλον ἐν μέρεσιν· οἷον ὁ Σωκράτης ἐν τοῖς οἰκείοις μέρεσι·
ὡς μέρος ἐν ὅλῳ· οἷον γὰρ ἡ χεὶρ ἢ ποὺς ἐν Σωκράτει·
ὡς εἶδος ἐν ὕλῃ· ὡς τὸ εἶδος τοῦ ἀνδριάντος ἐν τῷ χαλκῷ·
ἐν χρόνῳ· ὡς Νῶε ἐν τῷ καιρῷ τοῦ κατακλυσμοῦ·
ἐν τόπῳ· ὡς ἱερεὺς ἐν τῷ ναῷ, ὕδωρ ἐν ἀγγείῳ·
ἐν τῷ ποιητικῷ αἰτίῳ· ὡς τὰ πάντα ἐν τῷ Θεῷ·
ἐν τῷ τελικῷ αἰτίῳ, ὡς ἡ γυμνασία ἐν τῇ ὑγιείᾳ·
ἐν ὑποκειμένῳ, ὡς ἐν τῇ οὐσίᾳ τὸ συμβεβηκός.

—

*Tabula capitis 16, de iis quæ prædicantur; ubi etiam de iis quæ sunt in aliquo.*

Omnis prædicatio {
aut latius se habet ad subjectum, ut animal ad hominem;
aut æqualiter, ut risibile ad hominem.

**149** Quæ sunt in aliquo (dicuntur undecim modis): {
ut genus in specie, velut animal in homine;
ut species in genere, velut homo in animali;
ut totum in partibus, velut Socrates in propriis partibus;
ut pars in toto, velut manus aut pes in Socrate;
ut forma in materia, velut forma statuæ in ære;
in tempore, velut Noe in tempore diluvii;
in loco, ut sacerdos in templo;
in vase, ut aqua in poculo;
in causa efficiente, ut omnia in Deo;
in causa finali, ut exercitium in sanitate;
in subjecto, ut accidens in substantia.

—

## **150** SYNOPSIS CAPITIS XVII

### DE UNO, EODEM ET DIVERSO; UBI ETIAM DE HYPOSTASI.

1. *Unum et idem tribus modis dici.* — 2. *Diversum totidem.* — 3. *Diversa seu differentia numero, id est individua, cur heterohypostata dicantur, et quid ab homohypostatis differant.* — 4. *Quatuor porismata ex superioribus illata.* — 5. *Quæ maxime dici possint heteroidea.* — 6. *Regula antepraedicamentalis posterior.* — 7. *Regulæ posterioris antepraedicamentalis appendix, vel, ut alii volunt, regula tertia antepraedicamentalis.* — 8. *Homogenea et homoidea a Patribus pro iisdem, nempe pro homousiis, accipi.* — 9. *Hypostaseos duo significata.* — 10. *Anhypostati item.* — 11. *Enhypostati quatuor.* — 12. *Ejusdem quintum.* — 13. *Hypostasin, individuum, personam apud Patres pro eodem haberi.*

—

## CAPUT XVII.

### *De uno, eodem et diverso; ubi etiam de hypostasi.*

1. Tribus modis dicitur unum et idem. Aut ge-

## ΚΕΦΑΛ. ΙΖʹ.

### Περὶ ἑνὸς, ταυτοῦ καὶ ἑτέρου· ἐν ᾧ καὶ περὶ ὑποστάσεως.

αʹ. Τριχῶς λέγεται τὸ ἓν καὶ ταυτόν. Ἢ γὰρ τῷ

OCR ABK / FR

γένει, καὶ ποιεῖ τὰ ὁμογενῆ· οἷον ἄνθρωπος καὶ ἵππος· ταῦτα γὰρ ἓν καὶ ταυτὸν γένος ἔχουσι τὸ ζῶον. Ἢ τῷ εἴδει, καὶ ποιεῖ τὰ ὁμοειδῆ· οἷον Πέτρος καὶ Παῦλος· τούτοις γὰρ ἓν καὶ ταυτὸν εἶδος ὑπάρχει ὁ ἄνθρωπος. Ἢ τῷ ἀριθμῷ, καὶ ποιεῖ τὸ ἄτομον καθ' αὑτὸ νοούμενον, τῶν λοιπῶν ἀτόμων κεχωρισμένον· οἷον Σωκράτης. Ἓν γὰρ ὑπάρχει καὶ ταυτὸν, εἰ καὶ πλείστοις ἴσως καλοῖτο ὀνόμασι· Σωκράτης, Σωφρονίσκου υἱὸς, φιλόσοφος. Τὸ δ' αὐτὸ κἀπὶ τῶν ἰδίως λεγομένων πολυωνύμων ἐστίν. Ἓν γὰρ καὶ ταυτὸν ὑπάρχει τῷ ἀριθμῷ, τὸ ξίφος, καὶ τὸ ἄορ, καὶ ἡ σπάθη, καὶ τὸ φάσγανον.

β'. Ὁσαχῶς δὲ λέγεται τὸ ἓν καὶ ταυτὸν, τοσαυταχῶς καὶ τὸ ἕτερον. Ἢ γὰρ τῷ γένει καὶ τοῦτο λέγεται, καὶ ποιεῖ τὰ ἑτερογενῆ. οἷον ζῶον καὶ ἐπιστήμη· τοῦ μὲν γὰρ ζώου γένος ἡ οὐσία, τῆς ἐπιστήμης δὲ τὸ ποιόν. Ἢ τῷ εἴδει, καὶ ποιεῖ τὰ ἑτεροειδῆ· οἷον ἵππος καὶ βοῦς· ἄλλο γὰρ εἶδος ἵππου, καὶ ἄλλο τοῦ βοὸς, εἰ καὶ γένος οὐκ ἄλλο καὶ ἄλλο. Ἢ τῷ ἀριθμῷ καὶ ποιεῖ (τὰ) ἄτομα· καὶ γὰρ τῷ ἀριθμῷ διαφέρουσιν, ὅσα τῇ συνδρομῇ τῶν συμβεβηκότων τὴν ἰδιότητα τῆς ἰδίας ὑποστάσεως ἀφωρίσαντο.

γ'. Ταῦτα δὲ λέγονται καὶ ἑτεροϋπόστατα, ὡς ἐσχηκότα τὴν ἀνὰ μέρος καθ' ἑαυτὰ ὕπαρξιν. Τούτῳ γὰρ καὶ τῶν ὁμοϋποστάτων διενηνόχασιν. Ὁμοϋπόστατα γάρ εἰσιν, ὅταν δύο φύσεις ἐν μιᾷ ὑποστάσει ἑνωθῶσι, καὶ μίαν σχῶσιν ὑπόστασιν σύνθετον, καὶ ἓν πρόσωπον· ὡς ψυχὴ καὶ σῶμα.

δ'. Πάντα μὲν οὖν τὰ ὁμοειδῆ ἐξ ἀνάγκης εἰσὶ καὶ ὁμογενῆ· οὐ πάντα δὲ τὰ ὁμογενῆ ἀναγκαίως καὶ ὁμοειδῆ. Οὕτως καὶ ἑτερογενῆ μὲν ὁμολογουμένως πάντα ἑτεροειδῆ· οὐ πάντα δὲ τὰ ἑτεροειδῆ ἤδη καὶ ἑτερογενῆ. Καὶ τὰ μὲν τῷ γένει ἕτερα καὶ τῷ εἴδει καὶ τῷ ἀριθμῷ διαφέρουσι· τὰ δὲ τῷ εἴδει ἕτερα τῷ μὲν ἀριθμῷ διαφέρουσιν, οὐ μὴν δὲ ἀεὶ καὶ τῷ γένει. Οὔτε δὲ τῷ ἀριθμῷ διαφέροντα ἐξ ἀνάγκης καὶ τῷ εἴδει, καὶ τῷ γένει ἕτερά ἐστιν.

ε'. Ἑτεροειδῆ δὲ λέγοιντ' ἂν μάλιστα τὰ ἐκ διαφόρων εἰδικωτάτων εἰδῶν ἄτομα. Καθάπερ γὰρ Σωκράτης καὶ Πλάτων ὁμοειδῆ (καὶ ἄμφω γὰρ ἄνθρωποι) τὸν αὐτὸν τρόπον Πήγασος καὶ Κέρβερος, ἑτεροειδῆ. Τὸν μὲν γὰρ ἵππον λέγουσιν εἶναι τὸν Πήγασον, τὸν δὲ κύνα τὸν Κέρβερον.

ς'. Τῶν ἑτερογενῶν δὲ καὶ μὴ ὑπάλληλα τεταγμένων ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραί· οἷον ζώου καὶ ἐπιστήμης. Ἄλλαι γὰρ διαφοραὶ τοῦ ζώου καὶ ἄλλαι τῆς ἐπιστήμης. Τοῦ μὲν γὰρ ζώου συστατικαὶ διαφοραὶ, τὸ ἔμψυχον, τὸ αἰσθητικὸν, τὸ μεταβατικόν· διαιρετικαὶ τὸ λογικὸν, τὸ ἄλογον, τὸ πεζὸν, τὸ πτηνὸν, τὸ ἔνυδρον, καὶ ἕτερα. Τῆς δὲ ἐπιστήμης συστατικαὶ μὲν τὸ τοῖς λογικοῖς ἐνυπάρχειν ζώοις, τὸ δυσμετάβλητον, τὸ ἀπτπιστον τῶν ὑποκειμένων· διαιρετικαὶ δὲ τὸ θεωρητικὸν, τὸ πρακτικόν· καὶ αὖθις τὸ γεωμετρικόν τε καὶ ἀστρονομικὸν καὶ τὰ

A nere et facit homogenea (quæ sunt ejusdem generis), ut homo et equus; etenim hæc unum et idem genus habent, animal. Aut specie, et facit homoidea (quæ sunt ejusdem speciei): ut Petrus et Paulus; horum enim una et eadem est species, homo. Aut numero, et facit individuum, quod per se intelligitur a reliquis individuis separatum, velut Socrates. Etenim unum et idem est (numero), licet plurimis forte nominibus vocetur: **151** Socrates, Sophronisci filius, philosophus. Atque idem etiam in his quæ proprie multivoca dicuntur, est. Etenim unum et idem numero sunt mucro, ensis, spatha, gladius.

2. Quot autem modis unum et idem dicitur, tot modis etiam diversum dicitur. Nam et hoc vel genere dicitur, et efficit heterogenea (quæ sunt diversi generis), velut animal et scientia; animalis enim genus est substantia; scientiæ autem qualitas. Aut specie, et facit heteroidea (quæ sunt diversæ species), velut equus et bos; alia enim species est equi, alia bovis, tametsi genus non est aliud atque aliud. Aut numero, et facit individua; etenim numero differunt quæcunque accidentium concursu peculiaris hypostaseos proprietatem separarunt. B

3. Dicuntur autem hæc etiam heterohypostata, quod seorsim habeant per se exsistentiam. In hoc enim etiam ab illis differunt, quæ sunt homohypostata. Etenim homohypostata sunt, cum duæ naturæ in una hypostasi unitæ fuerint, et unam hypostasin compositam unamque personam habuerint; ut anima et corpus.

C 4. Omnia igitur homoidea quidem sunt necessario **152** etiam homogenea: non autem omnia homogenea, necessario etiam sunt homoidea. Ita etiam heterogenea quidem omnia omnium consensu sunt heteroidea: non autem omnia heteroida sunt jam etiam heterogenea. Et quæ quidem genere diversa sunt, etiam specie et numero differunt: quæ autem specie diversa sunt, numero quidem, non semper autem etiam genere differunt. Neque vero numero differentia, necessario etiam specie et genere diversa sunt.

5. Heteroidea autem maxime dici possint individua quæ sunt ex differentibus speciebus specialissimis. Quemadmodum enim Socrates et Plato sunt homoidea (ambo enim sunt homines), eodem D modo Pegasus et Cerberus sunt heteroidea. Illum enim equum, hunc canem esse ferunt.

6. Cæterum heterogeneorum, hoc est, sub diversis generibus exsistentium et non subalternatim positorum, diversæ etiam sunt specie differentiæ: velut animalis et scientiæ. Aliæ enim animalis, aliæ scientiæ sunt differentiæ. Animalis enim constituentes differentiæ sunt, animatum, sentiens, progressivum: dividentes, rationis particeps, rationis expers, gradiens, **153** volatile, aquatile, et alia. Scientiæ autem, constituentes quidem differentiæ) sunt, animalibus ratione præditis inesse, difficulter mutari, non excidere subjectis; dividentes

OCR ABK / FR

vero, contemplativum, activum; et iterum geometricum et astronomicum, et similia. Cujus enim prædicamenti genus, illius etiam species est: sed et convenientes differentiæ. Heterogeneorum igitur, hoc est, eorum quæ sub diversis generibus exsistunt, diversæ sunt etiam specie differentiæ cum constituentes tum dividentes.

A τοιαῦτα. Καὶ γὰρ ἧς κατηγορίας ὑπάρχει τὸ γένος, ἐκείνης καὶ τὸ εἶδος· κατάλληλοι δὲ καὶ αἱ διαφοραί. Τῶν τοίνυν ἑτερογενῶν ἕτεραι τῷ εἴδει καὶ αἱ διαφοραὶ αἱ συστατικαί τε καὶ αἱ διαιρετικαί.

7. Eorum autem, quæ subalternatim ponuntur dividentes quidem non semper sunt eædem. Si enim corpus dividatur in animatum et inanimatum, non etiam animatum iterum in animatum et inanimatum dividetur, sed in sentiens et sensus expers: eritque etiam corpus divisum in sentiens et sensus expers. Rursus animati et sentientis communes differentiæ dividentes reperientur, et rationis particeps et rationis expers. Atque sic generum subalternatim positorum differentiæ dividentes alias quidem eædem, alias vero non eædem erunt. Ut autem constituentes differentiæ **154** semper sint eædem, nihil est quod prohibeat. Cum enim subalternatim posita sint homogenea (ejusdem generis), et univoca fiat prædicatio, quotquot prædicati sunt differentiæ, omnes etiam subjecti erunt.

ζ'. Τῶν δέ γε ὑπάλληλα τεταγμένων, διαιρετικαὶ μὲν οὐ πάντοτε αἱ αὐταί. Τοῦ γὰρ σώματος διαιρουμένου εἰς ἔμψυχον σῶμα καὶ ἄψυχον, οὐ διαιρεθήσεται καὶ τὸ ἔμψυχον εἰς ἔμψυχον πάλιν καὶ ἄψυχον, ἀλλ' εἰς αἰσθητικὸν καὶ ἀναίσθητον· ἔσται δὲ καὶ τὸ σῶμα διῃρημένον εἰς αἰσθητικὸν καὶ ἀναίσθητον. Πάλιν τοῦ ἐμψύχου καὶ τοῦ αἰσθητικοῦ (εἰς λογικὸν καὶ ἄλογον) εὑρεθήσονται κοιναὶ διαφοραὶ διαιρετικαί, τὸ λογικόν τε καὶ ἄλογον. Καὶ οὕτως ἔσονται τῶν ὑπάλληλα γενῶν διαφοραὶ διαιρετικαὶ B ποτὲ μὲν αἱ αὐταί, ποτὲ δ' οὐχ αἱ αὐταί. Τὰς δὲ συστατικὰς εἶναι πάντοτε τὰς αὐτὰς τὸ κωλύον οὐδέν. Ὁμογενῶν γὰρ ὄντων τῶν ὑπάλληλα, καὶ συνωνύμου γενομένης τῆς κατηγορίας, ὅσαι τοῦ κατηγορουμένου διαφοραί εἰσι, πᾶσαι δὲ τοῦ ὑποκειμένου ἔσονται.

8. Scire autem oportet quod sancti Patres eadem dicunt homogenea et homoidea, homousia (coessentialia) videlicet, hypostases nimirum quæ sub eadem specie sunt.

η'. Χρὴ δὲ γινώσκειν ὡς οἱ θεῖοι Πατέρες ὁμογενῆ καὶ ὁμοειδῆ τὰ αὐτὰ λέγουσι, τὰ ὁμοούσια δηλαδή, ἤγουν τὰς ὑπὸ τὸ αὐτὸ εἶδος ὑποστάσεις.

9. Atqui hypostasis duo significat. Declarat enim et simpliciter exsistentiam, quatenus etiam aliqui ex Patribus nomen hypostasis ad significandam naturam assumpserunt. Denotat etiam individuum, quod etiam proprie hypostasis dicitur, propterea quod per se revera subsistat. Essentia enim acceptis accidentibus in individuis reipsa subsistit.

θ'. Ἡ δ' ὑπόστασις δύο σημαίνει. Δηλοῖ γὰρ καὶ τὴν ἁπλῶς ὕπαρξιν, καθὸ καί τινες τῶν Πατέρων, ὡς δηλωτικὸν φύσεως παρειλήφασι τὸ τῆς ὑποστάσεως ὄνομα. Δηλοῖ καὶ τὸ ἄτομον ὃ καὶ κυρίως ὑπόστασις C λέγεται, διὰ τὸ καθ' αὐτὸ ὑφεστάναι πραγματικῶς. Ἐν γὰρ τοῖς ἀτόμοις ἡ οὐσία ἐνεργείᾳ ὑφέστηκε, προσλαβοῦσα τὰ συμβεβηκότα.

10. Et vero anhypostaton duo significat. Nam et id (significat), quod nullo modo usquam est: et accidens ut quod propriam hypostasin sive exsistentiam non habeat, sed in substantia subsistat.

ι'. Καὶ τὸ ἀνυπόστατον δὲ δύο σημαίνει. Τό τε γὰρ μηδαμῇ μηδαμῶς ὄν, καὶ τὸ συμβεβηκός, ὡς μὴ ἔχον ἰδίαν ὑπόστασιν, εἴτουν ὕπαρξιν, ἀλλ' ἐν τῇ οὐσίᾳ ὑφεστηκός.

11. Enhypostaton autem interdum quidem id quod simpliciter exsistit declarat; quo significato non tantum simpliciter substantia, sed etiam accidens enhypostaton dicitur, **155** cum magis heterohypostaton (id est, in alio habens subsistentiam) sit: interdum autem etiam individuum declarat. Sed tamen nec ipsum proprie enhypostaton est, sed hypostasis. Proprie enim enhypostaton est, vel quod per se quidem non subsistit, sed in hypostasibus consideratur, ut species, nempe natura (communis scilicet, etenim natura hominum non secundum seipsam, sed in particularibus hominibus subsistit), vel quod cum altero quodam differente secundum substantiam congreditur ad unam compositam hypostasim complendam. Quemadmodum anima et corpus secum invicem congressa hunc aliquem hominem absolverunt.

ια'. Τὸ δὲ ἐνυπόστατον ποτὲ μὲν τὸ ἁπλῶς ὑπάρχον δηλοῖ, καθὸ σημαινόμενον οὐ μόνον τὴν ἁπλῶς οὐσίαν, ἀλλὰ καὶ τὸ συμβεβηκὸς ἐνυπόστατον λέγομεν, ἑτερουπόστατον μᾶλλον ὑπάρχον· ποτὲ δὲ δηλοῖ καὶ τὸ ἄτομον. Οὐδ' αὐτὸ δὲ κυρίως ἐνυπόστατόν ἐστιν, ἀλλ' ὑπόστασις. Κυρίως γὰρ ἐνυπόστατόν ἐστιν ἢ τὸ καθ' αὑτὸ μὲν μὴ ὑφιστάμενον, ἀλλ' ἐν D ταῖς ὑποστάσεσι θεωρούμενον, ὥσπερ τὸ εἶδος, ἤγουν ἡ φύσις· καὶ γὰρ τῶν ἀνθρώπων ἡ φύσις οὐ καθ' ἑαυτήν, ἀλλ' ἐν τοῖς κατὰ μέρος ἀνθρώποις ὑφέστηκεν· ἢ τὸ συνερχόμενον ἑτέρῳ τινὶ διαφόρῳ κατὰ τὴν οὐσίαν εἰς μιᾶς ὑποστάσεως συνθέτου ἐκπλήρωσιν· ὡς ἡ ψυχὴ καὶ τὸ σῶμα συνελθόντα ἀλλήλοις τόν τινα ἄνθρωπον ἀπετέλεσαν.

12. Hæc quidem igitur enhypostata dici quiverint; quod autem ex illis compositum est, hypostasis. Sed et ea natura quæ ab alia hypostasi assumpta in ipsa exsistentiam habet, et hæc, inquam,

ιβ'. Τὰ μὲν οὖν ἐνυπόστατα λεχθεῖεν ἄν· τὸ δ' ἐξ αὐτῶν ἀλλήλων συντεθειμένον ὑπόστασις. Ἀλλὰ καὶ ὑφ' ἑτέρας ὑποστάσεως προσληφθεῖσα φύσις, καὶ ἐν αὐτῇ ἐσχηκυῖα τὴν ὕπαρξιν καὶ αὕτη καλῶς

OCR ABK / FR

ἐνυπόστατος λέγεται· ὅθεν καὶ τοῦ Κυρίου ἡ σὰρξ, μηδὲ πρὸς καιροῦ ῥοπὴν ἀκαριαίαν ὑποστᾶσα καθ' ἑαυτὴν, οὐχ ὑπόστασις, ἀλλ' ἐνυπόστατος καὶ λέγεται καὶ ἔστιν. Ἐν γὰρ τῇ τοῦ Θεοῦ Λόγου ὑποστάσει ὑπέστη προσληφθεῖσα ὑπ' αὐτῆς, καὶ ταύτην ἔσχε καὶ ἔχει ὑπόστασιν.

ιγ'. Ἰστέον δ' ὅτι οἱ ἅγιοι Πατέρες τὸ αὐτὸ καὶ ἓν ἐκάλεσαν ὑπόστασίν τε καὶ ἄτομον καὶ πρόσωπον, τὸ διὰ τῶν ἑαυτοῦ ἰδιωμάτων ἀρίδηλον καὶ περιωρισμένην ἀπὸ τῶν ὁμοφυῶν αὐτοῦ παρεχόμενον ἡμῖν τὴν οἰκείαν ἐμφάνειαν.

A recte enhypostatos dicitur. Unde etiam Domini caroque neque ad exiguum temporis momentum per se subsistit, non hypostasis, sed enhypostatos et dicitur et est. Etenim in Dei Verbi hypostasi substitit assumpta ab ea, atque hanc habuit habetque hypostasin.

13. Sciendum **156** autem sanctos Patres unum et idem et hypostasin et individuum et personam vocasse; id nimirum quod per attributa sua manifestam et ab aliis secum ejusdem naturæ circumfinitam nobis propriam apparitionem exhibet.

Σχῆμα κεφαλ. ιζ', περὶ ἑνὸς ταυτοῦ καὶ ἑτέρου, ἐν ᾧ καὶ περὶ ὑποστάσεως.

| | |
|---|---|
| Τὸ ἓν καὶ ταυτὸν | ἢ γένει, οἷον ἄνθρωπος καὶ ἵππος·<br>ἢ εἴδει, ὡς Πέτρος καὶ Παῦλος·<br>ἢ ἀριθμῷ, ὡς λώπιον καὶ ἱμάτιον· |
| Τὸ ἕτερον | ἢ γένει, ὡς ζῶον καὶ ἐπιστήμη·<br>ἢ εἴδει, ὡς ἵππος καὶ βοῦς·<br>ἢ ἀριθμῷ· ὡς Σωκράτης καὶ Πλάτων· |
| Ὑπόστασις | ἢ ἁπλῶς ὕπαρξις·<br>ἢ καὶ τὸ ἄτομον· |
| Ἀνυπόστατον | ἢ τὸ μηδαμῇ μηδαμῶς ὄν·<br>ἢ τὸ συμβεβηκός. |
| Τὸ ἐνυπόστατον | τὸ ἁπλῶς ὑπάρχον·<br>τὸ ἄτομον·<br>τὸ μὴ καθ' ἑαυτὸ θεωρούμενον, ὡς τὸ εἶδος τοῦ ἀνθρώπου ἐν τοῖς κατὰ μέρος·<br>καὶ τὸ συνερχόμενον διαφόρως κατὰ τὴν οὐσίαν εἰς μιᾶς ὑποστάσεως σύστασιν. |

—

*Tabula capitis 17, de uno eodem et diverso. ubi etiam de hypostasi (anhypostato et enhypostato).*

| | |
|---|---|
| Unum et idem (dicitur) | aut genere, velut homo et equus,<br>aut specie, ut Petrus et Paulus,<br>aut numero, ut indumentum et vestimentum. |
| Diversum (dicitur) | aut genere, ut animal et scientia,<br>aut specie, ut equus et bos,<br>aut numero, ut Socrates et Plato. |
| Hypostasis (dicitur) | aut simpliciter existentia,<br>aut individuum. |
| **157** Anhypostaton (dicitur) | aut quod prorsus nuspiam est,<br>aut accidens. |
| Enhypostaton (dicitur) | quod simpliciter exsistit,<br>individuum,<br>quod per se non consideratur, ut species hominis in particularibus,<br>quod congreditur cum differente quoad substantiam ad unius hypostaseos constitutionem. |

—

## SYNOPSIS CAPITIS XVIII.

QUOD EST DE PRIORE ET POSTERIORE ET SIMUL.

1. *Quinque modi prioris.* — 2. *Primus est a tempore.* — 3. *Secundus a natura.* — 4. *Tertius ab ordine.* — 5. *Quartus a dignitate.* — 6. *Quintus a notione seu conceptu mentis.* — 7. *Posterioris totidem modi.* 8. *Prioris et posterioris hæc divisio, qualis sit.* — 9. *Eorum quæ simul dicuntur tres modi, quorum primus est a tempore.* — 10. *Secundus a natura.* — 11. *Tertius a divisione.* — 12. *His tribus additur quartus a dignitate.*

—

### ΚΕΦΑΛ. ΙΗ'.

Περὶ προτέρου καὶ ὑστέρου, καὶ περὶ τοῦ ἅμα.

α'. Κατὰ πέντε τρόπους τὸ πρότερον λέγεται.

B

### CAPUT XVIII.

*De priore et posteriore et simul.*

1. Prius quinque modis dicitur.



OCR ABK/ FR

2. Uno quidem modo a tempore, quo aliud alio antiquius et vetustius dicimus. Usurpatur autem antiquius quidem proprie in animatis, **158** maxime in hominibus: in inanimatis autem (et) simul omnibus vetustius. Manifestum autem est oportere cum alio conferentem facere comparationem, ne quis seipso secundum juvenilem ætatem, quæ tempore prior est, antiquior (seu senior) deprehendatur.

3. Alio modo prius dicitur, quod secundum naturam est. Est autem natura prius quod simul tollit et simul non tollitur; quodque juxta infertur, nec juxta infert. Velut unum prius est duobus. Etenim sublatum secum tollit duo. Si enim unum non sit, quomodo duo erunt? Si autem duo sublata fuerint, non juxta unum tollitur. Unum enim est, si duo non sint. Rursus cum duobus unum simul infertur. Ubi enim duo, ibi etiam unum est. Etenim duo sunt unum et unum. Non autem unum simul infert duo. Unum enim si sit, non est necesse etiam duo esse. Hoc modo genera suis speciebus priora sunt et species individuis suis; et simpliciter universaliora particularioribus quæ in eodem prædicamento sunt.

4. Tertius modus est is, qui est secundum ordinem, ut exordium narratione prius est, et miles duce exercitus.

5. Quartus est qui **159** secundum dignitatem est, ut princeps prior est subdito, dignitate videlicet et honore. Hunc modum Aristoteles non recipit. Pro eo autem ponit illum qui secundum causam est, velut, Homo est; et dicimus etiam nos veram esse orationem, quod sit homo. Quare esse hominem causa est veræ hujus orationis quæ est quod homo sit. Quoad hoc significatum Patrem qui sine principio est, primum et majorem Unigenito dicimus, quod exsistentiæ illius causa sit essentialiter.

6. Adjiciunt aliqui modis prioris eum qui secundum notionem mentis est: velut ædificaturi murum fundamentum jacimus, dicimusque, quia prius cogitantes murum propter murum fundamentum jacimus, murum fundamento priorem esse. Reducitur autem modus hic ad eum qui secundum dignitatem est, quo id quod melius et honoratius est, prius dicitur. Et quemadmodum prior dignitate, ordine posterior deprehenditur (etenim principe prius est subditus, et posterius princeps constituitur) simili modo etiam id quod notione mentis prius est, posterius absolvitur et perficitur.

7. Quot autem modis prius, tot etiam **160** modis posterius (dicitur), si apposite et convenienter modis prioris fiat oppositio.

8. Dividunt autem prius et posterius secundum magis et minus, ut ea quæ ab uno.

9. Simul porro uno quidem modo sunt, quorum generatio est in eodem tempore, ut cum uno momento duos nasci contigerit. Hic modus primo modo prioris qui est a tempore opponitur.

A β'. Καθ' ἕνα μὲν τρόπον ἀπὸ τοῦ χρόνου, καθ' ὃ πρεσβύτερον καὶ παλαιότερον ἕτερον ἑτέρου φαμέν. Τάττεται δὲ τὸ μὲν πρεσβύτερον κυρίως ἐπὶ τῶν ἐμψύχων καὶ μάλιστα ἐπ' ἀνθρώπων, ἐπὶ δὲ τῶν ἀψύχων (καὶ) ὁμοῦ πάντων τὸ παλαιότερον. Δῆλον δ' ὅτι πρὸς ἕτερον χρὴ παραβάλλοντα πάντοτε ποιεῖσθαι τὴν σύγκρισιν, ἵνα μή τις ἑαυτοῦ κατὰ τὴν νέαν ἡλικίαν, ὡς τῷ χρόνῳ προτέραν, εὑρεθείη πρεσβύτερος.

γ'. Καθ' ἕτερον τρόπον λέγεται πρότερον, τὸ κατὰ φύσιν. Φύσει δὲ πρότερόν ἐστι τὸ συναναιροῦν καὶ μὴ συναναιρούμενον, καὶ συνειφερόμενον καὶ μὴ συνειςφέρον. Οἷον τὸ ἓν πρότερον φύσει τῶν δύο. Καὶ γὰρ ἀναιρούμενον, συναναιρεῖ τὰ δύο. Μὴ ὄντος γὰρ ἑνὸς, πῶς ἔσονται δύο; τῶν δύο δ' ἀναιρεθέντων, οὐ συναναιρεῖται τὸ ἕν. Ἔστι γὰρ ἕν, δύο μὴ B ὄντων. Πάλιν τοῖς μὲν δύο συνεισφέρεται τὸ ἕν· ἔνθα γὰρ δύο, ἐκεῖ καὶ τὸ ἕν· ἓν γὰρ καὶ ἓν τὰ δύο· οὐ συνεισφέρει δὲ τὸ ἓν τὰ δύο· ἑνὸς γὰρ ὄντος, οὐκ ἀναγκαῖον εἶναι καὶ δύο. Κατὰ τοῦτον τὸν τρόπον τὰ γένη πρότερα τῶν οἰκείων εἰδῶν, καὶ τὰ εἴδη τῶν ἀτόμων, καὶ ἁπλῶς τὰ καθολικώτερα τῶν ὑπὸ τὴν αὐτὴν κατηγορίαν μερικωτέρων.

δ'. Τρίτος τρόπος ὁ κατὰ τάξιν, ὡς τὸ προοίμιον πρότερον τῆς διηγήσεως, καὶ ὁ στρατιώτης τοῦ στρατηγοῦ.

ε'. Τέταρτος ὁ κατ' ἀξίαν· ὡς ὁ ἄρχων πρότερος τοῦ ἀρχομένου, τῇ ἀξίᾳ δηλονότι καὶ τῇ τιμῇ. Τοῦτον τὸν τρόπον ὁ Ἀριστοτέλης οὐ δέχεται. Τίθησι δ' ἀντ' αὐτοῦ τὸν κατὰ τὸ αἴτιον· οἷον, Ἔστιν ἄνθρω- C πος, καὶ λέγομεν καὶ ἡμεῖς ἀληθῆ λόγον, ὅτι ἐστὶν ἄνθρωπος. Τὸ εἶναι γοῦν ἄνθρωπον αἴτιον γίνεται τοῦ λόγου τούτου τοῦ ἀληθοῦς, τοῦ, ὅτι ἔστιν ἄνθρωπος. Κατὰ τοῦτο τὸ σημαινόμενον λέγομεν τὸν ἄναρχον Πατέρα πρῶτον καὶ μείζονα τοῦ Μονογενοῦς, ὡς αἴτιον τῆς αὐτοῦ ὑπάρξεως οὐσιωδῶς.

ς'. Προστιθέασί τινες τοῖς τρόποις τοῦ προτέρου τὸν κατ' ἐπίνοιαν· ὡς ὅταν βουλόμενοι τοῖχον δείμασθαι θεμέλιον καταβάλλωμεν· καὶ λέγομεν, Ἐπεὶ πρότερον τὸν τοῖχον ἐπινοήσαντες διὰ τὸν τοῖχον τιθέμεθα τὸν θεμέλιον, ὁ τοῖχος ἐστὶ πρότερος τοῦ θεμελίου. Συνάγεται δ' οὗτος ὁ τρόπος τῷ κατ' ἀξίαν· καθ' ὃν τὸ βέλτιον καὶ τιμιώτερον λέγεται πρότερον. Καὶ ὥσπερ ὁ κατ' ἀξίαν πρότερος ὕστερος εὑρίσκεται κατὰ τάξιν (ὁ γὰρ ἄρχων πρότερόν D ἐστιν ἀρχόμενος καὶ ὕστερον ἄρχων καθίσταται)· τοιουτοτρόπως καὶ τὸ κατ' ἐπίνοιαν πρότερον ὕστερον ἀπαρτίζεται καὶ τελειοῦται.

ζ'. Ὁσαχῶς δὲ τὸ πρότερον, τοσαυταχῶς καὶ τὸ ὕστερον, προσφυῶς τοῖς τρόποις καὶ καταλλήλως γινομένης τῆς ἀντιθέσεως.

η'. Διαιροῦσι δὲ τὸ πρότερον καὶ ὕστερον καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον, ὥσπερ τὰ ἀφ' ἑνός.

θ'. Ἅμα δὲ ἐστι καθ' ἕνα μὲν τρόπον, ὧν ἡ γένεσις ἐν τῷ αὐτῷ χρόνῳ· ὡς ὅταν ἐν μιᾷ ῥοπῇ τύχῃ γεννηθῆναι δύο τινάς· οὗτος ὁ τρόπος τῷ πρώτῳ τρόπῳ τοῦ προτέρου ἀντίκειται, τῷ ἀπὸ τοῦ χρόνου.

OCR ABK / FR

ι'. Καθ' ἕτερον τρόπον ἅμα λέγονται τὰ κατὰ φύσιν ἅμα ὑπάρχοντα. Ταῦτα δέ ἐστι τὰ συναναιροῦντα καὶ συναναιρούμενα, συνεισφερόμενά τε καὶ συνεισφέροντα· οἷον τὰ πρός τι. Οὗτος δὲ ὁ τρόπος ἀντίκειται τῷ τοῦ προτέρου δευτέρου τρόπῳ, τῷ κατὰ φύσιν· καί γε τῷ πέμπτῳ τῷ κατὰ τὸ αἴτιον. Τῷ δευτέρῳ μὲν οὖν καθ' ὅσον ἀντιστρέφει, ἀντίκειται τῷ μὴ ἀντιστρέφοντι· τῷ πέμπτῳ δ' αὖθις, ἢ μὴν τετάρτῳ, καθ' ὅσον οὐκ ἔστι θάτερον αἴτιον τοῦ λοιποῦ. Τοιαῦτα γὰρ τὰ πρός τι, καθὸ πρός τι. Τὸ γὰρ πατὴρ καὶ υἱὸς ἅμα ἐστὶ καὶ οὐδέτερον αἴτιον, κατ' αὐτὸ (τοῦτο, τὸ πατὴρ καὶ υἱός)· μᾶλλον μὲν οὖν αἴτιον ἑκατέρου ἑκάτερόν ἐστι. Αἴτιον γὰρ τοῦ πατέρα εἶναι τὸ υἱὸν εἶναι· καὶ τοῦ υἱὸν εἶναι τὸ πατέρα εἶναι. Κἂν ἄλλως αἴτιος τῆς τοῦ υἱοῦ ὑπάρξεως ὁ πατὴρ, οὐ μὴν τῆς τοῦ πατρὸς ὁ υἱός. Ὁ μὲν γὰρ πατὴρ ἐγέννησεν, ὁ δὲ υἱὸς ἐγεννήθη. Καὶ γέγονεν ὁ υἱὸς ἐκ τοῦ πατρός· οὐ μὴν ἐκ τοῦ υἱοῦ ὁ πατήρ.

ια'. Τρίτον τοῦ ἅμα σημαινόμενον, τὰ ἀντιδιαιρούμενα εἴδη· ὡς ὅταν διαιροῦντες τὸ ζῶον εἰς λογικὸν καὶ ἄλογον, ἅμα λέγομεν εἶναι τὸ λογικὸν καὶ τὸ ἄλογον· καὶ οὐ τὸ μὲν πρότερον, τὸ δ' ὕστερον. Ἀντίκειται δὲ τῶν ἀντιδιαιρουμένων ὁ τρόπος τῷ τρίτῳ τρόπῳ τοῦ προτέρου τῷ κατὰ τάξιν. Ἰσόστοιχα γὰρ τὰ ἀντιδιαιρούμενα, καὶ τὴν αὐτὴν ἀλλήλοις ἔχοντα τάξιν.

ιβ'. Δοκεῖ δέ τι του ἅμα καὶ τῷ κατ ἀξίαν ἀντικεῖσθαι τρόπῳ τοῦ προτέρου. Τοῦτο δ' ἂν εἴη τὸ ἰσάξιόν τε καὶ ὁμότιμον.

A 10. Alio modo simul dicuntur, quæ secundum naturam simul exsistunt. Hæc autem sunt ea, quæ juxta tolluni et juxta tolluntur, quæque juxta inferuntur et juxta inferunt. Velut ea quæ sunt ad aliquid. Hic autem modus opponitur secundo prioris modo qui est secundum naturam, quin etiam quinto qui est secundum causam : secundo quidem qui non convertitur opponitur in quantum convertitur; rursum vero quarto aut etiam quinto, quatenus alterum non est causa alterius. Talia enim sunt, quæ sunt ad aliquid quatenus sunt ad aliquid. Pater enim et filius sunt simul, et neuter secundum hoc ipsum (quod pater et filius sunt) causa est. Magis igitur alteruter alterutrius causa est. Etenim ejus quod est patrem esse causa est, esse filium,

B **161** et ejus quod est esse filium causa est esse patrem : tametsi alias pater existentiæ filii nec patris (existentiæ) filius causa est, Pater enim genuit; filius autem genitus est : et ex patre filius non ex filio pater est natus.

11. Tertium (ejus quod dicitur) simul significatum sunt species e regione divisæ ; ut cum animal dividentes in rationis particeps et rationis expers ; rationis particeps et rationis expers simul esse dicimus, nec illud prius, hoc posterius. Opponitur autem hic e regione divisorum modus tertio modo prioris qui secundum ordinem est. Etenim ejusdem seriei sunt et eumdem inter se invicem habent ordinem quæ e regione dividuntur.

12. Videtur autem amplius aliqud (de eo quod dicitur) simul, opponi ei modo prioris qui secun-

C dum dignitatem est: fueritque hoc id quod æqualis dignitatis et ejusdem honoris est.

Σχῆμα κεφαλ. ιη, περὶ προτέρου καὶ ὑστέρου καὶ περὶ τοῦ ἅμα.

Τὸ πρότερον καὶ ὕστερον
- τὸ κατὰ χρόνον·
- τὸ τῇ φύσει πρότερον·
- τὸ κατὰ τάξιν, ὡς τὸ προοίμιον τῆς διηγήσεως·
- τὸ κατ' ἀξίαν, ὡς ὁ ἄρχων τοῦ ἀρχομένου·
- τὸ κατὰ τὸ αἴτιον, ὡς τὸ εἶναι ἄνθρωπον τοῦ ἀληθοῦς περὶ αὐτοῦ λόγου τοῦ ὅτι ἐστὶν ἄνθρωπος.

Ἅμα λέγεται.
- τὰ κατὰ χρόνον, οἷον εἰ γεννηθῶσι δύο τινὲς κατὰ τὸν αὐτὸν χρόνον·
- τὰ κατὰ φύσιν, ὡς τὰ πρός τι·
- τὰ ἀντιδιαιρούμενα ἐκ τοῦ αὐτοῦ γένους, ὡς τὸ λογικὸν καὶ ἄλογον.

*Tabula capitis 18, de priore et posteriore et eo quod est simul.*

**162** Prius et posterius (dicitur)
- quod secundum tempus est;
- quod natura est;
- quod est secundum ordinem, ut exordium narratione;
- quod secundum dignitatem est, ut princeps subdito;
- quod secundum causam est, ut esse hominem veræ de ipso orationis hujus quod sit homo.

Simul dicuntur
- quæ secundum tempus sunt, veluti si duo aliqui eodem tempore geniti fuerint;
- quæ secundum naturam sunt, ut quæ sunt ad aliquid,
- quæ ex eodem genere velut e regione dividuntur, ut rationis particeps et rationis expers.

OCR ABK / FR

## SYNOPSIS CAPITIS XIX,

QUOD EST DE SUBSTANTIA.

1. *Homonymia substantiæ; ejusdemque in altera significatione descriptio et cum accidente comparatio.* — 2. *Divisio substantiæ.* — 3. *Plantæ definitio ex tradita divisione constituitur, et per partes probatur.* — 4. *Animalis item* **163** *et plantanimalis definitiones inde colliguntur.* — 5. *Itemque hominis.* — 6. *Individua seu hypostases ab Aristotele propriissime in primo et maxime substantias appellari.* — 7. *Aliorum alia sententia, qui hæc elogia substantiæ speciebus infimis tribuunt.* — 8. *Speciem specialissimam quare aliqui substantiam et naturam et formam appellarint.* — 9. *Quatenus illis individua sint substantiæ.*

—

### CAPUT XIX.

*De substantia.*

1. Essentia significat quidem aliquando etiam simpliciter exsistentiam, cum etiam de omnibus entibus effertur; propie autem prædicamentum accidentibus contradivisum declarat; quod est res per se exsistens, non indigens alia ut sit. Huic enim etiam ipsum ens primo convenit; post hanc vero accidentibus.

2. Hæc substantia in corpus et incorporeum dividitur, corpus in animatum et inanimatum; animatum in sentiens et sensus expers: sentiens in progressivum et progressionis expers: progressivum in rationale et irrationale; rationale quidem, hominem; irrationale autem, præter hominem animalia.

3. Planta quidem igitur est substantia animata sensus expers: substantia, quia ipsa planta per se est, nec habet esse in alio, sed alia **164** potius in ipsa existentiam habent. Existit enim in planta et quantum (etenim bicubita forte vel tricubita est hæc planta), et quale (etenim nigra vel alba est), et ad aliquid (major enim est alia planta, et alia vicissim minor), et ubi (in loco enim est), et quando quia etiam in tempore), et agere (floret enim et fructum fert), et pati (secatur enim forte aut refrigeratur aut calefit), et situm esse (stat enim erecta aut ad terram inclinata), et habere: erit enim fortasse munimentum aliquod plantæ radicem ipsius quodammodo aut stipitem attingens. Ita igitur planta est substantia. Animata autem quia nutritur et augetur et simile sibi generat. Atqui animæ facultates sunt: nutrix, auctrix et generatrix (vis). Qui autem planta est animata, nimirum etiam corporata est. Corpus enim animatum id dicitur quod habet animam. Non autem est oppositum definitioni, corporatum; ut quod animo subaudiatur et subintelligatur. Ita igitur planta etiam animata est. At sensus expers est, qui nullo quinque sensuum regitur, non visu, non auditu, non olfactu, non gustu, **165** non tactu. Manifestum autem est quod etiam progressionis sit expers. Dico autem progressionis expers, quod facultatem de loco in locum progrediendi in se non habet; quemadmodum progressivum id quod interius a seipso secundum locum moveri potest.

4. Planta igitur est substantia animata sensus expers. At animal et plantanimal simul sunt substantia animata sentiens. Ut igitur a se invicem

A

### ΚΕΦΑΛ. ΙΘʹ.

Περὶ οὐσίας.

αʹ. Ἡ οὐσία σημαίνει μὲν ποτὲ καὶ τὴν ἁπλῶς ὕπαρξιν, ὅτε καὶ κατὰ πάντων τῶν ὄντων φέρεται· κυρίως δὲ τὴν ἀντιδιαιρουμένην τοῖς συμβεβηκόσι, κατηγορίαν δηλοῖ, ἥτις ἐστὶ πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν. Ταύτῃ γὰρ καὶ τὸ ὂν πάρεστι πρώτῃ· μετὰ ταύτην δὲ τοῖς συμβεβηκόσιν.

βʹ. Αὕτη ἡ οὐσία διαιρεῖται εἰς σῶμα καὶ ἀσώματον· τὸ σῶμα εἰς ἔμψυχον καὶ ἄψυχον· τὸ ἔμψυχον εἰς αἰσθητικὸν καὶ ἀναίσθητον· τὸ αἰσθητικὸν εἰς μεταβατικὸν καὶ ἀμετάβατον· τὸ μεταβατικὸν εἰς λογικὸν καὶ ἄλογον· λογικὸν μὲν τὸν ἄνθρωπον, ἄλογον δὲ, τὰ παρὰ τὸν ἄνθρωπον

B ζῶα.

γʹ. Οὐσία μὲν οὖν ἔμψυχος ἀναίσθητος τὸ φυτόν· οὐσία, ἐπείπερ αὐτὸ καθ' αὑτό ἐστι τὸ φυτὸν, καὶ οὐκ ἐν ἑτέροις ἔχει τὸ εἶναι· ἀλλ' ἕτερα μᾶλλον ἐν αὐτῷ τὴν ὕπαρξιν ἔχουσιν. Ὑπάρχει γὰρ ἐν τῷ φυτῷ καὶ ποσὸν (δίπηχυ γάρ ἐστιν ἴσως ἢ τρίπηχυ τοοτὶ τὸ φυτόν). καὶ ποιὸν (μέλαν γάρ ἐστιν ἢ λευκὸν) καὶ πρός τι (μεῖζον γάρ ἐστιν ἑτέρου φυτοῦ, καὶ ἄλλου πάλιν μικρότερον)· καί που (ἐν τόπῳ γὰρ ἐστι) καί ποτε, διότι καὶ ἐν χρόνῳ· καὶ ποιεῖν (ἀνθεῖ γὰρ ἢ καρποφορεῖ)· καὶ πάσχειν (τέμνεται γὰρ τυχὸν, ἢ ψύχεται, ἢ θερμαίνεται)· καὶ κεῖσθαι (ἵσταται γὰρ ἢ ὄρθιον, ἢ πρὸς γῆν νενευκός)· καὶ ἔχειν· ἔσται γὰρ ἴσως καί τι θρίγγωμα τῷ φυτῷ τῆς αὐτοῦ πως ῥίζης ἢ τοῦ στελέχους ἁπτόμενον. Οὕτω μὲν οὖν οὐσία ἐστὶ τὸ φυτόν· ἔμψυ-

C χον δὲ, διότι τρέφεται καὶ αὔξεται, καὶ γεννᾷ ὅμοιον ἑαυτῷ. Δυνάμεις δὲ ψυχῆς τὸ θρεπτικὸν, καὶ αὐξητικὸν, καὶ γεννητικόν. Ἐπεὶ δὲ ἔμψυχον τὸ φυτὸν, δηλονότι καὶ σεσωματωμένον ἐστίν. Ἔμψυχον γὰρ λέγεται τὸ σῶμα τὸ ἔχον ψυχήν. Οὐ προστίθεται δὲ τὸ σεσωματωμένον τῷ ὅρῳ, ὡς τῷ ἐμψύχῳ συνυπακουόμενόν τε καὶ συννοούμενον. Οὕτω μὲν καὶ ἔμψυχον τὸ φυτόν· ἀναίσθητον δὲ, διὰ τὸ μηδεμιᾷ διοικεῖσθαι τῶν πέντε αἰσθήσεων· οὐχ ὁράσει, οὐκ ἀκοῇ, οὐκ ὀσφρήσει, οὐ γεύσει, οὐχ ἁφῇ. Δῆλον δ' ὅτι καὶ ἀμετάβατον. Ἀμετάβατον δέ φημι τὸ μὴ ἔχον ἐν ἑαυτῷ δύναμιν μεταβατικὴν ἐκ τόπου εἰς τόπον· ὥσπερ μεταβατικὸν τὸ ἔνδοθεν ἀφ' ἑαυτοῦ κινεῖσθαι κατὰ τόπον δυνάμενον.

D δʹ. Ἔστι μὲν οὖν τὸ φυτὸν οὐσία ἔμψυχος ἀναίσθητος· οὐσία δ' ἔμψυχος αἰσθητικὴ τὸ ζῶον ὁμοῦ καὶ ζωόφυτον. Ἵνα γοῦν ἀπ' ἀλλήλων ταῦτα δια-

OCR ABK / FR

κριθείη, προσθετέον τῷ μὲν ὅρῳ τοῦ ζώου τὸ μεταβατικόν, τῷ δὲ τοῦ ζωοφύτου τὸ ἀμετάβατον. Μεταβατικὸν δὲ λέγομεν τὸ ζῶον, καὶ οὐχ ἁπλῶς κίνησιν ἔχον· ἐπείπερ ἐκ τῶν ὅλων κινήσεων τὴν μετάβασιν ἔχει πλείονα παρὰ τὸ ζωόφυτον, ἤγουν τὴν κατὰ τόπον μεταβολήν. Πᾶσα γὰρ ἄλλη κίνησις καὶ τῷ ζωοφύτῳ ἔνεστι καὶ αὐτῷ τῷ φυτῷ. Γίνονται γὰρ καὶ ταῦτα, καὶ φθείρονται, καὶ αὔξονται, καὶ μειοῦνται, καὶ ἀλλοιοῦνται, θερμαινόμενα καὶ ψυχόμενα, καὶ καθ' ἕτερα πάθη διάφορα τὴν ἀλλοίωσιν ὑπομένοντα τῇ οἰκείᾳ φύσει καταλλήλως ἑκάτερον· Ἔστι μὲν οὖν τὸ ζῶον οὐσία ἔμψυχος αἰσθητική, μεταβατική· τὸ δὲ ζωόφυτον οὐσία ἔμψυχος αἰσθητικὴ ἀμετάβατος. Καὶ κατὰ μὴν τὴν ἁπτικὴν αἴσθησιν τὸ ζωόφυτον πλεονεκτεῖ τοῦ φυτοῦ. Διὰ δὲ τὸ μὴ μεταβαίνειν, ὑστερεῖται τοῦ ζώου· καὶ οὕτω μὲν ἔχει τὸ ζῶον καὶ τὸ ζωόφυτον.

ε'. Ὁ δὲ ἄνθρωπος ζῶόν ἐστι λογικόν, ἤγουν οὐσία ἔμψυχος, αἰσθητική, μεταβατική, λογική. Ἀλλ' εἰ μὲν οὕτως ὁ τοῦ ἀνθρώπου ὁρισμὸς ἀπεδίδοτο, λεγόντων ἡμῶν, Ἄνθρωπός ἐστιν οὐσία ἔμψυχος, αἰσθητική, μεταβατική, λογική· οὐκ ἂν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ προσέκειτο τὸ θνητόν, ὡς τῇ ἐμψύχῳ οὐσίᾳ συνεισαγόμενον. Πᾶν γὰρ ἔμψυχον καὶ θνητόν, ὥσπερ καὶ πᾶν σύνθετον, διαλυτόν. Σύνθεσις γὰρ ἀρχὴ μάχης, μάχη δὲ διαστάσεως, διάστασις δὲ λύσεως. Ἐπεὶ δὲ τὸ οὕτως ὁρίζεσθαι ἀδολεσχίας ἐστὶ μὴ πρεπούσης τοῖς ὁρισμοῖς, (τί γὰρ ἐν ὅροις, λόγοις συντόμοις, χρὴ πολυλογεῖν, ἐνὸν μιᾷ λέξει τὰ πλεῖστα περιλαβεῖν καὶ διὰ τοῦ ζῶον εἰπεῖν τὴν οὐσίαν δηλῶσαι, καὶ τὸ ἔμψυχον, καὶ τὸ αἰσθητικόν, καὶ τὸ μεταβατικόν;) διὰ τοῦτο ζῶον λέγοντες τὸν ἄνθρωπον λογικόν, προστίθεμεν τῷ ὅρῳ καὶ τὸ θνητόν. Δηλοῖ γὰρ τὸ τοῦ ζώου ὄνομα καὶ τὸν ἄγγελον ὡς ζωῆς μετέχοντα καὶ αὐτόν, εἰ καὶ τῆς ἀθανάτου καὶ ὑπὲρ αἴσθησιν· ὃς δὴ καὶ λογικός ἐστι, καὶ ἡ λογικότης αὐτοῦ πάσης ἀλογίας ἀνεπιμιγής, καὶ πάμπαν ἀμέθεκτος. Ἵνα γοῦν μήτις, ἀκούων ζῶον λογικόν, ὑπολάβῃ τυχὸν τὸν ἄγγελον λέγεσθαι, τὸ θνητὸν ἐπεισήχθη τῷ ὅρῳ διὰ σαφήνειαν ἔξωθεν· οὐ μὴν ἀπὸ τῆς κατὰ τὴν οὐσίαν τομῆς καὶ ὑποδιαιρέσεως. Οὐδὲ γὰρ ἔστιν αὐτὸ τὸ ζῶον, τουτέστι, τὴν οὐσίαν τὴν ἔμψυχον, τὴν αἰσθητικὴν καὶ μεταβατικήν, εἰς λογικὸν καὶ ἄλογον διαιρήσαντας, ὑποδιελεῖν αὖθις τὸ λογικὸν εἰς θνητὸν καὶ ἀθάνατον. Οὕτω γὰρ ποιήσαντες, ἢ τὸν Ἑλληνικὸν ὕθλον συστήσομεν, καὶ τὰ οὐράνια σώματα ζῶα τερατευσόμεθα, καὶ αὐτοὶ καὶ λογικὰ καὶ ἀθάνατα ἢ τοὺς ἀγγέλους ζῶα εἰπόντες ἀθάνατα, δοξάσομεν αὐτοὺς ἐμψύχους τε καὶ αἰσθητικούς· εἰ τοῦτο δὲ καὶ σεσωματωμένους καὶ οὕτω ἀθανάτους ὁμολογοῦντες αὐτούς, τοὐναντίον μᾶλλον θνητοὺς εἶναι κατασκευάσομεν ἐξ ὧν λέγομεν. Πάλιν εἴπερ ἐκ τοῦ θνητοῦ τὸν ἄνθρωπον διέλοιμεν, καὶ τὸν βοῦν, καὶ τὸν ἵππον, καὶ τὰ λοιπὰ ζῶα· πᾶν τὸ θνητὸν ἔσται καὶ λογικόν (τὰ γὰρ ἐπάνω τῶν ὑποκάτω κατηγοροῦνται)· κἀντεῦθεν ἁρμόσει καὶ τοῖς ἀλόγοις τὸ λογικόν· ὅπερ

A discernerentur, apponendum est animalis quidem definitioni, progressivum; plantanimalis vero, progressionis expers. Dicimus autem animal progressionem et non simpliciter motum habens, quandoquidem ex omnibus motibus progressionem, id est mutationem secundum locum, præ plantanimali superantem habet. Omnis enim alius motus et plantanimali et ipsi plantæ inest. Nam et hæc oriuntur, et occidunt, et augentur, et crescunt et diminuuntur, et alterantur, dum calefiunt, et refrigerantur et secundum alias diversas passiones alterationem sustinent, utrumque prout naturæ suæ convenit. Animal igitur est **166** substantia animata sentiens progressiva. Plantanimal autem est substantia animata sentiens, progressionis expers. Et B secundum tangendi quidem sensum plantanimal plus habet quam planta; sed propterea quod non progreditur, minus habet quam animal. Et sic quidem habet se animal et plantanimal.

5. Homo autem est animal rationale, id est, substantia animata, sentiens, progressiva, rationalis. Sed si ita quidem hominis definitio assignaretur, ut diceremus: Homo est substantia animata, sentiens, progressiva, rationalis: non adjiceretur utique definitioni hominis τὸ mortale, ut quod cum animata substantia simul inferretur. Omne enim animatum etiam mortale est; quemadmodum etiam omne compositum dissolvi potest. Compositio enim pugnæ, pugna diremptionis, diremptio solutionis est principium. Quia autem sic definire nugationis est C definitionibus non convenientis, (cur enim in definitionibus quæ sunt concisæ orationes multa verba oporteat facere, cum una dictione comprehendere liceat quam plurima, et dicendo animal declarare et substantiam et animatum et sentiens et progressivum?) eapropter pronuntiantes hominem **167** animal rationale definitioni etiam τὸ mortale adjicimus. Nomen enim animalis etiam angelum declarat, ut qui et ipse vita communicet, quanquam immortali sensumque superante; ut qui et rationalis sit et cujus (ut ita dicam) rationalitas cum irrationalitate omni impermista sit et nihil quidquam commercii habens. Ne quis ergo audiens animal rationale existimet fortasse angelum dici, τὸ mortale definitioni (hominis) superinductum est extrinsecus: non vero ex substantiæ sectione et D subdivisione. Neque enim cum animal, hoc est, substantiam animatam sentientem et progressivam in rationale et irrationale diviserimus, licet iterum rationale in mortale et immortale subdividere. Sic enim si fecerimus, aut Græcanicas nugas commendabimus et corpora cœlestia prodigiose affirmabimus ipsi quoque animalia rationalia et immortalia, aut si angelos dixerimus animalia immortalia, ipsos cum animatos tum sentientes opinabimur: si hoc et corporatos: et sic dum eos immortales profitemur, e contra potius mortales esse nostris dictis confirmabimus. Rursus si ex mortali hominem diviserimus **168** et bovem et equum et cætera ani-

OCR ABK / FR

malia ; omne mortale erit etiam rationale (superiora enim de inferioribus prædicabuntur) : atque hinc etiam irrationabilibus rationale conveniet, quod sane est absurdissimum. Secabitur ergo rationale animal sive homo recta (seu immediate) in individua : Petrum, Paulum et reliquas hypostases.

6. Quas inquit Aristoteles dici substantias propriissime et primo et maxime. Individua enim respectu eorum qui sensibiles sunt (etiam) proprie substantiæ esse videntur propterea quod sensibiliter exsistant. Et primo apprehenduntur : etenim dianœa nostra per sensibilia provehitur ad intelligibilia. Et maxime substantiæ esse apparent, propterea quod in seipsis actu habent accidentia exsistentia. Atque talem quidem vulgus hominum de illis opinionem habet.

7. Qui vero accuratius et diligentius de his consideraruut propriissime (principalissime) et primo et maxime substantias quæ revera sint. non dicantur, species specialissimas pronuntiarunt : propriissime quidem quod intelligibiliter exsistant et sensum transcendant (intelligibilia **169** enim meliora et magis propria sensibilibus) ; primo autem, ut quæ primo omnes differentias essentiales et propria recipiant, et hæc omnia consequenter individuis a se impertiant (ex universali enim homine et Petrus homo dicitur, et animal rationale mortale intelligentiæ et scientiæ capax) : maxime denique, ut quæ alterationis expertes et stabiles et semper sint, cum individua alterentur et instabilia sint, et alias alia generentur et corrumpantur.

8. Unde etiam illi qui veram philosophiam inquisiverunt, unamquamque specierum specialissimarum substantiam et naturam simul et formam vocarunt ; substantiam, ut quæ semper sit et nunquam corrumpatur : naturam, ut quæ germinet (seu producat) hypostases, et principium et causas et vis immutabilis omnibus sub se contentis hypostasibus exsistat, et hunc in modum moveri cuivis illarum præbeat : formam denique, quod specificata sit et formata essentialibus differentiis et propriis quam perfectissime, et universas formaturas seu characteres eorum quæ sub ipsa sunt, comprehendat.

9. Individua autem, **170** quatenus partes sunt substantiarum, eatenus etiam substantiæ vocabuntur. Nam et Plato homines particulares hominis frusta (seu particulas) esse inquit. Unde et Petrus quidem est substantia, et Paulus est substantia. Sed utrique etiam ejusdem sunt substantiæ.

A ἐστὶν ἀτοπώτατον. Τμηθήσεται γοῦν τὸ λογικὸν ζῶον εὐθὺς, εἴτουν ὁ ἄνθρωπος, εἰς τὰ ἄτομα Πέτρον, Παῦλον καὶ τὰς λοιπὰς ὑποστάσεις.

ϛʹ. Ἃς φησιν ὁ Ἀριστοτέλης οὐσίας λέγεσθαι κυριώτατά τε καὶ πρώτως καὶ μάλιστα. Τὰ γὰρ ἄτομα πρὸς τοὺς αἰσθητοὺς (καὶ) κυρίως δοκοῦσιν οὐσίαι λέγεσθαι, διὰ τὸ αἰσθητῶς ὑπάρχειν, καὶ πρώτως καταλαμβάνονται. Διὰ τῶν αἰσθητῶν γὰρ ἡ διάνοια ἡμῶν ἀνάγεται πρὸς τὰ νοητά. Καὶ μάλιστα φαίνονται οὐσίαι εἶναι, διὰ τὸ ἐνεργείᾳ ἔχειν ἐν ἑαυταῖς τὰ συμβεβηκότα ὑπάρχοντα. Καὶ οὕτω μὲν ὁ πολύς ἄνθρωπος ἔχει δόξης περὶ αὐτῶν.

B ζʹ. Οἱ δ' ἐξεταστικώτερον περὶ τούτων διασκεψάμενοι κυριώτατα καὶ πρώτως καὶ μάλιστα κατ' ἀλήθειαν οὐσίας οὔσας οὐ λεγομένας τὰ εἰδικώτατα ἔφασαν εἴδη· κυριώτατα μὲν, διὰ τὸ νοητῶς ὑπάρχειν καὶ ὑπερβαίνειν τὴν αἴσθησιν. Κρείττω γὰρ καὶ κυριώτερα τῶν αἰσθητῶν τὰ νοητά. Πρώτως δὲ, ὡς πρώτως ἐπιδεδεγμένα πάσας τὰς οὐσιώδεις διαφορὰς καὶ τὰ ἴδια, καὶ τούτων πάντων μεταδιδόντα τοῖς ἀτόμοις ὑστέρως ἀφ' ἑαυτῶν. Ἐκ γὰρ τοῦ καθόλου ἀνθρώπου καὶ ὁ Πέτρος ἄνθρωπος λέγεται, καὶ ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· μάλιστα δὲ ὡς ἀναλλοίωτα καὶ στάσιμα καὶ ἀεὶ ὄντα τῶν ἀτόμων παντοίως ἀλλοιουμένων καὶ ἀστατούντων, καὶ ἄλλοτε ἄλλων γιγνομένων καὶ φθειρομένων.

C ηʹ. Ὅθεν καὶ οἱ τὴν ἀληθῆ φιλοσοφίαν ζητήσαντες ἓν ἕκαστον τῶν εἰδικωτάτων εἰδῶν οὐσίαν καὶ φύσιν ἐκάλεσαν ὁμοῦ καὶ μορφήν· οὐσίαν, ὡς οὖσαν ἀεὶ, καὶ μηδέποτε φθειρομένην· φύσιν, ὡς φύουσαν τὰς ὑποστάσεις, καὶ ἀρχὴν καὶ αἰτίαν καὶ δύναμιν ἀμετάβλητον πάσαις ταῖς ὑπ' αὐτὴν ὑποστάσεσιν ὑπάρχουσαν, καὶ τὸ κινεῖσθαι τοιῶσδε τούτων ἑκάστῃ παρέχουσαν· μορφὴν δὲ, διὰ τὸ εἰδοποιηθῆναι καὶ μορφωθῆναι ταῖς οὐσιώδεσι διαφοραῖς, καὶ τοῖς ἰδίοις ὡς ἐντελέστατα, καὶ τῶν ὅλων μορφωμάτων τῶν ὑπ' αὐτὴν, ἤτοι τῶν χαρακτήρων εἶναι συλληπτικήν.

θʹ. Τὰ δ' ἄτομα καθὸ μέρη οὐσιῶν, κατὰ τοῦτο καὶ οὐσίαι κληθήσονται. Καὶ Πλάτων γὰρ τοὺς κατὰ μέρος
D ἀνθρώπους ἀνθρώπου κέρματά φησιν· ὅθεν καὶ Πέτρος μὲν οὐσία ἐστὶ, καὶ Παῦλος οὐσία ἐστὶν, ἀλλ' οὐσίας μιᾶς καὶ ἀμφότεροι.

Σχῆμα κεφαλ. ιθ, περὶ οὐσίας.

| | |
|---|---|
| Ἡ οὐσία | ἡ ἁπλῶς ὕπαρξις·<br>κυρίως δὲ ἡ ἀντιδιαιρουμένη τοῖς συμβεβηκόσι. |

OCR ABK / FR




*Tabula capitis 19, de substantia.*




---

## 171 SYNOPSIS CAPITIS XX.

ADHUC DE SUBSTANTIA.

1. *Materiam et formam a proprie dicta sublantia, id est, composita, distinguit.* — 2. *Enumerat propria seu attributa substantiæ, quorum primum est, non esse in subjecto.* — 3. *Quid sit esse in subjecto et cui conveniat.* — 4. *Convenit hoc primum proprium etiam substantiali differentiæ.* — 5. *Secundum attributum substantiæ conveniens etiam substantiali differentiæ est univoce de subjectis prædicari.* — 6. *Occupatio de differentia an et quomodo prædicetur.* — 7. *Alia occupatio de differentia qualis sit qualitas.* — 8. *Attributum hoc primario substantiæ et substantiali differentiæ convenit ; secundario etiam generibus et speciebus accidentium.* — 9. *Attributum tertium substantiæ, nihil ei esse contrarium.* — 10. *Convenit tamen etiam aliis ut figuris, coloribus mediis et quantis definitis* — 11. *Definita quanta quæ.* — 12. *Magnum et parvum, multum et paucum non quanta proprie, sed ad aliquid sunt et opponuntur etiam non ut contraria, sed ut ad aliquid.* — 13. *Magnum tamen est parvum etiam aliquando* ἀσχέτως *de infinito quanto accipiuntur.* — 14. *Quartum attributum substantiæ, quoad sua scilicet individua non recipere magis et minus, et quomodo hoc intelligendum.* 15. *Substantia tamen simpliciter* **172** *secundum magis et minus dicitur, quod tribus exemplis probatur.* — 16. *Quippe substantia immaterialis ut spiritus magis est substantia quam materialis. positæ substantiæ individuæ magis sunt substantiæ Aristoteli, minus earum species, et adhuc minus* — 17. *Sic materia et forma minus sunt substantiæ quam composita ex ipsis.* — 18. *Item compositæ substantiæ individuæ magis sunt substantiæ Aristoteli, minus earum species, et adhuc minus genera, quippe remotiora ab individuis quam species.* — 19. *Convenit tamen etiam hoc attributum omnibus quibus non habere contrarium.* — 20. *Duo attributa substantiæ simul commemorat, quintum et sextum ; quorum illud est substantiæ compositæ individua sub monstrationem cadere et hoc aliquid dici, hoc est, quoad sui mutationem aliquam contraria posse alterius suscipere.* — 21. *Convenit hoc ultimum proprium soli et omni compositæ, primæ substantiæ, sed tamen non omni quoad omnia contraria.* — 22 *Restringuitur hoc primum ad illa tantum contraria quorum alterum natura, adeoque inseparabiliter non inest.* — 23. *Occupatio.* — 24. *Corpora tamen cœlestia ab hoc proprio substantiæ excipiuntur ; quippe non recipiunt successive contraria quia non sunt proprie individua.* — 25. *Quin ne quidem recipere possunt, quia in circulari motu suum esse habent.* — 26. *Occupatio, nisi quis contrarietatem statuat in motibus planetarum et aliis eorumdem* **173** *passionibus quæ contrariæ esse videntur.* — 27. *Præcisio.* 28. *Occupatio de oratione et opinione.* — 29. *Responsio prima.* — 30. *Secunda.* — 31. *Tertia.*

---

### ΚΕΦΑΛ. Κ'.

*Ἔτι περὶ οὐσίας.*

α'. Τῆς κυρίως οὐσίας ἀποδιίσταται πρεπόντως ἡ ὕλη τε καὶ τὸ εἶδος. Οὐσιώδη γὰρ ταῦτα μᾶλλον ἤπερ οὐσίαι. Περὶ μὲν (οὖν) τούτων ὑπομνησθήσεται κατὰ τὸ δευτέρου βιβλίου πρῶτον κεφάλαιον.

β'. Τῇ δέ γε κυρίως οὐσίᾳ, πράγματι αὐθυπάρκτῳ, μὴ δεομένῳ τινὸς ἑτέρου πρὸς σύστασιν, ὁμολογημένη πρόσεστιν οἰκειότατα τὸ μὴ ἐν ὑποκειμένῳ εἶναι.

A

### CAPUT XX.

*Adhuc de substantia.*

1. Et materia et forma merito a proprie (dicta) substantia distinguitur. Hæc enim substantialia magis quam substantiæ sunt. Horum quidem igitur in posterioris libri primo capite mentio fiet.

2. At vero proprie (dictæ) substantiæ quæ est res per se exsistens, non indigens alicujus alterius ad hoc, ut sit, omnium consensu propriissime convenit, hoc non esse in subjecto.

OCR ABK / FR

3. In subjecto autem (esse) dicitur, quod cum A in aliquo sit non ut pars, impossibile est esse seorsim ab eo in quo est, quandoque ab eo in quo est cogitatione seu notione mentis separatum non corrumpit ipsum. Hoc autem est accidens. Omni igitur proprie quidem dictæ substantiæ competit non esse in subjecto.

4. Non soli tamen substantiæ, sed etiam substantiali differentiæ. Etenim et hæc non est in subjecto. Neque enim in homine rationale, ut in subjecto exsistit, sed ut pars. Si enim ut in subjecto exsisteret, fieri posset ut ab homine separaretur, **174** et homo nihilominus homo maneret. Nunc autem hoc non est. Si enim rationale ab homine ablatum fuerit, corrumpitur homo.

5. Commune est substantiæ et differentiæ etiam B hoc : univoce dici quæcunque sunt sub ipsis. Petrus enim etiam nomen et definitionem nominis recipit.

6. Et vero rationale vocatur ipsa differentia, hoc est, hæc rationalitas. Sed et Petrus vocatur rationale quatenus est animal rationalitatem participans. Etsi autem etiam definitionem rationalitatis Petrus invariate non recipit (rationalitas enim quidem est facultas utendi ratione : Petrus autem est animal quod utitur ratione), non tamen est mirandum. Dicitur enim univocum et quod nomen ac definitionem impertit. Dicitur porro etiam id quod tantum ad exsistentiam conducit. Ita enim etiam Aristoteles animam de animali uni voce prædicari inquit, quoniam ad ipsius exsisten- C tiam confert : tametsi neque nomen neque definitionem animali impartiat. Prædicatur autem differentia univoce de iis quæ sub ipsa sunt.

7. Et quoad hanc rationem differentia etiamsi qualitas esse apparet, non tamen **175** est simpliciter qualitas, sed qualitas essentialis quæ nulla cogitatione ab eo in quo est separari potest, veluti rationalitas. Considerantibus enim eam nobis antequam cum animali congreditur et hominem perficit, forte sola et nuda qualitas intelligi queat, quanquam tum etiam magnam vim habens; posteaquam autem cum animali congressa est, et hominem effecit, tum sane (ut ita dicam), in homine substantiata (sive in hominis substantiam conversa) est ; nec homo quidquam aliud est quam animal cum rationalitate. Cum igitur rationalitas ab D homine omnino etiam quoad ipsam mentis notionem (seu cogitationem) sit inseparabilis, homo autem de Petro univoce prædicetur, et hominis rationalitas de Petro univoce dicetur. Quemadmodum enim species prædicatur de aliquo, ita de eo cum specie revera prædicabitur etiam differentia. Etenim speciei est cognatissima et omnino ab ea sejungi nequit, et sine ipsa species ne brevi quidem momento subsistere potest.

8. Primario igitur substantiæ et differentiæ convenit omnia ab eis univoce prædicari. At vero etiam in accidentibus **176** genera de suis specie-

A γʹ. Ἐν ὑποκειμένῳ δὲ λέγεται, ὃ ἔν τινι μὴ ὡς μέρος ὑπάρχον, ἀδύνατον χωρὶς εἶναι τοῦ ἐν ᾧ ἐστι· καὶ ὃ τοῦ ἐν ᾧ ἐστιν ἐπινοίᾳ χωριζόμενον, οὐ φθείρει αὐτό. Τοῦτο δέ ἐστι τὸ συμβεβηκός. Πάσῃ μὲν οὖν τῇ κυρίως οὐσίᾳ πρόσεστι τὸ μὲν ἐν ὑποκειμένῳ εἶναι.

δʹ. Οὐ μόνῃ δὲ τῇ οὐσίᾳ, ἀλλὰ καὶ τῇ οὐσιώδει διαφορᾷ· καὶ αὕτη γὰρ οὐκ ἐν ὑποκειμένῳ ἐστίν. Οὐδὲ γὰρ ὡς ἐν ὑποκειμένῳ ὑπάρχει τῷ ἀνθρώπῳ τὸ λογικὸν, ἀλλ' ὡς μέρος. Εἰ γὰρ ὡς ἐν ὑποκειμένῳ ὑπῆρχε, δυνατὸν ἦν ἂν χωρίζεσθαι τοῦ ἀνθρώπου καὶ μηδὲν ἧττον ἄνθρωπον μένειν τὸν ἄνθρωπον. Νῦν δὲ τοῦτο οὐκ ἔστιν. Εἰ γὰρ ἀφαιρεθείη τοῦ ἀνθρώπου τὸ λογικὸν, ὁ ἄνθρωπος φθείρεται.

B εʹ. Κοινὸν οὐσίας καὶ διαφορᾶς καὶ τὸ συνωνύμως λέγεσθαι πάντα τὰ ὑπ' αὐτῶν. Ὁ Πέτρος γὰρ καὶ τὸ ὄνομα τοῦ ἀνθρώπου καὶ τὸν ὁρισμὸν ἐπιδέχεται.

ςʹ. Καὶ λογικὸν δὲ καλεῖται μὲν καὶ ἡ διαφορὰ, τουτέστιν ἡ λογικότης αὕτη· καλεῖται δὲ καὶ ὁ Πέτρος λογικὸν, καθὸ ζῶον μετέχον τῆς λογικότητος. Εἰ δὲ καὶ τὸν ὅρον τῆς λογικότητος ἀπαραλλάκτως ὁ Πέτρος οὐκ ἐπιδέχεται (λογικότης μὲν γάρ ἐστι δύναμις χρήσεως λόγου· ὁ δὲ Πέτρος ζῶόν ἐστι χρώμενον λόγῳ)· θαυμαστὸν οὐδέν. Συνώνυμον γὰρ λέγεται μὲν καὶ ὅπερ ὀνόματός τε καὶ ὁρισμοῦ μεταδίδωσι. Λέγεται δὲ καὶ ὅπερ συντελεῖ μόνον πρὸς ὕπαρξιν. Οὕτω γὰρ καὶ ὁ Ἀριστοτέλης τὴν ψυχὴν συνωνύμως κατηγορεῖσθαι τοῦ ζώου φησίν· ἐπειδὴ πρὸς τὴν ὕπαρξιν αὐτοῦ συντελεῖ· κἂν μήτε C τοῦ ὀνόματος μεταδιδοίη τῷ ζώῳ, μήτε τοῦ ὁρισμοῦ. Εἴη δ' ἂν συνωνύμως κατηγορουμένη τῶν ὑπ' αὐτὴν ἡ διαφορά.

ζʹ. Καὶ κατὰ τοῦτον τὸν λόγον ἡ διαφορὰ κἂν ποιότης φαίνηται εἶναι, ἀλλ' οὐχ ἁπλῶς ποιότης ἐστὶν, ἀλλ' οὐσιώδης ποιότης, μηδεμιᾷ ἐπινοίᾳ δυναμένη χωρίζεσθαι τοῦ ἐν ᾧ ἐστιν· οἷον ἡ λογικότης. Πρὸ μὲν γὰρ τοῦ συνελθεῖν τῷ ζώῳ καὶ ἀποτελέσαι τὸν ἄνθρωπον σκοποῦσιν ἡμῖν, ἴσως ἂν μόνη ποιότης νοηθείη, πλὴν καὶ τότε μεγάλην ἔχουσα δύναμιν· συνελθοῦσα δὲ τῷ ζώῳ, καὶ τὸν ἄνθρωπον ἐκτελέσασα, οὐσίωται δὴ ἐν τῷ ἀνθρώπῳ, καὶ οὐδὲν ἄλλο ἐστὶ κατ' οὐσίαν ὁ ἄνθρωπος ἢ ζῶον μετὰ λογικότητος. Ἐπεὶ γοῦν ἡ λογικότης ἀχώριστος τοῦ ἀνθρώπου, πάντη καὶ κατ' αὐτήν ἐστι τὴν ἐπίνοιαν· D ὁ δὲ ἄνθρωπος κατηγορεῖται τοῦ Πέτρου συνωνύμως· καὶ ἡ τοῦ ἀνθρώπου λογικότης ἄρα συνωνύμως κατὰ τοῦ Πέτρου ῥηθήσεται. Ὥσπερ γὰρ τὸ εἶδος κατηγορεῖται τινὸς, οὕτως αὐτοῦ συγκατηγορεῖται τῷ εἴδει καὶ ἡ διαφορά. Συμφυεστάτη γὰρ ὑπάρχει τῷ εἴδει καὶ παντελῶς αὐτοῦ ἀδιάσπαστος, καὶ χωρὶς αὐτῆς οὐδαμῶς τὸ εἶδος ὑφέστηκεν, οὐδὲ πρὸς βραχύ.

ηʹ. Πρώτως μὲν οὖν τῆς οὐσίας καὶ τῆς διαφορᾶς ἐστι τὸ συνωνύμως λέγεσθαι πάντα τὰ ἀπ' αὐτῶν. Κἂν τοῖς συμβεβηκόσι δὲ τὰ γένη τῶν οἰκείων εἰ-

OCR ABK / FR

δῶν, καὶ τὰ εἴδη τῶν οἰκείων ἀτόμων, καὶ ἁπλῶς τὰ ἐπάνω τῶν ὑποκάτω, συνωνύμως κατηγοροῦνται.

θ'. Ὅτι καὶ οὐσιωδῶς πρόσεστι τῇ οὐσίᾳ, καὶ τὸ μηδὲν ἐναντίον εἶναι αὐτῇ. Τὰ γὰρ ἐναντία, περί τι ὑποκείμενον μάχονται· καὶ σπεύδει τούτων ἑκάτερον νικῆσαι τὸ ἕτερον ὅπως ἂν τοῦ ὑποκειμένου γένηται ἐγκρατές. Οὐδὲ γὰρ ἰσχύει τὸ ὑποκείμενον ἐν τῷ αὐτῷ νῦν, τὰ ἐναντία δέξασθαι ὁλικῶς. Ὥστε τἀναντία τῶν ἐν ὑποκειμένῳ ἐστίν· ἡ δέ γε οὐσία τῶν ἐν ὑποκειμένῳ μὴ οὖσα, ἐναντίον ἕξει οὐδέν. Οὐδὲ γὰρ ἐναντίον τῇ οὐσίᾳ θείη τις ἂν τὸ μὴ ὄν. Ὃ γὰρ οὐδαμῶς ὑφέστηκεν, οὐδεμίαν σχέσιν ἔχει πρὸς ἕτερον. Εἰ δὲ τὸ πῦρ καὶ τὸ ὕδωρ ἀλλήλοις ἐναντία δοκεῖ· ἀλλ' οὐ καθὸ οὐσίαι τὸ ἐναντιοῦσθαι φέρουσιν, ἀλλ' ᾗ πεποίωνται. Ἀντίκειται γὰρ τὸ θερμὸν τῷ ψυχρῷ, καὶ τὸ ξηρὸν τῷ ὑγρῷ.

ι'. Καὶ ἄλλοις δὲ πολλοῖς ἐστι τὸ μηδὲν ἔχειν ἐναντίον· ὡς τοῖς σχήμασι, καὶ τῶν χρωμάτων τοῖς μέσοις· τῷ ἐρυθρῷ, τῷ ξανθῷ, τῷ φαιῷ καὶ τοῖς ὁμοίοις· καὶ τοῖς ἀφωρισμένοις ποσοῖς. Οὐκ ἔστι δ' αὐτοῖς ἐναντίον, ἵνα μὴ ἄδικος ἡ φύσις εὑρεθείη, πολλὰ ἐναντία ἑνὶ ἀντιτάξασα.

ια'. Ἀφωρισμένα δὲ ποσὰ λέγεται, ὅσαπερ ὡρισμένην τινὰ ποσότητα ἔχουσιν, ὡς δύο, πέντε, δέκα καὶ δίπηχυ, πεντάπηχυ, δεκάπηχυ, καὶ τὰ παραπλήσια, καὶ μὴ τῇ πρὸς ἕτερον σχέσιν λέγονται, καθάπερ τὸ μέγα καὶ μικρὸν, καὶ τὸ πολὺ καὶ ὀλίγον.

ιβ'. Πρός τι γὰρ ταῦτα, καὶ οὐ ποσὰ, καὶ ἀντίκειται ἀλλήλοις, οὐχ ὡς ἐναντία, ἀλλ' ὡς πρός τι. Τὸ γὰρ μέγα πρὸς μικρὸν λέγεται μέγα, καὶ τὸ πολὺ πρὸς ὀλίγον λέγεται πολύ. Καὶ εἴπερ ἐστὶν ἐναντία τὰ τοιαῦτα, ἐπεὶ τὸ αὐτὸ καὶ ἓν δύναται εἶναι καὶ μέγα καὶ μικρὸν, καὶ πολὺ καὶ ὀλίγον πρὸς ἄλλο καὶ ἄλλο παραλαμβανόμενον· ἔσοιντ' ἂν ἐν ἑνὶ ὑποκειμένῳ τἀναντία κατὰ ταυτὸν, ἢ μᾶλλον ἐναντίον ἔσοιτο ἑαυτοῦ τὸ αὐτό.

ιγ'. Λέγεται δέ ποτε καὶ τὸ μέγα καὶ πολὺ ἀσχέτως ἐπὶ ἀορίστου ποσοῦ λαμβανόμενον· ὡς λέγομεν, Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, καὶ ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ!

ιδ'. Πρόσεστι τῇ οὐσίᾳ καὶ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον κατὰ τὰ ἑαυτῆς ἄτομα δηλαδή· οἷον ἕκαστον τῶν τῆς οὐσίας ἀτόμων οὐ λέγεται μᾶλλον καὶ ἧττον, ἐκεῖνο ὅπερ ὠνόμασται. Ὁ Πέτρος γὰρ καὶ ὁ Παῦλος οὐσίας ὄντες ἄτομα, ὠνομάσθησαν ἄνθρωποι κατὰ τὸ εἶδος τὸ ἀνθρώπειον, ᾧ περιέχονται καὶ οὐ λέγονται μᾶλλον καὶ ἧττον ἄνθρωποι. Οὔτε γὰρ ὁ Πέτρος μᾶλλον ἄνθρωπος λέγεται, ἢ ὁ Παῦλος ἧττον ἄνθρωπος· ἤ τις ἑαυτοῦ ποτὲ μὲν μᾶλλον ἄνθρωπος, ποτὲ δὲ ἧττον ἄνθρωπος. Τοῦτο καὶ ἐπὶ τῶν ἵππων, καὶ ἐπὶ τῶν λίθων, καὶ τῶν λοιπῶν τῆς οὐσίας ἀτόμων.

A bus, et species de suis individuis, et simpliciter superiora de inferioribus univoce prædicantur.

9. Præterea etiam essentialiter competit substantiæ et hoc, nihil ei contrarium esse. Contraria enim circa aliquod subjectum pugnant; et horum utrumque contendit superare alterum, ut subjecto potiatur. Neque enim subjectum in eodem momento contraria ex toto recipere valet. Quare contraria ex eorum sunt numero quæ in subjecto sunt. At substantia quæ in eorum numero non est, quæ in subjecto sunt, nihil habebit contrarum. Neque enim aliquis non ens contrarium substantiæ posuerit. Quod enim nequaquam subsistit, nullam ad alterum obtinet schesin (seu habitudinem). Etsi autem ignis et aqua sibi invicem contraria esse B videntur, non tamen quatenus substantiæ sunt hoc habent ut contrarientur, sed quatenus qualitatibus sunt prædita. Calidum enim frigido, et siccum humido opponitur.

10. Et vero etiam aliis multis competit hoc, nihil habere contrarium, ut figuris et mediis coloribus, rubro, flavo, fusco et similibus; et definitis quantis. Non est autem eis contrarium, **177** ne natura deprehendatur injusta esse, quæ uni multa contraria objecerit.

11. Definita porro quanta dicuntur, quæcunque aliquam finitam quantitatem habent, ut duo, quinque, decem, et bicubitum, quinquecubitum, decicubitum et similia; nec (ex) habitudine ad alterum dicuntur, quemadmodum magnum et par- C vum, et multum et paucum.

12. Etenim hæc ad aliquid et non quanta sunt, et opponuntur sibi invicem non ut contraria, sed ut ea quæ sunt ad aliquid. Magnum enim ad parvum dicitur magnum, et multum ad paucum dicitur multum. Et siquidem talia essent contraria, quiunum et idem potest esse et magnum et parvum, et multum et paucum, cum ad aliud atque aliud assumitur; in uno subjecto simul contraria forent; aut potius idem sui ipsius foret contrarium (quod utrumque absurdum est).

13. Dicitur autem etiam aliquando et magnum et multum sine habitudine (seu absolute) cum pro quanto infinito accipitur; ut dicimus: Quam multa est abundantia bonitatis tuæ, Domine, et magna est D tua erga me misericordia.

**178** 14. Competit substantiæ et hoc, non recipere magis et minus, quoad sua videlicet individua. Veluti quodvis substantiæ individuorum non dicitur magis et minus illud quod nominatum est. Etenim Petrus et Paulus cum individua sint substantiæ, homines nominati sunt secundum humanam speciem, qua continentur nec magis et minus homines dicuntur. Neque enim Petrus magis homo dicitur, aut Paulus minus homo, aut aliquis seipso alias magis homo, alias vero minus homo. Hoc etiam de equis et lapidibus et cæteris substantiæ individuis sic accipiendum est.

OCR ABK / FR

15. Quandoquidem sane simpliciter substantia A secundum magis et minus dici queat; propterea quod alia substantia magis substantia, et alia minus cognoscitur.

16. Veluti materiæ expers et supramundana substantia, quam hæc mundana et materialis consensu omnium magis est substantia. Magis enim esse (convenit) illis quæ in statu sunt propter materiæ vacuitatem, quam illis quæ sunt in instabili fluxu materiæ.

17. Rursus autem ipsa materia sane et forma apparent esse minus substantiæ quam ea quæ ex ipsis composita est, propterea quod neque materia per se, neque forma per se perfectam habeat ὀντότητα, quasi dicas entitatem, seu conjunctim possint considerari secundum exsistentiam; et **179** propterea tantum quod substantiæ elementa sunt, B nomen substantiæ participent.

18. Ipsius autem vicissim compositæ substantiæ Aristoteles individua magis esse dicit substantias, et species minus substantias; et his adhuc minus (ipsa) genera, de quo jam ante diximus.

19. Convenit etiam ipsum recipere magis et minus quoad dictum modum omnibus quibus non habere aliquid contrarium. Nam magis et minus via est ad contraria. Velut in mutatione ex frigido in calidum id quod antea frigidum erat fit minus frigidum; et tunc quomodocunque calidum, fit deinde magis calidum.

20. Maxime autem proprium est substantiæ compositæ hoc, unumquodque ipsius individuo- C rum et sub ostensionem cadere et hoc aliquid dici, et quoad sui mutationem posse contraria suscipere alterius. Fieri enim non potest ut duo contraria in eodem subjecto simul consistant. Si enim contraria sunt accidentia, vicissim in individuis **180** substantiæ compositæ actu considerabuntur.

21. Quanquam non omnia in omni individuo. Neque enim ignis ut maneat ignis, unquam frigidus fieri queat, aut aqua sicca. Nam ignis caliditas et aquæ humiditas non simpliciter his qualitates, sed essentiales sunt differentiæ, essentiam complentes; nec ignis et aqua manentia quæ sunt, ab illis quæ secundum essentiam habent, ullo modo dimoveri possunt vel etiam sola mentis notione. D

22. Illa enim quibus natura et inseparabiliter alterum contrariorum non inest, utrumque contrariorum per vices suscipere possunt. Propterea etiam corvus cogitabitur forte albus, quod nigrum ei non competat essentialiter, actu tamen et revera nunquam albus fuerit, propterea quod et huic nigrum etsi non essentialiter, tamen alio modo inest, ut separari non possit. Ignis quidem igitur frigidus, aut aqua sicca ne quidem cogitabitur. Cum autem ignis humida materia nutritur, humidus erit, quoad sensum; quemadmodum etiam aqua quæ ab ignita substantia calefacta est, calida.

ιε'. Ἐπεί τοί γε ἁπλῶς ἡ οὐσία κατὰ τὸ μᾶλλον καὶ ἧττον λεχθείη ἂν διὰ τὸ οὐσίαν ἄλλης οὐσίας μᾶλλον οὐσίαν, καὶ ἑτέρας ἧττον γινώσκεσθαι.

ις'. Οἷον ἡ μὲν ἄϋλος οὐσία καὶ ὑπερκόσμιος τῆς ἐγκοσμίου ταύτης καὶ ὑλικῆς, ὁμολογουμένως ἐστὶ μᾶλλον οὐσία. Μᾶλλον γὰρ τὸ εἶναι τοῖς ἐν στάσει διὰ τὴν ἀϋλίαν, ἢ τοῖς ἐν ἀστάτῳ τῆς ὕλης ῥοῇ.

ιζ'. Αὕτη δὲ πάλιν ἡ ὕλη, καθάπερ δὴ καὶ τὸ εἶδος, ἧττον οὐσίαι τῆς ἐξ αὐτῶν συντεθειμένης φαίνονται εἶναι διὰ τὸ μήτε τὴν ὕλην καθ' αὑτὴν, μήτε τὸ εἶδος καθ' ἑαυτὸ τελείας μετέχειν ὀντότητος, ἀλλὰ σὺν ἀλλήλοις δύνασθαι θεωρεῖσθαι ὑπαρκτικῶς· καὶ καθὸ μόνον οὐσίας στοιχεῖα, κατὰ τοῦτο τοῦ τῆς B οὐσίας μετέχειν ὀνόματος.

ιη'. Αὐτῆς δὲ πάλιν τῆς συνθέτου οὐσίας τὰ ἄτομα ὁ Ἀριστοτέλης μᾶλλον οὐσίας φησὶ, καὶ ἧττον οὐσίας τὰ εἴδη, καὶ τούτων ἧττον ἔτι τὰ γένη. Καὶ περὶ τούτου φθάσαντες εἴπομεν.

ιθ'. Πρόσεστι τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον, κατὰ τὸν εἰρημένον τρόπον, καὶ πᾶσιν οἷς τὸ μὴ ἔχειν τι ἐναντίον. Τὸ γὰρ μᾶλλον καὶ ἧττον ὁδός ἐστιν ἐπὶ τἀναντία· οἷον ἐπὶ τῆς ἐκ ψυχροῦ μεταβολῆς εἰς θερμὸν, ἧττον ψυχρὸν γίνεται πρότερον τὸ ψυχρὸν, καὶ τότε θερμὸν ὁπωσοῦν, εἶτα μᾶλλον θερμόν.

κ'. Ἴδιον δὲ μάλιστα τῆς συνθέτου οὐσίας τὸ ἕκα- C στον τῶν ἑαυτῆς ἀτόμων ὑποπίπτειν τε δείξει, καὶ τόδε τι λέγεσθαι καὶ κατὰ τὴν ἑαυτοῦ μεταβολὴν τῶν ἐναντίων εἶναι δεκτικὴν παρὰ μέρος. Ἀδύνατον γὰρ ἐν τῷ αὐτῷ ὑποκειμένῳ δύο ἐναντία συστῆναι κατὰ ταυτόν. Εἰ γὰρ τἀναντία συμβεβηκότα ἐστὶ, παρὰ μέρος ἐν τοῖς ἀτόμοις τῆς συνθέτου οὐσίας ἐνεργείᾳ θεωρηθήσεται.

κα'. Πλὴν οὐκ ἐν παντὶ ἀτόμῳ τὰ πάντα. Οὐδὲ γὰρ τὸ πῦρ γένοιτ' ἄν ποτε ψυχρὸν, μένον πῦρ· ἢ τὸ ὕδωρ ξηρόν. Ἡ γὰρ τοῦ πυρὸς θερμότης, καὶ ἡ τοῦ ὕδατος ὑγρότης, οὐχ ἁπλῶς ποιότητες τούτοις εἰσίν, ἀλλ' οὐσιώδεις διαφοραὶ, συμπληρωτικαὶ τῆς οὐσίας αὐτῶν· καὶ οὐκ ἂν μένοντα τὸ πῦρ καὶ τὸ ὕδωρ ἅπερ ἐστὶ, τῶν κατ' οὐσίαν αὐτοῖς ὑπαρχόντων ἐκσταῖεν ὅλως· οὐδὲ κατὰ μόνην ἐπίνοιαν. D

κβ'. Οἷς γὰρ μὴ φύσει καὶ ἀχωρίστως θάτερον ὑπάρχει τῶν ἐναντίων, ταῦθ' ἑκατέρων τῶν ἐναντίων παρὰ μέρος ἐστὶ δεκτικά. Διὸ καὶ ὁ κόραξ ἐπινοηθήσεται μὲν ἴσως λευκὸς διὰ τὸ μὴ οὐσιωδῶς προσεῖναι τὸ μέλαν αὐτῷ· πραγματικῶς δὲ λευκὸς οὐκ ἄν ποτε γένοιτο, διότι καὶ τούτῳ τὸ μέλαν, εἰ καὶ μὴ οὐσιωδῶς, ἀλλ' ἄλλως ὑπάρχει ἀχώριστον. Ψυχρὸν μὲν οὖν τὸ πῦρ, ἢ τὸ ὕδωρ ξηρὸν οὐδ' ἐπινοηθήσεται· ὑγρᾷ δὲ τρεφόμενον ὕλῃ τὸ πῦρ ἔσται ὑγρὸν ὡς πρὸς αἴσθησιν· ὥσπερ καὶ ὑπὸ πυριώδους οὐσίας θερμανθὲν τὸ ὕδωρ, θερμόν.

OCR ABK / FR

κγ'. Δέξεται δὲ τὸ πῦρ καὶ τὴν ἐπὶ τὰ κάτω φορὰν A ὠθούμενον διὰ τῆς ἐκθλίψεως, ὡς ὁ κεραυνός· καὶ τὸ ὕδωρ ὁλκῇ πνεύματος ἔσεται μετέωρον, κἀπὶ τῶν ἄλλων ὁμοίως τἀναντία θεωρηθήσεται· κατά γε τὸ πεφυκός.

κδ'. Τὰ δ' οὐράνια σώματα ὡς μοναδικὰ, τινῶν οὐχ ὑπάρχουσιν ἄτομα. Οὔτε γὰρ γένος, οὔτε εἶδός ἐστιν ἐν αὐτοῖς. Καὶ διὰ τοῦτο τἀναντία οὐκ ἐπιδέχονται.

κε'. Μᾶλλον δ' ἐν τῇ κυκλοφορίᾳ τὸ εἶναι ἔχοντα, οὐκ ἂν ἔχοιέν τινα τοῦ ἐναντίου παραδοχήν.

κϛ'. Εἰ μή τις λάβῃ τὰς ἀντικειμένας κινήσεις ἐν πλάνησιν. Οὗτοι γὰρ φέρονται μὲν, καὶ ἀπὸ δυσμῶν εἰς ἀνατολὰς οἰκείαν φοράν· συμφέρονται δὲ καὶ τῷ παντὶ πρὸς δυσμὰς ἐξ ἀνατολῶν, συν- B όδους τε ποιοῦνται καὶ ἀποστάσεις καὶ ταπεινώματα καὶ ὑψώματα, καὶ προποδίζουσι καὶ ἀναποδίζουσι, καὶ βορείοις καὶ νοτίοις τοῦ ζωδιακοῦ πελάζουσι μέρεσι· τοῦ ἡλίου μόνου πάντοτε τὴν μέσην φερομένου καὶ ὁμαλῶς. Ἡ δὲ σελήνη, καὶ ποικίλως τοῖς φωτισμοῖς τε καὶ σκοτασμοῖς σχηματίζεται καὶ τέλειον ἀμαυροῦται· μόνης τῶν ὅλων τῆς ἀπλανοῦς σφαίρας μηδεμίαν ἐπιδεχομένης ἐναντιότητα, εἰ μή πω λέγει τις καινοτέρας ἐναντιότητας, τήν τ' ἐξ ἀνατολῶν εἰς δυσμὰς φορὰν κατὰ τὸ ὑπὲρ γῆν λεγόμενον ἡμισφαίριον, καὶ τὴν ἐκ δυσμῶν εἰς ἀνατολὰς κατὰ τὸ δοκοῦν ὑπὸ γῆν, διὰ τῆς μιᾶς καὶ τῆς αὐτῆς κυκλοφορικῆς ἀπαρτιζομένας κινήσεως, καὶ ξένως καὶ θαυμαστῶς συλληπτικὰς ἀλλήλων οὔσας καὶ συντελεστικάς.

C

κζ'. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

κη'. Φαίνεται δὲ καὶ ὁ λόγος καὶ ἡ δόξα τῶν ἐναντίων εἶναί πως δεκτικά. Καὶ ὁ μὲν λόγος δηλοῖ τὸν προφορικὸν καὶ ἔστι ποσόν· ἡ δόξα δὲ λόγος ἐνδιάθετος οὖσα, τάττεται ὑπὸ τὸ ποιόν. Δοκοῦσι δὲ καὶ ἄμφω τυγχάνειν τῶν ἐναντίων, ὡς εἴρηται, δεκτικά. Ἐὰν γὰρ καθημένου τοῦ Σωκράτους λέγῃ τις αὐτὸν ἢ δοξάζῃ καθῆσθαι, ἀληθεύει· τούτου δ' ἀναστάντος, ψεύδεται.

κθ'. Ἀλλ' οὐχ οὕτω τὰ τῆς οὐσίας ἄτομα δεκτικὰ τῶν ἐναντίων ὑπάρχειν ἐλέγετο· κατὰ δὲ τὴν μεταβολὴν ἑαυτῶν. Ὁ λόγος δὲ καὶ ἡ δόξα μένουσιν ὅπερ εἰσὶ, τοῦ πράγματος μεταβάλλοντος.

D

λ'. Ἄλλως τε οὐδὲ τἀναντία λόγος ἢ δόξα δύναται δέξασθαι. Πάσχει γὰρ τὸ τἀναντία δεχόμενον. Ἡ γὰρ εἰς τἀναντία μεταβολὴ πάθος ἐστίν· ἡ δόξα δὲ καὶ ὁ λόγος ἀκίνητα μένει καὶ ἀμετάβλητα.

λα'. Μᾶλλον δὲ εἰπεῖν οὐδὲ μένει, ἀλλ' ἅμα τῷ δοξασθῆναι τὸ πρᾶγμα ἡ δόξα πέπαυται, καὶ ἅμα τῷ ῥηθῆναι ὁ λόγος ἔφθαρται. Καὶ ἄλλος μὲν λόγος ὁ εἰπὼν τὸ πρότερον τὸν Σωκράτην καθῆσθαι, καὶ ἄλλος ὁ μετ' ἐκεῖνον λεχθείς. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς δόξης.

λβ'. Ἢ οὐδὲ τῆς δόξης ἐστὶ τὸ ἀληθεύειν ἢ ψεύδεσθαι,

23. Recipiet autem ignis et motum ad inferiora cum **181** per elisionem propellitur, ut fulmen, et aqua venti tractione sublimis erit: et in aliis similiter contraria pro naturali habilitate considerabuntur.

24. Atqui corpora cœlestia ut singularia, non sunt aliquorum individua. Neque enim genus neque species est in illis. Et propterea non suscipiunt contraria.

25. Sed potius dum in circulari motu τὸ esse habent, contrarii aliquam susceptionem non admittunt.

26. Nisi quis oppositos in planetis motus accipiat. Ili enim etiam ab occasibus ad ortus motu proprio moventur: simul autem etiam cum universo (id est, primo mobili) ex ortibus in occasus moventur, et conjunctiones et recessus, et dejectiones et exaltationes subeunt, et procedunt (directi), et retrocedunt, et aquilonaribus australibusque Zodiaci partibus propinquant; tantum sol perpetuo in medio Zodiaci et æqualiter moveatur: luna autem et varie cum illuminationibus tum obscurationibus figuratur, et tandem prorsus evanescit; ut sola inter omnes inerrans sphæra nullam contrarietatem recipiat, nisi quis noviores contrarietatis dicat cum lationem illam quæ **182** ex ortibus est et occasus secundum hemisphærium quod supra terram dicitur, tum eam quæ ex occasibus est in ortus secundum id quod sub terra videtur (hemisphærium), quæ una et eadem circulari motione absolvuntur, et singulari admirabilique modo se mutuo complectuntur et perficiunt.

27. Sed de his quidem in tantum.

28. Videntur autem et oratio et opinio, contraria quodammodo recipere posse. Et oratio quidem prolatitiam declarat, et est quantitas: opinio autem cum sit oratio interna, sub qualitate reponitur. Videntur autem utraque, ut dictum est, contraria suscipere posse. Cum enim sedente Socrate dicit aut opinatur aliquis sedere ipsum, tum vere dicit (aut opinatur); postquam autem surrexit, mentitur.

29. Verum haud ita individua substantiæ posse contraria suscipere dicebantur, sed quoad sui mutationem. Oratio autem et opinio manent quod sunt, re tantum mutationem subeunte.

30. Aliter etiam oratio et opinio ne quidem contraria suscipere possunt. Quod enim contraria suscipit, patitur. Mutatio enim in contraria passio est. At opinio et oratio **183** motus et mutationis expertes manent.

31. Quin rectius loquendo neque manent; sed simul ac rem opinati sumus, cessavit opinio; et simul ac dicta est oratio, corrupta est. Et alia quidem oratio est quæ prius dixit Socratem sedere, et alia quæ post illam dicta est. Idem autem etiam de opinione sentiendum.

32. Aut an neque opinionis est veram esse vel

OCR ABK / FR

mentiri, sed anima? Neque enim opinio per seipsam opinatur, sed animæ opinione opinatur. Neque oratio sola vera est aut mentitur; sed hujus et rei complexio: et horum quidem duorum consonantia verum, dissonantia autem falsum efficit.

A ἀλλὰ τῆς ψυχῆς; οὐ γὰρ ἡ δόξα δοξάζει καθ' ἑαυτὴν, ἀλλ' ἡ ψυχὴ δοξάζει τῇ δόξῃ· οὐδὲ ὁ λόγος ἀληθεύει μόνος ἢ ψεύδεται, ἀλλ' ἡ τούτου καὶ τοῦ πράγματος συμπλοκή. Καὶ ἡ μὲν συμφωνία τῶν δύο ποιεῖ τὸ ἀληθὲς, ἡ δὲ διαφωνία τὸ ψεῦδος.

*Tabula capitis 20, item de substantia.*

Substantia dicitur vel
- proprie, ut composita,
- minus proprie, ut materia et forma.

Substantia alia est
- prima, ut individua substantiæ,
- secunda, ut species et genera substantiæ.

**184** Substantiæ convenit
1. Non esse in subjecto.
2. Univoce de suis subjectis dici.
3. Nihil esse contrarium.
4. Non recipere magis et minus.
5. Quodlibet illius individuorum sub ostensionem cadere, et hoc aliquid dici.
6. Quoad sui mutationem contraria alterius suscipere posse.

—

## SYNOPSIS CAPITIS XXI,

### QUOD EST DE QUANTO; UBI ETIAM DE MOTU.

1. *Dividit quantum in continuum et discretum et utrumque describit.* — 2. *Quanti discreti species recenset, et simul ostendit quomodo hic accipiendæ sint.* — 3. *Easdem probat et declarat.* — 4. *Continui quanti species enumerat.* — 5. *Easdem probat.* — 6. *Punctum, unitas et nunc quatenus conveniant et quatenus non conveniant.* — *Nec superficiem lineis, nec corpus superficiebus augeri.* — 8. *Occupatio de corpore quatenus substantia sit, et quatenus quantitatis continuæ species.* — 9. *Continuum et discretum quantum quatenus etiam in toto mundo consideretur.* — 10. **185** *Per epidiæresin seu novam divisionem quantum denuo subdivit in id quod habet positionem partium et quod non habet.* — 11. *Probat etiam numeri, orationis et temporis partes non habere positionem.* — 12. *Pondus non recte in prædicamento quantitatis collocari.* — 13. *Quæ quanta per accidens dicantur.* — 14. *Duo quanti propria, ut appellentur enumerat.* — 15. *Occupatio.* — 16. *Motum non esse quantitatem tametsi in quantitate consideretur ut etiam in aliis, substantia, qualitate et ubi.* — 17. *Dividit* φορὰν, *id est, lotionem in rectilineam et circularem; et rectilineam in sex species subdividit pro loci partibus seu speciebus, ut adeo cum circulari sint septem motus locales.* — 18. *Species motus per divisionem ejus quod mutatur investigat.* — 19. *Distincte indicat, quo de motu hic loquatur.* — 20. *Probat quare generatio et corruptio mutationes sint, non motus.* — 21. *Occupatio, qua docet, alterationem esse peculiarem motus speciem.* — 22. *Ostendit omni motui etiam quietem aliquam opponi, quam facit triplicem, ante motum, post motum, in motu.* — 23. *Omnem motum ex aliquo in aliquid fieri per inductionem probat.* — 24. *Quatenus motui quies et ante motum, et post motum, et in ipso motu opponatur explicat.* — 25. *Ut motui simpliciter quies simpliciter opponitur, ita motibus singularibus singulares et motus et quies opponi.* — 26. *Inductione declarat.* — 27. *Præcisio.*

—

## CAPUT XXI.

### *De quanto, ubi etiam de motu.*

**186** 1. Quantum aliud quidem est continuum, aliud vero discretum. Et continuum quidem est, quod partes ad aliquem communem terminum conjungit. Discretum autem est quod partes ad communem aliquem terminum non conjungit.

2. Discreta [igitur quanta sunt numerus et oratio.] Non autem accipiendus et numerus qui simpliciter [dicitur, sed qui partibiliter a sensibilibus participatur, sive ipsa quæ numerantur, non quatenus materiæ, sed quatenus numerationi objiciuntur. Oratio autem (accipienda est) quæ voce editur; secundum quam etiam una dictio, oratio dici queat.

3. Si igitur numerus senarius fortasse ut in partes dividatur, in tria et tria, aut quatuor et duo, aut quinque et unum, aut duo et duo et duo divisione facta non erit alicubi partibus ejus communis terminus ad quem hæc conjungatur invicem. Et vero oratio prolatitia si secundum dicti-

B

## ΚΕΦΑΛ. ΚΑ'.

### Περὶ ποσοῦ, ἐν ᾧ καὶ περὶ κινήσεως·

α'. Τοῦ ποσοῦ τὸ μὲν ἔστι συνεχὲς, τὸ δὲ διωρισμένον· καὶ συνεχὲς μὲν ἔστι, ὃ τὰ μόρια πρός τινα κοινὸν ὅρον συνάπτει· διωρισμένον δὲ ἐστιν, ὃ τὰ μόρια οὐ συνάπτει πρός τινα κοινὸν ὅρον.

β'. Διωρισμένα οὖν ποσά ἐστιν, ὅ τε ἀριθμὸς καὶ ὁ λόγος. Ἀριθμὸν δὲ μὴ τὸν ἁπλῶς λεγόμενον ἐκληπτέον, ἀλλὰ τὸν τοῖς αἰσθητοῖς μεριστῶς μετεχόμενον, ἤτοι αὐτὰ τὰ ἀριθμούμενα, οὐ καθὸ ὕλας, ἀλλὰ καθὸ ἀριθμητά· λόγον δὲ τὸν διὰ φωνῆς ἐνεργούμενον· καθ' ὃν καὶ ἡ μία λέξις λέγοιτο λόγος.

C γ'. Ἂν γοῦν ὁ ἓξ τυχὸν ἀριθμὸς ὡς εἰς μέρη διαιροῖτο, εἰς τρία καὶ τρία, ἢ τέσσαρα καὶ δύο, ἢ πέντε καὶ ἓν, ἢ δύο καὶ δύο καὶ δύο γενομένης τῆς διαιρέσεως, οὐκ ἔσται που τοῖς αὐτοῦ μέρεσιν ὅρος κοινὸς πρὸς ὃν ἀλλήλοις ταῦτα συνάπτοιντο. Καὶ ὁ προφορικὸς δὲ λόγος διαιρούμενος κατὰ λέξεις, ἢ καὶ

OCR ABK / FR

κατὰ συλλαβὰς, πρὸς οὐδένα κοινὸν ὅρον ἔχοι ἂν τὰ οἰκεῖα μέρη συναπτόμενά τε καὶ συνενούμενα. Διὰ τοῦτο γοῦν ἀριθμὸς καὶ λόγος διωρισμένα καλοῦνται ποσὰ, διὰ τὸ ἕκαστον αὐτῶν ἔχειν τὰ οἰκεῖα μέρη ἀπ' ἀλλήλων διακεκριμένα καὶ διακεχωρισμένα.

δ'. Συνεχῆ δὲ ποσά ἐστι τὸ σῶμα, ἡ ἐπιφάνεια, καὶ ἡ γραμμὴ, ὁ τόπος τε καὶ ὁ χρόνος.

ε'. Ἂν τοίνυν ἑκάστου τούτων τὰ μέρη τις ἐκζητοίη, δυνάμει ταῦτα διαιρῶν καὶ ἐπισκεπτόμενος, ἀλλήλοις εὑρήσει συνημμένα καὶ ἀδιάκριτα. Τὰ μὲν γὰρ τοῦ σώματος μόρια ἐπιφανείᾳ συνάπτεται, τὰ δὲ τῆς ἐπιφανείας γραμμῇ· σημείῳ δὲ τὰ τῆς γραμμῆς· καὶ τὰ τοῦ τόπου δὲ μέρη γραμμῇ συνάπτει πρὸς ἄλληλα. Ἐπιφάνεια γάρ τίς ἐστι καὶ ὁ τόπος, πέρας ὑπάρχων τοῦ περιέχοντος, καθὸ περιέχει τὸ περιεχόμενον· ἤγουν τέλος τοῦ περιέχοντός τι, καθὸ τέλος περιέχει τὸ περιέχον, ἐκεῖνο τὸ πρᾶγμα τὸ περιεχόμενον ὑπ' αὐτοῦ δὴ τοῦ περιέχοντος. Τοῦ χρόνου δὲ διαιρουμένου, εἰς παρεληλυθότα καὶ μέλλοντα, συνάπτει τὰ μέρη τούτου τὸ νῦν.

ϛ'. Ὃ δέ ἐστι σημεῖον ἐν γραμμῇ, τοῦτο μονὰς ἐν ἀριθμῷ, καὶ ἐν χρόνῳ τὸ νῦν. Ἄποσα γὰρ τὰ τρία καὶ ἀμερῆ. Ἀλλ' ἡ μὲν μονὰς, εἰ καὶ ἀριθμὸς οὐκ ἔστιν, ὅμως γίνεται μέρος τοῦ ἀριθμοῦ. Διὸ καὶ προστιθεμένη, αὔξει αὐτόν. Ὁ γὰρ ἀριθμὸς ἐκ μονάδων ὑπάρχει συγκείμενος· ἐπεὶ καὶ σωρεία μονάδων ἐστί. Τὸ δὲ σημεῖον τῇ γραμμῇ προστιθέμενον οὐκ αὔξει αὐτήν· ὅτι μηδ' ἐκ σημείων συνέστηκεν ἡ γραμμή. Καὶ τὸ νῦν δὲ προστιθέμενον τῷ χρόνῳ, οὐδεμίαν αὔξησιν δίδωσιν, ὅτι μηδὲ μέρος αὐτῷ, μηδὲ τὸ τυχόν.

ζ'. Ἀλλὰ δὴ καὶ ἡ γραμμὴ προστιθεμένη τῇ ἐπιφανείᾳ οὐκ αὔξει αὐτήν· ἐπεὶ μόριον οὐκ ἔστιν αὐτῆς οὐδὲ τοὐλάχιστον. Ἡ μὲν γὰρ ἐπιφάνεια μῆκος ἔχει καὶ πλάτος· ἡ γραμμὴ δὲ μῆκός ἐστιν ἀπλατές. Οὕτω δὲ καὶ τὸ σῶμα τρεῖς διαστάσεις ἔχον, μῆκος, πλάτος καὶ βάθος, εἴτουν πάχος, ὑπὸ τῆς ἐπιφανείας οὐκ αὔξεται.

η'. Εἰ δὲ τὸ σῶμα οὐσία ἐστὶ, λέγεται δὲ καὶ ποσὸν, οὐδὲν θαυμαστόν. Καθόσον μὲν γὰρ ὑποκείμενόν ἐστι, καὶ ταυτὸ καὶ ἓν μένον τῷ ἀριθμῷ, τῶν ἐναντίων ἐστὶ δεκτικὸν, ἀναμφιλέκτως οὐσία ἐστί. καθόσον δὲ τριχῇ διαστατὸν, καὶ μετρεῖσθαι πέφυκε, κατὰ τοῦτο μόνον ὑπάρχει ποσόν.

θ'. Τὸ συνεχὲς δὲ τοῦ ποσοῦ καὶ τὸ διωρισμένον κἀν τῷ κόσμῳ θεωρεῖται παντί· τοῦ μὲν συνεχοῦς ἡ φύσις ἥτις καλεῖται μέγεθος ᾧ ἀκολουθεῖ τὸ πηλίκον, καθ' ἕνωσιν καὶ ἀλληλουχίαν· τοῦ δὲ διωρισμένου ἥτις καλεῖται πλῆθος, ᾧ ἀκολουθεῖ τὸ ποσὸν, κατὰ σωρείαν καὶ παράθεσιν. Καὶ κατὰ μὲν τὴν τοῦ μεγέθους οὐσίαν εἷς ὁ κόσμος ἐστί τε καὶ νοεῖται σφαιρικὸς καὶ συμπεφυκὼς ἑαυτῷ, διατεταμένος τε καὶ ἀλληλουχούμενος. Κατὰ δὲ τὸ πλῆθος ἥ τε σύνταξις θεωρεῖται καὶ ἡ διακόσμησις, ἡ ἐκ ὁσωνδὸ φέρε εἰπεῖν στοιχείων καὶ ζώων ἢ φυτῶν καὶ ἐναντιοτήτων ἢ ὁμοιοτήτων τόσων καὶ τόσων.

A nes ut etiam secundum syllabas dividatur, ad nullum communem terminum suas partes conjunctas et counitas habet. Propter hoc igitur numerus et oratio discreta quanta vocantur quod **187** utrumvis earum a se invicem discretas et disseparatas partes habet.

4. Continua autem quanta sunt, corpus, superficies et linea, locusque et tempus.

5. Cum ergo cujusque harum partes inquirit aliquis et eas potentia dividit consideratque, secum invicem connexas et indiscretas, inveniet. Etenim corporis quidem partes superficie, superficiei vero linea, lineæ denique puncto conjunguntur. Et vero loci etiam partes linea conjungit ad invicem. Nam et locus est quadam superficies, cum B sit extremitas continentis (corporis) quatenus continet contentum : hoc est, finis continentis aliquid quo fine continens continet rem illam quæ continetur ab ipso videlicet continente. Cum porro tempus dividitur in præteritum et futurum, hujus partes nunc conjungit.

6. Quod autem punctum est in linea, hoc unitas et in numero et nunc in tempore. Hæc enim tria quantitatis et partium expertes sunt. Sed unitas quidem, etsi non est numerus, nihilominus tamen pars fit numeri. Quare etiam cum apponitur auget numerum. Numerus enim ex unitatibus est compositus, quandoquidem **188** etiam unitatum congeries. Punctum autem cum lineæ apponitur, non auget eam quia neque ex punctis constat linea. C Et vero etiam nunc cum apponitur tempori, nullam ei auctionem præstat, quia neque pars illius est quotacunque etiam.

7. Sed et linea utique apposita superficiei non auget eam, quia non est pars illius ne minima quidem. Superficies enim habet longitudinem et latitudinem : linea autem est longitudo latitudinis expers. Sic autem etiam corpus habens tres dimensiones, longitudinem, latitudinem et profunditatem sive crassitiem, a superficie non augetur.

8. Etsi vero corpus substantia est, et etiam quantum dicitur, non est mirandum. In quantum enim est subjectum, et unum idemque numero manens contraria suscipere potest, sine contradictione substantia est : in quantum autem tres dimensiones habet, et mensurari per naturam potest, quoad hoc solum, quantum exsistit. D

9. Ut vero continuum et discretum de quanto etiam in universo mundo consideratur : continui quidem natura quæ vocatur magnitudo quam sequitur (quantum) : secundum **189** unionem et mutuam complexionem ; discreti autem natura quæ vocatur multitudo, quam sequitur τὸ ποσὸν (quotum vel quot), secundum congeriem et appositionem. Et quoad quidem magnitudinis essentiam cum unus est mundus, tum rotundus et sibi connatus, distentusque et sibi mutuo cohærens intelligitur : at secundum multitudinem et ordo (seu constructio) et cum ornatu dispositio, ex tot

OCR ABK / FR

verbi gratia elementis et animalibus aut plantis et contrarietatibus aut similitudinibus tot et tam multis consideratur.

10. Præterea enumeratorum quantorum alia habent positionem partium inter se mutuam, alia non habent. Positionem ergo mutuam habent partes lineæ, quemadmodum sane etiam superficiei et corporis et loci. Non autem habent positionem mutuam partes numeri, quemadmodum etiam orationis et temporis partes. Hæ enim ordinem quidem habent, quæ prima et quæ secunda; positionem autem non habent.

11. Nam ejus quod est positionem habere, characteristicon est partes contineri et permanere; quorum quidem neutrum habet oratio; tempus vero **190** continuum quidem est, sed ejus partes non permanent. Quippe tempus numerus est motus. Et ejus quidem præteritum præterfluxit, futurum autem nondum est. Atqui in numero inversum accidit. Hic enim permansionem habet quidem partium suarum, continuitate autem privatus est.

12. Porro aliqui etiam pondus (vel si mavis stateræ examen) sub quanto collocant, et fortassis absque errore. Nec enim pondus gravitas et levitas est, ut quidam instantes dicunt, ut esset qualitas: sed gravitatis et levitatis mensura est. Et hæc quidem ita.

13. Dicitur autem etiam quantum secundum accidens, ut multum album, et longa actio, et multus motus. Album enim propterea quod multa (seu magna) sit superficies in qua est, multum dicitur; ut actio longa propter tempus: et motus multus, cum propter tempus tum propter locum.

14. Convenit quanto non recipere magis et minus, et non habere contrarium.

15. Nisi quis circa locum esse dicat contrarietatem quanti, velut sursum et deorsum. Sed sursum et deorsum si quidem quoad habitudinem ad nos dicantur, ex eorum **191** sunt numero quæ sunt ad aliquid (lunam enim quoad nos sursum dicimus, quæ tamen omnibus planetis aliis inferior exsistit), sin quoad naturam dicantur, τὸ sursum et deorsum, prædicamenti ubi sunt, ut cum dicimus, ignem quidem sursum, terram vero deorsum esse.

16. Visum est autem aliquibus quod et motus quantum sit. Verum motus non est quantum, sed in quanto consideratur; quemadmodum etiam in substantia et in quali et in ubi. In substantia quidem, ut generatio et corruptio (quanquam hæ potius mutationes sunt et motus abusive dicuntur; sed in quanto et quali et ubi, proprie motus inveniuntur). In quanto incrementum; in quali, alteratio; in ubi denique, mutatio secundum locum quæ latio vocatur.

17. Dividitur autem hæc et in circularem motum, quem circulationem vocamus, et in motum secundum rectam lineam. Motus autem ejus qui est secundum rectam lineam, sex sunt differentiæ: qui sursum est, qui deorsum est; qui ad intra,

A ι'. Ἔτι τῶν ἀπηριθμημένων ποσῶν τὰ μὲν ἔχει θέσιν τῶν ἐν αὐτοῖς μορίων πρὸς ἄλληλα, τὰ δ' οὐκ ἔχει. Θέσιν μὲν (οὖν) ἔχει πρὸς ἄλληλα τὰ μόρια τῆς γραμμῆς, ὥσπερ δὴ καὶ τῆς ἐπιφανείας καὶ τὰ τοῦ σώματος, καὶ τοῦ τόπου. Θέσιν δὲ οὐκ ἔχει πρὸς ἄλληλα τὰ μόρια τοῦ ἀριθμοῦ, ὥσπερ δὴ καὶ τὰ τοῦ λόγου, καὶ τὰ τοῦ χρόνου. Ταῦτα γὰρ τάξιν μὲν ἔχει, τί πρῶτον καὶ τί δεύτερον· θέσιν δ' οὐκ ἔχει.

ια'. Τὸ γὰρ θέσιν ἔχειν χαρακτηριστικόν ἐστι τοῦ τὰ μόρια συνέχεσθαί τε καὶ ὑπομένειν. Ὧν ὁ μὲν λόγος οὐδέτερον ἔχει· ὁ δὲ χρόνος συνεχὴς μὲν ἔστιν, οὐχ ὑπομένει δ' αὐτοῦ τὰ μόρια. Χρόνος γάρ ἐστιν ἀριθμὸς κινήσεως. Καὶ τὸ μὲν παρεληλυθὸς αὐτοῦ διέῤῥευσε· τὸ δὲ μέλλον οὔπω ἔστιν. Ἐπὶ δὲ τοῦ ἀριθμοῦ συμβέβηκε τὸ ἀνάπαλιν. Οὗτος γὰρ μο-
B νὴν μὲν ἔχει τῶν μορίων αὐτοῦ, τῆς δὲ συνεχείας ἐστέρηται.

ιβ'. Τίθενταί τινες καὶ τὴν ῥοπὴν ὑπὸ τὸ ποσόν· καὶ ἴσως οὐ σφαλερῶς. Οὐ γάρ ἐστιν ἡ ῥοπὴ βαρύτης καὶ κουφότης, ὥς τινες ἐνιστάμενοι λέγουσιν, ἵν' ᾖ ποιότης, ἀλλὰ μέτρον βαρύτητος καὶ κουφότητος. Ταῦτα μὲν οὕτως.

ιγ'. Λέγεται δὲ καὶ κατὰ συμβεβηκὸς ποσόν· ὡς πολὺ λευκὸν, καὶ μακρὰ πρᾶξις καὶ κίνησις πολλή. Τὸ μὲν γὰρ λευκὸν, διὰ τὸ πολλὴν εἶναι τὴν ἐπιφάνειαν ἐν ᾗ ἐστι, λέγεται διὰ τοῦτο πολύ· ἡ δὲ πρᾶξις μακρὰ διὰ τὸν χρόνον· καὶ ἡ κίνησις πολλὴ διά τε τὸν χρόνον, καὶ διὰ τὸν τόπον.

C ιδ'. Πρόσεστι τῷ ποσῷ τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον, καὶ τὸ μηδὲν ἔχειν ἐναντίον.

ιε'. Εἰ μή τις λέγοι περὶ τὸν τόπον εἶναι τὴν ἐναντιότητα τοῦ ποσοῦ, ὡς τὸ ἄνω καὶ κάτω. Ἀλλὰ τὸ ἄνω καὶ κάτω, εἰ μὲν κατὰ τὴν πρὸς ἡμᾶς σχέσιν, λέγοιντο, τῶν πρός τί ἐστι· τὴν γὰρ σελήνην πρὸς ἡμᾶς ἄνω φαμὲν, κατωτέρω τῶν ἄλλων πλανήτων πάντων ὑπάρχουσαν· εἰ δὲ πρὸς τὴν φύσιν λέγοιντο τὸ ἄνω καὶ τὸ κάτω, τῆς ποῦ κατηγορίας ἐστίν· ὡς ὅταν λέγωμεν, τὸ μὲν πῦρ εἶναι ἄνω, τὴν δὲ γῆν κάτω.

ιϛ'. Ἔδοξε δὲ τισι καὶ τὴν κίνησιν εἶναι ποσόν. Ἀλλ' οὐκ ἔστι ποσὸν ἡ κίνησις, ἐν τῷ ποσῷ δὲ θεωρεῖται καθάπερ καὶ ἐν τῇ οὐσίᾳ καὶ ἐν τῷ ποιῷ, καὶ τῷ ποῦ. Ἐν μὲν τῇ οὐσίᾳ, ὡς ἡ γένεσις καὶ
D φθορά. Μεταβολαὶ δὲ μᾶλλον αὗται, κινήσεις δὲ λέγονται καταχρηστικῶς· ἐν τῷ ποσῷ δὲ, καὶ τῷ ποιῷ, καὶ τῷ ποῦ, κυρίως κινήσεις εὑρίσκονται· ἐν τῷ ποσῷ μὲν αὔξησις καὶ μείωσις· ἐν τῷ ποιῷ δὲ ἀλλοίωσις· ἐν τῷ ποῦ δὲ ἡ κατὰ τόπον μεταβολὴ, ἥτις καλεῖται φορά.

ιζ'. Διαιρεῖται δ' αὕτη εἴς τε τὴν κύκλῳ κίνησιν, ἣν καλοῦμεν περιφορὰν, καὶ εἰς τὴν ἐπ' εὐθείας. Τῆς ἐπ' εὐθείας δὲ κινήσεως διαφοραί εἰσιν ἕξ· ἡ ἐπὶ τὸ ἄνω, ἡ ἐπὶ τὸ κάτω, ἡ ἐπὶ τὸ ἔσω, τουτέστι τὸ ἔμπροσθεν, ἡ ἐπὶ τὸ ἔξω, τουτέστι τὸ ὄπισθεν, ἡ ἐπὶ

OCR ABK / FR

τὰ δεξιὰ καὶ ἡ ἐπὶ τὰ ἀριστερά. Τὸ γὰρ ἐπὶ τὸ μέσον καὶ ἐπὶ τὸ κάτω κινεῖσθαι κατὰ τὸν κόσμον ταυτόν ἐστιν. Ὅθεν μετὰ τῆς περιφορᾶς ἑπτὰ τοπικαὶ κινήσεις εἰσίν.

A hoc est, in anteriorem partem est, et qui ad extra est, hoc est in posteriorem partem ; **192** quique ad dextram et sinistram est. Nam ad medium et deorsum moveri, secundum mundum idem est. Unde cum circulatione septem locales motus sunt.

ιη'. Ἐπεὶ τοίνυν τὸ μεταβάλλον ἢ καθ' ἑαυτὸ μεταβάλλει, ἢ κατά τι τῶν ἐν αὐτῷ ἢ περὶ αὐτό· εἰ μὲν καθ' ἑαυτὸ μεταβάλλει, ποιεῖ γένεσιν καὶ φθοράν· εἰ δὲ κατά τι τῶν ἐν αὐτῷ, εἰ μὲν κατὰ τὸ ποσὸν, ποιεῖ αὔξησιν καὶ μείωσιν· εἰ δὲ κατὰ τὸ ποιὸν, ποιεῖ ἀλλοίωσιν· κατὰ δὲ τὸ περὶ αὐτὸ μεταβάλλον ποιεῖ τὴν κατὰ τόπον μεταβολήν. Ὁ γὰρ τόπος οὔτ' αὐτό ἐστι τὸ κινούμενον, οὔτε τι τῶν ἐν αὐτῷ· ἀλλὰ τοῖς κινουμένοις παρέπεται, καὶ περὶ τὰ κινούμενα ἐστιν.

18. Quoniam igitur quod mutatur, aut quoad seipsum mutatur, aut quoad aliquid eorum quæ in ipso sunt, aut quoad aliquid eorum quæ sunt circa ipsum : si quidem quoad seipsum mutatur, generationem efficit et corruptionem ; sin vero quoad aliquid eorum quæ sunt in ipso, cum quidem secundum quantum, incrementum et decrementum efficit ; cum autem secundum quale, alterationem constituit ; sin denique mutatur quoad aliquid circa ipsum, mutationem in loco efficit. Locus enim neque ipsum est quod movetur, neque aliquid eorum quæ sunt in ipso ; sed ea quæ moventur subsequitur, et circa ea quæ moventur, est.

ιθ'. Ἐνταῦθα δὲ κίνησιν λέγομεν οὐ τὴν νοερὰν, οὐ τὴν ψυχικὴν αὐτοκίνητον, ἀλλὰ τὴν φυσικὴν καὶ σωματικὴν, ἥτις λέγεται κυρίως μεταβολή.

B 19. Motum autem hic dicimus non intellectualem, non animæ illum quo scimus etiam rationalem animam a seipsa moveri posse, sed naturalem et corporeum qui proprie mutatio dicitur.

κ'. Ἐπεὶ δὲ τὴν γένεσιν καὶ φθορὰν μεταβολὰς εἶναι μᾶλλον, ἀλλ' οὐ κινήσεις φθάσαντες εἴπομεν· οὐ χρὴ ἀγνοεῖν, ὅτι τὸ κινούμενον, ἐνεργείᾳ ὂν καὶ ὑπομένον, οὕτω κινεῖται· τὸ δὲ μὴ ὂν ἐνεργείᾳ, μηδ' ὑπομένον οὐδὲ κινεῖται. Ἐπεὶ γοῦν ἡ γένεσις ἐκ τοῦ μὴ ὄντος ἐστὶν εἰς τὸ εἶναι μεταβολὴ, διὰ τοῦτο κίνησις οὐκ ἔστι. Τὸ γὰρ μὴ ὂν οὐ κινεῖται. Πάλιν ἐπεὶ ἡ φθορὰ ἐκ τοῦ ὄντος ἐστὶν εἰς τὸ μὴ εἶναι μεταβολὴ, διὰ τοῦτο κίνησις οὐκ ἔστι· μὴ γὰρ ὑπομένον τὸ ὂν κατὰ τὴν τοιαύτην μεταβολὴν, ἀλλὰ τῆς οἰκείας φύσεως ἐκπίπτον καὶ διαλυόμενον, πῶς ἂν κυρίως κινεῖσθαι λέγοιτο ;

20. Quoniam autem generationem et corruptionem mutationes potius esse et non motiones, jam ante diximus : ignorandum haud est, id **193** quod movetur, cum actu sit et permaneat, moveri : quod autem non sit actu neque permaneat, ne moveri quidem. Quoniam igitur generatio ex non ente ad esse est mutatio, propterea motus non est. Cum enim ens in ejusmodi mutatione non maneat, sed a propria natura excidat et dissolvatur, quomodo proprie moveri dicetur ?

κα'. Τὴν δ' ἀλλοίωσιν τινες οὐκ εἶδος εἶναι κινήσεως ἔφασαν, ἀλλὰ τοῖς λοιποῖς ταύτης συμπίπτειν εἴδεσι. Τοῦτο δ' οὐκ ἔστι. Δυνατὸν γὰρ ἀλλοίωσιν γίνεσθαι χωρὶς ἄλλου τινὸς εἴδους κινήσεως. Τὸ γὰρ κατὰ πάθος κινούμενον οὐκ ἀναγκαῖον ἤδη καὶ αὔξεσθαι, ἢ μειοῦσθαι· οὔτε δὲ τὸ αὐξόμενον ἢ μειούμενον ὁπωσοῦν ἀνάγκη καὶ ἀλλοιοῦσθαι, τὸ γὰρ τετράγωνον αὔξεται μὲν περιτεθέντος αὐτῷ γνώμονος, οὐκ ἀλλοιοῦται δὲ (μένει γὰρ καὶ αὖθις τετράγωνον), καὶ τοῦ γνώμονος περιαιρεθέντος, μειοῦται καὶ μένει πάλιν τετράγωνον. Καὶ ὁ οἶνος ἀλλοιοῦται μήτ' αὐξόμενος, μήτε μειούμενος. Ὥστε ἡ ἀλλοίωσις δύναται θεωρεῖσθαι κατ' ἑαυτὴν, ἀμιγὴς ταῖς ἄλλαις κινήσεσι.

C 21. Cæterum aliqui alterationem non esse speciem motus dixerunt, sed cum reliquis hujus speciebus coincidere. Quod non est. Fieri enim potest, ut fiat alteratio seorsim ab alia aliqua motus specie. Quod enim secundum passionem, non necesse est jam etiam augeri et minui. Neque vero etiam quod augetur et minuitur quoquomodo necesse est etiam alterari. Quadratum enim augetur quidem circumposito ei gnomone, non alteratur tamen. Manet enim adhuc etiam quadratum. Et gnomone ablato minuitur et manet iterum quadratum ; et vinum alteratur ut nec augeatur nec minuatur. Quare alteratio per seipsam considerari potest, ut aliis motibus impermista sit.

κβ'. Πάσῃ δὲ κινήσει καὶ ἠρεμία τις ἀντίκειται. Τῇ ἁπλῶς κινήσει ἡ ἁπλῶς ἠρεμία, εἴτουν ἀκινησία, ἥ τε πρὸ τῆς κινήσεως, καὶ ἡ μετὰ τὴν κίνησιν. Τάχα δὲ καὶ ἐν αὐτῇ τῇ κινήσει.

22. Omni autem motui etiam quies aliqua opponitur ; D **194** motui simpliciter quies simpliciter sive immobilitas, et quæ ante motum et quæ post motum est ; forte autem etiam ea quæ est in ipso motu.

κγ'. Ἐπεὶ γὰρ πᾶσα κίνησις καὶ μεταβολὴ ἔκ τινος εἴς τι γίνεται, οἷον ἐπὶ γενέσεως, ἐκ τῶν στοιχείων εἰς τὸ σύνθετον σῶμα· ἐπὶ δὲ τῆς φθορᾶς, ἐκ τοῦ σώματος αὖθις εἰς τὰ στοιχεῖα· κἀπὶ μὲν τῆς αὐξήσεως ἐκ τοῦ ἐλάττονος εἰς τὸ μεῖζον· ἐπὶ δὲ τῆς μειώσεως ἔμπαλιν ἐκ τοῦ μείζονος εἰς τὸ ἔλαττον· ἐπὶ δὲ τῆς ἀλλοιώσεως ἐκ τῶν ἀντικειμένων ποιοτή-

23. Quoniam igitur omnis motus et mutatio ex aliquo fit in aliquid ; velut in generatione ex elementis in corpus compositum ; in corruptione ex corpore iterum in elementa ; et in incremento quidem ex minori ad majus ; in decremento vero ex majori ad minus ; in alteratione porro ex oppositis qualitatibus in oppositas qualitates, ut ex ca-

OCR ABK / FR

lore in frigus et ex nigro in album : in mutatione A denique secundum locum ex oppositis locis in opposita, hoc est, ex eo qui sursum est, deorsum ; et ex eo qui deorsum est, sursum ; et in aliis similiter se res habet.

24. Hæ quoniam ita se habent, quatenus quidem motus ex aliquo est, quieti antecedenti dicetur opponi ; quatenus autem est in aliquid, quieti consequenti ; quatenus denique non perficitur sine tempore, sed etiam quæ videtur confectissima (maximeque subitanea) mutatio et concretio lactis in tempore fit : secundum hoc habet forte etiam consequentem et intelligibilem aliquam quietem, dum **195** ex remissione ad intentionem procedit, et ex eo quod est minus ad id quod magis est provehitur, donec ipsum perfecte finem assequatur : sive is ex B extremis sive ex intermediis fuerit. Est enim etiam in intermediis et remissio et intentio, et minus et magis. Et extrema quidem sunt, veluti calidum et frigidum ; illud quidem ut adurens, hoc autem ut enecans. At inter hæc non paucæ remissiones et intentiones sunt. Ergo motui simpliciter, simpliciter quies opponitur.

25. At singularibus motibus singulares motus et singulares quietes convenienter opponuntur.

26. Generationi quidem ut generationi corruptio, ut motui autem, quies secundum illum : incremento decrementum ; et secundum decrementum quies (neque enim in infinitum augetur quod augetur, aut semper minuitur quod minuitur) ; mutationi secundum locum, ut motui quidem, quies C secundum locum ; at ut mutationi secundum locum mutatio in contrarium locum, velut ei quæ est in inferiora **196** illa quæ est ad superiora ; ei quæ est ad dextram illaquæ est ad sinistram ; ei quæ est ad interiora, hoc est ad anteriora, illa quæ est ad exteriora, hoc est posteriora, et e contra. Soli autem cœlesti motui non est contrarius aliquis motus, nisi quis eas quæ sunt ab ortibus in occasus et iterum ab occasibus in ortus periodos sphæræ, contrarios esse motus evincere voluerit. Et alteratio vero ut mutatio secundum quale contrariam habebit mutationem, quæ est in qualis contrarium, ut dealbatio denigrationem et frigefactio calefactionem ; ut motus autem quieti secundum quale contrariabitur.

27. De motu autem et de quiete posterioris li- D bri secundo et quinto capitibus accuratius commemorabitur.

A των εἰς τὰς ἀντικειμένας, ὡς ἐκ θερμότητος εἰς ψυχρότητα, κἀκ μέλανος εἰς λευκόν· ἐπὶ δὲ τῆς κατὰ τόπον μεταβολῆς ἐκ τῶν ἀντικειμένων τόπων εἰς τοὺς ἀντικειμένους, ἤγουν ἄνωθεν κάτω καὶ κάτωθεν ἄνω· κἀπὶ τῶν ἄλλων ὁμοίως.

κδʹ. Ἐπεὶ ταῦθ' οὕτως ἔχει, καθὸ μὲν ἔκ τινος ἡ κίνησις τῇ πρὸ αὐτῆς ἠρεμίᾳ λέγοιτ' ἂν ἀντικεῖσθαι· καθὸ δὲ εἴς τι, τῇ μετ' αὐτήν· καθὸ δ' οὐκ ἀχρόνως ἐπιτελεῖται, ἀλλὰ καὶ ἡ δοκοῦσα ἀθρουστάτη μεταβολὴ, ὡς ἡ πῆξις τοῦ γάλακτος, ἐν χρόνῳ γίνεται· κατὰ τοῦτο συνεπομένη ἔχει τάχα καὶ ἠρεμίαν νοουμένην τινὰ ἐξ ὑφέσεως εἰς ἐπίτασιν προοδεύουσα, κἀκ τοῦ ἧττον εἰς τὸ μᾶλλον φερομένη, μέχρις ἂν φθάσῃ τελέως αὐτὸ δὴ τὸ κατάντημα· κἄν τε τῶν ἄκρων εἴη τοῦτο, κἄν τε τῶν μεταξύ. Ἔστι γὰρ κἂν B τοῖς μεταξὺ καὶ ὕφεσις καὶ ἐπίτασις, καὶ τὸ ἧττον καὶ τὸ μᾶλλον. Καὶ ἄκρα μὲν, οἷον τὸ θερμὸν καὶ τὸ ψυχρόν· τὸ μὲν ὡς καῖον, τὸ δὲ ὡς νεκροῦν· μεταξὺ δὲ τούτων ὑφέσεις οὐκ ὀλίγαι καὶ ἐπιτάσεις. Τῇ μὲν οὖν ἁπλῶς κινήσει ἡ ἁπλῶς ἠρεμία ἀντίκειται.

κεʹ. Ταῖς δὲ καθέκαστα κινήσεσιν αἱ καθέκαστα κινήσεις, καὶ αἱ καθέκαστα ἠρεμίαι καταλλήλως ἀντίκεινται.

κϛʹ. Τῇ γενέσει, ὡς μὲν γενέσει, ἡ φθορά· ὡς δὲ κινήσει, ἡ κατ' αὐτὴν ἠρεμία· τῇ αὐξήσει ἡ μείωσις, καὶ ἡ κατ' αὔξησιν ἠρεμία. Οὐδὲ γὰρ εἰς ἄπειρον αὔξεται τὸ αὐξόμενον, ἢ τὸ μειούμενον μειοῦται ἀεί· τῇ κατὰ τόπον μεταβολῇ, ὡς μὲν κινήσει, ἡ C κατὰ τόπον ἠρεμία· ὡς δὲ κατὰ τόπον μεταβολῇ, ἡ εἰς τὸν ἀντικείμενον τόπον μεταβολή· οἷον, τῇ ἐπὶ τὰ κάτω ἡ ἐπὶ τὰ ἄνω· καὶ τῇ ἐπὶ τὰ ἄνω ἡ ἐπὶ τὰ κάτω· τῇ εἰς δεξιὰ ἡ εἰς ἀριστερὰ, καὶ τῇ εἰς ἀριστερὰ ἡ εἰς δεξιά· τῇ ἐπὶ τὰ ἔσω, τουτέστι τὰ ἔμπροσθεν, ἡ ἐπὶ τὰ ἔξω, τὰ ὄπισθεν· καὶ ἀνάπαλιν. Μόνῃ δὲ τῇ οὐρανίῳ κινήσει οὐκ ἔστιν ἐναντία τις κίνησις, εἰ μή τις τὰς ἐξ ἀνατολῶν εἰς δυσμὰς, καὶ πάλιν ἐκ δυσμῶν εἰς ἀνατολὰς περιόδους τῆς σφαίρας ἐναντίας εἶναι κινήσεις βιάσοιτο. Καὶ ἀλλοίωσις δὲ, ὡς μὲν μεταβολὴ κατὰ τὸ ποιὸν, ἐναντίαν ἕξει τὴν εἰς τοὐναντίον τοῦ ποιοῦ μεταβολήν· ὡς ἡ λεύκανσις τὴν μέλανσιν καὶ ἡ ψύξις τὴν θέρμανσιν· ὡς κίνησις δὲ πρὸς τὴν κατὰ τὸ ποιὸν ἠρεμίαν ἐναντιωθήσεται.

D κζʹ. Περὶ κινήσεως δὲ καὶ ἠρεμίας ἐξεταστικώτερον ἐν τῷ δευτέρῳ βιβλίῳ κατὰ τὸ τέταρτον κεφάλαιον, καί γε τὸ πέμπτον ὑπομνησθήσεται.

Σχῆμα κεφαλ. καʹ, περὶ ποιοῦ· ἐν ᾧ καὶ περὶ κινήσεως.

| | | |
|---|---|---|
| Ἄποσα | στιγμή,<br>νῦν,<br>μονάς. | |
| Τοῦ ποσοῦ | τὸ μὲν συνεχὲς ὅ ἐστι μέγεθος. | σῶμα,<br>ἐπιφάνεια,<br>γραμμὴ,<br>τόπος,<br>χρόνος. |
| | τὸ δὲ διωρισμένον, ὅ ἐστι πλῆθος | ἀριθμὸς,<br>λόγος. |

OCR ABK / FR

**Τῶν ποσῶν**
- τὰ μὲν ἔχει θέσιν τῶν μορίων
  - σῶμα,
  - ἐπιφάνεια,
  - γραμμή,
  - τόπος·
- τὰ δ' οὐκ ἔχει θέσιν μορίων
  - ἀριθμός,
  - λόγος,
  - χρόνος.

**Ἡ κίνησις**
- γένεσις.
- φθορά,
- αὔξησις,
- μείωσις,
- ἀλλοίωσις,
- κατὰ τόπον μεταβολή.

**Ἡ κίνησις**
- ἐν οὐσίᾳ
  - ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι γένεσις,
  - ἐκ τοῦ ὄντος εἰς τὸ μὴ εἶναι φθορά.
- ἐν ποσῷ
  - αὔξησις.
  - μείωσις.
- ἐν ποιῷ
  - ἀλλοίωσις.
- ἐν τῷ ποῦ, ἢ κατὰ τόπον μεταβολή, ἥτις καλεῖται φορά,
  - ἐπ' εὐθείας
    - ἢ ἐπὶ τὸ ἄνω,
    - ἐπὶ τὸ κάτω,
    - ἐπὶ τὰ δεξιά,
    - ἐπὶ τὰ ἀριστερά,
    - ἐπὶ τὸ ἔμπροσθεν, ὅ ἐστιν ἔσω,
    - ἐπὶ τὸ ὄπισθεν, ὅ ἐστιν ἔξω.
  - κύκλῳ ἥτις ἐστὶ περιφορά.

**Τὸ μεταβάλλον**
- ἢ κατὰ ἑαυτὸ μεταβάλλει καὶ ποιεῖ
  - γένεσιν.
  - φθοράν.
- ἢ κατά τι τῶν ἐν αὐτῷ
  - ἢ κατὰ ποσόν, καὶ ποιεῖ
    - αὔξησιν,
    - μείωσιν.
  - ἢ κατὰ ποιὸν καὶ ποιεῖ ἀλλοίωσιν·
- ἢ περὶ αὐτό, καὶ ποιεῖ τὴν κατὰ τόπον μεταβολήν.

---

*Tabula capitis 21, de quanto, ubi etiam de motu.*

**Quantitatis expertia (sunt)**
- punctum,
- nunc,
- unitas.

197 **Quantum aliud (est)**
- continuum quod est magnitudo (ut)
  - corpus,
  - superficies,
  - linea,
  - locus,
  - tempus.
- discretum quod est multitudo (ut)
  - numerus,
  - oratio.

**Quantorum**
- alia habent positionem partium (ut)
  - corpus,
  - superficies,
  - linea,
  - locus.
- alia non habent positionem partium (ut)
  - numerus,
  - oratio,
  - tempus.


OCR ABK/FR

**198** Motus consideratur vel
- in substantia (ut)
  - ex non ente in esse, generatio,
  - ex ente in non esse, corruptio.
- in quanto (ut)
  - incrementum,
  - decrementum,
- in quali, alteratio.
- in ubi (ut) mutatio secundum locum quæ latio vocatur (estque vel)
  - secundum rectam lineam, quæ est vel
    - ad superum,
    - ad inferum,
    - ad dexterum,
    - ad sinistrum,
    - ad anterius quod est intra,
    - ad posterius quod est extra.
  - circularem, quæ est circumlatio.

**199** Motus (species numerantur sex)
- generatio,
- corruptio,
- incrementum,
- decrementum,
- alteratio,
- mutatio secundum locum.

Quod mutatur
- aut secundum se mutatur (et facit)
  - generationem et
  - corruptionem.
- aut secundum aliquid eorum quæ sunt in ipso (et tum)
  - aut secundum quantum et facit
    - incrementum,
    - decrementum.
  - aut secundum quale, et facit alterationem.
- aut secundum aliquid eorum quæ sunt circa ipsum, et facit mutationem secundum locum.

—

## SYNOPSIS CAPITIS XXII.

### QUOD EST DE QUALI ET QUALITATE.

1. *Qualitatem describit.* — 2. *Qualis homonymium explicat.* — 3. *Qualitatem in quatuor sive genera sive species dividit.* — 4. *Dispositionis homonymiam exponit.* — 5. *Habitus et dispositionis differentiam explicat, et alterum per alterum describit.* — 6. *Habitum definit et dividit.* — 7. *Dispositionem definit.* — 8. *Secundum speciem qualitatis potentiam et impotentium aggreditur.* — **200** 9. *Per occupationem ostendit, quam potentiam hominis hic intelligat, et cum potentiæ tum impotentiæ exempla proponit.* — 10. *Tertiam speciem qualitatis assumit, et differentiam passibilis qualitatis passionisque duplicem vel etiam triplicem proponit.* — 11. *Utramque dividit a subjectis.* — 12. *Passibilem qualitatem in inanimatis subdividit et facit triplicem.* — 13. *Occupatio.* — 14. *Passibiles qualitates animatorum alterius a subjecto dividit in eas quæ sunt in anima et quæ sunt in corpore.* — 15. *Passiones quid dicantur.* — 16. *Dividit in eas quæ sunt inanimatorum et animatorum : quarum has ulterius subdividit in eas quæ sunt in anima et in eas quæ sunt in corpore.* — 17. *Occasione exemplorum generationem naturalem palloris ex metu, et ruboris ex verecundia scite describit.* — 18. *Item ostendit iis qui concipiuntur certos colores ex humorum et sanguinis mistione qualibuscunque de causis ingenerari, id quod etiam exemplo mulieris innominatæ probat.* — 19. *Infert pallorem ex metu et ruborem ex verecundia passiones esse.* — **201** 20. *Quartam speciem qualitatis adoritur, figuram et formam.* — 21. *Figuræ et formæ differentiam indicat.* — 22. *Figuram describit.* — 23. *Formam distinguit et ostendit de ultra hic sermo sit.* — 24. *Figuræ et formæ differentiam explicat.* — 25. *Rectitudinem et curvitatem describit.* — 26. *Asperum et læve non qualitates, sed positiones esse pronuntiat, idque utriusque descriptione probat.* — 27. *Rarum et densum distincte in elementis quidem qualitates essentiales et naturales, in aliis autem corporibus positiones tantum esse affirmat et utrumque describit.* — 28. *Qualia etiam in concreto describit.* — 29. *Dividit quadrifariam.* — 30. *Eorumdem propria seu adjacentia recenset.* — 31. *Primum.* — 32. *Secundum.* — 33. *Tertium.* — 34. *Sicut quale simile et dissimile ; ita quanto æquale et inæquale maxime tribui.*

—

## CAPUT XXII.

*De quali et qualitate.*

1. Qualitas est, secundum quam aliqui dicuntur quales (esse).

2. Dicitur autem quale quidem et ipsa qualitas ; sed et id quod qualitatem recipit, quale dicitur, hoc est illud ipsum quod qualitate affectum est.

A

## ΚΕΦΑΛ. ΚΒ'.

Περὶ ποιοῦ καὶ ποιότητος.

α'. Ποιότης ἐστὶ, καθ' ἣν ποιοί τινες (εἶναι) λέγονται.

β'. Ποιὸν δὲ λέγεται μὲν καὶ αὐτὴ ἡ ποιότης. Λέγεται δὲ καὶ τὸ ἐπιδεδεγμένον τὴν ποιότητα, τουτέστιν, αὐτὸ τὸ πεποιωμένον.

OCR ABK / FR

γ'. Διαιρεῖται δὲ ἡ ποιότης εἰς ἕξιν καὶ διάθεσιν A εἰς δύναμιν καὶ ἀδυναμίαν· εἰς πάθος καὶ παθητικὴν ποιότητα· καὶ εἰς σχῆμα καὶ μορφήν.

δ'. Ἕξεως μὲν οὖν καὶ διαθέσεως ὄνομα κοινὸν ἡ διάθεσις. Διαιρεῖται γὰρ ἡ διάθεσις εἴς τε τὴν ἕξιν, καὶ τὴν ὁμωνύμως τῷ κοινῷ καλουμένην διάθεσιν.

ε'. Αἳ καὶ διαφέρουσιν ἀλλήλων, τῷ τὴν μὲν, ἤτοι τὴν ἕξιν πολυχρόνιον καὶ δυσκίνητον εἶναι, τὴν δὲ, τὴν διάθεσιν, ὀλιγοχρόνιον καὶ εὐκίνητον· ἡ μὲν γὰρ διάθεσις οἷον ἕξις ἐστὶν ἀπαγής· ἡ δ' ἕξις πεπηγυῖα διάθεσις, καὶ δυσμόχλευτος.

ς'. Ἕξις τοιγαροῦν ἐστι ποιότης δυσαπάλλακτος, τελειωτικὴ μὲν, ὡς ἐπιστήμη καὶ ἀρετὴ, καὶ ἀσφα- B λὴς ὑγίεια· κακωτικὴ δὲ, ὡς ὁ ἑκτικὸς πυρετός. Αὐτίκα γὰρ ἡ ἐπιστήμη οὐκ ἂν ἀποβληθείη χωρὶς μεγάλης μεταβολῆς, εἴθ' ὑπὸ νόσου γεγονυίας, εἴθ' ὑπὸ συνεχοῦς ῥᾳθυμίας, εἴθ' ὑπό τινος ἄλλου τοιούτου αἰτίου. Τὸν αὐτὸν τρόπον καὶ ἀρετὴ, σωφροσύνη, δικαιοσύνη, καὶ ἄλλη πᾶσα, οὐκ ἔστιν εὐαπόβλητος, οὐδ' εὐκίνητος. Ὡσαύτως καὶ ἡ μόνιμος ὑγίεια καὶ ἡ πολλῷ χρόνῳ οἱονεὶ πεφυσιωμένη νόσος.

ζ'. Διάθεσις δέ ἐστιν ἡ εἰς ἕξιν ὁδὸς, ἣ καὶ διὰ τὸ μήπω στάσιν ἐσχηκέναι τῶν εὐκινήτων ἐστὶ καὶ τῶν εὐμεταβλήτων· ὡς ἡ ἐπίκτητος θέρμη καὶ ψύξις, καὶ ἡ ἀβέβαιος ὑγεία καὶ ἡ νόσος.

η'. Ἕτερον εἶδος ποιότητος, δύναμις καὶ ἀδυνα- C μία.

θ'. Δύναμιν δέ γέ φαμεν οὐ τὴν κοινὴν ἐπιτηδειότητα, καθ' ἣν πρὸς πάσας τὰς τέχνας δύναμιν ἔχειν πάντες ἄνθρωποι λέγονται φυσικὴν, ἀλλὰ τὴν ἰδίως προσοῦσαν εὐφυΐαν ἑκάστῳ τινὶ πρὸς τόδε τι· ἥτις εὐφυΐα καὶ αὐτὴ φυσικῶς προσεῖναι λέγεται. Καὶ ἡ κρᾶσις γὰρ φύσις ὀνομάζεται μερική. Κατὰ τὴν τοιαύτην δύναμιν τὴν ἐπὶ μέρους λέγομέν τινας πυκτικοὺς, ἢ δρομικοὺς, ἢ ὑγιεινοὺς, ἢ νοσώδεις· τῷ τοὺς μὲν ἔχειν ἀφορμὰς φυσικὰς εἰς τὸ καλῶς ἐξασκῆσαι τὴν πυκτικὴν, τοὺς δὲ πάλιν τὴν δρομικήν· καὶ τοὺς μὲν κεκτῆσθαι δύναμιν φυσικὴν, εἰς τὸ μὴ πάσχειν ῥᾳδίως ὑπὸ τῶν τυχόντων καὶ παραβλάπτεσθαι· τοὺς δὲ τῆς τοιαύτης ἐστερῆσθαι δυνάμεως. Οὕτω λέγεται καὶ τὸ σκληρὸν, καὶ τὸ μαλα- D κόν· τὸ μὲν δύναμιν ἔχειν τοῦ μὴ τέμνεσθαι ῥᾳδίως· τὸ δὲ μαλακὸν πρὸς τοῦτο ἀδυνατεῖν.

3. Qualitas vero dividitur in habitum et dispositionem, in potentiam et impotentiam, in passionem et passibilem qualitatem, et in figuram ac formam.

4. Dispositio proin quidem habitus et dispositionis commune nomen est. Dividitur enim dispositio et in habitum et in dispositionem quæ æquivoce cum communi dispositio vocatur.

**302** 5. Quæ etiam a se invicem differunt, quod ille quidem, sive habitus diuturnus sit et difficulter amoveri possit; hæc autem sive dispositio, exigui sit temporis et facile amoveri possit. Dispositio enim quidem est habitus velut habitus est non firmus habitus; habitus vero, est dispositio firmata et quæ difficulter extrudi queat.

6. Habitus proinde qualitas est quæ difficulter immutari potest, perficiens aut etiam depravans subjectum. Perficiens quidem, ut scientia et virtus et constans sanitas, depravans autem, ut febris hectica. Neque enim scientia statim abjici potest sine magna mutatione, sive a morbo orta fuerit, sive a continua ignavia, sive ab alia aliqua causa ejuscemodi. Eumdem ad modum etiam virtus, temperantia, justitia, et quævis alia, non potest facile abjici aut removeri. Itidem et stabilis sanitas et morbus, qui longo tempore veluti naturalis factus est.

7. Dispositio autem est via ad habitum, quæ etiam propterea quod statum non adepta sit, earum est ex numero quæ facile moveri et mutari possunt: ut acquisitus calor et frigus, et infirma valetudo morbusque.

**303** 8. Alia species qualitatis (est) potentia et impotentia.

9. Potentiam autem dicimus utique non communem aptitudinem, qua ad omnes artes potentiam naturalem habere omnes homines dicuntur; sed eam naturæ bonitatem (et indolem) quæ proprie singulis ad hoc aliquid adest, quæ naturæ bonitas (et indoles) etiam ipsa naturaliter adesse dicitur. Nam et ipsum temperamentum particularis natura appellatur. Secundum ejusmodi particularem potentiam dicimus aliquos pugilares (seu aptos ad pugilatum) aut cursores (seu aptos ad currendum) aut valentes (seu salubri corpore), aut valetudinarios; propterea quod alii quidem naturalia habeant subsidia ad bene exercendam pugilatoriam (artem), alii vero ad cursoriam, quodque alii naturalem habeant potentiam, ut non facile patiantur aut lædantur a quibuslibet, alii autem ejusmodi potentia privati sint. Ita etiam durum et molle dicitur, illud quidem potentiam habere ut non facile secetur; hoc autem, molle (nimirum) ad id impotentia laborare.

ι'. Τρίτον εἶδος ποιότητος, παθητικὴ ποιότης καὶ πάθος, ἃ καὶ διαφέρουσιν ἀλλήλων· τῷ τὴν μὲν παθητικὴν ποιότητα συνεζευγμένην εἶναι πάθει τινὶ, τὸ δὲ πάθος ὁδὸν εἶναι πρὸς τὴν τοιαύτην ποιότητα· καὶ τὴν μὲν ἐν τῷ γεγονέναι τὸ εἶναι ἔχειν, τὸ δ' ἐν τῷ γίνεσθαι. Ἡ μὲν οὖν παθητικὴ ποιότης ἕξει ἀναλογεῖ, διαθέσει δέ γε τὸ πάθος.

10. Tertia species qualitatis (est) passibilis seu passiva **304** vel potius passifica, si ita dicere liceret) qualitas et passio, quæ etiam a se invicem differunt in eo, quod passibilis qualitas conjuncta est passioni alicui; passio autem via est ad ejusmodi qualitatem et quod hæc quidem in ea quod facta sit; illa in quod fiat, esse habet. Passibilis proinde qualitas habitui; at vero dispositioni passio proportione respondet.

OCR ABK / FR

11. Spectantur autem ambo non tantum in animatis ut habitus et dispositio, sed etiam in inanimatis.

A ια'. Θεωροῦνται δ' ἄμφω, μὴ μόνον ἐν ἐμψύχοις, ὥσπερ ἡ ἕξις καὶ ἡ διάθεσις, ἀλλὰ καὶ ἐν ἀψύχοις.

12. Proin passibilis quidem qualitas in inanimatis triplex est. Aut enim a passione non est orta quidem, passionem autem infert nobis; ut calor ignis. Hic enim ab aliqua passione non est ortus, quandoquidem naturaliter et essentialiter igni inest; nobis tamen passionem affert, calorem. Aut etiam a passione est orta et passionis causa fit quemadmodum juris esculenti suavitas. Hæc enim et a passione condimenti orta est et gustum dum ejus fit particeps suavitate afficit. Aut orta quidem est a passione, passionem autem nobis, non communicat. Quemadmodum colores se habent. Cum enim ex passione contemperatione **305** videlicet facti sint, non una secum etiam nos colorant.

ιβ'. Ἡ μὲν οὖν ἐν ἀψύχοις παθητικὴ ποιότης ὑπάρχει τριττή. Ἡ γὰρ ἀπὸ πάθους μὲν οὐκ ἐγένετο, πάθος δ' ἡμῖν ἐμποιεῖ· ὡς ἡ τοῦ πυρὸς θερμότης· αὕτη γὰρ ἀπό τινος οὐκ ἐγένετο πάθους· ἐπεὶ φυσικῶς καὶ οὐσιωδῶς ἔνεστι τῷ πυρί· φέρει δ' ἡμῖν πάθος τὴν θέρμανσιν· ἢ καὶ ἀπὸ πάθους γέγονε, καὶ πάθους αἰτία γίνεται· καθάπερ ἡ τοῦ ζωμοῦ ἡδύτης· αὕτη γὰρ καὶ ἀπὸ πάθους τῆς καρυκείας ἐγένετο, καὶ τὴν γεῦσιν ἡδύνει μετεχομένη· ἢ γέγονε μὲν ἀπὸ πάθους, οὐ μεταδίδωσι δὲ τοῦ πάθους ἡμῖν· ὡς ἔχει τὰ χρώματα. Καὶ γὰρ ἐκ πάθους γεγονότα, τῆς κράσεως, οὐ συγχρωματίζει ἑαυτοῖς καὶ B ἡμᾶς.

13. Etsi vero album dicitur disgregare et diffundere visum: nigrum congregare et colligere: non tamen passionem faciunt denominativam. Album non dealbat; nigrum non denigrat: quemadmodum ignis calefacit et mel dulcat seu dulcedine afficit; cum ille quidem calidus, hoc vero dulce sit. Sic igitur in inanimatis qualitates passibiles spectantur.

ιγ'. Εἰ δὲ τὸ λευκὸν λέγεται διακρίνειν καὶ διαχέειν τὴν ὄψιν, συγκρίνειν δὲ καὶ συνάγειν τὸ μέλαν· ἀλλ' οὐ ποιοῦσι πάθος παρώνυμον· οὐ λευκαίνει τὸ λευκὸν, οὐ μελαίνει τὸ μέλαν· καθὰ τὸ πῦρ θερμαίνει, καὶ τὸ μέλι γλυκαίνει· τὸ μὲν θερμὸν ὑπάρχον, τὸ δὲ γλυκύ. Οὕτω μὲν οὖν ἐν ἀψύχοις αἱ παθητικαὶ θεωροῦνται ποιότητες.

14. In animatis autem, aut secundum animam, aut secundum corpus animadvertuntur. Secundum corpus, ut nigredo quæ naturaliter adest Æthiopibus et corvis (nam et hæc quoque ex aliqua humorum temperatione facta est; quemadmodum et congenitus pallor et rubedo, secundum, quæ aliqui et pallidi et rufi vocati sunt), aut etiam illi pallores in nigredines, quæ propter longum morbum, aut continuitatem adustionis permanentes et difficulter mobiles fiunt. Passibiles autem secundum animam qualitates sunt, ut insania et iracundia et quæcunque aliæ commotiones mentis non naturaliter sed a quibusdam casibus ortæ sunt, cum difficulter mutari possint, vel etiam prorsus dimoveri nequeant.

ιδ'. Ἐν δὲ τοῖς ἐμψύχοις ἢ κατὰ ψυχὴν ἢ κατὰ σῶμα γινώσκονται. Κατὰ σῶμα μὲν, ὡς ἡ φυσικῶς προσοῦσα μελανία τοῖς Αἰθίοψι καὶ τοῖς κόραξι· καὶ αὕτη γὰρ ἐκ ποιᾶς κράσεως γέγονε τῶν χυμῶν, ὥσπερ καὶ ἡ ἐκ γενετῆς ὠχρότης καὶ ἐρυθρότης· C καθ' ἃς ὠχρίαι καὶ ἐρυθρίαι κέκληνταί τινες· ἢ καὶ ὅσαι διὰ νόσον μακρὰν, ἢ συνέχειαν καύματος, ὠχρότητες καὶ μελανότητες παραμόνιμοι καὶ δυσκίνητοι γίνονται. Παθητικαὶ δὲ κατὰ ψυχὴν ποιότητες, ὡς ἡ μανία καὶ ἡ ὀργὴ, καὶ ὅσαι ἄλλαι ἐκστάσεις μὴ φυσικῶς, ἀλλ' ἀπό τινων συμπτωμάτων γεγένηται δυσαπάλλακτοι οὖσαι, ἢ καὶ ὅλως ἀκίνητος.

**306** 15. Passiones autem dicuntur, quæcunque et facile dissolvuntur et cito mutantur.

ιε'. Πάθη δὲ λέγονται, ὁπόσα ῥᾳδίως τε διαλύονται καὶ ταχὺ μεταβάλλουσι.

12. Et in inanimatis quidem adventitius in aqua calor, passio est: ut in animatis vero, secundum animam quidem, ut ira fortuita, velut si quis iratus fuerit propter aliquid eorum quæ ipsi absurda visa sunt incitatus. Etenim cito iterum ad priorem se recipit statum; unde nec etiam qui ejusmodi est iracundus vocatur, sed iratus fuisse dicitur. At secundum corpus passiones dicuntur, et pallor ob metum et robur ob verecundiam.

ις'. Καὶ ὡς μὲν ἐν ἀψύχοις ἡ ἐν ὕδατι ἐπίκτητος θέρμη πάθος ἐστίν· ὡς δ' ἐν ἐμψύχοις κατὰ μὲν ψυχὴν ἡ κατά τινα τύχην ὀργή· οἷον εἴπερ τις ὀργισθείη, διά τι τῶν αὐτῷ δοξάντων ἀτόπων παροξυνθείς. Πάλιν γὰρ ταχέως εἰς τὴν προτέραν φθάνει D κατάστασιν. Ὅθεν οὐδ' ὀργίλος ὁ τοιοῦτος καλεῖται· ἀλλ' ὅτι ὠργίσθη λέγεται. Κατὰ σῶμα δὲ πάθη λέγονται ἥ τε διὰ φόβον ὠχρίασις, καὶ ἡ δι' αἰδῶ ἐρυθρίασις.

17. Etenim pallor quidem ob metum fit sanguine ad cor ut ad proprium suum recurrente principium et non amplius apparente in superficie. Quod contingit etiam illis qui alias sanguine exhausti sunt. Qui autem propter pudorem robur, oboritur sanguine a corde ad superficiem prodeunte et veluti obstruente (parti animæ) principali, tenebrasque

ιζ'. Ἡ μὲ γὰρ διὰ φόβον ὠχρίασις γίνεται τοῦ αἵματος ἐπὶ τὴν καρδίαν ὡς ἐπὶ τὴν οἰκείαν ἀρχὴν ἀνατρέχοντος, καὶ μηκέτι τῇ ἐπιφανείᾳ διαφαινομένου, ὅπερ συμβαίνει καὶ τοῖς ἄλλως αἵματος κεκενωμένοις· ἡ δὲ δι' αἰσχύνην ἐρυθρίασις γίνεται τοῦ αἵματος ἀπὸ τῆς καρδίας ἐπὶ τὴν ἐπιφάνειαν προϊόντος, καὶ ὥσπερ ἐπιπροσθοῦντος τῷ ἡγεμονικῷ, καὶ

OCR ABK / FR

ἐπισκοτοῦντος τῷ ὑπενθόντι κατὰ τὴν διάνοιαν αἰσχρῷ δι' αἰδῶ.

ιη'. Φασὶ γοῦν ὅτι καὶ κισσουμένοις εἴπερ αἱ τοιαῦται γένοιντο συνδρομαί, δι' αἰτίας ὁποίας δή τινας, τοιαῦτα φυσικὰ γίνεσθαι χρώματα. Καί τις γυνὴ λέγεται τῷ καιρῷ τῆς συλλήψεως Αἰθίοπα φαντασθεῖσα (καὶ) μήτ' Αἰθίοψ οὖσα, μήτ' Αἰθίοπι συγγινομένη, τεκεῖν Αἰθίοπα.

ιθ'. Τοίνυν ἡ διὰ φόβον ὠχρίασις, καὶ ἡ δι' αἰδῶ ἐρυθρίασις, πάθη λέγονται διὰ τὸ εὐκίνητόν τε καὶ εὐαπόβλητον. Διὸ οὐδὲ ἐξ αὐτῶν παρωνύμως ὠχρίας ἢ ἐρυθρίας καλοῦσι τοὺς πάσχοντας.

κ'. Τέταρτον εἶδος ποιότητος, σχῆμα καὶ ἡ περὶ ἕκαστον ἐνυπάρχουσα μορφή, ἔτι δὲ πρὸς τούτοις εὐθύτης καὶ καμπυλότης, καὶ τὰ τούτοις ὅμοια· οἷα τὰ κωνοειδῆ καὶ ἑλικοειδῆ καὶ φακοειδῆ. Ταῦτα γὰρ πάντα τῷ τετάρτῳ τῆς ποιότητος εἴδει συνάγονται.

κα'. Σχῆμα δὲ καὶ μορφὴ διαλλάττουσι.

κβ'. Καὶ σχῆμα μέν ἐστι τὸ ὑπό τινος ἤ τινων ὅρων περιεχόμενον. Ληπτέον καὶ τοῦτο, κατὰ τὴν ποιὰν τῆς ἐπιφανείας ἀποπεράτωσιν.

κγ'. Ἡ δὲ μορφὴ διχῶς λέγεται· μορφὴ γάρ ἐστι καὶ τὸ εἰδικώτατον εἶδος, περὶ οὗ νῦν οὐκ ἔστιν ὁ λόγος. Μορφὴ λέγεται καὶ τὸ περὶ τὴν ἐπιφάνειαν ἐπιφαινόμενον ποιὸν τύπωμα, τουτέστιν ἡ ἰδέα καὶ ὁ χαρακτήρ· καθὸ καλά τινα καὶ εὔμορφα λέγομεν, ἢ δυσειδῆ καὶ δύσμορφα· περὶ τούτου νῦν ὁ λόγος.

κδ'. Ἐπὶ μὲν οὖν τῶν φυσικῶν τάττουσι τὸ σχῆμα καὶ τὴν μορφήν, τὸ σχῆμα δὲ μόνον ἐπὶ τῶν μαθηματικῶν, τριγώνου, τετραγώνου, καὶ τῶν λοιπῶν.

κε'. Εὐθύτης δὲ λέγεται ἡ ὀρθότης, καὶ καμπυλότης ἡ στρεβλότης· ἀφ' ὧν εὐθεῖα λέγεται καὶ καμπύλη γραμμή.

κς'. Τὸ τραχὺ καὶ τὸ λεῖον ἔφασάν τινες ποιότητας εἶναι· θέσεις δὲ μᾶλλον δοκοῦσιν, οὐχὶ ποιότητες. Λεῖον μὲν γάρ ἐστιν, οὗ τὰ μόρια ἐπ' εὐθείας ἐπίσης κεῖται· ὡς ἐπὶ τῶν ἀποτεταμένων μαρμάρων. Τραχὺ δὲ οὗ μὴ ἐπίσης κεῖται, ἀλλὰ τὰ μὲν ὑπερέχει, τὰ ' ἐλλείπει· ὡς ἐπὶ τοῦ πρίονος.

κζ'. Τὸ μανὸν δὲ καὶ τὸ πυκνὸν ἐπὶ μὲν τῶν στοιχείων θεωρούμενα ποιότητές εἰσιν οὐσιώδεις καὶ φυσικαί· τοῦ γὰρ ἀέρος καὶ τοῦ πυρὸς ἡ μανότης ὅλη δι' ὅλων αὐτῶν διακεχώρηκεν οὐσιωδῶς τε καὶ φυσικῶς· ὥσπερ καὶ ἡ πυκνότης τοῦ ὕδατος καὶ τῆς γῆς· ἐπὶ δὲ τῶν ἄλλων σωμάτων θέσεις ὑπάρχουσι τὸ μανόν τε καὶ τὸ πυκνόν. Καὶ πυκνὸν μέν ἐστιν, οὗ τὰ μόρια σύνεγγυς κεῖται μὴ δυναμένου παρεμπίπτειν μεταξὺ τούτων ἑτέρου σώματος· ὡς ἔχει χαλκός τε καὶ σίδηρος. Μανὸν δὲ τὸ οἷον μὴ ἓν ὄν, ἀλλ' ἔχον ἀπ' ἀλλήλων διεστηκότα τὰ μόρια, καὶ πρὸς ὑποδοχὴν ἑτέρου σώματος ἐπιτήδεια· καθάπερ

A offundente subingressæ secundum mentem turpitudini propter verecundiam.

18. Aiunt igitur et iis qui concipiuntur, si tales qualibuscunque de causis concursiones (humorum) eveniant, **207** ejusmodi colores naturales evadere. Et mulier quædam cum tempore conceptionis Æthiopem imaginata fuisset et neque Æthiops esset neque cum Æthiope commisceretur, Æthiopem peperisse dicitur.

19. Ergo pallor ob metum et rubor ob verecundiam, propterea quod facile et amoventur et facile abjiciuntur, passiones dicuntur. Qua de causa nec ex illis pallidos aut ruffos denominative vocant, eos qui patiuntur.

20. Quarta species qualitatis est figura, et quæ
B unicuique rei inest forma. Insuper ad hæc rectitudo et curvitas, et quæ sunt similia : ut quæ turbinis et helicis, et lentis figuram habent. Hæc enim omnia ad quartam speciem qualitatis colliguntur.

21. Differunt autem figura et forma.

22. Et figura quidem est, quæ ab aliquo aut ab aliquibus terminis continetur. Accipiendum autem hoc est secundum certam aliquam superficiei determinationem.

23. At forma dupliciter dicitur. Forma enim est et species specialissima, de qua nunc non est sermo. Dicitur forma etiam qualis aliqua quæ circa superficiem conspicitur, impressio : idea nimirum et **208** character : quatenus aliqua pulchra et formosa, aut turpia et deformia dicimus. De hac nunc
C sermo est.

24. Usurpant autem figuram et formam in physicis; figuram in mathematicis tantum; triangulo, quadrangulo et reliquis.

25. Ipsaque directio, rectitudo; obliquitas, seu torsio, curvitas dicitur; a quibus recta et curva linea dicitur.

26. Asperum et læve dixerunt aliqui esse qualitates. Sed magis videntur positiones, non qualitates esse. Læve enim est cujus partes secundum rectam lineam æqualiter sitæ sunt, ut in exporrectis (seu politis marmoribus (videre est). Asperum vero est, cujus partes non æqualiter sitæ sunt, sed aliæ quidem eminent, aliæ depressæ
D sunt : ut in serra.

27. At rarum et densum et elementis considerata essentiales et naturales qualitates sunt. Etenim aeris et ignis raritas tota per ipsa tota penetravit essentialiter et naturaliter, quemadmodum densitas per aquam et terram. In aliis autem corporibus cum rarum tum densum positiones sunt. Et densum quidem est, cujus partes proxime invicem sitæ sunt ut non possit inter eas intercidere corpus aliud, **209** quemadmodum se habet æs et ferrum. Rarum vero quod veluti non unum est, sed partes a se invicem distantes et ad susceptionem alterius corporis aptas habet. Quemadmodum

OCR ABK / FR

se habet spongio et pumex. De qualitatibus igitur hæc dicta sunt.

28. Qualia autem sunt, quæ a qualitatibus denominative, aut alio quocunque modo ab ipsis dicuntur.

29. Nam quatuor modis qualia sumuntur; aut denominative et hoc ut plurimum; ut ab albedine corpus album, et a dulcedine, dulce: aut æquivoce, ut triangulum, quadrangulum, et quæ sunt hujusmodi; et musica mulier ac grammatica (nam in his cum qualitatibus etiam qualia eodem nomine veniunt), aut diverso nomine; quemadmodum virtute præditus vir bonus dicitur: aut sine nomine; quemadmodum in secunda qualitatis specie res aliquando sese habet, ea inquam quæ est secundum potentiam et impotentiam. In hac enim specie nonnunquam quale tantum nomen adeptum est; veluti dicimus pugilarem qui apte ad pugilatoriam (artem) dispositus est et pugil fieri potest; potentia autem, nempe ipsa aptitudo **210** sine nomine mansit. Etenim pugilatoria accepit secundum actum non secundum potentiam. Nonnunquam autem etiam quale et qualitas inde nominationis expertia manserunt: quemadmodum etiam is qui naturæ habet bonitatem ad grammaticam, et ipsa ad grammaticam aptitudo. Et grammaticæ enim etiam arti nomen ab actu assignatum est.

30. Adest quali et maxime convenienter seu proprie contrarietatem suscipere. Nam et in aliis prædicamentis contraria secundum quale, quod in quovis est inesse videntur. Veruntamen ne omni quidem quali contrarium est consequens. Figuris enim rectilineis et circularibus nihil est contrarium. Sed neque rubro, fusco, flavo et aliis coloribus mediis contrarietas aliqua (seu contrarium aliquod) objicitur. Si enim contraria sunt quæ plurimum distant a se invicem; jure mediis quæ plurimum a se invicem non distant, contrarium nihil obsistet. Quomodo autem etiam plura uni contraria fuerint?

31. At vero magis et minus quali adest. Ubi enim contrarietas est, ibi etiam magis et minus semper fere invenitur. **211** Et siquidem in omnibus contrariis spectetur intermedium, necessario etiam magis et minus spectabitur. Sin autem sit alicubi, quod rariuscule fit, contrarietas immediata, ut ea quæ in simpliciter pari et impari, illinc magis et minus abest.

32. Maxime autem proprium est quali, simile aut dissimile. Similitudo autem est ejusdem speciei seu formæ adventitia participatio. Unde colore similes dicimus qui eumdem colorem habent; similes charactere seu lineamentis, qui eamdem ideam seu speciem obtinent.

33. Porro quemadmodum quali simile et dissimile, sic et quanto æquale ac inæquale (convenit). Nam et corpus æquale est corpori, aut inæquale: et numerus numero æqualis aut inæqualis; et lo-

A ἔχει σπόγγος καὶ κίσσηρις. Περὶ μὲν οὖν ποιοτήτων τοσαῦτα εἰρήσθω.

κη'. Ποιὰ δέ ἐστι τὰ ἀπὸ τῶν ποιοτήτων παρωνύμως λεγόμενα, ἢ ὁπωσοῦν ἄλλως ἀπ' αὐτῶν.

κθ'. Τετραχῶς γὰρ λαμβάνονται τὰ ποιά· ἢ παρωνύμως, καὶ τοῦθ' ὡς ἐπὶ τὸ πλεῖστον· ὡς ἀπὸ τῆς λευκότητος τὸ λευκὸν σῶμα, καὶ ἀπὸ τῆς γλυκύτητος τὸ γλυκύ· ἢ ὁμωνύμως, ὡς τὸ τρίγωνον, τὸ τετράγωνον, καὶ τὰ τοιαῦτα, καὶ ἡ μουσικὴ γυνὴ καὶ ἡ γραμματική· καὶ γὰρ ἐπὶ τούτων ταῖς ποιότησι ταυτωνυμοῦνται καὶ τὰ ποιά· ἢ ἑτερωνύμως, ὡς ὁ τῆς ἀρετῆς μετέχων σπουδαῖος λέγεται· ἢ ἀκατονομάστως, ὡς ἐπὶ τοῦ δευτέρου τῆς ποιότητος εἴδους ἔχει ποτέ, τοῦ κατὰ δύναμιν καὶ ἀδυναμίαν B φημί· ἐπὶ τούτου γὰρ τοῦ εἴδους ἐνίοτε μὲν μόνον τὸ ποιὸν ὀνόματος ἔτυχεν· ὡς λέγομεν πυκτικὸν τὸν ἐπιτηδείως πρὸς πυκτικὴν διακείμενον, καὶ γενέσθαι πύκτην δυνάμενον· ἡ δὲ δύναμις, ἤγουν ἡ ἐπιτηδειότης, ἀνώνυμος ἔμεινε. Τὸ γὰρ ὄνομα κατ' ἐνέργειαν ἔσχεν ἡ πυκτική, καὶ οὐ κατὰ δύναμιν. Ἐνίοτε δὲ καὶ τὸ ποιὸν καὶ ἡ ποιότης ἀκατονόμαστα μεμενήκασιν· ὥσπερ ὁ πρὸς γραμματικὴν εὐφυῶς ἔχων, καὶ ἡ πρὸς αὐτὴν τὴν γραμματικὴν ἐπιτηδειότης. Καὶ τῇ γραμματικῇ γὰρ τέχνῃ τὸ ὄνομα πρὸς τῆς ἐνεργείας κεκληροδότηται.

λ'. Πρόσεστι τῷ ποιῷ καὶ μάλιστα συγγενῶς τὸ ἐναντίωσιν ἐπιδέχεσθαι. Κἂν ταῖς ἄλλαις γὰρ κατηγορίαις, τἀναντία κατὰ τὸ ἐν ἑκάστῃ ποιὸν ἐγγίνεσθαι C δοκεῖ· πλὴν οὐδὲ τῷ ποιῷ παντὶ τοὐναντίον ἀκολουθεῖ. Τοῖς σχήμασι γὰρ τοῖς εὐθυγράμμοις καὶ κυκλικοῖς ἐναντίον οὐδέν. Ἀλλ' οὐδὲ τῷ ἐρυθρῷ καὶ φαιῷ καὶ ξανθῷ καὶ τοῖς ἄλλοις τῶν χρωμάτων μέσοις ἐναντιότης τις ἀντιτάττεται. Εἰ γὰρ τὰ πλεῖστον ἀλλήλων διεστηκότα ἐναντία εἰσί· τοῖς μέσοις εἰκότως μὴ πλεῖστον τῶν ἄκρων διεστηκόσιν ἐναντίον οὐδὲν ἀντιστήσεται, πῶς δὲ καὶ πλείω ἐναντία ἔσοιντο τῷ ἑνί;

λα'. Καὶ τὸ μᾶλλον δὲ καὶ ἧττον πρόσεστι τῷ ποιῷ. Ἔνθα γὰρ ἐναντίωσις, ἐκεῖ καὶ τὸ μᾶλλον καὶ ἧττον ὡς ἐπίπαν εὑρίσκεται. Καὶ εἴπερ ἐν πᾶσι θεωροῖτο τοῖς ἐναντίοις τὸ ἔμμεσον, ἐξ ἀνάγκης καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον θεωρηθήσεται. Εἰ δ' D ἐστί που σπανιάκις ἐναντίωσις ἄμεσος, ὡς ἡ τοῦ ἁπλῶς ἀρτίου καὶ περιττοῦ, τὸ μᾶλλον καὶ ἧττον ἐκεῖθεν ἄπεστιν.

λβ'. Ἴδιον δὲ μάλιστα τῷ ποιῷ τὸ ὅμοιον ἢ ἀνόμοιον. Ὁμοιότης δέ ἐστιν ἡ τοῦ αὐτοῦ εἴδους ἐπεισοδιώδης μέθεξις. Ὅθεν ὁμοίους χρόᾳ τοὺς ἔχοντας τὸ αὐτὸ χρῶμά φαμεν· ὁμοίους τε χαρακτῆρι τοὺς τὴν αὐτὴν κεκτημένους ἰδέαν.

λγ'. Ὥσπερ τῷ ποιῷ τὸ ὅμοιον ἢ ἀνόμοιον, οὕτως καὶ τῷ ποσῷ τὸ ἴσον ἢ ἄνισον. Καὶ σῶμα καὶ ἴσον σώματί ἐστιν, ἢ μὴν ἄνισον· καὶ ἀριθμὸς ἀριθμῷ ἴσος ἢ ἄνισος, καὶ τόπος τόπῳ, καὶ χρόνος χρό-

OCR ABK / FR

νῳ, καὶ λόγος λόγῳ. Καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως τῶν A κυρίως καὶ μὴ κατὰ συμβεβηκὸς λεγομένων ποσῶν. Ἡ γὰρ πρᾶξις τῇ πράξει οὐκ ἂν λέγοιτο ἴση ἢ ἄνισος· ἀλλ' ὁμοία μᾶλλον ἢ ἀνομοία· καὶ λευκῷ λευκὸν ὅμοιον ἢ ἀνόμοιον.

λδ'. Λέγουσι δὲ τὴν ποσότητα καὶ τὰς ἄλλας κατηγορίας, πλὴν τῆς οὐσίας, διαιρεῖσθαι εἰς τὰ ἐξ αὐτῶν, ὡς τὰ ἀφ' ἑνὸς καὶ πρὸς ἕν, διὰ τὸ μηδὲ κυρίως εἶναι γένη. Τὰ γὰρ ἔχοντα τάξιν τί πρῶτον καὶ τί δεύτερον ἐν τοῖς ἀπ' αὐτῶν τὸ τοῦ γένους γνήσιον οὐ διασώζουσιν.

eus loco; et tempus tempori; et oratio orationi. Et eodem modo in aliis quæ proprie et non secundum accidens quanta dicuntur. Neque enim actio actioni æqualis dicetur, sed similis potius aut dissimilis.

34. Aiunt autem qualitatem et alia prædicamenta excepta substantia dividi in ea quæ sunt ex ipsis velut quæ ab uno et ad unum dicuntur, propterea quod nec etiam **212** proprie genera sunt. Quæ enim habent ordinem, quid primum vel quid secundum in his quæ ab ipsis dicuntur, illa generis sinceritatem non retinent.

Σχῆμα κεφαλ. κβ', περὶ ποιοῦ καὶ ποιότητος.

Ἡ ποιότης διαιρεῖται {
εἰς ἕξιν, ὡς ἐπιστήμη καὶ ἀρετὴ καὶ διάθεσιν, ὡς ψῦξιν καὶ θέρμανσιν·
δύναμιν, ὡς ὑγιεινὸν καὶ σκληρόν· καὶ ἀδυναμίαν, ὡς νοσῶδες καὶ μαλακόν·
πάθος, ὡς ὠχρίασις ἢ ἐρυθρίασις· καὶ παθητικὴν ποιότητα, ὡς γλυκύτης καὶ πικρότης.
σχῆμα, ὡς τρίγωνον, τετράγωνον· καὶ μορφὴν, ὡς εὐειδὴς καὶ δυσειδής.

Τὰ ποιὰ λαμβάνεται {
ἢ παρωνύμως, ὡς ἀπὸ τῆς γραμματικῆς γραμματικός·
ἢ ὁμωνύμως, ὡς τὸ τρίγωνον καὶ ἡ μουσικὴ γυνή.
ἢ ἑτερωνύμως, ὡς ἐκ τῆς ἀρετῆς ὁ σπουδαῖος·
ἢ ἀκατονομάστως, ὡς ἐπὶ τοῦ δευτέρου τῆς ποιότητος εἴδους.

*Tabula capitis* 22, *de quali et qualitate.*

Qualitas dividitur {
in habitum; ut scientia et virtus: et dispositionem, ut frigus et calorem.
in potentiam, ut salubre et durum; et impotentiam, ut valetudinarium et molle.
in passionem, ut pallor et robur; et passibilem qualitatem, ut dulcedo et amaritudo.
in figuram, ut triangulum, quadrangulum; et formam, ut formosus et deformis.

Qualia sumuntur {
aut denomative, ut a grammatica grammaticus,
aut æquivoce, ut triangulum, et mulier musica,
aut diverso nomine, ut ex virtute vir bonus,
aut sine nomine, ut in secunda specie qualitatis.

## **213** SYNOPSIS CAPITIS XXIII.

### QUOD EST DE IIS QUÆ SUNT AD ALIQUID.

1. *Relatorum definitionem proponit primo Platonicam.* — 2. *Deinde etiam Aristotelicam et perfectionem.* — 3. *Unum et idem et relatum esse potest et non esse relatum, diverso considerationis modo.* — 4. *Multiplex et ut ab exemplis colligitur quintuplex relatio seu relatorum conversio.* — 5. *Duo relatorum propria recenset habere contrarium et magis minusque suscipere, quæ tamen haud omnibus conveniunt.* — 6. *Exemplis declarat, in quibus tamen aliqua discrepantia occurrit.* — 7. *Æquale magis et minus non convenit.* — 8. *Sed inæquale ut et dissimile ac simile magis et minus recipiunt.* — 9. *Non tamen æquale et inæquale, vel simile et dissimile sunt contraria.* — 10. *Occupatio quare inæquale recipiat magis et minus cum videatur esse quantum.* — 11. *Occupatio, quare et quomodo unum et idem ut virtus et scientia in diversis prædicamentis reponatur.* — 12. *Tertium proprium relatorum proponit, converti nimirum seu reciprocari mutuo.* — 13. *Regulam tradit de recte facienda redditione seu assignatione correlati; et interim potestatem concedit si nomen proprium desit, novum fingendi idque a primitivo deducendi.* — 14. *Probat regulam quia ne quidem etiam in iis relatis quæ* **214** *omnium confessione convertuntur, vera sit conversio, si recta correlati redditio seu assignatio non fiat.* — 15. *Occupatio quare et quomodo clavus et ala cum sint substantiæ pro relatis accipiantur.* — 16. *Declarat a pari, nempe a partibus et toto itemque a generibus et speciebus substantiarum.* — 17. *Quartum relatorum proprium explicat.* — 18. *Occupatio quomodo et quatenus defuncti patris filius dicatur.* — 19. *Admonitio de vero sensu hujus proprii relatorum, quod scilicet eis conveniat quoad* σχέσιν, *non quoad substantiam.* — 20. *Exemplo alio relatorum secundum dici idem proprium declarat, ut scilicet constet proprium hoc convenire relatis non tantum secundum esse, sed etiam secundum dici, adeoque omnibus relatis convenire.* — 21. *Occupatio, quomodo scibilia et sensibilia priora sint scientia et sensu.* — 22. *Relata dividit respectu fundamentorum suorum.* — 23. *Alia divisione relata in decem ut appellat species dividit.* — 24. *Singulas species ordine quo recensuit explicat.*

## ΚΕΦΑΛ. ΚΓ'

### Περὶ τῶν πρός τι.

α'. Πρός τί εἰσιν, ὅσα αὐτὰ ἅπερ ἐστὶν ἑτέρων

## CAPUT XXIII.

### *De iis quæ sunt ad aliquid.*

1. Ad aliquid sunt, quæ ea ipsa quæ sunt, alio-

OCR ABK / FR

rum esse, aut quoque alio modo ad alterum dicuntur. Nam quæ ad aliquid sunt in eo quod habitudines sunt exsistentiam habent.

2. Quapropter etiam secundum aliam descriptionem ad aliquid sunt, quibus esse idem est quod ad aliquid quodammodo se habere.

**215** 3. Cum quidem igitur aliquid quoad seipsum consideratur, non est ad aliquid: cum vero habitudine ad aliquid fuerit præditum, tum sane est ad aliquid. Veluti Socrates, quatenus quidem homo aut philosophus aut tale quid est per se dicitur et nullo modo ad aliud refertur: quatenus autem pater aut doctor, eatenus ad aliud refertur, et quæ ipse est aliorum esse dicitur. Pater enim cum sit, filii pater dicitur; et doctor cum sit, discipuli doctor dicitur.

4. Quia autem multiplex est eorum quæ sunt ad aliquid, relatio ad aliud, et non omnia aliorum esse dicuntur; propterea etiam adjectum est, aut quoque alio modo ad aliud (referuntur). Quædam enim eorum quæ sunt ad aliquid, ad genitivum casum referuntur, ut filius et pater, discipulus et doctor. Quædam ad dativum casum ut æquale et simile. Æquale enim æquali æquale, et simile simili simile est. Quædam simul ad genitivum et ablativum (in Græca quidem lingua dativum): ut exsuperans exsuperati est exsuperans; et exsuperatum exsuperante exsuperatur; et iterum, exsuperans **216** exsuperantia exsuperat: veluti denarius exsuperat senarium quaternario. Quædam autem etiam cum præpositione dicuntur, ut magnum ad parvum et magnum; et parvum ad magnum parvum. Quædam etiam cum aliqua circa dictionem mutatione; ut secans id quod secatur secat; et quod secatur a secante secatur. Quoniam igitur quæ sunt ad aliquid ita multifariam figurantur et exprimuntur, propterea ipsorum descriptioni adjectum est hoc, aut alio quocunque modo ad aliud (referuntur).

A εἶναι λέγεται ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον. Ἐν γὰρ τῷ σχέσεις εἶναι τὰ πρός τι τὴν ὕπαρξιν ἔχουσι.

β'. Διὸ καὶ καθ' ἑτέραν ὑπογραφὴν πρός τί εἰσιν, οἷς τὸ εἶναι ταυτόν ἐστι τῷ πρός τί πως ἔχειν.

γ'. Ὅταν μὲν οὖν θεωρῆταί τι καθ' αὑτό, πρός τι οὐκ ἔστιν· ἡνίκα δὲ σχέσιν πρὸς ἕτερον σχῇ, τότε δὴ πρός τί ἐστιν· οἷον ὁ Σωκράτης, καθὸ μὲν ἄνθρωπος, ἢ φιλόσοφος, ἤ τι τοιοῦτον, καθ' αὑτὸ λέγεται· καὶ οὐδ' ὅλως πρὸς ἕτερον ἀναφέρεται· καθὸ δὲ πατὴρ ἢ διδάσκαλος, κατὰ τοῦτο πρὸς ἕτερον ἀναφέρεται, καὶ ἅπερ ἐστὶν αὐτός, ἑτέρων εἶναι λέγεται. Πατὴρ γὰρ ὢν υἱοῦ λέγεται πατήρ· καὶ διδάσκαλος ὢν μαθητοῦ διδάσκαλος λέγεται.

B δ'. Ἐπεὶ δὲ πολυσχιδὴς ἡ πρὸς ἕτερον τῶν πρός τι ἀναφορά, καὶ οὐ λέγεται πάντα ἑτέρων· διὰ τοῦτο πρόσκειται τὸ ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον. Τὰ μὲν γὰρ τῶν πρός τι πρὸς γενικὴν φέρεται πτῶσιν· ὡς υἱὸς καὶ πατήρ, μαθητὴς καὶ διδάσκαλος· τὰ δὲ πρὸς δοτικήν, ὡς τὸ ἴσον καὶ ὅμοιον· τὸ γὰρ ἴσον ἴσῳ ἴσον, καὶ τὸ ὅμοιον ὁμοίῳ ὅμοιον· τὰ δὲ πρὸς γενικὴν ὁμοῦ καὶ δοτικήν· ὡς τὸ ὑπερέχον τοῦ ὑπερεχομένου ὑπερέχει, καὶ τὸ ὑπερεχόμενον ὑπερέχοντι ὑπερέχεται, καὶ πάλιν τὸ ὑπερέχον ὑπεροχῇ ὑπερέχει· οἷον ὁ δέκα τοῦ ἓξ ὑπερέχει τῷ τέσσαρα· τινὰ δὲ καὶ μετὰ προθέσεως λέγεται· ὡς τὸ μέγα πρὸς μικρὸν μέγα, καὶ τὸ μικρὸν πρὸς μέγα μικρόν. Τινὰ δὲ καὶ μετά τινος περὶ τὴν λέξιν ὑπαλλαγῆς· ὡς τὸ τέμνον τεμνόμενον τέμνει, καὶ τὸ τεμνόμενον
C ὑπὸ τέμνοντος τέμνεται. Ἐπεὶ οὖν οὕτω τὰ πρός τι πολυειδῶς σχηματίζεται, διὰ τοῦτο πρόσκειται τῇ τούτων ὑπογραφῇ τὸ ἢ ὁπωσοῦν ἄλλως πρὸς ἕτερον.

5. Convenit quibusdam quæ sunt ad aliquid et contrarietas, et magis minusque; verumtamen non ea ratione qua sunt ad aliquid, sed quia sine alio prædicamento ne quidem cogitari possunt per se quæ sunt ad aliquid. Semper enim cum aliis prædicamentis coexsistunt. Propterea cum quidem in prædicamento accepta fuerint contrarietatem habente, contrarietatem et ipsa habebunt; sin autem in prædicamento contrarietatem non habente, nec ipsa aliquam contrarietatem habebunt. In quo autem prædicamento **217** contrarietas est, in illo etiam magis et minus est, siquidem contrarietas intermedium habet ut antea dictum est.

6. Scientiæ igitur, particulari illi nimirum quæ est in hoc aliquo (hoc est singulari) homine, contrarium erit ignorantiæ; et hæc magis scientia minusve scientia dici queat. Quemadmodum etiam huic quæ ab aliquibus (hoc est, singularibus) hominibus exercetur virtuti vitium est contrarium; et hæc magis virtus minusque virtus dici queat. Universali autem scientiæ et huic quidem quoad universalem rationem ignorantia est contrarium;

ε'. Πρόσεστί τισι τῶν πρός τι καὶ ἐναντιότης καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον· πλὴν οὐ κατὰ τὸν λόγον τῶν πρός τι· ἀλλ' ἐπεὶ χωρὶς ἑτέρας κατηγορίας οὐδ' ἐπινοηθῆναι δύναται τὰ πρός τι καθ' ἑαυτὰ (ταῖς ἄλλαις γὰρ κατηγορίαις ἀεὶ συνυφίσταται). Διὰ τοῦθ' ὅταν μὲν ἐπὶ κατηγορίας ληφθείη ἐχούσης ἐναντίωσιν, ἕξει καὶ αὐτὰ ἐναντίωσιν· ὅταν δ' ἐπὶ κατηγορίας οὐκ ἐχούσης ἐναντίωσιν, οὐδ' αὐτὰ ἕξει τινὰ ἐναντίωσιν· ἐν ᾗ δὲ κατηγορίᾳ ἡ ἐναντίωσις, ἐν
D ἐκείνῃ καὶ τὸ μᾶλλον καὶ τὸ ἧττόν ἐστιν, εἴπερ ἡ ἐναντίωσις ἔχει τὸ ἔμμεσον, ὡς προείρηται.

ς'. Τῇ γοῦν ἐπὶ μέρους ἐπιστήμῃ, δηλονότι τῇ ἐν ἀνθρώπῳ τῷδέ τινι, ἐναντίον ἐστὶν ἡ ἄγνοια· καὶ μᾶλλον ἐπιστήμη λέγοιτ' ἂν αὕτη καὶ ἧττον ἐπιστήμη. Καθάπερ καὶ τῇ ἐνεργουμένῃ παρά τινων ἀρετῇ ἐναντίον ἐστὶν ἡ κακία· καὶ μᾶλλον ἀρετὴ λέγοιτ' ἂν αὕτη καὶ ἧττον ἀρετή. Τῇ καθόλου δ' ἐπιστήμῃ ἐναντίον μὲν καὶ ταύτῃ κατὰ τὸν καθόλου λόγον ἡ ἄγνοια· τὸ μᾶλλον δὲ καὶ ἧττον οὐκ ἔστιν ἐν αὐτῇ. Οὐδὲ γὰρ τῆς καθόλου ἐπιστήμης μᾶλλον γένοιτ' ἂν ἐπιστήμη. Τὸ δ' αὐτὸ καὶ ἐπὶ τῆς καθόλου

OCR ABK / FR

ἀρετῆς. Ἀτελῶν γὰρ τὸ μᾶλλον καὶ ἧττον ἀλλ' οὐ A τελείων καὶ ἀκροτήτων.

ζ'. Ἀλλ' οὐδὲ τὸ ἴσον ἐπιδεκτικόν ἐστι τοῦ μᾶλλον καὶ ἧττον. Ὥρισται γὰρ τὸ ἴσον· τὸ δὲ μᾶλλον καὶ ἧττον κατὰ τὸ ἀόριστον τῆς ὕλης ὑφέστηκε.

η'. Τὸ δ' ἄνισον καὶ τὸ ἀνόμοιον, καὶ τὸ ὅμοιον ἐπιδεκτικὰ τοῦ μᾶλλον καὶ ἧττον πέφυκεν εἶναι. Ἑτέρου γὰρ ἕτερον, μᾶλλον καὶ ἧττον ὅμοιον καὶ ἀνόμοιον καὶ ἄνισόν ἐστί τε καὶ λέγεται.

θ'. Οὐ διδόασι δ' αὐτοῖς ἐναντίωσιν, ἵνα μὴ, ἐπεὶ τὸ αὐτὸ πρὸς ἄλλο καὶ ἄλλο λαμβανόμενον εὑρίσκεται ἴσον καὶ ἄνισον, ὅμοιόν τε καὶ ἀνόμοιον, διὰ B τοῦτο καὶ τἀναντία ὁμοῦ ἐπιδέχηται τὸ αὐτό.

ι'. Εἰ δὲ τὸ ἄνισον ἴδιον ὂν τοῦ ποσοῦ, τὸ μᾶλλον καὶ ἧττον ἔφαμεν ἐπιδέχεσθαι, διαπορεῖσθαι οὐ χρή. Τὸ μὲν γὰρ ποσὸν, ᾗ ποσὸν, οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον. Τὸ δὲ συμβεβηκὸς τῷ ποσῷ τὸ μᾶλλον ἐπιδέξαιτο καὶ τὸ ἧττον· οὐ καθὸ ποσὸν, ἀλλὰ καθὸ ποιόν.

ια'. Πάλιν εἰ τῶν πρός τι εὑρίσκονται ἀρετὴ καὶ ἐπιστήμη ποιότητές οὖσαι, δέον ἀναλογίζεσθαι, ὡς τὸ αὐτὸ κατ' ἄλλον καὶ ἄλλον λόγον, ὑπ' ἄλλην καὶ ἄλλην τάττεσθαι κατηγορίαν, οὐκ ἀπεικός. Ἐπιστήμη τοίνυν καὶ ἀρετὴ, ὡς μὲν ποιοὺς παρεχόμεναι, ποιότητές εἰσιν· ὅτι δὲ πρὸς ἕτερον σχέσιν ἐμφαίνουσι, τοῖς πρός τι συνάγονται. C Καὶ γὰρ ἐπιστήμη ἐπιστητοῦ ἐπιστήμη· καὶ ἀρετὴ σπουδαίου ἀρετή·

ιβ'. Πάντα δὲ τὰ πρός τι πρὸς ἀντιστρέφοντα λέγεται, ἀπὸ τοῦ αὐτοῦ ἀρχόμενα πράγματος, καὶ εἰς τὸ αὐτὸ καταλήγοντα, κἂν ἐνίοτε τῇ προφορᾷ τῆς λέξεως διαλλάττωσιν· ὡς ὁ φίλος φίλου φίλος· καὶ τὸ δῶρον παρὰ τοῦ δωρουμένου δωρεῖται.

ιγ'. Χρὴ δὲ πρὸς ὃ λέγεται κατὰ φύσιν τὸ πρᾶγμα, πρὸς τοῦτο ποιεῖσθαι καὶ τὴν ἀπόδοσιν, κἂν μὴ εἴη ὄνομα κείμενον, ἀπὸ τοῦ πρωτοτύπου παρονομάζειν τὸ δεύτερον. Ἰδοὺ γὰρ (ὁ) ὄρνις ἔχει πτερὸν, ἀλλ' οὐχ ᾗ ὄρνις ἔχει πτερὸν, ἀλλ' ᾗ πτερωτόν. Τῶν γὰρ πτερωτῶν τὰ μὲν ἐστιν ὑμενόπτερα, ὡς αἱ μέλισσαι· τὰ δὲ κουλεόπτερα, ὡς οἱ κάνθαροι· τὰ δὲ σαρκόπτερα, D ὡς αἱ νυκτερίδες· τὰ δὲ σχιζόπτερα, ὡς οἱ ὄρνιθες. Οὐ πᾶν τοίνυν τὸ ἔχον πτερὸν ἤδη καὶ ὄρνις, ἀλλὰ πτερωτόν. Οὕτω γοῦν ἀποδοτέον· τὸ πτερὸν πτερωτοῦ πτερὸν καὶ τὸ πτερωτὸν πτερῷ πτερωτόν. Πάλιν ἐπείπερ οὐ πάντα τὰ πλοῖα πηδάλιον ἔχει (τὰ γὰρ ἀκάτια κώπαις ἐρέττονται, ἅμα δὴ καὶ ἰθύνονται)· τὸ πηδάλιον οὐκ ἀποδοτέον πρὸς τὸ πλοῖον, ἀλλὰ πρὸς τὸ πηδαλιωτόν· ἵνα γένηται καλῶς ἡ ἀντιστροφή· τὸ γὰρ πηδάλιον, πηδαλιωτοῦ πηδάλιον· καὶ τὸ πηδαλιωτὸν, πηδαλίου πηδαλιωτόν.

ιδ'. Δῆλον οὖν ἐκ τούτων ὅτι μὴ γινομένης οἰ-

at magis et minus non est in ea. Neque enim universali scientia magis scientia fuerit. Idemque etiam de virtute universali judicium est. Imperfectorum enim est magis et minus, non perfectorum et supremorum.

7. Sed nec etiam æquale magis et minus suscipiendi facultatem habet; æquale enim definitum est. At magis et minus secundum infinitionem materiæ subsistit.

8. Sed inæquale et dissimile et simile, magis et minus suscipiendi vim naturalem habent. Aliud enim alio magis et minus simile et dissimile et inæquale est atque dicitur.

9. Non attribuunt autem ipsis contrarietatem, ut ne **218** quandoquidem idem ad aliud atque aliud acceptum, æquale et inæquale, simile et dissimile deprehenditur, propterea etiam idem contraria simul suscipiat.

10. Etsi vero inæquale quod quanti est proprium magis et minus diximus suscipere, tamen hoc in controversiam et dubium non est vocandum. Quantum enim qua quantum non suscipit magis et minus. Quod autem quanto accidit magis et minus suscipiet; non quatenus quantum sed quatenus quale.

11. Rursus si virtus et scientia cum sint qualitates e numero eorum quæ sunt ad aliquid esse deprehenduntur, recordari oportet, quod idem secundum aliam atque aliam rationem sub aliud et aliud prædicamentum poni non est inconsentaneum. Scientia igitur et virtus ut quidem quales reddunt, qualitates sunt: quod autem habitudinem ad aliud præ se ferunt, ad ea quæ sunt ad aliquid colliguntur. Scientia enim scibilis est scientia, et virtus viri boni virtus est.

12. Omnia porro quæ sunt ad aliquid ad convertentia dicuntur (seu reciprocantur); ab eadem re incipientia et in eamdem desinentia, tametsi nonnunquam **219** prolatione dictionis varient: ut amicus amici amicus, et donum a donante donatur.

13. Oportet autem ad quod secundum naturam res dicitur, ad id redditionem præstare, etsi nomen positum non fuerit, a primigenio denominare alterum. Ecce enim avis habet alam, sed non qua avis habet alam, verum qua alatum est (quippiam). Alatorum enim quædam habent alas pelliceas, ut apes quædam pennarum tutelæ crustam habent inductam, ut scarabæi; quædam carneas habent alas, ut noctuæ (et vespertiliones): quædam alas fissas habent, ut aves. Non igitur omne quod habet alam, illico etiam avis est, sed alatum. Sic proinde reddendum est; ala alati ala est; et alatum ala alatum est. Rursus quandoquidem non omnia navigia clavum habent (acatia enim seu navigia actuaria remis aguntur juxta et diriguntur), clavus non ad navigium reddendus est, sed ad clavatum, ut recta fiat controversia. Etenim clavus clavati clavus est, et clavatum est clavo clavatum.

14. Ex his igitur manifestum est, si redditio non

OCR ABK / FR

fiat convenienter, quod nec in illis quæ omnium A consensu reciprocantur **220** et nomina habent posita, conversio fiat. Si quis enim servum, hominis servum dixerit et non domini, conversionem efficere non poterit. Verum enim quidem est etiam hoc, servum hominis esse servum, sed non qua homo habet aliquis servum, sed qua dominus; alioquin omnes homines haberent servos.

15. Etsi vero clavus et ala cum sint substantiæ ad aliquid sumuntur, non tamen quatenus substantiæ sunt ad aliquid, sed quatenus habitudine mutua sunt prædita.

16. Nam et pars cum habitudine sit prædita ad totum, pars totius dicitur; et totum in partibus totum. Et genera substantiarum atque species secundum habitudinis rationem dicuntur. Genus enim B speciei genus, et species generis species est.

17. Præterea quæ sunt ad aliquid simul natura sunt. Unde et se tollunt mutuo et coinferuntur. Si enim non sit filius nec pater erit; sin autem filius sit, utique et pater erit: et rursus si pater quidem sit, et filius erit; sin autem pater non sit, nec filius erit.

18. Cum enim defuncti filium dicimus, secundum relationem eam quando adhuc vivebat pronuntiamus, aut etiam **221** quod mortuus non perierit. Quare ea quæ sunt ad aliquid et se tollunt mutuo et simul exsistunt.

19. At vero τὸ simul exsistere et se mutuo tollere in iis quæ sunt ad aliquid quoad habitudinem accipiendum est, non quoad substantiam. In quo enim C iis quæ sunt ad aliquid τὸ exsistere convenit, in hoc τὸ simul exsistere et se mutuo tollere.

20. Rursus exsistente scientia scibile est, et sensu sensibile; scientia autem non exsistente et sensu, etiam scibile et sensibile sublatum est, et vice versa.

21. Etsi autem generatione sunt priora scibilia et sensibilia (ipsa) scientia et sensu, non tamen quatenus scibilia sunt et sensibilia: quemadmodum neque pater qua pater filio est antiquior, tametsi prior sit tempore. Antequam enim generavit filium, non erat pater: quando autem generavit filium, tunc incepit ut esset pater. Sic etiam res se habet in scibilibus et sensibilibus.

22. Præterea quæ sunt ad aliquid aut in firmis D (seu subsistentibus) per se sive substantiis habitudinem obtinent, aut in non firmis per se, quæ sunt accidentia. Si proinde quidem in firmis per se, aut naturalem obtinent **222** habitudinem, ut pater et filius, aut non naturalem. Si non naturalem aut fortuitam, ut servus et dominus; aut artificialem, ut discipulus et doctor; aut electitiam, ut amicus et amicus. Sin in non firmis per se aut naturalem aut duplum et dimidium; aut non naturalem, ut magnum et parvum. Hoc enim fortunæ magis quam naturæ est. Ars enim et electio in non firmis per se locum non habent, nisi forte conspiciatur aliquid

κείως τῆς ἀποδόσεως οὐδὲ ἐπὶ τῶν ὁμολογουμένως λεγομένων πρὸς ἀντιστρέφοντα καὶ ἐχόντων ὀνόματα κείμενα γένοιτ' ἂν ἡ ἀντιστροφή. Ἂν γὰρ τὸν δοῦλον ἀνθρώπου δοῦλον εἴποι τις, καὶ οὐ δεσπότου, ποιῆσαι ἀντιστροφὴν οὐκ ἂν δύναιτο. Ἀληθὲς μὲν γὰρ καὶ τὸ τὸν δοῦλον ἀνθρώπου εἶναι δοῦλον, ἀλλ' οὐχ ᾗ ἄνθρωπος ἔχει τις δοῦλον, ἀλλ' ᾗ δεσπότης· ἢ γὰρ ἂν δούλους εἶχον ἅπαντες ἄνθρωποι.

ιε'. Εἰ δὲ τὸ πηδάλιον καὶ τὸ πτερὸν, οὐσίαι ὄντα, πρός τι λαμβάνονται· οὐ καθὸ οὐσίαι γίνονται πρός τι, ἀλλὰ καθὸ σχέσιν ἔχει πρὸς ἄλληλα.

ιϛ'. Καὶ τὸ μέρος γὰρ σχέσιν ἔχον πρὸς τὸ ὅλον, μέρος ὅρου λέγεται· καὶ τὸ ὅλον ἐν μέρεσιν ὅλον. Καὶ τὰ γένη τῶν οὐσιῶν καὶ τὰ εἴδη κατὰ τὸν τῆς σχέσεως λέγεται λόγον. Τὸ γὰρ γένος εἴδους γένος· καὶ τὸ εἶδος γένους εἶδος.

ιζ'. Ἔτι τὰ πρός τι ἅμα τῇ φύσει ἐστίν. Ὅθεν καὶ συναναιροῦσι καὶ συνεισφέρονται. Υἱοῦ γὰρ μὴ ὄντος, οὐκ ἔσται πατήρ· ὄντος δὲ υἱοῦ, ἔσται δὴ καὶ πατήρ· καὶ πάλιν πατρὸς μὲν ὄντος, καὶ υἱὸς ἔσται· μὴ ὄντος δὲ πατρὸς, οὐκ ἔσται υἱός.

ιη'. Εἰ γὰρ λέγομεν υἱὸν τοῦ τετελευτηκότος, κατ' ἀναφορὰν τὴν ὅτ' ἔζη τοῦτό φαμεν· ἢ καὶ ὅτι θανὼν οὐκ ἀπώλετο. Ὥστε τὰ πρός τι καὶ συναιροῦσι καὶ συνυπάρχουσι.

ιθ'. Τὸ συνυπάρχειν δὲ καὶ συναναιρεῖν ἐπὶ τῶν πρός τι κατὰ σχέσιν ἐκληπτέον, οὐ κατ' οὐσίαν. Ἐν ᾧ γάρ ἐστι τοῖς πρός τι τὸ ὑπάρχειν, ἐν τούτῳ καὶ τὸ συνυπάρχειν καὶ τὸ συναναιρεῖν.

κ'. Πάλιν ἐπιστήμης οὔσης, ἔστιν ἐπιστητόν· καὶ αἰσθήσεως, αἰσθητόν· ἐπιστήμης δὲ μὴ οὔσης καὶ αἰσθήσεως, ἀνῄρηται καὶ τὸ ἐπιστητὸν καὶ τὸ αἰσθητόν· καὶ ἀνάπαλιν.

κα'. Εἰ δὲ καὶ προγενέστερα τὰ ἐπιστητὰ καὶ τὰ αἰσθητὰ τῆς ἐπιστήμης καὶ τῆς αἰσθήσεως, ἀλλ' οὐ καθὸ ἐπιστητὰ καὶ αἰσθητά. Ὥσπερ οὐδ' ὁ πατὴρ, ᾗ πατὴρ, πρεσβύτερός ἐστι τοῦ υἱοῦ, κἂν τῷ χρόνῳ πρότερος εἴη· πρὸ τοῦ γεννῆσαι γὰρ υἱὸν οὐκ ἦν πατήρ· ὅτε δὲ γεγέννηκεν υἱὸν, τότε ἤρξατο τοῦ εἶναι πατήρ· οὕτως ἔχει κἀπὶ τῶν ἐπιστητῶν τε καὶ αἰσθητῶν.

κβ'. Ἔτι τὰ πρός τι, ἢ ἐν τοῖς αὐθεδράστοις ἤτοι ταῖς οὐσίαις ἔχει τὴν σχέσιν ἢ οὐκ ἐν τοῖς αὐθεδράστοις, ἅπερ ἐστὶ τὰ συμβεβηκότα. Εἰ μὲν οὖν ἐν τοῖς αὐθεδράστοις, ἢ φυσικὴν ἔχει τὴν σχέσιν, ὡς πατὴρ καὶ υἱός· ἢ οὐ φυσικήν. Εἰ δ' οὐ φυσικὴν, ἢ τυχικὴν, ὡς δοῦλος καὶ δεσπότης· ἢ τεχνικὴν, ὡς μαθητὴς καὶ διδάσκαλος· ἢ προαιρετικὴν, ὡς φίλος καὶ φίλος. Εἰ δ' οὐκ ἐν τοῖς αὐθεδράστοις, ἢ φυσικὴν, ὡς διπλάσιον καὶ ἥμισυ· ἢ οὐ φυσικὴν, ὡς μέγα καὶ μικρόν. Τοῦτο γὰρ τύχης μᾶλλον ἢ φύσεως· Τέχνη δὲ καὶ προαίρεσις ἐν τοῖς οὐκ αὐθεδράστοις χώραν οὐκ ἔχουσιν. Εἰ μή τί που φανείη πρὸς ἄλλο τὴν ἀναφορὰν ἔχον, αὐθέδραστον, καὶ κατὰ συμβε-

OCR ABK / FR

ὄγκὸς ἴσως λεγόμενον. Ἀλλ' ἐν τοῖς εἰρημένοις μὲν ἅπαντα τὰ πρός τι συνάγεται.

κγ'. Πλατύτερον δέ τινες καὶ σαφέστερον, εἰς εἴδη δέκα διαιροῦσι τὰ πρός τι· ταυτότητα, ἀνισότητα, γένεσιν, μέθεξιν, ὕφεσιν, πεῖσιν, κρίσιν, θέσιν, ἀσυμμετρίαν, καὶ τὴν πρὸς τὸ γένος ἀναφοράν.

κδ'. Ταυτότης μὲν οὖν ἐστιν, ὅταν πρὸς συνώνυμον ἡ κρίσις γένηται· ὡς ὁ φίλος φίλου φίλος, καὶ ὁ ἐχθρὸς ἐχθροῦ ἐχθρὸς, καὶ τὸ ἴσον ἴσῳ ἴσον· καὶ τὸ ὅμοιον ὁμοίῳ ὅμοιον. Ἀνισότης, ὡς τὸ μεῖζον, τὸ διπλάσιον, τὸ πολλαπλάσιον. Γένεσις, ὡς πατὴρ. υἱός. Μέθεξις, ὡς τὸ μετέχον καὶ μετεχόμενον. Ὕφεσις, ὡς δοῦλος καὶ μαθητής. Πεῖσις ὡς τυπτόμενος, καιόμενος. Κρίσις, ὡς μέτρον, αἴσθησις, ἐπιστήμη· κρίνει γὰρ καὶ ἡ ἐπιστήμη τὸ ἐπιστητὸν, καὶ ἡ αἴσθησις τὸ αἰσθητὸν, καὶ πᾶσα γνῶσις τὸ γνωστὸν, καὶ τὸ μέτρον τὸ μετρητόν· καὶ τὰ ὅμοια τούτοις ὡς κρίνοντά ἐστι πρὸς κρινόμενα. Θέσις, ὡς δεξιὸν, ἀριστερὸν, καθέδρα, στάσις, ἀνάκλισις. Ταῦτα πάντα πρὸς ἀντιστρέφοντα λέγεται· ἀσυμμετρία, ἤτοι ἀδυναμία, οἷον τὸ ἀδύνατον ὑφ' ἡμῶν ὁρᾶσθαι, τοῦτο καὶ ἡμεῖς ἀδυνατοῦμεν ὁρᾷν, ὡς τὴν ἄναστρον σφαῖραν, τὸ ἐν βυθῷ ὄστρακον, τὸν ἀέρα ὡς ἀχρωμάτιστον. Ἡ πρὸς τὸ γένος ἀναφορά· ὡς ὅταν ἡ γεωμετρία λέγοιτο πρός τι, κατὰ τὴν πρὸς τὴν ἐπιστήμην ἀναφοράν. Ἐπιστήμη γὰρ ἐπιστήμη, καὶ τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐπιστητόν.

A ad aliud relationem habens, quod per se firmum et per accidens forte dicitur. Sed in his quidem omnia quæ sunt ad aliquid colliguntur.

23. Latius autem aliqui et manifestius in decem species dividunt ea quæ sunt ad aliquid, identitatem, inæqualitatem, generationem, participationem, submissionem, passionem, judicium, positionem, asymmetriam seu incommensurabilitatem, et ad genus relationem.

24. Identitas proinde quidem est, cum ad univocum fit collatio, ut amicus amici amicus, et inimicus inimici inimicus; et æquale æquali æquale, et simile simili simile. Inæqualitas, ut majus, duplum, multiplex. Generatio, ut pater, **223** filius. Participatio, ut participans et quod participatur.
B Submissio, ut servus, discipulus. Passio, ut verberatus, ustus. Judicium, ut mensura, sensus, scientia. Judicat enim scientia scibile, et sensus sensibile, et omnis notitia noscibile; et mensura mensuratum; et his similia ut judicantia sunt ad ea quæ judicantur. Positio ut dextrum, sinistrum, sessio, statio, reclinatio. Hæc omnia ad convertentia dicuntur (seu reciprocantur). Asymmetria sive impotentia, velut quod impossibile est a nobis videri, hoc etiam non possumus videre, ut sphæram astris carentem, ostream in profundo, aerem veluti coloris expertem. Relatio ad genus, ut cum geometria dicitur ad aliquid secundum relationem, quam habet ad scientiam. Scientia enim scibilis est scientia, et scibile scientia est scibile.

Σχῆμα κεφαλ. κγ', περὶ τῶν πρός τι.

Τῶν πρός τι φέρεται
- τὰ μὲν πρὸς γενικὴν, ὡς πατὴρ υἱοῦ πατήρ·
- τὰ δὲ πρὸς δοτικὴν, ὡς τὸ ἴσον ἴσῳ ἴσον.
- τὰ δὲ πρὸς γενικὴν ὁμοῦ καὶ δοτικὴν, ὡς τὸ ὑπερέχον ὑπερεχομένου ὑπερέχει, καὶ τὸ ὑπερεχόμενον ὑπερέχοντι ὑπερέχεται·
- τὰ δὲ μετὰ προθέσεως, ὡς τὸ μέγα πρὸς μικρὸν μέγα.
- τὰ δὲ καὶ μετά τινος περὶ τὴν λέξιν ὑπαλλαγῆς, ὡς ὁ τέμνων τεμνόμενον τέμνει, καὶ τὸ τεμνόμενον ὑπὸ τέμνοντος τέμνεται.

Τὰ πρός τι ἔχει σχέσιν
- ἢ ἐν τοῖς αὐθεδράστοις, ἤτοι ταῖς οὐσίαις
  - φυσικὴν, ὡς πατὴρ καὶ υἱός·
  - τυχικὴν, ὡς δοῦλος καὶ δεσπότης
  - τεχνικὴν, ὡς μαθητὴς καὶ διδάσκαλος·
  - προαιρετικὴν, ὡς φίλος καὶ φίλος.
- ἢ οὐκ ἐν τοῖς αὐθεδράστοις, ἤτοι συμβεβηκόσι.
  - φυσικὴν, ὡς διδάσκαλος καὶ ἥμισυ·
  - τυχικὴν, ὡς μέγα καὶ μικρόν.

Ἔτι τῶν πρός τι
- ταυτότης,
- ἀνισότης,
- γένεσις,
- μέθεξις,
- ὕφεσις,
- πεῖσις,
- κρίσις,
- θέσις,
- ἀσυμμετρία,
- καὶ πρὸς τὸ γένος ἀναφορά.

OCR ABK / FR

**224** *Tabula capitis 23, de his quæ sunt ad aliquid.*

Eorum quæ sunt ad aliquid, referuntur
- alia quidem ad casum genitivum, ut pater filii est pater,
- alia vero ad dativum, ut æquale æquali æquale,
- alia ad genitivum simul et dativum (in Græco, sed in Latino ad accusativum et ablativum) : ut exsuperans exsuperatum exsuperat, et exsuperatum exsuperante exsuperatur,
- alia cum præpositione, ut magnum ad parvum magnum,
- alia denique cum aliqua circa dictionem mutatione, ut secans id quod secatur secat ; et quod secatur a secante secatur (in Græco posterius membrum exempli manifestius est).

**225** Quæ sunt ad aliquid, obtinent habitudinem
- aut in firmis per se hoc, est substantiis (aut) :
  - naturalem, ut pater et filius,
  - fortuitam, ut servus et dominus,
  - artificialem, ut discipulus et doctor,
  - electitiam, ut amicus et amicus.
- aut in non firmis per se, hoc est, accidentibus (aut) :
  - naturalem, ut duplum et dimidium,
  - fortuitam, ut magnum ad parvum.

Præterea eorum quæ sunt ad aliquid (aliud est)
- identitas,
- inæqualitas,
- generatio,
- participatio,
- submissio,
- passio,
- judicium,
- positio,
- asymmetria seu incommensurabilitas,
- ad genus relatio.

---

## 226 SYNOPSIS CAPITIS XXIV.

QUOD EST DE FACERE, PATI ET HABERE.

1. *Quid facere et pati et quatenus differant.* — 2. *Admonitio seu regula quomodo judicandum quid sit facere et pati, nimirum non ex figura dictionis, sed ex ipsa significatione, et quare hoc ipsum ita faciendum.* — 3. Τὸ *facere dividitur trifariam.* — 4. *Contemplari tribus modis dicitur.* — 5. *Universa contemplationis functio quomodo procedat.* — 6. *Æquivocum generi facere et creare significat, et de artibus etiam accipitur quæ ad vitam conducibilia comparant.* — 7. *Agere,* τὸ πράττειν, *de quibus dicatur.* — 8. *Quæ aliquibus sint factivæ seu effectivæ et quæ activæ artes.* — 9. *Facere et pati etiam in inanimatis consideratur.* — 10. *Pati duplex est, corruptivum et perfectivum,* — 11. *Occupatio, quomodo* τὸ *facere et pati constituant diversa prædicamenta, cum tamen ad se invicem referri videantur.* — 12. *Secunda occupatio in observationem desinens.* — 13. *Tertia occupatio, quod facere et pati inter se non sint contraria, quanquam utrumque seorsim et contrarium recipit et magis minusque.* — 14. *Vocem habere æquivocam distinguit : quippe quæ et prædicamentum significat, et alia etiam quorum octo recenset, sed duo tantum, tertium et quartum ad hoc prædicamentum referri possunt.* — 15. *Habere prædicamentale definit.* — 16. *Ostendit quid eo contineatur.* — 17. *Quid non contineatur eo.* — **227** 18. *Habere et possidere quomodo ex Platonis sententia differant.* — 19. *Dividit ea quæ sic haberi dicuntur, a tempore.* — 20. *Quæ belli tempore habentur, ea subdividit a modo et iterum hæc nova divisione ab effectu dispescit.* — 21. *Quæ pacis tempore habentur, subdividit ab usu et posterius membrum ulterius a subjecto subdividit.* — 22. *Quæ pacis tempore habentur rursus ab accidente subdividit.* — 23. *Habere prædicamentale convenire proprie tantum illis quæ eligunt, id est, hominibus, nec etiam proprie inanimatis.* — 24. *Huic habere quæ privatio opponatur.* — 25. *Conclusio capitis cum occupatione, ceu de cæteris prædicamentis quando, ubi et situm esse nihil hic disserat.*

---

A

## CAPUT XXIV.

*De facere, pati et habere.*

1. Facere est operari circa aliquid : pati autem est ab alio alterari. Agere quidem igitur in seipso habet causam: pati vero cum in seipso, tum in alio. In seipso quidem quod aptum natum est, ut alterari possit ; in alio vero, quod ab aliquo alteratur.

2. Non autem ad solam figuram quid agere quidque pati sit, sed ad res ipsas potius respiciendo, ita nos judicare oportet. Quædam enim quidem et re et figuratione dictionis habent agere, ut sanare, quædam autem dictionis quidem figura sunt activa, dum activo proferuntur ; **228** reipsa autem passiva. Quale est τὸ mœrere et τὸ πάσχειν (susti-

## ΚΕΦΑΛ. ΚΔ'.

Περὶ τοῦ ποιεῖν καὶ πάσχειν καὶ ἔχειν.

α'. Ποιεῖν ἐστι τὸ δρᾷν περί τι· πάσχειν δὲ τὸ ὑφ' ἑτέρου ἀλλοιοῦσθαι. Τὸ μὲν οὖν ποιεῖν ἐν ἑαυτῷ τὴν αἰτίαν ἔχει· τὸ δὲ πάσχειν ἐν ἑαυτῷ τε καὶ ἐν ἄλλῳ· ἐν ἑαυτῷ μὲν, τῷ πεφυκέναι ἀλλοιοῦσθαι· ἐν ἄλλῳ δὲ, τῷ ὑπό τινος ἀλλοιοῦσθαι.

β'. Δεῖ δὲ μὴ ἀφορῶντας εἰς μόνον τὸ σχῆμα τῆς λέξεως, οὕτω κρίνειν, τί ἐστι ποιεῖν καὶ τί ἐστι πάσχειν· ἀλλ' εἰς αὐτὰ τὰ πράγματα μᾶλλον. Τινὰ μὲν γὰρ καὶ τῷ πράγματι καὶ τῷ σχηματισμῷ τῆς λέξεως ἔχουσι τὸ ποιεῖν, ὡς τὸ ἰατρεύειν· τινὰ δὲ τῷ μὲν τῆς λέξεως σχήματι ποιητικά ἐστιν ἐνεργητικῶς προφερόμενα, τῷ πράγματι δὲ παθητικά.

OCR ABK / FR

A Τοιοῦτόν ἐστι τὸ ἀδημονεῖν, καὶ αὐτὸ τὸ πάσχειν πάθος δηλοῦντα, κἂν ἐνέργειαν τῇ προφορᾷ σχηματίζωνται. Τινὰ δὲ παθητικῶς προαγόμενα, παριστῶσιν ἐνέργειαν· οἷον τὸ ἔρχεσθαι καὶ (τὸ) ἀγωνίζεσθαι.

γ'. Διαιρεῖται δὲ τὸ ποιεῖν εἴς τε τὸ θεωρεῖν, καὶ εἰς τὸ ὁμώνυμον τῷ γένει ποιεῖν, καὶ εἰς τὸ πράττειν.

δ'. Τὸ μὲν οὖν θεωρεῖν ἢ περὶ τὴν τῶν νοητῶν καὶ ἀμερίστων οὐσιῶν ἐπίσκεψιν νοήσεσιν ἁπλαῖς ἐνεργεῖ, ὅπερ ἐστὶ καὶ κυρίως θεωρεῖν· ἔργον δὲ τοῦτο μόνου νοός· ἢ περὶ τὰ ἀκίνητα μαθηματικὰ ποιεῖται διανόησιν· οἷόν ἐστι τὸ γεωμετρεῖν ὡρισμέναις μὲν, οὐ μὴν ἁπλαῖς ἔτι χρώμενον ταῖς ἐπιβολαῖς, ἀλλὰ συνθέτοις καὶ κατὰ διέξοδον, οἷαί εἰσιν αἱ τῆς καθαρᾶς διανοίας ἐνέργειαι. B Ἢ περὶ τὰς ἀεικινήτους αἰσθητὰς οὐσίας ποιεῖται τὴν θεωρίαν αἰσθήσει μετὰ λογισμοῦ χρώμενον. Οἷόν ἐστι τὸ ἀστρονομεῖν συμφώνους τοῖς φαινομένοις τοὺς λόγους ἐπιδεικνύμενον.

ε'. Καὶ οὕτως ἡ ὅλη τῆς θεωρίας ἐνέργεια ἄνωθεν ἀπὸ τῶν καθαρῶν νοήσεων ἐπὶ τοὺς μετ' αἰσθήσεως λογισμοὺς προχωρεῖ. Τὸ μὲν οὖν θεωρεῖν οὕτως ἔχον ἐστί.

ϛ'. Τὸ δ' ὁμωνυμοῦν τῷ γένει ποιεῖν, ἐν τῷ τὰ μηδέ που εἶναι μετέχοντα, εἰς τὸ εἶναι ἄγειν ὑφέστηκε. Τοῦτο δὲ κυρίως καὶ ἀληθῶς, ἐν μόνῳ τῷ Θεῷ ἐστι τῷ πάντα τὰ ὄντα ἐκ μὴ ὄντων παραγαγόντι τὸ πρῶτον, καὶ αὖθις ἐξ ὄντων τὰ μὴ ὄντα C παράγοντι. Λέγονται δὲ καὶ αἱ τέχναι ποιεῖν τὰ χρήσιμα πρὸς τὴν αὐτάρκειαν τοῦ βίου παρασκευάζουσαι.

ζ'. Τὸ δὲ πράττειν ἐπὶ τοῦ προαιρεῖσθαι καὶ βουλεύεσθαι καὶ δογματίζειν καὶ τῶν ὁμοίων λαμβάνεται.

η'. Τινὲς δὲ ποιητικὰς μὲν λέγουσι τέχνας ὧν τὰ ἀποτελέσματα παραμένει μετὰ τὴν ποίησιν· ὡς ἔχει ἡ οἰκοδομικὴ καὶ ναυπηγική· πρακτικὰς δὲ, ὧν τὰ ἀποτελέσματα ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχοντα, οὐ παραμένει· ὡς ἐπὶ τῆς αὐλητικῆς ἔστιν ὁρᾷν καὶ ὀρχηστικῆς.

θ'. Θεωρεῖται δὲ καὶ ἐν ἀψύχοις τὸ ποιεῖν, ὥσπερ δὴ καὶ τὸ πάσχειν. οἷον τὸ πῦρ θερμαίνει, καὶ ὁ D κρύσταλλος ψύχει, καὶ τὸ ξύλον τέμνεται, καὶ ὁ λίθος θερμαίνεται, καὶ αὖθις ψύχεται.

ι'. Τοῦ πάσχειν δὲ τὸ μὲν ἔστι φθαρτικὸν, ὡς τὸ καίεσθαι, τὸ δὲ τελειωτικὸν, ὡς τὸ μανθάνειν καὶ γινώσκειν καὶ αἰσθάνεσθαι.

ια'. Εἰ δὲ τὸ ποιεῖν καὶ πάσχειν σχέσιν ἔχει πρὸς ἄλληλα, ὡς τὸ θερμαίνειν καὶ τὸ θερμαίνεσθαι· ἀλλ' ἕκαστον χρὴ, καθὸ λέγεσθαι, κατὰ τοῦτο καὶ ἀνάγειν ἐπὶ (τὸ) γένος. Ἔστι τοίνυν καὶ τὸ ποιεῖν καθ' αὑτὸ κεχωρισμένον τῶν πρός τι, καὶ τὸ πάσχειν ὡσαύτως. Καθάπερ δ' ἐν δ' οὐσίᾳ τὸ πρός τι ἐφαίνετο, κατὰ τὸ πατὴρ καὶ υἱὸς κἂν τῷ ποσῷ κατὰ τὸ

nere) quæ passionem denotant, tametsi operationem prolatione figurent. Quædam denique cum passive proferantur, actionem repræsentant, ut ingredi et præliari.

3. Jam vero τὸ facere et in contemplari et in æquivocum generi facere et in agere dividitur.

4. Contemplari proinde quidem vel de intelligibilibus et indivisibilibus substantiis considerationem præstat simplicibus intellectionibus, quod etiam proprie est contemplari (hoc autem solius mentis munus est), vel circa immobilia mathematica commentationem obit, velut est geometram agere; definitis quidem sed non amplius simplicibus utens applicationibus, verum compositis et secundum transitum ab uno ad aliud quales sunt actus puræ dianœæ; vel circa semper mobiles et sensibiles substantias contemplatione defungitur sensu cum ratiocinatione utens; velut est astronomum agere consentientibus phænomena seu apparentias rationibus commonstrans.

5. Atque ita tota contemplationis functio superne a puris intellectionibus ad ratiocinationes **229** cum sensu junctas procedit; τὸ contemplari igitur ita se habet.

6. Quod autem generi æquivocum est facere, in hoc quod est in esse deducere ea quæ esse prorsus non habuerunt, consistit. Hoc autem proprie et vere in solo Deo est, qui omnia entia ex non entibus produxit primum, et iterum ex entibus (in) non entia reducit. Dicuntur quin etiam artes facere cum utilia ad sufficientiam vitæ comparant.

7. At τὸ agere de (iis quæ sunt) eligere et consultare et statuere et similibus accipitur.

8. Factivas porro quidem artes dicunt, quarum apotelesmata seu effecta post effectionem permanent, quomodo ædificandarum domorum et navium fabricandarum ars se habet. Activas autem artes vocant quarum apotelesmata seu effecta cum in eo quod fiunt suum esse habeant, non permanent: ut in modulandi et saltandi artibus videre est.

9. Consideratur præterea τὸ facere etiam in inanimatis, quemadmodum sane etiam τὸ pati; velut ignis calefacit et crystallus frigefacit, et lignum secatur, et lapis calefit, iterumque refrigeratur.

**230** 10. Ejus autem quod est pati aliud est corruptivum, ut uri; aliud perfectivum, ut discere, cognoscere et sentire.

11. Etsi autem facere et pati habent ad se invicem habitudinem, ut calefacere et calefieri; unumquodque tamen quatenus dicitur, catenus etiam ad genus reducere oportet. Est igitur et facere per se, separatum ab illis quæ sunt ad aliquid; et pati similiter. Quemadmodum autem ipsum ad aliquid in substantia spectabatur, secundum id quod pater

OCR ABK / FR

et filius; et in quanto, æquale et inæquale; et in quali, simile et dissimile; ita sane etiam in τὸ agere et pati.

12. Nec quidquam est absurdi, unum idemque duobus prædicamentis subjici, cum et quoad subsistentiam per se habet, et quoad habitudinem ad aliud consideratur.

13. Sed neque etiam contrarietatem habent ad se invicem τὸ agere et pati, tametsi oppositis utantur vocibus. Contrarietatem tamen et magis minusque quodvis eorum suscipit (calefacere enim contrarium est τῷ refrigerare), contingitque magis et minus calefacere. Et iterum calefieri contrarium est τῷ refrigerari; et fieri potest ut magis aliquid calefiat, et **231** minus calefiat. At vero τὸ calefacere τῷ calefieri non est contrarium; neque τὸ frigefacere τῷ frigefieri. Et in aliis eodem modo res se habet. Atque de agere et pati tantum sit dictum.

14. Habere autem simpliciter dictum vox est æquivoca. Continet enim et ipsum prædicamentum, et vero etiam alia declarat. Dicitur enim habere, ut habitum et dispositionem, vel aliam aliquam qualitatem. Ita dicimus habere scientiam et virtutem aut albedinem aut pallorem; ut quantum, quatenus aliquis dicitur habere magnitudinem fortassis aut quinque cubitorum ea quæ circa corpus sunt, velut vestimentum aut tunicam: aut in parte velut habere pedes et manus et caput; et in vase, quemadmodum medimnus dicitur habere frumenta et aquam amphora; ut possessionem; dicimus enim domum aut agrum habere. Dicitur etiam vir habere uxorem et uxor virum. Sed hic habendi modus maxime alienus esse videtur. Neque enim hic habere aliud quam cohabitari declarat. Et hæc quidem de æquivoca voce habere.

15. Unde philosophi prædicamentum habere ab aliis significatis **232** dividentes, ita dicunt. Habere est substantiæ ad substantiam circumpositio.

16. Si quod igitur corpus acquisitum, ut alterum alteri circumjacet, omne hoc habendi prædicamento comprehendunt.

17. Quare nec possessiones, seu opes, aut mancipia, aut amicos, aut patres aut filios, aut partes corporis quoad hoc habendi genus dicunt; quando hæc in circumpositione non sunt.

18. Huic utique τὸ habere et possidere ex Platonis sententia variant; velut si quis vestem emat et quod continens sit non gestet; possidere quidem eam, nequaquam autem habere dicetur.

19. Quæ igitur secundum habere prædicamentale habentur, aut belli aut pacis tempore habentur.

20. Et eorum quæ belli tempore habentur, alia circumjacent, alia obtinentur; et horum alia defensiva, alia offensiva sunt: defensiva, ut thorax, galea, scutum; offensiva, ut hasta, gladius, sagitta.

21. Eorum autem quæ pacis tempore habentur, alia propter ornatum et secundum diversas corporis partes habentur, ut corona, monile, annulus; alia propter tegumentum. Et horum quidem aliqua

A ἴσον καὶ ἄνισον, κἂν τῷ ποιῷ κατὰ τὸ ὅμοιον καὶ ἀνόμοιον· οὕτω δὴ κἂν τῷ ποιεῖν καὶ τῷ πάσχειν.

ιβ'. Καὶ οὐδὲν ἄτοπον τὸ αὐτὸ καὶ ἓν ὑπὸ δύο κατηγορίας τελεῖν, κατά τε τὴν καθ' αὑτὸ ὑπόστασιν, καὶ κατὰ τὴν πρὸς ἕτερον σχέσιν νοούμενον.

ιγ'. Ἀλλ' οὐδ' ἐναντίωσιν ἔχει τὸ ποιεῖν καὶ τὸ πάσχειν πρὸς ἄλληλα, κἂν ἀντιθέτοις χρῷτο φωναῖς. Ἐναντίωσιν μέντοι καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ἕκαστον (αὐτῶν) ἐπιδέχεται. Τὸ γὰρ θερμαίνειν ἐναντίον τῷ ψύχειν· καὶ μᾶλλον ἔστι θερμαίνειν καὶ ἧττον. Καὶ πάλιν τὸ θερμαίνεσθαι ἐναντίον τῷ ψύχεσθαι· καὶ μᾶλλον θερμαίνεσθαι δυνατὸν, καὶ ἧττον θερμαίνεσθαι. Τὸ δέ γε θερμαίνειν οὐκ ἠναντίωται
B τῷ θερμαίνεσθαι, οὔτε τὸ ψύχειν τῷ ψύχεσθαι· καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως. Περὶ μὲν οὖν τοῦ ποιεῖν καὶ πάσχειν ἐπὶ τοσοῦτον εἰρήσθω.

ιδ'. Τὸ δ' ἔχειν ἁπλῶς μὲν λεγόμενον ὁμώνυμος φωνή ἐστι. Περιέχει μὲν γὰρ καὶ τὴν κατηγορίαν αὐτήν· δηλοῖ δὲ καὶ ἄλλα τινά. Λέγεται γὰρ ἔχειν, ὡς ἕξιν καὶ διάθεσιν, ἢ ἄλλην τινὰ ποιότητα. Οὕτω λέγομεν ἔχειν ἐπιστήμην καὶ ἀρετὴν, ἢ λευκότητα, ἢ ὠχρότητα. Ὡς ποσὸν, καθὸ λέγεταί τις ἔχειν μέγεθος, τετράπηχυ τυχὸν ἢ πεντάπηχυ· ὡς τὰ περὶ σῶμα, οἷον ἱμάτιον ἔχειν ἢ χιτῶνα· ὡς ἐν μορίῳ, οἷον δακτύλιον ἔχειν ἐν χειρί· ὡς μέρος, οἷον πόδας ἔχειν καὶ χεῖρας καὶ κεφαλήν· ὡς ἐν ἀγγείῳ, καθάπερ ὁ μέδιμνος ἔχειν λέγεται τοὺς πυροὺς, καὶ ὁ ἀμφορεὺς τὸ ὕδωρ· ὡς κτῆμα· λέγομεν γὰρ οἰκίαν ἔχειν ἢ ἀγρόν. Λέγεται δὲ καὶ γυναῖκα ἔχειν ὁ ἀνὴρ,
C καὶ ἡ γυνὴ ἄνδρα. Οὗτος δ' ὁ τρόπος ἀλλοτριώτατος ἔοικεν εἶναι τοῦ ἔχειν· οὐδὲ γὰρ ἄλλο τὸ ἔχειν ἐνταῦθα ἢ τὸ συνοικεῖν δηλοῖ. Ταῦτα μὲν περὶ τῆς τοῦ ἔχειν ὁμωνύμου φωνῆς.

ιε'. Ὅθεν ἀποδιαιροῦντες τὴν κατηγορίαν τοῦ ἔχειν οἱ φιλόσοφοι τῶν ἄλλων σημαινομένων, οὕτω φασίν· Ἔχειν ἐστὶν οὐσίας περὶ οὐσίαν περίθεσις.

ιϛ'. Εἴ τι γοῦν σῶμα ἐπίκτητον, ὡς ἕτερον ἐν ἑτέρῳ περίκειται, πᾶν τὸ τοιοῦτον τῇ ἔχειν κατηγορίᾳ περιλαμβάνουσι.

ιζ'. Διὸ οὐδὲ κτήματα, ἢ ἀνδράποδα, ἢ φίλους, ἢ πατέρας, ἢ υἱοὺς, ἢ τὰ μέρη τοῦ σώματος, κατὰ τοῦτο τὸ γένος ἔχειν φασίν· ὅτι μηδ' ἐν περιθέσει ταῦτά ἐστιν.

ιη'. Ἔνθεν τοι καὶ τὸ ἔχειν καὶ τὸ κεκτῆσθαι
D διαλλάττουσι κατὰ Πλάτωνα· οἷον εἴ τις ἱμάτιον πριάμενος καὶ ἐγκρατὴς ὢν μὴ φοροίη, κεκτῆσθαι μὲν λεχθείη ἄν· ἔχειν δ' οὐδαμῶς.

ιθ'. Τὰ τοίνυν κατὰ τὸ κατηγορικὸν ἔχειν ἐχόμενα, ἢ κατὰ πόλεμον ἔχεται, ἢ ἐν εἰρήνῃ.

κ'. Καὶ τῶν κατὰ πόλεμον τὰ μὲν περικείμενά ἐστι, τὰ δὲ κατεχόμενα· καὶ τὰ μὲν φυλάγματα, τὰ δ' ἀμυντήρια· φυλάγματα μὲν, ὡς θώραξ, κράνος, ἀσπίς· ἀμυντήρια δὲ, ὡς δόρυ, ξίφος, τόξον.

κα'. Τῶν δ' ἐν εἰρήνῃ, τὰ μὲν διὰ κόσμον κατὰ διάφορα μέρη τοῦ σώματος ἔχεται· ὡς στέφανος, περιδέῤῥαιον, δακτύλιος, τὰ δὲ διὰ σκέπην. Καὶ τούτων τὰ μὲν περὶ τὸ πολὺ τοῦ σώματος, ὡς ἱμά-

OCR ABK / FR

τιον, τὰ δὲ περὶ μέρος, ὡς ὑποδήματα· τινὰ δὲ καὶ ὡς ὄργανα, οἷον σκέπαρνον.

κβ'. Τινὰ καὶ ἄλλως, ὡς κτήματα, ὡς ἀργύριον, ἢ ἄλλο τι, ὃ πολλάκις κατέχομεν.

κγ'. Δεῖ δὲ πᾶν τὸ κυρίως ἔχον κατὰ προαίρεσιν ἔχειν. Ὅθεν οὐδὲ κυρίως λέγοιντ' ἂν ἔχειν τὰ ἄψυχα κατὰ τὸ σημαινόμενον τῆς κατηγορικῆς τοῦ ἔχειν φωνῆς.

κδ'. Ἀντίκειται δὲ τῷ ἔχειν στέρησίς τις· ὡς λέγομεν, γυμνός, ἀνυπόδετος, ἄοπλος. Τοσαῦτα καὶ περὶ τοῦ ἔχειν.

κε. Περὶ δὲ τῶν λοιπῶν κατηγοριῶν, ὡς προδήλων καὶ ἀποικίλων, ἱκανὰ καὶ ἅπερ ἐν τοῖς προηγησαμένοις ἐῤῥέθησαν.

A circa universum **223** pene corporis, ut vestimentum; aliqua autem circa partem, ut calcei.

22. Sed et quædam ut instrumenta (habentur), velut dolabra; quædam etiam alio modo, facultates, ut argentum, aut aliud aliquid quod sæpe obtinemus.

23. Porro omne quod habet, secundum electionem habere oportet. Unde etiam inanimata secundum prædicamentalis vocis habendi significatum, proprie habere non dicuntur.

24. Ad extremum τῷ habere privatio aliqua opponitur ut dicimus; nudus, discalceatus, inermis. Tantum etiam de habere.

25. De reliquis autem prædicamentis, ut quæ antea manifesta sint et minime varia, sufficiunt quæ antecedentibus dicta sunt.

Σχῆμα κεφαλ. κδ', περὶ τοῦ ποιεῖν καὶ πάσχειν καὶ ἔχειν.

- Τὸ ποιεῖν
  - εἰς τὸ θεωρεῖν, ἤτοι νοεῖν,
  - καὶ τὸ ποιεῖν, ἤτοι οἰκοδομεῖν,
  - καὶ τὸ πράττειν, οἷον προαιρεῖσθαι, βουλεύεσθαι.
- Τοῦ πάσχειν
  - τὸ μὲν φθαρτικόν, ὡς τὸ καίεσθαι·
  - τὸ δὲ τελειωτικόν, ὡς τὸ μανθάνειν ἢ αἰσθάνεσθαι.
- Τὸ ἔχειν
  - ὡς ἕξιν καὶ διάθεσιν, ἢ ἄλλην ποιότητα,
  - ὡς ποσὸν οἷον ἔχειν μέγεθος,
  - ὡς τὰ περὶ τὸ σῶμα, οἷον ἱμάτιον,
  - ὡς ἐν μορίῳ, ὡς δακτύλιον,
  - ὡς μέρος, ὡς χεῖρα, ἢ πόδα,
  - ὡς ἐν ἀγγείῳ, οἷον ὁ μέδιμνος τοὺς πυρούς·
  - ὡς κτῆμα, οἷον ἀγρόν·
  - ὡς γυναῖκα, ἢ ἄνδρα, ὅ ἐστι συνοικεῖν·
- Τοῦ κατηγορικοῦ ἔειν
  - τὰ μὲν κατὰ πόλεμον
    - τὰ μὲν περικείμενα ἐπιδιαίρεσις
      - τὰ μὲν φυλάγματα,
      - τὰ δὲ ἀμυντήρια.
    - τὰ δὲ κατεχόμενα.
  - τὰ δὲ ἐν εἰρήνῃ
    - τὰ μὲν διὰ κόσμον, ὡς στέφανος, περιδέῤῥαιον,
    - τὰ δὲ διὰ σκέπην
      - τὰ μὲν περὶ τὸ πολὺ τοῦ σώματος, ὡς ἱμάτιον,
      - τὰ δὲ περὶ μέρος, ὡς ὑποδήματα.

**224** *Tabula capitis 24, de eo quod est facere et pati et habere.*

- Τὸ ποιεῖν facere (dividitur in)
  - contemplari, sive intelligere,
  - et facere, velut ædificare,
  - et agere, ut eligere, deliberare.
- Ejus quod pati dicitur (aliud est)
  - corruptivum, ut uri,
  - perfectivum, ut discere aut sentire.
- Habere (dicitur) vel
  - ut habitum et dispositionem aut aliam qualitatem,
  - ut quantum, velut habere magnitudinem,
  - ut ea quæ sunt circa corpus, velut vestimentum,
  - ut in parte, ut annulum,
  - ut partem, ut manum aut pedem,
  - ut in vase, velut modius frumenta,
  - ut possessionem, velut agrum,
  - ut uxorem aut virum, quod est cohabitare.

OCR ABK / FR

235 Ejus habere quod est prædicamentale
- alia belli tempore (habentur)
  - alia quidem circumjacent, seu circumaccommodantur epidiæresis.
    - alia defensiva,
    - alia offensiva,
- alia in pace (habentur)
  - alia quidem propter ornatum, ut corona, collarium.
    - alia quidem circa totum pene corpus, ut vestimentum,
    - alia circa partem, ut calcei.
  - alia vero propter tegumentum.

---

## SYNOPSIS CAPITIS XXV,

### QUOD EST DE OPPOSITIS.

1. *Opposita definit.* — 2. *Opposita dividit, et specierum quaternarium numerum divisionibus investigat.* — 3. *Quæ sunt ad aliquid, definit.* — 4. *Contraria dividit.* — 5. *Occupatio, quomodo malum sit contrarium et privatio.* — 6. *Nova divisione contraria dividit in immediata et mediata.* — 7. *Utrumque describit.* — 8. *Immediata subdividit in essentiala subjecti accidentalia.* — **236** 9. *Essentialia declarat exemplo paris et imparis in numero, ubi obiter parem et imparem numerum definit.* — 10. *Accidentalia etiam exemplo morbi et sanitatis explicat, et per occupationem ostendit quomodo hic morbus accipiendus sit.* — 11. *Mediata contraria subdividit in ea quorum utrumque a subjecto abesse, et quorum alterum duntaxat abesse potest.* — 12. *Medium contrariorum mediatorum dividit in id quod utrumque extremorum participat, et in id quod neutrum extremorum participat.* — 13. *Ostendit quomodo recentiores boni et mali medium, quod alios neque bonum neque malum dicitur, peculiari nomine indifferentis insigniverint.* — 14. *Et quomodo Archytas ex veteribus etiam in relatis medium constituerit.* — 15. *Et quod contrariorum comprehensiones seu tituli sint ad aliquid, non item quæ illis comprehenduntur.* — 16. *Contraria mediata porro subdividit in ea quæ unum et in ea quæ plura habent media.* — 17. *Tria contrariorum consectaria recenset.* — 18. *Primum quod bonum malo quidem sit contrarium, sed malum et bono et malo.* — 19. *Occupatio quomodo natura non sit injusta, tametsi malo et bonum et malum sit contrarium.* — 20. *Alia occupatio, cur malum non tantum bono, sed etiam malo sit contrarium, et contra bonum malo duntaxat, non etiam bono sit contrarium.* — 21. *Secundum consectarium, contraria sibi invicem in genere et specie coexsistere posse,* **237** *sed in individuo quoad ad unum locum coexsistere non posse.* — 22. *Tertium consectarium, contrario vel sub eodem esse genere, vel sub contrario generibus, vel ipsamet esse contraria genera.* — 23. *Contrarium unum supremum genus esse ostendit, qualitatem videlicet.* — 24. *Accedit, ad tertiam speciem oppositorum, et primo ostendit, cum habitum tum privationem multis modis adeoque æquivoce dici.* — 25. *Habitus significatum primum.* — 26. *Secundum* — 27. *Tertium.* — 28. *Quartum.* — 29. *Quintum.* — 30. *Sextum.* — 31. *Totidem privationis quot habitus significata esse ostendit.* — 32. *Primum significatum privationis.* — 33. *Secundum.* — 34. *Tertium.* — 35. *Quartum.* — 36. *Quintum.* — 37. *Sextum.* — 38. *Oppositio secundum habitum et privationem proprie accipitur in iis, quæ speciei alicujus individuis omnibus insunt.* — 39. *Privatio tribus characteribus (seu notis) designatur, quoniam vel uno abseunte non est logica privatio.* — 40. *Privatio hæc ipsius potentialis est.* — 41. *Privatio semper boni, mali nunquam dicitur.* — 42. *Non in dictionem recipientibus, sed in rem dictione significatam judicanda est, ubi* τὰ στερητικὰ, *id est, privativa facit triplicia.* — 43. *Quartam speciem oppositorum quæ contradicentia dicuntur aggreditur, et contradictionis partes ostendit et etymologicam descriptionem proponit.* — **238** 44. *Affirmationem et negationem quæ sunt partes integrales contradictionis describit.* — 45. *Affirmatio et negatio verum et falsum dividere possunt, non item reliquæ species, quæ sunt oppositorum simplicium.* — 46. *Quin cætera opposita neque per complexionem prolata, verum et falsum dividere possunt, nisi in certis entibus, ut contrarariorum exemplo ostendit.* — 47. *Adeoque non etiam possunt hoc in omnibus entibus, ut iterum exemplis declarat relatorum, privantium contrariorum.* — 48. *Contra affirmatio et negatio non in quibusdam tantum entibus, sed in omnibus, quin etiam in non entibus verum et falsum dividunt, ut exemplis declarat.*

---

## CAPUT XXV.

### *De oppositis.*

1. Opposita sunt, quæcunque circa idem simul et secundum idem rei forinsecus exquisita consistere non possunt.

2. Hæc autem vel in orationibus, vel in rebus opponuntur. Et siquidem in orationibus, affirmatio est et negatio. Sin in rebus aut secundum habitudinem, aut non secundum habitudinem dicuntur. Et secundum habitudinem quidem sunt, quæ ad aliquid dicuntur. Quæ porro secundum habitudinem non dicuntur, aut mutantur in se invicem, subjecto nimirum existente quod recipiendi vim habeat; et sunt contraria, aut non mutantur in se **239** invicem, ut sunt habitus et privatio. Habitus enim

A

## ΚΕΦΑΛ. ΚΕ'.

### Περὶ τῶν ἀντικειμένων.

α'. Ἀντικείμενά ἐστιν, ὅσα περὶ τὸ αὐτὸ ἅμα καὶ κατὰ τὸ αὐτὸ τοῦ πράγματος ἢ πρὸς τὸ αὐτὸ ἔξωθεν ἐξεταζόμενα συνυπάρξαι οὐ δύναται.

β'. Ταῦτα δὲ ἢ ἐν λόγοις ἀντίκειται, ἢ ἐν πράγμασι. Καὶ εἰ μὲν λόγοις, κατάφασίς ἐστι καὶ ἀπόφασις. Εἰ δ' ἐν πράγμασιν ἢ κατὰ σχέσιν λέγεται, ἢ οὐ κατὰ σχέσιν. Καὶ κατὰ σχέσιν μὲν ἔστι τὰ πρός τι. Τὰ δὲ μὴ κατὰ σχέσιν λεγόμενα ἢ μεταβάλλει εἰς ἄλληλα τοῦ δεκτικοῦ δηλονότι ὑπάρχοντος, καί εἰσιν ἐναντία· ἢ οὐ μεταβάλλει εἰς ἄλληλα, καὶ ἔστιν ἕξις καὶ στέρησις. Ἡ μὲν γὰρ ἕξις μεταβάλλει εἰς στέρησιν· ἡ στέρησις δὲ εἰς ἕξιν οὐ μεταβάλλει. Τετραχῶς τοίνυν τὰ ἀντικείμενα λέγεται,

OCR ABK / FR

ἢ ὡς τὰ πρός τι, οἷον διπλάσιον, ἥμισυ· ἢ ὡς τἀναντία, οἷον λευκόν, μέλαν· ἢ ὡς ἕξις καὶ στέρησις, οἷον ὄψις καὶ τυφλότης, ἢ ὡς κατάφασις καὶ ἀπόφασις· οἷον, ἄνθρωπος κάθηται, ἄνθρωπος οὐ κάθηται.

A quidem mutatur in privationem; privatio autem in habitum non mutatur. Quatuor proinde modis opposita dicuntur; aut ut ad aliquid, velut duplum, dimidium: aut ut contraria, velut album, nigrum: aut ut habitus et privatio, veluti visus et cæcitas: aut ut affirmatio et negatio, velut homo sedet, homo non sedet.

γ'. Τὰ μὲν οὖν πρός τι (καὶ) συνεισάγουσιν ἄλληλα καὶ συναναιροῦσι καὶ αὐτὰ ἅπερ εἰσὶ, τῶν ἀντικειμένων αὐτοῖς εἶναι λέγεται· ἢ ὁπωσοῦν ἄλλως πρὸς αὐτά.

3. Illa igitur quæ sunt ad aliquid, et se invicem simul inducunt, et simul tollunt; et ea quæ sunt oppositorum sibi esse dicuntur, aut quocunque alio modo ad ipsa referuntur.

δ'. Τὰ δ' ἐναντία ἢ εἴδη καὶ ἄμφω εἰσὶν, ὡς λευκὸν καὶ μέλαν, ψυχρόν τε καὶ θερμὸν καὶ τὰ ὅμοια· ἢ θάτερον θατέρου ἐσχάτη ἀπόπτωσίς ἐστιν, ὡς δειλία καὶ ἀδικία. Ἡ μὲν γὰρ τῆς ἀνδρίας, ἡ δὲ τῆς δικαιοσύνης τελέως ἐξέπεσον. Καὶ ὅλως τὸ κακὸν, εἶδος μὲν καὶ ὅρος οὐκ ἔστιν· ἔκπτωσις δὲ τελεία τοῦ ἀγαθοῦ.

4. Contraria porro vel etiam ambo sunt species, ut album et nigrum, frigidum et calidum, et similia; aut alterum ab altero extrema est prolapsio, ut timiditas et injustitia. Illa enim quidem a fortitudine, hæc a justitia perfecte excidit. B Et in universum sane, malum non est species et finis, sed a bono perfecta elapsio.

ε'. Ὅταν μὲν οὖν αὐτὸ σκοπῶμεν ὡς πεφυκὸς ἀνακάμπτειν πρὸς τὸ εἶδος, ἐναντίον ἐστίν· ὅταν δὲ μηδαμῶς ἀνακάμπτειν δύνηται, τότε λέγεται στέρησις.

5. Cum id ergo consideraverimus, quatenus ad speciem redire potest, contrarium est: cum vero redire nequaquam potest, tunc privatio dicitur.

ς'. Ἔτι τῶν ἐναντίων τὰ μὲν ἔστιν ἄμεσα, τὰ δὲ μεσωτὰ, εἴτουν ἔμμεσα.

6. Præterea contrariorum alia sunt immediata, alia intermedium habent, sive mediata sunt.

ζ'. Καὶ ἄμεσα μὲν ἔστιν, ὧν ἐξ ἀνάγκης θάτερον ὑπάρχει τῷ δεκτικῷ· ἔμμεσα δὲ, ὧν οὐκ ἐξ ἀνάγκης ὑπάρχει θάτερον.

**240** 7. Et quidem immediata sunt, quorum alterum subjecto ex necessitate inest: mediata sunt, quorum alterum ex necessitate non inest.

η'. Τῶν δ' ἀμέσων ἐναντίων τὰ μὲν ἔστιν οὐσιώδη, τὰ δ' ἐπουσιώδη.

8. Immediatorum autem contrarium alia substantialia sunt, alia accidentalia.

θ'. (Καὶ) οὐσιώδη μὲν, ὡς ἐπ' ἀριθμοῦ, τὸ ἄρτιόν τε καὶ περιττόν. Οὐδὲ γὰρ δυνατὸν ἐπινοῆσαι κεχωρισμένον τοῦ ἀρτίου τὸν ἀριθμὸν, ἢ τοῦ περιττοῦ τὸν ἑπτά. Διὰ τοῦτο καὶ οὐσιώδη λέγεται. Ἄρτιος δέ ἐστιν ὁ δίχα διαιρούμενος ἀριθμός. Ὁ δὲ μὴ διαιρούμενος δίχα, λέγεται περιττός. Τὰ μὲν οὖν οὐσιώδη τῶν ἀμέσων ἐναντίων τοιαῦτα.

C 9. Et substantialia quidem ut in numero par et impar. Neque enim fieri potest ut numerum senarium separatum a pari et septenarium ab impari cogitemus. Propterea etiam substantialia dicuntur. Par autem numerus est qui bifariam dividitur: qui autem bifariam non dividitur, impar dicitur. Itaque contraria immediata substantialia sunt ejusmodi.

ι'. Τὰ δ' ἐπουσιώδη εἰσὶν, ὅσα δύναται χωρὶς τῆς φθορᾶς τοῦ δεκτικοῦ γίνεσθαί τε καὶ ἀπογίνεσθαι· οἷον ὑγίεια καὶ νόσος. Ἐνταῦθα δὲ νόσον ἐκληπτέον τὴν ὁποιανδήτινα τῆς φύσεως ὑποπίπτουσαν αἰσθήσει παρατροπήν. Οὕτω μὲν οὖν τῶν ἐναντίων τὰ ἄμεσα.

10. At accidentalia sunt, quæ citra corruptionem subjecti adesse et abesse possunt: veluti sanitas et morbus. Accipiendus autem hic est morbus pro quacunque naturæ perversione quæ sub sensum cadit. Sic igitur contraria immediata se habent.

ια'. Τῶν δ' ἐμμέσων λεγομένων καὶ μεσωτῶν, ἢ ἀμφότερα δύναται ἀπεῖναι τοῦ ὑποκειμένου· ὡς τὸ λευκὸν καὶ τὸ μέλαν τοῦ Σωκράτους· δυνατὸν γὰρ εἶναι τὸν Σωκράτην μήτε μέλανα, μήτε λευκὸν, ἀλλ' ὠχρὸν ἢ φαιόν· ἢ θάτερον μὲν τῶν ἐναντίων ἄπεστι, τὸ δὲ λοιπὸν πάντως ὑπάρχει, διὰ τὸ προκατειλῆφθαι τὸ εἶδος ὑπ' ἐκείνου. Οἷον τὸ μὲν λευκὸν ὑπάρχει κύκνῳ καὶ χιόνι καὶ τιτάνῳ, ἄπεστι δὲ τὸ μέλαν· κόρακι δὲ καὶ ἐβένῳ καὶ πίσσῃ τὸ μέλαν ὑπάρχει, ἄπεστι δὲ τὸ λευκόν.

11. Quæ autem mediata dicuntur, et intermedium D habent, aut ambo possunt a subjecto abesse; ut album nigrum a Socrate (fieri enim potest ut neque niger neque albus, seu pallidus aut fuscus Socrates sit), aut alterum quidem abest contrariorum, reliquum **241** autem inest utique, quod species ab eo jam ante occupata sit; velut album inest cygno et nivi et cerussæ, nigrum abest; at corvo et ebeno et pici nigrum inest, album abest.

ιβ'. Τὸ μέσον δὲ τῶν ἐμμέσων ἐναντίων ἢ καὶ ἀμφοτέρων μετέχει τῶν ἄκρων, ὅτε καὶ κατωνόμασται, ὡς τὸ χλιαρόν· ἢ οὐδετέρου τῶν ἄκρων, ὅτε καὶ ἀκατονόμαστόν ἐστι, μόνῃ τῇ τῶν ἄκρων ἀποφάσει δηλούμενον· ὡς τὸ μέσον τοῦ δικαίου καὶ ἀδί-

12. Jam vero medium contrariorum mediatorum aut utrumque participat extremorum quando et nomen habet, ut tepidum; aut neutrum participat extremorum, cum etiam innominatum est, solaque extremorum negatione declaratur; ut medium justi



OCR ABK/FR

et injusti. Dicitur enim hoc neque justum neque injustum. Quale sane nefas infans est qui neque justus neque injustus.

13. Aliqui autem ex recentioribus medium quod inter malum et bonum consideratur quomodo, indifferens vocaverunt.

14. Sed et Archytas in iis quæ sunt ad aliquid medietates ostendit. Etenim inter dominum et servum ponit id quod est liberum; et inter majus et minus æquale, inter latum et augustum id quod congruens seu accommodatum est.

15. Sciendum porro ea quæ continent contraria esse ad aliquid (contrarium enim contrario est contrarium); at quæ comprehenduntur illis, non communicare cum iis quæ sunt ad aliquid.

**242** 16. Præterea mediatorum contrariorum alia quidem habent unum medium; alia vero multa. Nam calidum et frigidum habent unum solum medium, quod est tepidum: album autem et nigrum habent fuscum, pallidum, flavum, rubrum, fulcum et alia.

17. Tria sunt autem contrariorum consectaria.

18. Primum quod bonum quidem malo duntaxat, malum autem et bono et alii malo sit contrarium. Veluti contraria est temperantia tum imtemperantiæ, tum sensuum stupori; nam et utraque sunt vitia; at intemperantia et temperantiæ quidem contrariatur, et vero etiam sensuum stupori contrariatur.

19. Nec est injusta natura quæ uni duo contraria objecerit. Unum enim uni est objectum; moderatio immoderationi. Temperantia enim quidem cum sit mediocritas, moderatio est: at stupor et intemperantia cum extrema sint, immoderationes sunt. Hæc enim quidem excessus: ille vero defectus est. Contrariatur igitur moderatio immoderationi, ut bonum malo: extremæ vero sibi invicem contrariantur, quod plurimum a se distent invicem.

**243** 20. Et malo quidem malum contrariatur: at bonum alicui bono non est contrarium; unum enim simplexque est bonum: malum autem et varium est et multitidum.

21. Secundum contrariorum consectarium est, quod contraria sibi invicem in genere et specie coexsistere possunt: genere quidem, ut animali: specie, ut homine. Animalium enim alia alba, alia nigra: et hominum alios sanos, alios ægrotos esse dicimus. In individuo autem contraria secum invicem quoad unum locum coexistercre non possunt. Nec etenim Socratem simul sanum esse ægrotare, aut secundum eamdem partem in eodem tempore calefieri et refrigerari contingit.

22. Tertium (consectarium contrariorum est), quod contraria vel sunt sub eodem genere, ut album et nigrum sub colore; sub contrariis generibus, ut justia et injustia sub virtute et vitio, aut ipsa sane contraria genera sunt, ut universale bonum et malum universale. Hæc enim quæ sunt contraria, genera sunt.

A κου. Λέγεται γὰρ τοῦτο οὐδὲ δίκαιον, οὐδὲ ἄδικον· τοιοῦτον τὸ βρέφος, οὔτε δίκαιον οὔτε ἄδικον.

ιγ'. Τινὲς δὲ τῶν νεωτέρων μέσον ἀγαθοῦ καὶ κακοῦ θεωρούμενον ὁπωσοῦν ἐκάλεσαν ἀδιάφορον.

ιδ'. Ἀρχύτας δὲ κἂν τοῖς πρός τι μεσότητος δείκνυσι. Μεταξὺ γὰρ δεσπότου καὶ δούλου τίθησι τὸ ἐλεύθερον· καὶ μείζονος καὶ ἐλάττονος τὸ ἴσον· καὶ πλατέος καὶ στενοῦ τὸ ἐφαρμόζον.

ιε'. Ἐπιστητέον δ' ὅτι τῶν ἐναντίων αἱ περιοχαὶ πρός τί εἰσι. Τὸ γὰρ ἐναντίον ἐναντίῳ ἐναντίον· τὰ δὲ περιεχόμενα οὐ κοινωνοῦσι τοῖς πρός τι.

B ις'. Ἔτι τῶν ἐμμέσων ἐναντίων τὰ μὲν ἓν ἔχει μέσον, τὰ δὲ πολλά. Θερμὸν γὰρ καὶ ψυχρὸν (ἓν) ἔχει μέσον μόνον τὸ χλιαρόν· λευκὸν δὲ καὶ μέλαν ἔχει τὸ φαιὸν, τὸ ὠχρὸν, τὸ ξανθὸν, τὸ ἐρυθρὸν, τὸ πυῤῥὸν, καὶ ἕτερα.

ιζ'. Τρία δέ τινα τοῖς ἐναντίοις παρέπεται.

ιη'. Πρῶτον, ὅτι τὸ μὲν ἀγαθὸν ἐναντίον τῷ κακῷ· τὸ δὲ κακὸν τῷ τε ἀγαθῷ καὶ ἄλλῳ κακῷ. Οἷον ἐναντία μὲν ἡ σωφροσύνη τῇ τε ἀκολασίᾳ καὶ ἠλιθιότητι (κακίαι γὰρ καὶ ἄμφω)· ἡ δ' ἀκολασία ἐναντιοῦται μὲν καὶ τῇ σωφροσύνῃ, ἐναντιοῦται δὲ καὶ τῇ ἠλιθιότητι.

ιθ'. Καὶ οὐκ ἔστιν ἄδικος ἡ φύσις, δύο ἐναντία C ἑνὶ ἀντιτάξασα. Ἓν γὰρ ἀντιτέτακται τῷ ἑνὶ, ἡ συμμετρία τῇ ἀσυμμετρίᾳ. Ἡ μὲν γὰρ σωφροσύνη μεσότης οὖσα, συμμετρία ἐστίν· ἡ δ' ἠλιθιότης καὶ ἡ ἀκολασία ἄκρα οὖσαι, ἀσυμμετρίαι εἰσίν. Ἡ μὲν γάρ ἐστιν ὑπερβολὴ, ἡ δ' ἔλλειψις. Ἐναντιοῦται γοῦν ἡ συμμετρία τῇ ἀσυμμετρίᾳ, ὡς ἀγαθὸν κακῷ· τὰ δ' ἄκρα ἐναντιοῦται ἀλλήλοις, ὅτι πλεῖστον ἀπ' ἀλλήλων διέστηκε.

κ'. Καὶ τῷ μὲν κακῷ ἐναντιοῦται κακόν· τὸ δ ἀγαθὸν οὐκ ἔστιν ἐναντίον τινὶ ἀγαθῷ· ἓν γάρ ἐστι τὸ ἀγαθὸν καὶ ἁπλοῦν· τὸ δὲ κακὸν ποικίλον τε καὶ πολυσχιδές.

κα'. Δεύτερον τῶν ἐναντίων παρακολούθημα, ὅτι τἀναντία δύναται συνυπάρχειν ἀλλήλοις ἐν γένει καὶ εἴδει· γένει μὲν, ὡς τῷ ζώῳ, εἴδει δὲ, ὡς τῷ ἀνθρώπῳ. Λέγομεν γὰρ τῶν ζώων τὰ μὲν εἶναι λευκὰ, D τὰ δὲ μέλανα· καὶ τῶν ἀνθρώπων τοὺς μὲν ὑγιαίνειν, τοὺς δὲ νοσεῖν. Ἐν ἀτόμῳ δὲ τἀναντία συνυπάρχειν ἀλλήλοις καθ' ἕνα τόπον οὐ δύναται. Καὶ γὰρ οὐκ ἔστι τὸν Σωκράτην ὑγιαίνειν καὶ νοσεῖν ἅμα· ἢ καθ' ἓν μόριον, ἐν ταυτῷ θερμαίνεσθαί τε καὶ ψύχεσθαι.

κβ'. Τρίτον, ὅτι τἀναντία ἢ ὑπὸ τὸ αὐτὸ γένος εἰσὶν, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν ὑπὸ τὸ χρῶμα· ἢ ὑπὸ τἀναντία γένη, ὡς δικαιοσύνη καὶ ἀδικία, ὑπὸ τὴν ἀρετὴν, καὶ ὑπὸ τὴν κακίαν· ἢ αὐτὰ δὴ τἀναντία γένη εἰσὶν, ὡς τὸ καθόλου ἀγαθὸν καὶ τὸ καθόλου κακόν. Ταῦτα γὰρ ἐναντία ὄντα γένη εἰσίν.

OCR ABK / FR

κγ'. Εἰδέναι δὲ δεῖ, ὅτι τῶν ἀλλήλοις ἐναντίων ἓν A
τὸ ἀνωτάτω γένος ἐστίν. Οὔτε γὰρ ἡ ἀρετὴ καὶ ἡ κακία πρῶτα γένη εἰσίν, ἄνω γὰρ αὐτῶν ἕξις τε καὶ διάθεσις οὔτε τὸ καθόλου ἀγαθὸν, καὶ τὸ καθόλου κακόν· ἀλλὰ καὶ ταῦτα συνάπτονται ἢ συνάγονται τῷ ποιῷ. Καὶ ἔστι τὸ ποιὸν γένος πάντων αὐτῶν γενικώτατον. Τοσαῦτα περὶ ἐναντίων.

κδ'. Ἕξις δὲ καὶ στέρησις λέγεται πολλαχῶς. Καθ' ἕνα μὲν γὰρ τρόπον ἕξις λέγεται ἡ τοῦ ἔχοντος καὶ τοῦ ἐχομένου ἐνέργεια.

κε'. Ἕξις γὰρ ἱματίου λέγεται, ὅταν ὁ μὲν ἔχῃ, τὸ δ' ἔχηται ὑπὸ τοῦ ἔχοντος. Καὶ ἕξιν ὅπλων εἶπέ που Πλάτων ἐπὶ τοῦ ἔχοντος ὅπλα.

κς'. Καθ' ἕτερον δὲ τρόπον ἕξεις λέγομεν τὰς ἐπικτήτους ποιότητας, ἐμμόνους γεγονυίας· τάς τε B
φυσικὰς καὶ τὰς κατ' ἐπιστήμην ἢ τέχνην, καθ' ἃς οἱ ἐν αὐταῖς ἑκτικοὶ λέγονται. Κατὰ τοῦτο δὴ καὶ τὰς τελείας ἀρετὰς ὀνομάζομεν ἕξεις.

κζ'. Ἕξις καλεῖται καὶ ἡ φυσικὴ κατασκευὴ, ὅταν ἔμμονος ᾖ, ὥσπερ σωματικάς τινας ἕξεις καὶ ψυχικὰς νοοῦμεν ἐπί τινων· καὶ ἀρετὰς ἢ κακίας ἐκ φύσεως εἴτουν κράσεως.

κη'. Λέγουσί τινες ἕξιν καὶ τὴν τῆς φύσεως ἐπιτηδειότητα.

κθ'. Λέγουσι καὶ τὴν φυσικὴν δύναμιν· ὡς τοῦ πυρὸς τὸ θερμαίνειν, ὅτε μὴ θερμαίνοι, καὶ τὴν ὄψιν τοῦ καθεύδοντος.

λ'. Ἔτι δὲ μᾶλλον ἡ τελικὴ ἐνέργεια ἕξις ἐστίν· ὡς ἡ ὅρασις ἡ ἤδη ὁρῶσα, καὶ ἡ θερμότης ἡ ἤδη θερμαίνουσα.

λα'. Πολλαχῶς οὖν τῆς ἕξεως λεγομένης, πολλαχῶς καὶ ἡ στέρησις λέγεται καταλλήλως τῇ ἕξει λαμβανομένη. Ἡ μὲν γὰρ ἕξις ἀπὸ τοῦ ἔχειν εἴληπται· ἡ δὴ στέρησις ἀεχειά τίς ἐστιν.

λβ'. Ἀντίκειται γοῦν τῷ πρώτῳ σημαινομένῳ τῆς ἕξεως ἡ στέρησις τοῦ ἱματίου καὶ τοῦ ὅπλου.

λγ'. Τῷ δευτέρῳ ἡ τῶν ἐπικτήτων ποιοτήτων ἀποβολή.

λδ'. Τῷ τρίτῳ, τῆς φυσικῆς κατασκευῆς ἡ μεταστροφή.

λε'. Τῷ τετάρτῳ, ἢ ὅπερ οὐδόλως πέφυκεν ἔχειν D
τὸ γένος, ὡς λέγομεν τὸ μὲν βρέφος ἔχειν ἐπιτηδειότητα πρὸς τὸ δέξασθαι τὴν γραμματικήν· ἐστερῆσθαι δὲ τῆς ἐπιτηδειότητος ταύτης τὴν πλάτανον ὅτι καὶ τὸ ἅπαν φυτόν· ἢ ὅπερ τὸ γένος μὲν πέφυκεν ἔχειν, τὶ δὲ τῶν εἰδῶν οὐκ ἔχει· ὡς τὸ ζῶον μὲν ἔχει ἐπιτηδειότητα τοῦ ὁρᾷν, ὁ δ' ἀσπάλαξ ταύτης ἐστέρηται.

λς'. Τῷ πέμπτῳ, ἡ ἀποβολὴ τῆς καθ' ἕξιν δυνάμεως.

λζ'. Τῷ ἕκτῳ καὶ τελευταίῳ, τῆς τελικῆς ἐνεργείας ἡ στέρησις.

λη'. Κυρίως δὴ καθ' ἕξιν καὶ στέρησιν ἀντίθεσις

18. Ubi igitur uterque terminus eorum qui propostionem complent, unam aliquam naturam declarat, subjectus et prædicatus ; hanc propositionem unam dicimus, licet totam definitionem acceperimus pro subjecto aut pro prædicato, aut etiam similiter pro utroque. Veluti si dixerit aliquis : Animal rationale, mortale, intelligentiæ et scientiæ capax, est substantia animata, sensus et **273** progressionis particeps. Hic enim τὸ animal rationale, mortale, intelligentiæ et scientiæ capax, subjectum est ; quod ut unum nomen reputatur, tametsi ex multis vocibus significativis compositum. At τὸ substantia animata, sensus et progressionis particeps ; hoc omne, prædicatum est ; quod sane cum apprædicato *est*, unum verbum efficitur.

19. Ubi autem alteruter terminorum plures res significat, plures propositiones esse dicimus, atque tot quot numero significata sunt ; tametsi hæc ab uno nomine significentur. Veluti si dixerit aliquis : Ajax cum Hectore solus decertavit, si non determinaverit Ajacem de utro sibi sermo sit. Hanc enim propositionem nemo, opinor, accuratus unam dicet, quæ propter homonymiam et falsum et verum simul dicit.

20. Jam vero propositio et enuntiatio et instantia et conclusio subjecto quidem nihil differunt, habitudine autem (seu respectu) differunt : velut, Anima est immortalis ; cum quidem ut pars syllogismi assumitur, propositio nominatur ; cum id autem ad inquisitionem profert aliquis utrum ergo anima est immortalis, quæstio : **274** cum jam aliquis simpliciter enuntiat dicens, Anima immortalis est, enuntiatio : cum porro instat aliquis, unde constat, quod anima immortalis sit, instantia dicitur : cum denique ex propositionibus collectum fuerit ut cum dixerimus : Anima semper movetur ; quod semper movetur, est immortale ; ergo anima est immortalis, tum conclusio exsistit.

A στον ῥῆμα· ὁ δ' ὑποκείμενος, ἢ ὄνομα, ἢ πτῶσις ὀνόματος, ἢ ἀόριστον ὄνομα, ἢ λόγος ἐκ πλειόνων ὀνομάτων συγκείμενος.

ις'. Διαφέρει δὲ τὸ ὄνομα τῆς τοῦ ὀνόματος πτώσεως, ὅτι τὸ μὲν κατ' εὐθεῖαν φερόμενον, ὄνομα λέγεται· οἷον, Ὁ Ἰούδας προδότης ἐστίν· ἡ δὲ κατὰ τὰς ἄλλας πλαγίας προφορὰ τοῦ ὀνόματος, γενικὴν, δοτικὴν καὶ αἰτιατικὴν, πτῶσις καλεῖται ὀνόματος ὡς ἐκ τῆς ὀρθῆς εἴτουν εὐθείας πεπτωκυῖα. Οἷον, Τῆς ἀρετῆς ἐξέχεσθαι δίκαιον· Τῷ Χριστῷ συμπάσχειν ὠφέλιμον· Τὸν καιρὸν τῆς ἀνταποδόσεως ἀναγκαῖον καταλαβεῖν.

κζ'. Διενήνοχε δὲ καὶ ῥῆμα πτώσεως ῥήματος τῷ τὸ μὲν ῥῆμα τὸν ἐνεστῶτα χρόνον δηλοῦν, ὡς τὸ, Παῦλος δημηγορεῖ· τὴν δὲ τοῦ ῥήματος πτῶσιν, τὸν παρεληλυθότα τε καὶ τὸν μέλλοντα. Οἷον, Πέτρος
B ἠρνήσατο· Διάβολος κολασθήσεται.

κη'. Ἔνθα μὲν οὖν ἑκάτερος ὅρος τῶν συμπληρούντων τὴν πρότασιν μιᾶς τινος φύσεώς ἐστι δηλωτικὸς, ὁ ὑποκείμενος καὶ ὁ κατηγορούμενος, μίαν λέγομεν εἶναι ταύτην τὴν πρότασιν, κἂν ὁρισμὸν ὅλον λάβωμεν ὑποκείμενον ἢ κατηγορούμενον, ἢ καὶ ἀμφοτέρους ὁμοίως. Ὡς ἐὰν εἴπῃ τις, Τὸ ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατική ἐστιν. Ἐνταῦθα γὰρ τὸ ζῶον λογικὸν, θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικὸν ὑποκείμενόν ἐστιν, ὡς ἓν λογιζόμενον ὄνομα, κἂν ἐκ πολλῶν φωνῶν σημαντικῶν ὑπάρχῃ συγκείμενον. Τὸ δὲ οὐσία ἔμψυχος, αἰσθητικὴ, μεταβατικὴ, τοῦτο σύμπαν κατηγορούμενον· ὃ δὴ μετὰ τοῦ ἔστι προσκατηγορουμένου ῥῆμα γίνεται ἕν.

C

ιθ'. Ἔνθα δὲ πλειόνων πραγμάτων, ὁποτεροσοῦν τῶν ὅρων σημαντικός ἐστι, πλείους εἶναι τὰς προτάσεις φαμὲν, καὶ τοσαύτας, ὅσον τὸ τῶν σημαινομένων πλῆθός ἐστι· κἂν ὑφ' ἑνὸς ὀνόματος ταῦτα σημαίνηται. Ὡς ὅταν εἴπῃ τις· Αἴας ἐμονομάχησεν Ἕκτορι, μὴ προσδιορισάμενος, περὶ ποτέρου τῶν Αἰάντων ὁ λόγος αὐτῷ. Ταύτην γὰρ τὴν πρότασιν οὐδεὶς, οἶμαι, τῶν ἐξεταστικῶν μίαν ἐρεῖ τὴν καὶ ψευδομένην ἅμα καὶ ἀληθεύουσαν διὰ τὴν ὁμωνυμίαν.

κ'. Πρότασις δὲ καὶ πρόβλημα καὶ ἀπόφανσις καὶ ἔνστασις καὶ συμπέρασμα κατὰ μὲν τὸ ὑποκείμενον οὐδὲν διαφέρει· κατὰ σχέσιν δὲ διενήνοχεν· οἷον, Ἡ ψυχὴ ἀθάνατός ἐστιν, ὅταν μὲν ὡς συλλογισμοῦ
D μέρος λαμβάνηται, πρότασις ὀνομάζεται· ὅταν δ' εἰς ζήτησιν προβάλληταί τις αὐτὸ λέγων, Ἀρά γε ἀθάνατός ἐστιν ἡ ψυχή ; πρόβλημα· ὁπόταν δέ τις ἁπλῶς ἀποφαίνηται λέγων, Ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἀπόφανσις· ἐνισταμένου δέ τινος, Πόθεν δῆλον, ὡς ἡ ψυχὴ ἀθάνατός ἐστιν, ἔνστασις λέγεται· ὁπηνίκα δ' ἐκ προτάσεων συναχθείη, ὡς ὅταν εἴπωμεν· Ἡ ψυχὴ ἀεικίνητος· τὸ ἀεικίνητον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος· τότε τυγχάνει συμπέρασμα.

OCR ABK / FR

Σχῆμα κεφαλ. κζ', περὶ λόγου καὶ προτάσεων.

Τοῦ λόγου (εἶδος)
- τὸ μὲν κλητικόν· ὡς τὸ, Ἄνδρες ἀδελφοὶ καὶ συμπένητες·
- προστακτικόν· ὡς τὸ, Ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν·
- πυσματικόν· ὡς τὸ, Τίς ἡ πατρίς σου;
- εὐκτικὸν, ὅπερ οἱ ἀπὸ τῆς στοᾶς λέγουσιν ἀρατικόν· ὡς τὸ, Γένοιτο, Κύριε, τὸ ἔλεός σου.
- ἀποφαντικόν· οἷον, Ἡ ψυχὴ ἀθάνατος.

Ὁ λόγος.
- ἢ ἀπὸ τῶν ὀρεκτικῶν δυνάμεων τῆς ψυχῆς
  - ἢ λόγον ἀπό τινος ζητούσης τῆς ψυχῆς, καὶ ποιεῖ τὸν πυσματικόν·
  - ἢ πρᾶγμα καὶ
    - ἢ αὐτὸν πρὸς ὃν ὁ λόγος, καὶ ποιεῖ τὸν κλητικόν.
    - ἢ τινος παρ' αὐτοῦ πράξεως
      - ἢ ὡς παρὰ κρείττονος, καὶ ποιεῖ τὸν εὐκτικόν.
      - ἢ παρὰ χείρονος, καὶ ποιεῖ τὸν προστακτικόν.
- ἢ ἀπὸ τῶν γνωστικῶν, καί ἐστιν ὁ ἀποφαντικός.
  - κατάφασις· ὡς, Σωκράτης περιπατεῖ·
  - ἀπόφασις· ὡς, Σωκράτης οὐ περιπατεῖ.

Πᾶσα ἀπόφανσις δείκνυσιν.




Τῶν προτάσεων
- αἱ μὲν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου μόνον, οἷον, Γρηγόριος θεολογεῖ·
- αἱ δὲ καὶ τρίτου προσκατηγορουμένου τοῦ ἐστιν· οἷον, Σωκράτης φιλόσοφός ἐστιν·
- αἱ δὲ ἐκ τρόπου, τοῦ δηλοῦντος ὅπως ὑπάρχει τῷ ὑποκειμένῳ ὁ κατηγορούμενος, οἷον, Δυνατόν ἐστι τὸν Σωκράτην φιλοσοφεῖν.

---

*Tabula capitis 27, de oratione et propositionibus.*

Orationis species alia est
- vocativa: ut, O viri fratres et compauperes.
- imperativa: ut, Declina a malo et fac bonum.
- sciscitativa, ut, Quæ tua patria?
- optativa, quam Stoici precativam dicunt, ut Fiat, Domine, misericordia tua.
- enuntiativa, velut, Anima est immortalis.

**275** Oratio (provenit)
- aut ab appetitivis facultatibus animæ (et)
  - aut sermonem ab aliquo exigentis, et facit sciscitativam.
  - aut rem, et
    - aut ipsum ad quem sermo est, et facit vocativam.
    - aut aliquam ab ipso operam (flagitantis)
      - vel ut a præstantiore, et facit optativam;
      - vel ut a deteriore, et facit imperativam.
- aut a cognoscentibus, et est enuntiativa (vel)
  - affirmatio, ut, Socrates ambulat,
  - negatio, ut, Socrates non ambulat.

OCR ABK / FR

*Omnis enuntiatio ostendit.*

quod inest — inconsistens — quod non inest

velut peccare malum est




velut peccare non est bonum

quasi insit — inconsistens — quasi non insit

**276** Propositionum
- aliæ quidem ex subjecto et prædicato tantum constant, ut, Gregorius de Deo disseruit.
- aliæ vero ex tertio apprædicato sunt, ut, Socrates est philosophus.
- aliæ denique ex modo qui declarat quomodo prædicatum subjecto insit, velut, Socratem philosophari est possibile.

---

## SYNOPSIS CAPITIS XXVIII,

QUOD EST DE MATERIIS QUÆ IN PRÆPOSITIONIBUS CONSIDERANTUR, ET DE PRÆDEFINITIONE SEU SIGNO.

1. *Materiam propositionum dividit in necessariam, contingentem et impossibilem, et divisionem probat.* — 2. *Singulas species exemplis declarat.* — 3. *Causam reddit quare a philosophis materiæ appellentur.* — 4. *Quid a modis differant, ostendit.* — 5. *Docet quod Aristoteles materiam contingentem subdividat in* ὑπάρχουσαν, *id est existentem, et proprie contingentem.* — 6. *Posteriorem capitis partem aggreditur et propositiones dividit in imprædefinitas et prædefinitas.* — 7. *Prædefinitiones enumerat, et bifariam dividit.* — **277** 8. *Docet prædefinitiones subjectis semper adjungi, non prædicatis; et quam significationem seu potestatem habeant, exemplis declarat.* — 9. *Per epiphoram concludit, quod prædefinitiones seu signa ostendant duntaxat differentiam multitudinis partium subjecti, quatenus prædicatum participant vel non participant.* — 10. *Consequenter ostendit quod et cur logici propositiones universales appellent universales ut universales seu universaliter acceptas; et particulares, universales ut particulares seu ut particulariter sumptas.* — 11. *Per occupationem quasi indicat, quid particulares propositiones a singularibus differant.* — 12. *Subjicit tandem quomodo prædefinitæ propositiones a prædefinitionibus denominentur.* — 13. *Porro ostendit quod et quare prædefinitiones apud Græcos absolute feminino genere proferantur.* — 14. *Quod universalis affirmans et universalis negans propositiones sint contrariæ, cæteris tamen paribus.* — 15. *Rationem reddit quare contrariæ dicantur, quod nimirum contraria simplicia imitentur.* — 16. *Explicat rationem etiam in specie, ac primo quidem quod contrariæ propositiones in materia necessaria et impossibili contrariis simplicibus immediatis sint similes.* — 17. *Occupatio.* — 18. *Deinde etiam quod in materia contingente contrariis mediatis sint similes.* — 19. *Aliam etiam rationem assignat, quare contrariæ propositiones sic dictæ esse possunt.* — **278** 20. *Dissertationem de contrariis propositionibus concludit.* — 21. *Ostendit quod particularis affirmans et particularis negans appellentur subcontrariæ et quare sic appellentur.* — 22. *Ostendit quod affirmantes propositiones, universalis et particularis, itemque negantes similiter,* ὑπάλληλοι, *id est subalternæ, vocentur, ubi etiam ratio nominis cum falsa tum vera indicatur.* — 23. *Aliam etiam rationem appellationis hujus per præcisionem insinuat.* — 24. *Per* ἀνακεφαλαίωσιν *repetit quæ contrariæ, subcontrariæ, et subalternæ sint propositiones, et deinde etiam ostendit (ex definitis quidem propositionibus), solas universalem affirmantem et particularem negantem, item particularem affirmantem et universalem negantem, esse contradictorie oppositas et semper verum falsumque dividere.* — 25. *Probat hoc ipsum.* — 26. *Occupatio de particulari negatione in materia impossibili, utrum cum universali affirmatione simul falsum dicat, cum responsione duplici.* — 27. *Necessarium dividit in proprie et non proprie necessarium.* — 28. *Impossibile etiam in proprie et improprie impossibile dividit.* — 29. *Duplex necessarium et duplex impossibile ratione materiarum etiam logicarum distinguit, sive singula ad suas materias logicas refert.* — 30. *Contingens etiam in tres species subdividit et singulas exemplis declarat.* — **279** 31. *Singulis speciebus suas causas efficientes assignat.*

---

## CAPUT XXVIII.

*De materiis quæ in propositionibus considerantur, et de prædefinitione seu signo.*

1. Tres sese offerunt propositionum materiæ, necessaria, contingens, impossibilis. Quoniam enim in omni propositione et subjectus et prædicatus inest : terminus, habitudo prædicati ad subjectum tales materias progenerat. Prædicatus enim vel semper inest subjecto vel nunquam ; vel quandoque quidem inest, quandoque vero non inest. Si

A

## ΚΕΦΑΛ. ΚΗ'.

Περὶ τῶν ἐν ταῖς προτάσεσι θεωρουμένων ὑλῶν καὶ περὶ προσδιορισμοῦ.

α'. Τρεῖς ὕλαι τῶν προτάσεων φαίνονται, ἀναγκαία, ἐνδεχομένη, ἀδύνατος. Ἐπεὶ γὰρ πάσῃ προτάσει, καὶ ὑποκείμενος ἔνεστι καὶ κατηγορούμενος, ἡ σχέσις τοῦ κατηγορουμένου πρὸς τὸν ὑποκείμενον, τὰς τοιαύτας ὕλας ἀπογεννᾷ. Καὶ γὰρ ὁ κατηγορούμενος ἢ ἀεὶ ὑπάρχει τῷ ὑποκειμένῳ ἢ οὐδέποτε· ἢ ποτὲ μὲν ὑπάρχει, ποτὲ δ' οὐχ ὑπάρχει. Εἰ

OCR ABK / FR

μὲν οὖν ἀεὶ ὑπάρχει τῷ ὑποκειμένῳ, τὴν ἀναγκαίαν ὕλην ποιεῖ· εἰ δὲ οὐδέποτε, τὴν ἀδύνατον· εἰ δὲ ποτὲ μὲν ὑπάρχει, ποτὲ δ' οὐχ ὑπάρχει, τὴν ἐνδεχομένην. A

β'. Ἀναγκαίας μὲν οὖν ὕλης τὸ εἰπεῖν, Ὁ ἄνθρωπος ἀναπνεῖ, ἀεὶ γὰρ ὑπάρχει τῷ ἀνθρώπῳ τὸ ἀναπνεῖν. Ἀδυνάτου δὲ τὸ εἰπεῖν· Ὁ ἄνθρωπος ἵπταται· οὐδέποτε γὰρ ὑπάρχει τῷ ἀνθρώπῳ τὸ ἵπτασθαι· ἐνδεχομένης δὲ τὸ εἰπεῖν, Παῦλος δημηγορεῖ· ποτὲ μὲν γὰρ ὑπάρχει τῷ Παύλῳ τὸ δημηγορεῖν, ποτὲ δ' οὐχ ὑπάρχει.

γ'. Τὰς τοιαύτας δὲ σχέσεις ὕλας οἱ φιλόσοφοι προσηγόρευσαν· ὡς μὴ λαμβανομένας ἐκ τῆς ἡμετέρας ὑπολήψεως ἢ κατηγορίας, ἀλλ' ἀπὸ τῆς φύσεως τῶν πραγμάτων αὐτῆς.

B δ'. Διαφέρουσι δὲ τῶν τρόπων, τοῦ ἀναγκαίου δηλαδὴ καὶ ἀδυνάτου καὶ ἐνδεχομένου· τῷ τοὺς μὲν τρόπους ἐν τῷ ἐκφωνεῖσθαι μόνον, καὶ τοῖς ὅροις προστίθεσθαι τῶν προτάσεων ἔχειν τὴν ὑπόστασιν· τὰς δέ γε ὕλας ἐν αὐτῇ θεωρεῖσθαι τῶν πραγμάτων τῇ φύσει τῶν παραλαμβανομένων ἐν ταῖς προτάσεσιν.

ε'. Τριῶν οὖν οὐσῶν, ὡς εἴρηται, τῶν ὑλῶν, ἀναγκαίας, ἀδυνάτου καὶ ἐνδεχομένης, τὴν ἐνδεχομένην Ἀριστοτέλης εἰς δύο διαιρεῖ· εἴς τε τὴν ἐκβεβηκυῖαν, ἣν ὀνομάζει ὑπάρχουσαν, καὶ εἰς τὴν μέλλουσαν, ἣν καὶ κυρίως ἐνδεχομένην φησί.

ς'. Τῶν δὲ προτάσεων αἱ μέν εἰσι χωρὶς διορισμῶν, εἴτουν προσδιορισμῶν, ὅθεν καὶ ἀδιόριστοι καὶ ἀπροσδιόριστοι λέγονται· αἱ δὲ μετὰ διορισμῶν, τῶν καὶ προσδιορισμῶν. Διὸ καὶ διωρισμένας καὶ προσδιωρισμένας ταύτας φαμέν. C

ζ'. Τέσσαρες δέ εἰσιν οἱ διορισμοὶ οὗτοι καὶ προσδιορισμοί· πᾶς, οὐδείς, τὶς, οὐ πᾶς, καὶ πᾶς μὲν καὶ οὐδείς, καθόλου εἰσί· τὶς δὲ καὶ οὐ πᾶς μερικοί. Πάλιν, πᾶς καὶ τὶς καταφατικοί· οὐδεὶς δὲ καὶ οὐ πᾶς ἀποφατικοί.

η'. Πάντοτε δὲ τοῖς ὑποκειμένοις συντάσσονται πρὸ τῶν ὑποκειμένων τιθέμενοι· οἷον, Πᾶς ἄνθρωπος ἀναπνεῖ· τουτέστι, πάντα τὰ ὑπὸ τὸ εἶδος τοῦ ἀνθρώπου ἄτομα τὸ ἀναπνεῖν ἔχουσι. Τὸ γὰρ πᾶς οὐ τὸ καθόλου σημαίνει, ἀλλ' ὅτι καθόλου· τουτέστι τὸ εἰπεῖν, Πᾶς ἄνθρωπος, ἢ πᾶν ζῶον, οὐ σημαίνει τὴν τοῦ εἴδους ἢ τὴν τοῦ γένους φύσιν τὴν συλληπτικὴν καὶ ἑνοποιὸν πάντων τῶν ὑπ' αὐτά· ἀλλ' ὅτι καθόλου φέρεται τὸ κατηγορούμενον κατὰ πάντων τῶν μερικωτέρων, ἃ περιλαμβάνει τὸ ὑποκείμενον. Οὐδεὶς ἄνθρωπος ἵπταται, τουτέστιν, οὐδενὶ τῶν ὑπὸ τὸν ἄνθρωπον ἀτόμων ὑπάρχει τὸ ἵπτασθαι· ἤγουν οὐδενὶ τῶν ὑπὸ τὸ ὑποκείμενον ὑπάρχει τὸ κατηγορούμενον. Τὶς ἄνθρωπος φιλοσοφεῖ, τουτέστι, τινὶ τῶν ὑπὸ τὸ ὑποκείμενον, ἤτοι τὸν ἄνθρωπον ἀτόμων, ὑπάρχει τὸ κατηγορούμενον, τὸ φιλοσοφεῖν δηλονότι. Οὐ πᾶς ἄνθρωπος γεωμετρεῖ, τουτέστιν, οὐ παντὶ τῶν ὑπὸ τὸ ὑποκείμενον ἀτόμων ὑπάρχει τὸ κατηγορούμενον, ὅπερ ἐστὶ τὸ γεωμετρεῖν. D

θ'. Ἔργον τοίνυν τῶν προσδιορισμῶν τὸ μόνην σημαίνειν τὴν κατὰ (τὸ) πλῆθος διαφορὰν τῶν ὑπὸ τὸ

A quidem igitur semper inest subjecto, necessariam efficit materiam; sin nunquam, impossibilem: quod si autem aliquando quidem inest, aliquando vero non inest, contingentem.

2. Necessariæ igitur materiæ est dicere, Homo respirat. Semper enim homini respirare inest. Impossibilis autem est dicere: Homo volat: nunquam enim homini volare inest. Contingentis denique, ut dicere: Paulus concionatur: concionari enim Paulo alias inest quidem, alias vero non inest.

3. Appellaverunt autem philosophi habitudines ejuscemodi materias: quod non ex nostra opinione aut prædicatione, sed ex ipsa rerum natura assumantur.

B **280** 4. At a modis necessario videlicet et impossibili et contingente differunt, quod modi quidem in hoc tantum quod efferuntur et propositionum terminis apponuntur, suam constitutionem habent; materiæ autem in ipsa rerum in propositionibus assumptarum natura considerantur.

5. Cum ergo tres, ut dictum est, sint materiæ, necessaria, impossibilis et contingens; Aristoteles contingentem in duas dividit, et in eam quæ evenit, quam exsistentem nominat; et in futuram, quam etiam proprie contingentem dicit.

6. Porro propositionum aliæ sunt absque definitionibus sive prædefinitionibus (unde etiam indefinitæ et imprædefinitæ dicuntur), aliæ cum definitionibus, quæ etiam prædefinitiones appellantur. C Quare etiam has definitas et prædefinitas dicimus.

7. Quatuor autem sunt hæ definitiones et prædefinitiones: omnis, nullus, aliquis, non omnis. Ac omnis quidem et nullus, universales sunt: aliquis autem et non omnis, particularis. Rursum omnis et aliquis, affirmativæ: nullus et non omnis negativæ.

8. Semper autem cum subjectis junguntur, dum subjectis præponuntur, **281** velut, Omnis homo respirat: hoc est, omnia sub specie hominis individua τό respirare habent. Τό omnis enim non universale significat, sed quod universaliter (universale accipiatur), hoc est, dicere, Omnis homo aut omne animal, non significat speciei aut generis naturam comprehendentem et unicatem omnia D quæ sub ipsis sunt, sed quod prædicatum universaliter effertur de omnibus particularioribus quæ subjectum complectitur. Nullus homo volat, hoc est, nulli hominis individuo volare inest, quippe nulli eorum quæ subjecto subsunt prædicatum inest. Aliquis homo philosophatur, hoc est, alicui eorum quæ subjecto sive homini subsunt, individuum inest, philosophari scilicet. Non omnis homo terram metitur: hoc est, non omnibus individuis quæ subsunt homini prædicatum inest, quod est terram metiri.

9. Munus igitur prædefinitionum est solam significare differentiam multitudinis eorum quæ ad



OCR ABK/ FR

subjectum referuntur, quod vel communicent vel non communicent prædicato.

10. Cæterum universales propositiones sive eas quæ universales prædefinitiones habent, **282** etiam universales ut universales, seu universaliter (acceptas) vocant; propterea quod in his cum universalibus subjectis universales prædefinitiones conjunguntur; particulares autem propositiones, eas puta quæ particulares prædefinitiones habent, etiam universales ut particulares (seu particulariter acceptas) nominant. In his enim particulares prædefinitiones universalibus subjectis conjunguntur. Homo enim universale subjectum est, ut quod omnia sub ipso individua contineat. At aliquis et non omnis particulares prædefinitiones sunt.

11. Differunt autem a propositionibus singularibus particulares, quod singulares quidem de re aliqua finita una, exempli gratia, de Petro, enuntiationem faciant, velut, Petrus edit miracula: particulares vero nihil finitum significent, sed de aliquo, quidquid id est, enuntiationem, velut, Aliquis homo est justus.

12. Jam autem prædefinitarum propositionum quotquot prædefinitionem τό omnis habent, universales affirmativæ propositiones et affirmationes sunt; **283** quotquot eam, quæ est nullus, universales negativæ et negationes: quotquot eam quæ est aliquis, particulares affirmativæ et affirmationes; quotquot eam quæ est, non omnis, particulares negativæ et negationes sunt.

13. Efferuntur autem absolute dictæ prædefinitiones nomine feminino (in Græco quidem), velut ἡ πᾶς, omnis; ἡ οὐδεὶς, nullus; ἡ τὶς, aliquis, et ἡ οὐ πᾶς, non omnis.

14. Universalis igitur affirmativa propositio et universalis negativa, nempe ἡ πᾶς, omnis, et ἡ οὐδεὶς, nullus (secundum relationem enim ad propositiones femininum nomen prædefitiones assumpserunt), hæ inquam universales, contrariæ sunt, iisdem terminis, quoad eumdem ordinem custoditis, ut nimirum in omni propositionum oppositione fieri debet, solis prædefinitionibus variantibus.

15. Contrariæ autem dicuntur propterea quod contraria imitentur. Nam et plurimum a se invicem distant: siquidem una affirmat universaliter, altera negat universaliter.

16. Et cum immediatis tum mediatis contrariis sunt similes: immediatis quidem in materia necessaria et impossibili. Nam et contrariorum immediatorum ex necessitate adest alterum subjecto; **284** et ejusmodi propositionum ex necessitate altera vera est, altera falsa in dictis materiis: in necessaria quidem affirmativa, velut, Omnis homo respirat: in impossibili autem, negativa, velut Nullus homo volat.

17. Omnino autem exsistentiæ quidem verum, inexsistentiæ vero falsum proportione respondet. In

A ὑποκείμενον ἀναφερομένων, ἢ ὡς μετεχόντων, ἢ ὡς μὴ μετεχόντων τοῦ κατηγορουμένου.

ι'. Καλοῦσι δὲ τὰς καθόλου προτάσεις, ἤτοι τὰς ἐχούσας τοὺς καθόλου προσδιορισμοὺς, καὶ καθόλου ὡς καθόλου· διότι ἐπὶ τούτων τοῖς καθόλου ὑποκειμένοις οἱ καθόλου συντάττονται προσδιορισμοί· τὰς δὲ μερικὰς προτάσεις, ἤγουν τὰς ἐχούσας τοὺς μερικοὺς προσδιορισμοὺς, ὀνομάζουσι (καὶ) καθόλου ὡς μερικάς. Ἐπὶ τούτων γὰρ οἱ μερικοὶ προσδιορισμοὶ τοῖς καθόλου ὑποκειμένοις συντάττονται. Καθόλου μὲν γὰρ ὑποκείμενον ὁ ἄνθρωπος, ὡς περιέχον πάντα τὰ ὑπ' αὐτὸν ἄτομα· τὸ δὲ τὶς καὶ τὸ οὐ πᾶς μερικοὶ προσδιορισμοί.

B ια'. Διαφέρουσι δὲ τῶν καθέκαστα προτάσεων αἱ μερικαὶ τῷ τὰς μὲν καθέκαστα ποιεῖσθαι τὴν ἀπόφανσιν ἐπί τινος ὡρισμένου ἑνὸς τοῦ Πέτρου τυχόν· οἷον, Πέτρος θαυματουργεῖ. Τὰς δὲ μερικὰς μηδὲν ὡρισμένον σημαίνειν, ἀλλ' ἐπί τίνος τοῦ τυχόντος ποιεῖσθαι τὴν ἀπόφανσιν· οἷον, Τὶς ἄνθρωπος δίκαιός ἐστι.

ιβ'. Τῶν δὲ προσδιωρισμένων προτάσεων, ὅσαι μὲν ἔχουσι τὸν πᾶς προσδιορισμὸν, καθόλου καταφατικαὶ προτάσεις καὶ καταφάσεις εἰσίν· ὅσαι δὲ τὸν οὐδεὶς, καθόλου ἀποφατικαὶ καὶ ἀποφάσεις· ὅσαι δὲ τὸν τὶς, μερικαὶ καταφατικαὶ καὶ καταφάσεις· ὅσαι δὲ τὸν οὐ πᾶς, μερικαὶ ἀποφατικαὶ καὶ ἀποφάσεις.

C ιγ'. Ἐκφέρονται δὲ ἀπολύτως οἱ ῥηθέντες προσδιορισμοὶ ὀνόματι θηλυκῷ· οἷον ἡ πᾶς, καὶ ἡ οὐδεὶς, καὶ ἡ τὶς, καὶ ἡ οὐ πᾶς.

ιδ'. Ἡ μὲν οὖν καθόλου καταφατικὴ πρότασις, καὶ ἡ καθόλου ἀποφατικὴ, ἤγουν ἡ πᾶς, ἡ οὐδεὶς (κατὰ γὰρ τὴν εἰς τὰς προτάσεις ἀναφορὰν τὸ θηλυκὸν οἱ προσδιορισμοὶ προσέλαβον ὄνομα), αὗται δὴ αἱ καθόλου ἐναντίαι εἰσὶ τῶν αὐτῶν ὅρων κατὰ τὴν αὐτὴν τάξιν φυλαττομένων· δηλονότι κατὰ πᾶσαν ἀντίθεσιν τῶν προτάσεων, μόνων δ' ἐναλλαττομένων τῶν προσδιορισμῶν.

ιε'. Ἐναντίαι δὲ λέγονται διὰ τὸ τἀναντία μιμεῖσθαι. Πλεῖστόν τε γὰρ διεστήκασιν ἀπ' ἀλλήλων· εἴ D γε ἡ μὲν καταφάσκει καθόλου, ἡ δὲ ἀποφάσκει καθόλου.

ιϛ'. Καὶ τοῖς ἀμέσοις καὶ τοῖς ἐμμέσοις ἐναντίοις ἐοίκασι· τοῖς μὲν ἀμέσοις, ἐπὶ τῆς ἀναγκαίας ὕλης καὶ ἀδυνάτου. Τῶν τε γὰρ ἀμέσων ἐναντίων, ἐξ ἀνάγκης τῷ ὑποκειμένῳ πάρεστι θάτερον. Καὶ τῶν τοιούτων προτάσεων ἐξ ἀνάγκης ἡ ἑτέρα καθέστηκεν ἀληθὴς ἐπὶ τῶν εἰρημένων ὑλῶν· ἐπὶ μὲν τῆς ἀναγκαίας ἡ καταφατική· οἷον, Πᾶς ἄνθρωπος ἀναπνεῖ· ἐπὶ δὲ τῆς ἀδυνάτου ἡ ἀποφατική· οἷον, Οὐδεὶς ἄνθρωπος ἵπταται.

ιζ'. Πάντως δὲ τῇ μὲν ὑπάρξει τὸ ἀληθὲς ἀναλογεῖ· τῇ δ' ἀνυπαρξίᾳ τὸ ψεῦδος. Κατὰ μὲν οὖν ταύτας

OCR ABK / FR

τὰς ὕλας ἡ πᾶς, καὶ ἡ οὐδείς, τοῖς ἀμέσοις ἐναντίοις A ἐοίκασι.

ιη'. Κατὰ δὲ τὴν ἐνδεχομένην τοῖς ἐμμέσοις ὧν δυνατὸν μηδ' ἕτερον παρεῖναι τῷ ὑποκειμένῳ. Καὶ ἄμφω αἱ προτάσεις κατὰ τὴν ἐνδεχομένην ὕλην συμψεύδονται· οἷον, Πᾶς ἄνθρωπος δίκαιός ἐστιν, Οὐδεὶς ἄνθρωπος δίκαιός ἐστιν.

ιθ'. Ἢ καὶ ὅτι αἱ δηλωθεῖσαι προτάσεις οὐδέποτε μὲν συναληθεύουσι, ποτὲ δὲ καὶ συμψεύδονται· καὶ κατὰ τοῦτ' ἂν εἰκότως ἐναντίαι κατονομάζοιντο. Τὰ γὰρ ἐναντία συνυπάρχειν μὲν ἀλλήλοις κατ' ἐνέργειαν ἐπὶ τοῦ αὐτοῦ ὑποκειμένου ἀδύνατον· ἅμα δ' ἀπεῖναι αὐτοῦ δυνατόν.

κ'. Καὶ ὅτι μὲν αἱ ῥηθεῖσαι προτάσεις ἐναντίαι, καὶ διότι δεδήλωται.

B

κα'. Ἡ δὲ μερικὴ καταφατική, καὶ ἡ μερικὴ ἀποφατική, καλοῦνται ὑπεναντίαι· ὡς ὑπὸ ταῖς ἐναντίαις τεταγμέναι κἀκείναις ἑπόμεναι. Καὶ γὰρ ὅταν ἡ ἑτέρα τῶν καθόλου ἀληθεύῃ, τότε συναληθεύει καὶ ἡ ὑπ' αὐτὴν μερική· ὡς οἷον μέρος αὐτῆς οὖσα, καὶ ὑπ' αὐτῆς περιεχομένη.

κβ'. Διὸ καὶ τὰς καταφατικὰς προτάσεις, τὴν καθόλου λέγω δὴ καὶ τὴν μερικήν, τὴν πᾶς καὶ τὴν τίς, καὶ αὖθις τὰς ἀποφατικάς, τὴν οὐδεὶς καὶ οὐ πᾶς, ὑπαλλήλους καλοῦσιν· οὐχ ὅτιπερ ὡς ἡ τὶς ὑπὸ τὴν πᾶς, οὕτω δὴ καὶ ἡ πᾶς ὑπὸ τὴν τίς· καὶ ὡς ἡ οὐ πᾶς ὑπὸ τὴν οὐδείς, οὕτω καὶ ἡ οὐδεὶς ὑπὸ τὴν οὐ πᾶς (τοῦτο γὰρ ψεῦδος ὁμοῦ καὶ ἀδύνατον)· ἀλλ' ὅτι τὸ ὑπὸ τὴν πᾶς εἶναι τὴν τίς, καὶ συναληθεύειν αὐτῇ, δίδωσι μὲν ἡ πᾶς, ὡς καθόλου· λαμβάνει δὲ ἡ τίς, ὡς μέρος τῆς πᾶς, καὶ οὕτως ἐκ τῆς πᾶς τῇ τὶς ὄντος τοῦ ὑποκεῖσθαι, ὡς τῆς ὑπό, ἐν ἀλλήλοις θεωρουμένης· ἐν μὲν τῇ πᾶς ἐνεργητικῶς· ἐν δὲ τῇ τὶς τὸ ὑποκεῖσθαι· τῆς δὲ τὶς δεχομένης αὐτὸ διὰ τὴν ἀλληλουχίαν καὶ ἄμφω ὑπάλληλοι κέκληνται. Κατὰ τοὺς αὐτοὺς λόγους ὑπάλληλοι, καὶ ἡ οὐδεὶς καὶ ἡ οὐ πᾶς.

his igitur materiis, omnis et nullus, contrariæ propositiones immediatis contrariis sunt similes.

18. At vero contigenti materia mediatis contrariis, quorum neutrum subjecto adesse est possibile; et ambæ propositiones in materia contingenti simul metiuntur: velut, Omnis homo justus est, Nullus homo justus est.

19. Aut vero etiam quod declaratæ propositiones nunquam equidem simul verum dicunt, aliquando autem etiam simul falsum aiunt; hac etiam de causa merito contrariæ denominabuntur. Contraria enim coexsistere quidem invicem actu in eodem subjecto impossibile, simul autem ab eodem abesse possibile est.

20. Et quod igitur dictæ propositiones sint contrariæ et quare declaratum est.

21. Jam vero particularis affirmativa et particularis negativa **285** subcontrariæ vocantur, ut quæ sub contrariis positæ sint et illas sequantur. Cum enim altera universalium verum dicit, tum etiam particularis quæ sub ea est, verum profitetur, ut quæ velut pars sit illius et ab ipsa contineatur.

C

22. Propterea etiam affirmativas propositiones, universalem inquam et particularem, omnis et aliquis; et iterum negativas et non omnis ὑπαλλήλους, id est subalternas, vocant, non equidem quod sicut aliquis sub omnis, ita etiam omnis sub aliquis: et sicut non omnis sub nullus, ita etiam nullus sub non omnis sit (hoc enim falsum juxta et impossibile est), sed quod τὸ aliquis esse sub τῷ omnis et simul cum eo verum dicere, concedit quidem omnis ut universales; accipit autem etiam aliquis ut pars ipsius τοῦ omnis: atque ita cum ipsum subjici sit τῷ aliquis ex τῷ omnis quasi præpositio, ὑπό, ἐν ἀλλήλοις id est in alterius, consideretur et accipiatur, in omnis quidem active, in aliquis autem passive; hoc est, ut τὸ omnis quidem τῷ aliquis præbeat ipsum subjectum esse, id autem τὸ aliquis recipiat propter mutuam cohærentiam; ideo ambæ ὑπάλληλοι, id est, **286** subalternæ vocatæ sunt. Iisdem rationibus subalternæ sunt etiam τὸ nullus et non omnis.

κγ'. Εἰ δὲ καὶ τοῖς ὑπαλλήλοις γένεσιν οἱ παρόντες ἁρμόζουσι λόγοι, σκοπείτω ὁ ἐξεταστικός.

D

κδ'. Ἡ μὲν οὖν πᾶς καὶ ἡ οὐδεὶς ἐναντίαι· ἡ τὶς καὶ οὐ πᾶς ὑπεναντίαι· ἡ πᾶς καὶ τίς, καὶ αὖθις ἡ οὐδεὶς καὶ ἡ οὐ πᾶς ὑπάλληλοι· μόναι δὲ τῶν ἄλλων προτάσεων ἀντιφατικῶς ἀλλήλαις ἀντίκεινται, καὶ διαιροῦσιν ἀεὶ τὴν ἀλήθειαν καὶ τὸ ψεῦδος ἡ καθόλου καταφατικὴ καὶ ἡ μερικὴ ἀποφατική· καὶ πάλιν ἡ μερικὴ καταφατικὴ καὶ ἡ καθόλου ἀποφατική· ἤγουν ἡ πᾶς καὶ οὐ πᾶς· καὶ ἡ τὶς καὶ οὐδείς· καὶ τοῦτο εἰκότως.

κε'. Αἱ μὲν γὰρ ἐναντίαι κατὰ τὸ ποιὸν διαφέρουσαι (καταφατικὴ γὰρ ἡ μία καὶ ἡ ἑτέρα ἀποφατική) ποσὸν ἔχουσι τὸ αὐτό. Καὶ ἄμφω γὰρ καθόλου· αἱ ὑπεναντίαι ὡσαύτως τῷ ποιῷ διαφέρουσαι τὸ αὐτὸ ποσὸν ἔχουσι. Μερικαὶ γὰρ καὶ ἄμφω· αἱ ὑπάλληλοι τοὐναντίον κατὰ τὸ ποσὸν διαφέρουσαι, ποιὸν ἔχουσι τὸ αὐτό. Ἡ μὲν γὰρ μία συζυγία τὸ καταφατικὸν

23. Utrum autem quæ hic dicuntur generibus subalternis congruant, accuratus rei indagator consideret.

24. Τὸ omnis igitur et nullus contrariæ; aliquis et non omnis subcontrariæ; omnis et aliquis, ac iterum nullus et non omnis, subalternæ sunt propositiones. Solæ autem ex aliis propositionibus contradictoriæ sibi invicem opponuntur, et verum falsumque semper dividunt universalis affirmativa et particularis negativa, et iterum particularis affirmativa et universalis negativa, hoc est, omnis et non omnis, ac aliquis et nullus; idque merito.

25. Etenim contrariæ secundum qualitatem differentes (una quippe affirmativa, altera negativa est) eamdem quantitatem habent: nimirum ambæ universales sunt. Eodem modo subcontrariæ qualitate differentes eamdem quantitatem habent, quippe etiam ambæ particulares sunt. Subalternæ contra quantitate differentes eamdem qualitatem

OCR ABK / FR

habent : una enim conjugatio affirmativum, altera A negativum habet : in utraque autem conjugatione **287** sola quantitas diversa est. Etenim τὸ omnis universalis ; et τὸ aliquis particularis : ac iterum, τὸ nullus universalis ; et non omnis particularis est. Qualitas igitur quidem est affirmativum et negativum : quantitas autem, universale aut particulare. Omnes igitur propositionum conjugationes, in quibus contrarium, in quibus subcontrarium, in quibus subalternum est, secundum quid communicant, et secundum quid differunt. Atqui universalis affirmativa et particularis negativa cum qualitate tum quantitate pugnantes perfectam ad se invicem differentiam habent : quemadmodum sane etiam particularis affirmativa et universalis negativa. Propterea etiam ipsis simul verum aut falsum unquam B dicere est impossibile. Nam in materia quidem necessaria verum dicentibus affirmationibus negationes falsæ sunt : in impossibili autem vice versa. In contingente una affirmatio quæ universalis falsa ; et huic contradicens negatio particularis, vera : ac una affirmatio quæ est particularis, vera ; et huic contradicens negatio universalis, falsa est.

A ἔχει, ἡ δ' ἑτέρα τὸ ἀποφατικόν. Ἐν ἑκατέρᾳ δὲ τῶν συζυγιῶν, τὸ ποσὸν μόνον διάφορον. Ἡ πᾶς γὰρ καθόλου, καὶ ἡ τὶς μερική. Καὶ αὖθις ἡ οὐδεὶς καθόλου, καὶ ἡ οὐ πᾶς μερική. Ποιὸς μὲν οὖν ἐστι τὸ καταφατικὸν ἢ ἀποφατικόν· ποσὸν δὲ, τὸ καθόλου ἢ μερικόν. Πᾶσαι τοίνυν αἱ συζυγίαι τῶν προτάσεων, ἐν αἷς τὸ ἐναντίον, ἐν αἷς τὸ ὑπεναντίον, ἐν αἷς τὸ ὑπάλληλον κατά τι μὲν κοινωνοῦσι, κατά τι δὲ διαφέρουσιν. Ἡ δὲ καθόλου καταφατικὴ καὶ ἡ μερικὴ ἀποφατικὴ, καὶ κατὰ τὸ ποιὸν καὶ κατὰ τὸ ποσὸν μαχόμεναι, τελείαν ἔχουσι τὴν πρὸς ἀλλήλας διαφοράν· ὥσπερ δὴ καὶ ἡ μερικὴ καταφατικὴ καὶ ἡ καθόλου ἀποφατική. Διὸ καὶ ἀδύνατον συναληθεύειν αὐτὰς ἢ συμψεύδεσθαι πώποτε. Ἐπὶ μὲν γὰρ τῆς ἀναγκαίας ὕλης ἀληθευουσῶν τῶν καταφάσεων αἱ ἀποφάσεις ψευδεῖς εἰσιν, ἐπὶ τῆς ἀδυνάτου δὲ τὸ ἔμπαλιν· ἐπὶ τῆς ἐνδεχομένης μία κατάφασις ψευδὴς ἡ καθόλου, καὶ ἡ ἀντιφάσκουσα ταύτῃ ἀπόφασις ἡ μερικὴ ἀληθής· καὶ μία κατάφασις ἀληθὴς, ἡ μερικὴ, καὶ ἡ ἀντιφάσκουσα ταύτῃ ἀπόφασις ἡ καθόλου ψευδής.

**288** 26. Cæterum haud existimandum est particularem negationem in materia impossibili cum universali negatione simul falsum dicere, velut cum ea Omnis homo volat, hanc, Non omnis homo volat. Neque enim τὸ non omnis, ex necessitate simul infert τὸ aliquis, ut hæc, Non omnis homo volat, idem ei dicat, Aliquis homo volat. Etenim τὸ non omnis, ipsum per seipsum duntaxat accipimus, C quasi propriam habens potestatem, qua prædefinitionem τοῦ omnis tollat, ut nihil, aliud attrahat. In quibus igitur rebus τὸ omnis mentitur, in illis τὸ non omnis verum dicit, ut quod τοῦ omnis tollendi facultatem habeat. Nihil enim aliud ait dicens : Non omnis homo volat, quam, non est hoc verum, quod omnis homo volet. Præterea quemadmodum particularis affirmatio pars est universalis affirmationis : ita etiam particularis negatio universalis negationis pars est. Quoniam igitur particularis affirmatio partim quidem propter seipsam verum dicit, ut in contingente materia : partim autem propter universalem negationem, cujus pars est, ut in materia necessaria (si enim omnis homo respirat, etiam aliquis homo respirat). **289** Erit hoc etiam in particulari negatione. Nam et ipsa partim D quidem propter seipsam verum dicit, ut in contingente materia : partim autem propter universalem negationem, ut in impossibili. Si enim nullus homo volat : etiam non omnis homo volat. Itaque ἡ non omnis in impossibili materia propter τὴν nullus verum dicit, quemadmodum etiam ἡ aliquis propter τὴν omnis.

κϛ'. Οὐ χρὴ δ' ὑπολαμβάνειν τὴν μερικὴν ἀπόφασιν ἐπὶ τῆς ἀδυνάτου ὕλης τῇ καθόλου καταφάσει συμψεύδεσθαι. Οἷον τῇ, Πᾶς ἄνθρωπος ἵπταται, τὴν, Οὐ πᾶς ἄνθρωπος ἵπταται. Οὐδὲ γὰρ ἡ, Οὐ πᾶς, ἐξ ἀνάγκης συνεισάγει τὴν τὶς ὥστε τὴν, Οὐ πᾶς ἄνθρωπος ἵπταται, ταυτὸ λέγει τῇ, Τὶς ἄνθρωπος ἵπταται. Τὸ γὰρ, Οὐ πᾶς, αὐτὸ καθ' αὑτὸ λαμβάνομεν μόνον, ὡς ἰδίαν ἔχον δύναμιν, καθ' ἣν C τὸν πᾶς προσδιορισμὸν ἀναιρεῖ, μηδὲν ἐπισυρόμενον ἕτερον. Ἐφ' ὧν οὖν πραγμάτων τὸ πᾶς ψεύδεται, ἐπ' ἐκείνων ἀληθεύει τὸ οὐ πᾶς, ὡς τοῦ πᾶς ἀναιρετικόν. Οὐδὲν γὰρ ἕτερόν φησιν ὁ λέγων, ὅτι, Οὐ πᾶς ἄνθρωπος ἵπταται, ἢ ὅτι οὐκ ἔστι τοῦτο, ὅτι πᾶς ἄνθρωπος ἵπταται. Ἔτι ὥσπερ ἡ μερικὴ κατάφασις τῆς καθόλου καταφάσεως μέρος ἐστίν· οὕτω καὶ ἡ μερικὴ ἀπόφασις τῆς καθόλου ἀποφάσεως μέρος ἐστίν. Ἐπεὶ γοῦν ἡ μερικὴ κατάφασις πῇ μὲν δι' ἑαυτὴν ἀληθεύει, καθάπερ ἐπὶ τῆς ἐνδεχομένης ὕλης, πῇ δὲ διὰ τὴν καθόλου κατάφασιν, ἧς μέρος ἐστὶ καθάπερ ἐπὶ τῆς ἀναγκαίας ὕλης (εἰ γὰρ πᾶς ἄνθρωπος ἀναπνεῖ, καὶ τὶς ἄνθρωπος ἀναπνεῖ), τοῦτ' ἔσται καὶ ἐπὶ τῆς μερικῆς ἀποφάσεως. Καὶ αὕτη γὰρ πῇ μὲν ἀληθεύει δι' ἑαυτὴν, D ὡς ἐπὶ τῆς ἐνδεχομένης ὕλης, πῇ δὲ διὰ τὴν καθόλου ἀπόφασιν ὥσπερ ἐπὶ τῆς ἀδυνάτου. Εἰ γὰρ οὐδεὶς ἄνθρωπος ἵπταται, καὶ οὐ πᾶς ἄνθρωπος ἵπταται. Ἀληθεύει ἄρα ἡ οὐ πᾶς ἐπὶ τῆς ἀδυνάτου διὰ τὴν οὐδείς· ὥσπερ καὶ ἡ τὶς ἐπὶ τῆς ἀναγκαίας διὰ τὴν πᾶς.

27. Cæterum duplex est necessarium ; unum quidem proprie quod subjecto semper inest, ut soli moveri et homini respirare : alterum vero non proprie, quod ex necessitate est, quantisper prædicatum subjecto inest : velut obscurari solem a

κζ'. Διττὸν δὲ τὸ ἀναγκαῖον· τὸ μὲν κυρίως, ὅπερ τῷ ὑποκειμένῳ ὑπάρχει ἀεί· ὡς τῷ ἡλίῳ τὸ κινεῖσθαι, καὶ τῷ ἀνθρώπῳ τὸ ἀναπνεῖν· τὸ δὲ μὴ κυρίως, ὅπερ ἐστὶν ἐξ ἀνάγκης ἔστ' ἂν τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον ᾖ· οἷον τὸ ἐπιπροσθεῖσθαι τὸν

OCR ABK / FR

ἥλιον ὑπὸ τῆς σελήνης ἢ τοῦ νέφους, ἕστ' ἂν ἐπι- A προσθῆται ἀναγκαῖόν ἐστιν· ἁπλῶς δ' ἀναγκαῖον οὐκ ἔστι. Τοιοῦτόν ἐστι καὶ τὸ τὸν βαδίζοντα βαδίζειν ἐξ ἀνάγκης· καὶ τὸ τὸν ἱστάμενον, ἵστασθαι.

κη'. Διττὸν δὲ καὶ τὸ ἐξ ἀνάγκης μὴ ὄν, ὅπερ ἐστὶ τὸ ἀδύνατον· τὸ μὲν κυρίως, ὡς τῷ πυρὶ τὸ ψύχειν, καὶ τῷ ἀνθρώπῳ τὸ ἵπτασθαι· τὸ δὲ μὴ κυρίως, ἀλλ' ἕστ' ἂν μὴ ᾖ τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, ὡς τὸ βαδίζειν τῷ μὴ βαδίζοντι, καὶ τῷ μὴ ἱσταμένῳ τὸ ἵστασθαι.

κθ'. Τὸ μὲν οὖν κυρίως ἐξ ἀνάγκης ὂν τῆς ἀναγκαίας ὕλης ἐστί· τὸ δὲ κυρίως ἐξ ἀνάγκης μὴ ὂν τῆς ἀδυνάτου· τὸ δ' ἕστ' ἂν ᾖ τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον ὄν· ἕστ' ἂν δὲ μὴ ᾖ τῷ ὑποκειμένῳ τὸ κατηγορούμενον, μὴ ὂν τῆς ἐνδεχομένης ὕλης ἐστίν.

B λ'. Εἰς τρία δὲ διαιρεῖται τὸ ἐνδεχόμενον· εἰς τὸ ἐπιπολὺ, τὸ ἐπίσης, καὶ τὸ ἐπ' ἔλαττον. Ἐπὶ πολὺ μὲν, ὡς τὸ τὸν ἄνθρωπον πενταδάκτυλον εἶναι· ἐπίσης, ὡς τὸ ἀναγνῶναι καὶ μὴ ἀναγνῶναι· ἐπ' ἔλαττον, ὡς τὸ τὸν σκάπτοντα θησαυρῷ περιτυχεῖν.

λα'. Τὸ μὲν οὖν ἐπιπολὺ ἐνδεχόμενον φύσεως καὶ τέχνης ἐστίν· ἐπείπερ ἥ τε φύσις ἐν τοῖς οἰκείοις ἀποτελέσμασιν ὡς ἐπιπολὺ κατορθοῖ. Σπάνια γὰρ τὰ τέρατα, καὶ ἡ τέχνη τοῦ οἰκείου τέλους τυγχάνει ὡς ἐπιπολύ· τὸ δ' ἐπίσης ἐνδεχόμενον προαιρέσεως ἔργον ἐστίν. Ἐφ' ἡμῖν γὰρ, καὶ ἀναγνῶναι καὶ μὴ ἀναγνῶναι, καὶ λούσασθαι καὶ μὴ λούσασθαι. Τοῦτο δὲ τοῦ ἐνδεχομένου τὸ εἶδος καλεῖται καὶ ὁπότερον ἔτυχε· διότι κατὰ τοῦτο οὐδὲν πλέον τῆς ἀνυπαρξίας ἡ ὕπαρξις ἔχει, οὔτ' ἔλαττον· ἀλλ' ὁμοίως ἐκ- C βῆναι δυνατὸν, ὁπότερον ἔτυχε τῆς ἀντιφάσεως μόριον. Τὸ δ' ἐπ' ἔλαττον ἐνδεχόμενον τύχης καὶ αὐτομάτου ἐστί. Καὶ κατὰ τύχην μὲν λέγομεν, ἃ τοῖς κατὰ προαίρεσιν γινομένοις παρυφίσταται· καθὰ τῷ σκάπτειν ἡ εὕρεσις τοῦ θησαυροῦ. Τύχη γάρ ἐστιν αἴτιον κατὰ συμβεβηκὸς ἐν τοῖς κατὰ προαίρεσιν· κατὰ δὲ τὸ αὐτόματον λέγομεν, ἃ τοῖς κατὰ φύσιν γινομένοις καὶ μὴ κατὰ προαίρεσιν παρυφίσταται· ὡς τὸ σεισμοῦ γεγονότος, καὶ τινος διαστάντος μέρους τῆς γῆς, ὕδατος ἀναῤῥαγῆναι πηγήν. Αὐτόματον γάρ ἐστιν αἴτιον κατὰ συμβεβηκὸς ἐν τοῖς μὴ κατὰ προαίρεσιν.

A luna vel nube quantisper obscuratur necessarium est simpliciter autem necessarium non est. Tale est etiam hoc, ambulantem ambulare ex necessitate; et hoc, stantem stare.

28. Duplex etiam est, quod ex necessitate non est, quod est impossibile: unum quidem proprie, ut ignem refrigerare et hominem volare; alterum vero non proprie, sed donec prædicatum subjecto non inest, ut ambulare non ambulanti; et stare non stanti.

29. Quod quidem igitur proprie est **290** ex necessitate materiæ est necessariæ; quod vero proprie ex necessitate non est, impossibilis; quod denique donec prædicatum inest subjecto est; et contra donec prædicatum non inest subjecto, non B ens, contingentis est materiæ.

30. Jam vero contingens in tria dividitur; in id quod ut plurimum, quod ex æquo, et ut minimum (est contingens); ut plurimum quidem, ut hominem esse quinque digitis præditum: ex æquo, ut legere et non legere: ut minimum, velut fodientem incidere in thesaurum.

31. Quod igitur quidem ut plurimum contingens est naturæ et artis est: quandoquidem et natura in propriis effectis et operibus recte fungitur suo munere: monstra enim rara sunt: et ars proprium finem ut plurimum consequitur. Quod autem ex æquo contingens est electionis opus est. Etenim penes nos est et legere et non legere, et lavare et non lavare. Et hæc contingentis species vocatur etiam, utrumvis acciderit; propterea quod secun- C dum id exsistentia præ inexsistentia nihil neque plus neque minus habet, sed similiter evincere potest utravis contradictionis pars contigerit. **291** Quod denique ut minimum contingens est, fortunæ et casus est. Et secundum quidem fortunam dicimus, quæ subsistunt cum iis quæ secundum electionem fiunt, ut inventio thesauri cum fossione. Fortuna enim causa est per accidens in iis quæ secundum electionem fiunt. Secundum casum autem dicimus ea quæ cum illis subsistunt, quæ secundum naturam fiunt, non secundum electionem: velut terræ motu facto et aliqua terræ parte scissa aquæ fontem erupisse. Casus enim causa est per accidens in iis quæ secundum electionem non fiunt.

Σχῆμα κεφαλ. κη', περὶ τῶν ἐν ταῖς προτάσεσι θεωρουμένων ὑλῶν καὶ προσδιορισμῶν

Ὕλαι τῶν προτάσεων {
ἀναγκαία, οἷον, ἄνθρωπος ἀναπνεῖ·
ἐνδεχομένη, οἷον, Παῦλος δημηγορεῖ·
ἀδύνατος, οἷον, ἄνθρωπος ἵπταται.

OCR ABK / FR

Προσδιορισμοί.




| | |
|---|---|
| Τῶν προτάσεων | αἱ μὲν προσδιωρισμέναι· οἷον, πᾶς ἄνθρωπος ἀναπνεῖ. <br> αἱ δὲ ἀπροσδιόριστοι· οἷον, ἵππος τρέχει. |
| Τὸ ἀναγκαῖον | ἢ κυρίως, ὡς τῷ ἀνθρώπῳ τὸ ἀναπνεῖν· <br> ἢ μὴ κυρίως, ὡς τὸ τὸν βαδίζοντα βαδίζειν ἀνάγκης. |
| Τὸ ἀδύνατον | ἢ κυρίως, ὡς τῷ ἀνθρώπῳ ἵπτασθαι· <br> ἢ μὴ κυρίως, ἀλλ' ἔστ' ἂν μὴ ᾖ τὸ κατηγορούμενον, ὡς τὸ βαδίζειν τῷ μὴ βαδίζοντι. |
| Τὸ ἐνδεχόμενον διαιρεῖται | εἰς τὸ ὑπιπολύ, ὡς τὸ τὸν ἄνθρωπον πενταδάκτυλον εἶναι· <br> εἰς τὸ ἐπίσης, ὡς τὸ ἀναγνῶναι καὶ μὴ ἀναγνῶναι. <br> εἰς τὸ ὑπ' ἔλαττον, ὡς τὸ σκάπτοντα θησαυρῷ περιτυχεῖν. |

—

*Tabula capitis 28, de materiis quæ in propositionibus considerantur, et prædefitionibus.*

| | |
|---|---|
| Materia propositionum (sunt) | necessaria, velut, homo respirat, <br> contingens, velut, Paulus concionatur, <br> impossibilis, velut, homo volat. |

**292** *Prædefinitiones.*




| | |
|---|---|
| Necessarium (est) aut | proprie, ut homini respirare, <br> non proprie, ut ambulantem ambulare ex necessitate. |
| Impossibile (est) aut | proprie, ut homini volare, <br> improprie, sed donec prædicatum non inest, ut ambulare non ambulanti. |
| Contingens dividitur in | id quod ut plurimum, ut hominem esse quinque digitis præditum, <br> id quod ex æquo, ut legere et non legere, <br> id quod et minimum, ut fodientem invenire thesaurum. |

—

## **293** SYNOPSIS CAPITIS XXIX,

### QUOD EST DE IMPRÆDEFINITIS PROPOSITIONIBUS

1. *Quæ propositiones Græcis imprædefinitæ sint.* — 2. *Cur a propositionibus imprædefinitis apud Græcos etiam articulus abesse debeat; ubi de articuli significatione et potestate quædam adjiciuntur; et quod cum ad universalium, tum ad singularium, quin et ad præcellentium rerum significationem assumatur,*

OCR ABK / FR

— 3. *Quæ propositiones impræfinitæ sint per epiphoram repetit.* — 4. *Easdem definitis particularibus æquipollere ex Aristotele ostendit.* — 5. *Probat, per partes tam de affirmationibus quam negationibus indefinitis, quanquam hæ sæpius universalibus æquipolleant quam particularibus definitis.* — 6. *A consequente probat quod indefinitæ perinde ut definitæ in materia contingenti simul verum dicant, et tamen etiam ut contradictoriæ accipi possint, quatenus negans indefinita pro universali accipitur.* — 7. *De indefinita affirmatione per epiphoram idem repetit, quod quinto membro proposuit.* — 8. *Probat exemplo particularis definitæ negationis factæ ex particulari affirmatione negationem indefinitam modo particulari, modo universalis negationi æquipollere.* — 9. *Idem ostendit exemplo particularis negationis factæ ex universali affirmatione.* — **294** 10. *Explicat quomodo propositiones definitæ, indefinitæ, singulares in oppositionibus quoad verum et falsum dividendum conveniant et differant.* — 11. *Per occupationem discrimen* τοῦ μέλλοντος καὶ ἐσομένου *explicat.*

---

A

ΚΕΦΑΛ. ΚΘʹ.

*Περὶ ἀπροσδιορίστων προτάσεων.*

αʹ. Ἀπροσδιόριστοι προτάσεις εἰσὶν, ὅσαι καθόλου ἔχουσαι τοὺς ὑποκειμένους χωρίς τε προσδιορισμοῦ καὶ χωρὶς ἄρθρου προφέρονται.

βʹ. Τὸ γὰρ ἄρθρον δηλοῖ μὲν καὶ τὴν τοῦ ὑποκειμένου μεθ' οὗ τάττεται φύσιν, δηλοῖ δὲ καὶ τὰ ὑπὸ τὸ τοιοῦτον ὑποκείμενον μερικὰ, ὅτε καὶ τὴν δύναμιν ἔχει τοῦ πᾶς προσδιορισμοῦ· οἷον, εἰ μὲν εἴπομεν, Ὁ ἄνθρωπος εἶδός ἐστι, τὸ ἑνιαῖον τοῦ καθόλου ἀνθρώπου σημαίνομεν, τὸ πάντων τῶν κατὰ μέρος ἀνθρώπων συλληπτικόν· εἰ δὲ γε φήσομεν, Ὁ ἄνθρωπος ζῶόν ἐστι, τότε δηλοῦμεν πάντα τὰ ὑπὸ τὸν ἄνθρωπον, ἤτοι τὸ ἀνθρώπειον εἶδος ἄτομα, καὶ οὐδὲν ἄλλο φαμὲν, ἢ ὅτι πᾶς ἄνθρωπος ζῶόν ἐστιν. Ἐπεὶ γοῦν τὸ ἄρθρον καὶ πολλὰ συνεμφαίνει B καὶ ἓν, διὰ τοῦτο καὶ πρὸς τὴν τῶν καθολικῶν πραγμάτων συμπαραλαμβάνεται δήλωσιν· ὡς ὅταν λέγωμεν, Ὁ ἄνθρωπος, τὸ ζῶον, ἡ αἴσθησις. Ἀλλὰ καὶ πρὸς τὴν τῶν μοναδικῶν· ὡς ὅταν λέγωμεν, Ὁ ἥλιος, ἡ σελήνη, καὶ ὁ Πέτρος καὶ ὁ Παῦλος. Ἐνίοτε δὲ κἀπὶ τοῦ ὑπερέχοντος τῶν ὁμοστοίχων λαμβάνεται· καθὸ τὸν Παῦλον δηλῶσαι βουλόμενοί φαμεν, ὁ Ἀπόστολος, καὶ τὸν Δαβὶδ, ὁ Προφήτης.

γʹ. Ὅσαι τοίνυν τῶν προτάσεων ἔχουσαι καθόλου C τοὺς ὑποκειμένους ἄνευ προσδιορισμοῦ ἢ ἄρθρου προτείνονται, καλοῦνται ἀπροσδιόριστοι, ἢ ἀδιόριστοι· οἷον, Ἄνθρωπος περιπατεῖ, Ἄνθρωπος οὐ περιπατεῖ.

δʹ. Ταύτας δὲ φησιν ὁ Ἀριστοτέλης ταῖς προσδιωρισμέναις μερικαῖς ἰσοδυναμεῖν.

εʹ. Ἀλλ' αἱ μὲν καταφάσεις ἀναμφιλέκτως ἰσοδυναμοῦσι ταῖς διωρισμέναις μερικαῖς καταφάσεσιν· αἱ δ' ἀποφάσεις ποτὲ μὲν ἰσοδυναμοῦσι ταῖς μετὰ προσδιορισμοῦ μερικαῖς ἀποφάσεσι, ποτὲ δὲ ταῖς καθόλου· καὶ μάλιστα ταῖς καθόλου. Σχεδὸν γὰρ οὐδεὶς τῶν παλαιῶν ἀντὶ τῆς μερικῆς διωρισμένης ἀποφάσεως τῇ ἀδιορίστῳ χρησάμενος φαίνεται. Ὅμως ταῖς διαφόροις ἀποφαινομένων ἐννοίαις ἀκολουθεῖ καὶ ἡ μὴ διωρισμένη ἀπόφασις. D

ϛʹ. Ὅθεν ἐπὶ τῆς ἐνδεχομένης ὕλης, ἐφ' ἧς αἱ μερικαὶ προσδιωρισμέναι συναληθεύουσιν, ἡ τὶς δηλονότι καὶ ἡ οὐ πᾶς· ἐπὶ ταύτης καὶ αἱ μὴ προσδιωρισμέναι συναληθεύουσι, καὶ πάλιν ἀντιφατικῶς ἀντικείσονται.

ζʹ. Ἡ μὲν οὖν ἀδιόριστος κατάφασις ἰσοδυναμεῖ

CAPUT XXIX.

*De impræfinitis propositionibus.*

1. Impræfinitæ propositiones sunt, quotquot universalia subjecta habentes et sine prædefinitione et sine articulo proferuntur.

2. Etenim articulus et subjecti cum quo ponitur naturam declarat; et vero etiam particularia sub ejusmodi subjecto declarat, quando etiam prædefinitionis, ipsius omnis scilicet, vim habet. Velut si dixerimus, Ὁ ἄνθρωπος (homo) est species, unam naturam universalis hominis omnes particulares homines comprehendentem significamus. Sin autem dixerimus, Ὁ ἄνθρωπος est animal, tunc omnia sub homine seu humana specie individua declaramus, et nihil aliud dicimus, quam quod omnis homo sit animal. Quoniam igitur articulus et multa simul patefacit et unum, ea propter etiam ad universalium rerum declarationem coassumitur. Veluti si dicamus, Ὁ ἄνθρωπος (homo), τὸ ζῶον (animal), ἡ αἴσθησις (sensus). Sed et **295** ad solitariarum (rerum cum earum quæ sui juris sunt, tunc individuarum declarationem articulus coassumitur) : ut si dicamus, Ὁ ἥλιος (sol), ἡ σελήνη (luna), et ὁ Πέτρος (Petrus) et ὁ Παῦλος (Paulus). Interdum etiam de præcellente inter eos qui ejusdem sunt ordinis sumitur : quatenus Paulum indicare volentes dicimus, ὁ Ἀπόστολος (Apostolus), et Davidem ὁ Προφήτης (Propheta).

3. Quotquot igitur propositiones universalia subjecta habent et sine prædefinitione aut articulo proponuntur, impræfinitæ aut indefinitæ vocantur; velut Ἄνθρωπος (homo) ambulat : Ἄνθρωπος (homo) non ambulat.

4. Porro has Aristoteles prædefinitis particularibus æquipollere ait.

5. Verumtamen affirmationes citra controversiam definitis particularibus affirmationibus æquipollent. Negationes vero, alias cum prædefinitione particularibus negationibus, alias universalibus et maxime universalibus æquipollent. Nemo enim fere ex veteribus pro particulari definita negatione usus esse videtur indefinita. Nihilominus tamen ad differentes enuntiantium notiones consequitur **296** etiam non definita (seu indefinita) negatio.

6. Unde in contingente materia in qua particulares prædefinitæ simul verum dicunt, ἡ aliquis scilicet et ἡ non omnis : in hac etiam non prædefinitæ simul verum aiunt, et rursus contradictorie opponuntur.

7. Indefinita igitur affirmatio sine ambiguitate

OCR ABK / FR

definitæ particulari affirmatio æquivalet: velut, hæc, Homo est justus, huic. Aliquis homo est justus.

8. Quemadmodum ergo in definita particulari affirmatione, siquidem posita fuerit particula negativa, alias particularem negationem, alias universalem efficit: veluti cum hoc audiverimus, Aliquis homo non est justus, siquidem negandi particulam ad τὸ aliquis exaudiverimus, idem huic significare putamus: non aliquis, sive nullus, quod manifestius apparet, si τὸ, Non est ante aliquis fuerit positum: veluti hoc non est aliquis homo immortalis; sin autem negandi particulam ad prædicatum exaudiverimus, idem significare putamus cum quod est, non omnis, hoc est, non omnis homo est justus: sic etiam indefinita negatione pro enuntiantium dianœa (seu sententia) **297** et particulare et universale significatur, dum inficiatio vel ut cum τῷ aliquis, quod potentia in indefinita negatione continetur vel ut cum prædicato conjungitur. Magis igitur etiam hæc ad universale declinat, cum ab inficiatione negationi, fecerimus initium, dicentes: Non est homo justus.

9. Sic vero etiam in universali affirmatione si ponatur inficiatio ante est, et vel ad τὸ omnis vel ad prædicatum subintelligi possit; evenit ut propositio quatenus quidem (prædefinitionem) τὸ omnis tollit, idem cum particulari negatione valeat, quod manifestius apparet, si τὸ non est in principio propositionis ponatur. Velut: Non est omnis homo sapiens: quatenus vero prædicatum removet, universali negationi æquale robur habeat: ut, Omnis homo non est sapiens, quod idem est cum hoc: Nullus homo est sapiens.

10. Cum autem tres sunt propositionum species, nempe prædefinitæ, et imprædefinitæ et singulares: prædefinitæ quidem et imprædefinitæ quoad omne tempus ad dividendum verum et falsum pariter se habent; singulares autem in necessaria et impossibili materia quoad omne **298** quidem tempus definite verum et falsum dividunt; in contingente vero quoad præsens et præteritum definite, quoad futurum indefinite: velut, Socrates disputabit, aut, Socrates non disputabit. Quod enim quidem aut disputaturus aut non disputaturus sit, manifestum est. Utra autem contradictionis pars sive affirmatio sive negatio verum dicat, de futuro tempore non licet definite dicere.

11. Differunt denique τὸ μέλλον τὸ ἐσόμενον. Nam τὸ ἐσόμενον est, quod certo eventurum est: velut, Æstas erit, Hiems erit. Τὸ μέλλον autem quod evenire et non evenire potest: velut, Hic infans erit grammaticus. Etenim infantem fieri et non fieri grammaticum est possibile.

A τῇ διωρισμένῃ μερικῇ καταφάσει χωρὶς ἀμφιβολίας, ὡς εἴρηται· οἷον ἡ, Ἄνθρωπος δίκαιός ἐστι, τῇ, Τὶς ἄνθρωπος δίκαιός ἐστιν.

η'. Ὥσπερ οὖν ἐπὶ τῆς διωρισμένης μερικῆς καταφάσεως, εἴ γε τεθῇ τὸ ἀρνητικὸν μόριον, ποτὲ μὲν μερικὴν ἀπόφασιν, ποτὲ δὲ καθόλου ποιεῖ· οἷον τὸ, Τὶς ἄνθρωπος δίκαιος οὐκ ἔστιν, ἀκούσαντες, εἰ μὲν πρὸς τὸ τὶς τὴν ἄρνησιν ἐξακούσαιμεν, ταυτὸν οἰώμεθα σημαίνειν τῷ οὔτις εἴτουν οὐδείς· ὅπερ φαίνεται σαφέστερον, εἰ τὸ Οὐκ ἔστι τεθῇ πρὸ τοῦ τίς· ὡς τὸ, Οὐκ ἔστι τις ἄνθρωπος ἀθάνατος. Εἰ δὲ πρὸς τὸν κατηγορούμενον τὴν ἄρνησιν ἐξακούσαιμεν, ταυτὸν οἰώμεθα σημαίνειν τῷ οὐ πᾶς, ἤγουν, οὐ πᾶς ἄνθρωπος δίκαιός ἐστιν· οὕτω κἀπὶ τῆς ἀδιορίστου ἀποφάσεως, κατὰ τὴν τῶν ἀποφαινομένων
B διάνοιαν, καὶ τὸ μερικὸν καὶ τὸ καθόλου σημαίνεται, τῆς ἀρνήσεως συντασσομένης, ὡς πρὸς τὸ τὶς τὸ δυνάμει περιεχόμενον ἐν τῇ ἀδιορίστῳ καταφάσει, ἢ ὡς πρὸς τὸ κατηγορούμενον. Μᾶλλον μὲν οὖν ἀποκλίνει καὶ αὕτη πρὸς τὸ καθόλου, ὅταν ἀπὸ τῆς ἀρνήσεως ποιώμεθα τῆς ἀποφάσεως τὴν ἀρχὴν, Οὐκ ἔστιν ἄνθρωπος δίκαιος, λέγοντες.

θ'. Οὕτω καὶ κἂν τῇ καθόλου καταφάσει τῆς ἀρνήσεως τιθεμένης πρὸ τοῦ ἐστι, καὶ δυναμένης ἢ πρὸς τὸ πᾶς ἢ πρὸς τὸ κατηγορούμενον ἐξακούεσθαι, συμβαίνει τὴν πρότασιν, ὡς μὲν ἀναιροῦσαν ταῖς πᾶς, τῇ κατὰ μέρος ἀποφάσει ταυτὸν ἰσχύειν· ὅπερ σαφέστερον φαίνεται τιθεμένου τοῦ οὐκ ἔστι κατ' ἀρχὰς τῆς προτάσεως· οἷον, Οὐκ ἔστι πᾶς ἄνθρωπος σοφός· ὡς δὲ τὸ κατηγορούμενον ἀναιροῦσαν,
C τῇ καθόλου ἀποφάσει ἰσοσθενεῖν· οἷον, Πᾶς ἄνθρωπος σοφὸς οὐκ ἔστιν· ὅπερ ταυτόν ἐστι τῷ, Οὐδεὶς ἄνθρωπος σοφός σοφός ἐστι.

ι'. Τριῶν δ' ὄντων εἰδῶν τῶν προτάσεων, ἤτοι τῶν προσδιωρισμένων, τῶν ἀπροσδιορίστων, καὶ τῶν καθέκαστα, αἱ μὲν προσδιωρισμέναι καὶ ἀπροσδιόριστοι κατὰ πάντα χρόνον ὁμοίως ἔχουσι πρὸς τὸ διαιρεῖν τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν· αἱ δὲ καθέκαστα κατὰ πάντα μὲν χρόνον ἐπὶ τῆς ἀναγκαίας ὕλης καὶ ἀδυνάτου διαιροῦσιν ὡρισμένως τὸ ψεῦδος καὶ τὴν ἀλήθειαν· ἐπὶ δὲ τῆς ἐνδεχομένης κατὰ πάντα μὲν τὸν ἐνεστῶτα καὶ παρεληλυθότα ὡρισμένως, κατὰ δὲ τὸν μέλλοντα ἀορίστως· οἷον, Σωκράτης διαλέξεται, ἢ, Σωκράτης οὐ διαλέξεται. Ὅτι μὲν γὰρ ἢ διαλέξεται, ἢ οὐ διαλέξεται, δῆλον· ὁπότερον
D δὲ τῆς ἀντιφάσεως ἀληθεύει μόριον, εἴτε ἡ κατάφασις, εἴτε ἡ ἀπόφασις, ὡρισμένως οὐκ ἔστιν εἰπεῖν ἐπὶ μέλλοντος.

ια'. Διενήνοχε δὲ τὸ μέλλον καὶ τὸ ἐσόμενον. Ἐσόμενον μὲν γάρ ἐστι τὸ ἐξάπαντος ἐκβησόμενον· οἷον, Ἔσται θέρος, Ἔσται χειμών· μέλλον δὲ τὸ ἐκβῆναι καὶ μὴ ἐκβῆναι δυνάμενον· οἷον, Τόδε τὸ βρέφος ἔσται γραμματικόν. Δυνατὸν γὰρ γενέσθαι καὶ μὴ γενέσθαι τὸ βρέφος γραμματικόν.

OCR ABK / FR

Σχῆμα κεφαλ., κθ', περὶ ἀπροσδιορίστων προτάσεων.

| | |
|---|---|
| Τῶν προτάσεων | αἱ μὲν προσδιωρισμέναι, οἷον, πᾶς ἄνθρωπος λογικός· |
| | αἱ δὲ ἀπροσδιόριστοι, οἷον, ἵππος τρέχει· |
| | αἱ δὲ καθέκαστα, οἷον, Παῦλος δημηγορεῖ. |

—

*Tabula capitis 29, de impræfinitis propositionibus.*

| | |
|---|---|
| Propositionum | aliæ quidem prædefinitæ, ut, omnis homo est rationalis, |
| | aliæ vero imprædefinitæ, ut, equus currit, |
| | aliæ denique singulares, ut, Paulus concionatur. |

—

## **299** SYNOPSIS CAPITIS XXX.

### QUOD EST DE AFFIRMATIONE ET NEGATIONE.

- qualitas servatur, sed ordo terminorum mutatur; et simplex appellatur; estque vel
  - simplex homonymως, ut, Nullus homo est lapis, et nullus lapis est homo,
  - per accidens, ut, Omnis homo est animal; et, Quoddam animal est homo.

Propositio deterior est secundum
- quantitatem — universali particularis
- qualitatem — affirmante negans

sed deteriorem partem seu præmissam sequitur conclusio.

## 328 SYNOPSIS CAPITIS XXXII.

### QUOD EST DE TRIBUS FIGURIS.

1. *Quod et quare in syllogismo simplici tres sint proprie termini.* — 2. *Illi termini qui et quales sint.* — 3. *Exemplaris declaratio.* — 4. *Communis et medius terminus in propositionibus trifariam disponitur.* — 5. *Hinc tres figuræ syllogismorum oriuntur.* — 6. *Prima figura.* 7. *Secunda.* — 8. *Tertia.* — 9. *Singularum figurarum quot modi syllogistici in specie.* — 10 *Modi syllogistici cur etiam conjugationes syllogisticæ dicantur.* — 11. *Figurarum trium quot syllogisticæ conjugationes sint in universum.* — 12. *Trium figurarum quæ communia.* — 13. *Quæ propria primæ figuræ.* — 14. *Quæ secundæ.* — 15. *Quæ tertiæ.* — 16. *Admonitio de communitatibus trium figurarum ubique observandis.* — 17. *Ordo figurarum.* — 18. *Ratio ordinis.* — 19. *Repetit quod modi syllogistici sint singularum figurarum, et causam variantis numeri explicat.*

A

### ΚΕΦΑΛ. ΛΒ'.

Περὶ τῶν τριῶν σχημάτων.

α'. Ἐν τῷ ἁπλῷ συλλογισμῷ τρεῖς κυρίως ὅροι εἰσί. Δύο γὰρ προτάσεις ὁ ἁπλοῦς ἔχει συλλογισμὸς, ὧν ἑκάστη δύο κέκτηται ὅρους· ἕνα ὑποκείμενον, καὶ ἕνα κατηγορούμενον. Ἀλλ' ἴδιον μὲν ἔχει τὸν ἕνα τῶν ὅρων, τὸν δὲ λοιπὸν τῇ ἑτέρᾳ προτάσει κοινόν.

β'. Ὥστε τρεῖς ὅροι τὸν ἁπλοῦν συνιστῶσι συλλογισμόν· οἱ δύο ἴδιοι, καὶ ὁ κοινός. Οἱ μὲν οὖν ἴδιοι ἄκροι· ὁ δὲ κοινὸς μέσος.

γ'. Οἷον ἔστω πρότασις, Ὁ ἄνθρωπος ζῶον. Ἑτέρα πρότασις, Τὸ ζῶον οὐσία. Ταύταις δὴ ταῖς δυσὶ προτάσεσι τὸ ζῶον ὅρος κοινός· ὁ δὲ αὐτὸς ὅρος καὶ μέσος ἐστίν. Ἴδιος δὲ καὶ ἄκρος ὅρος τῇ μὲν τῶν προτάσεων ὁ ἄνθρωπος, τῇ δὲ ἡ οὐσία. Συναγόμενοι δὲ οἱ ἄκροι τῶν ὅρων εἰς ταυτὸ, καὶ οἷον ἑνούμενοι συμπέρασμα γίνονται. Εἰ γὰρ ὁ ἄνθρωπος ζῶον, καὶ τὸ ζῶον οὐσία, ὁ ἄνθρωπος οὐσία ἐστίν.

B

δ'. Ὁ τοίνυν κοινὸς καὶ μέσος ὅρος, ὁ δὶς ἐν τῇ συνθήκῃ τῶν προτάσεων λαμβανόμενος ἢ κατὰ μὲν τὴν μίαν τῶν προτάσεων ὑπόκειται, τουτέστιν ὑποκείμενός ἐστι, κατὰ δὲ τὴν ἄλλην κατηγορεῖται, τουτέστι κατηγορούμενός ἐστιν· ἢ καὶ κατ' ἄμφω τὰς

### CAPUT XXXII.

*De tribus figuris.*

1. In simplici syllogismo tres proprie termini sunt. Duas enim propositiones simplex syllogismus habet, quarum utraque duos obtinet terminos, unum subjectum, et alterum prædicatum. Sed proprium quidem habet unum terminum, reliquum alteri propositioni communem.

2. **329** Quare tres termini simplicem syllogismum constituunt : duo proprii et communis. Proprii quidem igitur extremi : communis autem, medius.

3. Velut sit propositio : Homo est animal. Altera propositio : Animal est substantia. His sane duabus propositionibus, animal, communis est terminus. Sed et idem terminus etiam medius est. Proprius autem et extremus terminus illi quidem propositioni, homo : huic autem, substantia. Quod si extremi termini colligantur in unum et velut uniantur, conclusio efficiuntur. Si enim homo, animal : et animal, substantia; homo (ergo) substantia est.

4. Communis igitur et medius terminus est qui bis in propositionum compositione accipitur, aut in una quidem propositione subjicitur, hoc est, subjectus est; in altera vero prædicatur, hoc est, prædicatus est; aut etiam in ambabus propositio-

OCR ABK / FR

nibus prædicatur : aut etiam in ambabus subjicitur.

5. Et ita tres figuræ syllogismorum prodeunt.

6. Si enim communis et medius terminus in una propositione extremo uni subjicitur, in altera autem de extremo reliquo prædicatur, prima oboritur figura. Velut : Homo est animal; animal est substantia; homo est substantia.

7. Quod si autem etiam in utraque propositione idem communis et medius terminus **330** prædicatur etiam de utrisque extremis, secunda figura efficitur. Velut : Homo est animal; lapis non est animal; homo non est lapis.

8. Quod si denique etiam in ambabus propositionibus idem communis et medius terminus etiam utrique extremo subjicitur, tertia figura emergit. Velut : Homo est animal; homo est rationale; ergo animal est rationale.

9. Prima igitur figura syllogisticos modos quatuor obtinet, totidem etiam secunda; tertia figura sex habet modos syllogisticos.

10. Syllogistici autem modi etiam syllogisticæ conjugationes denominantur. Duæ enim propositiones secundum unum terminum conjugatæ singulos horum modorum efficiunt.

11. Omnes proin syllogisticæ conjugationes trium figurarum, sive modi syllogistici, quatuordecim efficiuntur.

12. Communia quidem igitur trium figurarum sunt, quamlibet earum habere necessario unam propositionem affirmantem, et unam universalem. **331** In nulla enim figura syllogismus unquam aut ex duabus negativis aut ex duabus particularibus constiterit. Hæc igitur tribus figuris communia sunt.

13. Propria autem primæ quidem figuræ, minorem propositionem semper habere affirmantem, et majorem semper universalem, sive affirmantem sive negantem. Ac colligit hæc figura et affirmantes et negantes, et universales et particulares conclusiones.

14. Secundæ figuræ propria sunt, majorem propositionem semper universalem habere, sive affirmantem sive negantem. Quin potius hoc commune est et primæ et secundæ figuræ; singulariter autem secundæ figuræ propria sunt minorem propositionem habere, vel affirmantem vel negantem, sive universalis sive particularis sit; et propositiones dissimiles figura, sive qualitate dissimiles, hoc est, unam quidem, utravis fuerit, affirmantem, reliquam negantem. Colligit autem hæc figura et universales et particulares conclusiones, verumtamen negantes omnes, et nullam unquam affirmantem.

15. Tertiæ figuræ proprium habere semper mi-

A προτάσεις κατηγορεῖται· ἢ καὶ κατ' ἄμφω ὑπόκειται.

ε'. Καὶ οὕτω τρία σχήματα συλλογισμῶν ἀναφαίνεται.

ς'. Εἰ μὲν γὰρ ὁ κοινὸς καὶ μέσος ὅρος κατὰ μὲν τὴν μίαν τῶν προτάσεων τῷ ἄκρῳ ὑπόκειται, κατὰ δὲ τὴν ἑτέραν τοῦ λοιποῦ ἄκρου κατηγορεῖται, τὸ πρῶτον γίνεται σχῆμα · οἷον, Ὁ ἄνθρωπος ζῶον· τὸ ζῶον οὐσία· ὁ ἄνθρωπος οὐσία.

ζ'. Εἰ δὲ καὶ καθ' ἑκατέραν τῶν προτάσεων ὁ αὐτὸς κοινὸς καὶ μέσος ὅρος κατηγορεῖται καὶ ἀμφοτέρων τῶν ἄκρων, τὸ δεύτερον γίνεται σχῆμα · οἷον, Ὁ ἄνθρωπος ζῶον, ὁ λίθος οὐ ζῶον· ὁ ἄνθρωπος οὐ λίθος.

η'. Εἰ δὲ καὶ κατ' ἄμφω τὰς προτάσεις ὁ αὐτὸς B κοινὸς καὶ μέσος ὅρος καὶ τοῖς δυσὶν ἄκροις ὑπόκειται, τὸ τρίτον γίνεται σχῆμα· οἷον, Ὁ ἄνθρωπος ζῶον, ὁ ἄνθρωπος λογικόν· τὸ ζῶον λογικόν.

θ'. Τὸ μὲν οὖν πρῶτον σχῆμα συλλογιστικοὺς τρόπους κέκτηται τέσσαρας· τοσούτους δὲ καὶ τὸ δεύτερον. Τὸ δὲ τρίτον σχῆμα τρόπους ἔχει συλλογιστικοὺς ἕξ.

ι'. Συλλογιστικοὶ δὲ τρόποι καὶ συλλογιστικαὶ συζυγίαι κατονομάζονται. Δύο γὰρ προτάσεις καθ' ἕνα ὅρον συνεζευγμέναι τῶν τοιούτων τρόπων ἕκαστον ἀπεργάζονται.

ια'. Πᾶσαι τοίνυν συζυγίαι συλλογιστικαὶ τῶν τριῶν σχημάτων, εἴτουν τρόποι συλλογιστικοὶ, ποσοῦνται τέσσαρες καὶ δέκα.

C ιβ'. Κοινὰ μὲν οὖν τῶν τριῶν σχημάτων εἰσὶ, τὸ μίαν τῶν προτάσεων ἔχειν ἕκαστον αὐτῶν καταφατικὴν ἐξ ἀνάγκης, καὶ μίαν καθόλου. Ἐν οὐδενὶ γὰρ τῶν σχημάτων συσταίη ποτὲ συλλογισμὸς ἢ ἐκ δύο ἀποφατικῶν προτάσεων, ἢ ἐκ δύο μερικῶν. Ταῦτα μὲν οὖν τῶν τριῶν σχημάτων κοινά.

ιγ'. Ἴδια δὲ τοῦ μὲν πρώτου σχήματος τὸ τὴν ἐλάττονα πρότασιν ἔχειν ἀεὶ καταφατικὴν, εἴτε καθόλου, εἴτε μερικὴν, καὶ τὸ τὴν μείζονα καθόλου διαπαντὸς, εἴτε καταφατικὴν, εἴτε ἀποφατικήν · συνάγει δὲ τὸ τοιοῦτον σχῆμα καὶ καταφατικὰ καὶ ἀποφατικὰ συμπεράσματα, καὶ καθόλου καὶ μερικά.

ιδ'. Τοῦ δευτέρου σχήματος ἴδια τὸ ἔχειν ἀεὶ D καθόλου τὴν μείζονα πρότασιν, εἴτε καταφατικὴν, εἴτε ἀποφατικήν· μᾶλλον δὲ τοῦτο κοινὸν τῷ πρώτῳ τε καὶ δευτέρῳ σχήματι· κυρίως δὲ τοῦ δευτέρου σχήματος ἴδια τὸ τὴν ἐλάττω πρότασιν, εἴτε καταφατικὴν ἔχειν, εἴτε ἀποφατικὴν, ἢ καθόλου οὖσαν ἢ μερικήν· καὶ τὸ τηρεῖν πάντοτε τὰς προτάσεις ἀνομοιοσχήμονας, εἴτουν ἀνομοίους κατὰ τὸ ποιόν· ἤγουν τὴν μίαν μὲν καταφατικὴν οἵαν δή τινα, τὴν δὲ λοιπὴν ἀποφατικήν. Συνάγει δὲ τοῦτο τὸ σχῆμα καὶ καθόλου καὶ μερικὰ συμπεράσματα, πλὴν ἀποφατικὰ πάντα, καὶ οὐδὲν οὐδέποτε καταφατικόν.

ιε'. Τοῦ τρίτου σχήματος ἴδιον τὸ ἔχειν ἀεὶ τὴν

OCR ABK / FR

A ἐλάττω πρότασιν καταφατικήν, εἴτε καθόλου, εἴτε μερικήν. Μᾶλλον δὲ τοῦτο κοινὸν τῷ πρώτῳ καὶ τρίτῳ σχήματι. Κυρίως δὲ τοῦ τρίτου σχήματος ἴδιον τὸ ἔχειν τὴν μείζω πρότασιν κατὰ τὸ ποσὸν ἀδιάφορον, ἢ καθόλου δηλονότι ἢ μερικὴν, ἢ καταφατικὴν οὖσαν ἢ ἀποφατικήν. Συνάγει δὲ τὸ τρίτον σχῆμα καὶ καταφατικὰ καὶ ἀποφατικὰ συμπεράσματα· πλὴν τὰ πάντα μερικὰ, καὶ οὐδὲν καθόλου ποτέ.

ιϛ'. Παρατηρητέον δὲ τὰ κοινὰ τῶν τριῶν σχημάτων ἀπανταχοῦ· τὸ μήτε μερικὰς εἶναι καὶ ἄμφω τὰς προτάσεις ἐν οὐδενὶ τῶν σχημάτων, μήτε μὴν ἄμφω ἀποφατικάς.

ιζ'. Πρώτην μὲν οὖν τάξιν ἐκεῖνο τῶν σχημάτων εἰκότως ἀπείληφεν, ὃ πάντα συνάγειν δύναται τὰ συμπεράσματα· τὰ καταφατικὰ, τὰ ἀποφατικὰ, τὰ B καθόλου, τὰ μερικά. Τὴν δευτέραν δὲ τάξιν ὃ καταφατικὸν μὲν οὐ συνάγει συμπέρασμα· τέως δ' οὖν συμπεραίνει καὶ καθόλου καὶ μερικά. Τὴν τρίτην δὲ καὶ ὑστάτην ἔλαχε τάξιν ὃ καταφατικὰ μὲν καὶ ἀποφατικὰ συλλογίζεται, πλὴν ἅπαντα μερικά.

ιη'. Κρεῖττον γὰρ σχῆμα, καὶ εἰς ἀπόδειξιν χρησιμώτερον, ὅπερ ἁπλῶς καθόλου συνάγει, τοῦ μηδὲν καθόλου συνάγοντος. Πάλιν κρεῖττόν ἐστιν, ὃ καταφατικὸν καθόλου συνάγειν δύναται. Τῇ γὰρ ἀποδεικτικῇ ἐπιστήμῃ διαφερόντως μὲν ἐσπούδασται τὸ καθόλου καταφατικὸν μᾶλλον τοῦ ἀποφατικοῦ. Τὸ μὲν γὰρ τὰ ὄντα κατασκευάζει· τὸ δ' ἀποφατικὸν τὰ μὴ ὄντα. Πολλῷ δὲ κρεῖττον καὶ τιμιώτερον τοῦ μὴ ὄντος τὸ ὄν. Κατὰ δεύτερον δὲ λόγον C καὶ τοῦ καθόλου ἀποφατικοῦ ἐφρόντισεν ἡ ἀπόδειξις· ἠμέλησε δὲ τῶν μερικῶν· ἐπεὶ τὰ καθόλου ζητεῖ, καὶ περὶ αὐτὰ καταγίνεται.

ιθ'. Τρόποι δὲ συλλογιστικοὶ τοῦ πρώτου σχήματος τέσσαρες· καὶ τοῦ δευτέρου τέσσαρες· ἓξ δὲ τοῦ τρίτου. Κατὰ μὲν γὰρ τὸ πρῶτον σχῆμα δύο τινὰ παραφυλασσόμεθα· τὸ μηδέποτε τὴν ἐλάττω πρότασιν ἀποφατικὴν εἶναι, μήτε τὴν μείζω μερικήν. Ὡσαύτως δὲ κατὰ τὸ δεύτερον δύο· τὸ μηδαμῶς εἶναι τὰς προτάσεις ὁμοιοσχήμονας, μήτε τὴν μείζω ποτὲ μερικήν. Κατὰ δὲ τὸ τρίτον ἓν μόνον ὑπάρχει τὸ παρατήρημα· τὸ μηδέποτε τὴν ἐλάττω πρότασιν ἀποφατικὴν εἶναι. Ὅθεν εὐλόγως τῶν ἄλλων δύο σχημάτων ἀνὰ τέσσαρας ἐχόντων συλλογιστικὰς συζυγίας τὸ τρίτον ἓξ ἐκληρώσατο.

norem propositionem **332** affirmantem sive universalem sive particularem. Quin potius hoc secundæ et tertiæ figuræ commune est. Singulariter autem tertiæ figuræ proprium est, habere majorem propositionem indifferentem, aut universalem scilicet aut particularem, sive affirmans sit sive negans. Colligit autem tertia figura et affirmantes et negantes conclusiones, verumtamen particulares omnes et nullam unquam universalem.

16. Observandum autem communia tria figurarum ubique esse, ut neque ambæ propositiones in ulla figura particulares sint, neque ambæ negantes.

17. Primum quidem igitur ordinem illa figura merito accepit, quæ omnes potest colligere conclusiones affirmantes, negantes, universales, particulares. Secundum autem in ordine locum ea, quæ scilicet affirmantem non colligat conclusionem, colligit tamen et universales et particulares. Tertium et ultimum locum sortita est, quæ affirmantes quidem et negantes colligit conclusiones, verumtamen omnes particulares.

18. Melior enim figura et ad demonstrationem conducibilior quæ simpliciter universale colligit, quam ea quæ nihil **333** universale colligit. Iterum melior est quæ universale affirmativum colligere potest. Demonstrativa enim scientia universalis affirmativi potissimum studiosa est, magis quam negativi. Illud enim entia confirmat, hoc, negativum non entia. Atqui ens non ente multo melius est et honorabilius. Secundaria autem ratione et universalis negativi rationem habet demonstratio; particularia autem negligit, quoniam universalia quærit et circa ipsa occupatur.

19. Modi autem syllogistici primæ figuræ sunt quatuor, et secundæ quatuor, tertiæ sex. In prima enim figura duo quædam præcavemus, ut nunquam minor propositio negativa neque major particularis sit. Eodem modo in secunda duo: ut neutiquam propositiones sint figura similes, nec major unquam particularis. In tertia denique (figura) una tantum exsistit observatio, ut nunquam propositio minor, negativa sit. Quare jure merito cum cæteræ duæ figuræ ad quatuor habeant syllogisticas conjugationes, tertia sex sortita est.

**334** *Tabula capitis* 32, *de tribus figuris.*

| | |
|---|---|
| Medius terminus qui bis in propositionibus accipitur, aut in | una quidem propositione subjicitur, in altera vero prædicatur, et oboritur prima figura syllogismorum. |
| | ambabus propositionibus prædicatur, et hinc est secunda figura syllogismorum. |
| | ambabus subjicitur, et emergit tertia figura. |

OCR ABK / FR

355 Figurarum alia sunt

- Communia duo
  - 1. Unam propositionem habere necessario affirmantem,
  - 2. Et unam universalem,
  - nam ex
    - puris negantibus et
    - puris particularibus
  - nihil sequitur
- Propria et alia
  - Primæ
    1. Minorem propositionem semper habere affirmantem; convenit tamen etiam tertiæ.
    2. Majorem semper universalem habere; convenit tamen etiam secundæ.
    3. Colligere omnis generis conclusiones, univers. part. affirm. negantes.
  - Secundæ
    1. Majorem propositionem semper habere universalem; convenit tamen etiam primæ.
    2. Minorem habere vel affirmantem vel negantem, sive univers. sive part. sit: et propositiones habere ἀνομοιοσχήμονας, figura, id est qualitate dissimiles.
    3. Tantum negantes colligere conclusiones, quanquam et part. et univ.
  - Tertiæ
    1. Habere semper minorem propositionem affirmantem; convenit tamen etiam primæ.
    2. Majorem propositionem habere indifferentem in quantitate et qualitate.
    3. Colligere conclusiones tantum particulares, quanquam et affirm. et negantes.

---

## 336 SYNOPSIS CAPITIS XXXIII.

### QUOD EST DE PRIMA FIGURA.

1. *Figuram primam describit.* — 2. *Modos ejus syllogisticos recenset et explicat ordine.* — 3. *Primum, Barbara.* — 4. *Celarent.* — 5. *Darit.* — 6. *Occupatio de syllogismis habentibus pro minore termino singulare aliquod et individuum.* — 7. *Ferio.* — 8. *Ostendit quales sint hi quatuor modi primæ figuræ et cur syllogistici dicantur, et cur alii omnes præter eos ἀσυλλόγιστοι sint et dicantur, quod uno etiam exemplo declarat.*

---

## CAPUT XXXIII.

### *De prima figura.*

1. Quando communis et medius terminus quidem extremorum subjectus, alterius vero prædicatus fuerit; perspicuum sit autem, quod de minore prædicatur et majori subjiciatur, tunc prima fit figura.

2. Hujus autem figuræ modi syllogistici, ut ante dictum, sunt quatuor.

3. Et primus quidem est modus qui duabus constat affirmativis universalibus propositionibus, affirmativam universalem colligens conclusionem. Velut ex eo quod est in toto: Omnis homo animal: omne animal substantia; (igitur) omnis homo substantia. Et sic: 337 Omnis homo in toto animali; omne animal in tota substantia; omnis homo in tota substantia. Ex eo quod est de omni: Substantia de omni animali; animal de omni homine; substantia de omni homine. Et sic: Substantia omni animali inest; animal omni homini; substantia omni homini inest.

A

## ΚΕΦΑΛ. ΛΓ'.

### Περὶ τοῦ πρώτου σχήματος.

α'. Ὅταν ὁ κοινὸς καὶ μέσος ὅρος τῷ μὲν ὑποκείμενος εἴη τῶν ἄκρων, τοῦ δὲ κατηγορούμενος· δῆλον δ' ὅτι κατηγορεῖται τοῦ ἐλάττονος, ὑπόκειται δὲ τῷ μείζονι· τότε τὸ πρῶτον γίνεται σχῆμα.

β'. Τούτου δὲ τοῦ σχήματος τρόποι συλλογιστικοὶ, καθὼς προείρηται, τέσσαρες.

γ'. Καὶ πρῶτος μὲν ἔστι τρόπος, ὅστις ἐκ δύο συνίσταται καταφατικῶν καθόλου προτάσεων, καταφατικὸν καθόλου συνάγων συμπέρασμα· οἷον ἐκ τοῦ ἐν ὅλῳ· Πᾶς ἄνθρωπος ζῶον· πᾶν ζῶον οὐσία· (ἄρα) πᾶς ἄνθρωπος οὐσία.




B Καὶ οὕτως· Πᾶς ἄνθρωπος ἐν ὅλῳ τῷ ζώῳ· πᾶν ζῶον ἐν ὅλῃ τῇ οὐσίᾳ· πᾶς ἄνθρωπος ἐν ὅλῃ τῇ οὐσίᾳ. Ἐκ τοῦ κατὰ παντός· Ἡ οὐσία κατὰ παντὸς ζώου· τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· ἡ οὐσία κατὰ παντὸς ἀνθρώπου. Καὶ οὕτως. Ἡ οὐσία παντὶ ζώῳ ὑπάρχει· τὸ ζῶον παντὶ ἀνθρώπῳ· ἡ οὐσία παντὶ ἀνθρώπῳ ὑπάρχει.

OCR ABK/FR




δʹ. Δεύτερος τρόπος τοῦ πρώτου σχήματος, ὃς ἐκ καθόλου καταφατικῆς τῆς ἐλάττονος, καὶ καθόλου ἀποφατικῆς τῆς μείζονος, ἀποφατικὸν καθόλου συνάγει συμπέρασμα· οἷον ἐκ τοῦ ἐν ὅλῳ καὶ οὐκ ἐν ὅλῳ· Πᾶς ἄνθρωπος ζῶον· οὐδὲν ζῶον λίθος· οὐδεὶς ἄνθρωπος λίθος. Καὶ οὕτως· Ὁ ἄνθρωπος ἐν ὅλῳ τῷ ζώῳ· τὸ ζῶον οὐκ ἐν ὅλῳ τῷ λίθῳ· ὁ ἄνθρωπος ἐν ὅλῳ τῷ λίθῳ οὐκ ἔστιν· ἤγουν οὐχ ὑπάρχει μέρος τοῦ λίθου ὁ ἄνθρωπος, ὡς εἶναι τὸν λίθον μὲν ὅλον, αὐτοῦ δέ τι μέρος τὸν ἄνθρωπον. Ἐκ τοῦ κατὰ μηδενὸς καὶ κατὰ παντός· Ὁ λίθος κατ' οὐδενὸς ζώου· τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· ὁ λίθος κατ' οὐδενός. Καὶ οὕτως· Ὁ λίθος οὐδενὶ ζώῳ ὑπάρχει· τὸ ζῶον παντὶ ἀνθρώπῳ· ὁ λίθος ἄρα οὐδενὶ ἀνθρώπῳ ὑπάρχει.

A

4. Secundus modus primæ figuræ, qui ex universali affirmatione minore et universali negativa majore negativam universalem colligit conclusionem : velut ex eo quod est in toto et non in toto : Omnis homo animal; nullum animal lapis : nullus homo lapis. Et sic : Homo in toto animali; animal non in toto lapide; homo non in toto lapide : hoc est, homo non exsistit pars lapidis : ut lapis quidem totum, homo autem pars illius esset. Ex eo quod est de nullo et de omni : Lapis de nullo animali, animal de omni homine; lapis de nullo homine. Idem autem Græcis est κατὰ μηδενὸς καὶ κατ' οὐδενός. Et sic : Lapis nulli animali inest; animal omni homini; lapis igitur nulli homini inest.




εʹ. Τρίτος τρόπος τοῦ πρώτου σχήματο ὁ ἐκ καταφατικῆς μερικῆς τῆς ἐλάττονος καὶ καθόλου καταφατικῆς τῆς μείζονος μερικὸν καταφατικὸν συνάγων συμπέρασμα· οἷον ἐκ τοῦ ἐν ὅλῳ· Τὶ ζῶον ἄνθρωπος· πᾶς ἄνθρωπος γελαστικόν· τὶ ζῶον γελαστικόν. Καὶ οὕτω· Τὶ ζῶον ἐν ὅλῳ τῷ ἀνθρώπῳ· πᾶς ἄνθρωπος ἐν ὅλῳ τῷ γελαστικῷ· τὶ ζῶον ἐν ὅλῳ τῷ γελαστικῷ. Ἐκ τοῦ κατὰ παντὸς καὶ κατά τινος· Τὸ γελαστικὸν κατὰ παντὸς ἀνθρώπου· ὁ ἄνθρωπος κατά τινος ζώου· τὸ γελαστικὸν κατά τινος ζώου. Καὶ οὕτω· Τὸ γελαστικὸν παντὶ ἀνθρώπῳ· ὁ ἄνθρωπός τινι ζώῳ· τὸ γελαστικόν τινι ζώῳ.

ϛʹ. Δυνατὸν δὲ καὶ ἀντὶ τοῦ τὶς προσδιορισμοῦ προσλαβεῖν ὡρισμένον τι πρόσωπον τῶν καθέκαστα, καὶ τὰ αὐτὰ πάλιν συναγαγεῖν· οἷον, Ὁ Σωκράτης ἄνθρωπος· πᾶς ἄνθρωπος γελαστικόν· ὁ Σωκράτης ἄρα γελαστικόν. Καὶ πάλιν· Τὸ γελαστικὸν κατὰ παντὸς ἀνθρώπου· ὁ ἄνθρωπος κατὰ τοῦ Σωκράτους· τὸ γελαστικὸν ἄρα κατὰ τοῦ Σωκράτους.

B

5. Tertius modus primæ figuræ est qui ex affirmativa particulari minore et universali affirmativa majore particularem affirmativam colligit conclusionem : velut **338** ex eo quod est in toto : Aliquod animal homo; omnis homo risibile; aliquod animal risibile. Et sic : Aliquod animal in toto homine; omnis homo in toto risibili; aliquod animal in toto risibili. Ex eo quod est de omni et de aliquo : Risibile de omni homine; homo de aliquo animali; risibile de aliquo animali. Et sic : Risibile omni homini; homo alicui animali; risibile alicui animali.

6. Possumus autem etiam pro prædefinitione (seu signo) aliquis finitum aliquam personam ex singularibus assumere, et rursus eadem colligere : veluti : Socrates homo; omnis homo risibile; Socrates igitur risibile. Et rursus : Risibile de omni homine; homo de Socrate; risibile igitur de Socrate.

C




OCR ABK / FR

7. Quartus modus primæ figuræ est qui negativa A universali majori et affirmativa particulari minore concludit particularem negativam : velut ex eo quod est de nullo et de aliquo. Solœcisare de nullo grammatico : grammaticum de quodam Æthiope; solœcisare non de omni Æthiope. Et sic : Solœcisare nulli grammatico; grammaticum cuidam Æthiopi; solœcisare cuidam Æthiopi non inest, **339** hoc est, non omni Æthiopi inest. Ex eo quod est in toto, et non in toto. Quidam Æthiops est grammaticus; nullus grammaticus est solœcista; non omnis Æthiops solœcista. Et sic : Quidam Æthiops in toto grammatico; nullus grammaticus in toto solœcista (neque enim grammaticus solœcistæ pars est, sed potius ab illo remotissimus); quidam igitur Æthiops non in toto solœcista, hoc est, non B omnis Æthiops in toto solœcista.

8. Hi quidem igitur quatuor modi primæ figuræ ex veris propositionibus verum semper concludunt; unde etiam syllogistici nominantur. Qui vero præter illos sunt, omnes asyllogisti sunt, propterea quod et vera et falsa concludant propositionibus veris exsistentibus. Ut enim patet, ex universali affirmativa majore et universali negativa minore, et verum et falsum in prima figura colligitur, verum quidem : Nullus lapis est homo; omnis homo est animal; nullus lapis est animal : falsum autem : Nullus lapis est homo; omnis homo est substantia; nullus lapis est substantia. Talia eveniunt etiam aliis modis hujus figuræ qui a nobis non sunt traditi. Ac idem etiam in aliis figuris invenire datur. C

ζ'. Τέταρτος τρόπος τοῦ πρώτου σχήματος, ὅς ἐξ ἀποφατικῆς καθόλου τῆς μείζονος καὶ καταφατικῆς μερικῆς τῆς ἐλάττονος συμπεραίνει μερικὸν ἀποφατικόν· οἷον, Ἐκ τοῦ κατὰ μηδενὸς καὶ κατά τινος. Τὸ σολοικίζειν κατ' οὐδενὸς γραμματικοῦ· τὸ γραμματικὸν κατά τινος Αἰθίοπος· τὸ σολοικίζειν κατ' οὐ παντὸς Αἰθίοπος. Καὶ οὕτως· Τὸ σολοικίζειν οὐδενὶ γραμματικῷ· τὸ γραμματικόν τινι Αἰθίοπι· τὸ σολοικίζειν τινὶ Αἰθίοπι οὐχ ὑπάρχει, τουτέστιν, οὐ παντὶ Αἰθίοπι ὑπάρχει. Ἐκ τοῦ ἐν ὅλῳ, καὶ οὐκ ἐν ὅλῳ· Τὶς Αἰθίοψ γραμματικος· οὐδεὶς γραμματικὸς σολοικιστής· οὐ πᾶς Αἰθίοψ σολοικιστής. Καὶ οὕτω· Τὶς Αἰθίοψ ἐν ὅλῳ τῷ γραμματικῷ· οὐδεὶς γραμματικὸς ἐν ὅλῳ τῷ σολοικιστῇ· οὐδὲ γάρ ἐστι μέρος τοῦ σολοικιστοῦ ὁ γραμματικός· ἀπηλλοτριωμένος δὲ μᾶλλον αὐτοῦ. Τὶς ἄρα Αἰθίοψ οὐκ ἐν ὅλῳ τῷ σολοικιστῇ, τουτέστιν, οὐ πᾶς Αἰθίοψ ἐν ὅλῳ τῷ σολοικιστῇ.

η'. Οὗτοι μὲν οὖν οἱ τέσσαρες τρόποι τοῦ πρώτου σχήματος ἐξ ἀληθῶν προτάσεων ἀληθὲς ἀεὶ συμπεραίνουσιν· ὅθεν καὶ συλλογιστικοὶ ὀνομάζονται· οἱ δὲ παρ' αὐτοὺς ἅπαντες ἀσυλλόγιστοί εἰσι, διὰ τὸ συνάγειν καὶ ἀληθῆ καὶ ψευδῆ, τῶν προτάσεων οὐσῶν ἀληθῶν. Ἰδοὺ γὰρ ἐκ καθόλου καταφατικῆς τῆς μείζονος, καὶ καθόλου ἀποφατικῆς τῆς ἐλάττονος, καὶ ἀληθὲς καὶ ψευδὲς ἐν πρώτῳ συνάγεται σχήματι· ἀληθὲς μέν· Οὐδεὶς λίθος ἄνθρωπος· πᾶς ἄνθρωπος ζῶον· οὐδεὶς λίθος ζῶον· ψευδὲς δὲ, Οὐδεὶς λίθος ἄνθρωπος· πᾶς ἄνθρωπος οὐσία· οὐδεὶς λίθος οὐσία. Τοιαῦτα συμβαίνει καὶ τοῖς ἄλλοις τρόποις τοῦ τοιούτου σχήματος τοῖς μὴ παραδεδομένοις ἡμῖν· τὸ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων σχημάτων ἔστιν εὑρεῖν

*Tabula capitis 33, de prima figura.*

| | | | | | | |
|---|---|---|---|---|---|---|
| **340** Prima figura ex | a et a | colligit | a | unde | Barbara, |
| | e et a | | e | | Celarent, |
| | a et i | | i | | Darii, |
| | e et i | | o | | Ferio. |

## SYNOPSIS CAPITIS XXXIV.

### QUOD EST DE SECUNDA ET TERTIA FIGURA.

1. *Secundam figuram describit.* — 2. *Modos ejus recenset et ordine explicat.* — 3. *Cesare.* — 4. *Camestres.* — 5. *Festino.* — 6. *Baroco.* — 7. *Rationem reddit quare hi quatuor modi hujus figuræ sint syllogistici, et præter eos omnes alii syllogisti, et uno exemplo declarat.* — 8. *Tertiam figuram describit.* — 9. *Modos ejus recenset et ordine explicat.* — 10. *Darapti.* — 11. *Felapton.* — 12. *Darisi.* — 13. *Ferison.* — 14. *Disamis.* — 15. *Bocardo.* — 16. *Occupatio.* — 17. *Concludit de modis syllogisticis hujus figuræ.*— 18. *Occupatio de syllogismis constantibus ex indefinitis propositionibus.*

D

## CAPUT XXXIV.

*De secunda et tertia figura.*

1. Quando communis et medius terminus etiam de utroque extremorum prædicatur, tunc efficitur secunda figura.

2. Modi autem syllogistici etiam hujus figuræ sunt **341** quatuor.

3. Primus igitur ex universali attributiva; hoc

## ΚΕΦΑΛ. ΛΔ'.

Περὶ τοῦ δευτέρου σχήματος καὶ τρίτου.

α'. Ὅταν ὁ κοινὸς καὶ μέσος ὅρος κατηγορῆται καὶ ἀμφοτέρων τῶν ἄκρων, τότε τὸ δεύτερον γίνεται σχῆμα.

β'. Τρόποι δὲ συλλογιστικοὶ καὶ τοῦδε τοῦ σχήματος τέσσαρες.

γ'. Πρῶτος μὲν (οὖν) ἐκ καθόλου κατηγορικῆς

OCR ABK / FR

ἤγουν καταφατικῆς τῆς ἐλάττονος, καὶ καθόλου A στερητικῆς, ταυτὸν δ' εἰπεῖν, ἀποφατικῆς τῆς μείζονος· συνάγει (δὲ) συμπέρασμα καθόλου στερητικόν· οἷον, Ὁ ἄνθρωπος ζῶον· ὁ λίθος, οὐ ζῶον· ἄνθρωπος ἄρα οὐ λίθος.

est affirmativa, minore; et universali privativa (idem est autem dicere negativa) universalem privativam colligit conclusionem : velut, Homo est animal : lapis non est animal; (ergo) homo non est lapis.







Καὶ πάλιν· Τὸ ζῶον κατ' οὐδενὸς λίθου· τὸ ζῶον B κατὰ παντὸς ἀνθρώπου· ὁ λίθος ἄρα κατ' οὐδενὸς ἀνθρώπου.

Et iterum : Animal de nullo lapide; animal de omni homine; lapis igitur de nullo homine.

δ'. Δεύτερος τρόπος τοῦδε τοῦ σχήματος ἐκ καθόλου στερητικῆς τῆς ἐλάττονος, καὶ κατηγορικῆς καθόλου τῆς μείζονος· συνάγει δὲ καὶ αὐτὸς καθόλου στερητικόν· οἷον, Οὐδεὶς λίθος ζῶον· πᾶς ἄνθρωπος ζῶον· οὐδεὶς λίθον ἄρα ἄνθρωπος.

4. Secundus modus hujus figuræ ex universali privativa minore, et attributiva universali majore (constat); colligit autem et ipse universalem privativam (conclusionem) : velut, Nullus lapis animal : omnis homo est animal, nullus lapis est homo.







ε'. Τρίτος τρόπος ἐστὶν, ὃς ἐκ μερικῆς καταφα- C τικῆς τῆς ἐλάττονος, καὶ καθόλου τῆς μείζονος, ἀποφατικὸν μερικὸν συλλογίζεται· οἷον, Τὶ ζῶον λογικόν· οὐδὲν ἄλογον λογικόν· οὐ πᾶν ζῶον ἄλογον.

5. Tertius modus est, qui ex particulari affirmativa minore, et privativa universali majore, negativam particularem ratiocinatur (conclusionem), velut, Aliquod animal rationale; nullum irrationale rationale; non omne animal irrationale.

OCR ABK / FR




6. Quartus modus est, qui ex negativa particulari minore, et affirmativa universali majore et ipse particularem negativam colligit (conclusionem): velut, Non omne album animal; omnis homo animal; non omne album homo.

A ς'. Τέταρτος δὲ τρόπος ἐστὶν, ὅστις ἐξ ἀποφατικῆς μερικῆς τῆς ἐλάττονος, καὶ καταφατικῆς καθόλου τῆς μείζονος, συμπεραίνει καὶ αὐτὸς μερικὸν ἀποφατικόν· οἷον· Οὐ πᾶν λευκὸν ζῶον· πᾶς ἄνθρωπος ζῶον· οὐ πᾶν λευκὸν ἄνθρωπος.




342 7. Et hi quidem modi verum ex veris propositionibus concludentes syllogistici et vocantur et sunt: qui autem præter eos sunt, proptorea quod et vera et falsa colligant, et dicuntur et sunt asyllogisti. Evidenter enim ex duabus negativis universalibus propositionibus et verum et falsum concluditur: verum quidem ita: Nullus lapis est homo; nullus equus est homo; nullus lapis est equus: falsum autem: Nullus homo volat; nullum rationale volat; nullus homo est rationalis.

8. Cæterum tertia figura est, quando communis et medius terminus etiam utrique extremorum subjectus fuerit.

9. Modi autem tertiæ figuræ sunt sex.

10. Et primus quidem qui ex duabus affirmativis universalibus propositionibus particularem affirmativam colligit conclusionem; ut, Omnis homo est animal; omnis homo est rationale; aliquod animal est rationale. Et iterum: Rationale de omni homine; animal de omni homine; rationale igitur de quodam animali.

B ζ'. Καὶ οὗτοι μὲν οἱ τρόποι τὸ ἀληθὲς ἐξ ἀληθῶν προτάσεων συμπεραίνοντες, συλλογιστικοὶ καλοῦνταί τε καὶ εἰσίν· οἱ δὲ παρ' αὐτοὺς, διὰ τὸ συνάγειν καὶ ἀληθῆ καὶ ψευδῆ, καὶ λέγονται καὶ τυγχάνουσιν ἀσυλλόγιστοι. Ἴδε γὰρ, ἐκ δύο στερητικῶν καθόλου προτάσεων καὶ τὸ ἀληθὲς καὶ τὸ ψευδὲς συμπεραίνεται· τὸ μὲν ἀληθὲς οὕτως, Οὐδεὶς λίθος ἄνθρωπος· οὐδεὶς ἵππος ἄνθρωπος· οὐδεὶς λίθος ἵππος· τὸ δὲ ψευδές· Οὐδεὶς ἄνθρωπος ἵπταται· οὐδὲν λογικὸν ἵπταται· οὐδεὶς ἄνθρωπος λογικός.

η'. Σχῆμα δὲ τρίτον ἐστὶν, ὅταν ὁ κοινὸς καὶ μέσος ὅρος καὶ ἀμφοτέροις τοῖς ἄκροις ὑποκείμενος εἴη.

θ'. Τρόποι δέ εἰσι τοῦ τρίτου σχήματος ἕξ.

ι'. Καὶ πρῶτος μὲν, ὅστις ἐκ δύο καταφατικῶν καθόλου προτάσεων μερικὸν καταφατικὸν συν-
C άγει συμπέρασμα· οἷον, Ὁ ἄνθρωπος ζῶον· ὁ ἄνθρωπος ογικόο· τὶ ζῶον λογικόν. Καὶ πάλιν, Τὸ λογικὸν κατὰ παντὸς ἀνθρώπου· τὸ ζῶον κατὰ παντὸς ἀνθρώπου· τὸ λογικὸν ἄρα κατά τινος ζώου.

OCR ABK / FR




ια'. Δεύτερος τρόπος, ὃς ἐξ ἀποφατικῆς καθόλου τῆς μείζονος, καὶ καθόλου κατηγορικῆς τῆς ἐλάττονος, μερικὸν στερητικὸν συνάγει συμπέρασμα· οἷον, Πᾶσα χιὼν λευκή· οὐδεμία χιὼν ζῶον· οὐ πᾶν λευκὸν ζῶον. Καὶ πάλιν· Τὸ ζῶον οὐδεμιᾷ χιόνι· τὸ λευκὸν πάσῃ χιόνι· τὸ ζῶον οὐ παντὶ λευκῷ. A

11. Secundus modus est, qui ex negativa universali majore et universali attributiva minore particularem privativam conclusionem **343** colligit; velut: Omnis nix alba; nulla nix animal; non omne album animal. Et iterum: Animal nulli nivi; album omni nivi; animal non omni albo (inest).




ιβ'. Τρίτος τρόπος, ὅστις ἐκ μερικῆς καταφατικῆς τῆς ἐλάττονος καὶ καθόλου καταφατικῆς τῆς μείζονος ἀθροίζει μερικὸν συμπέρασμα καταφατικόν· οἷον, Τὶς ἄνθρωπος μέλας· πᾶς ἄνθρωπος ζῶον· τὶ μέλαν ζῶον. B

12. Tertius modus est, qui ex particulari affirmativa minore et universali affirmativa majore particularem affirmativam conclusionem infert; exemplo gratia: Aliquis homo est niger; omnis homo est animal; aliquod nigrum est animal.




OCR ABK / FR

13. Quartus modus est qui ex particulari attributiva minore et privativa universali majore particularem negativam colligit conclusionem : velut, Aliquis lapis est albus ; nullus lapis est animal : non igitur omne album est animal.

A ιγ'. Τέταρτος τρόπος ὁ ἐκ μερικῆς κατηγορικῆς τῆς ἐλάττονος καὶ στερητικῆς καθόλου τῆς μείζονος συνάγων μερικὸν ἀποφατικόν· οἷον, Τὶς λίθος λευκός· οὐδεὶς λίθος ζῶον· οὐκ ἄρα πᾶν λευκὸν ζῶον.




14. Quintus modus est qui ex universali affirmativa minore et particulari affirmativa majore particulare attributivum concludit : velut, Omnis homo est animal ; aliquis homo est albus ; aliquod animal, album.

B ιδ'. Πέμπτος τρόπος ὁ ἐκ καθόλου καταφικῆς τῆς ἐλάττονος, καὶ μερικῆς καταφατικῆς τῆς μείζονος, συμπεραίνων μερικὸν κατηγορικόν· οἷον, Πᾶς ἄνθρωπος ζῶον· τὶς ἄνθρωπος λευκός· τὶ ζῶον λευκόν.




15. Sextus denique et ultimus modus est, qui ex universali attributiva minore et privativa particulari majore particularem ratiocinando infert (conclusionem) : velut, Omnis homo est animal ; non omnis homo est niger ; non omne animal est nigrum.

C ιε'. Ἕκτος δὲ καὶ τελευταῖος τρόπος ἐστὶν ὁ ἐκ καθόλου κατηγορικῆς τῆς ἐλάττονος, καὶ στερητικῆς ἐπὶ μέρους τῆς μείζονος, μερικὸν συλλογιζόμενος ἀποφατικὸν συμπέρασμα, οἷον· Πᾶς ἄνθρωπος ζῶον· οὐ πᾶς ἄνθρωπος μέλας· οὐ πᾶν ζῶον μέλαν.

**344** 16. Possumus autem etiam aliter ex eo quod est in toto et non in toto colligere omnes secundæ et tertiæ figuræ syllogismos : itidem et ab eo quod est de omni et de nullo ; quemadmodum in prima figura et nos communis et universalis exempli gratia fecimus.

ις'. Δυνατὸν δὲ καὶ ἄλλως ἐκ τοῦ ἐν ὅλῳ καὶ οὐκ ἐν ὅλῳ συναγαγεῖν τοὺς τοῦ δευτέρου καὶ τρίτου σχήματος συλλογισμοὺς ἅπαντας· ὡσαύτως καὶ ἀπὸ τοῦ κατὰ παντὸς, καὶ κατ' οὐδενός· καθὼς ἐν τῷ πρώτῳ σχήματι καὶ ἡμεῖς ὑποδείγματι ἕνεκα κοινοῦ καὶ καθολικοῦ πεποιήκαμεν.




σ.

ιζ'. Ἰδοὺ τοίνυν καὶ τοῦ τρίτου σχήματος αἱ A πᾶσαι συλλογιστικαὶ συζογίαι δεδήλωνται, καὶ οὐκ ἔστιν ἄλλη τις παρ' αὐτὰς τὸ ἀληθὲς ἀναγκαίως ἀεὶ συμπεραίνουσα. Ταῦτα μὲν οὖν εἴρηται περὶ τῶν ἐκ διωρισμένων προτάσεων συνισταμένων συζυγιῶν συλλογιστικῶν.

ιη'. Περὶ δὲ τῶν ἐχόντων καὶ ἀδιορίστους προτάσεις συλλογισμῶν ἱκανὰ τὰ προειρημένα περὶ τῶν τοιούτων ἀδιορίστων προτάσεων· πλὴν κἀν τοῖς ἔχουσι καὶ ἀδιορίστους προτάσεις συλλογισμοὺς ἀναγκαῖον τῇ χείρονι τῶν προτάσεων ἕπεσθαι τὸ δυμπέρασμα. Χείρων δὲ τῆς διωρισμένης ἡ ἀδιόριστος· ὥσπερ καὶ τῆς κατηγορικῆς ἡ στερητική, καὶ τῆς καθόλου ἡ μερική.

17. Manifeste igitur etiam tertiæ figuræ syllogisticæ conjugationes declaratæ sunt : nec est alia præter eas quæ verum necessario semper concludat. Hæc igitur dicta sunt de syllogisticis conjugationibus, quæ ex definitis constant propositionibus.

18. De illis autem syllogismis qui etiam indefinitas habent, sufficiunt ea quæ ante dicta sunt de indefinitis propositionibus. Verumtamen et in syllogismis qui indefinitas habent propositiones, necesse est ut conclusio deteriorem propositionem sequatur. Deterior autem est indefinita quam definita ; quemadmodum etiam negativa quam affirmativa et particularis quam universalis.

**345** *Tabula capitis 34, de secunda et tertia figura.*

| | | | | | |
|---|---|---|---|---|---|
| Secunda figura ex | e et a | colligit | e | unde | Cesaro, |
| | a et e | | e | | Camestres, |
| | e et i | | o | | Frestino, |
| | a et o | | o | | Baroco. |
| Tertia figura ex | a et e | colligit | i | unde | Davanti, |
| | e et a | | o | | Felapton, |
| | i et a | | i | | Disacius, |
| | o et i | | o | | Ferison, |
| | a et i | | i | | Datisi, |
| | o et a | | o | | Bocardo. |

## SYNOPSIS CAPITIS XXXV.

QUOD EST SECUNDÆ ET TERTIÆ FIGURÆ REDUCTIONE AD PRIMAM ET DE ABDUCTIONE AD IMPOSSIBILE.

1. *Syllogismos dividit in perfectos et imperfectos.* — 2. *Qui sint perfecti et imperfecti, et cur perfecti ita dicti sint.* — 3. *Iidem quomodo secundum* τὸ *omne concludant et progrediantur.* — 4. *Quomodo secundum* τὸ *ex toto.* — 5. *Cur prima figura sit perfecta, secunda autem et tertia imperfectæ.* — 6. *Qualis sit ostensio secundæ figuræ.* — 7. *Qualis tertiæ.* — **346** 8. *Secunda et tertia figura quomodo perficiantur, et quibus ad perfectionem instrumentis opus habeant.* — 9. *Quomodo fiat deductio ad impossibile.* — 10. *Exemplo declaratur.* — 11. *Transitio ad exemplarem declarationem reductionis ostensivæ. et abductionis ad impossibile singulorum modorum secundæ et tertiæ figuræ.* — 12. *Quomodo et quo primus modus se undæ figuræ reducatur primum ostensive et deinde per deductionem ad impossibile.* — 13. *Secundus modus.* — 14. *Tertius modus.* — 15. *Quartus modus.* — 16. *A secunda figura ad tertiam transitur.*—17. *Quomodo et quo primus modus tertiæ figuræ reducatur.* —18. *Secundus modus.*— 19. *Tertius.*—20. *Quartus.*—21. *Quintus.*— 22. *Sextus.*— 23. *Ostenditur reductionem utramque per controversionem scilicet propositionem seu ostensivam, et per deductionem ad impossibile posse æque fieri ex eo quod est in toto et non in toto, itemque exeo quod est de omni et de nullo.* — 24. *Quare etiam particulares primæ figuræ modi reducantur.*
*sales,et quomodo hoc fiat.* —25. *Darii.* — 26. *Ferio.* — 27. *Concluditur quod ad duos modos unisebsale primæ figuræ omnes alii modi omnium figurarum adeoque omnes syllogismi reduci querant.*

OCR ABK/FR

## CAPUT XXXV.

*De secundæ et tertiæ figuræ reductione ad primam, et de abductione ad impossibile.*

1. Syllogismorum alii perfecti vocati sunt, alii imperfecti.

2. Perfecti quidem, qui **344** sunt primæ figuræ; imperfecti autem, qui secundæ et tertiæ. Et perfecti quidem primæ figuræ nominati sunt propterea quod ostensionem rectam et manifestam ipsi per seipsos faciant; sive ab eo quod est in toto, sive ab eo quod est de omni, ratiocinentur. Etenim ex uno extremo ad æternum per medium et communem terminum efficiuntur.

3. Et quandoquidem ex eo quod est de omni concludunt ad minorem et extremum terminum ex primo et majore termino progrediuntur per ipsum medium et communem terminum, qui sane communis et medius terminus majore quidem termino minor, minore autem major est; et hinc etiam naturæ consecutionem et ordinem effugiant: quoniam et natura ex universalioribus et simplicioribus ad particulariora et magis composita descendit.

4. Quando autem ex eo quod est in toto colligunt, tunc apertiore et sensui notiore via procedentes, ex minore termino per medium bono iterum ordine ad majorem veniunt, et sic utrinque a recta et manifesta ostensione non aberrant, sed et superne deorsum, et inferne sursum gradatim **348** necessarium exhibent, compositivam et resolutivam methodum imitando.

5. Sic quidem igitur et propter hanc causam prima figura vocata fuit. Secunda autem et tertia figura imperfectæ dictæ sunt, quod ipsæ per se ostensionem rectam et manifestam non faciant, sed potius obliquam et absconditam ut quæ nec naturæ nec sensus respectum habent.

6. Secunda enim figura ex eo quod est de omni ostensionem facit, ab universalibus ad particulariora progreditur; et iterum retrocedit ac recurrit, et quasi a recto deerrasset, iterum ex prioribus et universalioribus principiis ad alia particulariora procedit. Quando autem hæc secunda figura ex eo quod est in omni colligit, tunc ex particularioribus ad universaliora procedens fit retrogrediens, et prioris principii velut oblita ex alio ad primam metam defertur; atque ita confortam et confusam ostensionem efficit.

7. Atqui huic figuræ e diverso tertia affecta est: ut quæ ex eo quo est de omni, duo quidem principia, unam autem metam particulariorem principiis; ex eo autem quod est in toto unum **349** quidem principium, sed duas metas tali principio universaliores habeat.

8. Quoniam igitur duæ figuræ secunda et tertia rectam ostensionem assequi non quiverunt, et exinde etiam imperfectæ vocatæ sunt; ad per-

A

## ΚΕΦΑΛ. ΛΕ.

*Περὶ τῆς τοῦ δευτέρου καὶ τρίτου σχήματος ἀναγωγῆς εἰς τὸ πρῶτον σχῆμα, καὶ περὶ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς.*

α'. Τῶν συλλογισμῶν οἱ μὲν ἐκλήθησαν τέλειοι, οἱ δὲ ἀτελεῖς.

β'. Τέλειοι μὲν οἱ τοῦ πρώτου σχήματος, ἀτελεῖς δὲ ἡ τοῦ δευτέρου καὶ τρίτου. Καὶ τέλειοι μὲν οἱ τοῦ πρώτου σχήματος ὠνομάσθησαν, διότι τὴν δεῖξιν εὐθεῖαν ποιοῦνται καὶ φανερὰν αὐτοὶ καθ' ἑαυτούς· κἂν ἀπὸ τοῦ ἐν ὅλῳ, κἂν ἀπὸ τοῦ κατὰ παντὸς συλλογίζωνται. Καὶ γὰρ ἐξ ἑνὸς ἄκρου πρὸς θάτερον διὰ τοῦ μέσου γίνονται καὶ κοινοῦ.

γ'. Καὶ ὅτε μὲν ἐκ τοῦ κατὰ παντὸς συμπεραίνουσι πρὸς τὸν ἐλάττω καὶ ἔσχατον ὅρον ἐκ τοῦ πρώτου καὶ μείζονος φέρονται δι' αὐτοῦ του μέσου τε καὶ κοινοῦ· ὃς δὴ κοινὸς καὶ μέσος τοῦ μείζονος μὲν ἐλάττων, τοῦ ἐλάττονος δὲ μείζων ἐστί· κἀντεῦθεν φύσεως ἀκολουθίαν καὶ τάξιν ἐξεικονίζουσιν. Ἐπεὶ καὶ ἡ φύσις ἐκ τῶν καθολικωτέρων καὶ ἁπλουστέρων ἐπὶ τὰ μερικώτερα καταβαίνει καὶ συνθετώτερα.

B

δ'. Ὅταν δ' ἐκ τοῦ ἐν ὅλῳ συλλέγωσι, τότε τὴν σαφεστέραν καὶ τῇ αἰσθήσει γνωριμωτέραν ὁδεύοντες, ἐκ τοῦ ἐλάττονος ὅρου διὰ τοῦ μέσου πάλιν εὐτάκτως ἔρχονται πρὸς τὸν μείζω· καὶ οὕτως ἑκατέρωθεν τῆς εὐθείας καὶ φανερᾶς οὐ διαμαρτάνουσι δείξεως· ἀλλ' ἄνωθέν τε κάτω, καὶ κάτωθεν ἄνω κλιμακηδὸν τὸ ἀναγκαῖον δεικνύουσι, καὶ τὴν διαιρετικὴν μιμούμενοι καὶ τὴν ἀναλυτικήν.

C

ε'. Οὕτω μὲν οὖν καὶ διὰ ταῦτα τὸ πρῶτον σχῆμα τέλειον κέκληται. Τὸ δεύτερον δὲ καὶ τρίτον ἐῤῥέθησαν ἀτελῆ, διότι τὴν δεῖξιν οὐκ εὐθεῖαν ποιοῦνται καὶ φανερὰν αὐτὰ καθ' ἑαυτά· σκολιὰν δὲ μᾶλλον καὶ κεκρυμμένην· οὔτε πρὸς φύσιν, οὔτε πρὸς αἴσθησιν βλέποντα.

ς'. Τὸ μὲν γὰρ δεύτερον σχῆμα τὴν δεῖξιν ποιούμενον ἐκ τοῦ κατὰ παντὸς ἐκ τῶν καθολικωτέρων ἐπὶ τὰ μερικώτερα φέρεται· καὶ αὖθις ἀναποδίζει καὶ ὀπισθοδρομεῖ· καὶ οἷον ἀποπλανηθὲν τοῦ ὀρθοῦ πάλιν ἐκ τῶν προτέρων (καὶ) καθολικωτέρων ἀρχῶν ἐπ' ἄλλα φέρεται μερικώτερα. Ὅταν δ' ἐκ τοῦ ἐν ὅλῳ συνάγῃ τοῦτο τὸ σχῆμα τὸ δεύτερον, τότε ἐκ τῶν μερικωτέρων ἐπὶ τὰ καθολικώτερα προερχόμενον παλιμπόρευτον γίνεται, καὶ τῆς προτέρας ἀρχῆς οἷον

D

ἐπιλαθόμενον ἐξ ἑτέρας φέρεται πρὸς τὸ πρῶτον κατάντημα· καὶ οὕτω τὴν δεῖξιν συνεστραμμένην καὶ συγκεχυμένην ἐργάζεται.

ζ'. Τοὔμπαλιν δὲ τούτῳ τῷ σχήματι πάσχει τὸ τρίτον· ἐκ μὲν τοῦ κατὰ παντὸς, δύο τὰς ἀρχὰς ἔχον, ἓν δὲ τὸ κατάντημα μερικώτερον τῶν ἀρχῶν· ἐκ δὲ τοῦ ἐν ὅλῳ μίαν μὲν τὴν ἀρχὴν, δύο δὲ τὰ καταντήματα καθολικώτερα τῆς τοιαύτης ἀρχῆς.

η'. Ἐπεὶ γοῦν τὰ δύο σχήματα τὸ δεύτερον καὶ τὸ τρίτον ἐφικέσθαι τῆς εὐθείας δείξεως οὐ δεδύνηται, καὶ ἀτελῆ τοὐντεῦθεν ἐκλήθησαν· δέονται πρὸς τε-

OCR ABK / FR

λείωσιν, εἴτουν πρὸς τὴν εἰς τὸ εὐθὲς τῆς δείξεως A ἄνοδον, ἀντιστροφῶν τε ἁπλῶν, καὶ τῆς εἰς ἀδύνατον καὶ ἄτοπον ἀναγωγῆς.

θ'. Γίνεται δὲ ἡ τοιαύτη ἀπαγωγὴ, ὅταν τινὸς οἱονεὶ τῷ τοῦ συλλογισμοῦ συμπεράσματι ἀντιλέγοντος, ἢ μιᾷ τινι τῶν προτάσεων τεθείη τὸ ἀντιφατικῶς ἀντικείμενον· κἀντεῦθεν συναχθείη ἀδύνατόν τι καὶ ἄτοπον· ἀδύνατον μὲν, ὡς πρὸς τὸ πρᾶγμα, ἄτοπον δὲ, ὡς πρὸς τὸν λόγον.

ι'. Οἷον ἐπὶ τοῦ παρόντος συλλογισμοῦ· Οὐ πᾶν λευκὸν ζῶον· πᾶς ἄνθρωπος ζῶον· οὐ πᾶν ἄρα λευκὸν ἄνθρωπος· εἴ τις ἐνσταίη μὴ ἀληθὲς εἶναι τὸ, Οὐ πᾶν λευκὸν ἄνθρωπος· ἔσται ἀντιφατικῶς αὐτῷ ἀντικείμενον ἀληθὲς τὸ, Πᾶν λευκὸν ἄνθρωπος. Ἐπὶ B πάντων γὰρ τῶν ὄντων τε καὶ μὴ ὄντων θάτερον μόριον τῆς ἀντιφάσεως ἀληθὲς, τὸ δ' ἄλλο ψευδές. Εἰ τοίνυν τὸ, Οὐ πᾶν λευκὸν ἄνθρωπος εἴη ψευδές· ἔσται δὴ ἀληθὲς ἐξ ἀνάγκης τὸ ἀντιφατικῶς αὐτῷ ἀντικείμενον, ὅπερ ἐστὶ τὸ, Πᾶν λευκὸν ἄνθρωπος. Ἀντίκεινται γὰρ ἀντιφατικῶς ἀλλήλαις ἡ πᾶς καὶ ἡ οὐ πᾶς· καὶ πάλιν ἡ τὶς καὶ ἡ οὐδείς. Εἰ τοίνυν διὰ τὴν ἔνστασιν, Πᾶν λευκὸν ἄνθρωπος, ἦν δὲ μία πρότασις τοῦ τεθέντος συλλογισμοῦ τὸ, Πᾶς ἄνθρωπος ζῶον· λαβόντες τὴν τοιαύτην πρότασιν, καὶ τὴν ἐκ τῆς ἐνστάσεως τοῦ ἀντιλέγοντος, τοιοῦτον ποιήσομεν συλλογισμόν· Πᾶν λευκὸν ἄνθρωπος· πᾶς ἄνθρωπος ζῶον· πᾶν λευκὸν ζῶον. Ἀλλ' ἦν καὶ, Οὐ πᾶν λευκὸν ζῶον, πρότασις ὡμολογημένη κατὰ τὸν πρότερον συλλογισμόν. Οὕτω γὰρ εἶχεν ἐκεῖνος ὁ C συλλογισμός· Οὐ πᾶν λευκὸν ζῶον· πᾶς ἄνθρωπος ζῶον· οὐ πᾶν λευκὸν ἄνθρωπος. Διὰ γοῦν τὴν ἔνστασιν ἠκολούθησε τὸ πᾶν λευκὸν εἶναι ζῶον. Πᾶν δὲ λευκὸν ζῶον εἶναι, καὶ οὐ πᾶν λευκὸν ζῶον εἶναι, ἀδύνατον τῇ φύσει τοῦ πράγματος, καὶ ἄτοπον τὸ λέγειν ὅλην τὴν ἀντίφασιν ἀληθεύειν ὁμοῦ ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς, τουτέστιν, ὁ τοιοῦτος λόγος οὐκ ἔχει τόπον καὶ χώραν παραδοχῆς, ἀλλ' ἐστὶ παντελῶς ἀπαράδεκτος· τὸ ἀδύνατόν τε καὶ ἄτοπον τῇ ἐνστάσει τοῦ ἀντιλέγοντος ἠκολούθησαν. Ὅθεν ψευδὲς μὲν τὸ τῆς ἐνστάσεως, ἀληθὲς δὲ τὸ συμπέρασμα τοῦ προτέρου συλλογισμοῦ, τὸ, Οὐ πᾶν λευκὸν ἄνθρωπος. Τὸ δ' αὐτὸ ἀδύνατόν τε καὶ ἄτοπον ἕπεται καὶ προτάσεως εἴτε τῆς ἐλάττονος εἴτε τῆς μείζονος ληφθείσης ψευδοῦς ἐν συλλογισμῷ σωζομένου τοῦ σχήματος ὑγιοῦς. Τοῦτον μὲν οὖν τὸν τρόπον ἡ εἰς ἀδύ- D νατον τελεῖται ἀπαγωγή.

ια'. Καιρὸς δὲ λοιπὸν τοὺς τοῦ δευτέρου καὶ τρίτου σχήματος συλλογιστικοὺς τρόπους εἰς τὸ πρῶτον σχῆμα δι' ὑποδειγμάτων ἀναγαγεῖν.

ιβ'. Πρῶτος τοίνυν τρόπος τοῦ δευτέρου σχήματος, Πᾶς ἄνθρωπος ζῶον· οὐδεὶς λίθος ζῶον· οὐδεὶς ἄνθρωπος λίθος. Τούτου δὴ τοῦ συλλογισμοῦ τὴν μείζω πρότασιν ἀντιστρέψαντες, τὸν δεύτερον τρόπον τοῦ πρώτου σχήματος ἐκτελέσομεν· ἐπεὶ γὰρ ἡ οὐδεὶς ἀντιστρέφει πρὸς ἑαυτήν· εἰ οὐδεὶς λίθος ζῶον, καὶ οὐδὲν ζῶον λίθος. Πᾶς δὲ ἄνθρωπος ζῶον·

fectionem sive ad hoc ut ad rectitudinem ostensionis perveniant tum simplicibus conversionibus, tum abductione ad impossibile absurdumque indigent.

9. Fit autem ejusmodi abductio, quando aliquis veluti conclusioni syllogismi contradicat, aut uni ex propositionibus, contradictorie repugnans sumptum; et inde impossibile aliquid et absurdum collectum fuerit : impossibile quidem ut quoad rem; absurdum vero, ut quoad orationem.

10. Velut in præsente syllogismo : Non omne album animal; omnis homo animal; non omne igitur album homo : si quis instet non esse verum hoc, Non omne album est homo, erit (verum) quod ei contradictorie opponitur, Omne album homo. In omnibus enim cum quæ sunt, tum quæ non sunt, altera contradictionis pars vera, altera falsa est. Quod si igitur hoc, Non omne album homo, falsum fuerit, verum utique fuerit **350** quod ei contradictorie opponitur; quod est, Omne album est homo. Contradictorie enim opponuntur sibi invicem (propositiones) omnis et non omnis, rursumque aliquis et nullus. Si igitur propter instantiam, Omne album homo; erat autem una propositio syllogismi positi hæc : Omnis homo animal, accepta hac propositione et ea quæ est ex contradicentis instantia, talem syllogismum faciemus : Omne album homo; omnis homo animal; omne album animal. Sed erat etiam non omne album (animal) secundum priorem syllogismum consensa et approbata propositio. Sic enim ille syllogismus habebat : Non omne album animal; omnis homo animal; non omne album homo. Propter instantiam igitur secutum est, omne album esse animal. Atqui omne album esse animal et non omne album esse animal, impossibile est quoad rei naturam, et absurdum est dicere totam contradictionem simul de uno et eodem veram esse; hoc est, ejusmodi oratio non est ullo modo probanda, sed omnino improbanda; ipsumque impossibile et absurdum ad instantiam contradicentis secutum est. Unde **351** falsum quidem est quod est ex instantia; vera autem prioris syllogismi est conclusio, hæc, non omne album homo. Idem autem cum impossibile tum absurdum sequitur si etiam propositio sive minor sive major falsa, sumpta fuerit, dummodo figura sana servetur. Hoc igitur modo deductio ad impossibile perficitur.

11. Cæterum modo tempus est syllogisticos secundæ et tertiæ figuræ modos ad primam figuram per exempla reducendi.

12. Primus igitur secundæ figuræ modus est : Omnis homo animal; nullus lapis animal; nullus homo lapis. Hujus sane syllogismi majorem propositionem si converterimus, secundum primæ figuræ modum efficiemus. Quia enim (propositio universalis negativa) nullus in seipsam convertitur, si nullus lapis animal; etiam nullum animal lapis.

OCR ABK / FR

At omnis homo animal. Si omnis homo animal et nullum animal lapis, nullus homo lapis. Ac ita quidem per controversionem simplicem primus modus secundæ figuræ ad primam figuram reducitur. Per deductionem autem ad impossibile sic : Si non est verum hoc, Nullus homo lapis; sane aliquis homo lapis erit. **352** Est autem etiam nullus lapis animal. Colligitur ergo secundum quartum modum primæ figuræ, non omnis homo animal. Si enim quidam homo lapis est, nullus autem lapis animal, non omnis homo animal. Supponebatur autem etiam omnis, quod absurdum est.

A εἰ πᾶς ἄνθρωπος ζῶον· καὶ οὐδὲν ζῶον λίθος· οὐδεὶς ἄνθρωπος λίθος. Καὶ οὕτω μὲν δι' ἀντιστροφῆς ὁ πρῶτος τρόπος τοῦ δευτέρου σχήματος εἰς τὸ πρῶτον ἀνάγεται σχῆμα Διὰ δὲ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς οὕτως· Εἴπερ οὐκ ἀληθὲς τὸ, Οὐδεὶς ἄνθρωπος λίθος ἐστίν· ἔσται δὴ, Τὶς ἄνθρωπος λίθος· ἔστι δὲ καὶ οὐδεὶς λίθος ζῶον· συνάγεται ἄρα κατὰ τὸν τέταρτον τρόπον τοῦ πρώτου σχήματος· οὐ πᾶς ἄνθρωπος ζῶον. Εἰ γὰρ τὶς ἄνθρωπος λίθος· οὐδεὶς δὲ λίθος ζῶον· οὐ πᾶς ἄνθρωπος ζῶον. Ὑπέκειτο δὲ καὶ πᾶς, ὅπερ ἄτοπον.

13. Secundus modus servandæ figuræ per duas conversiones ad secundum modum primæ figuræ reducetur : velut : Nullus lapis animal; omnis homo animal; nullus lapis homo. Convertatur minor. Si nullus lapis, animal; etiam nullum animal, lapis. Omnis autem homo, animal. Si omnis homo, animal; et nullum animal, lapis, nullus homo, lapis. Sed non erat hæc prioris syllogismi conclusio. Opus igitur hic quoque est altera conversione : Si nullus homo lapis; et nullum lapis homo. Per deductionem autem ad impossibile sic : Si non est hoc verum, Nullus lapis est homo, sane hoc erit, Quidam lapis homo. Est autem etiam omnis homo animal : et colligitur, Quidam lapis animal. Supponebatur autem etiam, Nullus lapis animal, quod absurdum est.

ιγ' Ὁ δεύτερος τρόπος τοῦ δευτέρου σχήματος διὰ δύο ἀντιστροφῶν εἰς τὸν δεύτερον τρόπον τοῦ πρώτου σχήματος ἀναχθήσεται, οἷον· Οὐδεὶς λίθος
B ζῶον· πᾶς ἄνθρωπος ζῶον· οὐδεὶς λίθος ἄνθρωπος· ἀντεστράφθω ἡ ἐλάττων. Εἰ οὐδεὶς λίθος ζῶον, καὶ οὐδὲν ζῶον λίθος. Πᾶς δὲ ἄνθρωπος ζῶον· εἰ πᾶς ἄνθρωπος ζῶον, καὶ οὐδὲν ζῶον λίθος· οὐδεὶς ἄνθρωπος λίθος. Ἀλλ' οὐκ ἦν τοῦτο συμπέρασμα τοῦ προτέρου συλλογισμοῦ. Δεῖ τοίνυν κἀνταῦθα ἑτέρας ἀντιστροφῆς· εἰ οὐδεὶς ἄνθρωπος λίθος, καὶ οὐδεὶς λίθος ἄνθρωπος. Διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς οὕτως· Εἰ οὐκ ἔστι τὸ, Οὐδεὶς λίθος ἄνθρωπος, ἀληθὲς ἔσται δὴ τὸ, Τὶς λίθος ἄνθρωπος· ἔστι δὲ καὶ ἄνθρωπος ζῶον· καὶ συνάγεται, Τὶς λίθος ζῶον· ὑπέκειτο δὲ καὶ, Οὐδεὶς λίθος ζῶον· ὅπερ ἄτοπον.

14. Tertius modus secundæ figuræ ad quartum primæ figuræ modum sic per conversionem reducitur : **353** Quoddam animal rationale; nullum irrationale rationale; non omne animal irrationale. Convertatur major : Si nullum irrationale rationale; nullum etiam rationale irrationale; at quoddam animal rationale. Si quoddam animal rationale, et nullum rationale irrationale : non omne animal irrationale. Per deductionem ad impossibile : Si falsum est hoc, non omne animal irrationale, verum utique erit hoc, omne animal irrationale. Positum autem est etiam nullum irrationale rationale. Non igitur animal rationale. Supponebatur autem etiam aliquod animal rationale; quod est impossibile.

ιδ'. Ὁ τρίτος τρόπος τοῦ δευτέρου σχήματος εἰς τὸν τοῦ πρώτου σχήματος τέταρτον τρόπον οὕτω δι' ἀντιστροφῆς ἀναχθήσεται· Τὶ ζῶον λογικόν· οὐδὲν
C ἄλογον λογικόν· οὐ πᾶν ζῶον ἄλογον. Ἀντεστράφθω ἡ μείζων· Εἰ οὐδὲν ἄλογον λογικὸν, καὶ οὐδὲν λογικὸν ἄλογον. Τὶ δὲ ζῶον λογικόν. Εἰ τὶ ζῶον λογικὸν, καὶ οὐδὲν λογικὸν ἄλογον· οὐ πᾶν ζῶον ἄλογον. Διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· Εἰ ψευδές ἐστι τὸ, οὐ πᾶν ζῶον ἄλογον· ἔσται δὴ ἀληθὲς τὸ, πᾶν ζῶον ἄλογον. Ἔστι δὲ κείμενον καὶ, οὐδὲν ἄλογον λογικόν· οὐδὲν ἄρα ζῶον λογικόν. Ὑπέκειτο δὲ καὶ, τὶ ζῶον λογικόν· ὅπερ ἀδύνατον.

15. Quartus modus secundæ figuræ ad primam figuram reducetur, nullo quidem modo per conversionem, sed sola ad absurdum deductione. Hic enim ex (propositionibus) non omnis et omnis constat. Sed (propositio) omnis in (propositionem) aliquis convertitur. Duæ autem particulares propositiones non utique in prima figura, sed nec in alia figura syllogismum constituunt. Unde ejusmodi modus secundæ figuræ per conversionem ad primam non potest pervenire : **354** per deductionem tamen ad impossibile pervenit. Velut, Non omne album animal; omnis homo animal; non igitur omne album homo. Si hoc non est, erit illud omne album homo. Est autem etiam omnis homo animal. Si omne album homo; omnis autem homo animal; omne igitur album animal. Supponebatur autem etiam non omne (album animal); quod est absurdum.

D ιε'. Ὁ τέταρτος τρόπος τοῦ δευτέρου σχήματος εἰς τὸ πρῶτον ἀναχθήσεται σχῆμα, οὐδαμῶς μὲν δι' ἀντιστροφῆς, διὰ μόνης δὲ τῆς εἰς ἄτοπον ἀπαγωγῆς. Οὗτος γὰρ ἐκ τῆς οὐ πᾶς συνίσταται καὶ τῆς πάς. Ἀλλ' ἡ πᾶς πρὸς τὴν τὶς ἀντιστρέφει. Δύο δὲ μερικαὶ προτάσεις μήτοι γε κατὰ τὸ πρῶτον, ἀλλ' οὐδὲ κατ' ἄλλο σχῆμα συλλογισμὸν ἀπαρτίζουσιν. Ὅθεν δι' ἀντιστροφῆς ὁ τοιοῦτος τρόπος τοῦ δευτέρου σχήματος οὐ δύναται πρὸς τὸ πρῶτον ἐπανελθεῖν· ἐπανέρχεται δὲ διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς· οἷον· Οὐ πᾶν λευκὸν ζῶον· πᾶς ἄνθρωπος ζῶον· οὐκ ἄρα πᾶν λευκὸν ἄνθρωπος. Εἰ οὐκ ἔστι τοῦτο, ἔσται πᾶν λευκὸν ἄνθρωπος. Ἔστι δὲ καὶ πᾶς ἄνθρωπος ζῶον· εἰ πᾶν λευκὸν ἄνθρωπος· πᾶς δὲ ἄνθρωπος ζῶον· πᾶν ἄρα λευκὸν ζῶον. Ὑπέκειτο δὲ καὶ οὐ πᾶν, ὅπερ ἄτοπον.

OCR ABK / FR

A ιϛ'. Οὕτω μὲν οὖν τὸ δεύτερον σχῆμα εἰς τὸ πρῶτον ἀνάγεται. Τὸ τρίτον δὲ οὕτως·

ιζ'. Ὁ πρῶτος τρόπος τοῦ τρίτου σχήματος· Πᾶς ἄνθρωπος ζῶον· πᾶς ἄνθρωπος λογικόν· τὶ ζῶον λογικόν. Ἀντεστράφθω ἡ ἐλάττων· Εἰ πᾶς ἄνθρωπος ζῶον· καὶ τὶ ζῶον ἄνθρωπος· πᾶς δὲ ἄνθρωπος λογικόν· τὶ ζῶον ἄρα λογικόν. Εἰ μή τι ζῶον λογικόν· οὐδὲν ζῶον λογικόν. Πᾶς δὲ ἄνθρωπος ζῶον· εἰ πᾶς ἄνθρωπος ζῶον, καὶ οὐδὲν ζῶον λογικόν· οὐδεὶς ἔσται ἄνθρωπος λογικός. Ἀλλ' ὑπέκειτο καὶ πᾶς.

ιη'. Ὁ δεύτερος τρόπος [τοῦ τρίτου σχήματος]· Πᾶσα χιὼν λευκή· οὐδεμία χιὼν ζῶον· οὐ πᾶν λευκὸν ζῶον. Ἀντεστράφθω ἡ ἐλάττων· Εἰ πᾶσα χιὼν B λευκή· καὶ τὶ λευκὸν χιών· οὐδεμία δὲ χιὼν ζῶον· οὐ πᾶν ἄρα λευκὸν ζῶον· εἰ μὴ τοῦτο· Πᾶν λευκὸν ζῶον· ἔστι δὲ καὶ πᾶσα χιὼν λευκή. Τοίνυν εἰ πᾶσα χιὼν λευκή· πᾶν δὲ λευκὸν ζῶον· πᾶσα χιὼν ἄρα ζῶον. Ἦν δὲ καὶ οὐδεμία χιὼν ζῶον.

ιθ'. Ὁ τρίτος τρόπος· Τὶς ἄνθρωπος μέλας· πᾶς ἄνθρωπος ζῶον· τὶ μέλαν ζῶον. Ἀντεστράφθω ἡ ἐλάττων· Εἴ τις ἄνθρωπος μέλας· καὶ τὶ μέλαν ἄνθρωπος· πᾶς δὲ ἄνθρωπος ζῶον· ὥστε τὶ μέλαν ζῶον· εἰ τοῦτο ψευδὲς, οὐδὲν μέλαν ζῶον· τὶς δὲ ἄνθρωπος μέλας. Εἰ τὶς ἄνθρωπος μέλας, καὶ οὐδὲν μέλαν ζῶον· οὐ πᾶς ἄνθρωπος ζῶον. Ἦν δὲ καὶ πᾶς.

C κ'. Ὁ τέταρτος τρόπος. Τὶς λίθος λευκός· οὐδεὶς λίθος ζῶον· οὐ πᾶν λευκὸν ζῶον. Ἀντεστράφθω ἡ ἐλάττων. Εἴ τις λίθος λευκὸς, καὶ τὶ λευκὸν λίθος· οὐδεὶς δὲ λίθος ζῶον· οὐ πᾶν ἄρα λευκὸν ζῶον· εἰ τοῦτο οὐκ ἔστιν, ἔσται πᾶν λευκὸν ζῶον· ἔστι δὲ καὶ τὶς λίθος λευκός· εἰ τὶς λίθος λευκός· πᾶν δὲ τὸ λευκὸν ζῶον· τὶς λίθος ζῶον. Ἀλλ' ὑπέκειτο καὶ οὐδείς.

κα'. Ὁ πέμπτος τρόπος. Πᾶς ἄνθρωπος ζῶον· τὶς ἄνθρωπος λευκός· τὶ ζῶον λευκόν. Ἀντεστράφθω ἡ μείζων· Εἴ τὶς ἄνθρωπος λευκὸς, καὶ τὶ λευκὸν ἄνθρωπος· πᾶς δὲ ἄνθρωπος ζῶον· τὶ ἄρα λευκὸν ζῶον. Ἀντεστράφθω καὶ τὸ συμπέρασμα· Εἰ τὶ λευκὸν ζῶον· καὶ τὶ ζῶον λευκόν.

D κβ'. Ὁ ἕκτος τρόπος καὶ ὕστατος· Πᾶς ἄνθρωπος ζῶον· οὐ πᾶς ἄνθρωπος μέλας· οὐ πᾶν ζῶον μέλαν. Ἀλλ' οὗτος ὁ τρόπος πρὸς τὸ πρῶτον σχῆμα δι' ἀντιστροφῆς οὐκ ἀνάγεται. Γίνεται γὰρ ἐκ δύο μερικῶν προτάσεων πρὸς τὴν τὶς ἀντιστρεφούσης τῆς πᾶς. Ὅθεν διὰ μόνης τῆς εἰς ἀδύνατον τελειοῦται ἀπαγωγῆς· εἰ γὰρ ψευδὲς τὸ μὴ πᾶν ζῶον εἶναι μέλαν, ἀληθὲς ἂν εἴη τὸ ἀντιφατικῶς ἀντικείμενον, ἤγουν τὸ πᾶν ζῶον εἶναι μέλαν. Ἀλλ' ἦν καὶ πᾶς ἄνθρωπος ζῶον. Εἰ τοίνυν πᾶς ἄνθρωπος ζῶον· πᾶν δὲ ζῶον μέλαν· πᾶς ἄνθρωπος μέλας. Ὑπέκειτο δὲ καὶ τὸ οὐ πᾶς, ὅπερ ἄτοπον.

16. Sic quidem igitur secunda figura ad primam reducitur. Tertia autem sic.

17. Primus modus tertiæ figuræ : Omnis homo animal ; omnis homo, rationale ; quoddam animal, rationale. Minor convertatur : Si omnis homo animal ; et quoddam animal homo ; omnis autem homo, rationale ; quoddam igitur animal rationale. (Sic quidem ostensive, per impossibile vero ita :) Si non quoddam animal, rationale ; nullum animal, rationale. Omnis autem homo, animal. Si omnis homo animal, et nullum animal, rationale ; nullus homo erit rationale. Sed supponebatur etiam, omnis.

18. Secundus modus tertiæ figuræ : Omnis nix, alba : nulla nix, animal : non omne album, animal. Convertatur minor : Si omnis nix, alba ; et, aliquod **355** quod album, nix : nulla autem nix, animal : non ergo omne album, animal. Si hoc non sit, omne album, erit animal. Est autem etiam omnis nix alba ; igitur si omnis nix, alba, omne autem album, animal ; omnis ergo nix, animal. Erat autem etiam nulla nix, animal.

19. Tertius modus : Aliquis homo, niger : omnis homo animal : aliquod nigrum animal. Convertatur minor : Si aliquis homo, niger, et aliquod nigrum homo erit : omnis autem homo animal : quare aliquod nigrum animal. Sin hoc falsum sit, nullum nigrum erit animal : aliquis autem homo, niger. Si aliquis homo niger ; et nullum nigrum animal, non omnis homo animal. Erat autem etiam omnis (homo animal).

20. Quartus modus : Aliquis lapis, albus : nullus lapis animal : non omne album animal. Convertatur minor : Si aliquis lapis, albus : etiam aliquod album, lapis. Nullus autem lapis, animal ; Non ergo omne album, animal. Si hoc non sit, erit omne album, animal. Est autem etiam aliquis lapis, albus. Si aliquis lapis, albus ; omne autem album animal : aliquis lapis, animal. Sed supponebatur etiam nullus (lapis animal).

**356** 21. Quintus modus est, Omnis homo, animal : aliquis homo albus, aliquod animal, album. Convertatur major : Si aliquis homo, albus, et aliquod album homo. Omnis autem homo, animal ; aliquod ergo album animal. Convertatur etiam conclusio : Si aliquod album, animal ; etiam aliquod animal album.

22. Sextus et ultimus modus : Omnis homo, animal : non omnis homo, niger : non omne animal, nigrum. Sed hic modus ad primam per conversionem non reducitur. Fit enim ex duabus particularibus propositionibus, dum (universalis affirmativa) omnis in (particularem affirmativam) aliquis convertitur. Unde per solam deductionem ad impossibile perficitur. Si enim falsum hoc sit, non omne animal esse nigrum, verum fuerit contradictione oppositum, hoc nimirum, omne animal esse nigrum. Sed erat etiam, omnis homo animal. Quod si igitur omnis homo animal ; omne



OCR ABK / FR

autem animal nigrum; omnis homo, niger. Supponebatur autem etiam, non omnis (homo niger), quod absurdum est.

23. Fieri autem potest etiam aliter ex eo quod est in toto et non in toto duarum reliquarum **357** figurarum ad primam reductio. Eodem modo etiam ex eo quod est de omni et de nullo, sive per conversionem sive per deductionem ad impossibile reductio ejusmodi efficiatur.

24. Cæterum quoniam philosophia, quemadmodum sæpe dictum est, universalia quærit et circa ea occupatur et tertius quartusque modus primæ figuræ particularia colligunt, et ipsi ad eosdem qui universaliter in eadem prima figura colligunt, ad primum inquam et secundum modum reducuntur, cum prius ostensione per impossibile ad universaliter colligentes in secunda figura et exinde per eos ad universales primæ figuræ syllogismos reducuntur.

25. Velut tertius modus primæ figuræ: Aliquod animal: homo; omnis homo, risibile; aliquod animal, risibile: si non est aliquod animal, risibile; nullum animal, risibile erit. Est autem etiam omnis homo, risibile, et colligitur juxta secundum modum secundæ figuræ: nullum animal, homo. Supponebatur autem etiam aliquod animal homo.

26. Quartus modus primæ figuræ: Aliquis Æthiops grammaticus; nullus grammaticus **358** solœcista; non omnis Æthiops solœcista. Si non est, hoc (verum), omnis Æthiops (erit) solœcista. Atqui etiam nullus grammaticus est solœcista. Colligitur ergo in primo modo secundæ figuræ, Nullus Æthiops, grammaticus. Supponebatur autem etiam aliquis (Æthiops solœcista).

27. Quoniam igitur tertius et quartus modus primæ figuræ ad secundæ figuræ universales syllogismos referuntur: hi autem iterum ad eos qui in prima figura universaliter colligunt, quemadmodum ante ostendimus, reducuntur; satis manifestum est, quod etiam tertius modus primæ figuræ et quartus ad universaliter concludentes in eadem prima figura referantur. Nam et hoc exemplis commonstratum est. Igitur etiam ad primum et secundum modum primæ figuræ omnes redigentur, nec ulla uspiam particularis conclusio secundum hanc methodum invenietur.

A κγ'. Δυνατὸν δὲ καὶ ἄλλως ἐκ τοῦ ἐν ὅλῳ καὶ οὐκ ἐν ὅλῳ ποιήσασθαι τὴν εἰς τὸ πρῶτον σχῆμα τῶν λοιπῶν δύο σχημάτων ἀναγωγήν. Ὡσαύτως (δὲ) καὶ ἀπὸ τοῦ κατὰ παντὸς καὶ κατ' οὐδενός· κἄν τε τι' ἀντιστροφῆς ἡ τοιαύτη ἀναγωγὴ ἐκπεραίνοιτο, κἄν τε διὰ τῆς εἰς ἄτοπον ἀπαγωγῆς.

κδ'. Ἀλλ' ἐπεὶ φιλοσοφία, καθὰ πολλάκις εἴρηται, τὰ καθόλου ζητεῖ, καὶ περὶ αὐτὰ καταγίνεται· μερικὰ δὲ συνάγουσιν ὅ τε τρίτος καὶ ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος, ἀνάγονται καὶ αὐτοὶ πρὸς τοὺς ἐν τῷ αὐτῷ πρώτῳ σχήματι τὸ καθόλου συνάγοντας, τὸν πρῶτον τρόπον φημὶ καὶ τὸν δεύτερον· πρότερον τῇ δι' ἀδυνάτου δείξει πρὸς τοὺς ἐν δευτέρῳ σχήματι τὸ καθόλου συνάγοντας ἀναγόμενοι, καὶ δι' αὐτῶν ἔκτοτε πρὸς τοὺς τοῦ πρώτου σχήματος
B καθόλου συλλογισμούς.

κε'. Οἷον ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος· Τὶ ζῶον ἄνθρωπος· πᾶς ἄνθρωπος γελαστικόν· τὶ ζῶον γελαστικόν· εἰ μὴ ἔστι τι ζῶον γελαστικόν· οὐδὲν ζῶον ἔσται γελαστικόν. Ἔστι δὲ καὶ πᾶς ἄνθρωπος γελαστικὸν, καὶ συνάγεται κατὰ τὸν δεύτερον τρόπον τοῦ δευτέρου σχήματος, Οὐδὲν ζῶον ἄνθρωπος. Ὑπέκειτο δὲ καὶ, Τὶ ζῶον ἄνθρωπος.

κς'. Ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος· Τὶς Αἰθίοψ γραμματικός· οὐδεὶς γραμματικὸς σολοικιστής· οὐ πᾶς Αἰθίοψ σολοικιστής. Εἰ μὴ τοῦτο, πᾶς Αἰθίοψ σολοικιστής· ἔστι δὲ καὶ οὐδεὶς γραμματικὸς σολοικιστής· συνάγεται τοίνυν ἐν δευτέρῳ τρόπῳ τοῦ δευτέρου σχήματος, Οὐδεὶς Αἰθίοψ γραμματικός. Ὑπέκειτο δὲ καὶ τίς.

C

κζ'. Ἐπεὶ τοίνυν ὁ τρίτος καὶ ὁ τέταρτος τρόπος τοῦ πρώτου σχήματος εἰς τοὺς τοῦ δευτέρου σχήματος ἀναφέρονται καθόλου συλλογισμούς· οὗτοι δὲ πάλιν ἀνάγονται πρὸς τοὺς ἐν τῷ πρώτῳ σχήματι, τὸ καθόλου συνάγοντας, καθάπερ προϋπεδείξαμεν· εὔδηλον ὅτι καὶ ὁ τρίτος τρόπος τοῦ πρώτου σχήματος, καὶ ὁ τέταρτος εἰς τοὺς ἐν αὐτῷ τῷ πρώτῳ σχήματι τὸ καθόλου συμπεραίνοντας ἀναχθήσονται. Εἰ πάντες δὲ συλλογισμοὶ πρὸς τὸ πρῶτον ἀναφέρονται σχῆμα (καὶ τοῦτο γὰρ ὑποδέδεικται)· καὶ πρὸς τὸν πρῶτον ἄρα καὶ δεύτερον τρόπον τοῦ πρώτου σχήματος ἀναβιβασθήσονται σύμπαντες, καὶ οὐδὲν εὑρεθήσεταί που συμπέρασμα μερικὸν κατὰ ταύτην τὴν μέθοδον.

**359** *Tabula capitis* 35.

Syllogismi sunt alii { perfecti, ut qui sunt primæ figuræ, imperfecti, ut qui sunt secundæ et tertiæ figuræ qui reductione ad primam opus habent.

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Cesare<br>Camestres<br>Festino<br>Baroco | reducitur ostensive ad | Celarent<br>Celarent<br>Ferio<br>Nullum | per impossibile ad | Ferio<br>Darii<br>Celarent<br>Barbara | o et a<br>i et e<br>a et i<br>a et o | contradicunt |

OCR ABK / FR

| | | | | | | |
|---|---|---|---|---|---|---|
| Darapti | reducitur ostensive ad | Darii | per impossibile ad | Celarent | e et a | contradicunt |
| Felapton | | Ferio | | Barbara | a et e | |
| Datisi | | Darii | | Ferio | o et a | |
| Ferison | | Ferio | | Darii | i et e | contraria sunt |
| Dizamis | | Darii | | Celarent | e et i | |
| Bocardo | | Nullum | | Barbara | a et o | |

Reductio alia est { ostensiva, Græcis δεικτική, quæ fit propositionem conversionibus, per deductionem ad impossibile; qua aliquo veluti conclusioni syllogismi contradicente aut uni ex propositionibus, contradictione repugnans sumitur et inde impossibile aliquid et absurdum colligitur.

—

## 360 SYNOPSIS CAPITIS XXXVI.

### QUOD EST DE HYPOTHETICIS SEU CONDITIONALIBUS SYLLOGISMIS.

1. *Quatuor partes integrales syllogismi hypothetici constituit.* — 2. *Ostendit antecedens et consequens vel secundum continuitatem proferri et dici connexum; vel secundum discretionem et dici disjunctum.* — 3. *Exemplo hæc declarat.* — 4. *Priorem modum exponit hypotheticorum syllogismorum secundum continuitatem.* — 5. *Posteriorem.* — 6. *Docet in utroque modo antecedens et consequens non uno tantum, sed quatuor modis posse sumi, quorum primus est positus.* — 7. *Secundus.* — 8. *Tertius.* — 9. *Quartus.* — 10. *Concludit de his duobus modis hypotheticorum syllogismorum secundum continuitatem et de eorum quadruplici varietate.* — 11. *Accedit ad modos qui sunt secundum distantiam et primum exponit subjiciens in quibus rebus is adhibeatur.* — 12. *Secundum.* — 13. *Tertium.* — 14. *Concludit de tribus modis hypotheticorum syllogismorum secundum distantiam.* — 16*. *Quando possit disjunctum adhiberi et non tantum unius positione reliquum vel reliqua removeri, sed etiam unius vel duorum remotione poni reliquum, ut in secundo et tertio modo.* — 17. *Sextum modum hypotheticorum syllogismorum proponit et describit.* — **361** 18. *Facit ejus quatuor modos.* — 19. *Singulorum singula exempla proponit.* — 20. *Per* ἀνακεφαλαίωσιν *sex modos syllogismorum hypotheticorum expositos repetit.*

—

A

## ΚΕΦΑΛ. Λϛʹ.

### Περὶ τῶν ὑποθετικῶν συλλογισμῶν.

αʹ. Πᾶς ὑποθετικὸς συλλογισμὸς ἡγούμενον ἔχει τι καὶ ἑπόμενον πρόσληψιν καὶ συμπέρασμα.

βʹ. Τὸ δ' ἡγούμενον καὶ τὸ ἑπόμενον ἢ κατά τινα συνεχῆ καὶ ἀδιάσπαστον ἀκολουθίαν προάγονται, καὶ λέγονται ὁμοῦ συνημμένον, ὅτε καὶ τὸ ἑπόμενον ἓν πρᾶγμά ἐστιν· ἢ κατὰ διάκρισιν προφέρονται καὶ διάστασιν, καὶ ὁμοῦ λέγονται διεζευγμένον· ὅτε καὶ τὸ ἑπόμενον ἐκ διαφόρων πραγμάτων συνέστηκεν.

γʹ. Οἷον· Εἰ ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστιν. Ἀλλὰ μὴν ἄνθρωπός ἐστι. Καὶ ζῶον ἄρα ἐστί. Τὸ μὲν, Εἰ ἄνθρωπός ἐστι, καλεῖται ἡγούμενον· τὸ δὲ, Καὶ ζῶόν ἐστι, ἑπόμενον λέγεται· διότι τὸ ζῶον ἕπεται τῷ ἀνθρώπῳ συνεισφερόμενον· ὁ δ' ἄνθρωπος ἡγεῖται τοῦ ζώου συνεισφέρων αὐτό. Πάντοτε δὲ τὸ ἑπόμενον ἢ ἐπιπλέον, ἢ ἐπίσης εἶναι τοῦ ἡγουμένου χρεών· ἐπ' ἔλαττον δὲ οὐδέποτε· τοῦτο δ' ὅλον, Εἰ ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστι, συνημμένον κατονομάζεται, διὰ τὸ συνῆφθαι ἀλλήλοις τὸ ἡγούμενόν τε καὶ τὸ ἑπόμενον. Τὸ δ', Ἀλλὰ μὴν ἄνθρωπός ἐστι, πρόσληψις καλεῖται καί γε μετάληψις. Δηλοῦσι δὲ καὶ ἀμφότερα τὰ ὀνόματα τὸ δὶς λαμβάνεσθαι τὸ αὐτό. Τὸ δὲ, Καὶ ζῶον ἄρα ἐστὶ, τοῦτο συμπέρασμα. Πάλιν· Ὁ δέκα ἢ ἄρτιός ἐστιν, ἢ περιττός. Ἀλλὰ μὴν οὐ περιττός. Ἄρτιος ἄρα. Ἡγούμενον μὲν, ὁ δέκα· ἑπόμενον δὲ τὸ, ἢ ἄρτιός ἐστιν ἢ περιττός. Τοῦτο δ' ὅλον, τὸ, Ὁ δέκα ἢ ἄρτιός ἐστιν ἢ περιττὸς,

## CAPUT XXXVI.

### *De hypotheticis seu conditionalibus syllogismis.*

1. Omnis syllogismus hypotheticus antecedens aliquod habet et consequens, assumptionem et conclusionem.

2. Antecedens autem et consequens aut secundum continuam aliquam et indistractam consecutionem producuntur et connexum simul dicuntur, quando etiam consequens res una est: aut secundum discretionem et distantiam proferuntur, et simul dicuntur disjunctum, quando etiam consequens ex rebus diversis constat.

3. Veluti: Si homo est, et animal est. Atqui homo est. Ergo etiam animal est. Hoc quidem, Si homo est, antecedens vocatur, hoc autem, Et animal est, consequens dicitur; propterea quod animal sequi-
B tur ad hominem, quod coinfertur ab eo; homo autem antecedit, ut qui coinferat ipsum. (Semper autem consequens aut latius aut æquale antecedenti esse oportet, nunquam vero minus.) At totum hoc, Si homo est, et **362** animal est, connexum denominatur, propterea quod antecedens et consequens invicem connexa sint. Sed hoc, atqui homo est, assumptio et transsumptio vocatur. Ambo autem vocabula designant bis idem accipi. At hoc, Ergo etiam animal est, est conclusio: Iterum, Decem aut par est aut impar. Atqui non est impar. Par igitur. Antecedens quidem, decem: consequens autem, aut par est aut impar. Totum autem hoc Decem aut par aut impar est, disjunctum vo-

* Deest analysis num. 15, qui tamen in textu legitur.

OCR ABK / FR

catur. Hic enim disseparatio et disjunctio consideratur.

4. Primus quidem igitur modus hypotheticorum secundum continuitatem est qui positione antecedentis simul infert consequens : veluti, Si nox est, sol infra terram est. Atqui non est ; sol igitur infra terram est.

5. Secundus modus juxta continuitatem syllogismorum hypotheticorum est, qui ex remotione consequentis simul removet antecedens : velut, Si hoc homo est, et animal est. Atqui non est animal ; neque igitur homo est. In hoc autem modo totus per omnia character servatur conversionis per contrapositionem.

6. Porro existimandum non est, in utrovis **363** horum duorum modorum necesse esse affirmative semper accipere antecedens et consequens. Contingit enim etiam utraque affirmative accipere, quemadmodum in modo dictis exemplis. Fieri autem potest etiam ut vel utraque sint negativa ; aut antecedens quidem affirmativum, consequens autem negativum, aut contra.

7. Ex utrisque negativis prior modus : Si non est hoc animal, neque homo est. Atqui non est animal. Neque igitur homo est. Antecedens quidem igitur est in hoc conditionali, non esse hoc animal : consequens autem, hoc non esse hominem. Positione igitur hujus quod non sit animal, simul inferimus, non esse hominem. Posterior modus ex duobus negativis : Si non est hoc animal, neque homo est. Atqui homo est ; ergo etiam animal est. Antecedens quidem in hoc est, non esse animal : consequens autem hoc, non esse hominem. Remotione igitur hujus, non esse hominem, simul etiam removetur non esse animal. **364** Atqui cum τὸ non esse removetur, τὸ esse ponitur.

8. Ex antecedente affirmativo et consequente negativo prior modus hic est : Si dies est, nox non est. Atqui dies est ; nox igitur non est. Posterior modus : Si unum esset homo, nunquam doleret. Atqui dolet ; non igitur est unum.

9. Ex antecedente negativo et consequente affirmativo prior modus hic : Si dies non est, sol infra terram est. Sed dies non est ; sol igitur infra terram est. Posterior modus : Si non esset homo compositus, simplex et uniforme esset quod sanaret ipsum. Atqui non est simplex et uniforme quod sanat ipsum ; homo igitur est compositus.

10. Hi quidem igitur duo modi ex hypothesi syllogismorum sunt, et sic constituuntur cum juxta continuitatem, ut dictum est, producantur.

11. Eorum autem qui secundum distantiam proferuntur, ubi etiam consequens ex rebus differentibus constat, unus est ex negativa complexione qui positione unius eorum quæ sunt in consequente, reliquum aut reliqua removet. Accipitur autem hic modus vel in rebus nullo prorsus modo oppositis, vel in mediate oppositis et medium infinitum

A καλεῖται διεζευγμένον. Θεωρεῖται γὰρ ἐνταυθοῖ διαχωρισμὸς καὶ διάζευξις.

δ'. Πρῶτος μὲν οὖν τρόπος τῶν ὑποθετικῶν ὁ κατὰ συνέχειαν, τῇ θέσει τοῦ ἡγουμένου συνεισάγων τὸ ἑπόμενον· οἷον, Εἰ ἔστι νύξ, ὁ ἥλιος ὑπὸ γῆν ἐστιν. Ἀλλὰ μὴν ἔστι νύξ· ὁ ἥλιος ἄρα ὑπὸ γῆν ἐστιν.

ε'. Δεύτερος τρόπος ὁ κατὰ συνέχειαν, τῇ ἀναιρέσει τοῦ ἑπομένου συναναιρῶν τὸ ἡγούμενον· οἷον, Εἰ τόδε ἄνθρωπός ἐστι, καὶ ζῶόν ἐστιν. Ἀλλὰ μὴν ζῶον οὐκ ἔστιν· οὐδὲ ἄνθρωπος ἄρα. Ἐν τούτῳ δὲ τῷ τρόπῳ σώζεται σύμπας ὁ χαρακτὴρ τῆς σὺν ἀντιθέσει ἀντιστροφῆς.

ϛ'. Οὐ δεῖ δὲ νομίζειν ἐν ὁποτερῳοῦν τούτων τῶν
B δύο τρόπων ἀναγκαῖον εἶναι καταφατικῶς πάντοτε λαμβάνειν τὸ ἡγούμενόν τε καὶ τὸ ἑπόμενον. Ἐνδέχεται μὲν γὰρ καὶ ἄμφω καταφατικῶς λαμβάνειν, ὡς ἐπὶ τῶν προσεχῶς εἰρημένων ὑποδειγμάτων. Δυνατὸν δὲ καὶ ἄμφω γε ἀποφατικά, ἢ τὸ μὲν ἡγούμενον καταφατικόν, τὸ δ' ἑπόμενον ἀποφατικόν, ἢ τὸ ἀνάπαλιν.

ζ'. Οἷον ἐκ δύο ἀποφατικῶν ὁ πρῶτος τρόπος· Εἰ μὴ ἔστι τόδε ζῶον, οὐδὲ ἄνθρωπός ἐστίν. Ἀλλὰ μὴν οὐκ ἔστι ζῶον. Οὐδὲ ἄνθρωπος ἄρα ἐστίν. Ἡγούμενον μὲν γὰρ ἐν τούτῳ τῷ ὑποθετικῷ τὸ μὴ εἶναι τόδε ζῶον· ἑπόμενον δὲ τὸ μὴ εἶναι ἄνθρωπον. Τῇ θέσει γοῦν τοῦ μὴ εἶναι ζῶον συνεισάγομεν τὸ μὴ εἶναι ἄνθρωπον. Ὁ δεύτερος τρόπος ἐκ τῶν δύο ἀποφατικῶν· Εἰ μὴ ἔστι τόδε ζῶον, οὐδὲ ἄνθρωπός ἐστιν. Ἀλλὰ μὴν ἄνθρωπός ἐστι· καὶ ζῶον ἄρα
C ἐστίν. Ἡγούμενον μὲν ἐν τούτῳ τὸ μὴ εἶναι ζῶον· ἑπόμενον δὲ τὸ μὴ εἶναι ἄνθρωπον. Τῇ γοῦν ἀναιρέσει τοῦ μὴ εἶναι ἄνθρωπον ἀναιρεῖται καὶ τὸ μὴ εἶναι ζῶον· ἀναιρουμένου δὲ τοῦ μὴ εἶναι τίθεται τὸ εἶναι.

η'. Ἐξ ἡγουμένου καταφατικοῦ καὶ ἑπομένου ἀποφατικοῦ πρῶτος τρόπος οὗτος· Εἰ ἡμέρα ἐστί, νὺξ οὐκ ἔστιν. Ἀλλὰ μὴν ἡμέρα ἐστί· νὺξ ἄρα οὐκ ἔστιν. Ὁ δεύτερος τρόπος. Εἰ ὂν ὁ ἄνθρωπος, οὐδέποτ' ἂν ἤλγεεν (ἤλγει). Ἀλγεῖ δέ· οὐκ ἄρα ἕν ἐστιν.

θ'. Ἐξ ἀποφατικοῦ ἡγουμένου καὶ καταφατικοῦ ἑπομένου πρῶτος τρόπος οὗτος. Εἴπερ οὐκ ἔστιν ἡμέρα, ὁ ἥλιος ὑπὸ γῆν ἐστιν. Ἀλλὰ μὴν ἡμέρα οὐκ ἔστιν· ὁ ἥλιος ἄρα ὑπὸ γῆν ἐστιν. Ὁ δεύτερος τρόπος· Εἰ οὐκ ἦν ὁ ἄνθρωπος σύνθετος, ἁπλοῦν ἂν
D ἦν καὶ μονοειδὲς τὸ ἰώμενον αὐτόν. Ἀλλὰ μὴν οὐκ ἔστιν ἁπλοῦν καὶ μονοειδὲς τὸ ἰώμενον αὐτόν· σύνθετος ἄρα ὁ ἄνθρωπος.

ι'. Οὗτοι μὲν οὖν οἱ δύο τρόποι τῶν ἐξ ὑποθέσεως συλλογισμῶν, καὶ οὕτω συνίστανται κατὰ συνέχειαν, ὡς εἴρηται, προαγόμενοι.

ια'. Τῶν δὲ προφερομένων κατὰ διάστασιν, ἔνθα καὶ διάφορα πράγματα τὸ ἑπόμενον, ὁ μὲν ἔστιν ἐξ ἀποφατικῆς συμπλοκῆς τῇ θέσει τῶν τοῦ ἑπομένου ἑνὸς ἀναιρῶν τὸ ἕτερον, ἢ τὰ ἕτερα. Λαμβάνεται δ' οὗτος ἢ ἐπὶ τῶν μηδ' ὅλως ἀντικειμένων πραγμάτων ἢ ἐπὶ τῶν ἀντικειμένων ἐμμέσως καὶ τὸ μέσον ἐχόντων ἀόριστον. Ἐπὶ τῶν ἐμμέσως ἀντι-

OCR ABK / FR

κειμένων, καὶ ἀόριστον ἐχόντων τὸ μέσον, οὕτως· A Ὁ κόραξ οὐχὶ (καὶ) λευκὸς καὶ μέλας ἐστίν. Ἀλλὰ μὴν μέλας· οὐκ ἄρα λευκός. Καὶ πάλιν· Ὁ κύκνος οὐχὶ καὶ λευκὸς καὶ μέλας ἐστὶ, καὶ κιῤῥὸς καὶ φαιός. Ἀλλὰ μὴν λευκός· οὐκ ἄρα τὰ λοιπά. Ἐπὶ τῶν οὐκ ἀντικειμένων οὕτως· Τὸ ὁρώμενον οὐχὶ καὶ ἄνθρωπος καὶ ἵππος καὶ βοῦς καὶ κύων ἐστίν. Ἀλλὰ μὴν ἄνθρωπος· οὐκ ἄρα τὰ ἕτερα. Καὶ οὗτος μὲν τρίτος τρόπος τῶν ὑποθετικῶν.

ιβ'. Τέταρτος ὁ ἐκ διαζευκτικοῦ τῇ θέσει τῶν τοῦ ἑπομένου ἑνὸς τὸ λοιπὸν ἀναιρῶν ἢ τὰ λοιπά. Λαμβάνεται δ' οὗτος ἐπί τε τῶν ἀμέσως ἀντικειμένων, ἐπί τε τῶν ἐμμέσως, ἀλλ ὡρισμένον ἐχόντων τὸ μέσον. Καὶ ἀμέσως μὲν, ὡς, Ὁ δέκα ἢ ἄρτιός ἐστιν ἢ περιττός. Ἀλλὰ μὴν ἄρτιος· οὐκ ἄρα περιττός. Ἐμμέσως δὲ καὶ ὡρισμένως, οἷον, Τόδε τοῦδε ἢ B μεῖζόν ἐστιν, ἢ ἔλαττον, ἢ ἴσον. Ἀλλὰ μὴν ἴσον τυχόν· οὐκ ἄρα μεῖζον οὐδ' ἔλαττον.

ιγ'. Πέμπτος τρόπος ὁ ἐκ διαζευκτικοῦ, τῇ ἀναιρέσει τῶν τοῦ ἑπομένου ἑνὸς, ἢ καὶ τῶν ἄλλων παρὰ τὸ ἕν, εἰσφέρων τὸ λοιπόν. Λαμβάνεται δὲ καὶ οὗτος ἐφ' ὧν καὶ ὁ τέταρτος· οἷον, Ὁ ἓξ ἢ ἄρτιός ἐστιν, ἢ περιττός. Ἀλλὰ μὴν οὐκ ἔστι περιττός· ἄρτιος ἄρα. Καὶ πάλιν· Ὁ ἓξ ἢ τέλειός ἐστιν, ἢ ἀτελής, ἢ ὑπερτελής. Ἀλλὰ μὴν οὔτ' ἀτελής, οὔθ' ὑπερτελής· τέλειός ἐστιν ἄρα.

ιδ'. Οὗτοι τοίνυν οἱ τρεῖς τρόποι, κατὰ διάζευξιν ὑπάρχοντες καὶ διάστασιν, οὕτω προφέρονται.

ιε'. Καὶ γὰρ ὅτε μηδαμῶς ἀντίκεινται τὰ πράγματα, ἢ ἀντίκεινται μὲν, ἀλλ' ἐμμέσως καὶ τὸ μέσον ἀόριστον ἔχουσιν· ἀδύνατον τότε πᾶσιν ἐπεξελ- C θεῖν, καὶ διὰ τοῦτο διαζευκτικῶς οὐκ ἔστι ταῦτα προαγαγεῖν· οὔτ' αὖ τῇ ἀναιρέσει τοῦ ἑτέρου ἢ τῶν ἑτέρων εἰσαγαγεῖν τὸ λοιπόν. Οὐδὲ γὰρ, εἰ μὴ ἔστιν ἄνθρωπος, ἤδη ἵππος ἐστίν· οὔτ' αὖ εἰ οὐκ ἔστι λευκὸν ἢ μέλαν, ἔσται φαιόν· τοίνυν ἀντὶ μὲν τοῦ διαζευκτικοῦ χρηστέον τῇ τῆς ἀποφάσεως συμπλοκῇ· τῇ θέσει δὲ τοῦ ἑτέρου τὸ ἕτερον ἀναιρετέον ἢ τὰ ἕτερα. Οἷον· Οὐχὶ καὶ κύων καὶ λύκος ἐστὶ τὸ ὁρώμενον· ἀλλὰ μὴν λύκος· οὐκ ἄρα κύων. Καὶ πάλιν· Οὐκ ἐρυθρὸν τὸ αὐτὸ (καὶ) φοινικοῦν ὑπάρχει, καὶ πορφυροῦν, καὶ ὠχρόν. Ἀλλὰ μὴν φοινικοῦν· οὐκ ἄρα τὰ ἕτερα.

ις'. Ὅτε δὲ ἢ ἀμέσως ἀντίκεινται τὰ πράγματα ἢ ἐμμέσως μὲν, ὡρισμένον δὲ τὸ μέσον ἐστὶν αὐτοῖς, τότε διαζευκτικῶς προαχθήσονται· καὶ μὴ μό- D νον ἀναιρεθήσεται τὸ ἕτερον ἢ τὰ ἕτερα τῇ θέσει τοῦ ἑνὸς, ἀλλὰ καὶ τῇ ἀναιρέσει τῶν ἄλλων τεθήσεται τὸ λειπόμενον.

ιζ'. Ἕτερος τρόπος παρὰ τοὺς εἰρημένους ὁ ἐξ ὅλων ὑποθέσεων συνεστὼς, ὃς καὶ δι' ὅλου ὑποθετικὸς ὀνομάζεται, πρόσληψιν μὴ ἔχων, ἀλλ' ἐξ ἡγουμένων καὶ ἑπομένων ποιούμενος τὸ συμπέρασμα.

ιη'. Δείκνυσι δὲ, τίνος ὄντος, τί ἔστιν ἢ τί οὐκ ἔστιν, αὖθίς τε τίνος μὴ ὄντος, τί ἔστιν ἢ τί οὐκ ἔστι.

ιθ'. Καὶ τίνος μὲν ὄντος τί ἐστιν, οὕτως· Εἰ ὁ Θεὸς δίκαιος, ἀνταπόδοσίς ἐστι τῶν βεβιωμένων· εἰ ἀντα-

habentibus. In mediate quidem oppositis et medium infinitum habentibus sic; Corvus non et niger et albus est. Atqui niger est; **365** non ergo albus. Et iterum : Cygnus non et albus et niger et fulvus et fuscus est. Atqui albus; non ergo cætera. In iis quæ non opponuntur sic : Quod videtur, non et homo et bos et canis est. Atqui homo; non ergo et cætera. Et hic quidem tertius hypotheticorum modus est.

12. Quartus qui ex disjunctivo constans positione unius eorum quæ sunt in consequente, reliquum aut reliqua removet. Accipitur autem hic cum in iis quæ immediate, tum quæ mediate opponuntur, sed medium finitum habent. Et immediate quidem, ut, Decem aut par aut impar est. Atqui par; non ergo impar. Mediate autem et finite, veluti : Hoc illo aut majus est, aut minus aut æquale. Atqui æquale fortassis; non ergo majus neque minus.

13. Quintus modus qui ex disjunctivo constans remotiore unius eorum quæ sunt in consequente aut aliorum præter unum, infert reliquum. Accipitur autem et hic iis in rebus in quibus et quartus. Veluti : Sex aut par est aut impar. Atqui non est impar; ergo par. Et iterum : Sex aut perfectus aut **366** imperfectus, aut plusquam perfectus est (numerus). Atqui neque imperfectus, neque plusquam perfectus; igitur perfectus est.

14. Hi igitur tres modi qui ex disjunctione et distantia sunt, ita proferuntur.

15. Cum enim res nequaquam opponuntur, aut opponuntur quidem sed mediate et medium infinitum habent, fieri non potest, ut tunc omnia percurramus : et ea de causa non licet ulla disjunctive proferre, neque etiam remotione alterius vel aliorum reliquum inferre; neque enim, si non est homo, protinus equus est. Neque rursus, si non est album aut nigrum, fuscum erit; pro disjunctiva negationis complexione utendum; unius autem positione reliquum aut reliqua removenda. Veluti : Quod videtur non simul et canis et lupus est. Atqui lupus est; non ergo canis est. Et iterum : idem non et rubrum et puniceum et purpureum et pallidum exsistit. Atqui puniceum; non ergo cætera.

16. Quando autem aut immediate res opponuntur aut mediate quidem, sed finitum habent medium, tunc disjunctive producentur; nec tantum positione unius reliquum aut reliqua removebuntur, sed etiam cæterorum remotione quod reliquum est ponetur.

**367** 17. Alius modus est a dictis qui ex totis hypothesibus constat, qui etiam ex toto hypotheticus, qui non habet assumptionem sed ex antecedentibus et consequentibus conclusionem conficit.

18. Ostendit autem quod exsistente quid sit aut quid non sit; et rursus quo non exsistente quid sit aut quid non sit.

19. Et quidem quo exsistente quid sit, ita : Si Deus est justus, tunc in vita factorum est retributio;

OCR ABK / FR

si in vita factorum est retributio, anima immortalis est; si ergo Deus justus est, anima immortalis est. Quo exsistente quid non sit, ita: Si anima rationalis est a se mobilis, nunquam constiterit quin moveatur; si nunquam constiterit quin moveatur, non corrumpetur. Si igitur anima rationalis est a se mobilis, non corrumpetur. Quo non exsistente quid sit, ita: Si non est dies, nox est; si nox est, sol infra terram est. Si igitur non est dies, sol infra terram est. Quo non exsistente quid non sit, ita: Si quod sanat hominem ægrotantem, non est unum; nac unum est a quo ægrotat. Si non est unum a quo ægrotat homo; non est simplex et incompositus. Si igitur quod sanat hominem non est unum, homo non est simplex et incompositus.

**368** 20. Primus modus hypotheticorum qui secundum continuitatem positione antecedentis simul tollit consequens. Secundus modus hypotheticorum qui secundum continuitatem remotione consequentis removet antecedens. Tertius modus hypotheticorum qui secundum distantiam ex negativa complexione constans unius eorum quæ sunt in consequente positione, reliquum aut reliqua removet. Quartus hypotheticorum qui secundum distantiam ex disjunctivo constans unius eorum quæ sunt in consequente positione, reliqua tollit. Quintus modus hypotheticorum qui secundum distantiam ex disjunctivo constans remotione unius eorum quæ sunt in consequente aut aliorum præter unum infert reliquum. Sextus modus hypotheticorum qui ex totis hypothesibus constat et ex toto hypotheticus vocatur.

A πόδοσίς ἐστι τῶν βεβιωμένων, ἀθάνατος ἡ ψυχή· εἰ ὁ Θεὸς ἄρα δίκαιος, ἀθάνατός ἐστιν ἡ ψυχή. Τίνος ὄντος, τί οὐκ ἔστιν, οὕτως· Εἰ ἔστιν ἡ λογικὴ ψυχὴ αὐτοκίνητος, οὔ ποτε σταίη τοῦ κινεῖσθαι· εἰ μήποτε σταίη τοῦ κινεῖσθαι, οὐ φθαρήσεται. Εἰ ἔστιν ἄρα ἡ λογικὴ ψυχὴ αὐτοκίνητος, οὐ φθαρήσεται. Τίνος μὴ ὄντος, τί ἔστιν) οὕτως· Εἰ οὐκ ἔστιν ἡμέρα, νὺξ ἐστιν· εἰ νὺξ ἐστιν, ὁ ἥλιος ὑπὸ γῆν ἐστιν. Εἰ ἄρα οὐκ ἔστιν ἡμέρα, ὁ ἥλιος ὑπὸ γῆν ἐστι. Τίνος μὴ ὄντος, τί οὐκ ἔστιν οὕτως· Εἰ τὸ ἰώμενον νοσοῦντα τὸν ἄνθρωπον οὐκ ἔστιν ἕν, οὐδ' ἐστὶν ἓν ὑφ' ὅτου νοσεῖ. Εἰ δὲ μὴ ἔστιν ἓν ὑφ' ὅτου νοσεῖ, οὐκ ἔστιν ἁπλοῦς ὁ ἄνθρωπος καὶ ἀσύνθετος. Εἰ τὸ ἰώμενον ἄρα νοσοῦντα τὸν ἄνθρωπον οὐκ ἔστιν ἕν, οὐκ ἔστιν ἁπλοῦς ὁ ἄνθρωπος καὶ ἀσύνθετος.

B κ'. Πρῶτος τρόπος τῶν ὑποθετικῶν ὁ κατὰ συνέχειαν, τῇ θέσει τοῦ ἡγουμένου συνεισάγων τὸ ἑπόμενον. Δεύτερος τρόπος τῶν ὑποθετικῶν ὁ κατὰ συνέχειαν, τῇ ἀναιρέσει τοῦ ἑπομένου συναναιρῶν τὸ ἡγούμενον. Τρίτος τρόπος τῶν ὑποθετικῶν ὁ κατὰ διάστασιν, ἐξ ἀποφατικῆς συμπλοκῆς τῇ θέσει τῶν τοῦ ἑπομένου ἑνὸς ἀναιρῶν τὸ ἕτερον ἢ τὰ ἕτερα. Τέταρτος τρόπος των ὑποθετικῶν ὁ κατὰ διάστασιν ἐκ διαζευκτικοῦ, τῇ θέσει τῶν τοῦ ἑπομένου ἑνὸς τὸ λοιπὸν ἀναιρῶν, ἢ τὰ λοιπά. Πέμπτος τρόπος τῶν ὑποθετικῶν ὁ κατὰ διάστασιν ἐκ διαζευκτικοῦ, τῇ ἀναιρέσει τῶν τοῦ ἑπομένου ἑνὸς, ἢ καὶ τῶν ἄλλων παρὰ τὸ ἕν, εἰσφέρων τὸ λοιπόν. Ἕκτος τρόπος τῶν ὑποθετικῶν ὁ ἐξ ὅλων ὑποθέσεων συνεστὼς, καὶ καλούμενος δι' ὅλου ὑποθετικός.

*Tabula capitis 30, De hypotheticis seu conditionalibus syllogismis.*

Omnis syllogismus hypotheticus habet
- antecedens et consequens,
- assumptionem et conclusionem.

Hæc duo proferuntur secundum vel
- continuitatem et dicuntur connexum;
- distantiam et dicuntur disjunctum.

**369** Syllogismorum hypotheticorum sunt sex modi
- Duo secundum continuitatem
  1. Qui positione antecedentis simul infert consequens.
  2. Qui remotione consequentis simul removet antecedens.
- Tres secundum distantiam
  1. Ex negativa complexione constans positione unius eorum quæ sunt in consequente, reliquum aut requa removet.
  2. Ex disjunctivo constans positione unius eorum quæ sunt in consequente, reliquum aut reliqua removet.
  3. Ex disjunctivo constans, remotione unius eorum quæ sunt in consequente aut aliorum præter unum infert reliquum.
- Unus ex toto hypotheticus qui ostendit
  1. Quo existente vel
     1. Quid sit.
     2. Quid non sit.
  2. Quo non existente est
     1. Quid sit.
     2. Quid non sit.

In duobus primis modis hypotheticorum qui sunt secundum continuitatem sumuntur vel
- antecedens et consequens ambo vel
  - affirmativa,
  - negativa.
- antecedens affirmativum et consequens negativum.
- antecedens negativum, consequens affirmativum.

OCR ABK / FR

370 SYNOPSIS CAPITIS XXXVII.

QUOD EST DE SOPHISMATIS IN DICTIONE.

1. *Sex enumerat quæ sophisticos in dictione elenchos faciant.* — 2. *Primum modum sophosticorum elenchorum ex homonymia per exemplum declarat et ostendit qua ratione solvendus sit.* — 3. *Secundum modum ex amphibolia explicat.* — 4. *Secundum modum a primo distinguit.* — 5. *Occupatio, unde in hoc secundo modo significationis diversitas oboriatur.* — 6. *Tertium modum proponit ex compositione.* — 7. *Quartum ex divisione.* — 8. *Ostendit ab aliis hos duos modos elenchorum sophisticorum pro uno poni.* — 9. *Quintum ex accentu proponit modum sophisticorum elenchorum.* — 10. *Sextum ex figura dictionis.*

—

A

ΚΕΦΑΛ. ΑΖʹ.

Περὶ τῶν παρὰ τὴν λέξιν σοφισμάτων.

αʹ. Τὰ ποιοῦντα τοὺς σοφιστικοὺς ἐλέγχους ἕξ εἰσιν ἐν τῇ λέξει, ὁμωνυμία, ἀμφιβολία, σύνθεσις, διαίρεσις, προσῳδία, σχῆμα λέξεως.

βʹ. Παρὰ τὴν ὁμωνυμίαν μὲν σόφισμα· οἷον, Τὰ δέοντα ἀγαθά ἐστι. Τὰ κακὰ δέοντά ἐστι. Τὰ κακὰ ἄρα ἀγαθά ἐστιν. Ὁμώνυμον ἐνταῦθα τὸ δέον. Δηλοῖ γὰρ τὸ πρός τι χρήσιμον καὶ τὸ καθ' αὑτὸ ἀγαθόν. Ἐν μὲν οὖν τῇ ἐλάττονι προτάσει τῇ λεγούσῃ, Τὰ κακὰ δέοντα, τὸ δέον ἀντὶ τοῦ χρησίμου παρείληπται. Χρημάτων γὰρ ἀφαιρέσεις, καὶ καθείρξεις καὶ μάστιγες, καὶ τὰ τοιαῦτα, καθ' αὑτὰ ὄντα κακὰ, χρήσιμά ἐστι πρὸς τοὺς δεομένους σωφρονισμοῦ. Κατὰ δὲ τὴν μείζω πρότασιν, λέγεται τὸ δέον, ὡς B καθ' αὑτὸ ἀγαθόν. Καὶ οὕτως ἐκ τῆς ὁμωνυμίας εὗρε χώραν ὁ παραλογισμός. Χρὴ τοίνυν, ὁμωνύμων ἐρωτωμένων, διαστέλλειν τὰ σημαινόμενα, καὶ οὕτω τὴν ἀπόκρισιν ἀσφαλῆ ποιουμένους, τὸν σοφιστὴν ἀποκρούεσθαι. Πρῶτος μὲν οὖν σοφισμὸς, ὁ παρὰ τὴν ὁμωνυμίαν ἐστί.

γʹ. Δεύτερος ὁ παρὰ τὴν ἀμφιβολίαν· οἷον, Ἆρ' ὃ γινώσκει τις, τοῦτο γινώσκει; Γινώσκει δέ τις τὸ ξύλον. Τὸ ξύλον ἄρα γινώσκει. Τὸ γινώσκει ἀμφίβολον. Οὐ γάρ ἐστι σαφὲς, πότερον ὁ γινώσκων λέγεται γινώσκειν, ἢ τὸ γινωσκόμενον εἶναι τὸ γινῶσκον. Καὶ πάλιν· Ἆρ' ἔστι σιγῶντα λέγειν; Οὐχί. Τί δ' ὅταν λέγῃ τις ξύλα καὶ λίθους, οὐ λέγει σιγῶντα; Ἔστιν ἄρα σιγῶντα λέγειν. Ἀμφιβάλλεται τὸ σιγῶντα, ποῦ τακτέον· πότερον πρὸς τὸν λέγοντα, ἤτοι τὸν ἄνθρωπον, ἢ πρὸς τὰ λεγόμενα, ἤγουν τὰ C πράγματα.

δʹ. Διενήνοχε δὲ τοῦ παρὰ τὴν ὁμωνυμίαν τρόπου ὁ παρὰ τὴν ἀμφιβολίαν· ὅτι ὁ μὲν παρὰ τὴν ὁμωνυμίαν ἐξ αὐτοῦ τοῦ ὀνόματος διάφορα σημαίνοντος τὴν ἀπάτην εἰσάγει· ὁ δὲ παρὰ τὴν ἀμφιβολίαν ἐκ τοῦ λόγου ποιεῖται τὴν πλάνην, δηλοῦντος οὐχ ἕν. Ἐκληπτέον δὲ λόγον ἐνταῦθα τὴν τῶν λέξεων σύνταξιν, ὄνομα δὲ τὴν λέξιν ἁπλῶς. Τὸ μὲν γὰρ δέον δηλοῖ πλείω κατὰ πᾶσαν πτῶσιν μετακλινόμενον, ὅθεν καὶ ὁμώνυμον λέγεται.

εʹ. Τὸ δὲ γινώσκει καὶ τὸ σιγῶντα, καὶ τὰ τοιαῦτα, τὰ διάφορα σημαίνειν ἔσχον ἐκ τῆς τοιᾶσδε συντάξεως. Ὅθεν εἴ τις οὕτως ἐρεῖ. Ὃ ἐγὼ γινώσκω, ἐκεῖνο γινώσκω. Καὶ πάλιν, Ἆρ' ἔστι σοι λέγειν σιγῶντι; τὸ ἀμφίβολόν ἐστιν οὐδέν. Εἰ δὲ τὸ δέον D ἀγαθὸν εἴποι τις, ἢ ἔστι τῷ δέοντι ἀγαθὸν, ἢ ὅπωσ-

CAPUT XXXVII.

*De sophismatis in dictione.*

1. Sex sunt quæ sophisticos elenchos faciunt in dictione; homonymia (æquivocatio), amphibolia (ambiguitas), compositio, divisio, prosodia (accentus), figura dictionis.

2. Ex homonymia sophisma: exempli gratia: Τὰ δέοντα sunt bona. Mala sunt δέοντα. Mala igitur bona sunt. Hic τὸ δέον est homonymum. Designat enim et quod utile est ad aliquid, et quod per se bonum est. In minore quidem propositione dicente, Mala sunt δέοντα, τὸ δέον 371 pro utili assumptum est. Pecuniarum enim ademptiones, et carcerum pœnæ et flagra et ejusmodi, cum per se mala sint, utilia tamen sunt ad eos qui castigatione indigent. In majore autem propositione τὸ δέον dicitur ut per se bonum. Atque ita ex homonymia paralogismus (falsa ratiocinatio) locum invenit. Oportet igitur cum homonyma ratiocinio inducuntur distinguere significata, atque sic firmam responsionem faciendo sophistam repellere. Primum igitur, hoc ex homonymia sophisma est.

3. Secundum ex ambiguitate. Velut, Num quod aliquis cognoscit, hoc cognoscit? Cognoscit autem aliquis lignum. Ergo lignum cognoscit; τὸ cognoscit est ambiguum. Non enim constat utrum is qui cognoscit, dicatur cognoscere; an quod cognoscitur, esse cognoscens. Et rursus: Num licet σιγῶντα dicere? Non. Quid, an cum quis dicit ligna et lapides, nonne dicit σιγῶντα? Licet igitur σιγῶντα dicere. Ambiguitur τὸ σιγῶντα quo referendum? ad dicentemne, sive hominem; an vero ad ea quæ dicuntur, ad res nimirum.

4. Differt autem modus ex amphibolia ab eo qui ex homonymio, quod qui ex homonymia 372 est, ex ipso nomine diversa significante deceptionem inducit; qui autem ex ambiguitate est, ex oratione non unum significante committit. Accipienda autem est hic oratio pro dictionum constructione; nomen pro dictione simpliciter. Τὸ δέον enim omni casu declinatum plura denotat: unde etiam homonymum dicitur.

5. Τὸ γινώσκει autem et τὰ σιγῶντα et quæ sunt hujus generis quod diversa significent, ex tali aliqua constructione habent. Unde si quis dicat; Quod ego cognosco, illud cognosco. Et iterum: Utrum licet tibi σιγῶντι (id est silenti) dicere? nullum est ambiguum. Quod si autem aliquis di-

OCR ABK / FR

xerit, τὸ δέον bonum est, aut bonum inest τῷ δέοντι, aut quocunque alio modo, homonymia τοῦ δέοντος semper servatur.

6. Tertius modus ex compositione. Velut : Sedens potest ambulare. Socrates sedet. Ergo Socrates ambulat. Verum etiam non ambulat. Sedet nimirum. Paralogismus ex compositione ortus est: Oportebat enim, sicut in majore propositione τὸ potest, et τὸ ambulare de medio termino prædicata fuerant, ita etiam in conclusione τὸ potest cum τῷ ambulare, composite **373** et conjunctim de Socrate dicta fuisse, non τὸ ambulat duntaxat. Cum ergo in conclusione compositio non plene facta sit, paralogismus ex compositione ortus est.

7. Quartus est is modus qui est ex divisione. Velut, Quinque sunt tria et duo. Tria et duo sunt imparia et paria. Quinque igitur imparia sunt et paria. Sophisma est ex divisione, propterea quod quinque in minore propositione divisa sunt in tria et duo ; et seorsim de quolibet dicat major propositio, quod tria et duo per se uterque numerus, ille quidem impar, hic par sit : deinde vero conclusio enuntiet de quinque simul ea quæ de ipsis partibus ex quibus constant in propositionibus dicta fuerunt.

8. At aliqui modum unum qui ex compositione et divisione est posuerunt : propterea quod idem quod ab hoc dividitur componatur illi, et quod huic componitur, dividatur ab illo : exempli gratia in paralogismo : quinque divisa sunt in tria et duo, et de tribus quidem prædicatum est impar, de duobus autem par, juxta divisionem. Præterea in sophismate superius proposito τὸ ambulare et τὸ potest de sedente per compositionem **374** prædicata fuerunt : divisum autem τὸ ambulare a τῷ potest, de Socrate prædicatum fuit defectu admisso.

9. Quintus modus est, qui ex accentu est ; velut: Οὗ (ubi) habitas, domus est ; Οὐ (non) habitas, negatio est. Domus igitur negatio est. Sophisma est ex accentu. In priore enim propositione τὸ οὗ spiritu aspero et tono circumflexo datum, *ubi* significabat ; in secunda propositione cum leni spiritu et sine tono acceptum negationem declaravit.

10. Sextus modus est e figura dictionis. Nominatur autem sic, quandoquidem hujusmodi configuratio dictionis, paralogismorum hujus generis causa sit. Veluti, discere, est circa disciplinam operari. Operari circa disciplinam est docere. Discere ergo est docere. Sophisma est ex figura dictionis. Passivum enim in activum, et activum in passivum figuratum est. Operari enim circa disciplinam et passionis et actionis declarandæ facultatem habet. Et iterum : Num contingit idem simul facere et fecisse ? non : Quid ? an non contingit idem simul videre **375** et vidisse ? quare

A οὖν ἄλλως, ἡ τοῦ δέοντος ὁμωνυμία φυλάσσεται πάντοτε.

ς'. Τρίτος τρόπος ὁ παρὰ σύνθεσιν· οἷον, Ὁ καθήμενος δύναται βαδίζειν. Ὁ Σωκράτης κάθηται· Ὁ Σωκράτης ἄρα βαδίζει. Ἀλλὰ δὲ οὐ βαδίζει. Κάθηται γάρ. Ὁ παραλογισμὸς παρὰ τὴν σύνθεσιν γέγονεν. Ἔδει γάρ, καθάπερ ἐν τῇ μείζονι προτάσει τὸ δύναται καὶ τὸ βαδίζειν τοῦ μέσου ὅρου ἅμα κατηγόρηνται, οὕτω δὴ κἂν τῷ συμπεράσματι τὸ δύναται μετὰ τοῦ βαδίζειν συντεθειμένως καὶ συνημμένως λεχθῆναι κατὰ Σωκράτους, ἀλλ' οὐχὶ τὸ βαδίζει μόνον. Ἐλλιπῶς οὖν ἐν τῷ συμπεράσματι τῆς συνθέσεως γεγονυίας, ὁ παρὰ τὴν σύνθεσιν ἐγένετο παραλογισμός.

B ζ'. Τέταρτος τρόπος ὁ παρὰ τὴν διαίρεσιν. Οἷον, Τὰ πέντε τρία καὶ δύο· τὰ τρία καὶ δύο περιττὰ καὶ ἄρτια· τὰ πέντε ἄρα περιττὰ καὶ ἄρτια. Τὸ σόφισμα παρὰ τὴν διαίρεσιν, διὰ τὸ διῃρῆσθαι τὰ πέντε κατὰ τὴν ἐλάττω πρότασιν εἰς τρία καὶ δύο, καὶ ἰδίᾳ περὶ ἑκάστου τὴν μείζω πρότασιν εἰπεῖν, ὅτι ὁ τρία καὶ ὁ δύο καθ' ἑαυτὸν ἕκαστος ἀριθμὸς ὁ μὲν ἔστι περιττὸς, ὁ δ' ἄρτιος· εἶτ' ἀποφήνασθαι τὸ συμπέρασμα περὶ τοῦ πέντε ὁμοῦ, τὰ περὶ τῶν αὐτῶν μερῶν ἐξ ὧν συντέθειται, ταῖς προτάσεσιν εἰρημένα.

η'. Τινὲς δὲ τρόπον ἕνα τὸν παρὰ σύνθεσιν καὶ διαίρεσιν ἔθεντο, διὰ τὸ τὸ αὐτὸ διαιρούμενον ἀπὸ τοῦδε συντίθεσθαι τῷδε, καὶ συντιθέμενον τῷδε διαιρεῖσθαι ἀπὸ τοῦδε. Οἷον ἐπὶ τοῦ δηλωθέντος νῦν παραλογισμοῦ τὰ πέντε διῄρηνται εἰς τὰ τρία καὶ
C τὰ δύο. Καὶ τῶν μὲν τρία κατηγορήθη τὸ περιττὸν, τῶν δύο δὲ ἄρτιον κατὰ διαίρεσιν· ἄμφω δ' ὁμοῦ, τὸ περιττὸν δηλονότι καὶ ἄρτιον, τῶν πέντε κατηγορήθησαν κατὰ σύνθεσιν. Πάλιν ἐπὶ τοῦ ἀνωτέρω ῥηθέντος σοφίσματος, τὸ βαδίζειν καὶ τὸ δύναται τοῦ καθημένου κατηγορήθησαν κατὰ σύνθεσιν· διαιρεθὲν δὲ τὸ βαδίζειν ἀπὸ τοῦ δύναται, τοῦ Σωκράτους κατηγόρηται, τὸν ἔκλειψιν ἀμειψάμενον.

θ'. Πέμπτος τρόπος ὁ παρὰ προσῳδίαν· οἷον· Οὗ καταλύεις, οἰκία ἐστίν· οὐ καταλύεις, ἀπόφασίς ἐστιν· ἡ οἰκία ἄρα ἀπόφασίς ἐστι. Παρὰ τὴν προσῳδίαν τὸ σόφισμα. Ἐν μὲν γὰρ τῇ προτέρᾳ προτάσει, τὸ οὗ μετὰ δασέος πνεύματος καὶ τόνου περισπωμένου δοθὲν, τὸ ὅπου ἐσήμαινεν· ἐν δὲ τῇ δευτέρᾳ προτάσει μετὰ ψιλοῦ πνεύματος ληφθὲν, καὶ τόνου
D χωρὶς ἐδήλωσεν ἄρνησιν.

ι'. Ἕκτος τρόπος ὁ παρὰ τὸ σχῆμα τῆς λέξεως. Ὀνομάζεται δ' οὕτως, ἐπείπερ ὁ ποιὸς τῆς λέξεως σχηματισμὸς αἴτιος τοῦ τοιούτου γίνεται παραλογισμοῦ· οἷον, Τὸ μανθάνειν ἐνεργεῖν ἐστι περὶ τὴν μάθησιν· τὸ ἐνεργεῖν περὶ τὴν μάθησιν διδάσκειν ἐστί· τὸ μανθάνειν ἄρα διδάσκειν ἐστίν. Ὁ σοφισμὸς παρὰ τὸ σχῆμα τῆς λέξεως. Ἐσχημάτισται γὰρ τὸ μαθητικὸν εἰς τὸ ἐνεργητικὸν, καὶ τὸ ἐνεργητικὸν εἰς τὸ παθητικόν. Τὸ γὰρ ἐνεργεῖν περὶ τὴν μάθησιν καὶ πάθους καὶ ἐνεργείας δηλωτικόν ἐστι. Καὶ πάλιν· Ἆρ' ἐνδέχεται τὸ αὐτὸ ποιεῖν ἅμα καὶ πεποιηκέναι; οὐχί. Τί δ' οὐκ ἐνδέχεται τὸ αὐτὸ καὶ ὁρᾷν ἅμα καὶ ἑωρακέναι; ὥστε·

OCR ABK / FR

καὶ ποιεῖν καὶ πεποιηκέναι. Παρὰ τὸ σχῆμα τῆς λέξεως καὶ τοῦτο τὸ σόφισμα. Τὸ γὰρ ὁρᾷν καὶ ἑωρακέναι, κἂν εἰς παρόντα καὶ παρῳχημένον ἐσχημάτισται χρόνον, πλὴν ἓν σημαίνει καὶ τὸ αὐτὸ διὰ τὸ οἷον ἀχρόνως καὶ ἀδιαστάτως τὴν ὅρασιν ἐνεργεῖν. Ὅθεν ὅπερ τις ὁρᾷ, τοῦτο μονονουχὶ καὶ ἑώρακε. Ποιεῖν δὲ καὶ πεποιηκέναι τὸ αὐτὸ οὐκ ἐνδέχεται ἅμα διὰ τὴν τῶν χρόνων διάστασιν. Τὸ μὲν γὰρ ποιεῖν ἐνεστῶτα χρόνον δηλοῖ· τὸ δὲ πεποιηκέναι τὸν παρεληλυθότα.

A et facere et fecisse. Et hoc sophisma ex figura dictionis est. Videre enim et vidisse tametsi in præsens et præteritum figurata sunt: unum tamen idemque significant, propterea quod citra intervallum et distantiam visio operetur. Unde quod quis videt, tantum non etiam vidit. Idem autem facere et fecisse propter temporum distantiam simul non contingit. Facere enim præsens tempus; fecisse autem, præteritum declarat.

Σχῆμα κεφαλ. λζ', περὶ τῶν παρὰ τὴν λέξιν σοφισμάτων.

Τὰ παρὰ τὴν λέξιν σοφίσματα.
- ὁμωνυμία,
- ἀμφιβολία,
- σύνθεσις,
- διαίρεσις,
- προσῳδία,
- σχῆμα λέξεως.

—

*Tabula capitis 37, de sophismatis in dictione.*

Sophismata in dictione sunt sex
- homonymia seu æquivocatio,
- amphibolia,
- compositio,
- divisio,
- accentus,
- figura dictionis.

—

## SYNOPSIS CAPITIS XXXVIII.

### QUOD EST DE SOPHISMATIS EXTRA DICTIONEM.

1. *Conjungit hoc caput cum superiore.* — 2. *Septem modos sophisticorum elenchorum extra dictionem enumerat.* — 3. *Primum modum ex accidente exemplis declarat.* — 4. *Ostendit propositos paralogismos trium posteriorum exemplorum posse etiam ad modum homonymiæ revocari.* — **376** 5. *Secundum modum explicat, et quia est compositus partem seu speciem utramque describit et exemplis declarat.* — 6. *Ex ignoratione elenchi tertium modum exemplo patefacit.* — 7. *Quartum ex consequente exponit.* — 8. *Quintum a petendo et accipiendo id quod in principio fuit propositum, sive ut alias dicitur ex petitione principii.* — 9. *Sextum a ponendo non causam ut causam.* — 10. *Septimum a pluribus interrogationibus.*

—

## ΚΕΦΑΛ. ΛΗ'.

### Περὶ τῶν ἐκτὸς τῆς λέξεως σοφισμάτων.

B

α. Τῶν σοφισματικῶν τρόπων ἓξ μὲν παρὰ τὴν λέξιν εἰσὶ, περὶ ὧν προσεχῶς ὑπεμνήσαμεν.

β'. Ἑπτὰ δὲ τῆς λέξεως ἐκτός· παρὰ τὸ συμβεβηκὸς, παρὰ τὸ πῇ καὶ ἁπλῶς, παρὰ τὴν τοῦ ἐλέγχου ἄγνοιαν, παρὰ τὸ ἑπόμενον, παρὰ τὸ τὸ ἐν ἀρχῇ αἰτεῖσθαι, παρὰ τὸ τιθέναι τὸ μὴ αἴτιον ὡς αἴτιον· ὃς δὴ τρόπος καὶ μὴ παρὰ τοῦτο κατονομάζεται· παρὰ τὸ τὰ πλείω ἐρωτήματα ἓν ποιεῖν.

γ'. Παρὰ τὸ συμβεβηκὸς μὲν, οἷον, Ὁ Σωκράτης ἕτερον Πλάτωνος. Ὁ Πλάτων ἄνθρωπος· ὁ Σωκράτης ἄρα ἕτερόν τι τοῦ ἀνθρώπου. Λέγεται δὲ παρὰ τὸ συμβεβηκὸς ὅτι μὴ κατὰ φύσιν ἕτερόν ἐστιν, ὁ Σωκράτης τοῦ Πλάτωνος, ἀλλὰ καθ' ὑπόστασιν καὶ τὰς ὑποστατικὰς ἰδιότητας. Ταῦτα δὲ πάντα περὶ τὴν φύσιν εἰσὶν ἀλλ' οὐ φύσεις· τὸ συμπέρασμα δὲ λαβὼν ἀπὸ τῶν περὶ τὴν φύσιν, τὴν ἑτερότητα πρὸς τὴν φύσιν μετήνεγκε. Πάλιν, Ὁ ἄνθρωπος ζῶον· τὸ ζῶον γένος· ὁ ἄνθρωπος ἄρα γένος. Καὶ, Ὁ Πέτρος ἄνθρωπος· ὁ

## CAPUT XXXVIII.

### De sophismatis extra dictionem.

1. Sophistici modi in dictione sunt sex, quorum continenter mentionem fecimus.

2. Extra dictionem, septem: Ex accidente, ex eo quod est quadamtenus et simpliciter, ex ignoratione elenchi, ex consequente, ex eo quod petitur in principio propositum, ex eo quod ponit aliquis non causam ut causam, qui etiam modus non propter hoc denominatur; ex eo quod plures interrogationes aliquis unam facit.

3. Ex accidente quidem, velut: Socrates est diversum quid a Platone. Plato est homo: ergo Socrates diversum quid est ab homine. Dicitur autem ex accidente, quia Socrates a Platone non secundum naturam, sed secundum hypostasin (individuum) et proprietates hypostaticas (individuantes) **377** diversum est. Hæc autem omnia circa naturam, non natura sunt, atqui conclusio diversitatem ab iis sumptam quæ circa naturam sunt, ad ipsam naturam transtulit. Iterum, Homo est

C

OCR ABK / FR

animal, animal est genus, ergo homo est genus. Et : Petrus est ἄνθρωπος ; ἄνθρωπος est trisyllabum ; ergo Petrus est trisyllabum. Hæc et ejus generis sophismata ex accidente sunt ; neque enim genus de homine essentialiter prædicatur, neque trisyllabum de homine essentialiter effertur : ut ex necessitate illud quidem de homine, hoc de Petro diceretur. Cum autem prædicatio fit non essentialiter, sed accidentaliter, non omnia quæ de prædicato dicuntur, necesse est etiam de subjecto dici. Rursus in secunda figura : Mel intentionem et remissionem non suscipit, dulce intentionem et remissionem suscipit, ergo mel non est dulce. Et iterum : Album est secundum magis et minus. Cygnus, nix, cerussa secundum magis et minus non sunt ; non ergo hæc alba sunt. Ex accidente sunt sophismata, propterea quod neque τὸ magis et minus de albo, neque intendi et remitti de dulci essentialiter prædicentur.

A ἄνθρωπος τρισύλλαβον· ὁ Πέτρος ἄρα τρισύλλαβον. Ταῦτα καὶ τὰ τοιαῦτα σοφίσματα παρὰ τὸ συμβεβηκός· οὔτε γὰρ ζώου κατηγορεῖται τὸ γένος οὐσιωδῶς, οὔτε τοῦ ἀνθρώπου τὸ τρισύλλαβον οὐσιωδῶς, ἵν' ἐξ ἀνάγκης τὸ μὲν κατὰ τοῦ ἀνθρώπου, τὸ δὲ κατὰ τοῦ Πέτρου λεχθεῖεν. Γινομένης δὲ τῆς κατηγορίας μὴ οὐσιωδῶς, ἀλλ' ἐπουσιωδῶς, οὐχ ὅσα κατὰ τοῦ κατηγορουμένου λέγεται, ταῦτ' ἀνάγκη καὶ κατὰ τοῦ ὑποκειμένου λέγεσθαι πάντα. Πάλιν ἐν δευτέρῳ σχήματι· Τὸ μέλι ἐπίτασιν καὶ ἄνεσιν οὐκ ἐπιδέχεται· τὸ γλυκὺ ἐπίτασιν καὶ ἄνεσιν ἐπιδέχεται· τὸ μέλι ἄρα οὐκ ἔστι γλυκύ. Καὶ αὖθις· Τὸ λευκὸν κατὰ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν. Ὁ κύκνος, ἡ χιών, τὸ ψιμμίθιον, κατὰ τὸ μᾶλλον καὶ ἧττον οὐκ εἰσίν· οὐκ ἄρα ταῦτα λευκά. Παρὰ τὸ συμβεβηκὸς B τὰ σοφίσματα, διὰ τὸ μήτε τοῦ λευκοῦ τὸ μᾶλλον καὶ ἧττον κατηγορεῖσθαι οὐσιωδῶς, μήτε τοῦ γλυκέος τὸ ἐπιτείνεσθαι καὶ ἀνίεσθαι.

**378** 4. Arbitror autem si quis hos paralogismos etiam ex homonymia dicat, ipsum a vero haud procul aberraturum esse. Dulce enim et album cum ipsas qualitates, dulcedinem et albedinem, tum insuper ipsa qualitatibus prædita corpora significant. Ergo in majoribus quidem propositionibus sophismata solas qualitates dabant, dulcedinem et albedinem : in conclusionibus autem corpora sumebant cum qualitatibus. Sin vero quod dulce et quod album proponebant, eadem etiam concluderent ; nihil fortassis rationi dissentaneum sequeretur ; neque enim mel est ejusmodi dulce quale intentionem et remissionem suscipit, hoc est, dulcedo. Neque cygnus est ejusmodi album quale secundum magis et minus est, hoc est, albedo, sed ambo etiam corpora sunt ; mel quidem, dulce corpus ; at cygnus, album corpus. Et quatenus corpora sunt, magis et minus omnemque intentionem et remissionem non suscipiunt ; servantia nimirum in seipsis quod eis secundum naturam est. Talia sunt nix et cerussa et his similia. Sic etiam aliud animal, homo est ; et aliud animal, genus. Animal enim quidem genus est, simpliciter animal, **379** hoc est, quod omnes species comprehendit, quæ vita perfecta designantur. Homo autem istiusmodi specierum una est, quæ species ad perfectam vitam, insuper et rationalitatem et naturalem aptitudinem intelligentiæ et scientiarum forinsecus accipiendarum ipsam informantia habet. Homo igitur non est simpliciter animal, sed hujuscemodi animal. At hujuscemodi animal non est genus, sed species.

δ'. Οἶμαι δὲ τοὺς τοιούτους παραλογισμούς, εἴ τις καὶ παρὰ τὴν ὁμωνυμίαν ἐρεῖ, καὶ οὗτος οὐκ ἂν ἀποπλανηθείη πόῤῥω τοῦ ἀληθοῦς. Τὸ γλυκὺ γὰρ καὶ τὸ λευκὸν σημαντικά ἐστι καὶ τῶν ποιοτήτων αὐτῶν, τῆς γλυκύτητος λέγω καὶ τῆς λευκότητος· ἀλλὰ δὴ καὶ τῶν πεποιωμένων σωμάτων. Κατὰ μὲν οὖν τὰς μείζους προτάσεις, ποιότητας μόνας ἁπλῶς ἐδίδουν οἱ σοφισμοί, γλυκύτητα καὶ λευκότητα· ἐν δὲ τοῖς συλπεράσμασι σώματα μετὰ ποιοτήτων ἐλάμβανον. Εἰ δ' ὃ γλυκὺ καὶ ὃ λευκὸν προέτεινον, ἐκεῖνα καὶ συνεπέραινον, οὐδὲν ἂν ἴσως ἠκολούθει παράλογον. Οὔτε γὰρ τὸ μέλι γλυκὺ τοιοῦτον ὁποῖον ἐπί- C τασιν καὶ ἄνεσιν ἐπιδέχεται, τουτέστι γλυκύτης, οὔθ' ὁ κύκνος τοιοῦτο λευκόν, ὁποῖον κατὰ τὸ μᾶλλον καὶ ἧττόν ἐστιν, ἤγουν λευκότης· ἀλλὰ σώματα καὶ ἄμφω· τὸ μὲν γλυκὺ σῶμα τὸ μέλι· τὸ δ' αὖ σῶμα λευκὸν ὁ κύκνος· καὶ καθὸ σώματα τοῦ μᾶλλον καὶ τοῦ ἧττον ἀνεπίδεκτα μένει, καὶ πάσης ἐπιτάσεώς τε καὶ ἀνέσεως, σώζοντα δηλονότι τὸ κατὰ φύσιν ἐν ἑαυτοῖς. Τοιαῦτα καὶ ἡ χιών, καὶ τὸ ψιμμίθιον, καὶ τὰ παραπλήσια. Οὕτω καὶ ἄλλο μὲν ζῶον ὁ ἄνθρωπος, ἄλλο δὲ ζῶον τὸ γένος. Ζῶον μὲν γὰρ γένος τὸ ἁπλῶς ζῶον, ἤγουν τὸ τῶν εἰδῶν ἁπάντων συλληπτικόν, τῶν κατὰ τὴν τελείαν χαρακτηριζομένων. Ὁ δ' ἄνθρωπος ἓν τῶν τοιούτων εἰδῶν, ὃ πρὸς τῇ τελείᾳ ζωῇ φέρει καὶ τὴν λογικότητα, καὶ τὴν πρὸς τὸ δέχεσθαι τὸν θύραθεν νοῦν καὶ τὰς ἐπιστή- D μας ἐπιτηδειότητα φυσικήν, μορφωτικὰ ἑαυτοῦ. Ζῶον οὐχ ἁπλῶς ὁ ἄνθρωπος, ἀλλὰ τοιοῦτον ζῶον. Τὸ δὲ τοιοῦτον ζῶον οὐ γένος, ἀλλ' εἶδός ἐστι.

5. Secundus modus sophisticorum elenchorum est ab eo quod est quadamtenus, seu secundum quid et simpliciter. Et quidem τὸ secundum quid vocatur prædicatio composita, quæ particulariora declarat. Semper enim compositiones particulares facit. Quare etiam animal rationale, particularius est quam animal. At τὸ simpliciter dicitur incomposita prædicatio, quæ res universaliores patefacit eu significat. Simplicia enim compositis univer-

ε'. Δεύτερος τρόπος τῶν ἐκτὸς τῆς λέξεως ἐλέγχων σοφιστικῶν ὁ παρὰ τὸ πῇ καὶ ἁπλῶς. Καὶ πῇ μὲν καλεῖται ἡ σύνθετος κατηγορία μερικωτέρων οὖσα δηλωτική. Καὶ γὰρ ἡ σύνθεσις ἀεὶ μερικεύει τὰ πράγματα. Διὸ καὶ τὸ λογικὸν ζῶν μερικώτερόν ἐστι τοῦ ζώου. Ἁπλῶς δὲ ἡ ἀσύνθετος κατηγορία λέγεται, καθολικωτέρων ὑπάρχουσα πραγμάτων ἐμφαντική. Τὰ γὰρ ἁπλᾶ τῶν συνθέτων καθολικώτερα. Γίνεται τοίνυν ὁ παρὰ τὸ πῇ καὶ ἁπλῶς παρα-

OCR ABK / FR

λογισμὸς ἢ ὅταν τὰ πῆ κατηγορήσωμεν ἁπλῶς, ἢ A τὰ ἁπλῶς κατηγορήσωμεν πῆ, τουτέστιν ἢ ὅταν τὰ ἅμα καὶ συνθέτως κατηγορούμενα κατηγορήσωμεν ἰδίᾳ καὶ ἀσυνθέτως· ἢ τὰ ἰδίᾳ καὶ ἀσυνθέτως κατηγορούμενα ὁμοῦ καὶ συνθέτως κατηγορήσωμεν. Τοῦ προτέρου παράδειγμα· Ὁ πατὴρ μείζων τοῦ υἱοῦ τῷ αἰτίῳ· τὸ αἴτιον φύσει· ὁ πατὴρ ἄρα μείζων τοῦ υἱοῦ φύσει. Παρὰ τὸ πῆ καὶ ἁπλῶς προέβη τὸ σόφισμα. Καὶ γὰρ ὁ πατὴρ μείζων τοῦ υἱοῦ τῷ φύσει αἰτίῳ, ἤγουν τῷ φυσικῷ, οὐ τῷ δημιουργικῷ· Τοίνυν ἐπεὶ καὶ τὸ αἴτιον καὶ τὸ φύσει, κατηγορηθῆναι ὀφείλοντα πῆ, καὶ ὁμοῦ καὶ συνθέτως, ἁπλῶς καὶ ἰδίᾳ καὶ ἀσυνθέτως κατηγορήθησαν, εὗρε χώραν ὁ παραλογισμός. Τοῦ δευτέρου παράδειγμα· Σίμων σκυτεὺς καὶ ἀγαθός· πᾶς σκυτεὺς ἀγαθὸς εὐφυῶς κατασκευάζει τὰ πέδιλα· Σίμων τὸ λοιπὸν B εὐφυῶς κατασκευάζει τὰ πέδιλα. Ἦν δ' ὁ Σίμων οὐκ ἀγαθὸς τὴν τέχνην, ἀλλὰ τὸν τρόπον. Τὸ σόφισμα παρὰ τὸ πῆ καὶ ἁπλῶς· τὸ γὰρ ἀγαθὸς καὶ τὸ σκυτεὺς, ἁπλῶς καὶ ἰδίᾳ καὶ ἀσυνθέτως κατηγορηθέντα τοῦ Σίμωνος κατὰ τὴν ἐλάττω πρότασιν, πῆ καὶ ὁμοῦ κατὰ τὴν μείζω καὶ συνθέτως ἐλήφθησαν.

7. Sed dicat aliquis] si contraria sub eodem sunt genere; forma autem et privatio contraria sunt, utrum sub eodem genere erunt? an omnino illa **10** demum contraria sunt sub eodem genere, quæ ambo etiam species sunt, ut frigidum et calidum; quorum autem alterum a reliquo longissime cadit, hæc ad idem genus colligi non est necesse; quemadmodum ut simpliciter dicam, nec exsistentiæ privationem et ipsam exsistentiam. Illa enim, non est; hæc, est. Atqui ejus quod est, et ejus quod non est, qui commune genus esse possit? Non ergo protinus, siquidem forma sit essentia quædam etiam privatio essentia omnino fuerit. Forma enim quia cum materia essentiam compositam constituit, essentia quædam fuerit; at vero privatio quia positam essentiam dissolvit et corrumpit, quomodo tandem essentia esse poterit? Forma autem essentia potius fuerit, et non accidens: tametsi in subjecto, in materia, esse agnoscatur, propterea quod cum materia compositam essentiam efficiat, cum pars sit illius, quemadmodum sane etiam materia. Atque hoc a se invicem forma et accidens differunt, tametsi ambo in subjecto esse

[10] 1 Phys. c, 8, t. 66. [11] 1 Phys. c. 8, t. 67, 70. [12] Lib. Categ. c. 10, s, 20. [13] 1 Phys. c. 6. t. 50, et c. 8, t. 37.

OCR ABK / FR

dicantur, quod accidens cum essentia congressum non potest aliquid cum ea compositum efficere; quemadmodum sane etiam privatio, quia non potest cum materia aliquid **11** compositum efficere [14], accidens est materiæ: forma autem cum materia essentiam compositam efficit; et proinde non est accidens.

A ὕλης σύνθετόν τι ποιῆσαι, συμβεβηκός ἐστι τῇ ὕλῃ. Τὸ δ' εἶδος τὴν σύνθετον οὐσίαν μετὰ τῆς ὕλης ποιεῖ, κἀντεῦθεν οὐκ ἔστι συμβεβηκός.

8. Quod si [regerat aliquis amplius] essentiæ nihil contrarium, formæ autem privatio est contraria, quomodo formæ erit essentia? Verum illi essentiæ nihil est contrarium, quæ nunquam in subjecto consideratur, forma autem quatenus in subjecto, materia, agnoscitur, hactenus etiam illi privatio est contraria. Deinde vero forma hæc ne quidem essentia est proprie, quemadmodum nec materia. Si enim elementa ab his quæ sunt ex elementis diversa sunt (neque enim carnis elementa, carnes sunt), satis manifestum est nec essentiæ elementa, proprie essentias esse, qualis est ea quæ constat ex ipsis. Sed quoniam essentia intentionis et remissionis ratione dicitur; erunt hæcquoque quodammodo essentiæ, composita tamen deteriores, et ut ita dicam, essentiales, non essentiæ; quo nomine etiam corporeæ, et non corpora. Hæc autem cum ita se habeant, quodam equidem modo forma magis essentia videtur esse; quodam autem modo **12** materia. Etenim quoad stabilitatem quidem et subjectionis rationem materia magis quam forma censetur essentia, quatenus autem cuique rei suum esse per formam est (per quam etiam ab aliis differens in propria consistit natura), eatenus forma magis essentia exsistimatur.

η'. Εἰ δὲ τῇ οὐσίᾳ ἐναντίον οὐδέν· τῷ δὲ εἴδει ἐναντία ἡ στέρησις· ἀλλ' ἐκείνη τῇ οὐσίᾳ ἐναντίον οὐδὲν τῇ μὴ ἐν ὑποκειμένῳ θεωρουμένῃ ποτέ. Τὸ δὲ εἶδος καθ' ὃ ἐν ὑποκειμένῳ τῇ ὕλῃ γινώσκεται, κατὰ τοῦτο καὶ ἐναντίον ἔχει τὴν στέρησιν. Ἔπειτα οὐδὲ κυρίως οὐσία τὸ τοιοῦτον εἶδός ἐστιν, ὥσπερ οὐδὲ ἡ ὕλη· εἰ γὰρ ἕτερα τὰ στοιχεῖα τῶν στοιχειωτῶν (οὐδὲ γὰρ τῆς σαρκὸς τὰ στοιχεῖα σάρκες εἰσὶν), εὔδηλον, ὡς οὐδὲ τὰ τῆς οὐσίας στοιχεῖα (ταῦτα δὲ τὸ εἶδος καὶ ἡ ὕλη) κυρίως ἂν εἶεν οὐσίαι· ὁποία ἡ ἐξ αὐτῶν. Ἀλλ' ἐπείπερ ἡ οὐσία κατὰ τὸ μᾶλλον λέγεται καὶ τὸ ἧττον, ἔσοιντό πως καὶ ταῦτα οὐσίαι· χείρους μέντοι τῆς συνθέτου, καὶ οἷον εἰπεῖν οὐσιώδη καὶ οὐκ οὐσίαι. Διότι καὶ σωματικὰ, ἀλλ' οὐ σώματα. B Τούτων δ' οὕτως ἐχόντων, πῶς μὲν τὸ εἶδος μᾶλλον οὐσία δοκεῖ, πῶς δὲ ἡ ὕλη; Κατὰ μὲν γὰρ τὸ μόνιμον καὶ τὸ ὑποκεῖσθαι μᾶλλον τοῦ εἴδους οὐσία ἡ ὕλη νομίζεται· καθόσον δ' ἑκάστῳ τῶν ὄντων κατὰ τὸ εἶδος τὸ εἶναί ἐστι (καθ' ὃ καὶ διαφέρον τῶν ἄλλων ἐπ' οἰκείας καθέστηκε φύσεως), κατὰ τοῦτο μᾶλλον οὐσία τὸ εἶδος ὑπολαμβάνεται.

9. Porro aliud est naturalium corporum principia inquirere, ex quibus aliquid non per accidens, sed per se ortum est: et aliud est simpliciter [dictæ] mutationis principia indagare. Quoad prius ergo, privatio erit et pricipium et causa per accidens: ut quæ non existat in re quæ oritur, sed etiam ab ea sejuncta sit. Materia enim et forma in eo quod oritur existunt, et propterea etiam elementaria rerum generationi subjectarum principia dicuntur [15]; quippe elementa in ea re quæ constat ex ipsis, existere necesse est. Quoad autem posterius, privatio non tantum per accidens principium et causa erit, sed jam etiam per se. Sicut enim forma mutationis ad esse causa est, ita privatio, ad non esse. Hinc igitur manifestum est, unam eamdemque rem contrario modo affectam, contrariorum causam effici. Forma enim cum adest quidem, generationis **13** causa per se; cum autem abest, corruptionis causa est per accidens, inverso modo privatio se habet. Cum enim adest quidem, corruptionis causa per se; cum vero abest, generationis causa est per accidens. Aut, ut rectius dicam, privatio et cum adest et cum abest, generationis causa est per accidens; cum quidem adest, propterea quod id quod oritur, ex eo quod non est hujusmodi, oriri oportet; cum autem abest, quod ipsa abscedente, forma innascitur.

θ'. Ἄλλο δέ ἐστιν ἀρχὰς τῶν φυσικῶν σωμάτων ζητεῖν, ἐξ ὧν γέγονέ τι μὴ κατὰ συμβεβηκὸς, ἀλλὰ καθ' αὑτὸ, καὶ ἄλλο μεταβολῆς ἁπλῶς ἀρχὰς ἐρευνᾷν. Κατὰ μὲν οὖν τὸ πρῶτον ἡ στέρησις ἂν εἴη ἀρχή τε καὶ αἴτιον κατὰ συμβεβηκὸς, ὡς μὴ ἐνυπ- C άρχον τῷ γινομένῳ, ἀλλὰ (καὶ) κεχωρισμένον αὐτοῦ. Ἡ ὕλη γὰρ καὶ τὸ εἶδος ἐνυπάρχουσι τῷ γινομένῳ, καὶ διὰ τοῦτο καὶ στοιχειώδεις ἀρχαὶ τῶν ὑπὸ γένεσιν λέγονται. Ἐνυπάρχειν γὰρ ἀναγκαῖον τὰ στοιχεῖα τῷ στοιχειωτῷ. Κατὰ δὲ τὸ δεύτερον οὐκ ἂν εἴη μόνον κατὰ συμβεβηκὸς ἀρχὴ καὶ αἴτιον ἡ στέρησις· ἀλλ' ἤδη καὶ καθ' αὑτό. Ὡς γὰρ τῆς εἰς τὸ εἶναι μεταβολῆς αἴτιον τὸ εἶδος· οὕτω τῆς εἰς τὸ μὴ εἶναι ἡ στέρησις. Δῆλον οὖν ἐντεῦθεν, ὅτι τὸ αὐτὸ καὶ ἓν ἐναντίως διακείμενον τῶν ἐναντίων αἴτιον γίνεται. Τῇ μὲν γὰρ παρουσίᾳ τὸ εἶδος αἴτιόν ἐστι τῆς γενέσεως καθ' αὑτό· τῇ δ' ἀπουσίᾳ αἴτιον τῆς φθορᾶς κατὰ συμβεβηκός. Ἡ στέρησις δ' ἔμπαλιν· τῇ μὲν παρουσίᾳ τῆς φθορᾶς αἴτιον καθ' αὑτό· τῇ δ' ἀπουσίᾳ τῆς γενέσεως αἴτιον κατὰ συμβε- D βηκός. Ἢ μᾶλλον κατὰ τὴν παρουσίαν καὶ κατὰ τὴν ἀπουσίαν εἴη ἂν ἡ στέρησις αἴτιον κατὰ συμβεβηκὸς τῆς γενέσεως· κατὰ μὲν τὴν παρουσίαν, ὅτι ἐκ μὴ τοιούτου δεῖ γενέσθαι τὸ γινόμενον· κατὰ δὲ τὴν ἀπουσίαν, ὅτι ἀπογινομένης αὐτῆς τὸ εἶδος ἐγγίνεται.

[14] 1 Phys. c. 3, t 60, 66. [15] 1 Phys. c. 9. t. 57.

OCR ABK / FR

## SYNOPSIS CAPITIS II,

### QUOD EST DE MATERIA ET FORMA ET PRIVATIONE.

*1. Ex variis divisionibus et subdivisionibus eorum quæ proprie fieri dicuntur, ostendit quæcunque proprie fiant, ex subjecto fieri, adeoque ex eo quod fiant, et ex eo ex quo fiant, composita esse; quorum posterius duplex est, materia et privatio, ut ita et duo et tria sint naturalium corporum principia; duo per se materia et forma, tertium per accidens, privatio.—2. Demonstrat hanc privationem male a veteribus fuisse sublatam, cum qua nimirum etiam quantum in ipsis fuit, generationem et corruptionem rerum naturalium sustulerunt, earumque* **14** *mistionem duntaxat et mistorum dissolutionem substituerunt. — 3. Ad objectionem contra generationem et corruptionem rerum naturalium a veteribus motam et indiscussam duplici distinctione entis respondet, quod nimirum aliud sit per se, aliud per accidens, et quod item aliud sit tale actu, aliud potentia; et ostendit, id quod fit, partim ex eo quod est, partim ex eo quod non est, fieri; rursus quod corrumpitur, partim in id quod est, partim in id quod non est, corrumpi. — 4. Docet materiam primam analogia, quam ad alias res artificiales habet, cognosci; sed adhuc perfectius omnium formarum negatione seu remotione.—5. Recenset aliquod materiæ appellationes, et in primis quare eam Plato magnum et parvum appellasse videri possit.—6. Aliorum sententias de materia exponit, quorum alii eam incorpoream, alii corpus, sed qualitatibus orbatum, rationibus suis nixi appellarunt.—7. Commemorat quod eam quidam ethnici philosophi ortus et interitus expertem imaginati fuerint, ubi pie distinguit et docet, quod physice ortus et interitus sit expers, et quod hyperphysice ratione creationis ex nihilo et in nihilum destructionis, cum ortam esse tum interituram dici possit.— 8. Platonicos et Peripateticos conciliat, quorum illi* **15** *materiam alterationis expertem, hi totam alterationi subjectam fecerunt: quod nimirum illi de prima, hi de secunda materia locuti sint.*

---

A

## ΚΕΦΑΛ. Β'.

### Περὶ τῆς ὕλης καὶ τοῦ εἴδους καὶ τῆς στερήσεως.

α'. Τῶν κυρίως γινομένων τὰ μὲν ὡς ἁπλᾶ γίνεται, τὰ δ' ὡς σύνθετα. Τὰ μὲν οὖν σύνθετα συνθέσει, ὡς ἡ οἰκία· τῶν δ' ἁπλῶν τὰ μὲν ὡς διὰ βάθους, τὰ δ' (ὡς) ἐπιπολῆς. Καὶ τὰ μὲν ἐπιπολῆς μετασχηματίσει· ὡς ὅταν ἐκ σφαίρας ἀνδριὰς γίνηται, ἢ ἁπλῶς ἐκ χαλκοῦ· τῶν δὲ διὰ βάθους τὰ μὲν καθόλου· ὡς ὁ ἄνθρωπος ἐκ σπέρματος ἀλλοιουμένου· τὰ δὲ κατὰ μέρος· καὶ τούτων τὰ μὲν προσθέσει, ὡς τὰ αὐξανόμενα, τὰ δ' ἀφαιρέσει, ὡς τὰ μειούμενα. Τοίνυν εἰ πάντα τὰ κυρίως γινόμενα κατά τινα γίνεται τούτων τῶν τρόπων· τὰ δὲ κατὰ τούτους γινόμενα τοὺς τρόπους ἐξ ὑποκειμένου γίνεται (καὶ γάρ ἐστί τι τὸ μετασχηματιζόμενον, καὶ τὸ ἀλλοιούμενον, καὶ ἐπὶ τοῦ B προσθέσει γινομένου ἔστι τι ᾧ προστίθεται, καὶ ἐπὶ τοῦ ἀφαιρέσει οὗ ἀφαιρεῖται· ἔστι δὲ καὶ ἐπὶ τῆς συνθέσεως τὰ συντιθέμενα), δῆλον ὅτι πάντα τὰ κυρίως γινόμενα ἐξ ὑποκειμένου γίνεται. Εἰ οὖν καὶ ὑποκείμενόν τί ἐστιν ἐν πάσῃ γενέσει, καὶ τὸ τῷ ὑποκειμένῳ ἐπιγινόμενον· δῆλον ὅτι πᾶν τὸ γινόμενον σύνθετόν ἐστιν ἔκ τε τοῦ ὃ γίνεται, τουτέστι τοῦ εἴδους, καὶ ἐκ τοῦ γινομένου. Διττὸν δὲ τοῦτο· τό τε ὑποκείμενον, ἤγουν ἡ ὕλη, καὶ τὸ ἀντικείμενον τῷ εἴδει, ἤγουν ἡ στέρησις. Γίνεται γὰρ τὸ εἶδος, οἷον ἡ οἰκία, ἔκ τε τῶν ὑποκειμένων λίθων καὶ ξύλων, κἀκ τῆς στερήσεως, ἤτοι τοῦ μὴ εἶναι οἰκία· κἀπὶ τῶν ἄλλων ὁμοίως. Τρεῖς ἄρα τῆς τῶν φυσικῶν γενέσεως πρῶται ἀρχαί· τὸ ὑποκείμενον, ἤγουν ἡ ὕλη, καὶ τὰ δύο ἀντικείμενα, τὸ εἶδος δηλαδὴ καὶ ἡ στέρησις. Ἀλλὰ πῶς μὲν τρεῖς, πῶς C δὲ δύο, τῆς φυσικῆς τῶν σωμάτων γενέσεως αἱ πρῶται ἀρχαί; Λέγεται πρότερον, ὅτι καθ' αὐτὰ μὲν ἡ ὕλη καὶ τὸ εἶδος ἀρχαί· κατὰ συμβεβηκὸς δὲ ἡ στέρησις.

## CAPUT II.

### *De materia et forma et privatione.*

1. Eorum quæ proprie fiunt, alia ut simplicia fiunt, alia ut composita [16]. Composita quidem, per compositionem, ut domus: simplicium vero alia, ut per profunditatem; alia vero ut in superficie. Ac ea quidem quæ superficiarie fiunt, per figuræ commutationem fiunt; ut cum ex globo aut simpliciter ex ære fit statua. Eorum autem quæ ut per profunditatem fiunt, quædam in universum fiunt; ut homo ex semine alterationem subeunte; quædam ex parte. Et horum alia fiunt per appositionem, ut quæ crescunt: alia per detractionem, ut quæ decrescunt. Proinde si omnia quæ proprie fiunt, secundum horum modorum aliquem fiunt; quæ autem secundum hos modos fiunt, ex subjecto fiunt (est enim aliquid cum in aliam figuram commutatur, et quod alteratur; et in eo quod per appositionem fit, est aliquid cui apponitur; et in eo quod per detractionem, est aliquid cui detrahitur; et denique in compositione sunt quæ componuntur): **16** manifestum est, omnia quæ proprie fiunt, ex subjecto fieri. Quod si igitur in omni generatione cum subjectum est aliquid, tum quod ad subjectum accedit, manifestum est, quidquid fit, ex eo quod fit, hoc est forma, et ex eo, ex quo fit, compositum esse. Atqui hoc duplex est: et subjectum, puta materia; et quod formæ opponitur, hoc est privatio [17]. Fit enim forma, velut domus, ex subjectis lapidibus et lignis; et ex privatione, hoc est, eo quod non erat domus. At in aliis rebus eodem modo res se habet. Tria ergo naturalium [corporum] generationis prima sunt principia: subjectum, puta materia, et duo opposita [contraria], forma videlicet et privatio [18]. Verum quonam modo tria, quo rursus modo duo sunt naturalium corporum generationis principia? Dictum est antea, quod per se quidem principia sunt, materia et forma; per accidens autem, privatio.

[16] 1 Phys. c. 8, t. 62, 63, 64. [17] 1 Phys. c. 8, t. 60, 66, 67. [18] 1 Phys. t. 67, 80.

OCR ABK / FR

2. Hanc privationem cum aliqui ex veteribus non intellexissent, naturalem generationem, itidemque corruptionem sustulerunt. Dicebant enim[19]: Si omne quod fit, vel ex eo quod est, vel ex eo quod non est, fieri necesse est, sed nec ex ente **17** fit ens (jam enim, antequam fiat, ens est); nec rursus ex non ente (sit enim aliquid oportet id ex quo fit aliquid, et ut rem uno verbo complectar, non ens nihil est): consequens est, ne generationem quidem nec corruptionem esse. In quid enim resolvetur id, quod non ex aliquo ortum est? Quare mistio tantum erit et mistorum dissolutio. In hac dubitatione versabantur, dum ens idem cum eo quod fit; non ens autem, quod omnino non sit, existimabant.

A β'. Ταύτην τὴν στέρησίν τινες τῶν ἀρχαιοτέρων μὴ ἐννοήσαντες, τὴν φυσικὴν ἀνεῖλον γένεσιν· ὡσαύτως καὶ φθοράν, ἔλεγον γάρ· Εἰ πᾶν ὃ γίνεται ἢ ἐξ ὄντος ἢ ἐκ μὴ ὄντος ἀνάγκη γίνεσθαι· οὔτε δ' ἐξ ὄντος τὸ ὂν γίνεται (ἤδη γὰρ ἔστι πρὸ τοῦ γινέσθαι τὸ ὄν), οὔτ' αὖ ἐκ μὴ ὄντος (δεῖ γὰρ εἶναί τι τὸ ἐξ οὗ γίνοιτ' ἄν· καὶ ὅλως τὸ μὴ ὂν οὐδέν ἐστιν), οὔτε γένεσις ἂν εἴη, οὔτε δὲ φθορά. Εἰς τί γὰρ ἀναλυθήσεται τὸ μὴ ἔκ τινος γεγονός; ὥστε μίξις ἐστὶ μόνον, καὶ τῶν μιγέντων διάλλαξις. Ταῦτα διηπόρουν τὸ αὐτὸ τῷ γινομένῳ μόνον ἐννοοῦντες ὄν· μὴ ὂν δὲ τὸ πάντῃ μὴ ὄν.

3. At vero scire oportebat duobus modis ens et non ens dici: aliud quidem per se, aliud vero per accidens. Sic enim materia quidem per accidens dicitur non ens esse; quia privationis particeps est, quæ privatio per se non ens vocatur[20]. Nam formæ duntaxat absentia esse agnoscitur, et nihil aliud. Ac rursus materia per se ens [appellatur] ut subjectum; privatio autem ens per accidens, quod enti, hoc est materiæ, accidat. Ac præterea ens cum id quod potestate, tum id quod actu est, significat. Sic igitur materia quidem potestate est, quod fit; non autem actu. Causa autem materiæ, quod ejusmodi naturam habet, est privatio; quæ absentia **18** est in eo quod natura sic aptum est; quæ etiam, quia [quidem absentia est, efficit ut materia non sit actu, quod oritur; quia vero in subjecto est quod natura sic aptum est, materiæ præstat, ut potestate sit omne id quod oritur. Quare quod fit, ex eo quod quadantenus est, quadantenus non est, oritur; et rursus in id, quod quadantenus est, quadantenus non est, corrumpitur. Neque enim uno modo dicitur ens et non ens, quemadmodum opinabantur, qui generationem et corruptionem tollebant: sed fieri potest, ut unum idemque et ens et non ens sit. Nec contradictio propterea simul verum dixerit. Quoad aliud enim ens, et quoad aliud non ens erit. Nam haud materia et privatio sola sunt et entia et non entia, sicut dictum est: sed etiam singulæ perfecte species et ens sunt et non ens: ut quæ quidem aliquid sint, aliquid vero non sint; exempli gratia, homo ens quidem est, quia homo est; non ens autem, quia equus non est. Quippe multitudinis causa ipsis etiam perfectis speciebus non ens superinducitur[21].

B γ'. Ἐχρῆν δ' ἐπιστῆναι ὅτι διχῶς λέγεται τὸ ὂν καὶ τὸ μὴ ὄν· τὸ μὲν καθ' αὑτὸ, τὸ δὲ κατὰ συμβεβηκός. Οὕτως οὖν ἡ μὲν ὕλη κατὰ συμβεβηκὸς λέγεται μὴ ὄν, τῷ μετέχειν τῆς στερήσεως· ἥτις στέρησις καθ' αὑτὸ καλεῖται μὴ ὄν. Ἀπουσίᾳ γὰρ μόνον τοῦ εἴδους γινώσκεται καὶ οὐδὲν ἕτερον. Καὶ πάλιν ἡ μὲν ὕλη καθ' αὑτὸ ὄν, ὡς ὑποκείμενον, ἡ δὲ στέρησις κατὰ συμβεβηκὸς ὄν, ὅτι τῷ ὄντι, τουτέστι τῇ ὕλῃ, συμβέβηκε· καὶ ἔτι τὸ ὂν τό τε δυνάμει δηλοῖ καὶ τὸ ἐνεργείᾳ. Οὕτως οὖν ἡ ὕλη δυνάμει μέν ἐστιν ὅπερ γίνεται, ἐνεργείᾳ δ' οὔ. Αἰτία δὲ τῇ ὕλῃ τῆς τοιαύτης φύσεως ἡ στέρησίς ἐστιν, ἀπουσία οὖσα ἐν τῷ πεφυκότι· καὶ διὰ μὲν τὸ ἀπουσία εἶναι, ποιοῦσα τὴν ὕλην μὴ εἶναι ἐνεργείᾳ ὃ γίνεται· διὰ δὲ τὸ ἐν τῷ πεφυκότι δυνάμει τὴν ὕλην εἶναι, πᾶν ὃ γίνεται, C παράγουσα. Ὥστε ὃ γίνεται, ἐκ τοῦ πῇ μὲν ὄντος, πῇ δὲ μὴ ὄντος γίνεται· καὶ φθείρεται πάλιν εἰς τὸ πῇ μὲν ὄν, πῇ δὲ μὴ ὄν. Οὐδὲ γὰρ μοναχῶς λέγεται τὸ ὂν καὶ τὸ μὴ ὄν, καθὼς ᾤοντο οἱ τὴν γένεσιν ἀναιροῦντες καὶ τὴν φθοράν· ἀλλὰ δυνατὸν τὸ αὐτὸ καὶ ἓν ὄν τε καὶ μὴ ὂν εἶναι. Καὶ οὐκ ἂν εἴη συναληθεύουσα ἡ ἀντίφασις. Κατ' ἄλλο μὲν γὰρ ἔσται ὄν, κατ' ἄλλο δὲ μὴ ὄν. Οὐ γὰρ ἡ ὕλη καὶ ἡ στέρησις μόνα καὶ ὄντα καὶ μὴ ὄντα εἰσὶν, ὥσπερ εἴρηται· ἀλλὰ δὴ καὶ τῶν τελείων εἰδῶν ἕκαστον καὶ ὄν ἐστι καὶ μὴ ὄν· τὶ μὲν ὄν, τὶ δὲ μὴ ὄν. Οἷον ὁ ἄνθρωπος ὂν μὲν ἔστιν, ἐπεὶ ἄνθρωπος· μὴ ὂν δὲ, διότι οὐχ ἵππος. Διὰ γὰρ τὸ πλῆθος καὶ αὐτοῖς τοῖς τελείοις εἴδεσιν D ἐπεισάγεται τὸ μὴ ὄν.

4. Porro materia ex analogia [proportione] quam habet ad res alias, **19** naturali quidem modo cognoscitur. Sicut enim æs ad statuam, aut lignum ad lectum, aut ad aliud aliquid artificiale forma insignitum id quod formæ expers est antequam formam accipit, se habet: ita prima materia ad naturalia [corpora] se habet. Atque hoc sane modo ex analogia ad res alias materiam comprehendimus. Ex specierum autem negatione perfectius [eam cognoscimus]. Cum enim ultimas species inter se invicem commutari et propterea subjecto quodam

δ'. Γινώσκεται δ' ἡ ὕλη φυσικῶς μὲν ἐξ ἀναλογίας τῆς πρὸς τἄλλα. Καὶ γὰρ ὡς πρὸς ἀνδριάντα χαλκὸς, ἢ πρὸς κλίνην ξύλον, ἢ πρὸς ἄλλο τι τῶν ἐχόντων μορφὴν τεχνητῶν τὸ ἄμορφον ἔχει πρὶν λαβεῖν τὴν μορφήν· οὕτως ἔχει ἡ πρώτη ὕλη πρὸς τὰ φυσικά. Τοῦτον μὲν οὖν τὸν τρόπον φυσικῶς ἐκ τῆς ἀναλογίας τῆς πρὸς τἄλλα τὴν ὕλην καταλαμβάνομεν· ἐκ δὲ τῆς ἀποφάσεως τῶν εἰδῶν τελεώτερον. Τὰ τελευταῖα γὰρ εἴδη θεασάμενοι πρὸς ἄλληλα μεταβάλλοντα, καὶ διὰ τοῦτό τινος ὑποκειμένου δεόμενα, πεφυκότος δέχεσθαι παρὰ μέρος τῶν ἀντι-

[19] Phys. c. 9, t. 71. [20] 1 Phys. c. 9, t. 75. [21] 1 Phys. c. 8, text. 69; Plato in Timæo, p. 1061.

OCR ABK / FR

κειμένων ἑκάτερον· ἐπὶ τὴν ἔννοιαν τῆς ὕλης ἐρχόμεθα κατ' ἀπόφασιν τῶν εἰδῶν, τὴν εἰς τὸ δεκτικὸν ἀπάγουσαν ὑποκείμενον.

ε'. Ταύτην τὴν ὕλην μέγα καὶ μικρὸν ὁ Πλάτων ὠνόμασεν, ἐκ μιᾶς ἀντιθέσεως πάσας αὐτῇ τὰς ἀντιθέσεις προσεῖναι μαρτυρῶν, καὶ δυάδα δ' ἀόριστον καὶ ἀσυμμετρίαν αὐτὴν ἐκάλεσεν· ἧς μέρη ὑπερβολή τε καὶ ἔλλειψις, καὶ τὸ πολὺ καὶ ὀλίγον, καὶ ἡ ἀνισότης, πάντα τῇ ὕλῃ προσήκοντα, ἅπερ ἴσως διὰ τοῦ μεγάλου καὶ τοῦ μικροῦ αὐτὸς ἐνεδείξατο· ὡς τῆς ὕλης, ἀσωμάτου μὲν καὶ ἀμεγέθους οὔσης, καὶ διὰ τοῦτο μικρᾶς ἂν λεγομένης· παντὸς δ' ὄγκου καὶ πάσης διαστάσεως αἰτίας, καὶ διὰ τοῦτο μεγάλης.

ϛ'. Ταύτην δὴ τὴν ὕλην τινὲς μὲν ἀσώματον ἔφασαν· ἄλλοι δὲ σῶμα κεκλήκασιν ἄποιον· οἱ μὲν διὰ τὸ εἶναι παντελῶς ἀμεγέθη τε καὶ ἀδιάστατον, οἱ δὲ διὰ τὸ οἷον πάρεσιν ὑπάρχειν καὶ ἔκστασιν, καὶ ἀοριστίαν τῆς ἀσωμάτου καὶ ἀμερίστου καὶ νοητῆς φύσεως. Ὅθεν καὶ σῶμα ταύτην ἐκάλεσαν, οὐ τὸ κατ' εἶδος καὶ λόγον ὑφεστὼς, καὶ τρισὶ διαστάσεσιν ὡρισμένον εἰδητικῶς· ἀλλὰ τὸ πάντῃ παρειμένον τε καὶ ἐκλελυμένον, καὶ πανταχόθεν ἀπὸ τοῦ ὄντος ἀποῤῥέον εἰς τὸ μὴ ὄν.

ζ'. Ταύτην τὴν ὕλην καὶ ἄφθαρτον φαντάζονται καὶ ἀγέννητον. Τὸ μὲν γὰρ εἶδος καὶ τὴν στέρησιν ὡς ἐναντία γίνεσθαί τε καὶ φθείρεσθαι λέγουσι· καὶ τοῦ μὲν εἴδους παρόντος ἀπεῖναι τὴν στέρησιν, τῆς δὲ στερήσεως παρούσης ἀπεῖναι τὸ εἶδος, καὶ οὕτω τὴν γέννησιν ἐπιτελεῖσθαι καὶ τὴν φθοράν· τὴν ὕλην δ' οὖσαν ὑποκείμενον καὶ κατὰ τὸ δυνάμει οὐσιωμένην, καὶ μετὰ τῆς στερήσεως εἶναι, καὶ τοῦ εἴδους ἐνεργείᾳ παρόντος μένειν, καὶ διασώζειν τὸ δυνάμει αὐτῆς ἀναλλοίωτον, ὅθεν μηδὲ μεταβάλλειν ταύτην ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ ποτέ· ἀλλὰ μένουσαν ὅπερ ἐστὶ, δέχεσθαι τὸ εἶδος· καὶ τοῦ εἴδους ὑποχωροῦντος μένειν πάλιν ὅπερ πρότερον ἦν, καὶ οὕτω μήτε γίνεσθαι μήτε φθείρεσθαι. Ἴσως δὲ πῶς μὲν ἀγέννητος ἔσται ἡ ὕλη καὶ ἄφθαρτος, πῶς δὲ γεννητὴ καὶ κατὰ φύσιν φθαρτή. Ἀγέννητος μὲν οὖν ἔσται, διὰ τὸ μὴ ἔκ τινος ὑποκειμένου πρώτου καθ' αὑτὸ ἐνυπάρχοντος γίνεσθαι· αὕτη γὰρ πρῶτόν ἐστιν ὑποκείμενον, ἐνυπάρχον καθ' αὑτὸ, καὶ ἄφθαρτος πάλιν κατὰ τὸν αὐτὸν λόγον, διὰ τὸ μὴ εἶναί τινα στοιχειώδη ταύτης ἀρχὴν, εἰς ἣν καὶ ἀναλυθήσεται· εἴ γε τὸ φθειρόμενον φυσικῶς, οὐ τῷ ἀναλύεσθαι εἰς τὸ μὴ ὂν φθείρεσθαι λέγεται, ἀλλὰ τῷ (ἀναλύεσθαι) εἰς ἐκεῖνο ἐξ οὗ πρώτως ἐνυπάρχοντος (καὶ) μὴ κατὰ συμβεβηκὸς, ἐγεγόνει. Γεννητὴ δέ ἐστιν ἡ ὕλη κατὰ τὸ ἔχειν αἴτιον ποιητικόν τι καὶ τελικὸν, ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος ὑπὸ Θεοῦ παραχθεῖσα εἰς δεῖγμα καὶ μεγαλωσύνην τῆς ἀγαθότητος αὐτοῦ καὶ δυνάμεως. Ἐπεὶ γοῦν ἡ ὕλη

A indigere perspexerimus, quod ita natura comparatum sit, ut utrumque contrariorum per vices suscipere possit; in materiæ notitiam per formarum negationem ad subjectum suscipiendi facultate præditum abducentem pervenimus [22].

5. Hanc materiam Plato [23] magnum et parvum appellavit, ex una oppositione omnes illi oppositiones inesse testificans, et dualitatem interminatam et asymmetriam [quasi dicas, incommensurabilitatem] ipsam vocavit; cujus partes sunt, excessus et defectus, et multum et paucum, et inæqualitas, omnia materiæ convenientia, quæ fortassis ipse per magnum et parvum subindicavit; **20** quod materia corporis quidem et magnitudinis expers sit, et capropter parva dicatur; omnis autem B molis et dimensionis causa sit, et ideo magna [appelletur].

6. Hanc nimirum materiam aliqui corporis expertem dixerunt; alii corpus qualitatibus orbatum vocarunt; illi quidem quod prorsus magnitudine et dimensione vacet; hi vero quod veluti remissio et excessio et infinitio sit incorporeæ et impartibilis intelligibilisque naturæ [24]. Proinde hanc etiam corpus appellarunt, non id quod per formam et rationem [seu speciem] subsistat, sed quod prorsus remissum et solutum sit, et omni ex parte ab ente in non ens defluat [25].

7. Et hanc materiam etiam generationis et corruptionis expertem imaginantur. Formam enim et privationem ut contraria generari et corrumpi dicunt; et præsente quidem forma, privationem C abesse; privatione autem præsente, formam abesse; ac ita generationem et corruptionem perfici; materiam autem, cum sit subjectum et in eo quod est potestate suam habeat essentiam, et cum privatione esse, et forma actu præsente manere, hocque suum potestate esse ab omni alteratione **21** liberum conservare [26]; atque hinc effici, ut nec a potestate esse ad actu esse commutetur, sed manens quod est, formam suscipiat; et forma recedente maneat iterum quod prius erat; et sic nec generetur nec corrumpatur. Fortassis autem quodammodo materia generationis et corruptionis expers est; quodammodo autem generationi et secundum naturam corruptioni est obnoxia. Itaque generationis quidem expers erit, quod ex aliquo D subjecto primo quod per se insit, non generetur [27]. Ipsa enim primum est subjectum quod per se inest. Nec vero corruptionis erit subjecta per eamdem rationem, quod nullum elementare sit ipsius principium in quod etiam resolvatur; siquidem quod interit naturaliter, non ideo quod in non ens resolvatur, interire dicitur, sed quod in id [resolvatur], ex quo ut primum inesset, non per accidens, generatum fuerat. Generationi autem subjecta est materia, quatenus causam habet efficientem et finalem;

[22] 1 Phys. c. 10. t. 80. [23] Plato Parm. et Tim.; Plot. Enn. 2, lib. 4, c. 11; Zab. lib. 2 de materia prima, c. 9. [24] Zab. ibid. lib. 2, c. 12. [25] 1 Phys. c. 10, t. 82. [26] Zab. 1 de mat. prima, c. 11. [27] 1 Phys. c. 10, t. 82.

OCR ABK / FR

ut quæ ex nihilo prorsus a Deo producta fuerit, ut suam bonitatem et potentiam ostenderet illustremque redderet. Quoniam vero materia ex nihilo producta **22** est, profecto etiam perfectæ corruptioni obnoxia erit; tametsi alioqui Deus, qui est ipsa summa bonitas, opificium suum non in nihilum, sed in meliorem statum commutaturus sit.

A μὴ οὖσα παρῆκται, πάντως ὑπόκειται καὶ φθορᾷ παντελεῖ· κἂν ὁ πανάγαθος Θεὸς οὐκ εἰς τὸ μὴ εἶναι, μᾶλλον μὲν οὖν εἰς τὸ κρειττόνως εἶναι μετασκευάσοι τὴν δημιουργίαν αὐτοῦ.

8. Præterea Platonici quidem materiam omnis alterationis expertem, Peripatetici autem totam penitus alterationi subjectam esse aiunt. Verum illi cum de qualitatis experte loquantur, prima [inquam] materia; non concedunt ipsam alterationi subjici. Id enim alteratur, quod qualitate est præditum, aliam subjiciens, et aliam assumens qualitatem. Quod autem qualitate vacat, quo tandem modo alterari quiverit? Propterea etiam compositam essentiam, formam in materia, non ex forma et materia dicunt; ut quæ simul invicem non alterentur. Peripatetici autem propinquam materiam accipientes, ut quatuor elementa, merito etiam alterari dicunt ipsam ut qualitate præditam, et ex forma ac materia compositum esse; ut hujusmodi materia in aliam formam mutetur, et forma illa a materia suscipiatur.

η'. Ἔτι τὴν ὕλην οἱ μὲν Πλατωνικοὶ λέγουσιν ἀναλλοίωτον, οἱ δὲ Περιπατητικοὶ ὕλην δι' ὅλης ἀλλοιωτήν. Ἀλλ' οἱ μὲν περὶ τῆς ἀποίου λέγοντες ὕλης τῆς πρώτης οὐ συγχωροῦσιν ἀλλοιοῦσθαι αὐτήν. Ἀλλοιοῦται γὰρ τὸ πεποιωμένον, ἄλλην μὲν ἀποβάλλον, ἄλλην δὲ προσλαμβάνον ποιότητα· τὸ δ' ἄποιον, πῶς ἂν ἀλλοιωθείη; Διὰ τοῦτο καὶ τὴν σύνθετον οὐσίαν εἶδος ἐν ὕλῃ φασίν· ἀλλ' οὐκ ἐξ εἴδους B καὶ ὕλης, ὡς μὴ συναλλοιουμένων ἀλλήλοις. Οἱ δ' ἀπὸ τοῦ περιπάτου τὴν προσεχῆ λαμβάνοντες ὕλην, ὡς τὰ τέσσαρα στοιχεῖα, εἰκότως καὶ ἀλλοιοῦσθαι λέγουσι ταύτην ὡς πεποιωμένην, καὶ ἐξ ὕλης καὶ εἴδους τὸ σύνθετον εἶναι, εἰς εἶδος ἕτερον μεταβαλλούσης τῆς τοιαύτης ὕλης καὶ ὑλουμένου τοῦ εἴδους ἐκείνου.

## 23 SYNOPSIS CAPITIS III,

### QUOD EST DE CAUSIS ET EFFECTIS, UBI ETIAM DE FORTUNA ET CASU.

*1. Causas et effecta dividit in per se et per accidens talia, eademque exemplis declarat.— 2. Per* ἐπιδιαίρεσιν *ambo ista in propinqua et remota dividit, et exemplis iterum illustrat : simul ostendens causas per se et per accidens non tantum absolute, sed etiam conjuncte dici posse. — 3. Per aliam* ἐπιδιαίρεσιν *causas et effecta per se et per accidens, propinqua item et remota in talia actu et potestate partitur, docens causas et effecta actu, simul esse et simul non esse; non item causas et effecta potestate. — 4. Duo præcepta dat de cujusque rei suprema, id est, præcipua causa inquirenda; et de causis ita assignandis, ut effectis conveniant. — 5. Duo theoremata proponit; prius quod causæ per se non aliæ in aliis effectis seorsim, sed plures in uno effecto simul, quin potius omnes inveniantur; tametsi nonnunquam aliquot conveniant, ut forma et finis in naturalibus, et nonnunquam etiam efficiens : posterius, quod eodem modo quædam sibi invicem causæ sint, quomodo laborare bonæ valetudinis, et bona valetudo laborandi causa est. — Ostendit fortunam et casum dici causas veluti efficientes, sed tamen per accidens, easque in raris contingentibus* **24** *consistere. — 7. Eadem a se invicem distinguit, ut fortuna in iis quæ secundum electionem fiunt; casus in iis quæ secundum naturam contingunt, versetur. — 8. Fortunam secundum qualitatem, in secundam et adversam; secundum quantitatem, in* εὐτυχίαν *et* δυστυχίαν *distinguit, quæ tamen ambo duntaxat in illis quæ agere possunt, et proinde in nullo inanimato, nec bestiis, nec etiam pueris reperiuntur, proprie quidem loquendo. — 9. Ambo fortunam et casum ad generaliter dictum* αὐτόματον *id est, casum reducit; ubi* τοῦ αὐτομάτου ὁμωνυμίαν *et etymologiam explicat. — 10. Docet quare etiam omnis casus, causa dicatur, quanquam per accidens. — 11.* Τὸ *frustra describit et trifariam dici ostendit. — 12. Per occupationem ostendit, quanquam pater sit causa quodammodo efficiens filii in generatione materiali : quod tamen in divina generatione Deus Pater Filii sit causa pure essentialis, non efficiens, propterea quod nec creatus, nec factus est Filius, sed genitus; quanquam alias omnium aliarum creaturarum proprie causa est efficiens, angelorum etiam.*

C

### CAPUT III.

*De causis et effectis, ubi etiam de de fortuna et casu.*

1. Causarum quædam sunt per se, quædam per accidens [26]. Eodemque modo eorum quæ a causis proficiscuntur, hoc est effectorum, quædam per se sunt, quædam per accidens. **25** Veluti causa efficiens per se quidem statuæ est statuarius; per accidens autem, Polycletus, aut albus, aut musicus. Accidit enim statuario ut Polycletus fortasse vocaretur, et albus esset aut musicus. Pari modo etiam effectum statuarii

### ΚΕΦΑΛ. Γ.

Περὶ αἰτιατῶν, ἐν ᾧ καὶ περὶ τύχης καὶ αὐτομάτου.

α'. Τῶν αἰτίων τὰ μὲν ἔστι καθ' αὑτὰ, τὰ δὲ κατὰ συμβεβηκός. Ὡσαύτως καὶ τῶν ὧν εἰσιν αἴτια, τουτέστι τῶν αἰτιατῶν, τὰ μὲν καθ' αὑτὰ, τὰ δὲ κατὰ συμβεβηκός. Οἷον ποιητικὸν αἴτιον τοῦ ἀνδριάντος καθ' αὑτὸ μὲν ὁ ἀνδριαντοποιὸς, κατὰ συμβεβηκὸς δὲ ὁ Πολύκλειτος, ἢ ὁ λευκὸς, ἢ ὁ μουσικός. Συνέβη γὰρ τῷ ἀνδριαντοποιῷ Πολυκλείτῳ καλεῖσθαι τυχὸν καὶ λευκῷ εἶναι ἢ μουσικῷ. Ὁμοίως δὲ καὶ ἀνδριαν-

[26] Phys c. I, t.32, 33; 4 Metaphys, c. 2.

OCR ABK / FR

τοποιοῦ αἰτιατὸν καθ' αὑτὸ μὲν ὁ ἀνδριὰς, κατὰ συμβεβηκὸς δὲ ὁ Μαρκίων ἴσως, ἢ ὁ τρίπηχυς ἢ ὁ ἐρυθρός. Συνέβη γὰρ τῷ ἀνδριάντι ἀνεστηλῶσθαι διὰ Μαρκίωνα καὶ καλεῖσθαι Μαρκίωνι, καὶ τριπήχει εἶναι ἢ ἐρυθρῷ.

β'. Τῶν αἰτίων δὲ καὶ τῶν αἰτιατῶν ὁμοῦ, τῶν τε καθ' ἑαυτὰ, καὶ κατὰ συμβεβηκὸς, τὰ μὲν ἐστι προσεχῆ, τὰ δὲ πόῤῥω· οἷον, προσεχὲς αἴτιον καθ' αὑτὸ τοῦδε τοῦ ἀνδριάντος ὅδε ὁ ἀνδριαντοποιός· καὶ ἔτι πόῤῥω ὁ τεχνίτης. Προσεχὲς αἰτιατὸν καθ' αὑτὸ τοῦδε τοῦ ἀνδριαντοποιοῦ ὅδε ὁ ἀνδριάς· πόῤῥω δὲ ὁ ἁπλῶς ἀνδριὰς, καὶ ἔτι ἡ εἰκών. Προσεχὲς αἴτιον κατὰ συμβεβηκὸς ὁ Πολύκλειτος· πόῤῥω δὲ ὁ ἄνθρωπος· καὶ ἔτι τὸ ζῶον, ἢ ὁ λευκός· καὶ ἔτι ὁ κεχρωματισμένος. Καὶ τὸ μὲν λευκὸν, καὶ ὅλως τὸ κεχρωματισμένον, κατὰ συμβεβηκὸς ὑπάρχει τῷ Πολυκλείτῳ· ὁ δ' ἄνθρωπος καὶ ὅλως τὸ ζῶον καθ' αὑτό. Τῷ ἀνδριάντι οὐ μόνον ὁ λευκὸς καὶ ὁ κεχρωματισμένος, ἀλλὰ καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῶον, κατὰ συμβεβηκός εἰσιν αἴτια. Εἰ γὰρ ὁ Πολύκλειτος αἴτιος, κατὰ συμβεβηκὸς τοῦ ἀνδριάντος ἐστὶ, τῷ Πολυκλείτῳ δὲ καθ' αὑτὸ ὑπάρχει ὁ ἄνθρωπος καὶ τὸ ζῶον· καὶ ὁ ἄνθρωπος ἄρα καὶ τὸ ζῶον κατὰ συμβεβηκός εἰσιν αἴτια τοῦ ἀνδριάντος. Προσεχὲς αἰτιατὸν κατὰ συμβεβηκὸς ὁ Μαρκίων· πόῤῥω δὲ ὁ ὠνομασμένος. Καὶ πάλιν προσεχὲς αἰτιατὸν τόδε τὸ τρίπηχυ· πόῤῥω δὲ ὁ ἁπλῶς τρίπηχυς καὶ ἔτι ὁ μεμεγεθισμένος· ἀλλὰ τὸ μὲν τρίπηχυ καὶ τὸ μεμεγεθισμένον κατὰ συμβεβηκὸς τῷ Μαρκίωνι, τὸ ὠνομασμένον δὲ καθ' αὑτό. Πάντα δ' ὁμοῦ ταῦτα καὶ τὰ τοιαῦτα κατὰ συμβεβηκὸς αἰτιατὰ τοῦ ἀνδριαντοποιοῦ· τὰ καθ' αὑτὸ δὲ καὶ τὰ κατὰ συμβεβηκὸς αἴτια μὴ μόνον ἀπολελυμένως, ἀλλὰ καὶ συμπεπλεγμένως δύναται λέγεσθαι· οἷον αἴτιον τοῦ ἀνδριάντος οὐ μόνον ὁ ἀνδριαντοποιὸς ῥηθείη ἂν ἰδικῶς, καὶ πάλιν ἰδικῶς ὁ Πολύκλειτος, ἀλλὰ καὶ κατὰ συμπλοκὴν ὁ Πολύκλειτος ἀνδριαντοποιός. Ὡσαύτως δὲ καὶ τὰ αἰτιατά.

γ'. Πάντων δὲ τῶν εἰρημένων αἰτίων καὶ αἰτιατῶν, τῶν τε καθ' αὑτὸ καὶ τῶν κατὰ συμβεβηκὸς, τῶν τε προσεχῶν καὶ τῶν πόῤῥω, τὰ μὲν δυνάμει λέγεται, τὰ δὲ ἐνεργείᾳ. Τὸ δυνάμει δὲ νῦν οὐ τὸ οἷόν τε γίνεσθαι δηλοῖ, ἀλλ' ἁπλῶς τὸ μὴ ἐνεργοῦν, μήτ' αὖ ἐνεργούμενον. Οὐκ ἐνεργεῖ δὲ καὶ τὰ οἷά τε ἐνεργῆσαι καὶ τὰ πεπαυμένα τοῦ ἐνεργεῖν· ὥσπερ πάλιν οὐκ ἐνεργεῖται, καὶ τὰ οἷά τε ἐνεργηθῆναι καὶ τὰ πεπαυμένα τοῦ ἐνεργεῖσθαι. Τὰ μὲν οὖν ἐνεργείᾳ αἴτια καὶ (τὰ) αἰτιατὰ, ἅμα τε ἔστι καὶ πάλιν ἅμα οὐκ ἔστιν· ἤγουν συνεισφέρει τε ἄλληλα καὶ συναναιρεῖ. Ἅμα γάρ ἐστιν ὁ οἰκοδομῶν οἰκοδόμος, καὶ τὸ οἰκοδομούμενον οἴκημα· καὶ μὴ ὄντος τοῦ οἰκοδομοῦντος, οὐδὲ τὸ οἰκοδομούμενόν ἐστιν. Ὡσαύτως καὶ τοῦ οἰκοδομουμένου μὴ ὄντος, οὐκ ἔστιν οὐδ' ὁ οἰκοδομῶν. Τὰ δὲ δυνάμει οὐκ ἀεὶ ἅμα ἔστι καὶ ἅμα οὐκ ἔστι. Δυνατὸν γὰρ ἢ τὴν οἰκίαν διαμένειν, τὸν δ' οἰκοδόμον θανεῖν· ἢ τοῦτον μὲν ζῆν ἔτι, τὴν δ' οἰκίαν καταπεσεῖν.

per se quidem est statua; per accidens autem, Marcion forte, aut tricubitus, aut rufus. Accidit enim statuæ, ut propter Marcionem erecta fuerit, et Marcion vocaretur, ac tricubita aut rufa foret.

2. Porro causarum et effectorum simul, cum per se tum per accidens, alia propinqua sunt, alia remota Exempli gratia, causa propinqua per se hujusce statuæ est hic statuarius; remota vero, simpliciter statuarius; et adhuc remotior, artifex. Propinquum effectum per se hujusce statuarii est hæc statua; remotum autem, simpliciter statua; et amplius, imago. Propinqua causa per accidens est Polycletus; remota autem, homo; et adhuc remotior, animal, aut albus; et porro colore præditus. Ac album quidem et ipsum omnino colore præditum, Polycleto insunt per accidens; homo autem et omnino animal, per se. At vero statuæ non tantum albus ut coloratus, sed **26** etiam homo et animal per accidens sunt causæ Cum enim Polycletus causa statuæ sit per accidens, Polycleto autem per se insit homo et animal, hominem igitur et animal per accidens esse causæ statuæ necesse est. Propinquum effectum per accidens est Marcion: remotum, nomine præditus. Et iterum propinquum effectum est hoc tricubitum; remotum autem, simpliciter tricubitus; et adhuc remotius, magnitudine præditus. Sed tricubitum quidem et magnitudine præditum Marcioni insunt per accidens; nomine præditum vero, per se. Omnia autem hæc et hujus generis alia per accidens sunt effecta statuarii [29]. Cæterum causæ cum per se, tum per accidens, non tantum absolute, sed etiam conjuncte dici possunt; veluti causa statuæ non tantum statuarius scorsim, sed etiam conjuncte, Polycletus statuarius dici poterit; eodemque etiam modo effecta se habet [30].

3. Omnes insuper causæ et effecta de quibus dictum est, cum quæ per se et per accidens, tum quæ propinqua et remota sunt; partim potestate, partim actu dicuntur. Potestate autem hic non id quod fieri potest, declarat; sed quod nec agit, nec agitur. **27** Atqui non agunt cum ea quæ agendi habent potentiam, tum quæ agere cessaverunt. Quemadmodum vicissim non aguntur, cum quæ potentiam habent qua agi possint, tum quæ agi desierunt. Quæ igitur causæ et effecta sunt actu, simul et sunt, et simul non sunt [31]: hoc est se mutuo simul et inferunt et tollunt. Simul enim sunt ædificans architectus, et domus quæ ædificatur; et si non sit ædificans, nec erit quod ædificatur; eodemque modo si non sit quod ædificatur, nec erit ædificans. Quæ vero potestate sunt, non semper simul sunt et simul non sunt. Fieri enim potest, ut vel Domus permaneat, cum architectus est mortuus vel hic quidem adhuc vivat, cum domus collapsa est [32].

[29] 2 Phys. c. 3, t. 36. [30] 2 Phys. c. 3, t. 34. [31] 2 Phys. c. 3, t. 37; 4 Metaphys, c. 2. [32] 2 Phys c. 3, t. 38.

OCR ABK / FR

4. Jam vero cujusque rei perpetuo suprema, hoc est, præcipua causa inquirenda est. Exempli gratia homo ædificat, quia ædificator est: ædificator autem per ædificatoriam ædificat. Ædificatoria igitur prior et magis præcipua causa est. Præterea causæ ita sunt assignandæ, ut effectis conveniant, veluti propinquæ propinquis remotæ remotis; et quæ quidem **28** actu sint, his quæ sunt actu: quæ autem potestate sint his quæ potestate sunt.

5. Porro haud in aliis effectis aliæ causæ considerantur [33]; veluti in alio effectos causa efficiens, et in alio finalis, et in alio rursus alia; sed multæ in uno, vel potius in unoquoque omnes, tametsi nonnunquam aliquot causæ in unum coeunt. In domo enim causa efficiens ædificator est, vel potius ipsa ædificandi scientia. Finalis, pluviarum, ventorum et æstuum depulsio. Et materialis quidem, lapides, ligna et lutum; formalis vero, figura et forma; et in universum species ad cujus similitudinem efficitur. Quod si vero aliquis etiam de instrumentali inquirat; serram, et asciam, et perpendiculum, et alia quædam inveniet. Sin etiam de exemplari, est illa domus delineatio et conformatio quæ prius in mente exstitit. Porro autem in quibusdam effectibus quædam causæ in unum mutuo coeunt [34]. In naturalibus enim rebus et forma et finis idem sunt; quandoquidem naturæ formæ causa omnia antecedentia molitur. Suntque forma et finis ratione quidem et definitione duo; numero autem et subjecto unum sunt. Quare **29** interdum formalis et finalis causa in unum coire possunt. Sed et nonnunquam etiam cum his coincidit efficiens; licet non subjecto, vel numero, et specie tamen. Homo enim hominem generat; estque ei qui generatur, pater quodammodo causa efficiens, qui cum eo quoad speciem et essentiæ rationem idem est [35]. Insuper et alia aliorum eodem modo causæ sunt, ut laborare bonæ valetudinis, et bona valetudo laborandi causa est; non solum enim laborare bonæ valetudinis causa est efficiens, bona autem valetudo finalis causa laborandi, siquidem bonæ valetudinis gratia labor suscipitur, sed utique etiam bona valetudo laborandi causa efficiens agnoscitur; siquidem is modo qui bene valet, laborare et opus suum exercere potest. Quare una eademque res pluribus modis causa dici, et quoad eumdem modum tam causa quam effectus alicubi reperiri potest [36].

6. Postremo etiam fortunam et casum causas quasdam tanquam efficientes, veruntamen per accidens appellant [37]. Fortuna enim et casus causæ quædam sunt per accidens in iis quæ fiunt alicujus gratia, et horum in illis quæ raro fiunt. Cum **30** enim contingens trifariam dividatur: in

A δ'. Χρὴ δ' ἀεὶ τὸ ἀκρότατον, εἴτουν τὸ κυριώτατον αἴτιον ἑκάστου τῶν πραγμάτων ζητεῖν· οἷον, ὁ ἄνθρωπος οἰκοδομεῖ, διότι οἰκοδόμος· οἰκοδομεῖ δ' ὁ οἰκοδόμος κατὰ τὴν οἰκοδομικήν· ἡ ἄρα οἰκοδομικὴ πρότερον καὶ κυριώτερον αἴτιον. Ἔτι καταλλήλως τοῖς αἰτιατοῖς ἀποδοτέον τὰ αἴτια· οἷον τοῖς προσεχέσι τὰ προσεχῆ, καὶ τοῖς πόῤῥω τὰ πόῤῥω· καὶ τὰ μὲν κατὰ τὸ ἐνεργείᾳ τοῖς κατὰ τὸ ἐνεργείᾳ, τὰ δὲ κατὰ τὸ δυνάμει τοῖς κατὰ τὸ δυνάμει.

ε'. Οὐκ ἄλλοις δὲ τῶν αἰτιατῶν ἄλλα τῶν αἰτίων ἐνθεωροῦνται· οἷον ἄλλῳ μὲν αἰτιατῷ ποιητικὸν αἴτιον, ἄλλῳ δὲ τελικὸν, καὶ ἑτέρῳ οὐ ἕτερον· ἀλλὰ πολλὰ τῷ ἑνὶ, μᾶλλον δ' ἑκάστῳ τὰ πάντα· κἂν ποτε συνέβη τινὰ τῶν αἰτίων εἰς ἕν. Ἐπὶ μὲν γὰρ τῆς B οἰκίας αἴτιον ὁ οἰκοδόμος ποιητικὸν, ἢ μᾶλλον ἡ οἰκοδομική. Τελικὸν δὲ ἡ ἀπαλέξησις τῶν ὄμβρων, τῶν ἀνέμων καὶ τῶν καυμάτων. Καὶ ὑλικὸν μὲν οἱ λίθοι, τὰ ξύλα καὶ ὁ πηλὸς, εἰδικὸν δὲ τὸ σχῆμα καὶ ἡ μορφὴ, καὶ ὅλως τὸ εἶδος καθ' ὃ γίνεται. Εἰ δέ τις ζητοίη καὶ ὀργανικὸν, εὑρήσει τὸν πρίονα, τὸ σκέπαρνον, τὴν κάθετον, καὶ ἄλλα τινά. Εἰ δὲ καὶ παραδειγματικὸν, ἔστιν ἡ προδιατύπωσις τῆς οἰκίας καὶ προδιαμόρφωσις. Ἐπὶ δέ τινων αἰτιατῶν τινα τῶν αἰτίων ἀλλήλοις συνέρχονται εἰς ταυτό. Τὸ αὐτὸ γὰρ ἐν φυσικοῖς καὶ εἶδός ἐστι καὶ τέλος· ἐπείπερ ἡ φύσις ἕνεκα τοῦ εἴδους μηχανᾶται πάντα τὰ προηγούμενα. Καὶ ἔστι τὸ εἶδος καὶ τὸ τέλος δύο μὲν κατὰ τὸν λόγον· ἓν δὲ κατ' ἀριθμὸν καὶ τὸ ὑποκείμενον. Ὥστε εἰς ἓν ἔρχεσθαι δύναταί ποτε τὸ εἰδικὸν αἴτιον καὶ τὸ τελικόν. Ἐνίοτε δὲ ταυτὸ γίνε- C ται τούτοις καὶ τὸ ποιητικὸν, εἰ καὶ μὴ τῷ ὑποκειμένῳ, μηδὲ τῷ ἀριθμῷ· τέως δ' οὖν τῷ εἴδει. Ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ· καὶ ἔστι τῷ γεννωμένῳ ποιητικόν πως αἴτιον ὁ πατὴρ, ταυτὸν ὢν αὐτῷ κατὰ τὸ εἶδος καὶ τὸν λόγον τῆς οὐσίας. Τινὰ δὲ καὶ κατὰ τὸν αὐτὸν τρόπον ἀλλήλων ἐστὶν αἴτια· ὡς τὸ πονεῖν τῆς εὐεξίας, ἡ εὐεξία τε τοῦ πονεῖν· οὐ μόνον γὰρ τὸ μὲν πονεῖν αἴτιόν ἐστι τῆς εὐεξίας ποιητικὸν, ἡ δ' εὐεξία τελικὸν αἴτιον τοῦ πονεῖν, ἐπείπερ ἕνεκα τῆς εὐεξίας παραλαμβάνεται τὸ πονεῖν· ἀλλὰ δὴ καὶ ἡ εὐεξία ποιητικὸν αἴτιον γινώσκεται τοῦ πονεῖν· εἴγε τοῦ εὐεκτοῦντός ἐστι τὸ δύνασθαι πονεῖν τε καὶ ἐνεργεῖν. Ὥστε τὸ αὐτὸ καὶ ἓν δύναται πλεοναχῶς τε αἴτιον λέγεσθαι, καὶ κατὰ τὸν αὐτὸν τρόπον εὑρίσκεσθαί που καὶ D αἴτιον ὁμοῦ καὶ αἰτιατόν.

ς'. Λέγουσι δὲ καὶ τὴν τύχην καὶ τὸ αὐτόματον αἰτιά τινα οἱονεὶ ποιητικὰ, πλὴν κατὰ συμβεβηκός. Τύχη γὰρ καὶ αὐτόματον αἴτιά τινα κατὰ συμβεβηκὸς ἐν τοῖς ἕνεκά του γινομένοις, καὶ τούτων ἐν τοῖς ἐπ' ἔλαττον. Τοῦ γὰρ ἐνδεχομένου διαιρουμένου τριχῶς, εἴς τε τὸ ἐπὶ πολὺ, καὶ τὸ ἐπίσης, καὶ τὸ

[33] 2 Phys. c. 3, t. 30; 4 Metaphys. c. 2. [34] 2 Phys. c. 7, t. 70. [35] 4 Phys. c. 3, t. 38; 4 Metaphys. c. 2. [36] 2 Phys. c. 5, t. 53, et c. 6, t. 57, 65. [37] 2 Phys. c. 5, t. 48, 50, 51, et c. 6, t. 57.

OCR ABK / FR

ἐπ' ἔλαττον· ἡ τύχη καὶ τὸ αὐτόματον ἐν τοῖς ἐπ' ἔλαττον φαίνονται.

ζ'. Καὶ ἡ μὲν τύχη ἐν τοῖς κατὰ προαίρεσιν· οἷον, εἴ τις ἐπὶ τῷ καταβαλεῖν θεμέλιον σκάπτων ἐνέτυχε θησαυρῷ· τὸ δ' αὐτόματον ἐν τοῖς κατὰ φύσιν· οἷον εἴ ποθεν λίθος μή τινος ῥίψαντος αὐτὸν μόνος κατενεχθεὶς ἐπάταξεν ἄνθρωπον, ἤ τινος ἵππος ὑπὸ τῶν πολεμίων ληφθεὶς καὶ τὰς προτέρας νομὰς φαντασθεὶς εἰς τὸν οἰκεῖον δεσπότην ἦλθε τοὺς πολεμίους φυγών· φύσις γὰρ καὶ πᾶσα ἡ ἄλογος καλεῖται ζωή. Ὅθεν τὰ μὲν ἐπισυμβαίνοντα ταῖς ἀλόγοις ἐνεργείαις καὶ φυσικαῖς ἀπὸ ταὐτομάτου φασί· καὶ τὸ προηγησάμενον αἴτιον λέγουσιν αὐτόματον. Ὅσα δὲ ταῖς κατὰ προαίρεσιν ἐνεργείαις ἐπισυμβαίνει, ταῦτ' ἀπὸ τύχης· καὶ τύχην, τὴν παρυφισταμένην αἰτίαν τῇ προαιρέσει καὶ κατὰ προαίρεσιν.

η'. Ἀλλ' ἀγαθὴν μὲν τύχην, ὅταν τι ἀγαθὸν ἀποβῇ· φαύλην δ', ὅταν φαῦλον. Ὁπόταν δὲ τὰ ἀποβαίνοντα μέγεθος ἔχωσιν, εὐτυχίαν καὶ δυστυχίαν φασί. Τὸ δ' εὐτυχεῖν καὶ τὸ δυστυχεῖν ἐν τοῖς δυναμένοις πράττειν γνωρίζεται. Καὶ γὰρ εὐπραγεῖν ἐστι καὶ δυσπραγεῖν. Ὅθεν οὐδὲν ἄψυχον ἢ θηρίον ἢ παιδίον εὐτυχεῖν λέγεται κυρίως ἢ δυστυχεῖν, εἰ μὴ καθ' ὁμοιότητα· καθὼς ἔλη Πρώταρχος εὐτυχεῖς εἶναι τοὺς λίθους ἐξ ὧν οἱ βωμοί, ὅτι τιμῶνται· οἱ δ' ὁμόζυγες αὐτῶν καταπατοῦνται.

θ'. Συνάγεται δὲ καὶ ἡ τύχη καὶ τὸ αὐτόματον εἰς τὸ γενικῶς ὠνομασμένον αὐτόματον. Τοῦτο δὲ τὸ κοινῶς αὐτόματον οὕτω κέκληται ὡς αὐτὸ μάτην ὅσον ἐπὶ τῷ ἀκολουθοῦντι ἀποτελέσματι προσγινόμενον· ὅσον γὰρ ἐπὶ τῇ εὑρέσει τοῦ θησαυροῦ μάτην ἡ σκάψις προγέγονεν, ἐπεὶ διὰ τὴν τοῦ θεμελίου καταβολὴν καὶ ἡ τοῦ λίθου καταφορά, καὶ ἡ τοῦ ἵππου ἐκ τῶν πολεμίων φυγή, μάτην ὅσον ἐπὶ τοῖς παρηκολουθηκόσιν ἀποτελέσμασι προγεγόνασιν. Οὔτε γὰρ ὁ λίθος ἕνεκα τοῦ πατάξαι κατήνεκται· οὔθ' ὁ ἵππος τοὺς πολεμίους ἐκπέφευγεν, ἕνεκα τοῦ πρὸς τὸν ἴδιον δεσπότην ἐλθεῖν· ἀλλ' ὁ μὲν ἵνα τὸν οἰκεῖον καταλάβῃ τόπον, τὸ κάτω καὶ μέσον, ἤγουν ὁ λίθος (πάντα γὰρ τὰ βάρη αὐτοφυῶς ἐπὶ τὸ κέντρον ὁρμᾷ)· ὁ δ' ἵππος ἵνα πρὸς τὰς συνήθεις ἔλθῃ νομάς.

ι'. Αἴτιον δὲ ὅμως τὸ πᾶν αὐτόματον λέγεται· διότι μὴ προηγησαμένου τοῦδε οὐκ ἂν τὸ τοιοῦτον τέλος ἐπηκολούθησεν. Αἴτιον μέντοι τοῦ τοιούτου τέλους κατὰ συμβεβηκός, ἀλλ' οὐ καθ' αὑτό· οἷον ἡ σκάψις αἴτιον μὲν ἦν καθ' αὑτὸ τῆς τοῦ θεμελίου καταβολῆς· συνέβη δὲ γενέσθαι καὶ τῆς τοῦ θησαυροῦ εὑρέσεως αἴτιον, γενομένη μάτην ὅσον ἐπὶ τῇ εὑρέσει τοῦ θησαυροῦ.

id quod ut plurimum, et in id quod ex æquo, et in id quod raro contingit; fortuna et casus in his spectantur, quæ raro contingunt.

7. Et fortuna quidem in iis quæ secundum electionem fiunt; veluti si quis ad fundamentum jaciendum fodiens in thesaurum incidat; casus autem in iis quæ secundum naturam fiunt [38]; exempli gratia, si alicunde lapis ut nemo ipsum projecerit a se delapsus percusserit hominem [39], aut alicujus equus ab hostibus captus et priora pascua imaginatus ab hostibus fuga elapsus sit, et ad proprium dominum se contulerit. Nam et omnis bruta vita, natura dicitur. Unde etiam quæ rationis expertibus et naturalibus operationibus adventitia ratione accidunt, a casu pronuntiant; et causam antegressam, casum nuncupant. Quæ autem actionibus ab electione proficiscentibus insuper accidunt [40], hæc a fortuna profitentur; et causam quæ electioni et ab electione ortis juxta assistit, fortunam appellant [41].

8. Et bonam, quidem fortunam cum aliquid boni evenit; malam, cum mali aliquid. Quando denique iis quæ eveniunt, magnitudo quædam **31** inest, εὐτυχίαν [42], hoc est ingentem fortunæ prosperitatem, et δυστυχίαν id est ingens infortunium nominant [43]. Fortunatum autem et infortunatum esse in iis quæ possunt agere, animadvertitur. Hoc enim idem est quod prospere et male agere. Unde fit, ut nullum inanimatum, aut bestia, aut puer fortunatus aut infortunatus esse proprie dicatur, nisi per similitudinem, quemadmodum Protarchus dixit, fortunatos esse lapides ex quibus altaria exstruuntur, quod honore afficiantur; cum reliqui qui sunt ejusdem generis, pedibus conculcentur [44].

9. Jam vero fortuna et casus ad sic generaliter dictum casum colligitur. Hoc autem communiter acceptum [45], αὐτόματον, sic vocatum est, quod αὐτὸ μάτην, id est, ipsum frustra, quantum ad subsequens effectum attinet, accedat. Quantum enim ad thesauri inventionem attinet, fossio frustra præcessit: quoniam propter fundamentum jaciendum [suscepta fuerat]: itemque lapidis ab alto casus et equi ab hostibus fuga frustra, si effecta quæ subsecuta sunt spectes, antecesserunt. Nec enim lapis percutiendi alicujus gratia decidit; nec equus propterea ab hostibus **32** aufugit, ut ad proprium dominum se conferret; sed ille quidem, lapis scilicet, ut proprium locum, inferum puta et medium, occuparet (gravia enim omnia sua natura ad centrum cum impetu moventur); equus autem, ut ad consueta pascua se conferret.

10. Verum enim vero omnis casus, causa dicitur; quia nisi hic præcessisset, ejusmodi finis subsecutus haud fuisset; tametsi hujusce finis causa est per accidens, et non per se. Veluti fossio fundamenti quidem jaciendi causa erat per se; accidit autem, ut inventionis thesauri causa fieret: cum quantum ad inventionem thesauri attinet, frustra suscepta fuerit.

[38] 2 Phys. c. 6, t. 61. [39] 2 Phys. c. 6, t. 60, 63, 66. [40] 2 Phys. c. 5, t. 52. [41] 2 Phys. c. 5, t. 56. [42] 2 Phys. c. 5, t. 56. [43] 2 Phys. c. 6, t. 58, 59. [44] 2 Phys. c. 6, t. 57. [45] 2 Phys. c. 6, t. 63.

OCR ABK / FR

11. Frustra enim id omne dicitur [46], quod juxta antegressum actionis scopum non evenit. Hoc autem trifariam dividitur. Aut enim si nullus omnino finis actionem consecutus fuerit, eam frustra susceptam dicimus; ut si quis purgandi corporis causa purgante medicamento hausto purgatus non fuerit; aut si alius aliquis finis secutus fuerit quam proponitur, et quam agens destinat; ut si quis emendi alicujus gratia in forum progressus in amicum inciderit, et cum ipso diem exegerit: **33** aut si finis quidem propter quem actio suscepta fuit, contigerit; sed insuper aliquid aliud obtigerit, ut si quis lavandi gratia profectus, et in balneo debitorem nactus, loto corpore etiam debitum receperit. Quantum enim ad hoc quod recepit debitum, frustra in balneum progressus est. Non enim hic ei scopus et propositum erat, ut progressus in balneum acciperet debitum.

A ια'. Μάτην γὰρ λέγεται πᾶν τὸ μὴ κατὰ τὴν προηγησάμενον τῆς ἐνεργείας σκοπόν. Τοῦτο δὲ διαιρεῖται τριχῶς. Ἢ γὰρ ὅταν οὐδ' ὁτιοῦν τέλος ἐπακολουθήσῃ τῇ πράξει μάτην πεπρᾶχθαι ταύτην φαμέν· ὡς εἴγε καθάρσεως ἕνεκα πιών τις καθάρσιον μὴ καθαρθείη· ἢ ὅταν ἄλλο τι τέλος ἀκολουθήσῃ παρὰ τὸ σκοπούμενον, καὶ οὗ ὁ πράττων στοχάζεται· ὡς εἴ τις ἀφικόμενος ὠνήσασθαί τι ἐν ἀγορᾷ φίλῳ περιτύχῃ καὶ διημερεύσῃ μετ' αὐτοῦ· ἢ ὅταν γένηται μὲν καὶ τὸ τέλος οὗ ἕνεκεν ἡ πρᾶξις, προσεπιγένηται δέ τι καὶ ἕτερον· ὡς εἴ τις ἐπὶ τῷ λούσασθαι πορευθεὶς, ἐπὶ τὸ βαλανεῖόν τε χρεωφειλέτην εὑρὼν, λουσάμενος ἀπέλαβε καὶ τὸ δάνειον. Ὅσον γὰρ ἐπὶ τῷ ἀπολαβεῖν τὸ δάνειον, μάτην εἰς τὸ βαλανεῖον ἀφίκετο. Καὶ γὰρ οὐκ ἦν B ὁ σκοπὸς τῆς εἰς τὸ βαλανεῖον ἀφίξεως ἡ τοῦ χρέους ἀπόληψις.

12. Verum enim vero quia nostra dissertatio superius affirmavit, patrem filii efficientem quodammodo causam esse, sciendum est, in materiali quidem generatione patrem fortassis efficientem causam dici posse, tametsi non proprie. Instrumentalis enim potius et adjuvans causa est; ut quia non gignat liberos quando vult, sed tum demum cum illa omnium rerum effectrix voluntas cœlitus moverit. In illa autem generatione, quæ per omnia immaterialis est, in divina, non est Pater Filii, ut efficiens causa, sed pure essentialis. Ibi enim demum efficiens est causa, ubi est quod efficitur, sive quod afficitur, hoc est materia. Ubi autem non est quod efficitur, quomodo ibi est quod efficit? siquidem quod efficit, id **34** quod efficitur, efficit; et quod efficitur, ab efficiente efficitur. Ex eorum enim hæc numero sunt, quæ ad aliquid referuntur, seque mutuo simul inferunt, et a se simul tolluntur invicem. Proprie autem efficiens causa omnium creaturarum, cum earum quæ sub sensum, tum earum quæ sub intellectum cadunt, Deus est. Ipsi enim etiam angeli, si cum his quæ sub sensum cadunt comparentur, tum demum materiæ expertes dicuntur: quandoquidem solum divinum numen vere materiæ expers est, et eapropter etiam solum minime factum est.

ιβ'. Ἀλλ' ἐπείπερ αἴτιον τοῦ υἱοῦ ποιητικόν πως εἶναι τὸν πατέρα, φθάσας ὁ λόγος ἀνωτέρω διείλαβεν· ἰστέον ὡς ἐπὶ ὑλικῆς γεννήσεως αἴτιον ἴσως ἂν λεχθείη ποιητικὸν ὁ πατὴρ, εἰ καὶ μὴ κυρίως· ὀργανικὸν γὰρ μᾶλλόν ἐστι καὶ συναίτιον, μὴ παιδοποιῶν ὅτε βούλεται, μόνον δ' ὁπόταν κινῇ τὸ παντουργὸν ἄνωθεν βούλημα. Ἐπὶ μέντοι τῆς παντάπασιν ἀΰλου γεννήσεως, ἡ θεία δ' αὕτη ἐστὶν, οὐχ ὡς ποιητικὸν αἴτιον ὁ πατὴρ τοῦ υἱοῦ, ἀλλ' οὐσιῶδες εἰλικρινῶς. Ἐκεῖ γὰρ τὸ ποιοῦν ἔνθα καὶ τὸ ποιούμενον, ἤτοι τὸ πάσχον, ὅπερ ἐστὶν ἡ ὕλη. Ὅπου δὲ τὸ ποιούμενον οὐκ ἔστι, πῶς ἐκεῖ τὸ ποιοῦν; εἴ γε τὸ ποιοῦν ποιούμενον ποιεῖ· καὶ τὸ ποιούμενον C ὑπὸ ποιοῦντος ποιεῖται· τῶν πρός τι καὶ γὰρ ταῦτα καὶ συνεισφέρει ἄλληλα, καὶ ἀλλήλοις συναιρεῖται. Κυρίως δὲ ποιητικὸν αἴτιον ἁπάσης κτίσεως, αἰσθητῆς τε καὶ νοητῆς, ὁ Θεός. Καὶ αὐτοὶ γὰρ οἱ ἄγγελοι πρὸς τὰ ὑπὸ τὴν αἴσθησιν συγκρινόμενοι, λέγονται ἄϋλοι· ἐπεὶ μόνον τὸ Θεῖον ἄϋλον ὄντως, καὶ διὰ τοῦτο καὶ μόνον ἀγένητον.

[46] 2 Phys. c. 6. t. 62.

## SYNOPSIS CAPITIS IV.

QUOD EST DE MOTU ET QUIETE: UBI ETIAM DE ENTELECHIA, AC EO QUOD POTENTIA ET ACTU EST.

1. *Motum distinguit et in posteriore significato acceptum ex Aristotele definit.* 2. *Vocabuli* ἐντελεχείας *per quam motus definitur, tria significata recenset, quorum tertium duntaxat ad definitionem motus convenit, qui est actus imperfectus, et ejus quod est in potentia, non quod hinc ipsum agat, sed agatur, adeoque motus* **35** *est actus passivus ejus quod est in potentia.* — 3. *Docet omne compositum ex materia et forma habere ipsum potestate et actu, sed moveri tantum quatenus est potestate: unde infert motum ejus quod potestate est passionem potius quam actionem esse; conjecturam interim suam proferens qua ratione etiam possit actio dici; tametsi proprie omne quod movetur, quatenus movetur, patiatur, non agat; adeo ut quod non patitur, ne moveatur quidem.* — 4. *Describit quid sit quod potestate, et contra quod actu est; quorum illud altera definitionis motus est particula.* — 5. *Exemplo declarat partes definitionis motus hactenus expositas, et eumdem aliorum etiam exemplorum rationem esse tradit præcisione usus.* — 6. *Explicat quomodo accipiendum sit cum dicitur moveri quippiam quatenus potestate est, adeoque etiam ultimam definitionis motus particulam evolvit.* — 7. *Aliam motus definitionem priore dilucidiorem proponit et explicat, ostenditque motum non in movente, sed in eo quod movetur esse.* — 8. *Tertiam definitionem motus affert ostendens interim affectiones ex motibus reliquas non esse motus, sed motuum effecta.* — 9. *Occasione præcedentis definitionis explicat, quomodo motus dici possit actio respectu et mobilis et moventis.* — 10. *Ostendit motum unum quid esse,* **36** *ut effectio et passio unum sunt, quæ quidem ratione differunt, sed subjecto conveniunt; mox tamen iterum se quasi*

*corrigens non tantum subjecto, sed et ratione unum dicit esse motum, qui a movente est in mobili. — 11. Aliorum opinionem recenset de prædicamento motus, quod aliqui quantitatem, aliqui relationem statuerunt, et tandem suam sententiam exponit, quod in nullo decem prædicamentorum per se esse videatur. — 12. Discrimen exponit inter* τὸ *potestate esse et ipsam potestatem, itemque inter* τὸ *actu esse et ipsum actum, singula descriptionibus suis persequens. — 13. Pronuntiat rem secundum potestatem etiam potestate esse dici, et secundum actum etiam actu esse; et proinde utrumque potestate et actu esse distinguit. — 14. Quatuor illorum collationem instituit, et simul determinat, quomodo secundum hæc* τὸ *moveri contingat. — 15. Per occupationem explicat quomodo accipiendum sit cum moveri dicitur quod potestate est; et quid dicatur quiescere; quid item quies sit, et quæ ejus requisita; unde infert tandem de Deo non dici convenienter quod quiescat.*

---

## ΚΕΦΑΛ. Δ'.

Περὶ κινήσεως καὶ ἠρεμίας, εν ᾧ καὶ περὶ ἐντελεχείας, καὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ.

α'. Λέγεται μὲν καὶ ἡ τελεία ἐνέργεια κίνησις κατὰ τὴν ἀπὸ τῆς οὐσίας πρὸς τὸ ἐνεργεῖν διάστασιν. Οὕτω γὰρ καὶ νοερὰν λέγομεν κίνησιν· καὶ τὴν λογικὴν ψυχὴν κινεῖσθαί φαμεν βουλευομένην καὶ διανοουμένην καὶ θεωροῦσαν καὶ κρίνουσαν. Ἀλλ' ἐκείνη μὲν ἡ κίνησις ἐνέργειά ἐστιν ἀμετάβλητος ἀεὶ ὡσαύτως ἔχουσα, καὶ τῶν τελείων οὖσα καθὸ τελεία· τῶν γὰρ ἐνεργείᾳ ὄντων, ἡ τοιαύτη ἐστὶ κίνησις· ἡ δ' ἐνταῦθα παραδιδομένη κίνησις μεταβολή ἐστιν ἀεὶ ῥέουσα καὶ τῶν ἀτελῶν ἐνέργεια καθὸ ἀτελῆ· διότι τῶν δυνάμει καὶ τῶν μήπω ὄντων, ἀλλ' ἐσομένων αὕτη ἡ κίνησις. Ὅθεν καὶ οὕτω ταύτην ὁρίζονται· Κίνησίς ἐστιν ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια ᾗ τοιοῦτόν ἐστιν· ἤγουν ἡ τοῦ δυνάμει ὄντος ἐνέργεια, καθὸ δυνάμει ἐστίν.

β'. Ἐντελέχεια δὲ προηγουμένως μὲν ἡ τοῦ ἐντελοῦς ἔχεια λέγεται, ἤγουν ἡ κατὰ τὸ ἐντελὲς ἕξις, ἡ τελειότης τοῦ πράγματος, καθ' ἣν τὸ ἐντελὲς ἔχει τὸ πρᾶγμα, καθ' ἣν τέλειόν ἐστιν εἶδος τὸ πρᾶγμα· διὸ καὶ ἄνθρωπος ἐντελεχείᾳ οὐ τὸ κατὰ τὴν μήτραν οἰκονομούμενον ἔμβρυον καὶ διοργανούμενον καὶ τελεσιουργούμενόν ἐστιν· ἀλλ' ἐκεῖνος ἐντελεχείᾳ ἐστὶν ἄνθρωπος, ὁ ἀπαρτισθεὶς καὶ ἀποτεχθεὶς, ὡς κατὰ τὸ ἀνθρώπειον εἶδος τελειωθείς. Ὅθεν καὶ τὴν ψυχὴν ἐντελέχειαν ὁρίζονται τοῦ φυσικοῦ καὶ ὀργανικοῦ καὶ δυνάμει ζωὴν ἔχοντος σώματος· οὐχ ὅτι ἐνέργειά ἐστιν ἡ ψυχὴ, ἀλλ' ὅτι κατ' ἐκείνην ἡ τελειότης αὐτῷ. Καλεῖται δ' ἐντελέχεια καὶ ἡ τοῦ τελείου ἐνέργεια, ταυτὸν δ' εἰπεῖν, ἡ τελεία ἐνέργεια. Τῶν γὰρ τελείων καὶ αἱ ἐνέργειαι τέλειαι· ὥσπερ τῶν ἀτελῶν ἀτελεῖς. Ἐντελέχεια δὲ λέγεται ἡ τελεία ἐνέργεια ὡς τὸ ἐντελὲς ἔχουσα καὶ αὐτη· καὶ ὡς ἐντελεστικὴ τῆς ἐχείας, ἤγουν τελειωτικὴ τῆς ἕξεως. Καὶ γὰρ ἡ κατὰ τὴν ἕξιν ἐνέργεια τελειότης ὑπάρχει τῆς ἕξεως. Καταχρηστικώτερον δὲ καὶ ἡ ἁπλῶς ἐνέργεια λέγεται ἐντελέχεια· καθόσον ἕκαστον ἐνεργοῦν ἀποδίδωσι τὰς οἰκείας ἐνεργείας κατὰ τὴν ἑαυτοῦ φύσιν, εἴτε τελεία ἡ φύσις, εἴτε καὶ ἀτελής. Κατὰ τοῦτο τὸ σημαινόμενον καὶ ἡ κίνησις ἐντελέχεια λέγεται, ἤγουν ἁπλῶς ἐνέργεια. Τοιαύτη δ' ἂν εἴη πάντως, ὁποῖον καὶ τὸ δυνάμει. Τὸ δὲ δυνάμει ἀτελὲς, καὶ ἡ ἐνέργεια αὐτοῦ ἀτελής. Ὥστε ἡ κίνησις ἐνέργεια εἴη ἂν ἀτελής· ἐνέργειά

## CAPUT IV.

*De motu et quiete; ubi etiam de entelechia, ac eo quod potentia et actu est.*

1. Perfectus quidem etiam actus secundum distantiam quæ ab essentia ad ipsummet agere est, motus dicitur. Sic enim etiam intellectualem **37** motum dicimus; et animam rationalem, quando deliberat, et cogitat, et contemplatur, et judicat, moveri asserimus. Sed motus ille actus est mutationis expers, eodem semper modo se habens, et pertinens ad perfecta, quatenus perfecta sunt. Eorum enim quæ actu sunt, hujusmodi motus est. Motus autem de quo hic agitur, mutatio est semper fluens, et imperfectorum actus, quatenus imperfecta sunt: quia eorum quæ potentia sunt, et nondum exsistunt, sed modo futura sunt, hic motus est. Unde etiam illum ita definiunt [47]: Motus est entelechia ejus quod potentia est, quatenus tale est; hoc est, actus ejus, quod potentia est, quatenus est potentia.

2. Entelechia autem primario quidem τοῦ ἐντελοῦς ἔχεια seu ἡ κατὰ τὸ ἐντελὲς ἕξις dicitur; perfectio rei, per quam res perfectionem habet, per quam res est perfecta forma. Quare etiam homo entelechia non est embryo qui in matrice conficitur, et organis instruitur, partibusque suis absolvitur; sed ille demum est entelechia homo, qui partibus suis omnibus perfectus et in lucem editus, et quoad humanam formam consummatus est. **38** Unde etiam animam definiunt entelechiam naturalis et organici [48], et potentia vitam habentis corporis: non quod anima actio sit, sed quod per eam ipsi [corpori] sit perfectio. Vocatur autem etiam entelechia, ἡ τοῦ τελείου ἐνέργεια hoc est perfecti actio, quod item est, ac si dicas, perfecta actio. Perfectorum enim etiam actiones perfectæ sunt; quemadmodum imperfectorum, imperfectæ. Perfecta autem actio entelechia dicitur, cum quod ipsa perfectionem habeat; tum etiam sit ἐντελεστικὴ τῆς ἐχείας hoc est, perficiendi habitus vim habeat, ipsiusque exsistat perfectio. Actio enim secundum habitum edita, habitus est perfectio. Abusive autem etiam entelechia dicitur simpliciter actio, quatenus unumquodque agens actiones suæ naturæ consentaneas edit, sive natura perfecta, sive imperfecta sit. Quoad hoc significatum etiam motus entelechia, hoc est, simpliciter actio dicitur. Talis autem erit utique, quale etiam illud est, quod est potentia. Quare cum quod po-

[47] 2 Phys. c. 1, t. 6, 9, 10. [48] 2 De anima, c. 1, t. 6, et c. 2, t. 24.

OCR ABK / FR

tentia est imperfectum sit, ipsius etiam actio imperfecta erit: et illius etiam actus quod potentia est, non quod secundum eam agat, **39** id quod potentia est, sed quod agatur. Quod enim actu est, ipsum agere potest, quatenus actu est; quemadmodum ignis calefacit, cum actu sit calidus. Quod autem potentia est, quatenus est potentia, patitur, non agit; quemadmodum aqua calefit, cum potentia sit calida. Etsi vero aqua quæ adhuc calefit, ipsa quoque calefacit; tamen quatenus amplius calefieri potest, eatenus calefit, cum potentia, calida sit adhuc per se. Quatenus autem caloris est particeps, eatenus calefacit, ut quæ actu calida sit per se. Quapropter motus ejus quod est potentia passivus quidam actus cognoscitur.

3. Quandoquidem enim quidquid sub generationem cadit, ex materia et forma constat; habet etiam potentia et actu esse, ipsumque moveri et movere, quod perinde est ac si dicas, pati et efficere. Et quoad formam quidem, ipsum actu esse; quoad vero materiam, ipsum potentia esse habet. Et quidem ad actu esse pertinet agere, et movere, et efficere; ad potentia vero esse [spectat] agi et moveri et pati. Unde fit, cum motus ejus quod potentia est, actus esse dicatur, ut passio sit potius. Fortassis autem etiam idcirco actus **40** dici queat, quia quod movetur, a natura sibi insita proxime habet, ut pro sua aptitudine moveatur; tametsi primum principium motus sui extrinsecus accipiat. Proprie vero quidquid movetur, patitur, non agit. Quod non patitur, nec movetur etiam; propterea quod id quod potentia est quatenus potentia est movetur ad id quod actu est transeundo. Estque motus via quædam ab esse potentia ad actu esse transferens. Quod autem actu est, quatenus est actu, motus expers manet.

4. Porro quod est potentia, est id quod potest et ita natura comparatum est, ut fieri possit hoc quod potentia dicitur: quod autem est actu, illud est quod jam id est, quod actu dicitur.

5. Exempli gratia: scholasticus Zosimion, qui cum albus esset, a diuturno morbo niger factus est, prius actu albus erat, niger vero potentia, quandoquidem niger fieri poterat. Quatenus igitur albus erat, moveri non dicebatur; quatenus autem niger, siquidem potentia id erat, cum nigredinem contrahere cœpit, atque ab eo quod potentia niger erat, ad id ut actu niger fieret adducebatur; tum ad nigredinem moveri dicebatur. **41** Atque illa nigredinis contractio, motus erat; quæ actus erat Zosimionis potentia nigri, quantum ad potentiam attinet, hoc est, quatenus ita comparatus erat, ut niger fieri posset. Posteaquam autem niger factus est, non jam quantum ad nigredinem attinet, movebatur, sed in nigredine constitit. Eodem igitur etiam modo omne quod actu est, non movetur, quatenus actu est.

6. Sed neque moveri aliquid dicitur, quatenus potentia est, dum in potentia tantum manet et sola aptitudine cognoscitur: verum quando a potentia

A τε τοῦ δυνάμει· οὐχ ὅτι ἐνεργεῖ κατ' αὐτὴν τὸ δυνάμει, ἀλλ' ὅτι ἐνεργεῖται. Τὸ γὰρ ἐνεργείᾳ ὂν ἐκεῖνο δύναται ἐνεργεῖν, καθὸ ἐνεργείᾳ ἐστίν· ὥσπερ τὸ πῦρ θερμαίνει, θερμὸν ὂν ἐνεργείᾳ. Τὸ δὲ δυνάμει, καθὸ δυνάμει πάσχει, οὐκ ἐνεργεῖ· καθὼς τὸ ὕδωρ θερμαίνεται, δυνάμει τυγχάνον θερμόν. Εἰ δὲ (καὶ) θερμαινόμενον ἔτι τὸ ὕδωρ θερμαίνει καὶ αὐτό, ἀλλὰ καθ' ὃ μὲν ἐπιπλέον δύναται θερμανθῆναι, κατὰ τοῦτο θερμαίνεται· δυνάμει ὂν ἔτι θερμὸν κατ' αὐτό· καθ' ὃ δὲ μετέχει θερμότητος, κατὰ τοῦτο θερμαίνει, ἐνεργείᾳ ὂν θερμὸν καθ' αὑτό. Τοίνυν ἡ κίνησις παθητική τις ἐνέργεια τοῦ δυνάμει γινώσκεται.

B γ'. Καὶ γὰρ ἐπείπερ ἐξ ὕλης καὶ εἴδους συνέστηκε τῶν ὑπὸ γένεσιν ἕκαστον, ἔχει γὰρ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ καὶ τὸ κινεῖσθαι καὶ τὸ κινεῖν, ταυτὸν δ' εἰπεῖν, πάσχειν τε καὶ ποιεῖν. Καὶ κατὰ μὲν τὸ εἶδος ἔχει τὸ ἐνεργείᾳ, κατὰ δὲ τὴν ὕλην τὸ δυνάμει. Καὶ τοῦ μὲν ἐνεργείᾳ ἐστὶ τὸ ἐνεργεῖν καὶ κινεῖν καὶ ποιεῖν· τοῦ δυνάμει δὲ τὸ ἐνεργεῖσθαι καὶ κινεῖσθαι καὶ πάσχειν. Ὅθεν ἡ κίνησις, ἐνέργεια τοῦ δυνάμει λεγομένη, πάθος μᾶλλον ἐστιν. Ἐνέργεια δὲ λέγοιτ' ἂν ἴσως, καὶ διότι τὸ κινούμενον ὑπὸ τῆς ἐν αὐτῷ φύσεως ἔχει προσεχῶς τὸ κινεῖσθαι, κατὰ τὴν οἰκείαν ἐπιτηδειότητα, κἂν τὴν πρώτην τοῦ κινεῖσθαι ἀρχὴν ἔξωθεν λαμβάνοι. Κυρίως δὲ πᾶν τὸ κινούμενον, καθὸ κινεῖται, πάσχει, οὐκ ἐνεργεῖ. Ὃ δὲ μὴ πάσχει, οὐδὲ κινεῖται. Διότι C τὸ μὲν δυνάμει καθὸ δυνάμει κινεῖται μεταβαῖνον ἐπὶ τὸ ἐνεργείᾳ· καὶ ἡ κίνησις ὁδός τίς ἐστιν ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ διαβιβάζουσα· τὸ δ' ἐνεργείᾳ καθὸ ἐνεργείᾳ μένει ἀκίνητον

δ'. Δυνάμει μὲν οὖν ἐστιν ὃ δύναται καὶ πέφυκε γενέσθαι τοῦτο, ὃ λέγεται δυνάμει· ἐνεργείᾳ δὲ, ὃ ἤδη ἐστὶ τοῦτο, ὃ λέγεται ἐνεργείᾳ.

ε'. Οἷον ὁ σχολαστικὸς Ζωσιμίων, ὃς λευκὸς ὢν ὑπὸ νοσήματος ἐμελάνθη χρονίου, πρότερον ἦν ἐνεργείᾳ λευκός· δυνάμει δὲ μέλας, ἐπείπερ ἠδύνατο γενέσθαι μέλας. Καθὸ μὲν οὖν λευκὸς, οὐκ ἂν ἐλέγετο κινεῖσθαι· καθὸ δὲ μέλας, ἐπείπερ δυνάμει D ἐτύγχανεν, ὅτ' ἤρξατο μελαίνεσθαι καὶ ἀπὸ τοῦ δυνάμει μέλας εἰς τὸ ἐνεργείᾳ μέλας γενέσθαι προήγετο, τότ' ἂν ἐπὶ τὸ μέλαν ἐλέγετο κινεῖσθαι. Καὶ ἦν ἡ μέλανσις κίνησις, ἐνέργεια οὖσα τοῦ δυνάμει μέλανος Ζωσιμίωνος, κατὰ τὸ δυνάμει, τουτέστι καθὸ ἐπεφύκει γενέσθαι μέλας. Ὅτε δ' ἐνεργείᾳ γέγονε μέλας, οὐκέτι κατὰ τὸ μέλαν κινούμενος ἦν· ἀλλ' ἕστηκεν ἐν τῷ μέλανι. Τὸν αὐτὸν τρόπον (οὖν) καὶ πᾶν ἐνεργείᾳ ὂν, οὐ κινεῖται καθὸ ἐστιν ἐνεργείᾳ.

ϛ'. Ἀλλ' οὐδὲ καθὸ δυνάμει λέγοιτ' ἂν τι κινεῖσθαι, μένον δυνάμει μόνως καὶ μόνῃ ἐπιτηδειότητι γνωριζόμενον. Ἀλλ' ὅταν ἀπὸ τοῦ δυνάμει μετα-

OCR ABK / FR

ὑπάλλη τὸ ἐνεργείᾳ μένον ἔτι δυνάμει, τότε λέγεται A κινεῖσθαι. Διά τοι τοῦτο πρόσκειται τῷ τῆς κινήσεως ὁρισμῷ τὸ ᾗ τοιοῦτον, ἤγουν τὸ καθὸ δυνάμει ἐστίν· ἵνα κἂν τῷ ὑποκειμένῳ ταυτὸν ᾖ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ· κατὰ τὸ δυνάμει γινομένη ἡ κίνησις θεωροῖτο· καὶ ἕως ἂν ἔτι περισώζηται τὸ δυνάμει. Τούτου γὰρ τελέως ἀπολουμένου κίνησις οὐκ ἔστι. Τὸ γὰρ ἐνεργείᾳ γενόμενον καθόσον ἐνεργείᾳ, οὐκ ἐν κινήσει ἐστίν· ἐν στάσει δὲ καὶ μονῇ. Κἂν τούτῳ ἡ κίνησις διαφέροι ἂν τοῦ ἐνεργείᾳ τε καὶ τῆς τελείας ἐνεργείας· ὅτι ἐπὶ μὲν τούτων ἔφθαρται τὸ δυνάμει· ἐπὶ δὲ τῆς κινήσεως, μένοντος τοῦ δυνάμει τῆς κινήσεως ἐπιτελεῖται ἐνέργεια.

ζʹ. Πάλιν κίνησίς ἐστιν ἐντελέχεια τοῦ κινητοῦ ᾗ κινητὸν, ἤγουν ἐνέργεια παθητικὴ τοῦ δυναμένου B καὶ πεφυκότος κινηθῆναί τε καὶ μεταβαλεῖν ἀπὸ τοῦδε εἰς τόδε, καθὸ δύναται καὶ πέφυκεν, οὐ καθὸ ἤδη ἔστιν. Εἰ δὲ τοῦ κινητοῦ ἐστι τοιαύτη ἐντελέχεια ἡ κίνησις, δῆλον ὡς οὐκ ἐν τῷ κινοῦντι, ἀλλ' ἐν τῷ κινουμένῳ ἐστίν. Εἰ δὲ ἡ ὅρασις οὐκ ἐν τῷ ὁρωμένῳ, ἀλλ' ἐν τῷ ὁρῶντι τυγχάνουσα, ἐν τῷ κινοῦντι εἶναι καὶ ποιοῦντι δοκεῖ· ἀλλ' ὑπὸ τῆς λέξεως ἡ ἀπάτη προφερομένης μὲν ἐνεργητικῶς, οὐδὲν δ' ἧττον δηλούσης πρᾶγμα παθητικόν. Πᾶν γὰρ (τὸ) αἰσθανόμενον πάσχει καὶ οὐ ποιεῖ· διὸ καὶ ἡ ὅρασις ἐν τῷ ὁρῶντι οὖσα, ἐν τῷ πάσχοντι (καὶ) κινουμένῳ ἐστὶ, καθὼς καὶ αἱ λοιπαὶ τῶν αἰσθήσεων ἐν τοῖς αἰσθανομένοις εἰσίν· οὐχ ὡς ἐν κινοῦσί τε καὶ ποιοῦσιν, ἀλλ' ὡς ἐν κινουμένοις καὶ πάσχουσι.

C

ηʹ. Καὶ ἄλλος καὶ λόγος ἀποδίδοται τῆς κινήσεως, δεικνύων αὐτὴν τοῦ κινοῦντος καὶ ποιοῦντος οὖσαν κυρίως ἐνέργειαν, καὶ ἀπ' αὐτοῦ μὲν ἀρχομένην τε καὶ ἐνδιδομένην, ἐνστηριζομένην δὲ καὶ ἐμμένουσαν τῷ κινουμένῳ καὶ πάσχοντι. Ὁ δὲ λόγος τοιοῦτος· Κίνησίς ἐστιν ἐνέργεια τοῦ κινοῦντος ἐν τῷ κινουμένῳ. Καὶ γὰρ ἡ οἰκοδόμησις ἐνέργειά ἐστι τοῦ οἰκοδομοῦντος ἐν τῷ οἰκοδομουμένῳ· καὶ ἰάτρευσις ἐνέργεια τοῦ ἰατρεύοντος ἐν τῷ ἰατρευομένῳ. Ἄλλο δέ ἐστιν οἰκοδόμησις καὶ ἰάτρευσις· καὶ ἄλλο τὸ ᾠκοδομῆσθαι καὶ ἰατρεῦσθαι. Ἡ μὲν γὰρ οἰκοδόμησις καὶ ἰάτρευσις ἐν τῷ γίνεσθαι τὸ εἶναι ἔχουσι· τουτέστιν, ἐν τῷ οἰκοδομεῖσθαι τὸ οἰκοδομούμενον· καὶ ἐν τῷ ἰατρεύεσθαι τὸ ἰατρευόμενον. D Τὸ δ' ᾠκοδομῆσθαι καὶ ἰατρεῦσθαι ἐν τῷ γενέσθαι τὸ εἶναι λαμβάνουσι. Διὸ καὶ οἰκοδόμησις μὲν καὶ ἰάτρευσις κινήσεις εἰσί· τὸ δ' ᾠκοδομῆσθαι καὶ ἰατρεῦσθαι κεκινῆσθαί ἐστιν. Αἱ ἄρα διαθέσεις αἱ ἀπὸ τῶν κινήσεων ἐγγινόμεναι κινήσεις οὐκ εἰσὶν, ἀλλ' ἀποτελέσματα τῶν κινήσεων.

θʹ. Ἐπεὶ δὲ ἡ κίνησις ἐν τῷ κινουμένῳ ὑπὸ τοῦ κινοῦντός ἐστιν, ὡς μὲν ἐν τῷ κινουμένῳ οὖσα, παθητική τε καὶ ἀτελὴς ἐνέργεια λέγεται. Διόπερ καὶ τὸ κινούμενον ὅπερ ἐστὶ τὸ δυνάμει, πάσχει τε

A esse ad actu esse movetur, cum interim adhuc esse potentia maneat, tum moveri dicitur. Propterea definitioni motus adjectum est, quatenus tale est, hoc est, quatenus potentia est; ut, tametsi subjecto idem sint, quod potentia et actu est; motus tamen quoad esse potentia factus consideretur, et quandiu ipsum potentia esse incolume conservatur. Hoc enim prorsus interempto non [amplius] est motus. Quod enim actu esse consecutum est, quatenus actu est, non est in motu, sed in statu et constantia. Atque in hoc motus ab eo quod est actu et ab ipso perfecto actu differt; **42** quod in his id quod potentia est, interiit; in motu autem, manente eo quod est potentia, motus actio perficitur.

7. Rursum, motus est entelechia mobilis [49], B quatenus est mobile, hoc est, actus passivus ejus quod potentia est, et ita natura comparatum, ut moveri et ab hoc in hoc mutari possit, quatenus potest et natura comparatum est, non quatenus jam est. Quod si autem motus est ejusmodi entelechia rei mobilis [50], manifestum est, eum non in movente, sed in eo quod movetur, esse. Et si vero ἡ ὅρασις, id est visio, quæ non in viso, sed in vidente exsistit, in movente et agente esse videtur; deceptio tamen a dictione oritur, quæ quidem ita profertur quasi actionem significet, nihilominus tamen rem passivam declarat. Quidquid enim sentit, patitur et non agit. Quapropter etiam visio licet in vidente sit, tamen in patiente, eoque quod movetur, est: quemadmodum etiam reliqui sensus in sentientibus sunt, non ut in C moventibus et agentibus, sed ut in iis quæ moventur et patiuntur [51].

8. Et alia vero etiam motus definitio assignatur, quæ ostendit ipsum moventis et efficientis proprie actum esse, ut qui **43** ab ipso quidem incipiat et tribuatur, in eo autem quod movetur et patitur, fulciatur et maneat. Hujusmodi autem est definitio: Motus est actus ejus quod movet in eo quod movetur. Ædificatio enim actus est ædificantis in eo quod ædificatur: et sanatio est actus sanantis in eo quod sanatur. Aliud autem est ædificatio et sanatio: aliudque ædificatum et sanatum esse. Ædificatio enim et sanatio in ipso fieri suum esse habent; hoc est, in eo dum ædificatur id quod ædificatur, et dum sanatur id quod sanatur. At vero ædifica- D tum et sanatum esse, ex hoc quod facta sunt, esse accipiunt. Quapropter etiam ædificatio et sanatio motus sunt: ædificatum autem et sanatum esse motum esse. Affectiones itaque quæ insunt ex motibus, non sunt motus, sed effecta motuum.

9. Quoniam autem motus est in eo quod a movente movetur; ut quidem in eo quod movetur exsistit, passivus et imperfectus actus dicitur (quandoquidem etiam quod movetur, hoc est.

[49] 3 Phys. c. 2, t. 16. [50] 2 Phys. c. 2, t. 18. [51] 3 Phys. c. 3, t. 23.

OCR ABK / FR

quod potentia est, cum patitur, quatenus potentia est, tum natura imperfectum est: nondum enim est quod dicitur); ut autem a **44** movente proficiscitur, magis proprie et perfectius actus dici queat; quandoquidem etiam movens quale est, quod actu est, cum ad agendum valet quatenus actu est, tum natura perfectum est. Quippe etiam est quod dicitur. Motus proinde actus est.

10. Idemque et ut actio, et ut passio est [52]. Actio autem et passio ratione quidem differunt; subjecto autem unum idemque sunt ambæ, ut docendi et discendi actus, utque ascensus et descensus [53]. Quin imo potius et subjecto et ratione unus idemque motus est, qui ab eo quod movet in eo quod movetur exsistit. Neque enim quemadmodum actio et passio dividuntur, illa circa affectionem ab agente; hæc circa eam quæ a patiente est exoriens; sic etiam ab ipso [motu] quod est ab hoc et quod est in hoc distincta sunt; sed ambo hæc unum motum complent, ipsius definitionem omnibus suis numeris absolventia.

11. Porro motum sub quantitate collocant; quandoquidem propter magnitudinem, in qua consideratur, continuus videtur; quemadmodum tempus propter motum. Et vero etiam in iis quæ ad aliquid referuntur, eum reponunt; siquidem motus, ejus quod **45** movetur, est motus; et quod movetur, per motum movetur. Fortassis autem motus cum indefinitus sit, in nullo decem generum definitorum per se recipietur. Cum enim ea quæ sunt ac definita sunt, respectu actus ac potentiæ dicantur, motus in horum neutro poni potest. Nam et quod potentia tantum est, nondum movetur; et quod actu est, non amplius movetur.

12. Aliud autem est potentia, et aliud quod est potentia; itemque aliud est quod est actu, et aliud actus. Illi igitur quod est potentia, id quod actu est, opponitur; potentiæ vero, actus. Et potentia quidem est perfecta essentiæ præparatio, et non impedita ad agendum promptitudo, vim inferendi actus habens: quemadmodum dicimus ignem habere urendi potentiam. Potentia autem esse, est aptitudo imperfecta ad quod dicitur potentia esse, ipsum agere ab alio accipiens, et non a se emittens, quemadmodum dicimus semen potentia esse animal. Porro actu est, quod agere jam potest secundum id quod dicitur. Quemadmodum Aristoxenus dicitur musicus cum actu sit musicus; quoniam secundum musicam agere potest, quatenus **46** musicus. Actus autem est motus efficax qui a potentia emittitur. Efficax autem est [motus] qui in opere consistit. Opus vero, et effectio et actio. Effectio denique et actio ab efficiendo et agendo sunt: quorum in primo libro (1) capite vicesimo quarto a nobis ante facta est mentio.

A καθὸ δυνάμει, καὶ τὴν φύσιν ἐστὶν ἀτελές. Ὃ γὰρ λέγεται, οὔπω ἔστιν. Ὡς δ' ὑπὸ τοῦ κινοῦντος ἐνέργεια λέγοιτ' ἂν κυριώτερόν τε καὶ τελειότερον. Ἐπεὶ καὶ τὸ κινοῦν, ὅπερ ἐστὶ τὸ ἐνεργείᾳ, ἐνεργεῖν τε ἰσχύει καθὸ ἐνεργείᾳ, καὶ τὴν φύσιν ὑπάρχει τέλειον. Ὃ γὰρ λέγεται, τοῦτο καὶ ἔστιν. Ἡ κίνησις ἄρα ἐνέργεια.

ι'. Καὶ ὡς ποίησις καὶ ὡς πάθησις ἡ αὐτή. Ποίησις δὲ καὶ πάθησις τῷ λόγῳ μὲν διαφέρουσι· τῷ δ' ὑποκειμένῳ ταυτὸ καὶ ἓν ἄμφω εἰσὶν, ὡς δίδαξις καὶ μάθησις, καὶ ὡς ἀνάβασις καὶ κατάβασις· ἢ μᾶλλον καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ εἴη ἂν ἡ κίνησις μία καὶ αὐτὴ, ἐν τῷ κινουμένῳ οὖσα ὑπὸ τοῦ κινοῦντος· οὐδὲ γὰρ ὥσπερ ἡ ποίησις καὶ ἡ πάθησις μερίζονται, ἡ μὲν περὶ τὴν ἀπὸ τοῦ ποιοῦντος
B σχέσιν, ἡ δὲ περὶ τὴν ἀπὸ τοῦ πάσχοντος· οὕτω καὶ ἀπ' αὐτῆς τὸ ὑπὸ τοῦδε καὶ τὸ ἐν τῷδε μεμέρισται· ἀλλ' ἄμφω ταῦτα τὴν μίαν κίνησιν συμπληροῖ, τὸν λόγον αὐτῆς ἀπαρτίζοντα.

ια'. Τάττουσι δὲ τὴν κίνησιν ὑπὸ τὸ ποσόν· ἐπεὶ δοκεῖ συνεχὴς διὰ τὸ μέγεθος ἐν ᾧ θεωρεῖται· καθὼς ὁ χρόνος διὰ τὴν κίνησιν. Καὶ ὑπὸ τὰ πρός τι δὲ ταύτην τιθέασιν, εἴγε ἡ κίνησις κινουμένου κίνησις, καὶ τὸ κινούμενον κινήσει κινούμενον. Ἴσως δ' ἀόριστός τις οὖσα ἡ κίνησις, ἐν οὐδενὶ τῶν ὡρισμένων δέκα γενῶν καθ' αὑτὴν συναχθήσεται. Τῶν γὰρ ὄντων καὶ ὡρισμένων ἢ κατὰ τὸ δυνάμει λεγομένων, ἢ κατὰ τὸ ἐνεργείᾳ, ἡ κίνησις ἐν οὐδετέρῳ τούτων τεθῆναι δύναται. Καὶ γὰρ τὸ δυνάμει μόνον
C ὂν οὔπω κινεῖται· καὶ τὸ ἐνεργείᾳ ὂν οὐκ ἔτι κινεῖται.

ιβ'. Ἄλλο δέ ἐστι τὸ δυνάμει, καὶ ἄλλο ἡ δύναμις· καὶ ἄλλο τὸ ἐνεργείᾳ, καὶ ἄλλο ἡ ἐνέργεια. Τῷ μὲν οὖν δυνάμει τὸ ἐνεργείᾳ ἀντίκειται· τῇ δυνάμει δὲ ἡ ἐνέργεια. Καὶ ἡ δύναμις μὲν ἔστι παρασκευὴ τελεία τῆς οὐσίας, καὶ ἑτοιμότης ἀκώλυτος πρὸς τὸ ἐνεργεῖν, οἰστικὴ τῆς ἐνεργείας· ὡς λέγομεν, Τὸ πῦρ ἔχει δύναμιν καυστικήν. Δυνάμει δὲ ἐστιν ἐπιτηδειότης ἀτελὴς πρὸς ὃ λέγεται δυνάμει, τὸ ἐνεργεῖν παρ' ἄλλου δεχομένη, καὶ οὐκ ἀφ' ἑαυτῆς προβάλλουσα· ὡς λέγομεν, Τὸ σπέρμα δυνάμει ζῶον. Ἐνεργείᾳ δέ ἐστιν, ὃ ἐνεργεῖν ἤδη δύναται κατ' ἐκεῖνο ὃ λέγεται· ὡς Ἀριστόξενος λέγεται
D μουσικὸς, ἐνεργείᾳ ὢν μουσικός· ἐπεὶ δύναται κατὰ τὴν μουσικὴν ἐνεργεῖν, καθὸ μουσικός. Ἐνέργεια δέ ἐστιν ἡ ἀπὸ τῆς δυνάμεως προβαλλομένη κίνησις ἐνεργός· ἐνεργὸς δὲ (ἐστιν), ἡ ἐν τῷ ἔργῳ· ἔργον δὲ ἥ τε ποίησις καὶ ἡ πρᾶξις. Ἡ ποίησις δὲ καὶ ἡ πρᾶξις ἐκ τοῦ ποιεῖν καὶ (ἐκ) τοῦ πράττειν· περὶ ὧν ἐν τῷ πρώτῳ βιβλίῳ κατὰ τὸ εἰκοστὸν καὶ τέταρτον κεφάλαιον προϋπέμνηται.

[52] 3 Phys. c. 2, t. 18. [53] 3 Phys. c. 2, t. 22.

(1) Id est Epitome logica, supra.

OCR ABK / FR

ιγ'. Τούτων οὕτω διωρισμένων χρὴ γινώσκειν ὅτι λέγεται τὸ πρᾶγμα καὶ κατὰ τὴν δύναμιν δυνάμει, καὶ κατὰ τὴν ἐνέργειαν ἐνεργείᾳ. Διὸ καὶ τὸ δυνάμει διττὸν, καὶ τὸ ἐνεργείᾳ διττόν. Λέγεται γὰρ δυνάμει καὶ τὸ κατ' ἐπιτηδειότητα μόνην ἀτελῆ μήπω μηδαμῶς γενόμενον τοῦτο ὃ λέγεται· ὡς εἴπομεν, Τὸ σπέρμα δυνάμει ζῶον, καὶ ὡς λέγομεν, Τὸ παιδίον δυνάμει μουσικόν· ὅτι δύναται γενέσθαι τὸ μὲν σπέρμα ζῶον, τὸ παιδίον δὲ μουσικόν. Ἀλλὰ καὶ τὸ γενόμενον μὲν ἤδη καὶ τὴν ἕξιν τελείαν ἔχον, μὴ ἐνεργοῦν δὲ κατ' αὐτὴν, δυνάμει λέγεται καὶ [αὐτό]· ὡς δυνάμει μουσικὸν τὸν Ἀριστόξενον λέγομεν, ὅταν οὐ κιθαρίζῃ, ἀλλ' ἢ καθεύδῃ ἢ ἄλλα τι ἐνεργῇ. Κατὰ τοῦτο τὸ σημαινόμενον καὶ τὸ πῦρ δυνάμει λέγομεν καυστικὸν, ὅταν μὴ καίῃ. Τὸ μὲν οὖν πρῶτον δυνάμει λέγεται ἀτελὲς, τὸ δὲ δεύτερον τέλειον· καὶ τὸ μὲν πρῶτον κατ' ἐπιτηδειότητα, τὸ δὲ δεύτερον τέλειον· καὶ τὸ μὲν πρῶτον κατ' ἐπιτηδειότητα, τὸ δὲ δεύτερον καθ' ἕξιν. Διττὸν δὲ καὶ τὸ ἐνεργείᾳ λέγεται τό τε δυνάμενον ἐνεργεῖν κατ' ἐκεῖνο καθ' ὃ (καὶ) λέγεται, μὴ μέντοι ἐνεργοῦν· ὅπερ ταυτόν ἐστι τῷ δευτέρῳ σημαινομένῳ τοῦ δυνάμει· καὶ τὸ κατὰ τὴν ἐνεργὸν κίνησιν θεωρούμενον· οἷον, ὅταν ὁ μὲν Ἀριστόξενος κιθαρίζῃ, καίῃ δὲ τὸ πῦρ πρακτικῶς.

ιδ'. Τὸ τοίνυν δεύτερον δυνάμει μέσον ἐστὶ τῶν τε πάντῃ καὶ μόνως ὄντων δυνάμει, καὶ τῶν πάντῃ καὶ μόνως ὄντων ἐνεργείᾳ· ἅτε ἀμφοτέρων μετέχον, καὶ πρὸς ἑκάτερον ὑπάρχον τὸ ἕτερον· οἷον πρὸς μὲν τὸ πρῶτον δυνάμει ἐνεργείᾳ ὂν, πρὸς δὲ τὸ δεύτερον ἐνεργείᾳ δυνάμει. Τὸ πρῶτον οὖν δυνάμει τὸ ἀτελὲς, ὥσπερ εἴρηται, διὰ τῆς κινήσεως εἰς τὸ πρῶτον ἐνεργείᾳ προάγεται. Οὐ γὰρ ἐξ ἀνάγκης καὶ εἰς τὸ δεύτερον. Καὶ ὁπόταν τὸ οὕτως ὂν δυνάμει πρὸς τὸ ἐνεργείᾳ γενέσθαι χωρῇ, μὴ ἐξιστάμενον τοῦ δυνάμει εἰς τὸ παντελὲς, τότε λέγομεν κινεῖσθαι αὐτό.

ιε'. Κινεῖσθαι δὲ τὸ δυνάμει λέγοντες, οὐ τὴν ἐπιτηδειότητα κινεῖσθαί φαμεν, ἀλλὰ τὸ τὴν ἐπιτηδειότητα κεκτημένον, τουτέστι τὸ ἐπιτήδειον αὐτὸ καθὸ τοιοῦτόν ἐστιν ὅπερ πάλιν, ὅτε μὴ κινεῖται καθ' ἣν πέφυκε κινεῖσθαι κίνησιν, τότε λέγομεν αὐτὸ κατ' ἐκείνην τὴν κίνησιν ἠρεμεῖν· ἠρεμία γάρ ἐστιν ἀκινησία τοῦ πεφυκότος κινεῖσθαι ὅτε πέφυκε, καὶ οὗ πέφυκε, καὶ ὡς πέφυκεν. Ὅτε μὲν πέφυκεν, ἐπείπερ οὐκ ἂν τὸ ἀρτιγενὲς σκυλάκιον ἠρεμεῖν λέγοιτο κατὰ τὸ ὁρᾷν· πέφυκε μὲν γὰρ ὁρᾷν, ἀλλ' οὐκ εὐθὺς τὸ τεχθέν· ὅπου δὲ πέφυκεν, ἐπείπερ τῆς ἐν ἀέρι κινήσεως, οὐκ ἂν οἱ ἰχθύες λέγοιντο ἠρεμεῖν. Οὐδὲ γὰρ ἡ φύσις αὐτοῖς δέδωκεν ἐν ἀερίοις εἶναι. Καθὰ δὲ πέφυκεν, ἐπείπερ οὐκ ἂν οἱ ὄφεις τῆς κατὰ βάδισιν κινήσεως λέγοιντο ἠρεμεῖν· ἑρπυστικοὶ (γὰρ) ἐκ φύσεως, καὶ οὐ βαδιστικοί. Τὸ τοίνυν πεφυκὸς κινεῖσθαι καὶ μὴ κινούμενον ὁπότε πέφυκε, καὶ ἔνθα πέφυκε, καὶ ὡς πέφυκε τῆς κινήσεως ταύτης ἐστερημένον, λέγεται ἠρεμεῖν. Ἐντεῦθεν δῆλον ὡς ἐπεὶ τὸ θεῖον παντάπασιν ἄϋλον, πάσης ἐπιτηδειότητος καὶ πάσης ἀτελείας ὑπερεξῄρηται, καὶ αὐτὸ ὑπάρχον καὶ αὐτοτέ-

[63] 3 Physic. c. 4, t. 20.

13. His ita determinatis sciendum est rem et secundum potentiam, potentia esse dici; et secundum actum, actu. Quapropter etiam quod potentia est, duplex est; et quod actu est, duplex est. Dicitur enim potentia, quod secundum solam imperfectam aptitudinem nondum adhuc factum est hoc quod dicitur; quomodo diximus semen potentia esse animal, et quomodo asserimus puerum potentia esse musicum; quod semen quidem animal, puer autem musicus fieri potest. Sed quod jam factum est, et perfectum habitum obtinet, nec tatem secundum illum agit, et ipsum potentia dicitur; quemadmodum Aristoxenum potentia dicimus musicum, cum cithara non canit, sed aut dormit, aut aliud quid agit. Quoad hoc significatum dicimus etiam ignem potentia urere, quando non urit. Prius igitur quod potentia **47** est, imperfectum: posterius, perfectum dicitur. Et prius quidem quoad aptitudinem, posterius quoad habitum dicitur. Sed et quod actu est, duplex dicitur; et quod operari potest, secundum illud juxta quod etiam dicitur, tametsi non operetur; quod idem est cum secundo significato ejus quod potentia dicitur; et quod secundum efficacem motum consideratur, veluti cum Aristoxenus cithara canit, et ignis revera urit.

14. Posterius igitur quod potentia est, medium est inter ea quæ omnino et tantum potentia, quæque omnino et tantum actu sunt; quod utriusque sit particeps, et ad utrumque alterum exsistat, ut quod quidem ad prius potentia, actu, quoad posterius actu potentia sit. Prius igitur potentia quod imperfectum est, ut diximus, per motum ad prius actu perducitur. Nec enim necessario etiam ad posterius. Et quando quod ita potentia est ad actu esse procedit, ita tamen ut non omnino et perfecte ad eo discedat, quod potentia est; tum ipsum moveri dicimus.

15. Cum autem moveri dicimus id quod potentia est, non aptitudinem, sed id quod aptitudinem possidet, hoc est, ipsum **48** aptum quatenus tale est, moveri pronuntiamus. Quod rursus cum non movetur, quo motu moverit aptum est; tum ipsum quoad istam motum quiescere dicimus [64]. Quies enim est immobilitas ejus quod ita natura aptum est ut moveri possit, quando, ubi et quomodo natura aptum est. Quando quidem natura ita aptum est, quoniam recens editus catulus quoad visum quiescere non dicitur. Natura enim aptus est quidem, ut videre possit: sed tamen non statim ut est editus. Ubi autem natura aptum est, quando quidem quoad motum in aere pisces quiescere non dicuntur. Neque enim natura ipsis concessit, ut in aere viverent. Quomodo denique natura aptum est, quandoquidem serpentes quoad gradiendi motum quiescere non dicuntur. Serpendi enim et non gradiendi facultatem a natura habent. Quod igitur natura aptum est ut moveri possit, nec tamen movetur, quando, et ubi, et quomodo natura aptum est: id motu hoc privatum quiescere dicitur. Hinc

OCR ABK / FR

A

## ΚΕΦΑΛ. Ε.

### Ἔτι περὶ κινήσεως καὶ ἠρεμίας.

α'. Ἐν τέσσαρσι κατηγορίαις θεωρεῖται ἡ κίνησις· ἐν οὐσίᾳ, γένεσις καὶ φθορά· ἐν ποσῷ, αὔξησις καὶ μείωσις· ἐν ποιῷ, ἀλλοίωσις· ἐν τῇ ποῦ κατηγορίᾳ, ἡ κατὰ τόπον μεταβολή, ἥτις καλεῖται φορά. Διαιρεῖται δ' αὕτη εἰς τὴν ἐπ' εὐθείας, καὶ εἰς τὴν κύκλῳ, καὶ εἰς τὴν ἐκ τούτων μικτήν. Κοινότης οὖν ἐστιν ἡ κίνησις, ὁμωνύμως κατηγορουμένη τῶν διαφόρων κινήσεων. Ὥσπερ γὰρ τὰ γένη ἐν οἷς ἡ κίνησις γενικώτατα ὄντα γένος οὐκ ἔχουσιν ἄλλο ἐπαναβεβηκός· οὕτω δὴ καὶ ἐν αὐτοῖς κινήσεις οὐκ ἔχουσι γένος περιλαμβάνον αὐτάς. Ὁμώνυμος δ' οὖσα ἡ κίνησις, δι' ὁμωνύμων ἔφθασε τοὺς αὐτῆς λόγους ἀπολαβεῖν ταῖς διαφόροις ἰδιότησιν αὐτῆς ἐφαρμόζοντας.

## CAPUT V.

### *Adhuc de motu et quiete.*

1. Motus [55] in quatuor prædicamentis consideratur : in substantia, generatio et corruptio : in quantitate, augmentatio et diminutio : in qualitate, alteratio : in prædicamento ubi, mutatio secundum locum, quæ latio vocatur [56]. Porro hæc in eam quæ secundum rectam lineam fit, et in eam quæ in orbem fit, **54** et in eam quo ex his mista est dividitur. Motus ergo communitas quædam est, quæ diversis motibus æquivoce prædicatur. Ut enim genera, in quibus motus est, cum generalissima sint, genus aliquod sublimius non habent ; ita etiam motus qui in ipsis sunt.genus non habent quo comprehendantur. Cum autem motus

B sit æquivocum,suas definitiones per æquivoca præripuit quæ diversis ipsus proprietatibus congruunt.

β'. Ὧν πρώτη καὶ κυριωτάτη ἐστὶν ἡ φορά. Κυριωτάτη μέν, ἐπειδὴ τῶν ἄλλων ἐναργεστέρα τυγχάνει· διὸ καὶ ἁπλῶς κινεῖσθαί φαμεν τὸ κατὰ τόπον κινούμενον. Ὃ δὲ κατὰ τόπον ἠρεμοῦν ἄλλην τινὰ κινεῖται κίνησιν, πῇ λέγομεν αὐτὸ κινεῖσθαι, κατ' αὔξησιν τυχὸν ἢ μείωσιν ἢ ἀλλοίωσιν. Διὰ τοῦτο καὶ τὸ κατὰ τόπον ὑφ' ἑαυτοῦ μεταβάλλον, ἤτοι τὸ ζῶον, ἰδίως ὀνομάζουσιν αὐτοκίνητον. Οὕτω μὲν οὖν κυριωτάτη τῶν ἄλλων κινήσεων ἡ κατὰ τόπον μαρτυρεῖται.

2. Quarum prima et maxime propria est latio. Maxime propria quidem, quandoquidem aliis evidentior est. Qua de causa [57] etiam id quod secundum locum movetur, simpliciter moveri dicimus. Quod autem secundum locum quiescens alio aliquo movetur motu, quodammodo moveri dicimus, quoad augmentationem aut diminutionem aut alterationem scilicet. Quapropter etiam quod a se ipso secundum locum mutatur, hoc est animal, proprie αὐτοκίνητον, hoc est, a seipso mobile, appellant. Sic igitur motum secundum locum inter omnes maxime proprium esse constat.

C

γ'. Πρώτη δὲ προηγουμένως μέν, ὡς τελειοτέρα· τῶν γὰρ ζώντων, ἤτοι τῶν ἐμψύχων, τὰ μὲν ὅλως ἀκίνητα κατὰ ταύτην τὴν κίνησιν, οἷα τὰ φυτὰ καὶ τὰ προσπεφυκότα τῶν ζῴων, ἃ καλοῦνται ζωόφυτα· τοῖς δὲ τελειουμένοις ὑπάρχει τὸ κατὰ τόπον κινεῖσθαι, ὡς τὰ λεγόμενα αὐτοκίνητα ζῶα, ἃ δὴ μόνα καὶ ἀδιορίστως ζῶα καλεῖν εἰώθαμεν. Εἰ τοίνυν τελειότερα μὲν τῶν φυτῶν τὰ ζωόφυτα, πλείους δυνάμεις ἔχοντα ψυχικάς· τούτων δὲ πάλιν τὰ ζῶα κατὰ τρόπον ὅμοιον ἐντελέστερα, τοῖς ζώοις δ' αὖ τελειουμένοις ἡ κατὰ τόπον προσγίνεται κίνησις· αὕτη ἂν εἴη τελεωτέρα, καὶ διὰ τοῦτο καὶ τιμιωτέρα, καὶ πρώτη τῶν ἄλλων κινήσεων. Τὸ γὰρ τελεώτερον, ὅσῳπερ ἂν ᾖ τελειότερον, τοσούτῳ γε τῶν ἀτελεστέρων καὶ ἐντιμότερον.

3. Primus autem [58] primario quidem : quia perfectior. Viventium enim, id est, **55** animatorum quædam quoad hunc motum omnino sunt immobilia, veluti plantæ ; et quæ animalibus maxime cognata sunt, quæ zoophyta, id est plantanimantia, vocantur : iis autem quæ perfectione sunt prædita, inest ut secundum locum moveantur [59], ut ea quæ vocantur a seipsis mobilia animalia, quæ sane solum et sine determinatione animalia vocare consuevimus. Quod si igitur plantis perfectiora sunt plantanimantia,quia plures animæ facultates habent ; vicissim autem his eodem modo animalia perfectiora sunt ; ac denique animalibus quæ perfectionem majorem habent,motus in loco adjungitur : hic utique et perfectior et proinde mobilior, et cæteris motibus prior erit.Quippe quod perfectius est,quanto quidem est perfectius, tanto etiam imperfectioribus est præstantius.

D

δ'. Ἀλλ' οὐδ' ἐξαλλάττει τὴν τοῦ κινουμένου κατάστασιν ἡ φορά· καθάπερ αἱ λοιπαὶ τῶν κινήσεων· οὔτε τὴν οὐσίαν, ὡς γένεσις καὶ φθορά· οὔτε τὸ ποσόν, ὡς αὔξησις καὶ μείωσις· οὔτε τὸ ποιόν, ὡς ἀλλοίωσις. Τὸ δὲ φυλάττον τὴν τοῦ κινουμένου κατάστασιν τῶν μὴ φυλαττόντων τιμιώτερον ἂν κριθείη, καὶ διὰ τοῦτ' αὐτὸ πρότερον.

4. Sed neque ejus quod movetur statum et conditionem immutat latio [60], quemadmodum reliqui motus ; nec substantiam, ut generatio et corruptio ; nec quantitatem, ut augmentatio et diminutio ; nec qualitatem, ut alteratio. Atqui ejus quod movetur statum conservans, illis quæ ipsum non conservant, præstantius, **56** et propterea etiam prius judicatur.

[55] 3 Phys. c. 1, t. 4. [56] 8 Phys. c. 12, t. 64. [57] 8 Phys. c. 14, t. 77. [58] 8 Phys. c. 10, t. 58. [59] 8 Phys. c. 10, t. 58, et 14, t. 77. [60] 8 Phys. c. 10, t. 56.

OCR ABK / FR

A 5. Præterea vero etiam natura aliis motibus prior est latio. Augmentatione enim alteratio natura prior est [61] (quandoquidem quod naturaliter augetur, ab alimento augeri solet ; alimentum autem primo quidem non est simile ei quod alitur, sed per alterationem ei assimilatur et agglutinatur, ipsumque nutrit et auget ; atque ita augmentationem alteratio præcedit) ; alterationem autem localis mutatio præcedit ; exempli gratia in animalibus alimentum ad ventriculum delatum primam alterationem subit, dum per illius concoquendi facultatem chylus efficitur ; et ita postquam ad hepar pervenit, in sanguinem mutatur ; et hinc denique ei quod nutritur, assimilatur. Atque ut summatim dicam, quando utrumque in sede sua manet, cum id quod alterat, tum id quod alteratur, B fieri nequit alteratio. Localis ergo motus vel in alterato, vel in alterante, vel etiam in utroque requiritur ; siquidem alteratio futura sit. Si igitur prior est alteratio naturali quidem augmentatione[62] (non enim etiam mathematica, qua circumposito gnomone quadratum augmentatur), **57** omnem autem alterationem quædam in loco mutati antecedit ; natura cæteris motibus latio prior erit. Generatio enim [63] et corruptio proprie motus non esse in sequentibus monstrabuntur.

6. Tempore præterea non solis motibus naturalibus reliquis, sed etiam generatione et corruptione localis motus prior est. Corruptio enim quoad tempus omni mutatione est posterior, ut quæ ab eo quod est ad id quod non est, transitio sit. Generatio autem [64] in unoquoque eorum quæ fiunt, C si unum videlicet idemque respiciamus, prior perspicietur. Posteaquam enim res generata, est, et per essentiam subsistit, tunc demum cæteris motibus, et tandem locali movetur. Si autem cogitamus antiquiorem filio patrem esse, quatenus perfectus homo ante fuit, et motu locali non caruit etiam antequam pater fieret ; atque, ut summatim dicam, cœlum res omnes conditas vetustate superare, lationem autem cœlo esse insitam ; sane latio etiam quoad tempus omni motu et mutatione, adeoque etiam ipsa generatione prior esse deprehendetur. Generatione autem dico naturali, quæ ex eo quod potentia est, actu vero **58** non est, ad actu esse progressio est et temporalis transitus. Quandoquidem etiam aliam generatio- D nem ratio agnoscit naturali sublimiorem, quæ est universi ex prorsus nihilo existentia et prima procreatio. Quemadmodum enim efficiens causa duplex est ; et propinqua quæ natura esse dicitur, et primario ac proprie causa, quæ est mens architectatrix ; sic generatio duplex est una quidem ex præsubsistente apta materia ad formam aliquam cum temporali extensione productio (cujus quidem generationis principium et causa, vel, ut verius

A ε'. Ἔτι δὲ καὶ φύσει προτέρα τῶν ἄλλων κινήσεων ἡ φορά. Τῆς μὲν γὰρ αὐξήσεως ἡ ἀλλοίωσίς ἐστι προτέρα κατὰ φύσιν (ἐπεὶ τὸ φυσικῶς αὐξόμενον ὑπὸ τροφῆς αὔξεσθαι πέφυκεν· ἡ δὲ τροφὴ πρότερον μὲν ἔστιν οὐχ ὁμοία τῷ τρεφομένῳ, ἐξομοιοῦται δὲ τούτῳ δι' ἀλλοιώσεως. Καὶ προσκρίνεται καὶ τρέφει καὶ αὔξει αὐτὸ, καὶ οὕτω προηγεῖται τῆς αὐξήσεως ἡ ἀλλοίωσις), ἀλλοιώσεως δὲ ἡ κατὰ τόπον μεταβολή· οἷον ἐπὶ τῶν ζώων ἡ τροφὴ τῷ στομάχῳ προσενεχθεῖσα τὴν πρώτην ἀλλοίωσιν ἀλλοιοῦται, χυλοποιηθεῖσα διὰ τοῦ ἐν αὐτῇ πεπτικοῦ, καὶ οὕτω γενομένη πρὸς τὸ ἧπαρ ἐξαιματοῦται, κἀντεῦθεν ἐξομοιοῦται τῷ τρεφομένῳ. Καὶ καθόλου δ' εἰπεῖν, τοῦ ἀλλοιοῦντος καὶ τοῦ ἀλλοιουμένου, μενόντων κατὰ χώραν ἑαυτῶν, οὐκ ἂν ἀλλοίωσις γένοιτο. Δεῖ γοῦν κινήσεως τοπικῆς ἢ τοῦ ἀλλοιου- B μένου, ἢ τοῦ ἀλλοιοῦντος, ἢ καὶ ἀμφοτέρων, εἰ μέλλ.: γενέσθαι ἀλλοίωσις. Εἰ τοίνυν προτέρα μὲν τῆς φυσικῆς αὐξήσεως ἡ ἀλλοίωσις (οὐ γὰρ δὴ καὶ τῆς μαθηματικῆς καθ' ἣν αὔξεται τὸ τετράγωνον τῇ περιθέσει τοῦ γνώμονος), πάσης δ' ἀλλοιώσεως πρυηγεῖταί τις κατὰ τόπον μεταβολή· προτέρα φύσει τῶν ἄλλων ἂν εἴη κινήσεων ἡ φορά. Γένεσις γὰρ καὶ φθορὰ μὴ οὖσαι κυρίως κινήσεις, ἐν τοῖς ἑπομένοις δειχθήσονται.

ς'. Χρόνῳ δὲ προτερεύει μὴ μόνων τῶν ἄλλων φυσικῶν κινήσεων ἡ κατὰ τόπον, ἀλλὰ καὶ γενέσεως καὶ φθορᾶς. Φθορὰ μὲν γὰρ ἁπάσης μεταβολῆς ὑστεροχρονεῖ, μετάβασις ἐκ τοῦ ὄντος οὖσα πρὸς τὸ μὴ ὄν· γένεσις δὲ προτέρα μὲν ἐφ' ἑκάστου C τῶν γινομένων, τοῦ αὐτοῦ δηλαδὴ καὶ ἑνὸς σκοπουμένοις θεωρηθήσεται. Μετὰ γὰρ τὸ γενέσθαι τὸ πρᾶγμα καὶ κατ' οὐσίαν ὑποστῆναι, τότε τὰς ἄλλας κινεῖται κινήσεις, καὶ τελευταίαν τὴν τοπικήν. Ἐννοοῦσι δ' ἡμῖν, ὡς ὁ πατὴρ πρεσβύτερος τοῦ υἱοῦ τέλειος ἄνθρωπος ὢν, καὶ τῆς κατὰ τόπον μὴ ἐστερημένος κινήσεως, καὶ πρὸ τοῦ γενέσθαι πατὴρ, ὅλως τε τοῦ γεννητοῦ παντὸς ὁ οὐρανὸς ἀρχαιότατος, τῷ δ' οὐρανῷ συμφυὴς ἡ φορὰ, πάντως ἡ φορὰ προτέρα καὶ κατὰ χρόνον πάσης κινήσεως καὶ μεταβολῆς καὶ αὐτῆς δὴ τῆς γενέσεως εὑρεθήσεται. Γενέσεως δὲ λέγω τῆς φυσικῆς ἥτις ἐστὶν ἡ ἐκ τοῦ δυνάμει ὄντος, ἐνεργείᾳ δὲ μὴ ὄντος, εἰς τὸ ἐνεργείᾳ εἶναι πρόοδος καὶ μετάβασις ἔγχρονος. Ἐπεί τοί γε καὶ ἄλλην γένεσιν οἶδεν ὁ λόγος, ὑπὲρ D τὴν φυσικὴν οὖσαν τὴν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος ὕπαρξιν τοῦ σύμπαντος καὶ πρώτην οὐσίωσιν. Ὥσπερ γὰρ τὸ ποιητικὸν αἴτιον διττὸν, τό τε προσεχὲς ὅπερ ἡ φύσις λέγεται εἶναι, καὶ τὸ πρώτως καὶ κυρίως αἴτιον, ὅπερ ἐστὶν ὁ νοῦς ὁ δημιουργός· οὕτω διττὴ ἡ γένεσις, ἡ μὲν ἐκ προυφεστώσης ὕλης ἐπιτηδείου εἰς εἶδός τι προαγωγὴ μετὰ χρονικῆς παρατάσεως (ταύτης δὲ τῆς γενέσεως ἀρχὴ καὶ αἰτία προσεχὴς, τὸ δ' ἀληθέστερον, συναιτία ἡ φύσις ἐστίν)· ἡ δ' ἑτέρα γένεσις δημιουργία

[61] 8 Phys. c. 10, t. 55, et 2 de Anima, c. 3, t. 45. [62] Lib. Categoriarum c. 14, s. 5. [63] 5 Phys. c. 5, t. 10-12. [64] 8 Phys. c. 10, t. 57.

OCR ABK / FR

A τοῦ πράγματος, καὶ τοῦ μηδ' ὅλως ὄντος παραγωγὴ χωρὶς τῆς οἱασοῦν παρατάσεως. Ταύτης τῆς γενέσεως ἀρχὴ καὶ αἰτία μόνη ἐστὶν ἡ παντουργὸς σοφία καὶ δύναμις τοῦ Θεοῦ, ἡ καὶ τῆς ὕλης καὶ τῆς φύσεως καὶ τῶν ὄντων ἁπάντων ποιητική. Πῶς μὲν οὖν ἡ κατὰ τόπον μεταβολὴ πρώτη πασῶν τῶν κινήσεων καὶ αὐτῆς τῆς γενέσεως καὶ ποίας γενέσεως, εἴρηται.

ζ. Δῆλον δ' ἐκ τῶν εἰρημένων, ὅτι καὶ ἡ κύκλῳ κίνησις πασῶν προτερεύει τῶν κατὰ τόπον κινήσεων, ὅτι καὶ τῷ πρώτῳ τῶν αἰσθητῶν κτισμάτων τῷ οὐρανῷ συμφυής. Τριῶν οὖν οὐσῶν κινήσεων τοπικῶν, τῆς ἐπ' εὐθείας, τῆς κύκλῳ, καὶ τῆς ἐκ τούτων μικτῆς, τῆς μὲν μικτῆς οὐχ ἡ κύκλῳ μόνον, ἀλλὰ καὶ ἡ ἐπ' εὐθείας ὡμολόγηται προτερεύειν B (ἐπεὶ τῶν συνθέτων φύσει πρότερα τὰ ἁπλᾶ)· τῆς δ' ἐπ' εὐθείας πρώτη ἐστὶν ἡ κύκλῳ, διότι καὶ ἀρχαιοτέρα καὶ διότι μονιμωτέρα. Μόνη γὰρ αὕτη δύναται συνεχὴς εἶναι διόλου τῶν ἄλλων ἐξ ἀντικειμένων εἰς ἀντικείμενα γινομένων καὶ διακοπτουσῶν ἐξ ἀνάγκης τὸ συνεχές, μὴ μόνον τῶν τοπικῶν κινήσεων τῶν παρὰ τὴν κύκλῳ, ἀλλὰ καὶ τῶν ἑτέρων μεταβολῶν· ἡ μὲν γὰρ γένεσις ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὂν γίνεται, ἡ δὲ φθορὰ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ ὄν· ἡ αὔξησις ἐκ τοῦ μικροῦ εἰς τὸ μέγα· καὶ ἡ φθίσις, εἴτουν ἡ μείωσις, ἐκ τοῦ μείζονος εἰς τὸ ἔλαττον· ἡ ἀλλοίωσις ἐκ τῶν ἐναντίων παθῶν εἰς τἀναντία· καὶ ἡ ἐπ' εὐθείας φορὰ ἐκ τῶν ἐναντίων τόπων εἰς τοὺς ἐναντίους· ἐκ τοῦ ἄνω εἰς τὸ κάτω· ἐκ τοῦ ἔμπροσθεν εἰς τοὔπισθεν· ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερά, καὶ ἀνάπαλιν. Ἐπεὶ γοῦν αἱ λοιπαὶ πᾶσαι C κινήσεις ἐξ ἀντικειμένων εἰς ἀντικείμενα γίνονται, διαφόρους ἀρχὰς ἔχουσαι καὶ τέλη διάφορα, συνεχεῖς οὐκ ἂν εἶεν διόλου. Συνεχὴς γὰρ διόλου κίνησίς ἐστιν ἡ γινομένη πάντοτε ἡ αὐτή, καὶ πέρας ἀναγκαῖον μὴ ἔχουσα. Ἡ δὲ μὴ γινομένη πάντοτε ἡ αὐτή, καὶ διὰ τοῦτο καταντῶσα πρὸς πέρατα, ἀνάγκην ἔχει κατὰ τὰ πέρατα ἠρεμεῖν. Ἠρεμήσει τοίνυν ἐν τῷ ἀντικειμένῳ τὸ κινούμενον, καὶ οὕτως εἰς τὸ ἀντικείμενον ἐλεύσεται, κἀντεῦθεν ἡ τῆς κινήσεως συνέχεια διακοπήσεται. Τὸ δὲ κύκλῳ φερόμενον οὐχ ἕξει ἀνάγκην ἠρεμῆσαι, τὴν αὐτὴν ὁδὸν συνεῖρον ἀεὶ καὶ φερόμενον ἐπὶ ταυτά.

η. Ἄλλο δέ ἐστιν ἠρεμία, καὶ ἄλλο πέρας κινήσεως καὶ ἀρχή. Ἡ μὲν γὰρ ἠρεμία ἀπουσία τυγχάνει D κινήσεως, ἐν παρατάσει θεωρουμένη τινί, διὰ τοῦτο καὶ διαιρετὴ καθάπερ ἡ κίνησις. Τὸ δὲ πέρας καὶ ἡ ἀρχὴ τῆς κινήσεως ἐν τῇ κινήσει εἰσὶ μηδεμιᾶς μετέχοντα παρατάσεως· ὅθεν καὶ ἀδιαίρετα. Διὸ καὶ τὸ ἠρεμεῖν ἐν χρονικῇ παρατάσει ἐστὶ κατὰ τὴν ἠρεμίαν ὄν, ὥσπερ κατὰ τὴν κίνησιν τὸ κινεῖσθαι, τὸ ἵστασθαι, καὶ τὸ ἠρεμίζεσθαι. Κινεῖσθαι γάρ ἐστι καὶ τὸ ἵστασθαι καὶ τὸ ἠρεμίζεσθαι. Τὸ μὲν γάρ ἐστιν ἐπὶ στάσιν ὁδεύειν, τὸ δ' ἐπ' ἠρεμίαν.

loquar, adjuvans causa est natura) ; altera vero generatio est effectio rei, et ejus quod nullo omnino modo erat, sine ulla extensione adductio. Atque hujusce generationis principium et causa sola est omnium rerum effectrix sapientia et potentia Dei, quæ et materiæ et naturæ, et omnium quæ sunt, effectrix est. Quomodo igitur localis mutatio omnibus motibus, ipsaque etiam generatione et quali generatione prior sit, dictum est.

7. Ex his vero quæ dicta sunt, constat etiam, quod motus circularis omnibus localibus motibus prior sit ; quia etiam **59** primæ sensibilium creaturarum, nempe cœlo, a natura est insitus [65]. Cum igitur tres locales sint motus, qui super recta linea fit, circularis, et ex his mistus : palam in confesso est [66], non circularem tantum, sed et rectilineum misto anteire (quoniam natura compositis simplicia priora sunt) ; rectilineo autem circularem priorem esse ; cum quia est antiquior, tum quia est stabilior. Solus enim [67] omnino continuus esse potest ; cum cæteri ex contrariis in contraria fiant, et non tantum locales motus, excepto circulari, sed etiam reliquæ mutationes continuitatem necessario intersecent. Generatio enim ex eo quod non est in id quod est [68] ; corruptio ex eo quod non est, in id quod est, fieri consuevit ; augmentatio ex parvo in magnum ; decretio seu diminutio ex majore ad minus ; alteratio ex contrariis passionibus in contrarias ; et latio secundum rectam lineam ex locis contrariis in contraria, ex supero in infernum, ex anteriore in posteriorem, ex dextro in sinistrum et contra [69]. Quoniam igitur [69*] cæteri omnes motus ex oppositis in opposita fiunt, cum diversa principia et diversos fines habeant ; continui **60** per omnia esse non possunt. Continuus enim per omnia motus est, qui semper idem est, et terminum necessarium non habet. Qui autem idem semper non est [70], et hac de causa ad terminos tandem pervenit, hic circa terminos necessario quiescit. Quapropter in opposito quiescet id quod movetur, et ita ad oppositum perveniet ; hincque motus continuitas incidetur. Quod autem circulariter movetur, cum eamdem semper viam conficiat, et ad eadem feratur, necessario non quiescet.

8. Cæterum aliud quies, et aliud motus est finis atque principium. Quies enim est motus absentia, quæ in extensione quadam consideratur, et propterea divisioni subjicitur, sicut et motus. Finis autem et principium motus in motu sunt, ut nulla extensione communicent ; unde etiam divisionis sunt expertia. Quapropter etiam ipsum quiescere in temporali extensione est, cum secundum quietem sit ; perinde ut secundum motum est moveri, et sisti, et ad quietem contendere. Etenim et sisti, et ad quietem contendere moveri est. Illud

[65] 8 Phys. c. 13, t. 75. [66] 8 Phys. c. 12, t. 64, et c. 15, t. 75. [67] 8 Phys. c. 13, t. 75. [68] 8 Phys. t. 11, t. 62, 63. [69] 8 Phys. c. 12, t. 64. [69*] 8 Phys. c. 14, t. 76. [70] 8 Phys. c. 12, t. 64.



OCR ABK / FR

enim est ad statum, hoc ad quietem progredi. Quapropter omnia hæc temporalem extensionem **61** sustinent [70*], quemadmodum et ipsum generari et corrumpi, et vivere, et mori, et quæ his sunt similia. At vero ipsum motum esse, et institisse, et quievisse, et generatum corruptumque esse, et vixisse et mortuum fuisse, et quæ sunt hujus generis, nullam extensionem tolerant. Non enim in tempore perficiuntur, sed in temporis termino, cum motuum termini sint et limites, et ea de causa divisione omni vacent.

9. Quapropter etiam tempus in quo res quamcunque mutationem subibat cum eo in quo mutatio absoluta est, non est majus eo in quo solo mutationem subibat; quandoquidem non in tempore mutatio absoluta fuit, sed in termino ejus temporis quo mutationem subibat. Terminus autem cum quantitatis sit expers; neque si adjungatur [rei alicui], auget, neque si subtrahatur, minuit. Quemadmodum igitur lineæ terminus et principium sunt puncta magnitudinis et divisionis expertia, eodem modo etiam motus omne principium et terminus omnis, partibus et divisione carent. Hæc autem κινήματα, ut aliqui vertunt, mutata, vocantur. Et sicut linea per puncta secatur, **62** et punctum de linea nihil detrahit: ita et motus per τὰ κινήματα dividitur, nec κίνημα de motu quidquam accipit.

10. Et sicut infinita recta linea inveniri non potest (omnem enim rectam primæ sphæræ diameter magnitudine superat, quæ evidenter finita est), ita neque super recta linea motus ullus infinitus est. Quod enim [71] super recta linea movetur, siquidem reflectitur, duos motus efficit, deinceps quidem se consequentes, non tamen inter se continuos. Deinceps [72] autem sunt, inter quæ nihil intervenit ejusdem generis. Continua vero invicem sunt, quorum alterius finis est principium alterius [73]. Continui igitur etiam motus sunt [74], quorum termini unum sunt, cum et ipsi sint unius ejusdemque speciei, et item id quod movetur unum idemque sit. Qui ergo motus inter se sunt continui, omnino etiam deinceps sunt: non autem etiam qui deinceps sunt, illico inter se continui sunt. Quod igitur super recta linea movetur, siquidem retrocedit, deinceps quidem se consequentes motus facit; at non etiam proinde continuos. Inter hujusmodi enim motus quies quædam intervenit, quæ continuitatem intersecat. **63** Terminatur enim primus motus, et ut ab alio principio alter conficitur. Inter finem autem primi, et principium secundi quies media agnoscitur. Duo enim finiti rectilinei motus se invicem in uno κινήματι non tangunt: quemadmodum duæ finitæ rectæ in uno puncto inter se invicem copulari possunt. Manifestum hoc reddunt figuræ rectilineæ. Diversarum enim quidem rectarum linearum ter-

A Διὸ πάντα ταῦτα παράτασιν χρονικὴν ὑπομένουσιν, ὥσπερ καὶ τὸ γίνεσθαι καὶ τὸ φθείρεσθαι, καὶ τὸ ζῆν καὶ τὸ θνήσκειν, καὶ ὅσα τούτοις παρόμοια. Τὸ δὲ κεκινῆσθαι, καὶ τὸ ἑστάναι, καὶ τὸ ἠρεμηκέναι, τὸ γενέσθαι τε καὶ ἐφθάρθαι, καὶ ζῆσαι καὶ θανεῖν, καὶ τὰ τοιαῦτα οὐδεμίαν καρτεροῦσι παράτασιν· οὐ γὰρ ἐν χρόνῳ ἀποτελοῦνται, ἀλλ' ἐν πέρατι χρόνου πέρατα κινήσεων ὄντα καὶ καταντήματα, καὶ διὰ τοῦτο τὸ σύνολον ἀμερῆ.

θ'. Διὸ καὶ ὁ χρόνος ἐν ᾧ τὴν ὁποιανοῦν μεταβολὴν τὸ πρᾶγμα μετέβαλε, μετὰ τοῦ ἐν ᾧ μεταβέβληκεν, οὐκ ἔστι μείζων τοῦ ἐν ᾧ μετέβαλε μόνου· διότι οὐκ ἐν χρόνῳ μεταβέβληκεν, ἀλλ' ἐν ᾧ πέρατι τοῦ ἐν ᾧ μετέβαλε χρόνου. Τὸ δὲ πέρας ἄποσον ὄν, B οὔτε προστιθέμενον αὔξει, οὔτ' αὖ μειοῖ ἀφαιρούμενον. Καθάπερ οὖν τῆς γραμμῆς τὸ πέρας καὶ ἡ ἀρχὴ σημεῖά ἐστιν ἀμεγέθη καὶ ἄτομα· τὸν αὐτὸν τρόπον καὶ τῆς κινήσεως ἀρχὴ πᾶσα καὶ ἅπαν πέρας ἀμερῆ τινα καὶ ἀδιαίρετά εἰσι. Καλοῦνται δὲ ταῦτα κινήματα. Καὶ ὥσπερ ἡ γραμμὴ τέμνεται κατὰ τὰ σημεῖα, καὶ τὸ σημεῖον οὐκ ἀφαιρεῖταί τι τῆς γραμμῆς· οὕτω καὶ ἡ κίνησις διαιρεῖται κατὰ (τὰ) κινήματα, καὶ τῆς κινήσεως οὐδὲν ἀπολαμβάνει τὸ κίνημα.

ι'. Καὶ ὥσπερ οὐκ ἔστιν εὑρεῖν ἄπειρον εὐθεῖαν γραμμὴν (μείζων γὰρ ἁπάσης εὐθείας ἡ τῆς πρώτης σφαίρας διάμετρος, ἥτις ἐναργῶς πεπέρασται)· οὕτως οὐδ' ἐπ' εὐθείας κίνησις οὐδεμία ἐστὶν C ἄπειρος. Τὸ γὰρ ἐπ' εὐθείας κινούμενον εἴπερ ἀνακάμπτει, δύο κινήσεις ποιεῖ, ἐφεξῆς μὲν, οὐ μὴν συνεχεῖς ἀλλήλαις. Ἐφεξῆς δέ εἰσιν, ὧν οὐκ ἔστι τι συγγενὲς μεταξύ· ὡς ἐφεξῆς οἰκίας λέγομεν, ὧν μεταξὺ οὐκ ἔστιν ἑτέρα οἰκία. Καὶ κινήσεις οὖν ἐφεξῆς, ὧν ἐστί τις ὁμοειδὴς κίνησις μεταξύ. Συνεχῆ δ' ἀλλήλοις ἐστὶν, ὧν θατέρου τὸ πέρας ἀρχὴ γίνεται τοῦ λοιποῦ. Καὶ συνεχεῖς οὖν ἀλλήλαις κινήσεις, ὧν τὰ πέρατα ἕν, αὐτῶν τε οὐσῶν ὁμοειδῶν καὶ τοῦ κινουμένου τυγχάνοντος τοῦ αὐτοῦ καὶ ἑνός. Αἱ μὲν οὖν συνεχεῖς ἀλλήλαις κινήσεις πάντως καὶ ἐφεξῆς· οὐ μὴν δὲ καὶ αἱ ἐφεξῆς ἤδη καὶ συνεχεῖς ἀλλήλαις. Τὸ γοῦν ἐπ' εὐθείας κινούμενον, εἴπερ ἀνακάμπτει, ποιεῖ μὲν ἐφεξῆς τὰς κινήσεις, οὐ μὴν δὲ καὶ συνεχεῖς. Μεταξὺ γὰρ τῶν τοιούτων D κινήσεων ἠρεμία τίς ἐστι, διακόπτουσα τὴν συνέχειαν. Περατοῦται γὰρ ἡ πρώτη κίνησις, καὶ ὡς ἀπ' ἄλλης ἀρχῆς ἡ ἑτέρα ἐπιτελεῖται. Μέσον δὲ τοῦ πέρατος τῆς πρώτης καὶ τῆς ἀρχῆς τῆς δευτέρας ἡ ἠρεμία γινώσκεται. Δύο γὰρ πεπερασμέναι κινήσεις ἐπ' εὐθείας ἀλλήλων οὐχ ἅπτονται καθ' ἓν κίνημα· καθάπερ εὐθεῖαι δύο πεπερασμέναι δύνανται καθ' ἓν σημεῖον ἀλλήλαις συνάπτεσθαι. Δηλοποιοῦσι τὸ λεγόμενον τὰ τῶν σχημάτων εὐθύγραμμα. Τῶν μὲν γὰρ διαφόρων εὐθειῶν τὰ πέρατα

[70*] 6 Phys. c. 12, t. 67, 68. [71] 8 Phys. c. 12, t. 65. [72] 5 Phys. c. 5, t. 25. [73] 5 Phys. c. 5, t. 28, et 6, t. 30. [74] 5 Phys. c. 6, t. 39, 41, et 8. c. 12, t. 61.

OCR ABK / FR

ἐφαρμόζει διὰ τὸ ὑπομένειν αὐτάς, τῶν δὲ διαφόρων ἐπ' εὐθείας κινήσεων οὐδόλως ἐφαρμόζει τὰ πέρατα, διὰ τὸ ἐν ἀστάτῳ ῥοῇ χρονικῇ γίνεσθαι τὰς κινήσεις· κἀντεῦθεν (δῆλόν ἐστι) μὴ δύνασθαι τὸ αὐτὸ καὶ ἓν κίνημα πέρας εἶναι τῆς πρώτης κινήσεως καὶ τῆς δευτέρας ἀρχήν, λαμβανόμενον δίς, καθάπερ ἐπὶ τῶν εὐθειῶν ἡ στιγμή. Διαῤῥεῖ γὰρ ὁ χρόνος μεταξὺ καὶ διιστᾷ τὰ κινήματα. Ἡ δὲ τῶν κινημάτων διάστασις ἠρεμίαν γεννᾷ. Τῆς γὰρ ἐπὶ τὸ ἄνω φορᾶς τοῦ λίθου τὸ τέρμα διίσταται τῆς ἀρχῆς τῆς ἐπὶ τὸ κάτω φορᾶς, τῷ ὀξυκινήτῳ τῆς τοῦ χρόνου ῥοῆς· ὅθεν καὶ ἠρεμία τις νοεῖται μεταξὺ τῶν δύο τοῦ λίθου φορῶν. Διὰ ταῦτα τοίνυν οὐκ ἔστιν ἐπ' εὐθείας ἐννοῆσαι κίνησιν ἄπειρον. Ἐπὶ δὲ τοῦ κύκλου συνδραμόντων ἀλλήλοις τῆς ἀρχῆς καὶ τοῦ πέρατος, καὶ ἡ κύκλῳ κίνησις ἄπειρος· εἴτουν ἀπεράτωτος δύναται γίνεσθαι, πασῶν τῶν περιφορῶν καθ' ἓν κίνημα συναπτομένων καὶ συνεχιζομένων ἀλλήλαις, καὶ ὡς μιᾶς περιφορᾶς τελουμένων τῶν ὅλων μέχρις ἂν τὸ τελευταῖον καταλάβοιεν πέρας, τὸ ὡρισμένον αὐταῖς ὑπὸ τοῦ τὴν πρώτην δόντος ἀρχήν. Διά τε γοῦν τὴν τοιαύτην συνέχειαν ἡ κυκλοφορία τελειοτέρα ἐστί, καὶ πρώτη τῆς ἐπ' εὐθείας κινήσεως.

A τος ζῶον, ἢ ἐκ τελείας, ὡς ἐξ ὕδατος ἀὴρ, τότε γένεσίς ἐστιν ἁπλῶς· ὅταν δὲ γίνηται περί τι εἰδοπεποιημένον μεταβολὴ, κατά τι τῶν συμβεβηκότων αὐτῷ· οἷον ὅταν τὸ ὕδωρ θερμαίνηται τῆς ὑδατηρᾶς μὴ ἐξιστάμενον φύσεως, τότε τις μὲν ἔστι γένεσις, τοῦ θερμοῦ δηλονότι, τὸ δ' ὅλον ἀλλοίωσις. Ἡ μὲν γὰρ ἁπλῶς γένεσις ἄλλο ποιεῖ, ἀλλοῖον δὲ ἡ ἀλλοίωσις. Ὅταν δὲ τινι τῶν εἰδῶν ὁμοίου τινὸς πρόσθεσις ἐξ ἀνομοίου γένηται δι' ἀλλοιώσεως, κἀντεῦθεν ἐπίδοσις τοῦ ὄγκου καὶ τοῦ ποσοῦ τοῦ ἐν σώματι, γένεσις μέν τίς ἐστι καὶ τὸ τοιοῦτον, τὸ δὲ σύμπαν αὔξησις.

ζ'. Οἷον ὅταν τῷ πυρὶ ξύλων προστεθέντων καὶ ἐξαφθέντων ἐπίδοσις γένηται τῆς φλογός. Ὅταν δ'
B ἀπὸ παρατρίψεως ξύλων ἢ λοιπῶν σωμάτων γένηται πῦρ, τὸ τοιοῦτον οὐκ αὔξησις πυρὸς, ἀλλὰ γένεσίς (ἐστι) μόνον. Ὅταν δὲ πῦρ πυρὶ προστεθείη, προσθήκη μόνον καλεῖται πυρός. Ὡσαύτως δ' ἔχει κἀπὶ τῶν ἄλλων ἀψύχων σωμάτων. Ἀλλὰ δὴ κἀπὶ τῶν ἐμψύχων οὕτως αὔξησις γίνεται, τῆς τροφῆς ἐξομοιουμένης δηλονότι τῷ τρεφομένῳ διὰ τῆς ἐν αὐτῷ ἀλλοιωτικῆς δυνάμεως καὶ προστιθεμένης αὐτῷ· κἀντεῦθεν τῶν σωμάτων ἐπιδιδούσης κατ' ἀναλογίαν ὁλότητος, τῆς μὲν προστιθεμένης οὐσίας μὴ διιούσης διόλου πάντη τοῦ σώματος, προωθούσης δὲ τὴν πρὸ αὐτῆς, κἀκείνης ὡσαύτως τὴν πρὸ ἐκείνης καὶ οὕτω τῆς ὅλης πλείονος γινομένης, καὶ κατὰ λόγον ἐπιδιδόντος πάντη τοῦ σώματος· ὥσπερ τοὐναντίον ἐπὶ τοῦ μειουμένου καὶ ῥυτιδουμένου σώματος, τῶν πλησίων κινουμένων μορίων τὸ πᾶν σῶμα πάσχει
C τὴν μείωσιν, κατὰ μετάθεσίν τινα καὶ καθ' ὑποχώρησιν πανταχῆ γινομένης τῆς μειώσεως. Οὔτε δὲ τὸ ἀποῤῥέον καὶ ἀφιστάμενον λέγεται μειοῦσθαι, οὔτε τὸ προστιθέμενον αὔξεσθαι, κἂν τὸ μὲν ἔλαττον δοκῇ διὰ τοῦ ἀφαιρεῖσθαι γινόμενον, τὸ δὲ μεῖζον διὰ τοῦ προστίθεσθαι. Τὸ γὰρ μειούμενον καὶ τὸ αὐξόμενον, ὑπομένοντα, χρὴ τὸ μὲν τὴν μείωσιν πάσχειν, τὸ δὲ τὴν αὔξησιν δέχεσθαι. Κἄν ποτε ἡ τροφὴ μεταβάλλῃ εἰς πνεῦμα, οὐκ αὔξεται· φθορὰ γάρ ἐστιν αὐτῆς ἡ ἐμπνευμάτωσις, ἀλλ' οὐκ αὔξησις. Κἀν τούτῳ διαφέροι ἂν ἀλλοιώσεως αὔξησις, ὅτι τὸ μὲν ἀλλοιοῦν ἔστιν ὅτε ἀνταλλοιοῦται, καθά που τὰ ἱμάτια ψυχρὰ ὄντα θερμαίνομεν ἡμεῖς καὶ ἀντιθερμαινόμεθα ὑπ' αὐτῶν, καὶ ὁ ἐν τοῖς βαλανείοις ἀὴρ ἡμᾶς θερμαίνων ἀντιθερμαίνεται ὑφ' ἡμῶν. Τὸ δ' αὖξον οὐκ ἀνταύξε-
D ται πώποτε. Προστιθέμενον δὲ τῷ αὐξομένῳ καὶ εἰς τὴν τοῦ αὐξομένου μεταβάλλον οὐσίαν, ὑπὸ τῆς ἐν αὐτῷ δὴ τῷ αὐξομένῳ δυνάμεως φυσικῆς, οὕτω τὴν αὔξησιν ἀπεργάζεται, τῶν ὁμοιομερῶν δηλονότι πρώτως δεχομένων αὐτὴν, κἀντεῦθεν καὶ τῶν ἀνομοιομερῶν. Τοῦτο δὲ γίνεται, ὅταν τὸ προστιθέμενον ὑπερβάλλῃ τοῦ ἀφαιρουμένου κατὰ (τὸ) ποσόν. Τῆς γὰρ σωματικῆς ὕλης ἐν συνεχεῖ καθεστηκυίας ἐπιῤῥοῇ τε καὶ ἀποῤῥοῇ, ὅταν μὲν τὸ ἐπιῤῥέον καὶ εἰσιὸν πλεῖον εἴη τοῦ ἀποῤῥέοντος καὶ ἀφισταμένου, τροφὴ καὶ αὔξησις γίνεται· ὅταν δ' ἴσον, τροφὴ μόνον· ὅσαν

[8] De ortu et interitu, c. 4. [9] De ortu et interitu, c. 5.

OCR ABK / FR

δέ γε καὶ ἔλαττον, τροφὴ καὶ μείωσις, συντελοῦντος A τοῦ ἐπεισιόντος εἰς μόνην τοῦ εἴδους τινὰ φυλακήν. Ἔστι γὰρ καὶ τοῦ ποσοῦ μειουμένου τὸ εἶδος φυλάττεσθαι. Οὐ γάρ ἐστιν ἡ μείωσις καὶ ἡ φθίσις ἁπλῶς φθορὰ, ἀλλὰ τὶς φθορά· καθάπερ ἡ αὔξησις γένεσις τίς.

effluit et abscedit, nutritio augmentatio fit; quando autem æquale duntaxat, nutritio tantum; quando denique minus, nutritio et diminutio; ut quod ingreditur, hoc tantum præstet, ut species quoquomodo conservetur. Potest enim etiam decrescente quantitate species conservari. Neque enim diminutio et decretio simplex est corruptio, sed corruptio quædam; quemadmodum augmentatio, generatio quædam.

η'. Ἐπὶ δὲ τῆς κατὰ τόπον μεταβολῆς ἡ μὲν ἄνω κατὰ φύσιν φορὰ, καὶ ἡ εἰς τὰ δεξιὰ, καὶ ἡ εἰς τὰ ἔμπροσθεν, γενέσεις ἂν εἶεν τινες· φθοραὶ δέ τινες ἡ εἰς τὰ κάτω φορὰ, καὶ ἡ εἰς ἀριστερὰ, καὶ εἰς τὰ ὄπισθεν.

8. At in ea mutatione quæ per locum fit, ad superiorem et dextram et anteriorem partem motus naturalis, generationes quædam; contra in inferiorem, et sinistram et posteriorem partem motus, corruptiones quædam dici queant.

—

## SYNOPSIS CAPITIS VII.

### QUOD EST DE NATURA.

91 1. *Definit naturam et definitionem paraphrastice interpretatur.* — 2. *Docet quomodo in definitione naturæ vocabulum motus sit accipiendum, et quod natura sit causa ejus propinqua, ipsaque etiam a Deo moveatur; ubi etiam distincte tradit, quomodo natura secundum rationem agere dicatur : unde infert naturam merito a Platone causam instrumentalem esse appellatam, et actum ejus potius quamdam perpessionem esse.* — 3. *Cur in definitione adjiciatur, cui inest, seu ejus in quo est?* — 4. *Cur, primo?* — 5. *Cur, per se, et non secundum accidens?* — 6. *Per collarium exponit discrimen rerum naturalium et artificialium.* — 7. *Quare natura et motus et quietis principium dicatur, et quomodo hoc accipiendum sit.* — 8. *Quomodo differant,* τὸ *natura et secundum naturam, et quid utrumque sit.* — 9. *Superius discrimen confirmat, et ad ea quæ fiunt præter naturam refert etiam vitia a natura contracta et defectus, et reliquas naturæ aberrationes, ut in monstris, ubi simul istorum causam materialem quidem exponit.* — 10. *Discrimen explicat, quomodo præter naturam et supra naturam differant.*

—

## ΚΕΦΑΛ. Ζ'.

### Περὶ φύσεως.

B

α'. Φύσις ἐστὶν ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκός. Ἐπεὶ δ' ἡ κίνησις ἐνέργεια τοῦ δυνάμει ἐλέγετο καθὸ δυνάμει, ἀργία δὲ τούτου ἡ ἠρεμία· τὸ αἴτιον τῆς τοιαύτης ἐνεργείας καὶ ἀργίας ἡ φύσις ἐστὶν, ἤγουν ἡ παρὰ τοῦ δημιουργοῦ τοῖς φυσικοῖς ἐντεθεῖσα πᾶσιν ἐπιτηδειότης καὶ δύναμις οὐκ ἐπείσακτος πρὸς τὸ ἀφ' ἑαυτῶν κινεῖσθαι καὶ μεταβάλλειν, καὶ πάλιν ἀφ' ἑαυτῶν παύεσθαι τῆς τοιαύτης κινήσεως καὶ μεταβολῆς· ἡ τοιαύτη τούτοις ἐντὸς οἰκουροῦσα εὐφυΐα φύσις ὠνόμασται.

β'. Τὴν κίνησιν δὲ παραλαμβάνομεν ἐνταῦθα κοινότερον ἀντὶ πάσης μεταβολῆς. Ταύτης τῆς μεταβολῆς, ὥσπερ δὴ καὶ τῆς ἀμεταβλησίας ἡ φύσις C αἰτία ἐστὶν, αἰτία προσεχής τε καὶ κινητή. Κινουμένη γὰρ φύσις κινεῖ. Πρώτως δὲ καὶ ἀκινήτως καὶ κυρίως αἰτία τῶν ἁπάντων καὶ αὐτῆς τῆς φύσεως ὁ Θεός. Εἰ δὲ καὶ ποιεῖν ἡ φύσις λέγεται καὶ κατὰ λόγον ποιεῖν, ἀλλ' ὁ ποιητικὸς λόγος διττός· ὁ μὲν γνωστικῶς ποιῶν καὶ κυρίως ποιῶν, ὁ δὲ γνώσεως μὲν ἄτερ καὶ τῆς εἰς ἑαυτὸν ἐπιστροφῆς, τεταγμένως δὲ καὶ ὡρισμένως καὶ προηγουμένου τινὸς τέλους ἕνεκα. Κατὰ τοῦτον τὸν λόγον ἡ φύσις λέγεται ποιεῖν, ἄλογος οὖσα κατὰ τὸν πρῶτον λόγον. Ὅθεν εἰκότως ὀργανικὸν αἴτιον ὁ Πλάτων ταύτην φησίν· ἐπείπερ ὥσπερ τὸ σκέπαρνον ἢ ὁ πρίων οὐκ οἴδασιν οὐδὲν ἐν τοῖς τεχνητοῖς, οὕτως οὐδ' ἐν τοῖς φυσικοῖς

## CAPUT VII.

### De natura.

1. Natura [10] est principium motus et quietis ejus in quo est, primo, per se, et non secundum accidens. Quoniam autem motus ejus 92 quod potentia est quatenus est potentia actus, et quies ejusdem cessatio dicebatur; hujus actus et cessationis causa est natura : hoc est, rebus omnibus naturalibus a conditore insita aptitudo, et potentia non adventitia, qua a seipsis moveri et mutari, et rursus a seipsis ab ejusmodi motu et mutatione cessare queunt. Ejusmodi quæ in ipsis habitat naturæ aptitudo, natura nominata est.

2. Porro motum hic communiter pro omni mutatione accipimus. Hujus igitur mutationis, quemadmodum et vacuitatis a mutatione, causa natura est. Causa, inquam, propinqua et motui subjecta. Natura enim movetur, et ita demum movet. Primo autem et sine motu et proprie, omnium, adeoque ipsius etiam naturæ causa, Deus est. Etsi autem etiam natura facere dicitur, et secundum rationem facit, tamen efficiens ratio duplex est : altera per scientiam et proprie faciens, altera sine scientia et reflexione ad seipsam, ordinate tamen et finite, et antecedentis alicujus finis gratia. Quoad hanc rationem natura dicitur facere, cum quoad priorem rationem expers rationis sit. Unde etiam merito causam 93 instrumentalem Plato [11] eam pronuntiat; quoniam, ut ascia et serra nihil omnino norunt in

[10] 2 Phys. c., t. 3. [11] 1 De legibus, p. 767.

OCR ABK / FR

rebus artificialibus, sic neque natura in naturalibus. Sola autem illa omnium rerum architectatrix mens ante ævum scit omnia et proprie facit, ut natura solam aptitudinem, quam a rerum omnium conditore accepit, inferne præbeat; ipse autem rerum omnium conditor pro sua voluntate finem et perfectionem superne tanquam lucem quamdam porrigat. Unde etiam naturæ actus perpessio est potius. Sic enim modo facit, ut patiatur etiam: et sic movet, ut etiam moveatur. Ita nimirum natura est principium et causa motus quo movetur aliquid, et quietis qua ad quietem tendit; principium autem et causa ei rei cui primo per se et non secundum accidens inest.

3. Adjectum porro est, in quo inest, ob ea quæ arte constant. Hæc enim extra se causas habent. Ædificatoria enim domus quidem causa est; extrinsecus autem eam facit, et non est in domo. (In ædificatore quippe est.) Quapropter nec ædificatoria est natura domus.

4. Adjectum est item primo, quia etiam lectus in seipso principium **94** motus et quietis habet. Nam si ex superiore loco demissus fuerit, in inferiorem fertur. Sed non primo inest lecto motus ejusmodi principium, verum ligno, ac per illud demum lecto. Ac ob id ne naturalis quidem dicitur lectus, sed artificialis. Quatenus enim lectus est, naturam non habet.

5. Adjectum est per se et non secundum accidens [12], qui ægrotans medicus seipsum sanare potest, atque ita principium et causam motus et mutationis in sanitatem in seipso habebit; et primo, non tamen per se. Non enim qua ægrotans principium motus in sanitatem in scipso habet; sed per accidens, quatenus accidit, ut, qui ægrotabat, esset medicus.

6. Naturalia igitur motionis causam in seipsis, artificialia autem extrinsecus habent. Neque enim artifex, neque ars in seipsis [causam motus habent.] Etenim gleba ad inferiora fertur, cum extrinsecus non moveatur; lectus autem extrinsecus figuratur. Et causa quidem cur gleba, cum ad integrum suum elementum pervenerit, quiescat, intus est; cur autem lectus figuratus sit, extrinsecus ab artifice est. Nam et in iis quæ natura et quæ arte constant, **95** unde motus, inde etiam quietis est principium.

7. Porro non omnia quæ natura moventur, secundum omnem sui motus speciem quiescere necesse est; sed quædam cum moveantur, quietem etiam motui succedentem habent; quædam autem ita in loco moventur, ut nunquam ipsis quod hunc motum accidat quiescere. Ac propterea natura, quæ principium et causa motus et quietis exsistit, iis quæ moventur hoc præstat ut moveantur; iis quæ quiescunt, hoc ipsum ut quiescant; omnibus autem in universum naturalibus, ut moveantur et quiescant [suppeditat]. Atque ad hunc modum na-

[12] 2 Phys. c. 1, t. 3.

A ἡ φύσις. Πάντα δὲ μόνως ὁ δημιουργὸς νοῦς προαιωνίως ἐπίσταται καὶ κυρίως ποιεῖ, μόνην ἐπιτηδειότητα κάτωθεν παρεχομένης τῆς φύσεως, ἣν ἔλαβεν ἀπὸ τοῦ δημιουργοῦ, αὐτοῦ δὲ τοῦ δημιουργοῦ κατὰ τὸ οἰκεῖον βούλημα τὸ τέλος ἄνωθεν ἐπιλάμποντος. Ὅθεν καὶ ἡ τῆς φύσεως ἐνέργεια πάθος μᾶλλόν ἐστι. Πάσχουσα γὰρ ποιεῖ καὶ κινουμένη κινεῖ. Οὕτως ἐστὶν ἡ φύσις ἀρχὴ καὶ αἰτία (τῆς) κινήσεως τῆς κατὰ τὸ κινεῖσθαι, καὶ ἠρεμίας τῆς κατὰ τὸ ἠρεμίζεσθαι· ἀρχὴ δὲ καὶ αἰτία τῷ πράγματι ἐκείνῳ, ἐν ᾧ ὑπάρχει πρώτως καθ' αὑτὸ, καὶ μὴ κατὰ συμβεβηκός.

γ'. Πρόσκειται τὸ ἐν ᾧ ὑπάρχει διὰ τὰ τεχνητά.
B Ταῦτα γὰρ ἔξωθεν ἔχει τὰ αἴτια. Ἡ γὰρ οἰκοδομικὴ αἰτία μὲν ἔστι τῆς οἰκίας, ἔξωθεν δὲ ποιεῖ, καὶ οὐκ ἐν τῇ οἰκίᾳ ὑπάρχει (ἐν τῷ οἰκοδόμῳ γάρ)· διὸ οὐδὲ φύσις τῆς οἰκίας ἡ οἰκοδομική ἐστι.

δ'. Πρόσκειται τὸ πρώτως, ὅτι καὶ ἡ κλίνη ἀρχὴν ἔχει κινήσεως καὶ ἠρεμίας ἐν ἑαυτῇ. Ἀφεθεῖσα γὰρ ἄνωθεν ἐπὶ τὰ κάτω φέρεται. Ἀλλ' οὐ πρώτως τῇ κλίνῃ τῆς τοιαύτης ὑπάρχει κινήσεως ἡ ἀρχὴ, ἀλλὰ τῷ ξύλῳ καὶ δι' αὐτοῦ τῇ κλίνῃ. Ὅθεν οὐδὲ φυσικὴ λέγεται ἡ κλίνη, ἀλλὰ τεχνητή. Καθὸ γὰρ κλίνη, φύσιν οὐκ ἔχει.

ε'. Πρόσκειται τὸ καθ' αὑτὸ καὶ μὴ κατὰ συμβεβηκὸς, ὅτι ὁ νοσῶν ἰατρὸς ἰάσαιτο ἂν ἑαυτόν· καὶ οὕτως τὴν ἀρχὴν καὶ αἰτίαν τῆς εἰς τὴν ὑγίειαν κι-
C νήσεως καὶ μεταβολῆς ἕξει ἐν ἑαυτῷ καὶ πρώτως· οὐ μὴν δὲ καὶ καθ' ἑαυτό. Οὐ γὰρ ᾗ νοσῶν τὴν ἀρχὴν τῆς κινήσεως τῆς εἰς ὑγίειαν ἐν ἑαυτῷ ἔχει· ἀλλὰ κατὰ συμβεβηκὸς, καθὸ συμβέβηκε τῷ νοσοῦντι ἰατρῷ εἶναι.

ς'. Τὰ μὲν οὖν φυσικὰ τὴν αἰτίαν τῆς κινήσεως ἐν ἑαυτοῖς ἔχει. τὰ δὲ τεχνητὰ ἔξωθεν. Οὐδὲ γὰρ ἐν ἑαυτοῖς ὁ τεχνίτης, οὐδ' ἡ τέχνη. Φέρεται μὲν γὰρ ἐπὶ τὰ κάτω ἡ βῶλος οὐκ ἔξωθεν κινουμένη· σχηματίζεται δὲ ἡ κλίνη ἔξωθεν. Καὶ ἡ αἰτία δὲ τῆς ἠρεμίσεως τῇ μὲν βώλῳ, καταλαβούσῃ τὴν ἑαυτῆς ὁλότητα, ἔνδοθεν, τῷ σχηματισμῷ δὲ τῆς κλίνης ἔξωθεν ἀπὸ τοῦ τεχνίτου. Κἂν τοῖς κατὰ φύσιν γὰρ, κἂν τοῖς κατὰ τέχνην, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, ἐκεῖθεν καὶ ἡ τῆς ἠρεμίας ἀρχή.

D ζ'. Οὐ πάντα δὲ τὰ φύσει κινούμενα ἀνάγκη καὶ ἠρεμεῖν κατὰ πᾶν εἶδος τῆς τούτων κινήσεως· ἀλλὰ τινὰ μὲν κινούμενα καὶ ἠρεμίαν ἔχει διαδεχομένην τὴν κίνησιν· τισὶ δὲ κινεῖσθαι μὲν ἐν τόπῳ συμβέβηκεν, οὐδέποτε δὲ κατὰ τὴν τοιαύτην κίνησιν ἠρεμεῖν. Ὅθεν ἡ φύσις, ἀρχὴ καὶ αἰτία κινήσεως καὶ ἠρεμίας τυγχάνουσα, τοῖς μὲν κινουμένοις ἔσται τοῦ κινεῖσθαι παρεκτική· τοῖς δὲ καὶ ἠρεμοῦσι καὶ αὐτοῦ δήπου τοῦ ἠρεμεῖν· πᾶσι δ' ὁμοῦ τοῖς φυσικοῖς τοῦ κινεῖσθαί τε καὶ ἠρεμεῖν. Οὕτως ἡ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας γινώσκεται. Καὶ γὰρ οὐ μό-

OCR ABK / FR

νον τὸ αἰθέριον ἅπαν σῶμα κινεῖται κίνησιν ἄληκτον τοπικήν, ἀλλὰ δὴ καὶ τὸ πῦρ, κατὰ τὸ τοιοῦτον τῆς κινήσεως εἶδος, οὐδέποτε ἠρεμεῖ. Φύσει γάρ ἐστι καὶ αὐτὸ ἀεικίνητον.

A tura motus et quietis principium esse agnoscitur. Non enim universum tantum ætherium corpus motu locali incessabili movetur, sed etiam ignis quoad hanc motus speciem nunquam quiescit. Nam ipse quoque natura ita comparatus, est, ut semper moveatur.

η'. Διαφέρει δ' ἀλλήλων τὸ φύσει καὶ τὸ κατὰ φύσιν. Ἐπιπλέον γὰρ τὸ φύσει τοῦ κατὰ φύσιν. Καὶ φύσει μὲν λέγεται πᾶν τὸ παρακολουθοῦν καὶ συμβαῖνον τῇ φυσικῇ οὐσίᾳ, καθὸ τοιαύτη· οἷον τῷ σώματι τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν. Ἀλλὰ τὸ μὲν ὑγιαίνειν κατὰ φύσιν λέγομεν, ὡς ἀποβαῖνον κατὰ τὸ (τῆς) φύσεως βούλημα· τὸ δὲ νοσεῖν, παρὰ φύσιν· καὶ τῷ πυρὶ φύσει μὲν καὶ κατὰ φύσιν ἡ ἐπὶ τὰ ἄνω φορά· ἡ δ' ἐπὶ τὰ κάτω διὰ (τῆς) βαρείας ὕλης καθολκὴ νοῦ πυρὸς φύσει καὶ οὐ κατὰ φύσιν. Οὐδὲ γὰρ ἡ φύσις βούλεται τὴν τελειωτικὴν τοῦ εἴδους ἐνέργειαν παραβλάπτεσθαι.

8. Porro [13] τὸ natura et secundum naturam esse differunt: quippe τὸ natura latius patet quam secundum naturam. Et natura quidem dicitur, omne quod naturalem substantiam, quatenus talis est, comitatur, eique accidit, veluti corpori sanum esse **96** et ægrotare. Sed sanum esse secundum naturam dicimus, ut secundum naturæ voluntatem eveniens; ægrotare autem præter naturam. Et igni quidem natura et secundum naturam inest, ut in superiora loca feratur; at cum ignis in inferiorem B locum per gravem materiam deprimitur, id natura et non secundum naturam fit. Neque enim natura eum actum qui speciem perficit oblædi vult.

θ'. Καὶ τὰ ἐκ γενετῆς δὲ πηρώματα, καὶ τὰ ἐν στερήσει, καὶ ὅλως τὰ ἀποτεύγματα φύσει μὲν λέγεται διὰ τὸ κατ' ἐνέργειαν γίνεσθαι φύσεως, παρὰ φύσιν δὲ καὶ οὐ κατὰ φύσιν, ὅτι μηδ' ἡ φύσις εἴς τι τοιοῦτον ὁρᾷ. Γίνεται δὲ τοῦ τέλους ἁμαρτία ἔστιν ὅτε, ὥσπερ ἐν τοῖς ἔργοις τῆς τέχνης παρὰ τὸν τῆς τέχνης σκοπόν· οὕτω κἀν τοῖς ἔργοις τῆς φύσεως παρὰ τὸ τῆς φύσεως βούλημα· ὅθεν ἢ διὰ πλεονασμὸν ὕλης, ἢ δι' ἔλλειψιν, ἢ διὰ παρατροπὴν ἀποτυγχάνειν ἡ φύσις λέγεται τοῦ σκοποῦ. Κἀντεῦθεν τὰ παρὰ τὴν φυσικὴν συνήθειαν ἀποτεύγματα γίνονταί τε καὶ λέγονται.

9. Et vero etiam naturæ vitia ab ortu contracta, et quæ in privatione consistunt, et ut summatim dicam, quæ præter intentionem fiunt, natura quidem dicuntur, propterea quod secundum naturæ actionem fiunt; sed præter naturam et non secundum naturam, quia ne natura quidem ejusmodi quid respicit. Sicut autem in artis operibus præter artis intentionem, ita in naturæ operibus præter naturæ voluntatem nonnunquam a fine aberratur Unde vel propter redundantiam, vel propter defectum, vel propter depravationem materiæ, natura a scopo aberrare dicitur. Atque hinc præter con C suetudinem naturalem infelices successus oriuntur et dicuntur.

ι'. Διαφέρει δὲ καὶ τὸ παρὰ φύσιν καὶ ὑπὲρ φύσιν, ἐκτροπαὶ καὶ ἄμφω τοῦ κατὰ φύσιν τυγχάνοντα, τῷ τὸ μὲν ὑπὲρ φύσιν ἐκτροπὴν ὑπάρχειν τοῦ κατὰ φύσιν ἐπὶ τὸ κρεῖττόν τε καὶ ὠφέλιμον, τὸ δὲ παρὰ φύσιν ἐκτροπὴν τοῦ κατὰ φύσιν ἐπὶ τὸ χεῖρον καὶ βλαβερόν· καὶ ὅτι τὸ μὲν παρὰ φύσιν ἔργον ἐστὶ φυσικῆς ἀσθενείας, τὸ δ' ὑπὲρ φύσιν θείας δυνάμεως.

10. Differunt autem et præter **97** naturam, et supra naturam, quæ ambo quoque ab eo quod secundum naturam est, deflexiones sunt; quia id quod supra naturam est ab eo quod secundum naturam est ad præstantius aliquid et utilius, quod autem præter naturam est, ab eo quod secundum naturam est, ad deterius et exitiale deflectat; et quia id quod præter naturum est, naturalis imbecillitatis opus, quod est supra naturam, divinæ potentiæ opus sit.

---

## SYNOPSIS CAPITIS VIII.

### ADHUC DE NATURA.

1. *Philosophorum de natura discrepantes opiniones recenset, quorum alii materiam, alii formam alii compositum ex materia et forma, alii ipsam productionem rei naturalis appellarunt naturam.* — 2. *Nomen quidem* φύσεως *ultimo enumerato significato, sed notionem causæ efficienti rerum naturalium proximæ respondere dicit, quod exemplo etiam artis statuariæ docet, cujus et naturæ ex Aristotelis quidem sententia quintuplicem analogiam cum una differentia exponit.* — 3. *Eamdem analogiam artis statuariæ et naturæ ex sententia Platonis indicat, quam etiam magis probat* **98** *uti Christianæ religioni magis consentaneam.* — 4. *Disputationem de natura duobus capitibus pertractatam concludit et breviter naturæ effecta repetit.*

---

D

## ΚΕΦΑΛ. Η'.

### Ἔτι περὶ φύσεως.

α. Ἔνιοι μὲν τὴν ἐν ἑκάστῳ ὕλην ἐκάλεσαν φύ-

## CAPUT VIII.

### *Adhuc de natura*

1. Nonnulli materiam quæ in unaquaque re est

[13] 2 Phys. c. 1, 5.

OCR ABK / FR

naturam vocaverunt, hoc est, id quod in unaquaque re naturali primo inest, concinnitatis expers, ut statuæ quidem naturam esse æs, lecti lignum, et alterius cujuspiam arte factæ rei, aliud, naturalis autem omnis corporis, primam et qualitatis expertem materiam. Materiam autem dixerunt naturam propterea quod in omnibus mutationibus remaneat, eamdemque semper sit. Aliqui contra formam quæ materiam ambit, naturam nuncuparunt; quia secundum naturale nomen materia non dicatur, priusquam forma susceperit; quemadmodum neque æs dicitur statua, antequam statuæ formam acceperit; ut materia tantum potestate sit, cum unaquæque res actu designetur et exprimatur. Qui perfectius [14] quam priores de natura conjecturam facere videntur. Alii compositum ex materia et forma naturam dixerunt, propterea quod homo ex homine, bos ex bove, et ut **99** breviter dicam, compositum ex composito oriatur. Hoc autem natura, non natura est. Alii quasi productionem, et generationem et motum, quo a producente producitur productum, hanc naturam esse existimarunt. Quemadmodum enim in vestimento est id quod texit, hoc est textor; et quod texitur, hoc est vestimentum; et tertio loco textura quæ motus quidam est ab efficiente in id quod efficitur; sic in re naturali est id quod producit, et quod producitur, et quæ inter utrunque interjecta est φύσις [natura], quam motum et mutationem dicebamus.

2. Naturæ ergo nomen huic φύσει (naturæ), τῇ οἷον ἐκφύσει (quæ est quasi productio) convenit; at notio nominis ei quæ propri φύσις est, quadrat; quæ res natura constantes procreat et producit, atque omnium rerum naturalium proxime efficiens causa est. Quemadmodem enim statuæ causa est ars statuaria, aliarumque arte constantium rerum sunt aliæ artes; eodem modo naturalium etiam operum natura causa est, quemadmodum ex proportione agnoscitur. Nam æri quidem materia qualitatis expers; formæ autem statuæ, **100** naturalis forma: jam æris motui ad recipiendam statuæ formam, ipsa velut productio, hoc, naturalis motus et mutatio: statuariæ porro arti, quæ æri causa motus est, hoc est, ipsum æs ad statuam omnibus numeris absolvendam movet et componit, ea quæ propria natura dicitur; ipsi denique statuæ, quod ex materia et forma est compositum, proportione respondet, quod naturæ opus est: perinde ut artis statuariæ, statua. Verum in artis quidem operibus motus causa extrinsecus exsistit, cum sit in artifice et ex ipso operetur; in naturalibus autem operibus intus est, cum naturalibus operibus ipsi sit insita. Quo etiam ars et natura a se invicem differunt. Atque hæc quidem ad Aristotelis scopum accedunt, qui naturam efficientem causam constituit.

3. Quod autem Plato melius de hoc disserat, dum principem mentem, efficientem omnium causam

[14] 2 Phys, c. I, t. 11. 12.

A στιν, ἤτοι τὸ πρώτως ἐν ἑκάστῳ τῶν φυσικῶν ὑπάρχον ἀῤῥύθμιστον· ὡς ἀνδριάντος μὲν φύσιν εἶναι χαλκὸν, κλίνης δὲ ξύλον, καὶ ἄλλου τῶν τεχνητῶν ἄλλο· τοῦ φυσικοῦ δὲ παντὸς σώματος τὴν πρώτην ὕλην καὶ ἄποιον. Εἰρήκασι δὲ φύσιν τὴν ὕλην, διὰ τὸ ὑπομένειν ἐν ταῖς παντοίαις μεταβολαῖς, καὶ τὴν αὐτὴν εἶναι διαπαντός. Τινὲς δὲ περὶ τὴν ὕλην εἶδος φύσιν ὠνόμασαν, διὰ τὸ μὴ λέγεσθαι τὴν ὕλην κατὰ τὸ φυσικὸν ὄνομα, πρὶν τὸ εἶδος ἀπολαβεῖν, ὥσπερ οὐδὲ τὸν χαλκὸν λέγεσθαι ἀνδριάντα, πρὶν τὸ τοῦ ἀνδριάντος εἶδος ἀπολαβεῖν, ὡς δυνάμει μόνον οὔσης τῆς ὕλης, ἑκάστου (δὲ) τῶν πραγμάτων ἐνεργείᾳ χαρακτηριζομένου. Ἔδοξαν δ' οὗτοι τελεώτερον τῶν πρώτων στοχάζεσθαι περὶ φύσεως. Ἕτεροι τὸ σύνθετον ἐξ ὕλης καὶ εἴδους φύσιν εἰρήκασι διὰ τὸ ἄνθρωπον
B ἐξ ἀνθρώπου γίνεσθαι, καὶ βοῦν ἐκ βοὸς, καὶ ἁπλῶς ἐκ τοῦ συνθετου τὸ σύνθετον. Τοῦτο δὲ φύσει ἐστὶν, ἀλλ' οὐ φύσις. Ἄλλοι τὴν οἷον ἔκφυσιν καὶ γένεσιν καὶ κίνησιν καθ' ἣν ὑπὸ τοῦ φύοντος φύεται τὸ φυόμενον, ταύτην εἶναι φύσιν ὑπέλαβον. Ὥσπερ γὰρ ἐπὶ τοῦ ἱματίου τὸ ὑφαῖνόν ἐστιν, ἤγουν ὁ ὑφάντης, καὶ τὸ ὑφαινόμενον, ἤτοι τὸ ἱμάτιον, καὶ τρίτη ἡ ὕφανσις κίνησίς τις οὖσα ἀπὸ τοῦ ποιοῦντος ἐπὶ τὸ γινόμενον· οὕτως ἐπὶ τοῦ φυσικοῦ τὸ φῦον καὶ τὸ φυόμενον, καὶ μεταξὺ ἀμφοῖν ἡ τοιαύτη φύσις, ἡ οἷον ἔκφυσις ἣν ἐλέγομεν καὶ μεταβολήν.

β'. Τὸ μὲν οὖν ὄνομα τῆς φύσεως προσήκει ταύτῃ τῇ φύσει, τῇ οἷον ἐκφύσει· ἡ δὲ τοῦ ὀνόματος ἔννοια τῇ κυρίως ἐφαρμόζει φύσει, τῇ φυούσῃ καὶ ἀναβλα-
C στανούσῃ τὰ φυσικὰ, καὶ ποιητικῇ αἰτίᾳ οὔσῃ κατὰ τὸ προσεχὲς ἁπάντων τῶν φυσικῶν. Ὥσπερ γὰρ τοῦ ἀνδριάντος (ἡ) αἰτία ἡ ἀνδριαντοποιητικὴ τέχνη καὶ τῶν ἄλλων τεχνικῶν ἔργων αἱ λοιπαὶ τέχναι· τὸν αὐτὸν τρόπον καὶ τῶν φυσικῶν ἔργων ἡ φύσις αἰτία ἐστὶν, ὡς ἐξ ἀναλογίας γινώσκεται. Ἀναλογεῖ γὰρ τῷ μὲν χαλκῷ ἡ ἄποιος ὕλη, τῷ δὲ τοῦ ἀνδριάντος εἴδει τὸ φυσικὸν εἶδος· τῇ κινήσει δὲ τοῦ χαλκοῦ τῇ πρὸς τὸ δέξασθαι τὸ τοῦ ἀνδριάντος εἶδος, ἡ οἷον ἔκφυσις, ἤγουν ἡ φυσικὴ κίνησις καὶ μεταβολή. Τῇ ἀνδριαντοποιητικῇ δὲ τέχνῃ τῇ αἰτίᾳ τῷ χαλκῷ τῆς κινήσεως, ἤγουν τῇ κινούσῃ καὶ ῥυθμιζούσῃ τὸν χαλκὸν πρὸς ἀνδριάντος ἀπάρτισιν, ἡ κυρίως φύσις ἀναλογεῖ· αὐτῷ δὲ τῷ ἀνδριάντι τὸ ἐξ ὕλης καὶ εἴδους σύνθετον· ὅπερ ἐστὶν ἔργον τῆς φύσεως, ὥσπερ
D τῆς ἀνδριαντοποιητικῆς ὁ ἀνδριάς. Ἀλλ' ἐπὶ μὲν τῶν τῆς τέχνης ἔργων ἡ τῆς κινήσεως αἰτία ἔξωθέν ἐστιν ἐν τῷ τεχνίτῃ οὖσα, καὶ ἐξ αὐτοῦ ἐνεργοῦσα· ἐπὶ δὲ τῶν φυσικῶν ἔργων ἔνδοθεν ἔμφυτος αὐτοῖς τοῖς ἔργοις τοῖς φυσικοῖς. Καὶ τούτῳ διαφέρει τέχνη καὶ φύσις. Ταῦτα μὲν κατὰ τὸν Ἀριστοτέλους σκοπὸν τιθεμένου τὴν φύσιν αἴτιον ποιητικόν.

γ'. Εἰ δὲ κρεῖττον ὁ Πλάτων περὶ τούτων φιλοσοφεῖ, τὸν ἀρχικώτατον νοῦν αἴτιον ποιητικὸν ἁπάντων

OCR ABK / FR

ἀποφαινόμενος, ὀργανικὸν καὶ τὴν φύσιν αἴτιον, εἴτουν συναίτιον, ἐκ τῆς αὐτῆς ἀναλογίας ἔξεστι τῷ βουλομένῳ κατανοεῖν. Ὅτι μὲν οὖν τὸ φυσικὸν σῶμα καὶ ὕλην ἔχει καὶ εἶδος (ἐκ τούτων γάρ), καὶ ὅτι γενητόν, καὶ διὰ τοῦτο κίνησιν ἔχει τὴν ἐπὶ γένεσιν, καὶ πρὸ πάντων τὸ τῆς κινήσεως αἴτιον (κινήσεως γὰρ οὔσης, πάντως ἔστι τι τὸ κινοῦν), ταῦτα πᾶσι τοῖς λόγου μετέχουσιν ὡμολόγηται. Τοίνυν κατὰ τὴν προειρημένην ἀναλογίαν ἀναλογείτω μὲν τῷ χαλκῷ τῷ δυνάμει ἀνδριάντι ἡ πρώτη καὶ ἀνείδεος ὕλη καὶ ἄμορφος, ἡ μόνον ἔχουσα τὸ δυνάμει, ἤγουν ἡ οὖσα δυνάμει πάντα τὰ φυσικά, ταυτὸν δ' εἰπεῖν, τὰ σωματικά. Τῷ εἴδει δὲ τοῦ ἀνδριάντος τὸ φυσικὸν εἶδος τὸ τῆς ὕλης μορφωτικόν· ἡ δὲ τοῦ δυνάμει ἐνέργεια, ἤγουν ἡ κίνησις καθ' ἣν ἐνεργεῖται τὸ δυνάμει προαγόμενον εἰς τὸ ἐνεργείᾳ, τῇ τοῦ χαλκοῦ πρὸς τὸ ἀνδριαντοποιηθῆναι κινήσει ἀναλογείτω, τῇ διαλύσει, τῇ διαπλάσει, τῇ διαξέσει. Κατὰ ταῦτα γὰρ ὁ δυνάμει ἀνδριάς, ἤγουν ὁ χαλκός, κινεῖται πρὸς τὸ γενέσθαι τῇ ἐνεργείᾳ ἀνδριάς. Τὸ δ' αἴτιον τῆς κινήσεως τῇ ὕλῃ, καθ' ἣν κίνησιν τὸ δυνάμει αὐτῆς ἐνεργεῖται, τουτέστι καθ' ἣν κίνησιν ἐκ τοῦ δυνάμει εἶναι σῶμα φυσικὸν ἡ ὕλη προάγεται εἰς τὸ ἐνεργείᾳ εἶναι σῶμα φυσικὸν (τοῦτο δὲ τὸ αἴτιον τὴν φύσιν ἐλέγομεν), ἀναλογείτω τῇ ἀνδριαντοποιητικῇ τέχνῃ. Τῷ ἀνδριαντοποιῷ γοῦν αὐτῷ τῷ τεχνίτῃ τί τὸ ἀναλογοῦν, ἢ πάντως ὁ πρῶτος καὶ ἀληθὴς τεχνίτης καὶ δημιουργός, ὅς ἐστιν ὁ Θεός; Δυνατὸν οὖν τὴν τέχνην ἐκτὸς εἶναι τοῦ τεχνίτου; Καὶ πῶς ἔσται τεχνίτης οὗτος τὴν τέχνην οὐκ ἔχων ἐν ἑαυτῷ; Ἢ γοῦν οἱ τῇ τέχνῃ τὴν φύσιν εἰκάζοντες δώσουσιν εἶναι τὴν φύσιν παρὰ (τῷ) Θεῷ καὶ Θεοῦ σοφίαν καὶ γνῶσιν ταύτην καλέσουσιν, ἢ οἱ λέγοντες τὴν φύσιν ἐνυπάρχειν τοῖς φυσικοῖς τόν, Θεὸν τῆς ἑαυτοῦ σοφίας καὶ γνώσεως ἀλλοτριώσουσι. Μή ποτε γοῦν, ἐπείπερ ἐν ταῖς τέχναις καὶ ὄργανά εἰσιν ὑπουργικά, βέλτιον εἰπεῖν τὴν φύσιν ὀργάνῳ μᾶλλον ἀναλογεῖν θείᾳ ῥοπῇ κινουμένην, καὶ ἄλλοτε ἄλλως τὰ φυσικὰ μετατιθεμένην καὶ μετατρέπουσαν, οἷς ὁ δημιουργὸς ἐπίσταται λόγοις κατὰ τὴν ἔμφυτον αὐτοῦ σοφίαν καὶ ἀκατάληπτον, τὴν τῶν ὅλων ποιητικὴν καὶ συνεκτικὴν καὶ διακυβερνητικήν.

δ'. Τοσαῦτα καὶ περὶ φύσεως, ἥτις ἐστίν, ὡς εἴρηται, τοῖς μὲν κινουμένοις μόνον, ἀρχὴ κινήσεως, τοῖς δὲ κινουμένοις καὶ ἠρεμοῦσιν, ἀρχὴ κινήσεως καὶ ἠρεμίας, ἀρχὴ καὶ αἰτία προσεχής· τὸ κινεῖν ἔχουσα καὶ ἠρεμίζειν τὰ ὑπὸ τὴν αἴσθησιν, τοιῶσδέ πως ἕκαστον, κατὰ τὴν νεῦσιν τοῦ μόνου σοφοῦ ἀρχιτέκτονος καὶ πανταιτίου Θεοῦ.

A pronuntiat, ex eadem proportione volenti perspicere licet. Quod igitur naturale corpus et materiam et formam habeat (ex his enim constat), quodque generatum sit, et quod motum **101** ad generationem habeat, et ante omnia motus causam (quippe si motus sit, omnino quippiam movens esse necesse est); hæc apud omnes ratione præditos in confesso sunt. Quapropter secundum prædictam proportionem æri quod potestate est statua, prima et speciei expers, et informis materia, quæ hoc tantum habet, ut potestate sit; hoc est, quæ potestate est res omnis naturalis sive quod idem dictu est, omne corpus, proportione respondeat: at formæ statuæ forma naturalis quæ materiam informat. Jam vero actus ejus quod potestate B est, hoc est, motus quo efficitur id quod ex potestate esse ad actu esse producitur: æris motui ad hoc ut statua conficiatur, hoc est, dissolutioni, effictioni, expolitioni analogice respondeat. Secundum hoc enim id quod potestate est statua, hoc est æs, ad id movetur ut actu fiat statua. Quod denique materiæ causa motus est, quo motu ab eo quod potestate est corpus naturale ad hoc ut actu sit corpus naturale, materia producitur (atqui hanc causam, naturam dicebamus), statuariæ arti eadem proportione respondeat. Statuario igitur ipsi et artifici quid est quod **102** proportione respondeat, quam omnino primus ille et verus artifex atque conditor qui est Deus? Fierine igitur potest, ut ars sit extra artificem? Et quo tandem modo hic erit artifex, qui artem in se non habeat? Qui igi- C tur arti naturam comparant, aut naturam apud Deum esse concedent, Deique sapientiam et cognitionem eam appellabunt: aut si naturam in rebus naturalibus inesse dicent, Deum a sua sapientia et cognitione removebunt. Nunquid igitur cum in artibus etiam instrumenta administra sint, melius erit dicere, naturam cum instrumento potius habere proportionem, quæ divino nutu moveatur, et alias alio modo res naturales transponat et invertat, rationibus nimirum iis, quas ipse conditor pro sua sibi insita et omnium hominum comprehensionem effugiente sapientia, qua universa hæc efficit, tuetur et gubernat, cognitas habet?

4. Et hæc etiam de natura, quæ, ut dictum, illis quæ duntaxat moventur, principium motus: iis D quæ moventur et quiescunt, motus et quietis principium, principium inquam et causa proxima: hoc habens, ut moveat, et ad quietem **103** perducat, ea quæ sub sensum cadunt, certo singula modo pro unius illius sapientis architecti omniumque rerum auctoris Dei nutu et arbitrio.

## SYNOPSIS CAPITIS IX,

### QUOD EST DE LOCO ET TEMPORE.

1. *Ea quæ sunt, quadrifariam dividit, in motus, motuum principia, ea quæ moventur, et denique ea quæ sunt horum gratia; et præterea corporis, loci, motus, et temporis mutuam* σχέσιν *seu affectionem proponit.* — 2. *Locum describit et descriptionem paraphrastice explicat, et primo genus quare superficies dicatur probat, et participatione locati dimensionibus longitudinis et latitudinis subjectum*



OCR ABK/ FR

ὁ τόπος ἐστὶ καὶ διαστατὸς κατὰ μέθεξιν τοῦ ἐν τόπῳ· ἐπιφάνεια γάρ ἐστιν· ἡ δ' ἐπιφάνεια καὶ ἀσώματος ὑπάρχει καὶ κατὰ μῆκος καὶ πλάτος διαστατή.

γ'. Τῶν μὲν οὖν ἐντὸς τοῦ οὐρανοῦ σωμάτων ἁπάντων τόπος ἐστὶν ἡ κοίλη τοῦ οὐρανοῦ ἐπιφάνεια. Εἰ γὰρ καὶ κινεῖται ὁ οὐρανὸς κατὰ τὴν τῶν μορίων φορὰν, ἀλλ' ἕτερον τρόπον ἀκίνητός ἐστι, καθὸ μὴ μεταλλάσσει τόπον ὅλως ὁμοῦ. Καθ' ὅλον μὲν οὖν ἀκίνητός ἐστι· κατὰ μέρη δὲ κινητός τε καὶ ἀκίνητος καὶ ὁμαλεστάτην τὴν κίνησιν καὶ ἄκρως τεταγμένην ποιούμενος. Πάλιν ἡ κατὰ τὴν πρὸς τὸν ἀέρα συναφὴν ἐπιφάνεια τοῦ αἰθέρος τόπος ἐστὶ τῶν ὑπὸ σελήνην στοιχείων καὶ τῶν λοιπῶν σωμάτων τῶν κατωτέρω, καὶ ἑξῆς μέχρι καὶ τῶν ἐπὶ μέρος σωμάτων καθολικώτεροι τόποι καὶ μερικώτεροι εὑρεθήσονται.

δ'. Καὶ ὁ προσεχὴς τόπος, ἐκεῖνος καὶ ἰδιαίτερος, ὅς ἐστιν ἡ κατὰ τὴν πρὸς τὸ περιέχον σῶμα συναφὴν ἐπιφάνεια τοῦ ἀέρος, ἢ τοῦ ὕδατος ἢ τῆς γῆς, μὴ μεταῤῥέοντος δηλονότι τοῦ ὕδατος, ἵνα μὴ ὡς ἐν ἀγγείῳ μᾶλλον ἢ ὡς ἐν τόπῳ τὸ ἐν ἐκείνῳ σῶμα ὑποληφθείη διὰ τὸ μεταφορητὸν τοῦ τόπου τοῦ ἐν τῷ ὕδατι· καὶ μάλιστα εἰ καὶ τὸ σῶμα συμμεταφέροιτο. Ὁ μὲν οὖν εἰρημένος τόπος ὁ κατὰ τὴν περιοχήν ἐστι καὶ ὑποδοχήν. Καὶ γὰρ ἕκαστον τῶν περιεχόντων γίνεται τόπος τῷ περιεχομένῳ, καὶ ὡς περιεκτικὸς αὐτοῦ, καὶ ὡς ὑποδεκτικός.

ε'. Καὶ οὗτός ἐστιν ὁ πλατυκῶς λεγόμενος τόπος ὃς καὶ ἀκίνητός ἐστι καὶ χωριστὸς ἄλλοτε ἄλλως γινόμενος κατὰ τὴν τῶν σωμάτων μετάστασιν. Ἔοικε δὲ κατὰ λόγον ἀκριβέστερον ὁ τόπος, μέτρον εἶναι τῆς τῶν κειμένων θέσεως· ὥσπερ καὶ ὁ χρόνος μέτρον ἐστὶ τῆς τῶν κινουμένων κινήσεως. Διττὴ δὲ ἡ θέσις, ἡ μὲν οὐσιώδης, ἡ δ' ἐπείσακτος. Διττὸς οὖν καὶ ὁ τόπος, ὁ μὲν κατὰ φύσιν, ὁ δὲ κατὰ συμβεβηκός. Ἀλλὰ καὶ ἡ οὐσιώδης θέσις διττή, ἡ μὲν κατὰ τὸν εὐθετισμὸν καὶ τὴν εὐταξίαν τῶν οἰκείων μορίων ἑκάστου πράγματος, ὡς ὅλου θεωρουμένου, καθ' ἣν κεφαλὴ μὲν καὶ χεῖρες καὶ πόδες καὶ τὰ λοιπὰ τῶν μορίων ἐπὶ ζώου τοιῶσδε κεῖται πρὸς ἄλληλά τε καὶ πρὸς τὸ ὅλον ζῶον καὶ τὸ ὅλον πρὸς τὰ μέρη· ῥίζαι δὲ καὶ στελέχη καὶ κλάδοι ἐπὶ φυτῶν ὁμοίως· ἡ δὲ κατὰ τὸν τοῦ ὅλου ὡς μέρους πρὸς τὸ ὁλικώτερον ἀναφοράν. Ὡς γὰρ τῶν μερῶν ἕκαστον καθ' ἑαυτὸ μὲν ὅλον τί ἐστι, πρὸς δὲ τὸ ὅλον λέγεται μέρος· οἷον ἡ κεφαλὴ καθ' ἑαυτὴν μὲν ὅλη τυγχάνει, μέρος δὲ τοῦ σώματος λέγεται· τὸν αὐτὸν τρόπον καὶ τὸ ὅλον πρὸς ὁλικώτερον ἄλλο, μέρος ἐστίν· οἷον ἡ γῆ καθ' ἑαυτὴν μὲν ὅλη ἐστὶ, πρὸς δὲ τὸ σύμπαν τοῦ κόσμου λέγεται μέρος. Διττὸς οὖν ἐστι καὶ ὁ κατὰ φύσιν τόπος· ὁ μὲν τῶν οἰκείων μορίων ἑκάστου εὐθετισμὸς, ὁ δὲ ἀφορισμὸς καὶ κλη-

Proinde [17] locus corporis expers est secundum participationem ejus quod in loco est, dimensioni subjicitur; quippe superficies est, superficies autem et corpore vacat, et secundum longitudinem et latitudinem dimensioni est obnoxia.

3. Eorum igitur omnium quæ intra cœlum sunt corporum locus est concava cœli superficies. Nam[18] etsi quoad partium lationem movetur cœlum, alio tamen modo est immobile; quatenus locum in totum simul non immutat. Itaque quoad totum, est immobile; quoad partes autem mobile; motuque æquabilissimo et ordinatissimo cietur. Rursus ea ætheris **108** superficies, qua cum aere conjungitur, elementorum infra lunam et reliquorum inferiorum corporum locus est. Et sic deinceps usque ad particularia corpora, ampliora et angustiora loca reperientur.

4. Et propinquus ille locus idem etiam magis est proprius, qui secundum copulationem cum continente corpore superficies est aeris, aut aquæ, aut terræ, non transfluente videlicet aqua, ne ut in vase potius quam ut in loco corpus quod in eo est accipiatur, quia transferri potest locus qui in aqua est, ac tum præsertim, cum etiam corpus simul transfertur. Atque hic quidem locus comprehensionis et susceptionis ratione exsistit. Quodvis enim eorum quæ continent locus fit ei quod continetur, cum quod ipsum comprehendat, tum quod suscipiat.

5. Atque hic latiore significatione dictus locus est, qui etiam est immobilis et separabilis, et alias alius pro corporum migratione efficitur. At vero locus, si accuratius loquamur, situs rerum earum quæ positæ sunt mensura esse videtur, quemadmodum etiam tempus motionis earum rerum quæ moventur mensura est. Duplex autem situs est: unus essentialis, alter **109** adventitius. Proinde etiam locus duplex est: unus ad naturam pertinens, alter ex accidente. Sed et essentialis situs duplex est. Unus ratione concinnæ et ordinatæ collocationis partium cujuslibet rei quatenus ut totum consideratur, juxta quam caput quidem et manus et pedes et cæteræ partes animalis certo quopiam modo sitæ sunt cum ad se invicem, et ad totum animal, tum ipsum totum [animal] ad partes; radices item et stipites et rami in plantis similem in modum. Alter autem ratione ea qua totum ut pars ad id quod latius patet, refertur. Quemadmodum enim partium quælibet per se quidem totum est aliquid, ad totum autem relata pars dicitur: veluti caput per se quidem totum exsistit, pars autem corporis dicitur: eumdem ad modum totum etiam ad aliquid latius patens si referatur, pars est; exempli gratia, terra per se quidem to-

[17] 4 Phys. c. 3, t. 8, 10. [18] 4 Phys. c. 7. t. 74.

OCR ABK / FR

tum est ratione autem totius mundi, pars dicitur Duplex est igitur etiam naturalis locus : unus propriarum cujusque rei partium apta et concinna collocatio;alter separatio et sors ad continendas singulas totius mundi partes.Quo **110** significatu locus terræ dicitur universi medium. Ac si quis terram e situ quem habet in mundi medio emoverit, propriarum equidem partium aptam collocationem in integritate sua retinebit : sed tum ut universitatis pars situm suum non habebit. Quapropter etiam ipsa tota demissa ad medium feretur, tametsi partes ipsius collocationem [conjunctionem localem] mutuam retineant, cum ipsa etiam extra medium existere cogitatione concipiatur. Hujus loci gratia, et ea quæ moventur, naturaliter [18]. et quæ consistunt, partim moventur, partim consistunt ; ut quæ moventur, tanquam partes, situm apprehendant ; quæ consistunt, in loco sibi ut partibus attributo, suaviter commorentur.

6. Hac igitur ratione locus non erit extremitas continentis [corporis]. Quomodo enim continentis corporis extremitas fuerit ordinis et separationis causa cum ipsa potius extremitas ab eis quæ in ipsa sunt et ab ipsa continentur, definiatur. Propriarum ergo cujusque rei partium apta et conveniens collocatio est locus inseparabilis, sive moveatur sive quiescat res. Nam idem semper manet **111** donec res exstiterit. Reliquus autem locus separatur. Quando enim moventur corpora, cum ipsis juxta non movetur. quæ de causa etiam quæ secundum locum moventur, quodammodo in loco esse, quodammodo in loco non esse dicuntur. In loco enim his ut partibus de signato non sunt. Alias enim quiescerent, si hunc locum tenerent. At in loco corporibus aliis separato sunt, ut in aere verbi gratia aut aqua.

7. Atque hic est is locus qui latiore significatione sic dicitur, aliis quidem assignatus, ex accidente autem eorum quæ moventur locus effectus. Nam motus quo aliquid secundum locum movetur, alias alios situs assumit, intermedio aere aut aqua divisis donec prætererit id quod valentius est. Atque situs quem accipit id quod movetur, partium aeris aut aquæ situs est ; fit autem etiam ei quod movetur,situs adventitius. Quod igitur ipsum ut rei motum subeuntis situm metitur, ei quod movetur locus fit per accidens. Quapropter ei quod ratione loci movetur, præter aptam et convenientem suarum partium collocationem locus non est proprius. Quem enim permutat locum non is **112** illi secretus est, sed continentis aeris aut aquæ : cujus etiam alias in alia parte constitui solet id quod movetur.

8. Præclare igitur locum definiunt, qui ipsum situs eorum quæ posita sunt mensuram esse aiunt Nam hæc definitio omnem locum comprehendit,qui cum in corporibus, tum in incorporeis consideratur. Quippe et in incorporeis situs ratione ordinis intelligitur ; quemadmodum binarius ante terna-

A ρος εἰς κατοχὴν ἑνὶ ἑκάστῳ τῶν τοῦ ὅλου κόσμου μερῶν· καθὸ λέγεται τόπος τῆς γῆς τὸ μέσον τοῦ παντός. Κἂν τις ἐκστήσειε τὴν γῆν τῆς περὶ τὸ μέσον τοῦ παντὸς θέσεως, τῶν μὲν οἰκείων μερῶν τὸν εὐθετισμὸν ἐν τῇ οἰκείᾳ καθέξει ὁλότητι· τὴν δ' ὡς μέρος τοῦ παντὸς οὐχ ἕξει τότε θέσιν. Διὸ καὶ αὕτη ὅλη ἀφεθεῖσα ἐπὶ τὸ μέσον οἰσθείη ἄν· καίτοι τῶν ἐν αὐτῇ μερῶν τὴν πρὸς ἄλληλα φυλαττόντων συντόπωσιν, καὶ ὅταν αὕτη νοοῖτο ἔξω τοῦ μέσου τυγχάνουσα. Διὰ τὸν τόπον τοῦτον, καὶ τὰ κινούμενα φυσικῶς καὶ τὰ ἱστάμενα, τὰ μὲν κινεῖται, τὰ δ' ἕστηκεν· ἵνα τῆς ὡς μέρη θέσεως ἐν καταλήψει γένωνται τὰ κινούμενα· τὰ δ' ἱστάμενα τῷ ἀφορισθέντι τόπῳ τούτοις ὡς μέρεσιν ἐμφιλοχωροῦνται.

B ϛ'. Κατὰ τοῦτον οὖν τὸν λόγον ὁ τόπος οὐκ ἔσται τὸ πέρας τοῦ περιέχοντος. Πῶς γὰρ ἂν εἴη τὸ τοῦ περιέχοντος πέρας τάξεως αἴτιον ἢ ἀφορισμοῦ, αὐτὸ μᾶλλον τὸ πέρας ὁριζόμενον ὑπὸ τῶν ἐν αὐτῷ γινομένων καὶ ὑπ' αὐτοῦ περιεχομένων; Ὁ μὲν οὖν τῶν οἰκείων μορίων ἑκάστου εὐθετισμὸς ἀχώριστός ἐστι τόπος, κἂν κινῆται τὸ πρᾶγμα, κἂν ἠρεμῇ· μένει γὰρ διηνεκὴς ὁ αὐτὸς, ἔστ' ἂν ᾖ τὸ πρᾶγμα· ὁ δὲ λοιπὸς τόπος χωρίζεται. Κινουμένων γὰρ τῶν σωμάτων οὐ συγκινεῖται αὐτοῖς· διὸ καὶ τὰ κατὰ τόπον κινούμενα πῶς μὲν ἐν τόπῳ εἶναι λέγονται, πῶς δ' οὐκ ἐν τόπῳ. Ἐν μὲν γὰρ τῷ ἀφωρισμένῳ τόπῳ τούτοις ὡς μέρεσιν οὐκ εἰσίν· ἢ γὰρ ἠρέμουν τὸν τοιοῦτον τόπον κατέχοντα. Ἐν δὲ τόπῳ εἰσὶν ἀφωρισμένῳ σώμασιν ἄλλοις, τῷ ἀέρι τυχὸν ἢ τῷ ὕδατι.

C ζ'. Καὶ οὗτός ἐστιν ὁ ἐν πλάτει λεγόμενος τόπος, ἄλλοις μὲν κληρωθεὶς, κατὰ συμβεβηκὸς δὲ καὶ τῶν κινουμένων τόπος γινόμενος. Ἡ γὰρ κατὰ τόπον κίνησις θέσεων ἄλλοτε ἄλλων ἐστὶ μετάληψις τοῦ μεταξὺ ἀέρος ἢ τοῦ ὕδατος διαιρουμένου ἕως ἂν παρέλθοι τὸ ἰσχυρότερον. Καὶ ἡ θέσις ἣν μεταλαμβάνει τὸ κινούμενον τῶν τοῦ ἀέρος ἐστὶ μορίων θέσις, ἢ τῶν τοῦ ὕδατος. Γίνεται δὲ καὶ τῷ κινουμένῳ θέσις ἐπείσακτος. Τὸ γοῦν μετροῦν αὐτὴν ὡς τοῦ κινουμένου θέσιν τόπος ἐστὶ τῷ κινουμένῳ κατὰ συμβεβηκός. Ὥστε τῷ κινουμένῳ κατὰ τόπον ἴδιος τόπος οὐκ ἔστι παρὰ τὸν εὐθετισμὸν τῶν οἰκείων μερῶν. Ὃν γὰρ διαμείβει τόπον, οὐκ αὐτοῦ ὑπάρχει ἀφορισμὸς, ἀλλὰ τοῦ περιέχοντος ἀέρος ἢ ὕδατος οὗ καὶ D τὸ κινούμενον ἄλλοτε ἐν ἄλλῳ μέρει πέφυκε γίνεσθαι.

η'. Καλῶς οὖν ὁρίζονται τὸν τόπον οἱ λέγοντες αὐτὸν μέτρον εἶναι τῆς τῶν κινουμένων θέσεως. Ὁ γὰρ ὁρισμὸς οὗτος περιλαμβάνει πάντα τόπον ἔν τε σώμασιν ἔν τε ἀσωμάτοις θεωρούμενον. Καὶ ἐν ἀσωμάτοις γὰρ θέσις νοεῖται κατὰ τὴν τάξιν· ὡς λέγεται κεῖσθαι τὴν δυάδα πρὸ τῆς τριάδος, καὶ τὴν

[18] 4 Phys. c, 4, t. 48, 49.

OCR ABK / FR

τριάδα προ τῆς τετράδος· καὶ κατὰ τὴν τοιαύτην A θέσιν τόπους οἴδαμεν ἀριθμῶν. Ἔστι δὲ κἂν τοῖς σώμασι θέσις, ὡς εἴρηται, ἡ ουσιώδης καὶ ἡ ἐπείσακτος καὶ ἡ οὐσιώδης διττή. Ὥστε κατὰ τὸ τῆς θέσεως διάφορον ὁ ἀποδεδομένος τόπου λόγος τοῖς διαφόροις ἐφαρμόζει τόποις. Τί μὲν οὖν ἐστι τόπος ὑποτετύπωται.

θ΄. Χρόνος δέ ἐστιν ἀριθμὸς κινήσεως. Καλεῖται δ' ἀριθμὸς καὶ ὁ ἀριθμῶν καὶ ὁ ἀριθμούμενος, ὥσπερ λέγεται μέτρον τὸ μετροῦν τε καὶ τὸ μετρούμενον· οἷον ὁ μοναδικὸς ἀριθμὸς, ἤγουν ὁ ἐκ μονάδων συντεθειμένος, καὶ ἀριθμὸς ἵππων ἢ βοῶν. Καὶ πάλιν χοῖνιξ ἡ ξυλίνη καὶ ἡ τοῦ σίτου· καὶ ἀμφορεὺς ὁ κεράμειος καὶ ὁ τοῦ ὕδατος. Ἀλλὰ καὶ τὸ ἀριθμούμενον διττόν ἐστι, τὸ μὲν κατὰ ποσὸν, ὡς B λέγομεν δύο κινήσεις ἢ τρεῖς· τὸ δὲ κατὰ τάξιν, ὡς λέγομεν προτέραν κίνησιν καὶ ὑστέραν. Ἔστιν οὖν ὁ χρόνος ἀριθμὸς κινήσεως καὶ ὡς ἀριθμῶν καὶ ὡς ἀριθμούμενος· ἀριθμούμενος δὲ κατὰ τὴν τάξιν· ἤτοι κατὰ τὸ πρότερόν τε καὶ ὕστερον· τοῦ πρότερον καὶ ὕστερον λαμβανομένων κατὰ τὴν τοῦ εἶναι παράτασιν. Ἀριθμεῖται μὲν οὖν ὁ χρόνος ὑπὸ τῆς πρώτης καὶ ἁπλῆς κινήσεως τῆς κυκλοφορικῆς· ἀνταριθμεῖται δὲ πάλιν αὐτήν, Εἰ μὴ γὰρ ὑπὸ χρόνου ἡ τοιαύτη κίνησις, ὑπὸ τίνος ἀριθμηθείη ἄν;

ι΄. Τὴν πρώτην οὖν καὶ κυριωτάτην τῶν κινήσεων τὴν κυκλοφορίαν ὁ χρόνος μετρῶν, κατ' ἐκείνην καὶ τὰς ἄλλας κινήσεις μετρεῖ. Ὥστε τῆς μὲν κυκλοφορικῆς κινήσεως ἀριθμὸς ἔσται ὁ χρόνος καὶ ὡς C ἀριθμῶν καὶ ὡς ἀριθμούμενος· τῶν δὲ λοιπῶν κινήσεων ὡς ἀριθμῶν μόνον, οὐ μὴν καὶ ὡς ἀριθμούμενος. Οὐ γὰρ (καὶ) τῆς ἐμῆς βαδίσεως, καὶ τῆς σῆς λευκάνσεως ἀριθμός ἔσται ὁ χρόνος ὡς ἀριθμούμενος (ἐπεὶ εἰ τοῦτό γε, οὐκ ἂν ἦν ἀδιάφορος, οὐδ' ἅμα καθ' ἓν νῦν ἀφοριζόμενος), ἀλλὰ τῆς πρώτης καὶ ἁπλῆς τοῦ οὐρανοῦ κινήσεως μόνης ἀριθμητὸν ὢν ὁ χρόνος κατὰ τὸ ἐκείνης πρότερόν τε καὶ ὕστερον (τὸ γὰρ πρότερόν τε καὶ ὕστερον τῆς τοιαύτης κινήσεως ἀριθμούμενον ὁ χρόνος ἐστίν). Οὕτως ἀριθμεῖ τὰ ἐν τοῖς διαφόροις κινήσεσι πρότερά τε καὶ ὕστερα καθ' ἓν τὸ οἰκεῖον νῦν. Διὸ καὶ ἅμα πανταχοῦ ὁ αὐτός ἐστι χρόνος μέτρον ὑπάρχων πάσης κινήσεως. Χρόνῳ γὰρ μετρεῖται σύμπασα κίνησις.

D ια΄. Ὥσπερ δὲ τῶν ἄλλων κινήσεων ἐναργεστέρα ἐστὶν ἡ κατὰ (τὸν) τόπον· οὕτω καὶ ὁ ταύτῃ τῇ κινήσει συνὼν χρόνος ἐναργέστερός ἐστι τοῦ ταῖς ἄλλαις συνόντος κινήσεσι. Μή ποτε δ' ἀκριβέστερον σκοποῦντι καὶ αἱ ἄλλαι πᾶσαι κινήσεις οἷον γενέσεις, αὐξήσεις, ἀλλοιώσεις ὑπὸ τοῦ χρόνου μετροῦνται (τούτου) τοῦ τῇ τοπικῇ συνόντος κινήσει. Ὥραις γὰρ καὶ ἡμέραις καὶ μησὶ καὶ ἐνιαυτοῖς καὶ τῶν ἄλλων κινήσεων ὁρίζομεν τὴν παράτασιν.

A rium, et ternarius ante quaternarium positus esse dicitur. Atque hujus situs ratione numerorum locos novimus. Est autem etiam in corporibus situs quemadmodum dictum est, essentialis et adventitius. Et essentialis duplex. Pro differentia ergo situs assignata loci definitio diversis locis accommodatur. Quid ergo locus sit, ita designatum est.

9. Tempus autem [20] est numerus motus. Vocatur autem numerus cum is qui numerat, tum qui numeratur; quemadmodum mensura dicitur [21], tam quæ mensurat, quam quæ mensuratur. Veluti monadicus numerus, hoc est, ex unitatibus compositus; et numerus equorum aut boum. Et rursus chœnix lignea, et item tritici; et amphora figlina, et item aquæ B **113** amphora. Sed id eod numeratur, duplex est: unum ratione quantitatis, quomodo duos aut tres motus dicimus; alterum ratione ordinis, quomodo priorem et posteriorem motum dicimus. Tempus igitur motus cum ut numerans, tum ut numeratus numerus est; numerans autem secundum ordinem, sive secundum prius et posterius, priori et posteriori secundum ipsius esse extensionem acceptis [22]. Numeratur ergo tempus a primo et simplici motu circulari, vicissimque eum numerat. Nisi enim a tempore ejusmodi motus [numeraretur], a quo tandem numerabitur?

10. Dum ergo primum et maxime principalem motum, conversionem nimirum, tempus metitur, secundum illum etiam alios motus metitur. Quapropter tempus erit circularis quidem motus nu- C merus cum ut numerans, tum ut numeratus; cæterorum autem motuum ut numerans duntaxat, non item ut numeratus. Neque enim ambulationis meæ, et tuæ dealbationis tempus est numerus ut numeratus (quandoquidem si hoc ita esset, non esset indifferens, neque simul in uno puncto secerneretur); sed cum primi et simplicis motus **114** cœlestis solius sit tempus id quod numeratur secundum illius prius et posterius. (Nam prius et posterius hujus motus cum numeratur tempus est.) Sic denique ea quæ in differentibus motibus priora et posteriora sunt, secundum unum suum nunc numerat [23]. Quapropter etiam simul ubique idem tempus est quod omnis motus mensura exsistit. Tempore enim omnis mo- D tus mensuratur.

11. Quemadmodum autem omnibus aliis motibus evidentior est is qui ratione loci fit; sic etiam tempus quod cum ipso est evidentius est eo quod cum aliis motibus exsistit. Atque etiam haud scio, an non si rem accuratius consideraverimus, hoc tempus quod cum locali motu conjunctum est, cæteros etiam motus, velut generationes, augmentationes, alterationes metiatur? Per horas enim et dies et menses et annos aliorum etiam motuum extensionem definimus [24].

[20] 4 Phys. c. 16, t. 101. [21] 4 Phys. c. 16, t. 102. et c. 18, t. 110. [24] 4 Phys. c. 19, t. 118.

[22] 4 Phys. c. 16, t. 99. [23] 4 Phys. c. 17, t. 103;

OCR ABK / FR

12. Non autem motionum tantum, sed et quietum mensura tempus est. Nam et hæ a tempore per accidens mensurantur. Neque enim quatenus quietes, hoc est, motuum absentiæ sunt, eatenus mensurantur; sed quatenus et ipsa quodammodo **115** motus dici queunt. Duplex enim motus est, unus quieti oppositus, alter fluxio simpliciter et extensio, qui etiam quietem comprehendit. Tempus igitur cum id quod movetur, tum quod quiescit, metitur. Nam et motuum ejus metietur, et quietem quanta sit, hoc est utriusque eorum quantum ad essentiam attinet, extensionem. Quare ut rem paucis verbis dicam, tempus ejus fluxionis quæ in generatione est mensura est, quæ quidem communis est et motus et quietis et essentiæ in omnibus rebus quæ generantur.

13. Tempus autem dictum fuit numerus, non quod simpliciter numerus sit (quandoquidem et ipsum et continuum, quemadmodum motus et magnitudo), sed quod per distinctionem prioris et posterioris ejus, quod in continuatione est, ab iis agnoscitur, qui tempus sentire possunt, propterea numerus dicitur [25]. Nec vero simpliciter numerus est, sed et ipsa mensura est, quemadmodum numerus. Quatuor enim mensuræ sunt, numerus, magnitudo, locus et tempus. Et numerus quidem discretionem; magnitudo, distantiam; locus omnis generis situm; tempus, generationis fluxum **116** et extensionem metitur.

14. Porro tempus proprie dividitur in præteritum et futurum: et per NUNC dividitur. Estque NUNC præteriti quidem finis, futuri autem principium: temporis vero pars ne minima quidem [26]. Sed quod est in linea punctum et in motu κίνημα: hoc etiam est NUNC in tempore. Quantitatis enim et divisionis expertia sunt [27] punctum, κίνημα et NUNC. Et ita quidem se habet quod primo et per NUNC dicitur.

15. Quemadmodum autem locus dicitur, et continentis extremitas, et tota domus locus dicitur ejus qui in domo est, quatenus continentis extremitatem in se continenter habet: sic etiam NUNC dicitur [24], cum id quod primo et per se, hoc est, quod partium et divisionis expers: tum id ipsum quod ratione præsentis temporis dicitur, quod sane temporis pars est, et secundum latiorem divisionem a præterito et futuro contra distinguitur. Diciturque hoc NUNC, temporis pars; quatenus in se continenter habet, quod primo et per se NUNC dicitur. Præsens igitur tempus est, quod in utramque partem adjacet proprie dicti NUNC; particulare tempus, ex præterito et **117** futuro constans; quod ob propinquitatem, quam cum proprie dicto NUNC habet, ipsummet etiam NUNC dicitur.

A ιβ'. Οὐ μόνον δὲ τῶν κινήσεων μέτρον ἐστὶν ὁ χρόνος, ἀλλὰ δὴ καὶ τῶν ἠρεμιῶν. Καὶ αὗται γὰρ ὑπὸ χρόνου μετροῦνται κατὰ συμβεβηκός. Οὐ γὰρ καθὸ ἠρεμίαι, τουτέστιν, ἀπουσίαι κινήσεων, κατὰ τοῦτο μετροῦνται· ἀλλὰ καθὸ καὶ αὗταί πως κινήσεις λεχθεῖεν ἄν. Διττὴ γὰρ ἡ κίνησις, ἡ μὲν ἀντικειμένη τῇ ἠρεμίᾳ, ἡ δὲ ῥοὴ ἁπλῶς καὶ παράτασις, ἥτις ἐστὶ τῆς ἠρεμίας περιληπτική. Ὥστε μετρήσει ὁ χρόνος καὶ τὸ κινούμενον καὶ τὸ ἠρεμοῦν. Τὴν γὰρ κίνησιν αὐτοῦ μετρήσει καὶ τὴν ἠρεμίαν ὁπόση τις, ἤγουν ἑκατέρας αὐτῶν τὴν κατὰ τὸ εἶναι παράτασιν. Ὥστε συνελόντα φάναι, μέτρον ἐστὶν ὁ χρόνος τῆς ἐν γενέσει ῥοῆς, ἥτις ἐστὶ κοινὴ καὶ κινήσεως καὶ ἠρεμίας καὶ τοῦ ἐν πᾶσι τοῖς γινομένοις εἶναι.

B ιγ'. Λέλεκται δὲ ἀριθμὸς ὁ χρόνος, οὐχ ὅτι ἁπλῶς ἐστιν ἀριθμὸς (ἐπεὶ συνεχὴς καὶ αὐτός, ὥσπερ ἡ κίνησις καὶ τὸ μέγεθος), ἀλλ' ὡς τῷ διορισμῷ τοῦ ἐν τῇ συνεχείᾳ (προτέρου καὶ ὑστέρου) γνωριζόμενος ὑπὸ τῶν αἰσθέσθαι χρόνου δυναμένων, διὰ τοῦτο λέγεται ἀριθμός. Οὐκ ἔστι δ' ἁπλῶς ἀριθμὸς, ἀλλὰ μέτρον καὶ αὐτὸς, ὥσπερ ὁ ἀριθμός. Τέσσαρα γάρ εἰσι μέτρα, ἀριθμὸς, μέγεθος, τόπος καὶ χρόνος. Καὶ ὁ μὲν ἀριθμὸς τὴν διάκρισιν μετρεῖ, τὸ δὲ μέγεθος τὴν διαστάσιν, ὁ δὲ τόπος τὴν παντοίαν θέσιν, ὁ δὲ χρόνος τὴν τῆς γενέσεως ῥοὴν καὶ παράτασιν.

ιδ'. Διαιρεῖται δὲ ὁ χρόνος κυρίως εἰς παρεληλυθότα καὶ μέλλοντα, καὶ διαιρεῖται κατὰ τὸ ΝΥΝ. C Καὶ ἔστι τὸ ΝΥΝ πέρας μὲν τοῦ παρεληλυθότος, ἀρχὴ δὲ καὶ τοῦ μέλλοντος, χρόνου δὲ μέρος οὐδὲ τοὐλάχιστον, ἀλλ' ὅπερ ἐστὶν ἐν γραμμῇ σημεῖον· καὶ κίνημα ἐν κινήσει· τοῦτο δὲ ἐν χρόνῳ τὸ ΝΥΝ. Ἄποσα γὰρ καὶ ἄτομα τὸ σημεῖον, τὸ κίνημα καὶ τὸ ΝΥΝ. Καὶ οὕτως μὲν ἔχει τὸ πρώτως καὶ καθ' αὑτὸ λεγόμενον ΝΥΝ.

ιε'. Ὥσπερ δὲ τόπος λέγεται μὲν καὶ τὸ πέρας τοῦ περιέχοντος· λέγεται δὲ καὶ ἡ οἰκία πᾶσα, τόπος τοῦ ἐν τῇ οἰκίᾳ ὄντος, καθόσον ἔχει προσεχῶς ἐν ἑαυτῇ τὸ τοῦ περιέχοντος πέρας· οὕτω λέγεται καὶ ΝΥΝ τό τε πρώτως καὶ καθ' αὑτὸ, τουτέστι, τὸ ἀμερὲς καὶ ἀδιαίρετον, καὶ αὐτὸ δὴ τὸ κατὰ χρόνον τὸν ἐνεστῶτα λεγόμενον· ὅπερ ἐστὶ μέρος χρόνου, ἀντιδιαιρούμενον κατὰ τὴν πλατυ- D κὴν διαίρεσιν πρὸς παρεληλυθότα καὶ μέλλοντα· καὶ λέγεται ΝΥΝ τὸ τοιοῦτον τοῦ χρόνου μέρος, καθόσον ἔχει ἐν ἑαυτῷ προσεχῶς τὸ πρώτως καὶ καθ' αὑτὸ λεγόμενον ΝΥΝ. Ἐνεστὼς οὖν χρόνος ἐστὶν ὁ ἐφ' ἑκάτερα παρακείμενος τῷ κυρίως ΝΥΝ. χρόνος μερικὸς ἐκ παρεληλυθότος καὶ μέλλοντος συνεστὼς, καὶ διὰ τὴν πρὸς τὸ κυρίως ΝΥΝ γειτνίασιν, ΝΥΝ λεγόμενος καὶ αὐτός.

[25] 4 Phys. c. 19, t. 114. [26] 4 Phys. c. 19, t. 121, 125. [27] 4 Phys. c. 14, t. 89. [27] 4 Phys. c, 19, t. 122.

OCR ABK / FR

## SYNOPSIS CAPITIS X.

### QUOD EST DE INFINITO.

*1. Quinque significata infiniti recenset, quorum primum convenit partium et quantitatis expertibus ut puncto lineæ, mutato in motu, et momento in tempore. — 2. Cujus propter figuram non licet ut invenias extremitatem; seu quod progressionem quidem habet, sed ad cujus finem pervenire non possis. 3. Quod constructionis causa invium est, aut ægre transiri potest. — 4. Quod sua natura finitum est, sed propter extrinsecus adveniens impedimentum transiri non potest. — 5. Cujus semper aliqua pars sumenda restat, quale est in numero, magnitudine, et tempore. — 6. Infinitum quinti modi cum in iis quæ augentur, tum quæ dividuntur, potestate tantum inesse probat, non actu. — 7. Declarat quomodo infinitum in eo quod dividi et quod augere potest, insit. — 8. Explicat in infinitum divisio et auctio qualis actus sit, ejus nimirum quod potestate est, et actus imperfectus, quod simili motus declaratur. 9. Sententiam hactenus expositam de* **118** *infinito, quod nimirum consistat in infinita divisione et additione, auctoritate Platonis confirmat. — 10. Probat actu perfecto nullam nec magnitudinem nec multitudinem infinitam esse; idque primum ostensive argumento cœli, quod corporum quidem omnium maximum est, sed finitum tum magnitudine rerum contentarum; deinde vero etiam per impossibile supponendo arenam esse infinitam.*

A

## ΚΕΦΑΛ. Ρ.

### Περὶ ἀπείρου.

2. Porro aeris qui propter id quod vincit in eo sic dicitur, pars terræ vicina, humida est maxime et calida. Etenim siccæ quidem etiam exhalationis e terra est particeps; plus tamen vaporis humidis. Hujusmodi igitur est illius elementi quod aerem appellamus ea pars quæ terræ vicina est. Quæ autem sublimior est illa, calida jam et sicca est. Atque hic ignis ille est, qui elementaris vocatur, qui licet ignis consueto more dicatur, magis tamem proprie ὑπέκκαυμα, id est, succensio, seu fomes, vocatur. Succenditur enim sæpe exiguum

B

## ΚΕΦΑΛ. ΙΒ'.

*Περὶ τῶν φαινομένων φλογῶν καιομένων περὶ τὸν οὐρανὸν καὶ τῶν καλουμένων αἰγῶν, καὶ δαλῶν καὶ ὑαλῶν καὶ διαθεόντων ἀστέρων.*

α'. Ἄνωθεν μὲν ἀπὸ τῆς ἀρχῆς τοῦ στερεώματος μέχρι καὶ τοῦ τέρματος τῆς σελήνης τὸ αἰθέριόν ἐστι σῶμα· κάτω δ' ἐπὶ τὸ μέσον καὶ περὶ τὸ μέσον τὰ τῶν σωμάτων βαρύτατα καὶ ψυχρότατα, γῆ τε καὶ ὕδωρ· ἡ γῆ μὲν ἐπι τὸ μέσον, τὸ δ' ὕδωρ περὶ τὸ μέσον· μεταξὺ δὲ τούτων τῶν σωμάτων καὶ τοῦ αἰθέρος ὁ ἀήρ ἐστι καὶ τὸ καλούμενον στοιχειῶδες πῦρ, ἐχόμενος μὲν τῆς γῆς καὶ τοῦ ὕδατος ὁ ἀήρ· μετὰ δὲ τὸν ἀέρα τὸ πῦρ τεταγμένον τὸ στοιχειῶδες, ἄλλο τυγχάνον παρὰ τὸ ἐντελεχείᾳ πῦρ, ἤγουν τὸ διακονικὸν, ὅπερ ἐστὶν ὑπερβολὴ, καὶ οἷον ζέσις θερμοῦ.

C β'. Τοῦ δὲ λεγομένου ἀέρος διὰ τὸ ἐπικρατοῦν ὅσον μὲν περὶ τὴν γῆν ὑγρόν ἐστι μάλιστα καὶ θερμὸν (μετέχει μὲν γὰρ καὶ τινος ἀναθυμιάσεως ξηρᾶς ἐκ τῆς γῆς)· τὸ δὲ πλέον ἀτμίδος ἐστὶν ὑγρᾶς. Τὸ μὲν οὖν περὶ τὴν γῆν τοῦ ὑφ' ἡμῶν καλουμένου ἀέρος τοιοῦτον· τὸ δ' ὑπὲρ τοῦτο θερμὸν καὶ ξηρὸν ἤδη. Καὶ τοῦτό ἐστι καλούμενον στοιχειῶδες πῦρ, ὃ διὰ συνήθειαν λέγεται πῦρ· κυριώτερον δὲ καλεῖται ὑπέκκαυμα. Ὑπεκκαίεται γὰρ πολλάκις μικρᾶς ἐπιτυχὸν κινήσεως, καὶ πῦρ ἐντελέστατον γίνεται. Τοῦτο δὴ τὸ ὑπέκκαυμα συνεχές ἐστι τῷ αἰθέρι. Κατὰ γὰρ τὴν

[50] 1 Meteor. c. 3. [51] 2 De ortu et interitu c. 3. [52] 1 Met. c. 3.

OCR ABK / FR

κοίλην ἐπιφάνειαν τῆς σεληνιακῆς σφαίρας, τούτῳ συνάπτεται, καὶ ὥσπερ τοῦ αἰθέρος τὸ μὲν ἔστιν εἰλικρινές, τὸ δ' ἧττον καθαρόν, καὶ μάλιστα ὅσον ἐστὶ περὶ τὴν κατὰ τὸ ὑπέκκαυμα συναφήν, οἷον ὑποστάθμη τοῦ αἰθέρος ὄν· οὕτω δὴ καὶ τοῦ ὑπεκκαύματος τὸ μὲν ἔστιν ὅλως θερμὸν καὶ ξηρόν, ὅσον ἄνω μᾶλλον καὶ τοῦ αἰθέρος ἐγγύτερον, τὸ δ' ἧττον τοιοῦτον, ὅσον κατωτέρω καὶ τοῦ αἰθέρος ἀπιώτερον. Φερομένων γὰρ κύκλῳ τοῦ αἰθέρος καὶ τῶν ἐν αὐτῷ σωμάτων, τὸ προσεχὲς ἀεὶ τῇ κινήσει διακρινόμενον ἐκπυροῦται, καὶ ἔστι θερμότερον μάλιστα καὶ ξηρότερον. Ὅσον δὲ τοῦ αἰθέρος ἀφέστηκεν, ἧττον ὑπάρχει τοιοῦτον πρὸς λόγον τῆς ἀποστάσεως. Συγκινεῖται δὲ τῷ αἰθέρι κατὰ λόγον τὸ ἅπαν ὑπέκκαυμα· συμφέρεται δέ πως διὰ τὴν συνέχειαν καὶ ὁ ἑλόμενος τούτου ἀήρ· πλὴν τοῦ ὄντος ἐντὸς τῶν τῆς γῆς ἐξοχῶν καὶ ἀναπληροῦντος τὰς ἀνωμαλίας τῆς γῆς καὶ ἀπαρτίζοντος ταύτην, ὡς εἶναι σφαιροειδῆ σὺν αὐτῷ· οὗτος γὰρ οὐκ ἔτι, κύκλῳ συμπεριάγεται· διότι θολερὸς καὶ παχύς, κἀντεῦθεν βαρύτερος καὶ δυσκίνητος· ὅτι καὶ τῷ ὕδατι καὶ τῇ γῇ συγγενής· ἴσως καὶ τῶν κατὰ τὰ ὄρη ἐξοχῶν κωλυουσῶν αὐτοῦ τὴν μετάστασιν. Τούτου δὴ τοῦ ἀέρος τοῦ μὴ συγκινουμένου τῷ ὑπεκκαύματι ὅσον ἀπογειότερόν ἐστι, τοῦτο δὲ καὶ ψυχρότερον· διὰ τὸ μήθ' ὑπὸ κινήσεως μήθ' ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων ἀνακλωμένων θερμαίνεσθαι. Προσπιπτουσῶν γὰρ τῶν ἡλιακῶν ἀκτίνων τῇ γῇ, καὶ πάλιν ἐκ ταύτης ἀνακλωμένων, τῇ διπλῇ παρόδῳ θερμαίνεται, ὃ μᾶλλον προσγειότερόν ἐστι τοῦ ἀέρος· τὸ δ' ἀπογειότερον καθόσον ἀπογειότερον, κατὰ τοσοῦτον οὐ δέχεται τὴν ἐκ τῆς ἀνακλάσεως τῶν ἀκτίνων θερμότητα. Ἐξασθενοῦσι γὰρ αἱ ἀνακλάσεις, εἰς ἀχανῆ τὸν ἀέρα χεομένων τῶν ἀκτίνων καὶ σκιδναμένων.

A etiam motum consecuta et perfectissimus **145** ignis efficitur. Hæc nimirum succensio ætheri est continua; quippe quoad concavam lunaris sphæræ superficiem illi conjungitur. Ac quemadmodum ætheris pars alia quidem sincera, alia vero minus pura est, et in primis ea quæ cum succensione [53] conjungitur, quæ veluti fæx est ætheris: ita scilicet etiam fomitis pars quædam est omnino calida et sicca. quanto sublimior et ætheri propinquior est; quædam autem non ita calida et sicca, quanto inferior et ab æthere remotior. Cum enim æther et quæ in ipso sunt corpora, in circulum volvantur: quod ei cohæret [54] perpetuo motu secretum inflammatur,et summe calidum atque siccum est; quod autem ab æthere distat, pro distantiæ ratione minus calidum et siccum est. B Jam vero cum æthere universa succensio servata proportione simul movetur, sed et propter continuitatem conjunctus illi aer quodammodo movetur[55]; illi excepto qui intra prominentias terræ est, et inæquabilitates terræ replet, ut ipsa cum eo orbicularis sit. Non enim amplius hic in orbem circumagitur, quia turbidus et crassus et hinc etiam gravior est, et ejusmodi **146** qui difficulter moveri queat; quia tum aquæ tum terræ cognatus est, ac forte etiam propterea quod montium eminentiæ migrationem ejus impediunt. Hujus sane aeris pars ea quæ cum succensione simul non movetur, quanto a terra est remotior, tanto etiam frigidior est: propterea quod nec a motu nec a radiis solaribus calefiat, cum refringuntur. Cum C enim solares radii in terram incidunt, et denuo ex ipsa refringuntur, duplici transitu calefit ea pars aeris quæ terræ est vicinior; quæ autem est remotior,quanto remotior,ea de causa ex radiorum refractione calorem non recipit. Debiliores enim [56] fiunt radii, cum in vastum aerem funduntur et dissipantur.

γ'. Τούτων οὕτως ὑποκειμένων σαφέστερον εἴπωμεν, ὅτι τῆς γῆς καὶ τοῦ ὕδατος ὑπὸ τοῦ ἡλίου θερμαινομένων, ἤτοι τῆς γῆς αὐτῆς καὶ παντὸς ὑγροῦ τοῦ ἐν αὐτῇ καὶ περὶ αὐτήν, διάφορος ἀναθυμίασις γίνεται· καὶ ἡ μὲν ἐκ τοῦ ὑγροῦ ὑγρά, ἥτις καλεῖται ἀτμίς· ἡ δ' ἀπ' αὐτῆς τῆς οὐσίας τῆς γῆς, ξηρᾶς οὔσης, ξηρά, ἥτις καὶ καπνώδης καὶ πνευματώδης ἀναθυμίασις λέγεται· καὶ ἁπλῶς οὕτω καὶ ἀδιορίστως ἀναθυμίασις ὀνομάζεται. Μετέχουσι δὲ καὶ ἄμφω θερμότητος, τῷ διὰ θερμότητα γίνεσθαι. Καὶ ἔστιν ἀτμίδος μὲν φύσις θερμὸν καὶ ὑγρόν, ἀναθυμιάσεως δὲ φύσις θερμὸν καὶ ξηρόν. Καὶ ἔστιν ἀτμὶς δυνάμει, οἷον ὕδωρ· ἀναθυμίασις δὲ δυνάμει, οἷον πῦρ. Καὶ ἡ μὲν ἀναθυμίασις ἐπιπολάζει διὰ κουφότητα (τὸ γὰρ θερμὸν ξηρότητα προσλαβόν, κοῦφον γίνεται)· ἡ δ' ἀτμὶς ὑφίσταται διὰ βαρύτητα. Τὸ γὰρ ὑγρὸν μετέχει βαρύτητος.

3. His ita substratis clarius ita disseramus: cum terra et aqua calefiunt a sole, ipsius videlicet terræ omnisque humidi quod est in ea et circa eam variæ exhalationes efficiuntur: una quidem ex humido humida, quæ vapor vocatur; altera vero quæ ex terræ siccæ substantia, ipsa quoque sicca est, quæ fumosa et flatuosa exhalatio dicitur, ac ita etiam simpliciter et sine determinatione exhalatio nominatur. Ambæ autem caliditatis sunt D participes, **147** quia propter calorem fiunt [57]. Ac vaporis quidem natura calida est et humida; exhalationis natura calida et sicca est. Estque vapor quidem potestate, veluti aqua; exhalatio autem potestate veluti ignis est. Ac exhalatio quidem propter levitatem eminet (quippe calidum siccitate accepta leve efficitur), vapor autem propter gravitatem subsidit; humidum enim gravitatis est particeps.

δ'. Μέχρι μὲν οὖν τινος ἡ ἀτμὶς καὶ ἡ ἀναθυμίασις συμμίκτως καὶ ἀδιακρίτως ἀνέρχονται· προϊοῦ-

4. Aliquousque ergo et vapor et exhalatio mistim ac indiscrete ascendunt, sed progressu secer-

[53] 1 Meteor. c. 3. [54] 1 Meteor. c. 3. [55] ibid. [56] 5 Meteor c. 3. [57] 1 Meteor. c. 3.



OCR ABK/FR

nuntur, atque utrumque quærit id quod sibi cognatum est; adeoque vapor quidem inferius relinquitur, exhalatio autem cum succensione conjungitur. Neque enim succensio quoad substantiam aliud quidquam est, quam exhalatio a vapore separata, nec permista cum eo.

5. Quando igitur [58] succensio circulari motu movetur, qua parte ad inflammationem subeundam apta et concreta est, hac inflammatur. Quod si igitur longitudinem habet et latitudinem id quod accenditur, flamma ardens apparet, stipulis illis quæ in arvis incenduntur, non absimilis.

6. Quod si longitudinem habet, sed non etiam respondentem **148** latitudinem, tum capra fit aut fax aut discurrens sive prosiliens stella. Si enim quod accenditur in longitudinem magis pateat quam in latitudinem, atque in obliquum ardens deflagrationes quasdam et excursiones inflammationis efficiat non separatas, sed cum ardenti corpore totocopulatas, ut scintillare videatur; hoc capra nominatur.

7. Sin autem in longitudinem tantum incensum fuerit, ut non etiam scintillet, tale quid fax vocatur.

8. Quando denique non una et continua fuerit inflammatæ succensionis magnitudo, sed intervalla habet (ut quasi ipsius partes a se invicem sejunctæ sint, singulæ suam concretionem habeant); ipsa autem intervalla tenuem quamdam exhalationem subeundæ inflammationi ipsam etiam aptam habeant, distantes autem a se invicem hæ istius succensionis partes profunditatem et latitudinem longitudini parem obtineant, tunc stellæ efficiuntur, quæ prosilire videntur. Cum enim [59] ex hujusmodi concretionibus ea quæ prima est a motu inflammata fuerit, mox ignis per tenuem exhalationem eam quæ interjecta est ad eam concretionem **149** quæ deinceps sita est, distribuitur, eumdemque in modum ab hac ad proximam, idque tantisper facit, donec omnes ad dictum modum sibi invicem deinceps positas istiusmodi succensionis concretiones peragrarit; idemque ignis qui a principio propter celerem distributionem superne movebatur aut projiciebatur videtur. Quemadmodum enim in lucernis cum una ardet[60], altera autem exstincta statim illi supposita fuerit, exhalatio quæ ex recens exstincta ad ardentis flammam effertur incensa, quatenus ad illam admota est, suppositam lucernam inflammat; ut exhalatio ea quæ deinceps sequitur ab ea quæ prius ab ardentis lucernæ flamma accensa est, inflammetur, donec ad illud lucernæ ellychnium a quo exhalatio orta est, perventum fuerit; nec ignis sese diffundere, dum aliud ex alio incenditur, sed id quod primo incensum est moveri videtur: ita fieri existimandum est etiam in illis stellis quæ

[58] 1 Meteor. c. 4. [59] 1 Meteor. c. 4. [60] Ibid. c. 4.

A σαι δὲ διακρίνονται καὶ τὸ συγγενὲς ἑκατέρα ζητεῖ κἀντεῦθεν ἡ μὲν ἀτμὶς ἐναπολιμπάνεται κατωτέρω, ἡ δ' ἀναθυμίασις μετὰ τοῦ ὑπεκκαύματος γίνεται. Οὐδὲν γάρ ἐστιν ἄλλο (κατὰ) τὴν οὐσίαν τὸ ὑπέκκαυμα ἢ ἀναθυμίασις ἀτμίδος κεχωρισμένη καὶ ἀμιγής.

ε'. Τὸ τοίνυν ὑπέκκαυμα κινούμενον ὑπὸ τῆς τοῦ κυκλοφορικοῦ κινήσεως, καθ' ὃ ἂν μάλιστα τὴν πρὸς τὸ ἐξαφθῆναι ἐπιτηδειότητα καὶ σύστασιν ἔχει, κατὰ τοῦτο ἐξάπτεται. Ἂν μὲν οὖν μῆκος ἔχῃ καὶ πλάτος τὸ ἐξαπτόμενον, φαίνεται καιομένη φλὸξ, παραπλησίως ταῖς ἐν ἀρούραις ἐξαπτομέναις καλάμαις γινόμενον.

ϛ'. Ἂν δὲ μῆκος μὲν ἔχῃ, μηκέτι δὲ καὶ πλάτος ἀνάλογον, τότε γίνεται αἲξ ἢ δαλὸς ἢ διαθέων εἴτουν B διάττων ἀστήρ. Ἂν μὲν γὰρ ᾖ πλέον κατὰ μῆκος τὸ ἁπτόμενον, ἔλαττον δὲ κατὰ πλάτος, κατὰ δὲ τὰ πλάγια καιόμενον, ποιεῖταί τινας ἐκπυρώσεις καὶ ἐκδρομὰς τῆς ἐξάψεως μὴ καθ' αὐτὰς, ἀλλὰ συνηρμένας ὅλῳ τῷ καιομένῳ σώματι, ὡς δοκεῖν ἀποσπινθηρίζειν, τὸ τοιοῦτον αἲξ ὀνομάζεται.

ζ'. Ὅταν δὲ μόνον ἐπὶ τὸ μῆκος ᾖ ἐξημμένον, μηκέτι δὲ καὶ ἀποσπινθηρίζων, τὸ τοιοῦτον καλεῖται δαλός.

η'. Ἂν δὲ μὴ ἓν ὑπάρχῃ καὶ συνεχὲς τὸ τοῦ ἐξαπτομένου ὑπεκκαύματος μῆκος, ἀλλὰ διαστήματα ἔχον (ὡς κεχωρισμένων ὄντων ἀπ' ἀλλήλων τῶν τούτου μερῶν, ἰδίαν σύστασιν ἔχοντος ἑκάστου αὐτῶν), καὶ τὰ διαστήματα δὲ λεπτὴν ἀναθυμίασιν ἔχῃ τινὰ, πρὸς τὸ ἐκκαυθῆναι καὶ αὐτὴν ἐπιτήδειον, C ἀφεστῶτα δ' ἀπ' ἀλλήλων τὰ μέρη τοῦ τοιούτου ὑπεκκαύματος ἔχῃ καὶ βάθος καὶ πλάτος ὁμοίως τῷ μήκει, τότε γίνονται οἱ δοκοῦντες διάττειν ἀστέρες· Ὅταν γὰρ ἡ πρώτη κειμένη τῶν τοιούτων συστάσεων ὑπὸ τῆς κινήσεως ἐκκαυθῇ, ταχέως τὸ πῦρ διὰ τῆς μεταξὺ λεπτῆς ἀναθυμιάσεως ἐπὶ τὴν ἐφεξῆς κειμένην σύστασιν διαδίδοται, καὶ ἀπὸ ταύτης πάλιν ὁμοίως ἐπὶ τὴν μετ' αὐτήν· καὶ τοῦτο ποιεῖ ἕως ἂν ἐπέλθῃ πάσας τὰς κατὰ τὸν εἰρημένον τρόπον ἐφεξῆς ἀλλήλων οὔσας συστάσεις τοῦ τοιούτου ὑπεκκαύματος· καὶ φαίνεται τὸ πῦρ τὸ αὐτὸ τὴν ἀρχὴν ἄνωθεν φερόμενον ἢ ῥιπτούμενον διὰ τὴν ταχεῖαν διάδοσιν. Ὡς γὰρ ἐπὶ τῶν λύχνων, ὅταν ὁ μὲν καίηται, ἄλλος δ' ἀποσβεσθεὶς εὐθὺς ὑποτεθῇ αὐτῷ, ἡ ἀπὸ τοῦ νεωστὶ ἐσβεσμένου ἀναφερομένη ἀναθυμίασις ἐπὶ D τὴν τοῦ καιομένου φλόγα ἀφθεῖσα, καθὸ ἐπλησίασεν αὐτῇ, ἐξάπτει τὸν ὑποκείμενον λύχνον, ἐξαπτομένης τῆς ἐφεξῆς ἀναθυμιάσεως τῇ πρώτῃ ἐξαφθείσῃ ὑπὸ τῆς τοῦ καιομένου λύχνου φλογὸς ἕως τῆς τοῦ λύχνου θρυαλλίδος ἀφ' ἧς ἡ ἀναθυμίασις· φαίνεται δὲ οὐ διαδιδόμενον τὸ πῦρ ἄλλου ἐξ ἄλλου ἁπτομένου, ἀλλὰ τὸ πρῶτον ἀφθὲν φερόμενον· οὕτως ὑπολαμβάνειν χρὴ κἀπὶ τῶν διάττειν καὶ φέρεσθαι δοκούντων ἀστέρων γίνεσθαι· ἄλλου μετ' ἄλλο ταχέως ἐξαπτομένου διὰ τὴν πρὸς τοῦτο ἐπιτηδειότητα τῆς ὑποκειμένης ὕλης.

OCR ABK / FR

prosilire et vaguri videntur, ut alia post aliam propter subjectam materiam quæ ad hoc ipsum apta est accendatur.

θ'. Ὁτὲ μὲν οὕτως οἱ διάττοντες γίνονται ὑπὸ τῆς A κινήσεως τῶν οὐρανίων σωμάτων ἐξαπτομένου τοῦ ὑποκειμένου αὐτοῖς δὴ τοῖς οὐρανίοις σώμασιν ἐπιτηδείου πρὸς ἔξαψιν ὑπεκκαύματος καὶ τὸ ἐφεξῆς ἐξάπτοντος, ὥσπερ εἴρηται. Ὁτὲ δ' ἐκ τοῦ συνισταμένου διὰ ψύξιν ἀέρος ὃς ὑπὸ τὸ ὑπέκκαυμα τὴν θέσιν ἔχει τὸ ἐναπειλημμένον ἐν αὐτῷ θερμὸν περιστελλόμενον, καὶ ὑπὸ τοῦ περιέχοντος αὐτὸ ἀέρος ψυχόμενον καὶ εἰς ἓν ἀθροιζόμενον, ἐξαφθὲν ἐκθλίβεται μετὰ βίας καὶ φέρεται, ὥσπερ τὰ ἐλπυρηνιζόμενα ῥιπτούμενον (οἷον ὡς ὁπόταν ἡμῶν τοὺς δακτύλους συσφιγγόντων καὶ μάλιστα τὸν μέγαν τε καὶ τὸν λιχανὸν ὑπὲρ τὸ μέσον τοῦ πυρῆνος, ἐξολισθαίνει ὁ πυρὴν καὶ ἐκπηδᾷ καὶ μᾶλλον εἰ μετέχει λειότητος καὶ γλισχρότητος, ὡς οἱ τῶν ἐλαιῶν κόκκοι πυροῦ σχῆμα φέροντες καὶ τὰ τούτοις παρόμοια). Τότε δὴ τὸ αὐτὸ μένει πῦρ, ἀλλ' οὐκ B ἐξάπτει τὸ ἐφεξῆς. Ἀμφοτέρως οὖν δοκοῦν οἱ διάττοντες γίνεσθαι.

9. Interdum igitur hunc in modum fiunt prosilientes stellæ, dum **150** a motu corporum cœlestium, qui ipsis scilicet cœlestibus corporibus ad incensionem aptus fomes subjectus est accenditur, et eum qui deinceps est, sicuti dictum, incendit. Interdum autem ex concrescente propter frigus aere qui juxta successionem positus est, quod in eo caloris relictum est confringitur, et ab aere quo continetur frigescens et in unum se cogens, deinde incensum vi eliditur et movetur veluti nuclei digitis projectum (uti cum super medium nucleum digitos imprimis magnum et indicem comprimimus, elabitur et exsilit nucleus, eoque magis si lævitate et viscositate sit præditus, quemadmodum olivarum acini qui tritici figuram præ se fuerunt, et alia his similia), tunc sane idem ignis manet, sed id quod deinceps est non accendit. Utroque igitur modo stellæ proruentes fieri videntur.

ι'. Τοῦτο μέντοι τὸ ἐκκρίσει γεννώμενον πῦρ πολλάκις εἰς τὸ κάτω μέρος θλιβόμενον, καὶ εἰς γῆν καὶ εἰς θάλασσαν καταφέρεται καὶ νύκτωρ καὶ μεθημέραν αἰθρίας οὔσης. Τότε δὲ φέρεται κάτω, ὅταν ἀπὸ τοῦ ἄνω μέρους ἡ τοῦ ἀέρος πύκνωσίς τε καὶ ψύξις ἀρξαμένη, τὸ ἐναπειλημμένον αὐτῇ θερμὸν εἰς τὸ κάτω μέρος ἀπώσεται. Διὰ τοῦτο καὶ ὁ κεραυνὸς πῦρ ὢν εἰς τὸ κάτω φέρεται διὰ τὴν βίαιον ἔκθλιψιν, ἐπεὶ τῷ πυρὶ κατὰ φύσιν ἡ εἰς τὸ ἄνω φορά.

10. Quanquam hic ignis qui excretione generatur, sæpe in inferiorem partem eliditur [61], inque terram et mare, cum noctu tum interdiu, sereno cœlo defertur. Tum autem deorsum fertur, cum a superiore parte condensatio et refrigeratio aeris incepta, quicquid in ipsa caloris relictum **151** et inclusum est, in inferiorem partem propulerit. Quapropter [62] etiam fulmen, etsi ignis est, ad inferiora tamen propter violentam expressionem fertur; quandoquidem igni secundum naturam motus sursum convenit.

ια'. Ὅσα μὲν οὖν ἐν τῷ ἀνωτέρῳ σώματι ἐν ᾧ τὸ ὑπέκκαυμα, διαττόντων φάσματα γίνεταί τῷ ἐξάπτεσθαι C γίνεται, τῆς ἀναθυμιάσεως ἐκκαιομένης καὶ κατὰ τὸ ἑξῆς διαδιδομένης, ὡς εἴρηται· ὅσα δ' ἐν τῷ κατωτέρῳ, ἔνθα ὁ ἀὴρ, τῇ ἐκκρίσει· τῷ ψυχομένης τῆς ὑγρᾶς ἀναθυμιάσεως ἐξ αὐτῆς τὴν ἔκκρισιν γίνεσθαι.

11. Quæcunque igitur in superiore corpore in quo est succensio, prosilientium stellarum spectra fiunt, per inflammationem fiunt, ut nimirum exhalatio accendatur, et ad id quod deinceps sequitur, ut dictum est, distribuatur. Quotquot autem in inferiore fiunt, ubi aer est, per excretionem fiunt: quod frigore concrescente humida exhalatione sic ex ipsa fiat excretio [63].

ιβ'. Ὡς δ' ἂν ἔχῃ θέσεως ἡ πυκνουμένη καὶ ψυχομένη ἀναθυμίασις, καὶ ἐφ' ἃ τετραμμένη εἴη, οὕτως εἰκὸς καὶ ἐπὶ ταῦτα τὸ ἐξ αὐτῆς ἐκκρινόμενον φέρεσθαι πῦρ. Ἢ γὰρ εἰς τὸ ἄνω γίνεσθαι τὴν ἔκκρισιν, ἂν κάτωθεν ἡ πύκνωσις· ἢ εἰς πλάγιον, ἂν ἐκεῖσε συνέβη ἡ πύκνωσις· ἢ κατω, ἂν ἄνωθεν ἡ ἀρχὴ τῆς πυκνώσεως γίνηται.

12. Prout vero sita fuerit illa densescens ac frigore concrescens exhalatio, ac in quam se partem converterit; sic quoque in eamdem partem ignem illum qui ex ipsa excernitur, ferri consentaneum est. Nam vel sursum excretionem fieri par est, si condensatio in inferiore loco fuerit; vel in obliquum, si illuc vergat; vel deorsum, et superne fiat condensationis principium.

D

ιγ'. Τὰ πολλὰ μέντοι τῶν εἰς τὸ κάτω ῥιπτουμένων εἰς τὸ πλάγιον φέρεται, διὰ τὸ δύο ἅμα ποιεῖσθαι ταῦτα φοράς· τὴν μὲν εἰς τὸ ἄνω καὶ κατὰ φύσιν (ἐπεὶ τῷ πυρὶ κατὰ φύσιν τὸ ἄνω φέρεσθαι), τὴν δ' εἰς τὸ κάτω βιαίως διὰ τὴν ἔκθλιψιν. Καὶ ἔστιν ἡ εἰς τὸ πλάγιον φορὰ ἔκ τε τῆς ἄνω καὶ τῆς κάτω μικτή. Τοῦτο δὲ γίνεται. ὅταν μηδ' ἑτέρα πάντη, ἐπικρατῇ.

13. Quanquam multa eorum quæ deorsum jaciuntur, in transversum feruntur, quod duplici illa motu cieantur; uno sursum et secundum naturam **152** (quippe igni sursum moveri secundum naturam convenit), altero deorsum per vim elisionis causa [64]. Estque hic obliquus motus et ex eo qui sursum et ex eo qui deorsum fit mistus. Quod quidem fit, cum neuter per omnia prævalet.

[61] 1 Meteor. c. 4. [62] Ibid. c. 1. [63] Ibid. c. 4. [64] Ibid. c. 4.

OCR ABK / FR

14. Omnium ergo horum causa ut materia quidem est exhalatio (hæc enim est quod inflammatur), ut movens autem et efficiens causa, nonnunquam motus circularium corporum (ab hoc enim quæ in succensione sunt inflammantur); nonnunquam vero aeris refrigeratio et condensatio.

15. Quod autem infra lunam ejusmodi concretiones et trajectiones fiant, celeritas earum quæ in excursione perspicitur, ostendit. Quemadmodum enim ea quæ projiciuntur, celerius quam stellæ propter vicinitatem nobis moveri videntur, tametsi alias ab earum celeritate longo intervallo distent : sic etiam stellæ quæ prosilientes dicuntur, propter vicinitatem suam celerius quam stellæ moveri videntur.

ιδ'. Πάντων οὖν τῶν τοιούτων αἰτία ὡς μὲν ὕλη ἡ ἀναθυμίασις (αὕτη γὰρ ἡ ἐξαπτομένη), ὡς δὲ κινοῦν τε καὶ ποιοῦν, ὁτὲ μὲν ἡ κίνησις τῶν ἐγκυκλίων σωμάτων (ὑπὸ ταύτης γὰρ τὰ ἐν τῷ ὑπεκκαύματι ἐξάπτεται), ὁτὲ δὲ ἡ ἀέρος ψύξις καὶ πύκνωσις.

ιε'. Ὅτι δὲ κάτω σελήνης αἱ τοιαῦται γίνονται συστάσεις καὶ ἐκδρομαί, παρίστησιν ἡ φαινομένη αὐτῶν ἐν τῇ διαδρομῇ ταχυτής. Ὡς γὰρ τὰ ὑφ' ἡμῶν ῥιπτούμενα θᾶττον τῶν ἀστέρων ἡμῖν δοκεῖ κινεῖσθαι διὰ τὴν ἐγγύτητα, μηδ' ἐγγὺς ἐκείνοις ὁμοίῳ χρώμενα τάχει· οὕτω καὶ οἱ διᾴττειν λεγόμενοι θᾶττον τῶν ἀστέρων ἡμῖν κινούμενοι φαίνονται δι' ἐγγύτητα.

---

## SYNOPSIS CAPITIS XIII,

### QUOD EST DE COMETIS SEU STELLIS CRINITIS, ET LACTEO CIRCULO.

1. *In genere easdem esse causas hujus capitis meteororum quæ fuerunt superioris capitis.* — 2. *Materiæ ut et efficientis cometarum in specie conditio.* — 3. *Divisio cometarum in crinitos et barbatos, et homonymia cometæ.* — 4. *Usus exhalationis quæ ad cometam evehitur duplex.* — 5. *Quando cometa per se, quando aliis stellis conspiciatur.* — 6. *Occupatio.* — 7. *Occupatio alia.* — 8. *Cometa quando cum stella moveatur, quando non cum stella, et quare.* — 9. *Occupatio.* — 10. *Cometarum concretio unde ignea esse arguatur.* — 11. *Causa ob quam non ita multi simul, nec adeo crebro, nec facile intra tropicos cometæ generentur.* — 12. *Alia causa quare neque multi simul neque singuli crebro cometæ generentur ; ubi etiam pars capitis incipit posterior.* — 13. *Quomodo lacteus circulus secundum Aristotelem et auctorem ad eumdem fere modum ex iisdem causis, materiali et efficiente, ut cometæ, generetur.* — 14. *Ubi lacteus circulus maxime generetur, et cur non in Zodiaco.* — 15. *Ex lactei circuli circuli tum situ tum multitudine et magnitudine stellarum ipsius, causa materialis, exhalatio nimirum colligitur.* — 16. *Idem a signo probatur duplicitatis illius.* — 17. *Ex multitudine et magnitudine stellarum* **154** *circa lacteum cisculum causa ejus efficiens, nempe stellarum motus investigatur.* — 18. *Ex his infert lactis definitionem, in quod etiam causam paucitatis et infrequentiæ cometarum denuo rejicit.*

---

## CAPUT XIII.

### *De cometis et lacteo circulo.*

1. Quæ prius commemoratarum flammarum, facium et reliquorum [spectrorum] causæ dicebantur (causa autem materialis quidem eorum esse dicebatur fumosa exhalatio quæ potestate ignis est, et eapropter succensio vocatur; efficiens autem causa, cœlestium corporum motus dicebatur); eadem etiam eorum de quibus nunc verba facimus, causæ esse videntur.

2. Cum enim ob ætheris et corporum quæ eo continentur conversionem in ejusmodi exhalationem, quæ nimirum ad inflammationem subeundam accomodata est, principium igneum incidit, estque exhalatio densata, ut ignem ferre possit, non tenuis et acerosa, ut facile consumatur [68], sed neque igneum principium ita vehemens et copiosum ut celeriter et vehementer hanc densitatem comburat ; nec rursus ita imbecille, ut celeriter exstinguatur, sed hac exhalatione valentius, ita ut diutius permanere **155** possit ; simul autem etiam contingat, ut inferne ab hac parte alia exhalatio bene temperata et ad incensionem suscipiendam idonea efferatur ; tunc id quod inflammatur, crinita aut barbata stella videtur.

[68] 1 Meteor. c. 7.

## ΚΕΦΑΛ. ΙΓ'.

### Περὶ κομητῶν καὶ τοῦ γαλαξίου κύκλου.

α'. Ἅπερ τῶν προειρημένων ἐλέγετο αἴτια τῶν φλογῶν, τῶν δαλῶν καὶ τῶν λοιπῶν (ἐλέγετο δὲ ὑλικὸν μὲν αἴτιον ἐκείνων ἡ καπνώδης ἀναθυμίασις, ἡ δυνάμει πῦρ οὖσα καὶ διὰ τοῦτο καλουμένη ὑπέκκαυμα· ποιητικὸν δ' αἴτιον ἡ τῶν οὐρανίων ἐλέγετο κίνησις), ταῦτα δὴ καὶ τῶν νῦν λεγομένων αἴτια δοκεῖ τὰ αὐτά.

β'. Ὅταν γὰρ διὰ τὴν τοῦ αἰθέρος καὶ τῶν ἐν αὐτῷ σωμάτων περιφορὰν εἰς τοιαύτην ἀναθυμίασιν, εὔκρατον δηλονότι πρὸς ἔξαψιν, ἐμπέσῃ πυρώδης ἀρχή καὶ ἡ ἀναθυμίασις ὑπάρχῃ πεπυκνωμένη καὶ στέγειν πῦρ δυναμένη, καὶ μὴ λεπτὴ καὶ ἀχυρώδης καὶ ῥᾳδίως ἀναλισκομένη· ἀλλὰ δὴ καὶ ἡ πυρώδης ἀρχὴ μήθ' οὕτως σφοδρὰ καὶ πολλὴ ὡς ταχέως καὶ ἐπιπολὺ ἐκκαῦσαι τὴν πυκνότητα ταύτην, μήτ' αὖ οὕτως ἀσθενής, ὡς ἀποσβεσθῆναι ταχύ, ἀλλ' ἰσχυροτέρα τῆς τοιαύτης καὶ ἐπιπλεῖον δυναμένη διαμένειν· ἅμα δὲ συμπίπτοι καὶ κάτωθεν ἄλλην κατὰ τοῦτο τὸ μέρος ἀναθυμίασιν εὔκρατον ἀναφέρεσθαι καὶ πρὸς ἔξαψιν ἐπιτηδείαν· τότε τὸ ἐξαπτόμενον ἀστὴν δοκεῖ κομήτης ἢ πωγωνίας.

OCR ABK / FR

γ'. Εἰ μὲν γὰρ πάντη ὁμοία ἡ ἔξαψις εἴη τῆς ἀναφερομένης ἀναθυμιάσεως καὶ οἷον σφαιροειδὴς, κομήτης ὀνομάζεται· εἰ δ' ἐπιμήκης, πωγωνίας προσαγορεύεται.

δ'. Καὶ ἄμφω δὲ κοινῷ λόγῳ κομῆται λέγονται. Συντελεῖ δ' ἡ κάτωθεν ἀναφερομένη πρὸς ἔξαψιν εὔκρατος ἀναθυμίασις τοῖς κομήταις εἴς τε διαμονὴν χορηγίαν παρέχουσα τῷ πυρὶ, καὶ εἰς τὴν τῆς κόμης φαντασίαν. Οὐ γὰρ περιωρισμένον καὶ ἐπιτετορευμένον ἐστὶ τὸ καιόμενον, ἀλλ' ἐκδρομάς τινας ἔχον καὶ ἐξοχὰς, δι' ἃς ἡ φαντασία τῆς κόμης γίνεται.

ε'. Ὅταν μὲν οὖν ἡ τοιαύτη ἀρχὴ τῆς συστάσεώς τε καὶ ἐξάψεως ἐν τῷ κατωτέρῳ γένηται τόπῳ, καὶ μὴ πλησίον τῶν ἀστέρων, καθ' ἑαυτὸν ὁ κομήτης φαίνεται. Ὅταν δ' ἐγγὺς τοῦ αἰθέρος ὑπό τινα τῶν ἀστέρων ἢ τῶν πλανωμένων ἢ τῶν ἀπλανῶν ἡ τοιαύτη ἀναθυμίασις συστῇ, ὑπὸ τῆς τοῦ ἀστέρος ἐκείνου κινήσεως τὴν αἰτίαν τῆς συστάσεως καὶ τῆς ἐξάψεως ἔχουσα [ς'] (καὶ γὰρ οὐ μόνον ὁ ἥλιος, ἀλλὰ καὶ οἱ ἀστέρες διὰ τῆς κινήσεως θερμαίνοντες τὴν γῆν, ἀναθυμιάσεις ἀνέλκουσιν ἐξ αὐτῆς καὶ μᾶλλον ἐκ τοῦ ἀέρος)· τότε δὴ τότε τῶν προϋπαρχόντων τις ἀστέρων κομήτης φαίνεται.

ζ'. Οὐ γὰρ ἡ φαινομένη κόμη τῶν ἀστέρων πρὸς αὐτοῖς ὑπάρχει τοῖς ἀστράσιν, ἀλλ' ὑπ' αὐτοὺς οὖσα φαίνεται πρὸς αὐτοῖς, καὶ συμπεριάγεται αὐτοῖς.

η'. Ὅταν μὲν οὖν ἀνωτέρω καὶ πλησίον τοῦ αἰθέρος ὑπό τινα τῶν ἀστέρων ἡ κόμη γένηται, ἐκείνῳ συγκινεῖται, ὡς ἐκείνου τῇ τοιαύτῃ συστάσει τὴν αἰτίαν παρέχοντος. Ὅταν δὲ κατωτέρω καὶ καθ' ἑαυτὸν ὁ κομήτης συστῇ, οὐκέτι τινὶ τῶν ἀστέρων ἰσοδρομεῖ, ἀλλ' ἐφυστερίζων καὶ ὑπολειπόμενος φαίνεται. Τοιαύτη γὰρ ἡ κίνησίς τε καὶ περιφορὰ τοῦ κόσμου τοῦ περὶ γῆν, οὐκ ἰσοδρομοῦσα τοῖς οὐρανίοις· ἀλλ' οὐδ' ὁμαλῶς αὐτοῖς ἑπομένη, οὐδ' ἀκριβῶς σφαιρική· ἅτε μὴ κατὰ φύσιν οὕτω δὴ σφαιρικῶς κινουμένων τῶν περιγείων, ἀλλ' ὑποσυρομένων μόνων ὑπὸ τῆς τῶν οὐρανίων κινήσεως.

θ'. Εἰ δὲ καὶ οἱ πλάνητες βιαίως κινοῦνται τὴν ἀπ' ἀνατολῶν εἰς δυσμὰς, ἀλλὰ τέως ἡ κίνησις αὐτῶν σφαιρική· τῶν δὲ περιγείων οὐ τοιαύτη.

ι'. Ὅτι δὲ πυρώδης ἡ τῶν κομητῶν ἐστι σύστασις, τὸ σημαίνειν αὐχμούς τε καὶ πνεύματα πλείους αὐτοὺς γινομένους τεκμήριον. Ὅταν γὰρ ἡ θερμὴ καὶ πυρώδης ἀναθυμίασις πλεονάζῃ, οὗτοί τε συνίστανται, καὶ ὑπὸ τῆς τοιαύτης ἀναθυμιάσεως ὁ ἀὴρ ξηρότερος γίνεται· καὶ διακρίνεται καὶ διαλύεται τὸ ἐξατμίζον ἀπὸ τοῦ περὶ τὴν γῆν τόπου καὶ ἀναφερόμενον ὑγρὸν, ὥστε μὴ συνίστασθαι ῥᾳδίως καὶ μεταβάλλειν εἰς ὕδωρ.

3. Si enim per omnia similis fuerit exhalationis quæ evehitur inflammatio, ac veluti globi speciem præ se ferat, cometa, id est, crinita stella dicitur; sin autem oblonga, barbata nuncupatur.

4. Sed ambæ etiam communi vocabulo cometæ dicuntur [66]. Cæterum illa bene temperata ad inflammationem exhalatio quæ inferne sursum fertur, cum ad durationem cometis conducit, fomentum igni suppeditans, tum ad comæ figuram efficiendam utilis est. Neque enim circumcirca definitum et detornatum est id quod flagrat, sed procursus quosdam habet et eminentias propter quas comæ figura oritur.

5. Cum igitur istiusmodi concretionis et inflammationis principium in inferiore loco fit, non prope stellas, per se cometa cernitur. Cum autem prope ætherem, sub aliqua stellarum aut errantium aut inerrantium (quas fixas vocant), exhalatio ejusmodi constiterit, ab illius stellæ motu concretionis **156** et inflammationis suæ causam habens, ([6] non enim sol duntaxat, sed et stella motu terram calefacientes, exhalationes ex ea vel ex aere potius attrahunt), tunc sane, tunc, inquam, earum stellarum quæ jam ante præsto sunt, aliqua crinita apparet.

7. Neque enim crinis ille stellarum qui apparet, ipsis inest stellis; sed cum infra ipsas sit, ad ipsas tamen apparet et cum ipsis in orbem versatur.

8. Cum igitur superius et prope ætherem sub aliqua stellarum coma seu crinis exstiterit, simul movetur cum illa, ipsa hujusmodi constitutioni causam præbente. Cum autem inferius et per se cometa constiterit [67], non amplius pari cum aliqua stellarum cursu fertur, sed tardius subsequi et a tergo relinqui videtur. Talis enim est mundi circa terram motus et conversio, ut æqualem cœlestibus [corporibus] motum non observet, sed nec æquabiliter ea comitetur, nec sphæræ speciem exquisite imitetur; quippe cum corpora terræ proxima non ita secundum naturam in orbem moveantur, sed tantum a cœlestium [corporum] motu juxta protrahantur.

9. Quanquam vero etiam **157** erraticæ stellæ violenter ab ortu in occasum moventur, motus tamen earum in orbem est, cum corporum terræ vicinorum motus non sit ejusmodi.

10. Porro vero cometarum constitutionem esse igneam id est indicio, quod si plures fuerint [68], et æstus et ventos designent. Cum enim calida et ignea exhalatio abundat, partim ipsi conflantur, partim ab ejuscemodi exhalatione siccior aer efficitur, humorque ille qui ex loco terræ vicino evaporat et subvehitur, dissipatur et dissolvitur, ut haut ita facile concrescat et in aquam commutetur.

[66] 1 Meteor. c. 7. [67] Ibid. [68] Ibid.

OCR ABK / FR

11. Quod autem non ita multi cometæ, nec ita crebro ut stellæ prosilientes, exsistunt; quodque etiam qui exsistunt, extra potius quam intra tropicos exsistunt: causam esse censent solis aliorumque planetarum motum: qui cum intra tropicos moveantur (hic enim signiferi circuli in quo motus planetarum perficitur, situs est), densiores et conglobatas exhalationes, quæ cometarum sunt materia, disgregant ut plurimum et extenuant [69].

12. Maxime autem in causa esse videtur, quod in istis partibus cometæ non oriuntur, quia fere in lactis regionem, **158** hoc est, in circulum Galaxiam maxima ejusmodi exhalationum pars excernitur, ibidemque collecta lucem eam quæ conspicitur efficit.

13. Quemadmodum enim stellæ quædam cum errantes [70], tum inerrantes, crinitæ, ut dictum est, videntur, cum infra ipsas densior exhalatio concrescit et inflammatur et cum ipsis simul convertitur: sic etiam in lacteo circulo res se habere videtur. Quod enim exhalatio ea, quæ circa unam quampiam stellam exsistit, crinis figuram efficit; idem etiam dum in iis stellis in quibus lac apparet simul fit, circulum hunc qui lacteus appellatur, efficere videtur. Quod igitur circa unam stellarum fieri potest, id etiam in universo cœlo fieri non est inconsentaneum. Si enim unius stellæ motus facit tale aliquid, non absurdum est existimare, quod omnium etiam [stellarum] motus idem præstare possit, ut exhalationem sibi subditam exsuscitent et inflamment et secum trahant.

14. Cæterum hoc potius fieri consentaneum est in ea cœli parte, in qua plures densæ et magnæ stellæ sunt. Itaque in Zodiaco exhalatio ejusmodi et concressio non manet, propterea **159** quod sol et cæteri planetæ qui per hunc moventur, ejusmodi concressionem disgregant et extenuant.

15. Quod autem lacteus circulus qui et ipse maximus est et obliquus ut Zodiacus, tropicos situ excedit, aliosque circulos non procul a polis attingit, et ex obliqua parte Zodiaci collocatur, et ne in ipso planetæ moveantur, quodque præterea magnis et splendidis stellis est refertus, rationi consentaneum est arbitrari, cum ob situm, tum ob stellarum quæ in ipso sunt multitudinem et magnitudinem eam exhalationem quæ congregatur et concrescit et inflammatur, lac in ipso efficere.

16. Hujus autem rei illud signum est, quod et ipsius circuli concretio amplior est, et lumen copiosus in altero semicirculo, qua parte duplam magnitudinem habere lacteus circulus conspicitur, ubi majores et densiores stellæ sunt.

17. Si igitur hoc in circulo lumen apparet, in quo multæ et magnæ stellæ sunt, et rursus ipsius

[69] 1 Meteor. c. 7, 8. [70] Ibid. c. 8.

A ια΄. Τοῦ δὲ μὴ γίνεσθαι πολλοὺς κομήτας μηδὲ πλειστάκις ὡς οἱ διάττοντες, ἀλλὰ καὶ τοὺς γινομένους ἐκτὸς τῶν τροπικῶν γίνεσθαι μᾶλλον ἤπερ ἐντὸς, αἰτίαν τιθέασι τὴν τοῦ ἡλίου καὶ τῶν ἄλλων πλανητῶν κίνησιν, οἳ μεταξὺ τῶν τροπικῶν κινούμενοι (τοιαύτη γὰρ ἡ τοῦ ζωδιακοῦ θέσις καθ' ὃν τῶν πλανητῶν ἡ κίνησις) διακρίνουσι τὰ πολλὰ καὶ λεπτύνουσι τὰς πυκνοτέρας καὶ πεπιλημένας ἀναθυμιάσεις, αἵ τινές εἰσιν ὕλη τῶν κομητῶν.

ιβ΄. Μάλιστα δ' αἰτία δοκεῖ τοῦ μὴ γίνεσθαι κατὰ ταῦτα τὰ μέρη κομήτας, ὡς ἐπίπαν τὸ εἰς τὴν τοῦ γάλακτος χώραν, ἤγουν εἰς τὸν γαλαξίαν κύκλον, τὸ πλεῖστον τῶν τοιούτων ἀναθυμιάσεων ἀποκρίνεσθαι κἀκεῖσε ἀθροιζόμενον, ποιεῖν (τὸ) φαινόμενον
B φῶς.

ιγ΄. Ὥστε γὰρ τινες τῶν ἀστέρων ἢ τῶν πλανητῶν ἢ καὶ τῶν ἀπλανῶν φαίνονται κομῆται, καθάπερ εἴρηται, συνισταμένης ὑπ' αὐτοὺς ἀναθυμιάσεως πυκνοτέρας καὶ ἐξαπτομένης καὶ συμπεριφερομένης αὐτοῖς· οὕτω δοκεῖ κἀπὶ τοῦ γαλαξίου γίνεσθαι κύκλου. Ὃ γὰρ ἡ περὶ ἕνα τῶν ἀστέρων ἀναθυμίασις τοιαύτη γενομένη κομήτην ποιεῖ, τοῦτο περὶ τοὺς ἀστέρας ἅμα γινόμενον καθ' οὓς τὸ γάλα φαίνεται, τὸν καλούμενον γαλαξίαν κύκλον ἔοικεν ἀποτελεῖν. Τὸ τοίνυν περὶ ἕνα τῶν ἀστέρων γίνεσθαι πεφυκὸς οὐκ ἀπεικὸς γίνεσθαι καὶ περὶ τὸν ὅλον οὐρανόν. Εἰ γὰρ ἑνὸς ἀστέρος κίνησις ποιεῖ τι τοιοῦτον, οὐκ ἄτοπον ὑπολαβεῖν καὶ τὴν τῶν πάντων κίνησιν τὸ αὐτὸ δύνασθαι ποιεῖν ὡς ἐκριπίζειν τε καὶ ἐξάπτειν τὴν ὑπ' αὐτοὺς ἀναθυμίασιν καὶ συνεφέλκεσθαι.
C

ιδ΄. Τὸ τοιοῦτον δὲ γίνεσθαι μᾶλλον εἰκὸς, καθ' ὃ μέρος τοῦ οὐρανοῦ πλεῖστοι καὶ πυκνοὶ καὶ μεγάλοι ἀστέρες εἰσί. Κατὰ μὲν οὖν τὸν ζωδιακὸν ἡ τοιαύτη ἀναθυμίασις καὶ σύστασις οὐ μένει· διότι κατὰ τοῦτον ὁ ἥλιος καὶ οἱ λοιποὶ κινούμενοι πλανῆτες διακρίνουσι τὴν τοιαύτην σύστασιν καὶ λεπτύνουσιν.

ιε΄. Ὅτι δ' ὁ γαλαξίας κύκλος μέγιστος ὢν καὶ αὐτὸς καὶ λοξὸς ὥσπερ ὁ ζωδιακὸς, ὑπερβάλλει τῇ θέσει τοὺς τροπικοὺς, καὶ τινων ἑτέρων ἐφάπτεται κύκλων οὐ πόῤῥω τῶν πόλων ὄντων, καὶ κεῖται τοῦ ζωδιακοῦ ἐκ πλαγίων ὡς μὴ κατ' αὐτὸν κινεῖσθαι τοὺς πλάνητας, ὅτι τε πλήρης ὁ τύπος μεγάλων καὶ λαμπρῶν ἀστέρων, εὔλογον ὑπολαμβάνεται διά τε
D τὴν θέσιν καὶ τὸ τῶν κατ' αὐτὸν ἀστέρων πλῆθος καὶ μέγεθος ἀθροιζομένην τὴν ἀναθυμίασιν καὶ συνισταμένην καὶ ἐξαπτομένην ποιεῖν ἐν τούτῳ τὸ γάλα.

ιϛ΄. Τούτου δ' ἂν εἴη σημεῖον τὸ καὶ αὐτοῦ τοῦ κύκλου τὴν σύστασιν πλείω εἶναι καὶ πλεῖον τὸ φῶς ἐν τῷ ἑτέρῳ ἡμικυκλίῳ καθ' ὃ διπλόην τινὰ ἔχων ὁ γαλαξίας ὁρᾶται, ἐν ᾧ μείζους καὶ πυκνότεροι ἀστέρες εἰσίν.

ιζ΄. Εἰ τοίνυν ἐν τῷ κύκλῳ τούτῳ φαίνεται τὸ φῶς ἐν ᾧ πολλοὶ καὶ μεγάλοι ἀστέρες, καὶ αὐτοῦ δὲ τοῦ

OCR ABK / FR

κύκλου πλέον πάλιν ὁρᾶται τὸ φῶς, ἐν ᾧ μέρει πλείους καὶ μείζους ἀστέρες· εὔλογον τοὺς ἀστέρας καὶ τὴν κίνησιν αὐτῶν τοῦ κατὰ τὸν γαλαξίαν πάθους αἴτια εἶναι οἴεσθαι· ἐπεὶ καὶ πάντων τῶν ἐν τῇ λεγομένῃ ἀπλανεῖ σφαίρᾳ κύκλων, ἐν τούτῳ μόνῳ τὰ μεταξὺ τοιούτων ἀστέρων πεπλήρωται. Κατὰ γὰρ τοὺς ἄλλους κύκλους φανερὰ διαλείμματα φαίνονται, καὶ τόποι πολλοὶ, ἀστέρων κενοί.

ιη΄. Ἔστιν οὖν τὸ γάλα, ὡς οἷον ὁρίσασθαι, ἡ διὰ τὴν ἔκκρισιν γινομένη τοῦ μεγίστου κύκλου κόμη. Διὸ, καθὼς εἴρηται πρότερον, οὐ πολλοὶ οὐδὲ πολλάκις κομῆται γίνονται διὰ τὸ τὴν τοιαύτην σύστασιν ἀποκεκρίσθαι καὶ συνεχῶς ἀποκρίνεσθαι εἰς τοῦτον τὸν τόπον.

A circuli majus lumen in ea parte cernitur, in qua plures et majores stellæ reperiuntur; rationi consentaneum est arbitrari, a stellis et ipsarum motu lacteum circulum proficisci; quippe **160** cum ex omnibus circulis qui in stellarum fixarum orbe sunt, in hoc solo intermedia loca stellis ejusmodi repleta sint. In aliis enim circulis manifesta intervalla et multa loca stellis vacua cernuntur.

48. Lac igitur, ut ita definiam, is maximi circuli crinis est, qui propter excretionem efficitur [71]. Quæ etiam, ut ante dictum, causa est, ut nec multi, nec crebro fiant cometæ, quod hujusmodi concretio secreta sit ac continenter in hunc locum secernatur.

—

## SYNOPSIS CAPITIS XIX.

### QUOD EST DE PLUVIA, GRANDINE, NIVE, RORE ET PRUINA.

1. *Hujus et duorum præcedentium capitum meteora diversas causa habent, cum meterialem, tum efficietem.* — 2. *Ex vapore alias vel pluvia vel grando, vel nix, alias ros et pruina pro locorum diversitate generatur.* — 3. *Quando et quomodo pluvia generetur.* — 4. *Humidum quod a sole evehitur iterum in terram decidit, si non eodem, aliis tamen annis, quod manifesto signo comprobatur.* — 5. *Mutatio ex aqua in aerem vapore, et postea ex aere in aquam nube mediante fit, ut quæ ambo aquæ* **161** *et aeris sint intermedia diverso respecu.* — 6. *Nebula quid et quot modis fiat et quid significet.* — 7. *Pluviæ generatio et species, psecas id est minuta pluvia et imber recensentur.* — 8. *Fiunt certis temporibus propter solis motum proprium.* — 9. *Sed et quotidie quædam ex humido, et quædam ex humore terræ admisto in vaporem fit mutatio propter solis motum quotidianum, ex cujus vaporis ea parte quæ in infima regione aeris subsistit, pruina et ros generatur, illa quidem hieme et frigidis in locis, hic vere potissimum et automno, inque locis temporatis, utraque autem cœlo et sereno et tranquillo, quorum etiam subsistentiæ in infima regione aeris signum proponitur, quod in montibus editioribus non generentur.* — 10. *Ut pruina et ros in infima, ita pluvia, grando et nix in media regione fiunt.* — 11. *Pluvia et ros propter eamdem causam fiunt ut et pruina atque nix; sed differunt tum hæc tum illa partim intentione et remissione, partim multitudine et paucitate.* — 12. *Sicut ros ad pluviam, ita pruina ad nivem se habet, et quid utraque sit et qua ex causa fiat utraque et quid utraque significet.* — 13. *Nubes quid sit, quid item nebula, et quot modis hæc fiat, quidque sit serenitas quæ et nubi et nebulæ opponitur.* — 14. *Pluvia quomodo fiat ex nube, et quæ ejus differentiæ, quomodo item ros ex vapore fiat.* — 15. **162** *Quid nivem et in primis ejus candorem rigoremque efficiat, et quid ningor appeletur, et quomodo ex vapore pruina fiat, quidque drosopachne dicatur.* — 16. *Sicut pluviæ ros, et nivi pruina respondet, ita nihil quidem grandini, et quomodo grando fiat.* — 17. *Quid* ἀντιπερίστασις, *id est, mutuus adversus conatus (ut quidam vertunt, et quomodo grando fiat.* — *tum in frigido quam in calido locum habeat, ut experientia subterraneorum locorum et aquarum fontanarum testatur.* — 18. Ἀντιπερίστασις *etiam in superiore fit loco aeris, et sæpe vel pluviam vel grandinem causatur.* — 19. *Quando grando potius quam pluvia tantum fiat.* — 20. *Mutationum ejusmodi propius terram factarum quæ ratio et conditio.* — 21. *Cur grandes stillæ non cadant densæ.* — 22. *Grandines quibus anni temporibus magis, quibus minus generentur.* — 23. *Occupatio: qua de causa circa Arabiam et Æthiopiam crebriores et vehementiores pluviæ generentur.*

---

## ΚΕΦΑΛ. ΙΔ΄.

### Περὶ ὄμβρου, χαλάζης, χιόνος, δρόσου καὶ πάχνης.

α΄. Ὥσπερ τῶν προειρημένων ἁπάντων παθῶν αἴτιον ὑλικὸν ἡ ἀναθυμίασις ἐγνωρίζετο· οὕτω δὴ τῶν νῦν λεγομένων αἴτιον τοιοῦτον γινώσκεται ἡ ἀτμίς. Αἴτιον δὲ ποιητικὸν ἐκείνων μὲν ἡ τῶν οὐρανίων κίνησις, τούτων δὲ ἡ ψύξις.

β΄. Ἡ γάρ τοι ἀτμὶς ἢ μετεωροτέρα γίνεται, ὑπὸ πλείονος ἀναφερομένη θερμότητος, ἢ μένει κάτω που τοῦ περιγείου ἀέρος διὰ τὴν βραχύτητα τοῦ ἀνάγοντος ταύτην θερμοῦ.

γ΄. Ἄνω μὲν οὖν ἀνενεχθεῖσα καὶ ψυχθεῖσα, γίνεται ὄμβρος καὶ χάλαζα καὶ χιών· κάτω δὲ μείνασα

B

## CAPUT XIV.

### *De pluvia, grandine, nive, rore et pruina.*

1. Quemadmodum earum omnium quæ prius commemoratæ sunt affectionum, materialis causa esse exhalatio ostendebatur: ita earum de quibus nunc sermo est, ejuscemodi causa esse vapor intelligitur. Causa autem efficiens illarum quidem est motus corporum cœlestium; harum autem, refrigeratio.

2. **163** Vapor enim aut altius attollitur [72], cum a majore calore subvehitur; aut infra in aere terræ vicino ob caloris ipsum subvehentis brevitatem moratur.

3. Cum itaque sursum evectus et refrigeratus fuerit, imber et grando et nix efficitur. Cum autem

[71] 1 Metor. c. 8. [72] Ibid. c. 9.

OCR ABK / FR

infra remanserit et refrigeratus fuerit, ros et pruina generatur. Quando enim a terra fit remotior, ut separetur quæ ipsum evexit calida et fumosa exhalatio, quique huic adest calor; dum illa quidem excernitur et subvehitur ad fomitem, huic autem ob loci frigiditatem extinguitur; tunc vapor contracto frigore a caliditate desertus densatur, et in nubem ex aere concrescit, inque aquam mutatur et pluvia efficitur. Est vero vapor quidem ex aqua quæ extenuatur et rarefit; idem autem extenuatus et rarefactus, aer fit; aer porro incrassatus et condensatus, nubes efficitur; nubes denique cum in aquam mutatur, pluviam causatur.

4. Humidum ergo quod sol quotidie adducit et elevat, dum id calore suo in vaporem convertit, extenuat et discernit; hoc posteaquam in superiorem locum collectum est et propter frigus constitit atque concrevit, **164** rursus in aquam conversum ad terram defertur. Et quanquam non singulis annis tantumdem quantum evectum est decidat; statis tamen temporibus defertur et redditur omne humidum quod evectum est, id etiam quod propter tardiorem mutationem ibi moram fecit. Propterea etiam post annos quibus æstus major fuit, iterum pluvii exoriri solent; exhalatione nimirum humida, quæ nondum hactenus mutata fuit ipsa quoque mutationem cum illa quæ evehitur, subeunte.

5. Mutatio igitur ex aqua in aerem mediante vapore fit. Vapor enim est aer crassior, quid aliquid etiam aquæ habet, et propterea aeris et aquæ est intermedium. At vero ex aere in aquam mutatio mediante nube fit. Ac quod vapor deorsum, hoc nubes sursum est. Ambo enim aeris et aquæ sunt intermedia.

6. Nebula autem [73] est nubis in aquam concretæ et mutatæ superfluitas. Quod enim in nubis mutatione in aquam relictum, hoc est, quod in nube sterile repertum fuerit, id denique nebula est. Fit autem etiam ex nube nebula, quando ita conglobari non potuit, ut in aquam mutata fuisset. Unde etiam nebula serenitatis **165** potius quam aquæ signum est [74]. Est enim quasi sterilis nubes, quæ non quidem in aquam mutatur, quia siccior, deorsum tamen cadit, quia frigidior.

7. Quando igitur in loco a terra remotiore coacervatus vapor frigus contraxerit, ut diximus, tunc pluvia generatur; quæ quidem si munitioribus partibus et non confertim, sed paulatim deciderit, quasi ex nube generatur modo, psecas seu minuta pluvia vocatur. Sin autem partibus majoribus et confertius, quasi jamjam nubis mutatio in aquam sit facta, imber nominatur.

8. Solent autem hæc certis anni [75] temporibus fieri. Ejusmodi enim exhalationes et mutationes secundum proprios solis motus fiunt maxime, se-

καὶ ψυχθεῖσα, γίνεται δρόσος καὶ πάχνη. Ὅταν μὲν (οὖν) γὰρ ἀπογειοτέρα γένηται χωριζομένη τῆς ἀναγούσης ταύτην θέρμης καὶ καπνώδους ἀναθυμιάσεως καὶ τῆς συνούσης ταύτῃ θερμότητος, τῆς μὲν ἐκκρινομένης καὶ ἀναφερομένης πρὸς τὸ ὑπέκκαυμα, τῆς δὲ σβεννυμένης διὰ τὴν τοῦ τόπου ψυχρότητα· τότε δὴ ψυχομένη ἡ ἀτμὶς διὰ τὴν ἀπόλειψιν τοῦ θερμοῦ, πυκνοῦται καὶ εἰς νέφος ἐξ ἀέρος συνίσταται, καὶ εἰς ὕδωρ μεταβάλλει, καὶ ὄμβρος γίνεται. Ἔστι δὲ ἡ μὲν ἀτμὶς ἐκ τοῦ ὕδατος λεπτυνομένου καὶ ἀραιουμένου· αὕτη δὲ λεπτυνθεῖσα καὶ ἀραιωθεῖσα, γίνεται ἀήρ· ὁ δ' ἀὴρ παχυνθείς τε καὶ πυκνωθεὶς, γίνεται νέφος· τὸ δὲ νέφος μεταβάλλον εἰς ὕδωρ, τὸν ὄμβρον ποιεῖ.

δ'. Ὃ τοίνυν ἀνάγει καὶ μετεωρίζει τοῦ ὑγροῦ ὁ ἥλιος καθεκάστην, ἀτμίζων τῇ θερμότητι καὶ λεπτύνων καὶ διακρίνων, τοῦτο συναθροισθὲν εἰς τὸν ἄνω τόπον καὶ διὰ ψυχρότητα συστὰν καὶ συγκριθὲν, πάλιν ὕδωρ γενόμενον, πρὸς τὴν γῆν καταφέρεται. Κἂν μὴ κατ' ἐνιαυτὸν δὲ ἴσον τῷ ἀναχθέντι κατενεχθῇ, ἀλλ' ἔν τισι τεταγμένοις χρόνοις καταφέρεται καὶ ἀποδίδοται πᾶν τὸ ἀναχθὲν ὑγρὸν, καὶ ὑστερῆσαν τῷ μὴ ταχέως μεταβαλεῖν. Διὸ καὶ μετὰ τὰ αὐχμηρὰ ἔτη φιλεῖ πάλιν ἔπομβρα γίνεσθαι, τῆς ἀμεταβλήτου μεινάσης ὑγρᾶς ἀναθυμιάσεως συμμεταβαλλούσης τῇ ἀναφερομένῃ.

ε'. Ἡ μὲν οὖν ἐξ ὕδατος εἰς ἀέρα μεταβολὴ διὰ μέσης ἀτμίδος γίνεται. Ἡ γὰρ ἀτμὶς παχύτερός ἐστιν ἀὴρ, ἔχων τι καὶ ὕδατος, καὶ διὰ τοῦτο ἀέρος τυγχάνει καὶ ὕδατος μεταξύ. Ἡ δ' ἐξ ἀέρος εἰς ὕδωρ μεταβολὴ διὰ μέσου γίνεται νέφους. Καὶ ὅπερ ἡ ἀτμὶς κάτω, τοῦτ' ἄνω τὸ νέφος· Καὶ ἄμφω γὰρ ἀέρος καὶ ὕδατος μεταξύ.

ς'. Ἡ δ' ὁμίχλη περίττωμα τῆς εἰς ὕδωρ τοῦ νέφους συγκρίσεώς ἐστι καὶ μεταβολῆς. Τὸ γὰρ ὑπολειφθὲν ἀπὸ τῆς νεφέλης ἐν τῇ εἰς ὕδωρ μεταβολῇ, τουτέστιν, ὅπερ ἐν τῇ νεφέλῃ ἄγονον εὑρέθῃ, μὴ δυνάμενον εἰς ὕδωρ μεταβαλεῖν, ὁμίχλη τολοιπόν ἐστι. Γίνεται δ' ὁμίχλη καὶ τὸ νέφος, ὅταν μὴ δυνηθῇ πιληθῆναι οὕτως, ὡς εἰς ὕδωρ μεταβαλεῖν. Ὅθεν ἡ ὁμίχλη καὶ σημεῖον μᾶλλον εὐδίας ἐστὶν ἤπερ ὕδατος. Νεφέλη γὰρ ὥσπερ ἄγονος ὑπάρχει μὴ μεταβάλλουσα μὲν εἰς ὕδωρ ὡς ξηροτέρα, κάτω δὲ πίπτουσα πάλιν ὡς ψυχροτέρα.

ζ'. Ὅταν μὲν οὖν ἐν τῷ ἀπογειοτέρῳ τόπῳ συναθροισθεῖσα ἡ ἀτμὶς ψυχθῇ, καθὼς εἴρηται, τότε γίνεται ὄμβρος· ὃς εἰ μὲν κατὰ μικρὰ μόρια φέροιτο καὶ μὴ ἀθρόως, ἀλλὰ κατὰ μέρος, ὡς κατολίγον ἐκ τοῦ νέφους γεννώμενος, καλεῖται ψεκάς· εἰ δὲ κατὰ μείζω καὶ ἀθροώτερον, ὡς ἤδη γενομένης τῆς εἰς ὕδωρ τοῦ νέφους μεταβολῆς, ὀνομάζεται ὑετός.

η'. Φιλοῦσι δὲ ταῦτα γίνεσθαι κατὰ τὰς ἐνιαυσίας ὥρας. Αἱ γὰρ τοιαῦται ἀναθυμιάσεις καὶ μεταβολαὶ κατὰ τὰς ἰδίας κινήσεις τοῦ ἡλίου μάλιστα γίνονται,

[73] 1 Metor. c. 9; De mundo c. 4. [74] 1 Metor. c. 9. [75] Ibid.

OCR ABK / FR

καθ' ἃς κινήσεις καὶ αἱ ὧραι τοῦ ἔτους διαιροῦνται. Τὸν γὰρ οἰκεῖον κύκλον ἀμείβων ὁ ἥλιος, τὰ μὲν διακρίνει τῶν ὑποκειμένων σωμάτων, πλησίον αὐτῶν γενόμενος (τά τε γὰρ ὕδατα λεπτύνει καὶ αὐτὴν τὴν γῆν) καὶ τὰς ἀναθυμιάσεις ποιεῖ· τὰ δὲ συγκρίνει πάλιν, ἀφιστάμενος πόῤῥω. Τότε γὰρ συγκρίνεται ἡ ὑγρὰ ἀναθυμίασις εἰς νέφη καὶ ὕδατα. Ὅθεν τῇ προσόδῳ τε καὶ ἀφόδῳ τῶν ἐναντίων παθῶν ὁ ἥλιος αἴτιος γίνεται, κινούμενος τὸν ζῳδιακόν.

θ'. Γίνεται δὲ καὶ καθημερινή τις ἀπὸ τῆς περὶ γῆν ὑγρότητος εἰς ἀτμίδα μεταβολή· λαμβάνουσα καὶ αὕτη τὴν ἀρχὴν ἐκ τῆς καθημερινῆς ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν τοῦ ἡλίου κινήσεως κατὰ τὴν μετὰ τοῦ παντὸς συμπεριφοράν. Ἐκ δὴ ταύτης τῆς καθημερινῆς ἀτμίδος, ὅση ἂν μὴ ἰσχύσειεν ἐπιπολὺ μετεωρισθῆναι, διὰ τὴν ἀσθένειαν τοῦ ἀνάγοντος ταύτην θερμοῦ, ἐγγὺς τῆς γῆς ψυχθεῖσα νύκτωρ (ψυχρότεραι γὰρ αἱ νύκτες) δρόσον καὶ πάχνην ἀποτελεῖ· πάχνην μὲν, ὅταν διὰ πολὺ ψῦχος ἡ ἀτμὶς αὕτη παγῇ πρὸ τοῦ εἰς ὕδωρ μεταβαλεῖν· δρόσον δὲ, ὅταν τῷ μὴ πάνυ ψυχρὸν εἶναι τὸ περιέχον ἡ ἀτμὶς εἰς ὕδωρ ἀλλοιωθῇ· μήθ' οὕτω θερμανθεῖσα ὥστε ξηρανθῆναι, μήθ' οὕτω ψυχθεῖσα ὥστε παγῆναι. Ὅθεν ἡ μὲν πάχνη χειμῶνος καὶ ἐν τοῖς χειμεριωτέροις γίνεται τόποις· ἡ δὲ δρόσος, ἔαρος μάλιστα καὶ φθινοπώρου, καὶ ἐν τόποις εὐκράτοις. Αἰθρίας δὲ καὶ νηνεμίας (καὶ) ἄμφω γίνονται. Μὴ οὔσης γὰρ αἰθρίας οὐκ ἂν ἡ ἀτμὶς ἀναφέροιτο· ξηρότητος γὰρ δεῖ πρὸς τὴν ἀναγωγὴν αὐτῆς καὶ λεπτότητος ἐν τῷ περιέχοντι, τουτέστιν, ἵνα μὴ τὸ περιέχον κάθυγρον ἐκ τῶν καταφερομένων ὄμβρων ᾖ καὶ παχύ. Τότε γὰρ ἡ ἀτμὶς ἀναχθῆναι οὐ δύναται. Οὔτε δ' ἀνέμου ὄντος συνίσταιτ' ἂν ἡ ἀτμὶς ὥστε παγῆναι ἢ εἰς ὕδωρ μεταβαλεῖν, ἀλλὰ σκίδναιτό τε καὶ διαφθείροιτο. Τεκμήριον δὲ (καὶ) τοῦ συνίστασθαι τήν τε πάχνην καὶ τὴν δρόσον μὴ πόῤῥω τῆς γῆς τὸ ἐπὶ τοῖς ὑψηλοτέροις ὄρεσι μηδετέραν αὐτῶν γίνεσθαι.

ι'. Πάχνη μὲν οὖν καὶ δρόσος ἐν τοῖς προσγειοτέροις συνίστανται τόποις· ὄμβρος δὲ καὶ χάλαζα, καὶ χιὼν, ἐν τοῖς ἀπογειοτέροις· ἔνθα μήθ' ὁ ἀὴρ ῥεῖ καὶ συμπεριφέρεται τῷ κύκλῳ κινουμένῳ σώματι, ὡς διὰ τὴν τοιαύτην ῥύσιν καὶ κίνησιν τὰς συστάσεις μὴ γίνεσθαι τῶν νεφῶν, μήτε τῶν ἡλιακῶν ἀκτίνων αἱ ἀνακλάσεις τὸ ἔντονον ἔχουσιν, ὥστε μὴν τοῦ ἀέρος εἰς νέφη πίλησιν κωλύεσθαι τῇ θερμότητι. Ἐν δὴ τοῖς τοιούτοις τόποις τοῖς περὶ τὰ νέφη συνίστανται διὰ ψύξιν ὄμβρος, χιών τε καὶ χάλαζα.

ια'. Καὶ ὁ μὲν ὄμβρος διὰ τὴν αὐτὴν αἰτίαν τῇ δρόσῳ γίνεται· ἡ χιὼν δὲ διὰ τὴν αὐτὴν αἰτίαν τῇ πάχνῃ. Διαφέρει δ' ὄμβρος καὶ δρόσος, καὶ πάλιν χιὼν καὶ πάχνη, τῷ μᾶλλον καὶ ἧττον καὶ πλήθει καὶ ὀλιγότητι. Ὁ μὲν γὰρ ὄμβρος, πολύς· ἐκ πολλῆς γὰρ ἀτμίδος γίνεται ψυχομένης· καὶ ὁ τόπος ἐξ οὗ τε ἀναφέρεται καὶ εἰς ὃν ἀθροίζεται, πολύς· καὶ ὁ χρόνος ἐν ᾧ τε ἀναφέρεται καὶ ἐν ᾧ ψύχεται πολύς.

A cundum quos etiam anni tempora dividuntur. Cum enim proprium circulum sol percurrit, alia ex subjectis corporibus quibus propior efficitur, discernit (quippe aquam extenuat ipsamque terram), et exhalationes efficit; alia autem a quibus discedit longius, constringit. Tunc enim humida exhalatio in nubes et aquas cogitur. Unde suo accessu et recessu sol contrariarum passionum causa est, dum movetur **166** in Zodiaco.

9. Fit autem etiam quotidiana quædam ex humore circa terram in vaporem mutatio; quæ ipsa etiam a quotidiano solis super et subter terram motu quem communem habet cum totius universi conversione, sumit initium. Hujus nimirum quotidiani vaporis quæ pars altius elevari propter calidi ipsum adducentis infirmitatem non valuerit, B ea cum prope terram refrigerata noctu fuerit (noctes enim frigidiores sunt), rorem et pruinam efficit. Pruinam quidem, cum propter ingens frigus vapor ille conglaciaverit [76]; rorem vero, cum propterea quod continens non adeo frigidum est, vapor in aquam alteratus fuerit; nimirum nec ita calefactus ut exsiccaretur, nec ita refrigeratus ut conglaciaret. Unde pruina quidem hieme et frigidis fit in locis; ros autem vere potissimum et autumno, inque temperatis locis. Ambo autem hæc sereno et tranquillo cœlo fiunt. Neque enim [77] cœlo non exsistente sereno vapor evehi potest. Siccitate enim et tenuitate [corporis] continentis opus est ad elevationem ipsius; hoc est, ne continens ex decidentibus imbribus humidum crassumque sit. C **167** Tunc enim sursum adduci vapor non potest. Neque vero vento exsistente consistere potest vapor, ut conglaciet aut in aquam mutetur, sed dissipatur et corrumpitur. Indicium autem est ejus quod est pruina et ros non procul a terra consistant, quia neutrum eorum in editioribus montibus generetur [78].

10. Quare pruina quidem et ros in locis terræ vicinioribus, at vero imber et grando et nix in locis a terra remotioribus consistunt: ubi neque aer fluit et cum corpore quod circulariter movetur, simul convertitur, uti propter ejusmodi fluxum et motum nubium concretiones non fiant; neque radiorum solarium refractiones efficaciam eam habent, ut aeris in nubes conglobationem suo calore impe-D dire queant. In ejusmodi scilicet locis quibus nubes continentur, per refrigerationem et pluvia et nix et grando consistunt.

11. Et pluvia quidem propter eamdem causam propter quam ros generatur; nix vero propter eamdem causam quam propter pruina [79]: differunt autem pluvia et ros, itemque rursus nix et pruina intentione et remissione itemque, multitudine et paucitate. Pluvia enim copiosa **168** est; ex copioso quippe vapore frigescente generatur; et locus etiam ex quo elevatur et in quem coacervatur amplus est;

[76] 1 Meteor. c. 10. [77] Ibid. [78] Ibid. [79] Ibid. c. 11.

OCR ABK / FR

quin et tempus quo elevatur et quo frigescit, longum est. Ros vero exiguum quid est singulorum dierum, et ex loco est exiguo, celeremque generationem habet.

12. Quemadmodum autem ros ad pluviam, ita pruina ad nivem sese habet. Nix enim nobis jam consistentis est congelatio; pruina, vaporis congelatio. Utraque autem propter magnum frigus congelant; suntque vel horæ vel regionis frigidæ signa. Nisi enim frigus prævaleret [80], neque vapor, qui calorem a quo elevatus est in seipso habet, nec nubes congelasceret, quæ et ipsa tamen adhuc calorem habet ab eo reliquum, qui vaporem ex terra sustulit, ex quo nubes est. Prorsus autem nubes caloris est particeps. Hoc enim ni ita se haberet, non maneret sursum, sed ut nebula deorsum caderet.

13. Nubes quidem igitur est crassamentum vapidum convolutum aquæ generandæ vim habens. Nebula vero vapida exhalatio aquæ nequaquam genitrix, aere quidem densior, nube autem rarior, fitque vel ex nubis principio rarescente, **169** vel ex reliquiis. Adversaria autem his est serenitas, quæ nihil aliud est quam aer nubibus nebulaque per omnia vacuus.

14. Ex nube autem pluvia fit per expressionem ipsius magnopere incrassatæ; totque differentias habet, quot nubis habet compressio; quippe quæ si remissa fuerit, molles, sin vehemens, grossiores stirias dispergit. Atque hoc imber vocatur, contorta pluviæ stillicidia cum majuscula ipsa tum jugi tenore in terram cadentia. Ex vapore autem ros generatur. Ros enim est humidum in serenitate per munitam concretionem decidens.

15. Nivem porro efficit nubis condensatæ et congelatæ suffriatio, quæ priusquam in aquam mutetur, contusa sit [81]. Et contusio quidem spumæ speciem exactumque candorem, congelatio autem, humoris qui inest, et nondum fusus est, cum nec etiam nubes rarefacta sit, rigorem efficit. Quod si cum impetu et confertim nix decidat, niphetos [ningor] nominatur. Quo modo autem ex nube nix, eodem ex vapore pruina generatur. Sed est etiam aliquid roris et pruinæ intermedium, quod drosopachnen dicunt, qui est ros semicongelatus, **170** quasi ros pruinosus.

16. Pluviæ proinde quidem in loco a terra remotiore concrescenti ros circa terram, nivi pruina quoad proportionem respondet. At vero quod grandini respondeat, circa terram nihil est. Neque enim ex nube in grandinem fit mutatio [82], sed primum fit pluvia, et propter antiperistasin congelat.

17. Est autem antiperistasis [quam alii coarctationem, alii compressionem undique circumtusam, alii mutuum adversum conatum vocant] transmutatio et transitio quædam ab ambientibus circa

A Ὀλίγον δὲ καὶ ἐφήμερον ἡ δρόσος καὶ ἐξ ὀλίγου τόπου, καὶ ταχεῖα ἡ γένεσις αὐτοῦ.

ιβʹ. Ὡς δὲ (ἡ) δρόσος πρὸς ὄμβρον, οὕτω πάχνη πρὸς χιόνα. Ἡ μὲν γὰρ χιὼν πῆξίς ἐστι νέφους ἤδη συνεστῶτος· ἡ δὲ πάχνη πῆξις ἀτμίδος. Καὶ ἄμφω δὲ διὰ μέγα πήγνυνται ψῦχος· καὶ σημεῖά ἐστιν ἢ ὥρας ἢ χώρας ψυχρᾶς. Εἰ μὴ γὰρ ἐπεκράτει τὸ ψῦχος, οὔτ' ἂν ἡ ἀτμὶς ἐπήγνυτο, τὸ ἀνάγον ταύτην θερμὸν ἔχουσα ἐν ἑαυτῇ, οὔτ' ἂν τὸ νέφος ἔχον ἔτι καὶ αὐτὸ θερμότητα τὴν ὑπολειφθεῖσαν τῆς μετεωρισάσης ἐκ τῆς γῆς τὴν ἀτμίδα, ἐξ ἧς ἀτμίδος τὸ νέφος. Πάντως δὲ τὸ νέφος μετέχει θερμότητος· Εἰ μὴ τοῦτο γὰρ, οὐκ ἂν ἔμεινεν ἄνω, ἀλλὰ καθάπερ ὁμίχλη
B κατέπιπτε κάτω.

ιγʹ. Νέφος μὲν οὖν ἐστι πάχος ἀτμῶδες συνεστραμμένον γόνιμον ὕδατος, ὁμίχλη δὲ ἀτμώδης ἀναθυμίασις ἄγονος ὕδατος· ἀέρος μὲν πυκνοτέρα, νέφους δ' ἀραιοτέρα. Γίνεται δὲ ἤτοι ἐξ ἀραιώσεως ἀρχῆς νέφους, ἢ ἐξ ὑπολείμματος. Ἀντίπαλος δὲ τούτοις ἡ αἰθρία, μηδὲν ἕτερον οὖσα ἢ ἀὴρ ὡς ἐπίπαν ἀνέφελος καὶ ἀνόμιχλος.

ιδʹ. Ἐκ μὲν οὖν τοῦ νέφους γίνεται ὄμβρος κατ' ἐκπιεσμὸν αὐτοῦ, εὖ μάλα πεπαχυμένου· διαφορὰς δ' ἴσχει τοσαύτας, ὅσας καὶ ἡ τοῦ νέφους θλίψις. Ἠπία μὲν γὰρ οὖσα, μαλακὰς ψεκάδας διασπείρει, σφοδρὰ δὲ, ψεκάδας ἁδράς. Καὶ τοῦτο κέκληται ὑετὸς, ὄμβρου συστρέμματα μεγάλα καὶ συνεχῆ φε-
C ρόμενα ἐπὶ γῆς. Ἐκ δὲ τῆς ἀτμίδος γίνεται δρόσος. Δρόσος γάρ ἐστιν ὑγρὸν ἐν αἰθρίᾳ κατὰ λεπτὴν φερόμενον σύστασιν.

ιεʹ. Χιόνα δὲ ποιεῖ νέφους πεπυκνωμένου τε καὶ συμπεπηγμένου ἀπόθραυσις, ἀνακοπέντος πρὸ τῆς εἰς ὕδωρ μεταβολῆς. Ἐργάζεται δὲ ἡ μὲν κοπὴ τὸ ἀφρῶδες καὶ ἔκλευκον· ἡ σύμπηξις δὲ τοῦ ἐνόντος ὑγροῦ τὴν ψυχρότητα μήπω χυθέντος μήτε τοῦ νέφους ἠραιωμένου. Σφοδρὰ δὲ καὶ ἀθρόα καταφερομένη χιὼν νιφετὸς ὀνομάζεται. Ὃν δὲ τρόπον ἐκ τοῦ νέφους ἡ χιὼν, τὸν αὐτὸν ἐκ τῆς ἀτμίδος ἡ πάχνη. Ἔστι δὲ καί τι μεταξὺ δρόσου καὶ πάχνης, ὃ δροσοπάχνην φασὶν, ἡμιπαγῆ δρόσον τυγχάνουσαν.

D ιςʹ. Τῷ μὲν οὖν ὄμβρῳ ἐν τῷ ἀπογείῳ τόπῳ συνισταμένῳ ἡ δρόσος ἀνάλογον ἐν τῷ περὶ (τὴν) γῆν, τῇ δὲ χιόνι ἡ πάχνη. Οὐδὲν δὲ τὸ ἀναλογοῦν τῇ χαλάζῃ γίνεται περὶ (τὴν) γῆν. Οὐδὲ γὰρ ἐκ νέφους εἰς χάλαζαν ἡ μεταβολὴ, ἀλλ' ὄμβρος γίνεται πρότερον, καὶ δι' ἀντιπερίστασιν πήγνυται.

ιζʹ. Ἀντιπερίστασις δέ ἐστι μετάστασις καὶ μεταχώρησις ἐκ τῶν κύκλῳ γινομένη περὶ τὸ μέσον· οἷον ὅταν περιωθούμενόν τι ὑπό τινος, αὐτὸ πάλιν τὸ προσεχὲς ὁμοίως ἀντιπεριωθῇ, κἀκεῖνο δὴ τὸ ἐχό-

[80] 1 Meteor. c. 11. [81] Ibid., De mundo cap. 4. [82] 1 Meteor. c. 12.

OCR ABK / FR

μενον καὶ οὕτως γίνηται τῶν τόπων ἀνταλλαγή· κἀντεῦθεν τῶν μὲν πέριξ τόπων ἀπόλειψις, πρὸς δὲ τὸν μέσον συνώθησις καὶ συνέλευσις. Τοῦτο γοῦν ἐστι (τὸ) γινόμενον κἀπὶ τοῦ θερμοῦ τε καὶ τοῦ ψυχροῦ. Ὅταν γὰρ ἐπικρατῇ τὸ θερμὸν, ἀπωθεῖ τὸ πλησιάζον αὐτῷ τοῦ ψυχροῦ· κἀκεῖνο πάλιν βιαζόμενον τὸ σύνεγγυς ἀπωθεῖ· καὶ οὕτως ἀντιμεθιστάμενον τὸ ψυχρὸν συνάγεται καὶ συσφίγγεται, καὶ δυναμικώτερον γίνεται. Τοῦτο δὲ πάσχει καὶ τὸ θερμὸν, ὁπόταν ἐπικρατῇ τὸ ψυχρόν. Διὸ καὶ χειμῶνος μὲν θερμότερά εἰσι τὰ ὑπὸ τὴν γῆν, καὶ αἱ πηγαὶ τῶν ὑδάτων θερμαίνονται, εἰς βάθος ἀπωθουμένης τῆς θέρμης ὑπὸ τῆς τοῦ περιέχοντος ψύξεως. Ἐν δὲ ταῖς ἀλέαις τοὔμπαλιν τὰ πηγημαῖα ὕδατα ψύχεται, ψυχροτέρων γινομένων τῶν ὑπὸ γῆν διὰ τὴν τῆς περιεχούσης θερμότητος ἐπικράτειαν.

A medium facta; exempli gratia, quando aliquid ab aliquo undequaque protrusum, vicissim ipsum eadem ratione continuum undique adversus se protrudit, et hoc id quod consequens est; sic locorum fit permutatio, et ambientium quidem desertio, ad medium autem contrusio et coitio. Quod quidem fieri solet et in calido et in frigido. Cum enim dominatur calidum, propellit quidquid frigidi sibi vicinum est: et hoc vicissim dum vim patitur, propinquum repellit: atque ita frigidum dum contraria obsistentia habet, cogitur et constringitur, potentiusque efficitur. Quod idem etiam accidit **171** calido, cum frigidum dominatur. Quapropter etiam [83] hyeme subterranea loca calidiora sunt et fontes aquarum calefiunt, quia calor in interiora a continentis [corporis] refrigeratione compellitur. Contra autem calidioribus tempestatibus aquæ fontanæ frigescunt, dum subterranea loca propter ambientis caloris dominium frigidiora efficiuntur.

ιη'. Τοῦτο γοῦν ὑποθηπτέον κἀν τῷ ἄνω γίνεται τόπῳ. Ὅταν γὰρ τὸ περιέχον ὑπάρχῃ θερμὸν, τότε τὸ ψυχρὸν τὸ ἐν τοῖς νέφεσι κατισχόμενον, ἀντιπεριϊστάμενον ἔξωθεν ἔσω πρὸς βάθος διὰ τὴν κύκλῳ θερμότητα, ὁτὲ μὲν ταχέως ὕδωρ ἐκ τοῦ νέφους ποιεῖ· διὸ καὶ αἱ ψεκάδες ἐν ταῖς ἀλεειναῖς ἡμέραις μείζους, καὶ ὑετοὶ λάβροι καὶ ἐπειγμένοι, διὰ τὸ ἀθρόον τῆς μεταβολῆς. Ὅταν δ' ἔτι μᾶλλον ἀντιπεριστῇ ἐντὸς τὸ ψυχρὸν, ὡς πλεῖον ἐν τῷ βάθει γενέσθαι, συνελαυνόμενον εἰς τοῦτο ὑπὸ τῆς ἔξω θερμότητος, ἅμα τε τὴν εἰς ὕδωρ μεταβολὴν τοῦ νέφους ἐποίησε, καὶ εὐθὺς τῷ γενέσθαι, τὸ ὕδωρ ἔπηξε καὶ ἀπετέλεσε χάλαζαν.

B 18. Hoc scilicet etiam in superiore loco fieri existimandum est. Cum enim continens fuerit calidum, tum frigidum quod in nubibus coarctatur et per antiperistasin extrinsecus factam introrsum cogitur ad profunditatem circumdantis caloris gratia, interdum ex nube aquam celeriter efficit (unde etiam propter confertam et copiosam mutationem diebus calidis stillæ grandiores et imbres impetuosi et properati exoriuntur). Cum autem magis introrsum fuerit frigidum coactum per antiperistasin, ut in profunditatem magis resideat, ad eam nimirum ab exteriore calore compulsum, tum simul et nubis mutationem in aquam fecit; et simul ac ea facta est, aquam in glaciem convertit, et grandinem effecit.

ιθ'. Συμβαίνει δὲ τοῦτο, ὅταν ὑπάρχῃ θᾶττων ἡ πῆξις τοῦ ὕδατος, ἢ ἡ ἐπὶ τὰ κάτω φορὰ αὐτοῦ· ἐπεὶ γὰρ ἥ τε καταφορὰ τοῦ ὕδατος ἐν χρόνῳ γίνεται, ἥ τε πῆξις ἐν χρόνῳ, ὅταν ἐλάττονι χρόνῳ τοῦ τῆς καταφορᾶς ἡ πῆξις γένηται, πήγνυται τὸ ὕδωρ, ἔτι ὂν ἄνω ἐν τῷ τόπῳ τοῦ νέφους.

C 19. Accidit autem hoc **172** cum celerior fuerit aquæ congelatio quam ejusdem deorsum delatio. Quoniam enim et aquæ delatio in tempore [84], et congelatio item in tempore fit; cum citius quam deferatur fit congelatio, conglaciat aqua adhuc in superiore parte nubis existens.

κ'. Ὅσῳ δ' ἂν ἐγγύτερον τῆς γῆς αἱ τοιαῦται γίνοιντο μεταβολαὶ, τοσούτῳ καὶ ἀθροώτεραι διὰ τὴν τοῦ τόπου θερμότητα, καὶ πολὺ μείζους αἱ ψεκάδες καὶ τὰ ὕδατα λαβρότερα, καὶ αἱ χάλαζαι μέγισται, καὶ οὐ στρογγύλαι τὸ σχῆμα διὰ τὸ βραχὺν φέρεσθαι τόπον καὶ μὴ τὰς αὐτῶν ἐξοχὰς ἐν τῷ πολλῷ διαστήματι περιθραύεσθαι τῆς καταφορᾶς, ὅπερ πάσχουσιν αἱ φερόμεναι πόῤῥωθεν.

20. Quanto propius autem terram ejusmodi mutationes contigerint, tanto etiam propter loci calorem copiosiores sunt, et multo majores stillæ et aquæ impetuosiores, et grandines maximæ, nec figura rotundæ; quia per breve feruntur spatium, nec earum extremitates longo delationis intervallo in circuitu franguntur, quod illis accidit quæ eminus feruntur.

καα'. Οὐ πυκναὶ δὲ πίπτουσιν αἱ μεγάλαι ψεκάδες, διά τε τὸ ἐγγὺς γίνεσθαι τὴν τούτων μεταβολὴν, καὶ φθάνειν τὰς πρώτας καταφέρεσθαι πρὸ τῆς τῶν ἄλλων γενέσεως, καὶ διὰ τὸ μὴ διαιρεῖσθαι ταύτας ἐν (τῇ) καταφορᾷ· καθὼς αἱ ἀφ' ὕψους φερόμεναι διατέμνονται καὶ διαμερίζονται τῇ μακρᾷ καθόδῳ, καὶ σμικρυνόμεναι πυκνοῦνται.

21. Jam vero magnæ stillæ non cadunt densæ, et quia prope fit earum mutatio [85], et quia primæ D prius deferuntur, quam aliæ generentur, et quia hæ in delatione non dividuntur: quemadmodum quæ ex alto feruntur, longo descensu dissecantur et dividuntur, et minutiores factæ densantur.

κβ'. Γίνονται δὲ αἱ χάλαζαι ἔαρος μὲν μάλιστα καὶ μετοπώρου· τῆς δ' ὀπώρας ὀλιγάκις, ἔτι δ' ἐπ' ἔλαττον τοῦ χειμῶνος, καὶ τότε ὅταν ἧτ-

22. Fiunt porro grandines vere quidem potissimum et sub finem autumni; raro autumno, et infrequentius hyeme; atque tum cum minus est

[83] 1 Meteor. c. 12. [84] Ibid. [85] Ibid.

OCR ABK / FR

frigoris : ac in universum fiunt in locis temperatioribus et **173** temporibus calidioribus [86], cujus causa est antiperistasis. Non autem crebro æstate fiunt, tametsi magis sit calida, ob humoris defectum qui vere copiosus est et ab hyeme remansit. Et vero etiam autumni finis jam humescit fiuntque etiam autumno grandines maxime desinente, cum quod jam humor præsto sit, tum quod jam ante aer incaluerit,quin in aquam mutatur. Nam et hoc ex quadam parte ad refrigerationis celeritatem est utile. Quæ enim antea calefacta sunt [87], cum celerius tum vehementius refrigerantur.

23. Postremo [88] circa Arabiam et Æthiopiam æstate, non hyeme pluvias easque etiam vehementes et sæpe uno die fieri dicunt ; causamque hujus rei ab antiperistasi reddunt, quæ inde exoritur, quod regio valde calida est. Et si enim in illis partibus æstas maxime sicca est ; in aliis tamen locis pluviarum materia coacervatur,quæ dum ventis anniversarariis ad montes illuc compellitur consistit et has quas commemorant, pluvias generat.

A τον ἢ ψῦχος. Ὅλως δ' ἐν τοῖς εὐδιεινοτέροις γίνονται τόποις καὶ τοῖς ἀλεεινοτέροις καιροῖς διὰ τὸ τῆς ἀντιπεριστάσεως αἴτιον. Οὐ γίνονται δὲ πολλάκις τοῦ θέρους, καίτοι μᾶλλον ὄντος θερμοῦ, διὰ τὴν ἔνδειαν τῆς ὑγρότητος, ἥτις ἐν τῷ ἔαρι πολλή ἐστιν ἀπὸ τοῦ χειμῶνος μένουσα. Καὶ τὸ μετόπωρον δὲ ἤδη ὑγραίνεται. Γίνονται δὲ καὶ τῆς ὀπώρας χάλαζαι καὶ μᾶλλον ληγούσης, διὰ τὸ ἤδη τε ὑγρότητα εἶναι, καὶ διὰ τὸ προτεθερμάνθαι τὸν ἀέρα τὸν εἰς ὕδωρ μεταβάλλοντα. Συμβάλλεται γάρ πως καὶ τοῦτο πρὸς τὴν ταχυτῆτα τῆς ψύξεως. Τὰ γὰρ προθερμανθέντα ταχύτερόν τε καὶ ἰσχυρότερον ψύχεται.

κγ'. Μέγεται δὲ περὶ τὴν Ἀραβίαν καὶ Αἰθιοπίαν τοῦ θέρους, ἀλλ' οὐ τοῦ χειμῶνος τοὺς ὄμβρους γίνεσθαι, καὶ ταῦτα ῥαγδαίους καὶ τῆς αὐτῆς ἡμέρας πολλάκις. Καὶ ἀποδίδοται καὶ τοῦ τοιούτου αἴτιον ἡ
B ἀντιπερίστασις, ἥτις γίνεται διὰ τὸ ἀλεεινὴν εἶναι τὴν χώραν ἰσχυρῶς. Εἰ δὲ τὸ θέρος ἐν ἐκείνοις τοῖς μέρεσι μάλιστα ξηρότατον, ἀλλ' ἐν ἄλλοις τόποις ἡ τῶν ὄμβρων ἀθροίζεται ὕλη, καὶ ὑπὸ τῶν ἐτησίων πνευμάτων εἰς τὰ ἐκεῖσε ὄρη ἀπωθουμένη συνίσταται, καὶ τοὺς ἱστορουμένους ὑετοὺς ἀπογεννᾷ.

---

## SYNOPSIS CAPITIS XV.

### QUOD EST DE FONTIBUS ET FLUVIIS.

**174** 1. *Removet causam non veram generationis fontium et fluviorum,et remotionem probat ac argumento defluentium ex nubibus aquarum declarat.* — 2. *Veras causas indicat, easque explicat, quæ eædem sunt cum causis aquarum superne descendentium.* — 3. *Occupatio.* — 4. *Comparationem instituit generationis aquarum supra et infra terram.* — 5. *Differentiam constituit fontium et scaturiginum.* — 6. *Plurimos et maximos fontes a montibus editioribus exordium habere pronuntiat, quibus etiam multæ scaturigines vicinæ sunt ; quia nimirum montes ejusmodi cum aquam multam pluvialem ipse recipiunt, tum copiosam ipsimet ex vaporibus in se generatis conficiunt.* — 7. *Quasi per porisma infert, fluvios qui ex stagnis oriri videntur, nihilominus habere exordia.* — 8. *Quibus a montibus perennes, et a quibus exigui temporis fluvii oriantur.* — 9. *Aliorum sententiam de origine fontium proponit, eamque primum disputandi gratia refutat.* — 10. *Eamdem ex vera animi sententia probat, et cum illa physicorum superiore commemorata sententia conciliat.*

---

## CAPUT XV.

### *De fontibus et fluviis.*

1. Non ut ex vase aliquo et antro copiosam aquam coacervatam habente e terra fontes sensim effluunt, ut quibusdam visum est. **175** Sunt enim [89] quidem cavernæ etiam aliquæ intra terram quæ aquas capiunt, et quibus hieme impletis aliqua fit aquæ emanatio ; sed non est ista fontium causa. Neque enim [90] terra profecto tantæ aquæ conceptaculis sufficeret ; ut neque nubes,siquidem et ipsæ in se haberent aquam omnem præexistentem quæ depluitura est ; nec alia quidem pars deorsum ferretur, alia vero vicissim generaretur.

2. Quare potius quæ censentur causæ aquarum in terram decidentium (materialis enim causa vapor est ; efficiens, refrigeratio) : eædem ipsæ causæ erunt aquarum quæ ex terra redduntur. Quemadmodum enim supra terram evaporans aer in aquam mutatur, cum refrigeratur ; sic etiam

C

## ΚΕΦΑΛ. ΙΕ'.

### Περὶ πηγῶν καὶ ποταμῶν.

α'. Οὐχ ὡς ἐξ ἀγγείου τινὸς καὶ κοιλίας ἠθροισμένον ἀθρόον ὕδωρ ἐχούσης τῆς γῆς ἀποῤῥέουσιν αἱ πηγαὶ κατ' ὀλίγον, ὥς τισιν ἔδοξεν. Εἰσὶ (μὲν γὰρ) καὶ τινες κοιλότητες ἔνδον τῆς γῆς ὑδάτων χωρητικαί, ἀφ' ὧν πληρωθεισῶν τοῦ χειμῶνος ἀπόῤῥυσίς τις ὕδατος γίνεται. Ἀλλ' οὐ τοῦτ' ἂν εἴη τῶν πηγῶν αἴτιον. Οὐδὲ γὰρ ἐξήρκει πάντως ἡ γῆ ταῖς τοῦ τοσούτου ὕδατος ὑποδοχαῖς, ὥσπερ οὐδὲ τὰ νέφη· εἴπερ ἦν καὶ αὐτὰ προϋπάρχον ἔχοντα τὸ ὑετισθησόμενον ὕδωρ ἠθροισμένον ἅπαν ἐν ἑαυτοῖς· ἀλλὰ μὴ τὸ μὲν καταφέρεται, τὸ δ' αὖθις ἐγίνετο.

β'. Ὥστε μᾶλλον ἅπερ αἴτια τῶν εἰς γῆν κατα-
D φερομένων ὑδάτων κρίνεται (ὑλικὸν μὲν γὰρ αἴτιον αὐτῶν ἡ ἀτμίς, ποιητικὸν δ' ἡ ψύξις), ταῦτ' ἂν εἴη καὶ τῶν ἐκ γῆς ἀναδιδομένων ὑδάτων αἴτια τὰ αὐτά. Ὥσπερ γὰρ ὑπὲρ γῆν ὁ ἀτμίζων ἀὴρ εἰς ὕδωρ μεταβάλλει ψυχόμενος· οὕτως ὑποληπτέον καὶ ὑπὸ

[86] 1 Meteor. c. 12. [87] Ibid. [89] Ibid. c. 13. [90] Ibid.

OCR ABK / FR

γῆν ἐκ τῶν ἐν γῇ ἀτμίδων γεννᾶσθαι ὕδωρ διὰ τὴν ἐνοῦσαν τῇ γῇ ψυχρότητα.

γ'. Δέχεται μὲν γὰρ ἡ καὶ γῆ καὶ τὸ ἐκ τῶν ὄμβρων καταφερόμενον εἰς αὐτὴν ὕδωρ, καὶ στέγει τοῦτο ἐν ἑαυτῇ. Δύναται δὲ ἕτερον γεννᾶν συνεχῶς ἐν τοῖς πρὸς τοῦτο ἐπιτηδείοις τόποις αὐτῆς.

δ'. Ὥσπερ οὖν ἐν τῷ ὑπὲρ γῆν τόπῳ κατὰ μικρὰ συνιστάμεναι πρῶτον αἱ ῥανίδες, ἔπειτ' ἀλλήλαις μιγνύμεναι, τὸ τελευταῖον μετὰ πλήθους κατάγονται, ποταμόν τινα ἄνωθεν ῥέοντα ποιοῦσαι· τὸν αὐτὸν δὴ τρόπον καὶ ὑπὸ γῆν, ἐκ μικρῶν ῥανίδων, ὥσπερ ἱδρούσης τῆς γῆς, συλλείβεται πρῶτον τὸ ὕδωρ, τό τε κατ' αὐτῆς δῦνον ὑπὸ τῶν ὄμβρων, καὶ τὸ γεννώμενον ἐν αὐτῇ· καὶ οἷον εἰς ἕν τι πηδώσης τῆς γῆς, αἱ πηγαὶ γίνονται καὶ αἱ κρῆναι.

ε'. Αἱ πηγαὶ μὲν οὖν ἀρχαὶ τυγχάνουσι ποταμῶν· αἱ δὲ κρῆναι μικραὶ πηγαί εἰσι, μὴ δυναμένης αὐτῶν ἑκάστης ποτάμιον καθ' αὑτὴν ῥεῦμα προαγαγεῖν.

ς'. Οἱ πλεῖστοι δὲ καὶ μέγιστοι τῶν ποταμῶν ἀπὸ τῶν ὑψηλοτάτων ῥέουσιν ὀρῶν. Ὄρεσι δὲ γειτνιῶσι καὶ αἱ πλεῖσται κρῆναι, καὶ ἐξ ὀρῶν ἀπορρέουσιν. Ἐν γὰρ τοῖς πεδίοις ὀλίγαι (κρῆναι) παντελῶς εἰσι (καὶ) πηγαὶ καὶ ῥύσεις ὑδάτων χωρὶς τῶν ποταμίων· ἃ ῥεῖ μὲν διὰ τῶν πεδίων, ἔχει δὲ τὴν ἀρχὴν ἀπὸ τῶν ὀρῶν. Τὰ γὰρ ὀρεινὰ καὶ ὑψηλὰ χωρία ὡς σπογγιαί τινες ἐπικρεμάμεναι τῶν χθαμαλῶν κατὰ μικρὰ μέν, πολλαχῇ δὲ διαπηδῶσι, καὶ ἀποδιδόασιν ὅπερ ἐν ἑαυτοῖς ἀπὸ τῶν ὄμβρων ὕδωρ δεχόμενα φυλάττει διὰ πυκνότητα. Ἔτι τε καὶ τὴν δι' αὐτῶν ἀνιοῦσαν ἐκ βάθους ἀτμίδα ψύχει τὰ τοιαῦτα χωρία καὶ μεταβάλλει εἰς ὕδωρ, ὡς καὶ τοῦτο γινόμενον ἀπορρεῖν ἐξ αὐτῶν· οὐ μὴν μόνον τὸ ἐκ τῶν ὄμβρων προενυπάρχον αὐτοῖς.

ζ'. Ὥστε καὶ ὅσοι τῶν ποταμῶν ἐξ ἑλῶν φαίνονται ῥέοντες, ἐκ τῶν ὑψηλοτέρων τόπων ἔχουσι τὰς πρώτας ἀρχάς. Ἐκεῖθεν γὰρ συλλειβόμενον τὸ ὕδωρ καὶ συῤῥέον καὶ ὑπονομεῦον τὰ ἕλη, ἐκ τούτων ὡς ἐκ πηγῶν ἀναδίδοται.

η'. Εἰ μὲν οὖν τὰ ἐπικείμενα ὄρη μέγιστά τε εἴη καὶ πυκνὰ καὶ ψυχρά, ῥέουσι καὶ οἱ ἐντεῦθεν ποταμοὶ ἀέναον. Οἱ γὰρ τοιοῦτοι τόποι πλεῖστον ὕδωρ καὶ δέχονται καὶ στέγουσι καὶ ποιοῦσι. Ὅσοις δὲ τῶν ποταμῶν καὶ ἐπικρεμάμεναι τῶν ὀρῶν συστάσεις μικραί εἰσιν, ἢ σομφαὶ καὶ λιθώδεις καὶ ἀργιλώδεις, εἴτουν λευκαὶ καὶ οἷον τιτανώδεις, οἱ τοιοῦτοι ποταμοί, πρὶν ἐπελθεῖν τοὺς χειμερινοὺς ὄμβρους, τὸ ὕδωρ προαπολείπουσιν.

θ'. Εἰ δὲ ταῦθ' οὕτως ἔχει, πῶς ἂν δόξειεν εὔλογον ἐκ τῆς θαλάσσης ἄρχεσθαι τὰς πηγάς, ὡς τοῦ θαλασσίου ὕδατος διηθουμένου καὶ διυλιζομένου διὰ τῆς γῆς, καὶ οὕτω γλυκαινομένου καὶ ἀναδιδομένου, καθὼς οὐκ ὀλίγοι πεφυσιολογήκασι; μᾶλλον γὰρ ἄν, εἰ τοῦτ' ἦν, ἐκ τῶν κοιλοτέρων τόπων, ἀλλ' οὐχ ἐκ τῶν ὑψηλοτέρων ἔῤῥεον αἱ πηγαὶ κατὰ τὸ εἰκός.

A infra terram ex vaporibus, qui sunt in ipsa, aquam fieri existimandum est propter frigus quod terræ inest.

3. Nam terra quidem etiam aquam ex pluviis delatam recipit, sinuque suo tegit. Sed et aliam in locis ad hoc idoneis continenter generare potest.

4. Quemadmodum ergo in loco qui supra terram est, guttæ primum minutatim coagmentatæ, deinde inter se commistæ, tandem in copia deferuntur fluvium **176** aliquem superne fluentem efficientes; eodem sane etiam modo infra terram ex parvis guttis quasi sudaret terra stillat primum aqua cum quæ ipsam a pluviis subit, tum quæ inibi generatur; adeoque veluti consiliret terra in unum, fontes et scaturigines oriuntur.

B 5. Fontes proinde quidem fluviorum sunt principia; scaturigines autem, exigui fontes sunt; cum quælibet earum fluvialem decursum per se producere nequeat.

6. Porro plurimi et maximi fluvii ex altissimis fluunt montibus. Sed et plurimæ scaturigines montibus vicinæ sunt, et ex montibus defluunt. In planitie enim certe paucæ sunt (scaturigines et) fontes et fluxus aquarum, exceptis fluvialibus quæ per plana quidem decurrunt, sed originem habent a montibus. Quippe montana et edita loca veluti spongiæ quædam humilibus impendentes pauxillatim quidem, sed multis ex partibus rumpuntur, et aquam reddunt quam in se ex pluviis collectam asservant densitatis suæ causa. Quin et amplius C ex suamet profunditate ascendentem vaporem refrigerant ejusmodi loca, et in aquam mutant; ut et hæc cum fit ex ipsis **177** effluat; nec ea tantum quæ ex pluviis inibi jam ante exsistit.

7. Quare omnes fluvii qui ex stagnis fluere videntur, ex locis editioribus sua prima habent exordia. Cum enim illinc aqua destillet et confluat et per cuniculos stagna subeat, ex his quasi ex fontibus editur.

8. Quod si igitur montes incumbentes, maximi sunt et densi et frigidi etiam fluvii inde fluunt perenniter. Quippe ejusmodi loca plurimum aquæ et recipiunt et tegunt et faciunt [91]. Quibus autem fluviis impendentes montium constitutiones sunt exiguæ, aut inanes, et lapidosæ et argilosæ, sive D albæ et veluti gypsatæ; ejusmodi fluvii prius aqua deficiunt, quam hibernæ pluviæ superveniant.

9. Quod si vero hæc ita se habent, quomodo rationi consentaneum est fontes ex mari principium habere, quasi aqua marina percolaretur et defæcaretur per terram, atque ita dulcesceret et restitueretur, quemadmodum non pauci physici disseruerunt? Nam si hoc ita esset, ex locis magis cavis, et non ex editioribus fontes fluere consentaneum videri queat.

[91] 1 Meteor. c. 14.

OCR ABK / FR

10. Atqui vero et hoc si alia ratione explicetur, principiis **178** fontium convenire videtur. Cum enim terra pertusa et cuniculosa sit et aliquas quasi venas habeat; necessario ipsa universa ex mari aquam per divisionem et derivationem accipit; humore ex proximis mari partibus ad remotiores transeunte, et hinc vaporum copiam terræ præbente; qui dum elevantur et refrigerantur, ut ante dictum est, multum aquæ generabitur.

A ι'. Ἄλλως δὲ δοκεῖ καὶ τοῦτο ταῖς ἀρχαῖς συμβάλλεσθαι τῶν πηγῶν. Διάτρητος οὖσα ἡ γῆ καὶ ὑπόνομος, καὶ ὥσπερ τινὰς ἔχουσα φλέβας, ἀναγκαίως ἐκ τῆς θαλάσσης δέχεται τὸ ὕδωρ πᾶσα κατὰ διάδοσιν, ἐκ τῶν ἔγγιστα τῇ θαλάσσῃ μερῶν τῆς γῆς διαβαίνοντος τοῦ ὑγροῦ καὶ πρὸς τὰ πορρωτέρω, κἀντεῦθεν ἀτμῶν ἀφθονίαν τῇ γῇ παρέχοντος· ὧν ἀναφερομένων καὶ ψυχομένων, ὡς προείρηται, γένεσις ὕδατος ἔσται πολλοῦ.

---

## SYNOPSIS CAPITIS XVI.

### QUOD EST DE MARI.

1. *Variæ divisiones aquarum.* — 2 *Mare non est manu elaboratum, sed sponte naturæ suæ ortum non tamen effluidum.* — 3. *Occupatio.* — 4. *Mare a partibus altioribus ad caviores fluit, non tamen in aliud receptaculum effluit, ac proinde aqua stagnans censetur.* 5. *Mare non est aqua fontana, quia non est effluidum.* — 6. *Mare est aqua collectitia, non tamen ex fluminibus. Alias enim potius fontana et effluida esset.* — 7. *Mare non est æternum, ut neque mundus, quemadmodum putavit Aristoteles; sed cum mundo per creationem Dei cœpit, ut tradunt sacræ Litteræ et fide percipitur.* — 8. *Locus maris etiam, elementi aquæ est locus. Qua de causa etiam ad ipsum omnia alia feruntur flumina.* — 9. *Salsedinis et amaritudinis maris causæ sunt, tum illius* **179** *statio, tum evaporatio, quemadmodum simili declaratur.* — 10. *Quod mare neque majus neque minus fiat.* — 11. *Cur mare neque dulcius neque salsius efficiatur, adeoque eamdem fere semper cum quantitatem tum qualitatem servet.* — 12. *Ut ipsum mare, sic et ejus qualitas, salsedo et amaritudo cœpit; ubi etiam exponitur, quomodo accipiendum quod Deus in creatione dixit, Fiat firmamentum in medio aquarum, et dividat inter aquas aquas.* — 13. *Ratiocinatio a posteriori, qua colligit ut nunc a colore solari facta subtilioris aquæ discretio causa sit salsedinis et amaritudinis marinæ, ita priorem mari hujus qualitatis causam fuisse, primum omnium a firmamento factam discretionem: quia sol cum firmamento, et firmamentum cum sole, physicorum omnium consensu sit ejusdem naturæ.*

---

## CAPUT XVI.

### De mari.

1. Aquarum [93] quæ circa terram et in terra sunt aliæ fluitantes, aliæ stagnantes sunt. Et fluitantes quidem omnes ex fontibus aliquibus suæ fluxionis habent principia, sive sponte sua ortæ sint, ut fluviales, sive manu productæ, ut quæ per canales educuntur. Porro aquarum stagnantium aliæ sunt fontanæ, aliæ collectitiæ. Et harum simul aliæ sunt manu productæ, aliæ a seipsis ortæ. Fontanæ quidem manu productæ sunt puteales. **180** Fodiuntur enim putei et ad aquarum circumfluentium exceptionem comprehensionemque comparantur. At aquarum stagnantium fontanæ a seipsis ortæ, quæ exiguos fontes et locorum cavitates obtinent, effluere et dilabi non possunt. Aquarum autem collectitiarum, quæ aut ex pluviis aut ex amnium affluxu sunt, aliæ habent ab arte præparata receptacula, aliæ ad cavitates in terra coacervantur, quæ etiam multitudine et paucitate differunt. Et siquidem multitudine sunt præditæ, stagna vocantur: sin autem sunt exiguæ, paludes seu lacunæ vocantur.

B

## ΚΕΦΑΛ. Ις'.

### Περὶ θαλάσσης.

α'. Τῶν περὶ γῆν καὶ ἐπὶ γῆς ὑδάτων τὰ μὲν ῥυτά ἐστι, τὰ δὲ στάσιμα. Καὶ τὰ μὲν ῥυτὰ πάντα ἔκ τινων ἔχει πηγῶν τῆς ῥύσεως τὰς ἀρχὰς, κἂν αὐτοφυῆ, καθὰ τὰ ποτάμια, κἂν χειρόκμητα, καθὰ τὰ δι' ὀχετῶν ἐξαγόμενα. Τῶν δὲ στασίμων ὑδάτων τὰ μὲν ἐστι πηγαῖα, τὰ δὲ συλλογιμαῖα· καὶ τούτων ὁμοῦ τὰ μὲν χειρόκμητα, τὰ δ' αὐτοφυῆ. Χειρόκμητα μὲν πηγαῖα τὰ φρεατιαῖα· τὰ φρέατα γὰρ ὀρύσσεται καὶ κατασκευάζεται πρὸς τὴν τῶν περιεχομένων ὑδάτων συναγωγήν. αὐτοφυῆ δὲ πηγαῖα τῶν στασίμων ὅσα μικρὰς ἔχοντα πηγὰς καὶ τόπων κοιλότητας, οὐ δύναται ἀποῤῥεῖν. Τῶν δὲ συλλογιμαίων ὑδάτων ἢ ἐξ ὑετῶν ὄντων, ἢ ἐκ γενομένης ἐπιῤῥοῆς ποταμῶν, τὰ μὲν δεξαμενὰς ἔχει κατασκευαστὰς C ὑπὸ τέχνης· τὰ δὲ πρὸς τὰς ἐπὶ (τῆς) γῆς κοιλότητας συναθροίζεται, ἃ καὶ διαφέρει πλήθει καὶ ὀλιγότητι. Καὶ πλῆθος μὲν ἔχοντα καλοῦνται λίμναι· ὀλίγα δ' ὄντα, λέγονται τέλματα.

2. Quæ cum ita se habeant, quod mare sit manu factum et elaboratum, nulla ratione nititur. Cum autem a seipso sit ortum, aut effluidum erit aut stagnans. Et effluidum quidem non est. Quo enim efflueret? Sed ex multis qui Hyrcanum et Caspium mare circumiverunt, quæ nulla ex parte sibi invicem conjuncta videntur, nemo horum ullum effluidum deprehendit.

β'. Τούτων οὕτως ἐχόντων χειρόκμητον μὲν εἶναι τὴν θάλασσαν οὐδένα λόγον ἔχει· αὐτοφυὴς δ' οὖσα ἢ ἀπόῤῥυτος ἔσται ἢ στάσιμος. Καὶ ἀπόῤῥυτος μὲν οὐκ ἔστι· ποῦ γὰρ ἂν ποιήσαιτο τὴν ἀπόῤῥοιαν; ἀλλὰ καὶ πολλοὶ τὴν Ὑρκανίαν θάλασσαν καὶ τὴν Κασπίαν περιοδεύσαντες, αἵτινες οὐδὲ ἐφάνησαν ἀλλήλαις συνάπτουσαι κατ' οὐδὲν, οὐδεὶς οὐδεμίαν τούτων εὗρεν ἀπόῤῥυτον.

[93] 2 Meteor, c. 1.

OCR ABK / FR

γ'· Φαίνεται δ' ἡ θάλασσα ῥέουσα κατὰ τοὺς στενοὺς τόπους, ὧν ἑκατέρωσε πλατεῖα θάλασσά ἐστιν. Ὅπου γὰρ ἂν ἐκ πλατέος πελάγους εἰς στενὸν ἡ θάλασσα συνάγεται ὑπὸ τῆς περιεχούσης τὸ πέλαγος γῆς ὑψηλοτέρας οὔσης, κατὰ τοῦτο φαίνεται καὶ μεταῤῥέουσα ἄλλοτ' ἐπ' ἄλλο μέρος διὰ τὸ ταλαντεύεσθαι τὸ ὕδωρ δεῦρο κἀκεῖσε πολλάκις. Ὃ γίνεται μὲν καὶ ἐν τῇ ἀναπεπταμένῃ θαλάσσῃ· ἄδηλον δέ ἐστι, τῷ μὴ εἶναι τὴν αὐτῆς ἑκατέρωσε γῆν πλησίον, παρ' ἣν ἀμείβουσα ἡ μετάῤῥυσις ταύτης γνωρίζοιτ' ἄν.

δ'. Ῥεῖ δ' ἡ θάλασσα καὶ ἀπὸ τῶν ὑψηλοτέρων αὐτῆς ἐπὶ τὰ κοιλότερα διὰ τὸ πλῆθος τῶν εἰς τὰ ὑψηκότερα ταύτης ἐμβαλλόντων ποταμῶν· πέφυκε γὰρ τὸ ὕδωρ ἐκ τῶν ὑψηλοτέρων τόπων εἰς τὰ κοῖλα καταφέρεσθαί τε καὶ ῥεῖν. Ἔστι δὲ καὶ κἀν τῇ θαλάσσῃ τὰ μὲν αὐτῆς ὑψηλότερα, τὰ δὲ κοιλότερα. Ὅπως δ' ἂν ἡ θάλασσα ῥέῃ, πάλιν ἐφ' ἑαυτὴν ἔχει τὸ ῥεῦμα, καὶ οὐ πρὸς ἄλλο δοχεῖον ἐμβάλλει, καθάπερ οἱ ποταμοὶ πρὸς αὐτήν. Διὰ τοῦτο καὶ στάσιμόν ἐστι τὸ ὕδωρ τῆς θαλάσσης, ἀλλ' οὐκ ἀπόῤῥυτον.

ε'. Στάσιμον δ' ὂν ἢ πηγαῖον ἢ συλλογιμαῖον εἴη ἄν. Ἀλλ' ἐπείπερ ἦν πηγαῖον, ἦν ἂν καὶ ἀπόῤῥυτον. Πηγαῖον γὰρ ὕδωρ αὐτοφυὲς στάσιμον ὀλίγον εὑρίσκεται. Οὐδὲ γὰρ τὸ ἀπὸ μείζονος πηγῆς τὴν ἀρχὴν ἔχον δύναται στάσιμον εἶναι. Διὰ τοῦτο καὶ ὅσαι τῶν λιμνῶν ἐκ πηγῶν ἔχουσι τὰς ἀρχάς, αἱ μὲν φανερὰς ἀποῤῥύσεις ποιοῦνται, αἱ δὲ δι' ὑπονόμων ἱστοροῦνται πρὸς θάλασσαν ἀποῤῥεῖν· καθὼς καὶ ἡ ὑπὸ τὸ ὄρος τὸν Καύκασον λίμνη, ἣν (οἱ) ἐκεῖσε θάλασσαν καλοῦσι διὰ τὸ μέγεθος· αὕτη γὰρ πολλῶν ποταμῶν ἐμβαλλόντων εἰς αὐτὴν καὶ μεγάλων οὐκ ἔχουσα φανερὸν ἔκρουν, ἐκδίδωσιν ὑπὸ γῆν κατὰ Κοραξοὺς περὶ τὰ καλούμενα βαθέα τοῦ Πόντου. Ὅθεν καὶ πόῤῥω τῆς γῆς περὶ τριακόσια στάδια σχεδὸν ἀναδίδωσι πότιμον ὕδωρ ἐπὶ τόπον πολύν.

ς'. Ἐπεὶ τοίνυν τὸ τῆς θαλάσσης ὕδωρ στάσιμον ὂν οὐκ ἔστι πηγαῖον, ὡς δείκνυται, λείπεται εἶναι συλλογιμαῖον. Οὐκ ἂν δ' εἴη συλλογιμαῖον ἐκ τῶν εἰσρεόντων ἐν αὐτῇ ποταμῶν, κἂν πολλοὶ ὦσι καὶ μέγιστοι. Τούτου γὰρ ὄντος ἦν ἂν πάλαι ποτὲ τῶν καιρῶν ὀλιγώτερον τὸ τῆς θαλάσσης ὕδωρ, καὶ ἀεὶ ἐπληθύετο. Μᾶλλον δ' ἦν ἂν ἔχον ἐκ πηγῶν τὰς ἀρχὰς ἤπερ ἐκ ποταμῶν· καὶ οὕτω πάλιν ἀπόῤῥυτον ἦν.

ζ'. Οἱ μὲν οὖν τῇ ἀνθρωπίνῃ σοφίᾳ καὶ τὴν θάλασσαν ἄναρχον, ὥσπερ δὴ καὶ τὸν κόσμον ὅλον ἑτοίμως ἔχουσιν ἀποφαίνεσθαι. ὅσοι δὲ τὴν γνῶσιν ἔσχον ὑπὸ τῆς τοῦ ἁγίου Πνεύματος ὑφηγήσεως, ὄντως οὔτε τὴν θάλασσαν, οὔτε τὸν ἄλλον κόσμον ἄναρχον ἐδιδάχθησαν, ἀλλ' ἀκηκόασιν· Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ πάλιν· Γεννηθήτω στερέωμα, καὶ τὸ ὑποκάτω τοῦ στερεώματος ὕδωρ συναχθήτω εἰς μίαν

3. Videtur autem mare fluere circa loca angusta, quorum ex utraque parte amplum mare est. Ubi enim ex amplo pelago in angustum cogitur mare a terra **181** continente pelagus cum altior sit, ob id fluere et alias in aliam partem refluere deprehenditur, propterea quod ibi aqua sæpius ultro citroque libretur. Quod fit quidem etiam in alto mari: evidens autem non est, quod utrinque ipsum ambiens terra prope non sit, ad quam alluens reciprocationem manifestam haberet.

4. Fluit autem mare etiam ab altioribus suis ad magis cavernosa, propter fluminum multitudinem quæ in altiora ipsius influunt. Quippe aqua ex altioribus locis in cava deferri et fluere consuevit; suntque etiam in mari partes aliæ altiores, caviores aliæ. Quomodocunque autem mare fluat, in seipsum refluit, nec in aliud receptaculum influit, quemadmodum in ipsum fluvii. Qua de causa etiam stagnans est maris aqua, non effluida.

5. Atqui cum stagnans sit, aut fontana erit aut collectitia. Sed siquidem fontana esset, utique et effluida esset. Quippe fontanarum aquarum sponte suæ naturæ ortarum, paucæ stagnantes reperiuntur. Neque enim quæ a majore fonte principium habet, stagnans esse potest. Quapropter etiam quotquot lacus ex fontibus habent principia, ii vel **182** manifestos faciunt effluxus, vel per cuniculos memorantur ad mare defluere. Quemadmodum etiam lacus [93] sub monte Caucaso, quem accolæ propter magnitudinem mare vocant. Hic enim multa et magna flumina in se influentia recipiens, nec manifestum effluxum habens, terram subit et demum juxta Coraxos circa vocata bathea, id est, profunda ponti acceptus evomit aquas. Unde etiam procul a terra ad trecenta fere stadia multis in locis aquam potulentam emittit.

6. Quoniam igitur aqua maris cum stagnans sit, non est fontana, ut ostenditur: eam esse collectitiam relinquitur. Non fuerit autem collectitia ex fluminibus ipsum ingredientibus, tametsi multa sint et maxima. Hoc enim si esset, priscis temporibus aqua maris minor fuisset, semperque multiplicaretur. Quin potius ex fontibus haberet principia, quam ex fluminibus; et ita denuo effluida esset.

7. Qui itaque humana sapientia sapientes sunt, et mare principii expers, quemadmodum sane etiam totum mundum prompte enuntiare possunt. Qui autem ex Spiritus sancti institutione notitiam adepti sunt, hi revera neque mare, neque cæterum **183** mundum principii expertem edocti sunt, sed audiverunt: « In principio fecit Deus cœlum et terram [94]. » Et rursus: Fiat firmamentum, et aqua quæ infra firmamentum est in unam congeriem colliga-

[93] I Meteor. c. 13. [94] Gen. I, 1.

OCR ABK / FR

tur [95], (hoc est, simul sit et per se), et conspiciatur arida. Hoc enim quod est in unam congeriem, non notat illud, in uno loco. Nam videsis divina iterum vox multitudines aquarum vocavit maria.

8. Quemadmodum igitur aliorum elementorum unicuique proprium locum conditor, sic et aquæ separavit. Videtur autem etiam physicis locus is quem mare continet, non esse maris locus, sed aquæ simpliciter [96]. Unde etiam omnia flumina ad mare, ut ad proprium locum feruntur. Nam fluxus in caviorem partem secundum naturam aquæ inest, et mare locum terræ cavissimum occupat.

9. Salsedinem porro et amaritudinem quam habet, ex eo quod consistit [97], et quod adeo a sole evaporat, habere videtur. Nam stante ipso id quidem quod est tenuius sol extrahit; quod autem crassius est, relinquit; quod sane cum quædam veluti superfluitas aquæ sit, salsum et amarum est. Quemadmodum enim in **184** corporibus animalium potulento humido cibo ingresso amarum et salsum redditur id superfluitatum genus quod in vesicam colligitur, quia a nativo calore animalium quod potabile est attrahitur [98], inque carnes et reliquam corporis substantiam ut convenit distribuitur; sic etiam in aqua fieri existimandum est. Cum enim universa dulcis sit, quia quod ipsius potabile est per exhalationem a solari calore excernitur, id quod relinquitur, et quasi quædam universæ est superfluitas, et salsum et amarum est.

10. Jam vero etiamsi multum aquæ singulis diebus in mare influit [99], nihilo tamen majus inde mare efficitur. Omnis enim aqua in ipsum influens cum in immensam amplitudinem dissipetur, cito nobisque non animadvertentibus exsiccatur. Neque vero iterum mare deprehenditur minus, tametsi multæ quotidie ex ipso exhalationes ascendant; propterea quod aqua, quæ ex mari evaporavit, vicissim infertur, cum per ingredientia in ipsum flumina, tum per pluviam quæ in ipsum decidit. Et ut uno verbo dicam, quod marinæ aquæ moles non augetur, in causa est ascendentium vaporum **185** copia; quod autem contra non minuitur, in causa est aqua exstrinsecus ingrediens.

11. Eapropter neque dulcius ab extrinsecus adveniente aqua, neque vicissim ab exhalationibus salsius et amarius mare redditur; sed fere semper eamdem et quantitatem et qualitatem aquæ retinet.

12. Proinde qui mare principii expers faciunt, hi etiam consequenter qualitatem ejus principio carere dicunt. Qui autem ex sacra Scriptura maris generationem didicerunt, hi etiam qualitatis istius principium sciunt, spiritualia simul et naturalia dogmata sequentes. Quia enim Dei jussu disseparata est a firmamento aqua terram circumtegens, illa

A συναγωγήν· τουτέστιν, Ὁμοῦ γενέσθω καὶ καθ' αὐτὸ, καὶ ὀφθήτω ἡ ξηρά. Τὸ γὰρ εἰς μίαν συναγωγὴν οὐ δηλοῖ τὸ ἐν ἑνὶ τόπῳ. Ἰδοὺ γὰρ ἡ θεία πάλιν φωνὴ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας.

η'. Ὥσπερ τοίνυν τῶν ἄλλων στοιχείων ἑκάστῳ τόπον ἴδιον ἀφώρισεν ὁ δημιουργὸς, οὕτω δὴ καὶ τῷ ὕδατι. Δοκεῖ δὲ καὶ τοῖς φυσικοῖς ὃν κατέχει τόπον ἡ θάλασσα, μὴ εἶναι θαλάσσης τόπον, ἀλλ' ἁπλῶς ὕδατος. Ὅθεν καὶ πάντες οἱ ποταμοὶ πρὸς τὴν θάλασσαν, ὡς πρὸς οἰκεῖον φέρονται τόπον. Εἴς τε γὰρ τὸ κοιλότερον ἡ ῥύσις κατὰ φύσιν τῷ ὕδατι, καὶ ἡ θάλασσα τὸν κοιλότατον τόπον κατέχει τῆς γῆς.

θ'. Τὴν ἁλμυρότητα δὲ καὶ τὴν πικρίαν ἣν ἔχει B ἡ θάλασσα, ἐκ τοῦ ἵστασθαι καὶ διόλου ἀτμίζειν ὑπὸ τοῦ ἡλίου ἔχειν δοκεῖ. Ἱσταμένης γὰρ αὐτῆς, τὸ μὲν λεπτότερον ἀνιμᾶται ὁ ἥλιος, τὸ δὲ παχύτερον καταλείπει· ὅπερ οἷον περίττωμα ὂν ὕδατος, ἁλμυρόν ἐστι καὶ πικρόν. Ὡς γὰρ ἐν τοῖς τῶν ζώων σώμασι ποτίμου τῆς ὑγρᾶς εἰσελθούσης τροφῆς πικρὸν καὶ ἁλμυρὸν γίνεται τὸ συλλεγόμενον εἰς τὴν κύστιν περίττωμα, διὰ τὸ ὑπὸ τῆς ἐμφύτου τοῖς ζώοις θερμότητος τὸ πότιμον ἕλκεσθαι καὶ εἰς τὰς σάρκας καὶ τὴν λοιπὴν οὐσίαν τοῦ σώματος ἀναδίδοσθαι καθὼς πέφυκεν· οὕτως ὑποληπτέον κἀπὶ τοῦ ὕδατος γίνεσθαι. Γλυκέος γὰρ ὄντος τοῦ ἀθρόου τῷ τὸ πότιμον αὐτοῦ διὰ τῆς ἀναθυμιάσεως τῆς ἡλιακῆς θερμότητος ἀποκρίνεσθαι, τὸ καταλειπόμενον καὶ ὥσπερ περίττωμα τοῦ παντὸς ὂν ἁλμυρόν ἐστι καὶ πικρόν.

C ι'. Πολλοῦ δὲ πλήθους ὕδατος ἑκάστης ἡμέρας ἐμβάλλοντος εἰς τὴν θάλασσαν, οὐδὲν πλείων ἡ θάλασσα γίνεται. Πᾶν γὰρ τὸ εἰς αὐτὴν ἐμβάλλον, εἰς ἀχανὲς πλάτος σκιδνάμενον, ταχύ τε καὶ ἀδήλως ἀναξηραίνεται. Οὔτε δὲ πάλιν ἡ θάλασσα ἐλάττων φαίνεται πολλῆς καθεκάστην γινομένης τῆς ἀναθυμιάσεως ἐξ αὐτῆς, ὅτι τὸ ἀπὸ τῆς θαλάσσης ἀτμίσαν ὕδωρ αὖθις ἀντεισάγεται διά τε τῶν εἰσρεόντων εἰς αὐτὴν ποταμῶν, καὶ τοῦ καταφερομένου ὑετοῦ πρὸς αὐτήν. Καὶ ἁπλῶς τοῦ μὲν μὴ πληθύειν τὸν ὄγκον τοῦ ταύτης ὕδατος αἴτιον τὸ πλῆθος τῶν ἀναφερομένων ἀτμῶν, τοῦ δὲ μὴ ἐλαττοῦσθαι πάλιν αἴτιον τὸ ἔξωθεν εἰσερχόμενον ὕδωρ.

ια'. Διὰ ταῦτα καὶ οὔτε γλυκυτέρα ὑπὸ τοῦ ἔξωθεν D ὕδατος ἡ θάλασσα, οὔτ' αὖθις ἁλμυροτέρα καὶ πικροτέρα ὑπὸ τῶν ἀναθυμιάσεων γίνεται, ἀλλ' ὡς ἐπίπαν τὸ αὐτὸ ποσόν τε καὶ ποιὸν φυλάσσει τοῦ ὕδατος.

ιβ'. Οἱ μὲν οὖν ἄναρχον ποιοῦντες τὴν θάλασσαν ἄναρχον ἀκολούθως καὶ τὴν αὐτῆς εἶναι ποιότητα λέγουσιν· οἱ δὲ τὴν τῆς θαλάσσης γένεσιν παρὰ τῆς θείας μεμυημένοι Γραφῆς, οἴδασι καὶ τὴν ἀρχὴν τῆς ταύτης ποιότητος, πνευματικοῖς ὁμοῦ καὶ φυσικοῖς ἑπόμενοι δόγμασιν· ἐπεὶ γὰρ Θεοῦ κελεύσει διακεχώρισται τὸ περικαλύπτον τὴν γῆν ὕδωρ

[95] Gen. I, 9. [96] 2 Meteor. c. 2. [97] Ibid. c. 3. [98] Ibid. c. 2. [99] Ibid.

OCR ABK / FR

ὑπὸ τοῦ στερεώματος, οὐχ ὡς ἔτυχε γέγονε ὁ διαχωρισμός, ἀλλὰ κατὰ τὸ προσῆκον, ὅσον μὲν λεπτότερον καὶ ἀεροειδέστερον καὶ κουφότερον τοῦ παντὸς διακριθὲν, ἄνω τέτακται· τὸ δὲ παχύτερον καὶ γεωδέστερον καὶ βαρύτερον ὑπολείπει κάτω· καθὼς καὶ νῦν ὁρᾶται γινόμενον ὑπὸ τουτο τοῦ ἡλίου διακρινόμενον. Ὁ γὰρ νῦν ὁ ἥλιος ποιεῖ κατὰ βραχὺ, τότ' ἐσάπαξ ἐπεποιήκει τὸ στερέωμα. Τὸ δὴ τοιοῦτον ὕδωρ τὸ παχὺ καὶ βαρὺ καὶ γεῶδες ἀπετέλεσε τὰς θαλάσσας θείῳ νεύματι συναχθὲν εἰς τὰς πρότερον μὲν οὐκ οὔσας ὑποδοχὰς, ὕστερον δὲ γενομένας ἐν τῷ γίνεσθαι τοῦ ὕδατος τὴν συναγωγήν. Ὅθεν οὐδὲ τὸ ἐν μέσῳ τοῦ ὕδατος γενέσθαι τὸ στερέωμα καὶ διαχωρίζειν ἀνὰ μέσον ὕδατος καὶ ὕδατος δηλωτικὸν ἂν εἴη τοῦ κατ' ἰσομοιρίαν ποσότητος ἐκτελεσθῆναι τὸν τοῦ ὕδατος διαχωρισμὸν, ὥστε καὶ τὸ ὑποκάτω τοῦ στερεώματος ἐναπειλημμένον ὕδωρ τοσοῦτον εἶναι ὅσον δὴ ἐπάνω, κἀντεῦθεν τὴν μεταξὺ τῆς γῆς καὶ τοῦ στερεώματος χώραν ἅπασαν πεπληρῶσθαι ὑδάτων, καὶ ὕστερον ἐλθεῖν πρὸς τὴν νῦν οὖσαν κατάστασιν τῇ τῶν ὑδάτων πρὸς τὸν οἰκεῖον τόπον συναγωγῇ. Τῆς γὰρ ὅλης γῆς ἐλάχιστον ἐχούσης λόγον (ἐῶ γὰρ εἰπεῖν μηδένα κατὰ τοὺς φυσικοὺς) πρὸς τὴν σφαῖραν τοῦ στερεώματος, ὁποῖαι δὴ κοιλότητες ταύτης ἐπινοηθεῖεν ἄν, ὅλως ἱκαναὶ πρὸς τὴν τῶν τοσούτων ὑδάτων ὑποδοχήν. Ἀλλὰ τὸ μὲν ἐν μέσῳ τοῦ ὕδατος γίνεσθαι τὸ στερέωμα, ὑποληπτέον ἂν εἴη σημαίνειν τὸ ἁπλῶς ὕδατος μεταξὺ δεδημιουργῆσθαι τὸ σῶμα τοῦ στερεώματος· τὸ δὲ διαχωρίζειν ἀνὰ μέσον ὕδατος καὶ ὕδατος τὸ ἀπολαβεῖν καὶ ἀνενεγκεῖν καὶ φέρειν ἄνω πᾶν ὁπωσοῦν τὸ λεπτόν· τὸ πάντη δὲ γεωδέστατον καὶ οἷον εἰπεῖν τὴν τρύγα καὶ ὑπόσταθμην καὶ ἁλμυρίδα τοῦ ὕδατος καταλιπεῖν κάτω καὶ μεσιτεύειν μὲν ὕδατι καὶ ὕδατι· πλὴν τὸ ἐπάνω τοῦ στερεώματος ὕδωρ ἀπειροπληθὲς εἶναι πρὸς τὸ ὑποκάτω τοῦ στερεώματος καὶ ὑπὲρ πάντα λόγον σχεδόν.

ιγ'. Εἰ δὴ τοίνυν ἡ ὑπὸ τῆς ἡλιακῆς θερμότητος γινομένη τοῦ λεπτοτέρου διάκρισις ὕδατος αἰτία δοκεῖ τῆς ἁλμυρότητος τῇ θαλάσσῃ καὶ τῆς πικρότητος, διὰ τὸ μετουσίᾳ πυρώδους δυνάμεως τοῖς χυμοῖς φυσιολογεῖσθαι τῶν τοιούτων ποιοτήτων τὴν γένεσιν (ὅσον γὰρ οὐ δεδυνῆσθαι τὸ θερμὸν ἐν τῇ διακρίσει πρὸς ἑαυτὸ ἐπισπάσασθαι, τοιοῦτον ἁλμυρόπικρον γίνεσθαι, ὡς τὴν τέφραν, κἂν τοῖς ζώοις τὸν ἱδρῶτα καὶ τὰ λοιπὰ περιττώματα)· εἴη ἂν αἰτία προτέρα τῇ θαλάσσῃ τῆς οἰκείας ποιότητος ἡ ὑπὸ τοῦ στερεώματος γενομένη πρώτη τοιαύτη διάκρισις. Τῆς αὐτῆς γὰρ τῷ ἡλίῳ καὶ τὸ στερέωμα φύσεως παρὰ πάντων ὁμολογεῖται τῶν φυσικῶν, ὅσοι τε πέμπτον σῶμα τὸ αἰθέριον λέγουσι, καὶ ὅσοι πᾶν τὸ ὑπὸ τὴν αἴσθησιν ἐκ τῶν τεσσάρων στοιχείων συντεθειμένον γινώσκουσι, κἀντεῦθεν καὶ τὴν ὅλην ὑπὲρ σελήνην ἐγκόσμιον δημιουργίαν ἐκ τῶν στοιχειακῶν ἀκροτήτων ἐπικρατοῦντος τοῦ εἰλικρινεστέρου πυρὸς ἀποφαίνονται.

A sane disseparatio non temere et casu, sed ut conveniebat, facta est; ita ut, quæ quidem tenuior, et aeri similior leviorque de universa erat, per secretionem sursum constituta, crassior vero et terræ vicinior graviorque, inferius relicta fuerit; quemadmodum etiam nunc fieri conspicitur, cum a sole secernitur. Quod enim nunc brevi temporis spatio sol facit, tunc simul et semel firmamentum fecerat. Hujusmodi scilicet aqua crassa et gravis et terrestris **186** constituit maria, cum divino nutu in conceptacula quæ prius quidem non erant, sed postea cum aquarum collectione facta fuerunt, collecta est [1]. Unde neque ipsum in medio aquæ firmamentum factum esse, et dividere inter aquam et aquam, hoc significaverit, quod aquæ disseparatio B secundum quantitatis æquabilitatem perfecta fuerit, ut aqua infra firmamentum relicta sit tanta, quanta est ea quæ supra firmamentum, utque hinc quæ inter terram et firmamentum intervenit regio, aquis fuerit universa impleta, et postea ad hunc statum interveniente aquarum in locum peculiarem collectione pervenerit. Cum enim universa terra minimam habeat rationem (nolo enim dicere nullam secundum physicos) ad firmamenti sphæram, qualesnam hujus cavitates, quæ omnino ad tantarum aquarum receptionem sufficerent, excogitari possent? Sed in medio aquæ factum esse firmamentum significare existimandum est, inter simpliciter aquam conditum esse firmamenti corpus, ipsum vero dividere inter aquam et aquam, denotare nihil aliud quam suscepisse et sustulisse C et sursum evehere **187** quidquid leve fuit; ac terræ vicinissimum, et, ut ita dicam, fæcem et sedimentum, et aquæ salsilaginem inferius reliquisse, et inter aquam et aquam intervenire medium; aquam tamen quæ est supra firmamentum infinitæ esse multitudinis, si conferatur cum ea quæ est infra firmamentum, et omnem fere proportionem superare.

13. Quod si igitur a calore solari facta tenuioris aquæ discretio, videtur esse causa mari salsedinis et amaritudinis, propterea quod igneæ facultatis præsentia in physica docetur naturalis causa generationis, ejusmodi qualitatum in humoribus (quod enim calor in discretione non potuerit ad se attrahere, id salsamarum fieri, ut cinerem et sudorem D in animalibus, cæterasque superfluitates), fuerit utique mari causa prior suæ qualitatis ea quæ primæ a firmamento facta est discretio. Nam omnes physici hoc fatentur, quod firmamentum cum sole ejusdem sit naturæ: cum ii qui ætherium quintum corpus dicunt, tum ii qui quidquid sub sensum cadit, ex quatuor elementis compositum agnoscunt, et hinc etiam universam quæ supra lunam est mundanam **188** structuram ex sincerissimis et defæcatissimis elementis sinceriore igne prædominante ortam esse pronuntiant.

[1] Gen. I, 6.



OCR ABK / FR

## SYNOPSIS CAPITIS XVII.

### QUOD EST DE VENTIS ET RELIQUIS FLATIBUS.

1. *Dividit exhalationem in vapidam et fumidam, quarum utraque ab alterius suæ qualitatis excellentia ita nuncupatur : et illa quidem aquarum pluentium ; hæc, ventorum et flatuum materialis causa est.* — 2. *Ut non omnis aqua fluens, fluvius, sic nec omnis flatus, ventus est; adeoque flatus latius patet quam ventus.* — 3. *Superante exhalatione vapida, pluviosi ; dominante fumida, ventosi et squalidi anni exoriuntur.* — 4. *Alias in tota aliqua regione vel pluviarum copia, vel venti et squalores exoriuntur, quia partes illius eamdem ad solem habent dispositionem ; alias vero tantum in parte quapiam illius, quia exhalationes non in eadem semper regione manent, sed interdum ex una migrant in aliam a flatibus aliquibus propulsæ.* — 5. *Infert et concludit ex superioribus, materiam ventorum esse exhalationem calidam et siccam,et per occupationem docet,ventos tamen non videri calidos,quia aerem multo frigido vapore plenum commoveant, quod etiam exemplo declarat desumpto a flatus oris* **189** *humani.* — 6. *Modum exponit, quo venti super et infra terram ex calida et sicca exhalatione oriantur, modo nimirum spissationis et condensationis et coalitionis ; et perinde ut aqua ex vapore super et infra terram generatur.* — 7. *Ventorum quidem materia est exhalatio calida et sicca, sed non impermista et inconfusa, id est, pura et sincera, quod arguit ventorum in aere quiescente prope terram generatio.* — 8. *Comparationem aquarum super et infra terram concretionis cum ventorum concretione, quin et ipsorum fluviorum ventorumque instituit.* — 9. *Ventos non ex sola pure et sincere calida siccaque exhalatione generali ab ipsorum motu obliquo etiam ostendit.* — 10. *Ventos duodecim a quatuor mundi plagis flantes numerat.* — 11. *Ventorum respectu Græciæ in qua fuit auctor, qualitates et varios effectus commemorat, quorum alii sunt sereni, alii humidi, alii nivales, alii æstuosi, alii cœlum nubibus stipant, alii fulgura afferunt, alii grandines causantur.* — 12. *Docet qui venti ἐκνεφίαι, hoc est, procellæ et venti procellosi fiant.* — 13. *Explicat qui venti sibi invicem sint contrarii, eosque in specie enumerat, quod membrum ut et sequens ex diagrammate optime intelligitur.* — 14. *Adhuc specialius declarat qui venti orientales, qui occidentales, qui septentrionales, qui meridionales sint.* — 15. *Ventos in fortiores et imbecilliores* **190** *pro locorum diversitate dividit.* — 16. *Alias etiam ventorum species, opogæos, encolpias, thyphonicos,ecnephias, exhydrias enumerat.*— 17.*Ventos a linea motus sui in euthypnoos et anacampsipnoos, partitur.* — 18. *Ostendit qui venti etesiæ et ornithiæ dicantur.* — 19. *Violentos flatus, catægidem, thyeltum. lælapem, strobilum, terræ anaphysema seu aspirationem describit.*

—

## CAPUT XVII.

*De ventis et reliquis flatibus.*

1. Cum [1] duplex sit exhalatio, alia vapida et humida, alia fumida et sicca ; neutra harum absque altera reperitur, sed et ambæ simul sunt ; ex eo vero quod præ altero abundat, totum nuncupatur. Exhalatio igitur quæ plus humidi participat, pluentis aquæ est principium ; quæ autem plus sicci habet, ea principium et causa et materia ventorum reliquorumque flatuum agnoscitur.

2. Quemadmodum autem non omnis quomodocunque fluens aqua fluvius dicitur, sed ea demum quæ pro principio fluxus fontem habet, sic neque omnis flatus, ventus dicitur ; sed qui pro principio fluxus sui quasi fontem habet ; nam aspirationes ex terra, flatus quidem sunt, quia flant ; venti tamen non sunt.

3. **191** Quando igitur vapida exhalatio abundat, tunc etiam pluviosi anni ; quando autem sicca et fumida, tunc etiam ventosi et squalidi exoriri consueverunt.

4. Interdum ergo evenit, ut simul per amplam et continuam regionem aut pluviarum oriatur abundantia, aut venti et squalores ; interdum vero etiam per partes hoc accidit. Nam sæpe regio circumquaque adjacens pluvias accipit, cum pars illius aliqua squalida relinquatur ; aut etiam contra cum regio in circuitu squalida sit, pars quædam illius abundantiam pluviarum habere deprehenditur. Et causa quidem fuerit, quod plerumque eadem affectio ad majorem regionem penetrat, quia partes terræ sibi invicem vicinæ consimilem ad

[1] II Meteor. c. 4.

A

## ΚΕΦΑΛ. ΙΖ'.

Περὶ ἀνέμων καὶ τῶν λοιπῶν πνευμάτων.

α'. Διττῆς οὔσης τῆς ἀναθυμιάσεως, τῆς μὲν ἀτμιδώδους καὶ ὑγρᾶς, τῆς δὲ καπνώδους καὶ ξηρᾶς, οὐδετέρα τούτων χωρὶς τῆς ἑτέρας εὑρίσκεται, ἀλλ' ὁμοῦ μὲν καὶ ἄμφω, ἐκ δὲ τοῦ πλεονάζοντος καλεῖται τὸ ὅλον. Ἡ μὲν οὖν ὑγροῦ πλέον μετέχουσα ἀναθυμίασις ἀρχὴ τοῦ ὑομένου ὕδατός ἐστιν· ἡ δὲ τὸ ξηρὸν ἔχουσα πλέον ἀρχὴ καὶ αἰτία καὶ ὕλη τῶν ἀνέμων καὶ τῶν λοιπῶν πνευμάτων γινώσκεται.

β'. Ὥσπερ δ' οὐ πᾶν τὸ ὁπωσοῦν ῥέον ὕδωρ λέγεται ποταμὸς, ἀλλὰ τὸ ἀρχὴν ῥύσεως ἔχον πηγήν· οὕτως οὐδὲ πᾶν πνεῦμα λέγεται ἄνεμος, ἀλλὰ τὸ ἔχον ἀρχὴν τῆς ἑαυτοῦ ῥύσεως, οἷον πηγήν· τὰ γὰρ ἐκ τῆς γῆς ἀναφυσήματα πνεύματα μέν εἰσιν, ἐπειδὴ πνέουσιν· ἄνεμοι δ' οὐκ εἰσίν.

B

γ'. Ὅτε μὲν οὖν ἡ ἀτμιδώδης ἀναθυμίασις πλεονεκτεῖ, τότε καὶ ἔπομβρα τὰ ἔτη γίνεσθαι εἴωθεν· ὅτε δ' ἡ ξηρὰ καὶ καπνώδης, τότε καὶ τὰ ἔτη ἀνεμώδη καὶ αὐχμηρά.

δ'. Ποτὲ μὲν οὖν συμβαίνει κατὰ πολλὴν ἅμα χώραν καὶ συνεχῆ ἢ ἐπομβρίαν γίνεσθαι ἢ ἀνέμους καὶ αὐχμοὺς, ποτὲ δὲ καὶ κατὰ μέρη. Πολλάκις γὰρ ἡ μὲν κύκλῳ χώρα λαμβάνει τοὺς ὄμβρους· μέρος δέ τις ταύτης λείπεται αὐχμηρόν· ἢ καὶ ἀνάπαλιν, τῆς κύκλῳ χώρας αὐχμώσης, μέρος τι ταύτης ἐπομβρίαν ἔχον εὑρίσκεται. Καὶ εἴη ἂν αἴτιον τὸ τὰ πολλὰ μὲν τὸ αὐτὸ πάθος ἐπὶ πλείω διήκειν χώραν, διὰ τὸ τὰ σύνεγγυς ἀλλήλων μέρη τῆς γῆς ὁμοίαν ἔχειν σχέσιν πρὸς τὸν ἥλιον τὸν τῶν ἀναθυμιάσεων

C αἴτιον, εἰ μὴ διά τινα θέσιν ἰδίαν τόποι τινὲς δια-

OCR ABK / FR

φορὰς ἔχουσι πρὸς τὸν ἥλιον παρὰ τοὺς οἷς παράκεινται. Οὐ μὴν ἀλλ' ἐνίοτε κατὰ μὲν τόδε τὸ μέρος τὴν ξηρὰν ἀναθυμίασιν συμβαίνει πλεονεκτεῖν, κατὰ δὲ τὸ παρακείμενον τὴν ὑγράν· καὶ ἀνάπαλιν. Οὗπερ αἴτιον ἂν εἴη τὸ ποτὲ μὲν ἀφ' ἧς ἀναφέρεται χώρας ἡ ξηρὰ, κατὰ ταύτην καὶ μένειν ῥέουσαν αὐτήν· ὁμοίως καὶ ἀφ' ἧς ἡ ὑγρὰ τὴν ὑγράν. Ὁ τὲ δ' ὑπαλλάσσεσθαι καὶ ἀπωθεῖσθαι ὑπὸ πνευμάτων τινῶν τὴν μὲν ὑγρὰν, ὅθεν, ἡ ξηρὰ, τὴν δὲ ξηρὰν ὅθεν ἡ ὑγρά· ἢ ἡ μὲν ἔμεινε καθὸ ἀνηνέχθη, ἡ δ' εἰς ἄλλην που χώραν ἀπώσθη.

A solem qui exhalationum causa est dispositionem habent, nisi propter situm aliquem peculiarem, loca quædam ab illis quibus adjacent differentiam habeant. At vero interdum in una aliqua parte exhalationem siccam; in adjacente vero, humidam abundare contingit, et contra. Cujus rei causa est, quod interdum ex qua regione ascendit sicca [exhalatio], in eadem etiam fluens ipsa maneat; similiter **192** ex qua humida elevatur, ut ibi subsistat humida. Interdum vero vice versa mutatur, et a flatibus aliquibus depellitur, humida eo unde sicca est, sicca eo unde humida est; aut una quidem subsistit, quatenus sublata est; altera vero in aliam alicubi regionem repulsa est.

ε'. Τὴν μὲν οὖν τῶν ἀνέμων ὕλην, θερμὴν B καὶ ξηρὰν ἀναθυμίασιν εἶναί φασι, μὴ δοκεῖν δὲ τοὺς ἀνέμους θερμοὺς, διὰ τὸ κινεῖν τὸν ἀέρα πολλῆς ἀτμίδος πλήρη τυγχάνοντα καὶ ψυχρᾶς. Οὕτω γὰρ καὶ τὸ διὰ τοῦ στόματος φυσώμενον πνεῦμα θερμὸν μὲν ἐγγύθεν εἶναι τοῦ στόματος, πόῤῥω δὲ ψυχρὸν διὰ τὴν αὐτὴν αἰτίαν.

5. Materiam ergo ventorum, exhalationem calidam et siccam esse aiunt; non videri autem ventos calidos, propterea quod aerem moveant, qui multo et frigido vapore refertus est. [3] Sic enim et flatum qui ore exhalatur, calidum quidem prope os; at ab ipso remotum, ex eadem causa frigidum esse.

ϛ'. Ἴσως δ' ἂν ἐκ θερμῆς μὲν ἀναθυμιάσεως ἔχοιεν οἱ ἄνεμοι τὰς ἀρχὰς, ὥσπερ δὴ καὶ οἱ ὄμβροι (πᾶσα γὰρ ἀναθυμίασις ξηρά τε καὶ ὑγρὰ διὰ τὸ ἐν αὐτῇ θερμὸν ἀναθυμιᾶται καὶ ἀναφέρεται). Ἀλλ' ὥσπερ ἡ ἀτμὶς διὰ ψύξιν πιλουμένη καὶ πυκνουμένη δύναται μεταβάλλειν εἰς ὕδωρ· οὐκ ἄτοπον ἂν εἴη τυχὸν τὸν αὐτὸν τρόπον ὑπολαβεῖν καὶ τὴν θερμὴν καὶ ξηρὰν ἀναθυμίασιν πιλεῖσθαί τε καὶ πυκνοῦσθαι, καὶ εἰς πνεῦμα συνίστασθαι. Καὶ C ὥσπερ ἐκ τῆς ὑγροτέρας ἀναθυμιάσεως γίνεται ὕδωρ ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν, οὕτως αὖ ἐκ τῆς ξηροτέρας γίνεσθαι πνεῦμα καὶ ἄνω καὶ κάτω ὑπὸ γῆν.

6. Forte autem ex calida quidem exhalatione venti habent principia, quemadmodum etiam pluviæ (nam omnis exhalatio cum sicca tum humida propter calorem quem in se habet exhalatur et sursum fertur). Sed quemadmodum vapor, cum propter refrigerationem spissatur et condensatur, in aquam mutari potest; forte haud absurdum est et calidam siccamque exhalationem spissari et condensari, et inflatum coalescere. Ac quemadmodum ex humidiore exhalatione fit aqua super et infra terram, sic vicissim ex **193** sicciore flatum fieri sursum et deorsum infra terram.

ζ'. Ὕλη μὲν οὖν τῶν ἀνέμων εἴη ἂν ἡ θερμὴ ἀναθυμίασις καὶ ξηρὰ, οὐκ ἀμιγὴς οὐδ' ἄκρατος· ἐπείπερ ἡ τοιαύτη διαβαίνει πρὸς τὸ ὑπέκκαυμα· ἡ δὲ τῶν ἀνέμων σύστασις πλησίον γίνεται τῆς γῆς ἐν τῷ ἠρεμοῦντι ἀέρι, ἀλλ' οὐκ ἐν τῷ ὑπὸ τοῦ αἰθέρος συνεπισυρομένῳ μετὰ τοῦ ὑπεκκαύματος. Ἢ γὰρ ἂν ἐπὶ ταυτὸ περιήγοντο πάντες ἄνεμοι· νῦν δὲ καί τινες ἀλλήλοις ἀντιπνέουσιν. Ἀλλὰ καί τινα τῶν ὑψηλοτέρων ἱστορεῖται ὀρῶν ὑπερνέφελά τε καὶ ὑπερήνεμα. Ἔνθα γοῦν τὰ νέφη συνίστανται, ἐκεῖσε δοκεῖ καὶ τοὺς ἀνέμους συνίστασθαι.

7. Materia igitur ventorum erit exhalatio calida et sicca, non impermista, nec pura, quandoquidem quæ talis est ad fomitem penetrat; cum ventorum concretio prope terram in aere quiescente fiat, non in eo qui una cum succensione ab æthere attrahitur. Alioqui omnes venti circumagerentur eodem spatio; jam vero etiam alii contra se flant invicem. Sed et de quibusdam montibus altioribus proditum in historiis reperitur, quod nebulas et ventos transcendant. Ubi igitur nubes concrescunt, ibi etiam venti concrescere videntur.

η'. Καὶ ὥσπερ τὰς ῥανίδας κατὰ μικρὰ συνισταD μένας τὸ πρῶτον, ἔπειτ' ἀλλήλαις μιγνυμένας τὸ τελευταῖον καταφέρεσθαι μετὰ πλήθους· ὡς δὲ κἂν τῇ γῇ κατολίγον τὸ ὕδωρ συλλειβόμενον νοτιζούσης τῆς γῆς, καὶ τότε συναγόμενον εἰς ἓν, τὰς τῶν ποταμῶν ἀρχὰς ἐκτελεῖν, τὸν αὐτὸν τρόπον καὶ τὴν τῶν ἀνέμων σύστασιν γίνεσθαι· πολλῶν γὰρ ἀναθυμιάσεων κατὰ μικρὸν ἀλλήλαις συνιουσῶν εἰς τὸ φανερὸν οἱ ἄνεμοι προέρχονται μέγεθος. Διὸ καὶ ἐλάχιστοι μέν εἰσιν ὅθεν ἄρχονται πνεῖν· προϊόντες δ' αὔξονται καὶ λαμπροὶ γίνονται προσγινομένων αὐτοῖς ἀναθυμιάσεων κατὰ τὴν εἰς τὸ πρόσθεν πρόοδον καὶ συναυξουσῶν αὐτούς. Ὅπερ κἀπὶ τῶν με-

8. Et [4] quemadmodum guttæ cum pauxillatim primo coagmentantur, deinde inter se commiscentur, in copia tandem deferuntur; et sicut aqua in terra sensim stillans, humorem [scilicet] fundente terra, et tunc in unum coiens, fluminum efficit principia; eodem modo et ventorum concretio fieri videtur; cum enim multæ exhalationes paulatim congressæ fuerint, tum venti ad manifestam magnitudinem perveniunt. Quamobrem etiam minimi sunt ibi, unde flare incipiunt; sed progressu augentur **194** et largi fiunt, dum per motum in anteriora accedentes exhalationes augent ipsos. Quod etiam in magnis fluminibus fieri conspicitur. Nam in fluxionum suarum primordiis

[3] II Meteor. c. 8. [4] II Meteor. c. 4.

OCR ABK / FR

parva sunt, quandoquidem non pauca eorum ex scaturiginibus incipiunt; sed progressu majora fiunt, diversis in ipsa amnibus influentibus.

9. Quod autem non ex sola calida et sicca exhalatione ventis sit generatio, id etiam ex ipsorum motu manifestum est; nam sursum eorum quisque moveretur, si ex ejusmodi exhalatione substantiam haberet. Jam autem omnium ventorum motus in latus quodammodo et obliquus est.

10. Omnes porro venti [5] qui flant duodecim observantur; ab ortu æquinoctiali subsolanus, qui apud Siculos hellespontias, apud Phœnices carnabas, apud accolas Ponti berecyntias vocatur; ab occasu æquinoctiali, zephyrus, Latine favonius; ab ortu æstivo cæcias; ab occasu æstivo argestes, Latine corus, qui et olympias et iapyx et scirron nominatur; ab ortu hiberno, eurus, alias Latine vulturnus; ab occasu hiberno, libs, alias africus, a locis juxta arctum [ursam], boreas, qui proprie **195** septentrio dicitur; ab iis qui circa meridiem, notus, Romanis auster; inter septentrionem et eorum thrascias; inter cæciam et septentrionem qui meses vocatur; quem quidem consueto more boream vel aquilonem potius appellamus; inter austrum et africum libonotus, quasi dicas, africauster; inter vulturnum et austrum, euronotus, quasi dicas vulturnauster, qui etiam phœnicias dicitur.

11. Ex his apud nos sereni sunt septentrio, thrascias, et corus, propterea quod a nobis nubes abigant, cum aquilonares simus. Sereni autem sunt, cum non admodum frigidi fuerint, ut prius exhalatio gelu constringatur et nubes, quam abigantur. Cæcias autem non est semper serenus, propterea quod in seipsum, unde incipit, reflectatur. Neque enim juxta rectam lineam ad latus movetur, sed juxta gibbosam, quæ gibbositate sua ad terram vergit. Idem autem cum emergit, et in nubes impingit, non depellit ipsas sed adducit ad locum, unde flat ipse. Hoc autem circa ipsum contingit, quod quia propius terram flat, eminentes aliquæ terræ partes ipsi obsistant, ac ita hujusce flatus motio **196** sursum revertatur. Maxime autem humidi sunt ex ventis: africus, cæcias et subsolanus; sicci, corus et vulturnus: qui vulturnus in principio quidem siccus est, sed tandem aquam mittere consuevit. Nivales maxime, meses et septentrio, quippe hi frigidissimi; æstuosi, auster, favonius, et vulturnus. Nubibus autem stipant cœlum, densioribus quidem cæcias, rariusculis quodammodo africus. Fulgura afferunt, septentrio, thrascias, et corus et meses insuper. Cum enim frigidi sint, quia propius nos flant veniuntque a partibus arcticis quæ frigidæ sunt; propter frigiditatem nubes spissant. At vero cum nubes spissantur, quod inibi calidum relictum est dum in unum cogitur, pervim confertim vehementi motu inflammatum excernitur. Ho-

A γάλων ποταμῶν γινόμενον φαίνεται. Μικρὰ μὲν γάρ εἰσιν ἐν ταῖς τῶν ῥύσεων ἀρχαῖς, ἐπείπερ οὐκ ὀλίγοι αὐτῶν ἐν κρηνῶν ἄρχονται· προϊόντες δὲ μεγεθύνονται διαφόρων ῥευμάτων εἰσβαλλόντων αὐτοῖς.

θ'. Ὅτι δὲ οὐκ ἐκ μόνης θερμῆς καὶ ξηρᾶς ἀναθυμιάσεως τοῖς ἀνέμοις ἡ γένεσις, καὶ ἀπὸ τῆς αὐτῶν κινήσεως γνώριμον· ἄνω γὰρ ἂν ἕκαστος αὐτῶν ἐφέρετο, τὴν οὐσίαν ἔχων τοιαύτην ἀναθυμίασιν. Νῦν δὲ τῶν ὅλων ἀνέμων ἡ κίνησις εἰς τὸ πλάγιόν πως καὶ λοξή.

ι'. Δυοκαίδεκα δὲ πάντες ἄνεμοι φαίνονται πνέοντες. ἀπὸ τῆς ἰσημερινῆς ἀνατολῆς ἀπηλιώτης, ὁ παρὰ Σικελιώταις ἑλλησποντίας καλούμενος, καρνάβας δὲ παρὰ Φοίνιξι, καὶ παρὰ τοῖς ἐν Πόντῳ βερεκυντίας· ἀπὸ τῆς ἰσημερινῆς δυσμῆς ζέφυρος· ἀπὸ τῆς θερινῆς ἀνατολῆς καικίας· ἀπὸ τῆς θερινῆς B δυσμῆς ἀργέστης, ὁ καὶ ὀλυμπίας καὶ ἰάπυξ καὶ σκίῤῥων ὀνομαζόμενος· ἀπὸ τῆς χειμερινῆς ἀνατολῆς εὖρος· ἀπὸ τῆς χειμερινῆς δυσμῆς λίψ· ἀπὸ τῶν περὶ τὴν ἄρκτον τόπων βορέας ὁ κυρίως ἀπαρκτίας λεγόμενος· ἀπὸ δὲ τῶν περὶ τὴν μεσημβρίαν νότος. Μεταξὺ δ' ἀπαρκτίου καὶ ἀργέστου θρασκίας· μεταξὺ καικίου καὶ ἀπαρκτίου ὁ καλούμενος μέσης· τοῦτον δὲ μᾶλλον βορέαν οἶδε καλεῖν ἡ συνήθεια· νότου καὶ λιβὸς λιβόνοτος μεταξύ· εὔρου δὲ καὶ νότου εὐρόνοτος, ὁ καὶ φοινικίας.

C ια'. Τούτων αἴθριοί εἰσιν ἐν ἡμῖν ἀπαρκτίας, θρασκίας, καὶ ἀργέστης, διὰ τὸ τὰ νέφη ἀπωθεῖν ἀφ' ἡμῶν βορειοτέρων ὄντων. Αἴθριοι δέ εἰσιν, ὅταν μὴ τύχωσιν εἶναι πάνυ ψυχροί, ὡς φθάνειν πηγνύναι τὴν ἀναθυμίασιν καὶ τὰ νέφη πρὸ τοῦ ἀπώσασθαι. Ὁ δὲ καικίας οὐκ ἀεί ἐστι αἴθριος διὰ τὸ ἀνακάμπτειν εἰς ἑαυτὸν, ὅθεν ἄρχεται. Οὐδὲ γὰρ εὐθεῖαν εἰς τὰ πλάγια φέρεται, ἀλλὰ κυρτὴν, ἔχουσαν τὸ κυρτὸν νενευκὸς πρὸς τῇ γῇ. Ἀνανεύων δὲ καὶ προσπίπτων τοῖς νέφεσιν οὐκ ἀπωθεῖ ταῦτα, ἀλλὰ προσάγει τῷ τόπῳ ὅθεν οὗτος ὁ ἄνεμος πνεῖ. Τοῦτο δ' ἂν συμβαίνοι περὶ αὐτὸν τῷ προσγειότερον αὐτῷ πνέοντι ἀντιπίπτειν τινὰς τῆς γῆς ἐξοχὰς, καὶ οὕτως ἀναστρέφειν εἰς τὸ ἄνω τὴν τοῦ πνεύματος τοῦδε φοράν. Ὑγροὶ δὲ μάλιστα τῶν ἀνέμων εἰσὶ λίψ, καικίας D καὶ ἀπηλιώτης· ξηροὶ δὲ ἀργέστης καὶ εὖρος· ὁς εὖρος ἐν ἀρχῇ μὲν ὑπάρχει ξηρὸς, τελευτῶν δὲ πέφυκεν ὑδατώδης γίνεσθαι. Νιφετώδεις δὲ μάλιστα μέσης καὶ ἀπαρκτίας· οὗτοι γὰρ ψυχρότατοι· καυματώδεις δὲ νότος, ζέφυρος καὶ εὖρος. Νέφεσι δὲ πυκνοῦσι τὸν οὐρανὸν, πυκνοτέροις μὲν ὁ καικίας, ἀραιοτέροις δέ πως ὁ λίψ. Ἀστραπαῖοι δ' εἰσιν ἀπαρκτίας, θρασκίας, ἀργέστης, καὶ πρὸς τούτοις ὁ μέσης. Ψυχροὶ γὰρ ὄντες διὰ τὸ ἐγγύτερον ἡμῶν πνεῖν, καὶ ἀπὸ τῶν ἀρκτικῶν μερῶν ὄντων ψυχρῶν, πιλοῦσι τὰ νέφη διὰ τὴν ψυχρότητα. Πιλουμένων δὲ τῶν νεφῶν τὸ ἐν αὐτοῖς ἐναπειλημμένον θερμὸν ἀθροιζόμενον εἰς ἓν, μετὰ βίας ἀθρόον ἐκκρίνεται διὰ τὴν σφοδρὰν κίνησιν ἐκπυρωθέν. Αὐτῶν δὲ τού-

[5] II Meteor. c. 4 et 6, et De mundo c. 4.

OCR ABK / FR

τῶν ἔνιοι καὶ χαλαζώδεις εἰσὶ τῷ ψυχρότητα πηγνύναι ταχέως τὸ ἐκκρινόμενον ὕδωρ. Δοκεῖ γὰρ καὶ οὕτως χάλαζα γίνεσθαι.

ιβ. Καθίστανται δὲ καὶ ἐκνεφίαι ἀπαρκτίας, θρασκίας καὶ ἀργέστης. Ἐκνεφίαι γὰρ γίνονται, ὅταν ἄλλων πνεόντων ἀνέμων ἄλλοι ἐπιπεσόντες αὐτοῖς παύσωσιν αὐτούς. Ὅταν οὖν οἱ πρῶτοι πνέοντες ἀπώσωνται τὰ νέφη, δοκοῦσιν οἱ ἐκ τῶν ἐναντίων μερῶν ἐμπίπτοντες αὐτοῖς πνεῖν ἐξ αὐτῶν τῶν νεφῶν. Ἐπιπίπτουσι δὲ μάλιστα πνέουσιν ἄλλοις οὗτοι οἱ ἄνεμοι διὰ τὸ ἐγγύθεν αὐτοὺς πνέοντας καὶ μετὰ ῥύμης εἶναι σφοδρούς.

ιγ'. Ἐπεὶ δὲ τὰ πλεῖστον ἀπέχοντα κατὰ τόπον ἐναντία κατὰ τόπον ἐστί· πλεῖστον δ' ἀπέχει τὰ κατὰ διάμετρον· ἡ δ' ἰσημερινὴ ἀνατολὴ καὶ ἡ ἰσημερινὴ δυσμὴ διαμετροῦσιν ἀλλήλας κατὰ τὸν αὐτὸν ὁρίζοντα θεωρούμενα, καὶ πάλιν ἡ θερινὴ ἀνατολὴ καὶ ἡ χειμερινὴ δυσμή· καὶ αὖθις ἡ χειμερινὴ ἀνατολή, καὶ θερινὴ δυσμή· ὁμοίως δὲ καὶ ἡ ἄρκτος καὶ ἡ μεσημβρία· ἐπεὶ ταῦθ' οὕτως ἔχει, εὔδηλον ὡς ἀντιπνέουσιν ἀλλήλοις οἱ ἐκ τῶν ἐναντίων τόπων πνέοντες ἄνεμοι. Ὅθεν ὁ μὲν ἀπηλιώτης ἀντιπνεῖ τῷ ζεφύρῳ, ὁ καικίας δὲ τῷ λιβί, ὁ εὖρος τῷ ἀργέστῃ, καὶ ὁ βορέας τῷ νότῳ· ὡσαύτως ὁ θρασκίας τῷ φοινικίᾳ, καὶ ὁ μέσης τῷ λιβονότῳ. Δεῖ δὲ τὴν θέσιν τῶν ἀνέμων καὶ τὴν τοπικὴν αὐτῶν ἐναντίωσιν κατανοεῖν ἐκ τοῦ διαγράμματος.

ιδ'. Ἀνατολικοὶ μὲν οὖν εἰσιν ἄνεμοι καικίας, ἀπηλιώτης καὶ εὖρος· ὁ μὲν ἀπὸ τῆς θερινῆς ἀνατολῆς, ὁ δ' ἀπὸ τῆς ἰσημερινῆς, ὁ δ' αὖ ἀπὸ τῆς χειμερινῆς. Δυτικοὶ δ' ἄνεμοι ἀργέστης, ζέφυρος, λίψ· ὁ μὲν ἀπὸ τῆς θερινῆς δυσμῆς, ὁ δ' ἀπὸ τῆς ἰσημερινῆς· ὁ δὲ λὶψ ἀπὸ τῆς χειμερινῆς. Ἀρκτῷοι δὲ ἤτοι βόρειοι θρασκίας, ἀπαρκτίας, καὶ μέσης ὁ κατὰ συνήθειαν βορέας λεγόμενος· ὧν ὁ μὲν θρασκίας ἀπὸ τῶν δεξιῶν τῆς ἄρκτου μερῶν, καὶ ὡς πρὸς δύσιν ἔχει τὸ πνεῖν, τῇ θερινῇ πλησιάζων δυσμῇ· ὁ δ' ἀπαρκτίας ἀπὸ μέσης ἄρκτου· ὁ δὲ λοιπὸς ἐκ τῶν εὐωνύμων τῆς ἄρκτου μερῶν. Ἄνεμοι δὲ μεσημβρινοὶ ἤτοι νότιοι ὁ εὐρόνοτος, ὁ νότος καὶ ὁ λιβόνοτος· ὁ μὲν ἀπὸ τῶν δεξιῶν τῆς μεσημβρίας, ἤγουν ἔγγιστα τῇ χειμερινῇ ἀνατολῇ· ὁ δὲ νότος ἐκ μέσης μεσημβρίας· ὁ λιβόνοτος δ' ἐξ ἀριστερᾶς.

ιε'. Ἄλλοι δὲ τῶν ἀνέμων ἄλλως παρ' ἄλλοις μέρεσι φέρονται κραταιότερον ἢ ἀσθενέστερον. Τινὲς δὲ καὶ ἰδιοτρόπως ἐπικρατοῦσιν ἐν τόποις τισὶν ἐκεῖθεν τὴν γένεσιν ἔχοντες.

ις'. Καὶ τούτων ὅσοιπερ ἐκ νενοτισμένης πνέουσι γῆς ἀπόγειοι λέγονται· ὅσοι δ' ἐκ κόλπων ἐξάττουσιν, ἐκκολπίαι. Τούτοις δ' ἀνάλογόν τι ἔχουσιν οἱ ἐκ ποταμῶν καὶ λιμνῶν. Ὅσοι δὲ τῶν ἀνέμων κατὰ ῥῆξιν γίνονται νέφους, εἰ μὲν καὶ ἀνάλυσιν τοῦ πά-

A rum autem ipsorum nonnulli grandinosi sunt, quod aqua quæ excernitur propter frigiditatem celeriter congelet et in glaciem concrescat. Sic enim etiam grando fieri videtur.

12. Fiunt autem etiam ecnephiæ, hoc est, procellæ (venti qui excussi nubibus sæviunt, quos Græci propterea ecnephias vocant) : septentrio, thrascias, et corus. **197** Procellæ enim generantur, cum aliis ventis flantibus alii ingruunt, et eosdem comprimunt. Cum igitur qui primo flant, nubes depulerint, qui in eos ex contrariis partibus incidunt, ex ipsis nubibus flare videntur. Incidunt autem maxime hi venti in alios flantes, et quod ex propinquo ipsi spirent, et quod cum impetu vehementes sint.

B 13. Quoniam autem ea quæ secundum locum a se invicem distant plurimum, secundum locum contraria sunt: plurimum autem distant a se invicem, quæ per lineam dimetientem distant ; ac æquinoctialis ortus et æquinoctialis occasus a se invicem per diametrum dissident, ut qui in eodem horizonte spectentur, rursumque ortus æstivus et occasus hibernus ; ac vicissim ortus hibernus et occasus æstivus ; similemque in modum denique arctus [septentrio] et meridies; hæc, inquam, quoniam ita sese habent satis constat quod venti qui ex contrariis locis flant, contra se spirent invicem. Unde subsolanus contra favonium spirat, cæcias contra africum, vulturnus contra eorum, contra austrum aquilo ; similiter et thrascias contra phœniciam et meses contra **198** africaustrum. C Oportet autem ventorum situm et localem eorum contrariationem ex diagrammate intelligere.

14. Orientales igitur venti sunt, cæcias, subsolanus, et vulturnus ; primus ab æstivo, secundus ab æquinoctiali, tertius ab hiberno ortu. Occidentales autem venti sunt corus, favonius et africus ; primus ab æstivo, secundus ab æquinoctiali, tertius, africus, ab hiberno occasu. Septentrionales sive aquilonares trascias, septentrio et meses, qui consueto more aliquo dicitur ; quorum thrascias quidem a dextris ursæ partibus et veluti ad occasum spirat æstivo ortui appropinquans : septentrio a media ursa, reliquus nempe meses ex sinistris ursæ partibus. Meridionales autem sive austrini venti sunt, vulturnuster, D auster, et africauster ; primus quidem a dextris meridiei, hoc est, proxime ortum hibernum ; secundus, nimirum auster ex medio meridie ; tertius africauster a sinistris.

15. Cæterum alii venti in aliis partibus fortius aut imbecillius feruntur. Aliqui etiam peculiari ratione quibusdam in locis dominantur, ut qui inde ortum habeant.

16. Ac de his, illi qui **199** ex humefacta terra flant, apogei, quasi terra oriundi, dicuntur ; qui autem ex sinibus prosiliunt, encolpiæ, quasi sinuales, vocantur. Inter quos ipsos eosque, qui ex fluminibus et stagnis erumpunt, nonnihil propor-

OCR ABK / FR

tionis intercedit. Qui autem per ruptionem nubis generantur, siquidem inter se invicem crassitiei dissolutionem efficiant, typhonici, Latine turbines, nominantur; sin vero minus crassi, ecnephiæ, id est, procellæ vocantur; qui denique aqua confertum rupta concitantur, exhydriæ, quasi aquatores, appellantur.

A χους ποιοῖντο πρὸς ἑαυτοὺς, τυφωνικοὶ ὀνομάζονται. οἱ δ' ἧττον εἶεν παχεῖς, ἐκνεφίαι καλοῦνται· μεθ' ὕδατος δ' ἀθρόως ῥαγέντος ὁπόσοι φέρονται ἐξυδρίαι προσαγορεύονται.

17. Porro qui venti rectis lineis grassantur, euthypnoi, hoc est, rectos flatus habentes; qui ad sua principia reflectuntur, anacampsinoi, hoc est reflexis præditi flatibus dicuntur.

ιζ'. Καὶ ὅσοι μὲν τῶν ἀνέμων πρὸς εὐθεῖαν διαπνέουσιν, εὐθύπνοοι λέγονται· ὅσοι δ' ἀνακάμπτουσι πρὸς τὰς οἰκείας ἀρχὰς, καθάπερ ὁ καικίας, ἀνακαμψίπνοοι.

18. Sed et aliqui etesiæ, quasi anniversarii, dicuntur. qui æstate flant et ex septentrionalibus occidentalibusque ventis miscentur; alii autem ornithiæ, quasi dicas, aviarii, vernales quidam et aquilonares venti.

ιη'. Λέγονται δέ τινες καὶ ἐτησίαι κατὰ τὸ θέρος πνέοντες καὶ μίξιν ἔχοντες ἔκ τε τῶν ἀρκτῴων καὶ δυτικῶν· ἄλλοι δ' ὀρνιθίαι ἐαρινοί τινες ἄνεμοι βόρειοι.

19. Denique ex genere violentiorum flatuum catægis est flatus qui ex superiori loco repente everberat. Thyella est flatus, qui vehementi impetu movetur, et flando repente prosilit. **200** Lælaps et strobilus est flatus qui inferne sursum (repente convolvitur). Denique anaphysema quasi aspiratio terræ est flatus sublimem se rapiens qui vel ex specu altius depresso vel ex terræ hiatu egeritur: qui quidem quando cum robore et calore convolutus fertur, prester terrestris dicitur.

ιθ'. Τῶν γε μὴν βιαίων πνευμάτων καταιγὶς μέν ἐστι, πνεῦμα τύπτον ἄνωθεν ἐξαίφνης μετὰ σφοδρότητος. Θύελλα δὲ, πνεῦμα μετὰ ῥύμης φερόμενον
B ἰσχυρᾶς καὶ ἄφνω προσαλλόμενον ἐν τῷ πνεῖν. Λαῖλαψ δὲ καὶ στρόβιλος πνεῦμα εἱλούμενον κάτωθεν ἄνω. Γῆς δὲ ἀναφύσημα, πνεῦμα κατὰ τὴν ἐκ βοθοῦ τινος ἢ ῥήγματος ἀνάδυσιν ἄνω φερόμενον. Ὅταν δ' εἱλούμενον φέρηται πολὺ καὶ θερμὸν, πρηστὴρ χθόνιος λέγεται.

## SYNOPSIS CAPITIS XVIII,

### QUOD EST DE TERRÆ MOTU.

1. *Qua ex causa materiali et efficiente terræ motus fiat.* — 2. *Plerumque tranquillo a ventis tempore fiunt, quanquam interdum etiam ventis coortis, sed tamen minores.* — 3. *Noctu et magis sub aurorам cum plures tum majores terræ motus fiunt; quia ista tempora maxime a ventis silent.* — 4. *Terræ motuum qui fiunt interdiu plures et validiores fiunt circa meridiem, quia meridies totius diei pars est calidissima.* — 5. *Circa angusta et fluctuantia maria vehementissimi terræ motus fiunt.* — 6. *Regiones etiam quarum subterranea loca fungosa et cavernosa sunt, crebrius terræ motibus concutiuntur.* — 7. *Vere et autumno exeunte fiunt maxime, rarius æstate et hyeme.* — 8. *Et squalidis et pluviosis temporibus generantur, et quidem pluviosis, duabus ex causis.* — 9. *Simili utitur* **301** *flatus animalium intra corpora ipsorum intercepti et inclusi.* 10. *Terræ motus dividit in eum qui tremulus et, in eum qui pulsui ac palpitationi similis est.* — 11. *Tremulus fit crebrius et secundum terræ latitudinem.* — 12. *Qui pulsui vel palpitationi similis est, rarius oritur et secundum profunditatem terræ.* — 13. *Ubi tamen oritur, sævissimus est, ut ex illius effectibus agnoscitur.* — 14. *Terræ motuum alii ex flatu intra terrarum generato, alii ex vento in terram extrinsecus illapso efficiuntur, ut etiam superiore membro secundo dixit; posteriorum exemplum est in Achaico terræ motu illo celebri, quo Burra et Helice prostratæ et aquis submersæ fuerunt.* — 15. *Per epidiæresin varias terræ motuum species recenset, epiclintas, brastas, chasmatias, rhectas, ostas, palmatias, mycetias.* — 16. *Mugitus terræ sæpe etiam absque motu terræ fiunt.* — 17. *Dictis terræ motibus analoga etiam in mari fiunt.*

## CAPUT XVIII.

### *De terræ motu.*

1. Terræ motus [a] fieri videtur, cum exhalatio quæ ab eo quod dominatur calida et sicca nominatur, deorsum infra terram assumitur, et cumulatur, inque unum cogitur, et hinc spiritus vehemens conflatur, internasque terræ cavitates replet, et violenter cum movetur, tum partem terræ imminentem simul **262** concutit.

C

## ΚΕΦΑΛ. ΙΗ'.

### Περὶ σεισμοῦ.

α'. Ὁ σεισμὸς δοκεῖ γίνεσθαι τῆς ἐκ τοῦ ἐπικρατοῦντος ὀνομαζομένης θερμῆς καὶ ξηρᾶς ἀναθυμιάσεως ἀπολαμβανομένης κάτω καὶ ὑπὸ γῆν, ἀθροιζομένης τε καὶ συναγομένης εἰς ἓν, κἀντεῦθεν πνεύματος ἰσχυροῦ συνισταμένου, καὶ τὰς ἔνδον κοιλότητας πληροῦντος τῆς γῆς, βιαίως τε κινουμένου καὶ συγκινοῦντος τὸ ὑπερκείμενον τῆς γῆς.

2 Unde etiam tranquillo a ventis tempore multi et magni terræ motus fiunt. Exhalatio enim cum continenter movetur, plerumque primum impetum

β'. Ὅθεν καὶ νηνεμίας οἱ πολλοὶ καὶ μεγάλοι γίνονται τῶν σεισμῶν. Ἡ γὰρ ἀναθυμίασις, συνεχὴς φερομένη, ἕπεται ὡς ἐπὶ τὸ πολὺ τῇ ὁρμῇ τῆς ἀρ-

[a] II Meteor. c. 8, et De mundo c. 5.

OCR ABK / FR

γῆς· ὥστε ἢ ἔξω τῆς γῆς ἢ ἔσω πᾶσαν συννεύειν αὐτήν. Οὐκ ἄλογον δέ γε καὶ ἀνέμων ὄντων γίνεσθαί τινας τῶν σεισμῶν. Ἐνίοτε γὰρ καὶ πλείους ἅμα πνέουσιν ἄνεμοι· ὧν ὅταν ἅτερος ὑπὸ γῆν ὁρμήσῃ, ποιήσει σεισμὸν, ἄνω πνέοντος τοῦ λοιποῦ. Ἐλάττους δὲ τὸ μέγεθος γίνονται τὰ πολλὰ οἱ τοιοῦτοι σεισμοὶ, διὰ τὸ διῃρῆσθαι τὴν ἀρχὴν καὶ τὴν αἰτίαν αὐτῶν τὴν ποιητικήν· ὥσπερ καὶ οἱ ἅμα πνέοντες ἄνεμοι οὐ γίνονται πάμπαν σφοδροί.

γ'. Νυκτὸς δὲ καὶ μᾶλλον πρὸς ὄρθρον οἱ πλείους καὶ μείζους γίνονται τῶν σεισμῶν. Νηνεμώτεραι γὰρ αἱ νύκτες τῶν ἡμερῶν, διὰ τὴν ἀπουσίαν τοῦ ἡλίου ψυχομένης καὶ πυκνουμένης τῆς ἐπιφανείας τῆς γῆς, καὶ τῶν πνευμάτων τὴν ἀρχὴν τῆς ῥύσεως λαμβανόντων εἰς τὸ ἐντὸς, ὥσπερ ἀμπώτιδος γινομένης τοῦ πνεύματος εἰς τὰ ἔνδον ἀπὸ τῆς ἔξω πλημμυρίδος τε καὶ ἐπιχύσεως· μάλιστα δὲ πρὸς ὄρθρον, ἐπεὶ τηνικαῦτα καὶ τὰ πνεύματα πέφυκεν ἄρχεσθαι πνεῖν.

δ'. Τῶν δὲ τῆς ἡμέρας γινομένων σεισμῶν περὶ μεσημβρίαν οἱ πλεῖστοι καὶ ἰσχυρότεροι γίνονται. Νηνεμώτερον γὰρ τῆς ὅλης ἡμέρας ὡς ἐπίπαν ἡ μεσημβρία, διὰ τὸ τὸν ἥλιον μάλιστα τότε τὰς ἀκτῖνας ὀρθοτέρας καὶ ἐντονωτέρας ἐκπέμποντα κατακλείειν τὴν ἀναθυμίασιν εἰς τὴν γῆν, τὴν εἰς τὸ ἔξω πρόοδον αὐτῆς ἐμποδίζοντα.

ε'. Ἔτι τε τοὺς ἰσχυροτάτους σεισμοὺς συμβαίνει γίνεσθαι περὶ τόπους, καθ' οὓς θάλασσα στενὴ καὶ ῥοώδης. Σφοδρὸν γὰρ ἐν τοῖς τοιούτοις τὸ πνεῦμα γινόμενον καὶ διεκπίπτον βιαίως ἐκ τῆς γῆς, τῶν σεισμῶν αἴτιον γίνεται. Πολλήν τε γὰρ ἡ θάλασσα παρέχει χορηγίαν τῷ πνεύματι, καὶ διὰ τῶν στενῶν ἀθρόα ταῖς μεταῤῥύσεσι, καὶ τοὺς τόπους ἐπιλαμβάνουσα δι' ὧν ἔξω τὸ πνεῦμα φέρεται, εἰς βάθος αὐτὸ ἀπωθεῖ. Τὸ δ' ἀπωσθὲν καὶ ἀθρόον γενόμενον ἐκίνησε τῇ βίᾳ τὴν γῆν.

ς'. Καὶ ὅσαι δὲ χῶραι τὰ ὑπὸ γῆν ἔχουσι σομφά τε καὶ ὕπαντρα, σείονται μᾶλλον, πολὺ δεχόμεναι πνεῦμα κατὰ τὰς ἔνδον κοιλότητας καὶ κινούμεναι ὑπ' αὐτοῦ.

ζ'. Ἔαρος δὲ μάλιστα καὶ μετοπώρου γίνονται οἱ σεισμοί· πνευματωδέστεραι γὰρ αἱ ὧραι. Θέρους δὲ καὶ χειμῶνος ἐλάττω τὰ πνεύματα· χειμῶνος μὲν διὰ τὸ ψῦχος σβεννυμένων τῶν θερμῶν καὶ ξηρῶν ἀναθυμιάσεων, θέρους δὲ πάλιν διὰ τὸ καῦμα ξηραινομένων.

η'. Ἀλλὰ καὶ ἐν αὐχμοῖς καὶ ἐν ἐπομβρίαις οἱ σεισμοὶ μάλιστα γίνονται. Ἐν μὲν γὰρ τοῖς αὐχμοῖς πνευματώδης ὁ ἀήρ· αὐτὸ γὰρ τοῦτό ἐστιν ὁ αὐχμὸς, τὸ πλείω γίνεσθαι τῆς ὑγρᾶς ἀναθυμιάσεως τὴν ξηράν· ἐν δὲ ταῖς ἐπομβρίαις πλείων ἡ ἐντὸς ἀναθυμίασις γίνεται. Καὶ γὰρ ἡ γῆ πολλὴν ἔνδον κεκτημένη πυρώδη οὐσίαν βρεχομένη πρὸς βάθος ἀτμίζει· καθάπερ ἐπὶ τῆς ἀσβέστου ἔστιν ἰδεῖν. Ἀτμίζουσα γοῦν, πλείω καὶ τὴν ἐντὸς ἀναθυμίασιν ἴσχει. Ἔτι δὲ διὰ τὸ πλῆθος τῶν ὄμβρων, ὕδατος

A sequitur; ut vel extra, vel intra terram confertim universa eo inclinet et feratur. Non est autem a ratione alienum ventis etiam existentibus aliquos terræ motus fieri. Nonnunquam enim etiam plures simul venti flant: quorum cum alter infra terram irruit, terræ motum gignit; altero interim supra spirante. Minores autem magnitudine fiunt ut plurimum tales terræ motus, quod eorum principium et causa efficiens distracta sit: quemadmodum etiam venti simul flantes non admodum vehementes sunt.

3. Noctu autem et magis sub auroram cum plures, tum majores terræ motus fiunt. Tranquilliores enim a ventis sunt noctes quam dies, dum terræ superficies propter solis absentiam frigus contrahit B et densatur, flatusque fluendi in internam partem initium faciunt, velutque ab externo æstu et inundatione flatus reciprocatio in interiores partes fit, idque præsertim sub auroram, quoniam tum demum flatus spirandi **203** initium facere solent.

4. Porro terræ motuum qui interdiu fiunt, plurimi et vehementiores fiunt circa meridiem. Nam toto fere die tranquillior est meridies: propterea quod sol tum rectiores et intensiores radios emittens exhalationem in terræ visceribus includit, nec foras sinit progredi.

5. Præterea etiam vehementissimos terræ motus fieri contingit circa ea loca quibus mare angustum est, et fluctuat. Cum enim in ejusmodi locis vehemens generetur flatus, et violenter ex terra excidat, terræ motuum causa efficitur: Ingentem enim flatui materiam mare suppeditat, atque dum per angustias transfluendo magno cum impetu volvitur, et ea loca per quæ flatus extra fertur, occupat, ipsum in profunditatem propellit: qui propulsus et conglobatus vi sua terram commovet.

6. Quin omnes etiam hæ regiones quarum subterraneæ partes fungosæ et cavernosæ sunt, crebrius quatiuntur, ut quæ in internis cavitatibus magnam vim flatus recipiant, ab eoque moveantur.

7. Cæterum vere maxime et autumno exeunte terræ motus contingunt; quippe anni tempora sunt **204** hæc flatuosiora; cum æstate et hieme rariores sint venti; hieme quidem, quia calidæ et siccæ D exhalationes ob frigoris vim exstinguuntur; æstate autem rursus quia propter ardorem magna ex parte exarescunt et consumuntur.

8. Sed squalidis et pluviosis temporibus terræ motus maxime generantur. Squalidis enim aer flatuosus est; quippe hoc ipsum squalor est, cum sicca exhalatio quam humida fit copiosior: pluviosis autem interna exhalatio copiosior efficitur. Terra quippe, ut quæ magnam igneæ substantiæ copiam interne possideat, cum funditus imbre perfunditur vaporem emittit, quemadmodum in calce videre est. Proinde vaporans copiosiorem etiam internam exhalationem continet. Præterea vero etiam cum

OCR ABK / FR

propter multitudinem pluviarum concavitates terræ aqua implentur, exhalationi ejusmodi cum in angustias redigitur et in unum cogitur, ab aqua vis affertur. Unde fit, ut cum copiosa exstiterit, et in exiguum locum coarctata et vehementer conglobata, atque ita mota fuerit, ut simul etiam terram concutiat.

9. Quemadmodum igitur in animalium corporibus **205** flatus qui introrsum includitur tremorum, et pulsuum, quin imo et palpitationum causa est : eodem modo in terra fieri solet.

10. Quapropter etiam terræ motuum alius tremulus est, alius pulsi et palpitationi similis existit.

11. Ac temulus quidem sæpius oritur, quando videlicet propter flatus copiam qui in latitudinem patens infra terram exsistit, terra concutitur et in obliquum movetur; tremor enim in obliquum transfert corpus quod a ipso afficitur. Contra perquam raro oritur in quibusdam locis, etiam is qui pulsui aut palpitationi similis est terræ motus, quando nimirum non in obliquum, sed inferne sursum terra movetur.

12. Rarius autem contingit ejusmodi terræ motus, propterea, quod non ita facile fit, ut exhalatio tam copiosa in imo cumuletur. Multis enim partibus ea secretio et exhalatio quæ per terræ latitudinem fit major esse solet quam ea quæ ab imo exsistit : quoniam etiam sol, exhalationi secundum latitudinem maxime adjumento esse videtur, ad tantam nimirum distantiam terram calefaciens.

13. Nihilominus ubi terræ motus oritur qui pulsum aut **206** palpitationem imitatur, sævissimus esse solet. Terram enim effringit, et urbes regionesque evertit, et interdum quidem vi flatus hunc terræ motum perficientis lapides effervescunt et ebulliunt, alias vero aquarum copia scaturit et eructat, modo frigidarum, modo calidarum. Quippe flatus aquæ etiam ut moveatur causa est. Quemadmodum enim venti ob vim ipsis illata fluctus in superficie movent : sic etiam sæpe in terræ motibus ventus in terra cum ipsi vis affertur, aquam subterraneam movere potest. Quæ sane aliquando etiam calida fit vel propter ingentem hujus terræ calorem unde etiam calidarum exhalationum copia exsistit: vel propter loci angustiam et violentiam flatus. Nonnunquam enim etiam ignis erupit, et multas civitates in cinerem redegit. Per angustiam enim loci dum spiritus violenter movetur, et distrahitur, et interciditur, inque exiguas partes dividitur, ipse etiam incenditur et flamma efficitur. Neque enim flamma quid est aliud quam flatus cum igni conjunctus, hoc est flatus incensus.

14. Interdum igitur deorsum et intra terram flatus terræ motum **207** efficientis fit concretio : interdum sursum ac supra terram ventus aliquis ex iis quibus nomen attributum est, plenus et perfectus ac deinde totus intra terræ viscera correptus, validissimum terræ motum efficit [7]. Qualis etiam

[7] II Meteor. c. 7.

A πληρουμένων τῶν κοιλοτήτων τῆς γῆς, ἡ τοιαύτη ἀναθυμίασις στενοχωρουμένη καὶ εἰς ἓν συνελαυνομένη, ὑπὸ τοῦ ὕδατος ἐκβιάζεται. Ὅθεν πολλὴ οὖσα καὶ εἰς ὀλίγον τόπον συσταλεῖσα καὶ ἰσχυρῶς πιληθεῖσα καὶ οὕτω κινηθεῖσα, συγκινεῖ καὶ τὴν γῆν.

θ'. Ὥσπερ οὖν ἐν τοῖς τῶν ζώων σώμασιν ἐναπολαμβανόμενον τὸ πνεῦμα τρόμων καὶ σφυγμῶν, μᾶλλον δὲ παλμῶν αἴτιον γίνεται· παραπλησίως κἀν τῇ γῇ.

ι'. Διὸ καὶ τῶν σεισμῶν ὁ μὲν ἐστι τρομώδης, ὁ δὲ σφυγμῷ ἢ παλμῷ ἐοικώς.

ια'. Καὶ ὁ μὲν τρομώδης γίνεται συνεχέστερον, ὁπόταν δηλονότι διὰ πλῆθος τοῦ κατὰ πλάτος γινο-
B μένου πνεύματος ὑπὸ γῆν κινῆται ἡ γῆ σειομένη κατὰ τὰ πλάγια· καὶ ὁ τρόμος γὰρ εἰς τὰ πλάγια μεταφέρει τὸ πάσχον σῶμα. Γίνεται δὲ κατὰ τὸ σπάνιον ἔν τισι τόποις καὶ ὁ σφυγματώδης ἢ παλμώδης σεισμός· ὅταν δηλονότι μὴ πρὸς τὰ πλάγια κινῆται ἡ γῆ, ἀλλὰ κάτωθεν ἄνω.

ιβ'. Συμβαίνει δ' ὡς ἐπ' ἔλαττον ὁ τοιοῦτος σεισμὸς, ὅτι μηδὲ ῥᾴδιον εἰς βάθος ἀθροισθῆναι ἀναθυμίασιν οὕτω πολλήν. Πολλαπλασία γὰρ ἡ κατὰ πλάτος γινομένη τῆς γῆς διάκρισίς τε καὶ ἀναθυμίασις τῆς ἀπὸ βάθους γίνεσθαι πέφυκεν· ἐπεὶ καὶ ὁ ἥλιος τῇ κατὰ πλάτος ἀναθυμιάσει φαίνεται μάλιστα συνεργῶν, θερμαίνων μέχρι τόσου τὴν γῆν.

ιγ'. Ὅπου μέντοι γένηται ὁ σφυγματώδης ἢ παλ-
C μώδης σεισμὸς, χαλεπώτατός ἐστιν. Ἀναῤῥήγνυσι γὰρ τὴν γῆν, καὶ πόλεις ἀνατρέπει καὶ χώρας· καὶ ποτὲ μὲν ἀναβράττονται λίθοι τῇ βίᾳ τοῦ πνεύματος τοῦ τὸν τοιοῦτον ἐκτελοῦντος σεισμὸν, ἄλλοτε δ' ὑδάτος πλῆθος ἀναῤῥεῖ, ποτὲ μὲν ψυχρῶν, ὁτὲ δὲ καὶ θερμῶν. Γίνεται γὰρ τὸ πνεῦμα καὶ τῷ ὕδατι τῆς κινήσεως αἴτιον. Ὡς γὰρ ἄνεμοι βιαζόμενοι κινοῦσι τὰ κύματα ἐξεπιπολῆς, οὕτω πολλάκις κἀν τοῖς σεισμοῖς βιαζόμενον τὸ κάτωθεν πνεῦμα δύναται τὸ ὑπὸ γῆν ὕδωρ κινεῖν. Ὃ δή ποτε καὶ θερμὸν γίνεται, ἢ διὰ τὴν πολλὴν θερμότητα ταύτης τῆς γῆς, ὅθεν καὶ τὸ πλῆθος τῶν θερμῶν ἀναθυμιάσεων· ἢ καὶ διὰ τὴν στενοχωρίαν καὶ βίαν τοῦ πνεύματος. Ἐνίοτε γὰρ καὶ πῦρ ἀνεῤῥάγη, καὶ πόλεις πολλὰς κατετέφρωσε. Διὰ γὰρ τὴν στενοχωρίαν τὸ πνεῦμα
D βιαίως κινούμενον διασπώμενόν τε καὶ διακοπτόμενον καὶ εἰς μικρὰ καταδιαιρούμενον, ἐκπιμπρᾶται καὶ γίνεται φλόξ. Οὐδὲν γὰρ ἄλλο ἐστὶν ἡ φλὸξ ἢ πνεῦμα μετὰ πυρὸς, τουτέστι πνεῦμα ἐκπυρωθέν.

ιδ'. Ὁτὲ μὲν οὖν κάτω καὶ τῆς γῆς ἐντὸς ἡ τοῦ πνεύματος τοῦ ποιοῦντος τὸν σεισμὸν γίνεται σύστασις· ὁτὲ δ' ἄνω καὶ ὑπὲρ γῆν ἄνεμος τῶν ὠνομασμένων ἀπαρτισθεὶς, εἶτα συῤῥεύσας ὅλος ἔνδον τῆς γῆς, εἰργάσατο σεισμὸν ἰσχυρότατον. Οἷος ἱστορεῖται καὶ περὶ τὴν Ἀχαΐαν γενόμενος· ὅθεν καὶ

OCR ABK / FR

αἱ παραθαλάσσιαι πόλεις Βοῦῤῥα τε καὶ Ἑλίκη κατεῤῥίφησαν ὁμοῦ τε καὶ ὑπὸ τῆς ἐφόδου τοῦ κύματος ἐπεκλύσθησαν. Ἔξω μὲν γὰρ ἔπνει νότος ὁ τὴν θάλασσαν ἀπωθῶν· ἔνθα δὲ γέγονεν ὁ σεισμὸς, ἀντέπνευσε βοῤῥᾶς, ὃς ἐξ ἐναντίας τῷ νότῳ φερόμενος, ἀπῶσαι μὲν εἰς τοὐπίσω τὴν θάλασσαν οὐ δεδύνητο διὰ τὸν προωθοῦντα ταύτην ἄνεμον· ἐμποδίσας δὲ καὶ στήσας ταύτης τὴν πρόοδον, ἐποίησεν ὁμοῦ πολλὴν ἀθροισθῆναι τὴν θάλασσαν. Τότε δ' ἡττηθεὶς ὑπὸ τοῦ πλήθους τῆς θαλάσσης, ἀθρόας ἐπιχυθείσης αὐτῆς διὰ τοῦ κατόπιν ὠθοῦντος πνεύματος, ἅμα μὲν τοῦ κατακλυσμοῦ ἅμα δὲ τοῦ σεισμοῦ γέγονεν αἴτιος· τοῦ μὲν διὰ τὸ στῆσαι τὴν θάλασσαν καὶ ποιῆσαι αὐτὴν ἀθροισθῆναι πολλὴν εἰς ταυτό· τοῦ σεισμοῦ δὲ, διὰ τὸ ἡττηθέντα τοῦτον ὑπὸ τοῦ πλήθους τῆς θαλάσσης, ῥυέντα κατὰ τῆς γῆς κινῆσαι αὐτήν.

A circa Achalam factus esse in historiis commemoratur: unde etiam maritimæ civitates Burra et Helice simul et prostratæ et ab irruptione fluctuum submersæ sunt. Externe enim auster spirabat qui mare propellebat: ubi autem terræ motus fuit, ex adverso boreas spiravit, qui ex contraria parte austro ruens mare retrorsum depellere non potuit propter austrum a quo impellebatur: sed ipsius progressu impedito et represso effecit ut ingens vis maris in unum cogeretur. Tum vero a copia maris superatus, ipso propter flatum a tergo impellentem confertim infuso, simul et inundationis et terræ motus causa fuit; illius quidem propterea quod mare repressisset, effecissetque ut magna ipsius copia in unum cumularetur: terræ motus autem, quia vi maris victus et adversus terram fluens eam commovisset[R].

B

ιε'. Ἔτι τῶν σεισμῶν τοὺς μὲν φασιν ἐπικλίντας οἵτινες ἐς πλάγια σείουσι κατ' ὀξείας γωνίας, τοὺς δὲ βράστας, οἳ κατ' ὀρθὰς γωνίας ἄνω καὶ κάτω ῥιπτοῦσι· τοὺς δὲ χασματίας, οἵ γε συνιζήσεις ποιοῦσιν εἰς τὰ κοῖλα· τοὺς δὲ ῥήκτας, οἵπερ ἀνοίγουσι χάσματα καὶ γῆν ἀναῤῥηγνύουσι· τοὺς δὲ ὤστας· οὗτοι δὲ κατὰ μίαν πρόωσιν ἀνατρέπουσι· τοὺς δὲ παλματίας, ὡς ἀνταποπάλλοντας καὶ ταῖς εἰς ἑκάτερον ἐγκλίσεσι καὶ ἀναπάλσεσι διορθοῦντας ἀεὶ τὸ σειόμενον. Γίνονται δὲ καὶ μυκητίαι σεισμοὶ σείοντες τὴν γῆν μετὰ βρόμου.

15. Cæterum terræ motuum epiclintas quasi in transversum se agentes **208** vocant eos, qui ad angulos acutos in obliquum quatiunt; alios brastas a similitudine aquæ effervescentis, qui ad angulos rectos sursum et deorsum vibrant; alios chasmatias, quasi dicas hiabundos ab hiatu; alios rhectas, quasi effractores, qui hiatus aperiunt, et terram effringunt; alios ostas, quasi dicas trusores, qui uno obnixu subvertunt quod impulerunt; alios palmatias, quasi dicas vibratores, qui quassabundi et utroque declinantes vibrantesque quod concutitur[V], semper erigunt. Fiunt etiam mycetiæ quasi mugientes terræ motus, qui terram mugitu et fremitu quatiunt.

ιϛ'. Πολλάκις δὲ χωρὶς σεισμοῦ τοιοῦτός τις γίνεται ψόφος, ὅτε δηλονότι τὸ πνεῦμα τυγχάνει λεπτομερέστερον· ὡς ἐν τῷ πλήττειν τὴν γῆν, διηθεῖσθαι δι' αὐτῆς καὶ μὴ μένον ἐντὸς στενοχωρίαν ποιεῖν ἀθροιζόμενον. Διὰ μὲν οὖν τὸ ῥᾳδίως διηθεῖσθαι διὰ τῆς γῆς οὐ κινεῖ· διὰ δὲ τὸ προσπίπτειν τοῖς τῆς γῆς ὄγκοις, κοίλοις τε οὖσι καὶ παντοδαπὰ σχήματα ἔχουσι, παντοδαπὸν ποιεῖ ψόφον, ὡς δοκεῖν ἐνίοτε οἷον μυκᾶσθαι τὴν γῆν.

C 16. Quanquam sæpe sonus ejusmodi absque terræ motu contingat, quando nimirum flatus est tenuior, ut dum terram ferit, transmittatur per eam; nec in ea sic maneat, ut coacervatus in angustias coarctetur. Propterea igitur quod facile per terram transmittatur, non movet: sed quia in cavos variisque figuris præditos terræ specus incidit, varium etiam sonum edit; ut nonnunquam terra veluti mugire videatur.

ιζ'. Ἀνάλογον δὲ τοῖς εἰρημένοις συμπίπτει καὶ ἐν θαλάσσῃ. Χάσματά τε γὰρ γίνεται θαλάσσης καὶ ἀναχωρήματα πολλάκις καὶ κυμάτων ἐπιδρομαί· ποτὲ μὲν ἀντανακοπὴν ἔχουσαι· ποτὲ δὲ πρόωσιν μόνον. Πολλάκις δὲ καὶ ἀναφυσήματα γίνεται πυρὸς τῇ θαλάσσῃ, καὶ πηγῶν ἀναβλύσεις καὶ ποταμῶν ἐκβολαὶ ῥοαί τε καὶ δῖναι· ποτὲ μὲν ἐν μέσοις πελάγεσι, ποτὲ δὲ κατὰ τοὺς εὐρίπους τε καὶ πορθμούς. Πολλαί τε ἀμπώτιδες καὶ κυμάτων ἄρσεις κατά τινας ὡρισμένους καιροὺς τῇ σελήνῃ συμπεριοδεύουσι· ἐπεὶ συμμεταβάλλει αὕτη καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὡς πλησιαιτέρα τῶν λοιπῶν πλανήτων.

17. Sed quo his proportione respondeat, etiam in mari fit. Nam et hiatus fiunt maris et sæpe **209** recessus, et incursiones fluctuum: alias intercisæ reciprocationem, alias vero progressum simplicem habentes. Sed sæpenumero etiam in mari evomitiones ignis existunt, et fontes excaturiunt, et fluviorum ostia aperiuntur, fluxiones item et vortices oriuntur; nonnunquam quidem in D mediis maribus, nonnunquam vero in euripis et fretis. Sed et multi æstus fluctuumque elevationes, statis quibusdam temporibus, cum luna recurrunt: quoniam hæc secum et quæ in terra, et in mari sunt, mutat, ut quæ cæteris planetis sit propinquior.

---

## SYNOPSIS CAPITIS XIX.

QUOD EST DE TONITRUIS ET FULGURIBUS, DE ECNEPHIA, ID EST PROCELLA, ET VORTICE, QUI TYPHON VOCATUR, ET TURBINE ACCENSO, QUEM GRÆCI PRESTERA VOCANT, ET FULMINE.

**1.** *Ostendit, ex qua materia et ubi et quomodo tonitru generetur.* — **2.** *Definit tonitru et simili declarat.* — **3.** *Causam reddit quare tonitruorum soni varii sint et dispares.* — **4.** *Fulguris generationem describit.* — **5.** *Causam assignat, quare cum tonitru præcedat fulgur, prius tamen fulgur videa-*

[R] De mundo cap. 4. [V] II Meteor. c. 8.

OCR ABK / FR

*tur, quam tonitru auditur, idque simili desumpto* **210** *a remigatione explicat. — 6. Exponit, quando tonitrua fulgura tantum, et quando vero etiam ecnephias generetur, cujus ortum simili declarat et tandem descriptionem subjicit. 7. Docet quando et quomodo typhon seu vortex in nubibus generetur, quem etiam simili declarat, vertiginis quæ in terra nonnunquam oritur; a qua tamen in eo differt quod ille continuam excretionem habet, perinde ut etiam ecnephias. — 8. Causam assignat, quare vortex etiam deorsum in terram feratur, quod nimirum nubis ex qua spiritus excernitur, condensatio in superiore parte incipiat, et proinde spiritus excretio in contrariam inferiorem videlicet partem fiat. — 9. Effectus verticis generales et speciales aliquot evidentes recenset. — 10. Explicat quo a vortice prester differat, quod nimirum igneo ille calore vocet, hic incensus turbo sit, et aerem etiam colore igneo inficiat; et porro subjicit, quid fulmen vocetur ac denique vorticis, presteris, et fulminis collationem proponit. — 11. Excretionem spiritus quæ tonitrua facit et fulgura, discernit ab hac quæ fulminis causa est, quod etiam definit. — 12. Fulminis duas species, clarum et fuliginosum, enumerat, ac utrumque a proprietatibus et effectibus suis descri it, illius etiam nomenclaturam exponens. — 13. Alias etiam fulminis species, heliciam et acceptum enumerat describitque — 14. Tradit omnia fulmina spiritum quemdam inflammationis expertem et precedere* **211** *et sequi; qualis etiam in tonitruis excernitur nonnunquam, qui et ipse, nec sonus, alia corpora findit et dissipat. — 15. Causam explicat quare omnis spiritus excretus et nubibus deorsum feratur, quam etiam a contrario gravium aliquorum corporum motu sursum evincit.*

---

## CAPUT. XIX.

*De tonitruis et fulguribus, ecnephia et typhone, et prestere et fulmine.*

1. Cum vapor et sicca exhalatio simul mista ex terra adducuntur, et in loco a terra remotiore etiam ambo fuerint; (qui propterea frigidissimus est, quod radiorum solarium ex terra refractiones in ipso infirmantur), cumque sicca quidem exhalatio secernitur, et ad succensionem sibi cognatam effertur; vapor autem frigus contrahit, et densatur, et in nubes concrescit; quidquid siccæ exhalationis in ejusmodi concretione nubium inclusum fuerit, quando colligitur, flatus efficitur; et deinde cum nubes amplius densantur et coeunt, vi ex ipsis excernitur. Ac denique dum ita violenter excernitur flatus, inque densitatem nubium incidit, B sonum efficit.

2. Qui sane est id quod vocatur tonitru, flatus in nube crassa et humida implicitus, et per eam ipsam nubem extra violenter erumpens, et ita continuas nubis spissitudinis effringens, et hinc **212** fremitum fragoremque magnum efficiens; haud secus ac spiritus in aqua vehementer impellitur, et undarum efficit strepitus.

3. Quoniam autem nubium densitas inæqualis est (alicubi enim major, alicubi est minor); et vero etiam aliquæ cavitates intra nubes existunt (interiores, enim nubium partes, non perinde densæ sunt, ac exteriores, sed densitatis continuitatem deferunt; caprropter utique varii et dispares soni C efficiuntur. Nam flatus qui excernitur, si ad densiores concretiones illidatur, vehementiores etiam sonos efficit: sin ad rariores, juxta proportionem infirmiores. Atque ita quidem de tonitru res se habet.

4. At flatus, qui eliditur, et in nubes impingendo tonitru efficit; sæpe tenui et imbecilli inflammatione incenditur. Qua parte igitur conspectus fuerit hic flatus qui excretus est, igneo tinctus colore ex nubibus erumpere, fulgur appellamus eum.

A

## ΚΕΦΑΛ. ΙΘ'.

Περὶ βροντῶν, καὶ ἀστραπῶν, ἐκνεφίου τε καὶ τυφῶνος καὶ πρηστῆρος καὶ κεραυνοῦ.

α'. Τῆς ἀτμίδος καὶ τῆς ξηρᾶς ἀναθυμιάσεως ὁμοῦ καὶ συμμίκτων ἀναγομένων ἐκ γῆς, ὁπόταν ἐν τῷ ἀπογειοτέρῳ καὶ ἄμφω γένωνται τόπῳ (ὅς ἐστι ψυχρότατος διὰ τὸ τὰς ἐκ γῆς ἀνακλάσεις τῶν ἡλιακῶν ἀκτίνων ἐξασθενεῖν ἐν αὐτῷ), καὶ τῆς μὲν ξηρᾶς ἀναθυμιάσεως διακρινομένης καὶ πρὸς τὸ συγγενὲς φερομένης ὑπέκκαυμα, τῆς ἀτμίδος δὲ ψυχομένης καὶ πυκνουμένης καὶ εἰς νέφη συνισταμένης· ὁπόση τῆς ξηρᾶς ἀναθυμιάσεως ἐν τῇ τοιαύτῃ συστάσει τῶν νεφῶν ἐμπεριληφθείη συναγομένη γίνεται πνεῦμα· ἔπειτα τῶν νεφῶν ἔτι πυκνουμένων καὶ συνιόντων ἐκκρίνεται μετὰ βίας B ἐξ αὐτῶν. Οὕτω δὲ βιαίως ἐκκρινόμενον τὸ πνεῦμα καὶ πρὸς τὴν πυκνότητα τῶν νεφῶν εἰσπίπτον ψόφον ἀποτελεῖ.

β'. Οὗτος δέ ἐστιν ἡ καλουμένη βροντὴ, πνεῦμα νέφει παχεῖ καὶ νοτερῷ εἰληθὲν καὶ ἔξω δι' αὐτοῦ τοῦ νέφους βιαίως φερόμενον, καὶ οὕτω ῥηγνύον τὰ συνεχῆ τοῦ νέφους πιλήματα, κἀντεῦθεν βρόμον καὶ πάταγον μέγαν ἀπεργαζόμενον· ὥσπερ τὸ ἐν ὕδατι σφοδρῶς ἐλαυνόμενον πνεῦμα καὶ τῶν κυμάτων τοὺς ῥόθους ἀποτελοῦν.

γ'. Ἐπεὶ δὲ τῶν νεφῶν ἡ πυκνότης ἀνώμαλος (ποῦ μὲν γὰρ κατὰ τὸ μᾶλλον αὕτη, ποῦ δὲ κατὰ τὸ ἧττον), ἀλλὰ δὴ καὶ κοιλίαι τινὲς μεταξὺ τυγχάνουσι τῶν νεφῶν (τὰ γὰρ ἐντὸς τῶν νεφῶν οὐχ ὁμοίως πεπύκνωνται τοῖς ἐκτὸς, ἀλλὰ διαλιμπάνουσι τὴν συνέχειαν τῆς πυκνότητος)· διὰ ταῦτά C τοι παντοδαποὶ καὶ οἱ ψόφοι καὶ ἀνώμαλοι γίνονται. Τὸ γὰρ ἐκκρινόμενον πνεῦμα, πυκνοτέραις μὲν συστάσεσι προσρηγνύμενον, ἰσχυροτέρους καὶ τοὺς ψόφους ποιεῖ, μανωτέραις δὲ πρὸς λόγον ἀσθενεστέρους. Καὶ οὕτω μὲν ἡ βροντή.

δ. Τὸ δὲ πνεῦμα τὸ ἐκθλιβόμενον, καὶ τῇ πρὸς τὰ νέφη πληγῇ ποιοῦν τὴν βροντὴν, ἐκπυροῦται τὰ πολλὰ λεπτῇ πυρώσει καὶ ἀσθενεῖ. Καθ' ὃ γοῦν ὀφθῇ τὸ ἐκκριθὲν τοῦτο πνεῦμα ἐκπίπτον τῶν νεφῶν κεχρωματισμένον τῷ χρώματι τοῦ πυρὸς, ἀστραπὴν καλοῦμεν αὐτό.

OCR ABK / FR

ε'. Γίνεται δὲ μετὰ τὴν βροντὴν, καὶ ὕστερον τῆς πληγῆς. Ἡ βίαιος γὰρ κίνησις καὶ ἡ πληγὴ αἰτία ἐστὶν αὐτῇ τῆς ἐκπυρώσεως. Διὰ μέντοι τὸ τὴν ὄψιν ἀντιλαμβάνεσθαι τῶν ἰδίων αἰσθητῶν πρώτην τῆς ἀκοῆς, διὰ τοῦτο πρὸ τοῦ ἀκουσθῆναι τὴν βροντὴν, ὁρᾶται ἡ ἀστραπή· καθὼς ἐστιν ἐπὶ τῆς εἰρεσίας γινόμενον. Ἤδη γὰρ ἀναφερομένων τῶν κωπῶν ἐκ τοῦ ὕδατος, ὁ πρῶτος ψόφος, ὁ ἐν τῇ καθόδῳ γεγονὼς ἐξακούεται, τῆς ὄψεως ἑωρακυίας πάλαι τὰς κώπας καθιεμένας τε εἰς τὸ ὕδωρ καὶ πληττούσας αὐτό.

ς'. Ὅταν μὲν οὖν τὸ ἐκ τῶν νεφῶν πυκνουμένων ἐκθλιβόμενον πνεῦμα λεπτὸν ᾖ καὶ μηδὲ συνεχῆ τὴν γένεσιν ἔχῃ καὶ ἔκκρισιν, ἀλλὰ πολλάκις καὶ κατὰ μικρὸν γίνηται καὶ ἐκκρίνηται, κἀντεῦθεν μηδὲ μένῃ ἀλλὰ διαπνῇ· τότε βροντάς τε καὶ ἀστραπὰς τὸν εἰρημένον τρόπον ποιεῖ. Ἐπὰν δὲ σωματωδέστερον ᾖ τὸ πνεῦμα, τουτέστιν ἧττον λεπτὸν, ἀθρόαν τε καὶ συνεχῆ τὴν γένεσιν ἔχῃ καὶ ἔκκρισιν, ὥστε μὴ διαπνεῖν ἀλλὰ διαμένειν· τότε τὸν λεγόμενον ἐκνεφίαν ἄνεμον ἐκτελεῖ. Καθάπερ γὰρ πλεονεκτούσης τῆς ὑγρᾶς ἀναθυμιάσεως, ὅταν εἰς ὕδωρ γίνηται ἡ μεταβολὴ, τῇ πρώτως μεταβαλλούσῃ ἀναθυμιάσει συμμεταβάλλει καὶ ἡ λοιπὴ ἴση τῆς αὐτῆς τετύχηκε φύσεως· καὶ γίνεται ὑετὸς συνεχὴς καὶ πολύς. Τὸν αὐτὸν τρόπον ἐπικρατούσης τῆς ξηρᾶς ἀναθυμιάσεως ὁπηνίκα πνεῦμα γίνηται καὶ ἐκκρίνηται, συνακολουθεῖ τῇ πρώτῃ γενέσει τε καὶ ἐκκρίσει, καὶ ὅσον ἄλλο τῆς αὐτῆς ἐστι φύσεως. Καὶ οὕτως ὁ ἐκνεφίας ἄνεμος γίνεται, πνεῦμα πολὺ καὶ συνεχὲς ἐξ αὐτοῦ τοῦ νέφους ἀθρόον ἐκκρινόμενον καὶ βιαίως φερόμενον διὰ τὸ ταχὺ τῆς ἐκκρίσεως.

ζ'. Ὅταν δὲ τὸ ἐκκρινόμενον πνεῦμα εἰλούμενον ἐν κύκλῳ τυγχάνῃ καὶ μετὰ τοῦ ἐγχύματος τοῦ νέφους κάτω φερόμενον, τότε τυφῶν ὀνομάζεται. Γίνεται δὲ τοῦτο, ὅταν τὸ ἐκ (τοῦ) νέφους ἐκκρινόμενον πνεῦμα ἑτέφρ νέφει ἀντιτυπήσῃ καὶ τὴν ἐπ' εὐθείας φορὰν κωλυθῇ. Καθάπερ ὅταν ἐκ τόπου πλατέος εἴς τι στενὸν ὁ ἄνεμος συῤῥέων βιάζηται· ἐν πύλαις τυχὸν ἢ ὁδοῖς. Συμβαίνει γὰρ πολλάκις ἐν τοῖς τοιούτοις, μὴ δυναμένου προέρχεσθαι τοῦ προηγουμένου μορίου τοῦ ῥέοντος σώματος ἐν τῷ μὴ εὑρίσκειν διέξοδον ἢ διὰ τὴν τόπου στενότητα, ἢ καὶ διὰ τὸ ἀντιπνεῖν ἄλλο τι πνεῦμα, κύκλον καὶ δίνην τοῦ πνεύματος γίνεσθαι. Τὸ μὲν γὰρ προηγούμενον τοῦ πνεύματος μέρος οὐ δύναται διελθεῖν· τὸ δὲ συῤῥέον ὄπισθεν βιάζει τὴν δίοδον· καὶ τὸ μὲν ἀντιβαίνει, τὸ δ' ἀπωθεῖ. Ἀνάγκη τοίνυν τὸ εἰς πλάγιον ἔνθα μὴ ἔστιν ἀντίβασις ἐνεχθῆναι τὸ ἑπόμενον μέρος τοῦ πνεύματος, καὶ οὕτως ἀεὶ καὶ πᾶν τὸ ἐχόμενον, ἔστ' ἂν ἐκ πλαγίου βιασθὲν τὸ προηγούμενον καὶ ἀντιβαῖνον μέρος τοῦ πνεύματος ἐκκρουσθῇ τοῦ προκατειλημμένου τόπου, καὶ ἀνακάμψαν, συνάψῃ τῷ ὄπισθεν φερομένῳ καὶ ἐπωθοῦντι, καὶ γένηται τὸ ὅλον ἕν· κύκλος δὲ ἐστι τοῦτο τὸ σχῆμα. Καὶ οὕτω μὲν ἐπὶ τῆς γῆς αἱ δῖναι γίνονται. Ὁμοίως δὲ κἂν τοῖς νέφεσιν ἀλλήλαις συν-

5. Fit autem post tonitru et ictum sequitur. Violentus enim motus et ictus, ei ut inflammetur causa est. Verumtamen quia visus propria sensilia prius quam auditus arripit; ea de causa prius quam audiatur tonitru, fulgur conspicitur: quemadmodum **213** in remigatione contingit. Quando enim jam remi ex aqua efferuntur, tum demum primus sonus qui in descensu editus est, exauditur; cum visus dudum et in aquam demitti remos et eamdem ferire conspicatus sit.

6. Quando igitur flatus qui ex densescentibus nubibus eliditur, tenuis fuerit, et continuatam generationem atque excretionem non habuerit; sed sæpenumero minutatim generatur et excernitur hincque non permanet, sed difflatur; tum eo modo quem diximus tonitrua et fulgura efficit. Quando autem flatus corpulentior, hoc est, minus tenuis fuerit confertamque et continuatam generationem et excretionem habuerit, ut non evanescat, sed permaneat; tum eum ventum qui ἐκνεφίας. quasi nubigena dicitur, producit. Quemadmodum enim exhalatione humida exuberante, simul ac in aquam fit mutatio, cum primitus mutata exhalatione etiam reliqua quæcunque ejusdem naturæ est juxta commutatur; ac ita continuatus et copiosus imber generatur. Eodem modo dominante exhalatione sicca, cum flatus generatur et excernitur, primam generationem et excretionem comitatur, **214** etiam omne aliud quidquid ejusdem naturæ est. E sic ἐκνεφίας ventus generatur, flatus copiosus et continuus, qui ex ipsa nube confertim excernitur, et propter excretionis celeritatem magna fertur violentia.

7. Quando autem flatus qui excernitur, in circulo convolvitur, et cum infusione nubis deorsum fertur, tunc vortex, Græcis τυφών, nominatur. Fit autem hoc, cum flatus, qui ex nube excernitur, in aliam nubem incurrerit, et quominus recto motu deferatur, prohibitus fuerit. Quemadmodum si ex loco amplo in angustiam aliquam ventus confluens vim patitur, in portis aut viis exempli gratia. Sæpe enim in ejusmodi locis accidit, cum fluentis corporis pars antecedens non potest progredi, non inveniendo transitum vel propter loci angustiam, vel etiam propter obluctantem alium aliquem flatum ut circulus et vertigo flatus oriatur. Antecedens enim pars flatus transire non potest; quæ autem a tergo confluit, transitum adurget; sicque illa reluctatur, hæc protrudit. Necesse itaque est, ut in transversum, ubi non est reluctatio, feratur pars flatus consequens, et ita semper omnis quæ **215** deinceps sequitur: donec antecedens et renitens pars flatus ex obliqua parte compressa, de loco quem præoccupavit, extrusa, et conversione facta cum ea quæ a tergo fertur et ipsam adurget, conjuncta fuerit: adeoque totum istud unum efficiatur, quæ figura circulum imitatur. Atque ita quidem in terra fiunt vertigines. Eodem autem modo

OCR ABK / FR

etiam in nubibus vortices fiunt, et inter se invicem quoad principium copulantur (ea enim vertiginis natura est): verum quemadmodum cum ecnephias (procella) oritur, continua est spiritus excretio (quia etiam ventus est continuos eodem modo), sic etiam vortex continuam ex nube excretionem habet.

8. Sed cum propter nubis densitatem spiritus ex ea pure excerni non possit, unaque secum de nube aliquid trahat, ex dicta causa in orbem quidem convertitur, sed deorsum et in terram fertur, propterea quod spiritus ex nube excretio in eam semper partem fiat, in quam nubis condensatio progreditur. Quapropter cum condensatio superne facto initio in inferiores partes nubis pervenerit, etiam nubis excretionem quæ hinc orta est, propter vim illatam deorsum **216** ferri necesse est.

9. Cum ergo vortex deorsum fertur, et propter contrarium impetum in orbem circumagitur, sicque contorquetur, et helicem, id est circumvolutam lineam efficit: omnia in quæ incidit, in orbem intorquens movet. Quamobrem etiam aliqua in terra aut mari contenta in sublime adducit, ut qui propterea quod transitum non habet eodem revertatur. Itaque ex mari aquam sæpenumero attrahit: mox navigium vertigine correptum in altum evexit. Sed et ex terra et ligna et lapides, atque adeo nonnunquam animalia consimilem in modum sustulit. Quæcunque autem ab ipso efferuntur, cum aliquantulum in sublime subducta fuerint, denuo summa siccitate contracta, ob spiritus qui eadem subvexit siccitatem deorsum feruntur.

10. Cum igitur spiritus qui sic movetur, colore igneo infectus non fuerit, quali etiam fulgur affectum est, tunc typhon, id est, vortex, quasi ecnephias incoctus vocatur. Neque enim perfecte secretus et liberatus ab ipsa nube spiritus vorticis excernitur, quemadmodum ecnephiæ, id est, venti procellosi, flatus: sed aliquid de nube secum attrahit, quia concoctus non est, ut alterum **217** ab altero separari possit. Quando porro prædictus ille flatus dum detorquetur incensus fuerit, in ipso scilicet motus excoctus, et subtilior factus, tunc prester, id est, accensus turbo, vocatur: quod aerem propinquum inflammatione sua simul accendat, adeo ut ipsum etiam colore inficiat. Quando vero in ipsa nube copiosus et tenuis spiritus expressus fuerit, fulmen is efficitur. Vortex enim crassam excretionem habet, prester autem tenuiorem quam vortex, sed adhuc subtilioris spiritus fulmen est excretio.

11. Differt autem ab excretione, quæ tonitrua facit et fulgura, quod illa per exiguas partes, et sparsim et ex intervallis fit, imbecillemque inflammationem habet. At fulminum excretio ab ipsa differt cum tenuitate, tum insuper etiam multitudine; fulmen enim tenuissimus et copiosus est spiritus, qui simul fertur, et vehementer incensus est.

A ἅπτουσαι κατὰ τὴν ἀρχὴν, τοιοῦτον γὰρ ἡ δίνη· πλὴν ὥσπερ ἐκνεφίας γίνηται, συνεχής ἐστιν ἡ τοῦ πνεύματος ἔκκρισις (οὕτω γὰρ καὶ ὁ ἄνεμος συνεχὴς, κατὰ τὸν αὐτὸν τρόπον), καὶ ὁ τυφὼν συνεχῆ τὴν ἐκ τοῦ νέφους ἔκκρισιν ἔχει.

η'. Διὰ δὲ τὴν τοῦ νέφους πυκνότητα μὴ δυνάμενον ἀπ' αὐτοῦ καθαρῶς ἐκκριθῆναι τὸ πνεῦμα, ἀλλὰ σὺν ἑαυτῷ καὶ τοῦ νέφους τι συνεφέλκον, στρέφεται μὲν κύκλῳ διὰ τὴν εἰρημένην αἰτίαν, φέρεται δὲ κάτω καὶ ἐπὶ γῆς διὰ τὸ τὴν ἐκ τοῦ νέφους γινομένην τοῦ πνεύματος ἔκκρισιν, ἐπὶ ταῦτα γίνεσθαι πάντοτε καθ' ἃ προάγεται τοῦ νέφους ἡ πύκνωσις. Ὥστε ὅταν ἄνωθεν ἡ πύκνωσις ἀρξαμένη ἐπὶ τὰ κάτω γίνηται μέρη τοῦ νέφους, B ἀνάγκη καὶ τὴν τοῦ πνεύματος ἔκκρισιν ἐντεῦθεν γινομένην φέρεσθαι κάτω διὰ τὴν βίαν.

θ'. Φερόμενος οὖν ὁ τυφὼν κάτω καὶ διὰ τὴν ἀντίκρουσιν κύκλῳ περιαγόμενος, καὶ οὕτω συντρεφόμενος καὶ ποιῶν ἕλικα· οἷς ἂν προσπέσοι, ταῦτα κύκλῳ στρέφων κινεῖ. Διὸ καί τινα πολλάκις τῶν ἐπὶ γῆν ἢ θαλάσσης στρέψας εἰς ὕψος ἀνέλκει· ὡς ἐπὶ τὸ αὐτὸ πάλιν ἀνακάμπτων τῷ μὴ ἔχειν διέξοδον. Ἐκ μὲν οὖν θαλάσσης ὕδωρ ἀνασπᾷ πολλάκις· ἤδη δὲ καὶ πλοῖον ἐμετεώρισε τῇ δίνῃ περιλαβών. Ἐκ δὲ τῆς γῆς καὶ ξύλα καὶ λίθους, ἤδη δὲ καὶ ζῶα, τὸν αὐτὸν τρόπον ἀνήνεγκεν. Ὅσα δ' ὑπ' αὐτοῦ ἀναφέρονται, ὀλίγον μετεωρισθέντα καταφέρονται πάλιν, ξηρότατα γενόμενα διὰ τὴν ξηρότητα τοῦ ἀνάγοντος ταῦτα πνεύματος.

C

ι'. Ὅταν μὲν οὖν τὸ πνεῦμα τὸ οὕτως κινούμενον μὴ κεχρωσμένον ᾖ πυρώδει χρόᾳ, ὁποίᾳ καὶ ἡ ἀστραπὴ κέχρωσται· τότε καλεῖται τυφὼν, οἷον ἐκνεφίας ἄπεπτος ὤν. Οὐ γὰρ τελέως διακεκριμένον οὐδ' ἀπολελυμένον ἀπ' αὐτοῦ τοῦ νέφους τὸ τοῦ τυφῶνος ἐκκρίνεται πνεῦμα καθὰ τὸ τοῦ ἐκνεφίου, ἀλλὰ συνεφέλκον τι καὶ τοῦ νέφους διὰ τὸ μὴ πεπέφθαι, ὡς δύνασθαι θάτερον ἀπὸ θατέρου χωρίζεσθαι. Ὅταν δὲ τὸ προειρημένον πνεῦμα κατασπώμενον ἐκπυρωθῇ πεφθὲν ἐν τῇ κινήσει καὶ λεπτότερον γεγονὸς, τότε καλεῖται πρηστήρ· ὅτι τὸν πλησίον ἀέρα συνεκπίμπρησιν ἐν τῇ ἐκπυρώσει, ὥστε καὶ χρωματίζειν αὐτόν. Ἐὰν δ' ἐν αὐτῷ τῷ νέφει πολὺ καὶ λεπτὸν ἐκθλιβῇ πνεῦμα, τοῦτο γίνεται D κεραυνός. Ὁ μὲν γὰρ τυφὼν παχεῖαν ἔχει τὴν ἔκκρισιν· λεπτοτέραν δὲ τοῦ τυφῶνος ὁ πρηστήρ. Ὁ δὲ κεραυνὸς, ἔτι μᾶλλον λεπτοτέρου πνεύματός ἐστιν ἔκκρισις.

ια'. Διαφέροι δ' ἂν τῆς τὰς βροντὰς καὶ ἀστραπὰς ποιούσης ἐκκρίσεως, ὅτι κατὰ μικρὰ μὲν ἐκείνη καὶ σποράδην καὶ ἐκ διαλειμμάτων γίνεται καὶ ἀσθενῆ τὴν ἐκπύρωσιν ἔχει. Ἡ δὲ τῶν κεραυνῶν διαφέροι μὲν ἂν ἐκείνης καὶ τῇ λεπτότητι, οὐ μὴν ἀλλὰ καὶ τῷ πλήθει· λεπτότατον γὰρ καὶ πολὺ πνεῦμα καὶ ὁμοῦ φερόμενον καὶ ἰσχυρῶς ἐκπεπυρωμένον ὁ κεραυνός.

OCR ABK / FR

ιβ'. Ἂν μὲν οὖν λίαν εἴη τὸ πνεῦμα λεπτὸν, οὐδ' ἐπικαίῃ ταῦτα οἷς ἂν προσπίπτοι· τὸ τοιοῦτον (δὲ) πνεῦμα κεραυνὸν ἀργῆτα καλοῦσιν οἱ ποιηταί. Ἂν δὲ μὴ οὕτως εἴη τὸ πνεῦμα λεπτὸν, ἀλλὰ φερόμενον ἐπικαῖον φέρηται, ἄλλως κατονομάζεται. Ὁ μὲν οὖν ἀργῆς καλούμενος φθάνει διιὼν ταῦτα οἷς ἂν ἐμπέσοι, πρὸ τοῦ ἐπικαῦσαι ἢ ὅλως μελᾶναι αὐτά· ἅμα μὲν διὰ τὸ τάχος τῆς κινήσεως, ἅμα δὲ καὶ τὴν τῆς οὐσίας λεπτότητα ταχεῖαν ποιούμενος τὴν διέξοδον. Ὁ δ' ἄλλος κεραυνὸς μὴ ὁμοίως ὑπάρχων λεπτὸς, βραδύτερόν τε φερόμενος, χρώννυσι μὲν τὰ οἷς ἐμπελάζει, φθάνει δὲ καὶ οὗτος διελθὼν πρὸ τοῦ καῦσαι αὐτά. Διὸ καὶ τὰ μὲν ἀντιτυπήσαντα πάσχει τι· οὐδὲν δὲ τοιοῦτον πάσχει τὰ μὴ ἀντιτυπήσαντα· οἷον ἀσπίδος ὁ μὲν χαλκὸς διὰ τὴν ἀντιτυπίαν ἐτάκη, τὸ δὲ ξύλον οὐκ ἐκαύθη (διὰ μανότητα γὰρ ἔφθασε διηθηθὲν τὸ πνεῦμα καὶ διελθόν)· καὶ ἱματίοις δ' ἐμπεσὸν οὐκ ἔκαυσε μὲν αὐτὰ, ἀλλ' οἷον τρύχη ἐποίησεν. Οἱ μὲν οὖν τῶν κεραυνῶν αἰθαλώδεις οὕτως ἔχουσιν· οἱ δὲ ταχέως διάττοντες ἀργῆτες, οἶμαι, κατ' ἀντίφρασιν ὠνομάσθησαν.

ιγ'. Καὶ οἱ μὲν ἑλικοειδῶς φερόμενοι κεραυνοὶ, ἑλικίαι λέγονται· οἱ δὲ κατασκήπτοντες εἴς τι μονομερῶς, οἱ τοιοῦτοι καλοῦνται σκηπτοί.

ιδ'. Ἀεὶ δὲ τοῖς κεραυνοῖς ἀνεκπύρωτον πνεῦμα συνακολουθεῖν καὶ προϊέναι αὐτῶν ὑπονοεῖται. Οἷς γὰρ ἂν ἐμπίπτειν μέλλοι ὁ κεραυνὸς, ταῦτα κινεῖται πρὸ τῆς πληγῆς. Ἀλλὰ καὶ ἃ διίστανταί ποτε γενομένης βροντῆς, οὐ τῷ ψόφῳ αὐτῷ διΐστασθαι δοκεῖ, ἀλλὰ τῷ ἐκκρινομένῳ πνεύματι τῶν νεφῶν, ὃ διὰ τῆς πρὸς τὰ νέφη πληγῆς τὸν ψόφον ποιεῖ. Τοῦτο γὰρ πατάξαν, διέστησε μὲν, οὐκ ἀπέκαυσε δέ.

ιε'. Φέρεται δὲ κάτω πᾶν τὸ ἐκκρινόμενον πνεῦμα· καίτοι φύσει τυγχάνον ἀνωφερὲς ὡς θερμὸν, διὰ τὸ βιαίως ἐκθλίβεσθαι τῶν νεφῶν πυκνουμένων ἄνωθεν καὶ συστελλομένων καὶ πρὸς τοὐναντίον κάτω ποιουμένων τὴν ἔκκρισιν. Οὕτω γὰρ τινα πάλιν βαρύτερα σώματα καὶ φύσει κατωφερῆ ἄνω φέρεται, οἷον ἐκπηδῶντα, διὰ τὸ κάτωθεν τὴν ἔκθλιψιν γίνεσθαι, ὥσπερ τὰ ἐκπυρηνιζόμενα βλέπομεν, καὶ ὕδατα πολλὰ κάτωθεν ἄνω φερόμενα.

C λήνης ἶρις δηλοῖ· λευκὴ γάρ ἐστι· διότι κἀν τῷ μελαντάτῳ νέφει ἡ ἔμφασις, διότι κἀν νυκτί. Διπλασιαζομένου τοίνυν τοῦ περὶ τὴν ἔμφασιν μέλανος τό τε φοινικοῦν τῆς ἴριδος ταύτης λευκὸν φαίνεται, καὶ τἄλλα χρώματα πρὸς λόγον λευκότερα· διὸ καὶ συγχέονται πάντα πρὸς τὸ λευκόν.

η'. Ἡ μὲν οὖν ἀπὸ τῆς σελήνης ἶρις κατὰ τὸ σπάνιον γίνεται· διότι ὅτε καὶ γίνεται, ἐν μόνῃ τε πανσελήνῳ πέφυκε γίνεσθαι, καὶ τότε ἢ ἀνατελλούσης ἢ δυούσης τῆς σελήνης.

θ'. Ἀπὸ δὲ τοῦ ἡλίου καὶ δύο πολλάκις φαίνονται ἴριδες, ἡ μὲν ἐνδοτέρω, ἡ δ' ἐξωτέρω, καὶ περιέχουσα τὴν ἑτέραν καὶ τμῆμα μείζονος κύκλου τυγχάνουσα· ἣ δὴ καὶ ἀμαυρότερα τὰ χρώματα
D δείκνυσι καὶ κατὰ τὴν θέσιν ἐξ ἐναντίας τῇ πρώτῃ καὶ ἀνάπαλιν κείμενα. Τῆς γὰρ ἐνδοτέρω καὶ πρώτης ἴριδος τὴν πρώτην ἐχούσης καὶ ἀνωτέρω περιφέρειαν φοινικῆν, τὴν δευτέραν πρασίνην, τὴν δὲ τρίτην ἁλουργόν· ἡ ἐξωτάτω καὶ δευτέρα ἶρις τὴν μὲν ἐξωτέρω περιφέρειαν ἔχει ἁλουργὸν, τὴν δευτέραν πρασίνην, τὴν ἐνδοτάτω δὲ φοινικῆν· ὡς πλησίον ἀλλήλων κεῖσθαι καὶ ἀμφοτέρων τῶν ἰρίδων τὰ φοινικᾶ.

ι'. Τινὲς μὲν οὖν φασι τὴν ἶριν ταύτην γίνεσθαι τὴν δευτέραν, ἀνακλωμένης τῆς ὄψεως ἐκ τοῦ ἐξωτέ-

[17] 3 Meteor. c. 4. [18] 3 Meteor. c. 4.

OCR ABK / FR

σου νέφους πρὸς τὴν πρώτην ἶριν, (οὐ) πρὸς τὸν ἥλιον· διά τοι τοῦτο καὶ ἀμαυρότερα τὰ χρώματα φέρειν, ἅτε ἀπὸ δευτέρας γινόμενα ἀνακλάσεως.

ια'-ιδ'. Ἀριστοτέλης δὲ φησι καὶ τὴν δευτέραν ἶριν ἐκ τῆς πρὸς τὸν ἥλιον ἀνακλάσεως γίνεσθαι· τὰ χρώματα δὲ ταύτης ἀμαυρότερα φαίνεσθαι διὰ τὴν ἀτονίαν τῆς ὄψεως. Τὴν γὰρ ἀπὸ τοῦ ἐξωτέρου νέφους ἀνάκλασιν πρὸς τὸν ἥλιον πόῤῥωθεν γινομένην (ποῤῥωτέρω γὰρ τὸ νέφος τοῦτο τῆς ὄψεως ἡμῶν) ἀμαυρότερα ποιεῖν τὰ χρώματα διὰ τὴν μακρὰν ἀπότασιν. Καθάπερ γὰρ τὰ ἐπ' εὐθείας ὁρώμενα πόῤῥωθεν οὐ τρανῶς ἡ ὄψις ὁρᾷ δι' ἀσθένειαν· οὕτω δὴ καὶ τὰ διὰ μακρᾶς ἀνακλάσεως ἀμυδρότερον ταύτην ὁπτάνεσθαι· καὶ τοῦτον μὲν τὸν λόγον ἀμαυρότερα τῆς δευτέρας ἴριδος χρώματα φαίνεσθαι· τὴν δὲ τάξιν ἐνηλλαγμένα τῆς θέσεως διὰ τὴν προτέραν αἰτίαν. Ὡς γὰρ ἐπὶ τῆς πρώτης ἴριδος, ἀφ' ἧς περιφερείας ἡ ὄψις ἰσχυρῶς τῷ ἡλίῳ προσέβαλλε, ταύτης τὸ χρῶμα φοινικοῦν ἑωρᾶτο· ἀφ' ἧς δ' ἀσθενεστέρως, πράσινον· ἀφ' ἧς δ' ἔτι ἀσθενῶς, ἁλουργόν· οὕτω δὴ κἀπὶ τῆς δευτέρας ἴριδος ἔχει. Πλείων μὲν γὰρ ἀπὸ τῆς ἐντὸς περιφερείας ἀνάκλασις καὶ ἰσχυροτέρα γίνεται· τῷ εἶναι ταύτην τὴν περιφέρειαν ἐγγυτέρω τῆς ὄψεως· ὅσαι δ' ἀνακλάσεις ἀπὸ τῶν ἐγγυτέρω τῇ ὄψει μερῶν, ἰσχυρότεραι· διὰ τὸ μὴ πάνυ τὴν ὄψιν ἀποτεινομένην ἐξασθενεῖν, καὶ οὕτω ποιεῖσθαι καὶ τὴν ἀνάκλησιν ὀλίγην τε καὶ ἀνίσχυρον· ἐπεὶ καὶ ἀπὸ τῶν μειζόνων περιφερειῶν τότε γίνονται πλείους ἀνακλάσεις, ὅτε διὰ τὸ μὴ τὰς περιφερείας μακρὰν ἀφεστάναι τοῦ ὄμματος, πᾶσαι αἱ ὄψεις σωζόμεναι καὶ μὴ σκιδνάμεναι, δύνανται ἀπ' αὐτῶν ἀνακλᾶσθαι. Ἡ μὲν οὖν ἐνδοτέρω τῆς δευτέρας ἴριδος περιφέρεια διὰ τοῦτο φοινικὴν δείκνυσι χροιάν. Ἡ δὲ δευτέρα περιφέρεια πρασίνην, ἐπειδὴ τῆς ὄψεως πλέον ἀφίστανται, καὶ αἱ ἀνακλάσεις ἀπ' αὐτῆς ἀδρανέστεραι. Ἔτι δὲ μᾶλλον ἐξωτάτω περιφέρεια, ποῤῥώτερον ἀφεστηκυῖα τῆς ὄψεως, ἁλουργὸν ἐπιφαίνει τὸ χρῶμα διὰ τὸ τῶν ἀνακλάσεων ἀσθενέστατον.

ιε'. Ἀλλὰ τί δήποτε τὸ μεταξὺ τῶν δύο φοινικῶν περιφερειῶν οὐκ ἔστι καὶ αὐτὸ φοινικοῦν; ἐπεὶ δυνατὸν κἀντεῦθεν πολλὴν καὶ ἰσχυρὰν γίνεσθαι τὴν ἀνάκλασιν πρὸς τὸν ἥλιον, διὰ τὸ μὴ πόῤῥω τῆς ὄψεως εἶναι τοῦτο τὸ μέρος, ἢ πάντως εἴπερ ὅλως ἐγίνετο ἀνάκλασις ἐξ αὐτοῦ, φοινικοῦν ἂν ἦν καὶ αὐτό; Νῦν δ' ἀνάκλασις οὐ γίνεται ἐξ αὐτοῦ· διὰ τὸ μηδ' ἀπὸ παντὸς μέρους ἁπλῶς πρὸς ἅπαν σῶμα φῶς ἔχον ἀνάκλασιν γίνεσθαι, ἀλλ' ὡρισμένους εἶναι τοὺς τόπους τῶν ἀνακλάσεων γινομένων κατὰ τὴν πρὸς τὰ κάτοπτρα ποιὰν σχέσιν τοῦ τε πεφυκότος φωτίζειν σώματος καὶ τῆς ὄψεως;

ις'. Δῆλον δ' ἐκ τῶν πρότερον εἰρημένων καὶ διὰ τί οὐκ ἔστι καθάπερ ἡ ἶρις, οὕτω δὴ καὶ ἡ ἅλως ποικίλη τοῖς χρώμασι. Πάντως γὰρ τὸ μὲν φοινικοῦν χρῶμα προσεῖναι τῇ ἴριδι λέλεκται, διὰ τὴν ἐκ τοῦ καθύγρου νέφους καὶ ἤδη ὄντος ὕδατος ἀνάκλασιν τῆς ὄψεως πρὸς τὸν ἥλιον· τὰ δὲ λοιπὰ τῶν χρωμά-

dem, non ad solem, refringitur, et propterea utique languidiores colores gestare, ut qui a secundaria refractione fiant.

11-14. Aristoteles autem inquit, etiam secundam iridem ex refractione ad solem oboriri: hujus autem colores propter visus imbecillitatem languidiores apparere. Refractionem enim quæ ab exteriore nube ad solem fit eminus (quippe nubes hæc a visu nostro longius distat), ob longam extensionem facere, ut colores languidiores appareant. Quemadmodum enim visus ea quæ in recta linea eminus videntur, propter imbecillitatem non videt clare: sic **245** certe etiam, quæ per longam et remotam refractionem videntur, obscurius ipsum spectare; et hac quidem ratione secundæ iridis colores apparere languidiores; mutato autem situs ordine ob priorem causam. Quemadmodum enim in prima iride, a qua circumferentia visus in solem incumbebat valide, hujus color puniceus cernebatur; a qua imbecillius, viridis; a qua adhuc imbecillius, purpurisseus: sic etiam cum secunda iride comparatum est. Major enim validiorque refractio ab interiore circumferentia efficitur; propterea quod hæc circumferentia visui sit propinquior. Quæ autem refractiones sunt a partibus visui propinquioribus, validiores sunt, propterea quod non adeo extentus visus deficiat, atque ita refractionem etiam exiguam et invalidam efficiat; quoniam etiam a majoribus circumferentiis plures tunc refractiones fiunt, quando propterea quod circumferentiæ non longe distant ab oculo, omnes aspectus dum conservantur et non disperguntur, ab ipsis refringi possunt. Interior ergo secundæ iridis circumferentia, puniceum colorem eapropter repræsentat. Secunda **246** autem circumferentia viridem; quandoquidem a visu distantiores et debiliores sunt refractiones illius. Sed adhuc magis extrema circumferentia, quæ longius a visu distat ob summam refractionum debilitatem, cæruleum, seu purpurisseum colorem exhibet.

15. Cæterum qua de causa, id quod inter duas puniceas circumferentias medium intervenit, ipsum etiam puniceum non est? quoniam et hinc multa validaque ad solem refractio fieri potest propterea quod non longe a visu absit pars illa? Anne videlicet siquidem omnino ex eo fieret refractio, ipsummet etiam puniceum foret? Jam autem ex ipso non fit refractio, propterea quod non ab omni parte simpliciter ad omne corpus lumen habens fiat refractio; sed refractionum orientium loca definita sint secundum certam quandam cum corporis quod illuminandi facultate naturali præditum est, tum visus ad specula habitudinem?

16. Liquet autem etiam ex illis quæ antea dicta sunt, qua ex causa sicut iris, non ita etiam halos, hoc est, corona coloribus sit varia. Omnino enim puniceum colorem iridi inesse dictum est, quod ex nube humida et quæ jam **247** aqua est, refractio visus ad solem fiat: cæteros autem colores inesse],

OCR ABK / FR

quod refractionum impressiones infirmæ sint, quia nimirum remotæ et exiguæ. Et in corona refractio fit ab aere, qui secundum naturam candidior est quam aqua; et quia prope fit, impressionem facit fortissime. Quod enim apparet in illa, subter ipsum et circa ipsum specula gestat, non ex adversa regione ipsius.

17. Quapropter corona quidem sæpe etiam perfectus circulus apparet; at iris nunquam major semicirculo, propterea quod neque circa id quod apparet in ipsa, consistat, ut corona; neque supra horizontem seu finitorem circulum plus sit hemisphærio, sub quod hemisphærium nubes constituta est, in qua visus iridem contuetur.

18-19. Quod autem non fiat etiam circa solem concretio ejuscemodi præhumida, qualis etiam est e regione illius; solis calor causa est. Nam aut in aquam illico transire facit nubem aut dissolvit et attenuat et disgregat concretionem, nisi crassiorem esse contingerit. Cum autem sol ex adverso et procul a concretione nubis existat; interim dum aqua fiat, mora etiam quædam et tempus intervenit; ut sint aliquæ nubis **248** particulæ jam in aquam mutatæ prorsus, quæ tamen nondum stillæ sint; in quibus aqueis nubis particulis, quasi in speculis, iris cernitur; alias quidem semicirculus, alias minor semicirculo, nunquam major. Et semicirculus quidem cum sol in horizonte fuerit; minor autem semicirculo, quando sol supra horizontem fuerit [19]. Nam centrum solaris corporis, et centrum horizontis in quo visus est, et centrum circuli iridis, hujusque polus in una recta sunt: estque recta, diameter cœlestis sphæræ, quoniam per centrum horizontis [transit] qui maximus est circulus. Quantum igitur sol supra horizontem est, tantum polus circuli iridis infra horizontem. Et quoniam oriente aut occidente sole dimidium circuli iridis supra horizontem apparet, reliquum autem est inconspicuum, ut quod infra terram intelligatur: liquet quod sole supra horizontem existente segmentum circuli iridis apparens sit minus futurum, majus autem quod non apparet. Atque hæc ita semper habebunt pro ratione solis ab horizonte distantiæ. Cum autem circa merum meridiem sol fuerit, æstate quidem ne minimum quidem iridis segmentum **249** apparet; at diebus brevioribus, sive hyeme fieri potest, ut sole etiam circa meridiem exsistente, segmentum aliquod iridis appareat. Quoniam enim centrum et polus iridis in horizontis sunt diametro, cum æstivos ortus sol fecerit, septentrionalis maxime exsistens; tum iris in partibus australibus velut ad occasus hibernos consistet: at velut ad ortus hibernos [iris erit], cum sol occasus æstivos subit. Cum autem per ortus hibernos sol oritur australissimus exsistens; tunc iris in partibus septentrionalioribus apparuerit, ut ad occasus æstivos, ut ad ortus autem æstivos cum sol occasus hibernos fecerit. Quæ cum ita sese ha-

[19] 3 Meteor, c. 4, Scal. Exerc. 80. 1, 10.

A των διὰ τὴν ἀσθενῆ τῶν ἀνακλάσεων προσβολὴν, ὅτι πόῤῥωθεν καὶ ὅτι ὀλίγαι. Ἐπὶ δὲ τῆς ἅλω ἡ ἀνάκλασις ἀπὸ ἀέρος τε γίνεται, ὅς ἐστι τοῦ ὕδατος κατὰ φύσιν λευκότερος, καὶ ἐγγύθεν γινομένη προσβάλλει ἐῤῥωμενέστατα. Καὶ γὰρ τὸ ἐμφαινόμενον, ὑφ' ἑαυτὸ φέρει τὰ κάτοπτρα καὶ περὶ αὐτὸ, οὐ μὴν ἐξ ἐναντίας αὐτοῦ.

ιζ'. Διὸ ἡ μὲν ἅλως φαίνεται πολλάκις καὶ κύκλος ὁλόκληρος· ἡ δ' ἶρις οὐδὲ μείζων ἡμικυκλίου ποτὲ, διὰ τὸ μήτε πέριξ τοῦ ἐμφαινομένου συνίστασθαι καθάπερ ἡ ἅλως, μήτ' αὖ ὑπὲρ τὸν ὁρίζοντα πλέον εἶναι τοῦ ἡμισφαιρίου, ὑφ' ὃ ἡμισφαίριον ὑποτέτακται τὸ νέφος, ἐν ᾧ ἡ ὄψις τὴν ἶριν φαντάζεται.

ιη'-ιθ'. Τοῦ δὲ μὴ γίνεσθαι καὶ περὶ τὸν ἥλιον τοιαύτην κάθυγρον σύστασιν ὁποίαν καὶ ἀπεναντίας αὐτοῦ, αἴτιον ἡ τοῦ ἡλίου θερμότης. Ἢ γὰρ B ταχέως εἰς ὕδωρ μεταβάλλειν ποιεῖ τὸ νέφος, ἢ διαλύει καὶ λεπτύνει καὶ διακρίνει τὴν σύστασιν, εἰ μὴ παχυτέρα ἔτυχεν οὖσα. Ἐξ ἐναντίας δὲ καὶ πόῤῥω τῆς τοῦ νέφους συστάσεως τοῦ ἡλίου τυγχάνοντος, ἐν ὅσῳ γίνεται τὸ ὕδωρ, γίνεται καί τις διατριβὴ ἢ χρόνος, ὡς εἶναί τινα μόρια τοῦ νέφους, ἤδη μὲν εἰς ὕδωρ μεταβεβληκότα ὅλως, οὐ μὴν δὲ καὶ ψεκάδας ὄντα· ἐφ' ὧν ὑδατηρῶν τοῦ νέφους μορίων ὥσπερ ἐπὶ κατόπτρων ἡ ἶρις ὁρᾶται, ποτὲ μὲν ἡμίκυκλος, ποτὲ δ' ἐλάττων ἡμικύκλου, μείζων δ' οὐδέποτε. Καὶ ἡμίκυκλος μὲν ὅταν ἐπὶ τοῦ ὁρίζοντος ὁ ἥλιος εἴη· ἐλάττων δ' ἡμικύκλου, ὅταν καὶ ὁ ἥλιος ὑπὲρ τὸν ὁρίζοντα. Τὸ γὰρ κέντρον τοῦ ἡλιακοῦ σώματος καὶ τὸ τοῦ ὁρίζοντος κέντρον ἐφ' C οὗ ἡ ὄψις, καὶ τὸ κέντρον τοῦ τῆς ἴριδος κύκλου, καὶ ὁ τούτου πόλος ἐπὶ μιᾶς εἰσιν εὐθείας· καὶ ἡ εὐθεῖα διάμετρος τῆς οὐρανίου σφαίρας, ἐπεὶ διὰ τοῦ κέντρου τοῦ ὁρίζοντος, ὅς ἐστι μέγιστος κύκλος. Ὅσον οὖν ὁ ἥλιος ὑπὲρ τὸν ὁρίζοντα, τοσοῦτον ὁ πόλος τοῦ κύκλου τῆς ἴριδος ὑπὸ τὸν ὁρίζοντα. Καὶ εἴπερ ἀνατέλλοντος ἢ δυομένου τοῦ ἡλίου, τὸ μὲν ἥμισυ τοῦ τῆς ἴριδος κύκλου φαίνεται ὑπὲρ γῆν, τὸ λοιπὸν δ' ἐστὶν ἀφανὲς νοούμενον ὑπὸ γῆν· δῆλον ὡς ὑπὲρ τὸν ὁρίζοντα τοῦ ἡλίου τυγχάνοντος, ἔλαττον μὲν τμῆμα κύκλου τὸ φαινόμενον ἔσται τῆς ἴριδος, πλεῖον δὲ τὸ ἀφανές. Καὶ ταῦτ' ἀεὶ οὕτως ἔχον εἴη ἂν πρὸς λόγον τῆς τοῦ ἡλίου ἐκ τοῦ ὁρίζοντος ἀποστάσεως. Ὅταν δὲ περὶ ἀτρεκῆ μεσημβρίαν ὁ ἥλιος γένηται, θέρους μὲν οὐδὲ πολλοστὸν D φαίνεται τμῆμα τῆς ἴριδος· ἐν δὲ ταῖς βραχυτέραις ἡμέραις εἴτουν χειμῶνος δυνατὸν καὶ περὶ μεσημβρίαν ὄντος τοῦ ἡλίου φανῆναί τι τμῆμα τῆς ἴριδος. Ἐπεὶ γὰρ τὸ κέντρον καὶ ὁ πόλος τῆς ἴριδος ἐπὶ τῆς τοῦ ὁρίζοντος διαμέτρου εἰσὶν, ὅταν μὲν θερινὰς ἐπιτολὰς ὁ ἥλιος ποιῆται βορειότατος ὢν, τότε ἡ ἶρις ἐν τοῖς νοτιωτέροις μέρεσιν ὡς πρὸς δυσμὰς χειμερινὰς συνίσταιτ' ἄν· ὡς πρὸς ἀνατολὰς δὲ χειμερινὰς, ὅταν καταδύσεις ὁ ἥλιος καταδύηται θερινάς· ὅταν δ' ἐπιτέλλῃ χειμερινὰς ἐπιτολὰς ὁ ἥλιος νοτιώτατος ὢν, τότε ἡ ἶρις ἐν τοῖς βορειοτέροις φαίνοιτ' ἂν μέρεσιν ὡς πρὸς δυσμὰς θερινάς·

OCR ABK / FR

ὡς πρὸς ἀνατολὰς δὲ θερινάς, ὅταν ὁ ἥλιος ποιῆται καταδύσεις χειμερινάς. Τούτων οὕτως ἐχόντων, ἐπεὶ τὰ βορειότερα διὰ τὴν ἔξαρσιν τοῦ πόλου μείζω τμήματα κύκλων ἔχει τὰ ὑπὲρ γῆν, καθ' ὧν ὁ ἥλιος θέρους φερόμενος τὰς μικρὰς ἡμέρας ἀποτελεῖ· τὰ δὲ νοτιώτατα μέρη ἀνάπαλιν ἐλάχιστα τμήματα κύκλων ἔχει τὰ ὑπὲρ γῆν, καθ' ὧν ὁ ἥλιος χειμῶνος φερόμενος τὰς βραχείας ἡμέρας ποιεῖ· διὰ ταῦτα ἡ ἶρις χειμῶνος μὲν δύναται φαίνεσθαι καὶ κατ' αὐτὸ τὸ τῆς ἡμέρας μεσαίτατον. Πολὺ γὰρ ἡ θερινὴ δυσμὴ καὶ ἀνατολὴ τῆς χειμερινῆς μεσημβρίας ἀφίστανται. Καὶ διὰ τοῦτο κἂν τῷ μέσῳ τῆς χειμερινῆς ἡμέρας ἔχει τόπον ἡ ἶρις ὑπὲρ γῆν ἐν ᾧ συσταίη ἄν. Θέρους δὲ τῆς ἡμέρας μεσούσης οὐ δύναται φανῆναι διὰ τὸ μὴ ἔχειν ὑπὲρ γῆν τόπον συστάσεως. Καὶ γὰρ ἡ χειμερινὴ δυσμὴ καὶ ἀνατολὴ τῆς θερινῆς μεσημβρίας ὀλίγον ἀφίστανται, ὅθεν καὶ ὑπὸ τὸν ὁρίζοντα νοεῖται τότε σύμπας ὁ κύκλος τῆς ἴριδος.

A beant, cum partes septentrionaliores propter poli elevationem majora circulorum segmenta habeant, per quæ dum sol æstate movetur, dies longos efficit; australissimæ autem partes vicissim minima segmenta circulorum supra terram habeant, per quæ dum sol hieme movetur, dies breves efficit: eapropter hieme quidem iris in summo etiam meridie apparere potest. Multum enim æstivus occasus et ortus ab hiberno absunt meridie. Ac eapropter etiam in medio diei hiberni **250** supra terram iris locum habet, in quo consistat: æstate autem circa medium diem apparere non potest, quod locum consistendi supra terram non habeat. Hibernus enim occasus et ortus ab æstivo meridie parum absunt. Unde etiam infra horizontem universus iridis circulus intelligitur.

—

## SYNOPSIS CAPITIS XXIII.

### QUOD EST DE VIRGIS SEU BACILLIS, PARHELIIS, HOC EST GEMINATIS VEL ADULTERINIS SOLIBUS AC INSUPER ETIAM DE METALLICIS IN TERRA, ET FOSSILIBUS.

*1. Quomodo virgæ generentur, et cur ita vocentur. — 2. Quomodo parhelii, hoc est, geminati, vel (ut alii vocant) adulterini soles fiant. — 3. Et virgæ et parhelii ex obliquitatibus seu ad latera solis fiunt, in mediocri tamen distantia. — 4. Parhelii et virgæ fiunt ut plurimum sole oriente vel occidente, rara culminante. — 5. Parhelii et virgæ sunt aquæ seu pluviarum signa, magis tamen parhelii. — 6. Concludit disputationem de meteoris a causis eorum repetitis; quorum materialis quidem causa est vel vapida vel fumida exhalatio in aerem evecta; atque ita ad secundam partem capitis sibi viam sternit transitque. — Exhaltatio enim vapida et fulmida intra* **251** *terram conclusa, nec adhuc secreta, sed concrescens et densescens, metalicorum et fossilium est causa materialis. — 8. Fossilium materia est fumida exhalatio quorum etiam exempla subjicit. — 9. Metallicorum materia est vapida exhalatio quæ etiam dividit in ea quæ funduntur, et in ea quæ ducuntur; horumque alia uri et rubiginescere ait, alia minime, ut aurum, de cujus natura aliquanto plura subjicit.*

—

## ΚΕΦΑΛ. ΚΓ'.

### Περὶ ῥάβδων καὶ παρηλίων, ἔτι δὲ καὶ τῶν ἐν τῇ γῇ μεταλλευτῶν καὶ ὀρυκτῶν.

α'. Ὅταν ἐκ πλαγίων τοῦ ἡλίου γένηταί τι νέφος, τὴν σύστασιν ἔχον ἀνώμαλον, ὡς εἶναι κατὰ μέν τι μέρος πυκνόν, κατὰ δέ τι μανόν, καὶ κατά τι μὲν ὑδατωδέστερον, κατά τι ἀερωδέστερον· τότε πρὸς τὸν ἥλιον ἐκ τοῦ τοιούτου νέφους γινομένης τῆς ἀνακλάσεως, διὰ μὲν τὴν σμικρότητα τῶν κατόπτρων οὐχ ὁρᾶται τὸ σχῆμα τὸ ἡλιακόν· τὸ δὲ τοῦ ἡλίου χρῶμα ἐμφαίνεται κατά τι μὲν μέρος τοῦ νέφους φοινικοῦν, κατά τι δὲ πράσινον ἢ ξανθὸν διὰ τὴν ἀνωμαλίαν τοῦ νέφους καὶ τὴν τῶν κατόπτρων ἀνομοιότητα.

β'. Καλοῦσι δὲ ῥάβδους τὰς τοιαύτας ἐμφάσεις, ὅτι κατ' εὐθείας ὁρῶνταί τινας. Ὅταν δὲ τοῦ νέφους ἡ σύστασις ὁμοίως ὑπάρχῃ πυκνὴ καὶ ὡς ὅτι μάλιστα ὁμαλής, τότε διὰ τὴν ὁμοιότητα τῶν κατόπτρων καὶ τὴν ὁμαλότητα τῆς συστάσεως φαντασία γίνεται χρώματος ἑνὸς συνεχοῦς, ἀλλὰ δὴ καὶ λαμπροῦ καὶ λευκοῦ. Διὰ γὰρ τὴν πυκνότητα καὶ ὁμαλότητα τῆς συστάσεως, ἅμα τε πρὸς αὐτὴν τῶν ὄψεων πιπτουσῶν, καὶ ἅμα πρὸς τὸν ἥλιον ἀνακλωμένων, τὸ τοῦ ἡλίου χρῶμα ἐμφαίνεται καθαρόν· ὥσπερ καὶ ἀπὸ χαλκοῦ λείου τῆς ὄψεως ἀθρόον

[20] 3 Meteor. c. 6.

B

## CAPUT XXIII.

### *De virgis et parheliis, insuper de metallicis in terra et fossilibus.*

1. Cum ex obliquitatibus solis fuerit aliqua [20] nubes, concretionem habens inæquabilem, ut sit aliqua quidem ex parte densa, ex aliqua autem rara, et aliqua ex parte aquosior, ex aliqua autem magis aerea, tunc quando ex ejuscemodi nube ad solem fit refractio, ob exiguitatem quidem speculorum non cernitur figura solaris, sed color solis inibi in aliqua quidem parte, nubis puniceus, in aliqua autem viridis vel flavus, propter nubis inæquabilitatem et speculorum dissimilitudinem apparet.

2. Cæterum ejuscemodi apparitiones, virgas vo- C cant, quod secundum rectas aliquas lineas spectentur. Cum autem nubis concretio similiter densa et quam maxime æquabilis fuerit, tum propter speculorum similitudinem et concretionis æquabilitatem, **252** unius alicujus continui coloris species efficitur, et splendidi quidem albique. Nam propter concretionis densitatem et æquabilitatem, dum simul et aspectus in eam incidunt, et simul ad solem refringuntur, color solis purus in ea apparet; quemadmodum etiam cum ab ære lævigato

OCR ABK / FR

visus confertim refringitur, verus ejus quod cernitur color propter confertam refractionem apparet; quæ fit in aere propter compositionis densitatem et æquabilitatem.

3. Ex obliquitatibus autem solis et virgæ fiunt et parhelii, ad partes videlicet solis septentrionaliores et australiores. Mediocri enim distantia opus est, qua ejusmodi concretiones a sole distent. Si enim admodum proxime solem fuerint, dissolventur ab eo; sin autem longissime abfuerint, refractionem non servabunt. Cum enim ab exigua concretione ut a parvo speculo refractio visus longe extenditur, tunc utique deficit. Mediocrem igitur distantiam de qua dictum est, in solis obliquitatibus eamdem semper manentem invenire licet: quod neque sol per motum quotidianum ad has partes B accedat, neque vicissim recedat ab aliis.

4. Præterea eodem sole ad ortus aut **253** occasus existente contingit maxime et parhelios et virgas fieri. Nam ut plurimum cum in medio cœlo constitutus est, concretiones ejuscemodi dissolvit et discernit.

5. Porro aquæ signa [indices] sunt et parhelii et virgæ, et magis quidem parhelii quam virgæ. Concretio enim quæ æquabilis et similiter densa est, certius indicat, quod aer ad transmutationem et aquæ generationem apte et accommodate se habeat.

6. Horum autem omnium hoc est, parheliorum, virgarum, iridis, halonis [coronæ] et aliorum ejus generis, C efficiens causa refractio dicitur. Et rursus horum ipsorum roris et pruinæ, pluviæ item et nivis et grandinis, et similium, causa materialis est vapida exhalatio; sicut vicissim aliorum fumida. Qualia igitur duplicis exhalationis jam sublatæ sint opera, in superioribus declaratum est.

79. At nondum elevatæ ejuscemodi exhalationis, neque secretæ a terra, sed infra terram inclusæ, et terræ partibus permistæ, et ita concrescentis spissescentisque, duæ corporum species efficiuntur, quorum alia metallica, alia fossilia sunt. Et quæ quidem [21] fossilia sunt, fumidæ exhalationis effecta sunt; ut **254** lapidum genera, quæ prorsus non liquantur, et sulphur, et arsenicum, et siquid simile. Quæ autem sunt metallica, ea D vapor absolvit. Hæc autem sunt aut fusilia, aut ductilia, ut ferrum, æs, aurum et similia; quorum alia uruntur et rubiginem contrahunt, ut ferrum et æs, propterea quod etiam fumidam exhalationem participent, et essentiam magis terrestrem sortita sint. Aurum autem neque uri, neque rubiginescere aiunt, ut quod ex vapore puro in unum coacto et compresso constet, et essentiam magis aqueam acceperit; et eapropter scilicet etiam gravissimum esse. Gravitas enim aut propter terream, aut aqueam

A ἀνακλωμένης, τὸ ἀληθινὸν τοῦ ὁρωμένου χρῶμα ἐμφαίνεται διὰ τὴν ἀθρόαν ἀνάκλασιν, ἥτις γίνεται κἀν τῷ χαλκῷ διὰ τὴν πυκνότητα καὶ ὁμαλότητα τῆς συστάσεως.

γ'. Ἐκ πλαγίων δὲ τοῦ ἡλίου καὶ αἱ ῥάβδοι οἱ παρήλιοι γίνονται, πρὸς τὰ βορειότερα δηλονότι μέρη τοῦ ἡλίου καὶ τὰ νοτιώτερα. Δεῖ γὰρ συμμέτρου τινὸς διαστάσεως ᾗ ἂν αἱ τοιαῦται συστάσεις ἐκ τοῦ ἡλίου διίσταιντο. Μᾶλλον μὲν γὰρ ἔγγιστα τοῦ ἡλίου διαλυθήσονται ὑπ' αὐτοῦ· ποῤῥώτατα δὲ πάλιν οὐ σώσουσι τὴν ἀνάκλασιν. Ἀπὸ γὰρ ὀλίγης συστάσεως ὡς ἀπ' ἐνόπτρου μικροῦ πόῤῥω ἡ ἀνάκλασις τῆς ὄψεως ἀποτεινομένη ἐξασθενεῖ. Τὴν οὖν εἰρημένην σύμμετρον διάστασιν ἐν τοῖς τοῦ ἡλίου πλαγίοις ἔστιν εὑρεῖν μένουσαν ἀεὶ τὴν αὐτὴν, διὰ τὸ B μήτε προσιέναι τὸν ἥλιον τούτοις τοῖς μέρεσι διὰ τῆς καθ' ἡμέραν κινήσεως, μήτ' αὖ ἀποχωρεῖν ἐξ αὐτῶν.

δ'. Ἔτι δὲ πρὸς ἀνατολαῖς ἢ δυσμαῖς ὄντος τοῦ ἡλίου συμβαίνει μάλιστα γίνεσθαι τοὺς παρηλίους τε καὶ τὰς ῥάβδους· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ διαλύει· διακρίνει τὰς τοιαύτας συστάσεις μεσουρανῶν.

ε. Ὕδατος δὲ σημεῖα καὶ οἱ παρήλιοι καὶ αἱ ῥάβδοι τυγχάνουσι, καὶ τῶν ῥάβδων μάλιστα οἱ παρήλιοι. Μᾶλλον γὰρ ἡ ὁμαλὴς καὶ ὁμοίως οὖσα πυκνὴ σύστασις ἐπιτηδείως ἔχειν τὸν ἀέρα δηλοῖ πρὸς μεταβολήν τε καὶ γένεσιν ὕδατος.

ς'. Παντων σε των τοιούτων, ἤγουν παρηλίων, ῥάβδων, ἴριδος, ἅλω, καὶ τῶν παραπλησίων αἴτιον C ποιητικὸν ἡ ἀνάκλασις λέγεται, καὶ τούτων αὐτῶν πάλιν αἴτιον ὑλικὸν δρόσου καὶ πάχνης, ὄμβρου τε καὶ χιόνος καὶ χαλάζης καὶ τῶν ὁμοίων ἡ ἀτμιδώδης ἀναθυμίασις, ὥσπερ αὖ ἑτέρων ἡ καπνώδης. Ὁποῖα μὲν οὖν τὰ ἔργα τῆς διττῆς ἀναθυμιάσεως ἤδη ἀνενεχθείσης, ὁ λόγος φθάσας ἐδήλωσε.

ζ'-θ'. Μήπω δ' ἀνενεχθείσης τῆς τοιαύτης ἀναθυμιάσεως μηδὲ διακριθείσης ἀπὸ τῆς γῆς, ἀλλ' ὑπὸ γῆν ἐγκατακεκλεισμένης καὶ συμπεφυρμένης τοῖς μορίοις τῆς γῆς, καὶ οὕτω συνισταμένης καὶ πηγνυμένης, δύο εἴδη σωμάτων ἀποτελοῦνται· ὧν τὰ μὲν μεταλλευτὰ, τὰ δ' ὀρυκτά. Καὶ ὅσα μὲν ὀρυκτὰ, τῆς καπνώδους ἀναθυμιάσεως ἐκτελέσματα· οἷον λίθων γένη τὰ μηδόλως τηκόμενα, καὶ τὸ θεῖον, D καὶ τὸ ἀῤῥενικὸν. καὶ εἴ τι τοιοῦτον. Ὅσα δὲ μεταλλευτὰ, ἡ ἀτμὶς τελεσιουργεῖ. Ταῦτα δὲ ἢ χυτά ἐστιν, ἢ ἐλατὰ, οἷον σίδηρος, χαλκὸς, χρυσὸς καὶ τὰ ὅμοια· ὧν τὰ μὲν καίεται καὶ ἰοῦται, καθάπερ ὁ σίδηρος καὶ χαλκὸς, διὰ τὸ καὶ καπνώδους ἀναθυμιάσεως μετασχεῖν, καὶ τὴν οὐσίαν γεωδεστέραν λαχεῖν· τὸν δὲ χρυσὸν μήτε καίεσθαι μήτε ἰοῦσθαί φασιν, ὡς ἐξ ἀτμίδος καθαρᾶς εἰς ἓν συναχθείσης καὶ πιληθείσης γενόμενον καὶ τὴν οὐσίαν ὑδατωδεστέραν κτησάμενον· διὰ ταῦτά τοι καὶ βαρύτατον εἶναι. Τὸ γὰρ βάρος ἢ διὰ τὸ γεῶδες ἢ διὰ τὸ ὑδα-

[21] 3 Meteor. c. 6; Scal. Exerc. 102.

OCR ABK / FR

τῶδες τοῖς σώμασι πρόσεστι· ὥσπερ αὖ ἡ κουφότης ἢ διὰ τὸ πυρῶδες, ἢ διὰ τὸ αἐρῶδες. Εἰ τοίνυν ὁ χρυσὸς ὑδατωδεστέραν ἔσχηκε τὴν οὐσίαν, καὶ τῆς καπνώδους, εἴτουν πυρώδους ἀναθυμιάσεως ἀνεφίκτον, εἰκότως ἐστὶ καὶ βαρύτατος.

A naturam inest corporibus: quemadmodum contra levitas aut propter igneam, aut propter aeream naturam inest corporibus. Quod si igitur aurum magis aqueam habet essentiam, et cum fumida sive ignea exhalatione impermistam, est etiam merito gravissimum.

---

## SYNOPSIS CAPITIS XXIV.

### DE COELO, QUOD MUNDUS NON SIT ÆTERNUS.

**255** 1. *Etymologia τοῦ οὐρανοῦ, id est, cœli, ejusdemque etymologia descriptio proponitur.* — 2. *Proprie dictum cœlum, primum nimirum et astris carens, creaturas cum sensibiles tum intelligibiles comprehendit excepto Deo, de quo pie philosophatur.* — 3. *Hoc cœlum pauci philosophi propterea quod invisibile est, cognoverunt, sed firmamentum pro primo cœlo habuerunt, et itidem reliquas planetarum sphæras cœlos nominarunt, et denique universum corpus æthereum a firmamento ad lunam usque propter eamdem naturam cœlum unum nuncupaverunt.* — 4. *Idem hoc corpus ætherium Aristotelici et quintum corpus sive quintam essentiam appellarunt, et diversæ naturæ a quatuor elementis statuerunt. Platonici autem ex sincerissimis et purissimis elementis, prædominante tamen igne, ipsum quoque constare censuerunt.* — 5. *Stelliferum cœlum, hoc est, firmamentum, quia motu proprio tardissime movetur (de quo tamen ipso non convenerunt omnes ex veteribus per omnia, multi philosophi pro inerrante seu immobili sphæra habuerunt.* — 6. *Sententiam Platonis membro quarto expositam confirmat, et cœlum ex quatuor elementis constare probat, ex eo quod videri et tangi possit.* — 7. *Occupatio, qua docet corpus cœleste etsi est compositum, simplex tamen esse, si cum iis quæ magis sunt composita comferatur: quomodo etiam elementa hæc nostratia dicuntur corpora* **256** *simplicia, si comparentur illis quæ ex ipsis sunt composita.* — 8. *Probat etiam primum cœlum quod stellarum est expers (intelligit autem primum mobile) esse compositum, ac inde infert multo magis secundum cœlum, firmamentum scilicet esse compositum ubi etiam indicat se de compositione meliore loqui.* — 9. *Occupatio, qua monstrat, etsi cœlum est compsitum, motu tamen moveri simplici, ignis nimirum in ipso prædominantis, cujus motum confirmat circularem esse.* — 10. *Alia occupatio qua ostendit in genere, motum rectilineum tum modo elementis competere cum generantur et extra suum locum sunt, quippe quæ, cum in suis locis sunt, aut immota consistant, aut circulariter moveantur.* — 11. *Recenset elementa quæ immota consistunt, et quæ moventur circulariter.* — 12. *In specie probat de terra, quod secundum naturam et in medio, sit et ibidem immota subsistat.* — 13. *Aquam et aerem stagnantem propter cognationem cum terra itidem motu vacare pronuntiat.* — 14. *Ignem circulariter moveri ostendit, quia natura movetur ad circumferentiam sphæræ, quæ rotunda est.* — 15. *Aerem puriorem cum igne circulariter moveri declarat.* — 16. *Conclusionem specialem instituit, superiora partim repetens, partim inde nova πορίσματα inferens.* — 17. *Cœlum et terram inter se contendit invicem, et intermediis eadem creaturis devinciri, totumque mundum ita continuari invicem ostendit.* — 18. **257** *Confirmat aliquot rationibus cœlum adeoque totum hoc universum rotunda figura esse præditum.* — 19. *Septem affectiones cujusque corporis quæ sunt, infra, supra, dextrum, sinistrum, ante, post, medium, quomodo in cœlo se habeant, explicat.* — 20. *Peripateticorum pro cœli adeoque totius mundi æternitate ratiocinationem proponit.* — 21. *Platonis sententiam et responsionem ad argumentationem Peripateticorum subjicit, ubi de æternitate et tempore et utriusque partibus pulchre disserit.* — 22. *Aliud Peripateticorum argumentum pro æternitate mundi proponit, et ad id respondet, ubi de creatione mundi et destructionis modo memorabiliter loquitur.* — 23. *Philosophica argumentatione confirmat, mundum etiam naturali ratione esse corruptioni obnoxium, et proinde etiam ortum esse, contra mundi æternitatem ab Aristotele traditam, et ejus sectatoribus aliquibus defensam.* — 24. *Tertiam objectionem Peripateticorum proponit ab absurdo, et responsionem ad eam subjicit duplicem; unam per instantiam inferendo absurdum eadem ratione consequentiæ, alteram per distinctionem potentiæ quæ supra, p. 46, copiosius explicata fuit.* — 25. *Explicat quomodo creator et creaturæ simul sint, quomodo non sint simul, et quare creatori creaturæ actu coæternæ esse non possint, ubi etiam de discrimine creationis et generationis, itemque creaturæ et geniminis Dei admodum* **258** *theologice disserit.* — 26. *Sub finem capitis in quo etiam de cœlo egit, de aquis supra firmamentum, qua vi contineantur ibi, et quale sint, et quos usus habeant, non vulgariter disputat.*

---

## ΚΕΦΑΛ. ΚΔ'.

### Περὶ οὐρανοῦ, καὶ ὅτι οὐκ ἔστιν ὁ κόσμος ἀΐδιος.

α'. Τὸν οὐρανὸν ὅρον ἄνω εἶναι καὶ ἡ ἀνάπτυξις δηλοῖ τοῦ ὀνόματος. Περιορισμὸς γάρ ἐστιν εἰς τὸ ἄνω καὶ κατὰ τὸ ἄνω, κατὰ πᾶν μέρος τοῦ παντὸς κόσμου ἔχων τὸ ἀνωτάτω. Καὶ αὐτὸ γὰρ τὸ δοκοῦν τοῖς πολλοῖς ὑποκάτω καὶ ὑπὸ γῆν ἡμισφαίριον ὑπεράνω κατ' ἀλήθειαν τυγχάνει καὶ ὑπὲρ γῆν. Τὸ γὰρ ἐκνὸς τῆς γῆς ὁπωσοῦν ἄνω ἐστίν· ἐπείπερ ἡ γῆ καὶ τὰ ἐν αὐτῇ σώματα καὶ περὶ αὐτὴν τὸν κάτω χῶρον εἴτουν τὸν μέσον κεκλήρωνται.

B

## CAPUT XXIV.

### *De cœlo et quod mundus non sit æternus.*

1. Οὐρανὸν (quem Latini cœlum a cælatura, vel cœlum a cavitate vocant), esse ὅρον ἄνω, id est, terminum supra [22], etiam nominis explicatio declarat. Est enim [23] circum circa determinatio [quædam] ad id quod supra, et secundum id quod supra est, ex omni parte totius mundi supremum obtinens. Nam et illud hemisphærium quod vulgo deorsum videtur et infra terram est, revera sursum exsistit et supra terram. Quod enim quoquo-

[22] 1, De cœlo. [23] Damas. l. 2, c. 6.

OCR ABK / FR

modo extra terram est, sursum est : quandoquidem terra et corpora quæ in ipsa et circa ipsam sunt, inferum, hoc est, medium locum sortita sunt.

2. Quapropter proprie dictum cœlum, primum A et stellis carens, omnium creaturarum, tum earum quæ sensu, tum quæ intellectu percipiuntur, comprehensio est. Omne enim quod quomodocunque corpus est, intra ipsum includitur. Et ipsæ mentes, corporatæ quodammodo et materiatæ sunt, tametsi corporis et **259** materiæ expertes dicuntur, si cum sensibilibus corporibus et materia elementari conferantur. Quapropter et hæ cœlo comprehenduntur. Solum autem divinum numen nullatenus determinatum est, quia etiam partium expers, quia etiam a se perfectum, quia etiam infinitum est. Quapropter etiam nusquam est, et ubique est, et supra universum est. Quoad enim [24] partium expers et omnino ab omni corpore et omni materia exemptum est, nusquam est. Quoad autem B ipsum per seipsum perfectum et plenissimum est, ubique est replens omnia. Quoad autem infinitum est, supra universum est, et omnia comprehendit, et omnia circumquaque terminat, nec quidquam omnium extra ipsius potestatem est.

κ'. Τοίνυν ὁ κυρίως οὐρανὸς ὁ πρῶτος καὶ ἄναστρος περιοχή ἐστιν ἁπάσης κτίσεως αἰσθητῆς τε καὶ νοητῆς. Πᾶν γὰρ ὁπωσδήποτε σῶμα ἐντὸς αὐτοῦ περικλείεται. Καὶ αὐτοὶ δ' οἱ νόες ἐνσώματοί πως καὶ ἔνυλοι, κἂν ἀσώματοι καὶ ἄϋλοι λέγωνται πρὸς τὰ αἰσθητὰ σώματα καὶ τὴν στοιχειακὴν ὕλην παραβαλλόμενοι. Διὸ καὶ οὗτοι τῷ οὐρανῷ περιέχονται· μόνον δὲ τὸ Θεῖον ἀπεριόριστον, ὅτι καὶ ἀμερὲς, ὅτι καὶ αὐτοτέλειον, ὅτι καὶ ἄπειρον. Διὸ καὶ οὐδαμοῦ ἐστι καὶ πανταχοῦ ἐστι καὶ ὑπὲρ τὸ πᾶν ἐστιν· ὡς μὲν γὰρ ἀμερὲς, καὶ πάντῃ παντὸς σώματος καὶ πάσης ὕλης ὑπερεξῃρημένον, οὐδαμοῦ ἐστιν· ὡς δ' αὐτὸ καθ' αὑτὸ τέλειον καὶ πληρέστατον, πανταχοῦ ἐστι, τὰ πάντα πληροῦν· ὡς δὲ καὶ ἄπειρον, ὑπὲρ τὸ πᾶν ἐστι, καὶ πάντα περιέχει, καὶ πάντα περιορίζει, καὶ οὐδὲν τῶν ἁπάντων ἐκτός ἐστι τῆς αὐτοῦ δυνάμεως.

3. Primum igitur et proprie dictum cœlum, sive sphæram stellis carentem et revera inerrantem, pauci quidam ex philosophantibus cognoverunt : propterea quod ipsum sit invisibile. Plures primum cœlum agnoverunt firmamentum : ab ipso autem planetarum sphæras, cœlos nominant. In universum vero omne ætherium corpus quod ab exteriore et convexa firmamenti superficie usque ad cavitatem **260** et extremitatem sphæræ lunaris penetrat, unum cœlum [statuunt], ut quod ejusdem naturæ sit.

γ'. Τὸν μὲν οὖν πρῶτον καὶ κυρίως οὐρανὸν, ἤτοι τὴν ἄναστρον σφαῖραν καὶ ἀπλανῆ κατ' ἀλήθειαν, ὀλίγοι τινὲς τῶν φιλοσοφησάντων ἐγνώρισαν, διὰ τὸ ἀόρατον ὑπάρχειν αὐτόν· οἱ πλείους δὲ πρῶτον οὐρανὸν οἴδασι τὸ στερέωμα· μετ' αὐτὸ δὲ τὰς τῶν πλανήτων σφαίρας οὐρανούς ὀνομάζουσιν. Ὁλοτελῶς δὲ τὸ αἰθέριον ἅπαν σῶμα τὸ διῆκον ἀπὸ τῆς ἔξω καὶ κυρτῆς ἐπιφανείας τοῦ στερεώματος μέχρι τοῦ κοίλου καὶ τελευταίου τῆς σεληνιακῆς σφαίρας οὐρανὸς εἶναι λογίζονται, ὡς τῆς αὐτῆς φύσεως ὄν.

4. Hoc sane [25] etiam quintum corpus dicunt Aristotelici, diversum videlicet a quatuor illis, igni, aere, aqua, terra. Platonici autem etiam C ipsum firmamentum, hoc est, illam ipsam sphæram quæ multitudinem stellarum comprehendit, ex elementaribus extremitatibus constare aiunt, propterea quod videri et tangi possit. Et quidem quod videri possit, ab igne ; quod tangi queat, a terra esse. Quod si autem firmamentum participat quodammodo ignem et terram, participat quoque aerem et aquam, ut hæc elementa veluti media in nexum concinnum intervenerint. Sic igitur ex concursu sincerissimorum et purissimorum in elementis, ut ex primis veluti elementaribus initiis et excellentioribus secretionibus cœlum stelliferum compositum, ignem in seipso præcellentem habere pronuntiant : atque ita similiter universum corpus ætherium quod ipsi est consequens. Sic enim etiam D quatuor istorum, qua infra lunam elementa vocantur, unumquodque ex quatuor simplicibus et vere elementis constat ; **261** essentiam autem accipit, et characterem obtinet, et denominatur ab unius præcellentia.

δ'. Τοῦτο δὴ καὶ πέμπτον σῶμά φασιν οἱ Ἀριστοτελικοί, ἕτερον δηλονότι παρὰ τὰ τέσσαρα· τὸ πῦρ, τὸν ἀέρα, τὸ ὕδωρ, τὴν γῆν. Οἱ δὲ περὶ Πλάτωνα καὶ αὐτὸ τὸ στερέωμα, τουτέστι τὴν τὸ χῦμα τῶν ἀστέρων περιέχουσαν σφαῖραν, ἐκ τῶν ἀκροτήτων συγκεῖσθαί φασι τῶν στοιχειακῶν· διὰ τὸ μετέχειν τοῦ ὁρατοῦ καὶ ἁπτοῦ· καὶ τὸ μὲν ὁρατὸν εἶναι ἀπὸ τοῦ πυρὸς, τὸ δ' ἁπτὸν ἐκ τῆς γῆς. Εἰ δὲ μετέχει πως τὸ στερέωμα πυρός τε καὶ γῆς, μετέχοι ἂν καὶ ἀέρος καὶ ὕδατος, τῶν στοιχείων τούτων ὡς μέσων εἰς ἐναρμόνιον σύνδεσιν τῶν ἄκρων γεγενημένων. Οὕτως οὖν ἐκ τῆς συνδρομῆς τῶν ἀκραιφνεστάτων ἐν στοιχείοις ὄντων καὶ καθαρωτάτων, ὡς ἐκ πρωτίστης οἱονεὶ στοιχειακῆς ἀπαρχῆς καὶ ὑπερεχόντων ἀφαιρεμάτων συντεθειμένον τὸν ἔναστρον οὐρανὸν, ἐπικρατοῦν ἐν ἑαυτῷ ἔχειν τὸ πῦρ ἀποφαίνονται. Ὁμοίως καὶ τὸ ἐχόμενον αὐτοῦ σῶμα πᾶν τὸ αἰθέριον· οὕτω γὰρ καὶ τῶν ὑπὸ σελήνην τεσσάρων καλουμένων στοιχείων ἕκαστον συνέστηκε μὲν ἐκ τῶν τεσσάρων τῶν ἁπλῶν καὶ ἀληθῶς στοιχείων· οὐσιοῦται δὲ καὶ χαρακτηρίζεται καὶ καλεῖται κατὰ τὴν τοῦ ἑνὸς ἐπικράτειαν.

5. Hoc scilicet cœlum stelliferum multi philosophorum judicarunt et appellarunt etiam sphæram inerrantem. Nam motum illius peculiarem qui ab

ε'. Τοῦτον δὴ τὸν ἔναστρον οὐρανὸν καὶ ἀπλανῆ σφαῖραν οἱ πολλοὶ τῶν φιλοσόφων ὑπέλαβον καὶ ὠνόμασαν. Διέλαθε γὰρ αὐτοὺς ἡ κατὰ φύσιν αὐτοῦ

[25] Damasc. l. ı, c. 1, 14. [26] ı De cœlo c. 3.

OCR ABK / FR

ἰδιότροπος κίνησις ἡ ἐκ δυσμῶν εἰς ἀνατολὰς διὰ τὸ βραδύτατον ἑαυτῆς. Μίαν γὰρ μοῖραν καθ' ἕκαστον ἔτος αὐτὸν κινεῖσθαι πρός τινων εἴρηται, ὡς δι' ἐτῶν ἑξήκοντα πρὸς τοῖς τριακοσίοις τὴν ἰδίαν ἀπαρτίζειν περιφοράν. Τινὲς δὲ μόριόν τι μοίρας κατ' ἔτος ὅλον, ἀλλ' οὐχ ὅλην μοῖραν ἰδίως αὐτὸν φέρεσθαι λέγουσιν.

ϛ'. Ὅτι μὲν ουν ὁ πρὸς αἴσθησιν ἀπλανὴς οὐρανὸς μετέχει τοῦ ὁρατοῦ, καὶ ὅτι ἀλλήλων ἅπτονται τὰ οὐράνια σώματα, καὶ ἡ αἴσθησις μαρτυρεῖ· ὅτι τε τὸ μὲν ὁρατὸν ὑπάρχει διὰ τὰ χρώματα, φωτεινοῦ τυγχάνοντα πυρὸς ἀπαυγάσματα· τὸ δ' ἁπτὸν διὰ τὴν ἀντιτυπίαν ἥτις ἐστὶ τῆς γῆς, οὐδὲ τοῦτο δεῖται κατασκευῆς, ὡς ὁμολογούμενον. Τούτων οὕτως ἐχόντων προδήλως ἐστὶν ἐν τῷ οὐρανῷ τὸ πῦρ καὶ ἡ γῆ. Τῶν τοιούτων δὲ στοιχείων ἄκρων ὄντων καὶ δεομένων διὰ τοῦτο μεσότητός ἐστι καὶ ὁ ἀὴρ καὶ τὸ ὕδωρ, τὰ μέσα τῶν στοιχείων καὶ τῶν ἄκρων συνδετικά.

ζ'. Ἁπλοῦν δὲ τὸ οὐράνιον λέγεται σῶμα, καίτοι σύνθετον ὄν, τοῖς συνθετωτέροις παραβαλλόμενον σώμασιν. Οὕτω γὰρ καὶ τὰ τέσσαρα σώματα σύνθετα μὲν ἐξ ἀλλήλων ἐστίν· ἁπλᾶ δὲ καλοῦνται πρὸς τὰ ἐξ αὐτῶν κατὰ δευτέραν ἀποτελούμενα σύνθεσιν. Τὰ γὰρ κυρίως ἁπλᾶ σώματα καὶ στοιχεῖα καθαρὰ καὶ εἰλικρινῆ πόῤῥω καθέστηκε τῆς αἰσθήσεως, νῷ μόνῳ διακρινόμενα.

η'. Καὶ πρῶτος δ' οὐρανὸς ὁ ἄναστρος, ἐπείπερ αἰσθητῶς κινεῖται τὴν ἀπλανῆ κίνησιν, οὐχ ἁπλοῦς. Αἰσθητῶς γὰρ κινούμενος τὴν ἐξ ἀνατολῶν εἰς δυσμὰς τὴν ὀξυτάτην καὶ σφοδροτάτην, καὶ τῷ λίαν ἀκμαίῳ τάχει συμπεριφέρων τὸ στερέωμα, τὸν δεύτερον οὐρανὸν καὶ τὸν ἐχόμενον αἰθέρα σύμπαντα, καὶ τὸ ὑπέκκαυμα, καὶ τὸν ἀέρα, πλὴν ὀλίγου τοῦ ταῖς κοιλότησι τῆς ἐν γῇ ἐπιφανείας ἐναπειλημμένου καὶ ἐλλιμνάζοντος, πῶς ἂν εἴη ὁ τοιοῦτος ἁπλοῦς; Ὅπου γὰρ αἰσθητὴ κίνησις, αἰσθητὸν ὑπάρχει καὶ τὸ κινούμενον. Ὃ δ' οἶδεν ἡ αἴσθησις, τοῦτο σύνθετον ὡμολόγηται. Σῶμα γὰρ ἁπλοῦν οὐ πέφυκεν ὑφεστάναι καθ' αὑτό. Διὸ σῶμα τυγχάνων ὁμολογουμένως ὁ πρώτιστος οὐρανὸς καὶ καθ' αὑτὸν ὑφεστὼς, ἁπλοῦς οὐκ ἔστιν, ἀλλὰ συντέθειται, τὴν κρείττω λέγω δὲ σύνθεσιν. Συνθέτου δ' ὄντος αὐτοῦ, πολλῷ γε μᾶλλον ὁ δεύτερος καὶ φαινόμενος οὐρανὸς σύνθετος ἂν εἴη καὶ οὐχ ἁπλοῦς.

θ'-ι'. Ὅθεν καθάπερ τὰ αἰσθητὰ στοιχεῖα σύνθετα ὄντα, κίνησιν ἁπλῆν κινεῖται τὴν ἐπ' εὐθείας· οὕτω δὴ καὶ ὁ οὐρανὸς, μὴ ὢν ἁπλοῦς, κίνησιν ἁπλῆν κινεῖται τὴν κυκλικήν. Κινεῖσθαι γὰρ δύναται κίνησιν ἁπλῆν καὶ τὸ σύνθετον. Καθ' ὃ γὰρ τῶν ἐν αὐτῷ ἁπλῶν ἐπικρατεῖ τῶν λοιπῶν, κατὰ τοῦτο καὶ κινεῖται τὴν τοῦ ἐπικρατοῦντος ποιούμενος κίνησιν, ὥστε καὶ ὁ οὐρανὸς σύνθετος ὢν κινεῖται κατὰ τὴν κίνησιν τοῦ ἑαυτῷ ἐπικρατοῦντος εἰλικρινεστάτου πυρός. Ἡ κίνησις δὲ τοῦ τέλειον εἰδοπεποιημένου καὶ καθ' ὁλοκληρίαν ἀπηρτισμένου

A occasu in ortum est, propter summam suam tarditatem, ignorarunt. Ipsum enim unam partem [seu unum gradum] singulis annis moveri ab aliquibus dictum est, ut annis sexaginta supra trecentos propriam conversionem absolveret. Aliqui autem particulam aliquam partis [seu gradus] integro anno, non integram partem proprio motu ipsum moveri dicunt.

6. Ipsum igitur cœlum, quod juxta sensum videtur inerrans, cerni posse, et cœlestia corpora invicem se tangere posse ipse etiam census testatur. Atque cerni quidem posse propter colores, qui sunt lucidi ignis fulgores; tangi vero posse propter repercussionem quæ terræ est; nec hoc confirmatione indiget, ut quod omnes fateantur. Quæ
B cum ita se habeant, manifesto sunt in cœlo ignis et terra. Cum autem ejusmodi elementa sint extrema, et propterea medietate opus habeant; sunt etiam in ipso aer et aqua quæ elementa **262** sunt intermedia, et ipsa extrema devinciunt.

7. Simplex autem dicitur cœleste corpus, tametsi ex his compositum sit, si cum corporibus, quæ magis sunt composita, conferatur. Sic enim etiam quatuor corpora [elementorum] ex se invicem sunt composita; simplicia autem vocantur, respectu eorum quæ ex ipsis secundaria compositione efficiuntur. Nam proprie dicta simplicia corpora et elementa pura sinceraque longe a sensu absunt, solaque mente discernuntur.

8. Et vero primum cœlum stellis carens quandoquidem sensibiliter movetur motu inerrante, sim-
C plex non est. Cum enim sensibiliter ab ortibus ad occasus moveatur motu celerrimo et vehementissimo: et tam vegeta pernicitate firmamentum, secundum cœlum et consequentem universum ætherem, et succensionem, et aerem una secum convertat, excepto pauco illo qui in cavitatibus superficiei terræ relictus est et stagnat: quomodo quod hujuscemodi est, simplex sit? Ubi enim motus est sensibilis, id etiam quod movetur, est sensibile. Quod autem sensus cognoscit, id compositum esse omnes confitentur. Nam corpus simplex non potest per se subsistere. **263** Quapropter cum primum cœlum omnium confessione corpus sit et per se subsistat: non est simplex, sed est compositum; de compositione autem meliore loquor. Quod si ipsum
D est compositum, multo magis utique secundum et apparens cœlum erit compositum, non simplex.

9-10. Unde quemadmodum sensibilia elementa quæ composita sunt, motu simplici moventur, rectilineo nimirum: sic utique etiam cœlum quod simplex non est, motu circulari simplici movetur. Nam et id quod est compositum, motu simplici movetur. Quod enim ex simplicibus in se contentis dominatur reliquis, hoc movetur etiam, ejus quod dominatur motum subeundo. Quapropter etiam cœlum cum sit compositum, secundum motum ignis sincerissimi in ipso dominantis movetur. Atqui motus perfecte informati et secundum omnes partes

OCR ABK / FR

absoluti ignis, circularis est. Nam motus elementorum rectus inest ipsis cum adhuc generantur, et in loco præter naturam sunt; nec eum qui secundum naturam est adhuc acceperunt, quomodo Ptolomæus et Plotinus et Xenarchus et alii physici confitentur. Sed et Aristoteles in suum locum ferri **264** nihil aliud esse dicit, quam ad suam speciem moveri. Revera enim si ab alienis locis et a dispositione præter naturam moventur elementa suum locum suamque integritatem et perfectionem appetentia: constat, quod secundum naturam perfecte non habentia, moveantur. Cum enim secundum naturam se habent, et in propriis locis sunt, aut subsistunt aut moventur circulariter. Subsistit quidem terra videlicet, et aqua et pars aeris stagnans; circulariter autem movetur ignis et pars aeris sincerior, quæ una cum cœlo propter suam cum illo affinitatem circumeunt.

A πυρὸς ἡ κύκλῳ ἐστίν. Ἡ γὰρ ἐπ' εὐθείας κίνησις τῶν στοιχείων ἔτι γινομένων αὐτῶν ἐστι κἀν τῷ παρὰ φύσιν ὄντων τόπῳ, ἀλλὰ μήπω τὸν κατὰ φύσιν ἀπειληφότων, ὡς ὁμολογοῦσι Πτολεμαῖος καὶ Πλωτῖνος καὶ Ξέναρχος, καί τινες ἄλλοι τῶν φυσικῶν. Ἀλλὰ δὴ καὶ Ἀριστοτέλης τὸ εἰς τὸν αὑτοῦ τόπον φέρεσθαι μηδὲν ἄλλο εἶναί φησιν, ἢ εἰς τὸ αὑτοῦ φέρεσθαι εἶδος. Τῷ ὄντι γὰρ εἴπερ ἀπὸ τῶν ἀλλοτρίων τόπων καὶ τῆς παρὰ φύσιν διαθέσεως κινεῖται τὰ στοιχεῖα, τῶν οἰκείων ἐφιέμενα τόπων καὶ τῆς οἰκείας ὁλότητος, δῆλόν ἐστιν ὡς οὐ κατὰ φύσιν ἔχοντα τελέως κινεῖται. Κατὰ φύσιν γὰρ ἔχοντα καὶ τοῖς οἰκείοις τυγχάνοντα τόποις ἢ μένει ἢ κύκλῳ κινεῖται. Μένει μὲν ἡ γῆ δηλονότι καὶ τὸ ὕδωρ καὶ τοῦ ἀέρος τὸ λιμνάζον· κύκλῳ δὲ κινεῖται τὸ πῦρ καὶ τοῦ ἀέρος τὸ εὐαγὲς τῷ οὐρανῷ συμπεριπολοῦντα κατὰ τὴν πρὸς αὐτὸν οἰκειότητα.

B

11-15. Quoniam enim quo fertur aliquid secundum naturam, ibi est secundum naturam; terra autem secundum naturam ad medium feratur, in medio ergo est secundum naturam. Hoc enim terræ proprium est, ut ad medium feratur. Hæc autem causa fuerit, ut etiam in medio terra maneat et subsistat: cognatio nimirum quam habet cum medio, propter quam movetur ad ipsum. Quoniam autem medium est immobile (omnis enim sphæræ quæ seipso movetur, centrum sive medium, est immobile), terra quoque propter **265** affinitatem cum centro universi est immobilis. Rursus autem aqua quoniam ad terram fertur natura sua (aquæ enim proprium est terræ incumbere), et ipsa propter cognationem cum terra est immobilis. Ea propter sane etiam stagnans aer, terrestris ille et aquosus et turbidus, est immobilis. Jam vero ignis secundum naturam ad circumferentiam sphæræ movetur. Fortassis enim etiam concavam superficiem firmamenti attigisset, nisi locus ab æthereo corpore præoccupatus esset juxta igneam speciem sinceriore, ut quod ejusdem naturæ sit cum firmamento particeps. Quoniam igitur ignis ad sphæræ circumferentiam fertur naturaliter; huic sane affinitas ad circumferentiam propter quam ad ipsam fertur, circularis motionis causa fuerit. Nam propter affinitatem cum ea et ipse movetur circulariter; quemadmodum terra propter affinitatem, quam cum centro habet, consistit. Rursus autem ut aqua non movetur, dum terra cum qua cognationem habet, consistit, ad quam etiam fertur, quamque semper vult attingere; eodem modo etiam purus aer cum igni qui movetur, simul convertitur, **266** propter cognationem cum illo, ob quam etiam ad ipsum fertur, et cum ipso continenter esse appetit.

ια΄-ιε΄. Ἐπεὶ γὰρ ὅπου φέρεταί τι κατὰ φύσιν, ἐκεῖ ἐστι κατὰ φύσιν· φέρεται δ' ἐπὶ τὸ μέσον ἡ γῆ κατὰ φύσιν· ἐπὶ τοῦ μέσου ἄρα κατὰ φύσιν ἐστίν. Ἴδιον γὰρ τῆς γῆς τὸ φέρεσθαι πρὸς τὸ μέσον. Τοῦτο δ' ἂν εἴη αἴτιον καὶ τοῦ μένειν ἐν τῷ μέσῳ τὴν γῆν, ἡ πρὸς τὸ μέσον δηλονότι συγγένεια δι' ἣν φέρεται πρὸς αὐτό. Ἐπεὶ δὲ τὸ μέσον ἀκίνητον (πάσης γὰρ σφαίρας κινουμένης ἐν ἑαυτῇ τὸ μέσον ἤτοι τὸ κέντρον ἀκίνητον), καὶ ἡ γῆ διὰ τὴν πρὸς τὸ κέντρον τοῦ παντὸς οἰκείωσιν ἀκίνητός ἐστι. Τὸ ὕδωρ δὲ πάλιν ἐπεὶ φέρεται πρὸς τὴν γῆν φυσικῶς (ἴδιον γὰρ τοῦ ὕδατος τὸ ἐπιπολάζειν τῇ γῇ), μένει διὰ τὴν πρὸς τὴν γῆν συγγένειαν ἀκίνητον καὶ αὐτό. Διὰ ταῦτα δὴ καὶ ὁ λιμνάζων ἀὴρ C ἀκίνητος, ὁ γεηρὸς καὶ ὑδατώδης καὶ θολερός. Τὸ δὲ πῦρ φέρεται κατὰ φύσιν ἐπὶ τὴν περιφέρειαν τῆς σφαίρας. Τάχα γὰρ ἂν καὶ ἐφήψατο τῆς κοίλης ἐπιφανείας τοῦ στερεώματος, εἴ γε μὴ προκατειλημμένος ἦν ὁ τόπος ὑπὸ τοῦ αἰθερίου σώματος, εἰλικρινεστέρου τυγχάνοντος κατὰ τὸ εἶδος τὸ πύρινον, ὡς τῆς αὐτῆς τῷ στερεώματι κοινωνήσαντος φύσεως. Ἐπεὶ τοίνυν τὸ πῦρ πρὸς τὴν τῆς σφαίρας περιφέρειαν φέρεται φυσικῶς, αἴτιον ἂν εἴη τούτῳ καὶ τοῦ κύκλῳ κινεῖσθαι ἡ πρὸς τὴν περιφέρειαν οἰκείωσις δι' ἣν φέρεται πρὸς αὐτήν. Διὰ γὰρ τὴν πρὸς ταύτην οἰκείωσιν κύκλῳ φέρεται καὶ αὐτό· καθάπερ ἡ γῆ διὰ τὴν πρὸς τὸ κέντρον οἰκείωσιν ἕστηκεν. Ὡς δὲ τὸ ὕδωρ πάλιν οὐ κινεῖται, τῆς συγγενοῦς ἑστηκυίας γῆς ἐφ' ἣν καὶ φέρεται καὶ ἧς D ἀεὶ ἐφάπτεσθαι βούλεται· τὸν αὐτὸν τρόπον καὶ ὁ καθαρὸς ἀὴρ φερομένῳ συμφέρεται τῷ πυρὶ διὰ τὴν πρὸς τοῦτο συγγένειαν δι' ἣν καὶ πρὸς αὐτὸ φέρεται, καὶ τοῦ συνεῖναι τούτῳ συντημμένως ἐφίεται.

16. Ex his igitur quæ dicta sunt manifestum, est et quodvis quod sub sensum cadit ex quatuor elementis esse compositum, et solam circularem lationem perfectam et secundum naturam esse [sola enim hæc eorum est quæ secundum naturam se habent, et perfecta sunt]; et terram naturali ratione immobilem esse, dein aquam, post illam quidquid aeris his corporibus cognatum est; et

ις΄. Δῆλον οὖν ἐκ τῶν εἰρημένων, ὅτι τε πᾶν τὸ ὑπὸ τὴν αἴσθησιν ἐκ τῶν τεσσάρων στοιχείων συντέθειται, καὶ ὅτι μόνη τελεία φορὰ καὶ κατὰ φύσιν ἡ κυκλικὴ (μόνη γὰρ αὕτη τῶν κατὰ φύσιν ἐχόντων καὶ τελείων ὄντων ἐστίν)· ὅτι ἡ γῆ κατὰ φυσικὸν λόγον ἀκίνητος, εἶτα τὸ ὕδωρ, εἶτα τοῦ ἀέρος ὅσον τούτοις τοῖς σώμασι συγγενές· καὶ ὅτι ὁ οὐρανὸς σύμπας διὰ τὴν τοῦ εἰλικρινοῦς πυρὸς ἐπικράτειαν

OCR ABK / FR

κύκλῳ φέρεται φυσικῶς· εἶτα δι' αὐτὸν τὰ αὐτοῦ ἐχόμενα σώματα.

ιζ'. Καθάπερ δὲ τῇ γῇ τὸ ὑπερβάλλον ἔνεστι τῆς μονῆς, οὕτω δὴ τῷ οὐρανῷ τῆς φορᾶς τὸ ὀξύτατον. Καὶ καθὼς ἡ γῆ κατὰ τόπον ἀκίνητος, οὕτως ὁ οὐρανὸς ἄστατος. Οὔτε γὰρ ἡ γῆ τῆς ἰδίας μετατίθεται βάσεως, οὔθ' ὁ οὐρανὸς ἐνδίδωσι τὸ τῆς ῥύμης σφοδρότατον. Τοῦ τοίνυν οὐρανοῦ καὶ τῆς γῆς ἐκ διαμέτρου διεστηκότων πρὸς ἄλληλα κατὰ τὴν τῶν ἐνεργειῶν ἐναντίωσιν, ἡ μεταξὺ κτίσις, μήτε τὸ ὀξυκίνητον ἔχουσα, μήτ' αὖ τὸ ἀκίνητον, μεσιτεύσει τοῖς ἄκροις δι' ἑαυτῆς. Καὶ οὕτω σύμπας ὁ κόσμος ἀλληλουχεῖται τῆς μὲν ἐξωτάτω περιφορᾶς ἐπιτεταμένῳ τάχει χρωμένης, ὑφειμένῳ δὲ τῶν ἐντὸς κατὰ λόγον τοῦ πρὸς τὸ κέντρον πλησιασμοῦ· μιᾶς γινομένης ὁμοῦ σφαιρικῆς περιαγωγῆς, καὶ κύκλων ἁπάντων τῶν ἐξωτέρων τε καὶ μειζόνων, τῶν ἐνδοτέρω τε καὶ ἐλαττόνων κατὰ ταυτὸν ἀποκαθισταμένων ἐκ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ διὰ τῆς ἑνιαίας περιστροφῆς.

ιη'. Σχῆμα δὲ κέκτηται ὁ οὐρανὸς σφαιρικὸν, ὡς πολυχωρητότερόν τε τῶν ἄλλων σχημάτων τῶν τὴν αὐτὴν ἐχόντων περίμετρον, καὶ ὡς πρὸς τὴν ἐν ἑαυτῷ κίνησιν παντὸς ἁρμοδιώτερον σχήματος, καὶ ὡς πρῶτον τῇ φύσει, κἀντεῦθεν τῇ τοῦ πρώτου σώματος οὐσίᾳ κατάλληλον. Πᾶν γὰρ σχῆμα ἢ εὐθύγραμμόν ἐστιν ἢ περιφερόγραμμον ἢ μικτόν. Ἀλλ' εἴ τι μὲν εὐθύγραμμον ἢ μικτὸν, ὑπὸ πλειόνων γραμμῶν περιέχεται· τὸ δὲ περιφερόγραμμον μόνον, ὑπὸ μιᾶς γραμμῆς τῆς περιφεροῦς. Ἐν ἑκάστῳ δὲ γένει πρότερον τῇ φύσει τὸ ἓν τῶν πολλῶν καὶ τὸ ἁπλοῦν τοῦ συνθέτου. Πρῶτον τοίνυν καὶ ἁπλοῦν τῶν ὅλων ἐπιπέδων σχημάτων ὁ κύκλος. Ἀλλ' ὅπερ ὁ κύκλος ἐν ἐπιπέδοις, τοῦτ' ἐν στερεοῖς ἡ σφαῖρα. Μόνη γὰρ αὕτη τῶν ὅλων στερεῶν μιᾷ ἐπιφανείᾳ περιείληπται. Ἐπεὶ τοίνυν τὸ πρῶτον σχῆμα τῷ πρώτῳ σώματι οἰκειότατον, πρῶτον δὲ σῶμα τῶν ὑπὸ τὴν ἡμετέραν αἴσθησιν τὸ οὐράνιον· εἰκότως ὁ οὐρανὸς ὑπάρχει σφαιροειδής. Εἰ δ' οὗτος σφαιροειδὴς, δῆλον ὅτι καὶ πᾶν σφαιροειδὲς ὅπερ ἐστὶν αὐτῷ συνεχές. Ἀνάγκη γὰρ τὸ πανταχόσε τῆς κοίλης ἐπιφανείας ἁπτόμενον τοῦ σφαιροειδοῦς εἶναι καὶ αὐτὸ σφαιροειδές.

ιθ'. Ἑπτὰ δὲ οὐσῶν τῶν περὶ τὰ σώματα σχέσεων, ἔχει ταύτας καὶ ὁ οὐρανὸς, ἐπείπερ σῶμά ἐστι· πᾶν γὰρ σῶμα τρεῖς ἔχει διαστάσεις, μῆκος, πλάτος καὶ βάθος. Δύο δ' ἔστι πέρατα καθ' ἑκάστην διάστασιν. Ὥστε τρεῖς συζυγίαι διάφοροι γίνονται. Τοῦ μὲν οὖν μήκους πέρατα τὸ ἄνω καὶ τὸ κάτω· τοῦ δὲ πλάτους τὸ δεξιὸν καὶ τὸ ἀριστερόν. Τοῦ δὲ βάθους τὸ ἔμπροσθεν καὶ τὸ ὄπισθεν. Ἡ μεσότης δὲ πασῶν ὁμοῦ τῶν διαστάσεων καθ' ἓν σημεῖον συμπιπτουσῶν, τὸ μέσον ὑπάρχει τοῦ σώματος. Ἀλλ' ἐπὶ μὲν τῶν οὐκ ἐσφαιρωμένων σωμάτων διΐστανται ἀπ' ἀλλήλων τὸ κάτω καὶ τὸ μέσον· ἐπὶ δὲ τῶν σφαιρικῶν

A cœlum universum propter ignis sinceri prædominium in circulum moveri naturaliter; hinc propter ipsum etiam et conjuncta corpora.

17. Quemadmodum autem terræ, mansionis excessus; ita sane etiam cœlo, motionis localis inest summa celeritas. Et sicut terra secundum locum immobilis, ita cœlum statione caret. Neque enim terra de proprio fundamento transponitur; neque cœlum de impetus vehementia quidquam remittit. Cum igitur cœlum et terra ex diametro a se invicem secundum operationum contrarietatem dissideant; intermedia creatura, quæ neque summam celeritatem, neque contra [simplicem] immobilitatem obtinet per **287** seipsum inter extrema intervenit: atque ita universus mundus in sese

B continuatur, dum extima quidem conversio celeritate intenta utitur, tanto remissiore autem interiores quanto magis ad centrum appropinquant, ut unus simul fiat sphæricus circumactus, omnesque circuli tum exteriores et majores, tum interiores et minores ex eisdem ad eadem simul revertantur et restituantur, circumversione unica et singulari.

18. Porro [25] cœlum figuram obtinet rotundam, ut quæ aliis figuris eumdem ambitum habentibus sit capacior, et ad motum universi in seipso congruentior, et natura prior, et hinc primi corporis essentiæ conveniens. Omnis enim figura aut est rectilinea, aut circumductæ lineæ, aut mista. Verum quæ rectilinea aut mista est, a pluribus lineis continetur. Quæ autem duntaxat est circumductæ lineæ, ab una linea circumferentiali [comprehenditur] in quolibet

C autem genere unum multis et simplex composito natura prius est. Prima igitur et simplex inter omnes figuras planas est circulus. Sed quod circulus est in planis, hoc in solidis sphæra est. Sola enim hæc inter omnes figuras solidas **268** una superficie comprehensa est. Quoniam igitur prima figura primo corpori convenientissima, primum autem corpus eorum quæ sub nostrum sensum cadunt, cœleste est; cœlum merito orbiculatum exsistit. Quod si hoc orbiculatum est, constat etiam omne ipsi continuum orbiculatum esse. Id enim quod concavam superficiem orbicam undiquaque attingit, ipsum quoque orbiculatum esse necesse est.

19. Cæterum cum septem sint circa corpora af-

D fectiones, has etiam cœlum habet, quandoquidem corpus est. Omne enim corpus tres dimensiones habet, longitudinem, latitudinem et profunditatem. Duo autem cujusque dimensionis termini sunt. Quare tres differentes conjugationes fiunt. Longitudinis proin termini sunt supra et infra; latitudinis autem, dextrum et sinistrum, profunditatis denique, ante et pone. Medietas autem omnium simul dimensionum in uno puncto coincidentium, medium exsistit corporis. Sed in corporibus quidem rotunda figura non præditis distant a se invicem

[25] II De cœlo c. 4.

OCR ABK / FR

supra et medium: in rotundis autem nullam omnino a se invicem habent distantiam. Necesse est enim ut a superficie **269** ad suum medium sphærica inclinent: et dum ita per se considerantur, illa habeant deorsum ad quæ inclinaverint. In mundo igitur[27] rotundam figuram habente, sursum quidem exsistit quod ab omni medio ad ipsam sphæræ penetrat superficiem: deorsum autem est, medium, dum affectiones duæ in mundo coincidunt, et medium ac deorsum unum idemque sunt. Anteriores autem partes cœli erunt, quæ ad occasus sunt. Etenim velut ad occasum cietur. Posteriores, quæ ad ortus. Hinc enim ad anteriores procedit. Unde dextræ quidem illius, quæ ad septentrionem, sed quæ ad meridiem, sinistræ sunt.

A οὐδεμίαν οὐδαμῶς ἀπ' ἀλλήλων διάστασιν ἔχουσιν. Ἀνάγκη γὰρ νεύειν ἀπὸ τῆς ἐπιφανείας ἐπὶ τὸ ἑαυτῶν μέσον τὰ σφαιρικὰ, καὶ οὕτω καθ' αὑτὰ θεωρούμενα ταῦτ' ἔχειν κάτω πρὸς ἃ νενεύκασιν. Ἐν τῷ κόσμῳ τοιγαροῦν τὸ σχῆμα ἔχοντι σφαιρικὸν ἄνω μὲν ὑπάρχει τὸ ἀπὸ παντὸς τοῦ μέσου διῆκον ἐπ' αὐτὴν τῆς σφαίρας τὴν ἐπιφάνειαν. Κάτω δὲ τὸ μέσον, τῶν δύο σχέσεων ἐπὶ τοῦ κόσμου συμπιπτουσῶν, καὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ὄντος καὶ κάτω καὶ μέσου. Ἐμπρόσθια δὲ μέρη τοῦ οὐρανοῦ τὰ πρὸς δυσμαῖς ἔσονται· καὶ γὰρ ὡς ἐπὶ δύσιν ὁρμᾷ· ὀπίσθια δὲ τὰ πρὸς ἀνατολαῖς. Καὶ γὰρ ἐντεῦθεν πρόεισιν ἐπὶ τὰ ἔμπροσθεν. Ὅθεν δεξιὰ μὲν αὐτοῦ τὰ πρὸς ἄρκτῳ· τὰ δὲ πρὸς μεσημβρίᾳ εὐώνυμα.

20. Cæterum Peripateticæ sectæ dediti cœlum cum universo mundo ingenitum et incorruptibile statuunt, et dogma hunc in modum confirmant. Si cœlum ortum est, erat quando non erat. Sed ne quidem cogitare tempus absque cœlo est possibile. Nam tempus est id quod in motu cœlesti numerari potest. Quare[28] dicere. Erat quando non erat cœlum, idem est ac si dicatur: Erat tempus quando non erat tempus. Nam τὸ erat temporis pars est præterita. Si igitur nunquam tempus erat, quando cœlum **270** non erat, tempus autem æternum est (omni enim quodcunque sumatur, τὸ erat antecedit): cœlum non ortum esse liquet. Quod si est ingenitum, profecto etiam incorruptibile: et quia ad ingenitum consequens est incorruptibile: et quia quemadmodum τὸ erat antecedit omni tempori, sic et τὸ erit consectarium est. Quod si vero semper est tempus, semper erit etiam cœlum quod coexsistit ipsi. Et hæc illi quidem.

B κ'. Δογματίζουσι δὲ τὸν οὐρανὸν οἱ τῆς περιπατητικῆς αἱρέσεως ἀγέννητόν τε καὶ ἄφθαρτον σὺν τῷ κόσμῳ παντί· καὶ τὸ δόγμα τοιουτοτρόπως κατασκευάζουσιν· Εἰ γέγονεν ὁ οὐρανὸς, ἦν ὅτε οὐκ ἦν. Ἀλλὰ χρόνον οὐδ' ἐπινοῆσαι δυνατὸν ἄνευ οὐρανοῦ. Καὶ γὰρ ὁ χρόνος ἀριθμητόν ἐστι τῆς οὐρανίου κινήσεως. Ὥστε τὸ λέγειν, Ἦν ὅτε οὐκ ἦν ὁ οὐρανὸς, ταυτόν ἐστι τῷ, Ἦν χρόνος ὅτε χρόνος οὐκ ἦν. Τὸ γὰρ, Ἦν χρόνος, μέρος ἐστὶ τὸ παρῳχηκός. Εἰ τοίνυν οὐδέποτε χρόνος ἦν, ὅτ' οὐκ ἦν ὁ οὐρανός· ὁ δὲ χρόνος ἀΐδιος (παντὸς γὰρ τοῦ λαμβανομένου προηγεῖται τὸ ἦν)· δῆλον ὡς ἀγένητος ὁ οὐρανός. Εἰ δ' ἀγένητος, πάντως καὶ ἄφθαρτος· ὅτι τε συνακολουθεῖ ἀγενήτῳ τὸ ἄφθαρτον, καὶ ὅτι καθὼς προηγεῖται τὸ ἦν χρόνου παντὸς, οὕτως ἐφέπεται τὸ ἔσται.
C Χρόνου δ' ἀεὶ ὄντος, ἀεὶ ἔσται καὶ ὁ συνυπάρχων αὐτῷ οὐρανός. Ταῦτα μὲν οὗτοι.

21. Plato autem hoc dogma præveniens sapienter dissolvit, quando una cum cœlo tempus esse ortum philosophice pronuntiavit. Quare et cœlum ortum est, et tempus est ortum simul. Et sicut erat quando non erat cœlum: sic etiam erat, quando tempus non erat. Etsi autem τὸ erat, et est, et erit, partes sunt temporis: primario tamen hæ æternitatis sunt. Est autem æternitas coacervata extensio quæ ipsum semper habet ante tempus et post tempus. Tempus ergo ortum, quod æternitatis imago est, obtinuit ut etiam erat et est et erit diceretur[29], quandiu fuerit, quatenus nimirum ad æternitatem refertur. Qui ergo dicunt, erat quando non erat, non dicunt, tempus erat quando tempus non erat: **271** sed erat æterna quædam extensio juxta quam neque cœlum neque tempus subsistebant. Quando autem tempus, tum et cœlum esse cœpit. Non igitur in tempore, sed in principio temporis cœlum ortum est. Atqui temporis principium non est tempus. Partium enim id et quantitatis expers est. Sicut igitur in principio temporis ortum est, sic in fine temporis ipsum

κα'. Πλάτων δὲ φθάσας τὸ τοιοῦτον δόγμα προδιελύσατο, φιλοσόφως ἀποφηνάμενος, ἅμα τῷ οὐρανῷ γεγονέναι τὸν χρόνον. Ὥστε καὶ ὁ οὐρανὸς ἐγεγόνει καὶ ὁ χρόνος ἐγεγόνει ἐν ταυτῷ. Καὶ ὥσπερ ἦν ὅτ' οὐκ ἦν ὁ οὐρανὸς, οὕτω καὶ ἦν ὅτε χρόνος οὐκ ἦν. Εἰ δὲ τὸ ἦν καὶ τὸ ἔστι καὶ τὸ ἔσται μέρη χρόνου, ἀλλὰ πρωτοτύπως ταῦτα τοῦ αἰῶνός εἰσιν. Αἰὼν δέ ἐστιν ἠθροισμένη παράτασις τὸ ἀεὶ ἔχουσα πρὸ χρόνου καὶ μετὰ χρόνον. Γεγονὼς οὖν ὁ χρόνος τοῦ αἰῶνος εἰκὼν, ἔσχε καὶ τὸ λέγεσθαι ἦν καὶ ἔστι καὶ ἔσται, μέχρις ἂν εἴη κατὰ τὴν πρὸς τὸν αἰῶνα
D δηλονότι ἀναφοράν. Οἱ τοίνυν λέγοντες, Ἦν ὅτ' οὐκ ἦν οὐρανὸς, οὐ λέγουσιν, Ἦν χρόνος ὅτε χρόνος οὐκ ἦν. Ἀλλ' ἦν παράτασίς τις αἰωνικὴ, καθ' ἣν οὔθ' ὁ οὐρανὸς, οὔθ' ὁ χρόνος εἶχεν ὑπόστασιν. Ὅτε δ' ὁ χρόνος, ἤρξατο τοῦ εἶναι, τότε καὶ ὁ οὐρανός. Οὐκ ἐν χρόνῳ τοίνυν ὁ οὐρανὸς ἐγεγόνει, ἀλλ' ἐν ἀρχῇ τοῦ χρόνου. Ἡ δ' ἀρχὴ τοῦ χρόνου χρόνος οὐκ ἔστιν. Ἀμερὴς γὰρ αὕτη καὶ ἄποσος. Καθὼς οὖν ἐν ἀρχῇ τοῦ χρόνου ἐγεγόνει, οὕτως οὐδὲν ἀδύνατον ἐν τῷ τέλει τοῦ χρόνου τοῦτον φθαρήσεσθαι. Τῷ χρόνῳ τοίνυν συνυποστὰς, τῷ χρόνῳ καὶ συνδιαλυθήσεσθαι

[27] 2 De cœlo c. 2. [28] 8 Phys. 1; Boet. lib. 2. Diff. top. [29] Plato in Timæo.

OCR ABK / FR

πέφυκε. Καὶ οὐκ ἂν εἴποι τις, ὡς ἔσται χρόνος ὅτ' οὐκ ἔσται ὁ οὐρανός· ἀλλ' ἔσται πάλιν αἰωνική τις παράτασις, καθ' ἣν οὔθ' ὁ οὐρανὸς οὔθ' ὁ χρόνος εἶναι δυνήσεται κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως.

κβ'. Λέγουσι πάλιν· Εἴπερ ὁ κόσμος γενητὸς καὶ φθαρτὸς, δεῖ προηγεῖσθαι τὴν σύστασιν ἐξ ἧς γέγονε καὶ εἰς ἣν αὖθις φθαρήσεται. Ἀλλ' εἷς ὁ κόσμος· ἀγένητος ἄρα καὶ ἄφθαρτος. Εἰ μὲν οὖν ἐλέγομεν τὸν κόσμον γενητὸν καὶ φθαρτὸν ὡς τὰ τέσσαρα σώματα καὶ τὰ ἐξ αὐτῶν, εὖ ἂν ἔλεγον οἱ ταῦτα λέγοντες· ἐπεὶ δ' ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος, ἀλλ' οὐκ ἐκ προϋποκειμένης τῆς ὕλης τοῦτον γίνεσθαί φαμεν παρὰ τοῦ Θεοῦ, ποίαν ἔχει ὁ λόγος αὐτῶν τὴν ἰσχύν; Εἰ τοίνυν ἐκ τοῦ μὴ ὅλως εἶναι γεγένητο, πέφυκε πάλιν εἰς τὸ μὴ ὅλως εἶναι φθαρήσεσθαι, κἂν ἡ τοῦ δημιουργοῦ ἀγαθότης ὑπερνικῶσα πᾶσαν φύσιν ὥσπερ ἐκ τοῦ μηδόλως ὄντος τὸν κόσμον παρήγαγεν, οὕτω πρὸς τὸ κρεῖττον μετασκευάσει τὴν δημιουργίαν αὐτοῦ.

κγ'. Ἔτι πεπερασμένος ὁ οὐρανός· ἐπείπερ ἀδύνατον κινηθῆναι τὸ ἄπειρον. Εἰ γὰρ κινηθείη, χρόνον ἄπειρον ἀνάγκη διιέναι κατὰ τὴν κίνησιν. Ὁ δὲ περιστρέφεται σύμπας ἐν ἐλάττονι χρόνῳ τοῦ νυχθημερινοῦ διαστήματος. Ὥστε πεπερασμένος ὁ οὐρανός. Εἰ δ' οὗτος πεπερασμένος, καὶ πᾶς ὁ κόσμος πεπερασμένος. Εἰ γὰρ τὸ περιέχον πεπερασμένον, καὶ τὸ περιεχόμενον ἐξ ἀνάγκης πεπερασμένον. Οὐδὲν δὲ σῶμα πεπερασμένον ἔχει δύναμιν ἄπειρον. Τὸ γὰρ τοῦ πεπερασμένου μέρος ἢ ἄπειρον ἕξει δύναμιν καὶ αὐτὸ καὶ τοῦ ἀπείρου μεῖζόν τι εὑρεθήσεται (μείζων γὰρ ἡ ἐν τῷ ὅλῳ δύναμις τῆς ἐν τῷ μέρει δυνάμεως· ἀλλ' οὐδὲν τοῦ ἀπείρου μεῖζόν ἐστιν)· ἢ πεπερασμένην ἕξει δύναμιν τὸ μέρος τοῦ πεπερασμένου, καὶ τὸ ὅλον πεπερασμένης ἔσται δυνάμεως. Τὸ γὰρ ἐκ πεπερασμένων συνεστὼς κατὰ τὴν ὁλότητα πεπερασμένον ὁμολογουμένως ἐστὶ καὶ αὐτό. Πᾶν ἄρα πεπερασμένον σῶμα πεπερασμένης μετέχει δυνάμεως. Ὅθεν ὁ κόσμος πεπερασμένος ὢν πεπερασμένην κέκτηται δύναμιν. Ἀδυνατήσει τοίνυν λόγῳ φύσεως καὶ ἡ ἐνέργεια αὐτοῦ παύσεται, τῆς δυνάμεως παυσαμένης. Ὅθεν ἄρχεται ἡ ἐνέργεια. Ταύτῃ δὲ τί ἕτερόν ἐστιν ἢ τελεία φθορά; Τοίνυν ὁ κόσμος φθορᾷ παντελεῖ κατὰ λόγον ὑπόκειται φυσικὸν, μὴ δυνάμενος συνδιαμένειν τῷ ἀπειροδυνάμῳ δημιουργῷ. Καὶ τί γὰρ ἄλλο ἢ δημιούργημα ὢν κἀντεῦθεν καὶ μόνον τῆς τοῦ δημιουργήσαντος ὑφειμένος ἀϊδιότητος; Εἰ τοίνυν φθαρτὸς ὁ κόσμος, πάντως καὶ γενητός. Ἀντακολουθοῦσι γὰρ ἀλλήλοις τὸ γενητὸν καὶ τὸ φθαρτὸν, καὶ πάλιν τὸ ἀγένητον καὶ τὸ ἄφθαρτον.

κδ'. Λέγουσιν αὖθις· Εἰ μὴ ἅμα Θεὸς ἅμα κόσμος, ἦν ποτε ὁ Θεὸς οὐκ ἐνεργείᾳ δημιουργὸς, δυνάμει δὲ μόνον. Ὅθεν καὶ ἀτελής· τὸ δυνάμει γὰρ ἀτελές.

corruptum iri nihil est impossibile. Proin quia simul cum tempore substitit, cum tempore etiam simul dissolvi potest. Nec dixerit aliquis, quod tempus sit futurum, quando cœlum non erit. Sed rursus æterna quædam erit extensio, secundum quam neque cœlum tempus esse poterit, pro naturæ consequentia.

22. Iterum dicunt (et objiciunt): Si mundus ortus et interitui obnoxius, materiam oportet præcedere ex qua sit ortus, et in quam rursus intereat. Atqui mundus est unus. Nec igitur ortus est, nec corruptioni obnoxius. Quod si quidem mundum ortum et corruptibilem esse diceremus, ut quatuor corpora [elementorum], recte dicerent qui hæc dicunt. Quoniam autem ex prorsus non ente, nec ex præsupposita materia ipsum a Deo ortum esse **272** dicimus, quid roboris oratio ipsorum habet? Quod si igitur ex prorsus non esse factus est sic natura sua comparatus est, ut ad prorsus non esse interire possit; quanquam bonitas opificis quæ omnem naturam longe superat, sicut ex prorsus non ente mundum produxit, ita in meliorem statum mutabit suum opificium.

23. Præterea finitum est cœlum: quandoquidem ut infinitum moveatur, fieri non potest. Si enim moveretur, necesse foret, ut infinito tempore secundum motum progrederetur. Atqui universum ipsum minori tempore quam diei et noctis est spatium, circumvertitur. Proinde cœlum finitum est. Quod si hoc finitum est, totus etiam mundus finitus est. Si enim quod continet, finitum est: id etiam quod continetur, necessario finitum est. Nullum autem corpus quod finitum est, infinitam habet potentiam. Etenim finiti pars aut infinitam habebit potentiam, ipsa quoque et infinito majus aliquid deprehendetur (major enim est potentia quæ in toto, quam quæ in parte est; sed nihil infinito majus est): aut finitam habebit potentiam finiti pars, totumque finitæ erit potentiæ. Quod enim ex finitis **273** totum constat, ipsum etiam omnium confessione finitum est. Omne igitur finitum corpus, finitæ potentiæ est particeps. Unde mundus cum sit finitus, finitam potentiam obtinet. Potentia igitur exuetur naturæ ratione: et actio etiam ejus cessabit, cum potentia unde actio incipit cessaverit. Hoc autem qui aliud est quam perfecta corruptio? Quapropter mundus universali corruptioni ratione naturali subjicitur, ut qui simul cum opifice infinitæ potentiæ permanere non possit. Quid enim aliud quam opificium, et hinc vel saltem opificis æternitate inferior? Quod si igitur mundus corruptibilis est, certe etiam ortus est. Vicissim enim se invicem consequuntur ortum et corruptibile: et rursus non ortum ac incorruptibile.

24. Iterum dicunt: Si non simul Deus et mundus simul, Deus aliquando non actu erat conditor, sed potentia tantum: et proinde etiam imperfe-



OCR ABK/FR

etus· Quod enim potentia est, imperfectum est. Vicissim ipsi interrogandi sunt utrum Deus qui infinitæ est potentiæ, hunc solum mundum, aut etiam multos alios præsenti pares, produxisse potuerit? Si enim non potuit hoc præstare ut **274** alios etiam mundos conderet, quomodo cum infinitæ sit potentiæ, non infirmus erit cum omnis in efficiendo posita scientia æqualia multa facere possit? Quod si cum posset non producit; constat quod potestas quam in mundis ortis usurpavit producere eos volens, potentia tantum sit, et imperfecta ex ipsorum sententia. Sed nosse oportet τὸ potestate [30]; hoc, quod juxta alterum significatum est, quod equidem imperfectum esse non potest. Si enim etiam alterum, imperfectum est; nullus qui efficiendi habet scientiam, per se perfectus est: quod ad perfectionem iis opus habeat, in quibus agat: atque ita præstantius deteriore opus habebit, ut et productis producens Deus, siquidem hæc ipsi causæ exstiterint, quominus potentia creator videatur.

A Ἐρωτητέον οὖν αὐτοὺς, πότερον ὁ Θεὸς ἀπειροδύναμος ὢν τουτονὶ μόνον ἠδύνατο τὸν κόσμον παραγαγεῖν ἢ καὶ ἄλλους πολλοὺς τῷ παρόντι παρισουμένους; Εἰ μὲν γὰρ οὐχ οἷός τε ἦν καὶ ἄλλους κόσμους παραγαγεῖν, πῶς οὐκ ἀσθενὴς ὁ ἀπειροδύναμος πάσης ποιητικῆς ἐπιστήμης ἴσα πολλὰ δυναμένης ποιεῖν; Εἰ δὲ δυνάμενος οὐ παρήγαγε, δῆλον ὡς ἡ δύναμις, ἧπερ ἂν ἐπὶ τῶν μὴ γεγονότων κόσμων ἐχρήσατο παράγειν τούτους ἐθέλων, δυνάμει μόνον ἐστὶ καὶ κατ' αὐτοὺς ἀτελής. Ἀλλ' εἰδέναι χρὴ τὸ δυνάμει τοῦτο κατὰ τὸ δεύτερον ὂν σημαινόμενον, ὃ δήπερ οὐ πέφυκεν ἀτελές. Εἰ γὰρ ἀτελὲς καὶ τὸ δεύτερον, οὐδεὶς ἔχων ποιητικὴν ἐπιστήμην, καθ' αὑτόν ἐστι τέλειος δεόμενος τῶν ἐν οἷς ἐνεργεῖ πρὸς τελείωσιν. Καὶ οὕτω δεήσεται τοῦ χείρονος τὸ κρεῖττον· ὡς καὶ τῶν παραγομένων ὁ παράγων Θεὸς B εἴπερ αὐτῷ πέφυκεν αἴτια τοῦ μὲν δυνάμει δοκεῖν αὐτὸν ποιητήν.

25. Quapropter non sunt simul creator, et creatura simul actu; sed simul creator et creatura sunt secundum creandi et condendi rationes, quæ ab æterno in conditore existunt, ipsique coæternæ sunt: qui quidem creaturas etiam semper volebat producere, quia semper etiam bonus: tunc autem producebat, quando quæ producebantur, poterant. Neque enim cum infinita **275** producentis exsistentia simul esse possunt, eo quod eorum essentia non sit Deus: neque Deo æqualis, quoad infinitionem exsistentiæ, possit. Si enim natura et essentia produxisset Deus opera, necessario etiam cum illo simul fuissent: ut quæ ejusdem cum ipso C essent naturæ et essentiæ. Quoniam autem natura quidem et essentia gignit, voluntate autem et beneplacito condit: genimen equidem coexsistit Deo, propterea quod etiam ejusdem essentiæ et naturæ invariabiliter prorsus est cum ipso, et unus Deus simul quod gignit et gignitur, ut ea neque tempus a se invicem, neque beneplacitum et voluntas, neque potentia, neque gloria, aut quidquam aliud, dividat. Eodem modo se habet id quod procedit. Et ipsum enim essentialiter ex Deo et naturaliter procedit. Omne autem opificium procul recedit a divina exsistentia, quemadmodum etiam ab artificis existentia quod ab arte factum est. Prius enim existit artifex, quam res quæ ab ipso ex arte efficitur. Omne autem effectum necessario D est posterius causa efficiente, de his quidem hactenus tantum dixisse sufficiat.

κε'. Διὰ ταῦτ' οὐκ ἔστιν ἅμα ποιητὴς ἅμα ποίημα κατ' ἐνέργειαν· ἀλλ' ἅμα ποιητὴς, ἅμα ποίημα κατὰ τοὺς ποιητικοὺς λόγους καὶ δημιουργικοὺς, προαιωνίως ὑφεστῶτας ἐν τῷ δημιουργῷ καὶ συναϊδίους ὄντας αὐτῷ, θέλοντι μὲν ἀεὶ παράγειν καὶ τὰ ποιήματα, διότι καὶ ἀεὶ ἀγαθός· τότε δὲ παράγοντι, ὅτε τὰ παραγόμενα δύναται. Οὐδὲ γὰρ ἰσχύουσι τῇ ἀπείρῳ τοῦ παράγοντος ὑπάρξει συνεῖναι, τῷ μὴ Θεὸν εἶναι τούτων τὴν οὐσίαν, μηδ' ἴσα δυναμένην Θεῷ κατὰ τὸ τῆς ὑπάρξεως ἄπειρον. Εἰ μὲν γὰρ τῇ φύσει καὶ τῇ οὐσίῃ παρῆγεν ὁ δημιουργὸς τὰ δημιουργήματα, συνῆσαν ἂν ἐξ ἀνάγκης αὐτῷ, τῆς αὐτῆς αὐτῷ φύσεως ὄντα καὶ οὐσίας· ἐπεὶ δὲ φύσει μὲν καὶ οὐσίᾳ γεννᾷ, θελήσει δὲ καὶ βουλήσει δημιουργεῖ· τὸ γέννημα μὲν συνυπάρχει τῷ Θεῷ, διότι καὶ τῆς αὐτῆς οὐσίας καὶ φύσεως ἀπαραλλάκτως πάμπαν αὐτῷ καὶ Θεὸς εἷς ὁμοῦ τὸ γεννῶν καὶ τὸ γενώμενον, μήτε χρόνου ταῦτ' ἀπ' ἀλλήλων μερίζοντες, μήτε βουλήσεως καὶ θελήσεως, μήτε δυνάμεως ἢ δόξης ἢ ἄλλου τῶν ὄντων τινός. Ὡσαύτως καὶ τὸ ἐκπορευόμενον, καὶ αὐτὸ γὰρ οὐσιωδῶς ἐκ τοῦ Θεοῦ καὶ φυσικῶς ἐκπορεύεται. Δημιούργημα δὲ πᾶν πόῤῥω πίπτει τῆς θείας ὑπάρξεως, ὥσπερ καὶ τῆς τοῦ τεχνίτου ὑπάρξεως τὸ τεχνούργημα· προϋπάρχει γὰρ ὁ τεχνίτης τοῦ ὑπ' αὐτοῦ τεχνουργουμένου πράγματος· ὕστερον δὲ πᾶν ἀποτέλεσμα τῆς ἑαυτοῦ ποιητικῆς αἰτίας ἐξ ἀνάγκης. Ἀλλὰ ταῦτα μὲν ἐπὶ τοσοῦτον.

26. Quoniam autem supra firmamentum **276** copiosam esse aquam divina docet Scriptura [31] fieri autem non posse aliquid existimant, ut aqua in convexitate sphæræ, maneat, cum fluxa sit et facile diffundatur et deorsum feratur; hi divinam mente concipiant omnipotentem et omnium hominum cogitatione viribusque superiorem potentiam;

κς'. Ἐπεὶ δ' ἐπάνω τοῦ στερεώματος ὕδωρ εἶναι πολυπληθὲς ἡ θεία διδάσκει Γραφὴ, τινὲς δ' ἀδύνατον οἴονται τὴν τοῦ ὕδατος φύσιν μένειν ἐπὶ τοῦ κυρτοῦ τῆς σφαίρας, ῥυτὴν οὖσαν καὶ εὐδιάχυτον καὶ κατωφερῆ· τὴν θείαν ἐννοείτωσαν οὗτοι παντοδύναμον καὶ ὑπερδύναμον δύναμιν, ἥτις ἰσχὺν ἐνέθηκεν ὑπερβάλλουσαν καὶ τῷ στερεώματι, κωλυτικὴν τῆς

[30] Vide supra p. 46. [31] Gen. I, 6; Ps. CXLVIII, 4.

OCR ABK / FR

*usque dum ad duodecima minuta ab astrologis pervenitur, tametsi alias secundum physicam in infinitum omnis magnitudo dividi possit. — 25. Perimeter seu ambitus firmamenti colligitur ex partium circumferentiis. — 26. Et diametri firmamenti quantitas in partibus seu gradibus investigatur et colligitur. — 27. Causa finalis quare primi mobilis sphæræ suis motibus propriis reliquæ contranitantur. — 28. Duodecim Zodiaci segmenta, quæ etiam signa vocantur, non unius et ejusdem temperamenti veteres astrologi ut Ptolemæus etiam tradiderunt. — 29. Idem de planetis judicarunt. — 30. Planetis etiam suas domos, soli et lunæ singulas, cæteris quinque binas tribuerunt; quin et omnibus septem insuper et exaltationes, et dejectiones et adversitates seu detrimenta assignarunt, ut exemplo solis hoc loco declaratur. — 31. Ratio quare domos, exaltationes, et dejectiones et adversitates seu detrimenta, non tantum soli, sed etiam cæteris planetis, attribuerunt. — 32. Causa quare soli et lunæ* **281** *singulas tantum domos, non etiam binas adjudicaverint, ut reliquis quidem planetis. — 33. In specie etiam reliquorum planetarum domos, exaltationes, dejectiones et adversitates seu detrimenta recenset.*

---

A

## CAPUT XXV.

### *De æthere et stellis.*

1. Quod a convexa firmamenti superficie ad lunaris usque sphæræ concavitatem penetrat: hoc scilicet universum æther appellatur [32], a perpetuo cursu appellatione desumpta. Celerrimo enim et incessabili motu naturaliter movetur, et, ut rationе nominis habita dicam, assidue currit.

2. Hoc sane corpus ætherium universum et omnes stellas, essentiæ et naturæ ejusdem esse dicunt probatiores physici [33]. Nihilominus tamen manifesto in æthere et stellis, cum quoad densitatem, tum quoad colorem est differentia. Verum hæc circa naturam, non naturæ sunt. Neque enim crassus et nigrior aer ab aeria natura propter densitatem et colorem discesserit. Illa igitur B sphæra, quæ inerrans videtur ac dicitur, densitatis et coloris mediocriter lucidi est particeps; at sphæræ errantes, rarissimæ et perspicuæ et coloris omnino expertes; stellæ autem omnes et densæ sunt et lucidæ. Cæterum quoad densitatem **282** quidem nihil differunt (quotquot enim stellæ stellas subire possunt, simili omnes ratione visum nobis intercipiunt, ut nequaquam videre nos possimus ullas stellas, quas aliæ qualescunque subeunt): at quoad splendorem multa est stellarum ad invicem differentia.

3. Sed et ipsæ figuram habent sphæricam, quemadmodum hoc a luna apparet, quam ipsius illuminationes orbicularem esse testantur. Quod si autem luna orbicularis est, et cæteræ stellæ orbi- C culares erunt. Ejusdem enim omnes naturæ sunt.

4. Quod si vero eadem cum cœlo natura communicant, eademque figura prædita sunt; rationi consentaneum est in primis, ipsas, ut Plato existimat [34], eumdem cum cœlo motum habere, et unam earum quamque secundum naturam æquabiliter et in circulum circa suum centrum et axem proprium converti.

4. Quæ cum ita se habeant, prima quidem et stellarum expers sphæra, vereque inerrans, dum uno et simplici motu ab ortibus ad occasus movetur, secum alias omnes circumagit: illa autem quæ stellarum gestat copiam, quæque inerrans videtur

## ΚΕΦΑΛ. ΚΕ'.

### Περὶ αἰθέρος καὶ ἀστέρων.

α'. Τὸ διῆκον ἀπὸ τῆς κυρτῆς ἐπιφανείας τοῦ στερεώματος τοῦ κοίλου τῆς σεληνιακῆς σφαίρας, τοῦτο δὴ καλεῖται σύμπαν αἰθήρ, ἐκ τοῦ αἰεὶ θεῖν τὴν κλῆσιν λαβόν. Φέρεται γὰρ ὀξυτάτην καὶ ἄληκτον φορὰν φυσικῶς καὶ ἵν' εἴπω κατ' ὄνομα διηνεκῶς τρέχει.

β'. Τοῦτο δὴ τὸ αἰθέριον ὅλον σῶμα καὶ πάντας τοὺς ἀστέρας τῆς αὐτῆς οὐσίας καὶ φύσεως εἶναί φασιν οἱ τῶν φυσικῶν δοκιμώτεροι. Πλὴν ἔστιν ἐναργῶς ἐν αἰθέρι καὶ ἄστρασι διαφορὰ κατά τε πυκνότητα καὶ χρωματισμόν. Ἀλλὰ ταῦτα περὶ φύσιν εἰσὶν, οὐ φύσεις. Οὐδὲ γὰρ οὐδ' ὁ παχὺς ἀὴρ καὶ μελάντερος ἐκσταίη ἂν τῆς ἀερίου φύσεως διὰ τὴν πυκνότητα καὶ τὸν χρωματισμόν. Ἡ μὲν οὖν B ἀπλανὴς δοκοῦσα καὶ λεγομένη σφαῖρα πυκνότητος μετέχει καὶ χρώματος ἠρέμα λαμπροῦ. Μανόταται δὲ καὶ διαφανεῖς καὶ ἀχρωμάτιστοι παντελῶς αἱ πλανώμεναι σφαῖραι τυγχάνουσιν· οἱ δ' ἀστέρες πυκνοί τε καὶ λαμπροὶ πάντες εἰσίν. Ἀλλὰ κατὰ τὴν πυκνότητα μὲν οὐκ ἂν ἀλλήλων διοίσοιεν (ὅσοι γὰρ τῶν ἀστέρων ὑποτρέχειν ἀστέρας δύνανται, πάντες ὁμοίως ταῖς ὄψεσιν ἐπιπροσθοῦσιν ὑμῖν· ὡς μηδόλως ἰσχύειν ἡμᾶς ὁρᾷν τοὺς ὑφ' οἵων δή τινων ἀστέρων ὑπετρεχομένους ἀστέρας)· κατὰ δὲ τὴν λαμπρότητα πολλή τίς ἐστιν ἡ τῶν ἀστέρων πρὸς ἀλλήλους διαφορά.

γ'. Σχῆμα δὲ κέκτηνται καὶ αὐτοὶ σφαιρικὸν, καθὼς ἀπὸ τῆς σελήνης φαίνεται τοῦτο σφαιροειδοῦς μαρτυρουμένης ἐκ τῶν αὐτῆς φωτισμῶν. Εἰ δὲ C σφαιροειδὴς ἡ σελήνη, καὶ οἱ λοιποὶ ἀστέρες εἶεν ἂν πάντως σφαιροειδεῖς. Τῆς αὐτῆς γὰρ φύσεως ἅπαντες.

δ'. Εἰ δὲ καὶ τῷ οὐρανῷ τῆς αὐτῆς κεκοινωνήκασι φύσεως, καὶ τῷ αὐτῷ μεμόρφωνται σχήματι· τῶν εὐλογωτάτων, αὐτοὺς, ὡς ὑπολαμβάνει Πλάτων, καὶ τὴν αὐτὴν κίνησιν ἔχειν τῷ οὐρανῷ καὶ κατὰ φύσιν ἕκαστον αὐτῶν ὁμαλῶς καὶ ἐγκυκλίως περὶ τὸ ἑαυτοῦ κέντρον καὶ τὸν οἰκεῖον ἄξονα στρέφεσθαι.

ε'. Τούτων οὕτως ἐχόντων ἡ πρώτη μὲν καὶ ἄναστρος σφαῖρα καὶ ὄντως ἀπλανὴς, μίαν καὶ ἁπλῆν κινουμένη κίνησιν τὴν ἀπ' ἀνατολῶν εἰς δυσμὰς ἑαυτῇ συμπεριάγει τὰς ἄλλας ἁπάσας. Ἡ δὲ τὸ πλῆθος φέρουσα τῶν ἀστέρων καὶ δοκοῦσα

[32] I De cœlo c. 3. [33] II De cœlo c. 7; Jov. Pont. lib. II de rebus cœlestibus. [34] Ita etiam Jov. Pont. lib. II de rebus cœlestibus p. 144, 148, 149. Sed contra Aristoteles De cœlo c. 8.

OCR ABK / FR

καὶ λεγομένη ἀπλανὴς δύο κινεῖται κινήσεις ἀντιῤῥόπους ἅμου· μίαν μὲν οἰκείαν τὴν ἐκ δυσμῶν πρὸς ἀνατολὰς, ἥτις καὶ ἀνεπαίσθητός ἐστι διὰ τὴν τῆς βραδύτητος ὑπερβολήν· ἑτέραν δὲ τὴν τῆς πρώτης σφαίρας, καθ' ἣν ἐξ ἀνατολῶν ὀξυτάτως συμπεριάγεται πρὸς δυσμάς. Οἱ δ' ἀστέρες οἱ καλούμενοι ἀπλανεῖς τρεῖς ἂν κινοῖντο κινήσεις· τὴν οἰκείαν δίνησιν καὶ τὴν μετὰ τῆς σφαίρας ἥπερ ἐνδέδενται περιφορὰν, καὶ τὴν διὰ τῆς κυρίως ἀπλανοῦς ἀντιπεριαγωγήν. Ὡσαύτως κἀπὶ τῶν ἐφεξῆς ἔχει σφαιρῶν καὶ τῶν ἐν ταύταις ἀστέρων· αἱ μὲν γὰρ δύο κινήσεις κινοῦνται τὰς ἀντιῤῥόπους· οἱ δ' ἀστέρες πρὸς ταῖς τοιαύταις κινήσεσι κινοῖντ' ἂν καὶ τὴν ἐν ἑαυτοῖς, ὡς ἐπὶ τῶν ἀπλανῶν εἴρηται.

ϛ'. Πλάνητες γὰρ οἱ προτεχῶς δεδηλωμένοι κατωνομάσθησαν διὰ τὸ ἔκδηλον τῆς μετὰ τῶν οἰκείων σφαιρῶν ἀντιφορᾶς τῇ πρώτῃ σφαίρᾳ καὶ κατ' ἀλήθειαν ἀπλανεῖ· καθάπερ ἡ πληθὺς τῶν ἄλλων ἀστέρων ἀπλανὴς κέκτηται διὰ τὸ ἄδηλον τῆς τοιαύτης ἀντιφορᾶς. Περιαγομένου τοίνυν τοῦ στερεώματος ἐξ ἀνατολῶν εἰς δυσμὰς, ἀναγκαίως καὶ οἱ ἀπλανεῖς τῶν ἀστέρων τούτῳ συμπεριάγονται μηδεμίαν ἔχοντες ἰδίαν κίνησιν μεταφορητήν. Διὰ τοῦτο γὰρ καὶ τοὺς αὐτοὺς ἀεὶ κατέχουσι τόπους, καὶ οὐδέποτε τὴν ἀπ' ἀλλήλων ἀπόστασιν ἐναλλάσσουσιν.

ζ'. Οὕτω δὲ κινουμένων πάντων ἀστέρων τῶν ἀπλανῶν, εἷς μόνος ἀστὴρ ὁρᾶται πρὸς ἄρκτον ἀκίνητος· οὐχ ὅτι μετὰ τῆς σφαίρας τοῦ στερεώματος οὐ περιφέρεται καὶ αὐτὸς, ἀλλ' ὅτι τῶν δύο τοῦ ἄξονος ἄκρων περὶ ὃν ἡ σφαῖρα στρέφεται· τὸ ἓν ἄκρον οὗτος ὑπάρχει τὸ βόρειον· ὅθεν καὶ βόρειος πόλος ὠνόμασται· πόλοι γὰρ τὰ πέρατα καλοῦνται τοῦ ἄξονος. Πόλος οὖν ὑπάρχων τῆς τοῦ στερεώματος σφαίρας ὁ εἰρημένος ἀστὴρ, στρεφομένου τοῦ στερεώματός καὶ αὐτὸς ἀναγκαίως συμπεριστρέφεται. Περὶ ἑαυτὸν δὲ πάσχων τὴν στροφὴν ὡς ἄκρον τοῦ ἄξονος, ἀκίνητος τῇ αἰσθήσει δοκεῖ, καθὰ καὶ πάντες ἀστέρες ἀσυμφανῶς ἡμῖν δύναιντο ποιεῖν τὴν ἐν ἑαυτοῖς συστροφήν.

η'. Οὕτω μὲν οὖν οἱ ἀπλανεῖς ἀστέρες καὶ τὴν ἐξ ἀνατολῶν κίνησιν καὶ τὴν ἐκ δυσμῶν τῇ σφαίρᾳ συγκινοῦνται τοῦ στερεώματος. Ἀλλὰ δὴ καὶ οἱ πλάνητες ἑτέραις σφαίραις ἐνδεδεμένοι, ἕκαστος τῇ ἑαυτοῦ, καὶ τὴν πρὸς δυσμὰς φέρονται, καὶ τὴν πρὸς ἀνατολὰς, μετὰ τῶν οἰκείων σφαιρῶν.

θ'. Αἱ πᾶσαι δὲ σφαῖραι τῶν πλανήτων ἑπτά εἰσιν, ἄνισα τὰ μεγέθη φέρουσαι πρὸς ἀλλήλας· περιέχει γὰρ ἡ πρώτη τὴν δευτέραν, καὶ ἡ δευτέρα τὴν μετ' αὐτήν· καὶ τοῦτο μέχρι τῆς τελευταίας· καὶ οὕτως ἐξ ἀνάγκης αἱ περιέχουσαι μείζους τῶν περιεχομένων εἰσί. Πρώτη μὲν οὖν μετὰ τὴν δοκοῦσαν καὶ λεγομένην ἀπλανῆ σφαῖραν ἡ τοῦ Κρόνου ἐστὶ τοῦ καλουμένου καὶ φαίνοντος τριακονταετεῖ χρόνῳ ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ ἀποκαθισταμένη διὰ

A et dicitur, duobus simul motibus sibi obviantibus movetur; uno quidem **283** proprio, quo [ab ortibus ad occasus [cietur], qui etiam propter summum tarditatem insensibilis est; altero vero, qui primæ sphæræ est, quo ab ortibus ad occasus pernicissime circumagitur; stellæ denique quæ inerrantes vocantur, tribus moventur motibus, circumgyratione propria et conversione cum sphæra cui illegatæ sunt: et ejus sphæræ, quæ proprie inerrans dicitur, circumactione contraria. Eodem modo etiam cum sphæris quæ deinceps sunt, earumdemque stellis comparatum est. Illæ enim duobus motibus obnitentibus moventur; stellæ autem ad hos motus etiam alio in seipsis moventur, ut de inerrantibus dictum est.

B 6. Errantes enim, modo declaratæ [stellæ] nominatæ sunt, quod earum in suis sphæris primæ et revera inerranti sphæræ contrarius motus manifestus sit: quemadmodum aliarum stellarum multitudo inerrans vocata est, quod contrarius istiusmodi motus occultus sit. Cum ergo firmamentum ex ortibus in occasus circumagitur, necessario etiam cum hoc inerrantes [illæ] stellæ circumaguntur, cum proprium motum translatitium non habeant. Eapropter enim etiam eadem semper **284** loca obtinent, nec unquam a se invicem intercapedinem immutant.

7. Cum autem inerrantes stellæ ita omnes moveantur, una sola stella ad septentrionem immobilis conspicitur; non quod cum sphæra firmamenti non circumferatur ipsa quoque, sed quod C duorum axis extremorum circa quæ sphæra convertitur, alterum extremum boreale hæc [stella] exsistat, unde etiam polus borealis vocabatur: poli enim extremitates axis vocantur. Cum ergo dicta stella sphæræ firmamenti polus exsistat, vertente firmamento et ipsa simul necessario circumvertitur. Quoad autem, ut axis extremum, circa se conversionem sustinet, immobilis videtur sensu: quemadmodum etiam omnes stellæ ut a nobis hoc non animadvertatur suam intra se conversionem facere possunt.

8. Sic igitur inerrantes quidem stellæ et eo qui ex ortibus est motu, et eo qui ex occasibus, cum sphæra firmamenti simul moventur. Sed et errantes, quæ aliis sphæris illigatæ sunt, suis singulæ D et eo qui ad occasus est, et eo qui ad ortus, cum sphæris suis propriis [motu] moventur.

9. Omnes autem sphæræ errantium stellarum septem sunt, quæ inæquales ad se invicem habent magnitudines. **285** Nam prima, secundam; et secunda, sequentem continet; et hoc usque ad ultimam; atque ita continentes contentis necessario majores sunt[35]. Post eam igitur sphæram quæ videtur et dicitur inerrans, prima est Saturni, qui etiam Phænon vocatur, quæ motu erratico per triginta annorum spatium ab eodem [puncto] ad

[35] Arist de mundo c. 2; Ptolomæus Almagesti lib. IX, c. 1 et 3; Cleom. lib. I, c. 3.

OCR ABK / FR

idem revertitur. Intra hanc autem, ea quæ Jovis, qui et Phaeton, quæ duodecim annis integram conversionem absolvit. In hac Pyroentis [id est, ignei] Martis, sphæra comprehenditur, quæ minus ordinatum motum conficit. Videtur autem et hæc biennio et quinque mensibus, et quod excurrit, plenarie converti. Hanc sequitur ea quæ solis, loco omnium medio collocata, quæque integram conversionem [seu revolutionem] anni spatio, diebus videlicet naturalibus trecentis sexaginta quinque et quadrante [diei] absolvit. Et hæc quidem annua solaris sphæræ revolutio anni tempora constituit; ut ea quæ cum inerrante fit circumactio, dies et noctes efficit. Post solarem sphæram, Veneris est. Hæc stella, matutina stella [aurorifer] appellatur[35]: quin et Hesperus [Vesper], isto quidem **286** nomine, quando ante solis ortum emergit; hoc vero, cum sole occidente ad occasus apparet. Hæc sphera periodum obit annuam, ut aliqui ex physicis sentiunt; ut aliqui vero alii, octo mensibus. Sed et aliqui Venerem etiam Luciferum appellant. Veneris sphæram Mercurii, qui et stilbon [quasi radians] dicitur, sphæra excipit sex mensibus et sex diebus suam circumversionem obiens. Alii vero existimant et hanc anni spatio suam periodum absolvere. Accuratiores tamen esse videntur, qui naturalis revolutionis modo dictarum sphærarum tempus anno minus pro ordine earum, quo aliis sphæris subjectæ sunt, pronuntiarunt. Omnium denique sphærarum postrema lunæ est, quæ in ipso est contactu ætheris cum succensione.

10. Quapropter etiam ipsum lunæ corpus, tenebricosum est per se, cum in extremitate ætheris exsistat[37]; certe quod turbatum est [in ea], ut aliquid cum succensione admistum est, sic tamen natura comparatum est corpus istud caliginosum, et lucis expers, ut illuminari lucidumque a solari splendore fieri possit. Hæc lunæ sphæra viginti et septem diebus, et dimidio ferme unius **287** diei propriam revolutionem peragit. Quippe omnium sphærarum minima est.

11. Porro circuli paralleli [æquidistantes] quinque in hoc apparente cœlo intelliguntur[38]; unus quidem maximus circulus, in duas æquales partes sphæram dividens, qui etiam æquinoctialis nominatur. Hujus ex utraque parte duo sunt circuli, æquinoctiali quidem minores, sibi invicem tamen æquales. Vocantur autem tropici [quali dicas conversivi], quia per duo solis puncta tropica circumaguntur. Ad utrumque tropicorum duo alii circuli sunt; unus quidem prope tropicum æstivum, alter vero prope tropicum hibernum. Et hi quidem circuli sibi invicem æquales sunt, quorum borealis quidem, arcticus; qui autem ex adverso, australis videlicet, antarcticus vocatur.

A τῆς πεπλανημένης κινήσεως. Ἐντὸς δὲ ταύτης ἡ τοῦ Διὸς, τοῦ καὶ Φαέθοντος, δωδεκαετίᾳ τὴν ὅλην ἀπεργαζομένη περιστροφήν. Ἐν ταύτῃ τοῦ πυρόεντος Ἄρεος ἡ σφαῖρα περιλαμβάνεται, ἀτακτοτέραν ποιουμένη τὴν κίνησιν. Δοκεῖ δὲ καὶ αὕτη διετίᾳ καὶ πέντε μησὶ, καὶ πρὸς ὁλοτελῶς περιστρέφεσθαι. Μετὰ ταύτην ἡ τοῦ ἡλίου, μέση τεταγμένη πασῶν, καὶ δι' ἐνιαυτοῦ τὴν ἅπασαν ἀπαρτίζουσα περιφοράν· ἤγουν διὰ νυχθημέρων τριακοσίων ἑξήκοντα πέντε καὶ τετάρτου. Αὕτη μὲν οὖν ἡ ἐνιαυσιαία τῆς ἡλιακῆς σφαίρας περιφορὰ τὰς ὥρας ἀποτελεῖ· ἡ δὲ σὺν τῇ ἀπλανεῖ περιαγωγὴ τὰς ἡμέρας καὶ τὰς νύκτας ποιεῖ μετὰ τὴν ἡλιακὴν σφαῖραν ἡ τῆς Ἀφροδίτης. Ἑωσφόρος ὁ ἀστὴρ οὗτος καλεῖται· ἀλλὰ καὶ Ἕσπερος· τὸ μὲν τῆς τοῦ ἡλίου προανισχων B ἐπιτολῆς, τὸ δὲ τοῦ ἡλίου καταδυομένου, φαινόμενος πρὸς δυσμαῖς. Ἡ τοιαύτη σφαῖρα τὴν περίοδον ποιεῖται κατὰ μέν τινας τῶν φυσικῶν ἐνιαυσιαίαν· κατὰ δέ τινας ἐν ὀκτὼ μησί. Καλοῦσι δέ τινες τὴν Ἀφροδίτην καὶ Φωσφόρον. Μετὰ τὴν τῆς Ἀφροδίτης σφαῖραν ἡ τοῦ Ἑρμοῦ τοῦ καὶ στίλβοντος ἐν ἓξ μησὶ καὶ ἡμέραις ἓξ τὴν ἰδίαν ποιουμένη περιστροφήν. Ὑπείληπται δὲ τισιν ἐνιαυσιαίαν καὶ αὕτη τὴν περίοδον ἐκτελεῖν. Ἀκριβέστεροι δὲ μᾶλλον δοκοῦσιν οἱ ἐλάττονα τοῦ ἐνιαυτοῦ ταῖς προσεχῶς εἰρημέναις δυσὶ σφαίραις τὸν τῆς φυσικῆς περιφορᾶς χρόνον ἀποφηνάμενοι, κατὰ τὴν τάξιν τῆς πρὸς τὰς ἄλλας σφαίρας αὐτῶν ὑποβάσεως. Ὑστάτη δὲ πασῶν τῶν σφαιρῶν ἡ τῆς σελήνης ἐστὶ, κατ' αὐτὴν οὖσα τὴν συναφὴν τοῦ αἰθέρος πρὸς τὸ ὑπέκκαυμα.

C

ι'. Διὸ καὶ αὐτὸ τὸ τῆς σελήνης σῶμα ζοφερόν ἐστι καθ' αὑτὸ, πρὸς τὸ πέρας ὂν τοῦ αἰθέρος· τό γε τεθολωμένον ὡς πρὸς τὸ ὑπέκκαυμά τι συμμιγές. Πέφυκε μέντοι τὸ τοιοῦτον σῶμα τῆς σελήνης τὸ ζοφῶδες καὶ ἀλαμπὲς παρὰ τῆς ἡλιακῆς λαμπηδόνος φωτίζεσθαι. Αὕτη τῆς σελήνης ἡ σφαῖρα ἐν ἑπτὰ καὶ εἴκοσιν ἡμέραις καὶ πως ἡμίσει μιᾶς ἡμέρας τὴν οἰκείαν ἀνύει περιφοράν. Σμικροτάτη γάρ ἐστι τῶν ὅλων σφαιρῶν.

ια'. Κύκλοι δὲ πέντε παράλληλοι νοοῦνται κατὰ τὸν οὐρανὸν τοῦτον δὴ τὸν φαινόμενον· εἷς μὲν κύκλος μέγιστος ὁ εἰς δύο τέμνων ἴσα τὴν σφαῖραν· ὃς καὶ ἰσημερινὸς ὀνομάζεται. Τούτου δ' ἑκατέρωσε δύο D κύκλοι, τοῦ μὲν ἰσημερινοῦ μείονες, ἴσοι δ' ἀλλήλοις. Καλοῦνται δὲ τροπικοὶ ὡς διὰ τῶν τροπικῶν τοῦ ἡλίου σημείων περιαγόμενοι. Καθ' ἑκάτερον τῶν τροπικῶν ἕτεροι δύο κύκλοι· εἷς μὲν πλησίον τοῦ θερινοῦ τροπικοῦ, εἷς δὲ πλησίον τοῦ χειμερινοῦ. Καὶ οὗτοι οἱ κύκλοι ἴσοι ἀλλήλοις, ὧν ὁ μὲν βόρειος καλεῖται ἀρκτικός· ὁ δ' αὐτοῦ ἐξ ἐναντίας, ἤγουν ὁ νότιος, ἀνταρκτικός.

[35] Plato ♀ et ☿ supra ⊙ collocat in Timæo p. 1052. [37] Cleom. lib. I, c. 3. [38] Ibid., c. 2; Jov. Pont. lib. III, de r. c. circulos hos in cœlo tantum concipi et imaginarios habendos esse statuit.

OCR ABK / FR

ιβ'. Ὁ μὲν οὖν ἰσημερινὸς καὶ οἱ τροπικοὶ πάντοτέ εἰσιν οἱ αὐτοὶ, καὶ τοὺς αὐτοὺς κατέχοντες τόπους διηνεκῶς. Ὁ δ' ἀρκτικὸς καὶ ἀνταρκτικὸς κατὰ τὰς τῶν κλιμάτων διαφορὰς ἐναλλάσσονται καὶ τοὺς τόπους ἀμείβουσι. Καὶ ποῦ μείζους εἰσὶ καὶ πολὺ τοῖς τροπικοῖς πλησιάζοντες· ποῦ δ' ἐλάττους, καὶ τοῖς πόλοις μάλιστα προσεγγίζοντες. Ἔστι δ' ὅπου καὶ ἀφανίζονται. Μὴ ἀφανιζομένων δ' αὐτῶν, ὁ μὲν ἀόρατός ἐστιν, ὁ δ' ἀεὶ ὁρατός. καὶ τὸ περιεχόμενον ὑπ' αὐτοῦ μέρος τῆς σφαίρας ἅπαν τὸ πρὸς τῷ πόλῳ ἀειφανὲς, ὡς τὸ ὑπὸ τοῦ λοιποῦ περιεχόμενον ἀφανές. Πόλοι δὲ πάντων τῶν παραλλήλων κύκλων οἱ τῆς σφαίρας εἰσίν.

ιγ'. Ἕτερος δὲ νοεῖται μέγιστος κύκλος, διά τε τῶν τροπικῶν καὶ τοῦ ἰσημερινοῦ βεβλημένος λοξῶς· καθ' ἓν μὲν σημεῖον ψαύων ἑκατέρου τῶν τροπικῶν· εἰς ἴσα δὲ δύο κατὰ δύο σημεῖα τέμνων τὸν ἰσημερινόν. Οὗτος ὁ λοξὸς κύκλος καλεῖται Ζωδιακός· ἔστι δὲ πλατὺς καὶ φέρων ἄστρα πολλὰ, σκιαγραφοῦν τά πως ζῶά τινα. Ἐκ τῆς τοιαύτης σκιαγραφίας τῆς συγκεχυμένης καὶ ἀμυδρᾶς ἐκλήθη παρὰ τῶν ἀρχαίων ἀστρολόγων ζωοφόρος καὶ Ζωδιακός· καὶ τὰ σκιαγραφήματα ἐκλήθησαν Ζώδια. Τὸ πλάτος οὖν τοῦ ζῳδιακοῦ τρεῖς διαιροῦσι κύκλοι καὶ διανέμονται. Καὶ ὁ μὲν αὐτῶν μέσος ἔστι τε καὶ λέγεται. τούτου δ' οἱ ἑκατέρωθι ὠνομάσθησαν ὁ μὲν βόρειος, ὁ δὲ νότιος, ἐκ τῶν τοῦ κόσμου μερῶν οἷς προσπελάζουσι κληρωσάμενοι τὰ ὀνόματα.

ιδ'. Ἕτερος παρὰ τὸν ζῳδιακὸν καὶ τὸν ἰσημερινὸν, μέγιστος καὶ αὐτὸς, νοεῖται κύκλος, ὁ διαιρῶν ἡμῖν τὸ τῆς σφαίρας φανερὸν ἐκ τοῦ ἀφανοῦς, ὃς καὶ ὁρίζων διὰ τοῦτο προσαγορεύεται. Μέγιστος δὲ ἐστι καὶ αὐτὸς, ἐπείπερ εἰς ἴσα δύο τὸν κόσμον διαιρεῖ. Πάντες γὰρ οἱ μέγιστοι κύκλοι τήν τε σφαῖραν καὶ ἀλλήλους εἰς ἴσα μέρη τέμνουσιν ἀναγκαίως καὶ ἴσοι ἀλλήλοις εἰσί.

ιε'. Τούτων οὕτως ἐχόντων οἱ πλάνητες ἅπαντες τὴν ἐναντίαν τῷ στερεώματι κατὰ τὸ δοκοῦν κίνησιν κινούμενοι, καὶ ἄλλοτ' ἐν ἄλλοις τοῦ κόσμου φαινόμενοι μέρεσιν, οὐκ ἄτακτον ποιοῦνται τὴν κίνησιν· οὐδὲ δι' ὧν ἔτυχε τοῦ κόσμου φέρονται μερῶν, ἀλλ' ὑπὸ τὸν ζῳδιακὸν ἀεὶ στρέφονται. Καὶ ὁ μὲν ἥλιος, ἀπὸ τροπῶν διαβαίνων ἐπὶ τροπὰς, τοῖς βορείοις μὲν καὶ τοῖς νοτίοις προσπελάζει τοῦ κόσμου μέρεσιν· οὐδέποτε δὲ τὰ ὑπὸ τὸν ζῳδιακὸν βόρεια ἢ νότια καταλαμβάνει, τὸν μεσαίτατον ἀεὶ τέμνων κύκλον τὸν καὶ ἡλιακὸν διὰ τοῦτο καλούμενον. Οἱ δὲ λοιποὶ πλάνητες καὶ τοῦ κόσμου τοῖς βορείοις καὶ τοῖς νοτίοις προσπελάζουσι μέρεσιν· ἀλλὰ δὴ καὶ αὐτοῦ τοῦ ὑποτείνοντος τὸν Ζῳδιακὸν κύκλον. Καὶ γὰρ ἑλικοειδῶς ἐν αὐτῷ κινοῦνται, κατιόντες ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια· κἀκεῖθεν πάλιν ἀνιόντες ἐπὶ τὰ βόρεια· καὶ οὕτω (καὶ) τὸν ἡλιακὸν παραμείβοντες.

A 12. Æquinoctialis igitur et tropici ubique iidem sunt eademque etiam semper occupant loca, at arcticus et antarcticus secundum climatum differentias variant et loca mutant. Et alicubi quidem majores sunt, multumque tropicis appropinquant; alicubi autem minores et proxime ad polos accedunt. Sed et alicubi evanescunt. Quando autem non evanescunt, unus quidem **288** invisibilis; alter vero semper est visibilis; et universa sphæræ pars quæ ab ipso ad polum usque comprehenditur, semper conspicitur; quemadmodum quæ ab altero continetur non conspicitur. Atqui poli parallelorum omnium sunt illi, qui et sphæræ sunt.

13. Porro [39] alius circulus maximus intelligitur, qui per tropicos et æquatorem oblique interjectus B est; qui uno quidem puncto utrumque tropicorum attingit, in duas autem æquales partes in duobus punctis æquinoctialem dividit. Hic obliquus circulus etiam Zodiacus vocatur. Estque latus circulus et multa complectitur sidera, quæ animalia quædam adumbrant et repræsentant. Ex confusa hac et obscura adumbratione et repræsentatione ab antiquis astrologis, signifer et zodiacus vocatus fuit [40]; et imagines, animalcula et [alias signa] vocatæ sunt. Latitudinem proin zodiaci tres circuli dividunt et partiuntur [41]. Et unus quidem eorum, medius est et dicitur: ab hoc autem, qui ad utrumque latus sunt, unus quidem borealis, alter australis nominati sunt: a mundi partibus quibus appropinquant, nomina sortiti.

14. Alius præter zodiacum et æquinoctialem circulus C **289** et ipse maximus intelligitur, qui partem sphæræ conspicuam ab inconspicua nobis dividit, quique propterea horizon [id est finitor] appellatur. Maximus autem et ipse est, quando quidem in duas æquales partes mundum dividit. Omnes enim circuli maximi, cum sphæram, tum se invicem in æquales partes secant necessario, et sibi invicem æquales sunt.

15. Hæc cum ita se habeant [42], errantes stellæ omnes quæ contrario firmamento ut videtur motu moventur, et alias in aliis mundi partibus conspiciuntur, haud inordinato motu incedunt, nec per quasvis promiscue mundi partes feruntur, sed sub zodiaco semper convertuntur. Et sol quidem a conversionibus [solstitio] ad conversiones [solstitium] D digrediens, ad boreales quidem et australes partes accedit, nunquam autem boreales aut australes sub zodiaco partes occupat, medium scilicet circulum semper secans, qui etiam ob id solaris vocitatur. Cæteræ vero errantes stellæ, cum mundi borealibus australibusque, tum vero etiam illius circuli, qui zodiacum subtendit, partibus admoventur. Oblique enim et flexuose in eo a borealibus ad australes partes **290** descendendo, et hinc rursus ad boreales ascendendo, itaque solarem permutando circulum moventur.

[39] Cleom. lib. II, c. 4. [40] Jov. Pont. lib. II de r. c., p. 128. [41] Cleom. l. I, c. 4. [42] Ibid.

OCR ABK / FR

16. Luna proin[43] plus aliis stellis errantibus a medio et solari circulo] recedere dicitur, dum erratico suo motu ad boreales et australes Zodiaco subjectas partes accedit. Hinc Venus utrinque ad partes quinque, Mercurius ad quatuor; Mars et Jupiter ad duas cum semisse, Saturnus ad unam partem.

ις'. Ἡ μὲν οὖν σελήνη πλέον τῶν ἄλλων πλανήτων ἀποχωρεῖν λέγεται τοῦ μέσου καὶ ἡλιακοῦ, κατὰ τὴν πλανητικὴν αὐτῆς κίνησιν, προσιοῦσα τοῖς τε βορείοις, καὶ τοῖς νοτίοις, τοῖς ὑπὸ τὸν Ζωδιακόν. Μετὰ ταύτην ἡ Ἀφροδίτη ἑκατέρωθι ἀνὰ μοίρας πέντε· Ἑρμῆς δὲ ἀνὰ τέσσαρας· Ἄρης δὲ καὶ Ζεὺς ἀνὰ δύο καὶ ἥμισυ μοίρας μιᾶς· Κρόνος δὲ ἀνὰ μοῖραν μίαν.

17. Quando igitur[44] planetæ a boreali circulo ut ad medium feruntur, sublimiter deprimi; quando autem medio permutato ad australem accedunt, humiliter deprimi; contra ex australi ad medium proficiscentes, humiliter attolli: at cum medium prætervecti ad borealem appropinquant, sublimiter attolli dicuntur. Accidit enim ut boreales zodiaci partes apud nos attollantur; australes autem, horizonti propiores videantur, propterea quod mundus a borealibus ad australes partes inclinatus sit in orbe habitabili, quem nos novimus et incolimus.

ιζ'. Ὁπόταν οὖν οἱ πλάνητες ἀπὸ τοῦ βορείου κύκλου ὡς ἐπὶ τὸν μέσον φέροιντο, ὕψος ταπεινοῦσθαι λέγονται· ὁπόταν δὲ τὸν μέσον παραλλάξαντες τῷ νοτίῳ προσχωροῖεν ταπείνωμα ταπεινοῦσθαι· ἐκ τοῦ νοτίου δὲ φερόμενοι πρὸς τὸν μέσον, ταπείνωμα ὑψοῦσθαι λέγονται· ἐπειδὰν δὲ τὸν μέσον ἀμείψαντες τῷ βορείῳ πελάζοιεν, ὕψος ὑψοῦσθαι. Συμβέβηκε γὰρ τὰ μὲν βόρεια τοῦ Ζωδιακοῦ καθ' ἡμᾶς ἐπὶ πολὺ τοῦ ὁρίζοντος ἐξῆρθαι· τὰ δὲ νότια πλησιαίτερα φαίνεσθαι τῷ ὁρίζοντι, διὰ τὸ ἐγκεκλίσθαι τὸν κόσμον ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια, καθ' ἣν οἴδαμεν οἰκουμένην.

18. Conformantur[45] porro ad sese invicem planetæ quinque configurationibus: conjunctione, sexangulari [sextili], quadrangulari [quadrato], triangulari [trino], et demetiente **291** [opposito] aspectu. Cum enim zodiacus in duodecim segmenta, quæ etiam signa vocantur, divisus sit, et rursus quodlibet segmentum in triginta partes [gradus]; sicque etiam circuli sub zodiaco, in quibus planetæ moventur, dividantur: quando duæ stellæ sub ejusdem signi eadem parte reperiuntur, coire [conjungi]; quando autem una quidem sub aliquo fertur signo, altera autem sub tertio abhinc in iisdem partibus, sexangularem aspectum habere dicuntur. Nam sexies duo, sunt duodecim. Estque duorum signorum intervallum, sexanguli latus: quemadmodum trium, quadranguli (quater enim tria, sunt duodecim). At quatuor [signorum intervallum] trianguli (etenim ter quatuor sunt duodecim); at sex signorum interstitium est, diameter; qui in æquales circulum partes dividit. Cum igitur inter medium duarum stellarum intervallum fuerit partium sexaginta, sexangularem stellæ configurationem; cum autem nonaginta fuerit partium, quadrangularem; cum centum et viginti, triangularem; cum centum et octoginta, diametrum faciunt.

ιη'. Σχηματίζονται δὲ πρὸς ἀλλήλους οἱ πλάνητες πέντε σχηματισμοῖς· συνόδῳ ἑξαγώνῳ, τετραγώνῳ, τριγώνῳ καὶ διαμέτρῳ. Τοῦ γὰρ ζωδιακοῦ διῃρημένου εἰς τμήματα ιβ', τὰ καὶ ζώδια κεκλημένα καὶ τῶν τμημάτων ἑκάστου πάλιν εἰς τριάκοντα μοίρας· οὕτω δὲ καὶ τῶν ὑπὸ τὸν ζωδιακὸν κύκλων διαιρουμένων ἐφ' οὓς οἱ πλάνητες φέρονται· ὁπόταν δύο ἀστέρες ὑπὸ τὴν αὐτὴν μοῖραν τοῦ αὐτοῦ ζωδίου εὑρίσκοιντο, συνοδεύειν λέγονται· ἂν δ' ὁ μὲν ὑπό τι φέροιτο ζώδιον, ὁ δ' ἕτερος ὑπὸ τὸ ἀπ' αὐτοῦ τρίτον ὑπὸ τὰς αὐτὰς μοίρας, ἑξαγωνίζειν. Ἑξάκις γὰρ τὰ δύο δώδεκα, καὶ ἔστι διάστημα τῶν δύο ζωδίων ἑξαγώνου πλευρὰ ὥσπερ τῶν τριῶν τετραγώνου. Τετράκις γὰρ τὰ τρία δώδεκα. Τῶν δὲ τεσσάρων, τριγώνου. Τρὶς γὰρ τὰ τέσσαρα δώδεκα· τῶν δ' ἓξ ζωδίων τὸ διάστημα διάμετρος, εἰς ἴσα διαιροῦσα τὸν κύκλον. Ὅταν οὖν μεταξὺ δύο ἀστέρων διάστημα εἴη μοιρῶν ἑξήκοντα, ἑξαγωνίζουσιν ἀλλήλους οἱ ἀστέρες· ὅταν δὲ μοιρῶν ἐνενήκοντα, τετραγωνίζουσιν· ὅταν δὲ μοιρῶν εἴκοσι πρὸς ταῖς ἑκατὸν, τριγωνίζουσι· ὅταν δ' ὀγδοήκοντα πρὸς ταῖς ἑκατὸν, διαμετροῦσιν.

19. Ac Saturnus quidem, et Jupiter, et Mars, **292** et luna[46] omni configuratione ad solem figurantur. Ad quodvis enim ab eo intervallum secedunt. At Venus et Mercurius non ad quodvis a sole intervallum abeunt; sed Mercurius quidem ad summum, viginti partibus, Venus vero ad summum, partibus quinquaginta.

ιθ'. Ὁ μὲν οὖν Κρόνος καὶ ὁ Ζεὺς καὶ ὁ Ἄρης καὶ ἡ σελήνη, πάντα σχηματισμὸν σχηματίζονται πρὸς τὸν ἥλιον. Ἀφίστανται γὰρ διάστημα πᾶν ἀπ' αὐτοῦ. Ἡ δ' Ἀφροδίτη καὶ ὁ Ἑρμῆς οὐκ ἀφίστανται τοῦ ἡλίου διάστημα πᾶν· ἀλλ' ὁ μὲν Ἑρμῆς τὸ πλεῖστον μοιρῶν εἴκοσιν· ἡ δ' Ἀφροδίτη τὸ πλεῖστον μοιρῶν πεντήκοντα.

20. Conjunctionem autem cum sole faciunt, Saturnus quidem, trecentis et septuaginta octo diebus, Jupiter trecentis et nonaginta octo, Mars septingentis et octoginta, Venus quingentis et octoginta quatuor, Mercurius centum et decem; et

κ'. Σύνοδον δὲ πρὸς ἥλιον ποιοῦνται Κρόνος μὲν δι' ἡμερῶν ὀκτὼ καὶ ἑβδομήκοντα πρὸς ταῖς τριακοσίαις· Ζεὺς δὲ δι' ὀκτὼ καὶ ἐνενήκοντα πρὸς ταῖς τριακοσίαις· Ἄρης δὲ δι' ὀγδοήκοντα πρὸς ταῖς ἑπτακοσίαις· Ἀφροδίτη δὲ διὰ τεσσάρων καὶ ὀγδοη-

[43] Cleom. l. II, c. 7. [44] Ibid. c. 4. [45] Jov. Pont. lib. I de r. c., p. 108. [46] Cleom. lib. II, c. 7.

OCR ABK / FR

κοντα πρὸς ταῖς πεντακοσίαις· Ἑρμῆς διὰ δέκα καὶ ἑκατὸν καὶ μέσως τούτου γινομένου· σελήνη δὲ δι' ἡμερῶν τοὐπίπαν τριάκοντα.

κα'. Τῶν δὲ δώδεκα Ζωδίων τὰ ὀνόματα καὶ οἱ χαρακτῆρες ἔχουσιν οὕτως· Κριὸς, Ταῦρος, Δίδυμοι. Καρκῖνος, Λέων, Παρθένος, Ζυγὸς, Σκορπίος, Τοξότης, Αἰγόκερως, Ὑδροχόος, καὶ Ἰχθύες.

κβ'. Τοῦ μὲν οὖν ὑπὸ τὸν Κριὸν τμήματος τοῦ μέσου κύκλου καὶ ἡλιακοῦ τῆς ἀρχῆς ὁ ἥλιος ἁπτόμενος ἐν τῇ πρώτῃ καὶ εἰκοστῇ τοῦ Μαρτίου μηνὸς ἐαρινὴν ἰσημερίαν ποιεῖ· τοῦ δ' ὑπὸ τὸν Ζυγὸν τῆς ἀρχῆς ἐν τῇ πέμπτῃ καὶ εἰκοστῇ τοῦ Σεπτεμβρίου φθινοπωρινὴν ἰσημερίαν· μεταξὺ δὲ τῶν δύο ἰσημεριῶν αἱ τροπαὶ γίνονται· κατὰ τὸ μέσον τῆς τρίτης καὶ εἰκοστῆς τοῦ Ἰουνίου ἡ θερινὴ, ἀρχομένου τοῦ ἡλίου τὸ ὑπὸ τὸν Καρκῖνον διατρέχειν τμῆμα· κατὰ δὲ τὴν πέμπτην καὶ εἰκοστὴν τοῦ Δεκεμβρίου ἡ χειμερινὴ, τὸ ὑπὸ τὸν Αἰγόκερων τμῆμα τοῦ ἡλίου πεφθακότος.

κγ'. Μετὰ μὲν οὖν τὴν ἐαρινὴν ἰσημερίαν ὑπὸ τὸν Ταῦρον ὁ ἥλιος γίνεται καὶ κατὰ τὴν τρίτην τοῦ Ἀπριλλίου καὶ εἰκοστήν· εἶθ' ὑπὸ τοὺς Διδύμους κατὰ τὴν τρίτην τοῦ Μαΐου καὶ εἰκοστήν· μετὰ δὲ τὴν θερινὴν τροπὴν ὑπὸ τὸν Λέοντα ὁ ἥλιος ἔρχεται τῇ πέμπτῃ τοῦ Ἰουλίου μηνὸς καὶ εἰκοστῇ· μετὰ τοῦθ' ὑπὸ τὴν Παρθένον τῇ πέμπτῃ τοῦ Αὐγούστου καὶ εἰκοστῇ· μετὰ τὴν φθινοπωρινὴν ἰσημερίαν τὸ ὑπὸ τὸν Σκορπίον τμῆμα τὸν ἥλιον δέχεται τῇ πέμπτῃ τοῦ Ὀκτωβρίου καὶ εἰκοστῇ· μετ' αὐτὸ τὸ ὑπὸ τὸν Τοξότην τῇ πέμπτῃ καὶ εἰκοστῇ τοῦ Νοεμβρίου· μετὰ δὲ τὴν χειμερινὴν τροπὴν ὁ ἥλιος ὑπὸ τὸν Ὑδροχόον ἀφικνεῖται κατὰ τὴν τοῦ Ἰανουαρίου εἰκοστήν· ἔκτοτε κατὰ τὴν τοῦ Φεβρουαρίου εἰκοστὴν ὑπὸ τοὺς Ἰχθύας.

κδ'. Τοῦ Ζωδιακοῦ δὲ διῃρημένου εἰς ἴσα τμήματα δυοκαίδεκα τὰ λεγόμενα ζώδια, τῶν ζωδίων ἕκαστον εἰς τριάκοντα μοίρας διῄρηται, ἤγουν τρεῖς δεκανούς. Δέκα γὰρ ἔχει μοίρας ὁ δεκανός. Μία δ' ἑκάστη μοῖρα τέμνεται λεπτοῖς πρώτοις ἑξήκοντα. Τούτων δ' ἕκαστον ὑποδιαιρεῖται πάλιν εἰς ἕτερα ἑξήκοντα λεπτὰ δεύτερα· καὶ τῶν δευτέρων ἕκαστον εἰς ἄλλα ἑξήκοντα τρίτα λεπτά. Καὶ τοῦτο τοῖς ἀστρολόγοις ἐνεργεῖται μέχρι συμπληρώσεως τοῦ τῆς δωδεκάδος ποσοῦ. Τῇ δὲ φύσει πᾶν μέγεθος ἐπ' ἄπειρον διαιρετόν.

κε'. Τετήρηται δὲ δι' ὀργάνων, ὡς ἡ μεταξὺ τῶν τροπικῶν περιφέρεια, ἥτις καὶ μέση καλεῖται ζώνη, μοιρῶν ἐστιν ὀκτὼ πρὸς ταῖς τεσσαράκοντα. Ἡ ταύτης λοιπὸν ἡμίσεια μοιρῶν ἔσται τεσσάρων καὶ εἴκοσιν, ἥτις ἐστὶν ἐξ ἑνὸς τῶν τροπικῶν, μέχρι τοῦ ἰσημερινοῦ. Πᾶσα δ' ἡ μεταξὺ τῶν τροπικῶν περιφέρεια ἐκ τοῦ ἑνὸς οὖσα μέρους ὀκτὼ μοιρῶν πρὸς ταῖς τεσσαράκοντα· κἀκ τοῦ ἑτέρου μέρους τῶν αὐτῶν ἔσται μοιρῶν. Παράλληλοι γὰρ οἱ κύκλοι.

hic si medius exsistat; luna denique diebus triginta ferme [47].

21. Porro duodecim signorum nomina et characteres ita se habent: Aries ♈, Taurus ♉, Gemini ♊, Cancer ♋, Leo ♌, Virgo, ♍, Libra, ♎ Scorpius ♏, Sagittarius ♐, Capricornus ♑, Aquarius ♒, et Pisces ♓.

22. Quando proinde segmenti sub Ariete in medio et solari circulo principium sol attingit vicesimo primo mensis Martii, vernale æquinoctium: quando autem ejus [segmenti] quod est sub Libra principium [attingit], die vicesimo quinto Septembris, æquinoctium autumnale efficit. Inter duo **293** vero æquinoctia, conversiones [solis] fiunt; die medio vicesimo tertio Junii, æstiva, quando sol segmentum sub Cancro percurrere incipit; at vicesimo quinto Decembris, hiberna, quando sol segmentum sub Capricorno assecutus fuerit.

23. Post vernum proinde æquinoctium sol sub Taurum venit, idque vicesimo tertio Aprilis; dein subter Geminos vicesimo tertio Maii. Post conversionem æstivam sub Leonem sol venit vicesimo quinto mensis Julii; hunc sub Virginem vicesimo primo Augusti; post autumnale æquinoctium segmentum quod est sub Scorpio solem accipit, vicesimo quinto Octobris. Ab hoc id, quod sub Sagittario est, vicesimo quinto Novembris. Post hibernam conversionem sol sub Aquarium pervenit vicesimo Januarii; exinde sub Pisces vicesimo Februarii.

24. Cum autem Zodiacus in duodecim æqualia segmenta divisus sit, quæ animalcula seu signa dicuntur: quodlibet signum in triginta partes [quas communiter gradus vocant [48]] hoc est, in tres decanos [decurias] divisum est. Decem enim partes habet decuria. At quævis pars in sexaginta prima minuta dividitur; et rursus horum **294** quodvis in alia sexaginta secunda minuta subdivitur, et secundorum quodlibet in alia sexaginta tertia minuta, idque tantisper fit ab astrologis, donec duodenarii quantitatem compleant. Alias vero natura, omnis magnitudo in infinitum potest dividi.

25. Observatum autem est per instrumenta, circumferentiam intra tropicos, quæ etiam zona media vocatur, partium esse quadraginta octo; illius proinde media circumferentia, quæ est ab uno tropicorum ad æquinoctialem partium viginti quatuor erit. Universa autem inter tropicos interjecta circumferentia cum ex una parte sit graduum quadraginta octo, ex altera etiam parte totidem erit partium. Etenim circuli paralleli [hoc est,

[47] Vide Joan. de Sacro Busto in Computo ecclesiastico: et Munsterum de horologiorum descriptione, lib. II, p. 166. [48] Jov. Pont. lib. I, de r. c., p. 114.

OCR ABK / FR

æquidistantes] sunt. Sic igitur æqualia duo inter tropicos intervenientia segmenta erunt partium nonaginta sex, maximi nimirum circuli sphæræ; cujus quidem circuli maximi cum sit trecentarum sexaginta partium, circumferentia ab utroque polo ad vicinum tropicum erit partium sexaginta sex. Quater enim sexaginta sex partes si invicem conjungantur, ducentæ fiunt sexaginta quatuor: **295** quibus si nonaginta sex adjungantur, trecentæ sexaginta sex partes colliguntur, in quas Zodiacus et quivis alius circulus maximus dividitur.

26. Cum igitur firmamenti ambitus tot sit partium, diameter pauciorum quam centum et viginti erit partium. Si enim quæ ex centro [ducitur linea], et sexanguli quod in eumdem inscribitur circulum latus [49], æqualia sunt invicem; quemadmodum ex decimo quinto theoremate libri quarti Elementorum per porisma illatum est, tertia pars circumferentiæ diametro æqualis non erit. Duo enim sexanguli latera, diameter sunt; quoniam duæ est ex centro [ductæ lineæ]: et subdividunt duo sexanguli latera, duo circumferentiæ segmenta; quorum utrumque sigillatim est sexta pars maximi circuli sphæræ. Atqui duo simul [segmenta] tertia [circuli pars exsistunt]. Quod si igitur totus circumferentiæ ambitus trecentarum est et sexaginta partium, tertia illius centum et viginti est partium. Quod si quidem recta (linea) circumferentiæ æqualis esset, diameter etiam centum et viginti partium esset. Quoniam autem recta minor est, quam circumferientia quam **296** subtendit: ea de causa etiam diameter pauciorum quam centum et viginti erit partium. Unde si secundum Archimedis sectatores omnis scilicet sphæra omnisque circulus ad suam diametrum habet rationem triplam sesquiseptimam quam proxime, hoc est, triplum diametri et [unam] septimam diametri, non accurate tamen; erit illa quidem quæ ex centro [ducitur] quinquaginta septem partium cum aliqua unius partis portiuncula. Cum autem diameter dupla sit illius [lineæ] quæ ex centro [ducitur], centum et quatordecim partium [erit] accuratione seposita.

27. Porro sphæræ quæ primæ et revera inerranti in adversum vertuntur, ad contrarium impulsum celerrimæ istius conversionis, et tantæ velocitatis in cursu repressionem factæ esse dicuntur: ut hinc naturali etiam ratione universum a sapiente omnium rerum et ipsius naturæ conditore contineretur, nec propter summam motus celeritatem distraheretur; motu [nimirum] qui in contrarium nititur resistente, et impetus vehementiam sustinente.

28. Ejus igitur sphæræ quæ astris prædita est, et cernitur, quæ primo et fortiter **297** cœlo obvertitur, quæque inerrans putatur et dicitur, cum Zodiacum per seipsam oblique projectum, inque duo-

Ὄντως οὖν ἔσονται μοιρῶν ἓξ πρὸς ταῖς ἐνενήκοντα, τὰ μεταξὺ τῶν τροπικῶν δύο ἴσα τμήματα τοῦ μεγίστου κύκλου τῆς σφαίρας· οὗ δὴ κύκλου μεγίστου ἑξήκοντα καὶ τριακοσίων ὄντος μοιρῶν, ἡ ἐξ ἑκατέρου τῶν πόλων, πρὸς τὸν ἐγγὺς τροπικὸν περιφέρεια ἔσται μοιρῶν ἓξ καὶ ἑξήκοντα· τετράκις γὰρ αἱ ἓξ καὶ ἑξήκοντα μοῖραι συντιθέμεναι πρὸς ἀλλήλας, τέσσαρες πρὸς ἑξήκοντα γίνονται καὶ διακοσίαις. Ταύταις τῶν ἓξ προστιθεμένων καὶ ἐνενήκοντα αἱ ἑξήκοντα πρὸς ταῖς τριακοσίαις μοῖραι συνάγονται, εἰς ἃς ὁ ζωδιακὸς διαιρεῖται καὶ πᾶς ἄλλος μέγιστος κύκλος.

κϛʹ. Τῆς περιμέτρου τοίνυν τοῦ στερεώματος τοσούτων οὔσης μοιρῶν, ἡ διάμετρος ἔσται μοιρῶν ἐλαττόνων ἢ εἴκοσι πρὸς ταῖς ἑκατόν. Εἰ γὰρ ἡ ἐκ τοῦ κέντρου καὶ ἡ τοῦ ἑξαγώνου πλευρὰ τοῦ εἰς τὸν αὐτὸν ἐγγραφομένου κύκλον ἴσαι ἀλλήλαις εἰσὶν, ὡς ἐκ τοῦ πεντεκαιδεκάτου θεωρήματος τοῦ τετάρτου βιβλίου τῶν στοιχείων πεπόρισται· οὐκ ἂν εἴη τὸ τρίτον τῆς περιφερείας ἴσον τῇ διαμέτρῳ. Δύο μὲν γὰρ ἑξαγώνου πλευραὶ ἡ διάμετρος· ἐπεὶ δύο ἐκ τοῦ κέντρου. Καὶ ὑποτείνουσιν αἱ δύο τοῦ ἑξαγώνου πλευραὶ δύο τμήματα τῆς περιφερείας· ὧν ἕκαστον ἕκτον μέρος τοῦ μεγίστου κύκλου τῆς σφαίρας· ὁμοῦ δὲ τὰ δύο τρίτον. Εἰ τοίνυν ἡ ὅλη τῆς περιφερείας περίμετρος ἑξήκοντα καὶ τριακοσίων μοιρῶν, τὸ τρίτον ταύτης εἴκοσι μοιρῶν πρὸς ταῖς ἑκατόν. Εἰ μὲν οὖν ἴση ἦν ἡ εὐθεῖα τῇ περιφερείᾳ, ἦν ἂν καὶ ἡ διάμετρος μοιρῶν εἴκοσι πρὸς ταῖς ἑκατόν· ἐπεὶ δ' ἐλάττων ἡ εὐθεῖα τῆς περιφερείας ἣν ὑποτείνει, διὰ τοῦτο καὶ ἡ διάμετρος ἐλαττόνων ἔσται μοιρῶν ἢ εἴκοσι πρὸς ταῖς ἑκατόν. Ὅθεν ἡ κατὰ τοὺς περὶ Ἀρχιμήδην πᾶσα δὴ σφαῖρα καὶ πᾶς κύκλος λόγον ἔχει πρὸς τὴν οἰκείαν διάμετρον ὡς ἔγγιστα τριπλασιεφέβδομον, ἤγουν τὸ τριπλάσιον τῆς διαμέτρου καὶ τὸ ἕβδομον τῆς διαμέτρου, μὴ κατ' ἀκρίβειαν· ἔσται μὲν ἡ ἐκ τοῦ κέντρου μοιρῶν ἑπτὰ καὶ πεντήκοντα μετά τινος μορίου μοίρας· ἡ δὲ διάμετρος διπλασίων οὖσα τῆς ἐκ τοῦ κέντρου μοιρῶν τεσσάρων καὶ δέκα πρὸς ἑκατὸν οὐ κατ' ἀκρίβειαν.

κζʹ. Αἱ δ' ἀντιφερόμεναι σφαῖραι τῇ πρώτῃ καὶ ὄντως ἀπλανεῖ πρὸς ἀντώθησιν λέγονται γεγονέναι τῆς ὀξυτάτης φορᾶς ἐκείνης, καὶ τῆς ἐπὶ τοσοῦτον ταχυδρομίας ἀναστολὴν, ἵν' ἐντεῦθεν καὶ φυσικῷ λόγῳ τὸ πᾶν συνέχηται παρὰ τοῦ σοφοῦ πάντων τῶν ὄντων καὶ αὐτῆς τῆς φύσεως δημιουργοῦ, καὶ μὴ διὰ τὴν ἄκραν ὀξυκινησίαν παρασυρῇ, τῆς ἀντιῤῥόπου κινήσεως ἀντερειδούσης καὶ ἀντεχούσης πρὸς τὸ τῆς ῥύμης σφοδρότατον.

κηʹ. Τῆς τοίνυν ἐνάστρου σφαίρας καὶ ὁρωμένης τῆς πρώτως καὶ ἰσχυρῶς ἀντιφερομένης τῷ οὐρανῷ καὶ ἀπλανοῦς δοκούσης καὶ λεγομένης τὸν Ζωδιακὸν ἐχούσης βεβλημένον ταύτης μέσον λοξῶς, εἰς ἴσα

[49] Eucl. lib. IV, Theor. 15.

OCR ABK / FR

τε δυοκαίδεκα τμήματα διῃρημένον, οἱ τῶν ἀστρολόγων ἀρχαιότεροι τὰ τοιαῦτα δυοκαίδεκα τμήματα καὶ ζώδια καλούμενα οὐ τῆς αὐτῆς καὶ μιᾶς ὑπέλαβον εἶναι κράσεως, ἀλλὰ διαφέρει ἀλλήλων κατά τε θερμότητα καὶ ψυχρότητα, κατά τε ξηρότητα καὶ ὑγρότητα.

κθ'. Τοῦτο δὲ κἀν τοῖς πλάνησι πεποιήκασι· καὶ τινὰς μὲν αὐτῶν θερμοὺς εἶναι, τινὰς δὲ ψυχροὺς καὶ τινὰς μὲν ξηρούς, τινὰς δὲ ὑγροὺς ἀπεφήναντο· καὶ ἄλλους ἄλλων θερμοτέρους τυγχάνειν ἢ ψυχροτέρους καὶ ξηροτέρους ἢ ὑγροτέρους.

λ'. Τοῖς οὖν ἑπτὰ πλάνησιν εἰς οἴκους τὰ δώδεκα ζώδια διενείμαντο, ταῖς αὐτῶν ἰδιότησι καταλλήλους τοὺς οἴκους θέμενοι. Διὸ τῷ μὲν ἡλίῳ οἷα θερμοτάτῳ δεδώκασιν οἶκον τὸν Λέοντα τὸ παρ' αὐτοῖς κριθὲν θερμότατον ζώδιον· ὡς ὑγροτάτῃ δὲ τῇ σελήνῃ τὸν Καρκῖνον ζώδιον ὑγρότατον αὐτοῖς λογισθέντα· τοῖς δὲ λοιποῖς πλάνησιν ἀνὰ δύο ζώδια δεδώκασιν οἴκους ταῖς αὐτῶν ἰδιότησιν ὡς ὑπέλαβον προσφυῶς· ἀλλὰ δὴ καὶ ὑψώματα καὶ ταπεινώματα καὶ ἐναντιώματα προσεξεῦρον πᾶσι τοῖς πλάνησιν. Ἔχει τοίνυν κατ' αὐτοὺς ὁ ἥλιος οἶκον τὸν Λέοντα, τὸ θερμότατον ζώδιον ὁ θερμότατος. Ὅθεν καὶ τὸ τοιοῦτον ὑπερχόμενος ζώδιον, αὔξει τὴν οἰκείαν θερμότητα· καὶ οἶκος μὲν ἡλίου ὁ Λέων· ὕψωμα ὁ Κριός· ταπείνωμα ὁ Ζυγός· ἐναντίωμα ὁ Ὑδροχόος. Ὕψωμα μὲν ὁ Κριός, ἐπείπερ ὅταν ὁ ἥλιος τὸ ὑπὸ τὸν Κριὸν ἄρχηται τμῆμα διέρχεσθαι, ἄρχεται καὶ ὑψοῦσθαι τοῖς ὑψηλοτέροις τοῦ κόσμου μέρεσιν, ἤγουν τοῖς βορειοτέροις, ἐκ τῶν νοτιωτέρων καὶ ταπεινοτέρων ἐπιδημῶν. Τὴν ἐαρινὴν οὖν ἐκτελέσας ἰσημερίαν, τὰς ἡμέρας μείζους ποιεῖ· ταπείνωμα ὁ Ζυγός, ὅτι τὸ ὑπὸ τὸν Ζυγὸν ἀρχόμενος ὁ ἥλιος τμῆμα διέρχεσθαι, ταπεινοῦται, τοῖς κόσμου ταπεινοτέροις μέρεσιν, ἤγουν τὰς νοτιωτέροις, πλησιάζων, καὶ τὴν φθινοπωρινὴν ποιήσας ἰσημερίαν ἐλάττους ἐργάζεται τὰς ἡμέρας· ἐναντίωμα ὁ Ὑδροχόος, ὅτι χειμερινώτατον τὸ ζώδιον καὶ ψυχρότατον, καὶ ἀντίκειται τῷ θερμοτάτῳ ἡλίῳ· καὶ τῷ Λέοντι δὲ τῷ τοῦ ἡλίου οἴκῳ καὶ κατὰ ποιότητα καὶ κατὰ τόπον ἀντίκειται κατὰ διάμετρον ὤν.

λα'. Ἐκ τούτων δῆλον διὰ τί κἀν τοῖς ἄλλοις πλάνησιν οἶκοι καὶ ὑψώματα καὶ ταπεινώματα καὶ ἐναντιώματα λέγονται. Οἶκοι μὲν γὰρ διὰ τὴν οἰκειότητα καὶ τὸ προσφυὲς καὶ κατάλληλον· ὑψώματα, διότι ἐντεῦθεν οἱ πλάνητες ἄρχονται πρὸς τὰ ὑπὸ τὸν ζωδιακὸν βορειότερα γίνεσθαι τὸ μέσον αὐτοῦ παραμείβοντες· ταπεινώματα, διότι πρὸς τὸ τοῦ Ζωδιακοῦ νότιον ἔνθεν ἄρχονται ὑποφέρεσθαι, τὸ τοῦ ζωδιακοῦ μέσον καὶ αὖθις ὑπεξαλλάττοντες· ἐναντιώματα, διότι τῆς τῶν ἀστέρων ἰδιότητος ἀντίθεσιν φέρει τὸ ἐναντίωμα τῆς ξηρότητος τὸ ὑγρόν· τῆς θερμότητος τὸ ψυχρόν· τὸ ὑπερβάλλον τοῦ μετρίου καὶ τὸ μέτριον τοῦ ὑπερβάλλοντος.

A decim æqualia segmenta divisum, habeat: antiquiores ex astrologis istiusmodi segmenta quæ etiam signa vocantur, non unius et ejusdem temperamenti esse putaverunt, sed a se invicem cum quoad caliditatem et frigiditatem, tum quoad siccitatem et humiditatem differunt [50].

29. Idem vero etiam in planetis fecerunt. Et partim quidem aliquos calidos, aliquos frigidos; partim vero aliquos siccos, aliquos humidos; aliosque aliis calidiores aut frigidiores, et sicciores aut humidiores esse pronuntiarunt.

30. Inter [51] septem proinde planetas duodecim signa pro domibus distribuerunt, dum ipsorum proprietatibus convenientes domos assignarunt. Quapropter soli quidem utpote calidissimo leonem pro signo attribuerunt, quod apud ipsos calidissimum signum judicatum fuit. Lunæ vero ut humidissimæ, Cancrum, quod ab ipsis pro humidissimo signo reputatum fuit; at cæteris planetis duo signa pro domibus assignarunt, quæ cum ipsorum proprietatibus cognitionem habere arbitrati sunt: sed qui etiam exaltationes **298** et dejectationes [52] et adversitates omnibus planetis adinvenerunt. Quare secundum illos sol in Leone domum habet, calidissimus [nimirum planeta] in signo calidissimo. Qua etiam de causa cum hoc signum subit, proprium calorem intendit. Et est solis quidem domus Leo; exaltatio, Aries; dejectio, Libra; adversitas, Aquarius. Exaltatio quidem Aries; quandoquidem cum sol id segmentum quod sub Ariete est, peragrasse incipit, tum etiam exaltari incipit: ut qui ad altiores mundi partes, videlicet ad boreaüores, ex australioribus et humilioribus accedat. Proin vernali æquinoctio perfecto majores [longiores] dies efficit. Dejectio, Libra; quod sol illud segmentum quod sub Libra est permeare incipiens, dejicitur [humilietur], ut quod dejectioribus [humilioribus] mundi partibus australioribus nimirum appropinquet, et autumnali peracto æquinoctio, minores [breviores] dies conficiat. Adversitas, Aquarius: quod signum sit maxime hibernum et et frigidissimum, et calidissimo soli opponatur. Sed et Leoni solis domui cum secundum qualitatem tum secundum locum opponitur, cum distet per diametrum.

31. Ex his manifestum **299** est, cur etiam de aliis planetis domus et exaltationes et dejectiones et adversitates dicantur. Domus quidem propter affinitatem et cognitionem ac convenientiam. Exaltationes, quod hinc planetæ incipiunt ad boreaD liores sub zodiaco partes venire, dum ipsius medium prætergrediuntur: dejectiones, quod ad australem zodiaci partem inde submoveri incipiunt, dum rursus ipsius medium partem inferne commutant; adversitates, quia stellarum proprietatis oppositionem infert adversitas; siccitatis, humidum; caliditatis, frigidum; excedens moderati: et moderatum excedentis.

[50] Ptol. lib. i de Judiciis, p. 383, et Jov. Pont. l. ii de r. c., p. 140. [51] Ptol. lib. i de Judiciis p. 388, et Jov. Pont. l. i de r. c., p. 101 etc. [52] Ptol. lib. i de Judiciis, et Jov. Pont. lib. i de r. c., p. 106, 107.

OCR ABK / FR

32. Sol proinde quidem unicam et solam domum habet in Leone; luna vero, in solo Cancro: quoniam ille quidem supramodum calidus, hæc per excessum sit humida, ut solis hisce qualitatibus duo ista luminaria informentur et distinguantur.

33. At planetarum altissimus Saturnus, qui etiam frigidissimus et satis siccus est, duas habet domos, Capricornum et Aquarium: illum quidem ut siccitatis participem, hunc ut maximum frigidum; exaltationem, Libram; dejectionem, **300** Arietem; adversitates, Leonem, utpote frigidus; Cancrum, utpote siccus. Jupiter, cum remisse sit calidus et mediocriter humidus, domos habet Sagittarium et Pisces: illum quidem ut exigui caloris, hos autem ut pauci humoris participes; exaltationem, Cancrum; dejectionem, Capricornum; adversitates, Geminos et Virginem, Etenim australes Geminorum partes æstuosæ et siccæ sunt: at Virginis humiditas mediocritatem superat. Mars calidus et magis siccus domos habet Arietem et Scorpium: illum quidem, ut calidum; Scorpium vero, ut calidum simul et siccum. Exaltationem, Capricornum; dejectionem, Cancrum; adversitates, Taurum et Libram; etenim ambo signa bene temperata sunt. Venus, cum medii sit temperamenti, domos habet Taurum et Libram, cum et ipsi sint medii temperamenti; exaltationem, Pisces: dejectionem, Virginem; adversitates, Arietem et Scorpium, qui medium temperamentum non habent. Mercurius, qui et ipse scilicet boni temperamenti est particeps, domos habet Geminos et Virginem. Germinorum enim boreales et mediæ partes bene temperatæ **301** sunt; sed Virginis, australes. Sed et in Virgine exaltationem habet dejectionem in Piscibus; in iisdem et adversitatem. Antecedentes enim Piscium partes, bene temperatæ, mediæ, humidæ; quæ sequuntur medias, igneæ et æstuosæ. Aliam adversitatem habet Mercurius in Sagittario. Quippe hoc signum eas partes, quæ post medium sunt, habet igneas; humidas, quæ sunt australes; utrasque etiam a bono temperamento excidentes. Humidissima luna in humidissimo Cancro domum habet, exaltationem in Tauro; dejectionem in Scorpio: exaltationem in Capricorno. Nam quædam quidem illius partes siccitatem non habent plures autem et siccæ sunt et plenæ frigiditate: cujus quidem frigiditatis expers est luna, per inductionem a sole partialem calorem obtinens.

A λβ'. Ὁ μὲν οὖν ἥλιος οἶκον ἕνα καὶ μόνον ἔχει τὸν Λέοντα· καὶ ἡ σελήνη δὲ τὸν Καρκῖνον μονώτατον· ἐπεὶ τῷ μὲν ὑπερεκπερισσοῦ τὸ θερμὸν, τῇ δὲ καθ' ὑπερβολὴν τὸ ὑγρὸν, ὡς κατὰ ταύτας μόνας τὰς ποιότητας τοὺς τοιούτους εἰδοποιεῖσθαι φωστῆρας.

λγ'. Τῶν δὲ πλανήτων ὁ ὑψηλότερος Κρόνος ὁ καὶ ψυχρότατος καὶ ξηρὸς ἱκανῶς οἴκους ἔχει δύω, τὸν Αἰγόκερων καὶ τὸν Ὑδροχόον· τὸν μὲν ὡς ξηρότητος μέτοχον, τὸν δ' ὡς ὑπέρψυχρον· ὕψωμα τὸν Ζυγόν· ταπείνωμα τὸν Κριόν· ἐναντιώματα τὸν Λέοντα οἷα ψυχρός· τὸν Καρκίνον οἷα ξηρός. Ὁ Ζεὺς θερμὸς ὢν ἠρέμα καὶ μετρίως ὑγρὸς, οἴκους ἔχει τὸν Τοξότην καὶ τοὺς Ἰχθύας· τὸν μὲν, ὡς μικρᾶς θερμότητος, τοὺς δ' ὡς ὀλίγης ὑγρότητος ἐν μετοχῇ.
B Ὕψωμα τὸν Καρκῖνον· ταπείνωμα τὸν Αἰγόκερων· ἐναντιώματα τοὺς Διδύμους καὶ τὴν Παρθένον· τῶν μὲν γὰρ Διδύμων καυστώδη τὰ νότια καὶ ξηρά· τῆς δὲ Παρθένου πλέον τοῦ μετρίου τὸ δίυγρον. Ὁ Ἄρης ὁ θερμὸς καὶ πλέον ξηρὸς οἴκους ἔχει τὸν Κριὸν καὶ τὸν Σκορπίον· τὸν μὲν ὡς θερμὸν, τὸν δὲ Σκορπίον ὡς θερμὸν ὁμοῦ καὶ ξηρόν. Ὕψωμα τὸν Αἰγόκερων· ταπείνωμα τὸν Καρκῖνον· ἐναντιώματα τὸν Ταῦρον καὶ τὸν Ζυγόν· εὐκραῆ γὰρ ἄμφω τὰ ζώδια. Ἡ Ἀφροδίτη, μέσης τυγχάνουσα κράσεως, οἴκους ἔχει τὸν Ταῦρον καὶ τὸν Ζυγὸν μέσης καὶ αὐτοὺς τυγχάνονται κράσεως. ὕψωμα τοὺς Ἰχθύας· ταπείνωμα τὴν Παρθένον· ἐναντιώματα τὸν Κριὸν καὶ τὸν Σκορπίον τὴν μέσην κρᾶσιν οὐκ ἔχοντας. Ὁ Ἑρμῆς εὐκρασίας μετέχων δὴ καὶ αὐτὸς, οἴκους ἔχει τοὺς Διδύμους καὶ τὴν Παρθένον· τῶν μὲν γὰρ
C Διδύμων εὔκρατά εἰσι τὰ βόρειά τε καὶ τὰ μέσα· τῆς δὲ Παρθένου τὰ νότια. Τὴν Παρθένον ἔχει καὶ ὕψωμα· τοὺς Ἰχθύας καὶ ταπείνωμα· τοὺς αὐτοὺς ἐναντίωμα. Τὰ μὲν γὰρ προηγούμενα τῶν Ἰχθύων εὐκραῆ· τὰ μέσα κάθυγρα· τὰ μετὰ τὰ μέσα πυριώδη τε καὶ καυσώδη. Ἕτερον ἐναντίωμα τὸν Τοξότην ὁ Ἑρμῆς ἔχει. Τὰ γὰρ μετὰ τὰ μέσα πυρώδη φέρει τοῦτο τὸ ζώδιον· κάθυγρα δὲ τὰ νότια καὶ ἄμφω τῆς εὐκρασίας ἐκπίπτοντα. Ἡ ὑγροτάτη σελήνη τὸν ὑγρότατον Καρκῖνον ἔχει οἶκον· τὸν Ταῦρον ὕψωμα· τὸν Σκορπίον ταπείνωμα· τὸν Αἰγόκερων ἐναντίωμα· τινὰ μὲν γὰρ αὐτοῦ μέρη τὸ ξηρὸν οὐκ ἔχει· τὰ πλείω δέ γε ξηρὰ καὶ μεστὰ ψυχρότητος· ἧς δὴ ψυχρότητος ἀμέτοχος ἡ σελήνη, τὴν κατ' ἐπεισαγωγὴν ἐκ τοῦ ἡλίου μερικὴν κεκτη-
D μένη θερμότητα.

—

## SYNOPSIS CAPITIS XXVI.

### QUOD EST DE SOLE.

1. *Sol universa terra major est, quanquam tantus non apparet propter nimiam suam a nobis distantiam et visus nostri imbecillitatem ad tantam distantiam.* — 2. *Solis magnitudo ex umbra* **302** *terræ arguitur, quæ conoides, id est, turbinata est.* — 3. *Umbra terræ conoides est, quia neque cylindroides, neque calathoides est.* — 4. *Sol quando deficere videatur, quodque defectus ejus sit nostri tantum visus passio, ut ipsemet interim omni passione vacet.* — 5. *Lunæ corpus magnum esse arguitur ex umbra quam in terram spargit sole deficiente; quanquam non tantum sole, sed et terra multis vicibus minus est.* — 6. *Licet au-*

*tem sole sit minus pluribus vicibus, cum tamen nobis intercipere et occultare potest, quod exemplis nubium, collium, et parietum declarat. — 7. Solis defectus quando sit et fiat totalis, quando partialis. — 8. In particularibus solis defectibus, quando primum boreales, quando meridionales partes solis deficiant; quæ item partes in totalibus defectibus primum obscurentur, quæque primum restituantur. — 9. Sententia auctoris de miraculoso solis defectu, qui circa crucifixionem Domini in plenilunio contigit. — 10. Solis quantitas ad suum circulum quæ sit, et quomodo a veteribus per hydrologia fuerit deprehensa. — 11. Quare sol oriens et occidens major et remotior; culminans, minor et propinquior nobis videatur. — 12. Quare sol spectantibus cum ex profundis puteis major et remotior videatur, ut quidem in meridie circa solstitium æstivum habitantibus in Syene. — 13. Quæ diversorum colorum solis causa sit.*

—

## ΚΕΦΑΛ. Κϛ'.

### Περὶ ἡλίου.

α'. Ὁ ἥλιος μείζων ἐστὶν ἁπάσης τῆς γῆς· οὐ φαίνεται δὲ τοιοῦτος διὰ τὴν ἀφ' ἡμῶν ἀπόστασιν, πάνυ γε πολλὴν οὖσαν· ἐπεὶ μηδ' ἄλλο τι τῶν μήκοθεν ὁρωμένων φαίνεται τοιοῦτον οἷόν ἐστι διὰ τὸ τῆς ὄψεως ἀσθενὲς, ὃ καὶ τὰς μεγάλας νήσους ἐκ μακροῦ διαστήματος εὐπεριγράπτους φαντάζεται.

β'. Σαφῶς δὲ δείκνυσι τὸ κατὰ τὸν ἥλιον μέγεθος ἡ σκιὰ τῆς γῆς. Ὅτε γὰρ σῶμα σφαιροειδὲς ὑπὸ σφαιροειδοῦς φωτίζεται σώματος, εἰ μὲν μεῖζόν ἐστι τοῦ φωτίζοντος, ἐκπέμπει σκιὰν ἀεὶ πρὸς τῷ τέλει μᾶλλον πλατυνομένην· κόλουρος γὰρ κῶνος οἷόν ἐστιν, ἔχων πρὸς τῇ ἀρχῇ τὸ στενώτερον. Εἰ δ' ἴσον ἐστὶ τὸ φωτιζόμενον τῷ φωτίζοντι, κυλινδροειδῆ τὴν σκιὰν ἀποτελεῖ, τὸ ἴσον ἑαυτῆς διασώζουσαν· εἰ δ' ἔλαττον τοῦ φωτίζοντος ὑπάρχει τὸ φωτιζόμενον, ἡ σκιὰ τούτου τυγχάνει κωνοειδής· ἀεὶ γὰρ κατὰ τὸ πέρας λεπτυνομένη μέχρις ἀφανισμοῦ παντελοῦς. Κωνοειδὴς οὖν οὖσα τῆς γῆς ἡ σκιὰ, δείκνυσιν ἀριδήλως τὸν ἥλιον ὄντα μείζω τῆς γῆς.

γ'. Ὅτι δὲ κωνοειδής ἐστιν ἡ σκιὰ τῆς γῆς, γνώριμον ἐκ τῶν φαινομένων. Εἰ γὰρ ἦν κυλινδροειδὴς, ὅλον ἂν τὸ πλάτος τοῦ Ζωδιακοῦ κατελάμβανε μὴ εἰς ὀξύ γε ἀποκορυφουμένη· καὶ οὕτως ἑκάστου μηνὸς ἦν ἂν ἡ σελήνη ἐκλείπουσα, τῇ σκιᾷ τῆς γῆς ἀναγκαίως ἐμπίπτουσα· προΐει δὲ καὶ μέχρι τοῦ χύματος τῶν ἀστέρων ἡ τοιαύτη σκιά· καὶ ποτὲ μὲν αὐτοὺς ἐποίει φαίνεσθαι λαμπροτέρους, ποτὲ δὲ μὴ τοιούτους. Πᾶν γὰρ σῶμα πύρινον ἐν μὲν τῇ σκιᾷ λαμπρότερον φαίνεται· κατὰ δὲ τὰς ἡλιακὰς ἢ καὶ τὰς σεληνιακὰς αὐγὰς ἀμαυρότερον· ὥσπερ καὶ οἱ ἀστέρες ἐν ἀσελήνοις νυξὶν αἰθρίας οὔσης λαμπρότεροι φαίνονται. Εἰ δ' ἐπλατύνετο πρὸς τῷ τέλει τὰ τῆς σκιᾶς, οὐ τῷ πλάτει τοῦ Ζωδιακοῦ μόνον, ἀλλὰ καὶ ἄλλοις τοῦ στερεώματος συμπαρεκτέτατο μέρεσι, καὶ οὕτως ἡ σελήνη μὴ μόνον ἑκάστου μηνὸς, ἀλλὰ καὶ διὰ πάσης νυκτὸς ἔμεινεν ἀλαμπὴς, διὰ τὸ εἶναι ταύτην ἐν τῇ σκιᾷ· τοιγαροῦν κωνοειδοῦς τῆς σκιᾶς οὔσης τῆς γῆς, ἀναντιῤῥήτως ὁ ἥλιος μείζων τῆς γῆς.

## 303 CAPUT XXVI.

### *De sole.*

1. Sol universa terra major est [53], sed propter nimiam a nobis distantiam talis non conspicitur: quoniam nec aliud quidquam eorum quæ eminus cernuntur tale quale est, propter visus imbecillitatem apparet: quæ etiam magnas insulas ex longo intervallo sic intuetur, quod facile circumscribi possint.

2. Porro solis magnitudinem perspicue ostendit umbra terræ. Quando enim orbiculare corpus ab orbiculari illuminatur corpore siquidem illuminante majus est, umbram projicit quæ subinde magis magisque ad finem dilatatur [et alias calathoides vocatur]. Est enim velut conus [seu turbo] inversus, qui in principio est angustior. Sin id quod illuminatur, æqua-
B le est illuminanti; umbram cylindro seu columnæ similem [cylindroidem] efficit, quæ suam æqualitatem semper retinet. Si [denique] minus illuminante sit quod illuminatur, hujus umbra conum [turbinem seu metam quæ tandem in mucronem deficit] imitatur. Semper enim ad extremitatem attenuatur, donec prorsus evanescat. Terræ proin umbra cum turbinata sit, manifesto admodum, ostendit solem terra majorem esse.

3. Quod autem umbra 304 terræ turbinata sit, ex phænomenis facile cognosci potest. Si enim cylindro similis esset, totam Zodiaci latitudinem occuparet, ut quæ in acutum non assurgeret verticem; atque ita quovis mense luna deficeret, ut quæ necessario in umbram terræ incideret. Sed et ad stellarum multitudinem hæc umbra progrederetur, et alias quidem ipsas splendidiores, alias minus splendidas apparere faceret. Corpus enim [54] igneum quod vis, in umbra quidem splendidius,
C in solaribus autem vel etiam lunaribus fulgoribus obscurius apparet; quemadmodum etiam stellæ noctibus illunibus splendidiores conspiciuntur. Sin ad finem explicarentur umbræ [extremitates], non tantum Zodiaci latitudini, sed etiam aliis firmamenti partibus coextenderetur (et tenebras offunderet): atque ita non quovis tantum mense, sed etiam per universam noctem splendoris expers luna permaneret; propterea quod in umbra esset. Quapropter cum umbra terræ turbinata sit, solem terra majorem esse negari non potest.

[53] Cleom. l. II, c. 2; Ptol. lib. 8 Almagesti c. 16, demonstrat, quod magnitudo solis centies et septuagesies proxime terræ magnitudinem contineat. Vide etiam Phil. in Phys. II, p. 105, et alios qui ☽ a ☉ contineri dicunt 166 cum ⅜. Cleom. l. II, c. 2, Vitel. l. 2, prop. 26, 27, 28, Reinhold. in Theor. Purbachii; Bodin. in Theatro naturæ, lib. V. [54] Cleom. l. II, c. 3.

OCR ABK / FR

4. Cæterum hic deficere videtur, cum ipsum luna A subit, et ita nostris aspectibus obstruit. Solaris enim defectus nostri **305** aspectus passio est, ut sol interim passionis expers maneat. Cum ergo luna soli conjuncta, et talis conjunctionis tempore in medio solarique circulo deprehensa solem subierit, tum umbram turbinatam in terram emittit, diciturque umbra in latitudinem [55] plus quam ad quatuor millia stadiorum pervadere. Omnis enim locus quo sol dum ipsum luna subiit non conspicitur umbra lunæ oppletus est.

5. Magnum proinde est lunæ corpus. Si enim ad tantum terræ intervallum extenditur id quod de umbra ad nos pervenit, quanto majus erit id quod ad basin est [56], quod etiam lunæ diametro prope exæquatur! Et tamen non sole tantum, sed B etiam terra minor est lunæ magnitudo, et multo minor.

6. Etsi autem multum relinquitur a solis magnitudine corpus lunæ, tamen eum cum subit occultare potest, ac ut nec ipse ad nos suum lumen emittat, nec ipsum nos videamus, prohibere. Quod quidem etiam exilia aliqua corpora, ut nubes exempli gratia, aut collis, aut paries, aut aliud aliquod his simile quoquomodo facere potest.

7. Cum igitur conjunctionis tempore luna solarem medium [circulum] subtendere deprehensa **306** fuerit, totalis fit solis eclipsis. Cum autem a medio solaris [circuli] declinaverit, secundum proportionem etiam eclipsis conspicitur.

8. Et vero in partialibus eclipsibus siquidem a C borealibus velut ad australes partes mota luna solem subierit, partes ejus quæ ad Septentrionem sunt, sin ex australibus velut ad boreales [partes profecta sub solem venerit], meridiales [solis partes] obnubit. In perfectis denique eclipsibus solarem medium dum subit circulum, eas solis partes quæ ad occasum convertuntur, obumbrat primum; post hæc autem ipsum totum subtercurrendo contegit; dum ipsum tandem præteriens, eas partes primum apparere sinit, quas nimirum etiam primum occultavit. Hoc igitur modo, quotquot solis eclipses acciderunt, accidisse sunt proditæ. Atque sic omnis eclipsis fieri consuevit.

9. Sola ex omnibus, quæ salvificæ crucifixionis Domini tempore accidit [57], super omnem naturam D accidit cum enim conjunctio non esset, sed multo magis luminaria sibi invicem per diametrum opponerentur, luna ex ortibus divino nutu juxta singularem rationem mota solem totum subiit, cum primum **307** ejus partes orientales obtexit, et postquam ipsum tribus horis obscuravit, rursus per repedationem quasi ab occasibus ad ortus ageretur, solis partes occidentales primum apparere permisit. Hæc de solis eclipsi.

δ'. Ἐκλείπων δ' οὗτος δοκεῖ, τῆς σελήνης ὑποθεούσης αὐτὸν καὶ οὕτως ἐπιπροσθούσης ταῖς ἡμῶν ὄψεσιν. Ἡ γὰρ ἡλιακὴ ἔκλειψις πάθος ἐστὶ τῆς ἡμῶν ὄψεως, τοῦ ἡλίου μένοντος ἀπαθοῦς. Ὁπόταν οὖν ἡ σελήνη συνοδεύουσα τῷ ἡλίῳ, καὶ κατὰ τὴν τοιαύτην εὑρεθεῖσα σύνοδον ἐν τῷ μέσῳ (καὶ) ἡλιακῷ τὸν ἥλιον ὑποδράμοι, σκιὰν ἐπὶ τὴν γῆν ἀναπέμπει κωνοειδῆ· καὶ ἡ σκιὰ λέγεται διήκειν εἰς πλάτος ἐπὶ πλέον ἢ τετρακισχιλίων σταδίων. Πᾶς γὰρ τόπος ἐν ᾧ μὴ ὁ ἥλιος τῆς σελήνης ὑποδραμούσης αὐτὸν, σκιᾶς τῆς σελήνης πεπλήρωται.

ε'. Μέγα μὲν οὖν καὶ τὸ σῶμα τῆς σελήνης. Εἰ γὰρ ἐπὶ τοσοῦτον τῆς γῆς ἐκτέταται τὸ φθάνον πρὸς ἡμᾶς τῆς σκιᾶς, ποσαπλάσιον ἔσται τὸ πρὸς τῇ βάσει, τὸ καὶ τῇ διαμέτρῳ τῆς σελήνης παρεξισούμενον! Τέως δ' οὐ μόνον τοῦ ἡλιακοῦ μεγέθους τὸ τῆς σελήνης ἔλαττον, ἀλλὰ καὶ τοῦ τῆς γῆς καὶ πολὺ ἔλαττον.

ς'. Πάμπολυ δὲ λειπόμενον τοῦ ἡλιακοῦ μεγέθους τὸ σῶμα τῆς σελήνης, δύναται κρύπτειν τὸν ἥλιον ἐν ταῖς ὑποδρομαῖς· καὶ μήτ' αὐτὸν ἐᾶν ἐκπέμπειν τὸ φῶς πρὸς ἡμᾶς, μήθ' ἡμᾶς αὐτὸν καθορᾶν. Τοῦτο δὲ καὶ μικρά τινα σώματα ποιεῖ ὁπωσοῦν, νέφος τυχὸν, ἢ βουνὸς, ἢ τοῖχος, ἢ ἄλλο τι τοιοῦτον.

ζ'. Ὅταν μὲν οὖν κατὰ τὴν σύνοδον ἡ σελήνη μέσον ὑποτείνουσα τὸν ἡλιακὸν εὑρεθείη, ὁλοτελὴς ἡ τοῦ ἡλίου ἔκλειψις γίνεται· ὁπόταν δὲ τὸ μεσαίτατον ἐκκλίνοι τοῦ ἡλιακοῦ, πρὸς λόγον φαίνεται καὶ ἡ ἔκλειψις μερική.

η'. Κἀπὶ μὲν τῶν μερικῶν ἐκλείψεων ἂν μὲν ἀπὸ τῶν βορείων ὡς ἐπὶ τὰ νότια φερομένη ἡ σελήνη τὸν ἥλιον ὑπέλθοι, τὰ πρὸς ἄρκτον αὐτοῦ μέρη ἐπισκοτεῖ· ἂν δ' ἐκ τῶν νοτίων ὡς ἐπὶ τὰ βόρεια, τὰ πρὸς μεσημβρίαν. Κατὰ δὲ τὰς τελείας ἐκλείψεις τὸν ἡλιακὸν μέσον ὑπερχομένη, τὰ πρὸς δύσιν τετραμμένα τοῦ ἡλίου πρῶτον ὑποσκιάζει· μετὰ δὲ ταῦτα ὅλον αὐτὸν ὑποτρέχουσα καλύπτει· παρερχομένη δ' αὐτὸν, ἐκεῖνα τὰ μέρη παραχωρεῖ φαίνεσθαι πρῶτον, ἃ δὴ καὶ πρῶτον ἐκάλυψε. Τοῦτον οὖν τὸν τρόπον αἱ γεγονυῖαι τοῦ ἡλίου ἐκλείψεις ἅπασαι γεγονέναι ἱστόρηνται. Καὶ οὕτω πέφυκεν ἔκλειψις ἅπασα γίνεσθαι.

θ'. Μόνη δὲ τῶν ὅλων ἡ κατὰ τὴν σωτήριον τοῦ Κυρίου γεγονυῖα σταύρωσιν ἔκλειψις ὑπὲρ φύσιν γέγονεν ἅπασαν. Συνόδου γὰρ οὐκ οὔσης, μᾶλλον μὲν οὖν καὶ διαμετρούντων ἤδη τῶν φωστήρων ἀλλήλους, ἐξ ἀνατολῶν ἡ σελήνη θείῳ νεύματι κινηθεῖσα καινοπρεπῶς, τὸν ἥλιον ὅλον ὑπέδραμε, πρῶτον καλύψασα πρὸς ἀνατολὰς αὐτοῦ μέρη καὶ τρισὶν ὥραις ἐπισκοτήσασα τοῦτῳ· κατ' ἀναποδισμὸν αὖθις ὡς ἐκ δυσμῶν πρὸς ἀνατολὰς ἀγομένη τὰ πρὸς δύσιν τετραμμένα τοῦ ἡλίου μέρη πρώτως εἴασε φαίνεσθαι. Ταῦτα περὶ τῆς τοῦ ἡλίου ἐκλείψεως.

[55] Cleom. l. II, c. 3. [56] Secundum Ptolemæum terra major est quam luna 39, cum exiguo quodam, sol vero luna major est 6644, cum dimidio. Vide Almagest. lib. V, c. 16. [57] Tr. Junct. parte II, Astron. p. 391.

OCR ABK / FR

ι'. Εὑρίσκεται δὲ διὰ τῶν ὑδρολογίων ὁ ἥλιος πεντηκοστὸν μέρος τοῦ οἰκείου κύκλου καὶ ἑπτακοσιοστόν. Καταμετρούμενον γὰρ τὸ ῥυὲν ὕδωρ ἐν ᾧ χρόνῳ τὸ ἡλιακὸν ἅπαν σῶμα ὁρίζοντος ἀνελήλυθε μετὰ τὸ δεῖξαι τὴν πρώτην ἴτυν ὑπὲρ τὸν ὁρίζοντα μέρας εὑρίσκεται πεντηκοστὸν καὶ ἑπτακοσιοστὸν τοῦ ὅλου ὕδατος, ὅπερ ἐξέῤῥευσε δι' ὅλης τῆς ἡμέρας τε καὶ νυκτός. Αὕτη δ' ἡ μέθοδος ὑπὸ πρώτων τῶν Αἰγυπτίων ἐπινενόηται, τὸ χρήσιμον ἔν τε ταῖς τῶν ἰσημερινῶν εὑρέσεσιν ἔχουσα καὶ ἐν ἄλλοις πολλοῖς.

ια'. Φαίνεται δ' ὁ ἥλιος ἀνίσχων τε καὶ δυόμενος μείζων κατὰ τὸ μέγεθος καὶ πλέον ἡμῶν ἀφεστώς· μεσουρανῶν δὲ τὸ μέγεθος καὶ τὴν ἐξ ἡμῶν ἀπόστασιν ἔχων ἐλάττω δοκεῖ, καὶ ταῦτα πανταχόθεν οἱονεὶ τὸ ἴσον ἀπέχων ἡμῶν· εἴ γε καὶ πρὸς τὴν αὐτοῦ σφαῖραν ἐπέχει κέντρου λόγον ἡ γῆ. Τὸ δ' αἴτιον, ὅτι πρὸς μὲν τῷ ὁρίζοντι διὰ νοτεροῦ καὶ παχυτέρου ἀέρος ὁρῶμεν αὐτόν· καὶ γὰρ τοιοῦτος ὁ πρόσγειος. Κἀντεῦθεν περικλωμένης τῆς ὄψεως ἡμῶν, μείζων τε φαίνεται ὁ ἥλιος καὶ ποῤῥωτέρω· μεσουρανῶν δὲ διὰ λεπτοτέρου καὶ καθαρωτέρου ἀέρος ὁρώμενος, ἐλάττων τε τῷ μεγέθει καὶ ἡμῶν ἐγγυτέρω νομίζεται.

ιβ'. Πολὺ δὲ μείζων ἱστόρηται φαίνεσθαι καὶ πόῤῥω πλέον ἀφεστηκὼς, τοῖς ἐκ βαθέων φρεάτων ὁρᾷν δυναμένοις αὐτόν. Δύνανται δὲ τοῦτο πάντως οἵ τε τῆς σελήνης οἰκήτορες, κατὰ κάθετον ἐπιβάλλοντος τοῦ ἡλίου τὰς ἀκτῖνας αὐτοῖς ἐν ἀτρεκεῖ μεσημβρίᾳ κατὰ τροπὰς θερινὰς, καὶ ἄσκιον ποιοῦντος τὴν γῆν αὐτῶν ὡς ἐπὶ σταδίους τριακοσίους τὴν διάμετρον, καὶ ὅσοι ἄλλοι πλησίον τῆς διακεκαυμένης ἔλαχον ἔχειν τὴν οἴκησιν. Φαίνεται δὲ τούτοις ὁ ἥλιος μείζων ἤπερ ἡμῖν, διὰ παχέος ἀέρος καὶ νοτεροῦ καὶ καθύγρου τοῦ ἐν τοῖς φρέασιν ὄντος ὁρώμενος, πολλῆς ἐκ τούτου τῇ ὄψει γινομένης τῆς περικλάσεως. Καὶ εἴπερ ἦν διὰ παχυτέρων καὶ στερεῶν σωμάτων ὁρᾶσθαι τὸν ἥλιον, ἔτι μεῖζον ἂν ἔδοξεν ἔχων τὸ μέγεθος, καὶ τὴν ἐξ ἡμῶν ἀπόστασιν πλείονα, πλέον πάντως περικλωμένης τῆς ὄψεως.

ιγ'. Καὶ τῶν περὶ αὐτὸν δὲ θεωρουμένων διαφόρων χρωμάτων ἄλλοτε ἄλλων, ἡ τοῦ ἀέρος ἐστὶ ποιότης αἰτία πασχούσης ἐντεῦθεν τῆς ἡμετέρας ὄψεως καὶ ἄλλοτε ἀλλοῖα φανταζομένης τὰ ὁρατὰ κατά τε χρῶμα καὶ μέγεθος, ἀλλὰ δὴ καὶ σχηματισμόν.

10. Deprehendetur autem sol [58] per hydrologia septingentesima et quinquagesima pars sui circuli Cum enim mensuratur aqua quæ effluxit eo tempore, quo corpus solare totum supra horizontem ascendit, posteaquam primam oram [primum limbum] super horizontem ostentavit; septingentesima et quinquagesima pars totius aquæ reperitur, quæ per totum diem et noctem effluxit. Hæc autem ratio a primis Ægyptiis excogitata est, quæ in æquinoctiorum inventionibus, et in aliis multis suam utilitatem habet.

11. Porro sol [59] cum oritur et occidit, et major magnitudine, et etiam a nobis distantior apparet. At cum in medio cœlo exsistit, et magnitudinem, et distantiam a nobis minorem habere videtur: et hæc ita, cum tamen ubique veluti æqualiter distet a nobis [60], siquidem etiam ad ipsium sphæram terra centri rationem obtinet. Causa autem est, quod ipsum ad horizontem per humidum et crassiorem **308** aerem cernimus; talis quippe est, qui terræ est vicinus. Hinc visu nostro confracto et major et remotior sol videtur. At cum in medium cœlum pervenit, quia per tenuiorem et puriorem aerem aspicitur, et minor magnitudine et nobis propinquior existimatur.

12. Multo autem [61] majorem et remotiorem apparere ferunt iis qui ipsum ex profundis puteis intueri possunt. Id autem possunt utique qui Syenem incolunt, cum ad perpendiculum ipsis sol in purissimo meridie suos radios immittat æstivarum conversionum tempore, et terram eorum umbræ expertem faciat [62] ad taecenta fere stadia secundum diametrum; et quotquot alii propiorem zonæ torridæ habitationem sortiti sunt. Major autem his quam nobis sol conspicitur, quando per crassum et humidum et aquosum aerem putealem cernitur; quia nimirum multa ex hoc aspectus fit confractio. Et si quidem per crassiora et solida corpora solem cerni contingeret, majorem adhuc magnitudinem et distantiam a nobis remotiorem habere sol videretur, quod visus utique plus confringeretur.

13. Sed et diversorum colorum, qui circa **309** ipsum alias alii conspiciuntur, aeris qualitas causa est; quando hinc aspectus patitur, et alio tempore res aspectabiles cum colore et magnitudine, tum et figuratione differentes intuetur.

---

## SYNOPSIS CAPITIS XXVII.

### QUOD EST DE LUNA.

*1. Luna est infimus planetarum et multas mutationes in elementari regione efficit, et corpus habet per se caliginosum, sed quod tamen a sole illuminari possit. — 2. Luna non illuminat per refractionem radiorum solis repercussorum, ut aliqui ex veteribus existimarunt. — 3. Luna illuminatur a sole, et postea aerem terramque illuminat, adeo ut luna solis radios in se, veluti spongia aquam excipiat et retineat nec transmittat. — 4. Proprietas lunæ latius exponitur, quod nimirum radios solares acceptos non trans-*

[58] Cleom. l. II, c. 1. [59] Ibid. [60] Ptolemæus Almag. lib. I, c. 6; Regiomont. in Almag. lib. V, prop. 21; Cleom. lib. II, c. 3. [61] Cleom. l. II, c. 1. [62] Ibid.

OCR ABK / FR

*mittat, sed ab iis illuminetur, et quidem semper ea sui medietate qua solem respicit, adeoque alias alia, propterea quod illi non semper eamdem obvertit propter motum suum proprium, quemadmodum etiam exemplo terræ idem declaratur. — 5. Illuminationes seu apparitiones lunæ cum crescentis tum deficientis enumerantur et explicantur. — 6. Uberior earumdem* **310** *geometrica declaratio per duorum circulorum in luna concipiendorum sectiones mutuas et congruentias. — 7. Lunæ conjunctio genitura et ortus quando contingat, quodque ortus in primis non eodem semper tempore a conjunctione fiat, cujus rei tres causæ indicantur. — 8. Eadem luna quanta distantia a sole et quod ad illum aspectu appareat falcata, bifariam secta, utrinque gibbosa, propemodum tota et plane tota. — 9. Lunæ motus periodicus quantus, unde etiam mensis lunaris periodicus supputatur. — 10. Luna conjunctiones suas cum sole non æquali semper facit tempore, propter sphærarum planetariarum atque ita etiam solis et lunæ cum ad se invicem, tum firmamenti ratione eccentricitatem, unde etiam mensis lunaris synodicus inæqualis efficitur. — 11. Hinc duodecimæ partes Zodiaci in firmamento, et circulorum ipsi subjectorum in inferioribus sphæris, solaris nimirum et lunaris circuli inæquales sunt, et propter sphærarum solis et lunæ eccentricitatem majores minoribus, et contra minores majoribus subjectæ sunt; ut ipse etiam sol ubi est altior, ibidem luna est humilior, et contra. — 12. Proinde si conjunctio fiat solis et lunæ in principio geminorum, mensis lunaris synodicus efficitur brevis; longissimus, si in principio sagittarii contingat; et proportionaliter in signis intermediis se res habet. — 13. Aliud* **311** *porisma a superiore. Hinc planetarum in signis Zodiaci sublimitates et humilitates arguuntur evincunturque. — 14. Quo positu luna ad eclipticam et ad solem in ipsa, alias tota deficiat, alias ex parte tantum, idque inæqualiter; alias defectum omnem effugiat. — 15. Solis et lunæ eclipses differunt in hoc, quod ille non revera, sed apparenter tantum respectu videntium in terra, hæc autem revera etiam non apparenter, adeoque quoad se lumine deficiat; et quidem interdum, puta in totalibus eclipsibus, ita ut locus ejus in cœlo quasi amittatur, quod exemplo probat auctor sui temporis. — 16. In totalibus lunæ eclipsibus, quæ partes lunæ primum et obscurentur et denuo illustrentur, orientales nimirum et quare. — 17. In partialibus lunæ eclipsibus, quando boreales partes lunæ deficiant, meridionales defectum effugiant et contra. — 18. Luna et altissima et humillima, et medio modo se habens deficit, cæteris paribus: sed hac ipsa de causa brevius vel diutius ut in textu declaratur. — 19. Tria porismata ex eclipsi lunari emergentia commemorat, ut quod umbra terræ conoides, et sol terra major, et luna terra minor sit. — 20. Lunam non ex alia causa quam incidendo in umbram terræ deficere probat a tempore eclipsis ipso, et a partibus lunæ cum tota deficit, et ab illuminationum sectionibus cum ex parte deficit. — 21. Ambobus luminaribus* **312** *supra horizontem exsistentibus eclipsis lunaris fieri non potest, quod ex doctrina eclipsium lunarium hactenus tradita necessario consequitur, nisi in diametrali oppositione luminarium paulo post occasum sol crassum aerem circa horizontem occiduum illustret, vel per anthelii speciem supra horizontem conspiciatur, vel ad ipsum paulo infra horizontem radius oculorum a nube circa occasum defringatur et incurrat.*

—

A

## CAPUT XXVII.

### *De luna.*

1. Luna cum inferior, et ex universis planetis terræ sit vicinior, et multas in aere conversiones ac vicissitudines operatur [63]; et multa eorum quæ in terra sunt alterat secum ipsa mutando: quin et planetas omnes, ipsam nullus, subit et obumbrat. In ipsa enim ætheris est extremitate, qua æther cum succensione conjungitur. Quapropter etiam per se caliginosum est lunæ corpus, sic tamen etiam natura comparatum ut solares splendores recipere, et ab ipsis illustrari, lumenque ad aerem emittere possit [64].

2. Lunam proin aliqui per refractionem illuminare dicunt, ut quæ sufficiente densitate prædita sit; et hinc solares radii postquam in eam inciderunt, rursus ab ipsa refringantur aeremque illustrent. Alii autem **313** adversus hanc opinionem recte instantes inquiunt [65], quod ea quæ per refractionem illuminant, et exiguum locum illuminent, et lumen ad rectos angulos emittant. Quod si igitur ita etiam luna illuminaret, nec ad ipsam terram lumen transmitteret, nec corniculata aut bifariam secta exsistens terram illuminare posset. Cum enim orbiculata sit luna, et ad occasum et ad ortum ut ad solem ipsius lumen, et in falcatis et dimidiatis figuris emitteretur.

## ΚΕΦΑΛ. ΚΖ'.

### Περὶ σελήνης.

α'. Ἡ σελήνη κατωτέρα τε καὶ προσγειοτέρα τῶν ὅλων πλανήτων ὑπάρχουσα πολλὰς μὲν ἐν τῷ ἀέρι τροπὰς ἐργάζεται, πολλὰ δὲ τῶν ἐπὶ γῆς ἀλλοιοῖ ἑαυτῇ ταῦτα συμβάλλουσα, τοὺς πλανήτας τε πάντας ὑποτρέχει καὶ ὑποσκιάζει· ταύτην δὲ τῶν ὅλων οὐδείς· κατ' αὐτὸ γάρ ἐστι τὸ τοῦ αἰθέρος ἔσχατον, καθ' ὃ συνάπτει τῷ ὑπεκκαύματι ὁ αἰθήρ. Διὸ καὶ ζοφερὸν καθ' αὑτὸ τὸ τῆς σελήνης σῶμα· πέφυκε δὲ τὰς ἡλιακὰς δέχεσθαι λαμπηδόνας, καὶ ὑπ' αὐτῶν καταλάμπεσθαι καὶ ἀποπέμπειν πρὸς τὸν ἀέρα τὸ φῶς.

β'. Τινὲς μὲν οὖν κατ' ἀνάκλασιν φωτίζειν λέγουσι τὴν σελήνην, ἅτε πυκνότητος μετέχουσαν ἱκανῆς,
B κἀντεῦθεν δυναμένων τῶν ἡλιακῶν ἀκτίνων μετὰ τὸ προσβαλεῖν αὐτῇ, πάλιν ἀπ' αὐτῆς ἀνακλᾶσθαι καὶ τὸν ἀέρα φωτίζειν. Ἕτεροι δὲ πρὸς ταύτην τὴν δόξαν καλῶς ἐνιστάμενοι, λέγουσιν ὅτι τὰ κατ' ἀνάκλασιν φωτίζοντα, καὶ τόπον ὀλίγον φωτίζει καὶ πρὸς ὀρθὰς γωνίας ἐκπέμπει τὸ φῶς. Εἰ τοίνυν οὕτω καὶ ἡ σελήνη ἐφώτιζεν, οὔτε πρὸς αὐτὴν τὴν γῆν τὸ φῶς διεβίβαζεν, οὔτε μηνοειδὴς ἢ διχότομος οὖσα, τὴν γῆν φωτίζειν ἠδύνατο. Περιφεροῦς γὰρ τῆς σελήνης οὔσης πρός τε δύσιν καὶ πρὸς ἀνατολὴν, ὡς ἐπ' αὐτὸν τὸν ἥλιον τὸ τοιαύτης ἀπεπέμπετο φῶς ἔν τε τοῖς μηνοειδέσι σχήμασι καὶ τοῖς διχοτόμοις.

[63] Cleom. l. II, c. 2. [64] Ibid. [65] Cleom. lib. II, c. 3.

OCR ABK / FR

γ'. Φαίνεται γοῦν ἐντεῦθεν μὴ κατ' ἀνάκλησιν ἐκ τῆς σελήνης εἶναι τὸ φῶς, ἀλλὰ κατ' ἰδιότητα δεχομένης αὐτῆς τὰς ἡλιακὰς ἀκτῖνας εἰς βάθος, οὐκ εἰς μόνην τὴν ἐπιφάνειαν· οὕτως ἐξ αὐτῆς τὸν ἀέρα φωτίζεσθαι καὶ τὴν γῆν. Εἰκὸς οὖν δέχεσθαι τὴν σελήνην τὸ φῶς, ὡς τοὺς σπόγγους τὸ ὕδωρ· μὴ φέρειν δ' αὐτὸ δι' ὅλης αὐτῆς διικνούμενον· ὅτι τε τὸ ταύτης σῶμα παχύτητος καὶ πυκνότητος οὐκ ὀλίγης μετέχει, καὶ ὅτι καὶ μήκοθεν ἐπιβάλλει ταύτῃ τὰς ἀκτῖνας ὁ ἥλιος. Πολὺ γὰρ ἀφέστηκεν ἐξ αὐτῆς εἴπερ μεῖζον ἢ ἑπτακαιδεκαπλάσιον, οὗπερ ἀφέστηκεν ἡ σελήνη τῆς γῆς, ὡς δείκνυται γραμμικῶς.

δ'. Εἴη δ' ἂν ἰδιότης μάλιστα τῆς σελήνης, ὥσπερ τὸ τὰς ἡλιακὰς ἀκτῖνας εἰσδέχεσθαι καὶ ὑπ' αὐτῶν αὐγάζεσθαι καὶ ἀνταυγάζειν τὸ περιέχον, οὕτω καὶ τὸ μὴ δι' ὅλου τοῦ σώματος αὐτῆς ἔχειν διαβιβαζομένας αὐτάς· ἀεὶ δὲ πρὸς τὸν ἥλιον τετραμμένον ἡ σελήνη περιαυγάζεται, καὶ ἄλλοτε ἄλλο. Διὸ καὶ σελήνη λέγεται διὰ τὸ σέλας νέον ἔχειν ἀεί, καὶ οὔποτε παλαιόν. Εἰ μὲν γὰρ τὴν αὐτὴν σχέσιν ἐφύλαττε διαπαντὸς πρὸς τὸν ἥλιον, ἓν ἂν εἶχε μέρος καὶ τὸ ὑπ' αὐτοῦ φωτιζόμενον· ἐπεὶ δὲ κατὰ τὴν πλανητικὴν αὐτῆς πορείαν ποτὲ μὲν προσέρχεται τῷ ἡλίῳ, ποτὲ δ' ἀπ' αὐτοῦ μακρύνει· διὰ τοῦτο ἄλλοτε ἄλλο μέρος λαμπρύνεται. Καὶ ὅπερ ἑστῶσα πέπονθεν ἡ γῆ πρὸς τὸν ἡλιακὸν φωτισμόν, τοῦτο καὶ ἡ σελήνη κινουμένη. Καὶ γὰρ ὥσπερ ἡ γῆ τὸ ἴσον ἀπὸ τοῦ ἡλίου ἔχουσα φῶς, ἄλλοτε ἄλλα καταλάμπεται μέρη κατὰ τὴν τοῦ ἡλίου περίοδον, συμπερινοστούσης αὐτῷ καὶ τῆς λαμπηδόνος καὶ τῆς κατὰ τὴν γῆν σκιᾶς· οὕτω καὶ ἡ σελήνη τὸ αὐτὸ μὲν ἔχει φῶς ἐκ τοῦ ἡλίου διηνεκῶς, οὐ ποτὲ μὲν μείζονος, ποτὲ δ' ἐλάττονος ἐλλαμπομένου μέρους αὐτῆς· πλὴν οὐκ ἀεὶ τὸ αὐτὸ καὶ ἓν καταφωτίζεται μέρος, διὰ τὸ διάφορον τῶν πρὸς τὸν ἥλιον σχέσεων αὐτῆς. Προσιούσης γὰρ τῷ ἡλίῳ καὶ πάλιν μακρυνομένης αὐτοῦ, ἄλλοτε ἄλλα μέρη ταύτης λαμπρύνεται τὸ ἡλιακὸν ἐχούσης φῶς περὶ τὸ ἅπαν ταύτης σῶμα στρεφόμενον κυκλικῶς.

ε'. Ὁπότε μὲν οὖν σύνοδος εἴη, τὸ πρὸς οὐρανὸν τετραμμένον μέρος αὐτῆς καταυγάζεται. Τότε γὰρ αὐτὸ πρὸς τὸν ἥλιον ἀφορᾷ. Παραμειβούσης δὲ τῆς σελήνης τὸν ἥλιον ἐπιστρέφεται πρὸς αὐτὸν τὸ μέρος αὐτῆς ὃ βλέπει πρὸς γῆν. Καὶ τοῦτο γίνεται πρὸς λόγον τοῦ μακρυσμοῦ· καὶ οὕτως ἐκ τῶν πλαγίων ἀρχομένη φωτίζεσθαι ἡ σελήνη, γίνεται πρῶτον μηνοειδής· μακρύνουσα δ' ἐπιπλέον, διχότομος· εἶτ' ἀμφίκυρτος. Διαμετρήσασα δὲ τὸν ἥλιον πλήρης ἀπαρτίζεται καὶ πανσέληνος. Ἤδη δὲ τὴν διάμετρον παραμειβούσης αὐτῆς, καὶ τῷ ἡλίῳ πάλιν προσερχομένης, εἰς τὸ πρὸς οὐρανὸν τετραμμένον αὐτῆς ἐκ τοῦ πρὸς ἡμᾶς ὁρῶντος κατὰ λόγον τὸ φῶς περιάγεται· μέχρις ἂν συνόδου γενομένης ἀφώτιστον καταλειφθείη τελείως ἅπαν τὸ πρὸς ἡμᾶς βλέπον μέ-

3. Apparet igitur hinc, non per refractionem a luna esse lumen; sed ab ipsa ob suam proprietatem, qua radios solares introrsum, non in solam superficiem recipit, aerem et terram illuminari. Consentaneum igitur est quod luna lumen, ut spongia aquam recipiat; non autem ipsum per seipsam totam permeans accipiat; et quod hujus corpus crassitiei et densitatis non exiguæ sit particeps, et quod etiam sol huic eminus radios admoveat. Longe enim [66] distat ab ea, siquidem plus septemdecim vicibus quam luna a terra distat, quemadmodum lineariter [seu geometrice] commonstratur.

4. Maxime autem proprium fuerit lunæ, quemadmodum radios solares suscipit et ab **314** ipsis illustratur, et continens vicissim illustrat; ut ita per universum suum corpus penetrantes non habeat: sed semper ea parte qua ad solem conversa est luna undique collustratur, et alias alia. Quapropter etiam σελήνη [luna] dicitur, quod σέλας νέον [id est, lumen novum] ac nunquam vetus habeat. Si enim quidem eumdem perpetuo ad solem retineret habitudinem, unam etiam haberet partem, quæ ab ipso illuminaretur. Quia autem pro errabundo suo progressu [67] interdum ad solem accedit, interdum ab eodem longius recedit; propterea alias alia illius pars splendore perfunditur. Et quod terræ stanti contingit quatenus a sole illuminatur [68], idem etiam lunæ quæ movetur accidit. Sicut enim terra quæ æquale a sole lumen habet, alias aliis partibus pro conversione solis illustratur, cum quo [nimirum] et splendor et umbra terræ simul circumeunt: sic et luna idem quidem a sole semper lumen habet, ut haud alias major, alias minor illius pars illustretur; verumtamen non una semper eademque pars illuminatur, quod diversæ illius ad solem sint habitudines. Cum enim ad solem accedat, et rursus ab ipso **315** longius discedat, alias aliæ illius partes illustrantur, quod circa universum illius corpus circulariter solare lumen convertatur.

5. In conjunctione igitur [69], pars illius ad cœlum conversa illustratur [70]; quippe tum illa ad solem respicit. Cum autem solem permutat luna, tum pars ejus ad solem convertitur, quæ terram aspicit: hocque fit pro remotionis proportione. Ac cum ita ex obliquo luna illuminari incipit, primum falcata fit; cum longius recesserit, dimidiata, inde prætumida; quando denique dimensa solem fuerit hoc est, per diametrum soli opponitur, plena efficitur, et exsistit plenilunium. Jam vero cum ipsa deserit diametrum, et denuo ad solem accedit, ad partem illius quæ ad cœlum conversa ex ea quæ nos intuetur, habita proportione, lumen circumagitur, donec conjunctione facta non illuminata relinquatur universa hæc pars illius quæ ad nos

[66] Ptol, Alm. I, v. c. 15. Cardan. De Subtil, III, p. 189. [67] Cleom. lib. II, c. 5. [68] Cleom. lib. II, c. 3. [69] Cleom. II, c. 4. [70] Reinhold. in Theort. Purb.



OCR ABK/FR

respicit. Proinde hic quidem lunaris incrementi et decrementi modus est.

6. Præterea autem ex eis quæ inferuntur, manifestoria adhuc erunt quæ de ipsis dicuntur. Duo in luna circuli concipiantur [71] : unus, quo opaca illius pars ab illuminata discernitur, qui etiam **316** perpetuo mutantur , alter quo separatur ea pars quæ a nobis cernitur ab ea quæ non cernitur; qui etiam est immutabilis et immobilis. Horum neuter est maximus circulus,qui ipsam in æquales partes secare possit. Nam est sol [72] cum major sit quam luna, plus illius medietate illuminat,et proinde sine controversia minor est maximis in luna circulis hic,qui opacam illius partem ab illuminata dispescit. Et vero [73] etiam qui a nostro aspectu est, circulis in luna maximis minor est : quoniam medietate illius minus videmus ; propterea quod oculus qui videt parvus, et id quod videtur, valde magnum sit. Quapropter et hic circulus, qui non in æquales, sed inæquales partes lunam dividit, maximis in illa circulis minor est. Quanquam quoad sensum ambo etiam commemorati circuli maximi apparent. Et eamdem quidem magnitudinem semper habere videntur , verum habitudinem ad se invicem eamdem non retinent; sed multipliciter immutantur,et multiformiter transfigurantur Et alias quidem congruunt sibi invicem, alias autem ad sectionem inclinantur. Suntque plurimæ sectionum diversitates. **317** sed duæ generales ad angulos rectos et ad inclinationem. Sed et congruentiæ istiusmodi circulorum duæ tantum fiunt et in conjunctione et plenilunio. Cum autem luna a conjunctione solem prætercurrit, tum dirimuntur circuli et ad sectionem declinant : ut exiguum quod inter amborum circumferentiam relinquitur, ipsum duntaxat illuminatum sit quoad nos. Et ejuscemodi horum circularum a congruentia ad sectionem transitus, falcatam lunæ figuram efficit Quoniam autem semper eo progrediendo, ut ad angulos rectos se secent,illuminationis etiam splendorem adaugent, medio circulorum sectionis in tali progressus illuminato, quando ipsa sectio ad angulos rectos fuerit, luna bifariam secta apparet. Cum autem ab hac figura ad angulos obtusos jam procedunt circuli,utrinque gibbosam lunæ figuram faciunt. Rursus autem dum in diametro [id est, oppositione] sibi congruunt. plenam lunam perficiunt. Postea vero dum ex hac ad alteram procedunt congruentiam, et easdem figuras etiam in diminutione obeunt ; totius splendoris exstinctionem dum ad partem quæ mundum [cœlum] **318** respicit exacte congruunt, tandem inducunt.

. Conjunctio proinde dicitur, quando in eadem parte seu gradu luna fuerit, in qua etiam sol exsistit. Genitura cum unum gradum a sole recesse-

A ρος αὐτῆς. Οὕτως μὲν οὖν ὁ τρόπος τῆς σεληνιακῆς αὐξήσεως καὶ μειώσεως.

ς'. Ἔτι δὲ διὰ τῶν ἐπαγομένων ἔσται σαφέστερα τὰ περὶ αὐτῶν. Δύο κύκλοι νοείσθωσαν ἐν τῇ σελήνῃ. Εἷς μὲν, ᾧ διακρίνεται τὸ σκιερὸν αὐτῆς, ἀπὸ τοῦ πεφωτισμένου, ὃς καὶ ἀεὶ μεταπίπτει· ἕτερος δὲ, ᾧ χωρίζεται τὸ ταύτης ὑφ' ἡμῶν ὁρώμενον ἀπὸ τοῦ μὴ ὁρωμένου· ὃς ἀμετάπτωτός ἐστι καὶ ἀκίνητος. Τούτων ἑκάτερος οὐκ ἔστι μέγιστος κύκλος, εἰς ἴσα τέμνειν ταύτην δυνάμενος. Ὅ τε γὰρ ἥλιος μείζων τῆς σελήνης ὤν, πλέον φωτίζει τοῦ ταύτης ἡμίσεος· καὶ διὰ τοῦτο μείων ὁμολογουμένως τῶν ἐν τῇ σελήνῃ μεγίστων κύκλων ἐστὶν ὁ τὸ ταύτης σκιερὸν ἐκ τοῦ πεφωτισμένου διαχωρίζων· ὅ τε ἀπὸ τῆς ἡμετέρας ὄψεως ὁμοίως ἐλάττων ἐστὶ τῶν ἐν τῇ σελήνῃ μεγίστων κύκλων· ἐπεὶ τοῦ ἡμίσεος ἔλαττον
B ὁρῶμεν αὐτῆς· διὰ τὸ σμικρὸν εἶναι τὸ ὁρῶν ὄμμα, καὶ τὸ ὁρώμενον πολυμέγεθες· ὥστε καὶ οὗτος ὁ κύκλος οὐ τέμνων εἰς ἴσα τὴν σελήνην, ἀλλ' εἰς ἄνισα τῶν ἐν αὐτῇ μεγίστων κύκλων μείων ἐστίν. Ὡς μέντοι πρὸς αἴσθησιν οἱ εἰρημένοι καὶ ἄμφω κύκλοι φαίνονται μέγιστοι· καὶ τὸ μὲν αὐτὸ μέγεθος ἔχειν δοκοῦσιν ἀεί, σχέσιν δὲ πρὸς ἀλλήλους οὐ διαφυλάττουσι τὴν αὐτήν· ἀλλὰ πολλαχῶς ἐναλλάσσονται καὶ πολυειδῶς μετασχηματίζονται· καὶ ποτὲ μὲν ἐφαρμόζουσιν ἀλλήλοις, ποτὲ δ' ἐγκλίνονται εἰς τομήν. Καὶ τῶν τομῶν αἱ παραλλαγαὶ πλεῖσταί εἰσιν· ἀλλ αἱ γενικαὶ δύο πρὸς ὀρθὰς καὶ κατ' ἔγκλισιν. Γίνονται δὲ καὶ ἐφαρμογαὶ τῶν τοιούτων κύκλων δύο μόνως, ἔν τε συνόδῳ καὶ πανσελήνῳ. Παραθεούσης δὲ τῆς σελήνης ἀπὸ συνόδου τὸν ἥλιον, διΐστανται οἱ
C κύκλοι καὶ ἀποκλίνουσιν εἰς τομήν· ὡς ὀλίγον τὸ μεταξὺ τῆς περιφερείας ἀμφοῖν ἀπολειπόμενον τοῦτο μόνον εἶναι πεφωτισμένον ὡς πρὸς ἡμᾶς. Καὶ ἡ τοιαύτη τῶνδε τῶν κύκλων παράβασις ἀπὸ τῆς ἐφαρμογῆς εἰς τομὴν, ἀποτελεῖ τὸ τῆς σελήνης μηνοειδές. Ἐπεὶ δ' ἀεὶ προάγοντες εἰς τὸ πρὸς ὀρθὰς τέμνειν ἀλλήλους καὶ τὴν τοῦ φωτισμοῦ φαῦσιν προσαύξουσι τοῦ μέσου τῆς τῶν κύκλων τομῆς φωτιζομένου κατὰ τὴν τοιαύτην πρόοδον, ὅταν τὸ πρὸς ὀρθὰς γένηται τῆς τομῆς, φαίνεται ἡ σελήνη διχότομος. Ἀπὸ δὲ τοῦ σχήματος τούτου πρὸς ἀμβλείας ἤδη γωνίας προϊόντες οἱ κύκλοι ποιοῦσι τὸ τῆς σελήνης ἀμφίκυρτον. Τῇ δὲ κατὰ τὴν διάμετρον πάλιν ἐφαρμογῇ τὴν πανσέληνον ἀπαρτίζουσιν· εἶτ' ἐκ ταύτης ἐπὶ τὴν ἑτέραν αὖθις προϊόντες ἐφαρμογὴν, καὶ
D τὰ αὐτὰ σχήματα καὶ κατὰ τὴν μείωσιν ἐκτελοῦντες, τὸν τῆς ὅλης λαμπηδόνος ἀφανισμὸν ἀπεργάζονται, τῇ ἀτρεκεῖ τούτων εἰς τὸ πρὸς τὸν κόσμον μέρος ἐφαρμογῇ.

ζ'. Σύνοδος μὲν οὖν λέγεται, ὁπόταν ἐν τῇ αὐτῇ μοίρᾳ γένηται ἡ σελήνη, ἐν ᾗ ἐστι καὶ ὁ ἥλιος. Γέννα δὲ, ὅταν ἀποστῇ τοῦ ἡλίου μοῖραν μίαν ανα-

[71] Cleom. l. II. c. 5. [72] Vitell. l. II, propos. 27. Purbachii ; Bodin. lib. V Theatri, p. 597. [73] Vitel. lib. IV, propos, 20 ; Reinhold. in Theoric.

OCR ABK / FR

τολὴ, ὅταν νέα πρώτως φανῇ. Τῇ μὲν γὰρ πρώτῃ ἡμέρᾳ μέχρι τοσούτου φέρεται ὑπὲρ γῆν ἡ σελήνη, μέχρις ἂν ἔτι καὶ τὸ τοῦ ἡλίου φῶς ἐστιν ἐπικρατοῦν. Ὥστ' ἐν ταύτῃ μὲν τῷ τοῦ ἡλίου συγκαταδύεται· πρῶτον δὲ σαφὴς ἐν τῇ δευτέρᾳ τῶν ἡμερῶν φαίνεται· καὶ ποτὲ μὲν μᾶλλον, ποτὲ δ' ἧττον. Τοῦτο δὲ αὐτὸ συμπίπτει παρὰ τὸ ποσὸν τῆς πρὸς τὸν ἥλιον ἀποστάσεως· αὐτὸ δὲ τὸ τῆς ἀποστάσεως ποσὸν, ἄλλο τ' ἄλλο γίνεται διά τε τὴν ἰδίαν τῆς σελήνης κίνησιν (οὐ γὰρ ἴσον ἀεὶ κινεῖται κατὰ πρόβασιν διὰ τὴν τοῦ πλάτους ἐξάλλαξιν τοῦ ζωδιακοῦ) καὶ διὰ τὸ μὴ πάντων τῶν ζωδίων ἰσόχρονον τὴν δύσιν γίνασθαι, ὡς τινῶν μὲν ὀρθῶς, τινῶν δὲ λοξῶς καταδυομένων· καὶ πρὸς τούτοις διὰ τὸν τῆς προγεγονυίας συνόδου καιρὸν εἴτ' ἀρχομένης ἡμέρας εἴτ' ἀρχομένης νυκτὸς, εἴτε κἀν τοῖς μεταξὺ πολλοῖς οὖσι καὶ διαφόροις, ἡ προηγησαμένη σύνοδος ἐγεγόνει. Ὥστ' ἀεί ἐστιν εἷς χρόνος ἐν ᾧ φαίνεται σαφῶς ἡ σελήνη· οὐδὲ κατὰ τὰς ὅλας πρώτας φαύσεις τὸ σαφὲς ἀπαράλλακτον.

η'. Λέγεται δ' οὖν ἀνατολὴ, ὅταν νέα πρώτως φανῇ ὁπωσοῦν· μηνοειδὴς δ' ὅταν ἀποστῇ τοῦ ἡλίου μοίρας ἑξήκοντα, καὶ πρὸς τὸν ἥλιον ἑξάγωνον ποιήσηται τὸν σχηματισμόν· διχότομος, ἐπειδὰν ἀποχωρήσῃ τοῦ ἡλίου μοίρας ἐνενήκοντα, καὶ σχηματισθῇ τετράγωνος πρὸς αὐτόν· ἀμφίκυρτος, ὁπόταν μοίρας εἴκοσι πρὸς ταῖς ἑκατὸν ἀποστῇ τοῦ ἡλίου καὶ τρίγωνον ἐκτελέσῃ σχηματισμόν· πλησισέληνος δὲ καὶ πλησιφαὴς ἀποχωρήσασα τοῦ ἡλίου μοίρας πεντήκοντα πρὸς ταῖς ἑκατόν· πανσέληνος δὲ, τὸν ἥλιον διαμετρήσασα.

θ'. Τὸν μὲν οὖν οἰκεῖον κύκλον ἡ σελήνη δι' ἡμερῶν ἀνύει κατὰ τινὰς μὲν ἑπτὰ πρὸς ταῖς εἴκοσι, προστιθεμένου καὶ τινος ἡμίσεος ἡμέρας μιᾶς, κατὰ τινὰς δὲ δι' ἑπτὰ καὶ εἴκοσιν ἡμερῶν, καὶ τρίτου μάλιστά πως τῆς ἡμέρας μορίου. Τέως δ' οὖν πάντοτε τὸ οἰκεῖον περιτρέχουσα κύκλον εἰς τὸ αὐτὸ σημεῖον ἐκ τοῦ αὐτοῦ διὰ τοῦ ἴσου χρόνου ἀποκαθίσταται.

ι', ια'. Ποιεῖται δὲ τὰς πρὸς τὸν ἥλιον συνόδους οὐ πάντοτ' ἐν ἴσῳ χρόνῳ κατὰ τελείαν ἀκρίβειαν, ἀλλὰ ποτὲ μὲν ἐν πλείονι, ποτὲ δ' ἐν ἐλάττονι. Καὶ τὸ αἴτιον, ὅτι πάντων τῶν πλανήτων αἱ σφαῖραι πρός τε τὴν δοκοῦσαν καὶ λεγομένην ἀπλανῆ καὶ πρὸς ἀλλήλας ἔκκεντροί εἰσι. Κατὰ τοῦτον οὖν τὸν λόγον καὶ ἡ τοῦ ἡλίου σφαῖρα, καὶ ἡ τῆς σελήνης πρός τ' ἀλλήλας καὶ πρὸς τὴν δοκοῦσαν καὶ λεγομένην ἀπλανῆ τυγχάνουσιν ἔκκεντροι. Διῃρημένου γοῦν τοῦ ζωδιακοῦ εἰς ἴσα δώδεκα τμήματα καὶ συνδιαιρουμένων καὶ τῶν ὑποκειμένων κύκλων αὐτῷ τῆς τε ἡλιακῆς σφαίρας καὶ τῆς σεληνιακῆς ἔσονται τὰ δω-

A rit. Ortus, cum primum nova conspecta fuerit. Prima enim die supra terram eousque fertur, quoad etiam solis lumen prævalet. Quapropter hac simul cum solis lumine occidit: alias autem etiam ante occidit. Manifesta autem primum secundo die; et alias quidem magis, alias vero minus apparet [74]. Hoc ipsum autem ob distantiæ a sole quantitatem accidit. Ipsa vero distantiæ quantitas alias alia efficitur; et ob peculiarem lunæ motum (neque enim semper æqualiter suo incessu movetur, quod Zodiaci latitudo evariat), et quod non omnium signorum occasus æquali fiat tempore; ut quod aliqua quidem recte, aliqua autem oblique occidant; et insuper adhuc propter antegressæ conjunctionis tempus, quod vel die incipiente, vel nocte ingruente, vel in intermediis [temporibus] quæ multa B atque varia sunt, conjunctio prior acciderit. Quapropter non unum semper tempus est, quo luna manifesto conspicitur; **319** neque secundum primas universas illuminationes manifestatio illius invariabilis.

8. Ortus ergo [dicitur lunæ] cum primum nova quomodocunque conspecta fuerit. Falcata autem [75], cum gradus sexaginta a sole recesserit, et sextilem ad solem fecerit configurationem. Bifariam secta, postquam a sole ad nonaginta gradus discesserit, et quadrato ad ipsum aspectu figurata fuerit: utrinque gibbosa, cum centum et viginti gradibus a sole sejuncta fuerit, et triangularem figuram effecerit. Propemodum autem plena luna, et propemodum plena lumine, posteaquam centum et quin- C quaginta gradus a sole abscesserit. Tota seu plena luna denique, cum soli diametraliter opposita constiterit.

9. Proprium proinde circulum luna per dies conficit, ut aliquorum fert sententia, viginti septem et semisse unius diei adjecto: ut alii autem judicant, per viginti et septem dies [76], et tertia propemodum diei parte addita. Verumtamen semper suum circulum circumeundo, ad idem punctum ex eodem per æquale temporis spatium revertitur.

10, 11. At conjunctiones cum sole non æquali semper tempore efficit, si perfectam **320** accurationem respicimus, sed alias quidem longiore, alias breviore. Et causa est, quod omnium planetarum D sphæræ, et ad eam quæ inerrans videtur atque dicitur et ad se invicem sunt eccentricæ (hoc est, diversa centra habent). Hac proinde ratione et solis et lunæ sphæræ [77], et ad se invicem et ad eam quæ videtur atque dicitur inerrans, sunt eccentricæ. Si enim, Zodiaco in duodecim æqualia segmenta diviso, simul etiam circuli cum solaris tum lunaris sphæræ ipsi subjecti simul dividantur

[74] Vide Purbachium de passionibus planetarum, ubi itidem tres causas affert cur post conjunctionem suam cum quandoque citius, quandoque tardius appareat. [75] Joan. de Sacro Busto, parte altera Computi. [76] Vide eumdem in Computo de mensibus lunaribus, et Phil. Phys. lib. I, p. 226. [77] Cleom. l. II, c. 5; Phil. in Phys. lib. I.

OCR ABK / FR

duodecimæ horum circulorum partes necessario inæquales erunt; et altiores quidem, majores; terræ viciniores autem minores. Quare siquidem ubi sol est altior, luna terræ est vicinior, et contra, ob sphærarum eccentricitatem; majoribus solaris [circuli] segmentis minora lunaris, minoribus majora subjicientur. Majus autem solaris [circuli segmentum est, quod Geminis subjectum est; quia etiam est sublimius. Sic enim et ab astronomis observatum est. Quod autem Sagittario subjectum est, minus est, quia humilius. Vicissim igitur majus est segmentum lunaris [circuli], quod Sagittarium subtendit, **321** ut sublimius; at quod Geminos minus, ut humilius. Longiore enim tempore Geminos sol transibit, brevissimo Sagittarium. Luna autem vice versa.

12. Quando igitur in Geminorum principio conjunctio fuerit, cum hic luna terræ vicinior moveatur, sol autem excelsior sit, consisus fiet mensis. Nam luna post circuli proprii peragrationem, et ex eodem ad idem punctum reversionem, solem adhuc in Geminis vel potius sub Geminis apprehendit, qui triginta duobus, ut dicitur, diebus istud signum transit[78]. Si autem circa Sagittarii principia conjunctio contigerit, haud in Sagittario luna solem deprehendet (etenim viginti octo diebus, aut etiam paulo adhuc amplius sol hoc signum transire, vel potius subire dicitur); sed proprium emensa circulum, et ad Sagittarii perlata principium, ad finem hujus signi solem apprehendit; quo autem tempore Sagittarium luna transit, duos certe dies, et plus quam dimidium diei ad ipsum transeundum requirens, exacto sol Sagittario Capricornum occupabit, et luna ad Capricornum perlata deprehendet solem istius signi principium præteriisse, adeoque ipsi adhuc aliquo temporis **322** intervallo opus erit, ut solem consequatur. Atque ita mensis fiet longissimus, luna quidem segmentum sui circuli quod Sagittario subjicitur tarde transeunte, sole autem proprie circuli portiunculam, quæ ipsi videlicet Sagittario subdita est, celeriter conficiente, et eapropter tardius a luna apprehendi se patiente. Et hæc quidem in Sagittario et Geminis ita se habent: in intermediis autem signis secundum proportionem eveniet.

13. Ac ita quidem in signis planetarum sublimitates et humilitates, aliorum in aliis arguuntur. Cum enim quolibet signo in triginta gradus diviso, alia tardius, alia celerius planetæ subtus percurrant, liquet quod ubi humiliores sunt, et in angustioribus conorum segmentis versantur, celerius illa percurrant. Ubi autem sublimiores exsistunt, conorum segmenta cum latiora sint, tardius pertranseunt. Conorum enim ejusmodi, qui et Zodiacum et planetarum circulos in duodecimas partes divi-

[78] Cleom. II, c. 5.

A δεκατημόρια τούτων τῶν κύκλων ἄνισα· καὶ μείζω μὲν τὰ ὑψηλότερα, ἐλάττω δέ γε τὰ προσγειότερα. Τοίνυν ἐπείπερ ἔνθα ὁ ἥλιος ὑψηλότερος, ἡ σελήνη προσγειοτέρα, καὶ τοὔμπαλιν, διὰ τὸ ἔκκεντρον τῶν σφαιρῶν· τοῖς μείζοσι τοῦ ἡλιακοῦ τμήμασιν ὑποκείσονται τὰ ἐλάττω τοῦ σεληνιακοῦ, τοῖς ἐλάττοσι δὲ τὰ μείζω. Τμῆμα δὲ μεῖζον τοῦ ἡλιακοῦ τὸ τοῖς Διδύμοις ὑποκείμενον, ὅτι καὶ ὑψηλότερον (οὕτω γὰρ καὶ τοῖς ἀστρονόμοις τετήρηται)· τὸ δ' ὑποκείμενον τῷ Τοξότῃ, διότι ταπεινότερον, ἔλαττον. Ἔμπαλιν οὖν μεῖζον ἔσται τμῆμα τοῦ σεληνιακοῦ τὸ τὸν Τοξότην ὑποτεῖνον, ὡς ὑψηλότερον, ἔλαττον δὲ τὸ τοὺς Διδύμους, ὡς χθαμαλώτερον. Ἐν πλείονι γοῦν χρόνῳ διελεύσεται τοὺς Διδύμους ὁ ἥλιος, ἐν ἐλαχίστῳ δὲ τὸν Τοξότην. Ἡ σελήνη δὲ τοὔμπαλιν.

B ιβ'. Ὁπόταν οὖν ἐν ἀρχῇ τῶν Διδύμων γένηται σύνοδος, ἐνταῦθα τῆς μὲν σελήνης προσγειοτέρας φερομένης, ὑψηλοτέρου δ' ὄντος τοῦ ἡλίου, γενήσεται σύντομος ὁ μήν. Ἡ γὰρ σελήνη μετὰ τὴν τοῦ οἰκείου κύκλου περίοδον, καὶ τὴν ἐκ τοῦ αὐτοῦ σημείου πρὸς τὸ αὐτὸ πάλιν ἀποκατάστασιν, ἔτι ἐν Διδύμοις ὄντα, μάλιστα δ' ὑπὸ Διδύμους τὸν ἥλιον καταλήψεται, δυσὶν ἡμέραις, ὡς λέγεται, καὶ τριάκοντα τοῦτο τὸ τμῆμα διερχόμενον. Εἰ δὲ περὶ τὰς ἀρχὰς τοῦ Τοξότου γένηται σύνοδος, οὐκ ἐν τῷ Τοξότῃ καταλήψεται τὸν ἥλιον ἡ σελήνη (καὶ γὰρ ἐν ὀκτὼ καὶ εἴκοσιν ἡμέραις ἢ καὶ μικρόν τι πρὸς ὁ ἥλιος διέρχεσθαι λέγεται, μᾶλλον δ' ὑπέρχεσθαι τοῦτο τὸ ζώδιον)· ἀλλὰ τὸν οἰκεῖον κύκλον περιοδεύσασα, καὶ πρὸς τὴν τοῦ Τοξότου γενομένη ἀρχὴν, πρὸς C τὸ τέλος εὑρήσει τοῦ τοιούτου ζωδίου τὸν ἥλιον. Ἐν ὅσῳ δὲ χρόνῳ τὸν Τοξότην ἡ σελήνη διέρχεται, δύο ἡμερῶν καὶ πλείονος ἢ ἡμίσους ἡμέρας δεομένη πρὸς τὸ διελθεῖν αὐτὸν, ὁ ἥλιος τὸν Τοξότην διελθὼν, τὸν Αἰγόκερων καταλήψεται· καὶ ἡ σελήνη γινομένη πρὸς τὸν Αἰγόκερων, εὑρήσει τὸν ἥλιον τοῦ τοιούτου ζωδίου τὴν ἀρχὴν παραμείψαντα, καὶ δεήσει ταύτῃ καί τινος ἑτέρου χρονικοῦ διαστήματος εἰς τὸ φθάσαι τὸν ἥλιον. Καὶ οὕτως ὁ μὲν γενήσεται μήκιστος, τῆς μὲν σελήνης βραδέως τὸ ὑπὸ τὸν Τοξότην τοῦ ἑαυτῆς κύκλου τμῆμα διερχομένης, τοῦ ἡλίου δὲ ταχέως τὸ ὑπ' αὐτὸν δὴ τὸν Τοξότην τοῦ οἰκείου κύκλου μόριον διανύοντος, καὶ διὰ ταῦτα βράδιον ὑπὸ τῆς σελήνης καταλαμβανομένου. Ταῦτα μὲν ἐν τῷ Τοξότῃ καὶ τοῖς Διδύμοις· ἐν δὲ τοῖς μεταξὺ ζωδίοις συμβήσεται τὸ ἀνάλογον.

D ιγ'. Καὶ οὕτως οὖν ἐν τοῖς ζωδίοις ἐλέγχεται τῶν πλανήτων ὑψώματά τε καὶ ταπεινώματα, ἐν ἄλλοις ἄλλων. Ὁπόταν γὰρ εἰς τριάκοντα μοίρας ἑνὸς ἑκάστου τῶν ζωδίων διῃρημένου, τὰ μὲν τῶν ζωδίων βράδιον, τὰ δὲ τάχιον οἱ πλάνητες ὑποτρέχωσι· δῆλον ὡς ἔνθα μὲν εἰσὶ ταπεινότεροι στενοτέραις ταῖς τῶν κώνων ἀποτομαῖς ἐντυγχάνοντες, θᾶττον αὐτὰς διατρέχουσιν· ἔνθα δ' ὑπάρχουσιν ὑψηλότεροι, πλατυτέρας οὔσας τὰς τῶν κώνων ἀποτομὰς διεξέρχονται βράδιον. Τῶν γὰρ τοιούτων κώνων τῶν διαι-

OCR ABK / FR

ρούντων εἰς δωδεκατημόρια, τόν τε ζωδιακὸν καὶ τοὺς τῶν πλανήτων κύκλους, αἱ μὲν κορυφαὶ τυγχάνουσιν ἐπὶ γῆς, ἀρχὰς ἔχουσαι τὰς ὄψεις τῶν ὁρώντων· αἱ δὲ καταβάσεις ἐν τῷ στερεώματι· καὶ ἀναλόγως πλατύτερα μὲν αὐτῶν τὰ ὑψηλότερα, στενώτερα δὲ τὰ προσγειότερα.

ιδ'. Διατρέχουσα δὲ τὸν ἑαυτῆς κύκλον ἡ σελήνη, καὶ ὑποτρέχουσα τὸν ζωδιακόν· ὁπόταν διαμετρήσασα τὸν ἥλιον ὑπὸ τὸ μεσαίτατον εὑρεθείη τοῦ ζωδιακοῦ, τὸν ἡλιακὸν κύκλον αὐτοῦ ὑποτείνουσα· τότ' ἐκ πανσελήνου καὶ παμφαοῦς ἀφώτιστος ὅλη γίνεται, τῇ σκιᾷ περιπίπτουσα μέσῃ τῆς γῆς· ἐπὶ μιᾶς γὰρ εὐθείας τότε τὰ τρία εὑρίσκονται σώματα, τὸ τοῦ ἡλίου, τὸ τῆς σελήνης, καὶ μεταξὺ αὐτῶν τὸ τῆς γῆς. Ὑφαπτομένη δὲ τοῦ διὰ μέσων τῶν ζωδίων ἡ σελήνη κατὰ τὰς πρὸς τὸν ἥλιον διαμετρήσεις, ἢ μέρος αὐτῆς ὑπ' αὐτὸν ἔχουσα, μερικὴν πρὸς λόγον πάσχει τὴν ἔκλειψιν· ὑπὸ δὲ τὰ βόρεια ἢ τὰ νότια τοῦ ζωδιακοῦ εὑρισκομένη, διαδιδράσκει τὴν σκιάν. Διὰ τοῦτο καὶ οὐκ ἐν πάσαις ταῖς πανσελήνοις ἔκλειψις γίνεται.

ιε'. Τοῦ μὲν οὖν ἡλίου ἔκλειψις τῆς τῶν ὁρώντων ὄψεως πάθος ἐστίν· οὐκ οὖσα κατ' ἀλήθειαν ἔκλειψις, ἡμῖν δὲ δοκοῦσα τῶν ἡλιακῶν στερουμένοις αὐγῶν διὰ τὴν τοῦ σεληνιακοῦ σώματος ἐπιπρόσθεσιν. Ἡ δὲ τῆς σελήνης ἔκλειψις αὐτῆς τῆς σελήνης πάθος ἐστὶ, καὶ κατ' ἀλήθειαν, οὐ κατὰ δόκησιν ἔκλειψις. Ἐκλείπει γὰρ ὄντως ἡ σελήνη τῆς γῆς ὑποσκιαζούσης αὐτὴν, καὶ κωλυούσης δέχεσθαι τὸν ἐκ τοῦ ἡλίου αὐγασμόν. Ἐνίοτε δ' οὕτως ἐκλείπει, ὡς μηδὲ σκιὰν γοῦν ἀμυδρὰν αὐτῆς περισώσεσθαι, ἀλλ' ἀγνοεῖσθαι καὶ τὸν τόπον ἔνθα τότε τὸ ταύτης ἐστὶ σῶμα. Τοιαύτης καὶ ἡμεῖς σεληνιακῆς ἐκλείψεως ἅπαξ αὐτόπται γεγόναμεν, κατὰ μῆνα Μάϊον γεγονυίας περὶ ὥραν ἑβδόμην νυκτός· ὀκτωκαίδεκα ἡμέραι τοῦ Μαΐου παρῆλθοσαν· ἰνδικτιὼν διέτρεχε πρώτη· τὸ ἔτος ἕκτον πρὸς τῷ ἑξηκοστῷ καὶ ἑπτακοσιοστῷ καὶ ἑξακισχιλιοστῷ· τὸ περιέχον εὐδιεινότατον. Ταύτην ἰδόντες τὴν ἔκλειψιν ἐθαυμάσαμεν, εἰ ὅλως ἔχει φῶς ἴδιον ἡ σελήνη, καθὼς τινες λέγουσιν.

ις, ιζ'. Ἐν ταῖς εἰλικρινέσι δὲ τῶν ἐκλείψεων τὰ πρὸς ἀνατολὰς τετραμμένα μέρη τῆς σελήνης ἀμαυροῦνται πρώτως, καὶ πάλιν ταῦτα πρώτως φωτίζονται διὰ τὸ τὴν μὲν σκιὰν τῆς γῆς ἐξ ἀνατολῶν φέρεσθαι πρὸς δυσμάς. τὴν δὲ σελήνην πλανητικῶς ἐκ δυσμῶν πρὸς ἀνατολὰς, καὶ οὕτω τῇ σκιᾷ περιπίπτειν. Ἐν δὲ ταῖς μερικαῖς ἐκλείψεσιν, ἂν μὲν ἀπὸ τῶν βορείων ὡς ἐπὶ τὰ νότια κατέρχοιτο ἡ σελήνη, τὰ πρὸς μεσημβρίαν αὐτῆς ἐκλείπει (ταῦτα γὰρ ἐν τῇ καθόδῳ προηγούμενα τῇ σκιᾷ περιπίπτει)· τὰ δὲ πρὸς ἄρκτον διαφεύγει τὴν ἔκλειψιν (οὐδὲ γὰρ ὑπεισέρχεται ταῦτα τῇ σκιᾷ). Ὁπόταν δ' ἀπὸ τῶν νοτίων ἡ σελήνη ἀνέρχοιτο ὡς ἐπὶ τὰ βόρεια, σκοτί-

A dunt, vertices quidem in terra sunt, ut qui aspectus videntium habeant principia; bases autem in firmamento, et secundum proportionem, latiores quidem sunt, quæ sublimiores; **323** angustiores autem, quæ terræ viciniores.

14. Cæterum cum luna suum circulum percurrit, et signiferum subtercurrit; siquidem soli secundum diametrum opposita, et sub medio signiferi solarem subtendens circulum reperta fuerit: tunc ex plena luna, et tota colluconte, tota illuminationis expers efficitur [79]; ut quæ in mediam terræ umbram incidat. Tunc enim tria corpora, solis, lunæ, et inter hæc venientis terræ, in una recta linea inveniuntur. Quando autem eum circulum qui per media signa ducitur, luna attingit in diametrali- B bus ad solem oppositionibus, aut sui partem sub ipso habet; partialem pro rata portione eclipsin patitur: quando denique in septentrionalibus aut australibus signiferi partibus deprehenditur, umbram effugit. Quapropter [80] haud in omnibus pleniluniis eclipsis fit.

15. Solis proinde eclipsis, videntium aspectus passio est: cum revera non sit eclipsis, sed videtur nobis, qui fulgoribus solis propter lunaris corporis obtentum privamur. At lunæ eclipsis, ipsiusmet lunæ passio, et revera, non opinione, eclipsis est. Vere enim luna deficit, ut terra obumbret ipsam **324** prohibeatque quominus irradiationem a sole accipiat. Interdum autem sic deficit, ut ne C exilis saltem illius umbra conservetur, sed et locus ignoretur, ubi illius corpus est. Cujusmodi lunaris eclipseos et nos semel spectatores fuimus, quæ mense Maio hora noctis septima accidit. Octodecim dies Maii prætericrant; indictio prima decurrebat; annus supra sexies millesimum erat septingentesimus sexagesimus sextus [81]: continens, id est, aer, serenissimum erat. Hanc postquam vidimus eclipsin mirati sumus, si omnino luna proprium lumen habet, ut dicunt aliqui.

16, 17. Cæterum in integris eclipsibus partes lunæ ad orientem conversæ primum obscurantur, eædemque primum vicissim illuminantur: propterea quod umbra quidem [82] terræ ab ortu in occasum, D luna autem erratico suo motu ab occasu ad ortum feratur, et sic in umbram terræ incidat. In partialibus autem eclipsibus, siquidem a borealibus ad australes partes luna descendat, meridionales illius partes deficiunt (hæ enim cum in descensu præcedant, in umbram incidunt); septentrionales autem eclipsin effugiunt (neque enim hæ **325** umbram subingrediuntur, sin autem ab australibus ut ad boreales luna ascendat, septentrionales quidem

[79] Cleom. I. II, c. 4, sub finem; Reinhold. in Purbachii theor. p. 208. [80] Cleom. I. II, c. 3; Macrob. in Somn. Scip., lib. V, c. 15. [81] Macrob. in Somn. Scip. lib. I, c. 19 et 20; Reinhold. in Theor. Purb., 163. [82] Regiom. in Almagest. Ptol. lib. VI, prop. 29.

OCR ABK / FR

tenebris involvuntur, at meridionales lucem habent.

18. Porro [83] luna et altissima et humillima, et medio modo se habens deficit. Et si quidem deficiat, cum est altissima, citius apparet, quia in angustiore umbra versatur : at cum terræ proxima est, tardius [conspicitur], quia in umbram incidit latiorem. Quando denique medio inter sublimitatem et humilitatem se habet, medium etiam occultationis tempus habet.

19. Hinc igitur manifestum est, et quod umbra [terræ] sit conoides [turbinata], et sol major quam terra [84], et luna multo minor quam terra. Si enim tanto temporis spatio umbræ angustia occultatur; quanto fuisset abscondita, si in latitudinem umbræ incidisset, quæ circa terræ superficiem spargitur?

20. Quod autem in umbram terræ incidens luna eclipsin patiatur, manifestum est ex eo quod eclipses in solis pleniluniis fiunt, quando fieri potest ut et luna in umbram incidat. Sed et ex lunæ partibus quæ post perfectam eclipsin conspiciuntur, cum orbiculares [fornicatæ] sint, **326** idem patet. Quin etiam a partialibus liquet eclipsibus; tum enim illuminationum sectiones falcatæ sunt, propterea quod, cum sphærica figura [85] in figuram incidit conoidem, et ab ipso secatur, orbiculares et falcatæ fiunt sectionum figuræ.

21. Quæ cum ita se habeant, fieri non potest, ut cum ambo luminaria super horizontem videntur, quoquo modo eclipsis [lunæ] fiat [86]. Cum autem multæ circa aerem fiant affectiones, consentaneum est, quod aliquando sol postquam occidit, super horizontem aliquibus esse videatur; cum vel crassior et continua nubes ad occasum est, et a radiis solaribus illustratur, adeoque solis speciem nubes istiusmodi exhibet; vel etiam cum aspectus ex aliqua nube æquabili ad solem refringuntur; et in tali nube, veluti in lævi speculo solaris coloris emphasi seu imagine oborta, anthelius qui etiam parelius dicitur, consistit. Sed et alio modo radius qui ex oculis effunditur cum in madente et humido aere ad occasum versatur, defringi potest, et in solem qui parum subter horizontem occultatus est, incidere.

A ζεται μὲν τὰ πρὸς ἄρκτον, τὰ δὲ πρὸς μεσημβρίαν ἔχει τὸ φαεινόν.

ιη'. Ἐκλείπει δ' ἡ σελήνη καὶ ὑψηλοτάτη καὶ προσγειοτάτη καὶ μέσως ἔχουσα. Καὶ ὑψηλοτάτη μὲν ἐκλείπουσα, τάχιον ἐκφαίνεται, τῷ στενωτέρῳ τῆς σκιᾶς ἐντυγχάνουσα· προσγειοτάτη δὲ βράδιον, πλατυτέρᾳ τῇ σκιᾷ περιπίπτουσα. Μέσως δ' ἔχουσα τοῦ ὕψους καὶ ταπεινώματος, μέσον καὶ τὸν χρόνον ἔχει τῆς κρύψεως.

ιθ'. Ἐντεῦθεν οὖν δῆλον, ὅτι τε κωνοειδὴς ἡ σκιὰ καὶ ὁ ἥλιος μείζων τῆς γῆς καὶ ἡ σελήνη ἐλάττων πολλῷ τῆς γῆς. Εἰ γὰρ τοσοῦτον χρόνον τῷ τῆς σκιᾶς στενώματι κρύπτεται, πόσον ἂν ἐκρύβη τῷ πλάτει περιπεσοῦσα τῆς σκιᾶς ὃ περὶ τὴν ἐπιφάνειαν συμβαίνει τῆς γῆς;

B κ'. Ὅτι δὲ τῇ σκιᾷ τῆς γῆς ἡ σελήνη περιπίπτουσα πάσχει τὴν ἔκλειψιν, δῆλον μὲν καὶ ἀπὸ τοῦ τὰς ἐκλείψεις ἐν μόναις γίνεσθαι πανσελήνοις, ὅτε δυνατὸν καὶ τὴν σελήνην περιπεσεῖν τῇ σκιᾷ. Δῆλον δὲ καὶ ἀπὸ τῶν φαινομένων μετὰ τὴν τελείαν ἔκλειψιν τῆς σελήνης μερῶν περιφερῶν ὄντων· ἀλλὰ δὴ καὶ ἀπὸ τῶν ἐπὶ μέρους ἐκλείψεων. Μηνοειδεῖς γὰρ τότε τυγχάνουσι τῶν φωτισμῶν αἱ ἀποτομαί· διότι σφαιρικοῦ σχήματος κωνοειδεῖ ἐντυγχάνοντος σχήματι καὶ ἀπ' αὐτοῦ τεμνομένου, περιφερῆ καὶ μηνοειδῆ γίνονται τὰ σχήματα τῶν τομῶν.

κα'. Τούτων οὕτως ἐχόντων ἀδύνατον ἀμφοτέρων ὑπὲρ τὸν ὁρίζοντα τῶν φωστήρων ὁρωμένων ἔκλειψιν ὅλως γίνεσθαι. Πολλῶν δὲ γινομένων περὶ τὸν ἀέρα παθῶν, εἰκός ἐστί ποτε καταδεδυκότα τὸν C ἥλιον ὑπὲρ τὸν ὁρίζοντα δόξαι τισὶν εἶναι, ἢ νέφους ὄντος πρὸς τῇ δύσει παχυτέρου καὶ συνεχοῦς, καὶ ὑπὸ τῶν ἡλιακῶν ἀκτίνων λαμπρυνομένου, καὶ φαντασίαν ἡλίου τοῦ τοιούτου νέφους παρέχοντος. Ἢ καὶ τῶν ὄψεων ἀνακλωμένων ἔκ τινος νέφους ὁμαλοῦς πρὸς τὸν ἥλιον καὶ ὡς ἐν κατόπτρῳ λείῳ τῷ τοιούτῳ νέφει, τῆς τοῦ ἡλιακοῦ χρώματος γινομένης ἐμφάσεως, ἀνθηλίου τοῦ καὶ παρηλίου συνισταμένου. Δύναιτο δ' ἂν καὶ ἄλλως ἡ ἐκ τῶν ὀμμάτων ἀποχεομένη ἀκτὶς, ἐνίκμῳ καὶ νοτερῷ τῷ πρὸς δυσμαῖς ἀέρι προσομιλοῦσα κατακλᾶσθαι καὶ τῷ ἡλίῳ ἐντυγχάνειν κεκρυμμένῳ μικρὸν ὑπὸ τὸν ὁρίζοντα.

---

## 327 SYNOPSIS CAPITIS XXVIII.

### DE TERRA ET EJUS ZONIS, AC PRIMUM QUOD TERRA AD CŒLESTEM SPHÆRAM, QUIN ET AD IPSAM SOLAREM, CENTRI RATIONEM OBTINEAT.

1. *Quomodo accipiendum quod dicitur terra ad firmamenti sphæram centri rationem obtinere, quod etiam simili declaratur.* — 2. *Tribus argumentis probatur terra ad cœlum centri rationem habere, quorum primum sumitur a stellis, quæ ex omni parte terræ sibi invicem æquales et figura similes cernuntur.* — 3. *Secundum sumitur a signis Zodiaci, quorum sex semper præcise supra terram sunt, ubi etiam exemplo declaratur quomodo hoc ipsum cognosci possit.* — 4. *Tertium petitur ab æquatore, cujus itidem medietas integra semper supra terram est, ut per æquinoctia manifesto cognoscitur.* — 5. *Terra etiam ad solis sphæram centri rationem quoad quidem sensum obtinere probatur ab horologiis quæ ubivis in terra fieri possunt, et centri rationem ad solis sphæram obtinent ipsa quoque, haud secus ac si in terræ meditullio facta essent.* — 6. *Terra ad lunæ sphæram non obtinere centri rationem duobus probatur argumentis, quorum prius ducitur ab intervallis lunæ ad stellas inæqualibus pro climatum diversitate.* — **328** 7.

[83] Cleom. l. II, c. 7. [84] Cardan. l. III De subtil. p. 188. [85] Cleom. II, c. 6. [86] Vide Plin. lib. II, c. 1.

OCR ABK / FR

*Posterius a solis eclipsi sumitur, quæ non ubique eadem conspicitur. — 8. Occupatio, qua ratio explicatur, quare aliqui negarint terram ad aspectabile cœlum, firmamentum puta, centri rationem obtinere. — 9. Confutatur hæc ratio, ut insufficiens, adeoque ostenditur esse non causa rei, quæ tamen ut causa affertur. — 10. Quare visu in altum sublato plus hemisphærio vel mundi medio appareat. — 11. Nec convallium rimulæ, nec montium tubercula rotunditatem terræ evertunt; quod simili a pilulis seu globulis platanorum declaratur, in quo etiam argumentatio inest a minori ad majus. — 12. Figura terræ rotunda esse quinque argumentis probatur quæ breviter ordine recensentur. — 13. Et aqua esse rotunda duobus argumentis confirmatur. — 14. Terra secundum physicos in quinque partes dividitur, quæ etiam zonæ appellantur et in textu recensentur. — 15. Duæ extremæ zonæ propter frigus, media propter æstum traduntur ab antiquioribus physicis inhabitabiles: reliquæ temperatæ sunt et dicuntur; quanquam nec illas esse prorsus inhabitabiles experentia probavit. — 16. Causa varietatis istius zonarum est motus solis in Zodiaco, obliquitas Zodiaci, et terræ rotunditas. — 17. Temperatæ zonæ in quatuor mundi habitabiles partes dividuntur, quarum respectu etiam antœci, et periœci et antipodes dicuntur, quorum omnium* **329** *ad se invicem ratio explicatur. — 18. Quare in quatuor habitabilibus terræ partibus antœci, et periœci et antipodes ad se invicem transire non possint, quanquam hoc ipsum magna ex parte experentia superiorum et nostri temporis refutat. — 19. Auctori videtur figmentum esse, quod a physicis de antœcis, periœcis et antipodibus traditur, in quo tamen errat et experientiam sibi contradicentem habet. — 20. Ratio auctoris est insufficiens, quin et per* ἀντιστρέφον *in ipsum retorqueri potest. — 21. Inter veteres qui de terræ magnitudine discrepantes sententias habuerunt, rectissime senserunt Eratosthenes et Posidonius. — 22. Eratosthenes quomodo et quibus hypothesibus ambitum terræ supputarit, ubi inter alia etiam de meridiano prolixius explicatur. — 23. Posidonius quomodo eumdem invenerit. — 24. Diameter terræ quantus sit ad ambitum suum in stadiis.*

—

## ΚΕΦΑΛ. ΚΗ'.

A

Περὶ γης και τῶν ταύτης ζωνῶν, καὶ πρῶτον, ὅτι ἡ γῆ κέντρου λόγον ἐπέχει πρὸς τὴν οὐράνιον σφαῖραν, ἀλλὰ καὶ πρὸς αὐτὴν τὴν ἡλιακήν.

α'. Ἡ γῆ κέντρου λόγον ἐπέχει πρὸς τὴν σφαῖραν τοῦ στερεώματος· οὐχ ὅτι σύμπασα κέντρον ἐστὶ (πᾶν γὰρ κέντρον ἀδιάστατον ὑπάρχει καὶ ἀμερὲς, εἴ γε σημεῖόν ἐστιν)· ἀλλ' ὅτι συγκρινομένη πρὸς τὸ τῆς σφαίρας μέγεθος οὐδένα λόγον ἔχειν δοκεῖ πρὸς αὐτήν. Ὥσπερ αἱ μυριάκις μύριαι τῶν τοῦ ὕδατος ἀμφορέων μυριάδες πολὺ μὲν τὸ πλῆθος ἔχουσι καθ' αὑτὰς θεωρούμεναι· πρὸς δὲ τὴν θάλασσαν οὐδὲν εἶναι δοκοῦσιν, ἀλλ' οὐδὲ πρὸς μέγαν τινὰ ποταμόν· οὕτω δὴ καὶ ἡ γῆ, καθ' αὑτὴν μὲν ἐξεταζομένη, πολυμεγέθης ἐστί· πρὸς δὲ τὴν οὐράνιον σφαῖραν, ἢ καὶ πρὸς τὴν ἡλιακὴν, οὐδένα λόγον ἔχουσα φαίνεται. Τότε γὰρ λόγον ἔχειν μέγεθος πρὸς μέγεθος λέγεται, ὅταν τὸ μεῖζον οἷόν τε εἴη καταμετρηθῆναι ὑπὸ τοῦ ἐλάττονος· μυριοπλάσιον ἴσως ὂν, ἢ καὶ ἄλλον τινὰ μείζω λόγον ἔχον ἀριθμητόν. Ἡ θάλασσα δὲ καὶ πᾶς μέγας ποταμὸς οὐκ ἂν ὑπὸ τῶν μυριάκις μυρίων μυριάδων τῶν ἀμφορέων καταμετρηθεῖεν τοῦ ὕδατος.

B

β'. Οὖσαν δὲ τὴν γῆν στιγμιαίαν οἱονεὶ πρὸς τὸν οὐρανὸν καὶ οἱ ἀστέρες παριστῶσιν, ἐκ παντὸς αὐτῆς μέρους αὐτοὶ ἑαυτοῖς ἴσοι φαινόμενοι καὶ τοῖς σχήμασιν ὅμοιοι. Τούτων δ' οὐδέτερον συνέβαινεν ἂν, μὴ τῶν πρὸς πάντα τὰ μέρη τοῦ οὐρανοῦ προσπιπτουσῶν εὐθειῶν ἐκ παντὸς μέρους τῆς γῆς ἴσων ἀλλήλαις οὐσῶν ὡς πρὸς αἴσθησιν.

γ'. Ἀλλὰ καὶ τὰ ἓξ ζώδια φαινόμενα ὑπὲρ γῆν ἀκριβῶς, παριστῶσι τὴν γῆν ἐπέχουσαν σημείου λόγον πρὸς τὸ στερέωμα, τοῦ κατ' αὐτὴν βάθους μηδεμίαν μοῖραν ἢ πολλοστὸν μοίρας ἀποκρύπτειν ἰσχύοντος. Τοῦτον δὲ τὸν τρόπον ἡ διάγνωσις γίνεται τοῦ τὰ ἓξ ὑπὲρ γῆν ζώδια φαίνεσθαι. Δύο τινὲς ἀπλανεῖς ἀστέρες ἀλλήλοις παραπλήσιοι κατά τε

C

## CAPUT XXVIII.

*De terra et ejus zonis, ac primum quod terra ad cœlestem sphæram, quin et ad ipsam solarem, centri rationem obtineat.*

1. Terra [87] ad firmamenti sphæram centri rationem obtinet: non quod universa centrum sit (quippe omne centrum dimensionum et partium expers est, siquidem punctum est), sed quod, si sphæræ magnitudini comparatur, nullam ad ipsam habere rationem videatur. Quemadmodum enim centena millia myriadum amphorarum [cadorum] aquæ dum **330** per se considerantur, ingentis sunt magnitudinis, sed ad mare nihil videntur, ut nec ad magnum fluvium; sic nimirum etiam terra, siquidem per seipsam æstimetur, valde magna est; sed ad cœlestem aut etiam ad solarem sphæram, nullam habere rationem videtur. Tum enim [88] magnitudo ad magnitudinem videtur habere rationem, cum major a minori mensurari potest, ut decies millies tantam aut aliam etiam aliquam majorem numerabilem rationem habeat. At mare et quivis alius ingens fluvius a centenis millibus myriadum amphorarum mensurari non possunt.

2. Quod autem terra ad cœlum comparata puncti veluti rationem habeat, et stellæ ostendunt quæ ex omni ejus parte sibi invicem æquales et figura similes apparent. Quorum neutrum accideret, nisi rectæ, quæ ex omni parte terræ ad omnes cœli partes cadunt, sibi invicem quoad sensum æquales essent.

3. Sed et sex signa [89] quæ præcise super terram conspiciuntur, ostendunt, terram ad firmamentum puncti rationem obtinere, cum ipsius profunditas nullam partem, aut etiam scrupulum partis ullum occultare possit. Hoc **331** autem modo cognoscitur, quod sex signa supra horizontem conspiciantur. Duæ quædam inerrantes stellæ sibi invi-

[87] Ptol. lib. I; Alm. c. 6; Cleom. lib. I, c 10, et II, c. 2; Regiom. in Ptol. l. I, conclus. 4. [88] Cleom lib. II, c. 2. [89] Cleom. l. I, c. 10, et II, c. 2.

OCR ABK / FR

cem et quoad magnitudinem, et quoad colorem similes per dimetientem opponuntur: una quidem decimum quintum Scorpii gradum tenens, altera eumdem Tauri, cum Hyadum, id est Sucularum, pars sit, Marti quoad colorem valde similes. Occidente proinde una ipsarum, altera statim exoritur, simulque in horizonte ambæ spectantur, illa quidem oriens, hæc occidens. Quod non contingeret, si partem aliquam Zodiaci crassities terræ obscurare posset.

4. Sed et medium æquatoris semper supra terram est, hocque ex æquinoctiis manifestum est. Cum enim oriens sol aut occidens punctum æquatori subjectum attigerit; tum et dies et nox summam æqualitatem accipiunt.

5. Sed et [90] ad solarem sphæram terra centri rationem obtinere perspicitur. Horologia enim in terra conficiuntur, quæ gnomonum umbras cum umbra terræ simul circumeuntes habent. Atque oportet cuncta gnomonum extremi centri rationem ad solarem sphæram obtinere. Quoniam igitur nullum est horologium **332** quod in ipso præcise terræ medio stare possit; in omni autem terræ parte horologia possunt confici, manifestum est, quod etiam ad solarem sphæram universa terra centri rationem obtineat. Unius enim sphæræ unum centrum est. Sic igitur ad terram sese universi habent gnomones, quasi etiam ad unum punctum collecti forent. Ad solarem proinde sphæram centri rationem obtinere terram, ex iis quæ dicta sunt, manifestum evadit: ut semper tamen quoad sensum subintelligatur.

6. Quod autem [91] ad lunæ sphæram terra puncti rationem non obtineat, sic ostenditur. Intervalla lunæ ad stellas in omni climate terræ æqualia non apparent; sed apud alios majora, apud alios minora. Hoc autem ita non esset, si rectæ, [quæ] ad lunarem altitudinem a terra [producuntur], æquales essent. Si hoc enim, et intervalla sibi etiam æqualia conspicerentur.

7. Sed et solis eclipsis [92], quæ haud apud omnes conspicitur, rationi fidem facit. Si enim [93] ad lunarem altitudinem idem ubique a terra intervallum foret, non apud aliquos quidem homines sol totus deficere, apud aliquos non totus, sed partem deficientem habere, **333** apud alios denique totus defectu vacare uno et eodem tempore videretur.

8-13. Atqui nonnulli dicunt, terram nec ad ipsum cœlum quod videtur, puncti rationem habere. Et sane instantiam ex eo confirmant, quod visus cum in altum attollitur, ea videat, quæ in planis non videntur, sed infra horizontem occultata sunt: et hinc inferunt, non ab omni terræ parte cœlum æqualiter dividi, ac ea de causa centri rationem ad ipsum non obtinere terram. Sed hæc ratio tunc

A μέγεθος καὶ χροιὰν διαμετροῦσιν ἀλλήλους· ὁ μὲν τὴν τοῦ Σκορπίου πεντεκαιδεκάτην κατέχων μοῖραν, ὁ δὲ τὴν αὐτὴν τοῦ Ταύρου, μέρος ὢν τῶν Ὑάδων. Οὗτοι τῷ Ἄρει τὸ χρῶμα παρόμοιοι. Δυομένου γοῦν τοῦ ἑνὸς αὐτῶν ὁ λοιπὸς εὐθὺς ἀνατέλλει, καὶ ὁρῶνται καὶ ἄμφω κατὰ ταυτὸν ἐπὶ τοῦ ὁρίζοντος, ὁ μὲν ἀνατέλλων, ὁ δὲ δυόμενος· Ὅπερ οὐκ ἂν συνέβαινεν, εἰ μέρει τινὶ τοῦ ζῳδιακοῦ τὸ τῆς γῆς οἷόν τ' ἦν βάθος ἐπιπροσθεῖν.

δ'. Ἀλλὰ δὴ καὶ τὸ ἥμισυ τοῦ ἰσημερινοῦ διηνεκῶς ἐστιν ὑπὲρ γῆν. Καὶ τοῦτο δῆλον ἐκ τῶν ἰσημεριῶν· ὁπόταν γὰρ ἀνατέλλων ὁ ἥλιος ἢ δυόμενος τοῦ ὑπὸ τὸν ἰσημερινὸν ἐφάψηται σημείου, τότε λαμβάνουσιν ἥ θ' ἡμέρα καὶ ἡ νὺξ τὸ ἰσαίτατον.

B ε'. Ἀλλὰ καὶ πρὸς τὴν ἡλιακὴν σφαῖραν ἡ γῆ κέντρου λόγον ἐπέχουσα φαίνεται. Κατασκευάζεται γὰρ ἐπὶ γῆς ὡρολόγια τὰς τῶν γνωμόνων σκιὰς ἔχοντα τῇ σκιᾷ συμπεριιστάσας τῆς γῆς· καὶ δεῖ πάντα τὰ τῶν γνωμόνων ἄκρα κέντρου λόγον ἐπέχειν πρὸς τὴν ἡλιακὴν σφαῖραν. Ἐπεὶ γοῦν οὐδέν ἐστιν ὡρολόγιον δυνάμενον ἐπ' αὐτῷ τῷ μεσαιτάτῳ στῆναι τῆς γῆς· ἐν παντὶ δὲ μέρει τῆς γῆς ὡρολόγια κατασκευάζεσθαι δύναται· φανερὸν ὅτι κέντρου λόγον ἐπέχει καὶ πρὸς τὴν ἡλιακὴν σφαῖραν ἡ πᾶσα γῆ. Μιᾶς γὰρ σφαίρας ἓν καὶ τὸ κέντρον. Οὕτως οὖν ἔχουσι πρὸς τὴν γῆν οἱ γνώμονες ἅπαντες, ὡς εἰ καὶ εἰς ἓν ἦσαν συνηγμένοι σημεῖον. Πρὸς μὲν οὖν τὴν ἡλιακὴν σφαῖραν κέντρου λόγον ἐπέχειν τὴν γῆν, ἐκ τῶν εἰρημένων δεδήλωται, προσυπακουομένου πανταχοῦ τοῦ, πρὸς αἴσθησιν.

C

ς'. Πρὸς δὲ τὴν τῆς σελήνης σφαῖραν μὴ λόγον ἐπέχειν σημείου τὴν γῆν οὕτω δείκνυται. Τὰ πρὸς τοὺς ἀστέρας διαστήματα τῆς σελήνης οὐκ ἴσα φαίνεται κατὰ πᾶν κλίμα τῆς γῆς, ἀλλὰ παρὰ μὲν τοῖς μείζω, παρὰ δὲ τοῖς ἐλάττω. Τοῦτο δ' οὐκ ἂν ἦν, τῶν πρὸς τὸ σεληνιακὸν ὕψος προσπιπτουσῶν ἀπὸ τῆς γῆς εὐθειῶν ἴσων ἀλλήλαις οὐσῶν· εἰ τοῦτο γὰρ, ἴσ' ἂν ἀλλήλοις ἐφαίνετο καὶ τὰ διαστήματα.

ζ'. Καὶ ἡ τοῦ ἡλίου δ' ἔκλειψις μὴ παρὰ πᾶσιν ἡ αὐτὴ φαινομένη πιστοῦται τὸν λόγον. Εἰ γὰρ πρὸς τὸ σεληνιακὸν ὕψος τὸ αὐτὸ διάστημα πανταχόθεν ἦν ἀπὸ γῆς· οὐκ ἂν παρὰ τισὶ μὲν ἀνθρώποις ὁ ἥλιος ὅλος ἐκλείπων ἐδόκει, παρὰ τισὶ δ' οὐχ ὅλος, D ἀλλὰ μέρος ἔχων ἐκλελοιπός· παρ' ἑτέροις δ' ὅλος πάμπαν ἀνέκλειπτος καθ' ἕνα καιρὸν τὸν αὐτόν.

η'-ιγ'. Ἔνιοι δέ φασι μηδὲ πρὸς αὐτὸν τὸν ὁρώμενον οὐρανὸν σημείου λόγον ἐπέχειν τὴν γῆν· καὶ πιστοῦνται δῆθεν τὴν ἔνστασιν ἐκ τοῦ τὴν ὄψιν εἰς ὕψος ἐξαιρομένην ὁρᾷν τὰ ἐν ἐπιπέδοις οὐχ ὁρώμενα, κεκρυμμένα δ' ὑπὸ τὸν ὁρίζοντα· κἀντεῦθεν ἐπιφέρουσιν, οὐκ ἀπὸ παντὸς μέρους τῆς γῆς εἰς ἴσα διαιρεῖσθαι τὸν οὐρανὸν, καὶ διὰ τοῦτο πρὸς αὐτὸν μὴ κέντρου λόγον ἐπέχειν τὴν γῆν. Ἀλλ' οὗτος ὁ

[90] Cleom. l. I, c. 10. [91] Cleom. l. I, c. 11; Mart. Capella l. VIII. [92] Cleom. l. I, c. 11. [93] Cleom. l. II, c. 3.

OCR ABK / FR

λόγος τότ' ἂν εἶχεν ἰσχὺν, ὅταν ἐκ τῶν πεδίων καὶ τῆς θαλάσσης οὐχ ἑωρᾶτο τὸ ἡμικόσμιον. Τοῦ δὲ τῆς ὄψεως εἰς ὕψος ἐξαιρομένης φαίνεσθαι πλέον τοῦ ἡμισφαιρίου τὸ σχῆμα τῆς γῆς ἐστιν αἴτιον, ἐπεὶ σφαιρικόν. Ἀνεμποδίστως οὖν αἱ ἀπὸ τῶν ὀμμάτων ἀκτῖνες κύκλωσε τῆς γῆς χεόμεναι πλέον τοῦ ἡμικοσμίου περιλαμβάνουσι, γινομένων τότε τῶν ὁριζόντων κωνοειδῶν, διὰ τὸ σφαιροειδῆ τυγχάνειν τὴν γῆν. Οὐδὲ γὰρ αἵ τε φάραγγες αἵ τε τῶν ὀρῶν ἐξοχαὶ τὸ τῆς γῆς σφαιρικὸν ἀναιρήσουσιν, ὅτι μηδ' αἱ περὶ τὰ σφαιρία τῶν πλατάνων ἐξοχαὶ καὶ κοιλότητες ἐξιστῶσι ταῦτα τοῦ σφαιρικοῦ, καίπερ αὗται πλείονα λόγον ἔχουσι πρὸς τὰς τῶν σφαιρίων ὁλότητας, ἢ τῆς γῆς αἱ κοιλότητες καὶ ὑπεροχαὶ πρὸς τὸ μέγεθος ἅπαν αὐτῆς. Οὔτε γὰρ ὄρος πεντεκαίδεκα σταδίων ὑψηλότερον κατὰ κάθετον ἱστόρηταί που, οὔτε τόπος θαλάσσης τοσούτων σταδίων βαθύτερος. Εἰ δὲ καὶ πλειόνων σταδίων ὕψος καὶ βάθος ὑποτεθείη, πόσον λόγον ἕξει τὸ τοιοῦτον πρὸς τὴν διάμετρον ὅλην τῆς γῆς; Εἰ μὴ ἦν ἡ γῆ σφαιροειδής, πῶς ἂν μετέπιπτον ἐπ' αὐτῆς οἱ ὁρίζοντες; πῶς ἄλλοι παρ' ἄλλοις ἀστέρες τῶν ἀπλανῶν πρὸς ἄρκτῳ καὶ μεσημβρίᾳ ἑωρῶντο; πῶς τὸ τοῦ πόλου ὕψος διάφορον ἐν τοῖς διαφόροις ἦν κλίμασι; πῶς τὸ μέγεθος ἐνηλλαγμένον τοῦ ἀρκτικοῦ; πῶς ἡμερῶν μεγέθη καὶ νυκτῶν ἑτέροις ἐτύγχανεν ἕτερα; Ταῦτα δὴ πάντα πιστοῦνται τὴν γῆν εἶναι σφαιροειδῆ. Καὶ τὸ ὕδωρ δέ πως σφαιροειδὲς ἐκ τοῦ τὰς ῥανίδας εἴς τι λεῖον ἐμπιπτούσας συστρέφεσθαί τε καὶ σφαιροῦσθαι καὶ ἠρεμεῖν δείκνυται· καθὼς ἐν τοῖς τῶν λαχάνων καὶ δένδρων φύλλοις ὑπάρχει καταφανές· ἔκ τε τοῦ τοὺς πλέοντας τὰ πελάγη πολλάκις μὲν ἀπὸ τῶν πλοίων αὐτῶν μὴ τὴν γῆν καθορᾶν· ἐπὶ δὲ τοὺς ἱστοὺς ἀναβάντας, ὡς οὖσαν αὐτὴν πλησίον καθορᾶν, ὑπερθεμένους διὰ τῆς εἰς ὕψος ἀναβάσεως τὰ τῆς τοῦ ὕδατος ἐπιφανείας κυρτώματα, τὰ πρὶν ἐπιπροσθοῦντα ταῖς τούτων ὄψεσιν.

ιδ'. Εἰς πέντε δὲ μέρη διαιροῦσιν οἱ φυσικοὶ τὴν σύμπασαν γῆν· ἓν μὲν τὸ ὑπὸ τοῦ ἀρκτικοῦ κύκλου περιεχόμενον· ἕτερον ὅπερ ὑπόκειται τῷ μεταξὺ τοῦ ἀρκτικοῦ καὶ τοῦ θερινοῦ διαστήματι· τρίτον ὅπερ ὑπερκείμενον ἔχει τὸ ἐκ τοῦ θερινοῦ τροπικοῦ διῆκεν εἰς τὸν χειμερινὸν τροπικὸν καὶ κατὰ τὸ μεσαίτατον αὐτοῦ τὸν μέγιστον κύκλον τὸν ἰσημερινόν· τέταρτον ὅπερ ὑπὸ τὸ μέσον ἐστὶ τοῦ τε χειμερινοῦ τροπικοῦ καὶ τοῦ ἀνταρκτικοῦ· πέμπτον, ὅπερ ὑπὸ τοῦ ἀνταρκτικοῦ περιέχεται· ταῦτα τὰ μέρη τῆς γῆς ὀνομάζουσι ζώνας.

ιε'. Τῶν οὖν τοιούτων ζωνῶν ἑκατέραν μὲν τῶν ἄκρων ἀοίκητον ὑπὸ κρύους εἶναί φασιν· ὑπὸ φλογμοῦ δέ γε τὴν μεσαιτάτην· εὐκράτους δὲ τὰς λοιπὰς καὶ οἰκεῖσθαι πεφυκυίας εἰκότως λέγουσιν, ἐπειδὴ κέκραται τούτων ἑκάστη καὶ τὴν συμμετρίαν τῆς τε θέρμης καὶ ψύξεως καὶ τὸ ζωογόνον ἀπείλη-

A robur haberet, si ex camporum planitiebus et mari medium mundi non spectaretur. Quod autem visu in altum sublato plus apparet hemisphærio, figura terræ in causa est, quia sphærica. Proinde radii cum ab oculis undique circa terram sine impedimento conjiciuntur, dimidio mundi plus comprehendunt, cum horizontes tunc turbinati sint, quia terra orbicularis figuræ est. Neque enim [94] vel convalles, vel montium eminentiæ rotunditatem terræ evertent; quandoquidem neque in pilulis platanorum eminentiæ et cavitates efficiunt, quominus ipsæ rotundæ sint, quanquam hæ majorem habent rationem ad pilularum **334** integritatem, quam terræ cavitates et exuberantiæ ad universam ipsius magnitudinem. Neque enim mons quindecim stadiis secundum perpendiculum altior[95], B neque maris locus tot stadiis profundior unquam est proditus. Quod si autem etiam plurium stadiorum altitudo et profunditas supposita fuerit, quantam et talis [96] ad totum terræ diametrum habuerit rationem? Ac nisi terra orbicularis esset figuræ, qui in ipsa horizontes mutarentur? qui aliæ apud alios fixæ stellæ ad septentrionem et meridiem conspicerentur? qui poli altitudo in diversis climatibus diversa esset? qui arctici magnitudo variaretur? qui dierum et noctium magnitudines apud alios aliæ forent? Hæc videlicet omnia terram orbicularis figuræ esse confirmant. Sed et aquam quodammodo figura orbiculari præditam esse cum ex eo ostenditur, quod guttæ in læve aliquid incidentes contrahuntur et conglobantur et C quiescunt, quemadmodum in herbarum et arborum foliis manifestum exsistit; tum ex eo quod qui maria navigant, sæpe quidem ab ipsis navibus terram non contueantur, conscensis autem malis ipsam, uti **335** propiorem, inspiciant; dum nimirum per ascensionem in altum curvitates et tumores, qui sunt in aquæ superficie, quique antea ipsorum aspectibus obstruebant, superant.

14. In quinque porro [97] partes universam terram physici dividunt: unam quæ ab arctico circulo continetur; secundam quæ ei intervallo subjecta est, quod inter arcticum et tropicum æstivum intervenit; tertiam, quæ imminens habet spatium id quod ex tropico æstivo ad hibernum tropicum protenditur et in sui præcise medio maximum circulum æquinoctialem habet; quartam, quæ sub D medio est tropici hiberni et antarctici; quintam, quæ sub antarctico continetur. Has terræ partes zonas nominant.

15. Harum proinde zonarum extremam utramque a frigore, mediam præ æstu inhabitabilem esse ferunt, reliquas autem bene temperatas et ad habitandum natura comparatas esse aiunt, quandoquidem ipsarum utralibet [temperatarum] proportionem caloris et frigoris, et animalium gene-

[94] Ptol. lib. I Alm. c. 4; Cleom. l. I, c. 10; Regiom. in Almag. lib. I, conclus 2. [95] Cleom. ibidem. [96] Cleom. l. I, c. 8. [97] Cleom. l. I, c. 2; Martian. Capell. lib. VI, p. 226; Macrob. in Somn. Scip. lib. I, c. 5.

OCR ABK / FR

randorum facultatem, cum ex adusta, tum ex propinqua frigida accepit.

A φεν ἐκ τε τῆς διακεκαυμένης καὶ τῆς πλησιαζούσης κατεψυγμένης.

16. Quod autem aliæ partes terræ combustæ torreant, **336** aliæ frigore rigeant, aliæ temperatæ sint, sol in causa est [98], et terræ figura quæ sphærica est, ut diximus. Cum enim sol in mundo per latitudinem quæ inter tropicos intercepta est, movetur, necessario adurit terram, quæ tali spatio subjecta est, utpote qui rectos et validos in eam radios emittat. Rursus quandoquidem nec ab australibus partibus ut ad boreales accedens, tropicum æstivum, nec hinc ut ad australes, hibernum transcendit: eapropter partes ursis subjectas frigore rigere contingit, ut quæ a sole sint remotissimæ, et hac de causa obliquos et remissos radios solares suscipiant: reliquæ autem zonæ, quæ media quodammodo ratione solis radios admittunt, bonum temperamentum habent [99].

ις'. Τοῦ δὲ τὰ μὲν τῆς γῆς διακεκαῦσθαι, τὰ δὲ κατεψῦχθαι, τὰ δ' εὔκρατα τυγχάνειν, ὁ ἥλιος αἴτιος, καὶ τὸ σχῆμα τῆς γῆς σφαιρικὸν ὑπάρχον, ὡς εἴρηται. Κινούμενος γὰρ ἐν τῷ κόσμῳ τὸ μεταξὺ τῶν τροπικῶν πλάτος ὁ ἥλιος ἀναγκαίως διακαίει τὴν ὑποκειμένην τῷ τοιούτῳ διαστήματι γῆν, ὀρθίους καὶ ἐντόνους ἐκπέμπων τὰς ἀκτῖνας αὐτῇ. Πάλιν ἐπείπερ οὔτ' ἀπὸ τῶν νοτίων ὡς ἐπὶ τὰ βόρεια γινόμενος ὑπερβαίνει τὸν θερινὸν τροπικὸν, οὔτ' ἐντεῦθεν ὡς ἐπὶ τὰ νότια τὸν χειμερινόν· διὰ τοῦτο τὰ ὑπὸ ταῖς ἄρκτοις μέρη κατεψῦχθαι συμβέβηκεν, ὡς πορρωτάτω τοῦ ἡλίου, καὶ διὰ τοῦτο πλαγίας καὶ ἀνειμένας τὰς ἡλιακὰς ἀκτῖνας δεχόμενα. B Αἱ δὲ λοιπαὶ ζῶναι, μέσως πως τὰς ἀκτῖνας τοῦ ἡλίου λαμβάνουσαι, τὸ εὔκρατον ἔχουσι.

17. Harum porro temperatarum utramque physici in duas iterum partes dividentes pro mediate quæ partim super, partim subter terram esse videtur, quatuor habitabiles [partes] esse dicunt: quarum unam quidem habitamus nos homines qui noti sumus; secundam periœci [quasi dicas circumhabitantes, seu circumcolæ], qui in eadem nobiscum temperata exsistere et clima quod subter terram est **337** habitare finguntur: tertiam, antœci [q. d. contrahabitantes] et postremam [1] antipodes [quasi pedibus obversis incedentes] qui etiam utrique temperatam oppositam incolere somniantur; antœci tamen in climate super terram (vocantur autem hi etiam antœci, quasi humeris aversi), in eo autem quod infra terram videtur, antipodes [babitant.] Omnium enim in terra habitantium vestigia ipsum terræ medioxumum sive centrum spectare necesse est. Cum enim terra sphæricam figuram habeat, medium et deorsum et centrum idem est. Quapropter haud periœci sunt etiam antipodes, sed qui inferius ex adverso oppositum temperatum clima intra terram inhabitant, et per diametrum distant: quia horum vestigia istorum hominum vestigiis sunt opposita, quorum respectu antipodes dicuntur. Nostrorum proinde antœcorum periœci, nostri antipodes dici quiverunt, at rursus nostrorum antœcorum antipodes, nostri periœci ac penique nostri antipodes, nos antipodes; periœci, periœcos; antœci, antœcos habent, ut horum ad se habitudines (scheses) perinde ut amicorum et fratrum convertantur. Antipus **338** enim antipodis antipus est; [et periœcus periœci periœcus; et antœcus antœci antœcus est.

ιζ'. Τούτων τῶν εὐκράτων ἑκατέραν πάλιν εἰς δύο διαιροῦντες οἱ φυσικοὶ κατά τε τὸ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν δοκοῦν ἥμισυ, τέσσαρας οἰκουμένας εἶναί φασιν· ὧν μίαν μὲν ἔχειν ἡμᾶς τοὺς ἱστορουμένους ἀνθρώπους· μίαν δὲ τοὺς καλουμένους περιοίκους οἳ κατὰ τὴν αὐτὴν ἡμῖν ὑπάρχειν εὔκρατον πλάττονται, καὶ τὸ δοκοῦν ὑπὸ γῆν οἰκεῖν κλῖμα· τρίτην τοὺς ἀντοίκους, καὶ λοιπὴν τοὺς ἀντίποδας, οἳ καὶ ἄμφω τὴν ἀντεύκρατον οἰκεῖν ὀνειρώττονται· πλὴν οἱ μὲν ἄντοικοι, κατὰ τὸ ὑπὲρ γῆν κλῖμα (καλοῦνται δ' οὗτοι καὶ ἄντωμοι), κατὰ δὲ τὸ δοκοῦν ὑπὸ γῆν οἱ ἀντίποδες. Πάντως γὰρ τῶν ἐπὶ γῆς βεβηκότων τὰ ἴχνη βλέπειν ἐπ' αὐτὸ C τὸ μεσαίτατον τῆς γῆς, ἤτοι τὸ κέντρον ἀνάγκην ἔχει. Καὶ γὰρ τῆς γῆς σφαιρικῷ σχήματι κεχρημένης, τὸ μέσον καὶ κάτω κέντρον ταυτό· διόπερ οὐχ οἱ περίοικοι γίνονται καὶ ἀντίποδες, ἀλλ' οἱ τὸ κάτω τῶν ἀπέναντι κατοικοῦντες ἄκρατον κλῖμα τὸ ὑπὸ γῆν καὶ κατὰ διάμετρον ὄντες, ὅτι τὰ ἴχνη τούτων ἄντικρυ τῶν ἰχνῶν ἐστι τῶν ἀνθρώπων ἐκείνων πρὸς οὓς ἀντίποδες λέγονται. Διὸ λέγοιντ' ἂν ἡμῶν ἀντίποδες οἱ τῶν ἡμετέρων ἀντοίκων περίοικοι· τῶν δ' ἡμετέρων ἀντοίκων ἀντίποδες οἱ περίοικοι πάλιν ἡμῶν· οἱ δ' ἀντίποδες ἡμῶν ἡμᾶς ἀντίποδας ἔχουσι, καὶ περιοίκους οἱ περίοικοι, καὶ ἀντοίκους οἱ ἄντοικοι· τῶν ἐν τούτοις σχέσεων ὁμοίως ταῖς ἐν φίλοις καὶ ἀδελφοῖς ἀντιστρεφουσῶν. Ὁ γὰρ ἀντίπους ἀντίποδος ἀντίπους, καὶ D ὁ περίοικος περιοίκου περίοικος, καὶ ὁ ἄντοικος ἀντοίκου ἄντοικος.

18-20. Quamobrem quatuor terræ partes temperatas habitari physici monstrose fingunt: non posse autem quemquam ad periœcos proficisci, quod ipsos a se invicem Oceanus qui belluis refertus sit et innavigabilis dirimat: nec etiam ad eos qui oppositam temperatam habitant, propterea

ιη'-κ'. Οἰκεῖσθαι γοῦν καὶ τὰς τέσσαρας εὐκράτους μοίρας τῆς γῆς οἱ φυσικοὶ τερατεύονται· μὴ δύνασθαι δέ τινας πρὸς τοὺς περιοίκους πορεύεσθαι διὰ τὸ διείργειν αὐτοὺς ἀπ' ἀλλήλων τὸν Ὠκεανὸν, θηριώδη πεφηνότα καὶ ἄπλωτον· μήτε μὴν πρὸς τοὺς τὴν ἀντεύκρατον οἰκοῦντας, διὰ τὸ

[98] Macrob. in Somn. Scip. c. 5, 7; Mart. Capella, lib. VI, qui est de geometria; Ovid. I Metam.
[99] Cleom. l. I, cap. 2. [1] Mart. Capella, lib. VI, p. 227.

OCR ABK / FR

μὴ τὴν μεταξὺ διακεκαυμένην εἶναι πορεύσιμον. A Ταῦτα φυσιολογίας τὰ ἐξευρήματα. Πρὸς δ' ἀλήθειαν οὐκ εἰσὶ περίοικοι, οὔτ' ἄντοικοι, οὔτ' ἀντίποδες. Εἰ γὰρ εἰς τὴν ἡμετέραν ταύτην σύμπασαν γῆν πολλῷ πλείων τῆς οἰκουμένης ἀοίκητος εὔκρατος, τίς ἀνάγκη πλείους οἰκουμένας ἐπινοεῖν; Τόπους μέντοι πολλοὺς ἀοικήτους εὐκράτους ὑπολαμβάνειν τὸ κωλῦον οὐδέν. Ὑπερεκπερισσοῦ γὰρ ἅπαντα πεποίηκεν ὁ Θεός· καὶ ὥσπερ ὀλίγον πῦρ, ὀλίγος ἀήρ, ὀλίγον ὕδωρ τὰ πρὸς χρῆσιν ἐξαρκοῦντα τοῖς οἷς χρήσιμα ταῦτα γινώσκονται, πάμπλειστα δὲ παρὰ τῆς δημιουργικῆς μεγαλειότητος καὶ πλουσιοπαροχίας γεγόνασιν· οὕτω καὶ τῆς γῆς ὀλίγον μὲν τὸ οἰκούμενον, πάνυ δὲ πολὺ τὸ εὔκρατον καὶ πρὸς οἴκησιν πεφυκός. Ἡ γὰρ τῆς θείας δωρεᾶς ἀκατάληπτος ἄβυσσος ὑπὲρ ἅπασαν χρείαν ὑπερεξέχεεν ἅπαντα. B

κα, κβ'. Περὶ τοῦ τῆς γῆς μεγέθους διάφοροι λόγοι γεγόνασιν ὧν οὐδεὶς ἔχει τὸ ἀναντίῤῥητον· τέως δ' οὖν βελτίω τάχα τῶν ἄλλων δοκοῦσι λέγειν Ἐρατοσθένης καὶ Ποσειδώνιος. Ὁ μὲν οὖν Ἐρατοσθένης γραμμικῶς δεικνύναι προάγεται τὴν τῆς γῆς περίμετρον σταδίων μυριάδων πέντε καὶ εἴκοσιν, ὑπόθεσιν πρὸς τὴν οἰκείαν δεῖξιν ποιούμενος τὸ σταδίων εἶναι πεντακισχιλίων τὸ ἀπὸ σελήνης μέχρις Ἀλεξανδρείας διάστημα· καὶ πρῶτον τὸ τὰς πόλεις ταύτας ὑπὸ τῷ αὐτῷ κεῖσθαι μεσημβρινῷ, καὶ τὸ μεταξὺ τῶν πόλεων διάστημα, σταδίων πεντακισχιλίων δι' ἁπλουστέρας ἐφόδου τὴν τῆς γῆς περίμετρον ἀποδίδωσι σταδίων μυριάδων τεσσάρων καὶ εἴκοσι. C Μεσημβρινοὶ δὲ κύκλοι εἰσὶν οἱ διά τε τῶν τοῦ στερεώματος πόλων γραφόμενοι, καὶ διὰ σημείου τινὸς ὃ τῆς κορυφῆς ἑκάστου τῶν ὑπὲρ γῆς βεβηκότων ὑπέρκειται. Πόλοι μὲν οὖν οἱ αὐτοὶ πάντων μεσημβρινῶν· τὸ δὲ κατὰ κορυφὴν σημεῖον ἕτερον ἑτέρων ἐστίν. Ὅθεν καὶ ἄπειροι δύνανται γράφεσθαι μεσημβρινοί. Πάντες δ' οὖν οἱ μεσημβρινοὶ μέγιστοι κύκλοι ὄντες, καὶ τὸν κόσμον (πρὸς) ἀλλήλους εἰς δύο τέμνοντες σα, ἴσοι καὶ τῷ ζωδιακῷ καὶ ἀλλήλοις εἰσίν. ἐπεὶ καὶ ὁ ζωδιακὸς μέγιστος κύκλος ἐστίν. Οἱ δ' ὅλοι ὅλοις ἴσοι, καὶ τὰ ὅμοια μέρη ἀλλήλων ἴσα ἔσονται.

κγ'. Τὴν αὖ Ῥόδον καὶ τὴν Ἀλεξάνδρειαν ὑπὸ τῷ αὐτῷ κεῖσθαι μεσημβρινῷ λέγων ὁ Ποσειδώνιος, καὶ σταδίων εἶναι πεντακισχιλίων τὸ τὰς πόλεις ἀπ' D ἀλλήλων διεῖργον διάστημα, λαμπρότατον ἀστέρα τινά φησι καλούμενον Κάνωπον φαίνεσθαι πρὸς μεσημβρίαν ὡς ἐπὶ τῷ πηδαλίῳ τῆς Ἀργοῦς· ἐν Ἑλλάδι μὲν οὐδ' ὅλως ὁρώμενον (ὅθεν οὐδ' Ἄρατος ἐν τοῖς Φαινομένοις εἴρηκέ τι περὶ αὐτοῦ), τοῖς δ' ἀπὸ τῶν ἀρκτικωτέρων μερῶν ὡς πρὸς μεσημβρίαν ἐρχομένοις ἀρχὴν ἐν Ῥόδῳ τοῦ ὁρᾶσθαι λαμβάνοντα· κἀπὶ τοῦ ὁρίζοντος ὀφθέντα μικρὸν, εὐθὺς κατὰ τὴν τοῦ κόσμου συστροφὴν καταδύεσθαι· τοῖς

quod intermedia adusta [zona] transiri non queat. Hæc physiologiæ inventa sunt [2]. In rei autem veritate nec periœci sunt, nec antœci, nec antipodes. Si enim quod ad nostram universam terram attinet, multo major est inculta temperata quam quæ colitur, quæ necessitas cogit ut plures habitabiles [partes] excogitemus? Atqui ut multa loca temperata judicemus inculta, nihil est quod prohibeat. Quippe Deus omnia in summa creavit abundantia. Et sicut parum ignis est, parum aeris, parum aquæ, quæ sufficiant ad usum his quibus expedire cognoscuntur, plurimum autem a conditoris majestate et opulentissima largitate factum est: sic etiam exigua terræ pars est quæ habitatur, sed valde magna, quæ temperata **339** et ad habitationem natura comparata est. Immensa enim divinæ munificentiæ abyssus omnia multo abundantius effudit, quam eorum requirit indigentia.

21, 22. Cæterum [3] de terræ magnitudine multæ sententiæ fuerunt, quarum nulla contradictionis expers est; verumtamen cæteris meliora forsan dicere videtur Eratosthenes et Posidonius. Eratosthenes igitur geometrice terræ ambitum ostendere aggreditur viginti quinque myriadum stadiorum; dum [interim] suæ ostensionis hypothesin facit quod intervallum a Syene ad Alexandriam sit quinquies mille stadiorum [4]. Et primo quod hæ urbes sunt sub eodem meridiano, quoque intermedium urbium intervallum est quinquies mille stadiorum, simpliciore ratione, terræ ambitum exhibet, viginti quinque myriadum stadiorum. Cæterum meridiani sunt circuli, qui et per firmamenti polos describuntur, et per aliquod punctum aliud quod cuivis in terra ambulantium vertici superincumbit. Poli proinde omnium meridianorum iidem, sed punctum verticale apud alios est aliud. Qua de causa etiam infiniti meridiani scribi possunt. Omnes **340** proinde meridiani cum sint maximi circuli, et mundum invicem in duas æquales partes dividant, cum Zodiaco tum sibi invicem æquales sunt, quoniam etiam Zodiacus est circulus maximus. Quod si toti totis sunt æquales, etiam partes eorum, quæ invicem sunt similes, æquales erunt.

23. Porro Rhodum et Alexandriam eidem meridiano subjectam esse dicens Posidonius, et intervallum quod civitates a se invicem dirimit quinquies mille stadiorum, splendidissimam quampiam stellam quæ Canopus vocatur, ad meridiem ut in gubernaculo Argus apparere pronuntiat, quæ in Græcia quidem nullo modo conspiciatur (qua de causa etiam Aratus in *Phænomenis* nihil de ea disseruit): ab iis autem qui a partibus borealioribus ut ad meridiem proficiscuntur, cum in Rhodo primum conspiciatur, ut super horizontem visa parum fuerit, illico in mundi conversione occidat,

[2] Plin. lib. II, c. 65; Lact. lib. III, c. 24. August. l. XVI, c. 9, De civitate Dei. [3] Cleom. l. I, c. 10; Mart. Capella, lib. VI, p. 224. [4] Pars 1 habet stadia 5000, partes 50 habebunt 250000.

OCR ABK / FR

*Intervallum dierum ab æquinoctio verno ad conversiones usque æstivas, et a conversionibus æstivis ad æquinoctium autumnale, et ab eodem æquinoctio ad conversiones hibernas, et denique a conversionibus hibernis ad æquinoctium vernale definitur. — 21. Quanquam zodiaci quadrantes sunt æquales, tamen sol non percurrit eos æquali tempore, quia in sua sphæra quæ infra firmamentum est per solarem circulum* **345** *movetur qui Zodiaco non est concentricus. — 22. Hinc æqualibus Zodiaci segmentis inæqualia solaris circuli segmenta respondent; et hac ipsa de causa longissimo tempore in Geminis, brevissimo in Sagittario moratus est sol auctoris quidem tempore. — 23. Sed et nychthemera non sunt præcise æqualia, quia additamento solis uti vocant non sunt æqualia. — 24. Nychthemera autem ex inæqualitate additamentorum sunt inæqualia, cum propter motum solis proprium, tum propter solaris circuli eccentricitatem cum cœlo, id est primo mobili. — 25. Quippe sol si vel motu proprio careret, vel si solaris circulus non esset eccentricus primo mobili, nychthemera omnia præcise forent æqualia. — 26. Per conclusionem infert, quod inæqualitatis nychthemerorum simul et motus solis proprius et solaris circuli eccentricicus causæ sint.*

—

## ΚΕΦΑΛ. ΚΘ'.

A

### Περὶ ἡμερῶν καὶ νυκτῶν καὶ τῶν τεσσάρων τοῦ ἔτους ὡρῶν.

α'. Ὁ ἥλιος διττὴν φερόμενος κίνησιν, τὴν μὲν διὰ τῆς οἰκείας σφαίρας τὴν πλανητικὴν, τὴν δὲ διὰ τῆς βιαίας περιαγωγῆς τοῦ ἀπλανοῦς οὐρανοῦ, διὰ μὲν τῆς πεπλανημένης κινήσεως τὰς ὥρας ἀπαρτίζει, διὰ δὲ τῆς ἄλλης τῆς σὺν τῷ οὐρανῷ τὰς ἡμέρας καὶ τὰς νύκτας ἀποτελεῖ· τὰς ἡμέρας τὸν περὶ ἡμᾶς ἀέρα φωτίζων διὰ τῶν ἀκτίνων αὐτοῦ· τὰς νύκτας, ὑπὸ τὸν ὁρίζοντα κεκρυμμένος καὶ μηκέτι διαπέμπων τὰς λαμπηδόνας αὐτοῦ πρὸς ἡμᾶς, διὰ τὴν τῆς γῆς ἐπιπρόσθησιν. Οὐδὲν γὰρ ἕτερόν ἐστιν ἡ νὺξ ἢ τὸ τῆς γῆς ἀποσκίασμα.

B β'. Ταῖς ἡμέραις δὲ καὶ ταῖς νυξὶν αὐξήσεις καὶ μειώσεις προσγίνονται, καὶ τῶν ὡρῶν ἐκτελεῖται ἡ τετρακτὺς, διὰ τὸ ἐγκεκλίσθαι τὸν κόσμον, καὶ τὸν μὲν τῶν πόλων βόρειον ἄνω τοῦ ὁρίζοντος εἶναι καὶ διὰ παντὸς ἡμῖν φανερὸν, τὸν δὲ κάτω καὶ διηνεκῶς ἀφανῆ· κἀντεῦθεν πάντας τοὺς ἐν τῷ στερεώματι παραλλήλους κύκλους ἐφ' οὓς φέρεται ὁ ἥλιος εἰς ἄνισα τμήματα ὑπὸ τοῦ ὁρίζοντος διαιρεῖσθαι πλὴν μόνου τοῦ μεγίστου τοῦ ἰσημερινοῦ· τά τε κλίματα τῆς γῆς μὴ τὴν αὐτὴν ἔχειν σχέσιν πρὸς τὸν ζωδιακὸν, ὡς ἄλλων ἄλλοις ὑποκειμένων τοῦ στερεώματος μέρεσι, κἀντεῦθεν διαφόρων ὄντων κατὰ τὰς κράσεις.

γ'. Ἐν μὲν οὖν τῷ ὑπὸ τὸν ἰσημερινὸν κλίματι μεσαιτάτῳ τῆς γῆς ὄντι, θέσιν ἔχει τὴν ἰσαιτάτην ὁ κόσμος, ἑκατέρου τῶν πόλων ἐπὶ τοῦ ὁρίζοντος
C φαινομένου, καὶ κύκλων ἀρκτικῶν οὐχ ὑπαρχόντων ἐν τούτῳ τῷ κλίματι· πάντων δὲ τῶν ἀστέρων ἀνισχόντων τε καὶ καταδυομένων, μηδενὸς ὄντος ἀειφανοῦς, μήτ' αὖ ἀφανοῦς.

δ'. Ἀπὸ δὲ τούτου τοῦ κλίματος ὡς ἐπὶ τὰς εὐκράτους ἡ θέσις ἀλλοιοῦται τοῦ κόσμου· τοῦ μὲν ἀποκρυπτομένου τῶν πόλων, τοῦ δ' ἐξαιρομένου· πρὸς μὲν τὴν καθ' ἡμᾶς οἰκουμένην ἐξαιρουμένου τοῦ βορείου, πρὸς δὲ τὴν ἀπέναντι τοῦ νοτίου. Σφαιρικοῦ γάρ πως τοῦ σχήματος ὄντος τῆς γῆς, ὁ μὲν ὑπὸ τοῦ περὶ τὴν γῆν κυρτώματος ἐπιπροσθούμενος, κρύπτεται τοῖς ἀφισταμένοις αὐτοῦ καθόσον ἀφίστανται· ὁ δὲ φαίνεται τοῖς πλησιάζουσιν, καθόσον πλησιάζουσιν. Ὑποκείσθω γοῦν τις ἐκ

## CAPUT XXIX.

### *De diebus et noctibus et quatuor anni horis.*

1. Cum sol [7] duplici motu moveatur, uno errabundo per propriam sphæram, altero violento cœli inerrantis circuitu; erratico quidem motu horas, hoc est, stata anni tempora efficit; altero autem quem cum cœlo communem habet, dies et noctes producit; dies, cum aerem nostrum suis radiis illuminat; noctes, cum infra horizontem occultatus est; nec amplius **346** ad nos fulgores suos propter terræ objectum emittit. Neque enim quidquam aliud est nox, quam terræ obumbratio.

2. Porro diebus et noctibus incrementa et decrementa accedunt, et horarum quaternio efficitur: propterea quod mundus inclinatus est, et polus boreus supra horizontem, nobisque semper conspicuus, alter [australis] infra, et perpetuo inconspicuus est, et hinc paralleli omnes in firmamento circuli sub quibus sol movetur, solo maximo æquinoctiali excepto, in segmenta inæqualia ab horizonte dividuntur, et terræ climata non eamdem schesin [habitudinem] obtinent ad zodiacum, dum alia aliis firmamenti partibus subjecta, et proinde temperamentorum respectu diversa sunt [8].

3. In climate igitur quod æquatori subjectum et in terra præcise medium est, æqualissimum habet mundus positum, ubi nimirum uterque polorum in horizonte apparet, et circuli arctici in climate isto nulli sunt; sed omnes stellæ tum oriuntur, tum occidunt, ut nulla perpetuo appareat, nec contra non appareat.

4. Ab hoc autem climate ut ad temperatas variatur, mundi positus; dum unus polorum occultatur **374** aliter elevatur: in habitabili quidem nostra, borealis elevatur; in opposita autem, australis. Cum enim terræ figura sit rotunda quodammodo, unus quidem propter curvitatis terræ obtentum occultatur iis qui distant ab ipso quantum distant; alter vero apparet iis qui propinquant illi, quantum propinquant. Supponatur igitur [9] aliquis ex torrida ad nostram temperatam [zonam] ve-

[7] Arist. de mundo, c. 5; Cleom. l. I, c. 3; Regiom. lib. I, conc. 6. [8] Cleom. l. I, c. 5 et 7; Regiom. in Ptol. l. II, prop. 11. [9] Cleom. I, c. 5, sub princ.; Regiomont. in Ptol. l. II, pro. 11-13.

OCR ABK / FR

niens. Huic nimirum per clima æquatori subjectum proficiscenti neuter polus elevatus videbitur (ambo enim simili ratione in horizonte sunt), nec ulla stella vel semper apparebit, vel contra nunquam apparebit. Unde nec aliquis arcticus vel antarcticus est circulus. Arctum enim [10] apud nos circulum esse oportet eum qui stellas semper apparentes comprehendit; antarcticum, qui occultatas. Porro eidem posteaquam clima sub æquatore prætererit, australis quidem polus occultabitur, sed quantum hic occultatus fuerit, tantum boreus in altitudinem elevabitur. Atque ita mundo a borealibus ut ad australes partes inclinationem accipiente, stellarum circa polos aliæ semper apparentes, aliæ non apparentes **348** efficientur. Idem etiam circulis qui ipsas continent necessario evenit, ut juxta itineris profectum mutentur, semperque etiam ambo æqualiter majores fiant.

5. Cum ergo hunc in modum mundus inclinatus sit, sciendum est inerrantium stellarum quamvis juxta cum firmamento circumgyratam tali circumgyratione circulum circumscribere. Hi proinde circuli paralleli quidem sunt. Cum autem eorum maximus sit æquinoctialis, minimi sunt omnium qui circa polos exsistunt. Quamobrem secundum proportionem qui ab æquatore quidem ut ad polos [recedunt], semper minores; qui autem a polis ut ad æquatorem [accedunt], semper majores sunt.

6. Universorum igitur [11] parallelorum, et maximi, et minimorum, et intermediorum, in climate æquatori subjecto, segmenta media supra terram, reliqua media infra terram sunt. Atqui isthinc ad hæc nostratia adventanti, quemadmodum polus boreus elevatur et mundus inclinatur, sic circuli eamdem schesin non amplius retinent, sed æquinoctialis cum maximus sit [circulus] et in duas æquales partes mundum secet, dimidium semper supra terram habet, **349** reliquum dimidium accurate infra terram: eorum autem circulorum qui ab ipso ut ad polos vergunt, quotquot equidem ut ad boreum inclinant, majora segmenta supra terram, minora infra habent; quotquot autem ut ad australem [declinant] contra [se habent]. Sed nimirum etiam antarcticus totus occultatus est, quemadmodum totus arcticus semper conspicuus. Et sic quidem in nostra temperata [zona] res se habet, in opposita autem temperata, vice versa. Quæ enim nobis sunt sublimia, illis sunt humilia, et contra. Inclinatus est enim ipsis mundus ut ab australibus ad boreales partes. Et arcticus quidem circulus infra horizontem occultatus est, antarcticus autem æque ab horizonte elevatus.

7. Quæ cum ita sese habeant [12], manifestum est cum sol a conversionibus ad conversiones planeta-

A διακεκαυμένης πρὸς τὴν καθ' ἡμᾶς ἐρχόμενος εὔκρατον. Τούτῳ δὴ τὸ ὑπὸ τὸν ἰσημερινὸν ἔτι διαπορευμένῳ κλίμα τῶν πόλων οὐδεὶς ἐξηρμένος ὀφθήσεται (καὶ ἄμφω γὰρ ὁμοίως ἐπὶ τοῦ ὁρίζοντος), καὶ οὔτ' ἀειφανὴς τῶν ἀστέρων ἔσται τις, οὔτ' ἀφανής. Ὅθεν οὐδὲ κύκλος τις ἀρκτικός· οὔτ' αὖθις ἀνταρκτικός. Ἀρκτικὸν γὰρ κύκλον εἶναι δεῖ καθ' ἡμᾶς τὸν τοὺς ἀειφανεῖς περιέχοντα τῶν ἀστέρων· τὸν δὲ τοὺς ἀποκεκρυμμένους ἀνταρκτικόν. Παραμείψαντι δὲ τὸ ὑπὸ τὸν ἰσημερινὸν κλίμα, πόλος μὲν ὁ νότιος πάμπαν ἀποκρυβήσεται· καὶ ὅσον δ' ἂν οὗτος ἀποκρυβείη, κατὰ τοσοῦτον ἐξαρθείη πρὸς ὕψος ὁ βόρειος· καὶ οὕτως ἔγκλισιν ἀπὸ τῶν βορείων ὡς ἐπὶ τὰ νότια τοῦ κόσμου λαμβάνοντες, οἱ μὲν τῶν περὶ τοὺς πόλους ἀστέρων ἀειφανεῖς γίνοιντο, οἱ δ' ἀφανεῖς. Καὶ οἱ τούτους περιέχοντες
B κύκλοι τὸ αὐτὸ πάσχοιεν ἀναγκαίως· κατὰ τὴν προκοπὴν τῆς πορείας μεταποιούμενοι, καὶ μείζους ἀεὶ κατ' ἰσότητα καὶ ἄμφω γινόμενοι.

ε'. Τοιουτοτρόπως οὖν ἐγκεκλιμένου τοῦ κόσμου, δεῖ νοεῖν τῶν ἀπλανῶν ἀστέρων ἕκαστον τῷ στερεώματι συμπεριφερόμενον, κύκλον περιγράφειν διὰ τῆς τοιαύτης περιφορᾶς. Πάντες οὖν οἱ τοιοῦτοι κύκλοι παράλληλοι μὲν εἰσι· μεγίστου δ' ἐν αὐτοῖς ὄντος τοῦ ἰσημερινοῦ, μείονες ἁπάντων οἱ περὶ τοὺς πόλους ὑπάρχουσιν. Ὥστε πρὸς λόγον οἱ μὲν ἀπὸ τοῦ ἰσημερινοῦ ὡς πρὸς τοὺς πόλους ἀεὶ ἐλάττους, οἱ δ' ἐκ τῶν πόλων ὡς πρὸς τὸν ἰσημερινὸν ἀεὶ μείζους.

ϛ'. Συμπάντων τοίνυν τῶν παραλλήλων, καὶ τοῦ
C μεγίστου καὶ τῶν ἐλαχίστων καὶ τῶν μεταξὺ κατὰ μὲν τὸ ὑπὸ τὸν ἰσημερινὸν κλίμα τὰ ἡμίση τμήματα ὑπὲρ γῆν καὶ τὰ λοιπὰ ἡμίση ὑπὸ γῆν· τῷ δ' ἐκεῖθεν ἀφικνουμένῳ πρὸς τὰ ἐνταῦθα καθάπερ ὁ βόρειος πόλος ἐξαίρεται καὶ ὁ κόσμος ἐγκλίνεται· τοῦτον τὸν τρόπον καὶ οἱ κύκλοι τὴν αὐτὴν σχέσιν οὐκ ἔτι διατηροῦσιν· ἀλλὰ τοῦ μὲν ἰσημερινοῦ μεγίστου ὄντος, καὶ εἰς ἴσα δύο τέμνοντος τὸν κόσμον, τὸ ἥμισυ μένει πάντοτε ὑπὲρ γῆν καὶ τὸ λοιπὸν ἥμισυ ἀκριβῶς ὑπὸ γῆν· τῶν δ' ἀπ' αὐτοῦ ὡς πρὸς τοὺς πόλους κύκλων ὁπόσοι μὲν ὡς πρὸς τὸν βόρειον, τὰ μείζω τμήματα ἔχουσιν ὑπὲρ γῆν, τὰ δ' ἐλάττω ὑπὸ γῆν· ὁπόσοι δ' ὡς πρὸς τὸν νότιον, ἔμπαλιν. Ἀλλὰ δὴ καὶ ὁ ἀνταρκτικὸς ὅλος κεκρυμμένος ἐστὶν ὥσπερ ἀειφανὴς ὅλος ὁ ἀρκτικός. Καὶ
D κατὰ μὲν τὴν ἡμετέραν εὔκρατον οὕτως ἔχει· κατὰ δὲ τὴν ἀντεύκρατον, ἀντεστραμμένως. Τὰ γὰρ ἡμῖν ὑψηλὰ τοῖς ἐκεῖ ταπεινά, καὶ ἔμπαλιν. Ἐγκέκλιται γὰρ ὁ κόσμος ἐκείνοις ὡς ἀπὸ τῶν νοτίων ἐπὶ τὰ βόρεια· καὶ ὁ μὲν ἀρκτικὸς κύκλος ὑπὸ τὸν ὁρίζοντα κέκρυπται· ὁ δ' ἀνταρκτικὸς τὸ ἴσον ἐξῆρται ἀπὸ τοῦ ὁρίζοντος.

ζ'. Τουτων οὕτως ἐχόντων ὁ ἥλιος ἀπὸ τροπῶν ἐπὶ τροπὰς τὴν πλανητικὴν ὑπὸ τὸν ζῳδιακὸν φερό-

[10] Cleom. l. I, c. [11] Cleom. l. I, c. 5 [12] Ibid.

OCR ABK / FR

μενος κίνησιν, φανερὸν ὅτι τοὺς κύκλους ἐξαλλάσσει πάντας, ὁπόσοι μεταξὺ νοοῦνται τῶν τροπικῶν.

η'. Ὅταν μὲν οὖν ἀπὸ τῶν βορείων ἐπὶ τὰ νότια φερόμενος ἐφάψηται τοῦ χειμερινοῦ τροπικοῦ, βραχυτάτην ἡμῖν τὴν ἡμέραν ποιεῖ, τὴν δὲ νύκτα μεγίστην. Ὁ γὰρ κύκλος οὗτος πάντων ὧν ψαύει κύκλων ὁ ἥλιος ὑπὸ γῆν ἔχει τμῆμα μέγιστον, ὑπὲρ γῆν δ' ἐλάχιστον.

θ'. Ὅταν δὲ τοῦ χειμερινοῦ τροπικοῦ ὁ ἥλιος ἐφαψάμενος, γίνηται πάλιν ὡς πρὸς ἡμᾶς, ἐπὶ τὰ ὑψηλότερα τοῦ κοσμοῦ ὁρώμενος· ἐντυγχάνει κύκλοις ἔχουσιν ὑπὲρ γῆν τμήματα μείζω τοῦ ὑπὲρ γῆν τμήματος τοῦ χειμερινοῦ τροπικοῦ. Καὶ ὅσῳ τὰ τῶν κύκλων ὑπὲρ γῆν τμήματα μείζω, τοσούτῳ καὶ τὴν ἡμέραν αὐξομένην πρὸς λόγον παρέχεται, μέχρι μὲν τοῦ πρὸς τὸν ἰσημερινὸν καταντήματος ἔτι μικροτέραν τῆς νυκτὸς διαμένουσαν.

ι'. Ἐπὰν δ' ἐφάψηται τοῦ ἰσημερινοῦ, τοῦ τὸ ἥμισυ ἔχοντος ὑπὲρ γῆν καὶ τὸ ἴσον μέρος ὑπὸ γῆν ἐαρινὴν ἰσημερίαν ποιεῖ· πάντη μὲν ἀκριβῆ τοῦ ἰσημερινοῦ ἐφαψάμενος καθ' ἓν τῶν δύο σημείων καθ' ἃ τέμνουσιν ἀλλήλους ὅ τε ὁρίζων καὶ ὁ ἰσημερινός· οὐκέτι δὲ τοιαύτην ἀκριβωμένην, ὅταν καθ' ἕτερον σημεῖον παρὰ τὰ εἰρημένα, τοῦ αὐτοῦ ἐφάψηται ἰσημερινοῦ.

ια'. Τελέσας οὖν ὁπωσοῦν τὴν ἰσημερίαν ὁ ἥλιος καὶ ἀπὸ τοῦ ἰσημερινοῦ ἀνατρέχων ὡς ἐπὶ τὸν θερινὸν τροπικόν, ἐπεὶ κύκλοις ἐντυγχάνει μείζω τὰ ὑπὲρ γῆν ἔχουσι τμήματα, μείζους τῶν νυκτῶν καὶ τὰς ἡμέρας ἐξ ἀνάγκης παρέχεται τῆς τοιαύτης αὐξήσεως προϊούσης μέχρις ἂν πελάσοι τῷ θερινῷ κύκλῳ, ὃς μέγιστον καθ' ἡμᾶς ἔχει τμῆμα πάντων ὧν ἐφάπτεται κύκλων ὁ ἥλιος, καὶ διὰ τοῦτο τὴν ἐν τῇ θερινῇ τροπῇ ἡμέραν μεγίστην ποιεῖ.

ιβ', ιγ'. Ἐντεῦθεν δ' ὡς ἐπὶ τὰ νότια κατιὼν κύκλοις ἐντυγχάνων τμήματα ἔχουσιν ὑπὲρ γῆν ἐλάττω πρὸς λόγον τοῦ ὑπὲρ γῆν τμήματος τοῦ θερινοῦ τροπικοῦ καὶ τὴν ἡμέραν ἀναλόγως μειουμένην παρέχεται· μείζω μὲν τῆς νυκτός, μέχρις ἂν πελάσοι τῷ ἰσημερινῷ. Τούτου δ' ἐφαψάμενος, τὴν φθινοπωρινὴν ἰσημερίαν ποιεῖ· καθὼς ἐπὶ τῆς ἐαρινῆς ἰσημερίας δεδήλωται· καὶ οὕτω κύκλοις ἐντυγχάνων ἑξῆς τὰ ὑπὸ γῆν ἔχουσι τμήματα μείζω τῶν ὑπὲρ γῆν, καὶ τὰς νύκτας ἀποτελεῖ μείζους τῶν ἡμερῶν.

ιδ'. Ὑπὸ τὸν ζῳδιακὸν τοίνυν ὁ ἥλιος τὴν πλανητικὴν ποιούμενος κίνησιν, καὶ ἄλλοις ἄλλοτε μέρεσιν ὑποβαίνων αὐτοῦ, καὶ οὕτω τὰς ὥρας ἐπιτελῶν, τροπὴν μὲν θερινὴν ποιεῖ τῆς οἰκήσεως ἡμῶν γενόμενος ἔγγιστα· καὶ ὑψηλὸς ἡμῖν ὀφθεὶς ὅτι μάλιστα καὶ βορειότατον διελθὼν κύκλον, καὶ μεγίστην ἐκτελέσας ἡμέραν τῶν ὅλων τοῦ ἐνιαυτοῦ ἡμερῶν, ἐλαχίστην δὲ νύκτα τῶν ὅλων νυκτῶν. Τροπὴν δὲ (καὶ) χειμερινὴν ποιεῖ τῆς οἰκήσεως ἡμῶν πορρωτάτω γενόμενος καὶ ταπεινότατος ἡμῖν

A rio [seu erratico] motu sub zodiaco movetur, quod omnes circulos transeat, quotquot intra tropicos esse intelliguntur.

8. Cum igitur a borealibus ad australes partes delatus hibernum tropicum attigerit, brevissimum nobis diem efficit, noctem longissimam. Hic enim circulus omnium circulorum quos sol attingit, **350** maximum infra terram segmentum habet, supra terram autem minimum.

9. Cum autem sol post attactum hibernum tropicum rursus ut ad nos accedit, inque sublimioribus mundi partibus se videndum exhibet; in circulis versatur, qui majora habent supra terram segmenta, quam est segmentum hiberni tropici supra terram. Et quanto circulorum supra terram segmenta majora, tanto etiam diem servata proportione B magis augescentem exhibent, quæ [tamen] nocte minor sit, usque dum ad æquinoctialem decurrat.

10. Postquam autem æquinoctialem attigerit, eum nimirum [circulum] qui mediam partem supra terram, et æqualem partem infra terram habet, vernum æquinoctium efficit, prorsus quidem accuratum cum æquinoctialem in uno punctorum attigerit, in quibus se secant invicem horizon et æquinoctialis, non autem sic accuratum amplius, quando in alio puncto ab iis quæ dicta sunt, eumdem æquatorem attigerit.

11. Posteaquam igitur sol æquinoctium quoquo modo peregit, et ab æquatore ad tropicum æstivum ascendit, quoniam in circulis versatur majora C segmenta supra **351** terram habentibus, majores etiam noctibus dies necessario exhibet; progrediente sic hoc incremento, donec ad tropicum æstivum accedat, qui maximum apud nos habet segmentum omnium circulorum quos sol attingit, et proinde diem in conversione æstiva maximum efficit.

12-13. Hinc autem ut ad australes [partes] descendens, cum versetur in circulis segmenta supra terram habentibus minora, ad proportionem segmenti supra terram in æstivo tropico, diem etiam analogice decrescentem exhibet, tametsi nocte majorem, donec ad æquinoctialem pervenerit. Hunc autem ut attigerit, æquinoctium autumnale efficit, quemadmodum in verno æquinoctio declaratum est; D ac ita in circulis deinceps progrediens qui segmenta infra terram exstantibus supra terram majora habent, noctes etiam diebus majores efficit.

14. Sol proinde planetarium motum sub zodiaco obiens, et aliis aliis partibus illius succedens, sicque horas perficiens, æstivam quidem conversionem facit, cum nostræ habitationi proximus factus et nobis altissimus conspectus fuerit, borealissimumque circulum transierit, **352** et maximum inter omnes totius anni dies, noctemque brevissimam omnium noctium effecerit. Hibernam autem conversionem facit, cum a nostra habitatione longissime recesserit, nobisque humillimus ac ut ad

OCR ABK / FR

ipsum horizontem visus fuerit, et australissimum A circulum confecerit, et maximam noctem omnium noctium, diemque brevissimum omnium dierum effecerit.

15, 16. Æquinoctium [13] porro vernum facit, cum ab hibernis conversionibus ad boreales partes et ad æstivum proficiscens tropicum et medio loco inter utrumque tropicum in suo cursu constitutus cum circulum peragravit, qui mundum in duas æquales partes dividit; autumnale autem æquinoctium, cum ad australes partes et tropicum hibernum ab æstivo tropico revertens, et similiter inter utrumque medius factus eumdem æquinoctialem circulum confecerit. Jam vero crescentes dies exhibet, cum ad boreales mundi partes ab hiberno tropico ascenderit: decrescentes, cum a mundi B borealibus partibus ad australes et hibernum tropicum descenderit.

17. Cæterum haud **353** æquali accessione incrementa fiunt dierum [14] et noctium; sed postquam dies augeri cœperit, primo quidem mense augetur duodecima parte totius excessus, quo maximus dies minimum excedit; secundo, sexta; tertio, quarta; quarto, itidem quarta; quinto, sexta; sexto, duodecima. Quare si sex horis excedat maximus diem minimum, primo quidem mense crescenti diei adjungetur semi-hora; secundo, hora; tertio, hora et semi-hora; ut ita trimestri spatio trium horarum fiat additio; quarto mense iterum hora et semi-hora adjungetur; quinto hora; ultimo semihora. Idem fit in noctibus.

18. Ejus autem [15] quod accessiones non sunt C æquales, hæc aliqua causa est. Zodiacus circulus, sub quo solaris est, in quo sol cursum suum absolvit, cum obliquus sit et æquinoctialem in duobus punctis secet, utrumque autem tropicorum in uno puncto attingat, æquinoctialem quidem et vicinos parallelos rectior secat, et fere ad angulos rectos; tropicis autem obliquior et magis inclinatus adjacet; itidem et solaris.

19. Cum igitur anguli ad tropicos acuti sint, tardius ad ipsos sol accedit; itidemque ab his recedit. Cum autem juxta **354** æquinoctialem circulus signorum rectior exsistat, itidemque ei subjectus solaris, ad ipsum scilicet æquinoctialem accessus, et ab ipso recessus sol expeditiores facit, ut divinæ D providentiæ sapientia Zodiacus talem schesin ad tropicos sortitus fuerit, hoc fine nimirum, ne horarum mutationes repente fierent.

20. A verno igitur [16] æquinoctio ad æstivas conversiones usque nonaginta quatuor dies sunt et diei dimidium; ab æstivis autem conversionibus ad

A ὁραθεὶς, καὶ ὡς πρὸς αὐτὸν τὸν ὁρίζοντα καὶ διανύσας κύκλον νοτιώτατον καὶ μεγίστην ἐκτελέσας νύκτα νυκτῶν ἁπασῶν, ἡμέραν δ' ἐλαχίστην ἡμερῶν ἁπασῶν.

ιε', ις'. Ἰσημερίαν δὲ ποιεῖ ἐαρινὴν ὁπόταν ἀπὸ τῶν χειμερινῶν τροπῶν ἐπὶ τὰ βόρεια καὶ τὸν θερινὸν ἐρχόμενος τροπικὸν, καὶ μέσως ἀμφοτέρων τῶν τροπικῶν κατὰ τὴν πορείαν γενόμενος, ὁδεύσῃ κύκλον εἰς ἴσα δύο διαιροῦντα τὸν κόσμον. Ἰσημερίαν δὲ φθινοπωρινὴν, ὅταν ἐπὶ τὰ νότια καὶ τὸν χειμερινὸν τροπικὸν ὑποστρέφων ἀπὸ τοῦ θερινοῦ τροπικοῦ καὶ μεσαίτατος ὁμοίως ἀμφοῖν γενόμενος, τὸν αὐτὸν πορεύσηται κύκλον τὸν ἰσημερινόν. Αὐξομένας δὲ παρέχεται τὰς ἡμέρας ἐπὶ τὰ βόρεια τοῦ κόσμου ἐρχόμενος ἀπὸ τοῦ χειμερινοῦ τροπικοῦ· B μειουμένας δὲ, κατιὼν ἀπὸ τῶν τοῦ κόσμου βορείων ἐπὶ τὰ νότια καὶ τὸν χειμερινὸν τροπικόν.

ιζ'. Οὐ κατ' ἰσότητα δὲ προσθήκης γίνονται τῶν ἡμερῶν αἱ αὐξήσεις καὶ τῶν νυκτῶν· ἀλλ' ὁπόταν ἄρξηται ἡ ἡμέρα τοῦ αὔξεσθαι, κατὰ μὲν τὸν πρῶτον μῆνα δωδέκατον αὔξεται τῆς ὅλης ὑπεροχῆς, ᾗ τῆς ἐλαχίστης ἡμέρας ὑπερέχει ἡ μεγίστη· κατὰ τὸν δεύτερον, ἕκτον· κατὰ τὸν τρίτον, τέταρτον· κατὰ τὸν τέταρτον, ὁμοίως τέταρτον· κατὰ τὸν πέμπτον, ἕκτον· καὶ κατὰ τὸν ἕκτον, δωδέκατον. Ὥστε εἰ ἓξ ὥραις ὑπερέχει τῆς ἐλαχίστης ἡμέρας ἡ μεγίστη, τὸν μὲν πρῶτον μῆνα προστεθήσεται τῇ αὐξομένῃ ἡμέρᾳ, ἡμιώριον· τὸν δεύτερον, ὥρα· τὸν τρίτον, ὥρα καὶ ἡμιώριον· ὡς οὕτω γενέσθαι τριῶν ὡρῶν προσθήκην κατὰ τὸ τρίμηνον· κατὰ τὸν τέταρτον μῆνα, πάλιν ὥρα καὶ ἡμιώριον προστεθήσεται· κατὰ τὸν πέμπτον, ὥρα· καὶ κατὰ τὸν ἔσχατον, ἡμιώριον. Τὸ δ' αὐτὸ κἀπὶ τῶν νυκτῶν.

C ιη'. Ἡ δ' αἰτία τοῦ μὴ γίνεσθαι τὰς προσθήκας ἴσας τοιάδε τίς ἐστιν. Ὁ ζωδιακὸς κύκλος, ὑφ' ὃν ὁ ἡλιακὸς, ἔνθα ποιεῖται τὴν πορείαν ὁ ἥλιος, λοξὸς ὢν καὶ κατὰ δύο μὲν σημεῖα τέμνων τὸν ἰσημερινὸν, ἑκατέρου δὲ τῶν τροπικῶν καθ' ἓν σημεῖον ἁπτόμενος, τὸν μὲν ἰσημερινὸν καὶ τοὺς πλησίον παραλλήλους ὀρθότερος τέμνει, καὶ ὀλίγου δεῖν πρὸς γωνίας ὀρθάς· τοῖς δὲ τροπικοῖς πλαγιώτερος παράκειται κἀπιπλέον ἐγκεκλιμένος. Ὡσαύτως καὶ ὁ ἡλιακός.

ιθ'. Ὀξειῶν τοίνυν οὐσῶν τῶν γωνιῶν παρὰ τοῖς τροπικοῖς, σχολαιότερον αὐτοῖς ὁ ἥλιος πρόσεισιν· ὁμοίως δὲ καὶ τούτων ἀφίσταται. Κατὰ δὲ τὸν ἰσημερινὸν, ὀρθοτέρου τοῦ τῶν ζωδίων κύκλου τυγχάνοντος, ὡσαύτως δὲ καὶ τοῦ ὑπ' αὐτὸν ἡλιακοῦ, τὰς πρὸς αὐτὸν δὴ τὸν ἰσημερινὸν προσόδους καὶ τὰς D ἀπ' αὐτοῦ ἀναχωρήσεις ἀθρουστέρας ποιεῖται ὁ ἥλιος· τῇ τῆς Προνοίας σοφίᾳ τὴν τοιαύτην σχέσιν κληρωσαμένου τοῦ ζωδιακοῦ πρὸς τοὺς τροπικοὺς, ὑπὲρ τοῦ μὴ τὰς μεταβολὰς αἴφνης γίνεσθαι τῶν ὡρῶν.

κ'. Ἀπὸ μὲν οὖν ἐαρινῆς ἰσημερίας ἕως τροπῶν θερινῶν τέσσαρες ἡμέραι πρὸς ἐνενήκοντα καὶ ἡμέρας ἥμισυ· ἀπὸ δὲ τροπῶν θερινῶν ἕως φθινοπω-

[13] Cleom. l. 1, c. 5. [14] Cleom. l. 1, c. 6. [15] Cleom. ibid. [16] Cleom. l. 1, c. 6; Reinhold. in Theor. Purbachii, p. 38; Phil. lib. 1 Phys. p. 79.

OCR ABK / FR

ρινῆς ἰσημερίας ἡμέραι τρεῖς πρὸς ἐνενήκοντα, καὶ ἡμέρας ὁμοίως ἥμισυ. Ἀπὸ ταύτης τῆς ἰσημερίας ἕως τροπῶν χειμερινῶν μία ἡμέρα πρὸς ἐνενήκοντα· καὶ ἀπὸ χειμερινῶν τροπῶν ἕως ἐαρινῆς ἰσημερίας ἓξ καὶ ὀγδοήκοντα ἡμέραι καὶ ἡμέρας τέταρτον.

κα'. Ἴσων οὖν ὄντων τῶν τοῦ ζωδιακοῦ τεταρτημορίων, οὐκ ἐν ἴσῳ χρόνῳ ταῦτα διέξεισιν ὁ ἥλιος· ἐπείπερ οὐ δι' αὐτοῦ τοῦ ζωδιακοῦ ποιεῖται τὴν πορείαν, ἀλλὰ διὰ τοῦ ἡλιακοῦ. Ὁ δ' ἡλιακὸς ἔκκεντρός ἐστι πρὸς τὸν ζωδιακόν. Τεμνομένου γοῦν εἰς ἴσα τέσσαρα τοῦ ζωδιακοῦ, ὁ ἐντὸς αὐτοῦ ἡλιακὸς εἰς ἄνισα τέμνεται. Καὶ αἱ ἀπὸ τῶν τροπικῶν καὶ τοῦ ἰσημερινοῦ ἑλκόμεναι διάμετροι, τὸν μὲν ζωδιακὸν εἰς ἴσα τέμνουσιν· οὐκ ἔτι δέ γε καὶ τὸν ἡλιακόν, διὰ τὸ μὴ τυγχάνειν ὁμόκεντρον τῷ ζωδιακῷ. Μόνοι γὰρ οἱ τοῖς αὐτοῖς κέντροις κεχρημένοι κύκλοι τετραμμένας ἔχουσιν εἰς ἴσα τὰς περιφερείας ὑπὸ τῶν διαμέτρων.

κβ'. Ἂν τοίνυν ὁ ἡλιακὸς εἰς δώδεκα τμήματα συνδιαιρεθῇ τῷ ζωδιακῷ, τοῖς τοῦ ζωδιακοῦ τμήμασιν ἴσοις οὖσιν ἄνισα τὰ τοῦ ἡλιακοῦ ὑποκείσεται τμήματα· καὶ μέγιστον μὲν αὐτοῦ τμῆμα ἔσται τὸ ὑποκείμενον τοῖς Διδύμοις· ἐλάχιστον δὲ τὸ ὑποκείμενον τῷ Τοξότῃ· καὶ ἄλλων ἄλλα μείζω καὶ ἐλάττω πρὸς λόγον ἔσονται. Διὸ τοὺς μὲν Διδύμους ὁ ἥλιος ἐν μηκίστῳ χρόνῳ ὑπέρχεται (καὶ γὰρ ἐν Διδύμοις ἐστὶν ὑψηλότερος), τὸν δὲ Τοξότην ἐν ἐλαχίστῳ (καὶ γὰρ ἐστιν ἐν αὐτῷ ταπεινότατος)· ἐν δὲ τοῖς ἄλλοις ζωδίοις ἀναλόγως ὑψηλότερος ὢν ἢ ταπεινότερος ἐνδιατρίβει καὶ πολυχρονιώτερον ἢ βραχυχρονιώτερον.

κγ'. Ἀλλ' οὐδὲ τὰ νυχθήμερα πάντα τὸ ἰσαίτατον ἀλλήλοις ἔχει κατ' ἀκρίβειαν, ἀλλὰ μόνον πρὸς αἴσθησιν ἴσα δοκεῖ. Παντὸς μὲν γὰρ νυχθημέρου μείων ἐστὶν ἡ τοῦ κόσμου περιφορά, διὰ τὸ καὶ τὸν ἥλιον ἰδίαν ποιεῖσθαι κίνησιν ἐναντίως τῷ οὐρανῷ· κἀντεῦθεν ἀπὸ τοῦ αὐτοῦ σημείου πρὸς ταὐτὸ τοῦ οὐρανοῦ καταντήσαντος, μήπω κατὰ τὴν ἀνατολὴν ὁρᾶσθαι τὸν ἥλιον· ἀλλ' ὁπόταν ἡ περιφέρεια τοῦ κύκλου ἀνενεχθῇ, ἣν δὴ τῷ νυχθημέρῳ κατὰ τὴν ἑαυτοῦ διήνυσεν ὁ ἥλιος κίνησιν, τότε καὶ αὐτὸν ἐπὶ τῇ ἀνατολῇ φαίνεσθαι.

κδ'. Πάντα δὲ τὰ νυχθήμερα τὸ ἄνισον ἀλλήλοις ἔχουσι διὰ τὴν τοῦ ἡλίου κίνησιν τὴν πλανητικήν, καὶ τοῦ ἡλιακοῦ κύκλου τὸ ἔκκεντρον πρὸς τὸν οὐρανόν. Εἰ μὲν γὰρ ἰδίαν κίνησιν οὐκ εἶχεν ὁ ἥλιος, τῷ οὐρανῷ δὲ συμπεριήγετο μόνον, ἴσα ἦν ἀλλήλοις, ἂν ἅπαντα τὰ νυχθήμερα τῶν ὀρθῶς ἀναφερομένων τοῦ ζωδιακοῦ τμημάτων, ἤγουν τῶν θερινῶν καταδυομένων λοξῶς, καὶ τῶν λοξῶς ἀναφερομένων, ἤγουν τῶν χειμερινῶν, καταδυομένων ὀρθῶς· καὶ οὐδὲν ἐντεῦθεν τὸ τῆς νῦν νυχθημέρων ἀνισότητος αἴτιον, ἴσων ἀεὶ γενομένων τῶν τοῦ αἰθέρος περιστροφῶν.

A autumnale æquinoctium dies nonaginta tres, et item diei dimidium; ab hoc æquinoctio ad hibernas conversiones usque, nonaginta et unus dies; et ab hibernis conversionibus ad vernum æquinoctium, octoginta sex dies et quadrans diei.

21. Proinde quanquam quartæ partes signiferi æquales sunt, tamen eas sol æquali tempore non percurrit, quandoquidem non per ipsum zodiacum iter facit, sed per solarem. Solaris autem ad zodiacum est eccentricus. Quando proin zodiacus in quatuor æquales partes dividitur, solaris qui intra ipsum est, in inæquales secatur. Et diametri quæ a tropicis et æquinoctiali ducuntur, in æquales partes zodiacum dividunt: **355** sed non etiam solarem, quia zodiaco non est concentricus. Soli enim
B illi circuli, qui iisdem centris utuntur, circumferentia habent eas quæ in æquales partes a diametris secentur.

22. Quod si igitur solaris circulus una cum zodiaco in duodecim segmenta divisus fuerit, zodiaci segmentis quæ sunt æqualia, inæqualia solaris segmenta subjicientur; et maximum quidem illius segmentum erit, quod Geminis subjicitur, minimum quod subjicitur Sagittario; et alia aliis majora et minora servata proportione erunt. Quamobrem Geminos quidem sol longissimo tempore subit, (altior enim est in Geminis), brevissimo Sagittarium (etenim in eo est humillimus); in aliis autem signis cum juxta proportionem sit altior aut humilior, longiore etiam tempore aut breviore
C commoratur.

23. Sed [17] neque nychthemera [quæ dies naturales appellant, ex die et nocte artificiali constantes] sibi invicem præcise omnia sunt æqualia; sed tantum quoad sensum æqualia videntur. Quovis enim nychthemero minor est mundi conversio, propterea quod etiam sol proprium motum peragat cœlo contrarium, quodque ea **356** de causa, postquam ab eodem puncto cœli ad idem recurrit, in ortu nondum spectetur sol, sed cum circuli circumferentia emersit quam nychthemero [hoc est, diei naturalis spatio] sol motu proprio perfecit, tum etiam ipse in ortu conspiciatur.

24. Omnia autem nychthemera inæqualia sunt
D invicem propter motum solis errabundum, et eccentricitatem solaris circuli ad cœlum. Si enim proprium motum sol non haberet, sed tantum cum cœlo circumageretur, æqualia forent invicem omnia nychthemera, dum recte emergentia zodiaci segmenta, id est æstiva, oblique occiderent; et oblique emergentia, hoc est hiberna, recte occiderent; nullaque hinc foret nychthemerorum inæqualitatis causa; æqualibus [nimirum] semper exsistentibus ætheris conversionibus.

[17] Regiom. in Alm. Ptol. lib. III, prop. 22.



OCR ABK/FR

25, 26. Quoniam autem etiam sol sine intermissione suum peragit motum erraticum, non manet in zodiaci parte qua ortus fuit, ut in eadem etiam occideret; sed in alia quidem oritur, in alia vero occidit. Hoc autem cum faciat omnino, nychthemera accurate [loquendo] inæqualia constituit, dum solaris circuli sub zodiaco partes in quibus **357** sol [movetur], aliæ aliter emergunt, et aliæ aliter occiduut, propterea quod naturalis motus solis nunquam cesset. Rursus si proprium habens sol motum, non haberet suum circulum eccentricum ad cœlum: et sic etiam nychthemera omnia æqualia forent, dum æqualibus ætheris conversionibus æquales semper solares motus erratici ob partium æqualitatem in quibus motus fit, addilarentur. Atqui hoc non ita est. Quare simul et motus solis et eccentricitas circuli ipsius nychthemerorum inæqualitatis causa sunt.

A κε', κϛ'. Ἐπεὶ δὲ καὶ ὁ ἥλιος ἄληκτον ποιεῖται τὴν ἑαυτοῦ κίνησιν τὴν πλανητικὴν, οὐ μένει ἐν ᾧπερ ἀνέτειλε μορίῳ τοῦ ζωδιακοῦ, ἵνα καὶ δύνῃ ἐν αὐτῷ· ἀλλ' ἐν ἄλλῳ μὲν ἀνατέλλει, ἐν ἄλλῳ δὲ δύνει. Τοῦτο δὲ διόλου ποιῶν, ἄνισα πρὸς ἀκρίβειαν τίθησι τὰ νυχθήμερα τῶν ὑπὸ τὸν ζωδιακὸν τοῦ ἡλιακοῦ μορίων ἐν οἷς ὁ ἥλιος, ἄλλων ἄλλως ἀναφερομένων, καὶ ἄλλων ἄλλως δυομένων, διὰ τὸ τῆς τοῦ ἡλίου φυσικῆς κινήσεως ἄληκτον. Πάλιν εἴπερ ἰδίαν ἔχων ὁ ἥλιος κίνησιν, οὐ τὸν ἑαυτοῦ κύκλον εἶχεν ἔκκεντρον πρὸς τὸν οὐρανόν· καὶ οὕτως ἂν ἴσα πάντα τὰ νυχθήμερα ἦν ταῖς τοῦ αἰθέρος ἴσαις περιστροφαῖς, ἴσων ἀεὶ προστιθεμένων τῶν ἡλιακῶν πεπλανημένων κινήσεων διὰ τὴν ἰσότητα τῶν μερῶν, ἐφ' οἷσπερ ἡ κίνησις. Ἀλλὰ τοῦτο οὐκ ἔστιν Ὥστε τοῦ ἡλίου ἡ κίνησις ὁμοῦ καὶ τὸ ἔκκεντρον B τοῦ κύκλου αὐτοῦ τῆς τῶν νυχθημέρων ἀνισότητος αἴτια.

---

## SYNOPSIS CAPITIS XXX.

*De habitationibus.*

1. *Habitationes secundum umbrarum differentias triplices facit, periscias, amphiscias, heteroscias quas singulas ordine declarat.* — 2. *Periscias.* — 3. *Amphiscias.* — 4. *Heteroscias.* — 5. *Nobis et periæcis nostris tum communia tum diversa recenset.* — 6. *Nobis et antæcis communia et diversa explicat.* — 7. *Nobis et antipodibus nostris nihil commune, sed omnia inversa esse pronuntiat.* — 8. *Causæ propter quas in temperatis zonis horæ anni, itemque incrementa et decrementa dierum et noctium mutantur, sunt* **358** *mundi inclinatio, et parallelorum solis ab horizonte divisio inæqualis, quemadmodum sane sub æquatore perpetuum est æquinoctium.* — 9. *Incrementa et decrementa dierum et noctium apud omnes in nostra temperata zona habitantes fiunt eodem tempore, sed accessio et subtractio apud omnes non est eadem, cujus rei causa est, quod mundi inclinatio et poli elevatio etiam apud hosce omnes non est eadem. Eadem est ratio, inversa tamen, apud eos qui habitant in temperata nobis opposita* — 10. *Quibus ipsis de causis diei maximi quantitas apud alios atque alios homines variatur, ut in textu declaratur.* — 11. *Qua de causa in Britannia tempore longissimi diei, qui horarum est octodecim, nox etiam quæ est horarum sex luceat.* — 12. *In insula Thule totus tropicus æstivus, adeoque omnes partes Cancri supra horizontem sunt, et proinde dies artificialis ibi est mensis integer.* — 13. *in locis borealioribus dies longissimus etiam bimestris et trimestris et quadrimestris et quinquemestris et major efficitur pro distantiæ ratione.* — 14. *Sub ipso polo boreo habitantibus dies longissimus non tantum semestris, sed septimestris, nos vero quinquemestris efficitur.* — 15. *Quomodo in Thule et ultra in locis borealioribus arcticus se habeat ad tropicum æstivum.* — 16. *Sub ipso polo arcticus, æquator, et horizon coincidunt, et unus re atque subjecto* **359** *fiunt circulus, tametsi ratione differant.*

---

C

## CAPUT XXX.

*De habitationibus.*

1. Terræ [18] si, quod supponimus, tota incolatur, habitationum aliæ erunt perisciæ [quasi circumumbratiles] aliæ amphisciæ [quasi utrinque umbram jacientes], aliæ heterosciæ [quasi alteram umbram habentes].

2. Perisciæ quidem, quæ sunt sub polis, in quibus annus in diem et noctem dividetur, cum in his æquator fiat horizon, sex autem signa eadem semper supra terram, et sex infra terram sint. Cum ergo in hujuscemodi habitationibus umbræ circulum circumscribant, periscias faciunt ipsas, quod in climatibus quæ sunt sub polis firmamentum instar molarum convertatur.

## ΚΕΦΑΛ. Λ'.

Περὶ οἰκήσεων.

α'. Οἰκουμένης καθ' ὑπόθεσιν ὅλης τῆς γῆς, τῶν οἰκήσεων αἱ μὲν περίσκιοι γενήσονται, αἱ δ' ἀμφίσκιοι, αἱ δ' ἑτερόσκιοι.

β'. Περίσκιοι μὲν αἱ ὑπὸ τοὺς πόλους, ἐν αἷς ὁ ἐνιαυτὸς εἰς ἡμέραν καὶ νύκτα διαιρεθήσεται· γινομένου μὲν ὁρίζοντος ἐν ταύταις τοῦ ἰσημερινοῦ, ζωδίων δὲ διαπαντὸς ἓξ ὄντων ὑπὲρ γῆν τῶν αὐτῶν, καὶ ἓξ ὑπὸ γῆν. Κύκλον οὖν ἐν ταῖς τοιαύταις οἰκήσεσιν αἱ σκιαὶ περιγράφουσαι περισκίους ποιοῦσιν αὐτὰς, παραπλησίως τοῖς μύλοις ἐν τοῖς ὑπὸ τοὺς πόλους κλίμασι στρεφομένου τοῦ στερεώματος.

[18] Cleom. l. I, c. 7; Strabo II sub finem; Regiom. in Ptol. lib. II, prop. 14, 15, 16, 17. Macrob. l. II, c. 7, in Somn. Scip. Basil. homil. 6 in Hexaemeron.

OCR ABK / FR

γ'. Ἀμφίσκιοι δὲ οἰκήσεις αἱ ὑπὸ τὸν ἰσημερινόν. A Πρὸς νότον μὲν γὰρ ἀπιόντος τοῦ ἡλίου καὶ ὡς πρὸς τὸν χειμερινὸν τροπικὸν ἀπὸ τοῦ ἰσημερινοῦ κύκλου, πρὸς βοῤῥᾶν ἀποκλινοῦσιν αὐτῶν αἱ σκιαί· πρὸς δὲ τὸν θερινὸν τροπικὸν ἀπὸ τοῦ ἰσημερινοῦ κύκλου πορευομένου τοῦ ἡλίου, αἱ σκιαὶ πρὸς νότον τραπήσονται.

δ'. Ἑτερόσκιοι δέ εἰσιν αἱ εὔκρατοι. Καὶ γὰρ ὅταν πρὸς μεσημβρίαν ὁ ἥλιος γένηται, τῶν μὲν τὴν βορείαν ἐχόντων ζώνην πρὸς βοῤῥᾶν ἀποκλίνουσιν αἱ σκιαὶ, τῶν δὲ τὴν ἀντεύκρατον ἡμῖν πρὸς νότον. Συμπεριέχεται μὲν γὰρ ἡ σκιὰ τῆς γῆς πάντοτε τῷ ἡλίῳ καὶ διαμετρεῖ τοῦτον. Ὥστε ἡ διὰ τοῦ ἄκρου τῆς σκιᾶς ἀγομένη διάμετρος ἐπὶ τὸ τοῦ ἡλίου κέντρον πεσεῖται. Καὶ σύμπασαι δὲ τῶν ὑπὸ τοῦ ἡλίου φωτιζομένων σωμάτων αἱ σκιαὶ τῇ σκιᾷ B συμπερινοστοῦσι τῆς γῆς. Ὅθεν ἐν μὲν ταῖς ἰσημερίαις, ἀνατέλλοντος τοῦ ἡλίου, πρὸς δύσιν ἰσημερινὴν ἀποκλίνουσιν αἱ σκιαὶ, δυομένου δὲ, πρὸς ἀνατολὴν ἰσημερινήν· ἐν δὲ ταῖς χειμεριναῖς τροπαῖς, ἀνατέλλοντος μὲν τοῦ ἡλίου, πρὸς δύσεις θερινὰς ἡ τῶν σκιῶν ἀπόκλισις γίνεται, δυομένου δὲ, πρὸς ἀνατολὰς θερινάς· ἐν δὲ ταῖς θεριναῖς τροπαῖς, ἀνίσχοντος μὲν τοῦ ἡλίου, πρὸς δυσμὰς αἱ σκιαὶ χειμερινὰς ἀποτείνονται, δυομένου δὲ, πρὸς ἐπιτολὰς χειμερινάς· κατὰ χιασμὸν γινομένης ἐν θέρει καὶ χειμῶνι τῆς τῶν σκιῶν ἀποκλίσεως.

ε'. Διαιροῦντες δ' οἱ φυσικοὶ τὰς εὐκράτους εἰς οἰκούμενα τέσσαρα τμήματα, καὶ περιοίκους ἡμῖν ἐπινοοῦντες ἀντοίκους τε καὶ ἀντίποδας, λέγουσι καὶ κοινότητας ἡμῖν εἶναι πρὸς ἐκείνους καὶ ἑτερότητας. Πρὸς μὲν (οὖν) τοὺς περιοίκους κατὰ τὸν C τῶν φυσικῶν λόγον ἔσται κοινὸν ἡμῖν, πρῶτον μὲν τὸ τὴν αὐτὴν οἰκεῖν εὔκρατον· ἔπειτα τὸ κατὰ ταυτὸν ἔχειν τὰς ὥρας τοῦ ἐνιαυτοῦ, καὶ τὰς αὐξήσεις καὶ τὰς μειώσεις τῶν ἡμερῶν τε καὶ τῶν νυκτῶν. Διάφορον δὲ πρὸς ἡμᾶς τὸ παρ' ἡμῖν ἡμέρας οὔσης παρ' ἐκείνοις εἶναι νύκτα· καὶ ἔμπαλιν, πλατύτερον τούτου λεγομένου. Οὐδὲ γὰρ ἀκριβῶς ὁπόταν καταδύηται παρ' ἡμῖν ὁ ἥλιος, ἀρχὴν λαμβάνει τοῦ παρ' ἐκείνοις ἀνίσχειν. Οὕτω γὰρ ἂν παρ' ἡμῖν οὔσης μακρᾶς τῆς ἡμέρας, ἡ νὺξ ἐγίνετο παρ' ἐκείνοις μακρά· καὶ ἦν ἡμῖν τὰ κατὰ τὰς ὥρας ἐνηλλαγμένα, καὶ τὰς αὐξήσεις καὶ τὰς μειώσεις τῶν ἡμερῶν τε καὶ τῶν νυκτῶν. Νυνὶ δὲ σφαιροειδῆ τὴν γῆν οὖσαν περιιὼν ὁ ἥλιος καὶ κυκλῶν, οἷς ἑκάστοτε μέρεσιν ἐπιβάλλει τὰς ἀκτῖνας, ταῦτα D λαμπρύνει τε καὶ φωτίζει τὰ τῆς γῆς κυρτώματα κατὰ τὴν πορείαν ὑπερτιθέμενος. Ὅθεν ἔτι παρ' ἡμῖν ὁρώμενος ὑπὲρ γῆν τοῖς περιοίκοις ἡμῶν ἀνίσχων φανήσεται.

ς'. Πρὸς δὲ τοὺς ἀντοίκους ἡμῖν ὑπάρχει κοινὸν τὸ κἀκείνους καὶ ἡμᾶς ὑπὸ τὸ ὑπὲρ γῆν οἰκεῖν ἡμισφαίριον· ἀλλὰ καὶ τὸ κατὰ ταυτὸν ἔχειν τὰς ἡμέρας τε καὶ τὰς νύκτας, λεγομένου καὶ τούτου πλατύτερον. Παρ' ἡμῖν γὰρ ἡμέρας οὔσης μεγίστης, ἐλαχίστη παρ' ἐκείνοις, ὑπάρχει καὶ ἔμπαλιν. Ἐνήλ-

3. Amphisciæ autem habitationes, quæ æquatori subjectæ sunt. Cum enim sol ad austrum et ab æquinoctiali circulo velut ad hibernum tropicum abit, umbræ earum in boream declinabunt : cum vero ab æquinotiali circulo ad æstivum tropicum sol proficiscitur, umbræ ad austrum convertentur.

4. Heteroscii autem sunt, quæ temperatæ sunt. Cum enim sol ad meridiem venerit, eorum quidem qui borealem zonam habitant, umbræ **360** in boream declinant : ad austrum autem eorum qui oppositam nobis temperatam incolunt. Nam umbra terræ cum sole semper juxta circumit, ipsumque dimetitur. Quapropter diameter quæ per extremitatem umbræ ducitur, in solis centrum incidet. Et vero omnium eorum corporum quæ a sole illuminantur umbræ cum umbra terræ simul circumaguntur. Unde in æquinoctiis oriente sole ad occasum æquinoctialem umbræ declinant : at in hibernis conversionibus exoriente quidem sole ad occasus æstivos fit umbrarum declinatio, occidente autem ad ortus æstivos : in æstivis porro conversionibus emergente sole ad occasus hibernos, occidente ad ortus hibernos umbræ protenduntur : ut ita per chiasmum, seu decussationem æstate et hieme fiat umbrarum declinatio.

5. Cum autem physici [19] temperatas [zonas] in quatuor segmenta quæ habitantur, dividant, nobisque periœcos et antœcos et antipodes excogitent, communitates etiam et diversitates nobis ad illos esse dicunt. Ad periœcos quidem ex physicorum ratione commune nobis erit primum eamdem incolere temperatam, deinde **361** simul habere horas (hoc est stata anni tempora), itemque incrementa et decrementa dierum et noctium : diversum autem, quod cum apud nos dies est, apud illos nox sit, et vice versa, ut hoc tamen latiore sensu dicatur. Nec enim accurate cum apud nos sol occidit, apud illos emergere incipit. Sic enim die apud nos longa exsistente, nox apud ipsos longa fieret, essentque nobis quoad horas, quoad item incrementa et decrementa dierum ac noctium, commutata omnia. Jam autem cum sol terram orbicularem exsistentem circumeat et ambiat, quibus partibus ubivis radios immittit, eas illustrat et lumine perfundit, ut qui cursu suo terræ convexitatibus supervehatur. Unde cum adhuc apud nos supra terram videtur, periœcis nostris emergens conspicietur.

6. Ad antœcos autem nobis commune exsistit, quod et illi et nos hemisphærium habitamus, quod supra terram est ; sed et quod eodem tempore dies et noctes habemus, ut et hoc largiore sensu dicatur. Cum enim apud nos est dies maximus, apud ipsos minimus exsistit, et vice versa. Commutata namque

[19] Cloom. l. I, c. 2 ; Mart. Capella lib. VI, p. 220 ; Macrob. in Somn. Scip. l. II, c. 5, 6.

OCR ABK / FR

nobis et illis anni tempora, itemque augmenta **362** et decrementa dierum et noctium.

7. Ad antipodes denique [20] nihil nobis prorsus commune est, sed omnia inversa sunt. Nam climata invicem subter terram habemus, et anni tempora commutata sunt, itemque dies et noctes, earumque incrementa et decrementa.

8. Quod autem anni tempora, itemque augmenta et decrementa dierum et noctium in temperatis [regionibus] commutata sunt, in causa est mundi inclinatio, et circulorum parallelorum qui in cœlo intelliguntur in partes inæquales sectio. Omnes enim hi excepto æquinoctiali majoribus et minoribus segmentis dividuntur, cum soli arctici et antarctici a sectione sint liberi. Quamobrem quicunque paralleli circuli nobis sunt humiles, hi oppositam temperatam incolentibus alti sunt, multumque elevati, et contra. Unde etiam noster hibernus circulus æstivus est iis, ut qui maximum supra terram segmentum obtineat; at eorum æstivus nobis hibernus est, cum nihil tale in climate æquatori subjecto accidat, sed perpetuo sit æquinoctium : quandoquidem in isto climate mundus nulla prorsus ratione inclinatus est, sed omnium parallelorum segmenta **363** similia exsistunt, cum quæ supra terram, tum quæ infra terram sunt; quippe semicirculi sunt.

9. Jam vero [21] augmenta et decrementa dierum et noctium eodem fiunt tempore apud omnes qui temperatam nostram regionem incolunt, quemadmodum vicissim apud eos qui oppositam temperatam habitant : verumtamen haud æqualis additio et subtractio apud omnes est, sed multiplex in his variatio, ut aliis quidem minima fiat additio et subtractio, aliis vero maxima. Causa autem est rei hujus, quod non ex æquo apud omnes mundus inclinatus est, neque polus boreus æqualibus ubique gradibus ab horizonte, sed ad meridiem habitantibus, parum ; ad arctum, id est septentrionem plus ; ipsorum denique mediis medio modo elevatus est.

10. Unde illis qui in Meroe Æthiopiæ habitant, quoniam mundus parum inclinatus est, diem maximum esse tredecim horarum cognitum est ; illis, qui Alexandriam, quatuordecim, cum ibi scilicet mundus majorem inclinationem accipiat [22] ; his qui Hellespontum, quindecim ; qui Romam, quindecim et amplius ; qui Massiliam, quindecim et semissis horæ; Celtis, sedecim ; **364** iis qui Mæotidem, septendecim ; Britannis, octodecim noctemque sex horarum æquinoctialium.

11. Unde etiam [23] lumen his noctu esse dicitur eodem tempore, hoc est, æstivæ conversionis tempore, sole, tum circa horizontem pertranseunte et

A λακται γὰρ ἡμῖν πρὸς αὐτοὺς τὰ κατὰ τὰς ὥρας, καὶ τὰς αὐξήσεις καὶ τὰς μειώσεις τῶν ἡμερῶν τε καὶ τῶν νυκτῶν.

ζ'. Πρὸς δὲ τοὺς ἀντίποδας οὐδὲν ἡμῖν οὐδόλως κοινόν· ἀλλ' ἀντέστραπται τὰ πάντα. Καὶ γὰρ τὰ ὑπὸ γῆν ἀλλήλων ἔχομεν κλίματα, καὶ τὰ κατὰ τὰς ὥρας ἡμῖν ἐνήλλακται, καὶ τὰ κατὰ τὰς ἡμέρας, καὶ τὰς νύκτας καὶ τὰς αὐξήσεις καὶ μειώσεις αὐτῶν.

η'. Τοῦ δ' ἐνηλλάχθαι τὰ κατὰ τὰς ὥρας καὶ τὰς αὐξήσεις καὶ τὰς μειώσεις τῶν ἡμερῶν τε καὶ τῶν νυκτῶν ἐν ταῖς εὐκράτοις ἡ τοῦ κόσμου ἔγκλισις αἰτία ἐστὶ, καὶ ἡ εἰς ἄνισα τῶν ἐν οὐρανῷ νοουμένων παραλλήλων κύκλων τομή. Πάντες γὰρ οὗτοι πλὴν τοῦ ἰσημερινοῦ μείζοσι καὶ ἐλάττοσι τέμνονται τμήμασιν, ἀτμήτων μόνων ὄντων τῶν ἀρκτικῶν

B καὶ ἀνταρκτικῶν. Ὅσοι μὲν οὖν τῶν παραλλήλων κύκλων ἡμῖν ταπεινοὶ, τοῖς τὴν ἀντεύκρατον ἔχουσιν ὑψηλοὶ κἀπὶ πολὺ ἐξηρμένοι· καὶ ἔμπαλιν. Ὅθεν καὶ ὁ μὲν ἡμέτερος χειμερινὸς κύκλος θερινὸς ἐκείνοις, μέγιστον ἔχων τμῆμα τὸ ὑπὲρ γῆν· ὁ δ' ἐκείνων θερινὸς ἡμῖν χειμερινὸς, μηδενὸς τοιούτου συμβαίνοντος ἐν τῷ ὑπὸ τὸν ἰσημερινὸν κλίματι, ἀλλ' ἰσημερίας οὔσης διαπαντός· ὅτιπερ οὐδαμῶς ἐν ἐκείνῳ τῷ κλίματι ὁ κόσμος ἐγκέκλιται, ἀλλ' ὅμοια τυγχάνει πάντων τῶν παραλλήλων τὰ τμήματα, τά θ' ὑπὲρ γῆν, τά θ' ὑπὸ γῆν· ἡμικύκλια γάρ.

θ'. Αἱ δ' αὐξήσεις καὶ αἱ μειώσεις τῶν ἡμερῶν τε καὶ τῶν νυκτῶν κατὰ ταυτὸν μὲν γίνονται πᾶσι τοῖς τὴν ἡμετέραν οἰκοῦσιν εὔκρατον· ὥσπερ αὖ

C κατὰ ταυτὸν καὶ πᾶσι τοῖς ἔχουσι τὴν ἀντεύκρατον· οὐ μὴν ἡ ἴση γε προσθήκη καὶ ὑφαίρεσις παρὰ πᾶσίν ἐστιν, ἀλλὰ πολλὴ ἡ ἐν τούτοις παραλλαγή· τοῖς μὲν ἐλαχίστης γινομένης προσθήκης καὶ ὑφαιρέσεως, τοῖς δὲ μεγίστης. Αἴτιον δὲ τούτου τὸ μὴ παρὰ πᾶσιν ἐπίσης ἐγκεκλίσθαι τὸν κόσμον, μηδὲ τὸν βόρειον πόλον ἁπανταχοῦ τὰς ἴσας ἀπὸ τοῦ ὁρίζοντος ἐξῆρθαι μοίρας· ἀλλὰ τοῖς μὲν πρὸς μεσημβρίαν οἰκοῦσιν πρὸς ὀλίγον, τοῖς δὲ πρὸς ἄρκτον ἐπιπλέον, τοῖς δὲ μέσοις αὐτῶν μέσως.

ι'. Ὅθεν τοῖς μὲν κατὰ τὴν Μερόην τῆς Αἰθιοπίας, ἐπεὶ ὀλίγον ὁ κόσμος ἐγκέκλιται, τὴν μεγίστην ἡμέραν τριῶν ἱστόρηται καὶ δέκα τυγχάνειν ὡρῶν (ἰσημερινῶν)· τοῖς δὲ κατὰ τὴν Ἀλεξάνδρειαν τεσσά-

D ρων καὶ δέκα, πλείονα τὴν ἔγκλισιν δηλονότι τοῦ κόσμου λαμβάνοντος· τοῖς δὲ κατὰ τὸν Ἑλλήσποντον πεντεκαίδεκα· τοῖς δὲ κατὰ τὴν Ῥώμην πεντεκαίδεκα καὶ πρός· τοῖς δὲ κατὰ τὴν Μασσαλίαν πεντεκαίδεκα καὶ ἡμίσους ὥρας μιᾶς. τοῖς δὲ Κελτοῖς ἑκκαίδεκα· τοῖς δὲ κατὰ τὴν Μαιῶτιν ἑπτακαίδεκα· τοῖς δὲ Βρεττανοῖς ὀκτωκαίδεκα, τὴν νύκτα δ' ὡρῶν ἰσημερινῶν ἕξ.

ια'. Ὅθεν καὶ φῶς εἶναι τούτοις νυκτὸς κατὰ τοῦτον λέγεται τὸν καιρὸν, ἤτοι κατὰ τὴν θερινὴν τροπὴν, τοῦ ἡλίου τότε περὶ τὸν ὁρίζοντα διερχομέ-

[20] Manil. l. I Astron. [21] Regiom. l. II in Ptol., prop. 12, 13. [22] Strabo lib. II ; Plin., l. VI, sub finem ; Mart. Cap. lib. 8. [23] Cleom. l. I, c. 7.

OCR ABK / FR

νου, καὶ τὰς αὐγὰς ὑπὲρ γῆς ἀναπέμποντος, ὅπερ γίνεται καὶ παρ' ἡμῖν ὁπόταν τοῦ ἡλίου πελάζοντος τῷ ὁρίζοντι· πολὺ τοῦ φωτὸς τὴν τοῦ ἡλίου προλαμβάνῃ ἀνατολήν, καὶ πάλιν ἐναπομένῃ μετὰ τὴν τοῦ ἡλίου κατάδυσιν. Ἥμισυ γὰρ ζωδίου, τουτέστι πεντεκαίδεκα μοίρας ἀπέχων ὁ ἥλιος ὁρίζοντος ὑπὸ γῆν, φῶς οὐκ ὀλίγον πέμπει τοῖς ὑπὲρ τὸν ὁρίζοντα. Εὼς τοίνυν τοιοῦτον εἶναι λέγεται νυκτὸς ἐν Βρεττανίᾳ, γενομένου τοῦ ἡλίου περὶ τὸν Καρκίνον· ἐπεὶ περὶ τὸν ὁρίζοντα ποιεῖται τότε τὴν πορείαν ὁ ἥλιος. Ἐλάχιστον γάρ ἐστιν ὑπὸ γῆν τμῆμα τοῦ θερινοῦ κύκλου τοῖς Βρεττανοῖς.

ιβ'-ις'. Περὶ δὲ τὴν Θούλην νῆσον ὅλον τὸν θερινὸν ὑπὲρ γῆν εἶναι λόγος ἐστὶν αὐτὸν ὄντα καὶ ἀρκτικόν. Ὁπόταν οὖν ὁ ἥλιος τὸν Καρκίνον διέρχηται, μηνιαῖον ἐν ταύτῃ τῇ νήσῳ φανήσεται χρόνον ὑπὲρ τὸν ὁρίζοντα, τῶν τοῦ Καρκίνου μερῶν πάντων ἀειφανῶν· ἐπείπερ ἐφόσον ἐν τοῖς τοῦ Καρκίνου ἀειφανέσιν ὁ ἥλιος, ἐπὶ τοσοῦτον ἔσται καὶ ὑπὲρ τὸν ὁρίζοντα. Προϊοῦσι δ' ἐντεῦθεν ἐπὶ τὰ ἀρκτικώτερα καθ' ὑπόθεσιν, οὐ μόνον ὅλος ὁ Καρκῖνος, ἀλλὰ καὶ πλείω τοῦ ζωδιακοῦ μέρη τῶν ἀειφανῶν εὑρεθήσεται. Ταῦτα τοίνυν ὁ ἥλιος διερχόμενος οὐδόλως ὑπὸ τὸν ὁρίζοντα καταδύσεται. Καὶ οὕτως ἔσται τινὰ κλίματα τῆς γῆς, ἐν οἷς καὶ διμηνιαία καὶ τριμηνιαία καὶ μείζων ἡμέρα γενήσεται. Τοῖς δ' ὑπ' αὐτὸν τὸν πόλον τὸν βόρειον ἓξ ζωδίων ὑπὲρ γῆν ὄντων ἀειφανῶν, ἐφόσον ὁ ἥλιος ταῦτα διέρχεται, καὶ αὐτὸς ἐπὶ τοσοῦτον οὐδόλως κρυβήσεται. Διέρχεται δὲ ταῦτα δι' ἡμερῶν ἑπτὰ καὶ ὀγδοήκοντα πρὸς ταῖς ἑκατόν· τὰ δὲ λοιπὰ δι' ἡμερῶν ὀκτὼ πρὸς ταῖς ἑβδομήκοντα καὶ ταῖς ἑκατόν, προστιθεμένου καὶ τετάρτου μιᾶς ἡμέρας· Ἐπεὶ γοῦν τοῖς ὑπὸ τὸν βόρειον πόλον ὁ ἥλιος ὑπὲρ γῆν ἐφ' ἡμέρας ἑπτὰ καὶ ὀγδοήκοντα πρὸς ταῖς ἑκατὸν, ἥμισυ δὲ ζωδίου ἀπέχον τοῦ ὁρίζοντος ὑπὸ γῆν, φῶς οὐκ ὀλίγον ἐκπέμπει τοῖς ὑπὲρ γῆν· προλάβοι ἂν τὴν τοῦ ἡλίου ἀνατολὴν ἡλιακὸν φῶς ἐφ' ἡμέραις τοὐπίπαν πεντεκαίδεκα τοῖς βορειοτάτοις· καὶ μετὰ τὸ καταδῦναι τὸν ἥλιον ἔσται τούτοις τὸ τοιοῦτον ἡλιακὸν φῶς ἐφ' ἡμέραις ὁμοίαις πεντεκαίδεκα. Τοῖς ὑπὸ τὸν βόρειον πόλον λοιπὸν ἡμέρα μὲν ἔσται μείζων ἢ ἑπταμηνιαία, νὺξ δὲ πενταμηνιαία μάλιστά πως· ἀεὶ γὰρ οἱ φωτισμοὶ πλεονεκτοῦσι τοὺς σκοτασμούς. Τοῖς μὲν οὖν ἐν τῇ Θούλῃ νήσῳ ὁ θερινὸς τροπικὸς συμπίπτει τῷ ἀρκτικῷ· τοῖς δὲ βορειοτέροις καὶ τὸν θερινὸν ὑπερβαίνει τροπικὸν πρὸς λόγον ὁ ἀρκτικός. Τοῖς δὲ ὑπ' αὐτὸν τὸν πόλον καὶ βορειοτάτοις ὁ πᾶσιν ἰσημερινὸς κύκλος ἀρκτικός τε γίνεται καὶ ὁρίζων· οὐκ ἤδη δὲ κατὰ τὸν ἀκριβῆ λόγον καὶ ἰσημερινός. Ἀρκτικὸς μὲν γὰρ ὅτι περιέχει τοὺς τῶν ἀστέρων ἀειφανεῖς, μηδενὸς ἀνατέλλοντος ἢ καταδυομένου· ὁρίζων δὲ πάνυ, ὅτι διαχωρίζει τὸ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἡμισφαίριον. Οὐκ ἀκριβὴς δ' ἰσημερινὸς, ἐπείπερ εἰς μίαν ἡμέραν καὶ μίαν νύκτα τὸν ὅλον

radios supra terram emittente : quod etiam apud nos fit, quando sole horizonti appropinquante, multum luminis ortum solis anticipat, et rursum post occasum solis remanet. Cum enim signi medietatem, hoc est quindecim gradus, ab horizonte sol abest infra terram, ad eos qui supra horizontem sunt lumen non exiguum dimittit. Tale igitur noctis lumen esse dicitur in Britannia, cum sol ad Cancrum pervenerit, quoniam circa horizontem sol tum iter facit. Britannis enim minimum æstivi circuli segmentum infra terram est.

12-16. Circa Thulen vero insulam [24], totus æstivus [circulus] supra terram esse dicitur, qui sit etiam arcticus. Cum ergo sol Cancrum transit, menstruo tempore in hac insula supra horizontem apparebit, Cancri partibus semper apparentibus : quia quamdiu in semper apparentibus Cancri partibus est sol, tandiu etiam supra horizontem **365** est. Progredientibus autem hinc ad septentrionaliores partes ex hypothesi, non totus tantum Cancer, sed etiam plures Zodiaci partes semper apparere invenientur. Has igitur cum sol transibit, horizontem prorsus non subibit. Ac ita erunt aliqua terræ climata, in quibus et bimestris et trimestris et major dies efficietur. Illis autem [25] qui sub ipso polo sunt boreo, cum sex signa supra terram sint semper apparentia; quanto temporis spatio sol ea percurrit, tanto etiam nulla prorsus ratione et ipse occultabitur. Percurrit autem ea diebus centum octoginta septem ; cætera autem diebus centum septuaginta octo, addita etiam diei unius quarta parte. Quoniam igitur sub polo boreo habitantibus sol supra terram est diebus centum octoginta septem, et vero dimidio signo ab horizonte infra terram distans non exiguum lumen emittit ad eos qui supra terram sunt ; solis ortum solare lumen apud borealissimos ad dies quindecim anticipabit, et a solis occasu erit eis hujusmodi lumen solare ad dies similiter quindecim. Quapropter sub polo boreo habitantibus dies quidem major est quam septimestris, nox **366** autem quinquemestris fere maxime. Semper enim obscurationes ab illuminationibus superantur. His igitur [26], qui in insula Thule habitant, tropicus æstivus cum arctico coincidit ; borealioribus autem etiam æstivum tropicum servata proportione arcticus transcendit. Sub ipso denique polo [27] constitutis quique sunt septentrionalissimi qui omnibus est æquinoctialis circulus, idem fit et arcticus et horizon : neque vero etiam accurata ratione æquinoctialis. Arcticus enim, quod stellas semper apparentes contineat, nulla oriente aut occidente ; horizon autem omnino, quod separet hemisphærium supra terram ab eo quod infra terram est. Non accuratus autem æquinoctialis, quandoquidem in unum diem et

[24] Cleom. l. I, c. 7. [25] Ibid.; Regiomont. l. II, in Ptol. prop. 18. [26] Cleom. l. I, c. 7. [27] Regiomont. lib. II in Ptol. prop. 27.

OCR ABK / FR

unam noctem totum annum secando, in partes inæquales tale (ut ita dicam) noctidiuum dividit.

A τέμνων ἐνιαυτὸν, εἰς ἄνισα τὸ τοιοῦτον ἡμερόνυκτον διαιρεῖ.

—

## SYNOPSIS CAPITIS XXXI,

### QUOD EST DE VACUO.

1. *Physicis quid vacuum nominetur.* — 2. *Diversæ diversorum physicorum de vacuo sententiæ.* — 3. *Vacuum proprie nimirum, quod omni* **365** *corpore privatum sit, in mundo nullum est, quod primum ex definitione mundi probat.* — 4. *Deinde probat deductione ad absurdum geminum, quod alias nulla mundi partium continuatio et conjunctio naturalis esset, quodque sensus et in primis vero visus actionem suam ad tantam distantiam, ad firmamentum nimirum exercere non posset.* — 5. *Tertio idem confirmat a vasis angusti orificii, quæ in aquis conversa non implentur humore propter aerem quo plena sunt; quæ alias protinus humorem reciperent, si omni corpore adeoque etiam aere forent vacua.* — 6. *Quarto idem a clepsydræ qualis veteribus in usu fuit experimento ostendit.* — 7. *Vacuum extra mundum in infinitum penetrare concipitur.*

—

## CAPUT XXXI.

### *De vacuo.*

B

1. Ubi non est ullum prorsus corpus, potest autem esse corporis locus, illud physici [28] vacuum nominant. Vacuum namque locum corpore orbatum noverunt.

2. Aliqui igitur nomen duntaxat inane, quodque nihil sit, vacuum dixerunt; aliqui autem id quod extra convexam primi et revera inerrantis cœli superficiem est, vacuum pronuntiant : vacuum quidem corpore, non Deo : Deus enim totum universum, sive mundum, et quod **368** supra universum est, sive supramundanum [spatium] implet. Hoc igitur quod supramundum est, vacuum pronuntiarunt : quod maxime et proprie locum solius Dei esse dixerunt; infiniti, infinitum; et incorporei, incorporeum; et æterni, æternum.

C

3. Tale quidem igitur [29] in mundo non est vacuum. Corporibus enim cognatis invicem totus mundus repletus est. Quippe hoc mundus est quod ex cœlo et terra, et intermediis igni, aere, et aqua, constitutum et concretum est, et cognatione adeoque harmonia quadam conflatum : dignum quod a tali, omnisapiente scilicet et omnipotente Conditore productum sit; a quo etiam ex prorsus nihilo conditum et in hunc pulcherrimum ordinem digestum est. Quare vacuum in mundo prorsus nullum est.

D

4. Si enim [30] ullum omnino in mundo vacuum esset; nec aliqua mundi partium inter se invicem continuatio conjunctioque conspiceretur, hanc nimirum vacuo discindente, nec rursus sensibus, et visui maxime, tanta aliqua foret actio. Quomodo enim fieri posset, ut visus ad firmamentum usque pertingeret, nisi aer sibi per omnia continuus, et succensioni **369** perque hanc ætheri indistante coalitione unitus esset? Si enim in medio vacuitates quædam essent, sensus utique torpescerent, quod a vacuitatibus impedirentur.

## ΚΕΦΑΛ. ΛΑ'.

### Περὶ κενοῦ.

α'. Ἔνθα μὴ ἔστιν ὅλως τι τῶν σωμάτων, δύναται δὲ γενέσθαι σώματος τόπος, ἐκεῖνο κενὸν ὀνομάζουσιν οἱ φυσικοί. Τόπον γὰρ ἐστερημένον σώματος οἴδασι τὸ κενόν.

β'. Τινὲς μὲν οὖν ὄνομα μόνον κενόν τε καὶ ἀνύπαρκτον λέγουσι τὸ κενόν· τινὲς δὲ τὸ ἔξω τῆς κυρτῆς ἐπιφανείας τοῦ πρώτου καὶ κατ' ἀλήθειαν ἀπλανοῦς οὐρανοῦ κενὸν ἀποφαίνονται· κενὸν σώματος, οὐ Θεοῦ· τὸ πᾶν γὰρ, ἤτοι τὸν κόσμον, καὶ τὸ ὑπὲρ πᾶν, ἤτοι τὸ ὑπερκόσμιον πληροῖ ὁ Θεός. Τοῦτο δὴ τὸ ὑπερκόσμιον ἔφασαν τὸ κενόν· ὃ μάλιστα καὶ τόπον ἰδίως εἶπον εἶναι μόνου Θεοῦ· ἀπείρου ἄπειρον, καὶ ἀσωμάτου ἀσώματον, καὶ αἰωνίου αἰώνιον.

γ'. Τοιοῦτον μὲν οὖν οὐκ ἔστιν ἐν τῷ κόσμῳ κενόν. Σωμάτων καὶ γὰρ συμφυῶν ἀλλήλοις ἅπας ὁ κόσμος πεπλήρωται. Τοῦτο γὰρ ὁ κόσμος ἐστὶ, τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ, πυρὸς, ἀέρος καὶ ὕδατος σύστημά τε καὶ σύγκριμα, συμφυὲς καὶ εὐάρμοστον, καὶ ἄξιον ὑπὸ τοιούτου παραχθῆναι πανσόφου καὶ παντοδυνάμου δημιουργοῦ· ὑφ' οὗ κἀκ τοῦ μηδαμῶς ὄντος ἔκτισται καὶ διακεκόσμηται. Κενὸν οὖν κατὰ τὸν κόσμον οὐκ ἔστι τὸ οἱονοῦν.

δ'. Εἰ γὰρ ἦν ὅλως ἐν τῷ κόσμῳ κενον, οὔτ' ἂν συμπάθειά τις ἐφαίνετο τῶν τοῦ κόσμου μερῶν πρὸς ἄλληλα, ταύτην τοῦ κενοῦ διακόπτοντος· οὔτ' αὖ ταῖς αἰσθήσεσι καὶ μᾶλλον τῇ ὁράσει τοσαύτη τις ἦν ἡ ἐνέργεια. Πῶς γὰρ ἦν δυνατὸν ἐξικνεῖσθαι τὴν ὄψιν μέχρι τοῦ στερεώματος, μὴ τοῦ ἀέρος ὄντος δι' ὅλου συνεχοῦς ἑαυτῷ καὶ ἡνωμένου τῷ ὑπεκκαύματι, καὶ δι' αὐτοῦ τῷ αἰθέρι, κατὰ συμφυΐαν ἀδιάστατον; Ὄντων γὰρ ἐν τῷ μεταξύ τινων κενωμάτων, ἤγουν ἂν αἱ αἰσθήσεις κατεναρκοῦντο ἐμποδιζόμεναι τοῖς κενώμασι.

[28] IV Phys. c. 5, 7. [29] Arist. IV Phys. 8, 9; Card. lib. I De subtil. p. 9. Scalig. Exerc. 5, s. 1, 2; Arist. De mundo c. 2. [30] Cleom. l. I, c. 1; Scal. exerc. 5, s. 6.

OCR ABK / FR

ε'. Τά τε στενόστομα τῶν σκευῶν περιτρεπόμενα A ἐν τοῖς ὕδασιν ἐπίπλαντο πάντως, παρεμπίπτοντος διὰ τῶν κενωμάτων τοῦ ὕδατος. Νῦν δ' οὐ γίνεται τοῦτο, διὰ τὸ εἶναι ταῦτα πλήρη ἀέρος καὶ τοῦτον ἐκδληθῆναι μὴ δύνασθαι, τῶν στομάτων αὐτῶν περιεχομένων ὑπὸ τοῦ ὕδατος.

ς'. Ἀπὸ δὲ τῆς κλεψύδρας ἐναργέστερον μαρτυρεῖται μὴ κατὰ κόσμον εἶναί τι κενόν. Ἔστι δ' ἡ κλεψύδρα σκεῦος κωνοειδὲς, μικραῖς τισιν ὀπαῖς τὴν βάσιν ἔχον διάτρητον· τὸ δὲ στόμιον ἐστενωμένον κατ' αὐτὴν φέρον τὴν κορυφήν. Τοῦτο τὸ σκεῦος πληρούμενον ὕδατος καὶ μετεωριζόμενον ἐπιπωματιζομένου τοῦ στομίου διὰ τοῦ ἀντίχειρος, ἢ ἄλλως πως ἀσφαλῶς, ὥστε μὴ ἔχειν ἐντεῦθεν τὸν ἀέρα παρείσδυσιν, στέγει τὸ ὕδωρ, ὅτι μηδ' ἐκ τῶν κατὰ τὴν βάσιν πόρων ὅλων δύναται παρεισδῦναί τις ἀὴρ B προκαταληφθέντων τῷ τοῦ ὕδατος σώματι, καὶ οἱονεὶ ἀποφραγέντων καὶ τὴν διέξοδον ἀποκλεισάντων τῷ πνεύματι. Μένει τοιγαροῦν τὸ ὕδωρ ἐντὸς, διὰ τὸ μὴ πεφυκέναι κατὰ κόσμον εὑρεθῆναί που κεκὸν μηδὲ πρὸς βραχύ. Καταῤῥέοντος γὰρ ἂν τοῦ ὕδατος καὶ τὰς ἐν τῇ βάσει τοῦ ἄγγους ὀπὰς οὐκ ἀπολιμπάνοντος τῇ συνεχείᾳ τῆς ῥεύσεως, οὐκ εἶχέ ποθεν ὁ ἀὴρ εἰσδῦναι, καὶ τὴν χώραν ἐκείνην καταλαβεῖν, ἣν προκατέχον τὸ καταῤῥέον ὕδωρ ἀπέλιπε. καὶ ἦν ἂν ἐξ ἀνάγκης ἐντὸς τοῦ ἄγγους τις τόπος κενός. Ὅτι δ' οὐ πέφυκε τοῦτο, μένει τὸ ὕδωρ ὅλον ἀμείωτον. Ἐπὰν δ' ἐκ τοῦ στομίου λάβῃ τινὰ παρείσδυσιν ὁ ἀὴρ, τότε καταῤῥεῖ τοσοῦτον τοῦ ὕδατος ὅσον τοῦ ἀέρος εἰσέρχεται· καὶ τοῦ στομίου πάλιν φραττομένου, διακοπτομένη παρευθὺ τοῦ ὕδατος ἡ κατάῤῥευσις παύεται· καὶ μένει τὸ τοῦ ὕδατος, C ἐναπολειφθὲν τῇ κλεψύδρᾳ, καθὰ τὸ ὅλον ὕδωρ ἔμενε πρότερον. Φατερὸν οὖν ὡς οὐκ ἔστιν ἐν τῷ κόσμῳ τι κενόν.

ζ'. Ἔξω δὲ τοῦ κόσμου τὸ τοιοῦτον κενὸν ὑπονοεῖται διήκειν εἰς ἄπειρον. Ἐπεὶ γὰρ πᾶν τὸ περιεχόμενον ἑτέρῳ τινὶ περιέχεται, καθὼς ἐπὶ τῶν μερικῶν σωμάτων ἐκφαίνεται (τὰ μὲν γὰρ αὐτῶν ἀέρι, τά δ' ὕδατι, τὰ δ' ἄλλῳ τινὶ περιέχεται), καὶ ὁ κόσμος πάντως πεπερασμένος ὑπάρχων ὑφ' ἑτέρου τινὸς ἂν περιέχοιτο. Σῶμα δ' οὐκ ἔστιν ἐκτὸς τοῦ κόσμου. Καὶ γὰρ οὗτός ἐστιν ἡ σύλληψις παντὸς σώματος καὶ περίληψις καὶ, οἷον εἰπεῖν, ὁλότης σωματική. Τοιγαροῦν ἀσώματον ἔσται τὸ τὸν κόσμον περιέχον. Εἰ γὰρ σῶμα καὶ τοῦτο, περιληφθήσεται πάντως ὑπ' ἄλλου τινός. Σῶμα γὰρ ἄπειρον οὐκ D ἔστιν ἐπινοῆσαι. Διόπερ ἀναγκαίως ἀσώματον ἂν εἴη τὸ περιέχον ἐσχάτως τὴν σύμπασαν ἐγκόσμιον σύστασιν. Ὡς δ' ἁπάντων ἔσχατον, ἔσται δὲ ἄπειρον. Τὴν ὑστάτην οὖν τῶν ὄντων περιοχὴν τὴν ἀσώματόν τε καὶ ἄπειρον κενὸν ὀνομάζουσιν· ὡς μήτι τῶν σωμάτων ἔχουσαν ὅλως ἐν ἑαυτῇ.

5. Et vasa augusti orificii, dum in aquis convertuntur, implerentur utique subincidente per vacuitates aqua. Jam autem hoc non fit, propterea quod hæc aeris plena sunt, isque non possit ejici : quod ipsa orificia ab aqua contineantur.

6. Idem evidentius testatur clepsydra [31], quod vacuum in mundo non sit. Est autem clepsydra vas conoides seu turbinatum, quod exiguis quibusdam foraminibus perforatam basin habet, sed orificium ad ipsum obtinet verticem. Hoc vas cum aqua impletur et suspenditur, ut orificium pollice, aut alio quocummodo sufficienter obstruatur, quo aer per id subingredi non possit, omnem aquam sustinet, quia nec ex universis in base meatibus aer aliquis subingredi potest cum aquæ corpore præoccupati, et velut obturati sint, spirituique transitum occluserint. Manet ergo aqua intus quia vacuum in mundo nullum uspiam vel brevissimo tempore reperitur. Si enim deflueret aqua et foramina in base vasis continuitate fluxionis **370** non relinqueret, haud posset alicunde aer ingredi et spatium illud occupare quod aqua illa defluens prius obtinuit, et jam deseruit : sicque necessario intra vas aliquis locus vacuus foret. Quod quidem quia fieri non potest, universa aqua diminutionis expers manet. Simul ac autem ex orificio aer incipit subingredi, tunc tantum aquæ deluit, quantum aeris ingreditur : et rursus cum obstruitur, incisa protinus aquæ fluxio desinit, manetque quod de aqua in clepsydra relictum est, quemadmodum prius universa aqua manebat. Manifestum est igitur vacuum in mundo non esse.

7. Extra mundum autem ejusmodi vacuum in infinitum penetrare concipitur. Quoniam enim omne quod continetur, ab alio aliquo continetur, quemadmodum in particularibus corporibus apparet (eorum quippe alia aere, alia aqua, alia aliquo alio continentur) : mundus etiam cum terminatus sit, ab alio aliquo continebitur. Atqui [32] corpus extra mundum non est. Hic enim est comprehensio et complexio, et consummatio, ut ita dicam, omnium corporum. Quapropter incorporeum erit id quod mundum continet. Si enim et hoc corpus sit, **371** ab alio utique comprehendetur; infinitum enim corpus cogitare non licet. Quapropter necessario incorporeum erit, id quod extreme universum in mundo opus continet. Quia autem omnium extremum, etiam infinitum erit. Extremam proinde comprehensionem eorum quæ sunt, cum incorpoream, tum infinitam, vacuum nominant, ut quæ nullum omnino in se ipsa corpus habeat.

[31] Vide Cardan. De varietate rerum, lib. II, p. 710.

[32] I De cœlo c. 9.

OCR ABK / FR

καὶ μόνιμα καὶ τὴν αὐτὴν φυλάττοντα τάξιν πεποίηκας, εἰς ὃ διαμένειν ἐθέλοις τὸ πᾶν.

β'. Διαλαβὼν δὲ περὶ σελήνης καὶ ἀστέρων, οὐ παρῆκε τὸν ἥλιον ἅμα μὲν μετὰ τῶν ἀστέρων τάξας ὡς ἀστέρα καί αὐτὸν ἐξοχώτατον καὶ βασιλικώτατον καὶ λαμπρότατον καὶ ἀστεράρχην ὠνομασμένον ὑπό τινων προσφυῶς· ἅμα δ' ὡς τῇ σελήνῃ συνεξακουόμενόν τε καὶ συννοούμενον, εἴγε ταύτῃ τὸ φῶς ἐξ αὐτοῦ καθὸ φαίνει οὐκ ἐκ φύσεως.

γ'. Ἰδίᾳ δὲ περὶ τῆς σελήνης εἴρηκε, καὶ μὴ συνεκφωνήσας ταύτην τοῖς ἄστρασι, δι' ἃ πρὸς τοὺς ἀστέρας ἀκοινώνητα φέρει πολλά· τὰς τοῦ φωτὸς αὐξήσεις καὶ μειώσεις, ἀποκρύψεις τε καὶ πληρώσεις, καὶ τοὺς ποικίλους σχηματισμούς, καὶ ἔτιπερ οὐδεὶς τῶν ἀστέρων ἔξωθεν ἔχει τὸ φῶς, ὡς αὕτη κατ' ἐπεισαγωγήν· ἀλλ' οἴκοθεν ἔχουσιν αὐτὸ πάντες καὶ ἀναπόβλητον, εἰ καὶ μεθ' ἡμέραν ὁρῶνται, τῆς ἡλιακῆς αὐτοὺς ἀποκρυπτούσης πλησμίου φωτοχυσίας καὶ ὑπερβαλλούσης λαμπρότητος.

δ'. Ὁ μὲν οὖν ἥλιος ὑψηλότερός ἐστι τῆς σελήνης ἐπιπλέον ἢ ὅσον ἀφέστηκεν αὕτη τῆς γῆς καὶ πολλαχῶς ἐπιπλέον· ἡ δὲ χθαμαλωτάτη παντὸς ἀστέρος γινώσκεται. Τῶν γὰρ ἀστέρων οἱ μὲν ἀπλανεῖς, οἱ δὲ πλάνητες λέγονται. Καὶ οἱ μὲν ἀπλανεῖς ὁμοτίμως ὑψηλότατοι πάντες καὶ πάμπολλοι· τὸ χύμα λέγω τῶν ἀστέρων αὐτὸ τὸ πολυπληθές. Οἱ δὲ πλάνητες μετὰ καὶ τῆς σελήνης ἑπτά, καὶ ἄλλου ἄλλος χθαμαλώτερός τε καὶ προσγειότερος.

ε'. Τοῦ στερεώματος δὲ κυκλικῶς κινουμένου κίνησιν ὀξυτάτην καὶ ἄληκτον, ἐξ ἀνατολῶν εἰς δυσμάς, ὡς πρὸς αἴσθησιν, συμπεριφέρονται καὶ πάντες ἀστέρες αὐτῷ, καὶ σύμπας αἰθήρ.

ς'. Πολὺ δὲ πάνυ καὶ μυρίον τὸ τοῦ αἰθέρος διάστημα τὸ ἐκ τοῦ στερεώματος ἕως τοῦ ὑπεκκαύματος· ὅπερ ὑπέκκαυμα τὸ πῦρ ἐστι, τὸ στοιχεῖον αὐτό. Τὸ γὰρ ἡμῖν γινωσκόμενον πῦρ ἔξαψίς ἐστι τοῦ τοιούτου στοιχειώδους πυρός, ὑπερβολὴν ἔχον τῆς πυρώδους θερμότητος, ὥσπερ ὁ κρύσταλλος τῆς ἐν ὕδατι θεωρουμένης ψυχρότητος.

ζ'. Οἱ μὲν οὖν ἀπλανεῖς ἀστέρες πεπήγασιν ἐν τῷ στερεώματι καὶ σὺν αὐτῷ μόνῳ φέρονται, μηδεμίαν ἰδίαν κατὰ τόπον ποιούμενοι κίνησιν· οἱ δὲ πλάνητες οὐ πεπήγασιν ἐν τῷ στερεώματι· κατωτέρω δὲ τούτου κατά τινας βαθμίδας ἐν τῷ αἰθέρι μετέωροι φέρονται, καὶ τοῦ στερεώματος φερομένου μετὰ τῆς τῶν ἀπλανῶν παμπληθείας ἐξ ἀνατολῶν εἰς δυσμάς, ὡς ἡ αἴσθησις, αὐτοὶ τοὐναντίον ἐκ δυσμῶν εἰς ἀνατολὰς ἰδίαν σχολαιοτέραν κινοῦνται κίνησιν. Ὅθεν καὶ πλάνητες ὠνομάσθησαν· ὡς δη-

A confirmationem pertinet τὸ ὅτι, id est *quod*, seu *quoniam*, non causæ redditionem habet. A communi : Cognoscam lunam et stellas, opera digitorum tuorum, quæ tu fundata et stabilia et eumdem ordinem custodientia fecisti, quantisper universum permanere volueris.

**376** 2. Dum autem de luna disseruit, non prætermisit solem, ut quem partim cum stellis collocarit, quod et ipse stella sit longe excellentissima et maxime regia et splendidissima, et stellarum princeps ab aliquibus convenienter nominatus fuerit; partim vero cum luna simul et exaudiatur et intelligatur; siquidem huic quatenus licet ex ipso lumen est, non a natura [32].

3. Seorsim autem de luna dixit, et eam de
B stellis agens haud expressit, propter multa in quibus nullam cum stellis communitatem habet [33]; propter luminis incrementa et decrementa, occultationes itemque impletiones, variasque figurationes; quodque nulla stellarum lumen habet extrinsecus sibi adveniens, ut hæc per inductiones aliunde factam, sed omnes id a se habent, nec ipsum adjiciunt, tametsi interdiu non videantur, dum nimirum eas propinquum solis lumen et excellens splendor solis abscondit.

4. Solis igitur altitudo supra lunam multo major est, quam hujus a terra distantia, et quidem multis modis major est; ipsa autem [luna] omnium stellarum esse humillima intelligitur. Stellarum enim aliæ inerrantes, aliæ erraticæ dicuntur. **377** Et inerrantes quidem pariter sunt altissimæ et bene
C multæ [34]; copiosam dico stellarum multitudinem; erraticæ autem cum luna septem sunt, et alia alia humilior est terræque vicinior.

5. Cumque firmamentum circulariter moveatur motu celerrimo et incessabili ab ortibus ad occasus, simul cum eo etiam omnes stellæ et universus æther, quantum ad sensum attinet, circumferuntur.

6. Plurimum autem [35] et longissimum est ætheris intervallum, quod a firmamento ad successionem usque porrigitur; quæ succensio, ignis, ipsum videlicet elementum est. Qui enim ignis nobis notus est, inflammatio est hujuscemodi elementaris ignis, ut qui ignei caloris excessum habeat, quemadmodum crystallus frigoris ejus quod in
D aqua conspicitur.

7. Inerrantes [36] proinde stellæ in firmamento fixæ sunt, et cum ipso solo feruntur, et nullo peculiari quoad locum motu moventur; erraticæ autem in firmamento non sunt fixæ, sed infra hoc aliquot gradibus in æthere suspensæ feruntur; et dum firmamentum cum inerrantium universa turba ex ortibus ad occasus quoad sensum fertur, ipsæ et contra ab occasibus ad ortus **378** motu proprio tardiore moventur. Unde etiam erraticæ nominatæ sunt, ut quæ quasi ab itinere firmamenti.

[32] Vide supra cap. 25, n. 10, et cap. 27 n. 1. [33] Plin. lib. II, c. 9. [34] Ex his notabiles a veteribus numeratæ sunt 1022, quas in 48 imagines, et ipsas vero stellas in sex magnitudines diviserunt. [35] Mart. Cap. p. VIII, p. 329; Bodin. lib. V. Theatri, p. 585. [36] Vide supra p. 138 et 144, et Scal. exerc. 110.

OCR ABK / FR

tantoque stellarum exercitu aberraverint, et contraria via ingrediantur.

8. Dico autem hæc quoad apparentiam, quandoquidem solum primum cœlum ex ortibus in occasus ferri cognitum est, quod secum etiam secundum, nempe firmamentum, circumagit. Firmamentum enim ipsum quoque ab occasibus ad ortus cum stellis quæ inerrantes dicuntur fertur naturaliter [37]; sed propter hujuscemodi erratici motus summam tarditatem sensum effugit. Cum enim in trecentas sexaginta partes quivis circulus dividatur, unam partem anno centesimo firmamentum planetarie transire observatum est [37-38]; secundum aliquos autem, non partem, sed partis segmentum minimum. Quapropter utique ex hujusmodi proprio et naturali motu firmamenti primum cœlum quod non videtur animadversum est ab iis qui in hanc inquisitionem studiose incubuerunt.

9. Proprium ergo hunc motum planetæ obeunt qualem dicimus; simul autem etiam cum cœlo circumaguntur, cum conversionis ipsius impetu **379** superantur. Et hinc etiam sol, qui (annuo spatio) proprium motum planetarium, illum qui ab occasibus est ad ortus implet, uno die et nocte per contrarium [motum] ex eodem ad idem punctum et aliquanto amplius revertitur, ut qui cœli impetu trahatur et circumagatur. Proinde circumactione quæ ipsi a cœlo est, dierum et noctium causa efficitur; dierum, dum supra terram fertur, noctium, dum infra terram: sed quatuor horarum seu statorum anni temporum, motu proprio planetario seu erratico.

10. Cum enim hujuscemodi sui motus circulum sub firmamento oblique jacentem habeat, et duæ illius partes quæ sunt secundum dimetrum mediis firmamenti partibus ex adverso collocatæ sunt, et vicissim duarum aliarum partium, quæ et ipsæ sunt secundum diametrum, una ad borealiores firmamenti partes, altera ad australiores vergat; quandoquidem eas peragat partes, quæ mediis firmamenti partibus subjectæ sunt, æquinoctia efficit; vernum, cum ab australibus [partibus] ascendit, autumnale, cum a borealibus revertitur; quando autem sui proprii circuli borealissimum segmentum **380** (*sic*) peragat, tum æstivam horam producit; hibernam rursus, cum australius sui circuli segmentum percurrit.

11. Porro [38] prima a firmamento abest erratica stella Saturnus, qui etiam Phænon vocatur, qui proprium circulum triginta annorum spatio peragrat. Infra hunc est Jupiter, qui etiam Phaethon dicitur, planetarium suam periodum duodecim annis absolvens. Post illum et sub illo est Mars, qui etiam Pyrois dicitur, duobus annis et quinque mensibus ac aliquanto majore spatio propriam

A θεν ἀποπλανηθέντες τῆς τοῦ στερεώματος πορείας, καὶ τοῦ τοσούτου τῶν ἀστέρων ἑσμοῦ, καὶ τὴν ἐναντίαν βαδίζοντες.

η'. Ταῦτα δὲ λέγω πρὸς τὸ φαινόμενον· ἐπεί τοί γε μόνος ὁ πρῶτος οὐρανὸς ἐξ ἀνατολῶν εἰς δυσμὰς φερόμενος ἔγνωσται συμπεριάγων ἑαυτῷ καὶ τὸν δεύτερον, τὸ στερέωμα. Τὸ γὰρ στερέωμα καὶ αὐτὸ πρὸς δυσμὰς ἐξ ἀνατολῶν μετὰ τῶν λεγομένων ἀπλανῶν ἀστέρων φέρεται φυσικῶς· διὰ δὲ τὸ βραδύτατον τῆς τοιαύτης πλανητικῆς κινήσεως διαλανθάνει τὴν αἴσθησιν. Εἰς μοίρας γὰρ ἑξήκοντα καὶ τριακοσίας τοῦ παντὸς κύκλου διαιρουμένου, μίαν μοῖραν καθ' ἕκαστον ἔτος τετήρηται διέρχεσθαι πλανητικῶς τὸ στερέωμα· κατά τινας δ' οὐ μοῖραν, ἀλλὰ τμῆμα μοίρας ὀλίγιστον. Διὸ δὴ κἀκ τῆς B τοιαύτης ἰδίας καὶ φυσικῆς κινήσεως τοῦ στερεώματος, ὁ πρῶτος οὐρανὸς ὁ μὴ ὁρώμενος ἑώραται νοερῶς τοῖς τὴν ἐξέτασιν ταύτην φιλοπόνως ποιησαμένοις.

θ'. Τὴν μὲν οὖν ἰδίαν κίνησιν οἱ πλάνητες ποιοῦνται τοιαύτην, οἵαν εἰρήκαμεν· συμπεριάγονται δὲ καὶ τῷ οὐρανῷ τῇ ῥύμῃ τῆς αὐτοῦ φορᾶς ἐκνικώμενοι. Κἀντεῦθεν ὁ ἥλιος δι' ἐνιαυτοῦ τὴν ἰδίαν (κίνησιν) ἐκπληρῶν, τὴν πλανητικὴν, τὴν ἐκ δυσμῶν εἰς ἀνατολὰς, ἐν ἡμέρᾳ μιᾷ καὶ νυκτὶ, διὰ τῆς ἐναντίας ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτὸ καί τι πλέον ἀποκαθίσταται, ὑπὸ τῆς οὐρανου ῥύμης ἑλκόμενος καὶ περιαγόμενος. Διὰ μὲν οὖν τῆς σὺν οὐρανῷ περιαγωγῆς αἴτιος γίνεται τῶν ἡμερῶν τε καὶ τῶν νυκτῶν, ὑπέργειος φερόμενος τῶν ἡμερῶν, ὑπόγειος τῶν νυκτῶν· διὰ δὲ τῆς οἰκείας κινήσεως τῆς C πλανητικῆς τῶν τεσσάρων ὡρῶν.

ι'. Ἔχων γὰρ τὸν τῆς τοιαύτης αὐτοῦ κινήσεως κύκλον, ὑπὸ τὸ στερέωμα βεβλημένον λοξῶς, τῶν μὲν δύο μερῶν αὐτοῦ τῶν κατὰ διάμετρον, ἀντικρὺ τεταγμένων τοῖς μέσοις τοῦ στερεώματος μέρεσι, τῶν ἑτέρων δ' αὖ δύο μερῶν, κατὰ διάμετρον καὶ αὐτῶν, τοῦ μὲν ὑπονεύοντος πρὸς τοῖς βορειοτέροις τοῦ στερεώματος, τοῦ δὲ πρὸς τοῖς νοτιωτέροις· ὅτε μὲν διέρχεται τὰ ὑπὸ τὰ μέσα τοῦ στερεώματος, τὰς ἰσημερίας ποιεῖ· τὴν ἐαρινὴν, ἀπὸ τῶν νοτίων ἐρχόμενος· ὑποστρέφων ἐκ τῶν βορείων, τὴν φθινοπωρινήν· ὅτε δὲ τὸ τοῦ οἰκείου κύκλου τμῆμα τὸ βορειότατον δίεισι, τότε τὴν θερινὴν ὥραν ἀποτελεῖ· τὴν χειμερινὴν πάλιν, ὅτε τὸ νοτιώτερον.

D

ια'. Ἀφέστηκε δὲ πρῶτος τοῦ στερεώματος πλάνης ἀστὴρ Κρόνος, ὁ καὶ Φαίνων καλούμενος, τὸν οἰκεῖον κύκλον δι' ἐτῶν τριάκοντα διερχόμενος. Κατωτέρω τούτου Ζεὺς, ὁ καὶ Φαέθων, δωδεκαετίᾳ τὴν αὐτοῦ πλανητικὴν ἀπαρτίζων περίοδον. Μετ' αὐτόν τε καὶ ὑπ' αὐτὸν Ἄρης ὁ καὶ Πυρόεις ἔτεσι δύο καὶ μησὶ πέντε καὶ πρὸς τὴν ἰδίαν περιστροφὴν ἐκπληρῶν. Εἶτα τέταρτος καὶ κατὰ τὸ τοῦ αἰθέρος

[37] Regiomon. in Ptol. Almag. lib. VII, prop. 2 et seq. [37-38] Reinbold. in tabulas Prutenicas p. 2. [38] Vide supra etiam p. 282; Macr. I. I, c. 19; Mart. Cap. lib. VIII sub finem.

OCR ABK / FR

μεσαίτατον ἥλιος δι' ἐνιαυτοῦ περαιῶν τὴν αὐτοῦ περιέλευσιν· ἤγουν διὰ νυχθημέρων τριακοσίων ἑξήκοντα πέντε καὶ τετάρτου. Μετ' αὐτὸν Ἀφροδίτη, καὶ ὑπ' αὐτὴν Ἑωσφόρος ὁ ἀστὴρ οὗτος. Ἀλλὰ καὶ Ἕσπερος· τὸ μὲν γάρ ἐστι καὶ καλεῖται τῆς ἡλίου προανίσχων ἐπιτολῆς· τὸ δ' αὐτοῦ καταδυομένου φαινόμενος πρὸς δυσμαῖς. Περὶ τῆς αὐτοῦ φυσικῆς κινήσεως οἱ ἀστρολογήσαντες διεφώνησαν· καὶ οἱ μὲν ἔφασαν αὐτὸν ἰσοδρομεῖν τῷ ἡλίῳ· τοῖς δὲ μησὶν ὀκτὼ περιτρέχειν τὸν ἴδιον κύκλον ἔδοξεν οὗτος. Ἕκτος ὁ Ἑρμῆς, ὁ καὶ Στίλβων ἐν ἓξ μησὶ καὶ ἡμέραις ἕξ, τὴν ὅλην αὐτοῦ ποιούμενος περιπόρευσιν. Τισὶ δὲ τῶν ἀστρολόγων ἐνιαυσιαῖον καὶ οὗτος ποιεῖσθαι τὸν δρόμον ὑπείληπται, καθάπερ ὁ ἥλιος. Ἀκριβέστεροι δὲ μᾶλλον δοκοῦσιν οἱ ἔλαττω τοῦ ἐνιαυτοῦ τοῖς εἰρημένοις δυσὶ πλάνησι τὸν τῆς φυσικῆς κινήσεως χρόνον ἀποφηνάμενοι, κατὰ τὴν τάξιν τῆς πρὸς τοὺς ἄλλους πλάνητας ὑποβάσεως. Μετὰ πάντας ἀστέρας ἡ σελήνη τέτακται κατωτάτω· πρὸς δὴ τὸ πέρας αὐτὸ τοῦ αἰθέρος τό γε τεθολωμένον, ὡς τῷ ὑπεκκαύματι συμμιγές. Αὕτη σμικρότατον ἔχουσα ὡς χθαμαλωτάτη καὶ προσγειοτάτη συντόμως αὐτὸν ἀνύει· δι' ἡμερῶν γὰρ ἑπτά τε καὶ εἴκοσι καὶ τινος ἡμίσους μάλιστά πως ἡμέρας μιᾶς. Διὸ καὶ πολλάκις τοῦ ἐνιαυτοῦ καὶ φθάνει καὶ παραμείβει τὸν ἥλιον.

ιβ'. Οὖσα δὲ κατωτάτω τοῦ αἰθέρος καὶ κατὰ τὰς αὐτοῦ πρὸς τὸ ὑπέκκαυμα συνκρὰς καὶ συμμίξεις, ὡς εἴρηται, ζοφερὸν ἔχει τὸ σῶμα καὶ φύσει ἀλαμπές· ἐκ δὲ τῶν ἡλιακῶν ἀκτίνων ἐπείσακτον κατ' ἰδιότητα πέφυκε δέχεσθαι (τὸ) φῶς. Διὸ καὶ σελήνη κατονομάζεται διὰ τὸ σέλας νέον ἔχειν ἀεί, καὶ οὔποτε παλαιόν, ἄλλοτε ἄλλων μερῶν φωτιζομένων αὐτῆς.

ιγ'. Οὖσα γὰρ καὶ αὐτὴ σφαιροειδὴς ὡς ὁ ἥλιος καὶ πᾶς ἄλλος ἀστήρ, ὅτε μὲν κατὰ διάμετρον ἔχει τὸν ἥλιον, ἀφεστηκυῖα τὴν πλείστην αὐτοῦ καὶ μεγίστην ἀπόστασιν, ὅλα δὴ τότε καταλάμπεται τὰ κάτω μέρη καὶ πρὸς ἡμᾶς, καὶ γίνεται παμφαής· ὅσῳ δὲ τῷ ἡλίῳ πελάζει, τοσούτῳ φαίνεται τὰ πρὸς ἡμᾶς ἀλαμπής· ἐκ τῶν ὁρωμένων ταύτης με(ρ)ῶν εἰς τὰ μὴ ὁρώμενα μεταβιβαζομένων τῶν ἡλιακῶν αὐγασμῶν. Ὅτε δὲ συνέλθῃ τῷ ἡλίῳ πρὸς τὸν αὐτὸν ὥστε συνοδεύειν αὐτῷ, τότε τὰ ὑψηλότερα μέρη πάντα φωτιζομένη τὰ πρὸς τὸν οὐρανόν, ἀφώτιστος εὑρίσκεται διόλου τὰ κάτω καὶ πρὸς ἡμᾶς· ὅτε δ' αὖ παραμείψῃ τὸν ἥλιον, ἄρχεται τὰ κάτω φωτίζεσθαι, πρὸς λόγον τῆς παραμείψεως γινομένης ἀεὶ τῆς φαύσεως.

ιδ'. Ἔστι δὴ μέσον τοῦ στερεώματος πλάτος πολὺ κυκλικὸν καὶ λοξόν· ὑφ' ὃ ποιοῦνται τὴν κίνησιν

conversionem explens. Deinde quartus et in medio ætheris constitutus est sol, anni spatio, nempe trecentis sexaginta quinque diebus cum quadrante suum circuitum finiens. Post illum [39] et sub illo Venus est, quæ quidem stella aurorifer et vesper appellatur; aurorifer est et vocatur, cum ante solis ortum exsurgit; vesper, cum ipso occidente ad occasum conspicitur. De naturali ipsius motu inter eos, qui astrorum cognitioni studuerunt, dissensio est: quorum aliqui ipsam pari cum sole velocitate currere dixerunt; alii eam octo mensibus suum proprium circulum percurrere putarunt. Sextus est Mercurius, **391** qui etiam Stilbon vocatur, universam suam circummeationem sex mensibus et sex diebus faciens. Sed et ab aliquibus astrologis hæc quoque stella annuum cursum sicuti sol obire existimata est. Accuratiores autem esse videntur illi, qui dictis hisce duobus planetis tempus naturalis motus anno minus assignarunt, pro ordine nimirum, quo infra alios planetas descendunt. Post omnes stellas luna infimo collocata est ordine, ad ipsam nimirum ætheris extremitatem, turbatam illam propterea, quod succensioni admista est. Hæc cum minimum habeat circulum, quod infima et terræ vicinissima sit, brevi ipsum tempore conficit, viginti septem nimirum spatio dierum, et dimidio quam proxime unius diei. Quapropter etiam sæpe per annum et antevertit et præterit solem.

12. Cum autem in infimo sit ætheris loco, et ubi hinc cum succensione conjungitur ac commiscetur, ut dictum est, caliginosum et natura obscurum habet corpus, ex solaribus autem radiis adventitium ex proprietate lumen accipere potis est. Quapropter [40] etiam σελήνη Græcis, luna Latine nominatur, quod subinde σέλας νέον, id est, **392** lumen novum habeat, nunquam vetus; dum nimirum alias aliæ illius partes illuminantur.

13. Cum enim hæc quoque orbicularis sit, perinde ut sol et quævis alia stella; cum quidem solem habet ex diametro, remotissima ab eo et maxima consistens distantia, universis tum partibus inferioribus et quæ ad nos respiciunt illustratur, totaque lucida efficitur. Quantum autem appropinquat soli, tantum quoad nos obscura apparet: quando solares radii ex partibus ejus quæ nobis videntur ad eas quæ nobis non videntur transferuntur. Quando autem cum sole in eumdem locum convenerit, ut cum ipso coeat, tunc omnibus partibus altioribus, quæ ad cœlum respiciunt illuminata, inferioribus et ad nos vergentibus illuminationis expers deprehenditur. Quando denique vicissim solem prætererit, inferioribus partibus illuminari incipit, ut semper pro ratione prætеritionis fiat illustratio.

14. Est nimirum [41] medium firmamenti latitudo circularis magna et obliqua, sub qua omnes stellæ

[39] Regiom. lib. IX, prop. 1 in Alm. Ptol. Mart. Cap. lib. VIII, p. 340 [40] Vide supra cap. 27, n. 4 [41] Macrob. l. I, c, 15 ; Mart. Cap. lib. VIII.

OCR ABK / FR

erraticæ suum motum obeunt. Neque enim universum firmamentum subtercurrunt. Latissimus hic obliquus circulus **393** multa vehit sidera, quæ animalia quædam quodammodo adumbrant et repræsentant [12]. Atque ex hac confusa et subobscura adumbratione et repræsentatione vetustiores astrologi adumbrationes istas et repræsentamenta, animalia seu signa et universam eorum complexionem, circulum zodiacum seu signiferum non sine magno abusu nominum vocarunt.

15. Sub zodiaci medio sol æqualiter subinde movetur ab occasu ad ortus; cæteræ autem erraticæ stellæ, quæ convolute et tortuose moventur, universam Zodiaco subjectam latitudinem varie commutant; et alias quidem ad boreales illius partes, alias ad australes, alias etiam ad medium deprehenduntur. Maxime autem inter alias luna tam variam commutationem subiens, alias ad boreas partes ascendit, alias ad australes descendit, alias etiam per medium sub solari circulo ingreditur.

16. Quando proinde tempore conjunctionis suæ cum sole borealior est aut australior, obumbrare et occultare solem non potest. Quando autem sub medio [firmamenti] deprehenditur et tum cum sole ad perpendiculum consistit, seipsum intra solem et **394** nos septum ac maceriam interponit, atque ita solem abscondit a nobis, et neque radios illius sinit ad aerem nostrum pertingere ipsumque illuminare, neque nos ipsum solem intueri, qua sub parte decurrat.

17. Atque hanc (ut ita dicam) coincidentiam defectum solis appellaverunt, non quod revera luminare deficiat, sed deficere videatur; ex eo quod neque fulgeat, neque cernatur, cum lunæ corpus prohibeat.

18. Porro in ejusmodi lunæ subtercursionibus sol nobis interdum totus videtur inconspicuus, sæpe autem ex parte sua quapiam, pro absconsionis ratione. Quantum enim luna subierit, tantum etiam a nobis non cernitur; idque etiam ad nos lumen non emittit.

19-21. Verum hic qui ita dicitur solis defectus, non est illius passio. Sol enim lumen undequaque omni tempore diminutionis expers et sincerum obtinet. At lunæ defectus ipsius lunæ passio est et defectus, qui revera ita fiat, nec fieri videtur. Quando enim luna ad solem ex diametro constituitur, siquidem ad boreales et australes partes Zodiaco subjectas reperiatur, tota lucida permanet nec quidquam patiens. Sin autem in medio **395** constiterit, et solarem circulum subtendat, tunc terra instar septi se interponente fulgores a sole non recipit; et qua parte non recipit, non illuminatur etiam; et quod in defectu qui solaris dicitur in conjunctione efficit, ut solem a nobis avertat, idem in diametro a terra perpetitur. Cum enim intra solem et lunam terra tum medio

[12] Macrob. l. I, c. 21.

A πάντες οἱ πλάνητες. Οὐδὲ γὰρ τὸ στερέωμα πᾶν ὑποτρέχουσι. Τὸ τοιοῦτον πλατύτατον κύκλωμα τὸ λοξὸν ἄστρα φέρει πολλὰ, σκιαγραφοῦντά πως ζῶά τινα. Κἀκ τῆς τοιαύτης σκιαγραφίας τῆς συγκεχυμένης καὶ ἀμυδρᾶς ζῶα κεκλήκασιν οἱ τῶν ἀστρολόγων ἀρχαιότεροι τὰ σκιαγραφήματα· καὶ τὴν περιοχὴν αὐτῶν πᾶσαν κύκλον ζῳδιακὸν, καὶ λίαν καταχρησάμενοι τοῖς ὀνόμασιν.

ιε'. Ὑπὸ τὸ τοῦ ζῳδιακοῦ τὸ μεσαίτατον ὁμαλῶς ὁ ἥλιος κινεῖται διηνεκῶς τὴν ἀπὸ δυσμῶν εἰς ἀνατολάς· οἱ δ' ἄλλοι πλάνητες ἑλικοειδῶς φερόμενοι τὸ ὑπὸ τὸν ζῳδιακὸν πλάτος πᾶν ἐξαλλάττουσι· καὶ ποτὲ μὲν ἐπὶ τὰ βόρεια γίνονται τούτου, ποτὲ δ' ἐπὶ τὰ νότια, ποτὲ δὲ καὶ πρὸς τὸ μέσον εὑρίσκονται. B Μάλιστα δὲ τῶν ἄλλων ἡ σελήνη ποιουμένη τὴν τοιαύτην ἐξαλλαγὴν, ποτὲ μὲν ἄνεισιν ὡς πρὸς βόρεια, ποτὲ δὲ κάτεισιν ὡς πρὸς νότια· ποτὲ δὲ καὶ τὸν μέσον ὁδεύει τὸν ὑπὸ τὸν ἡλιακόν.

ις'. Κατὰ γοῦν τὴν αὐτῆς πρὸς τὸν ἥλιον σύνοδον βορειοτέρα μὲν οὖσα καὶ νοτιωτέρα, τὸν ἥλιον ὑποσκιάσαι καὶ κρύψαι οὐ δύναται. Κατὰ δὲ τὸν μέσον εὑρισκομένη καὶ τῷ ἡλίῳ γινομένη τότε δὴ (καὶ) κατὰ κάθετον, φραγμὸν ἑαυτὴν καὶ διατείχισμα τίθησι μέσον ἡλίου καὶ ἡμῶν, καὶ οὕτως ἀποκρύπτει τὸν ἥλιον ἀφ' ἡμῶν· καὶ οὔτ' αὐτοῦ τὰς ἀκτῖνας ἐᾷ διικνεῖσθαι πρὸς τὸν καθ' ἡμᾶς ἀέρα καὶ φωτίζειν αὐτὸν, οὔθ' ἡμᾶς τὸν ἥλιον καθ' ὅπερ ἂν ὑποδράμοι μέρος αὐτὸν καθορᾷν.

C ιζ'. Καὶ τὴν τοιαύτην σύμπτωσιν ἔκλειψιν ἡλίου προσηγορεύκασιν οὐ ταῖς ἀληθείαις τοῦ φωστῆρος ἐκλείποντος, ἀλλὰ δοκοῦντος ἐκλείπειν, ἐκ τοῦ μήτ' αὐγάζειν μήθ' ὁρᾶσθαι, τοῦ τῆς σελήνης διείργοντος σώματος.

ιη'. Ἐν δὲ ταῖς τοιαύταις γίνεται τῆς σελήνης ὑποδρομαῖς ὁ ἥλιος ἡμῖν ἀφανὴς ἐνίοτε μὲν ὅλος, τὰ πολλὰ δὲ κατά τι μέρος αὐτοῦ πρὸς λόγον τῆς ὑποκρύψεως. Ὅσον γὰρ ὑποδέδηκεν ἡ σελήνη, τοσοῦτον καὶ ἡμῖν ἀκαθόρατον· τοῦτο καὶ πρὸς ἡμᾶς οὐκ ἐκπέμπει τὸ φῶς.

ιθ'-κα'. Ἀλλ' ἡ μὲν λεγομένη κατὰ τὸν ἥλιον ἔκλειψις οὐκ ἔστι πάθος αὐτοῦ. Πάντη γὰρ ἀμείωτον ὁ ἥλιος ἔχει τὸ φῶς ἀεὶ καὶ εἰλικρινές. Ἡ δὲ τῆς σελήνης ἔκλειψις αὐτῆς τῆς σελήνης πάθος ἐστί· καὶ D κατ' ἀλήθειαν, ἀλλ' οὐ κατὰ δόκησιν ἔκλειψις. Ὅτε γὰρ ἡ σελήνη τῷ ἡλίῳ κατὰ διάμετρον γίνεται, πρὸς μὲν τοῖς ὑπὸ τὸν ζῳδιακὸν εὑρισκομένη βορείοις καὶ νοτίοις, μένει μηδὲν πάσχουσα παμφαής. Ἐν τῷ μέσῳ δὲ τυχοῦσα καὶ τὸν ἡλιακὸν ὑποτείνουσα, τότε τῆς γῆς διατειχιζούσης, οὐ δέχεται τὰς ἐξ ἡλίου αὐγάς· καὶ καθ' ὃ μέρος οὐ δέχεται ταύτας, οὐδὲ φωτίζεται· καὶ ὅπερ αὕτη κατὰ τὴν λεγομένην ἡλιακὴν ἔκλειψιν ἐν συνόδῳ ποιεῖ, διαφράττουσα τὸν ἥλιον ἐξ ἡμῶν, τοῦτ' ἐν διαμέτρῳ πάσχει παρὰ τῆς γῆς. Ἡλίου γὰρ καὶ σελήνης εὑρισκομένη

OCR ABK / FR

τηνικαῦτα μέσον ἡ γῆ, κατὰ μίαν εὐθεῖαν, κωλύει τὴν σελήνην ταῖς ἐξ ἡλίου λαμπηδόσιν αὐγάζεσθαι. Καὶ ὅσον αὐτῆς μέρος ταῖς ἡλιακαῖς ἀκτῖσιν οὐ καταλάμπεται, μένει τοῦτο πάμπαν ἀφώτιστον. Ἐνίοτε δὲ καὶ πᾶσα ζοφοῦται, καὶ τὸ φῶς ὅλον ἀπόλλυσιν, ὡς καὶ δοκεῖν ἠφανίσθαι καὶ μηδὲ τὸν τόπον ἐν ᾧπερ ἦν ὅλως διαγινώσκεσθαι, τῷ μηδὲ σκιὰν αὐτῆς κἂν γοῦν ἀμυδράν τινα περισώζεσθαι. Τοιαύτης καὶ ἡμεῖς σεληνιακῆς ἐκλείψεως αὐτόπται γεγόναμεν.

κβ'. Ὁ μὲν οὖν ἥλιος ἐκ τῶν φαινομένων περὶ τὰς τῆς σελήνης ἐκλείψεις μείζων τῆς γῆς ἀνενδοιάστως γινώσκεται· καὶ διὰ τοῦτο γινόμενος ὑπὸ γῆν, οὐ κωλύεται παρ' αὐτῆς εἰς τὸ τοῦ αἰθέρος ὕψος τὰς οἰκείας ἐκπέμπειν αὐγάς. Περιεχομένης γὰρ ὑπὸ τοῦ ἡλίου τῆς γῆς διὰ τὴν ταύτης σμικρότητα, πῶς ἂν κωλυθεῖεν αἱ ἀκτῖνες ἐκ τῶν ἄκρων αὐτῆς εἰς τὸ τοῦ αἰθέρος ὕψος διαβιβάζεσθαι; Διὸ καὶ καταλάμπεται τὰ ὑψηλότερα τοῦ κόσμου κἂν τῷ ὑπὸ γῆν εἶναι τὸν ἥλιον· ἐν νυκτὶ δέ εἰσι τότε τὰ χθαμαλώτερα τε καὶ προσγειότερα. Νὺξ γὰρ οὐδὲν ἕτερον ἢ τῆς γῆς ἡ σκιά.

κγ'. Τῆς τοιαύτης οὖν σκιᾶς διὰ τὸ μέγεθος τοῦ ἡλίου γινομένης κωνοειδοῦς, καὶ τὴν μὲν βάσιν ἐχούσης πλατεῖαν συμπαρεκτεταμένην τῷ μέρει τῆς γῆς ὅσον οὐ καταλάμπει ὁ ἥλιος, τὴν δὲ κορυφὴν εἰς ὀξὺ λήγουσαν· τὰ μὲν ἄνω τῆς σελήνης καὶ ὑψηλότερα τὴν τοιαύτην καὶ κατὰ μῆκος ὑπερβαίνει σκιάν. Ὅθεν οὐδεὶς ἱστόρηται ποτε τῶν ἀστέρων ταύτῃ περιπεσεῖν. Ἦ γὰρ ἂν ἐφάνη λαμπρότερος ἑαυτοῦ· τὰ φῶτα γὰρ ἐν νυκτὶ μᾶλλον ἢ ἐν ἡμέρᾳ λαμπρότερα φαίνεται. Διὸ καὶ οἱ ἀστέρες, αἰθρίας οὔσης ἐν ἀσελήνῳ νυκτὶ, πλέον ἔχουσι τὸ λαμπρὸν ἢ τῆς σελήνης διαυγαζούσης. Οἱ μὲν οὖν ἀστέρες ἅπαντες ὑπερφέρονται τῆς σκιᾶς, μὴ φθανούσης εἰς τὸ ὕψος αὐτῶν· ἡ δὲ σελήνη πρόσγειος οὖσα, τῷ τῆς γῆς ἐντυγχάνει κώνῳ περὶ τὸ ἄκρον, ὅτε διαμετροῦσα τὸν ἥλιον ὑπὸ τὸν αὐτοῦ φέροιτο κύκλον, μήτε πρὸς τὰ βόρεια, μήτε πρὸς τὰ νότια νεύουσα.

κδ'. Δῆλον δ' ἐντεῦθεν, ὅτι καὶ πολὺ σμικρὸν ὅσον πρὸς τὴν γῆν τὸ σῶμα τῆς σελήνης ἐστίν· εἴ γε τὰ περὶ τὸ ἄκρον τῆς ἐκ γῆς σκιᾶς καὶ νυκτὸς ὅλον αὐτὸ δύναιντο περισχεῖν.

κε'. Καὶ τοῦθ' ἡμῖν ἐπὶ τοῖς δεδειγμένοις οὐ γραμμικῶς ἀλλὰ λογικῶς, ἔστω δὴ πόρισμα. Ταῦτα μὲν ἐκ τῆς εἰς τὸν ὄγδοον ψαλμὸν ἐξηγήσεως.

κϛ'. Ἐπεὶ δὲ περὶ ὑψωμάτων καὶ ταπεινωμάτων καὶ οἴκων καὶ ἐναντιωμάτων τῶν ἐν τοῖς πλάνησιν ἔφθημεν προδιαλαβεῖν, εἴη ἂν διττὸν τὸ ὕψωμα καὶ ταπείνωμα· τὸ μὲν κατὰ τὸ ὑπεργειότερον καὶ προσγειότερον τῶν ἐν τοῖς πλάνησι σφαιρῶν (ἔκκεντροι γάρ εἰσιν αἱ πᾶσαι πρὸς τὴν σφαῖραν τοῦ στερεώματος, καὶ πρὸς ἀλλήλας· καὶ τὰ μὲν μερῶν ἔχουσιν ὑψηλότερα, τὰ δὲ ταπεινότερα), τὸ δὲ ταπείνωμα καὶ ὕψωμα, κατὰ τὴν τοῦ ζωδιακοῦ ὑπεξάλλαξιν.

A reperiatur in eadem linea recta, prohibet lunam ne splendore solis illustretur. Et quanta ipsius pars solaribus radiis non illuminatur, tanta omnino illuminationis expers reperitur. Interdum autem tota obscuratur, et omne lumen amittit, ut etiam evanuisse videatur, et neque locus in quo erat omnino dignoscatur, propterea quod neque umbra illius quantumvis exilis et imbecillis relinquatur. Cujusmodi lunarem defectum et nos vidimus.

22. Sol proinde ex illis quæ in lunæ defectibus apparent, sine dubio terra major esse intelligitur; et propterea cum infra terram est, non prohibetur ab ea quo minus suos radios in ætheris emittat altitudinem. Cum enim terra propter exiguitaB tem suam a sole contineatur, quomodo radii ab ipsius extremitatibus prohiberi **396** possent, ne in ætheris altitudinem transmitterentur? Quapropter etiam altiores mundi partes illustrantur, quando sol sub terra est; inferiores autem et terræ viciniores tunc in nocte sunt. Nihil enim aliud nox est, quam terræ umbra.

23. Cum ergo hæc umbra propter solis magnitudinem turbinata sit, et basin quidem latam habeat, coextentam cum terræ parte quam sol non illuminat, verticem autem qui in acutum desinat, ea quæ supra lunam et altiora sunt hanc umbram etiam secundum longitudinem transcendunt. Quare de nulla stella unquam litteris est proditum, quod in hanc inciderit. Alias enim seipsa splendidior conspecta fuisset; quippe lumina noctu potius C quam interdiu splendidiora conspiciuntur. Quapropter etiam stellæ, si nocte illuni cœlum serenum sit, plus splendoris habent, quam lucente luna. Stellæ proinde universæ supra umbram, quæ ad ipsarum altitudinem non pertingit, feruntur; luna autem cum terræ sit vicina, in conum circa extremitatem incidit, quando solem dimetiens sub ejus circulo ita movetur, ut nec ad boreales, nec ad australes partes vergat.

24. Manifestum **397** autem inde evadit, quod lunæ corpus ad terram valde sit exiguum; siquidem ipsum totum extremitates umbræ et noctis terræ contegere possunt.

25. Et hæc ita demonstrata sint nobis, non quidem lineariter seu geometrice, sed logice. Sintque D eadem corollarium exegeseos in psalmum octavum.

26. Quoniam autem de exaltationibus et dejectionibus et domibus et adversitatibus seu detrimentis [63], quæ habent stellæ erraticæ, prius diximus, duplex sane fuerit exaltatio et dejectio: una quidem inde, quod stellarum erraticarum sphæræ ex parte a terra distantiores, ex parte eidem viciniores sunt (omnes enim et ad sphæram firmamenti et ad se invicem sunt eccentricæ; et alias quidem partes habent altiores, alias autem

[63] Origan. Ephemer. parte I, p. 251.

OCR ABK / FR

humiliores) : altera vero exaltatio et dejectio exinde est, quod Zodiacum inferne commutant. Omnes enim erraticæ stellæ, excepto sole, cum ad boreales, tum ad australes partes, dum tortuose moventur, accedunt.

27. De hac dejectione, et de hac exaltatione opinor astrologos disserendo commemorare, quod aliqua signa sint erraticarum stellarum exaltationes, **398** et alia rursus dejectiones.

28. Quomodo enim alias Taurus esset lunæ exaltatio, nisi quod cum sub ipso constituitur, ad boreales Zodiaco subjectas partes exaltari incipit? Lunaris enim sphæræ medium non est id quod sub Tauro est, ut Taurus esset lunæ exaltatio, quoad sphæram ipsius, quoniam nec quod Cancro subjectum est, lunaris sphæræ est altissimum; sed medium quidem illius est, quod sub Libra est, altissimum vero, quod sub Sagittario. Quemadmodum enim sol cum sub Geminis versatur, suæ sphæræ altissimum occupat : ita luna cum currit sub Sagittario, ipsa quoque sphæræ suæ obtinet altissimum.

29. Sol proinde cum sub medio Zodiaci semper decurrat, ad borealiores et altiores mundi partes accedit, cum sub signis currit borealioribus ; ad australiores autem et inferiores mundi partes descendit, cum australiora [signa percurrit.]

30, 31. Sed et suæ sphæræ altissimum ad borealiora signa habet. Et eapropter sub Ariete versans, duplicem habet exaltationem in Ariete. Nec enim tantum ad altiores mundi partes hinc accedere incipit, sed etiam sphæræ propriæ altiora quærere, atque ad Geminos usque totos **399** in altitudine exaltatur. Quando autem sub Cancro currit, non subit quidem dejectionem ad mundi partes (quippe hæc ex Leone fit), sed tantum a summa altitudine sphæræ propriæ dejici incipit.

32. Quapropter etiam cum propius verticem nostrum sit ex mundi inclinatione, et terræ vicinior, et nobis propinquior quoad perpendiculum fieri incipiat, cumque calidissimum signorum sibi conterminum habeat, Leonem inquam, majorum est æstuum causa, quam cum segmentum Geminis subjectum altissimam suæ sphæræ partem peragrabat. Et ita quidem sol se habet.

33. Cæteræ autem stellæ erraticæ, cum ad australiores partes Zodiaco subjectas moveri incipiunt, dejici dicuntur ; cum autem inde ascendunt, medio permutato, et ad borealiores Zodiaco subjectas partes inclinantur, exaltari dicuntur ; atque signum sub quo ad borealiores partes inclinationem facere incipit planeta, exaltatio illius planetæ dicitur ; sub quo ad australes partes incipit inclinari, hoc dejectio.

34. Atqui signum quod naturæ planetæ est conveniens, domus, quod est autem inconveniens et alienum, adversitas planetæ vocatum est.

**400** 35, 36. Quare solis quidem, qui est cali-

A Πάντες γὰρ οἱ πλάνητες πλὴν τοῦ ἡλίου καὶ τοῖς βορείοις καὶ τοῖς νοτίοις (καὶ) τοῖς ὑπὸ τὸν ζωδιακὸν ἐν τῷ ἑλικοειδῶς κινεῖσθαι προσέρχονται.

κζʹ. Περὶ τούτου τοῦ ταπεινώματος καὶ τούτου τοῦ ὑψώματος οἶμαι τοὺς ἀστρολόγους διαλαμβάνοντας διηγεῖσθαι καὶ ὑψώματα τῶν πλανήτων εἶναί τινα ζώδια καὶ ἄλλα δὴ ταπεινώματα.

κηʹ. Πῶς γὰρ ἂν ἄλλως εἴη ὁ Ταῦρος ὕψωμα τῆς σελήνης, εἰ μὴ ὅτιπερ ὑπ' αὐτὸν γινομένη πρὸς τὰ βορειότερα τὰ ὑπὸ τὸν ζωδιακὸν ὑψοῦσθαι ἄρχεται; Τῆς γὰρ σεληνιακῆς σφαίρας τὸ μέσον οὐκ ἔστι τὸ ὑπὸ τὸν Ταῦρον· ἵν' ὁ Ταῦρος εἴη τῆς σελήνης ὕψωμα κατὰ τὴν σφαῖραν αὐτῆς· ἐπεὶ μηδὲ τὸ ὑπὸ τὸν Καρ-
B κῖνον τῆς σεληνιακῆς σφαίρας τὸ ὑψηλότατον· ἀλλὰ μέσον μὲν ταύτης, τὸ ὑπὸ τὸν Ζυγόν· ὑψηλότατον δὲ τὸ ὑπὸ τὸν Τοξότην. Ὥσπερ γὰρ ὁ ἥλιος ὑπὸ τοὺς Διδύμους γινόμενος τῆς οἰκείας σφαίρας καταλαμβάνει τὸ ὑψηλότατον, οὕτως ἡ σελήνη τὸν Τοξότην ὑποθέουσα τῆς οἰκείας σφαίρας ἔχει καὶ αὕτη τὸ ὑψηλότατον.

κθʹ. Ὁ μὲν οὖν ἥλιος τὸν μέσον ὑποτρέχων ἀεὶ τοῦ ζωδιακοῦ, πρὸς τὰ τοῦ κόσμου βορειότερα καὶ ὑψηλότερα γίνεται, διὰ τῆς τῶν βορειοτέρων ζωδίων ὑποδρομῆς, διὰ δὲ τῆς τῶν νοτιωτέρων πρὸς τὰ νοτιώτερά τε καὶ ταπεινότερα.

λʹ, λαʹ. Ἔχει δὲ καὶ τὸ ὑψηλότατον τῆς σφαίρας αὐτοῦ πρὸς τὰ βορειότερα ζώδια· καὶ διὰ τοῦτο γινόμενος ὑπὸ τὸν Κριὸν, ἔχει διπλοῦν ὕψωμα τὸν Κριόν. Οὐ
C μόνον γὰρ τοῖς ὑψηλοτέροις τοῦ κόσμου μέρεσιν ἐντεῦθεν ἄρχεται προσφοιτᾷν, ἀλλὰ καὶ τὰ τῆς οἰκείας σφαίρας ζητεῖν ὑψηλότερα· καὶ ὕψος ὑψοῦται μέχρι Διδύμων ὅλων. Τὸν δὲ Καρκῖνον ὑποτρέχων, οὐ ποιεῖται μὲν πρὸς τὰ τοῦ κόσμου μέρη ταπείνωσιν (ἐκ Λέοντος γὰρ αὕτη), τῆς δ' οἰκείας σφαίρας ἄρχεται ταπεινοῦσθαι τοῦ ἀκροτάτου ὑψώματος.

λβʹ. Καὶ διὰ τοῦτο καὶ κατὰ κορυφὴν ὢν ἡμῶν ἐκ τῆς τοῦ κόσμου ἐγκλίσεως καὶ προσγειότερος ἀρχόμενος γίνεσθαι, καὶ ἡμῶν ἐγγυτέρω κατὰ κάθετον, καὶ τὸ θερμότατον ἐν ζωδίοις ἔχων ἐγγειτονοῦν, λέγω δὴ τὸν Λέοντα, μειζόνων γίνεται καυμάτων αἴτιος, ἢ ὅτε τὸ ὑπὸ τοὺς Διδύμους περιενόστει τμῆμα, τῆς οἰκείας σφαίρας τὸ ὑψηλότατον. Καὶ ὁ μὲν ἥλιος οὕτως.

D λγʹ. Οἱ δὲ λοιποὶ πλάνητες, πρὸς μὲν τὰ νοτιώτερα ὑπὸ τὸν ζωδιακὸν ἀρχόμενοι φέρεσθαι, λέγοιντ' ἂν ταπεινοῦσθαι· τῇ δ' ἐντεῦθεν ἀνόδῳ μετὰ τὴν τοῦ μέσου παραλλαγὴν πρὸς τὰ ὑπὸ τὸν ζωδιακὸν βορειότερα νεύοντες, λέγοιντ' ἂν ὑψοῦσθαι· καὶ τὸ ζώδιον ὑφ' ὃ τὴν πρὸς τὰ βορειότερα νεῦσιν ὁ πλάνης ἄρχεται ποιεῖσθαι, λέγοιτ' ἂν τοῦ τοιούτου πλάνητος ὕψωμα· τὸ δ' ὑφ' ὃ νεύειν ἄρχεται πρὸς τὰ νότια, τοῦτο ταπείνωμα.

λδʹ. Τὸ μέντοι τῇ φύσει τοῦ πλάνητος οἰκεῖον ζώδιον οἶκος αὐτοῦ τοῦ πλάνητος κέκληται· τὸ δ' ἀνοίκειον καὶ ἀπροσφυὲς ἐναντίωμα.

λεʹ, λϛʹ. Διὸ τοῦ μὲν ἡλίου τοῦ θερμοτάτου τὸ θερ-

OCR ABK / FR

μότατον ζώδιον οἶκον ἔθεντον οἱ ἀστρολόγοι, τὸν Λέοντα· ὕψωμα τὸν Κριόν· ταπείνωμα τὸν Ζυγόν· ἐναντίωμα, τὸν Ὑδροχόον, τὸ τῶν ζωδίων ψυχρότατον. Πρὸς δὲ τὸν ψυχρότατον Κρόνον τοὔμπαλιν πεποιήκασιν, οἶκον αὐτῷ δόντες τὸν Ὑδροχόον· οἶκον ἕτερον τὸν Αἰγόκερων, καὶ αὐτὸν χειμερινὸν ζώδιον καὶ ψυχρόν· ἀλλὰ δὴ καὶ ξηρὸν ἐν τοῖς αὐτοῦ πλείοσι μέρεσιν· ὕψωμα τὸν Ζυγόν· ταπείνωμα τὸν Κριόν· ἐναντίωμα τὸν Λέοντα· Ἐπεὶ δ' ὁ Κρόνος καὶ ἱκανῶς ξηρὸς, δεδώκασιν αὐτῷ καὶ ἕτερον ἐναντίωμα, τὸν Καρκῖνον, ζώδιον ὑγρότατον.

λζ'. Οἶκος Διὸς τοῦ ἐν μεσότητι κράσεως Τοξότης καὶ Ἰχθύες· ὕψωμα Καρκῖνος· ταπείνωμα Αἰγόκερως· ἐναντιώματα Δίδυμοι καὶ Παρθένος.

λη'. Οἶκοι Ἄρεος, τοῦ θερμοῦ καὶ πλέον ξηροῦ, Κριὸς καὶ Σκορπίος· ὕψωμα Αἰγόκερως· ταπείνωμα Καρκῖνος· ἐναντιώματα Ταῦρος καὶ Ζυγός.

λθ'. Οἶκοι Ἀφροδίτης τῆς ἐν μεσότητι κράσεως Ταῦρος καὶ Ζυγός· ὕψωμα Ἰχθύες· ταπείνωμα Παρθένος· ἐναντιώματα Κριὸς καὶ Σκορπίος.

μ'. Οἶκοι Ἑρμοῦ εὐκράτως ἔχοντος Δίδυμοι καὶ Παρθένος· ἡ Παρθένος καὶ ὕψωμα· ταπείνωμα Ἰχθύες, οἱ αὐτοὶ καὶ ἐναντίωμα· ἕτερον ἐναντίωμα Τοξότης.

μα'. Οἶκος σελήνης τῆς ὑγροτάτης Καρκῖνος· ὕψωμα Ταῦρος· ταπείνωμα Σκορπίος· ἐναντίωμα Αἰγόκερως.

μβ'. Πρῶτον ζώδιον ἐαρινὸν ἰσημερινὸν ὁ Κριὸς, τὴν κρᾶσιν θερμόν. Διὸ καὶ οἶκος Ἄρεος ὡς θερμοῦ· τῆς δ' Ἀφροδίτης ἐναντίωμα γνωριζομένης ἐν μεσότητι κράσεως· ᾗ δὴ μεσότητι τὸ θερμὸν ἀντίκειται· καθάπερ καὶ τἄλλα τὰ πόῤῥω μεσότητος. Δεύτερον ζώδιον ὁ Ταῦρος, ἐν μεσότητι γνωριζόμενος κράσεως. Διὸ καὶ τῆς Ἀφροδίτης οἶκος ὁ Ταῦρος· Ἄρεος δ' ἐναντίωμα τὸ τῆς κράσεως μέσον οὐκ ἔχοντος. Τρίτον οἱ Δίδυμοι, τοὐπίπαν εὐκρασίας μεστόν. Διὸ καὶ οἶκός ἐστιν Ἑρμοῦ. Φέρον δὲ τὰ νότια θερμὰ καὶ ξηρὰ κατ' ἐπίτασιν, τοῦ Διός ἐστιν ἐναντίωμα, μεσότητα κράσεως ἔχοντος. Τέταρτον ὁ Καρκῖνος, ζώδιον ὑγρότατον τῆς ὑγροτάτης σελήνης οἶκος· ἐναντίωμα δὲ τοῦ Κρόνου τοῦ σὺν ἐπιτεταμένῃ ψυχρότητι καὶ πολλὴν κεκτημένου ξηρότητα. Πέμπτον ὁ Λέων, τὸ τῶν ὅλων ζωδίων θερμότατον, ἡλίου μὲν οἶκος τοῦ θερμοτάτου, ἐναντίωμα δὲ Κρόνου τοῦ ψυχροτάτου. Ἕκτον ἡ Παρθένος, εὐκράτως ἔχουσα κατὰ μέρη τὰ νότια, καὶ διὰ τοῦτο δεύτερος οἶκος Ἑρμοῦ τυγχάνουσα· κατὰ τἄλλα δὲ μέρη αὕτη καὶ θερμοτέρα τοῦ μετρίου καὶ ὑγροτέρα. Ὅθεν καὶ Διὸς ἐναντίωμα. Ἕβδομον ὁ Ζυγὸς, ζώδιον φθινοπωρινὸν ἰσημερινὸν καὶ ὡς ἐπίπαν εὔκρατον. Ὅθεν Ἀφροδίτης ἕτερος οἶκος, Ἄρεος δ' ἐναντίωμα. Ὄγδοον ὁ Σκορπίος, ζώδιον θερμὸν καὶ ξηρὸν, κἀντεῦθεν Ἄρεος ἕτερος οἶκος· ἐναντίωμα δ' Ἀφροδίτης. Ἔνατον ὁ Τοξότης, μετρίας μετέχων ὑγρότητος, καὶ μετρίας θερμότητος ἐν τοῖς ἐμ-

A dissimus, calidissimum signum astrologi [44] domum assignarunt Leonem : Arietem, exaltationem ; Libram dejectionem ; Aquarium, adversitatem. Vice versa fecerunt in Saturno frigidissimo, cui Aquarium domum tribuerunt ; et aliam domum, Capricornum ; quin et ipse signum hibernum est et frigidum ; quin et siccum pluribus sui partibus. Libram, exaltationem ; Arietem, dejectionem ; Leonem, adversitatem. Et quia vero Saturnus satis siccus est, aliam ipsi quoque adversitatem tribuerunt, Cancrum, qui est signum humidissimum.

37. Domus Jovis in mediocritate temperamenti versantis est Sagittarius et Pisces ; exaltatio, Cancer ; dejectio, Capricornus : adversitates, Gemini et Virgo.

38. Domus Martis qui calidus et plus siccus B est, Aries et Scorpius : exaltatio, Capricornus ; dejectio, Cancer ; adversitates, Taurus et libra.

39. Domus Veneris in mediocritate temperamenti consistentis. Taurus et libra ; exaltatio, Pisces ; dejectio, Virgo ; adversitates, Aries et Scorpius.

40. Domus Mercurii qui bene temperatus est, sunt Gemini et Virgo : Virgo etiam exaltatio. **401** Dejectio, Pisces ; qui et ipsi sunt etiam adversitas ; altera adversitas, Sagittarius.

41. Domus lunæ humidissimæ, Cancer ; exaltati Taurus : dejectio, Scorpius ; adversitas, Capricornus.

42. Primum signum vernale æquinoctiale est Aries, ♈, temperamento calidum [45]. Quapropter etiam domus Martis est, quatenus is est calidus : Ve- C neris detrimentum, ut quam mediocris temperamenti esse constat, cui mediocritati scilicet calidum opponitur : quemadmodum etiam cætera quæ a mediocritate recedunt. Secundum signum est Taurus, ♉, qui mediocris esse temperamenti agnoscitur. Quapropter etiam Veneris domus est : Martis autem, qui temperamenti mediocritate non est præditus, detrimentum. Tertium sunt Gemini, ♊, quod magnam partem bono temperamento refertum est. Quapropter etiam Mercurri domus est. Quia autem australes partes habet calidas et intense siccas, Jovis qui mediocritatem temperamenti habet detrimentum est. Quartum, Cancer, ♋, signum humidissimum, humidissimæ lunæ domus, sed Saturni detrimentum, qui cum intenso frigore D plurimum etiam siccitatis obtinet. **402** Quintum Leo, ♌, universorum signorum calidissimum, calidissimi quidem solis domus, sed frigidissimi Saturni detrimentum. Sextum Virgo, ♍ quæ in partibus australibus temperate se habet, et propterea altera Mercurri domus exsistit. In aliis autem partibus et hæc supra mediocritatem calida est et humidior. Unde etiam Jovis detrimentum est. Septimum est Libra, ♎, signum autumnale æquinoctiale, et fere temperatum. Quare Veneris

[44] Ptol. quadr. I. I, 18, et II, c. 4. Card. in Comm. ibid. Jul. Firm. Astron. I. II, c. 2, 3, 10 ; I. Gaur. Isagoge in Astron. I, c 1, 15 ; tr. II, c. 1 ; tr. III, c. 1. [45] Ptol. quadr. lib. I, c. 23 ; Card. ibid. ; Jul. Firm. I. II, c. 12.

OCR ABK / FR

altera domus, Martis detrimentum est. Octavum est Scorpius, ♏, signum calidum et siccum: et hinc Martis domus altera: Veneris, detrimentum. Nonum est Sagittarius, ♐, qui in anterioribus partibus, quæ antecedentes dicuntur, mediocrem humorem et mediocrem calorem, multum autem boni temperamenti in mediis obtinet. Unde etiam Jovis prior domus est. Quoniam vero posteriores partes quæ consequentes dicuntur, habet igneas, boreas autem siccas et australes humidas: propter hanc inæqualitatem Mercurii detrimentum est. Decimum est Capricornus, ♄, qui partes quidem aliquas humidas, plures autem siccas habet, **403** et in summa a mediocritate recedendo frigidus est. Unde Saturni domus, lunæ autem detrimentum est: ut quæ nullam in frigiditate partem habeat, sed jam etiam a sole per importationem caloris aliquid obtineat, et ab omni siccitate remota sit. Undecimum est Aquarius, ♒, signum frigidissimum, altera quidem Saturni domus, sed solis detrimentum. Duodecimum, Pisces, ♓, qui partes antecedentes, bene temperatas habent: medias autem et australes, humidas quodammodo, unde etiam altera Jovis domus sunt. Quoniam vero reliquæ Piscium partes igneæ et æstuosæ sunt, quoad illas hoc signum Mercurii detrimentum est. Cæterum Arietis character sic etiam pingitur, ♉, et sic Tauri, ♋, et absolute Aquarii, ♒.

προσθεν μέρεσιν ἃ προηγούμενα λέγονται· πολλῆς δ' εὐκρασίας ἐν τοῖς μέσοις. Διὸ καὶ πρῶτος οἶκος Διός. Ἐπεὶ δὲ πυρώδη φέρει τὰ ὄπισθεν, ἅπερ ἑπόμενα λέγονται, ξηρὰ δὲ τὰ βόρεια καὶ τὰ νότια κάθυγρα, διὰ τὴν τοιαύτην ἀνωμαλίαν ἐναντίωμά ἐστιν Ἑρμοῦ. Δέκατον ὁ Αἰγόκερως, τινὰ μὲν ἔχων ἔνυγρα μέρη, τὰ πλείω δὲ ξηρὰ, καὶ τὸ σύμπαν πόῤῥω τοῦ μετρίου ψυχρός· ὅθεν οἶκος τοῦ Κρόνου· τῆς δὲ σελήνης ἐναντίωμα, μηδεμίαν ἐχούσης ἐν ψυχρότητι μοῖραν, ἀλλ' ἤδη καὶ θερμότητός τινος μετεχούσης ἐκ τοῦ ἡλίου κατ' ἐπεισαγωγὴν, πόῤῥω τε πάσης οὔσης ξηρότητος. Ἑνδέκατον ὁ Ὑδροχόος, ζώδιον ψυχρότατον, Κρόνου μὲν ἕτερος οἶκος, ἡλίου δ' ἐναντίωμα. Δωδέκατον οἱ Ἰχθύες, τὰ προηγούμενα μέρη φέροντες εὔκρατα· δίυγρα δέ πως τὰ μέσα τε καὶ νότια, κἀντεῦθεν ἕτερος οἶκος ὄντες Διός. Ἐπεὶ δὲ τἄλλα μέρη τῶν Ἰχθύων πυρώδη τε καὶ καυσώδη, κατὰ ταῦτα (τὸ) τοιοῦτον ζώδιον Ἑρμοῦ ἐστιν ἐναντίωμα. Γράφεται δὲ καὶ οὕτως ὁ τοῦ Κριοῦ χαρακτὴρ, καὶ οὕτως ὁ τοῦ Ταύρου, καὶ ἀπολύτως ὁ τοῦ Ὑδροχόου.

43. Hæc quidem pro nostro in litteris profectu tenui, et perquam exigua liberalium disciplinarum scientia, litterarum et disciplinarum studiosis edita sunt a nobis, qui pro effugienda imperitiæ et hebetudinis reprehensione ad philologiam aliquid conferre nobis proposuimus, **404** quod ratione dignum esset. Quod si vero etiam gratitudo est rationis, quomodo philologi reprehenderint? quin imo potius Deo gratias nobiscum egerint.

μγ'. Ταῦτα πρὸς τὴν ἡμετέραν ἐν λόγοις ἕξιν ἐκτεθειμένα τὴν ἀδρανῆ καὶ ὀλιγίστην ἐν μαθήμασιν εἴδησιν τοῖς φιλολόγοις καὶ φιλομαθέσιν ἐκδέδονται· τοῦ τὴν ἐπ' ἀμαθίᾳ καὶ ἀφυΐᾳ διαδρᾶναι κατάγνωσιν τὸ τῇ φιλολογίᾳ τι συνεισενεγκεῖν προθεμένων ἡμῶν ὡς λόγου ἄξιον. Εἰ δὲ λόγου καὶ ἡ εὐγνωμοσύνη, πῶς ἂν καταγνοῖεν οἱ φιλολόγοι; μᾶλλον μὲν οὖν καὶ χάριν ὁμολογήσαιεν τῷ Θεῷ.

OCR ABK / FR

ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΥΡΟΥ

# ΝΙΚΗΦΟΡΟΥ ΜΟΝΑΧΟΥ

## ΤΟΥ ΒΛΕΜΜΙΔΟΥ

# ΕΞΗΓΗΣΙΣ ΤΟΥ ΨΑΛΤΗΡΙΟΥ.

(Ex tribus codd. Gr. Paris. Reg. 150, 810 et Coislin. 102 nunc primum edita.)

—

Ψαλτήριον κυρίως εἶδος ὀργάνου ἐστὶ μουσικοῦ, ναῦλα παρ' Ἑβραίοις ὀνομαζόμενον, εἴρηται δὲ ἐκ τοῦ ψάλλειν, ὡς ἐκ τοῦ εὔχεσθαι εὐκτήριον, μετηνέχθη δὲ ἡ κλῆσις καὶ ἐκ τῶν βίβλων τῶν ψαλμῶν ἐκ τοῦ τοὺς ψαλμοὺς τηρεῖν αὐτῶν.

Ἅπαντες δὲ οἱ Ψαλμοὶ ποιήματα τοῦ Δαυΐδ· ἀλλὰ τινες αὐτῶν τοῖς υἱοῖς Κορὲ, καὶ τῷ Ἀσὰφ ἕτεροι, καὶ ἄλλοι ἄλλοις ἐδίδοντο πρὸς ψαλμῳδίαν. Ἐξελέξατο γὰρ ὁ Δαυῒδ ἄνδρας τινὰς ἐκ φυλῆς Λευΐ, καὶ ἐπεκλήρωσεν αὐτοὺς εἰς τὸ ὑμνεῖν τὸν Θεὸν ἐν διαφόροις ὀργάνοις μουσικοῖς. Τούτων χοράρχας καὶ ἀρχῳδοὺς κατεστήσατο τοὺς υἱοὺς Κορὲ, τὸν Ἀσὰφ τὸν Ἰδιθοὺν καὶ λοιπούς. Ἐν συμφωνίᾳ γοῦν ἐψαλμῴδουν ἅπαντες ὁμοῦ τοὺς Ψαλμοὺς προεξάρχοντος τοῦ Δαυΐδ· ὅτε δὲ τινι χοράρχῃ ψαλμὸς ἐξεδίδοτο πρὸς ψαλμῳδίαν προεξῆρχεν ἐκεῖνος, τοῦ Δαυῒδ εἰκονίζων τὸ πρόσωπον. Ὅθεν ἔν τισι ψαλμοῖς ἐπιγράφονται τὰ ὀνόματα των χοραρχῶν οἷς ἐκδέδονται οἱ τοιοῦτοι ψαλμοὶ καὶ οἳ προεξῆρχον ἐν τῇ ψαλμῳδήσει, τότε καὶ τὸν τόπον ἐτήρουν τοῦ Δαυΐδ· ὥσπερ τὸ τοῦ Δαυῒδ ὄνομα μόνον ἐκφέρεται κατὰ τὰς ἐπιγραφὰς ἐκείνων δὴ τῶν χοραρχῶν οὓς αὐτὸς δι' ἑαυτοῦ Δαυῒδ ὡς ἀρχῳδοὺς....... δησε...... τινὲς δὲ τῶν ψαλμῶν..... οὐκ εἰς ὄνομα ἑνὸς ἔστη..... τινὲς δὲ καὶ ἀνώνυμοι, διότι εἰς τὸν κύριον εἴρηται. Ἄλλοι δὲ ἀλληλούϊα φέρουσι τὸ ἐπίγραμμα, διὰ τὸ εἶναι αὐτοὺς ὕμνους καὶ εὐχαριστίαν πρὸς τὸν Θεόν. Τὸ γὰρ ἀλληλούϊα, Αἰνεῖτε τὸν ὄντα, ἐστὶ μεθερμηνευόμενον.

Ψαλτήριον μὲν οὖν ἡ βίβλος λέγεται τῶν Ψαλμῶν, ψαλμὸς δὲ αὐτὸ τὸ ποίημα καὶ τὸ μέλος αὐτοῦ· ψαλμῳδὸς δὲ ὁ ποιητὴς τούτων· ψαλτῳδὸς δὲ ὁ ψάλλων τοῦτο μουσικῶς. Ὁ ψαλτὸς δὲ ὁ ᾀδόμενος Θεός· τὸ δὲ διάψαλμα ἢ μεταβολὴν ἂν σημαίνῃ νοήματος ἢ μέλους ἐναλλαγὴν ἢ ἀναβολήν τινα τοῦ κρούματος· ἢ μᾶλλον ἀσχολίαν τινὰ τοῦ ψαλμῳδοῦ καὶ ὑπηρέμησιν ἐν τῷ μεταξὺ τῆς ψαλμῳδίας συμβαίνουσαν, ὡς ἐγγινομένης τηνικαῦτα τῇ ψαλμῳδίᾳ καινοτέρας τινὸς παρὰ τοῦ ἁγίου Πνεύματος ἐλλάμψεως καὶ μνήσεως. Τινὲς οὖν ἀντὶ τοῦ διαψάλματος, τὸ ἀεὶ διαγράφουσιν ἐν τούτοις τοῖς διαλείμμασιν ὡς ἂν ἐντεῦθεν δηλώσωσιν ἀδιάλειπτον εἶναι τοῦ παναγίου Πνεύματος τὴν ἐπίπνοιαν, κἂν ὁ λόγος ἐν διαλείμμασιν ᾖν ἀπασχολουμένου τοῦ ψαλμῳδοῦ πρὸς τὴν τοῦ Πνεύματος καινοτέραν ὑπήχησιν, καὶ τὸ μέλος διὰ τοῦτο καταστιγάζοντος· καὶ ἁπλῶς εἰπεῖν, τὸ διάψαλμα οὐδὲν ἕτερον σημαίνει ὁλοσχερῶς ἢ διάλειμμα ψαλμῳδίας. Δι' εἴδησιν οὖν λεπτομερεστέραν παρεσημειοῦντο πάλαι καὶ τὰ τοιαῦτα.

Διενήνοχε δὲ ψαλμὸς καὶ ᾠδή, καὶ ψαλμὸς μὲν κυρίως ἐστὶν ὁ μετὰ τοῦ ὀργανικοῦ ψαλτηρίου ἐμμελῶς ἐκφωνούμενος· ᾠδὴ δὲ φωνὴ μουσικὴ ἐναρμόνιος μόνῳ ᾀδομένη τῷ στόματι. Λέγεται δὲ καὶ ᾠδὴ ψαλμός. Καὶ ὁ ψαλμὸς ᾠδὴ καταχρηστικώτερον· ἀρχαιοτέρα δὲ ἡ ᾠδή, καὶ γὰρ Μωϋσῆς ἤρξατο ταύτης, καὶ διήρκεσεν ἕως Δαυΐδ. Δαυῒδ δὲ πρῶτος ἤρξατο τῶν ψαλμῶν· καὶ πρώην ψαλτήριον ὄργανον, ἀλλ' ἀτέχνως καὶ ἰδιωτικὸν καὶ πρὸς μόνα ψάλλοντα τὰ ποίμνια. Δαυῒδ δὲ τοῦτο σοφώτερον κατεσκεύασε καὶ τὴν χρῆσιν αὐτοῦ μεθήρμοσε πρὸς Θεόν. Τῷ Δαυῒδ δὲ ψαλμῶν ὑποληπτέον, ὅτε προτάσσεται μὲν ἡ δι' ὀργάνου μουσική, ἕπεται δὲ ἡ διὰ στόματος φωνή· ψαλμὸν δὲ ᾠδὰς ὅτε τοὔμπαλιν γίνεται. Ῥητέον δὲ καὶ περὶ ὕμνου καὶ αἴνου καὶ ἐξομολογήσεως προσευχῆς καὶ εὐχῆς καὶ ἀναβαθμοῦ.

Ὕμνος μὲν οὖν λέγεται ἡ ἐπιτεταμένη δοξολογία· αἶνος δὲ ὁ σύντομος ἔπαινος· ἐξομολόγησις δὲ ἡ κατ' ἐπίτασιν ὁμολογία ἢ καλῶν ὧν πεπόνθαμεν, ἢ κακῶν ὧν πεπράχαμεν. Καὶ προσευχὴ μὲν ἡ δέησις, εὐχὴ δὲ ἡ ὑπόσχεσις, παραλαμβάνεται δὲ που καὶ ἡ εὐχὴ ἀντὶ τῆς δεήσεως. Πάντα δὲ λέγονται πρὸς Θεόν. Ὁ ἀναβαθμὸς δὲ καθ' ἱστορίαν μὲν δηλοῖ τὴν ἐκ Βαβυλῶνος ἄνοδον πρὸς τὴν Ἱερουσαλήμ, χθαμαλωτέρα γὰρ ἡ Βαβυλών, ἡ δὲ Ἱερουσαλὴμ ὑψηλότερα τὴν θέαν θέσιν ἐστίν. Ἀναγωγικῶς δὲ σημαίνει τὴν πρὸς θεωρίαν ἀνάβασιν ὁ ἀναβαθμὸς, καὶ τὴν ἐκ τῆς γεηρᾶς πολιτείαν καὶ ἐμπαθοῦς πρὸς τὴν ἀπηλλαγμένην διαγωγὴν καὶ οὐράνιον. Ψαλμὸς δὲ καὶ ᾠδὴ καὶ προσευχὴ καὶ εἴ τι ἕτερον ἐν τοῖς ποιήμασι τοῦ Δαυῒδ τὰ πάντα κοινότερον καλοῦνται ψαλμοί.



OCR ABK/FR

Τῶν ψαλτῳδούντων δὲ χορὸν ἕκαστον ἐκ δύο καὶ ἑβδομήκοντα συνεστάσθαι φησὶ ψαλτῳδῶν, οἳ πάντες σάλπιγγι καὶ τυμπάνῳ μελῳδοῦντες ἦσαν, καὶ λοιποῖς ὀργάνων εἴδεσι μουσικῶν. Μόνος δὲ ὁ Δαυῒδ τὸ βασιλικὸν κατεῖχεν ὄργανον τὸ ψαλτήριον. Σάλπιγγες μὲν οὖν καὶ σύριγγες ἐμπνευσταὶ, λύραι δὲ καὶ κιθάρα ἔντατα, κύμβαλα δὲ καὶ τύμπανα κρουστά. Τὸ ψαλτήριον δὲ τῶν ἐντατῶν μὲν ἦν πλὴν ὄρθιον, καὶ ἄνωθεν εἶχε τῶν φθογγῶν τὰς ἀφορμάς· δέκα γὰρ κόλαβοι, τουτέστι πασσαλίσκοι, περὶ τὸν πῆχυν τοῦ ψαλτηρίου στρεφόμενοι ἐνέτεινόν τε καὶ ἐχάλων τὰς χορδὰς πρός τε τὴν τῆς ἁρμονίας ῥυθμὸν καὶ τοῦ μεταχειριζομένου τὸ βούλημα, δέκα γε οὔσας καὶ αὐτὰς καὶ ἀντιφθόγγους ἀλλήλοις. Καὶ ἡ μὲν δεξιὰ χεὶρ κατεῖχε τὸ πλῆκτρον, ἡ δ' ἀριστερὰ τῶν χορδῶν ἄνωθεν ἐφαπτομένη κατὰ διαστάσεις καὶ συχνὰ τοῖς δακτύλοις μετατιθεῖσα, βαρὺν καὶ ὀξὺν ἢ κεκραμένον φθόγγον εἰργάζετο, πρὸς τὸ τοῦ ψαλτῳδοῦντος μελῴδημα· διδασκομένων ἐντεῦθεν ἡμῶν ὡς δεῖ καὶ ἡμᾶς ὥσπερ ἐξ ἀντιφθόγγων δέκα χορδῶν τῶν ε' δυνάμεων τῆς ψυχῆς, καὶ τῶν τοῦ σώματος αἰσθήσεων, ἐναρμόνιον μέλος ἀνακρούεσθαι τῷ Θεῷ, καὶ πᾶν ἔργον καὶ νόημα ἄνωθεν ἔχειν παρὰ Θεοῦ, καὶ ὅλους πρὸς αὐτὸν ἀποτείνεσθαι.

Τῶν ψαλμῶν δὲ ἡ τάξις οὐ γέγονε καθὼς ἐξ ἀρχῆς ἐποιήθησαν, ἀλλὰ καθ' ὥσπερ εὑρέθησαν. Τῶν γὰρ Ἰουδαίων καταφρονησάντων Θεοῦ, λήθην τε λαβόντων τῶν πατρίων ἐθῶν, καὶ πολὺ μάλιστα τῶν γραφῶν, εἶτα καὶ πυκνῶν αἰχμαλωσιῶν γεγενημένων κατὰ καιροὺς, παρεῤῥύησαν αἱ βίβλοι καὶ διεφθάρησαν, ὀψὲ δέ ποτε τὴν περὶ τὴν αὐτῶν συναγωγὴν ὁ φιλομαθὴς ὁ φιλοπονησάμενος Ἔσδρας συνήθροισε καὶ τρισχιλίους ψαλμοὺς ἐπιθεὶς, αὐτοῖς καὶ τάξιν θέσεως (al. τὸ συνθέσεως) πρὸς τὸν καιρὸν τῆς ἑκάστου τούτων εὑρέσεως. Ὕστερον δὲ ὁ βασιλεὺς Ἐζεκίας τὴν τοιαύτην συναγωγὴν ἐπελθὼν, τοὺς πολλοὺς μὲν ἠθέτησε τῶν ψαλμῶν· τοὺς ρ' δὲ καὶ ν' μόνον ἐνέκρινε μὴ ἐναλλάξας τὴν τάξιν τῆς θέσεως, ἀλλὰ τοὺς πρώτους τηρήσας καὶ αὖθις πρώτους, καὶ εἰς τὴν ἑξῆς χώραν ἐάσας τοὺς μετ' αὐτούς. Τὴν τοιαύτην δὲ διάκρισιν Ἐζεκίας ἐποίησε καὶ ἐπὶ τοῦ Σολομῶντος συγγράμματι· τρία γὰρ ἐκλεξάμενος καὶ μόνα, τὰς Παροιμίας, τὸν Ἐκκλησιαστὴν, καὶ τὸ Ἆσμα τῶν ᾀσμάτων, τἄλλα πάντα ἀπεδοκίμασεν, ᾠδὰς διαφόρους καὶ περὶ φυτῶν καὶ λίθων καὶ τῆς αὐτῶν δυνάμεως παραδόσεις πολυειδεῖς.

Μετηνέχθησαν δὲ οἱ Ψαλμοὶ καὶ ἡ ἄλλη παλαιὰ Γραφὴ ἐκ τῆς Ἑβραΐδος διαλέκτου πρὸς τὴν Ἑλλάδα διάλεκτον, πρῶτον μὲν ἐπὶ τοῦ μετ' Ἀλέξανδρον τὸν Φιλίππου τῆς Αἰγύπτου ἡγεμονεύσαντος Πτολεμαίου τοῦ Φιλαδέλφου ὑπὸ σοφῶν ἀνδρῶν ο' παραδόξως συμφωνησάντων τὴν μεθερμήνευσιν καὶ οὐκ ἄλλοθεν ἢ πάντως ἐκ τῆς τοῦ παναγίου Πνεύματος ὑφηγήσεως. Κατὰ δύο γὰρ, ὥς φησιν Ἰουδαῖος ὁ Φίλων· ὡς δ' ὁ θεῖος ἀποφαίνεται Ἰουστῖνος καθ' ἕνα διαιρεθέντες πᾶσαν τὴν παλαιὰν Γραφὴν ἰδίως μεθηρμήνευσαν. Μήτε κατὰ τὴν ἔννοιαν, μήτε κατὰ τὴν λέξιν ἀλλήλων διενεγκόντων. Γέγονε δὲ ἡ τοιαύτη μεθερμήνευσις πρὸ ἑνὸς καὶ τριακοσίων ἐνιαυ-

A τῶν τῆς τοῦ Κυρίου ἐνανθρωπήσεως. Μετὰ δὲ χρόνους γ' καὶ λ' τῆς τοιαύτης ἐκδόσεως ὁ Σινωπεὺς Ἀκύλας ἰδίαν ἐποιήσατο ἔκδοσιν ἐπὶ αὐτοκράτορος Ῥωμαίων Ἀδριανοῦ τοῦ λεπρωθέντος, μεθ' ἣν ἡ τοῦ ἐκ Σαμαρείας Συμμάχου γέγονεν ἔκδοσις ἐπὶ βασιλέως Σεβήρου τῆς τοῦ Ἀκύλα ἐκδόσεως ὑστερίζουσα χρόνοις ς' καὶ ν'. Ταύτην προέλαβεν ἡ τοῦ Ἐφεσίου Θεοδοτίωνος ἐπὶ βασιλέως γεγονυῖα Κομόδου· εὑρέθησαν δὲ καὶ αἱ λοιπαὶ δύο ἐκδόσεις ἀνώνυμοι, ἡ μὲν ἐπὶ Καρακάλου ἡγεμόνος Ῥωμαίων ἐν Ἱεριχῷ κεκρυμμένη ἐν πίθῳ, ἡ δὲ ἐν Νικοπόλει κατὰ τὸ Ἄκτιον ἐπὶ Ἀλεξάνδρου τοῦ τῆς Μαμαίας. Ὕστερον δὲ ὁ μέγας ἀσκητὴς καὶ μάρτυς Λουκιανὸς φιλοπόνως ἐπελθὼν τὰς βίβλους τῶν Ἰουδαίων, ἐκεῖθεν αὐτὸς εἰς τὴν Ἑλληνίδα διάλεκτον τὴν πα-
B λαιὰν Γραφὴν μετενήνοχε. Καὶ συμφωνήσας εὑρέθη τοῖς ἑβδομήκοντα. Τῶν λοιπῶν ἐκδόσεων κεκτημένων πολλὰ τὰ διεφθορότα. Γέγονε δὲ τοῦ θαυμασίου Λουκιανοῦ ἡ ἔκδοσις ἐπὶ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ τῶν τυράννων· ἥτις εὑρέθη παρ' Ἰουδαίοις ἐν Νικομηδείᾳ πυργίσκῳ κεκρυμμένη κεκονιαμένῳ τοῦ μεγάλου Κωνσταντίνου τοῦ τότε τὴν βασιλείαν διέποντος.

Φέρει δὲ ἡμῖν ἀσάφειαν ἡ παλαιγενὴς ἁγία Γραφὴ κατὰ δύο τὰ αἴτια, ὅτι τε συμβολικώτερον λέγει περὶ Χριστοῦ, καὶ ἁπλῶς τῶν περὶ τῆς νέας χάριτος τὰ πλεῖω συνεσκιασμένως ὑποδηλοῖ διὰ τὴν τῶν ἀκροατῶν ἀπείθειαν καὶ σκληρότητα, καὶ ἵνα μὴ διὰ τὴν ἑαυτῶν κακοτροπίαν ἀφανισθῶσιν αἱ βίβλοι τέλεον, καὶ ὅτι τῷ μεταγλωττισμῷ τῷ διαλέκτων συνεισφέρεταί πως τὸ ἀσαφὲς, ὡς ἄλλης γλώττης ἄλλα
C τινὰ κεκτημένης ἰδιώματα, καὶ ταῖς ἑτέραις γλώτταις ἀκοινώνητα καὶ ἀμέθεκτα.

Ὁ μὲν οὖν θεόληπτος βασιλεὺς καὶ προφήτης Δαυῒδ, καθὼς ἐμυεῖτο παρὰ τοῦ Πνεύματος, ἐξήγγελλε διὰ τῶν ψαλμῶν, πρός τε τὰς κατ' αὐτῆς ποικίλας περιπετείας τούτους ἐφήρμοζε. Δυνάμεθα δὲ καὶ ἡμεῖς μεθαρμόζειν ἑαυτοῖς τοὺς τοιούτους ψαλμοὺς, ἐχθροὺς μὲν Χριστοῦ νοοῦντες τοὺς ἐχθροὺς τῶν Χριστιανῶν δαίμονας· Χριστὸν δὲ καὶ Δαυῒδ καὶ βασιλέα τὸν καθ' ἕκαστον ἡμῶν. Ὥσπερ γὰρ ἐκεῖνος ἐχρίσθη τῷ ἐλαίῳ τῆς ἀρχῆς εἰς βασιλείαν, οὕτω καὶ ἡμεῖς τῷ ἐλαίῳ τοῦ βαπτίσματος εἰς βασιλείαν ἐχρίσθημεν τὴν ἐν οὐρανοῖς. Καὶ πάλιν Σαοὺλ μὲν καὶ Ἀβεσσαλὼμ καὶ εἴ τις τύραννος αὐτὸν ἐτύπου τὸν διάβολον, ἐπιβούλους δὲ καὶ θλί-
D βοντας καὶ καταδιώκοντας, καὶ ὅσα τοιαῦτα, τὰ δὲ μὴ προσαρμόζοντα τῶν ῥητῶν. καὶ ταῦτα ἐκφωνοῦμεν ἁπλῶς ὡς φωνὰς τοῦ ἁγίου Πνεύματος, διὰ τούτων ἁγιάζοντος δὲ ἑαυτούς.

Πολλὰς δὲ τῷ ὄντι μεταβολὰς ὁ θεῖος ἔσχε Δαυΐδ· ποτὲ μὲν ἔφευγε πολεμίους, ποτὲ δὲ ἄλλαις περιέπιπτε συμφοραῖς· ποτὲ δ' αὖ θυμηρεστέραν εἶχε ζωήν. Καὶ νῦν μὲν ὥδευε τὴν θείαν ὁδὸν, νυνὶ δὲ ταύτην προσέπταιεν ἅπαξ ἅπαντα συνελὼν ἤθροισεν ἐν τῷ ριη' ψαλμῷ, ἐν ᾧ μέμνηται νόμου καὶ ἐντολῶν καὶ μαρτυρίων, κριμάτων τε καὶ δικαιωμάτων.

Δεῖ οὖν εἰδέναι ὅτι ὁ νόμος μὲν κυρίως ἐστὶν ὁ καθόλου τῶν ἐντολῶν περιεκτικὸς, ὡς τό « Ὁ νό-

OCR ABK / FR

μος διὰ Μωσέως ἐδόθη, » ἐντολαὶ δὲ αἱ κατὰ μέρος· οἷον τὸ, « Οὐ φονεύσεις. » Μαρτύριον δὲ ὅπερ ὁ νομοθέτης παρεγγυᾶται τοῖς ἀκούουσι μετὰ διαμαρτυρίου τινός· ὡς καὶ ὁ Μωσῆς ὅταν λέγῃ πρὸς τὸν λαόν· « Ἐὰν καὶ τὰ καὶ τὰ ποιήσητε, διαμαρτύρομαι ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν ὅτι ἀπωλείᾳ ἀπολεῖσθε. » Καὶ κρίμα μὲν ὅπερ τοῦ Θεοῦ κρίναντος ἐγράφη καθάπερ ἐπὶ τοῦ βλασφημήσαντος τὸ φοβερὸν αὐτοῦ ὄνομα. Μωσῆς γὰρ ἐπὶ τὸν Θεὸν τὴν κρίσιν ἀνέθηκε. Τοῦ δὲ κελεύσαντος ἐκεῖνον λιθοβοληθῆναι, κρίμα τοῦτο καὶ ὅρος ἐγεγόνει κατὰ βλασφήμου παντός. Δικαιώματα δὲ τὰ τοιαῦτα προστάγματα λέγονται· οἷον ἐὰν κτήσῃς παίδων Ἑβραίων ἓξ ἔτη δουλεύσῃ σοι· δικαίως γὰρ ἐντεῦθεν τῷ παιδὶ Ἰουδαίῳ μὴ περαιτέρω δουλεύειν. Ἡ μὲν οὖν διαίρεσις ὧν διελάβομεν αὕτη· τίθενται δὲ τὰ ὀνόματα καὶ ἀδιαφόρως ἐπὶ πάντων τῶν τοῦ Θεοῦ ἐνταλμάτων.

Χρὴ δὲ πανταχοῦ τῶν Ψαλμῶν ταῖς μὲν ἀραῖς κατὰ δαιμόνων κεχρῆσθαι, οὗτοι γὰρ διεγείρουσι καὶ τοὺς πολεμοῦντας ἀνθρώπους ἡμῖν· τοῖς ὀνείδεσι δὲ κατ' αὐτῶν τῶν ἡμῖν ἐπιβουλευόντων ἀνθρώπων· τὰ κατορθώματα δὲ κατὰ πρόσωπον τοῦ Δαυῒδ ἀπαγγέλλειν κινηθῆναι πρὸς μίμησιν. Ἐπεὶ καὶ Δαυῒδ ἐν οἷς ὑπὲρ ἑαυτοῦ φαίνεται διηγούμενος, οὐ μεγαλαυχῶν ταῦτά φησιν, ἀλλ' ἐκ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος ἡμᾶς παιδεύει τὰ δέοντα. Καὶ ὅτε δὲ ἀνθρώπων κατεύχεται, προῤῥήσεις ποιεῖται μᾶλλον διὰ τοῦ κατευκτικοῦ τρόπου τοῦ ἐπισυμβησομένων αὐτοῖς.

Ἰστέον δὲ ὅτι πολλαῖς ἐναλλαγαῖς ἐντυχεῖν κατὰ τὴν παροῦσαν βίβλον, καὶ περιφράσεσι καὶ μεταφοραῖς, καὶ ἀδιαφορίαις τῶν συντάξεων καὶ συνδέσμων πλεονασμοῖς, καὶ μάλιστα τοῦ, καὶ, καὶ τοῦ ὅτι καὶ τοῦ γὰρ καὶ λέξεων καταχρήσεσι καὶ ἀντιγρυνίαις καὶ ἐκ παραλλήλων τῶν αὐτῶν ἀπαγγελίαις, εἴτουν ταυτολογίαις, καὶ ἀπὸ κοινοῦ χρήσεσι, καὶ θελείαις παραλήψεσι, καινοπρεπέσι τε διαφόροις σχηματισμοῖς καὶ προσώπων ἐναλλαγαῖς, ὡς ποτὲ μὲν ὑπὲρ τούτου, ποτὲ δὲ ὑπὲρ ἐκείνου λέγειν καὶ μεταπηδᾷν, καὶ τοῦτο μάλιστα τεκμήριόν ἐστιν, ὅτι καθάπερ ὄργανον ὁ προφήτης, ὅπερ ἐνηχεῖτο παρὰ τοῦ Πνεύματος, ταῦτα καὶ ἀπεφθέγγετο. Σύνηθες δὲ τῇ Ἑβραΐδι διαλέκτῳ τὸ συζευγνύειν τοῖς ἄρθροις τὰς ἀντωνυμίας ὡς τὸ, « Μακάριος οὗ ὁ Ἰακὼβ βοηθὸς αὐτοῦ, καὶ τὸ τοῖς ὀνόμασιν ἀντωνυμίαν πολλάκις ἐπιφέρειν, ὡς, « Τὸν καταλαλοῦντα λάθρα τὸν πλησίον αὐτοῦ τοῦτον ἐξεδίωκον. » Ἀλλὰ καὶ ὑπερβατοῖς χρῆσθαι πολλάκις καὶ ἀντιπτώσεσι, καὶ ἀντεγκλίσεσι, καὶ μᾶλλον τοῖς ὁριστικοῖς μέλλουσιν ἀντὶ εὐκτικῶν, καὶ τοῖς εὐκτικοῖς πάλιν μελλόντων ὁριστικῶν τοῖς παρῳχημένοις ἀντὶ μελλόντων, τοῖς μέλλουσιν ἀντὶ παρῳχημένων, ἐπιφέρειν τε τοῖς ἑνικοῖς προσώποις πληθυντικά· οἷον εἶπεν· « Ἄφρων ἐν καρδίᾳ μὴ εἶναι Θεόν. Διεφθάρησαν καὶ ἐβδελύχθησαν οἱ ὑπολαμβάνοντες δηλαδὴ μὴ εἶναι Θεόν. » Ἀλλὰ καὶ ἐναλλὰξ τοῖς πληθυντικοῖς ἐπάγει ἑνικά· οἷον, « Ἐκ πάντων τῶν διωκόντων με ῥῦσαί με. Μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν

A μου. » Ὁ διώκων με δηλονότι· χρῆσθαι δὲ καὶ προθέσει ἀντὶ προθέσεως, καὶ συνδέσμοις ἀντὶ συνδέσμων. ὅλως τε περιττὰς τιθέναι προθέσεις. οἷον· « Ἐν τῷ ἡλίῳ ἔθετο σκήνωμα αὐτοῦ· » ἀντὶ τοῦ, Ἐν τῷ ἡλίῳ ἔθετο τὴν κατοικίαν αὐτόθι, ἢ ἐν τῷ ὕψει· τὸ γὰρ αὐτοῦ ἀντὶ τοῦ αὐτόθι ἐστὶν ἐνταῦθα ἐπιῤῥηματικῶς· καὶ πάλιν· « Μὴ συνελκύσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου· » ἀντὶ τοῦ Μὴ ἑλκύσῃς· καὶ, « Εἰ ἀνταπέδωκα. ἀντὶ τοῦ, Ἔδωκα, ἁπλῶς. Ἰδίωμα τῆς παλαιᾶς Γραφῆς καὶ τὸ παραλαμβάνειν κατ' εὐθεῖαν τὸ ὄνομα δι' ἐνθύμησιν, καὶ τὸ τὴν πλαγίαν ἐπιφέρειν ἀντωνυμίαν, καὶ οὕτω δηλοῦν τὸ προκείμενον· οἷον « ὁ Θεὸς ἄμωμος ἡ ὁδὸς αὐτοῦ· » καὶ, Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ· » συνάπτει δὲ καὶ τὴν εἰς πρόθεσιν αἰτιατικῇ, καὶ
B χρῆσθαι ἀντὶ μόνης εὐθείας· ὡς τὸ « Γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστήν· ἀντὶ τοῦ, Θεὸς ὑπερασπιστής. Ἀλλὰ καὶ τὴν ἐς πρόθεσιν δοτικῇ καὶ χρῆσθαι ἀντὶ αἰτιατικῆς· ὡς ἐν Εὐαγγελίοις τὸ, « Ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοί, » ἀντὶ τοῦ, ἐμέ· ἐν δὲ τοῖς Ψαλμοῖς· ὡς τὸ, « Ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει. » τουτέστι τὴν ἐξολόθρευσιν καὶ ἀπώλειαν τῶν ἁμαρτωλῶν θεάσ..... Ἑβραϊκόν ἐστι καὶ τὸ τοὺς ἀνθρώπους υἱοὺς ἀνθρώπων ὀνομάζειν· καὶ τὰς χώρας πάλιν θυγατέρας τῶν τοιούτων χωρῶν· ὡς τὸ, « Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; » ἀντὶ τοῦ, Ὦ ἄνθρωποι, μέχρι τίνος ἔσεσθε φρονοῦντες τὰ γήϊα; καὶ ὡς τὸ, « Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος. ἀντὶ τοῦ, Ὦ Βαβυλὼν ἀθλία· διὰ τὰ συμβησόμενά σοι δηλονότι κακὰ τῆς τοιαύτης διαλέκτου. Καὶ τὸ πολλάκις τὸ ῥῆμα μεταλαμβάνειν ὄνομα·
C ὡς τὸ, « Ἐπήλπισας εἰς τὴν ἐλπίδα· » οἷον, Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου ὧν ἐπήλπισάς με. Αὕτη με παρεκάλεσεν, αὕτη δηλαδὴ ἡ ἐλπίς. Καὶ πάλιν τὸ ἐμνήσθην ἀντὶ τοῦ μνήμη, οἷον ἐμνήσθην, ἐν νυκτὶ τοῦ ὀνόματός σου αὕτη ἐγενήθη μοι, αὕτη δηλονότι ἡ μνήμη. Καὶ ἁπλῶς εἰπεῖν πολλὰς ἰδιοτροπίας ὁ τῆς Ἰουδαϊκῆς Γραφῆς κέκτηται χαρακτήρ. Χρὴ γοῦν τοῦτο φέροντας ἡμᾶς κατὰ νοῦν μὴ ζητεῖν ἐν ταύτῃ τὸν Ἑλληνικὸν ἐξακριβασμόν.

Ἡ τῶν Ψαλμῶν ἐξήγησις πλουσία καὶ θαυμασίη παρὰ τῶν ποιησαμένων αὐτὴν ἐκτετέλεσται, καὶ ὁ φιλόπονος ἔχοι ἂν ἐξ αὐτῆς τῶν ψαλμικῶν νοημάτων ἀνενδεῶς μετασχεῖν· ἐπεὶ δέ τινες μετὰ τῆς πλατυτέρας εἰδήσεως τὴν συνεπτυγμένην ὡς πρόχειρον ἀποδέχονται, καὶ μᾶλλον εἰ συνᾴδει τῇ σφῶν
D αὐτῶν προσευχῇ διὰ τοῦτο τοῖς τοῦ Θεοῦ τοῦ ὄντος ἡμεῖς χαριζόμενοι καὶ τὴν τῶν ἡμῖν παιδαγωγουμένων οὐκ ἀποπέμποντες αἴτησιν, πρὸς τὸν τοιοῦτον σκοπὸν ἀπείδομεν. Καὶ μὲν σαφηνείας ὡς οἷόν τε καὶ βραχυλογίας ὑπόμνησιν μερικὴν ἔν τισι τῶν ψαλμῶν ποιήσασθαι προεθέμεθα τὰ πολλὰ μὲν ἐκ τῆς τῶν πρὸ ἡμῶν ἐξηγήσεως τῆς ἀφθονωτάτης ἐρανιζόμενοι, σπανίως δὲ καὶ ἡμέτερά τινα πενιχρὰ συντιθέμενοι. Καὶ ὅ γε τὴν ἀρχαιοτέραν ἐξήγησιν ἐπελθὼν, λυσιτελὲς δὲ τοῦτο καὶ χρησιμώτατα εἴσεται πάντως καὶ εἴ τι που καινότερον παρ' ἡμῶν εἰσενήνεκται.

## ΕΙΣ ΤΟΝ Α' ΨΑΛΜΟΝ.

Ὁ πρῶτος ψαλμὸς ἠθικός ἐστι καὶ δογματικός·

OCR ABK / FR

ἠθικὸς μὲν ὡς σεμνύνων τοὺς ἀγαθοὺς, κἀντεῦθεν εἰς ἀρετὴν προτρεπόμενος, τοὺς πονηροὺς δὲ φαυλίζων, κἀκ τούτου πείθων τῆς κακίας ἀναχωρεῖν· δογματικὸς δὲ διότι περὶ ἀναστάσεως διαγορεύει, καὶ κρίσεως, οὐχ ὡς δ', « Ἀνὴρ ἐν βουλῇ τῶν ἀσεβῶν οὐκ ἐπορεύθη, » καὶ μέχρι τούτου πέφθακε μόνου μακάριός ἐστιν, ἀλλ' ὁ καὶ τοῖς ἄλλοις περιστοιχιζόμενος ἀγαθοῖς. Τοιαύτη γὰρ ἡ πᾶσα τοῦ λόγου πρότασις ὁ ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν, ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτὸς, μακάριός ἐστιν. Ἐπεὶ δὲ χρὴ πρῶτον ἐκκλίνειν ἀπὸ κακοῦ καὶ οὕτω ποιεῖν τὸ ἀγαθόν· χείριστον δὲ πάντων τῶν κακῶν ἡ ἀσέβεια, καθὼς ὑπέρτατον τῶν ὅλων ἀγαθῶν ἡ εὐσέβεια, μακαριστοῦ τίθησιν ἀρχὴν, τὴν τῆς ἀσεβείας ἀποτροπήν· μακάριος μὲν οὖν κυρίως ὁ Θεὸς ὁ φύσει ἀκήρατος καὶ ἀνώλεθρος. Τοῦτο γὰρ δηλοῖ τὸ, « Μακάριος ὁ ἀεὶ ὢν, καὶ ἀγαθὸς ὤν· « τὸ γὰρ κακὸν οὐκ ἔστιν ὄν· καὶ καθόσον τις ἐν τῷ κακῷ γίνεται, κατὰ τοσοῦτον ἐκπίπτει τοῦ ὄντος. Καθόσον δ' αὖ ἐν τῷ ἀγαθῷ τίς ἐστιν, κατὰ τοσοῦτον μετέχει τοῦ ὄντος, καὶ τῷ ἀκηράτῳ καὶ ἀνωλέθρῳ πλησιάζων εὑρίσκεται. Διὸ καὶ ἐν ἀνθρώποις μακάριος ὁ διηνεκέσιν ἀγαθοῖς ἀδρυνούμενος, οὐ δοκοῦσιν ἀλλ' οὖσιν, ἤγουν ὁ βεβαίοις ἀρεταῖς καὶ ἀμεταπτώτοις κοσμούμενος καὶ κατὰ μέθεξιν χρηματίζων Θεὸς, ὅθεν καὶ τὸ, « Μὴ μακαρίσῃς ἄνθρωπον πρὸ τελευτῆς, » τοιοῦτόν τι δηλοῖ· Μὴ ἐκθειάσῃς ἄνθρωπον πρὸ τοῦ τὸν δρόμον τελεσθῆναι τῆς αὐτοῦ βιοτῆς διὰ τὸ ἄδηλον ἐν τρεπτότητι. Πολλοὶ γὰρ ἐν λιμένι θαῤῥήσαντες ἑαυτοῖς καὶ ἀπροσεκτήσαντες ἐναυάγησαν· διὸ καὶ τῶν ἀναγκαιοτάτων ἐστὶ τὸ νήφειν ἀεὶ τὸν κατ' ἀρετὴν ἐθέλοντα ζῇν, καὶ τῆς εἰς Θεὸν διηνεκοῦς ἀτενίσεως ἐν ἄκρᾳ ταπεινώσει ψυχῆς μηδόλως ἀφίστασθαι. Τὸ δ' ἀνὴρ ἀντὶ τοῦ ἄνθρωπος συνεκδοχικῶς ἐκ τοῦ ὑπάρχοντος εἴρηται. Οὐ γὰρ ἀποκληροῦται τῷ ἄρρενι τὸ μακάριον. Ἐπεὶ τῶν αὐτῶν ἐπάθλων ἡ πᾶσα τῶν ἀνθρώπων φύσιν ἐν τοῖς αὐτοῖς ἀγῶσιν ἐστιν ἐπιδεκτική. Πλὴν κατὰ λόγον ἐν ταῖς τῆς διδασκαλίας ἄρχειν τοῦ κατὰ Θεὸν πολιτεύματος τέθειται τὸ ἀνήρ· ἀῤῥενότητος γὰρ δεῖ γνωμικῆς καὶ γενναιότητος ψυχικῆς παντὶ γένει τῷ πολιτευομένῳ κατὰ Θεὸν, οὐ θηλύτητος, οὐ χαυνότητος. Ἀδόκιμα γὰρ ταῦτα πρὸς ἀρετὴν καὶ ἀπόβλητα. Χρὴ τοίνυν βιάζειν τὴν φύσιν ἀεὶ τὸν ἀληθοῦς μακαρισμοῦ τυχεῖν ἀφιέμενον, καὶ πάντων ὑπερορᾷν τὸν πρὸς ἄνεσιν· προβλέπειν τινὰ βλαπτικὰ, τῷ φέρειν ἀνύστακτον τὸ τῆς ψυχῆς ὄμμα διαπαντὸς, καὶ τὰς αὐτῶν ἀρχὰς ἀποκρούεσθαι πόῤῥωθεν. Εἰ δέ ποτ' αὐτῷ καί τι σφάλμα συμβαίη, κἂν μικρὸν εἴη, μηδαμῶς αὐτοῦ καταφρονεῖν ὡς μικροῦ, μηθ' ἐπιμένειν ὅλως αὐτῷ· ταχέως δ' ἐκκλίνειν ἐξ αὐτοῦ καὶ ἀποφοιτᾷν, καὶ μεγάλην ποιεῖσθαι καὶ τῷ μικρῷ τὴν διόρθωσιν. Τοῦτο γὰρ ἂν εἴη τὸ, « Ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη, » δηλοῦν. Ἀσεβὴς δέ ἐστιν ὁ μὴ ἔχων ὅλως Θεόν· ὁμοῦ δ' αὐτῷ καὶ ὁ μὴ τὸν ὄντως Θεὸν καὶ δημιουργὸν ἔχων Θεὸν, ἀλλὰ τῇ κτίσει λατρεύων παρὰ τὸν

A κτίσαντα. Συντέτακταί πως αὐτοῖς καὶ ὁ διεστραμμένας ὑπολήψεις ἔχων περὶ Θεοῦ, καὶ διὰ τοῦτο προσάγων μὲν τὸ σέβας αὐτῷ, πλὴν οὐ προσηκόντως, οὐδ' ὡς χρεών. Δυσσεβὴς ὁ τοιοῦτος λέγοιτ' ἂν κυριώτερον. Ἀρίστην ἐπήξατο κρηπῖδα μακαριότητος, ὅς πάντας αὐτοὺς ἐβδελύξατο κἂν τῇ βουλῇ αὐτῶν οὐ πεπόρευται. Τουτέστι τοῖς δόγμασιν αὐτῶν οὐκ ἐπένευσε· βουλὴ καὶ ἡ συναγωγὴ καὶ ἡ περί τινος σκέψις πράγματος· ἁρμόζουσι τῷ ψαλμικῷ ῥητῷ καὶ ἀμφότερα. Τῆς γὰρ συναγωγῆς τῶν ἀσεβῶν ὡς ἀσεβῶν ἀσεβῆ καὶ τὰ σκέμματα, καὶ ἡ περὶ τοῦ σεβάσματος αὐτῶν κοινοβουλία ὀλέθριος. Τὸ γοῦν μηδοπωσοῦν αὐτῶν μετασχεῖν ἀρχὴν εἰσάγει μακαριότητος. Ἁμαρτωλὸς δέ ἐστιν ὁ μὴ τὰς τοῦ Θεοῦ τηρῶν ἐντολὰς, καὶ οὗτος, εἰ μὲν μετά τινος ὑποστολῆς
B ἁμαρτάνοι καὶ τῷ φαύλως βιοῦν ἐπαισχύνοιτο, καὶ τὰ πολλὰ πειρῷτο λανθάνειν, εἴη ἂν τοῦτο μόνον ἁμαρτωλός· εἰ δ' ἀνερυθριάστως παρανομῶν καὶ πονηρὸν ὑπόδειγμα τιθεὶς ἑαυτὸν, εἴτ' ἔργοις, εἴτε καὶ λόγοις τῆς οἰκείας μεταδιδοίη φαυλότητος τοῖς αὐτῷ προσπελάζουσιν, ὁ τοιοῦτος δὴ καὶ λοιμὸς ὡς τῇ λοιμώδει νόσῳ προσεοικὼς τῷ τοιούτῳ μηδὲ συνεδριάζειν δέον ἐστί. Τοῦτο γὰρ ἂν ἐμφαίνοι τὸ, « Ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν· « ἤγουν οὐ συγκάθεδρος ἐγένετο τοῖς λοιμοῖς. Διὰ κἂν μονάζοντες εἶεν οὗτοι, κἂν ἱεράρχαι, κἄν τε τῶν ἐν τισιν ἄλλοις ὀνόμασι καὶ ὑψώμασι πόῤῥω, φευκτέον κατὰ πᾶσαν ἰσχὺν ἐξ αὐτῶν.

« Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν. » — Ὃς ἀνδρεῖον ἔχων τὸ φρόνημα τῆς
C ψυχῆς, οὔτ' οἴκοθεν, οὔτε πιθανολογίαις παρακρουσθεὶς ἢ θωπείαις καὶ δώροις καὶ τιμαῖς χαυνωθεὶς, ἢ ἀπειλαῖς ἐκδειματωθεὶς ἢ τιμωρίαις ἐκβιασθεὶς, ἀπῆλθεν ἐν τῇ τῶν ἀσεβούντων συναγωγῇ. Ταυτὸν δ' εἰπεῖν, Ὃς οὐκ ἀπήγαγε τὴν διάνοιαν ἐν οἷς βουλεύονται καὶ λογίζονται περὶ Θεοῦ τῆς αὐτῶν ἀσεβείας ἀξίως οἱ ἀσεβεῖς, ἀλλὰ πάγιος ἐν ἀσεβείᾳ (εὐσεβείᾳ) καὶ ἀμετακίνητος ἥδρασται.

« Καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη. » — Καὶ ἐν τῇ πολιτείᾳ καὶ διαγωγῇ τῶν ἁμαρτανόντων οὐκ ἔμεινεν οὔτ' αὐτὸς παραβαίνων νόμους δεσποτικοὺς, οὔτε τοῖς παραβαίνουσιν συντιθέμενος· ἀλλ' εἴ τί ποτε καὶ ὡς ἄνθρωπος εὐτελὲς ἐπλημμέλησε παρέδραμεν εὐθὺς οὐκ ἐγχρονίσας τῷ πλημμελήματι.

« Καὶ ἐπὶ καθέδρᾳ λοιμῶν οὐκ ἐκάθισεν. » — Καὶ ἀνθρώποις λοιμοῖς οὐδὲ συνηδρίασε στυγητοὺς αὐτοὺς
D ἔχων καὶ ἀποτροπαίους ποιούμενος.

« Ἀλλ' ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ. » — Ἀλλ' ἐν ταῖς ἐντολαῖς τοῦ Θεοῦ ἐστιν ἡ σχέσις αὐτοῦ καὶ στοργή.

« Καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός. » — Καὶ ἐν τοῖς προστάγμασι Κυρίου μελετήσει κατὰ πάντα καιρὸν ὅπως ἐξερευνήσας πάντα καὶ γνοὺς ἀκριβῶς ποιήσῃ κατὰ μακάριος ἄνθρωπος, ὁ ταῦτα πάντα κατωρθωκώς.

« Καὶ ἔσται τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων. » — Καὶ ἔσται ὁ τοιοῦτος ὡς δένδρον ἀεὶ ποτιζόμενον, διὰ τὸ εἶναι πεφυτευμένον ἔνθα τὰ ὕδατα διεξέρχονται. Καθὼς γὰρ τὰ

OCR ABK / FR

ὕδατα τῷ πλησίον αὐτῶν δένδρῳ διηνεκῆ τὴν ἀρδείαν παρέχουσι· παραπλησίως καὶ τὰ θεῖα διδάγματα διηνεκῶς ζωογονοῦσι τὴν οὕτως αὐτοῖς ἐμμελετῶσαν ψυχήν.

« Ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται. » — Οὗτος καὶ τοὺς αὐτοῦ καρποὺς, δηλονότι τὰς ἀρετὰς, ἀκαίρως δώσει καὶ θάλλων ἔσται διαπαντός. Τοιοῦτος γὰρ ὁ σπουδαῖος κἀν τοῖς ἀλγεινοῖς χαίρων καὶ ἀγαλλόμενος, ὅτι τῶν ἀλγεινῶν καθυπερτερεῖ; καὶ γὰρ οὐκ ἔστιν οὐδὲν ἐρασμιώτερον φύσει τοῦ κατ' ἀρετὴν βίου καὶ ὄντως ἡδύτερον. Εἴρηται δὲ καλῶς καὶ τὸ, « ἐν καιρῷ αὐτοῦ, » διότι κατὰ τὸν προσήκοντα καιρὸν, ἀλλ' οὐκ ἀθρόως τις κατορθώσει τὰς ἀρετάς. Χρὴ γὰρ, χρὴ προηγήσασθαι πολλοὺς ὅτι καμάτους καὶ πόνους τῆς τελεσιουργίας τῶν ἀρετῶν. Φύλλον δέ τινες τὴν ταπεινοφροσύνην ὠνόμασαν, ὡς σκεπαστικὴν καὶ συντηρητικὴν τῶν καρπῶν. Τινὲς δὲ τὴν ἐλπίδα τῆς σωτηρίας ὡς ἐπιθάλπουσαν καὶ τῶν ἀνιαρῶν ὑφαιρουμένην τὴν αἴσθησιν. Μήποτε δ' ἂν εἴη μάλιστα φύλλον ᾧ τὸν δίκαιον ἐνέδυσεν ἐκ περισσοῦ καὶ κατεκόσμησεν ὁ Θεὸς ἡ ἐν τῷ κόσμῳ τούτῳ δόξα τε καὶ τιμή· καὶ μᾶλλον ἡ παρ' ἐκείνων, ἐν οἷς οὐκ ἔστι διαστροφή. « Γενεὰ γὰρ, φησὶν, εὐθέως εὐλογηθήσεται. » Πλὴν ἀλλ' εἰ καὶ τὰ τῆς βασκανίας πνεύματα πάντα πορῤεύσειαν, οὐδ' οὕτως τὸ τοῦ τοιούτου δένδρου φύλλον ἀποῤῥυήσεται· καὶ γὰρ αἰδεῖται τὴν ἀρετὴν καὶ πολέμιος, καὶ πολλάκις καὶ πολεμῶν ἐντὸς καὶ κατὰ συνείδησιν θαυμάζει τὸν ἀρεταίνοντα καὶ τὴν αὐτοῦ καρτερίαν ἐκπλήττεται. Τοιούτῳ φύλλῳ κατεικάζει Θεὸς τοὺς ἔργοις τε καὶ λόγοις τιμῶντας αὐτὸν, καὶ δοξάζοντας, καὶ οὐδέποτε τοῦ παρὰ τὰς διεξόδους τῶν αὐτοῦ νοημάτων ἐῤῥιζωμένου φυτοῦ τὸ τοιοῦτον ἀποῤῥυήσεται φύλλον, οὐδὲ μετὰ τὴν ἐντεῦθεν αὐτοῦ μετάστασιν· εἰς μνημόσυνον γὰρ αἰώνιον ἔσται δίκαιος.

« Καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. » — Τί γὰρ τῶν μὴ προσηκόντων ὁ Θεοῦ ὅλος ποιῆσαι θελήσει ποτὲ μένων ὅλος Θεοῦ; διὸ κατὰ πάνθ' ὅσ' ἂν ποιῇ κατευοδωθήσεται, τῇ τοῦ Θεοῦ δεξιᾷ βοηθούμενός τε καὶ συνεργούμενος.

« Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως. » — Οὔτε καρποφορήσουσιν, οὔτε τὸ φύλλον ἕξουσιν ἀναπόβλητον, οὔθ' ὑπὸ Θεοῦ κατευοδωθήσονται. Πῶς γὰρ ἀσεβεῖς δ' ἐνταῦθα κοινῶς οἱ προειρημένοι πάντες ἐκλήθησαν; οἱ γὰρ λόγοις μὲν ὁμολογοῦντες Θεὸν, ἔργοις δ' ἀρνούμενοι τῷ μὴ τὰ φίλα πράττειν αὐτῷ, πῶς κυρίως λέγοιντ' ἂν εὐσεβεῖς;

« Ἀλλ' ἢ ὡσεὶ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς. » — Ἀλλ' ἔσονται καθάπερ κονιορτὸς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς καὶ διασκεδάννυσιν. Οὕτως ἀποτεφρωθέντες ἀφανισθήσονται· καὶ ἀπολεῖται αὐτῶν καὶ τὸ ἔργον ἐν τῇ γεέννῃ, καὶ τὸ μνημόσυνον· αὐτοὶ δὲ σωθήσονται καὶ συντηρηθήσονται (1), καθώς φησιν ὁ θεῖος Ἀπόστολος εἰς τὸ διὰ πυρὸς αἰωνίως κολάζεσθαι.

« Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει, οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων. » — Πάντας τοὺς
A κατὰ Θεὸν ζήσαντας ὀνόματι κοινῷ δικαίους οἶδε καλεῖν ἡ θεία Γραφὴ, κατὰ τὴν καθόλου δικαιοσύνην τὴν πάσης ἀρετῆς περιληπτικήν· δικαιοπραγεῖ γὰρ εἴς τε τὴν φύσιν καὶ τὸν τῆς φύσεως δημιουργὸν ὁ φρονήσει καὶ ἀνδρείᾳ καὶ σωφροσύνῃ καὶ τῇ πρὸς πάντας δικαιοσύνῃ κοσμούμενος. Τὰ δὲ τοῦ ῥητοῦ συντακτέον ὑπερβατῶς. Διὰ τοῦτο ἐν κρίσει οὐκ ἀναστήσονται ἀσεβεῖς οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων, ἤγουν κατὰ τὸν τῆς τελευταίας κρίσεως τῆς παγκοσμίου καιρὸν οὐκ ἀναστήσονται οἱ ἀσεβεῖς, οὔτε μὴν οἱ ἁμαρτωλοὶ ἐπὶ τῷ συνεῖναι τῇ τῶν δικαίων συναγωγῇ, καθάπερ νῦν ἐν τῷ κόσμῳ τούτῳ σύμπαντές εἰσιν ἀναμίξ. Ἀλλ' ὁ μὲν τῶν δικαίων χορηγὸς ἐν προσώπῳ Θεοῦ τὰς ἀνεκφράστους καὶ ἀπεράντους ἀπολαύσεις κληρώσεται· τῶν ἀσεβῶν
B δὲ καὶ τῶν ἁμαρτωλῶν ὁ σύμπας ὄχλος ἐκ προσώπου Θεοῦ πρὸς τὰς ἀνυποίστους καὶ ἀλωφήτους ὀδύνας ἀποπεμφθήσεται.

« Ὅτι γινώσκει Κύριος ὁδὸν δικαίων. » — Τὰ πάντα μὲν καὶ τὰ μήπω γεγονότα γινώσκει Κύριος· ἀλλ' ἐρεῖ τισιν· Οὐκ οἶδα ὑμᾶς, ὡς ἔχων εἰς αὐτοὺς ἀνοικείως, διὰ τὰς πράξεις αὐτῶν· καὶ πάλιν· Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ· γνώσει τῇ κατ' οἰκείωσιν. Οὕτω καὶ ἡμεῖς ἐκείνους πρὸς οὓς οἰκείως ἔχομεν καλοῦμεν γνωστούς· τοιαύτῃ γνώσει γινώσκει Κύριος τὴν τῶν δικαίων διαγωγὴν, ὡς πεφιλημένην αὐτῷ.

« Καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. » — Τῶν γὰρ φαύλων ἀνθρώπων ἡ πονηρία καθ' ἣν διῆγον οἰχήσεται· τῶν δὲ δικαίων ἡ ἀρετὴ καθ' ἣν ἐπολιτεύοντο θησαυρὸς αὐτοῖς ἔσται μόνιμος καὶ ἀνώλεθρος χάριτι
C τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ Β'.

Ὁ δεύτερος ψαλμὸς τὴν τῶν Ἰουδαίων προαγορεύει μανίαν ἣν κατὰ τοῦ Σωτῆρος ἐμάνησαν, καὶ τὴν τῆς νομικῆς ἡγεμονίας τελείαν κατάλυσιν καὶ τὴν αὐτῶν καταδίκην ἐν καιρῷ τῷ τῆς κρίσεως τὴν ἐν Ἰουδαίᾳ διδασκαλίαν Χριστοῦ, τὴν προαιώνιον γέννησιν αὐτοῦ, καὶ αὖθις τὴν ἐν ἀνθρώποισιν, τὴν τῶν ἐθνῶν οἰκείωσιν, καὶ τὴν αὐτοῦ θεοπρεπῆ βασιλείαν εἰς πάντα τὸν κόσμον καὶ κατὰ τὸ ἀνθρώπινον· τὰς τῶν Ἰουδαίων συμφορὰς καὶ τὴν πανωλεθρίαν αὐτῶν. Εἶτα διδάσκει τὰ ἔθνη· πιστεύει γὰρ εἰς Κύριον καὶ τὰς αὐτοῦ τηρεῖ ἐντολὰς, καὶ μὴ βιοῦσι καλῶς ἀπειλεῖ κόλασιν ἐν ἡμέρᾳ ἐτάσεως,
D καὶ τέλος μακαρίζει τοὺς ἐλπίζοντας ἐπὶ Κύριον. Ὡς γεγονότα δὲ διηγεῖται τὰ γενησόμενα· ποτὲ μὲν γὰρ ὡς ἐσόμενα προαναφωνοῦσιν οἱ προφῆται τὰ μέλλοντα τοῦ ἁγίου Πνεύματος ὑφηγουμένου, ποτὲ δὲ νοεροῖς ὄμμασιν ὡς τετελεσμένα κατοπτεύσαντες ταῦτα τοῦ αὐτοῦ θείου Πνεύματος διαζωγραφήσαντος, οὕτω λέγουσι καθὼς ἑωράκασιν.

« Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοί; » — Βαρύτητος ὁ λόγος μεστὸς σχετλιασμοῦ. Διὰ τί γὰρ οὕτως ἀλόγως ἐθορύβησαν, φησὶν, Ἰουδαῖοι σὺν ἀλαζονείᾳ καὶ θράσει Κυρίου Χριστοῦ; τοῦτο γὰρ τὸ ἐφρύαξαν. Διό τι ὀμμάτων τυφλοὺς, ἀνόρθου χωλούς; ᾐτίου

(1) Fort. σῶοι ἔσονται, *servati, reservati igni æterno.*

OCR ABK / FR

A κυλλοὺς ἐκάθαιρε λεπρούς, συνέσφιγγε παρειμένους; ἀλάλους καὶ κωφοὺς ἐθεράπευε, πᾶν πάθος ἁπλῶς καὶ πᾶσαν νόσον ἐκ τῶν αὐτῷ προσερχομένων ἀπήλαυνεν, ἢ ὅτι ἀνίστα νεκρούς; ἢ ὅτι δαίμονας ἐφυγάδευε; τί τὸ αἴτιον τῆς εἰς αὐτὸν τοσαύτης τόλμης τε καὶ θρασύτητος; Φρύαγμα δέ ἐστιν ὁ τοῖς ἵπποις ἐγγινόμενος ἐξ ἀγερωχίας καὶ θράσους, χρεμετισμός. Καλεῖ δὲ τοὺς Ἰουδαίους ὁ προφήτης, ἔθνη τε καὶ λαούς· λαοὺς μέν, ὡς ὑπὸ νόμον ὄντας, ἔθνη δὲ διὰ τὰς παρανόμους πράξεις αὐτῶν καὶ μάλιστα τὴν εἰς Χριστὸν μιαιφονίαν, τὸ πάντων ἀνομημάτων κεφάλαιον.

« Ἐμελέτησαν κενά. » — Ματαία γὰρ ἡ μελέτη καὶ σκέψις αὐτῶν καὶ βουλή, τὸ τὸν Κύριον ἐκ μέσου ποιήσασθαι, καὶ τὴν εἰς αὐτὸν πίστιν περιελεῖν διὰ τοῦ αὐτὸν ἀνελεῖν· ζῇ γὰρ ἀναστὰς καὶ κυριεύει B τοῦ παντὸς ὡς Θεός, καὶ οἱ πιστεύοντες εἰς αὐτὸν ὑπερεπληθύνθησαν, καὶ ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τῇ θαλάσσῃ γεγόνασι.

« Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες. » — Παρετάξαντο, παρ' αὐτὸ τὸ ἔργον ἔστησαν, οὐκ ἔδωκαν ἀναβολῇ τὸ ἐγχείρημα. Βασιλεῖς δὲ τῆς γῆς τοὺς ἀρχιερεῖς φησιν· ὡς δῆθεν κατὰ θεοσέβειαν ἡγεμόνας ἁπάσης τότε τῆς γῆς. Ἐξ ὅλης γὰρ τῆς οἰκουμένης οἱ προσερχόμενοι τῷ ζῶντι Θεῷ παρ' αὐτῶν τὰς ὑποθήκας ἐλάμβανον, ὅπως χρὴ πιστεύειν εἰς τὸν Θεὸν καὶ ὅπως χρὴ λατρεύειν αὐτῷ, καὶ αὐτοῖς ὑπετάττοντο κατὰ νόμον καὶ Ἰουδαῖοι καὶ πάντες ἐν γῇ πάσῃ προσήλυτοι. Βάσις τοίνυν ὄντες λαοῦ κατὰ τούτους τοὺς λόγους οἱ ἀρχιερεῖς οὐκ ἀπεικότως ἐκλήθησαν βασιλεῖς· ἐπεὶ καὶ μικροὺς C τοπάρχας οἱ ἀρχαιότεροι βασιλεῖς ὀνομάζειν εἰώθεσαν. Τοὺς γραμματεῖς δὲ καὶ τοὺς τοῦ λαοῦ πρεσβυτέρους, εἴτ' οὖν ἐντιμοτέρους, τὸ ψαλμικὸν γράμμα κέκληκεν ἄρχοντας. Οὕτω δ' αὐτοὺς καλεῖ καὶ τὸ Εὐαγγέλιον, λέγον, « Ὅπως τε παρέδωκαν αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ἄρχοντες ἡμῶν εἰς κρῖμα θανάτου. »

« Συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου καὶ τοῦ Χριστοῦ αὐτοῦ. » — Συνήχθησαν ὁμοῦ πάντες εἰς τὸν αὐτὸν τόπον βουλευόμενοι κατὰ τοῦ Χριστοῦ· διασαφεῖ καὶ περὶ τούτου τὸ Εὐαγγέλιον· « Τότε συνήχθησαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως τοῦ λεγομένου Καϊάφα, καὶ συνεβουλεύσαντο ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν· Ἐπεὶ δὲ κατὰ τοῦ Χριστοῦ συνήχθησαν, δῆλον ὅτι καὶ κατὰ τοῦ χρίσαντος αὐτόν. Οἱ γὰρ κατὰ τοῦ D Χριστοῦ Κυρίου μελετῶντες πρότερον κατ' αὐτοῦ τοῦ Κυρίου τὸ τοιοῦτον μελέτημα συντεθείκασιν· ἀποδοκιμάζοντες τὴν κρίσιν αὐτοῦ καὶ τὴν χρίσιν φαυλίζοντες. Τοῦτο ποίαν οὐχ ὑπερβαίνει παρανομίας ὑπερβολήν; ποίαν οὐ παρήλασεν ἀσεβείας ἀκρότητα; διὰ τοῦτο προηγουμένως ἔθνη τοὺς Ἰουδαίους ὁ προφήτης ὠνόμασεν. Ἐξαίσια τοσαῦτα καθορῶντες ἀεὶ γινόμενα, πάντων ἐθνῶν ἀσυνετώτατοι καὶ ἀπαιδευτότατοι, κατὰ τοῦ τερατουργοῦντος συνήρχεσθε, θεοσημίας βλέποντες ἐνεργουμένας ὧν καὶ τὸ μεμνῆσθαι μόνον φρίκην ἐμποιεῖ, δόλους ἐτεκταίνετε κατὰ τοῦ ταύτας ἐκτελοῦντος μόνῳ προστάγματι. Καὶ πῶς οὐ θεομάχοι προδήλως ἐστέ; πόθεν τῆς παραδοξοποιίας ἡ δύναμις; οὐκ οἴδασι ταύτην ἐκ τοῦ Θεοῦ σύμπαντες ἄνθρωποι; Κοινὴ ἔννοια τοῦτο, καὶ ὁ ἀντιλέγων οὐδείς. Διὸ καλῶς εἴρηκεν ὁ προφήτης, ὅτι « Πρῶτον κατὰ τοῦ Κυρίου συνήχθητε, ὃν καὶ αὐτοὶ Κύριον ὀνομάζετε, καὶ τότε κατὰ τοῦ Χριστοῦ αὐτοῦ. » Τοῦτο δὴ τὸ κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ ληπτέον ἀπὸ κοινοῦ καὶ συντακτέον αὐτῷ κατά γε τὴν ἔννοιαν, καὶ τὸ ἐφρύαξαν, καὶ τὸ παρέστησαν, καὶ τὸ συνήχθησαν· ἵν' ᾖ καθ' ὑπερβατὸν καὶ ἀσυνδέτως ἡ σύνταξις τῶν ἐκτεθειμένων ῥητῶν, καὶ τοιαύτη κατὰ τὸ συνεχές. Ἵνα τί ἔθνη καὶ λαοὶ οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες ἐφρύαξαν, παρέστησαν, συνήχθησαν ἐπὶ τὸ αὐτό, κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, εἶτα τὸ ἐπιφώνημα κατ' ἀπόφασιν, « ἐμελέτησαν κενά· » τουτέστιν, ὄντως μάταια ἐμελέτησαν, ὡς αὐτὰ βοῶσι τὰ πράγματα.

« Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸ ζυγὸν αὐτῶν. » — Ταῦτα προσώπῳ τῶν ἐξ Ἰουδαίων πιστευσάντων εἰς τὸν Χριστόν. Ὥσπερ δὲ τὸ ἐφρύαξαν εἰς τὴν ἀπόνοιαν καὶ θρασύτητα καὶ θορύβησιν μετηνέχθη τῶν Ἰουδαίων ἀπὸ τοῦ τῶν ἵππων φρυάγματος, οὕτω καὶ τὰ ὀνόματα ταῦτα, τὸ τῶν δεσμῶν λέγω δὴ καὶ τὸ τοῦ ζυγοῦ, μεταφορικῶς ἐλήφθησαν ἀπὸ τοῦ τῶν βοῶν ζυγοῦ καὶ τῶν ζευγλῶν, καὶ τῶν ἐν αὐταῖς ἱμάντων εἰς τὴν κατὰ νόμον ὑποταγὴν καὶ τὰς τῶν νομοδιδασκάλων ἐπιταγάς. Ἐπεὶ δὲ τὸν ζυγὸν οἱ βόες τῶν οἰκείων αὐχένων οὐκ ἀποτίθενται, μὴ τὰς ζεύγλας συντρίψαντες, ἢ τοὺς ἱμάντας τοὺς ἐν αὐταῖς διασπάσαντες, διὰ τοῦτο πρότερον εἴρηκε, Διαῤῥήξωμεν τοὺς δεσμοὺς αὐτῶν, τὰς ζεύγλας καὶ τοὺς ἱμάντας, κοινῷ λόγῳ δεσμοὺς εἰρηκὼς δι' ὧν ὁμοῦ συνδεδεμένος ὁ ζυγὸς τοῖς τῶν βοῶν αὐχέσι καὶ συνεσφιγμένος συνέχεται. Εἶτα ἐπήγαγε, Καὶ ἀποῤῥίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν. Ζυγὸς μὲν οὖν ὁ νόμος ὑποτάττων ἑαυτῷ τοὺς ὑπὸ νόμον, καὶ δουλεύειν καταναγκάζων ταῖς νομικαῖς ἐντολαῖς. Δεσμοὶ δὲ συνέχοντες τὸν νόμον τοῖς ὑπὸ νόμον αἱ τῶν ἀρχιερέων καὶ γραμματέων ἐπιταγαί· φασὶ τοίνυν οἱ τῆς νομικῆς δυσχερείας τὸν χρηστὸν τοῦ Κυρίου ζυγὸν ἀνθελόμενοι, Διαλύσωμεν τὰς τῶν ἀγρίων θηρῶν μᾶλλον ἢ διδασκάλων ἐπιταγάς· ὡς οὐδὲν αὐτὰς ἡγησάμενοι καὶ τὸν νόμον αὐτῷ ἀφ' ἡμῶν ἐκτιναξώμεθα τὸν βαρύν. Ἁρμόζουσιν οἱ λόγοι καὶ πᾶσι τοῖς ἐξ ἐθνῶν. Οἱ γὰρ μὴ τῷ νόμῳ προσιέναι θελήσαντες, ἀλλὰ τὸ Εὐαγγέλιον ἀσπασάμενοι τάς τε τῶν κατὰ νόμον ἀρχιερέων καὶ γραμματέων διδαχάς, μηδαμῶς οὓς αὐταῖς ἐπικλίναντες. Παρῃτήσαντο καὶ τὸν νόμον αὐτὸν ἐξ ἑαυτῶν ἀπεσείσαντο δουλεῦσαι τούτῳ μὴ ἀνασχόμενοι.

« Ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς. » — Τὸ ἐκγελάσεται καὶ τὸ ἐκμυκτηριεῖ κατ' ἐπίτασιν εἴρηται τῆς ἐκ προθέσεως, δηλούσης ἐπίτασιν, τουτέστιν ἐκγελάστους ἤτοι καταγελάστους θήσει ἁπανταχοῦ καὶ ἐκμυκτηρίστους, ἤγουν πλήρεις μυκτηρισμοῦ

OCR ABK / FR

διὰ τὴν τῆς ἀνοίας αὐτῶν καὶ ἀφροσύνης ὑπερβολὴν, ὅτι τε τὸν οἰκεῖον εὐεργέτην ἀπέκτειναν, τὸ ἴδιον μεγαλεῖον καὶ κλέος καὶ καύχημα, καὶ ὅτι τὴν τοῦ Θεοῦ βουλὴν τὴν ὑπὸ τοσούτων προφητῶν προκατηγγελμένην ἤλπισαν αὐτοὶ κωλῦσαι πέρας λαβεῖν· κύριον δὲ τὸν πατέρα φήσας ὅτ' ἔλεγε κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ, Κύριόν φησι καὶ τὸν Υἱὸν, ὡς μιᾶς κυριότητος οὔσης ἐν Πατρὶ καὶ Υἱῷ, καὶ καθὼς ἐκεῖ τὴν κατὰ τοῦ Χριστοῦ μελέτην. Ἔφημεν εἶναι καὶ κατὰ τοῦ Πατρὸς καὶ πρότερον κατὰ τοῦ Πατρὸς, οὕτω κἀνταῦθα τὴν τῶν Ἰουδαίων ἐξουδένωσιν τὴν παρὰ Χριστοῦ, καὶ παρὰ τοῦ Πατρὸς εἶναί φησι καὶ πρότερον παρὰ τοῦ Πατρὸς, ἅμα τε τὴν ὁμοτιμίαν, καὶ τὸ ταυτὸν τῆς ἐνεργείας ἐν Πατρὶ καὶ Υἱῷ παριστῶν καὶ ἀρχὴν οὐσιώδη τὸν Πατέρα δεικνὺς τοῦ Υἱοῦ, τὸν πατέρα δέ φησι κατοικεῖν ἐν οὐρανοῖς, οὐχ ὡς ὅλως ἐν τόπῳ περιεχόμενον, ἀλλὰ διὰ τὸ ὑπερανῳκισμένον φύσει καὶ ὑψηλὸν τῆς θεότητος καὶ τὸ τῆς ἀξίας καὶ δόξης ὑπερανιδεβηκὸς καὶ ὑπέρτατον, οὐχ ὅτιπερ ὁ Υἱὸς ὑστέρηται τῶν αὐτῶν· ἐπουράνιος γὰρ καὶ αὐτὸς ὡς Θεὸς τὸν αὐτὸν τρόπον ὃν ὁ Πατὴρ, ἀλλ' ὅτι μόνος ὁ Υἱὸς ἐπὶ τῆς γῆς ὤφθη· καὶ τοῖς ἀνθρώποις συνανεστράφη σωματικῶς.

« Τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς· » — Νῦν μὲν ὁ Κύριος Ἰησοῦς ἀναστὰς ἐκ νεκρῶν καὶ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς καὶ τῆς ἐπιγνώσεως αὐτοῦ καὶ πίστεως τοῦ κόσμου πεπληρωκὼς χλευάσης αὐτοὺς καὶ κωμῳδίας, ἐμπλήσει καὶ τωθασμοῦ καὶ μυκήσεως, συνευδοκοῦντος αὐτῷ τοῦ Πατρός. Τότε δὲ κατὰ τὴν δευτέραν αὐτοῦ παρουσίαν, ἐλέγχων αὐτοὺς ἐν ὀργῇ, καὶ στήσας αὐτοῖς τὴν ἀνομίαν αὐτῶν κατὰ πρόσωπον, καταδικάσει αὐτοὺς, καὶ σφοδραῖς τιμωρίαις ὑποβαλεῖ δι' ὧν ἀεὶ ταραχθήσονται ὀδυνώμενοι μηδεμίαν ἀνακωχὴν, μηδεμίαν γαλήνην, ἕξοντες πώποτε. Τὴν μὲν οὖν καταδίκην εἴρηκεν ὀργὴν, τὰς σφοδρὰς δὲ τιμωρίας θυμόν.

« Ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ. » — Ταῦτα προσώπῳ Χριστοῦ· κατεστάθη γὰρ βασιλεὺς ὑπὸ τοῦ Πατρὸς καὶ ὡς ἄνθρωπος· ὡς γὰρ Θεὸς ἦν ἀεὶ βασιλεύς.

« Ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ διαγγέλλων τὸ πρόσταγμα Κυρίου. » — Διὰ τοῦ κατὰ τὴν Ἰουδαίαν ὄρους εἰς ἐπιστήμην τοῦ καλουμένου Σιὼν, πᾶσαν τὴν Ἰουδαίαν δεδήλωκεν· Ἅγιον δὲ τοῦ Θεοῦ τὸ τοιοῦτον ὄρος, ὡς ἀφωσιωμέναν Θεῷ· καὶ γὰρ ἐν τοῖς ὁρίοις αὐτοῦ καὶ Ἱερουσαλὴμ ἡ πόλις καὶ ὁ ναὸς, ἐν ᾧ πᾶσα λατρεία προσήγετο διηνεκῶς τῷ Θεῷ. Τὴν αὐτοῦ δὲ διδασκαλίαν πρόσταγμα καλεῖ τοῦ Πατρὸς, ὡς οἰκείας ἀρχῆς· οὕτω γὰρ κἀν τοῖς Εὐαγγελίοις φησίν· « Ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμὸς, ἀλλὰ τοῦ πέμψαντός με Πατρός. »

« Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ. » — Εἰς παράστασιν τῆς ἀληθείας ταῦτά φησι πρὸς ἡμᾶς, ἵνα γνῶμεν ὅτι πρὸ τῶν αἰώνων θεοπρεπῶς γεγέννηται παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ Υἱὸς τοῦ Θεοῦ κατ' οὐσίαν ἐστίν.

« Ἐγὼ σήμερον γεγέννηκά σε. » — Τοῦτο διὰ A τὴν ἄνευ σπορᾶς, ἐνανθρώπησιν. Τὸ δὲ σήμερον ἀντὶ τοῦ χρονικῶς· ἐγὼ, φησὶν, προαιωνίως γεγέννηκά σε ὡς Θεὸν, ἐγὼ χρονικῶς γεγέννηκά σε ὡς ἄνθρωπον· ἄλλον γὰρ οὐκ ἔσχες πλὴν ἐμοῦ Πατέρα τὸ σύνολον, ἀλλὰ καὶ κατὰ τὴν θείαν γέννησιν καὶ κατὰ τὴν ἀνθρωπίνην ἐγώ σου μόνος Πατήρ. κατὰ τὴν θείαν μὲν οὐσιωδῶς, κατὰ τὴν ἀνθρωπίνην δὲ δημιουργικῶς.

« Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς. » — Ἐπείπερ ἐγώ σου Πατὴρ καὶ οὐκ ἄλλος οὐδεὶς, ἐπεὶ καὶ ὑπ' ἐμοῦ κατεστάθης βασιλεὺς, αἴτησαι παρ' ἐμοῦ; καὶ δώσω σοι ὡς μὲν Υἱῷ κληρονομίαν, ὡς βασιλεῖ δὲ κατάσχεσιν. Αἰτεῖ δὲ προτρεπόμενος παρὰ τοῦ Πατρός. « Οὐ δύναμαι γὰρ, B φησὶν, ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν. » Ἐπεὶ δὲ πρὸς Ἰουδαίους ἀπέσταλται, λέγει γάρ; « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἱερουσαλὴμ. » οἱ δὲ αὐτὸν οὐκ ἐδέξαντο, διὰ τοῦτο τὰ ἔθνη κληρονομίαν αἰτεῖ κατ' εὐδοκίαν Πατρὸς, καὶ κληροδοτεῖται ταῦτα, ὡς ἄνθρωπος καὶ τὴν ἐξουσίαν αὐτοῦ καὶ τὸ κράτος λαμβάνει παγκόσμιον, ἕως καὶ αὐτῶν τῶν περάτων τῆς γης διικνούμενον.

« Ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. » — Αὐτοὺς δὲ τοὺς Ἰουδαίους ἐν μάστιγι παιδεύσεις στεῤῥᾷ, τοὺς μὴ δεξαμένους τὸν λόγον σου, συνεχεῖς καὶ σφοδρὰς τιμωρίας τούτοις ἐπενεγκών. Παιδεύει μὲν καὶ ὁ ποιμὴν ἐν ἡμερότητι καὶ πραότητι καὶ εἰς σωτηρίαν τὸ ποίμνιον· ἀλλὰ σὺ παιδεύσεις αὐτοὺς ἐν ὀργῇ καὶ θυμῷ καὶ εἰς διαφθοC ρὰν, διὰ τὴν ἄκραν αὐτῶν ἀνοσιουργίαν καὶ τελείαν ἀπείθειαν.

« Ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. » — Ὡς τὰ κεράμια σκεύη καταθραύσεις αὐτοὺς, καὶ οὔ ποτ' ἂν ἀνάκλησιν ὄψοιντο· καθάπερ οὐδ' ἐκεῖνα συντριβέντα μὲν τὸ καμινευθῆναι καὶ λεπτυνθέντα.

« Καὶ νῦν βασιλεῖς, σύνετε, παιδεύθητε, πάντες οἱ κρίνοντες τὴν γῆν. « — Τοῦτο πρὸς τοὺς ἐθνικοὺς ἐν πάσῃ τῇ γῇ βασιλεῖς τε καὶ ἡγεμόνας ὁ προφήτης φησὶ, καὶ δι' αὐτῶν καὶ πρὸς τοὺς ὑποταττομένους αὐτοῖς. Τοὺς αὐτοὺς δὲ καλεῖ καὶ βασιλεῖς καὶ κριτὰς, εἴτουν δικαστάς· Βασιλέων γὰρ καὶ ἡγεμόνων ἐστὶ τὸ δικαστικὸν, ἐπεὶ καὶ τὸ νομοθετικὸν, τὸ δὲ καὶ νῦν δηλοῖ μὲν καὶ τὸ διὰ τοῦτο, δηλοῖ δὲ καὶ τὸ ἀπὸ τοῦδε καὶ λοιπόν φησι πάντες ὑμεῖς οἱ D τῶν ἐθνῶν βασιλεῖς οἱ κρίνοντες πᾶσαν τὴν γῆν, ἤγουν οἱ ἐν ὅλῳ τῷ κόσμῳ δικάζοντες, ἐπεὶ ἐκληρώθητε τῷ Χριστῷ, καὶ Ἰουδαῖοι ἀπεῤῥίφησαν καὶ δεινὰ μυρία πεπόνθασιν, ὡς τὸν Χριστὸν ἀθετήσαντες, ἐπεὶ ταῦθ' οὕτως ἔχει, σύνετε καὶ παιδεύθητε καὶ ὡς κριταὶ καὶ νομοθέται καὶ τοὺς ὑφ' ὑμᾶς λαοὺς διορθώσασθε. Διὰ μὲν οὖν τοῦ σύνετε πρὸς εὐσέβειαν ἐνάγει αὐτοὺς, διὰ δὲ τοῦ παιδεύθητε πρὸς σεμνὴν καὶ σωτήριον διαγωγήν. Ὑπερβατῶς δὲ καὶ ἀσυνδέτως ἡ σύνταξις· « Καὶ νῦν, βασιλεῖς πάντες οἱ κρίνοντες τὴν γῆν, σύνετε, παιδεύθητε οἱ πρώην ὄντες ἀσύνετοι καὶ ἀπαίδευτοι· » ἀσύνετοι μὲν ὡς μὴ συνιέντες τὸν ὄντα Θεὸν, ἀλλὰ τοῖς

OCR ABK / FR

οὐκ οὖσι θεοῖς ἀσυνέτως λατρεύοντες, ἀπαίδευτοι δὲ ὡς μὴ πεπαιδευμένοι τῷ νόμῳ τῷ ὀρθῷ, ἀλλ ἀπαιδεύτως τὰ παράνομα πράττοντες. Σύνετε τὸν, ᾧ κεκλήρωσθε Κύριον καὶ Θεὸν, καὶ καθὼς αὐτὸς ἐδίδαξεν, οὕτως αὐτῷ τὸ σέβας προσάγετε. Παιδεύθητε τοῖς αὐτοῦ διατάγμασιν· καὶ καθὼς ταῦτα θεσπίζουσιν, οὕτω καὶ πολιτεύεσθε· πίστις γὰρ ἐκτὸς ἔργων ἀνόνητος.

« Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ. » — Δοῦλος, ἐκεῖνός ἐστιν ὁ δεδεγμένος ὅλος τῷ τοῦ δεσπότου θελήματι. Διὸ τὰ θελήματα τοῦ Κυρίου ποιεῖτε τηροῦντες αὐτοῦ τὰ προστάγματα· πλὴν οὐχ ὡς ἔτυχεν, ἀλλ' ἐν φόβῳ, δεδιότες μήπως αὐτὰ παραβάντες κολάσει καθυπαχθείητε. Καὶ οὗτος μὲν τοῖς εἰσαγομένοις ὁ φόβος ἐπιπρεπὴς, τὸ τὰς τιμωρίας δεδιέναι, τὰ τῆς παραβάσεως ἐπιτίμια. Καὶ λέγεται στοιχειωτικὸς, ὡς τοῦ κατὰ Θεὸν πολιτεύματος ἀρχὴ καὶ στοιχείωσις, καὶ ὁ τοῦτον ἔχων τὸν φόβον ἐν δούλοις τέτακται· δούλου γὰρ τὸ φοβεῖσθαι πληγάς. Ἔστι καὶ ἄλλος φόβος, ὁ λεγόμενος τελειωτικὸς, ὅταν τις οὐ διὰ φόβον κολάσεων, οὐ δι' ἐλπίδα δόξης καὶ ἀπολαύσεων, ἀλλὰ διὰ τὴν πρὸς Θεὸν αἰδῶ σπεύδῃ θεραπεύειν αὐτὸν, μὴ κατὰ νόμον μόνον ἀλλὰ καὶ ὑπὲρ νόμον πολιτευόμενος, οὗτος ἐν υἱοῖς ἔφθασε κατειλέχθαι Θεοῦ. Καὶ δεδιὼς ἐκπεσεῖν τῆς εἰς αὐτὸν υἱότητός τε καὶ γνησιότητος ἀγωνίζεται συντείνων καὶ ὑπὲρ δύναμιν ἑαυτὸν, ὑπερβαίνειν εἰ οἷόν τε καὶ ἅπαν διάταγμα· καθὼς ἐποίει Παῦλος ὁ μέγας καὶ τῆς ἐντολῆς κελευούσης ἄμισθον, ἀλλ' οὐκ ἀδάπανον εἶναι τὸ κήρυγμα· καὶ γὰρ ἄξιός ἐστιν ὁ ἐργάτης, φησὶ, τῆς αὐτοῦ τροφῆς· αὐτὸς καὶ τὴν τροφὴν ἐκ τοῦ μόνου τῶν οἰκείων χειρῶν ἐκομίζετο· καὶ οὐχ ἑαυτῷ μόνον, ἀλλ' ἤδη γε καὶ τοῖς σὺν αὐτῷ. Λέγεται δὲ τελειωτικὸς οὗτος ὁ φόβος, ὅτι τὸν ἠξιωμένον ἔχειν αὐτὸν, τελειοῖ τὴν κατ' ἄνθρωπον τελειότητα· καθὼς ὁ στοιχειωτικὸς στοιχειοῖ πρὸς ἀρετὴν τὸν κτησάμενον. Εἴη ἂν καὶ μέσος τις φόβος στοιχειωτικοῦ τε καὶ τελιωτειτοῦ, καθὼς καὶ μέση τις τάξις. δουλείας τε καὶ υἱότητος. Μισθαρνίαν λέγουσι ταύτην. Ὥσπερ οὖν πρὸς τὸ λαβεῖν ὁρᾷ καὶ μοχθεῖ διὰ τὴν ἀντίδοσιν ὁ ἐν μισθωτοῖς εὑρισκόμενος, οὕτως ἂν ὁ αὐτὸς καὶ φοβοῖτο, μή πως ἀποτύχῃ τῆς μισθαποδοσίας ἀμελήσας τοῦ ἔργου καὶ καθυφείη τῆς σπουδῆς.

« Καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ. » — Καὶ χαίρετε αὐτῷ τῷ Κυρίῳ μὴ ἐν λύπῃ καὶ πικρίᾳ ψυχῆς τὰς αὐτοῦ ποιοῦντες ἐντολὰς ἀλλ' ἐν ἀγαλλιάσει καὶ ἱλαρότητι· πλὴν ἔστω καὶ τρόμος ἐν ὑμῖν ἡ τοῦ φόβου ἐπίτασις, ἵνα προσεκτικοὺς ὑμᾶς ἐργάζηται καὶ συννενευκότας εἰς τὴν τῶν ἐντολῶν φυλακήν· Καὶ ἄλλως δὲ ἀγαλλιᾶσθε αὐτῷ τῷ δουλεύειν τῷ Κυρίῳ πᾶσαν χαρὰν ἔχοντες ἐν ἑαυτοῖς· ὅτι τοιούτου Κυρίου δοῦλοι γενέσθαι κατηξιώθητε.

« Δράξασθε παιδείας μήποτε ὀργισθῇ Κύριος καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας. » — Παιδείαν λέγει τὴν πρακτικὴν ἀρετήν. Τὸ δὲ δράξασθε δύο δηλοῖ, τὸ ταχέως λαβεῖν, καὶ τὸ κατασχεῖν ἀσφαλῶς. Οὐδὲ γὰρ χρὴ ζητεῖν ἀνειμένως τὴν ἀρετὴν ἢ μετ' ἀναβολῆς, ἀλλὰ συντόνως καὶ μετ' ἐπειγωλῆς. Δράττεσθαι τῆς παιδείας ἀναγκαῖόν ἐστιν, εἴτ' οὖν ὀξέως ἁρπάζειν αὐτὴν καὶ εἰσοικίζειν ἐν ἑαυτοῖς. Τὸ γὰρ χρονίζειν ἐν τῷ κακῷ πονηρὸν ἔθος τίκτει καὶ δυσαπόβλητον· Ὥσπερ γὰρ ἐξ ἔθους ἡ ἀρετὴ τὸ μόνιμον ἔχει καὶ πάγιον, οὕτω καὶ ἡ κακία δυσέκτριπτός ἐστιν ἐγχρονίσασα. Καὶ τὰ πολλὰ τοῖς αὐτῆς ἐργάταις συγκαταλύεται. Μὴ σπουδῆς ὅτι πολλῆς εἰσενεχθείσης εἰς τὴν ταύτης ἀποβολὴν καὶ τὴν κτῆσιν τοῦ ἀγαθοῦ. Δράξασθε παιδείας, μετ' ἐπιτεταμένης ταχυτῆτος λαβόντες αὐτὴν, ὅλαις δραξὶ κατάσχετε καὶ φυλάξατε, προθυμίᾳ χρώμενοι πάσῃ καὶ ἀγῶνι πολλῷ, καὶ συναντιλήψεται Κύριος, ἢ μὲν ὀργισθήσεται καὶ ἐάσει ὑμᾶς, καὶ ἀπολεῖσθε ἐκ τῆς ὁδοῦ τῆς δικαίας· ἣν ἔγνω καὶ ᾠκειώσατο. Ταύτης ἐκπεσόντες δὲ τῆς ὁδοῦ, καὶ τοῦ κλήρου τῶν δικαίων συνεκπεσεῖσθε κατὰ τὴν ἡμέραν τῆς κρίσεως. Λέγοι δ' ἂν ἴσως καὶ τὸ τῶν δικαίων τάγμα δικαίαν ὁδόν. Εἰώθαμεν γὰρ καὶ ἡμεῖς ἰδόντες πολλάκις ἀνδρῶν εὐλαβῶν ἀθροισμὸν, ἢ μὲν ἀκηκοότες περὶ αὐτῶν λέγειν, Καλὴ διαγωγὴ, θεοφιλὴς πολιτεία, τῇ κοινῇ τοῦ ἔργου προσηγορίᾳ τοὺς ἐργαζομένους διαθημαίνοντες.

« Ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ. — Τότε γὰρ ταχέως ὁ θυμὸς αὐτοῦ ἐκκαήσεται· Χώραν οὐκ ἔχοντος τοῦ μακροθυμεῖν· διὰ τὸ συγκεκλῆσθαι πάντα τῆς μετανοίας καιρόν.

« Μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτόν. » — Οἱ πεποιθότες ἐμπράκτως, οὐ λόγοις μόνοις ἢ καὶ διαθέσει πεπλασμένῃ μόνῃ ψυχῆς· Ἀλλ' οἱ τεθαῤῥηκότες αὐτῷ διὰ τὸ ποιεῖν αὐτοῦ τὰ θελήματα· τίς γὰρ, Κύριε, Κύριε, λέγων ἦχον διάκενον καὶ καρπῶν ἔρημον, τὴν ὀργὴν αὐτοῦ παρελεύσεται; Χρὴ τοίνυν, ἀληθῶς ἐλπίζειν ἡμᾶς ἐπὶ Κύριον, πάντων τῶν γεηρῶν ἀποστάντας καὶ πρὸς αὐτὸν μόνον βλέποντας, ἵνα καὶ τῆς ἀληθοῦς ἀξιωθῶμεν μακαριότητος. Ἐν αὐτῷ τῷ Κυρίῳ καὶ Θεῷ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ Γ'.

Ὥσπερ πῦρ κρίνει χρυσὸν, εἴτε κίβδηλος, εἴτε δόκιμος, οὕτω καὶ ψυχὴν πειρασμὸς, εἴτε σαθρὸν, εἴτε σταθερὸν αὕτη φέρει τὸ φρόνημα. Τὴν μὲν γὰρ δειλαίνειν καὶ καταπίπτειν ποιεῖ, τὴν δ' ἀνδρίζεσθαι καὶ βεβαιότερον ἵστασθαι, τῇ θείᾳ κραταιουμένην χειρί· Χωρὶς γὰρ ἐμοῦ, φησὶν, οὐ δύνασθε ποιεῖν οὐδέν· » διὸ χρὴ καὶ πάντοτε μὲν ὅλῳ ψυχῆς ἀτενίζειν ὄμματι πρὸς Θεὸν, ἐπεὶ καὶ τὸ κατευθύνεσθαι θεόθεν καὶ τὸ φυλάττεσθαι· παρὰ Κυρίου γὰρ τὰ διαβήματα ἀνθρώπου κατευθύνεται, καὶ ἂν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων, ἐξαιρέτως δὲ κατὰ τοὺς πολέμων καιροὺς καὶ τῶν θλίψεων. Τοῦτο γὰρ μόνον ἀσφαλὲς ἐν ἐχθρῶν ἐπιθέσεσι, τὸ καταφεύγειν ὁλοψύχως ἐπὶ τὸν Κύριον. Εἴ τε διὰ σοφῶν αὐτῶν οἱ νοητοὶ πολεμοῖεν καὶ θλίβοιεν δυσμενεῖς εἴτε καὶ διὰ τῶν οἰκείων ὀργάνων, λέγω δὴ τῶν βασκάνων ἀνθρώπων καὶ πονηρῶν. Ταῦτα καὶ ὁ προφήτης ἐξ ὧν ἐποίει διδάσκει νῦν διὰ τοῦ τρίτου ψαλμοῦ, προηγουμένως δὲ περὶ τῶν ἀοράτων ἐχθρῶν ὁ λόγος αὐτῷ, καὶ ἡμῖν προσερχομένοις ἁρμοδιώτατος.

OCR ABK / FR

« Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; » — Οὐκ ἔχω τινὶ τὰ περὶ τῶν ἐμὲ λυπούντων ἀνενεγκεῖν, εἰ μὴ σοὶ τῷ Κυρίῳ μου τῷ μόνῳ δυνατῷ βοηθῆσαί μοι. Τὸ δὲ τί θαυμαστικόν. Βαβαὶ, τί ἐπληθύνθησαν οἱ θλίβοντές με! Βαβαὶ πόσον πλῆθός εἰσι!

« Πολλοὶ ἐπανίστανται ἐπ' ἐμέ. » — Πολλοὶ ἐπεγείρονταί μοι πολέμιοι. Τὰ αὐτὰ δὲ πάλιν φησὶν ἐκ παθαινομένης ψυχῆς, τὸν Θεὸν ἐπικαλούμενος εἰς βοήθειαν.

« Πολλοὶ λέγουσι τῇ ψυχῇ μου, Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ. » — Λέγουσιν ἐν τῇ ψυχῇ μου δι' ἐμὲ, νοερῶς οὐ λόγῳ προφορικῷ συνωθῆσαί με σπεύδοντες εἰς ἀπόγνωσιν. Οὐκ ἔστιν αὐτῷ σωθῆναι παρὰ τοῦ Θεοῦ αὐτοῦ ὃν ἐπικαλεῖται Θεὸν, καὶ ὡς λέγει ὅτι Θεός μου εἶ σύ. Οὐκ ἔστιν αὐτῷ σωθῆναι παρ' αὐτοῦ· διότι ἥμαρτεν εἰς αὐτόν.

« Σὺ δὲ, Κύριε, ἀντιλήπτωρ μου εἶ. » — Οἱ μὲν τοιούτους ὑποσπείρουσι λογισμοὺς, ἐκθορυβεῖν με καὶ ταράττειν σπουδάζοντες· ἐγὼ δὲ λῆρον ἄντικρυς τὰς τοιαύτας αὐτῶν ἡγούμενος προσβολὰς σὲ μόνον ἐπιγράφομαι διὰ παντὸς ἀντιλήπτορα, μηδαμόθεν ἄλλοθεν τὴν οἱανοῦν ἀντίληψιν εἰς ἐμαυτὸν φανταζόμενος· οἶδα γὰρ ὅτι χρηστὸς εἶ καὶ ἀνεξίκακος, καὶ ἀντιλαμβάνῃ τῶν ἐπιστρεφόντων εἰς σέ.

« Δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου. » — Σὺ εἶ δόξα μου μόνος, ὁ τοὺς ἐχθροὺς μου τροπούμενος, καὶ δοξάζων με τὸν πρὸς οὐδεμίαν ὁρῶντα δόξαν ἐγκόσμιον. Σὺ εἶ τὴν κεφαλήν μου ὑψῶν· ὁ παῤῥησίας μοι καὶ θάῤῥους μεταδιδοὺς, ἐκ τοῦ βοηθεῖν μοι διηνεκῶς, καὶ μὴ ἐῶν ποτε τὴν ἐμὴν κεφαλὴν κατακάμπτεσθαι τῷ βάρει τῶν συμφορῶν, ἀλλὰ τῇ πρὸς σὲ πεποιθήσει κουφίζων καὶ ἀνάγων αὐτήν.

« Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ. » — Πρὸς ἑαυτὸν ταῦτα θαρσοποιά. Πέπειρα καί φησι τοῦ πλούτου τῆς τοῦ Κυρίου χρηστότητος, καὶ ἄλλοτε δεηθεὶς καὶ εἰσακουσθείς. Φωνὴν δὲ λέγει τὴν νοερὰν ἔντευξιν· κεκραγέναι τὴν ἐπίτασιν τῆς τοιαύτης ἐντεύξεως· ἐπακοῦσαι τὸ ἐκπερᾶσαι τὴν αἴτησιν. Ὄρος ἅγιον αὐτοῦ τὸ ὕψος τῆς ἁγιότητος ἐπ' ἄπειρόν φησιν· Ὑψηλὸς ὢν ὁ Κύριος ἐν ἁγιότητι, τὴν ἐμὴν ἐν ἁμαρτίαις οὐ παρεῖδε ταπείνωσιν. Ἀλλ' ἔντευξιν ἐποιησάμην ὅλαις ὁρμαῖς νοῦ πρὸς αὐτὸν, καὶ ἐπήκουσέ μου ἐξ ὕψους ἁγιότητος αὐτοῦ.

« Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην ὅτι Κύριος ἀντιλήψεταί μου. » — Ἐσκότωταί μου ταῖς ἀθυμίαις ὁ λογισμὸς, καὶ τῆς ἐπαλλήλοις κεχάρωμαι συμφοραῖς, καὶ ἄπρακτος ἐγενόμην δίκην ὑπνοῦντος καὶ ἀνενέργητος ἐν ἀμηχανίᾳ πάσῃ καταστάς. Ἀλλ' ἐννοήσας ὅση τοῦ Κυρίου ἡ ἀντίληψις καὶ μᾶλλον ἐν τοῖς ἀπόροις, ἐπὶ τοὺς εἰς αὐτὸν καταφεύγοντας, ἀνένηψά τε καὶ ἀνεθάῤῥησα πιστεύσας ὅτι κἀμοῦ Κύριος ἀντιλήψεται.

« Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ τῶν κύκλῳ συνεπιτιθεμένων μοι. » — Λοιπὸν ἐπείπερ ἀντιλήψεταί μου ὁ Κύριος, οὐ φοβηθήσομαι ἀπὸ πολλοῦ πλήθους ἐχθρῶν τῶν ἐκ παντὸς μέρους ὁμοθυμαδὸν ἐπιπιπτόντων καὶ μαχομένων μοι. Ταῦτα δὲ λέγω

A τῇ τοῦ Κυρίου ἀντιλήψει τεθαῤῥηκώς. Ἐκ μὲν οὖν τῶν ἔμπροσθεν λέγοιντ' ἂν οἱ δαίμονες πολεμεῖν, ὅτε κατὰ πρόσωπον οἷον ἑστῶτες, φανερῶς καὶ ἀπαρακαλύπτως εἰς κακίαν ὀτρύνουσιν· ἐκ δὲ τῶν ὄπισθεν ὁπότε λαθραίως καὶ ἀφανῶς ἐπὶ βουλὰς καὶ δόλους τεκταίνουσιν οἷον, εἰ τῷ τῆς ἀγάπης προβλήματι πρὸς πόθους ἀσελγεῖς ἐν κρυπτῷ συλαγωγοῖεν κατὰ μικρὸν, ἢ μὴν πρὸς συμπόσια καὶ τὰς ἐν αὐτοῖς ἀδιαφορίας ἐκκαλοῖντο καὶ φλυαρίας, πολλὰ τοιαῦτα κατείδομεν ἐκ τῶν δεξιῶν, ὡς ὅτε διὰ τῆς ἐξ ἀνθρώπων δόξης εἰς οἴησιν ἕλκουσιν, ἢ διὰ τοῦ κατ' ἀρετὴν δῆθεν ὑποδείγματος εἰς ὑπόκρισιν· ἐκ τῶν ἀριστερῶν, ὅτε τοὐναντίον διὰ τῆς ἐκ τῶν πολλῶν λοιδορίας καὶ διακραυγῆς ἢ καὶ λοιπῶν ἐπαγωγῆς δυσχερῶν, ἄλογος ἀπαραμύθη-
B τον ἐπιφέρουσιν, ἢ καὶ δι' ἁμαρτίας εἰς ἀπόγνωσιν καὶ ἀπαγόρευσιν σωτηρίας ἐκτραχηλίζουσιν. Ὁ μέντοι συνετὸς καὶ σπουδαῖος προκατοπτεύσει τὰς αὐτῶν μηχανὰς καὶ οὐδέποτε πτοηθήσεται· στήσεται δὲ καὶ ἀντιπαρατάξεται πρὸς πᾶσαν μεθοδείαν ἐπιβουλῆς νουνεχῶς, καὶ πρὸς τὰς ὅλας πολεμικὰς συμπλοκὰς ἀνδρικῶς· ὑπὸ Θεοῦ φωτιζόμενός τε καὶ σοφιζόμενος καὶ ὑπὸ τῆς ἀντιλήψεως αὐτοῦ δυναμούμενός τε καὶ κρατυνόμενος, καὶ τὰς μὲν ἐκ τῶν ἔμπροσθεν προσβολὰς ταπεινώσει ψυχῆς καὶ πόνοις σώματος ἀποκρούσεται, τὰς δ' ἐκ τῶν ὄπισθεν διὰ τῆς προφυλακῆς καὶ τοῦ συντετηρημένην ἔχειν ἀεὶ τὴν διάνοιαν, καὶ πεπαιδευμένην ὅλην τὴν αἴσθησιν, τὰς ἐκ τῶν δεξιῶν, τῷ εἰδέναι ὅτι οὐδέν ἐστιν, οὔτε πλοῦτος, οὔτ' ἔπαινος, οὔτ' ἀξίωμα, οὔθ' ἡ κοσμικὴ ματαιότης ἡ σύμπασα, τὰς ἐκ τῶν ἀριστε-
C ρῶν, τῷ πρὸς μηδὲν ἀνθρώπινον βλέπειν, ἱστάμενον ὡς ἐν τάχει διαλυόμενον, ἀλλὰ πρὸς τὴν ἐκ Θεοῦ καὶ μόνον δικαίωσιν ἀτενῶς καὶ ἀδιαστάτως ὁρᾷν, ὡς ἀσφαλεστάτην τε καὶ μονιμωτάτην. Καί γε τὴν αὐτοῦ ἀγαθότητα, δι' ἣν ἀσμένως καὶ τοὺς ἐξ αὐτοῦ μακρύναντας καὶ αὖθις ὡς χρεὼν ἐπιστρέφοντας, δέχεται.

« Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου. » — Εἰπὼν πρὸς ἑαυτὸν τὰ θαρσοποιὰ, λέγει πάλιν πρὸς τὸν Θεόν. Ἐγὼ τῇ παρὰ σοῦ σωτηρίᾳ θαῤῥῶν τούτους ἐφθεγξάμην τοὺς λόγους. Λοιπὸν ἀνάστα, σῶσόν με, ὁ Θεός μου· καὶ οἱ δι' ἐμὲ λέγοντες, Οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ, γνώτωσαν ὅτι σὺ, ὁ Θεός μου, ἔσωσάς με. Εἴρηται δὲ τὸ ἀνάστα μεταφορικῶς, ἀπὸ τῶν ἐκ τῆς καθέ-
D δρας ἀνισταμένων καὶ κινουμένων εἰς τὸ βοηθῆσαί τισιν.

« Ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως. » — Ὅτι, ἐὰν μόνον ἀναστῇς εἰς τὸ σῶσαί με, παραυτίκα σὺ πάντας ἐπάταξας τοὺς ἐμοὶ ματαίως ἄνευ τινὸς αἰτίας ἐχθραίνοντας. Τί γὰρ ἠδίκηνται παρ' ἐμοῦ;

« Ὀδόντας ἁμαρτωλῶν συνέτριψας. » — Εὐθέως τὴν ἰσχὺν τῶν ἁμαρτωλῶν ἐξημφάνισας, ἀναστὰς τὸ σῶσαι τὸν δοῦλόν σου. Καὶ τοῦτο δὲ μεταφορικῶς ἀπὸ τῶν θηρίων τῶν ἐν τῷ δάκνειν ἐχόντων τὴν δύναμιν, ἃ τοὺς ὀδόντας συντριβέντα, μένουσιν ἀδρανῆ καὶ ἀνίσχυρα. Προσφυὴς ἡ μεταφορά. Τί

OCR ABK / FR

γὰρ τῶν δαιμόνων ἀγριώτερον καὶ θηριωδέστερον; Ἁμαρτωλοὺς δέ φησιν αὐτούς, ὡς μηδέν τι δίκαιον ἔχθρας ἔχοντας εἰς αὐτόν, ἅμα δὲ καὶ ὡς αἰτίους τῆς ἁμαρτίας καὶ ὡς ψεύστας καὶ ὡς ἀποστάτας Θεοῦ. Τοῦ Κυρίου ἡ σωτηρία. Εἰπὼν πρὸς Θεόν, ὅτι Μόνον ἀναστὰς εἰς τὸ σῶσαί με τοὺς ἐμοὺς ἐχθρούς, ἤδη πάντας ἐπάταξας, σὺ καὶ οὐκ ἄλλος οὐδείς, καὶ τὸ σθένος αὐτῶν κατέλυσας, ἐπάγει πάλιν τὸ αἴτιον, ἀσυνδέτως καὶ ἀποφαντικῶς τοῦ Κυρίου τὸ σώζειν, ἑτέρου δὲ οὐδενός, καθὰ καὶ ἀλλαχοῦ φησιν, ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις· καὶ τὸ ἀντιλαμβάνεσθαι γὰρ καὶ τὸ σώζειν μόνου τοῦ Κυρίου ἔργον ἐστί.

« Καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου. » — Εὐκτικῶς καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐεργεσία εἴη καὶ χάρις σου. Κἀγὼ δὲ ταύτης, ὡς εἷς τοῦ λαοῦ σοῦ, μετάσχοιμι. Στοργικῇ δὲ διαθέσει κινούμενος ὁ προφήτης, ἐπεύχεται τὴν εὐεργεσίαν καὶ τὴν χάριν τὴν παρὰ τοῦ Κυρίου παντὶ τῷ τοῦ Κυρίου λαῷ παιδεύων καὶ ἡμᾶς μὴ περικλείειν ἑαυτοῖς μόνοις τὸ ἀγαθόν, ἀλλὰ κοινοποιεῖσθαι, καὶ τοσοῦτον, ὡς καὶ παρὰ τοῦ Θεοῦ τὰ τοῖς ἄλλοις αἰτεῖν συνοίσοντα, τὴν ἐκείνων ὠφέλειαν οἰκεῖον ἔχοντας ὀρεκτόν· οὕτω γὰρ ἂν εἴημεν τοῦ Θεοῦ. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. Εὐχῆς δὲ τύπῳ καὶ τοῦ Χριστοῦ τὴν ἀνάστασιν προφητεύει Δαυΐδ, ἐν τῷ λέγειν, « Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου » προσώπῳ τῆς τῶν ἀνθρώπων φύσεως ἁπάσης τὸν λόγον ποιούμενος· διὰ πάντας γὰρ ἐλήλυθεν ὁ Χριστός· καὶ ἡ αὐτοῦ ἀνάστασις εἰς πάντων σωτηρίαν ἐγένετο· καὶ ὅσοι τῆς σωτηρίας ἀπέτυχον, οἴκοθεν τοῦτο πεπόνθασιν, αὐτοὶ τῆς ἑαυτῶν σωτηρίας προελόμενοι, τὴν ἀπώλειαν, τῷ μῦσαι περὶ τὸ φῶς καὶ τὸν Σωτῆρα μὴ ἐπιγνῶναι, καὶ τοῖς αὐτοῦ μὴ κατακολουθῆσαι σωστικοῖς διατάγμασι. Λέγει οὖν ἡ φύσις ἡμῶν πρὸς τὸν Κύριον· Ἐπεὶ κατελθὼν εἰς τὸν ᾅδην, τοὺς μάτην ἐχθραίνοντάς μοι πάντας ἐπάταξας δαίμονας, καὶ τὸ κράτος αὐτῶν καταβέβληκας, σὺ καὶ οὐ πρέσβυς, οὐκ ἄγγελος, οὔτε τις τῶν ἄλλων οὐδείς, ὅτι ταῦτα πεποίηκας, ἀνάστα λοιπὸν ἀπὸ τῶν νεκρῶν καὶ τελείαν τὴν σωτηρίαν μοι βράβευσον, εἰς αὐτοὺς με τοὺς οὐρανοὺς ἐκ τῶν καταχθονίων ἀναγαγών, ὅτι σοῦ τοῦ Κυρίου ἡ ἐμὴ σωτηρία κατόρθωμα, καὶ ἐπὶ τὸν λαόν σου τὸν διὰ πίστεως ὀρθῆς καὶ σεμνῶν πράξεων ᾠκειωμένον σοι διαφοιτήσει ἡ εὐλογία σου· πρὸς αὐτὸν γὰρ ἐρεῖ τὸν λαόν· « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν· ὥσπερ τῆς βασιλείας αὐτοῖς, οὕτω καὶ τῆς εὐλογίας μεταδιδούς, ὁ μόνος βασιλεύς, ὁ μόνος εὐλογητός· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ Δ'.

Ἐν τῷ τετάρτῳ ψαλμῷ προοιμιάζεται ὁ προφήτης εὐχαριστίαν πρὸς τὸν Θεόν, καὶ κηρύττει τὴν αὐτοῦ ἀγαθότητα δι' ἣν καὶ πρὸ τοῦ τὴν δέησιν ἐκπερᾶναι πᾶσαν, εἰσήκουσται καὶ δεδικαίωται παρὰ τοῦ Θεοῦ καὶ τῆς αὐτὸν συνεχούσης ἠλευθέρωται θλίψεως. Εἶτα καθικνεῖται τῶν οὐκ ἐλπιζόντων ἐπὶ τὸν Κύριον, ἀλλὰ πρὸς γῆν νενευκότων, καὶ περὶ τὰ

A γήϊνα πράγματα τὴν πᾶσαν ἐχόντων σπουδήν· καὶ θεοφιλοῦς πολιτείας ἀπαγόρευσιν ποιησάμενος καὶ τῶν τὰ κόσμου φρονούντων καταμεμψάμενος, ἐν τῷ τέλει τοῦ λόγου, καὶ περὶ τοῦ τέλους τῆς οἰκείας διέξεισι βιοτῆς.

« Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσέ μου ὁ Θεὸς τῆς δικαιοσύνης μου. » — Ἔτι, φησίν, ἐπικαλουμένου μου, καὶ μήπω πληρώσαντος τὴν ἐπίκλησιν, αὐτὸς ἐπλήρωσέ μου τὴν αἴτησιν· ὀνομάζει δὲ τὸν Θεὸν τῆς αὐτοῦ δικαιοσύνης Θεόν· ἤγουν τὸν εἰς αὐτὸν δικαιοσύνης ἐργάτην καὶ ποιητήν, καὶ ὥσπερ ἀλλαχοῦ φησιν, « Ὁ Θεὸς τῆς σωτηρίας μου, » τουτέστιν ὁ σωτηρίας τῆς ἐμῆς αὐτουργός. ὁ σώζων με Θεός· καὶ πάλιν, « ὁ Θεὸς τῆς βοηθείας μου, » ὁ βοηθῶν μοι δηλονότι
B Θεός, οὕτω δὴ κἀνταῦθά φησιν, « Ὁ Θεὸς τῆς δικαιοσύνης μου, » ὁ δικαιῶν με Θεός, « ἐν θλίψει ἐπλάτυνάς με, » διηγησάμενος ἐν κοινῷ τὴν εὐεργεσίαν ἣν ἔσχεν ἐκ τῆς θείας χρηστότητος, νῦν περὶ ταύτης λέγει καὶ πρὸς τὸν εὐεργέτην αὐτόν. Ἐν πολλῇ με θλίψει στενοχωρούμενον, καὶ οἷον ἀποπνιγόμενον, ἐπείπερ ἠρξάμην ἐπικαλεῖσθαί σε βοηθόν, αἴφνης ἐπλάτυνας ἀγαλλιάσεως πλατυσμῷ πόῤῥω διώξας τὰ δυσχερῆ.

« Οἰκτείρησόν με καὶ εἰσάκουσον τῆς προσευχῆς μου. » — Καὶ εἰς τὸ ἑξῆς οἰκτείρησόν με, ὥσπερ ᾠκτείρησας νῦν, καὶ εἰσάκουσον τῆς προσευχῆς μου καθὼς ἀρτίως εἰσήκουσας.

« Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; » — Καρδίαν φησὶ τὴν ψυχήν, ὡς πρῶτον καὶ κυριώτερον ὄργανον καὶ συνεκτικώτερον τῆς ζωῆς. Εὐχαριστίαν
C δὲ καὶ ἱκεσίαν ποιησάμενος πρὸς Θεὸν καὶ δείξας ὡς ἔργον ἔχει τὸ προσανέχειν Θεῷ τοὺς περὶ τὰ γήϊνα κοπτάζοντας ὀνειδίζει σφοδρῶς αὐτῶν καθαπτόμενος, ὅτι οὐκ ἀνάγουσι τὰς ψυχὰς πρὸς Θεόν, ἀλλὰ βαρείας ποιοῦσιν αὐτὰς καὶ καταφερεῖς, ἀλλοκότοις ἀσχολίαις καὶ μερίμναις ἐπιφορτίζοντες· τῷ δὲ εἰπεῖν υἱοὶ ἀνθρώπων, ἀποδιίστησιν αὐτοὺς τοῦ εἶναι Θεοῦ ὅλως υἱούς, ὥσπερ εἰ ἔλεγεν, Ἄνθρωποι σάρκες καὶ αἵματα μηδέν τι θεῖον ἔχοντες ἐν ἑαυτοῖς, ἕως πότε βαρυκάρδιοι ἔσεσθε;

« Ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος. » — Μάταιον λέγεται τὸ ἀνυπόστατον οὗ ὄνομα μέν, ὕπαρξις δὲ οὐδαμῶς. Διὰ τί φιλεῖτε τὴν κοσμικὴν εὐημερίαν τὴν οὖσαν οὐδέν; διὰ τί ζητεῖτε τὴν ἀνθρωπίνην δόξαν, τὴν ψεῦδος τυγχά-
D νουσαν προφανῶς; τί γὰρ ἀνθρωπίνης δόξης ἀβεβαιότερόν τε καὶ ἀπιστότερον;

« Καὶ γνῶτε ὅτι ἐθαυμάστωσε Κύριος τὸν ὅσιον αὐτοῦ. » — Ἐκ τοῦ εἰπεῖν ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος· εἰσάγεται κατ' ἔννοιαν τὴν τοιαύτην ἀγάπην καὶ ζήτησιν παραιτήσασθε. Καὶ γνῶτε ὅτι θαυμαστὸν ἐποίησεν ὁ Κύριος πάντα τὸν ἀφωσιωμένον αὐτῷ, πολλοῖς ἐν τῇ γῇ σεμνύνας χαρίσμασιν, ἐν δὲ τοῖς οὐρανοῖς ἀῤῥήτου καὶ ἡ δίου καταξιώσας λαμπρότητος καὶ ὑπὲρ νοῦν καὶ διηνεκοῦς ἀπολαύσεως. Ταῦτά ἐστιν ἡ ἀψευδὴς δόξα καὶ ἡ μόνιμος εὐημερία καὶ ἀμετάπτωτος. Θεῷ δ' ἀφωσιωμένος ἐστὶν ὁ μὴ μεμερισμένος κόσμῳ τε καὶ

OCR ABK / FR

θεῷ ἀλλ' ὁλοκλήρως τοῦ Θεοῦ, πάσης ὑπερανῳκισμένος κοσμικῆς προσπαθείας καὶ σχέσεως καὶ τὸ πολίτευμα ἔχων ἐν οὐρανοῖς ζῶν ζωὴν ὑπερκόσμιον.

« Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν. » — Ἐπεὶ πάντα τὸν ἀφωσιωμένον αὐτῷ Κύριος ἐθαυμάστωσεν, ἀνάκειμαι δὲ κἀγὼ τῷ Κυρίῳ καὶ τὴν ἐλπίδα μου πᾶσαν ἐπ' αὐτῷ κέκτημαι, μηδὲν τῶν ἐν κόσμῳ ποιούμενος περισπούδαστον· πιστεύω βεβαίως τε καὶ ἀσφαλῶς, ὅτι Κύριος κεκραγότος μου πρὸς αὐτόν, εἰσακούσεται· διὸ καὶ ὑμεῖς οἱ βαρυκάρδιοι τὴν ματαιότητα καὶ τὸ ψεῦδος ἐάσαντες καὶ πρὸς τὸν Κύριον στρέψαντες ὁλοψύχως εἰσακουσθήσεσθε.

« Ὀργίζεσθε καὶ μὴ ἁμαρτάνετε. » — Οὐ προστακτικόν, ἀλλ' ἐρωτηματικόν, τὸ ὀργίζεσθε· τοιοῦτος γὰρ ὁ λόγος· Εἰ καὶ ὀργίζεσθε διαλύετε τὴν ὀργήν· καθὼς ἐντέλλεται καὶ τὸ Εὐαγγέλιον, « Μὴ ἐπιδυέτω, φάσκον, ὁ ἥλιος ἐπὶ τῷ παροργισμῷ ὑμῶν. » Τὸ δὲ καὶ μὴ ἁμαρτάνετε τοιοῦτόν ἐστι· μὴ τελείαν καὶ ἀπηρτισμένην ἐργάζεσθε τὴν ἁμαρτίαν ἐν τῷ κακοποιεῖν ἢ ἐν τῷ μνησικακεῖν, ἐπεί τοί γε καὶ τὸ ὀργίζεσθαι ἁμαρτία ἐστί. Περὶ δὲ τῆς ὀργῆς διδάσκει τῆς ἐπιψόγου καὶ βλαπτικῆς ἐξ ἧς ἔριδες, μάχαι, πληγαί, καὶ τἄλλα τὰ τὰ παραπλήσια τά τε χείριστα· τὸ γὰρ τινα κινηθῆναι πρὸς πλημμελούντων διόρθωσιν οὐκ ἔστιν ὀργή, ἀλλὰ ζῆλος ἐπαινετὸς καὶ ὠφέλιμος.

« Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε. » — Δι' ἃ λέγετε καὶ μελετᾶτε ἐν ταῖς καρδίαις ὑμῶν ἀπευκτικὰ καὶ ἁμαρτητικά, περὶ τῶν τοιούτων γὰρ ὁ λόγος, ἐπὶ ταῖς κοίταις ὑμῶν κατὰ τὸν τῆς ἐνδείας καιρόν, κατανύγητε καὶ λυπήθητε, καὶ μετανοήσατε· ταυτὸν δ' εἰπεῖν περὶ ὧν ἀτόπων καὶ παρὰ τὴν ἐντολήν, ἐν ἡμέρᾳ διαλογίζεσθε, κατὰ τὴν ἐπιοῦσαν εὐθὺς νύκτα πενθήσατε, ταχεῖαν ποιούμενοι καὶ αὐτῶν τῶν διαλογισμῶν τὴν διόρθωσιν. Ἐντεῦθεν δὲ τρόπους ἀκριβοῦς μετανοίας ὁ προφήτης ἡμῖν παραδίδωσι, μὴ περὶ τῶν πράξεων μόνον, ἀλλὰ καὶ περὶ τῶν βουλευμάτων παραινῶν κατανύσσεσθαι. Τούτου γὰρ γινομένου πρᾶξις ἁμαρτίας, οὐκ ἂν ἐκτελεσθείη ποτέ. Τῶν γὰρ ἀρχῶν ἀναιρουμένων, καὶ τὰ τέλη συναναιρεῖται. Κατανύσσεσθαι δέ ἐστι τὸ κατακεντᾶσθαι τὴν καρδίαν τῇ μνήμῃ τῶν ἐπταισμένων. Ἐντεῦθεν καὶ ἡ κατάνυξις εἴρηται, νύξις γὰρ καρδίας εἰς βάθος, Ἔρρηξε δακρύων πηγήν· ἡ δ' ἁμαρτημάτων ἀπέπλυνε κολασμούς.

« Θύσατε θυσίαν δικαιοσύνης, καὶ ἐλπίσατε ἐπὶ Κύριον. » — Ἀδικεῖτε μηδένα δόλου, ποιεῖτε τὸ δίκαιον, καὶ ἔσται τοῦτο θυσία εὐπρόσδεκτος τῷ Θεῷ. Τὴν τοιαύτην οὖν θυσίαν τὴν τῆς δικαιοσύνης θύσαντες, ἐλπίσαθε ἐπὶ Κύριον καὶ τῆς αὐτοῦ ἀντιλήψεως τεύξασθε. Ταύτης δὲ τῆς θυσίας ἀπούσης, ὁ λέγων ἐλπίζειν ἐπὶ Κύριον ἠπάτησεν ἑαυτόν.

« Πολλοὶ λέγουσι· Τίς δείξει ἡμῖν τὰ ἀγαθά; » — Οἱ πολλοὶ τοῖς λόγοις τοῦ Θεοῦ μὴ προσέχοντες, ταῖς ἐπαγγελίαις αὐτοῦ μὴ πιστεύοντες, ἀγνωσίᾳ καὶ ἀσυνεσίᾳ διοικούμενοι, Τίς δείξει ἡμῖν, λέγουσι,
A τὰ ἀγαθὰ ταῦτα τὰ πολυθρύλλητα, τὴν τοῦ Κυρίου ἀντίληψιν, τὴν τῶν λυπούντων ἀπαλλαγήν, καὶ τὴν ἀκήρατον ἐκείνην ζωήν;

« Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. » — Ἐκεῖνοι οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται· ἐφ' ἡμᾶς ἐνεσημάνθη τὸ φῶς τῆς σῆς ἐπισκοπῆς καὶ ἀντιλήψεως, Κύριε. Τοὺς τὴν σὴν ἐπεγνωκότας χρηστότητα, καὶ φέρομεν αὐτὸ διαπαντὸς ἐν ἑαυτοῖς ἀναπόβλητον καὶ τῶν ἐνταυθοῖ πεπειραμένοι τῶν ἀγαθῶν, οὐδὲ περὶ τῶν ἐκεῖσε διστάζομεν.

« Ἔδωκας εὐφροσύνην εἰς τὴν καρδίαν μου. » — Εὔφρανας τὴν ψυχήν μου ταῖς μυρίαις εὐεργεσίαις σου. « Καὶ ταῖς ἀψευδέσιν ἐπαγγελίαις σου.

« Ἀπὸ καρποῦ τοῦ οἴνου καὶ ἐλαίου αὐτῶν ἐπλη-
B θύνθησαν. » — Ἡμεῖς μὲν ἐκ τῆς σῆς ἐπισκοπῆς τῆς τε νῦν οὔσης ἐν ἡμῖν καὶ τῆς αἰωνίως ἐσομένης ἐς ὕστερον ἐφωτίσθημεν καὶ εὐφράνθημεν. Οἱ δ' ἐσκοτισμένοι τῆς γῆς, ὅσοι κεχήνασι περὶ χοῦν, ταῖς σωματικαῖς εὐπαθείαις τὴν εὐδαιμονίαν ἅπασαν περιώρισαν, καὶ κατὰ τὴν σφῶν αὐτῶν κρίσιν, ἀπὸ καρποῦ αὐτῶν ὁλικῶς, ἤγουν ἀπὸ τῶν ἀνὰ πᾶν ἔτος συλλεγομένων αὐτοῖς καρπῶν ἄρτου καὶ οἴνου καὶ ἐλαίου, δαψιλῶς ἐνεπλήσθησαν, τὴν σάρκα καταπιαίνοντες καὶ τούτου περαιτέρω μηδέν τι διανοούμενοι· Διὰ δὲ τῆς τῶν ἀπηριθμημένων πλησμονῆς ὡς πολυχρήστων καὶ τὴν ἄλλην τροφὴν ἐνέφηνεν. Ἡ σύνταξις καθ' ὑπερβατόν, ἀπὸ καρποῦ αὐτῶν, σίτου, οἴνου καὶ ἐλαίου, ἐπληθύνθησαν, εἴτ' οὖν εἰς πλῆθος ἐνεφορήθησαν. Οὐδετέρως δὲ τὸ σῖτον παραληφθέν, ὃ δηλοῖ τὸν ἄρτον προηγουμένων (προηγουμένως)
C ἑπομένως δὲ καὶ πᾶν βρῶμα καὶ πᾶσαν τροφήν, εἰς τὴν τοῦ σίτου κέκλιται γενικήν· Ὁ γὰρ σῖτος καρπὸς ἐστιν οὐκ ἀπὸ καρποῦ, καθάπερ ἐξ ἐλαίας τὸ ἔλαιον, καὶ ὁ οἶνος ἐκ σταφυλῆς.

« Ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ κοιμηθήσομαι καὶ ὑπνώσω. » — Οἱ μὲν οὖν πολλοί, καθὼς εἴρηκα διετέθησαν, ἀλλ' ἐγὼ τοσαύτης ἐν τῷ κόσμῳ τούτῳ τῆς παρὰ σοῦ μετέχων διηνεκῶς ἀντιλήψεως, πλείονος δὲ ταύτης, καὶ τελεωτέρας μετὰ τὴν ἐμὴν μετάστασιν ἐν οὐρανοῖς ἐλπίζων ἐπιτυχεῖν εἰρήνῃ σωματικῇ τε καὶ ψυχικῇ τὴν τελευταίαν κοίμησιν κοιμηθήσομαι, καὶ ταύτην ἐπὶ μακρὸν ἐκτενῶ· τοῦτο γὰρ τὸ ὑπνώσω· διὰ δὲ τοῦ κοιμηθήσομαι καὶ ὑπνώσω τὴν ἀνάστασιν προδήλως ἐσήμανεν. Ὁ γὰρ κοιμώμενος καὶ ὑπνῶν ἀνίσταται πάλιν ἐν ζῶσιν ὤν.

D « Ὅτι σύ, Κύριε, κατὰ μόνας ἐπ' ἐλπίδι κατῴκισάς με. » — Διὰ τί φησιν, Ἐπὶ τὸ αὐτό, τοῦτ' ἔστιν ἐμοῦ, ψυχῆς ἐν εἰρήνῃ καὶ σώματος, τὴν ἐπίκηρον καταλύσω ζωήν; διότι σύ, Κύριε, κατὰ μόνας ἤτοι μεμονωμένον τῷ τρόπῳ καὶ τῇ γνώμῃ κεχωρισμένον ὧν εἶπον ἀνδρῶν, ἐν τῷ κόσμῳ με τούτῳ κατοικῆσαι πεποίηκας, ἐπ' ἐλπίδι τῆς σῆς ἀντιλήψεως, δι' ἧς καὶ τῶν σωματικῶν δυσχερῶν τε καὶ λυπηρῶν ἀπαλλαγήσομαι τέλεον, καὶ τὰ τὴν ψυχὴν ἐκταράττοντα πνεύματα πονηρίας ἀποσοβήσομαι, καὶ διττῇ γαλήνῃ καὶ θυμηδίᾳ καταπαύσας τὸν δρόμον τοῦτον δὴ τὸν ἐγκώμιον, ἄσμενος πρὸς τὰ σὰ μεταχωρήσω σκηνώματα, πρὸς ἃ τῷ πόθῳ φερό-

OCR ABK / FR

μενος, ἐν οἷς ἀεὶ νοερῶς αὐλιζόμενος, τὴν εἰς σὲ A καὶ μόνον ἐλπίδα τῶν ἐν βίῳ περισπουδάστων ἁπάντων ἀντηλλαξάμην· καὶ τοῦτο δὲ παρὰ σοῦ· σὺ γάρ με κατὰ μόνας κατῴκισας. Ταῦτα δὲ λέγων ὁ προφήτης, τὴν αὐτοῦ πᾶσαν ἀρετὴν ἀνατίθησι τῷ Θεῷ, ποιητικὸν αἴτιον ἀγαθοῦ παντὸς εἰδὼς τὸν Θεόν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ Ε'.

Ἱκέσιος ὢν ὁ πέμπτος ψαλμὸς, ὁποῖον εἶναι χρὴ τὸν ἐντυγχάνοντα τῷ Θεῷ σαφῶς τε καὶ συντόμως παρίστησιν, ἤγουν ὁλικῶς μὲν κατὰ τοὺς θείους νόμους πολιτευόμενον, ἐξαίρετα δὲ κεκτημένον τὰ δύο ταῦτα, τὸ ἀπόνηρον ἐν τῇ ψυχῇ καὶ τὸ ἀψευδὲς ἐν τῷ στόματι.

« Τὰ ῥήματά μου ἐνώτισαι, Κύριε. » — Ῥήματα B λέγει τὰς ἱκεσίας τὰς διὰ λόγου προφορικοῦ· ἐνώτισαι δὲ τὸ εἰς τὰ ὦτα παράδεξαι.

« Σύνες τῆς κραυγῆς μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. » — Τὰς νοερὰς ἐντεύξεις κραυγὴν φησι καὶ φωνὴν ὡς κραζούσας συντόνως καὶ φωνούσας διαδήλως πρὸς τὸν Θεόν, εἰ καὶ ἀνθρώποις οὐκ ἐξακούονται· τὸ σύνες ἀντὶ τοῦ συνετῶς ἄκουσον, ἤτοι γνωστῶς, ὥσπερ εἰ ἔλεγε, θέλησον γνῶναι περὶ τίνος πράγματος ἱκετεύω σε· τὸ πρόσχες, προσεκτικὸς τοῖς λεγομένοις γενοῦ, καὶ ὅλος τῆς παρ' ἐμοῦ σοι προσφερομένης δεήσεως. Διὰ δὲ τούτων οὕτως ἐπαλλήλως τεθέντων, τὴν τῶν αἰτημάτων ἐπιτηδεύει περάτωσιν. Ὥσπερ δὲ πολλαχοῦ ταῖς μεταφοραῖς ὁ ψαλμογράφος εὑρίσκεται χρώμενος, οὕτω δὴ κἀνταῦθα ποιεῖ, καὶ ἀπὸ τῶν εἰς ἀνθρώ- C πους γινομένων, σκιαγραφεῖ καὶ τὰ εἰς Θεὸν νοούμενα δηλονότι θεοπρεπῶς· οἱ γὰρ ἱκεσίας τινῶν ἐκπληροῦν προαιρούμενοι τούς τε λόγους αὐτῶν ἐν τοῖς ὠσὶ παραδέχονται, καὶ τὰς αἰτήσεις γνῶναι σπουδάζουσι καὶ προσεκτικῶς τῶν λεγομένων ἀκούουσιν, ὥσπερ αὖ τοὐναντίον οἱ πρός τινας οὐκ ἔχοντες εὐμενῶς οὔτε τοῖς παρ' αὐτῶν λεγομένοις προσέχουσιν οὔτε γνῶναι βούλονται περὶ τίνων ἐκδυσωποῦσιν, οὔτ' αὐτοὺς ἀνέχονται τοὺς λόγους εἰς ὦτα δέξασθαι, μᾶλλον μέντοι καὶ δυσχεραίνουσιν, ὡς ἐνοχλούμενοί τε καὶ θορυβούμενοι.

« Ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. — Ὁ λόγος ἐκ στοργικῆς διαθέσεως, ὁ πεποιθημένος μου βασιλεὺς, οὗ τοῖς νόμοις ἄγομαι καὶ τοῖς θεσπίσμασιν αἱρετῶς· διότι σύ μου Θεὸς εἶ καὶ δημιουργός.

« Ὅτι πρὸς σὲ προσεύξομαι, Κύριε. » — Εἰσά- D κουσόν μου, ὅτι πρὸς σὲ διὰ παντὸς προσεύξομαι, Κύριε. Πόθεν γάρ μοι ἄλλοθεν ἐλπὶς ἀντιλήψεως. « Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου· » ἐπειδὴ εἶπας, Ἔτι λαλοῦντός σου ἐρῶ, Ἰδοὺ πάρειμι τῆς τοιαύτης ἐπαγγελίας σου μεμνημένος διηνεκῶς. Πεπίστευκα βεβαίως, ὅτι τῆς φωνῆς εἰσακούσῃ μου κατὰ τὸ πρωῒ, τουτέστι κατὰ τὸ ταχὺ βραδυτῆτος ἐκτὸς καὶ μελλήσεως.

« Τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψει με. » — Διὰ τοῦτο κἀγὼ ταχέως καὶ ἄτερ ἀναβολῆς παραστήσομαί σοι ὡς δοῦλός σου παράστασιν νοερὰν· καὶ ἐπ' ἐμὲ ἴδῃς ἐπισκεψάμενός με τῇ σῇ χρηστότητι. Ἀποστραφήσῃ δὲ οὐδαμῶς· παραστήσομαί σοι ὡς βασιλεῖ μου. Τοῖς σοῖς ἑκὼν, ὡς ἔφην, ἑπόμενος διατάγμασιν· Ὁ γὰρ μὴ οὕτως ἔχων οὐ δυνήσεται παραστῆναί σοι.

« Ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. » — Ὅτι οὐχὶ ὁ Θεὸς σὺ θέλων ἤτοι καταδεχόμενος ἀνομίαν εἶ· δείκνυται δὲ διὰ τούτων ὡς ὁ ζῶν εὐνόμως. Ἐκεῖνος δύναται παρίστασθαι τῷ Θεῷ. Τῇ γὰρ τοῦ οἰκείου νόμου παραβάσει Θεὸς οὐκ ἐνδίδωσιν· ἀποβλήτους ἔχει τοὺς τὰς αὐτοῦ παραβαίνοντας ἐντολάς· αὐτοὶ γὰρ ἑαυτοὺς ἐμάκρυναν ἀπ' αὐτοῦ· πῶς οὖν λοιπὸν αὐτῷ παραστήσονται μὴ διὰ μετανοίας εἰλικρινοῦς εἰς αὐτὸν ἐπιστρέψαντες;

« Οὐ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. » — Οὐ παρὰ σοὶ οἰκήσει πονηρευόμενος, ἤγουν οὐ πλησιάσει σοι, οὐδὲ τῆς σῆς ἐπισκοπῆς καὶ οἰκήσεως παράνομοι τεύξονται. Πρὸς μὲν οὖν τὸ παραστήσομαί σοι τὸ οὐ παροικήσει σοι πονηρευόμενος ἀντιτέθειται· πρὸς δὲ τὸ ἐπόψει με τὸ οὐ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Παράνομος μὲν οὖν ἐστιν ὁ παραβάτης τινῶν δεσποτικῶν ἐντολῶν, ἄνομος δὲ ὁ τῶν θείων νόμων εἰς τέλος ἀθετητής. Ἐνταῦθα μέντοι καὶ παράνομος καὶ τὴν ἀνομίαν ἐργαζόμενος, ὁ αὐτὸς, ὁ μὴ ἐννόμως πολιτευόμενος καὶ ὀρθῶς.

« Ἐμίσησας πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. » — Καὶ εἰκότως· ἐπεὶ γὰρ οὐ θέλεις τὴν ἀνομίαν, τοὺς ὃ μὴ θέλεις ἐργαζομένους ἐμίσησας, ὥσπερ τοὺς ποιοῦντας, ὃ θέλεις ἠγάπησας.

« Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. » — Τοῦτο δείκνυσιν ἐναργῶς ὡς οὐδείς τις τῶν τῷ ψεύδει χρωμένων σωθήσεται, κἂν εἴ τι ἄρα καὶ λέγοιτο ποιεῖν ἀγαθόν. ἀλλὰ μετὰ τοῦ πατρὸς αὐτοῦ καὶ διδασκάλου τοῦ Σατανᾶ πληρώσεται τὴν ἀπώλειαν· ὥσπερ γὰρ ὁ Θεὸς ἀληθείας πατήρ ἐστι καὶ καθηγητὴς, οὕτως ὁ ἀποστάτης καὶ ἀντικείμενος ψεύδους γενέτης γινώσκεται καὶ μυσταγωγός· Καὶ οἱ μὲν ἀληθείᾳ συζῶντες μετὰ Θεοῦ τάττονται, Θεοῦ μαθηταὶ χρηματίζοντες, οἱ δὲ τὸ ψεῦδος λαλοῦντες οὐκ ἄδηλον τίνος εἰσὶ μύσται καὶ τίνι συνάγονται. Ῥίζα τὸ ψεῦδος ὁμολογουμένως πάσης αἱρέσεως, διαβολῆς, δολιότητος, ἀπάτης· τί χρὴ τὰ κατὰ μέρος διεξιέναι; πάσης κακίας ἀρχὴ, πάσης ἀσεβείας· πρώτιστον αἴτιον· Ποῦ τοίνυν οὐκ ἔσται κακὸν τὸ οὕτως κακόν; Διὰ τοῦτό φησιν ὁ προφήτης ἐν ἁγίῳ Πνεύματι πρὸς τὸν Κύριον, « Ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος » οὐ τινὰς μὲν, τινὰς δ' οὔκ, ἀλλὰ τοὺς πάντας ὁμοῦ.

« Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος. » — Ὅτι μὲν τὸν ἀνδροφόνον, οὗτος γὰρ αἱμάτων ἀνὴρ, βδελύσσεται Κύριος τίς τῶν ἁπάντων ἀμφιβάλει· καὶ γὰρ τῶν ἀνθρώπων ὅσοι μικρὸν γοῦν ἐπιεικεῖς, τὸν τοιοῦτον μυσάττονται· Πλὴν ἐντεῦθεν μανθάνομεν, ὅτι καὶ ὁ δόλιος συνέζευκται τῷ φονεῖ παρὰ τῆς θείας Γραφῆς· τοσοῦτόν ἐστι καὶ οὗτος ἀποτρόπαιος τῷ Θεῷ.

« Ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου, εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· προσκυνήσω πρὸς ναὸν

OCR ABK / FR

ἅγιόν σου ἐν φόβῳ σου. » — Τοῦτο μετριοφροσύνης ὑπόδειγμά τε καὶ δίδαγμα. Πάσης γὰρ πονηρίας ὁ τοῦ Θεοῦ ἄνθρωπος ἀμέτοχος ὤν, ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, φησὶ πρὸς Θεὸν, ἤγουν οὐ διὰ τὴν ἐμὴν ἀρετὴν, ἀλλὰ διὰ τὸ πλῆθος τοῦ ἐλέους σου τῆς τοιαύτης ἀξιωθήσομαι χάριτος. Οἶκον δὲ καὶ ναὸν καὶ τὸν αἰσθητὸν ὑποληπτέον τὸν ἐν τῇ γῇ, καὶ πολλῷ μάλιστα τὸν νοητὸν καὶ ὑπερουράνιον, πρὸς ὃν ὅποι γῆς ἕστηκεν ὁ θεοφιλὴς, νοερῶς εἰσερχόμενος ἐν φόβῳ, καὶ εὐλαβείᾳ προσκυνεῖ τὸν Θεόν.

« Κύριε, ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, ἐν ταῖς ἐντολαῖς σου ἐν αἷς πᾶσαν διδάσκεις δικαιοσύνην χειραγώγησόν με. » — Σοῦ γὰρ μὴ χειραγωγήσαντος ἕως τέλους, τὴν τρίβον τῶν σῶν ἐντολῶν ἀπροσκόπως διελθεῖν οὐ δυνήσομαι.

« Ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. » — Ὁδὸς ἡ διαγωγή· καὶ εἰ μὲν κατὰ τοὺς θείους νόμους ὁδεύει τις, ἡ ὁδὸς αὐτοῦ ἐστιν ἐνώπιον τοῦ Θεοῦ, θείας ἐποπτείας ἀξία τυγχάνουσα. Καθὸ ἄμωμος καὶ ἀρεστὴ τῷ Θεῷ καὶ κατὰ τούτους τοὺς λόγους ἐπεγνωσμένη Θεῷ, γινώσκει γὰρ Κύριος ὁδὸν δικαίων· εἰ δὲ παρὰ τὴν ἐντολὴν ὁδὸς, οὐκ ἔστιν ἐνώπιον τοῦ Θεοῦ, τήν τε κατ' οἰκείωσιν γνῶσιν οὐ γινώσκεται παρὰ τοῦ Θεοῦ. Λέγει τοίνυν ὁ προσευχόμενος, Οἱ ἐχθροί μου πειρῶνται διηνεκῶς ἀποπλανῆν με τῆς μέσης ὁδοῦ τῆς ὀρθῆς καὶ κατ' ἀρετὴν, καὶ ἢ πρὸς δεξιὰ ἐκτρέπειν ἢ πρὸς ἀριστερὰ, δι' ὑπερβολῶν ἢ δι' ἐλλείψεων ἀπάγειν τῆς ἀρετῆς μηχανώμενοι, καὶ ὅσον τὰ ἐπ' αὐτοῖς οὐκ ἐῶσι γίνεσθαι τὴν ἐμὴν διαγωγὴν ἐνώπιόν σου. Σὺ γοῦν αὐτὸς ἕνεκα τῶν κατ' ἐμοῦ δολιευομένων ἐχθρῶν ὄρθωσον τὴν διαγωγήν μου ἐνώπιόν σου πάντοτε γίνεσθαι ἀπαρέγκλιτον. Ὅσον γάρ τις ἐκκλίνει τῆς ἀρετῆς, τοσοῦτον ἀπάγει τὴν ὁδὸν αὐτοῦ καὶ διαγωγὴν τοῦ εἶναι ἐνώπιον τοῦ Θεοῦ μακρυνόμενος ἀπὸ τοῦ Θεοῦ. Δηλοῖ δὲ πολλαχοῦ τὸ ἐνώπιον τοῦ Θεοῦ καὶ τὸ ἀλάθητον, ὡς τὸ « Ἐξημάρτομεν ἐνώπιόν σου, » καὶ, « Τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, » καθὼς καὶ ἡ γνῶσις τὴν εἴδησιν, ὡς τὸ, « Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν ἀνθρώπων ὅτι εἰσὶ μάταιοι. »

« Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια· ἡ καρδία αὐτῶν ματαία. » — Ψεῦσται καὶ ἀπατεῶνές εἰσιν. Ὑποτιθέασι δῆθέν τινα συνοίσοντα. Τὰ δέ εἰσι βλαπτικά. Διὰ δὲ τῆς καρδίας τὰς μελέτας αὐτῶν ἐδήλωσε μελετῶσι κατ' ἐμοῦ κακά. Τὸ κακὸν δὲ μάταιον ὡς ἀνύπαρκτον ὥστε τὸ μάταιον οὐ μόνον ἐπὶ τοῦ ἀσυστάτου παραλαμβάνεται καὶ ψευδοῦς, ἀλλὰ καὶ ἐπὶ τοῦ δολίου καὶ περιέργου καὶ πονηροῦ καὶ ἀλυσιτελοῦς καὶ ὅλως κακοῦ.

« Τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν. » — Ὥσπερ ὁ ἀνεῳγμένος τάφος, ὁ ἔχων ἐν αὐτῷ σῶμα διαφθορᾶς, ἐκφέρει δυσωδίαν ἀφόρητον, οὕτω δὴ καὶ οἱ δαίμονες, ἀσέμνους ἐνθυμήσεις ἀναπεμπάζουσι τῇ ψυχῇ καὶ βλασφημιῶν αἰσχίστων ἐξερεύγονται ῥήματα.

« Ταῖς γλώτταις αὐτῶν ἐδολιοῦσαν. » — Ἐδολιεύοντο κατ' ἐμοῦ, καὶ τὸ ἔργον αὐτῶν ὁ δόλος ἦν ἀπ' ἀρχῆς καὶ οὔποτ' ἦσαν μὴ δολιούμενοι. Γλῶσσαι δὲ καὶ καρδία καὶ στόμα καὶ λάρυγξ ἐπὶ δαιμόνων εἴρηνται τρόπῳ μεταφορᾶς.

« Κρῖνον αὐτοὺς, ὁ Θεός. » — Κρίσιν ποιησάμενος ἐπ' αὐτοῖς δικαίαν κατὰ τὰ ἔργα αὐτῶν, ἀπόδος αὐτοῖς, ὁ δίκαιος Θεός. Ἀποπεσέτωσαν ἀπὸ τῶν διαβουλίων αὐτῶν, ἐκπεσέτωσαν τῶν κατ' ἐμοῦ βουλευμάτων αὐτῶν, μηδὲν ἀνυσάτωσαν ὧν κατ' ἐμοῦ μελετῶσιν ἀπρακτησάτωσαν.

« Κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς. » — Πολλαὶ αὐτῶν αἱ ἀσέβειαι· καὶ γὰρ ἀεὶ βλασφημοῦσιν εἰς σὲ, καὶ κατὰ τῶν σῶν διηνεκῶς ἐκστρατεύουσιν, αἰχμαλωτίσαι σπεύδοντες αὐτοὺς ἀπὸ σοῦ. Κατὰ γοῦν τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ποίησον αὐτοῖς, καὶ νῦν μὲν ἔξωσον αὐτοὺς ἀφ' ἡμῶν ἡττημένους καὶ ᾐσχυμμένους, ἐν τῷ καιρῷ δὲ τῆς κρίσεως ἐκδίωξον αὐτοὺς εἰς τὴν γέενναν. Καὶ ἀποκατάστησον, εἰς τὸ ἡτοιμασμένον αὐτοῖς αἰώνιον πῦρ, ὡς ἂν αἰωνίως κολάζοιντο.

« Ὅτι παρεπίκρανάν σε, Κύριε. » — Σοῦ γὰρ περὶ πολλὰ τιθεμένου τὴν σωτηρίαν ἡμῶν καὶ ποικίλοις τρόποις οἰκονομοῦντος αὐτὴν ἀντεπιχειροῦσιν οὗτοι καὶ ἀντιπράττουσι, καὶ παντοίως μηχανῶνται τὴν τῶν ἀνθρώπων ἀπώλειαν· παραπικρασμὸν δὲ νοητέον τὴν τῶν δαιμόνων ἀντιστασίαν, ὅσον τὸ εἰς αὐτοὺς ἧκον πρὸς τὸ βούλημα τοῦ Θεοῦ· τὸ γὰρ θεῖον παντὸς πάθους ἀνώτερον.

« Καὶ εὐφρανθείησαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ. » — Ἐνταῦθα μὲν ἐπικρατέστεροι τῇ σῇ βοηθείᾳ τῆς τῶν δαιμόνων πανουργίας γενόμενοι, ἐκεῖ δὲ τῶν σῶν ἀνεκφράστων ἀγαθῶν ἀπολαύσαντες, εἰς αἰῶνα ἀγαλλιάσονται, τουτέστι διηνεκῶς νῦν μὲν παρὰ πᾶσαν αὐτῶν τὴν ζωὴν, ὑπὸ σοῦ κραταιούμενοι, καὶ πάσης ἐπιβουλῆς ὑπέρτεροι καθιστάμενοι, τότε δὲ τὴν ἄῤῥητον ἐκείνην ἀγαλλίασιν αἰωνίζουσαν κληρωσάμενοι, καὶ κατασκηνώσεις ἐν αὐτοῖς, νῦν μὲν ταῖς αὐτῶν θεοφιλέσι ψυχαῖς ἐπαναπαυόμενος, τότε δὲ τῆς σῆς δόξης τε καὶ θειότητος αὐτοὺς ἐμπιπλῶν, ἐν αὐτοῖς τε κατοικῶν, τῷ λόγῳ τῆς οἰκειώσεως Θεὸς ἐν μέσῳ θεῶν γνωριζόμενος ὁ κατ' οὐσίαν τῶν κατὰ μέθεξιν, καὶ καυχήσονται ἐν σοὶ οἱ ἀγαπῶντες τὸ ὄνομά σου. Νῦν μὲν ὑπὸ σοῦ δυναμωθέντες καὶ νικηταὶ καταστάντες ἐν σοὶ καυχήσονται· τότε δ' ἐκεῖνα γέρα τὰ ὑπὲρ ἅπασαν ἔννοιαν, παρὰ μόνου σοῦ κομισάμενοί σε καὶ μόνον ἕξουσι καύχημα. Διὰ δὲ τοῦ εἰπεῖν οἱ ἀγαπῶντες τὸ ὄνομά σου τὸ τοῦ πόθου διάπυρον ἔδειξεν· οἱ γὰρ ποθοῦντες σφοδρῶς καὶ τῷ τοῦ ποθουμένου τρυφῶσιν ὀνόματι, καὶ ἀγαπῶσιν αὐτὸ λαλούμενόν τε καὶ ἀκουόμενον, ὅτι σὺ εὐλογήσεις δίκαιον, Κύριε, πάντα δηλονότι τὸν δίκαιον· νῦν μὲν γὰρ οἱ δίκαιοι τῆς σῆς εὐλογίας καὶ χάριτος τεύξονται. Καὶ ἐπαινεθήσονται παρά τε καὶ τοῖς σοῖς, τότε δ' ἐνώπιον παγκοσμίου ἀθροίσματος καὶ ἀνθρώπων καὶ ἀγγέλων ἀκούσονται, « Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς. » Εὐχαριστήριον ἐπιφώνημα τὸ ὡς ἀντὶ τοῦ λίαν, θαυμαστικῶς ἡ ἀνάγνωσις. λίαν

OCR ABK / FR

περιετείχισας ἡμᾶς καὶ περιφράξας ὅπλῳ καὶ ὀχυρώματι εὐδοκίας, ἀγαθοῦ δηλονότι θελήματος· σοῦ γὰρ τοῦ ἀγαθοῦ τὸ ἀγαθὸν εἰς ἡμᾶς θέλημα φυλακτήριον, ὅπλον γέγονεν ἡμῖν ἀῤῥαγέστατον ἀτρώτους ἡμᾶς ἐκ τῶν πολεμίων διατηροῦν, τοὺς πρὸς τὴν σὴν καὶ μόνην σκέπην ἐλπίζοντας. Ὑπερβατῶς ἡ σύνταξις « ὡς ἐστεφάνωσας ἡμᾶς ὅπλῳ εὐδοκίας, » λίαν περιεκύκλωσας ἡμᾶς ὡς ἐν στεφάνῃ κυκλοτερεῖ, τῷ ὅπλῳ τῆς εὐδοκίας σου, καὶ κραταιῶς ἀπὸ πάσης βλάβης διέσωσας. Εἴη σοι δόξα τῷ εὐεργέτῃ καὶ Κυρίῳ ἡμῶν καὶ Θεῷ, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ ϛ'.

Οἱ πειρασμοὶ τοῖς ἀνθρώποις, ποτὲ μὲν ἐκ φθόνου δαιμόνιων ἐγείρονται καὶ οὗτοι τάχιστα παύονται, τοῦ πειραζομένου καταφεύγοντος ἐπὶ τὸν Θεὸν ὅλῃ ψυχῇ καὶ πάσῃ σπουδῇ, καὶ τὴν ἐκεῖθεν εὐθὺς ἐπισπωμένου βοήθειαν, ποτὲ δὲ διὰ δοκιμασίαν ἐπέρχονται. Ὅτε δὴ καὶ καρτερίαν ὁ πειραζόμενος ἀνδρικὴν ἐνστησάμενος, πολλῶν ἐπάθλων τυγχάνει παρὰ τοῦ ἀθλοτέρου Θεοῦ νικητὴς ἀναγορευόμενος ὑπ' αὐτοῦ καὶ ἀριστεὺς γενναιότατος· οἱ τοιοῦτοι δὲ πειρασμοὶ τὰ πολλὰ παραμόνιμοι καὶ χρόνιοι καὶ διαρκεῖς, ἑπταπλασίως ὡς τὰ λόγια πυροῦντες τὸν μεγαλόψυχον καὶ καθαίροντες, καὶ λαμπρότερον δεικνύντες καὶ τιμιώτερον. Οἱ πολλοὶ δὲ τῶν πειρασμῶν διά τινας προηγησαμένας πλημμελείας, ἐπάγονται πρὸς ἡμετέραν ὠφέλειαν. Διὰ τῶν τοιούτων πειρασμῶν ἐλέγχει καὶ παιδεύει τῆς ἡμῶν σωτηρίας ὁ κηδεμὼν ἐν πραότητι καὶ χρηστότητι· ἐλέγχει μὲν, παρασκευάζων ἡμᾶς, ἐκ τῆς τῶν ἀλγεινῶν ἐπιφορᾶς; εἰς συναίσθησιν ἐλθεῖν ὧν ἐπταίκαμεν, καὶ μετανοίας πόνοις τὰ πταίσματα καὶ καρδίας στεναγμοῖς ἀποτρίψασθαι· παιδεύει δὲ σωφρονίζων, καὶ δίκας εἰσπράττων ὧν τετολμήκαμεν, τὴν διόρθωσιν ἅμα καὶ τὸ ἀνέγκλητον οἰκονομῶν ἡμῖν ἐκ τῆς τοιαύτης εἰσπράξεως. Ἐν μὲν οὖν τῇ ζωῇ ταύτῃ φιλανθρώπως ἐλέγχει καὶ παιδεύει Θεὸς, ὡς δεδήλωται, κατὰ δὲ τὴν μέλλουσαν ἀναβίωσιν εἰ θυμῷ τοῖς ἐπταικόσι καὶ μὴ τεθεραπευμένοις ὁ ἔλεγχος, τιθεμένων τῶν οἰκείων ἁμαρτημάτων εἰς πρόσωπον, μεθ' ὅσης αἰσχύνης οὐκ ἔστιν εἰπεῖν, καὶ ἡ παίδευσις ἐν ὀργῇ· καὶ γὰρ οὐ πρόσκαιρος. οὐδ' εἰς σωφρονισμὸν καὶ διόρθωσιν, ἀλλ' εἰς αἰῶνος, ἀλλ' εἰς κλῆρον, καὶ τῆς αὐτῆς μενούσης δὴ καταστάσεως, μήτε τῆς αἰσχύνης ἐχούσης πέρας, μήτ' αὐτῆς κολάσεως μήτε μὴν τῶν δεδεκασμένων πρὸς τὸ κρεῖττον ἀλλοιουμένων ἐκ τῆς παιδεύσεως, τοῦτο δὲ μόνον συνιέντων, ὡς ἐκομίσαντο δίκαια παρὰ τοῦ δικαίου κριτοῦ, τὰ τῶν αὐτοῖς διαπεπραγμένων ἐπίχειρα. Τοίνυν καὶ Δαυῒδ ὁ βασιλεὺς περιτυχὼν διά τι πλημμέλημα πειρασμῷ, πολὺ μὲν ἀπὸ τῶν ἔξωθεν ἐβιάζετο συμφορῶν, πολὺ δ' ἐκ τῆς τῶν νοουμένων ἐχθρῶν ἐπιθέσεως, πλέον δὲ πάντων τῇ ἐννοίᾳ τῆς ἐν κρίσει καταδίκης, καὶ τῶν πικροτάτων ἐκείνων καὶ ἀπεράντων τιμωριῶν κατατεινόμενος, ἐπιέζετο· διὸ δὴ καὶ κακουχίᾳ σώματος καὶ στεναγμοῖς καὶ δάκρυσιν οὐ διέλειπεν ἐξιλεούμενος τὸν Θεόν· ὅθεν καὶ

A τὸν ἕκτον τοῦτον ψαλμὸν συντέθεικεν ἱλαστήριον διδάσκων καὶ ἡμᾶς περιπεπτωκότας τινὶ πλημμελήματι, τά τ' ἐπερχόμενα φέρειν εὐτόνως ἀνιαρὰ, καὶ οἴκοθεν ἐν κόπῳ καὶ πόνῳ καὶ πένθει τὸν Θεὸν ἐξιλάσκεσθαι, καὶ ὅλους γίνεσθαι τὸ φυγεῖν τὰ ἐκεῖσε δικαιωτήρια.

« Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. » — Τὸ Θεῖον ἀπαθὲς ὡμολόγηται. Θυμὸς οὖν ἐπὶ Θεοῦ καὶ ὀργὴ τὴν εἰς ἡμᾶς διὰ τὰς ἁμαρτίας ἡμῶν ἐπιτεταμένην κάκωσιν ὑπεμφαίνουσι καὶ ποῦ μὲν πρὸ τῆς ὀργῆς τίθεται ὁ θυμὸς, ὥσπερ ἐνταῦθα, ποῦ δ' ἔμπαλιν ὡς ἐν τῷ δευτέρῳ ψαλμῷ τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς. Ἐκεῖ μὲν γὰρ τῷ ἐλέγχῳ καὶ τῇ καταδίκῃ συντέτακται ἡ B ὀργὴ, τῇ βασάνῳ δὲ ὁ θυμός· ὧδε δὲ τῷ μὲν ἐλέγχῳ συνέζευκται ὁ θυμὸς, τῇ κολάσει δὲ ἡ ὀργή. Ὥστε ἀδιάφορος ἡ τάξις αὐτῶν. Εἰ καὶ ἄξια, φησὶν, θυμοῦ καὶ ὀργῆς ἐπλημμέλησα, δέομαί σου, Κύριε, νῦν, ἔλεγξόν με καὶ παίδευσον ἐν οἰκτιρμοῖς προμηθευτικῶς, μὴ κατὰ τὸν καιρὸν τῆς ὑστάτης ἐτάσεως ἐν θυμῷ ἐλέγξῃς καὶ ἐν ὀργῇ παιδεύσῃς ἀποκληρωτικῶς· οὐ παραιτοῦμαι τὸν ἐν τῷ παρόντι βίῳ γινόμενον ἔλεγχον πρὸς τὴν ἐνταυθοῖ παιδείαν, οὐ δυσανασχετῶ· πέπεισμαι γὰρ ὅτι πάντα τὰ δυσχερῆ πρὸς ἰατρείαν ἐπάγει τῶν τῆς ψυχῆς μου πληγῶν.

« Ἐλέησόν με, Κύριε, ὅτι ἀσθενής εἰμι· » τὸ ἔλεός σου, Κύριε, βοηθησάτω μοι. Διότι ἀσθενής εἰμι καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα, τὴν μὲν εἰς τὸ συντονίαν ἐνδείξασθαι τοσαύτην, ὅση τις ἀξία τὴν προηγησαC μένην χαύνωσιν ἀνακτήσασθαι, τὸ δ' εἰς τὸ κοπετοὺς καὶ λοιποὺς μόχθους εἰσενεγκεῖν, ἱκανοὺς ἀντιπράξασθαι τοῖς ἐμοῖς ἁμαρτήμασι· τῷ γὰρ ἐς πολὺ μολυνθέντι πολλῆς δεῖ καὶ τῆς ἐκ κόπων καὶ πόνων καὶ θρήνων καθάρσεως.

« Ἴασαί με, Κύριε, ὅτι ἐταράχθη τὰ ὀστᾶ μου. » — Ὀστᾶ λέγει τὰς τὴν ψυχὴν ἐρειδούσας δυνάμεις λογιστικάς· ἴασαί με, Κύριε, τῷ ἐλέει σου. Ἴασαί με πεπληγμένον τῇ ἁμαρτίᾳ δεινῶς· ἴασαί με, ὅτι οἱ λογισμοί μου τῇ μνήμῃ τῶν ἐπταισμένων σάλου πλησθέντες στάσιν οὐκ ἔχουσι.

« Καὶ ἡ ψυχή μου ἐταράχθη σφόδρα. » — Κατεκλονήθη καὶ γαλήνην ὅλως ἄγειν οὐ δύναται, τοῖς ἐλέγχοις ἐνοχλουμένη τῆς συνειδήσεως. Λέγει δὲ διαφόρως τὰ αὐτὰ, τὴν θρηνῳδίαν ἐπαύξων καὶ D ποικίλως τὸ σφάλμα κατοδυρόμενος.

« Καὶ σὺ, Κύριε, ἕως πότε; » — Ἐλλειπτικῶς, Ἕως πότε ἀποστρέφῃ; μὴ στέγων δὲ τὴν θείαν ἀποστροφὴν ταῦτά φησιν ἐκ πολλῆς ὀδύνης ψυχῆς.

« Ἐπίστρεψον, Κύριε, ῥῦσαι τὴν ψυχήν μου, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. » — Ἀσυνδέτως, Ἐπιστράφηθι πρός με, Κύριε. Λύτρωσαι τὴν ψυχήν μου τῆς ἐνοχῆς τῶν πταισμάτων μου σωτηρίας με καταξίωσον. Ταῦτα πάντα ποίησόν μου, διὰ τὸ ἔλεός σου, οὐ διὰ τὴν μετάνοιάν μου. Ἐγὼ γὰρ εἶπον, ὅτι ἀσθενής εἰμι. Ἀξίως ὧν ἐπλημμέλησα μετανοῆσαι οὐ δύναμαι. Ὅτι οὐκ ἔστιν ἐν τῷ θα-

OCR ABK / FR

νάτῳ ὁ μνημονεύων σου, εἰπών. Ἐπίστρεψον, Κύριε, καὶ τὰ ἑξῆς· διότι ἐν τῇ ζωῇ ταύτῃ δύναται ὁ ἡμαρτηκὼς μεμνῆσθαί σου προσευχόμενος, καὶ τυχεῖν τοῦ ἐλέους σου. Ἐν τῷ θανάτῳ δὲ κατὰ τὴν τῆς ζωῆς τελευτὴν οὐκ ἔστιν ὁ μνημονεύων σου καὶ δεόμενος, ὥστε ἐσχηκέναι συγχώρησιν. Συνέκλεισε γὰρ ὁ θάνατος πάντα καιρὸν ἁμαρτημάτων ἐξιλασμοῦ.

« Ἐν δὲ τῷ ᾅδῃ τίς ἐξομολογήσεταί σοι; » — τὰς οἰκείας ἁμαρτίας μετὰ τὴν αὐτοῦ πρὸς τὸν ᾅδην ἀπαγωγὴν, ὥστε διὰ τῆς ἐξομολογήσεως ἄφεσιν τῶν ἐπταισμένων εὑρεῖν· κατὰ γὰρ τὸν κόσμον τοῦτον ἔχει καιρὸς ἡ ἐξομολόγησις· κατὰ δὲ τὸν ᾅδην οὐκ ἔστιν ἐξομολόγησις. Οὐκ ἔστιν εἰς ἀπαλλαγὴν ἐγκλημάτων μετάνοια. « Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου· λούσω καθ' ἑκάστην νύκτα τὴν κλίνην μου· ἐν δάκρυσί μου τὴν στρωμνήν μου βρέξω. » Ἐλέησόν με, ὅτι στενάζων ἐκοπίασα. Πλὴν καὶ οὕτω κεκοπιακὼς, ἔτι πενθήσω τὰς ἁμαρτίας μου, καὶ μάλιστά γε νυκτὸς, ἅμα μὲν ὡς ἀδείας τότε πλείονος εὐμοιρῶν, ἅμα δ' ὡς τοὺς πολλοὺς λανθάνειν βουλόμενος· ἔτι δὲ καὶ τὸν ἄλλοις ὄντα καιρὸν ἀνέσεως, ἐκεῖνον ἐγὼ καιρὸν κακοπαθείας ποιούμενος. Καὶ οὐχ ἁπλῶς οὐδ' ἐπ' ὀλίγον πενθήσω. Καθ' ἑκάστην δὲ νύκτα καὶ μεθ' ὑπερβολῆς, κλίνην δὲ λέγει τοὔδαφος, ἐν ᾧ ἀνεκλίνετο τὸν ὑποβεβλημμένον σάκκον, στρωμνὴν πενθῶν γὰρ κατὰ γῆς ἔῤῥιπτο σάκκον καὶ μόνον ὑποστρωννὺς ἑαυτῷ· Ἐταράχθη ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου ἀπὸ θυμοῦ τῶν ἐχθρῶν. συγκέχυταί μου ὁ νοῦς ὁ τῆς ψυχῆς ὀφθαλμός. Ὡς ἄγριοι γὰρ θῆρες ἐπεισπίπτουσί μοι ζητοῦντες οἱ οἷόν τε φαγεῖν τὰς σάρκας μου· ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου. Ὥσπερ τὸ πεπαλαιωμένον καὶ σαθρωμένον θριγγίον σε οὐ δύναται κωλῦσαι πολεμίων ἐφόδους, οὕτως ἐγενόμην κἀγὼ πᾶσί μου τοῖς ἐχθροῖς, σεσαθρωμένος ὑπὸ τῆς ἁμαρτίας, καὶ τὴν ἐκ τῆς χάριτος ἀπολωλεκὼς ὀχυρότητα. Καὶ διὰ τοῦτο κατεπεμβαίνουσί μου ὡς βούλονται.

« Ἀπόστητε ἀπ' ἐμοῦ, πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. » — Αἰσθόμενος ἐν ἑαυτῷ θείας παραψυχῆς, ἅμα δὲ καὶ τὸ συμπαθὲς ἀναλογισάμενος τοῦ Θεοῦ, καὶ θάρσος ἐξ ἀμφοῖν προκαλῶν τοῖς ἐχθίστοις δαίμοσι τοῖς ἐργάταις τῆς ἀνομίας, τοῖς δημιουργοῖς τῆς κακίας, ἐπιτιμᾷ καὶ μετ' ἐμβριμήσεως αὐτοὺς ἀποπέμπεται.

« Ὅτι εἰσήκουσε Κύριος τῆς φωνῆς τοῦ κλαυθμοῦ μου, ἤκουσε Κύριος τῆς δεήσεώς μου. Κύριος τὴν προσευχήν μου προσεδέξατο. » — Κύριος καὶ Κύριος καὶ Κύριος. Ἀλλ' εἷς Κύριος. Τὸ αὐτὸ δὲ πολλάκις ἀπαγγέλλει, λέγων· « Ἀπόστητε ἀπ' ἐμοῦ. » Διότι ἔγνων ὡς ὁ Κύριος εἰσήκουσέ μου κατὰ τὸ ἔλεος αὐτοῦ. Αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου. Ἀποστραφείησαν καὶ καταισχυνθείησαν σφόδρα διὰ τάχους· Λόγοις μὲν ἐπιπληκτικοῖς ἀπεπέμπετο τοὺς ἐχθροὺς, ἐκφοβῶν αὐτοὺς, ἑαυτὸν δὲ θαῤῥοποιῶν. Εἰδὼς δὲ τὸ ἔργον ὅλον τοῦ ἐλεοῦντος Θεοῦ, Θεόθεν αἰτεῖ τὸ ἀποστῆναι αὐτοὺς ἀπ' αὐτοῦ, καὶ οὐχ ἁπλῶς, ἀποστῆναι, σὺν αἰσχύνῃ δὲ καὶ τρό-

A πῳ τάχιστα, καὶ τότε καταισχυνθῆναι, τουτέστιν ὑπερβάλλουσαν, ἐκ τῶν συμβεβηκότων αὐτοῖς αἰσχύνην κληρώσασθαι. Τοιαύτη γοῦν ἡ σύνταξις τῶν ῥητῶν. Σφόδρα διὰ τάχους αἰσχυνθείησαν καὶ ταραχθείησαν πάντες οἱ ἐχθροί μου. Ἀποστραφείησαν· ἤγουν ἀπ' ἐμοῦ στραφείησαν εἰς τὰ ὀπίσω, καὶ τότε καταισχυνθείησαν· ἤτοι λίαν αἰσχυνθείησαν. Ὅπερ ἡττηθέντες, ἠτιμωμένοι καὶ τεθορυβημένοι δειλιῶντες καὶ τρέμοντες, μεθ' ὅσης ταχύτητος πεφεύγασιν ἄπρακτοι. Καὶ δὴ, Κύριε, πάντες οἱ δυσμενῶς ἔχοντες πρὸς τοὺς δούλους σου τῆς τοιαύτης πειραθεῖεν αἰσχύνης καὶ ἥττης καὶ διαπετεύσεώς σου τροπουμένου τοὺς παλαμναίους ἀοράτους καὶ φυγαδεύοντος, ἡ τοῦ σοῦ γὰρ θελήματος ῥοπὴ παντοδύναμος· καὶ τὸ σὸν ὄνομα τὸ πανάγιον κράτιστον, φοβερὸν, ὑπερδεδοξασμένον καὶ ὑπερύμνη- B τον, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ Ζ'.

Πολλὴ τῶν δαιμόνων πρὸς ἀνθρώπους ἡ βασκανία, καὶ μάλιστα τοὺς μετιέναι προαιρουμένους βίον ὀρθόν. Διὰ καὶ πολυειδῶς αὐτοῖς ἐπιτίθενται. Τὰ πολλὰ μὲν ἀστράτως διὰ σφῶν αὐτῶν, ἐνίοτε δὲ καὶ δι' ἐχθρῶν αἰσθητῶν τρόπῳ παντὶ συνωθοῦντες εἰς ἁμαρτίαν, καὶ πρὸς ἀπώλειαν ἀπαγχεῖν μηχανώμενοι. Οὐδὲν οὖν ἕτερον τοῦ δεινοῦ πολέμου τούτου λυτήριον ἢ τὸ καταφεύγειν ὁλοψύχως τὸν πολεμούμενον ἐπὶ τὸν τοὺς πολέμους συντρίβοντα Κύριον μὴ κατοῤῥᾳθυμεῖν. Μηδ' ἀνακύπτειν, ἀλλὰ τότε δὴ τότε συντείνειν ἐπὶ πλέον ἑαυτὸν καὶ ἀνδρίζεσθαι, καὶ τῆς εἰς Θεὸν ἐλπίδος ἐξέχεσθαι, C καὶ τὴν ἐκεῖθεν ἐν συντριβῇ καρδίας ἐπικαλεῖσθαι βοήθειαν. Ταῦτα καὶ ὁ παρὼν ἕβδομος ὑφηγεῖται ψαλμός.

« Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα. » — Ἐπὶ σοὶ μόνῳ· σὺ γὰρ μόνος δύνασαι βοηθῆσαί μοι· σῶσόν με ἐκ πάντων τῶν διωκόντων με καὶ ῥῦσαί με; σῶσόν με καὶ ἀβλαβῆ διατήρησον ἀπὸ πάντων τῶν διωκόντων με, καὶ ῥῦσαί με τῆς κακουργίας αὐτῶν, μήποτε ἁρπάσῃ ὡς λέων τὴν ψυχήν μου, μήποτε ὁ διώκων με ἁρπάσῃ τὴν ψυχήν μου διὰ τῆς ἁμαρτίας αἴφνης ὥσπερ λέων ἀγριώτατον θήρ. Ἑνικῶς μὲν οὖν τὴν τοῦ λόγου ποιούμενος προφορὰν τὸν διάβολον δηλοῖ, πληθυντικῶς δὲ τοὺς δαίμονας· καὶ ὁ διάβολος γὰρ καὶ οἱ δαίμονες ἐχθροὶ καὶ διώκοντες, καὶ ὅταν οἱ δαίμονες διώκωσιν, ὁ διάβολος διώκει D δι' αὐτῶν, ὡς δι' οἰκείων δυνάμεων, μὴ ὄντος λυτρουμένου, μηδὲ σώζοντος· διὰ τοῦτο εἶπον, Σῶσόν με καὶ ῥῦσαί με· σοῦ γὰρ μὴ σώζοντος, τίς ὁ σώζων; καὶ σοῦ μὴ ῥυομένου, τίς ὁ λυτρούμενος; Οὐδεὶς ὁ σώζων ἐκτὸς σοῦ, τοῦ μόνου σωτῆρος καὶ λυτρωτοῦ. Κύριε ὁ Θεός μου, εἰ ἐποίησα τοῦτο, εἰ ἔστιν ἀδικία ἐν χερσί μου, εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀποπέσοιμι ἄρα ἀπὸ τῶν ἐχθρῶν μου κενός. » Ἡ ἀντὶ πρόθεσις ἐν Ψαλμοῖς εὑρίσκεται καὶ παρέλκουσα· ποτὲ δὲ καὶ ἡ ἀπὸ, καθάπερ καὶ νῦν· τὸ γὰρ τοῖς ἀνταποδιδοῦσιν, ἀντὶ τοῦ τοῖς διδοῦσιν εἴρηται καταχρηστικῶς. Εἰπὼν δὲ, Ἐποίησα τοῦτο, διαιρεῖ αὐτὸ εἰς δύο τινά,

OCR ABK / FR

τὸ ἀδικῆσαι καὶ τὸ ἀποδοῦναι τοῖς κακοποιήσασιν. εἰ ἐποίησα τοῦτο, τὸ ποῖον; Εἰ ἔστιν ἀδικία ἐν πράξει μου· διὰ γὰρ τῶν χειρῶν τὴν πρᾶξιν ἐδήλωσεν· εἰ ἀνθρώποις ἀπέδωκα τοῖς ἐμὲ κακοποιοῦσιν, εἴ τι τοιοῦτον διεπραξάμην, τῶν ἐχθρῶν δαιμόνων μὴ κατισχύσαιμι. ἀλλὰ κενὸς ἀπ' αὐτῶν ἀποπέσοιμι, μὴ τρεψάμενος αὐτοὺς μηδ' ἀνύσας μηδέν. Διὰ δὲ τούτων ἡμῖν παραινεῖ, δικαίοις εἶναι καὶ ἀνεξικάκοις καὶ κατὰ τὴν ἐντολὴν εὖ ποιεῖν τοὺς μισοῦντας καὶ λυποῦντας ἡμᾶς. Καταδιώξαι ἄρα ὁ ἐχθρὸς τὴν ψυχήν μου καὶ καταλάβοι, καὶ καταπατήσαι εἰς γῆν τὴν ζωήν μου, καὶ τὴν δόξαν μου εἰς χοῦν κατασκηνώσαι. Εἴπερ ἠδίκησα, φησὶν ἢ κακοποιοῖς ἀνταπέδωκα, μὴ μόνον ἄπρακτος ἐκπέσοιμι τῶν ἐχθρῶν, ἀλλὰ καὶ ὁ ἐχθρὸς διάβολος ἐπικρατέστερός μου γενόμενος, καταδιώξαι μου τὴν ψυχὴν ἡττημένου καὶ ταύτην διὰ τῆς ἁμαρτίας χειρώσαιτο, καὶ καταπεπατημένην θείη μου τὴν ζωὴν, διὰ τοῦ εἰς γῆν καὶ τὰ γεηρὰ πράγματα καὶ σπουδάσματα κατασῦραί με καὶ τὴν ἐμὴν δόξαν τὴν ἐκ τῆς ἀρετῆς ποιῆσαι κατεσκηνωμένην εἰς χοῦν, κατενεγκὼν αὐτὴν καὶ καταβαλὼν, διὰ τοῦ τοῖς πάθεσιν τῆς ἀτιμίας ὅλον συγχῶσαί με. Τοιαῦτα μὴ δικαιοσύνην φυλάσσοντες μηδ' ἀνεξικακοῦντες ἑαυτῶν κατευχόμεθα. Συνᾴδει τοῖς προφητικοῖς καὶ ὅπερ λέγειν ἡμᾶς προσευχομένους ὁ ἡμέτερος καθηγητὴς καὶ Κύριος παραδέδωκεν· « Ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. » Τὸ γὰρ ἀφιέναι τοῖς ὀφειλέταις, καὶ τὸ τοῖς ἀνταποδιδοῦσι κακὰ, μὴ ἀνταποδιδόναι, ταυτόν ἐστιν. Οὕτω γοῦν ὡς ἐδιδάχθημεν προσευχόμενοι. Τοῖς δ' ἐπταικόσιν εἰς ἡμᾶς ἀμυνόμενοι τοιαῦτα λέγομεν ἄντικρυς· ἀποτίσαιμεν δίκας ἁπάντων ὧνπερ ἐπταίσαμεν, ἐπεὶ καὶ ἡμεῖς οὐκ ἀφίεμεν τοῖς ἄλλοις τὰ εἰς ἡμᾶς αὐτῶν πλημμελήματα.

« Ἀνάστηθι, Κύριε, ἐν ὀργῇ σου. » — Τῆς τῶν δαιμόνων μεμνημένος μανίας προφητεύει προσφόρως καὶ περὶ τῆς τοῦ δεσπότου Χριστοῦ ἀναστάσεως, δι' ἧς ἐσβέσθη τὸ κράτος αὐτῶν. Ἀνάστηθι, Κύριε, λέγων, ἐν ὀργῇ σου τῇ κατὰ τῶν ἡμᾶς κακούντων ἀποστατῶν· Ἤγουν εἰς τὸ κάκωσιν σφοδρὰν αὐτοῖς ἀγαγεῖν, διὰ τοῦ τὴν τιμὴν αὐτῶν εἰς αἰσχύνην μετενεγκεῖν, καὶ τὴν αὐτῶν ἰσχὺν εἰς ἀσθένειαν. Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου. Ὑψηλὸς εἶ, καὶ τὸ ὕψος τῆς δόξης σου γενέσθω διάδηλον ἐν τοῖς τέλεσι τῶν ἐχθρῶν σου δαιμόνων, ἤγουν, ἐν τῷ τὴν αὐτῶν τυραννίδα τέλος λαβεῖν, καὶ καταργηθῆναι τὸ διὰ τῆς εἰδωλολατρείας σέβας αὐτῶν. Καὶ ἐξεγέρθητι, Κύριε, ὁ Θεός μου, ἐν προστάγματι ᾧ ἐνετείλω. Εἰπὼν ἐν τῷ δευτέρῳ ψαλμῷ προσώπῳ Χριστοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου πρόσταγμα τοῦ Πατέρος τὴν εὐαγγελικὴν διδασκαλίαν ὠνόμασεν· ἐνταῦθα δὲ τὴν αὐτὴν πρόσταγμα καλεῖ τοῦ Υἱοῦ· καὶ εἰκότως· μία γὰρ βασιλεία Πατρὸς καὶ Υἱοῦ, καὶ πρόσταγμα τὸ αὐτό Καὶ γὰρ ὁ Υἱὸς ἐνυπόστατος Λόγος ὢν τοῦ Πατρὸς ἐξαγγέλλει πάντα τὰ τοῦ Πατρὸς, καὶ ὅσα λέγει ὁ Πατὴρ, ὁ Υἱὸς λέγει αὐτὰ, καὶ ὅσα λέγει ὁ Υἱὸς ὁ

A Πατὴρ λέγει αὐτά. Καλῶς δὲ πρότερον εἴρηκε τὸν λόγον Χριστοῦ πρόσταγμα τοῦ Πατρὸς διδοὺς ἡμῖν τὸ αἴτιον ἐννοεῖν. Ἐπεὶ τοίνυν πρὸς οἷς ἑτέροις ἐδίδαξεν ὁ Χριστὸς, ἐδίδαξεν ὅτι καὶ ἀναστήσεται, λέγει πρὸς αὐτὸν ὁ προφήτης ἱκετικῶς καὶ προαγορευτικῶς Ἐξεγέρθητι ἀπὸ τῶν νεκρῶν, Κύριε ὁ Θεός μου, διὰ τὸν λόγον ὃν εἴρηκας ὅτι ἀναστήσῃ πρόσταγμα δὲ τὸν λόγον φησὶ, καὶ τὸ εἰρηκέναι τὸν τοιοῦτον λόγον, ἐντείλασθαι, διὰ τὸ βασιλικὸν, διὰ τὸ ἀμετάθετον· πᾶς γὰρ Χριστοῦ ὄντως βασιλέας λόγος ἐντολὴ καὶ πρόσταγμα καὶ νόμος ἐστί. Καὶ οὐ μὴ παρέλθῃ τοῦ Χριστοῦ λόγος οὐδεὶς, εἰ καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, καὶ συναγωγὴ λαῶν κυκλώσει σε, καὶ συνάξεις διὰ τῆς πίστεως ἐκ παντὸς τοῦ κόσμου λαοὺς περὶ σὲ, καὶ ἡ B τοιαύτη συναγωγὴ καὶ λίαν ἀγαπήσει σε, καὶ λίαν οἰκειωθήσεταί σοι. Διὰ γὰρ τοῦ κυκλώσει σε καὶ ἄμφω δεδήλωται· Οἱ γάρ τινα σφόδρα φιλοῦντες, ἐφιέμενοι τοῦ πλησιάζειν αὐτῷ, περικυκλοῦσιν αὐτόν· ὡσαύτως ὁ πρός τινας οἰκείως ἔχων, ἐθέλων αὐτοὺς προσεγγίζειν αὐτῷ, κύκλῳ ποιεῖται αὐτοῦ. Καὶ ὑπὲρ ταύτης εἰς ὕψος ἐπίστρεψον. Τοῦτο περὶ τῆς ἀναλήψεως καὶ ὑπὲρ ταύτης σου τῆς συναγωγῆς εἰς οὐρανοὺς ἀπὸ γῆς ἐπιστράφηθι, ἵνα καὶ ταύτην ἀναγάγῃς ἐκεῖ καὶ τῆς οὐρανίου καταξιώσῃς βασιλείας καὶ δόξης σου.

« Κύριος κρινεῖ λαούς. » — Τοῦτο περὶ τῆς παγκοσμίου κρίσεως εἴρηται πρὸς ἡμᾶς. Αὐτὸς ὁ Κύριος ἀναστὰς ὁ ἀνελθὼν εἰς τοὺς οὐρανοὺς, αὐτὸν κρινεῖ τοὺς λαούς. Ἀποδώσων ἑκάστῳ τῷ κατ' ἀξίαν.

C » Κρῖνόν μοι, Κύριε, κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν ἀκακίαν μου ἐπ' ἐμοί. » — Δικαιοσύνην λέγει τὴν μερικὴν, ἀκακίαν δὲ τὴν ἀνεξικακίαν, καὶ τὸ μὴ ἀνταποδιδόναι κακῶς. ταῦτα γὰρ ἀνωτέρω τὰ δύο προσεμαρτύρησεν ἑαυτῷ, μὴ τῶν μεγάλων ἡγούμενος αὐτά. Τί γὰρ ἐν τούτοις τὸ μέγα; τῶν ἀναγκαιοτάτων δὲ καὶ ἀπαραιτήτων τῷ γε κατὰ Θεὸν ὅλως προαιρουμένῳ βιοῦν. Τὸ κρῖνον δὲ συντακτέον ἀπὸ κοινοῦ καὶ τῷ ἐμοὶ, καὶ τῷ ἐπ' ἐμοί. Κρίσεως γὰρ μνημονεύσας ἐκείνης τῆς ἐν ὑστάτοις καιροῖς, ἀκαίρως καὶ νῦν κακεῖ τὸν Κύριον κριτὴν ἐν αὐτῷ τε καὶ ἐπ' αὐτῷ· κρῖνον ἐν ἐμοὶ λέγων, καθότι οὐκ ἠδίκησα, Κύριε, καὶ μηδὲ σὺ παραχωρήσῃς ἀδικηθῆναί με παρὰ τῶν ἐχθρῶν. Καὶ πάλιν, κατὰ τὴν ἀνεξικακίαν μου κρῖνον ἐπ' ἐμοὶ, καὶ κα- D θὼς ἐπ' ἄλλοις ἐποίουν ἐγὼ, μὴ κακῶς αὐτοῖς ἀνταποδιδοὺς, οὕτω καὶ σὺ ποίησον ἐπ' ἐμοὶ, καὶ μὴ ἀπαιτήσῃς με λόγους ὧν διαφόρως εἰς σὲ πεπλημμέληκα, καὶ διὰ τοῦτο τοῖς ἐχθροῖς ἐάσῃς ἀνεπικούρητον. Μετὰ μὲν οὖν τὴν δικαιοσύνην μου, ὅτι οὐκ ἔστιν ἀδικία ἐν χερσί μου, δικαίωσόν με, κατὰ δὲ τὴν ἀκακίαν μου, ὅτι οὐκ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι κακὰ, ἀνεξικάκησον ἐπ' ἐμοί. Συντελεσθήτω δὴ πονηρία ἁμαρτωλῶν· τέλος λαβέτω, καταργηθήτω. Πολλῆς δὲ τῆς ἐκ τῶν πονηρῶν δαιμόνων καὶ τῶν ὑπηρετούντων αὐτοῖς πεπειραμένος ἐπιβουλῆς, εὐχῆς τύπῳ προαγορεύει πάσης πονηρίας ἀφανισμὸν ἐν αἰῶνι τῷ μέλλοντι. Νῦν γὰρ

OCR ABK / FR

A εἶναι δὴ τὸ ἀντίπαλον διὰ τοὺς ἀγωνιστάς. « Καὶ κατευθυνεῖς δίκαιον. » Καὶ μήπω δὲ τῆς πονηρίας συντελεσθείσης ἐξαίρων ἐκ μέσου τὰ σκάνδαλα, παρασκευάσεις τὸν δίκαιον, ὀρθῶς δραμεῖν τὴν τρίβον τῆς ἀρετῆς. « Κατευθυνεῖς δὲ τὸν δίκαιον, » εἴρηκεν, οὐ, Κατευθυνθήσεται δίκαιος, ὅτι πάντων τῶν ἀγαθῶν αἴτιος ὁ Θεός· οὐ γὰρ τοῦ θέλοντος, φησὶν, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος Θεοῦ. Καὶ πάλιν· « Οὐ δύνασθε χωρὶς ἐμοῦ ποιεῖν οὐδέν. » Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεὸς, δικαίως ἡ βοήθειά μου παρὰ τοῦ Θεοῦ τοῦ σώζοντος τοὺς εὐθεῖς τῇ καρδίᾳ. Ἐρευνῶν ἐστιν ἀκριβῶς ὁ Θεὸς τὰς τῶν ἀνθρώπων βουλάς· τοῦτο γὰρ ἐδήλωσε διὰ τῶν καρδιῶν, καὶ αὐτὰ δὲ τὰ τῶν λογισμῶν ἔσχατα καὶ βαθύτατα, τοῦτο διὰ τῶν νεφρῶν. Ὅθεν πάντα τὰ ἐν σκότῳ καὶ κρύφια καθορῶν ἐναργῶς οἶδε καὶ ὅτι πονηρία καὶ δόλος οὐκ ἔστι μοι. B Δικαίως οὖν καὶ εὐλόγως ἐλπίζεται καὶ ἔστιν ἡ εἰς ἐμὲ βοήθεια καὶ σωτηρία παρὰ τοῦ Θεοῦ τοῦ σώζοντος τοὺς ἀπονήρους καὶ ἀδόλους τῇ καρδίᾳ τυγχάνοντας.

« Ὁ Θεὸς κριτὴς δίκαιος καὶ ἰσχυρὸς καὶ μακρόθυμος. » Κριτὴς ὢν δίκαιος τὴν τῶν ἐχθρῶν μου δαιμόνων ἀδικίαν ἀποσοβῆσαι κρινεῖ, καὶ μὴ ἐᾶσαι ταύτην εἰς τέλος ἐλθεῖν· ἰσχυρὸς ὢν ἰσχύσει τοῦτο ποιῆσαι καὶ διατηρῆσαί με τῆς αὐτῶν κακουργίας ἀνώτερον· μακρόθυμος ὢν ἀναμενεῖ τὴν ἐμὴν ἐπιστροφὴν, καὶ οὐ παρὰ πόδας τὴν καταδίκην ἐπάξει μοι, καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν. Ὀργὴν λέγει τὴν κάκωσιν. Ἐπεξηγεῖται δὲ, τί ἐστιν ὁ μακρόθυμος· ὁ μὴ ἐπάγων καθ' ἑκάστην ἡμέραν, C ἤτοι κατὰ πάντα καιρὸν, τοῖς ἁμαρτάνουσι κάκωσιν, ἀλλ' ἀνεχόμενος καὶ τὴν αὐτῶν μετάνοιαν καὶ διόρθωσιν ἐκδεχόμενος.

« Ἐὰν μὴ ἐπιστραφῆτε, τὴν ῥομφαίαν αὐτοῦ στιλβώσει. » Τὸ τόξον αὐτοῦ ἐνέτεινε καὶ ἡτοίμασεν αὐτὸ ἡ στίλβωσις τῆς ῥομφαίας καὶ ἡ ἔντασις τοῦ τόξου. Καὶ ἡ ἑτοιμασία πρὸς τοξείαν ἀπειλῆς ὁμοῦ καὶ μελήσεως σύμβολα. Παραινεῖ δὲ καὶ ἄλλοις σὺν ἑαυτῷ μακροθυμίας Θεοῦ μὴ καταφρονεῖν· Ἐὰν γὰρ, φησὶ, μὴ ἐπιστραφῆτε πρὸς Θεὸν οἱ μακρυνθέντες ἀπ' αὐτοῦ διὰ τῆς τῶν ἐντολῶν παραβάσεως, εἰ καὶ μὴ τάχιστα καὶ κατὰ σπουδὴν, τέως δ' οὖν ἐν καιρῷ δέοντι, πικρῶς ἐξολοθρευθήσεσθε.

D « Καὶ ἐν αὐτῷ ἡτοίμασε σκεύη θανάτου. » Τῶν ἐν τοῖς βέλεσι γλυφίδων ταῖς τῶν τόξων νευραῖς ἐνιεμένων ἐν τοῖς τόξοις ἑτοιμάζεσθαι τὰ βέλη λέγονται· ἀλλ' εἴπερ φέροιεν ἰὸν ἢ πῦρ, ὡς ταῦτά τινες αὐτοῖς ἐντιθέασιν, οἱ μὲν ὀξέως καὶ πικρῶς ἀνελεῖν, οἱ δὲ πυρπολῆσαι προθέμενοι, τότε τὰ βέλη καὶ σκεύη γίνονται δι' ἃ περιφέρουσιν. Ὅθεν ἡ ψαλμικὴ ῥῆσις τοὺς τρόπους τοῦ θανάτου τοὺς ἐκ τῆς θείας ὀργῆς καὶ βέλη καὶ σκεύη θανάτου κέκληκε μεταφορικῶς. Λέγει γοῦν καὶ ἐν αὐτῷ τῷ τόξῳ θανάτου τρόπους ἡτοίμασε, γῆς συγχύσεις, πυρὸς φλογώσεις, ὕδατος ἐπικλύσεις, ἀέρος φθορὰς, τὰς ἐκ πολεμίων σφαγὰς, καὶ πᾶσαν ἄλλην ἀναίρεσιν ἀπαραίτητον καὶ λίαν ἐπώδυνον.

« Τὰ βέλη αὐτοῦ τοῖς καιομένοις ἐξειργάσατο. » — Τὰ αὐτὰ καὶ σκεύη θανάτου καὶ βέλη φησὶν, ὡς εἰρήκαμεν, ἃ τοῖς οὐκ ἐπιστρέφουσιν ἐξειργάσατο καὶ ἀπήρτισε. Τούτους γὰρ καιομένους ὠνόμασεν ὡς ἀτόποις ἐπιθυμίαις τε καὶ θυμοῖς, ἐξ ὧν πᾶσα κακίας πρᾶξις, φλεγομένους διαπαντός.

« Ἰδοὺ ὠδίνησεν ἀδικίαν, — Πάλιν πρὸς τὸν Θεὸν ποιεῖται τοὺς λόγους, καὶ τοῦ διαβόλου καταβοᾶται, τὴν εἰς ἐμὲ, λέγων, ἀδικίαν ὁ διάβολος ἐμμελετήσας ἐν ἑαυτῷ, καὶ ἰδοὺ τελεσφορήσας, ὠδίνησεν. Ἐκρῆξαι ταύτην σπεύδει λοιπὸν, καὶ εἰς ἔργον ἀγαγεῖν κατεπείγεται. Τίς ἡ ἀδικία; πτῶμα καὶ ὄλισθον προξενῆσαί μοι, καὶ τοῦ Κυρίου ἐπ' αἰσχύνης ἀποξενῶσαί με.

« Συνέλαβε πόνον καὶ ἔτεκεν ἀνομίαν. » — Αἴτιον τῷ διαβόλῳ τῆς τοιαύτης ἀδικίας τῆς εἰς ἐμὲ τὸ ἐμὸν ἄλγος ᾧ χαίρει καὶ οὗπερ ἐφίεται· καὶ γὰρ ἐξ ἄκρας βασκανίας ἐπιθυμῶν τοῦ πόρρω τῶν σωζομένων ἀποῤῥιφῆναί με, καὶ πόνον καὶ ὀδύνην, ἐν τῷ καιρῷ κληρώσασθαι τῆς ἐκτίσεως, τὸν τοιοῦτον πόνον ὥσπερ τινὰ σπόρον ἐν διανοίᾳ συνέλαβε, καὶ τὴν τῆς ἐπιβουλῆς ἀνομίαν συσκευάσας ἀπέτεκεν.

« Λάκκον ὤρυξε καὶ ἀνέσκαψεν αὐτόν. » — Λάκκον λέγει τὴν μηχανὴν καὶ ἀνάσκαψιν, ἤτοι δευτέραν ἀνόρυξιν, τὸ τῆς μηχανῆς δολιώτατον καὶ βαθύτατον. Πᾶσαν ἐτεκτήνατο, φησὶ, κατ' ἐμοῦ μηχανὴν, καὶ ἄφυκτον αὐτὴν, τό γε ἧκον εἰς αὐτὸν, ἀπειργάσατο, καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο. Ἐμπίπτει τοῖς αὐτοῦ μηχανήμασιν ὁ διάβολος, ὅτε πολλὰ κατὰ τῶν Θεοῦ δούλων συσκευασάμενος, ἐκ πάντων ἀπρακτήσει καὶ κατησχυμμένος ὑποχωρήσει· τὴν γὰρ αἰσχύνην ἣν τοῖς ἐπιβουλευομένοις ἐμηχανᾶτο διὰ τῆς ἁμαρτίας ἐπενεγκεῖν, ἐπισπᾶται πᾶσαν αὐτὸς, μάταιος ἐξ ἐκείνων ἀποκρουσθείς.

« Ἐπιστρέψει ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ. » — Ὁ πόνος ὃν ἐμοὶ προὐξένει διὰ τῆς ἀπωλείας, στραφήσεται πρὸς αὐτὸν, καὶ τὸ ἄλγος δέξεται καίριον, ἤγουν ἀνόποιστον. Καὶ ἐπὶ κορυφὴν αὐτοῦ ἡ ἀδικία αὐτοῦ καταβήσεται. Καὶ ἡ ἀδικία ἣν ἔσπευδεν ἀδικῆσαί με καὶ τοῦ ἐμοῦ δεσπότου μακρῦναί με, καὶ τῆς αὐτοῦ δόξης θεῖναι, ἄνωθεν ἐκ ψήφου θείας εἰς αὐτὸν καταβήσεται, καὶ τὸ μακρυνθῆναι Θεοῦ καὶ τῶν τοῦ Θεοῦ, καιριώτατον κληρώσεται καὶ ἀκρότατον· καίριον μὲν γὰρ ἡ κεφαλὴ, τὸ ἀπ' αὐχένος ἄνω διῆκον μέρος τοῦ σώματος· τὸ δὲ ταύτης ἄκρον ἡ κορυφὴ καιριώτατον ἐν ᾧ καὶ ὁ ἐγκέφαλος, ὅθεν αἴσθησις πᾶσα καὶ κίνησις. Διὰ τούτων δὲ τὰ ἑπόμενα λέγει μᾶλλον ἢ ἐπαρᾶται· τῷ διαβόλῳ γὰρ καὶ τοῖς ἀγγέλοις αὐτοῦ τὸ αἰώνιον ἡτοίμασται πῦρ ὃ δὴ καὶ σκότος ἐξώτερον καὶ μακρὰν πάντη θείας ἐπισκοπῆς. » Ἐξομολογήσομαι τῷ Κυρίῳ κατὰ τὴν δικαιοσύνην αὐτοῦ. » Τὴν τῷ διαβόλῳ καὶ τοῖς δαίμοσιν ἐπαχθησομένην κόλασίν τε καὶ κάκωσιν ἀρχῆς τύπῳ διηγησάμενος, Εὐχαριστήσω Κυρίῳ, φησὶν, ἕνεκεν τῆς αὐτοῦ δι-



OCR ABK / FR

καιοσύνης, ὅτι τὰ κατ' ἀξίαν ἀπεπλήρωσε τοῖς ἀλάστορσιν.

« Καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου. » — Καὶ ψαλῶ διὰ τὴν τοιαύτην δικαιοσύνην τῷ Κυρίῳ τῷ ὑψίστῳ περιφραστικῶς, ἤτοι διὰ ψαλμῶν αἶνον προσοίσω τὸν Χαριστήριον. Λέγει δὲ τὸν Κύριον ὕψιστον, ὡς ὁμοῦ πάντων ἐς ἀπειράκις ἄπειρον ὑψηλότατον, πάσης ἀξίας καὶ βασιλείας καὶ κραταιότητος, πάσης δόξης τε καὶ λαμπρότητος, πάσης σοφίας καὶ νοερᾶς ἐξοχότητος, πάσης μεγαλοσύνης, πάσης ὑμνολογίας, πάσης τιμῆς, τῆς ἐξ ἀνθρώπων, τῆς ἐξ ἀγγέλων, τῆς ἐξ ὅλης ὁμοῦ τῆς κτίσεως, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ Η'.

« Ἡ τοῦ Χριστοῦ θαυμαστότης ἄῤῥητός ἐστι πάσῃ φύσει καὶ ἀκατάληπτος. » Οὔτε γὰρ ἄνθρωπος, κἂν εἰς ἄκρον εἴη σοφίας ἀφιγμένος, οὔτ' ἄγγελος, εἰ καὶ τῶν ἀνωτάτω καὶ πρῶτος οὗτος, ἐννοῆσαί ποτε τὸ ταύτης ἰσχύσειε μέγεθος, μήτοι καὶ διαγάσασθαι. Πλὴν ἀχαρίστου τρόπου καὶ ἀποβλήτου τὸ μὴ κατὰ τὸ ἐγχωροῦν αὐτὴν ἐξυμνεῖν. Ἀλλ' ὅτι τὸ κατ' ἀξίαν ἀδύνατον, ἤδη καὶ τὸ μικρὸν μὴ προσάγειν καὶ μέτριον, τοῦτο καὶ ὁ προκείμενος ὄγδοος ἐμφαίνει ψαλμὸς, ὑμνητήριος ὢν εἰς αὐτὸν Δεσπότην Χριστόν. Ἀπείρων γὰρ ὄντων ἐν Χριστῷ τῶν ὑπερφυῶν, μνησθεὶς καὶ ὑπερθαυμάσας ἐκ τούτων τὴν τοῦ Κυρίου μεγαλειότητα, τὸν ὕμνον κεφαλαιοῖ.

« Κύριε ὁ Κύριος ἡμῶν. » — Κυριεύει πάσης ὁμοῦ κτίσεως ὁ Χριστὸς ὡς Θεὸς καὶ δημιουργός· ἀλλὰ καὶ ὡς ἄνθρωπος τῶν γεγονότων ὅλων γινώσκεται κύριος διὰ τὴν ἕνωσιν. « Ἐδόθη μοι γὰρ, φησὶ, πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. » Κύριος καὶ τῶν πιστῶν ὁ Χριστὸς, κατά τε τὸν εἰρημένον λόγον, καὶ κατ' ἐπίγνωσιν· ὥστε διττή ἐστιν ἐν ἡμῖν ἡ κυριότης αὐτοῦ. Κατὰ μὲν οὖν τὸν πρῶτον λόγον καὶ θελόντων καὶ μὴ θελόντων, δεσπόζει πάντων Χριστός· κατὰ δὲ τὸν λόγον τῆς ἐπιγνώσεως αἱρετή ἐστιν ἡ Χριστοῦ δεσποτεία τοῖς διὰ πίστεως ἐπεγνωκόσιν αὐτόν· ὅτι φύσει δεσπόζων καὶ Κύριος. Τὸ Κύριε τοιγαροῦν τῆς ἁπλῶς κυριότητος τίθειται παραστατικὸν, τῆς εἰς ὅλα τὰ κτίσματα· τὸ δ' ὁ Κύριος ἡμῶν, τῆς ἰδιοτρόπως εἰς ἡμᾶς τοὺς πιστοὺς ἢ καὶ κατ' ἐπίγνωσιν καὶ κατ' οἰκείωσιν λέγεται· κατ' ἐπίγνωσιν ἡμῶν πρὸς αὐτὸν, κατ' οἰκείωσιν αὐτοῦ πρὸς ἡμᾶς.

« Ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ. » — Λίαν ἐστὶ θαυμαστὸν τὸ ὄνομά σου ἐν ὅλῳ τῷ κόσμῳ. διὰ τὰς διδασκαλίας σου, διὰ τὰς θεοσημίας σου· ἃς ἐκτετέλεκας δι' ἑαυτοῦ τε καὶ τῶν σῶν μαθητῶν, καὶ αὖθις ἐκτελεῖς διὰ τῶν διαδόχων αὐτῶν κατά τε πίστιν καὶ ἀρετήν.

« Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν. » — Ἔστι καὶ ἐν ἀνθρώποις ἀρετὴ πρακτική· καλουμένη μεγαλοπρέπεια, ὅτε τις ἔργα πράττει μεγαλοπρέποντα. Τοίνυν εἰρηκὼς ὁ προφήτης πρὸς τὸν Χριστὸν, ὅτι « Τὸ σὸν ὄνομα λίαν θαυμαστόν ἐστιν ἐν πάσῃ τῇ γῇ, » νῦν λέγει τὴν αἰτίαν δι' ἣν οὕτωσὶ θαυμαστόν· διότι, φησὶ, τῆς

A τῆς μεγαλουργίας ἡ ἀρετὴ καὶ ὑπεράνω τῶν οὐρανῶν ὑπερυψώθη ἀπὸ τῆς γῆς· ἔργα γὰρ ἐποίησας καὶ ποιεῖς ὑπερφυέστατα καὶ σοὶ μόνῳ τῷ ὄντως μεγάλῳ πρέποντα· ἔργα δὲ Χριστοῦ τά τε διδάγματα, τά τε θαύματα. Τῷ τοιούτῳ ῥητῷ συνᾴδει καὶ τὸ τοῦ Ἀββακοὺμ, « Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ. » Τοσοῦτον ἔχει τὸ τῆς δόξης ὕψος, ἡ ἀρετὴ τοῦ Χριστοῦ, ἡ μεγαλοπρέπεια. Νομίζω δ' ἐγὼ καὶ περὶ τῆς δεσποτικῆς ἀναλήψεως ἐν αὐτῷ διαλαμβάνειν τὸ προκείμενον ψαλμικόν. Κατὰ τοῦτον οὖν τὸν λόγον τὸ μὲν ἡ μεγαλοπρέπειά σου νοητέον εἰρῆσθαι κατὰ περίφρασιν, τὸ δ' ὅλον οὕτω σαφηνιστέον· ὅτι Ἐπήρθης καὶ ὑψώθης ὁ μεγαλοπρεπὴς καὶ μεγαλουργὸς, ὁ τῶν ἐξαισίων καὶ ὑπερφυῶν θεοσημιῶν αὐτουργὸς, οὗ χάρις ἐν χείλεσιν ἐξεχύθη διδάσκοντος, οὐκ εἰς τὸ στερέωμα μόνον τὸν πρῶτον B πρὸς ἡμᾶς οὐρανὸν, οὐδ' αὐτὸ διαβὰς, εἰς τὸν ἀνωτάτω κατήντησας οὐρανὸν, ἀλλὰ διαπεφοιτηκὼς καὶ αὐτὸν ὑπεράνω καὶ ἀμφοτέρων τῶν οὐρανῶν ἀνελήλυθας, πᾶσαν τὴν κτίσιν ὑπεραναβεβηκὼς, μετὰ σώματος, ὡς δεσπότης τὸ ὅλον ἁπάσης τῆς κτίσεως. « Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. » Αἶνον κατηρτισμένον ἀπειργάσω καὶ τέλειον καὶ βρεφικῆς διανοίας καὶ γλώττης ὑπέρτερον. Τὸ δὲ θαῦμα καινότατον· οὐ μόνον γὰρ νήπιοι καὶ θηλάζοντες ἔτι παῖδες ᾔνουν τὸν Κύριον εὐκρινῶς λαλοῦντες, διατόρως κράζοντες τελείας ῥήματα γνώσεως, ἀλλὰ καὶ ὡς Θεὸν ᾔνουν αὐτὸν, καὶ θεολογίας ἀρίστης ἀπήγγελλον δόγματα· διὰ τοῦτο καὶ οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς ἀκούοντες ἠγανάκτησαν· τὸ γὰρ, « Ὡσαννὰ ὁ ἐν ὑψίστοις, » C τοιοῦτόν ἐστι· Σῶσον δὴ ὁ ἐν οὐρανοῖς, ὁ φαινόμενος ἐπὶ γῆς ὡς ἄνθρωπος, καὶ ὢν ἐν τοῖς οὐρανοῖς ὡς Θεός. « Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. » Εὐφημίας ἄξιος ὁ καὶ αὖθις ἐρχόμενος, ἐπὶ τῷ κρῖναι τὸν κόσμον ὡς Κύριος· διότι ὄνομά σοι Κύριος. Ὥστε καὶ σωτῆρα καὶ Θεὸν καὶ κριτὴν καὶ Κύριον ὡμολόγουν οἱ νήπιοι, καὶ θηλάζοντες μεγάλῃ κραυγῇ τὸν Χριστόν· ὅθεν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς τὴν τοιαύτην οὐκ ἔστεργον αἴνεσιν, καὶ μάλισθ' ὅτι κἂν τῷ ἱερῷ ἐτελεῖτο παρ' ᾧ μόνος ὁ Θεὸς αἰνούμενος ἦν καὶ παῤῥησίᾳ πολυπληθοῦς ἀκροωμένου λαοῦ.

« Ἕνεκα τῶν ἐχθρῶν σου τοῦ καταλῦσαι ἐχθρὸν καὶ ἐκδικητικόν. » — Οὐ πρὸς τὸ, « Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον » ἀναφέρεται D τοῦτο· ἀλλὰ πρὸς τὸ, « Ἐπήρθη ἡ μεγαλοπρέπειά σου ὑπεράνω τῶν οὐρανῶν, » ἵν' ὅλον εἴη τοιοῦτον· Κατὰ τὸ συνεχὲς ἀνέβης ὑπεράνω τῶν οὐρανῶν ἕνεκα τῶν ἐχθρῶν σου, ὥστε καταλῦσαι καὶ τὸν προηγουμένως ἐχθρὸν τὸν διάβολον, καὶ τὸν ἐκδικητὴν αὐτοῦ καὶ σύμμαχον θεοκτόνον λαόν. Κατὰ τοῦ διαβόλου γὰρ ἐλήλυθεν ἐπὶ γῆς ὁ Χριστὸς, ἵνα καταλύσῃ τὸ κράτος αὐτοῦ καὶ τὴν εἰδωλολατρείαν ἐξαφανίσῃ. Τοῦτο δὲ γέγονε μετὰ τὴν ὑπεράνω τῶν οὐρανῶν ἀναφοίτησιν τοῦ Χριστοῦ· τότε γὰρ ὁ Παράκλητος ἐνδημήσας τοῖς ἀποστόλοις ἐν εἴδει πυρίνων γλωσσῶν καὶ στομώσας αὐτοὺς καὶ λόγου καὶ σοφίας καὶ θάρσους καὶ τερατουργικῆς

OCR ABK / FR

ἐμφορήσας δυνάμεως, ἀπετέλεσε καθαιρέτας τοῦ διαβόλου, καὶ τῆς πλάνης ὀλοθρευτάς. Εἶτα καὶ τῶν Ἰουδαίων ἡ πᾶσα δόξα καθῄρηται. Καὶ ἡ πόλις καὶ ὁ ναὸς καὶ ἡ λατρεία καὶ πᾶν, εἴ τί περ ἦν ἐν αὐτοῖς ὑπερέχον, καὶ ἡγεμονικὸν, καταβέβληται· ἕνεκα δὲ τῶν ἐχθρῶν σου φήσας, διεῖλε τοὺς ἐχθροὺς εἴς τε τὸν πολέμιον διάβολον, καὶ εἰς τὸν αὐτῷ συμμαχήσαντα. Καὶ γὰρ καὶ ὁ τῷ ἐχθρῷ συμμαχῶν ἐχθρὸς καὶ οὗτός ἐστιν. Οὐκ ὠνόμασται δὲ τοῦ διαβόλου σύμμαχος ὁ τῶν Ἰουδαίων ἐσμὸς, ἀλλ' ἐκδικητὴς, καὶ λίαν ἐπιπρεπῶς· αὐτὸς γὰρ ἀνελὼν τὸν Χριστὸν, τὸν ἐν τῷ κόσμῳ τούτῳ κατὰ τοῦ διαβόλου παραγενόμενον, προδήλως γέγονε τοῦ διαβόλου ἐκδικητής. Δύο δ' ἐν ταυτῷ δηλοῦντος, ὡς προειρήκαμεν, τοῦ ἐπῆρθαι τὴν Χριστοῦ μεγαλοπρέπειαν ὑπεράνω τῶν οὐρανῶν τό τε ὑπερύψηλον τῆς ἐκ τῶν διδαγμάτων καὶ τῶν θαυμάτων δόξης αὐτοῦ, καὶ τὴν κατὰ σώματος ὑπεράνω τῶν οὐρανῶν ἀναφοίτησιν, τῷ μὲν πρώτῳ σημαινομένῳ τὸ, « Ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον, » συνάπτεται, λέγοντος τοῦ προφήτου πρὸς τὸν Χριστὸν, Τοσοῦτον γέγονεν ἡ δόξα σου μεγίστη καὶ ὑπερθαύμαστος, ὥστε καὶ παῖδες ἔτι θηλάζοντες ταύτην ἐκήρυξαν, λόγῳ καὶ νοήματι κεχρημένοι κατηρτισμένῳ καὶ ἀνδρικῷ. Τῇ δευτέρᾳ δὲ δηλώσει τῆς ὑπερυψώσεως τοῦ Χριστοῦ, τὸ ἕνεκα τῶν ἐχθρῶν σου συμφύεται καὶ τὰ τούτου ἐχόμενα, καθὼς ἀνωτέρω διετρανώσαμεν. Ὅσα δὲ τις ἂν ἐννοήσειεν αἴτια τῆς ὑπεράνω τῶν οὐρανῶν ἀναφοιτήσεως τοῦ Χριστοῦ, πάντα πρὸς τὴν τοῦ ἐχθροῦ κατάλυσιν ἀφορᾷ καὶ κάκωσιν.

« Ὅτι ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου. » — Ἔφη καὶ ἀλλαχοῦ, « Ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. » τῶν οὐρανῶν δὲ καὶ ἀμφοτέρων μνησθεὶς, δημιουργὸν ἁπάσης τῆς κτίσεως ἐκήρυξε τὸν Χριστὸν, τῇ περιοχῇ τὰ περιεχόμενα συμπεριλαβών. Ὁ γὰρ καταρχὰς γεγονὼς οὐρανὸς, ὁ φύσει πρῶτος καὶ ἄναστρος, περιοχή ἐστιν ἁπάσης κτίσεως αἰσθητῆς τε καὶ νοητῆς. Καὶ αὐτοὶ γὰρ οἱ νόες τῷ τοιούτῳ περιέχονται σύμπαντες οὐρανῷ· μόνον δὲ τὸ θεῖον ἀπερίοριστον. Ὄψομαι δὲ φύσιν ἀντὶ τοῦ γνώσομαι· νοῦς γὰρ ὀφθαλμὸς ψυχῆς ὢν κρεῖττον ὁρᾷ τῶν σωματικῶν ὀφθαλμῶν. Γνώσομαι τοὺς οὐρανοὺς ἔργα σὰ, μεταφορικῶς τε καὶ περιφραστικῶς, γνῶς. γνώσομαι διαπαντὸς, οὔ ποτε τῆς τοιαύτης ἐκστήσομαι γνώσεως. ὅτι σὺ δημιουργὸς εἶ τοῦ παντός. Διηγηματικὸν δὲ τὸ ὅτι καὶ βεβαιωτικὸν, οὐκ αἰτιολογικόν. Ἀπὸ κοινοῦ γνώσομαι τὴν σελήνην καὶ τοὺς ἀστέρας ἔργα τῶν δακτύλων σου, ἅτινα σὺ τεθεμελιωμένα καὶ μόνιμα καὶ τὴν αὐτὴν φυλάττοντα τάξιν πεποίηκας εἰς ὃ διαμένειν ἐθέλοις τὸ πᾶν. Διαλαβὼν δὲ περὶ σελήνης καὶ ἀστέρων, οὐ παρῆκε τὸν ἥλιον· ἅμα μὲν μετὰ τῶν ἀστέρων τάξας ὡς ἀστέρα καὶ αὐτὸν ἐξοχώτατον καὶ βασιλικώτατον καὶ λαμπρότατον καὶ ἀστεράρχην ὠνομασμένον ὑπό τινων προσφυῶς, ἅμα δ' ὡς τῇ σελήνῃ συνεξακουόμενόν τε καὶ συννοούμενον, εἴ γε ταύτῃ τὸ φῶς ἐξ αὐτοῦ καθὸ φαίνει καὶ οὐκ ἐκ φύσεως. Ἰδίᾳ δὲ περὶ τῆς σελήνης εἴρηκε· καὶ μὴ

A συνεκφωνήσας ταύτην τοῖς ἄστρασι, δι' ἃ πρὸς τοὺς ἀστέρας ἀκοινώνητα φέρει πολλὰ, τὰς τοῦ φωτὸς αὐξήσεις καὶ μειώσεις, ἀποκρύψεις τε καὶ πληρώσεις, καὶ τοὺς ποικίλους σχηματισμοὺς, καὶ ἔτιπερ οὐδεὶς τῶν ἀστέρων ἔξωθεν ἔχει τὸ φῶς, ὡς αὕτη κατ' ἐπεισαγωγήν· ἀλλ' οἴκοθεν ἔχουσιν αὐτὸ πάντες καὶ ἀναπόβλητον, εἰ καὶ μεθ' ἡμέραν ὁρῶνται τῆς ἡλιακῆς αὐτοὺς ἀποκρυπτούσης πλησμίου φωτοχυσίας καὶ ὑπερβαλλούσης λαμπρότητος·

Ὁ μὲν οὖν ἥλιος ὑψηλότερός ἐστι τῆς σελήνης ἐπιπλέον ἢ ὅσον ἀφέστηκεν αὕτη τῆς γῆς καὶ πολλαχῶς ἐπιπλέον· ἡ δὲ χθαμαλωτάτη παντὸς ἀστέρος γινώσκεται· Τῶν γὰρ ἀστέρων οἱ μὲν ἀπλανεῖς, οἱ δὲ πλάνητες λέγονται. Καὶ οἱ μὲν ἀπλανεῖς ὁμοτίμως ὑψηλότατοι πάντες καὶ πάμπολλοι· τὸ χύμα B λέγω τῶν ἀστέρων αὐτὸ τὸ πολυπληθές· οἱ δὲ πλάνητες μετὰ καὶ τῆς σελήνης ἑπτὰ, καὶ ἄλλου χθαμαλώτερός τε καὶ προγειότερος.

· Τοῦ στερεώματος δὲ κυκλικῶς κινουμένου κίνησιν ὀξυτάτην καὶ ἄληκτον, ἐξ ἀνατολῶν εἰς δυσμὰς ὡς πρὸς αἴσθησιν, συμπεριφέρονται καὶ πάντες ἀστέρες αὐτῷ, καὶ σύμπας αἰθήρ.

Πολὺ δὲ πάνυ καὶ μυρίον τὸ τοῦ αἰθέρος διάστημα τὸ ἐκ τοῦ στερεώματος ἕως τοῦ ὑπεκκαύματος· ὅπερ ὑπέκκαυμα τὸ πῦρ ἐστι τὸ στοιχεῖον αὐτό. Τὸ γὰρ ἡμῖν γινωσκόμενον πῦρ ἔξαψίς ἐστι τοῦ τοιούτου στοιχειώδους πυρὸς, ὑπερβολὴν ἔχον τῆς πυρώδους θερμότητος, ὥσπερ ὁ κρύσταλλος τῆς ἐν ὕδατι θεωρουμένης ψυχρότητος.

Οἱ μὲν οὖν ἀπλανεῖς ἀστέρες πεπήγασιν ἐν τῷ C στερεώματι καὶ σὺν αὐτῷ μόνῳ φέρονται, μηδεμίαν ἰδίαν κατὰ τόπον ποιούμενοι κίνησιν· οἱ δὲ πλάνητες οὐ πεπήγασιν ἐν τῷ στερεώματι· κατωτέρω δὲ τούτου κατά τινας βαθμίδας ἐν τῷ αἰθέρι μετέωροι φέρονται, καὶ τοῦ στερεώματος φερομένου μετὰ τῆς τῶν ἀπλανῶν παμπληθείας ἐξ ἀνατολῶν εἰς δυσμὰς ὡς ἡ αἴσθησις, αὐτοὶ τοὐναντίον ἐκ δυσμῶν εἰς ἀνατολὰς ἰδίαν σχολαιοτέραν κινοῦνται κίνησιν. Ὅθεν καὶ πλάνητες ὠνομάσθησαν· ὡς δῆθεν ἀποπλανηθέντες τῆς τοῦ στερεώματος πορείας, καὶ τοῦ τοσούτου τῶν ἀστέρων ἐσμοῦ, καὶ τὴν ἐναντίαν βαδίζοντες.

Ταῦτα δὲ λέγω πρὸς τὸ φαινόμενον· ἐπεί τοι γε μόνος ὁ πρῶτος οὐρανὸς ἐξ ἀνατολῶν εἰς δυσμὰς φερόμενος ἔγνωσται συμπεριάγων ἑαυτῷ καὶ τὸν δεύτερον τὸ στερέωμα· τὸ γὰρ στερέωμα καὶ αὐτὸ D πρὸς δυσμὰς ἐξ ἀνατολῶν μετὰ τῶν λεγομένων ἀπλανῶν ἀστέρων φέρεται φυσικῶς· διὰ δὲ τὸ βραδύτατον τῆς τοιαύτης πλανητικῆς κινήσεως διαλανθάνει τὴν αἴσθησιν· Εἰς μοίρας γὰρ ἑξήκοντα καὶ τριακοσίας τοῦ παντὸς κύκλου διαιρουμένου μίαν μοῖραν καθ' ἕκαστον ἔτος τετήρηται διέρχεσθαι πλανητικῶς τὸ στερέωμα· κατά τινας δ' οὐ μοῖραν, ἀλλὰ τμῆμα μοίρας ὀλίγιστον. Διὸ δὴ κἀκ τῆς τοιαύτης ἰδίας καὶ φυσικῆς κινήσεως τοῦ στερεώματος ὁ πρῶτος οὐρανὸς ὁ μὴ ὁρώμενος ἑώραται νοερῶς τοῖς τὴν ἐξέτασιν ταύτην φιλοπόνως ποιησαμένοις.

Τὴν μὲν οὖν ἰδίαν κίνησιν οἱ πλάνητες ποιοῦνται

OCR ABK / FR

τοιαύτην, οἵαν εἰρήκαμεν· συμπεριάγονται δὲ καὶ τῷ οὐρανῷ τῇ ῥύμῃ τῆς αὐτοῦ φορᾶς ἐκνικώμενοι. Κἀντεῦθεν ὁ ἥλιος δι' ἐνιαυτοῦ τὴν ἰδίαν (κίνησιν) ἐκπληρῶν, τὴν πλανητικὴν, τὴν ἐκ δυσμῶν εἰς ἀνατολὰς, ἐν ἡμέρᾳ μιᾷ καὶ νυκτὶ διὰ τῆς ἐναντίας ἐκ τοῦ αὐτοῦ εἰς τὸ αὐτοῦ καί τι πλέον ἀποκαθίσταται, ὑπὸ τῆς οὐρανοῦ ῥύμης ἑλκόμενος καὶ περιεγόμενος. Διὰ μὲν οὖν τῆς σὺν οὐρανῷ περιαγωγῆς αἴτιος γίνεται τῶν ἡμερῶν τε καὶ τῶν νυκτῶν, ὑπέργειος φερόμενος τῶν ἡμερῶν, ὑπόγειος τῶν νυκτῶν· διὰ δὲ τῆς οἰκείας κινήσεως τῆς πλανητικῆς τῶν τεσσάρων ὡρῶν.

Ἔχων γὰρ τὸν τῆς τοιαύτης αὐτοῦ κινήσεως κύκλον· ὑπὸ τὸ στερέωμα βεβλημένον λοξῶς, τῶν μὲν δύο μερῶν αὐτοῦ τῶν κατὰ διάμετρον, ἀντικρὺ τεταγμένων τοῖς μέσοις τοῦ στερεώματος μέρεσι, τῶν ἑτέρων δ' αὖ δύο μερῶν κατὰ διάμετρον καὶ αὐτῶν τοῦ μὲν ὑπονεύοντος πρὸς τοῖς βορειοτέροις τοῦ στερεώματος, τοῦ δὲ πρὸς τοῖς νοτιωτέροις· ὅτε μὲν διέρχεται τὰ ὑπὸ κὰ μέσα τοῦ στερεώματος, τὰς ἰσημερίας ποιεῖ· τὴν ἐαρινὴν, ἀπὸ τῶν νοτίων ἐρχόμενος· ὑποστρέφων ἐκ τῶν βορείων, τὴν φθινοπωρινήν· ὅτε δὲ τὸ τοῦ οἰκείου κύκλου τμῆμα τὸ βορειότατον δίεισι, τότε τὴν θερινὴν ὥραν ἀποτελεῖ· τὴν χειμερινὴν πάλιν, ὅτε τὸ νοτιώτερον.

Ἀφέστηκε δὲ πρῶτος τοῦ στερεώματος πλάνης ἀστὴρ Κρόνος, ὁ καὶ Φαίνων καλούμενος, τὸν οἰκεῖον κύκλον δι' ἐτῶν τριάκοντα διερχόμενος. Κατωτέρω τούτου Ζεὺς, ὁ καὶ Φαέθων δωδεκαετίᾳ τὴ αὐτοῦ πλανητικὴν ἀπαρτίζων περίοδον. Μετ' αὐτόν τε καὶ ὑπ' αὐτὸν Ἄρης, ὁ καὶ πυρόεις, ἔτεσι δύο καὶ μησὶ πέντε καὶ πρὸς τὴν ἰδίαν περιστροφὴν ἐκπληρῶν. Εἶτα τέταρτος καὶ κατὰ τὸ τοῦ αἰθέρος μεσαίτατον ἥλιος δι' ἐνιαυτοῦ περαιῶν τὴν αὐτοῦ περιέλευσιν· ἤγουν διὰ νυχθημέρων τριακοσίων ἑξήκοντα πέντε καὶ τετάρτου. Μετ' αὐτὸν Ἀφροδίτη, καὶ ὑπ' αὐτὴν Ἑωσφόρος ὁ ἀστὴρ οὗτος. Ἀλλὰ καὶ Ἕσπερος· τὸ μὲν γὰρ ἐστι καὶ καλεῖται τῆς ἡλίου προανίσχων ἐπιτολῆς· τὸ δ' αὐτοῦ καταδυομένου φαινόμενος πρὸς δυσμαῖς. Περὶ τῆς αὐτοῦ φυσικῆς κινήσεως οἱ ἀστρολογήσαντες διεφώνησαν. Καὶ οἱ μὲν ἔφασαν αὐτὸν ἰσοδρομεῖν τῷ ἡλίῳ· τοῖς δὲ μησὶν ὀκτὼ περιτρέχειν τὸν ἴδιον κύκλον ἔδοξεν οὗτος. Ἕκτος ὁ Ἑρμῆς, ὁ δὲ Στίλβων, ἐν ἓξ μησὶ καὶ ἡμέραις ἓξ τὴν ὅλην αὐτοῦ ποιούμενος περιπόρευσιν. Τισὶ δὲ των ἀστρολόγων ἐνιαυσιαῖον καὶ οὗτος ποιεῖσθαι τὸν δρόμον ὑπείληπται, καθάπερ ὁ ἥλιος. Ἀκριβέστεροι δὲ μᾶλλον δοκοῦσιν οἱ ἐλάττω τοῦ ἐνιαυτοῦ τοῖς εἰρημένοις δυσὶ πλάνησι τὸν τῆς φυσικῆς κινήσεως χρόνον ἀποφηνάμενοι, κατὰ τὴν τάξιν τῆς πρὸς τοὺς ἄλλους πλάστητα, ὑποβάσεως. Μετὰ πάντας ἀστέρας ἡ σελήνη τέτακται κατωτάτω· πρὸς δὴ τὸ πέρας αὐτὸ τοῦ αἰθέρος τό γε τεθολωμένον ὡς τῷ ὑπεκκαύματι συμμιγές. Αὕτη σμικρότατον ἔχουσα ὡς χθαλαλωτάτη καὶ προσγειοτάτη συντόμως αὐτὸ ἀνύει. Δι' ἡμερῶν γὰρ ἑπτά τε καὶ εἴκοσι καί τινος ἡμίσους μάλιστά πως ἡμέρας μιᾶς. Διὸ καὶ πολλάκις τοῦ ἐναντίου καὶ φθάνει καὶ παραμείβει τὸν ἥλιον.

A Οὖσα δὲ κατωτάτω τοῦ αἰθέρος καὶ κατὰ τὰς αὐτοῦ πρὸς τὸ ὑπέκκαυμα συναφὰς καὶ συμμίξεις, ὡς εἴρηται, ζοφερὸν ἔχει τὸ σῶμα καὶ φύσει ἀλαμπές· ἐκ δὲ τῶν ἡλιακῶν ἀκτίνων ἐπείσακτον κατ' ἰδιότητα πέφυκε δέχεσθαι τὸ φῶς. Διὸ καὶ σελήνη κατονομάζεται διὰ τὸ σέλας νέον ἔχειν ἀεὶ, καὶ οὔποτε παλαιόν, ἄλλοτε ἄλλων μερῶν φωτιζομένων αὐτῆς.

Οὖσα γὰρ καὶ αὕτη σφαιροειδὴς ὡς ὁ ἥλιος καὶ πᾶς ἄλλος ἀστὴρ, ὅτε μὲν κατὰ διάμετρον ἔχει τὸν ἥλιον ἀφεστηκυῖα τὴν πλείστην αὐτοῦ καὶ μεγίστην ἀπόστασιν, ὅλα δὴ τότε καταλάμπεται τὰ κατω μέρη καὶ πρὸς ἡμᾶς, καὶ γίνεται παμφαής. ὅσῳ δὲ τῷ ἡλίῳ πελάζει, τοσούτῳ φαίνεται τὰ πρὸς ἡμᾶς ἀλαμπής. ἐκ τῶν ὁρωμένων ταύτης μεσῶν εἰς τὰ μὴ ὁρώμενα μεταβιβαζομένων τῶν ἡλιακῶν αὐγασμῶν· ὅτε δὲ συνέλθῃ τῷ ἡλίῳ πρὸς B τὸν αὐτὸν ὥστε συνοδεύειν αὐτῷ, τότε τὰ ὑψηλότερα μέρη πάντα φωτιζομένη τὰ πρὸς τὸν οὐρανὸν, ἀφώτιστος εὑρίσκεται διόλου τὰ κάτω καὶ πρὸς ἡμᾶς ὅτε δ' αὖ παραμείψῃ τὸν ἥλιον, ἄρχεται τὰ κάτω φωτίζεσθαι πρὸς λόγον τῆς παραμείψεως γινομένης ἀεὶ τῆς φαύσεως.

Ἔστι δὴ μέσον τοῦ στερεώματος πλάτος πολὺ κυκλικὸν καὶ λοξὸν ὑφ' ὃ ποιοῦνται τὴν κίνησιν πάντες οἱ πλάνητες. Οὐδὲ γὰρ τὸ στερέωμα πᾶν ὑποτρέχουσι. Τὸ τοιοῦτον πλατύτατον κύκλωμα τὸ λοξὸν ἄστρα φέρει πολλὰ, σκιαγραφοῦντά πως ζῶά τινα. Κἀκ τῆς τοιαύτης σκιαγραφίας τῆς συγκεχυμένης καὶ ἀμυδρᾶς ζῶα κεκλήκασιν οἱ τῶν ἀστρολόγων ἀρχαιότεροι τὰ σκιαγραφήματα· καὶ τὴν περιοχὴν αὐτῶν πᾶσαν κύκλον ζωδιακὸν, καὶ λίαν καταχρησάμε- C νοι τοῖς ὀνόμασιν.

Ὑπὸ τὸ τοῦ ζωδιακοῦ τὸ μεσαίτατον ὁμαλῶς ὁ ἥλιος κινεῖται διηνεκῶς, τὴν ἀπὸ δυσμῶν εἰς ἀνατολάς· οἱ δ' ἄλλοι πλάνητες ἑλικοειδῶς φερόμενοι τὸ ὑπὸ τὸν ζωδιακὸν πλάτος πᾶν ἐξαλλάττουσι· καὶ ποτὲ μὲν ἐπὶ τὰ βόρεια γίνονται τούτου, ποτὲ δ' ἐπὶ τὰ νότια, ποτὲ δὲ καὶ πρὸς τὸ μέσον εὑρίσκονται. Μάλιστα δὲ τῶν ἄλλων ἡ σελήνη ποιουμένη τὴν τοιαύτην ἐξαλλαγὴν, ποτὲ μὲν ἄνεισιν ὡς πρὸς βόρεια, ποτὲ δὲ κάτεισιν ὡς πρὸς νότια· ποτὲ δὲ καὶ τὸν μέσον ὁδεύει τὸν ὑπὸ τὸν ἡλιακόν.

Κατὰ γοῦν τὴν αὐτῆς πρὸς τὸν ἥλιον σύνοδον, βορειοτέρα μὲν οὖσα καὶ νοτιωτέρα, τὸν ἥλιον ὑποσκιάσαι καὶ κρύψαι οὐ δύναται· κατὰ δὲ τὸν μέσον εὑρισκομένη καὶ τῷ ἡλίῳ γινομένη τότε δὴ (καὶ) D κατὰ κάθετον, φραγμὸν ἑαυτὴν καὶ διατείχισμα τίθησι μέσον ἡλίου καὶ ἡμῶν, καὶ οὕτως ἀποκρύπτει τὸν ἥλιον ἀφ' ἡμῶν· καὶ οὔτ' αὐτοῦ τὰς ἀκτῖνας ἐᾷ διικνεῖσθαι πρὸς τὸν καθ' ἡμᾶς ἀέρα καὶ φωτίζειν αὐτὸν, οὔθ' ἡμᾶς τὸν ἥλιον καθ' ὅπερ ἂν ὑποδράμοι μέρος αὐτὸν καθορᾶν.

Καὶ τὴν τοιαύτην σύμπτωσιν ἔκλειψιν ἡλίου προσηγορεύκασιν οὐ ταῖς ἀληθείαις τοῦ φωστῆρος ἐκλείποντος, ἀλλὰ δοκοῦντος ἐκλείπειν, ἐκ τοῦ μήτ' αὐγάζειν μήθ' ὁρᾶσθαι, τοῦ τῆς σελήνης διείργοντος σώματος.

Ἐν δὲ ταῖς τοιαύταις γίνεται τῆς σελήνης ὑποδρομαῖς ὁ ἥλιος ἡμῖν ἀφανὴς ἐνίοτε μὲν ὅλος, τὰ

OCR ABK / FR

πολλὰ δὲ κατά τι μέρος αὐτοῦ πρὸς λόγον τῆς ὑποκρύψεως. Ὅσον γὰρ ὑποδέδηκεν ἡ σελήνη, τοσοῦτον καὶ ἡμῖν ἀκαθόρατον· τοῦτο καὶ πρὸς ἡμᾶς οὐκ ἐκπέμπει τὸ φῶς.

Ἀλλ' ἡ μὲν λεγομένη κατὰ τὸν ἥλιον ἔκλειψις οὐκ ἔστι πάθος αὐτοῦ· πάντη γὰρ ἀμείωτον ὁ ἥλιος ἔχει τὸ φῶς ἀεὶ καὶ εἰλικρινές. Ἡ δὲ τῆς σελήνης ἔκλειψις αὐτῆς τῆς σελήνης πάθος ἐστί· καὶ κατ' ἀλήθειαν, ἀλλ' οὐ κατὰ δόκησιν ἔκλειψις.

Ὅτε γὰρ ἡ σελήνη τῷ ἡλίῳ κατὰ διάμετρον γίνεται πρὸς μὲν τοῖς ὑπὸ τὸν ζωδιακὸν εὑρισκομένη βορείοις καὶ νοτίοις, μένει μηδὲν πάσχουσα παμφαής· ἐν τῷ μέσῳ δὲ τυχοῦσα καὶ τὸν ἡλιακὸν ὑποτείνουσα, τότε τῆς γῆς διατειχιζούσης, οὐ δέχεται τὰς ἐξ ἡλίου αὐγάς· καὶ καθ' ὃ μέρος οὐ δέχεται ταύτας, οὐδὲ φωτίζεται. Καὶ ὅπερ αὕτη κατὰ τὴν λεγομένην ἡλιακὴν ἔκλειψιν ἐν συνόδῳ ποιεῖ, διαφράττουσα τὸν ἥλιον ἐξ ἡμῶν, τοῦτ' ἐν διαμέτρῳ πάσχει παρὰ τῆς γῆς· ἡλίου γὰρ καὶ σελήνης εὑρισκομένη τηνικαῦτα μέσον ἡ γῆ, κατὰ μίαν εὐθεῖαν, κωλύει τὴν σελήνην ταῖς ἐξ ἡλίου λαμπηδόσιν αὐγάζεσθαι.

Καὶ ὅσον αὐτῆς μέρος ταῖς ἡλιακαῖς ἀκτῖσιν οὐ καταλάμπεται, μένει τοῦτο πάμπαν ἀφώτιστον. Ἐνίοτε δὲ καὶ πᾶσα ζοφοῦται καὶ τὸ φῶς ὅλον ἀπόλλυσιν, ὡς καὶ δοκεῖν ἠφαντῶσθαι καὶ μηδὲ τὸν τόπον ἐν ᾧπερ ἦν ὅλως διαγινώσκεσθαι, τῷ μηδὲ σκιὰν αὐτῆς κἂν γοῦν ἀμυδράν τινα περισώζεσθαι. Τοιαύτης καὶ ἡμεῖς σεληνιακῆς ἐκλείψεως αὐτόπται γεγόναμεν.

Ὁ μὲν οὖν ἥλιος ἐκ τῶν φαινομένων περὶ τὰς τῆς σελήνης ἐκλείψεις μείζων τῆς γῆς ἀνενδοιάστως γινώσκεται· καὶ διὰ τοῦτο γινόμενος ὑπὸ γῆν οὐ κωλύεται παρ' αὐτῆς εἰς τὸ τοῦ αἰθέρος ὕψος τὰς οἰκείας ἐκπέμπειν αὐγάς. Περιεχομένης γὰρ ὑπὸ τοῦ ἡλίου τῆς γῆς διὰ τὴν ταύτης σμικρότητα, πῶς ἂν κωλυθεῖεν αἱ ἀκτῖνες ἐκ τῶν ἄκρων αὐτῆς εἰς τὸ τοῦ αἰθέρος ὕψος διαβιβάζεσθαι; διὸ καὶ καταλάμπεται τὰ ὑψηλότερα τοῦ κόσμου κἂν τῷ ὑπὸ γῆν εἶναι τὸν ἥλιον. Ἐν νυκτὶ δέ εἰσι τότε τὰ χθαμαλώτερά τε καὶ προσγειότερα. Νὺξ γὰρ οὐδὲν ἕτερον ἢ τῆς γῆς ἡ σκιά. Τῆς τοιαύτης οὖν σκιᾶς διὰ τὸ μέγεθος τοῦ ἡλίου γινομένης κωνοειδοῦς, καὶ τὴν μὲν βάσιν ἐχούσης πλατεῖαν συμπαρεκτεταμένην τῷ μέρει τῆς γῆς ὅσον οὐ καταλάμπει ὁ ἥλιος, τὴν δὲ κορυφὴν εἰς ὀξὺ λήγουσαν, τὰ μὲν ἄνω τῆς σελήνης καὶ ὑψηλότερα τὴν τοιαύτην καὶ κατὰ μῆκος ὑπερβαίνει σκιάν. Ὅθεν οὐδεὶς ἱστόρηται ποτε τῶν ἀστέρων ταύτῃ περιπεσεῖν· ἢ γὰρ ἂν ἐφάνη λαμπρότερος ἑαυτοῦ· τὰ φῶτα γὰρ ἐν νυκτὶ μᾶλλον ἢ ἐν ἡμέρᾳ λαμπρότερα φαίνεται. Διὸ καὶ οἱ ἀστέρες, αἰθρίας οὔσης ἐν ἀσελήνῳ νυκτί, πλέον ἔχουσι τὸ λαμπρὸν ἢ τῆς σελήνης διαυγαζούσης. Οἱ μὲν οὖν ἀστέρες ἅπαντες ὑπερφέρονται τῆς σκιᾶς, μὴ φθανούσης εἰς τὸ ὕψος αὐτῶν· ἡ δὲ σελήνη πρόσγειος οὖσα, τῷ τῆς γῆς ἐντυγχάνει κώνῳ περὶ τὸ ἄκρον, ὅτε διαμετροῦσα τὸν ἥλιον ὑπὸ τὸν αὐτοῦ φέροιτο κύκλον, μήτε πρὸς τὰ βόρεια μήτε πρὸς τὰ νότια νεύουσα. Δῆλον δ' ἐντεῦθεν, ὅτι καὶ πολὺ σμικρὸν ὅσον πρὸς τὴν γῆν τὸ σῶμα τῆς σελήνης ἐστίν. εἴγε τὰ περὶ τὸ ἄκρον τῆς ἐκ γῆς σκιᾶς καὶ νυκτὸς ὅλον αὐτὸ δύναιντο περισχεῖν. Καὶ τοῦθ' ἡμῖν ἐπὶ τοῖς δεδειγμένοις οὐ γραμμικῶς ἀλλὰ λογικῶς ἔστω δὴ πόρισμα.

« Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; » Οὐ δοκεῖ μοι διὰ τὴν ἀνθρωπίνην εὐτέλειαν εἰρῆσθαι τοῦτο διαπορητικῶς· τὰ γὰρ ἑξῆς τὴν διαπόρησιν ἀναιρεῖ. Καὶ γὰρ εἰ βραχύ τι παρ' ἀγγέλους ἠλάττωται ἄνθρωπος, καὶ δόξῃ καὶ τιμῇ ἐστεφάνωται, καὶ βασιλεὺς τῶν ἐπιγείων κεχειροτόνηται, μέγα πάντως ὁ ἄνθρωπος· ὥστε μᾶλλον θαυμαστικὸν ἂν εἴη τὸ τί ἐστι. Βαβαὶ πόσον ἐστὶν ἄνθρωπος! ὅτι τοσαύτην ἔχεις στοργὴν εἰς αὐτόν, ὅτι πάντοτε μνείαν αὐτοῦ ποιῇ· καὶ πρότερον μὲν ἀπὸ νοῦ μακρυνθέντος διὰ τῆς παραβάσεως οὐ διέλειπες οἰκονομῶν αὐτοῦ τὴν ἀνάκλησιν, καὶ νῦν ἁμαρτάνοντος οὐ παύῃ τὴν αὐτοῦ πάλιν πραγματευόμενος ἐπιστροφὴν καὶ διόρθωσιν. Ὡς γεγονότα δὲ τὰ γενησόμενα προϊδὼν ἐξαγγέλλει ταῦτα, καθὼς ἑώρακεν.

« Υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν. » Ἀπὸ κοινοῦ, Υἱὸς ἀνθρώπου τί ἐστιν, ὅτι οὕτως ἐπισκέπτῃ αὐτόν; Αὐτὸς σὺ πρὸς αὐτὸν ἀφικνούμενος δι' ἐνανθρωπήσεως, ἵνα πεπλανημένον ἐπανασώσῃς, ἔτι τε διηνεκῶς αὐτὸν ἐφορῶν, καὶ σωτηριωδῶς διεξάγων τὰ κατ' αὐτόν. Τὸ δὲ υἱὸς ἀνθρώπου, καὶ αὐτὸ περιφραστικῶς ἀντὶ τοῦ ἄνθρωπος εἴρηται· Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους. » Ἄγγελον ἄλλον ἐποίησας αὐτὸν τῷ μεγαλείῳ τῆς νοερότητος· ἀλλ' ὀλίγον ἐλαττονήσας ταῖς ἀνάγκαις τοῦ σώματος, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν. » δόξῃ διὰ τὸ λογικόν τε καὶ νοερὸν καὶ τὸ αὐτεξούσιον· τί γὰρ λόγου καὶ νοὸς καὶ αὐτεξουσιότητος ἐνδοξότερον τιμῇ διὰ τὴν τῶν ἄλλων ζώων ὑποταγὴν πρὸς αὐτὸν καὶ μᾶλλον διὰ τὰς ἀρετάς· τί γὰρ ἀρετῆς τιμιώτερον; εἴ γε δι' αὐτῆς ὁ ἄνθρωπος ὁμοιοῦται Θεῷ. « Καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου » δηλαδὴ τὰ ὑπὸ τὴν αἴσθησιν, ἐφ' ἃ κατέστη δεσπόζειν ὁ ἄνθρωπος. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ, πρόβατα καὶ βόας ἁπάσας. Ὑπερβατῶς πάντα πρόβατα καὶ βόας ἁπάσας » ὑπέταξας αὐτῷ τὴν ἐσχάτην ὑποταγήν· τοῦτο γὰρ δηλοῖ τὸ ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Διὰ δὲ τῶν προβάτων καὶ τῶν βοῶν τὰ ἥμερα χερσαῖα ζῶα πάντα δεδήλωκεν· ἔτι δὲ καὶ τὰ κτήνη τοῦ πεδίου. Κτήνη τοῦ πεδίου φησὶ τὰ αὐτόνομα, τὰ ἀνέτως ἐν τῷ πεδίῳ νεμόμενα. Κτήνη γὰρ καὶ τὰ θηρία, τῷ κάτω νεύειν καὶ νυκτάζειν εἰς γῆν. Δύναται δὲ καὶ τούτων διὰ τῆς γνώσεως κυριεύειν ὁ ἄνθρωπος καὶ ταῦτα καθυποτάττειν, εἰ καὶ μὴ κατὰ τὰ ἥμερα ζῶα τὴν ἐσχάτην ὑποταγήν· ἐν δὲ τῷ εἰπεῖν, ἔτι δὲ τῶν ἡμερῶν, διεῖλεν αὐτὰ καὶ τῆς ἐκείνων χειροηθεστάτης ὑποταγῆς τὴν τούτων ὑποταγὴν παρηλλαγμένην ὡς τὸ εἰκός. » Τὰ πετεινὰ τοῦ οὐρανοῦ. » Τὸν οὐρανὸν ὅρον ἄνω εἶναι καὶ ἡ ἀνάπτυξις δηλοῖ τοῦ ὀνόματος· περιορισμὸς γάρ ἐστιν εἰς τὸ ἄνω κατὰ τὸ ἄνω, κατὰ πᾶν μέρος τοῦ παντὸς κόσμου ἔχων τὸ ἀνωτάτω· καὶ αὐτὸ γὰρ τὸ δοκοῦν τοῖς πολλοῖς ὑποκάτω καὶ ὑπὸ γῆν ἡμισφαίσιον ὑπεράνω κατ' ἀλήθειαν τυγχάνει καὶ ὑπὲρ γῆν.

OCR ABK / FR

A Τὸ γὰρ ἐκτὸς τῆς γῆς ὁπωσοῦν ἄνω ἐστὶν, ἐπείπερ ἡ γῆ καὶ τὰ ἐν αὐτῇ σώματα καὶ περὶ αὐτὴν τὸν κάτω χῶρον εἴτουν τὸν μέσον κεκλήρωνται. Ταῦτα μὲν ὡς ἐν τῷ δευτέρῳ βιβλίῳ τῆς παρ' ἡμῶν συντεταγμένης εἰσαγωγικῆς ἐπιτομῆς εἰπεῖν ἐπεφθάκειμεν, οὕτω κἀνταῦθα πρὸς λέξιν εἰρήκαμεν· νῦν δ' ἡ ψαλμικὴ ῥῆσις τὸν ἀέρα κέκληκεν οὐρανὸν, ἅμα μὲν διὰ τὸ ἄνω καὶ αὐτὸν εἶναι τῆς γῆς καὶ τῶν περὶ γῆν, ὡς ἀναφεροῦς μετέχοντα φύσεως, ἅμα δὲ καὶ διὰ τὴν παντὸς σώματος τοῦ μεταξὺ γῆς τε καὶ στερεώματος πρὸς αὐτὸ τὸ στερέωμα διόλου συνέχειαν, μηδεμιᾶς που θεωρουμένης κενότητος. Ὁ μὲν γὰρ αἰθὴρ εὐθὺς μετὰ τὸ στερέωμα τέτακται, πάσης ἀπηλλαγμένος ταραχῆς καὶ μεταβολῆς, ἐκ τοῦ ἀεὶ θεῖν ὠνομασμένος αἰθήρ· ἀεικίνητος γὰρ τὴν σὺν οὐρανῷ ταχυτάτην φερόμενος. B Μετὰ τὸν αἰθέρα τὸ ὑπέκκαυμα, θερμή τις οὐσία καὶ ξηρὰ, κἀντεῦθεν ἐπιτηδεία πρὸς ἔκκαυσιν. Διὸ καὶ κατά τινα μέρη συστάσεως μετέχοντα καὶ πυκνότητος, ἐκκαιομένη πολλάκις ὑπὸ τῆς τῶν οὐρανίων σωμάτων κινήσεως, αἰτία γίνεται διαττόντων καὶ κομητῶν, καὶ λοιπῶν φασμάτων φλογοειδῶν, ἐχόμενος τοῦ ὑπεκκαύματος. Ὁ ἀὴρ θερμή τις οὐσία καὶ αὐτός. Πλὴν οὐχ ὡς τὸ ὑπέκκαυμα· τοῦτο γὰρ πυρὸς ἔγγιστα, καὶ πῦρ στοιχειακόν. Ὁ δ' ἀὴρ ἔχων δὴ κατὰ φύσιν, συμμέτρου μετέχει καὶ ζωογόνου θερμότητος κατὰ ταυτὸ καὶ ὑγρότητος· πρὸς δὲ τὸ παρὰ φύσιν ἀγόμενος καὶ ψύχεται καὶ ὑπερθερμαίνεται, καὶ πολλὰς πάσχει μεταβολὰς, ὡς παθητὸς καὶ ἀλλοιωτός· μόνος γὰρ ὁ αἰθὴρ ἀπαθής τε καὶ ἀναλλοίωτος ὡς ἐν σώμασιν. Ἐξ ἀέρος ἀρξάμενος καὶ C ὁ θεῖος ἀπόστολος οὐρανοῦ κεκλημένου, καὶ πρώτου ὄντος ὡς πρὸς ἡμᾶς, καὶ τὸ ἐχόμενον ὑπέκκαυμα συνάψας αὐτῷ τῆς αὐτῆς ὕλης ὂν, εἰ καὶ ποιότητι διενήνοχε, δεύτερον οὐρανὸν ἔταξε τὸ στερέωμα. Τὸν ὄντα φύσει δεύτερον καὶ οὕτως τὸν ἐν ἀρχῇ δεδημιουργημένον ὑπὸ Θεοῦ, τρίτον ὠνόμασεν, ἐκ τῶν καθ' ἡμᾶς, ὡς ἔφην, ἀρξάμενος. Ὅθεν καὶ τὴν ἀνάβασιν, τὴν εἴτ' ἐν σώματι καὶ κατ' αἴσθησιν, εἴτ' ἐκτὸς τοῦ σώματος ὑπὲρ αἴσθησιν ἐποιήσατο· τὰ τῇ φύσει γὰρ πρότερα ἡμῖν ὕστερα, καὶ τὰ τῇ φύσει ὕστερα ἡμῖν πρότερα. « Καὶ τοὺς ἰχθύας τῆς θαλάσσης « τὰ διαπορευόμενα τρίβους θαλασσῶν, » τῇ θαλάσσῃ καὶ τὰς λίμνας συμπεριέλαβε καὶ τοὺς ποταμοὺς, ἐκ τοῦ μείζονος πᾶσαν ὕδατος δηλώσας συναγωγήν. Ἰχθύων δὲ μνησθεὶς, ἐπεὶ καὶ ἄλλα τινὰ D ζῶα τῆς αὐτῆς τοῖς ἰχθύσιν ἀκοινώνητα φύσεως ἐνδιαιτῶνται τοῖς ὕδασιν, οἷα πολύποδες καὶ καρκῖνοι καὶ ἕτερα, διὰ ταῦτ' ἐπήγαγε, « τὰ διαπορευόμενα τρίβους θαλασσῶν· » ὡς εἰ ἔλεγε, πάντα τὰ διερχόμενα διελεύσεις ἐν ὕδασιν, εἴτε τῆς ἰχθύων εἰσὶ φύσεως εἴθ' ἑτέρας τινός. « Κύριε, ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ· τὸ προοίμιον ἐποιήσατο καὶ ἐπίλογον, ἐκ τοῦ θαυμάζειν ἀρξάμενος τὴν τοῦ Κυρίου μεγαλειότητα, καὶ πρὸς αὐτὸ τὸ θαυμάζειν ταύτην πάλιν κατηντηκώς. Οὕτω χρὴ καὶ ἡμᾶς ἐκ Θεοῦ τῶν ὕμνων καὶ λόγων καὶ πράξει κατάρχεσθαι, καὶ πρὸς Θεὸν καταντᾷν, ἐκτὸς δ' αὐτοῦ μήπου μηδοπωσοῦν ἐκφοιτᾷν, ἀλλ' ἔχεσθαι τούτου διὰ παντὸς, ἐξ οὗ γεγόναμεν, ὑφ' οὗπερ ἀνακεκλήμεθα καὶ σεσώσμεθα. Κατῆλθε Χριστὸς ἀδιαστάτως ἐκ τοῦ Πατρὸς πρὸς τὴν ἡμετέραν ταπείνωσιν, καὶ δι' ἡμᾶς γενόμενος, καθ' ἡμᾶς, ὢ τοῦ πελάγους τῆς φιλανθρωπίας αὐτοῦ! πρὸς τὸν Πατέρα πάλιν μετὰ τῆς ἡμετέρας οὐσίας ὑπὲρ ἡμῶν ἀνελήλυθεν ὁ μηδέποτε τῶν κόλπων ἐκστὰς τοῦ Πατρός. Κατῆλθεν εἰς τὸν ἄνθρωπον ὁ Θεός· οὐδὲ γὰρ ἠνέσχετο παριδεῖν ἀπολλύμενον τοσοῦτον ἔργον, σοφίας μεγέθους καὶ πολλοῦ πλήθους χρηστότητος γνώρισμα. Διὸ δὴ συμπαθῶς ἅμα καὶ σοφῶς αὐτὸν ἐπεσκέψατο· καὶ ἐπισκεψάμενος ἀνεκτήσατο, καὶ βασιλείας οὐρανῶν ἠξίωσε καὶ θέσεως ὁ κράτιστος καὶ μέγιστος βασιλεὺς καὶ Θεὸς, ᾧ ἡ δόξα πᾶσα καὶ ἡ προσκύνησις νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ Θ'.

Ὁ παρὼν ἔννατος ψαλμὸς χαριστήριός ἐστιν εἰς τὸν Δεσπότην Χριστὸν ὑπὲρ τῶν εἰς ἡμᾶς θαυμασίων αὐτοῦ, διηγούμενος ὅπως ἡ τῶν ἀνθρώπων φύσις τὴν ἀκροτάτην εὐεργεσίαν εὕρατο παρ' αὐτοῦ. Καὶ τῆς τοῦ ἐχθροῦ διαβόλου τυραννίδος λελύτρωται, καὶ τῆς τῶν δαιμόνων καταδυναστείας καὶ ἰταμότητος ἠλευθέρωται, καὶ τῆς εἰδωλολατρείας ἀπέστη, καὶ τῆς πλάνης ἀπήλλακται. Προϊὼν δὲ τῆς τῶν πονηρῶν ἀνθρώπων καταβοᾶται πλεονεξίας καὶ ἁρπαγῆς, καὶ κατὰ τῶν ὑποδεεστέρων θρασύτητος, καὶ πρὸς ἄμυναν καλεῖ τὸν μόνον δυνατὸν καὶ δίκαιον Κύριον, ἱκετεύων αὐτὸν μηδόλως ὑπεριδεῖν καταπονουμένων τῶν ταπεινῶν, καθὼς οὐδ' ὑπὸ διαβόλου καὶ δαιμόνων καταδουλουμένης ὑπερεῖδε τῆς τοῦ οἰκείου πλάσματος φύσεως. Ἐμφιλοχωρεῖ δὲ τῷ νῦν ἀσεβῶν εἴτουν πονηρῶν φαυλισμῷ καὶ πολυειδῶς στηλιτεύει τὴν κακίαν αὐτῶν, διδάσκων ἐντεῦθεν ἁρπαγῆς καὶ πλεονεξίας πάντας ἀπέχεσθαι. « Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου. » Τὸ τῆς ἐξομολογήσεως ἀναπτυσσόμενον ὄνομα τὴν ἐκτὸς εἰς τὸ φανερὸν ὁμολογίαν δηλοῖ. Διὸ πῇ μὲν ἀντὶ τῆς ἐξαγορείας ὧν κακῶς πεπράχαμεν καὶ ὧν ἐπταίκαμεν, τίθεται, πῇ δ' ἀντὶ τῆς ἐκφαντορίας ὧν εὖ πεπόνθαμεν καὶ ὧνπερ εὐηργετήμεθα καθὼς ἐνταυθοῖ· τὴν εὐχαριστίαν γὰρ ὁ προφήτης, ἐξομολόγησιν εἴρηκε. Τῇ τοιαύτῃ δὲ σημασίᾳ τῆς λέξεως οἶδε κεχρῆσθαι τὰ μάλιστα, τὴν ἑτέραν δήλωσιν ἐν ὀλιγίστοις πάνυ τιθέμενος. Εὐχαριστήσω σοι, φησὶ, Κύριε, καὶ οὐχ ἁπλῶς, ἀλλ' ἐξ ὅλης καρδίας μου. Διηγήσομαι πάντα τὰ θαυμάσιά σου, τὰ θαυμαστὰ σου κατὰ τῶν νοητῶν ἐχθρῶν μου τροπαιουχήματα· εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι ἐν σοί· οὐκ ἐν δόξῃ καὶ πλούτῳ καὶ τοῖς ῥέουσι πράγμασιν, ἀλλ' ἐν σοὶ, τῷ ὄντως εὐφροσύνῃ καὶ ἀγαλλιάσει· σὺ γὰρ διὰ τῆς σῆς ἀντιλήψεως εὐφραίνεις ἀληθῶς τὰς καρδίας τῶν ἠξιωμένων ἔχειν σε ἀντιλήπτορα.

« Ψαλῶ τῷ ὀνόματί σου, Ὕψιστε. » Ἐν τῷ τέλει τοῦ ἑβδόμου ψαλμοῦ, περὶ τούτου διείληπται.

« Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω, ἀσθενήσουσι καὶ ἀπολοῦνται ἀπὸ προσώπου σου. » Ἄρχεται τῆς διηγήσεως τῶν θαυμασίων Χριστοῦ.

OCR ABK / FR

Διὰ μὲν οὖν τοῦ εἰπεῖν τὸν ἐχθρόν μου ἑνικῶς ἐδήλωσε τὸν διάβολον· διὰ δὲ τοῦ ἀσθενήσουσι καὶ ἀπολοῦνται, πληθυντικῶς εἰρημένου, τοὺς δαίμονας. Πρόσωπον δὲ λέγει τὴν ἐπιφάνειαν· ἐπιφανέντος γὰρ ἐν τῷ ᾅδῃ τοῦ Δεσπότου Χριστοῦ, μὴ ἐνεγκὼν ὁ διάβολος τὴν ἀστραπὴν τῆς θεότητος, ἐστράφη εἰς τὰ ὀπίσω, κατατετροπωμένος. Τούτου δ' οὕτω στραφέντος, ἡττημένου καὶ κατῃσχυμμένου, πάντες οἱ δαίμονες ἠσθένησαν, αἱ δυνάμεις αὐτοῦ, καὶ ἀπώλοντο. Τουτέστι διεσκορπίσθησαν, ἠφανίσθησαν· ὑπερβατῶς ἡ σύνταξις· « Ἐν τῷ ἀποστραφῆναι τὸν ἐχθρόν μου εἰς τὰ ὀπίσω ἀπὸ προσώπου σου, ἀσθενήσουσι καὶ ἀπολοῦνται· » Πάντες οἱ περὶ αὐτὸν δηλονότι καὶ ὑπ' αὐτόν.

« Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου. » Ἐποίησας τὴν περὶ ἐμοῦ κρίσιν καὶ τὴν δικαίωσίν μου. Καὶ τὸν μὲν τύραννον κατέκρινας, ἐμὲ δ' ἐδικαίωσας τῆς αὐτοῦ θέμενος τυραννίδος ἐλεύθερον. Οὕτω καὶ τὸ Εὐαγγέλιον διατρανοῖ. « Νῦν ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται. »

« Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην. » Ἀνελθὼν μετὰ τὴν ἀνάστασιν εἰς τοὺς οὐρανούς, ἐπὶ θρόνου δόξης ἐκάθισας μετὰ σώματος. Ὁ κρίνας δικαίως, καὶ τὸν ἀποστάτην ἐκβαλὼν ἔξω, ἐμὲ δ' ὑπὸ τὴν σὴν δεσποτείαν εἰσαγαγών, ὁ καὶ τότε καὶ νῦν καὶ διὰ παντὸς δίκαιος ὑπάρχων κριτής, ἐπετίμησας ἔθνεσι, καὶ ἀπώλετο ἀσεβής. Ἔθνη νῦν λέγει τοὺς δαίμονας, ὡς πρώτως ἀνόμους, καὶ τῆς ἀνομίας δημιουργούς. Ἐπετίμησας τοῖς δαίμοσι διὰ τοῦ τῶν ἀποστόλων κηρύγματος, ἐχόντων ἐξουσίαν ἐπιτιμᾷν δαίμοσι, καὶ καταπατεῖν πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. Διὰ τῆς τοιαύτης τοίνυν ἐπιτιμήσεως οὐ μόνον δαίμονες ἐδραπέτευσαν, ἀλλὰ καὶ ὁ αὐτῶν ἄρχων καὶ πρῶτος ἀσεβὴν ἐξηφάνισται.

« Τὸ ὄνομα αὐτοῦ ἐξήλειψας εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. « Πολὺ τὸ τοῦ διαβόλου ὄνομα τῷ κόσμῳ διὰ τῆς εἰδωλολατρείας ἐφήπλωτο. Σὺ δὲ τοῦτο πάμπαν ἐξήλειψας αἰωνίου ἀεί· τὸ γὰρ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος διηνεκείας ἐμφαίνει ἐπίτασιν.

« Τοῦ ἐχθροῦ ἐξέλιπον αἱ ῥομφαῖαι εἰς τέλος, καὶ πόλεις καθεῖλες. » Τὰ τῶν Ἑλλήνων ἄθεα δόγματα ῥομφαίας τοῦ διαβόλου φησί· ὧν αὐτὸς ὁ διάβολος τὰς τῶν ἀνθρώπων ἀνῄρει ψυχάς· πόλεις δὲ τὰ τῶν εἰδωλολατρούντων συστήματα, καὶ τῆς αὐτῶν θρησκείας τὰ ὀχυρώματα.

« Ἀπώλετο τὸ μνημόσυνον αὐτοῦ μετ' ἤχου. » Τῆς εἰδωλολατρείας ἁπανταχόθεν ἀναιρεθείσης ἀπώλετο μετ' ἤχου τὸ τοῦ διαβόλου μνημόσυνον, τουτέστι, περιβόητος καὶ ἐξάκουστος ἡ τῆς διαβολικῆς μνήμης ἀπώλεια γέγονεν· εἰς πᾶσαν γὰρ περιήχηται γῆν, ὡς εἰδωλολατρεία καθῄρηται καὶ ἠφάνισται.

« Καὶ ὁ Κύριος εἰς τὸν αἰῶνα μενει. » — Διὰ τοῦτο, τῆς εὐσεβείας ἐδήλωσε μόνιμον καὶ ἀΐδιον. Καὶ ὁ μὲν ἀσεβὴς ἀπώλετο καὶ τὸ αὐτοῦ ὄνομα πάντῃ πανταχόθεν ἀϊδίως ἐξήλειπται, αἱ τοῦ ἐχθροῦ ῥομφαῖαι εἰς τέλος ἐξέλιπον, αἱ πόλεις αὐτοῦ καταθέβληνται, τὸ μνημόσυνον αὐτοῦ μετὰ κραυγῆς

A ἐξωλόθρευται· ὁ δὲ Κύριος Ἰησοῦς εἰς τὸν αἰῶνα μένει τιμώμενός τε καὶ προσκυνούμενος, καὶ τὸ αὐτοῦ πανάγιον ὄνομα διηνεκῶς μεγαλύνεται καὶ ἀκαταπαύστως δοξάζεται, καὶ τῆς Ἐκκλησίας αὐτοῦ πύλαι ᾅδου οὐ κατισχύσουσιν. Ἡτοίμασεν ἐν κρίσει τὸν θρόνον αὐτοῦ. Προώρισεν ἐν κρίσει καθίσαι κατὰ τὸν τῆς συντελείας τοῦ αἰῶνος τούτου καιρόν. Καὶ αὐτὸς κρινεῖ τὴν οἰκουμένην. « Ἐν δικαιοσύνῃ κρίνει λαοὺς ἐν εὐθύτητι. » Ταῦτα διαγορεύουσιν ἐκ παραλλήλου τὸ τοῦ παγκοσμίου κριτοῦ δίκαιον καὶ ἀπαρέγκλιτον. « Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι. » — Πένητα λέγει τὸν ἀνθρωπίνης δυναστείας καὶ προστασίας ἐστερημένον· διασαφεῖ δὲ διὰ τούτων τὸ τοῦ Κυρίου συμπαθὲς καὶ ἀπρόσωπόληπτον· αὐτὸς ὁ Κύριος ὁ παγκόσμιος ἐν

B ὑστάροις καιροῖς δικαστής, αὐτὸς καὶ νῦν γέγονε καταφυγὴ τῷ πένητι· βοηθὸς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν, ἐγένετο Κύριος τῷ ταπεινῷ καὶ ἀπροστατεύτῳ, βοηθὸς ἐν ταῖς θλίψεσιν, εὐκαίρως, ἤγουν ἐν καιρῷ τῷ προσήκοντι.

« Καὶ ἐλπισάτωσαν ἐπὶ σὲ οἱ γινώσκοντες τὸ ὄνομά σου, ὅτι οὐκ ἐγκατέλιπες τοὺς ἐκζητοῦντάς σε, Κύριε. » Καὶ λοιπὸν ἐπείπερ οὐκ ἐγκατέλιπες τοὺς ἐκψυχῆς ζητοῦντάς σε, Κύριε, δίκαιον ἐλπίζειν ἐπὶ σὲ γινώσκοντάς σε τοὺς εἰς σὲ πιστεύοντας εὐσεβῶς. « Ψάλατε τῷ Κυρίῳ τῷ κατοικοῦντι ἐν Σιών, » τῷ κατοικοῦντι κατὰ τὸν τῆς οἰκειώσεως λόγον ἐν τῇ τῶν πιστῶν Ἐκκλησίᾳ, καὶ διὰ τοῦτο καὶ ἐν ἑνὶ ἑκάστῳ πιστῷ.

« Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ. » Τὸ ἀναγγέλλειν τὰ ἔργα καὶ τὰς οἰκονομίας

C τοῦ Χριστοῦ, τὴν ἐνανθρώπησιν, τὰ θαύματα τὰ προστάγματα, καὶ αὐτῷ στόματι καὶ δι' ἐπιστολῶν καὶ γραφῶν, ἐν τοῖς οὐκ εἰδόσιν ἔθνεσι ταῦτα, καὶ πᾶσι μὲ ἔχουσι λόγου δύναμιν ἁρμόζει πιστοῖς, ἐξαιρέτως δὲ τοῖς ἀποστόλοις, οἷς εἶπεν ὁ Κύριος, « Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη. »

« Ὅτι ὁ ἐκζητῶν τὰ αἵματα αὐτῶν ἐμνήσθη, οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. » Οὕτω συντακτέον· Ἐμνήσθη τῆς κραυγῆς τῶν πενήτων, οὐκ ἐπελάθετο· καὶ γὰρ οἱ πένητες παντὸς ἀγαθοῦ τῇ δαιμονικῇ τυραννίδι ταλαιπωρούμενοι μέχρι σφαγῆς καὶ τῆς τῶν οἰκείων αἱμάτων ἐκχύσεως ἔκραζον οἱονεὶ πρὸς τὸν Θεόν. Ἡ πρᾶξις γὰρ καὶ ἡ πάθησις καὶ τῶν πραττόντων ἢ πασχόντων σιγώντων αὐτοῦ βοῶσι πρὸς τὸν Θεὸν τὸν εἰδότα πάντα καὶ

D πρὶν γενέσεως. Ὁ τοίνυν τὰ αἵματα αὐτῶν τῶν ἐθνῶν ἐκζητῶν Κύριος τὰ ἐν ταῖς τῶν δαιμόνων ἐκρεόμενα θυσίαις, ἤγουν ὁ δίκας εἰσπράττων τῆς ἀνοσίου ταύτης τῶν αἱμάτων ἐκχύσεως, ἐμνήσθη τῆς τῶν σφαττομένων ἐλεεινῶν καὶ ταλαιπώρων ἀνθρώπων κραυγῆς, καὶ οὐκ ἐπελάθετο. « Ἐλέησόν με, Κύριε, ἴδε τὴν ταπείνωσίν μου ἐκ τῶν ἐχθρῶν μου, ὁ ὑψῶν με ἐκ τῶν πυλῶν τοῦ θανάτου. » Διηγησάμενος περὶ ὧν κατώρθωσεν ὁ Δεσπότης Χριστὸς διὰ τῆς οἰκείας ἐνανθρωπήσεως καὶ τοῦ πάθους αὐτοῦ καὶ τῆς ἀναστάσεως καὶ ἀναλήψεως, ἐπήγαγεν ἁρμοζόντως ὅτι αὐτὸς ἔσται καὶ τῆς οἰκουμένης ἁπάσης κριτὴς δίκαιος καὶ ἀπαρέγκλιτος. Εἶτα τὸ

OCR ABK / FR

συμπαθὲς αὐτοῦ καὶ ἀπροσωπόληπτον ἀνακηρύξας A διὰ τοῦ, « Καὶ ἐγένετο Κύριος καταφυγὴ τῷ πένητι, » πάλιν εἰς τὸν περὶ τῆς οἰκονομίας ἐπανέκαμψε λόγον εἰπών, « Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἐπιτηδεύματα αὐτοῦ, » καὶ δὴ τῆς τῶν δαιμόνων μνησθεὶς ἰταμότητος, ὅπως τῶν ὑπ' αὐτῶν τυραννουμένων τοὺς μὲν εἰς τὸ κατασφάττειν ἤγαγον τοὺς φιλτάτους· τοὺς δ' ὑπὸ τῶν οἰκειοτάτων ποιήκασι κατασφάττεσθαι, καὶ οὕτω θύειν καὶ θύεσθαι θυσίαν ἄνομον καὶ ἀπάνθρωπον, πικρίας καὶ δακρύων καὶ θρήνων καὶ κοπετῶν, ἔτι τε βλέπων ὅσην ἀναισχυντίαν φέρουσιν οἱ ἀλάστορες, ὅτι καὶ τὸ κράτος ἀφῃρημένοι καὶ τὴν ἰσχὺν ἐκνενευρισμένοι, καὶ αὖθις τοῖς πιστοῖς, καὶ θλίβουσι καὶ κακοῦσιν αὐτούς, εἰς ἔλεον ἐκκαλεῖται τὸν Κύριον, « Ἐλέησόν με, Κύριε, λέγων, ἴδε μου τὴν ταπείνωσιν, » B εἴτ' οὖν κάκωσιν τὴν ἐκ τῶν ἐμῶν ἐχθρῶν ἐπενηνεγμένην μοι, ἴδε σύ, ὁ ἀνάγων με ἐκ τῶν εἰσόδων αὐτῶν τῶν εἰσαγουσῶν πρὸς τὸν θάνατον. Πύλας γὰρ θανάτου τοὺς ἀφύκτους κινδύνους ὠνόμασεν εἴτε ψυχῆς, εἴτε σώματος. « Ὅπως ἂν ἐξαγγέλλω πάσας τὰς αἰνέσεις σου ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. » Ἤγουν ἐν τοῖς ὠσὶ τῶν πιστῶν. Σιὼν γὰρ ὑποληπτέον ἐνταῦθα λέγεσθαι τὴν πόλιν καὶ κατοικίαν τῶν σωζομένων τὴν ἐπουράνιον· θυγατέρα δὲ καὶ κληρονόμον ταύτης τῆς πόλεως πᾶσαν ψυχὴν ἀσεβῆ καὶ θεοφιλῆ· πύλας δὲ ψυχῆς καὶ εἰσόδους τὰ ὦτα δι' ὧν εἰσέρχεται λόγος πᾶς ἐν ψυχῇ. Λέγει τοίνυν, « Ἐλέησον με, Κύριε, καὶ τὰ ἔργα σου καὶ τὰ θαυμάσιά σου δι' ἃ χρεὼν αἰνεῖσθαί σε διηγήσομαι, καὶ τοὺς σοὺς ἐπαίνους οὐκ εἰς ὦτα λαλήσω βέβηλα, διδοὺς τὰ ἅγια τοῖς κυσίν, ἀλλ' εἰς ὦτα C πιστῶν καὶ θεοφιλῶν, δι' ὧν τὸ ὄνομά σου μεγαλυνθήσεται. Ἀγαλλιασόμεθα ἐπὶ τῷ σωτηρίῳ σου. » Ἐπανατρέχει πάλιν εἰς τὴν σωτήριον οἰκονομίαν Χριστοῦ, λέγων πρὸς αὐτόν· « Καὶ τῇ παρὰ σοῦ σωτηρίᾳ λίαν εὐφρανθησόμεθα. » τὴν γὰρ ἀγαλλίασιν ὑποληπτέον τῆς εὐφροσύνης ἐπίτασιν, ὅτε τις ὑφ' ἡδονῆς ἄγαν ἅλλεται καὶ σκιρτᾷ μὴ κατέχειν ἑαυτὸν δυνάμενος ἀπὸ τῆς χαρᾶς.

« Ἐνεπάγησαν ἔθνη ἐν διαφθορᾷ ᾗ ἐποίησαν. » Ἔθνη καλεῖ καὶ τοὺς δαίμονας, ὡς ἀνομίας ἐργάτας, καὶ τοὺς Ἰουδαίους ὡς παρανόμους καὶ τῷ πάντων ἀνομημάτων κεφαλαίῳ τῇ ἀναιρέσει τοῦ Κυρίου καθυπουργήσαντας. Λέγει τοίνυν, Ὥσπερ εἴ τισιν ἥλοις ἢ παττάλοις ἐπάγησαν, οὕτω κατεσχέθησαν σὺν τοῖς θεοκτόνοις οἱ δαίμονες οἱ τῆς κακίας πρω- D τουργοὶ κατάσχεσιν ἀνεξάλυκτον, ἐν ᾗ κατεσκεύασαν κατὰ τοῦ Σωτῆρος διαφθοράν· διαφθεῖραι γὰρ αὐτὸν καὶ ἀφανίσαι δι' ἀναιρέσεως ἐπισπεύσαντες, αὐτοὶ μᾶλλον διεφθάρησαν καὶ ἀπώλοντο, δαίμονες μὲν καθῃρημένου τοῦ κράτους αὐτῶν, Ἰουδαῖοι δὲ πανωλεθρίαν εὑράμενοι. Χριστὸς δὲ διαφθορᾶς μείνας ἀνώτερος ἀνέστη, καὶ αἰῶνας ζῇ καὶ δεσπόζει πάσης τῆς κτίσεως καὶ ὡς Θεὸς καὶ ὡς ἄνθρωπος·

« Ἐν παγίδι ταύτῃ ᾗ ἔκρυψαν συνελήφθη ὁ ποὺς αὐτῶν. » — Παγίδα κέκληκε τὸν δόλον καὶ τὴν ἐπιβουλὴν διὰ τὸ λαθραῖον· συνεβουλεύσαντο γὰρ ἵνα τὸν Ἰησοῦν δόλῳ κρατήσωσι καὶ ἀποκτείνωσιν, ὡς ἡ τῶν Εὐαγγελίων βίβλος διέξεισι. Ταῖς οἰκείαις οὖν μηχαναῖς καὶ Ἰουδαῖοι καὶ δαίμονες ἀφύκτως ἑάλωσαν· δαιμόνων μὲν γὰρ ἀπέσβη τὸ σέβας, οἱ θεοκτόνοι δὲ κατέστρεψαν πικρῶς τὴν ζωήν, συγκαταστραφείσης αὐτοῖς καὶ τῆς πατρίδος καὶ τῆς ἱερωσύνης, καὶ πάσης ἄλλης σεμνότητος. Γινώσκεται Κύριος κρίματα ποιῶν. Τὸ αὐτὸ καὶ κρῖμα καὶ κρίσιν ἡ προφητικὴ λέγει Γραφή. Γνωστός ἐστιν ὁ Κύριος, ὅτι κρίσεις ποιεῖ. διὸ τὸ τοὺς εἰρημένους ἀνόμους ταῖς οἰκείαις ἐμπεσεῖν ἐπιβουλαῖς τε καὶ μηχαναῖς ἐκ θείας γέγονε κρίσεως.

« Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός. » Ἤδη τῷ κατὰ τῶν πονηρῶν ἐκβάλλει καὶ κακούργων ἀνδρῶν διηγήματι λέγων· Ἐπεὶ γινώσκομεν ὅτι κρίνει ὁ Κύριος, εἰκότως ἅπας ἁμαρτωλὸς καὶ παράνομος, ἐν οἷς εἰς ἑτέρους εἰργάσατο βλαπτικοῖς, τούτοις αὐτὸς γέγονεν ἁλωτός, εἰ καὶ μὴ κατὰ τὸ παρόν, ἀλλ' ἐσύστερον τὰς δίκας τιννύς· ἁμαρτωλὸν δὲ καλεῖ τὸν ἄδικον, τὸν ἁρπακτῆρα, τὸν πλεονέκτην, καὶ διὰ ταῦτα δολιότροπόν τε καὶ πολυμήχανον.

« Ἀποστραφήτωσαν οἱ ἁμαρτωλοὶ εἰς τὸν ᾅδην. Πάντα τὰ ἔθνη τὰ ἐπιλανθανόμενα τοῦ Θεοῦ, ποτὲ μὲν ἑνικῶς εἴτ' οὖν γενικῶς διαλαμβάνει περὶ τῶν πονηρῶν εἴτε τῶν ἐπιεικῶν, ποτὲ δὲ πληθυντικῶς περὶ τῶν αὐτῶν. Ἔθνη δὲ καὶ ἁμαρτωλοὺς καλεῖ πάντας τοὺς σκαιοὺς ἀνθρώπους καὶ μοχηρούς· ἔθνη μέν, ὡς ἀνόμους καὶ μοχθηρούς, ἀνόμους ἐπὶ τῶν θείων νόμων ἠλόγησαν· ἔθνη μέν, ὡς ἁμαρτωλοὺς δ' αὖ, ὡς τοῦ δικαίου σφαλέντας, καὶ τοῦ προσήκοντος ἀστοχήσαντας. Ἀρᾶς δὲ τύπῳ διαγορεύει τὰ μέλλοντα δικαίως αὐτοὺς δεινὰ καταλήψεσθαι τῆς αὐτῶν ἀνοσιουργίας ἐπάξια. « Κατακριθήτωσαν οἱ πονηροὶ καὶ ἀπὸ τῆς κρίσεως εἰς τὸν ᾅδην ἀποστραφήτωσαν. « Ἅδην δὲ λέγει τὰ ὑπὸ γῆν ἔνθα πᾶν κολαστήριον· χῶρος γὰρ ἀπολαύσεων ὁ οὐρανός. Ἐπιλανθάνεται δὲ τοῦ Θεοῦ πᾶς ὁ τῶν νόμων αὐτοῦ καταφρονητής, ὁ μὴ μεμνημένος τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς.

« Ὅτι οὐκ εἰς τέλος ἐπιλησθήσεται ὁ πτωχός. Ἡ ὑπομονὴ τῶν πενήτων οὐκ ἀπολεῖται εἰς τέλος. » — Πτωχὸς καὶ πένης ὁ ταπεινός, ὁ πάσης ἔρημος ἐπικουρίας ἀνθρωπικῆς. Αἴτιον δὲ τίθησι τῆς ἐν τόπῳ βασάνων ἀποστροφῆς παντὸς πονηροῦ τὸ μὴ τὸν ταπεινὸν ἐπιλησθήσεσθαι παντελῶς παρὰ τοῦ Θεοῦ, μήτε μὴν ἐς τὸ διηνεκὲς ἀπολεῖσθαι τὴν τῶν πενήτων ὑπομονήν, ἣν ὑπέμενον τῶν ἰδίων ἀποστερούμενοι, καὶ τὴν ἐκδίκησιν καραδοκοῦντες, κομίσεσθαι δ' αὐτοὺς ἀντιδόσεις καὶ παρακλήσεις ἀνθ' ὧν ἀφῄρηνται καὶ λελύπηνται, τοῖς δέ γε κακώσασιν ἀντικακώσεις ἐπιπρεπεῖς ἐπαχθήσεσθαι. « Ἀνάστηθι, Κύριε· μὴ κραταιούσθω ἄνθρωπος. » Ἀρᾶς τύπῳ διαλαβὼν περὶ τῶν καταληψομένων τοὺς πονηροὺς καὶ πλεονέκτας ἐν ἐκείνῳ τῷ κόσμῳ δεινῶν, ἱκετεύει τὸν Θεόν, ἐνταυθοῖ κατὰ τὸν κόσμον τοῦτον ποιήσασθαι τῆς κακίας ἀναστολὴν καὶ σωφρονίσαι τοὺς μοχθηρούς, καὶ παραμυθήσασθαι τοὺς ἐπιεικεῖς. Εἴρηται δὲ τὸ ἀνάστηθι μεταφορικῶς ἀπὸ τῶν ἐκ καθέδρας ἐγειρομένων εἰς τινῶν

OCR ABK / FR

μὲν τιμωρίαν, τινῶν δὲ βοήθειαν. Μὴ μελλήσῃς εἰς A ἄμυναν ἅψαι τοῦ πράγματος· ἤδη κατάβαλε τὴν τοῦ ἀλαζόνος ὀφρὺν Ἄνθρωπός ἐστι καὶ αὐτὸς ἀσθενής. Εἰ καὶ κατοφρυᾶται καὶ καταδυναστεύει τῶν τῆς αὐτῆς αὐτῷ φύσεως, ἀνάστηθι, σπεῦσον. Ταπείνωσον αὐτὸν, μὴ ἐπαιρέσθω, μὴ θρασυνέσθω, κραταιὸν ἡγούμενος ἑαυτὸν καὶ ἀκαταγώνιστον· γνώτω δ' ὅτιπερ ἀσθένειαν ἀνθρωπίνην περίκειται.

« Κριθήτωσαν ἔθνη ἐνώπιόν σου. » Καθὼς καὶ ἀνωτέρω δεδήλωται, τοὺς σκαιοὺς καὶ τυραννικοὺς ἀνθρώπους ἔθνη καλεῖ διὰ τὰς ἀνομίας αὐτῶν. Κατακριθήτωσαν οἱ ἄνομοι σοῦ ἐφορῶντος τὰ πραττόμενα παρ' αὐτῶν. Τοῦτο γὰρ τὸ ἐνώπιόν σου, ἐν τῇ ἐφορείᾳ σου, ἐν τῇ ἐπισκοπῇ τοῦ προσώπου σου· πρόσωπον γὰρ Κυρίου ἐπὶ ποιοῦντας κακά· οὐχ ὡς ἐπὶ τοὺς ἐργαζομένους τὰ ἀγαθὰ εὐεργε- B σίαν ποιητικὸν, ἀλλὰ τοῦ ἐξολεθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. « Κατάστησον, Κύριε, νομοθέτην ἐπ' αὐτούς. » Νομοθέτην φησὶ τὸν προστάσσοντα δεσπότην· νόμος γὰρ τῷ δούλῳ τὸ τοῦ δεσπόζοντος πρόσταγμα. Τὴν αὐτονομίαν αὐτῶν περίελε περιβαλὼν αὐτοὺς δυσπραγίαις, συμφοραῖς, αἰχμαλωσίαις, πυκναῖς περιστάσεσι, καὶ καθυποτάξας ἑτέροις, ἐπὶ συμφέροντι πάντως, ἵν' ἕλκοντες δουλείας ζυγὸν, μεταμάθοιεν ἐξ ὧν πάσχουσι, τὸ ἥμερον καὶ φιλάνθρωπον.

« Γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί εἰσιν. » — Οἱ ἄνομοι γνώτωσαν τὴν οἰκείαν ἀσθένειαν καὶ μὴ μαγαλαυχείτωσαν, τῆς τῶν ἀνθρώπων καθυπεραιρόμενοι φύσεως. Πολυειδῶς δὲ τὴν συντριβὴν καὶ κατάπτωσιν τῶν ἐκθλιβόντων τοὺς ταπεινοὺς αἰτεῖ C παρὰ τοῦ Θεοῦ.

« Ἵνα τί, Κύριε, ἀφέστηκας μακρόθεν, ὑπερορᾷς ἐν εὐκαιρίαις, ἐν θλίψεσιν; » — Ἐλεεινολογουμένου καὶ δεινοπαθοῦντος τὰ ῥήματα, τὴν εἰς τοὺς πονηροὺς δὲ μακροθυμίαν τοῦ Θεοῦ καὶ τὴν τῆς βοηθείας ἀναβολὴν εἰς τοὺς πάσχοντας ἀπόστασιν μακρόθεν καὶ ὑπερόρασιν ἐκάλεσεν ἐν ταῖς θλίψεσι. Διὰ τί, Κύριε, πόῤῥω ἀπέχεις τοῦ βοηθῆσαι τοῖς πάσχουσι, καὶ τοὺς πονηροὺς τιμωρήσασθαι; Διὰ τί δ' ὑπερορᾷς ἐν ταῖς θλίψεσι τῶν κακουμένων, μὴ παραμυθίαν αὐτοῖς διδοὺς, τοῖς κακοῦσι δὲ κάκωσιν, καὶ ταῦτ' ἐν εὐκαιρίαις; Ἤγουν καιροῖς προσήκουσιν εἰς ἐκδίκησιν· ὑπερορᾷν δέ ἐστι τὸ ὑπὲρ τὸ κείμενον ὑπ' ὄψιν ὁρᾷν, ἐν τῷ περιφρονητικῶς ἔχειν αὐτοῦ καὶ ἀσχέτως, καὶ διὰ τοῦτο τοὺς ὀφθαλ- D μοὺς αἴρειν ἀλλαχοῦ, καὶ πόῤῥω τοῦ ἔγγιστα ποιεῖσθαι τὴν ὅρασιν. Ἐν τῷ ὑπερηφανεύεσθαι τὸν ἀσεβῆ, ἐμπυρίζεται ὁ πτωχός· ὁ ἐν ἀσεβέσι πτωχὸς τὴν διάνοιαν καὶ μικρόψυχος, θεώμενος τὸν ἀσεβῆ καὶ πονηρὸν εὐοδούμενον, κἀντεῦθεν ὑπερηφανευόμενον φλέγεται τὰ ἐντὸς, τῇ σφοδρᾷ λύπῃ καὶ τῷ ζήλῳ τὴν καρδίαν κατακαιόμενος.

« Συλλαμβάνονται ἐν διαβουλίοις οἷς διαλογίζονται ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ ἀδικῶν ἐνευλογεῖται. » Ἐν τοῖς διαβουλίοις καὶ μελετήμασιν οἷς οἱ πτωχοὶ τὴν διάνοιαν διαλογίζονται, ὅτι ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν ταῖς ἐπιθυμίαις τῆς ψυχῆς αὐτοῦ καὶ ὁ ἀδικῶν ἐνευλογεῖται, συλλαμβάνονται καὶ ἁλίσκονται, περὶ τῆς προνοίας σκανδαλιζόμενοι. Βλέποντες γὰρ ὅτι τῆς μοχθηρίας ἐν ἀνθρώποις ἐπικρατούσης ἐπαινεῖται ὁ ἁμαρτωλὸς ἐν τῷ τὰς ἀτόπους ἐπιθυμίας αὐτοῦ καὶ παραλόγους ἀποπληροῦν δέον ὂν αὐτὸν ὀνειδίζεσθαι, καὶ ὅτι ὁ ἀδικῶν ἐνευφημεῖται ταῖς ἀδικίαις αὐτοῦ δέον ὂν αὐτὸν δυσφημεῖσθαι, διότι ἀδικεῖ, διαλογίζονται βουλεύματά τε καὶ μελετήματα διὰ τί ἐστι τοῦτο· καὶ μὴ εὑρίσκοντες αἰτίαν τοῦ πράγματος εὔλογον ὅσον πρὸς τὸ φαινόμενον, περὶ τὴν Πρόνοιαν σφάλλονται, κἀντεῦθεν ὡς ἐν παγίδι ταῖς σφαλεραῖς αὐτῶν ὑπολήψεσι συλλαμβάνονται. Τοῦτο δὲ πάσχουσι, μὴ παραχωροῦντες τοὺς λόγους τῶν γινομένων τοῖς ἀνεφίκτοις κρίμασι τοῦ Θεοῦ, καὶ τῷ ἀκαταλήπτῳ τῆς σοφίας αὐτοῦ. « Παρώξυνε τὸν Κύριον ὁ ἁμαρτωλός· κατὰ τὸ πλῆθος τῆς ὀργῆς αὐτοῦ οὐκ ἐκζητήσει. « Ὁ μὲν ἁμαρτωλὸς ἐξ ὧν πράττει, πολὺ παρώργισε τὸν Θεὸν, ὀξὺν αὐτὸν ἐποίησεν ἐπ' ὀργήν· ὁ δὲ Κύριος εἰ καὶ πολὺ παρωργίσθη, πλὴν ὅμως οὐ κατὰ τὸ πλῆθος τῆς αὐτοῦ ὀργῆς ἐκζητήσει τὴν εἴσπραξιν. Μακρόθυμος γὰρ οὐκ ἔστιν ὁ Θεὸς ἐνώπιον αὐτοῦ. Βεβηλοῦνται αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ. Οὕτω πράττει τὰ ἄτοπα καὶ παράνομα, ὡς μὴ τοῦ Θεοῦ παρόντος καὶ τὰ πραττόμενα βλέποντος, καὶ διὰ τοῦτο κατὰ πάντα καιρὸν αἱ πράξεις αὐτοῦ βέβηλοι καὶ ἀνόσιοι γίνονται. « Ἀνταναιρεῖται τὰ κρίματά σου ἀπὸ προσώπου αὐτοῦ. » Ἡ ἀντὶ πρόθεσις εἰ καὶ παρέλκει, δοκεῖ τέως ἐμφαίνειν ἐπίτασιν· λίαν ἀναιροῦνται αἱ κρίσεις σου ἀπὸ προσώπου αὐτοῦ, ὥστε βλέπειν ταύτας αὐτὸν, τουτέστιν, ἀφανίζονται ἀπὸ τῆς διανοίας αὐτοῦ μὴ ἐννοοῦντος ὅλως, « Ὅτι κρίνεις δικαίως καὶ ἀποδίδως ἑκάστῳ κατὰ τὰς πράξεις αὐτοῦ. » Ἐναντίος ὅλος ἐστὶ ταῖς κρίσεσί σου καὶ ἀναιρετικὸς αὐτῶν ὅσον τὸ ἐπ' αὐτῷ.

« Πάντων τῶν ἐχθρῶν αὐτοῦ κατακυριεύσει, πάντων καταδυναστεύσει τῶν ἀνθισταμένων αὐτῷ σοῦ παραχωροῦντος οἷς οἶδας κρίμασιν· εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, Οὐ μὴ σαλευθῶ. » — Τοῦτ' ἐχόμενον ἂν εἴη κατὰ τὴν ἔννοιαν τοῦ, « Βεβηλοῦντος αἱ ὁδοὶ αὐτοῦ ἐν παντὶ καιρῷ, » μὴ διακοπήν τινα ποιουμένου τῶν ἀνοσίων ἔργων μηδοπωσοῦν· « Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ, » τουτέστι τοιοῦτον ἐν ἑαυτῷ συνεστήσατο λογισμὸν, ὡς οὕτω πράττων, Οὐ μὴ σαλευθῶ, οὐ μὴ παρακινηθῶ τῆς ἐν εὐημερίᾳ στάσεως καὶ παγιότητος, ἀπὸ γενεᾶς εἰς γενεὰν, ἄνευ κακοῦ, ἐλλειπτικῶς ἄνευ κακοῦ ἔσομαι ἢ βιώσομαι. Τὸ δ' ἀπὸ γενεᾶς εἰς γενεὰν πολυχρονιότητος ὑπάρχει δηλωτικὸν, ἤγουν ἀπὸ τῆς νῦν οὔσης τῶν ἀνθρώπων γενεᾶς ἕως τῆς ἐσομένης κακοῦ τινος ἄνευ βιώσομαι. « Οὗ ἀρᾶς τὸ στόμα αὐτοῦ γέμει καὶ πικρίας καὶ δόλου. » Ἔστιν εὑρεῖν ἐν τῇ ψαλμικῇ ταύτῃ γραφῇ τὰς ἀντωνυμίας ἐνίοτε τοῖς ὑποτακτικοῖς ἄρθροις ὑπεζευγμένας ἐκ περιττοῦ ὡς τὸ, « Οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, » καὶ, « Ὧ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ. « Τοῦτο κἂν τῷ παρόντι κόμματι γέγονεν, « Οὗ αὐτοῦ τὸ στόμα γέμει ἀρᾶς, »

OCR ABK / FR

ἤτοι λοιδορίας· ἀρὰ γὰρ λέγεται καὶ ἡ λοιδορία. Λοίδορα λέγει πᾶσιν ὀργίλα, δόλια, « προφέρων μὲν ἕτερα διὰ στόματος ἐν διανοίᾳ, κρύπτων δὲ ἕτερα. « Ὑπὸ τὴν γλῶσσαν αὐτοῦ, κόπος καὶ πόνος. » Διὰ τῆς ὑπὸ προθέσεως τὸ κρύφιον ὑπεδήλωσεν. « Ὑποψιθυρίζει κατ' ἀνθρώπων συκοφαντίας καὶ διαβολὰς, ἐξ ὧν οὗτοι κόπον καὶ πόνον εὑρίσκουσιν. « Ἐγκάθηται ἐνέδρα κατὰ πλουσίων ἐν ἀποκρύφοις τοῦ ἀποκτεῖναι ἀθῶον. » Ἐγκάθηται φήσας τὸ ὕπουλον ἐνέφηνε τοῦ πονηροῦ καὶ ἐπίπλαστον. Τοιούτους καὶ τὸ Εὐαγγέλιον λέγει τοὺς ἐγκαθέτους. Πλουσίους δ' εἴρηκεν ἐκείνους, οἷς ἔργον τὸ εἶναι πλουσίοις καὶ συλλέγειν ἐξ ἁρπαγῆς καὶ μιαιφονίας· Διὰ δὲ τοῦ εἰπεῖν ἐν ἀποκρύφοις ἐσαφήνισε τί ἐστιν ἐνέδρα, τόπος δηλονότι ἀπόκρυφος. Ὅθεν οἱ ἐν αὐτῷ κρυπτόμενοι πρὸς τὸ αἴφνης ἐπεισπεσεῖν τισιν ἐγκρύμματα κοινότερον λέγονται. Τοιοῦτον ἔγκρυμμα γίνεται τῷ ἀθῴῳ ὁ πονηρὸς, τοὺς ὁμοτρόπους αὐτῷ συμπαραλαβὼν καὶ κατασκοπεῖ πῶς ἂν απογυμνώσῃ καὶ διὰ ποίων μεθοδειῶν τὸν ἀναίτιον· ἀπογυμνώσας δὲ καὶ τὸν εὔπορον ἐργασάμενος ἀπέκτεινεν, οἷον αὐτὸν λιμοῦ καὶ κρύους, καὶ τῆς ἄλλης κακουχίας θέμενος παρανάλωμα. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἀποβλέπουσιν. Οἱ τῆς αὐτοῦ διανοίας ὀφθαλμοὶ ἀποσκοποῦσιν εἰς τὸν ἀπαῤῥησίαστον καὶ ἀπροστάτευτον, ᾧ οὐκ ἔστιν ἰσχὺς ποθεν ἢ ἀντίληψις, φυγεῖν τοὺς ἐπηρεάζοντας· οὐ γὰρ λέγει πένητα τὸν ἐνδεῆ καὶ προσαίτην· ἐκεῖνον γὰρ ὁ πονηρὸς οὐδ' ἐπόψεται. « Ἐνεδρεύει ἐν ἀποκρύφῳ ὡς λέων ἐν τῇ μάνδρᾳ αὐτοῦ. » Ἐνεδρεύει τοῦ ἁρπάσαι πτωχόν. Ἁρπάσαι πτωχὸν ἐν τῷ ἑλκύσαι αὐτόν. Καθὼς ὁ λέων ἐν τῇ αὐτοῦ καθήμενος κοίτῃ κατασκοπεῖ τὰ διοδεύοντα ζῶα καὶ ἐπειςπηδήσας ἐξαπιναίως αὐτοῖς ἀναιρεῖ καὶ πρὸς τὸν αὐτοῦ τόπον ἑλκύσας ἐμφορεῖται αὐτῶν, οὕτω δὴ καὶ ὁ πονηρὸς καὶ ὁ πλεονέκτης ποιεῖ καὶ περιβλέπει τοὺς οὓς εἰρήκαμεν πένητας καὶ πτωχοὺς καὶ δολίως αὐτοῖς ἐπιτιθέμενος ἁρπάζει τὰ αὐτῶν, καὶ τῶν ἀλλοτρίων κατευπαθεῖ. « Ἐν τῇ παγίδι αὐτοῦ ταπεινώσει αὐτόν. » Ἐν ταῖς ἐπιβουλαῖς αὐτοῦ καταδουλώσεται αὐτὸν, ὥστε πλεονεκτούμενον κατεπτηχέναι, καὶ μηδ' ἔχειν ἀνοῖξαι στόμα καὶ προϊέναι φωνήν.

« Κύψει καὶ πεσεῖται ἐν τῷ αὐτὸν κατακυριεῦσαι τῶν πενήτων. » — Ἐν τῷ τὸν πονηρὸν καταδυναστεῦσαι καὶ κατεξουσιάσαι τῶν πενήτων, αὐτὸς πρὸς τὸ τῆς ἀπωλείας ὡς ἀνίατος κλιθήσεται καὶ κατενεχθήσεται βάραθρον.

« Εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ· Ἐπιλέλησται ὁ Θεός. » Ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν εἰς τέλος· ἐλογίσατο γὰρ ἐν ἑαυτῷ πλημμελῶς, ὅτι μηδεμίαν μνείαν τῶν ἐν τῷ κόσμῳ ποιεῖται ὁ Θεὸς, ἀλλ' ἀπρονόητά εἰσι τὰ πάντα, καὶ ὁ Θεὸς τὸ πρόσωπον ἤτοι τὴν ἐπισκοπὴν αὐτοῦ τελείως ἀπέστρεψεν, ὥστε μὴ βλέπειν καὶ ἐπισκέπτεσθαι καὶ ἐφορᾷν τὰ γινόμενα.

« Ἀνάστηθι, Κύριε ὁ Θεός μου. Ὑψωθήτω ἡ χείρ σου. Μὴ ἐπιβάθῃ τῶν πενήτων σου εἰς τέλος. » Ἱκετεύει τὸν Θεὸν, μὴ πᾶσαν τὴν ἐκδίκησιν ἐν τῷ

A μέλλοντι ταμιεύσασθαι· ποιήσασθαι δὲ καὶ νῦν ἐπεξέλευσιν εἰς τοὺς πονηροὺς ἐπ' ἐκκοπῇ τῆς κακίας αὐτῶν, εἰς ἄμυναν τῶν πονηρῶν, καὶ εἰς ἀντίληψιν τῶν καταπονουμένων. Ἐγέρθητι, Κύριε. Καὶ καθὼς ἐστιν ἡ δύναμίς σου ὑψηλὴ καὶ ὑπερφυὴς, οὕτω καὶ γνωσθήτω διὰ τῆς τῶν πονηρῶν καὶ ἀλαζόνων ἐξαισίου καταστροφῆς.

« Ἕνεκεν τίνος παρώργισεν ὁ ἀσεβὴς τὸν Θεόν; εἶπε γὰρ ἐν καρδίᾳ αὐτοῦ. Οὐκ ἐκζητήσει. » Κατ' ἐρώτησιν ὁ λόγος· Διὰ τί ὁ πονηρὸς τὰ εἰς ὀργὴν κινοῦντα τὸν Θεὸν διεπράξατο; Διότι ἐλογίσατο ἐν ἑαυτῷ, ὅτι παρόψεται ὁ Θεὸς τὰ γινόμενα καὶ οὐκ ἀπαιτήσει λόγους αὐτῶν.

« Βλέπεις ὅτι σὺ πόνον καὶ θυμὸν κατανοεῖς τοῦ παραδοῦναι αὐτὸν εἰς χεῖράς σου. » Ἀσυνδέτως
B βλέπεις ὅστι σύ. Στικτέον· Πόνον καὶ θυμὸν κατανοεῖς, τὸ ὅτι ἀντὶ τοῦ ὄντως· τὸ κατανοεῖς ἀντὶ τοῦ λίαν γινώσκεις. Ἡ κατὰ γὰρ ἐνταυθοῖ πρόθεσις ἐπίτασιν δηλοῖ. Πρὸς Θεὸν ὁ λόγος. Ὁ μὲν ἀσεβὴς εἶπεν, Ἐπιλέλησται ὁ Θεός. Ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ τοῦ μὴ βλέπειν, εἰς τέλος. Ἀλλ' οὐχ οὕτως ἔχει. Βλέπεις ὄντως σὺ, καὶ ἐφορᾷς ἀκριβῶς ἅπαντα, καὶ οὐδὲν τὸ διαλανθάνον σε· τὸν πόνον καὶ τὴν θλίψιν τῶν ἀδικουμένων, καὶ αὖθις τὸν θυμὸν κατὰ τὴν θηριωδίαν τοῦ ἀσεβοῦς, ἄκρως γινώσκεις, ὥστε αὐτὸν τὸν ἀσεβῆ παραδοῦναι εἰς τὰς σὰς χεῖρας, ἐπὶ σοὶ τιμωρηθῆναι καθὼς ἐστι δίκαιον.

« Σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς, μηθενὸς βοηθοῦντος αὐτῷ. » Ὀρφανῷ σὺ ἦσθα βοηθός· σὺ γὰρ αὐτοῦ κατὰ τὸν τῆς δημιουργίας λόγον πατήρ. Σύντριψον τὸν βραχίονα τοῦ ἁμαρτωλοῦ καὶ πονηροῦ.
C Βραχίων ἡ δύναμις πολλαχοῦ τῆς ἱερᾶς Γραφῆς ὀνομάζεται. « Ζητήσεται ἡ ἁμαρτία αὐτοῦ καὶ οὐ μὴ εὑρεθῇ. » Οἷον ἐρωτηματικῶς ἐσχηματίσθω ἡ προφορὰ τοῦ ῥητοῦ ἕως τοῦ αὐτοῦ. Εἶτα κατ' ἀπόφασιν, καὶ εἰ τοῦτο γένηται, « Οὐ μὴ εὑρεθῇ » αὐτός· ἐὰν γὰρ ἐξετάσῃς τὸ μέγεθος τῆς ἁμαρτίας αὐτοῦ, ἄξιος οὗτος ἀφανισμοῦ.

« Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἀπολεῖσθε ἔθνη ἐκ τῆς γῆς αὐτοῦ. » Ἐπεὶ δημιουργὸς κτίσεως ἁπάσης ὁ Κύριος. « Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. » — Ἀλλὰ καὶ ἡ χώρα τῶν σωζομένων τοῦ Κυρίου ἐστίν. Αὐτὸς γὰρ αὐτὴν αὐτοῖς ἡτοιμάσατο. Λέγει τοιγαροῦν ὁ προφήτης, πρὸς τοὺς ἀδίκους καὶ πλεονέκτας, οὓς ἔθνη καὶ νῦν κατωνόμασεν, ὅτι ὁ Κύριος βασιλεύς ἐστιν·
D οὐ πρόσκαιρος ὥσπερ οἱ βασιλεῖς τῶν ἐθνῶν, ἀλλ' εἰς τὸν αἰῶνα· καὶ οὐ μόνον εἰς τόνδε τὸν αἰῶνα τῆς τῶν ἀνθρώπων ἐγκοσμίου ζωῆς, ἀλλὰ καὶ εἰς τὸν μέλλοντα καὶ ἀπέραντον· αἰῶνα γὰρ αἰῶνος τοῦτον καλεῖ κατ' ἐπίτασιν. Εἴπερ οὖν νῦν οὐ τίσετε δίκας τῆς τυραννίδος καὶ καταδυναστείας τῶν ταπεινῶν, τίσετε πάντως εἰσύπειτα, καὶ ἀπολεῖσθε, ὦ ἔθνη, κατὰ τὴν ἀνομίαν ἐκ τῆς τοῦ Κυρίου γῆς, εἴτ' ἐκ ταύτης ἀφανισθέντες ὁπότ' οὐκ ἴστε καὶ λίαν ὀδυνηρῶς εἴτ' ἐκ τῆς μακαρίας ἐκείνης ἀναμφιλέκτως ἢ τοῖς σωζομένοις ἀποκεκλήρωται. πεμφθέντες εἰς γέενναν.

« Τὴν ἐπιθυμίαν τῶν πενήτων εἰσήκουσας, Κύριε,

OCR ABK / FR

τῇ ἑτοιμασίᾳ τῆς καρδίας αὐτῶν προσέσχε τὸ οὖς σου, κρῖναι ὀρφανῷ καὶ ταπεινῷ ἵνα μὴ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν ἄνθρωπος ἐπὶ τῆς γῆς. » — Τὸ εἰσήκουσας ἀντὶ τοῦ ἔγνως· τὸ κρῖναι ἀπαρέμφατον, οὐ προστακτικόν. Ἐν δὲ τῷ προσθῇ ἔτι τοῦ μεγαλαυχεῖν, τὸ τοῦ παρέλκει κατὰ συνήθειαν τῆς παλαιτέρας θείας Γραφῆς. Τοιοῦτόν ἐστιν καὶ τὸ προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ, καὶ ἄλλα πολλά. Τὸ δὲ μεγαλαυχεῖν καὶ ἁμαρτάνειν ἀντὶ τῆς μεγαλαυχίας καὶ τῆς ἁμαρτίας. Δύναμιν γὰρ ὀνομάτων ἔχουσι τὰ ἀπαρέμφατα ῥήματα. Τὸ δὲ προσθῇ τὸ ἐσαῦθις ποιήσῃ· καὶ γὰρ ἡ πατρὸς πρόσθεσις ἐνταῦθα τοῦ αὖθίς ἐστιν ἐμφαντική· Τὸ δὲ ἔνι τῷ αὖθις παράλληλον· ὑστεροχρονίαν ἐπεὶ καὶ ἄμφω δηλοῖ. Πάλιν δ' ὁ προφήτης ἐν τούτῳ τῷ κόσμῳ ζητεῖ γενέσθαι τῆς πονηρίας ἀναστολήν. Τοῦτο B γὰρ καὶ τοῖς ὑπὸ τῶν πονηρῶν κακουμένοις ἀποδεκτὸν, ὡς ἄνεσιν αὐτοῖς ἐμποιοῦν. Ἀμέλει τοιούτους λόγους ποιεῖται πρὸς τὸν Θεόν. Εἰσήκουσας, ἔγνων, ὦ Κύριε, τίς ἡ τῶν πενήτων ἐπιθυμία μονονουχὶ βυώσης ταύτης πρὸς σὲ τὸν πάντ' ἐπακούοντα. Πάλιν ἐκ παραλλήλου. Τὴν πρόθεσιν τῆς αὐτῶν καρδίας συνῆκας. Ὥσπερ εἰ προσέχουσιν ὠσὶν ἤκουες κραζούσης αὐτῆς, ἤγουν οὐκ ἀγνοεῖς εἰς τί ἐφετόν ἐστιν ἡ καρδία αὐτῶν ἡτοιμασμένη καὶ ἐμπαράσκευος. Τίς οὖν ἡ ἐπιθυμία τῶν πενήτων; καὶ τίς ἡ ἑτοιμασία τῆς καρδίας αὐτῶν; Τὸ κρῖναί σε τῷ ὀρφανῷ καὶ τῷ ταπεινῷ, τουτέστι τὴν ἐκ κρίσεως ἐκδίκησιν αὐτοῦ παρασχεῖν, καὶ τῶν καναδυναστευσόντων τὴν μεγαλαυχίαν καταβαλεῖν, ἵνα μηκέτι ἐπὶ τῆς γῆς προσθῇ ἄνθρωπος μεγαλαυχεῖν. Ἵνα μὴ αὖθις ποιήσῃ ἔτι μεγαλαυχίαν ἄνθρωπός τις ἐν C κόσμῳ, ἀλλ' ἀπόθηται πᾶς τὸ μεγάλαυχον, φέρων ἐν νῷ τὴν ἀνθρωπίνην ἀσθένειαν καὶ τὴν παρὰ σοῦ τρέμων ἐκδίκησιν, τοῦ Κυρίου τῆς δόξης, τοῦ μόνου κραταιοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺν αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ Ι'.

Τὸ δαιμόνιον φῦλον οἷα βάσκανον καὶ μισάνθρωπον οὔ ποτε παύεται δολιούμενον καὶ μηχανώμενον καθ' ἡμῶν, ἔμμεσον εἰσάγον σπουδὴν, ἵν' ἡμᾶς ὁπωσοῦν ἀποστέσῃ τῆς δεσποτικῆς εὐμενείας καὶ χάριτος. Οὐ φέρει γὰρ ὧν ἐκεῖνο τεταγμένον ἐν ἀγγέλοις Θεοῦ, δι' ἀπόνοιαν ἀπελήλαται, τούτοις ἀνθρώπους ἐνσεμνυνομένους ὁρᾷν. Οὐ τὸ χοϊκὴν εἰς οὐρανοὺς οὐσίαν ἀνάγεσθαι, καὶ τῆς θείας οἰκειώσεως καὶ βασιλείας καὶ δόξης ἐπαπολαύειν αὐτοῦ D πεσόντος εἰς μέγα χάος αἰσχύνης καὶ ἀτιμίας καὶ ζόφωσιν ἐξ ὕψους τοσούτου παῤῥησίας καὶ τιμῆς καὶ λαμπρότητος ἀνεκτὸν ἡγεῖται. Πολὺ δ' ἐν τούτῳ μᾶλλον ὀδυνᾶται καὶ διαῤῥήγνυται· διὰ δῆτα καὶ ἀγωνίζεται καὶ παντοίως τεχνάζεται, τὰ πολλὰ μὲν ἀνοήτοις καὶ ἀλόγοις ἐξισοῦσθαι κτήνεσιν ἢ θηρίοις τοὺς νοεροὺς φύσει καὶ λογικοὺς, τῷ κεχηνέναι πρὸς χόρτον, ἢ καὶ βορβόρῳ ἐγκαλινδεῖσθαι. Τοιαῦτα γὰρ τὰ ἐν κόσμῳ τερπνά τε καὶ ἀπολαυστικά· Τῷ τ' ἀγριαίνεσθαι καὶ θυμομαχεῖν ἐς οὐδὲν δέον, ἐς ἀνόητόν τε καὶ μάταιον· τί γὰρ τῶν δι' ἅπερ ἐρίζομεν ἄνθρωποι καὶ ἀποθηριούμεθα, λυσιτελὲς εἰς σωτη- A ρίαν ἢ στάσιμον; Τί τῶν ἐν κιῷ ζηλωτῶν καὶ περισπουδάστων τοῖς τόσον λόγοις αὐτοῦ τιθεμένοις συνέκδημον; Ἐνίοτε δὲ τοῦτο τὸ φθονερὸν γένος καὶ λογισμοὺς ἐπεισάγει τῇ ψυχῇ τῆς ἀληθείας ταύτην ἐξοστρακίζοντας εἴγε πείθοιτο, καὶ πρὸς ὄρη καὶ ἀνοδίας μεταβιβάζοντας εἴπερ ἕποιτο· Τῶν γὰρ σκαιοτρόπων ἀνδρῶν τὸ πλέον ἐχόντων ἐν τοῖς ῥευστοῖς ὡς ἐπίπαν κἂν τῷ ἀδικεῖν καὶ πλεονεκτεῖν καὶ καταδυναστεύειν εὐοδουμένων, καὶ ταῖς ὕλαις εὐθυνομένων πάντων ἐξ ῥᾷον χωρούντων αὐτοῖς τῶν πρὸς ὄρεξιν τὸν αὐτοματισμὸν ἐντεῦθεν οἱ ἀπνστάται καὶ τὸ ἀπρονόητον ὑποσπείρουσι τῷ καταδεχομένῳ τοὺς λήρους αὐτῶν, καὶ πρὸς ἀποκρήμνους αὐτὸν ἀπονοίας συνωθοῦσιν οἱ ἀλιτήριοι πόῤῥω τῆς λείας ἀποπλανᾷν καὶ τοῖς εὐσεβέσι βασίμου πειρώμενοι. Τόν γε μὴν ἐπὶ τῷ Κυρίῳ πεποιθότα, καὶ τοῖς αὐτοῦ πεπαγιωμένον διδάγμασιν, οὔ ποτ' ἂν ἰσχύσαιεν ἐπὶ τὰ τῆς ἀπωλείας ὄρη ποιήσασθαι μετανάστην ὡς στρουθίον κατεπτηχὸς, καὶ ἄλλοτ' ἀλλαχόσε πρυπτάμενον. Περὶ τούτων ὁ δέκατος διαγορεύει ψαλμὸς, προσώπῳ συντεθειμένος παντὸς εὐσεβοῦς ὀχυροῦ τὴν διάνοιαν καὶ αὐτὸς ἀποκρουομένου τὰς τῆς ἀθείας πρώτας ἀρχάς.

« Ἐπὶ τῷ Κυρίῳ πέποιθα πῶς ἐρεῖτε τῇ ψυχῇ μου· Μεταναστεύου ἐπὶ τὰ ὄρη ὡς στρουθίον. » Πρὸς τοὺς δαίμονας ὁ λόγος τὴν ἐπὶ τῇ προνοίᾳ δυσπιστίαν προσβάλλοντας, « Ἔγνων τί βούλεσθε τῇ ψυχῇ μου εἰπεῖν. » Ἀλλ' ἐρηρεισμένος ἐπὶ τῇ τοῦ Κυρίου πεποιθήσει, καθάπερ ἐπὶ θεμελίῳ καὶ λίαν ἀῤῥαγεῖ, τὸ ῥηθησόμενον καὶ μήπω λαβὸν πέρας προαναιρῶ· διὰ τοῦτο οὐκ εἶπε πῶς λέγετε, ἀλλὰ πῶς ἐρεῖτε· Πῶς ἂν εἴπητε τῇ ψυχῇ μου, Μεταναστεύου καὶ μετάβαινε ἀπὸ τῆς εἰς Θεὸν στεῤῥᾶς πίστεως καὶ ἀσφαλοῦς, ἐπὶ τὰ πόῤῥω τῆς θείας ἐπισκοπῆς νοήματά τε καὶ δόγματα, καὶ διὰ τῆς ἀμφιβόλου γνώμης ἀστατῶ καὶ περιπλανῶ στρουθίου δίκην οἰκτροῦ καὶ ψοφοδεοῦς. Οὐκ ἐάσω τὸν ἡμέτερον λόγον οὐδ' ἐκφανθῆναι, πολλοῦ γε καὶ δεῖ προσληφθῆναί μοι.

« Ὅτι ἰδοὺ οἱ ἁμαρτωλοὶ ἐνέτειναν τόξον, ἡτοίμασαν βέλη εἰς φαρέτραν, τοῦ κατατοξεῦσαι ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ. » — Τὸ ὅτι διηγηματικόν. Ἀποσκευασάμενος δὲ τοὺς ἐκ δαιμόνων λογισμοὺς, τῷ μηδ' εἰς τέλος προβῆναι τούτους ἐᾶσαι, λέγει πρὸς τὸν Θεὸν, ὅτι εἰ ἁμαρτωλοὶ παρεσκευάσθησαν δαίμονες ἐν κρυπτῷ καὶ λαθραίως. τοῦτο γὰρ τὸ ἐν σκοτομήνῃ τοὺς ἀπονοήτους τῇ ψυχῇ διαχρήσασθαι, τῷ πόῤῥωθεν ἐκπέμψαι πρὸς αὐτοὺς δίκην βελῶν ὀλέθρια δόγματα, τιτύσκοντα πρὸς θάνατον τὰς αὐτὰ παραδεχομένας ψυχάς. Ὅτι ἃ σὺ κατηρτίσω αὐτοὶ καθεῖλον. διότι τὸ εἶναι πρόννιαν καὶ τοῖς δικαίοις ἔπαθλα, καὶ τὰ πρὸς ἀξίαν τοῖς πονηροῖς ἃ σὺ κατηρτίσω, τουτέστιν ἀπήρτισας καὶ εἰργάσω τέλεα καὶ βέβαια διά τε νόμου καὶ προφητῶν καὶ ὑποδειγμάτων ἐναργῶν καὶ πολλῶν, αὐτοὶ κατέβαλον καὶ κατέστρεψαν ὅσον τὸ ἐπ' αὐτοῖς, τὰς ἐναντίας ὑπολήψεις παρεπεισάγοντες. Ὁ δὲ δίκαιος τί ἐποίησεν; Οἱ μὲν ἁμαρτωλοὶ δαίμονεν οὕτως ἐποίησαν· ὁ δὲ δίκαιος ἄνθρωπος ὁ τοὺς δεσποτικους φυλάττων θεσμοὺς καὶ τοῖς ὅπλοις περιπεφραγμένος τῆς εὐ-

OCR ABK / FR

σεβείας, τί ἐποίησε; τί διενοήσατο: τί ἀπεφήνατο; « Κύριος, ἐν ναῷ ἁγίῳ αὐτοῦ, Κύριος ἐν οὐρανῷ ὁ θρόνος αὐτοῦ. » Ταῦτα καὶ τὰ ἑπόμενα μέχρι τέλους τοῦ ὅλου ψαλμοῦ τὸ τοῦ δικαίου ἀνθρώπου καὶ νόημα καὶ ἀπόφθεγμα. Ὅτι ὁ Κύριος ἀπανταχοῦ ἐστι καὶ πάντας ἐφορᾷ. Καὶ πᾶσι παρέχει τῶν πεπραγμένων τὰς ἀμοιβάς. Ναὸς δὲ ἅγιος Θεοῦ πᾶς ἱερὸς τόπος ἐν γῇ. Διὰ δὲ τοῦ εἰπεῖν ἐν ναῷ τὸν Θεὸν εἶναι, τουτέστιν ἐν γῇ καὶ ἐν οὐρανῷ τὸν θρόνον ἔχειν, ἐδήλωσεν ὡς ἐν παντὶ τόπῳ πάρεστιν ὁ Θεός. Οἱ ὀφθαλμοὶ αὐτοῦ εἰς τὸν πένητα ἐπιβλέπουσι, τὰ βλέφαρα αὐτοῦ ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων, δύο διὰ τούτων δεδήλωκεν· ὅτι τε τὸν ἐστερημένον ἀνθρωπίνης κηδεμονίας καὶ ἀντιλήψεως ἐλεήμων ὤν, πλέον τῶν ἄλλων ἐπισκοπεῖ, καὶ ὅτι περ ἀκριβῶς, τὰ πάντα γινώσκει τρόπῳ παντὶ μὴ μόνον τοῖς ὀφθαλμοῖς, ὡς ἂν εἴποι τις, ἀλλὰ καὶ τοῖς βλεφάροις ὁρῶν, καὶ οὐχ ἁπλῶς ἀλλ' ἐρευνητικῶς τε καὶ ἀνεπισφαλῶς· τούτου γὰρ τὸ ἐξετάζει δηλωτικόν. « Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ πάντα. » Τὸν μὴ κατὰ τὰς ἐντολὰς τοῦ Κυρίου πολιτευόμενον εἴρηκεν ἀσεβῆ. Ποῖον γὰρ τῷ Κυρίῳ σέβας ἐκ τοῦ παρ' οὐδὲν τιθεμένου τοὺς νόμους αὐτοῦ; Τοιγαροῦν ἐξετάζει τὸν δίκαιον, εἴ γε καὶ ὄντως δίκαιός ἐστι, καὶ τὸν μὴ τοιοῦτον, ἵνα τὸ προσῆκον ἑκάστῳ δοίη. Διαλανθάνει δὲ αὐτὸν οὐδὲ ἕν, εἰ καὶ πολλὴ παρ' ἀνθρώποις ἡ ἄγνοια. Ὁ δὲ ἀγαπῶν τὴν ἀδικίαν μισεῖ τὴν ἑαυτοῦ ψυχήν, ὥσπερ ὁ τὸν Θεὸν καὶ λόγῳ τιμῶν, καὶ διαθέσει ψυχῆς εὐσεβῶν εἰς αὐτόν· ἄτοπα δὲ πράττων καὶ φαῦλα, λέγεται τὸν Θεὸν ἀτιμάζειν διὰ τῶν πράξεων, ἀλλὰ καὶ ἀσεβὴς ὀνομάζεται, καθὰ δεδήλωται προσεχῶς, τοῦ Δαυῒδ εἰρηκότος. « Κύριος ἐξετάζει τὸν δίκαιον καὶ τὸν ἀσεβῆ, » καὶ ἀντιδιῃρηκότος τῷ δικαίῳ τὸν ἀσεβῆ, δίκαιον μὲν ἐγνωκότος τῇ καθόλου δικαιοσύνῃ τὸν τοῖς θείοις πειθαρχοῦντα προστάγμασιν, ἀσεβῆ δὲ τὸν μὴ τοιοῦτον· οὕτω καὶ ὁ τὴν ἑαυτοῦ ψυχὴν ἀγαπῶν καὶ λόγῳ καὶ διαθέσει, καὶ τῶν ἀγαθῶν ἐκείνων ποθῶν· τὴν ἀπόλαυσιν εἴπερ οἷόν τε ἦν ἄτερ σπουδῆς ἐληλυθέναι, χαίρων δὲ τῇ ἀδικίᾳ, μισεῖν ἔργῳ λέγεται τὴν οἰκείαν ψυχήν, τὰ ταύτην κακοῦντα καὶ τῆς αἰωνίου δόξης ἀποστεροῦντα κατεργαζόμενος. « Ἐπιβρέξει ἐπὶ ἁμαρτωλοὺς παγίδας. » Δείκνυσιν ἐντεῦθεν, ὅτι κἂν τῷ κόσμῳ τούτῳ Θεοῦ βουλομένου συμφοραῖς ἀφύκτοις οἱ καταφρονηταὶ τῶν αὐτοῦ νόμων ἁλίσκονται. Ταύτας γὰρ μεταφορικῶς παγίδας ὠνόμασε. Διὰ δὲ τοῦ ἐπιβρέξει τὸ ἄνωθεν ἐκ Θεοῦ καταφέρεσθαι ταύτας καὶ τὸ δαψιλὲς αὐτῶν καὶ τὸ εὐχερὲς διεσήμηνε. « Πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἡ μερὶς τοῦ ποτηρίου αὐτοῦ. » Ποτήριον ἤτοι πόμα, τὴν θείαν ὀργήν τε καὶ κάκωσιν εἴρηκεν, ὡς τοῖς κατακριθεῖσι δίκην δηλητηρίου πόματος ἀθρόως εἰσπεμπομένην· ἐπεὶ γοῦν διάφοροί εἰσιν αἱ θεήλατοι τιμωρίαι, μέρος τῆς ὁλότητος ἔφησεν εἶναι τὴν ἐν Σοδόμοις καὶ Γομόῤῥᾳ καὶ Ἄδαμα καὶ Σεβοεὶμ ἐνεργήσασαν. Ἐκ γὰρ τῆς ὅλης Πενταπόλεως ταύτας τὰς τέσσαρας πόλεις θεῖον ἐξημμένον ἐναέριον ἐπενεχθέν, καὶ ὑπὸ βιαίας πνοῆς ἐξαυόμενον, κατετέφρωσε, καὶ πᾶσαν αὐτῶν τὴν περίχωρον. Ἡ δὲ Σηγὼρ ταύτης μὲν τῆς πληγῆς διὰ τὸν Λὼτ οὐ πεπείραται, συγκέχωσται δὲ μετὰ τὴν ἐκεῖθεν ἐξέλευσιν τοῦ δικαίου καὶ καταπέποται. Τὸ μέρος οὖν, φησί, τοῦ ποτηρίου αὐτοῦ δὴ τοῦ Κυρίου πῦρ καὶ θεῖον καὶ πνεῦμα καταιγίδος ἐστίν.

« Ὅτι δίκαιος Κύριος καὶ δικαιοσύνας ἠγάπησεν εὐθύτητας εἶδε τὸ πρόσωπον αὐτοῦ. » Ὅτι δίκαιος ὄντως, τὰς ὄντως δικαιοσύνας, οὐ τὰς ἐπιπλείστους ἠγάπησεν· εὐθύτητας γὰρ τὸ αὐτοῦ πρόσωπον, ἡ ἐποπτικὴ δηλονότι δύναμις, εἶδεν, οὐ σκολιότητας· οὐδὲ γάρ ἐστιν ἀρετὴ κυρίως οὐδεμία τῶν ἀρετῶν ἀπούσης εὐθύτητος· ἡ σκολιότης ἴδιον ὄφεως. Ἐπεὶ τοίνυν δίκαιος ὁ Κύριος καὶ δικαιοσύνας ἠγάπησε, καὶ τὰς εὐθύτητας ᾠκειώσατο καὶ τῆς αὐτοῦ ἐποπτείας ἠξίωσεν, ὅτι εὐθὴς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ· πᾶς ἀσεβὴς καὶ ἁμαρτωλὸς τῶν ἠσεβημένων καὶ ἡμαρτημένων ἐκτίσει δίκας μὴ καθηράμενος. Καὶ πᾶς δίκαιος εὐθὴς τὰ τῆς εὐθύτητος βραβεῖα, καὶ τὰ τῆς δικαιοσύνης ἔπαθλα λήψεται. Τίς οὖν ἐρεῖ τῇ ψυχῇ μου, Μετάβαινε εἰς κρημνούς, ἐπὶ τῷ Κυρίῳ πέποιθα, τῷ καὶ διὰ τῶν ἐναργῶν ἐκδικήσεων τὴν αὐτοῦ με διδάσκοντι πρόνοιαν; ἐπ' αὐτῷ πέποιθα, καὶ οὐ μεταβήσομαι· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΨΑΛΜΟΣ ΙΑ'.

« Εἰς τὸ τέλος ὑπὲρ τῆς ὀγδόης ψαλμὸς τῷ Δαυΐδ. » — Τοιαύτην καὶ οὗτος ἔσχεν ἐπιγραφὴν οἵαν καὶ ὁ ἕκτος, καὶ ἱκανῶς ἐν ἐκείνῳ διηρμήνευται· καὶ γὰρ καὶ οὗτος περὶ τῆς ἀναστάσεως τοῦ Χριστοῦ προφητεύει καὶ τῆς ἐκδικήσεως τῶν ἀδικουμένων πιστῶν, καὶ ἄλλως τέλος τῆς ἐν κόσμῳ ζωῆς διὰ θανάτου δεξάμενος κατὰ τὴν ὀγδόην ἡμέραν ἤτοι τὴν Κυριακήν, ἥτις ὡς μὲν ἀρχὴ τῶν ἡμερῶν πρώτη λέγεται διὰ δὲ τὸ πάλιν ἐπιέναι μετὰ τὴν ἑβδόμην, ἥ ἐστι τὸ σάββατον ὀνομάζεται καὶ ὀγδόη, ἀλλὰ παρακαλεῖ θᾶττον ἐλθεῖν ἐκείνην τὴν ἡμέραν ἕνεκεν τῆς ἐκδικήσεως τῶν τυραννουμένων ὑπὸ τοῦ διαβόλου εἴτε δεδουλωμένων τῇ εἰδωλολατρείᾳ.

« Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος. » — Δίκαιος μὲν ἔστιν ὁ τὰ πρὸς ἀνθρώπους ἀῤῥεπὴς τοῦ καλοῦ· ὅσιος δὲ ὁ διὰ τοῦ τέλους τῶν ἀρετῶν θεώσεως μετασχών· καὶ ἐοίκασι ταῦτα κλίμακι πρὸς τὸν Θεὸν ἀναγούσῃ τοὺς βαδίζοντας δι' αὐτῶν. Εἴρηται δὲ ὅτι δίκαιόν ἐστιν ὅτε λέγουσιν αἱ Γραφαί, καὶ τὸν τέλειον τὴν ἀρετήν. Ἀλλ' οὐ περὶ ἐκείνου νῦν ὁ λόγος ἡμῖν. Ὡς οὖν δικαίων μὲν τὴν ἀνθρωπίνην καὶ μερικὴν δικαιοσύνην ὄντων τινῶν, τῶν δὲ ὁσίων ἐκλελοιπότων τῶν μὲν τὸ θανεῖν, τῶν δὲ τὸ ἐλαύνεσθαι παρὰ τῶν ἀνοσίων, εὔχεται σωθῆναι ἀπὸ τῶν πονηρῶν ἀνθρώπων. Προσώπῳ δὲ τῶν μελλόντων ὑποδέξασθαι τὸ κήρυγμα τοῦ Εὐαγγελίου ποιεῖται τὴν ἔντευξιν ὁ προφήτης· τηνικαῦτα γὰρ οἱ ὅσιοι ἐξέλιπον μάλιστα, ὅτε καὶ διὰ σαρκὸς ὁ Κύριος ἐπεδήμησεν ἡμῖν.

« Ὅτι ὠλιγώθησαν αἱ ἀλήθειαι ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων. » — Οἱ μὲν ὅσιοι παντάπασιν ἐπιλελοίπασιν ἀλήθειαι δὲ ὀλίγαι τινὲς ὑπελείφθησαν

OCR ABK / FR

ἐν ἀνθρώποις· ἡ γενικὴ γὰρ ἀντιδοτικῶν ἐνταῦθα, A περὶ τὰ καίρια μὲν ἐψεύδοντο, ἐν δὲ τοῖς ἐλαχίστοις πράγμασιν ἠλήθευον.

« Μάταια ἐλάλησεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ. » — Τοῦτ' ἔστιν ἀπατηλά· οὐ μόνον γὰρ ἠπάτων τοὺς ἀλλοτρίους, ἀλλὰ καὶ τοὺς οἰκείους αὐτοῖς· πλησίον γὰρ καλεῖ τοὺς ἔγγιον, οὐ τόπῳ, ἀλλ' οἰκειότητι.

« Χείλη δόλια καὶ ἐν καρδίᾳ καὶ ἐν καρδίᾳ ἐλάλησε κακά. » — Χείλη δόλια λέγει τὸν δόλιον, ὡς ἀπὸ μέρους τὸ πᾶν· Ὁ δόλιος, φησὶν, ἐν διπλῇ καρδίας γνώμης ἐλάλησε κακὰ καὶ βλαβερά· ἔσω μὲν ἀλλοίαν γνώμην ἔχων, ἔξω δὲ ἀλλοίαν δεικνύς.

« Ἐξολοθρεύσει Κύριος πάντα τὰ χείλη τὰ δόλια καὶ γλῶσσαν μεγαλοῤῥήμονα. » — Πολλάκις ἡ Γραφὴ τὸ εὐκτικὸν εἰς μέλλοντα χρόνον σχηματίζει· B καθάπερ ἐπὶ τοῦ παρόντος· εὔχεται γὰρ προῤῥίζους ἀφανισθῆναι τοὺς δολίους ἔτι, καὶ τοὺς ἀλαζονευομένους κατὰ τῶν ἀσθενεστέρων καὶ μεγάλα περὶ ἑαυτῶν κομπάζοντας, ἢ καὶ προφητεύει τούτων πανωλεθρίαν· διδάσκων δὲ τίνας λέγει μεγαλοῤῥήμονας ἐπήγαγε.

« Τοὺς εἰπόντας, Τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν. » — Τοὺς σκεψαμένους ἐν ἑαυτοῖς ὅτι Μεγαλυνοῦμεν, ἤτοι μεγάλα καὶ ἀλαζονικὰ φθέγγεσθαι παρασκευάσομεν τὴν γλῶσσαν ἡμῶν.

« Τὰ χείλη ἡμῶν παρ' ἡμῶν ἐστι· τίς ἡμῶν κύριός ἐστι; » Καὶ εἰπόντας ἔτι ὅτι καὶ ἡμεῖς ἐξουσιάζομεν τῶν χειλέων ἡμῶν, καὶ λοιπὸν τίνα δεδοίκαμεν μὴ τοιαῦτα λέγοντα; καὶ τίς ἡμῖν κωλύει τῶν τοιούτων λόγων;

« Ἕνεκεν τῆς ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ C στεναγμοῦ τῶν πενήτων νῦν ἀναστήσομαι, λέγει Κύριος. » — Τὸ νῦν ἀντὶ τοῦ κατὰ τὸν πρέποντα καιρὸν ἀναστήσομαι τοῦ τάφου ἕνεκεν τῆς ταλαιπωρίας τῶν δεδουλωμένων τῇ πλάνῃ δι' ἄνοιαν (ἀνθρωπείαν) ἥτις ταλαιπωρία γέγονεν αὐτοῖς ἀντὶ στεναγμοῦ καθ' ἣν ἀποδεδώκαμεν ἐξήγησιν ἑρμηνεύοντες τὸ, « Οὐκ ἐπελάθετο τῆς κραυγῆς τῶν πενήτων. » Ἀκήκοε δὲ τοῦτο Δαυῒδ τοῖς προφητικοῖς ὠσί. Φασὶ δέ τινες πτωχὸν μὲν καλεῖσθαι τὸν ἀπὸ πλούτου πεπτωκότα κατὰ τὸ, « Πλούσιοι ἐπτώχευσαν· » πένητα δὲ τὸν διὰ πόνον τῶν ἰδίων χειρῶν τροφὴν ἀναγκαίαν κομιζόμενον. Τοιοῦτον δὲ καὶ οἱ πιστεῦσαι· μέλλοντάς τε γὰρ οὐσίας περιῃρέθησαν, καὶ αἱ χεῖρες αὐτῶν διηκόνουν εἰς τὴν χεῖρα τοῦ σώματος· λαμβάνεται γὰρ πολλάκις καὶ διαφό- D ρως, ἀντὶ θατέρου θάτερον. Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν· φησὶν ὁ Θεὸς ὅτι, Διὰ τὴν ταλαιπωρίαν καὶ τὸν στεναγμὸν τῶν καταπονουμένων νῦν κινηθήσομαι· τοῦτ' ἔστιν αὐτίκα, εὐθὺς, ταχέως. Θεοπρεπῶς δὲ νοεῖται τὸ κινηθήσομαι, ἀντὶ τοῦ ἀμυνῶ, εἰ καὶ ἀνθρωποπρεπέστερον εἴρηται.

« Θήσομαι ἐν σωτηρίῳ, παῤῥησιάσομαι ἐν αὐτῷ. » — Μνημονεύσας τῆς ἀναστάσεως μνημονεύει καὶ τῆς ταφῆς ἀναστρέψας τὸν λόγον ἐπὶ τὸν διὰ σωτηρίου θάνατον· ἔτι γάρ φησι· « Καὶ τοῦτο λέγει ὁ Κύριος, « Θήσομαι, τουτέστιν προσπαγήσομαι ἐν τῷ σωτηρίῳ. » Τοῦτο γὰρ ὑποληπτέον σωτήριον ὅτι τὸ δόρυ τοῦ σωτηρίου κατακοντίσας τὸν τύραννον ἔσωσεν ἡμᾶς, καὶ σώαν τὴν ἐλευθερίαν τῆς πλάνης ἐχαρίσατο, καὶ ἀσθενοῦντας πρὶν ἔῤῥωσε κατὰ τῶν δαιμόνων. « Παῤῥησιάσομαι καὶ ἐν αὐτῷ, » τουτέστιν ἐν αὐτῷ τῷ σωτηρίῳ δημοσιεῦσαι τὴν ἐπικρυπτομένην ἐν ἐμοὶ δύναμιν· διεῤῥάγη γὰρ τὸ καταπέτασμα, ὁ ἥλιος ἐσκοτίσθη, αἱ πέτραι ἐσχίσθησαν, ἡ γῆ ἐσείσθη, καὶ ὅσα τότε γέγονεν ἐξαίσια· ἢ πάλιν θήσομαι αὐτοὺς εἰς σωτηρίαν, ἤγουν σωτηρίας ἀξιώσω, καὶ παῤῥησιάσομαι ἐν τῇ τοιαύτῃ σωτηρίᾳ αὐτῶν, εἴτουν φανερώσω, δείξω τὴν ἐμὴν ἰσχύν.

« Τὰ λόγια Κυρίου λόγια ἁγνά. » — Εἰπὼν ὅτι « Τάδε λέγει ὁ Κύριος, » διαβεβαιοῦται καὶ περὶ τῶν τοῦ Κυρίου λόγων ἀληθείας ὡς καθαροὶ ψεύδους εἰσίν.

« Ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ. » — Οὕτως εἰσὶν ἀμιγεῖς ἀπάτης ὡς τὸ κεχωνευμένον ἀργύριον ἀκοινώνητόν ἐστιν ὕλης χείρονος· Δοκίμιον δὲ τῇ γῇ ἀντὶ τοῦ δοκιμαζόμενον ἐν τῇ γῇ· καὶ γὰρ ἔχεον οἱ τεχνῖται τὸ χωνευόμενον, ἢ καὶ δοκίμιον τῇ γῇ ἀντὶ τοῦ δοκίμιον ἐκ τῆς γῆς. Ἐπιτείνων δὲ τὴν καθαρότητα τοῦ Κυρίου λόγων, ἐπήγαγε·

« Κύριε, κεκαθαρισμένον ἑπταπλάσιον. » — Τὸ ἑπταπλάσιον ἀντὶ τοῦ πολλάκις· τὸ γὰρ ἑπτάκις ἀντὶ τοῦ πλειστάκις ἡ τῶν Ἑβραίων παραλαμβάνει διάλεκτος. Τὸ δὲ πολλάκις χωνευόμενον παντάπασιν ἦν καθαρόν· οὕτως οὖν εἰσιν ἀληθεῖς, ἀργύριον κεχωνευμένον πολλάκις. Λόγια δὲ εἶπεν, οὐ καθ' ὑποχωρισμὸν εὐτελείας, ἀλλ' ὅτι τοὺς χρησμοὺς λόγια ἐκάλουν διὰ τὴν βραχυλογίαν αὐτῶν· ἐν ὀλίγαις γὰρ λέξεσι μεγάλην δύναμιν ἐννοίας ἐμπεριεῖχον.

« Σὺ, Κύριε, φυλάξαις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς ἀπὸ τῆς γενεᾶς ταύτης καὶ εἰς τὸν αἰῶνα. » — Τὸ μὲν φυλάξαις ἀπὸ τῶν ἔξωθεν πολεμούντων, τὸ δὲ διατηρήσαις ἀπὸ τῶν ἔσωθεν ἐπιβουλευόντων· ἢ καὶ τὸ μὲν φυλάξαις ἀπὸ τῆς παρούσης γενεᾶς, τὸ δὲ διατηρήσαις ἀπὸ τῶν ἐσύστερον, ὅπερ ἐστὶν εἰς τὸν αἰῶνα, δηλονότι μέχρι παντός. Καὶ μέντοι ἡ πίστις τῶν δεξαμένων τοῦ Εὐαγγελίου τὸ κήρυγμα καὶ ἀπὸ τῆς τηνικαῦτα γενεᾶς ἀκαταγώνιστος ἔμεινε καὶ εἰς τὸν αἰῶνα μενεῖ, καὶ οὔτε οἱ φανερῶς πολεμήσαντες αἱρετικοὶ κατίσχυσαν αὐτῆς ἢ κατισχῦσαι δυνήσονται.

« Κύκλῳ οἱ ἀσεβεῖς περιπατοῦσι. » — Πάντοτε γὰρ, φησὶν, ἡμᾶς περικυκλοῦσι πολιορκῆσαι τὴν πίστιν σπεύδοντες. Καὶ τοῦτο μὲν ἐπὶ τῶν Ἑλλήνων· ἐπὶ δὲ τῶν αἱρετικῶν τὸ κύκλῳ περιπατοῦσι ἀντὶ τοῦ οὐκ ἐπ' εὐθείας ἀλλὰ περιεστραμμένως παρερμηνεύουσι τὰς θείας Γραφάς.

« Κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων. » — Ὑψωθεὶς, φησὶν, ἐπὶ τοῦ σωτηρίου, πολλῆς φροντίδος τοὺς ἀνθρώπους ἠξίωσα· ὅτι δι' αὐτοὺς πέπονθας πολυωρία γὰρ ἡ πολλὴ φροντὶς, ὥσπερ καὶ ἡ ὀλιγωρία τοὐναντίον ἢ καὶ ὑψωθεὶς πρὸς οὐρανοὺς ἐν τῷ καιρῷ τῆς ἀναλήψεως εὐηργέτησας τοὺς ἀνθρώπους ἐξαποστείλας Παράκλητον φωτίζοντα καὶ ὁδηγοῦντα τοὺς ἀποστόλους εἰς τὸ κήρυγμα· δύναται δὲ καὶ ἱστορικῶς οὗτος

OCR ABK / FR

ὀφθαλμὸς ἁρμόσαι τῷ Δαυΐδ· φεύγοντα γὰρ τοῦτον ἀπὸ προσώπου τοῦ Σαοὺλ τινες ὑποκρινόμενοι φιλίαν ἐπεχείρησαν προδοῦναι τῷ διώκοντι· ὧν διασύρει τὴν ἀπιστίαν καὶ τὴν ὑπόκρισιν καὶ τὸν δόλον καὶ τὴν πανουργίαν, καὶ μόνον ἐπικαλεῖται σωτῆρα τὸν Θεὸν οἷα τῶν φίλων προθεμένων τοῖς ἐχθροῖς αὐτοῦ, καὶ προλέγει τούτων τὴν ἀπώλειαν, ἀλλὰ καὶ τὴν μεγαλοῤῥημοσύνην τῶν ἀμφὶ τὸν Σαοὺλ ἀποσβεσθῆναι προαγορεύει. Ὑπὲρ δὲ τῆς ὀγδόης ἐπιγέγραπται· « Διὰ τὸν Κύριον ἀναστήσομαι, » καὶ τὰ ἑξῆς, τῇ ἀναστάσει τοῦ Σωτῆρος μᾶλλον ἁρμόζονται· εἰ γὰρ καὶ ταῦτα πρὸς τὸν Δαυῒδ ἑλκύσομεν ὥσπερ ἀκηκοότα τοῦ Θεοῦ ὑποσχομένου κινηθῆναι κατὰ τὸν καιρὸν τῆς ἐπιβουλῆς, ἄγεις (ἄρ' εἰς) ἐκδίκησιν αὐτοῦ καὶ θεῖναι τοὺς πτωχοὺς καὶ πένητας εἰς σωτηρίαν, καὶ παῤῥησιάσασθαι· τουτέστι φανῆναι ἰσχυρὸς καὶ δίκαιος. Διὰ τῆς σωτηρίας αὐτῶν ἐναντιωθησόμεθα τῇ ἐπιγραφῇ τῆς ὀγδόης. Ἰστέον δὲ ὅτι σωτήριον οὐδ ἑτέρως ἡ σωτηρία ἑρμηνεύεται.

## ΨΑΛΜΟΣ ΙΒ'.

Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυΐδ. Μετὰ τὴν μοιχείαν τῆς Βηρσαβεὲ, καὶ τὸν φόνον τοῦ ἀνδρὸς αὐτῆς Οὐρίᾳ διαφόροις περιπεσὼν πειρασμοῖς ὁ Δαυΐδ· ἥ τε θυγάτηρ αὐτοῦ παρὰ τοῦ ἀδελφοῦ αὐτῆς Ἀμὼν ἐφθάρη, καὶ τὸν Ἀμὼν ὁ ἀδελφὸς αὐτῆς Ἀβεσαλὼμ ἀνεῖλε· καὶ τῶν βασιλικῶν οἴκων οὐκ ἐλαχίστη λύγων σύγχυσις· ἐπεὶ τελευταῖον καὶ τυραννίδος μελετήσας ὁ παῖς οὗτος Ἀβεσαλὼμ ἀπήλασε μὲν αὐτὸν τῆς βασιλείας, οὐκ ἔστησε δὲ μέχρι τούτου τὸν θυμὸν, ἀλλὰ τὰς δυνάμεις συνεκρότησε, καὶ παρεσκευάζετο καταδιῶξαι τὸν πατέρα καὶ ἀνελεῖν, ἀναλογιζόμενος ὁ Δαυῒδ τὸ πλῆθος καὶ μέγεθος τῶν συμφορῶν, ᾤετο διὰ τὴν δηλωθεῖσαν μοιχείαν καὶ τὸν φόνον, ταῦτα πάσχειν ἐγκαταλιπόντος αὐτὸν τοῦ Θεοῦ, εἰ καὶ ταῦτα συνεχωρήθη· διὸ καὶ τὸν παρόντα συνέθηκε ψαλμὸν μετὰ τὸν τρίτον· ὅτε ὁ Χριστὸς διασκεδάσας τὴν βουλὴν Ἀχιτόφελ ὡς προειρήκαμεν, ἐμήνυσεν αὐτῷ τὴν μελέτην πᾶσαν Ἀβεσαλὼμ, καὶ τὸ πρακτέον ὑπέθετο. Εἰς τὸ τέλος δὲ ἐπιγέγραπται, διὰ τὴν ἐν τούτῳ πρόῤῥησιν τῆς τοῦ πολεμοῦντος ἥττης, εἰς τέλος ἐκβεβηκυῖαν· Ἀγαλλιάσεται γὰρ, φησὶν, ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου.

« Ἕως πότε, Κύριε, ἐπιλήσει μου εἰς τέλος; » — Ἡ λήθη μὲν ἔστιν ἀποβολὴ μνήμης. Τῷ Θεῷ δὲ πάντα ἐνώπιον, καὶ οὐχ αἱ πράξεις μόνον ἀλλὰ καὶ τὰ τοῦ νοῦ κινήματα· λήθην οὖν ἐπὶ Θεοῦ τὴν ἐγκατάλειψιν τῶν πεπλημμεληκότων οἰητέον, παραχωροῦντος πειράζεσθαι τούτους εἰς παίδευσιν· τὸ δὲ εἰς τέλος μέχρι πολλοῦ παρείληπται.

« Ἕως πότε ἀποστρέψεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; » — Πρόσωπον μὲν οὖν ἐστι Θεοῦ ἡ ἐποπτικὴ καὶ εὐεργετικὴ αὐτοῦ δύναμις. ἀποστροφὴ δὲ ἡ πρὸς τοὐναντίον αὐτῆς ἐνέργεια ἀποστρεφομένου τοὺς ἀναξίους τῆς ἐπισκοπῆς αὐτοῦ διὰ τὸ βδελύττεσθαι τὰς πράξεις αὐτῶν. Ἀπὸ τῶν ἀνθρωπίνων χαρακτηρίζει τὰ θεῖα· καὶ γὰρ οἱ ἐγκαταλιμπάνοντές τινα καὶ τὴν μνήμην αὐτοῦ συναπολιμπάνουσι, καὶ οἱ ἀποστρεφόμενοι οὐχ ὁρῶσιν οὓς ἀποστρέφονται.

« Ἕως τίνος θήσομαι βουλὰς ἐν ψυχῇ μου, ὀδύνας ἐν καρδίᾳ μου ἡμέρας καὶ νυκτός; » — Φροντίζω καὶ μεριμνῶ πῶς ἂν ἀπαλλαγείην τῶν πειρασμῶν, καὶ μὴ δυνάμενος ἐλευθερίαν εὑρεῖν, ὀδυνῶμαι διὰ παντός.

« Ἕως πότε ὑψωθήσεται ὁ ἐχθρός μου ἐπ' ἐμέ; » — Ὁ πατραλοίας ὁ διὰ πολλοῦ μηνιῶν μοι ἀφ' οὗ τὸν παῖδα Ἀμὼν ἐθανάτωσεν· Ὑψωθήσεται δὲ ἀντὶ τοῦ εὐπραγήσει. Ὁ μὲν γὰρ χαίρων αἴρει τὴν κεφαλὴν, ὁ δ' ἀνιώμενος συγκέκυφε τεταπεινωμένος· ἢ ἐχθρὸν τὸν διάβολον ὑποληπτέον· αὐτὸς γάρ ἐστιν τῶν πειρασμῶν αἴτιος ἐπεμβαίνων τοῖς πάσχουσι καὶ οἷον καταπατῶν καὶ θλίβων ἐπαιρομένους τῆς παρὰ Θεοῦ ῥοπῆς.

« Ἐπίβλεψον, εἰσάκουσόν μου, Κύριε ὁ Θεός μου. » — Πρὸς τὸ ἐπιστρέφεις κατάλληλον τὸ ἐπίβλεψον, Ἀξίωσόν με τῆς σῆς εὐμενείας· ἔπιδε κακῶς πάσχοντα καὶ ἐλεήσας, εἰσάκουσόν μου παρακαλοῦντος εἰς βοήθειαν.

« Φώτισον τοὺς ὀφθαλμούς μου μήποτε ὑπνώσωσιν εἰς θάνατον. » — Τῆς νυκτός μοι περιχυθείσης τῶν συμφορῶν κατέσχε τοὺς ὀφθαλμούς μου ὕπνος τῆς ῥαθυμίας· εἰώθασι γὰρ εἰς ὕπνον καταφέρεσθαι οἱ λυπούμενοι, τῆς ὀδύνης τῆς καρδίας σκότος καὶ βάρος ἐμποιούσης τοῖς ὀφθαλμοῖς. Φώτισον οὖν αὐτούς. Τουτέστι καθαρῶς ὁρᾷν δὸς, χαρὰν ἐνσταλάξας τῇ καρδίᾳ μου· ὑφ' ἧς αὐτὴ σκοτῶσα, τὸν ὕπνον ἀποδιώξει τῶν ὀφθαλμῶν· μήποτε ὁ ὕπνος οὗτος εἰς θάνατόν μοι καταλήξῃ δι' ἀθυμίας ὑπερβολήν· μήποτε ὑπνώσω εἰς θανάσιμον· ἢ καὶ ὀφθαλμοὺς τοὺς τῆς ψυχῆς λέγει, δηλαδὴ τὸν νοῦν ἐσκοτισμένον ὄντα τῷ ζόφῳ τῆς ἁμαρτίας· ὃν ἀπαλλαγῆναι τοῦ σκότους ἱκετεύει, μήπως, φησὶν, ἀποθάνω τὸν ἐν ἁμαρτίαις θάνατον· νεκρὸς εἰς ἀρετὴν ἤδη γεγονώς· ἢ καὶ τὸν ἐν ἀπογνώσει νεκρωθεὶς ὅλως εἰς ἐλπίδα τὴν σήν.

« Μή ποτε εἴπῃ ὁ ἐχθρός μου· Ἴσχυσα πρὸς αὐτόν. » — Εἰ γὰρ τοιοῦτόν τι πείσομαι, τῇ ἑαυτοῦ δυνάμει ὁ ἐχθρὸς τὸν ἐμὸν θάνατον ἐπιγράψεται ὡς καὶ τῶν ἀλγεινῶν γενόμενος αἴτιος. Ἐχθρὸν δὲ νοήσεις εἴτε τὸν ὁρατὸν, εἴτε τὸν ἀόρατον.

« Οἱ θλίβοντές με ἀγαλλιάσονται ἐὰν σαλευθῶ. » — Εἰ παρακινηθῶ ἀπὸ τῆς ἐν σοὶ ἀσφαλείας, οἱ ἐχθροί μου χαρήσονται καταχρημνισθῆναί με τοῦ λοιποῦ θαῤῥοῦντες, ὡς οὐκ ἔχοντα σωτηρίας βάσιν.

« Ἐγὼ δὲ ἐπὶ τῷ ἐλέει σου ἤλπισα. » — Τὴν ἐξ ἀρετῶν παῤῥησίαν ἀπολωλεκὼς δι' ἃ πέπραχα κακὰ ἐπὶ τῷ ἐλέει σου μόνον ἤλπισα· δαψιλὲς γὰρ τοῦτο καὶ ἀνεξάντλητον.

« Ἀγαλλιάσεται ἡ καρδία μου ἐπὶ τῷ σωτηρίῳ σου. » — Προκατιδὼν τὴν τοῦ πολεμοῦντος ἧτταν τοῖς προβλεπτικοῖς ὄμμασιν, εὐφρανθήσομαι ἐπὶ τῇ παρὰ σοῦ δωρουμένῃ σωτηρίᾳ.

« Ἄσω τῷ Κυρίῳ τῷ εὐεργετήσαντί με, καὶ ψαλῶ τῷ ὀνόματι Κυρίου τοῦ ὑψίστου. » — Ἄσω διὰ γλώττης, ψαλῶ δὲ διὰ τοῦ ὀργανικοῦ ψαλτηρίου· ἢ

OCR ABK / FR

ως εὐφρανῶ καὶ πρακτικῶς. Ἁρμόζει
λμὸς καὶ πᾶσιν ἀδικουμένοις.

ΨΑΛΜΟΣ ΙΓ'.

ς ψαλμὸς τῷ Δαυΐδ· « Εἶπεν ἄφρων ἐν
, Οὐκ ἔστι Θεός· » — Καὶ οὗτος ὁ
ς ὑπισχνεῖται τῶν ἐν αὐτῷ προηγο-
ὶ μὲν γὰρ αὐτὸν προλέγειν φασὶ τοῖς
ρον ἐπὶ Ἐζεκίου τοῦ βασιλέως Ἱερου-
ῦ πολιορκοῦντος αὐτὸν· Ἀσσυρίου Σε-
τῇ ἑαυτοῦ καρδίᾳ ἀπεφήνατο μὴ εἶναι
ν Ἰουδαίων· εἰ γὰρ ἐφρόνει οὐκ ἂν εἰς
ε λογισμὸν καὶ ταῦτα καθ' ἑκάστην ἀκούων
α κατὰ τῶν ἐχθραινόντων Ἰουδαίων
ησεν· οὕτω δὲ παρ' ἑαυτῷ λογισάμενος,
ορικοῦ λόγου τὸν Θεὸν ἐβλασφήμησεν·
τῶν δυνάμεων αὐτοῦ Ῥαψάκην τῷ τέ-
λεως παραστήσας, καὶ δι' αὐτοῦ μηνύσας
ς' αὐτὸν ἱστορίαν ἀναγινώσκοντες εὑρή-

ησαν καὶ ἐβδελύχθησαν ἐν [ἐπιτηδεύ-
Οἱ ἀμφὶ τὸν Σεναχηρεὶμ διεφθάρησαν
τες τῆς ὀρθῆς ὑπολήψεως· ἐβδελύχθη-
θείῳ διὰ τὰς ἀνοσίους πράξεις αὐτῶν·
τὸν Θεὸν, καὶ ὡς μὴ ὄντι Θεῷ ἀσθέ-
ιζον καὶ τῷ λαῷ αὐτῶν πανωλεθρίαν
αὶ οὕτως ἀλαζονευόμενοι, μέθαις καὶ
νειλύσσοντο καὶ κατεμολύνοντο· νοεῖτο δ'
βατὸν ὁ στίχος· ὅτι διεφθάρησαν ἐν ἐπι-
αὶ ἐβδελύχθησαν.
τι ποιῶν χρηστότητα. » — Οὐδεὶς ἐν
τὸς, ἀλλὰ πάντες πονηροί.
ἐκ τοῦ οὐρανοῦ διέκυψεν ἐπὶ τοὺς υἱοὺς
ων τοῦ ἰδεῖν εἰ ἔστι συνιῶν ἢ ἐκζητῶν
— Ἐπὶ τοὺς υἱοὺς τῶν ἀνθρώπων ἀντὶ
ρώπους ἐκείνους τοὺς ἔχοντας ὡς εἰρή-
τοῦ οὐρανοῦ δὲ ἐφ' οὗ κατοικεῖν, ὑπο-
κὰ τὸ, « Ὁ κατοικῶν ἐν οὐρανοῖς. »
ὥστε ἰδεῖν εἴ τις ἐν αὐτοῖς ἐστι
κατίων τὸν Θεὸν ἢ ἐκζητῶν αὐτὸν,
ούμενος, ὡς τὸ, « Ἐξεζήτησα τὸν
σέ μου. » Τινὲς γὰρ συνιέντες ἦν
Ἀνθρωπίνως δὲ τὸν Κύριον
ρφου ἐπικύπτοντα καὶ θεώ-
νοῦ παρὼν, ἅπαντα γινώ-
ὅτι τὸ σχῆμα τοῦτο πολλα-
λλως τε δὲ καὶ τὸ παντέ-
θείας ἐπισκοπῆς, ἢ ἐξ
διαγινώσκει μηδὲν
ος.
ειώθησαν· οὐκέτι
νός· » — Ἐξέκλι-
δεύματα· ἠχρειώ-
οὐδὲ κἂν γοῦν

ργαζόμενοι τὴν
ἀναγνωστέον·
εἶπον μὴ εἶναι
Πάντες οὗτοι
ὶ πᾶσαν ἄλλην

A ἡδονὴν, ὅτι Θεός ἐστι τῶν Ἰουδαίων ὁ Θεός. Νῦν γνώσονται, ὅταν πάντες καὶ ὀγδοήκοντα καὶ ἑκατὸν ἀφαιρεθήσονται χιλιάδες ὑπὸ τοῦ ἀγγέλου τοῦ Θεοῦ. Καὶ αὐτὸς δὲ φεύγων αἰσχρῶς ὁ Σεναχηρεὶμ εἴσεται τὸν ἐγείραντα τρόπαιον· ἢ μὴ μόνον αὐτοὺς, ἀλλὰ καὶ πάντα τἄλλα ἄνομα ἔθνη μεμαθηκότων λέγει, τὴν τηλικαύτην Ἀσσυρίων ἀπώλειαν ἐπιγνῶναι, ὅτι Θεός ἐστιν ὁ διαφθείρας αὐτούς.

« Οἱ ἐσθίοντες τὸν λαόν μου ἐν βρώσει ἄρτου τὸν Κύριον οὐκ ἐπεκαλέσαντο. » — Τοῦτο τὸ ῥητὸν ἐκ προσώπου τοῦ Θεοῦ λέγεται· ὅτι οἱ δαπανῶντες δίκην βρώσεως ἄρτου καὶ ἀναλίσκοντες τὸν λαόν μου ἐν στόματι πολιορκίας λιμοῦ καὶ ἀπειλῆς ἐμὲ τὸν Κύριον πάντων οὐκ ἐπεκαλέσαντο· τουτέστιν οὐκ ὠνόμασαν Θεόν. Λέγοιντο δ' ἂν καὶ λαὸς τοῦ Δαυῒδ B οἱ πολιορκούμενοι τότε, ὡς ἐκ τῆς αὐτοῦ καταγόμενοι βασιλείας, ἵνα καὶ προσώπῳ τοῦ Δαυῒδ ὁ λόγος εἴη, Κύριον οὐχ ἑαυτὸν, ἀλλὰ τὸν Θεὸν εἰπόντος.

« Ἐκεῖ ἐδειλίασαν φόβον οὗ οὐκ ἦν φόβος. » — Ἐν Ἱερουσαλὴμ τότε ἐδειλίασαν οἱ ἀμφὶ τὸν Ἐζεκίαν· ἐν φόβῳ τοῦ Σεναχηρεὶμ, οὗ οὐκ ἦν φόβος, τουτέστιν ὃν οὐκ ἔδει φοβηθῆναι μὴ δυνάμενον φοβῆσαι διὰ τὸ ἔχειν ἀντίπαλον τὸν Θεόν· τοῦτο γὰρ ἐδήλωσε διὰ τῶν ἑξῆς εἰπών·

« Ὅτι Κύριος ἐν γενεᾷ δικαίων. » — Δικαίους λέγει τοὺς εὐσεβεῖς· τοιοῦτοι δὲ οἱ περὶ τὸν Ἐζεκίαν θεοφιλῶς τοὺς ὑπηκόους ποιμαίνοντες. Γενεὰν δὲ εἴρηκεν, ὅτι πάντες ἐκ μιᾶς ῥίζης οἱ Ἰσραηλῖται· ἢ καὶ αὖθις ἐκεῖ ἐδειλίασαν οἱ ἀμφὶ τὸν Σεναχηρεὶμ ἐν φόβῳ Θεοῦ· οὗ φόβος οὐκ ἦν παρ' αὐτοῖς· C προπείρας, καὶ γὰρ αὐτὸς ὁ Θεὸς ἦν ἐν τῷ γένει τῶν πολιορκουμένων Ἰουδαίων ὑπὲρ αὐτῶν μαχόμενος· ἢ καὶ ἐδειλίασαν ἐν φόβῳ τοῦ Ἐζεκίου οὗ οὐκ ἦν φόβος· μᾶλλον ὑποπτήσσοντος, καὶ εἰς τὴν αὔριον προσδοκοῦντος μετὰ τῶν σὺν αὐτῷ πάντων ἀναιρεθῆναι· κατασφαττόμενοι γὰρ οἱ Ἀσσύριοι, ἐδόκουν ὑπὸ τοῦ βασιλέως Ἰουδαίων ἀναιρεῖσθαι· καὶ ὅτι Θεός ἐστιν ὁ Θεὸς Ἑβραίων βοηθῶν αὐτοῖς, ἐντεῦθεν ἐμάνθανον.

« Βουλὴν πτωχοῦ κατῃσχύνατε· ὁ δὲ Κύριος ἐλπὶς αὐτοῦ ἐστιν. » Τοῦτο λέγει πρὸς τοὺς Ἀσσυρίους, ὅτι ἐφαυλίσατε καὶ ἐξουθενήσατε τὴν σκέψιν ἣν ἐσκέψατο Ἐζεκίας ὁ πτωχὸς ὅσον ἐπὶ τῇ τοῦ πολέμου παρασκευῇ. Ἐβουλεύσατο δὲ τῶν ἄλλων ἁπάντων ἀπογνοὺς ἐν σάκκῳ καὶ σποδῷ καταφυγεῖν εἰς D Θεόν· ὃ μεμαθηκότες οἱ τοῦ Σεναχηρεὶμ διεκωμῴδησαν οἷ' ἀνωφελές· ὑμεῖς μὲν οὖν, φησὶ, κατῃσχύνατε τὴν βουλὴν αὐτοῦ, αὐτὸς δὲ τὸν Κύριον ἐλπίδα ἔχει, προσδοκῶν αὐτὸν μόνον βοηθόν.

« Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τοῦ Ἰσραήλ; » Τίς τῶν κατοικούντων ἐν Σιὼν δώσει τὴν σωτηρίαν Ἰσραὴλ τῶν ἄγαν ἠσθενηκότων; καὶ τίς αὐτοὺς ῥύσεται τῶν χειρῶν τοῦ Σεναχηρείμ; Οὐδεὶς ἀνθρώπων εἰ μὴ Θεὸς ἐφ' ὃν ἤλπισαν· καὶ οὗτος γὰρ ἐν τῷ ναῷ τῆς Σιὼν ἐδόκει οἰκεῖν.

« Ἐν τῷ ἐπιστρέψαι τὴν αἰχμαλωσίαν τοῦ λαοῦ αὐτοῦ ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐφρανθήσεται Ἰσραήλ. » — Αἰχμαλωσίαν λέγει μὲν οὐ γενομένην

OCR ABK / FR

ἀλλὰ δοκοῦσαν αὐτοῖς ὑπὸ τοῦ ἐπηρτημένου φόβου τῆς ὅσον οὔπω ἁλώσεως· κεκυκλωμένοι γὰρ καὶ σεσαγηνευμένοι ταῖς αἰχμαῖς τούτους ὡς καταγομένους ἐκ τῆς ῥίζης Ἰακὼβ καὶ Ἰσραήλ. Ὁ δὲ λέγει τοιοῦτόν ἐστιν· ὅτι τοῦ Κυρίου ἐλευθερώσαντος αὐτοὺς, οἷον αἰχμαλωτισθέντας, ἀγαλλιάσονται οἱ ἐλευθερωθέντες καὶ εὐφρανθήσονται. Καὶ ἀγαλλιάσονται μὲν σωματικῶς· εὐφρανθήσονται δὲ καὶ ψυχικῶς· τοῦτο μὲν τῇ εὐθηνίᾳ τῆς τρυφῆς, τοῦτο δὲ τῇ μελέτῃ τῶν θείων λόγων· ὧν ἐν ταυτῷ εἴργοντο πολιορκούμενοι· ἀλλὰ κατὰ μὲν Ἐζεκίαν καὶ Σενναχηρεὶμ οὕτως ἐποιήσαμεν τὴν ἐξήγησιν· ἐξηγητέον δὲ λοιπὸν καὶ κατὰ τὰ ἐπὶ τῶν χρόνων καθ' οὓς ὁ Κύριος ἐνηνθρώπησεν· Εἶπε, φησὶν, ὁ ἀνόητος Ἰουδαίων δῆμος, ὁ μὴ συνιεὶς τὰς περὶ Χριστοῦ προφητείας, ὅτι οὐκ ἔστι Θεὸς ὁ τὰς θεοσημείας ἐν αὐτοῖς ἐργαζόμενος Χριστός. Οὕτω δὲ παρ' ἑαυτῷ πρῶτον λογισάμενος, καὶ φανερῶς αὐτῷ τὴν τοῦ Θεοῦ κλῆσιν ἐνεκάλει. Τὰ δὲ ἑξῆς κατὰ τὴν ἀνωτέραν νοητέον ἐξήγησιν. Οὐκ ἦν δὲ ποιῶν χρηστότητα ἐν αὐτοῖς, δηλαδὴ τοῖς μὴ δεξαμένοις τὴν διδασκαλίαν αὐτοῦ. Κύριος ἐκ τοῦ οὐρανοῦ διέκυψε· τουτέστιν ὁ Υἱὸς ἐξ οὐρανοῦ διακύψας, κατῆλθεν εἰς γῆν ἐπὶ τοὺς ἀνθρώπους καὶ διὰ σαρκὸς ὡμίλησε τούτοις. Κύπτειν τὸ ἐξ ὕψους εἰς γῆν κάμπτεσθαι· τὰ δὲ ἑξῆς, κατὰ τὴν ἄνω ἐξήγησιν· τὸ δὲ, « οὐκ ἔστιν ἕως ἑνὸς, » ἀντὶ τοῦ εἰ μὴ εἷς. Ἤγουν ὁ Χριστὸς μόνος ἀγαθοεργὸς ἐν αὐτοῖς ἀναστρεφόμενος. Τὸ δὲ, « Οὐχὶ γνώσονται πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, » κατὰ ἀπόφασιν ἀναγνωστέον ἐνταῦθα· οὐ γὰρ ἠθέλησαν αὐτὸν ἐπιγνῶναι, οἱ δίκην ἀνόμων ἐθνῶν φθονοῦντες καὶ πονηρευόμενοι. Τὸ δὲ, « Οἱ ἐσθίοντες τὸν λαόν μου, » λεκτέον ἐκ προσώπου τοῦ Χριστοῦ πρὸς τοὺς ἀχαρίστους Ἰουδαίους ἐσθίοντας ἐν στόματι μαχαίρας καὶ πάσης κακώσεως τοὺς μαθητὰς αὐτοῦ, δίκην ἄρτου· οἳ τὸν Κύριον αὐτῶν, τουτέστι τὸν Υἱὸν τοῦ Θεοῦ, οὐκ ὠνόμασαν Θεόν. « Ἐκεῖ δὲ ἐδειλίασαν ἐν φόβῳ ὅπου οὐκ ἦν φόβος· » ηὐλαβοῦντο γὰρ ὁμολογῆσαι τὸν Χριστὸν, μήποτε παραδῶσι τὸν νόμον. Θεσπίζοντες ὅτι οὐκ ἔστι σοι Θεὸς ἕτερος καὶ αὖθις τότε ἐδειλίασαν· ὅτε οὐκ ἦν φόβος· ὅτε γὰρ ἀναρτήσαντες αὐτὸν ἐπὶ σωτηρίου, ἔδοξαν ἀπηλλάχθαι αὐτοῦ τεθνηκότος ἤδη, τότε ἐφοβήθησαν σφόδρα· ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα τηνικαῦτα σημεῖα καὶ πάλιν δειλιάσαντες μήποτε ἐλθόντες οἱ μαθηταὶ αὐτοῦ νυκτὸς κλέψωσιν αὐτόν· καὶ διὰ τοῦτο στρατιώτας ἐπιστήσαντες τῷ τάφῳ, ἐκεῖ ἐδειλίασαν ἐν φόβῳ, ὅπου οὐκ ἦν φόβος· οὐδὲ γὰρ εἰς νοῦν οἱ μαθηταὶ τοῦτο ἔβαλλον, ἐκείνου προειπόντος αὐτεξουσίως ἀναστῆναι μετὰ τρίτην ἡμέραν.

Τὸ δὲ, « Κύριος ἐν γενεᾷ δικαίων, » ἀντὶ τοῦ ἐν συστήματι τῶν ἐξ ἐθνῶν πεπιστευκότων· οἳ μετὰ τὴν ἐπίγνωσιν ὁδῷ δικαίᾳ καὶ βασιλικῇ ἐπορεύθησαν· τῶν γὰρ Ἰουδαίων μὴ δεξαμένων αὐτὸν, ἐπὶ τὰ ἔθνη μετέθετο. Τὸ δὲ, « Βουλὴν πτωχοῦ κατῃσχύνατε, » νοήσωμεν εἰρῆσθαι πρὸς Ἰουδαίους διὰ τὸν ἐξ ἐθνῶν λαὸν τὸν πάλαι μὲν πτωχὸν, τὴν οὐσίαν τῆς θεογνωσίας ἧς ἐξέπεσεν εἰς εἴδωλα μετενεχθεὶς,

A ὕστερον δὲ καὶ τὴν ἐν χρήμασι περιουσ
στόν· τούτου γὰρ τοῦ λαοῦ τὴν βουλὴν
Ἰουδαῖοι, καὶ διεκωμῴδησαν ὡς ματαίαν
τούτου ἦν τὸ παραδέξασθαι τὴν εἰς Χρι
τὸ δὲ, « Τίς δώσει ἐκ Σιὼν τὸ σωτήριον τ
ἀντὶ τοῦ Τίς ἀναβὰς εἰς τὸ κυκλοῦν τ
λὴμ ὄρος Σιὼν καλούμενον, ἀναγνώσεται
σωτήριον; τουτέστι τοὺς νόμους. Ἔθος
ἡμέραις ὡρισμέναις τοῦτο ποιεῖν. Τοῦτ
προφητεύων ὡς τῆς Ἱερουσαλὴμ ὑπὸ
πολιορκηθείσης, τοῦ Εὐαγγελίου δὲ τὰ
γῆς περιλαβόντος, οὐκ ἔτι τοῦτο γενήσ
ἐπιστρέψαι δὲ Χριστὸν αἰχμαλωσίαν το
του· δώσω σοι γὰρ, φησὶν, ἔθνη τὴν κληρ
ἣν ᾐχμαλώτευσε τῷ δόρατι τῆς πλάνης ὁ
Τὸ δὲ « Ἀγαλλιάσεται Ἰακὼβ καὶ εὐ
B Ἰσραήλ· » τοῦτ' ἔστιν οἱ ἐκ τῆς ῥίζη
Ἰσραὴλ φύντες προφῆται· οἳ τοῦτο τ
λαν. Ἀγαλλιάσονται δὲ καὶ εὐφρανθήσον
τες τῶν προφητειῶν αὐτῶν τὰς ἐκβάσει
καὶ Ἰσραὴλ οἱ πιστεύοντές εἰσιν, ὡς ἀν
τῶν Ἰουδαίων οἷς ἦν πρόγονος Ἰακὼβ,
δὲ τὸ ἀποστρέψαι εἰς τὰ οἰκεῖα ὧν ἐξέπεσε

## ΨΑΛΜΟΣ ΙΔ'.

« Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυΐδ. » — εἰς τὸ τέλος οὗτος ἐπιγέγραπται· διότι χρὴ τὸν κατ' ἀρετὴν τέλειον ὑπογράφει.

« Κύριε, τίς παροικήσει ἐν τῷ σκη
ἢ τίς κατασκηνώσει ἐν ὄρει ἁγίῳ σου;
Ἰουδαῖος ἀκούων σκηνώματα Θεοῦ καὶ
εὐθὺς τὸν ἐν Ἱεροσολύμοις ἐννοεῖ να
C γειτνιάζον ὄρος Σιών. Ἴστω δὲ ὅτι
ναὸς ᾠκοδόμητο, οὔτε τὸ ὄρος Σιὼν ἦ
γὰρ τὸν Δαυΐδ πάντα γεγόνασι· λοιπὸν
τὰ ῥητά· σχηματίζει γὰρ τὸν λόγον
ἐρώτησιν πυνθανόμενος ὅτι Τίς ἐστιν ὅ
καὶ τόδε;

« Κύριε, τίς παροικήσει ἐν τῷ σ
— Παροικία μέν ἐστιν ἡ ἐν ἀλλοτρ
ρος διατριβή· σκήνωμα δὲ ψυχῆς
σῴκισται. Ἐρωτᾷ δὲ μαθεῖν, τίς
παροικίαν πρόσκαιρον ἡγήσετ
ζωὴν, καὶ ὡς ἀλλοτρίῳ τῷ
κρὰ τούτου φροντίζων τὴν
θηκεν τῷ σκηνώματι δηλῶν
ἔργον ἐστὶ καὶ παρ' αὐ
D ἢ ὅτι καὶ αὐτὸς τοῦ
σου. Κατασκήνωσις
κατάπαυσις· ὄρος
πος, τῶν ταπεινῶν
φρσὶ γὰρ ὁ Ἀπό
ὄρει καὶ πόλει Θεοῦ
καὶ τίς, φησὶν, ἀ
διον εὐθυδρομή
σκηναῖς ταῖς αἰω

« Πορευόμενο
σύνην. » — Τ
ἐκεῖνος παροικ
νος τὰ ῥηθῆναι

OCR ABK / FR

A τὸν ἐνάρετον, ἐκεῖνος, φησὶν, ὃς ἂν πορεύηται ἄμεμπτος καὶ ἐργάζηται δικαιοσύνην, καὶ ἄμωμον οἰητέον τὸν ἐν θεωρίᾳ τελειούμενον· διὰ ταύτης γὰρ πορεύεται πρὸς οὐρανὸν ὁ νοῦς· δίκαιον δὲ, τὸν πράξει καταρτιζόμενον· ἡ ἐργασία γὰρ πράξεως. Ἐνεστῶτι δὲ χρόνῳ ὑπ' ἀμφοῖν ἐχρήσατο, διὰ τὸ μὴ χρῆναί ποτε λήγειν τὸν οὕτως ἔχοντα. Πολυμεροῦς δὲ τῆς πρακτικῆς οὔσης περιέλαβε πᾶσαν τῷ τῆς καθόλου δικαιοσύνης ὀνόματι· μόνη γὰρ ἡ δικαιοσύνη πάσαις ὑποχεῖται ταῖς ἀρεταῖς· δικαιοσύνη γάρ ἐστιν ἡ ἑκάστης οἰκειοπραγία· καθόλου δὲ τὴν δικαιοσύνην θεὶς, εἶτα καὶ κατὰ μέρος αὐτὴν ἐπέξεισι.

« Λαλῶν ἀλήθειαν ἐν καρδίᾳ αὐτοῦ. » — Ἀληθῆ δογματίζων καὶ δογματιζόμενος.

« Ὃς οὐκ ἐδόλωσεν ἐν γλώσσῃ αὐτοῦ. » — Πρόσεστι B ἀληθῆ καὶ ἄδολα λέγων, τουτέστιν, ἀληθῆ καὶ λογιζόμενος ἐν ἑαυτῷ καὶ λέγων πρὸς ἄλλους· διὰ μὲν τῆς καρδίας τὸν ἐνδιάθετον λόγον ἐδήλωσεν, διὰ δὲ τῆς γλώττης τὸν προσφορικόν.

« Καὶ οὐκ ἐποίησε τῷ πλησίον αὐτοῦ κακόν. » — Πλησίον ἐσμὲν ἀλλήλων ἢ τῷ ταὐτῷ τῆς πίστεως, ἢ τῇ σχέσει τοῦ λέγοντος. Κακὸν δὲ λέγει τὴν βλάβην· ἀκολούθως δὲ πρῶτον ἐμνημόνευσε καρδίας, εἶτα γλώσσης, εἶτα ποιήσεως· ἐνθυμεῖται γάρ τις, εἶτα λέγει, εἶτα πράττει.

« Καὶ ὀνειδισμὸν οὐκ ἔλαβεν ἐπὶ τοὺς ἔγγιστα αὐτοῦ. » — Ταὐτὸν ἔγγιστα καὶ πλησίον· καὶ ὃς οὐκ ἔλαβεν ὀνειδισμὸν, καθάπερ ὅπλον κατὰ τῶν ἔγγιστα αὐτοῦ· τουτέστιν, ὃς οὐκ ὠνείδισεν αὐτοὺς· πλημμελήσαντας ἢ πειραθέντας, ἢ ἄλλως ἀτυχοῦντας· ὁ C μὲν γὰρ ὀνειδισμὸς τέλος ἔχει κωμῳδίας· ὁ δὲ ἔλεγχος διόρθωσιν σφαλμάτων· ὅθεν τὸν ἔλεγχον μὲν ἐπὶ καλοῦ λαμβάνομεν, οὐδέποτε δὲ τὸν ὀνειδισμὸν ὡς ἐναντιώτατον.

« Ἐξουδένωται ἐνώπιον αὐτοῦ πονηρευόμενος· τοὺς δὲ φοβουμένους τὸν Κύριον δοξάζει. » — Διανέμων γὰρ ἑκάστῳ τὰ πρὸς ἀξίαν, τὸν μὲν πονηρὸν οὐδενὸς ἄξιον ἡγεῖται φαυλίζων· κἂν πλούτῳ, κἂν εὐγενείᾳ κομᾷ, καὶ ἄλλῃ περιφανείᾳ λαμπροτάτῃ ἐστί· τοὺς δὲ φοβουμένους τὸν Θεὸν μεγαλύνει, κἂν ἐν τοῖς ἐναντίοις ἀτυχήμασιν εὑρίσκωνται· μακάριοι γὰρ πάντες οἱ φοβούμενοι τὸν Κύριον.

« Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν. » — Τὸ ὀμνύειν ἀντὶ τοῦ διαβεβαιοῦσθαι παραλαμβάνουσιν οἱ παλαιότεροι· ὅρκους γὰρ οὐδὲν ἕτερον ὡς D ἡ βεβαίωσις λόγου, μάρτυρα παραλαμβάνουσα τὸν Θεὸν ἢ καὶ τῇ παλαιᾷ νομοθεσίᾳ συγκεχωρημένος ἦν ὁ κατὰ Θεοῦ γινόμενος ἀληθὴς ὅρκος· ἵνα μὴ κατὰ τῶν εἰδώλων ὀμνύοντες συλαγωγηθεῖεν. Ὁ δὲ τοῦ Εὐαγγελίου νόμος, τοῖς τελειοτέροις τὰ τελειότερα νομοθετῶν, παντάπασι τὸν ὅρκον ἐξέκοψεν. Εἰσὶ δὲ τινες λόγοι σχήματα μὲν ὅρκων ἔχοντες, οὐχ ὅρκοι δὲ ὄντες, ἀλλὰ θεραπεία πρὸς τοὺς ἀκούοντας· νὴ τὴν ὑγίειαν Φαραὼ φησίν· καὶ πρὸς Κορινθίους ὁ Ἀπόστολος, νὴ τὴν ἡμετέραν καύχησιν· τύπον δὲ Χριστιανοῖς ὅρκων ὁ θεσπέσιος κατέλιπε Παῦλος εἰπών· « Μάρτυς μού ἐστιν ὁ Θεὸς ᾧ λατρεύω· » καὶ πάλιν· « Μάρτυρα τὸν Θεὸν ἐπικαλοῦμαι, » καὶ τὰ τοιαῦτα.

« Τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ. » — Τοῖς ἀρχαίοις λίαν ἐπονείδιστον ἦν ἡ τοκογλυφία, καὶ αἰσχρὸν καὶ κατάπτυστον· ὁ γὰρ ἐλεήμων ἐν καιρῷ δανείζων ἀγαπητὸν ἡγεῖται μόνον ἀπολαβεῖν ὃ δέδωκε. Νοοῖτο δ' ἂν καὶ οὕτως, ὅτι τὸν περὶ εὐλαβείας λόγον ὅς ἐστιν ἀργύριον πεπυρωμένον δοκίμιον τῇ γῇ, οὐ κατεβάλλετο χάριν τοῦ κομίσασθαί τι σωματικὸν ἀγαθὸν, ἀλλὰ προῖκα καὶ ἀμαθεῖς πάντας ἐδίδαξεν.

« Καὶ δῶρα ἐπ' ἀθώοις οὐκ ἔλαβεν. » — Ἕνεκεν ἀθώων, ὥστε βλάψαι τοὺς ἀναιτίους.

« Ὁ ποιῶν ταῦτα οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα. » — Διαζωγραφήσας τὸν εἰς ἀρετὴν τέλειον, ἐπέθηκε τῷ λόγῳ τέλος ἐπάξιον· ὁ ποιῶν γὰρ, φησὶ, ταῦτα, τὰ προειρημμένα δηλαδὴ, τέλειος ὢν, οὐ παρακινηθήσεται τῆς ἐν Θεῷ βάσεως. Τὸ δὲ εἰς τὸν αἰῶνα ἀντὶ τοῦ διὰ παντός· ἢ καὶ κατὰ τὸν παρόντα βίον. Εἰ δὲ κατὰ τὸν παρόντα, πολλῷ μᾶλλον κατὰ τὸν μέλλοντα.

## ΨΑΛΜΟΣ ΙΕ'.

« Στηλογραφία τῷ Δαυΐδ. » — Στηλογραφία καὶ εἰκόνες καὶ ἀνδριάντες τοῖς ἀριστεύσασιν εἰς ἀνεξάλειπτον μνήμην ἀπονενέμηνται κηρύττουσαι τὴν ἐκείνων ἀνδραγαθίαν· ὅθεν ἀντὶ τούτων ὁ παρὼν ψαλμὸς ἀνετέθη τῷ νικητῇ Χριστῷ, καθελόντι τῷ τοῦ σωτηρίου δόρατι τὸν θάνατον καὶ τὸν κράτος ἔχοντα τοῦ θανάτου διάβολον· ἀναμαρτήτου γὰρ μείναντος, οὔτε ἡ ψυχὴ αὐτοῦ τῷ εἴδει ἐγκατελείφθη, μάλιστα καὶ σκυλεύσασα τοῦτον, οὔτε ἡ σὰρξ αὐτοῦ εἶδε διαφθορὰν, τριήμερος ἀναστᾶσα· περὶ οὗ καὶ Πέτρος ὁ ἀπόστολος ἐν τῇ βίβλῳ τῶν Πράξεων διέλαβεν, ἐφαρμόζων τῷ Χριστῷ τὸν παρόντα ψαλμόν· ἐπὶ τοῖς οἰκείοις οὖν κατορθώμασιν ἑαυτῷ τὴν στήλην ἀνέστησε διὰ γλώττης τοῦ Δαυῒδ ὁ Σωτὴρ τοῦ παναγίου Πνεύματος ἐμπνεύσαντος καὶ κινήσαντος τὸν προφήτην. Ἀναγράφει δὲ τὸ εἶδος νίκης, καὶ ὅσα πρὸ τοῦ τέλους αὐτῷ ἐγένετο.

« Φύλαξόν με, Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα. » — Ἀνθρωποπρεπεῖς οἱ τοῦ ψαλμοῦ λόγοι· καὶ γὰρ οὐχ ὡς Θεὸς, ἀλλ' ὡς ἄνθρωπος κατεπολέμησε τὸν ἐχθρὸν, ἅμα μὲν διδάσκων ὡς ἔστιν ἀκαταγώνιστος τοῖς νήφουσιν, ἅμα δὲ καὶ τοὺς τρόπους δι' ὧν αὐτὸν κατεπάλαισεν, ἀπολιμπάνων ἡμῖν ἀκριβῆ ἀρχέτυπον εἰς μίμησιν. Εὔχεται τοιγαροῦν ὡς ἄνθρωπος πρὸς Θεόν· καὶ γὰρ κἀν τοῖς Εὐαγγελίοις διαφόρως εὔξατο φυλαχθῆναι ἀπὸ πάσης ἐπιβουλῆς φανερᾶς καὶ ἀφανοῦς, λέγων· « Σύ με φύλαξον, ὅτι ἐπὶ σοὶ μόνῳ ἤλπισα, μηδενὶ τῶν ἄλλων τεθαρρηκώς· οἶδα γὰρ ὅτι σώζεις τοὺς ἐλπίζοντας ἐπὶ σέ. »

« Εἶπα τῷ Κυρίῳ· Κύριός μου εἶ σύ. » — Εἶπα τῷ Πατρὶ τῷ Κυρίῳ πάντων ὅτι Κύριος εἶ σύ μου ὡς ἀνθρώπου καὶ οὐχ ὡς Θεοῦ, καὶ διὰ τοῦτο περιφρούρησον· ὡς γὰρ ἄνθρωπος ἐδεῖτο τῆς ἀπὸ τοῦ Θεοῦ φυλακῆς· ὑπετάγην γὰρ, φησὶ, τῷ Κυρίῳ, καὶ ἱκέτευσα αὐτόν.

« Ὅτι τῶν ἀγαθῶν μου οὐ χρείαν ἔχεις. » — Εἶπον δὲ προσέτι ὅτι τῶν δώρων μου τῶν εἰς θυσίαν



OCR ABK / FR

οὐ χρείαν ἔχεις, ἵνα καὶ θύσω σοι καὶ οὕτως βοηθὸν ἔξω· εἰ γὰρ καὶ προσίεται ὁ Θεὸς τὰ εὐσεβῶς προσαγόμενα, ἀλλ' οὐχ ὡς ἐνδεὴς αὐτῶν, ἀλλ' ὥστε ταῦτα κρίνειν εὐγνωμοσύνης ἀπόδειξιν καὶ ποιεῖσθαι πρόφασιν ἀντιδόσεως τῶν πολλῶν κρειττόνων.

« Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος. » — Εὔελπίς εἰμι, φησὶν, εἰδὼς ὅτι τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ θαυμαστὰ καὶ παράδοξα ἐποίησεν ὁ Κύριος. Ἅγιος δὲ ὁ τὸν Θεὸν εἰλικρινῶς ἀγαπῶν καὶ ἐπ' αὐτῷ πεποιθώς· οἷος ἦν ὁ ταῦτα λέγων. Εἶεν δ' ἂν οὓς λέγει πάντες οἱ πρὸ τῆς Χριστοῦ παρουσίας εὐαρεστήσαντες τῷ Θεῷ. Γῆν δὲ αὐτοῦ ἢ ταύτην εἴποις, τοῦ Κυρίου γὰρ ἡ γῆ, ἢ τὴν ἄνω Ἱερουσαλὴμ ἐν ᾗ καὶ κάτω ὄντες ἐπολιτεύοντο, καὶ ἐν ᾗ θανόντες πολιτεύονται· ἢ καὶ ἁγίοις μὲν ὑποληπτέον τοὺς ἀποστόλους καὶ τοὺς ἐξ αὐτῶν πιστεύοντας, πολυειδῶν ῥυσθέντας κινδύνων καὶ θανάτων· γῆν δὲ τὴν Ἐκκλησίαν ἐν ᾗ ἀναστρέφονται. Εἶτα τίθησι καὶ τὴν αἰτίαν δι' ἣν αὐτοῖς θαυμαστὰ ποιεῖ.

« Πάντα τὰ θελήματα αὐτοῦ ἐν αὐτοῖς. » — Ὅπου γὰρ τοῦ Θεοῦ γίνονται θελήματα, καὶ ὁ Θεὸς πάντως ἐστὶν ἐν αὐτοῖς φυλάττων καὶ κατευθύνων.

« Ἐπληθύνθησαν αἱ ἀσθένειαι αὐτῶν· μετὰ ταῦτα ἐτάχυναν. » — Ἀσθενείας λέγει τοὺς κόπους καὶ τὰς θλίψεις αὐτῶν· ῥύεται δὲ αὐτοὺς ὁ Κύριος· ἢ καὶ ἄλλως· ἐπληθύνθησαν αἱ ἁμαρτίαι πρότερον τῶν εἰς Χριστὸν πεπιστευκότων· ἀσθενούσης γὰρ τῆς ψυχῆς ἡ ἁμαρτία γίνεται· εἶτα τοῦ Εὐαγγελίου κηρυχθέντος, ἐτάχυναν εἰς εὐσέβειαν· τὰ δ' ἐντεῦθεν οὐχ ὡς ἄνθρωπος, ἀλλ' ὡς Θεὸς ἀποφαίνεται.

« Οὐ μὴ συναγάγω τὰς συναγωγὰς αὐτῶν ἐξ αἱμάτων. » — Τοῦτο περὶ τῶν ἀνελόντων αὐτὸν Ἰουδαίων ὧν τὰ πλήθη συναγαγεῖν ἀπὸ σφαγῆς ἀνανεύει τὰ διαφθαρησόμενα τῶν ῥημάτων.

« Οὐδ' οὐ μὴ μνησθῶ τῶν ὀνομάτων αὐτῶν διὰ χειλέων μου. » — Ὠνομάζετο γὰρ ὁ λαὸς ἐκεῖνος λαὸς Θεοῦ καὶ περιούσιος καὶ ἄμπελος, καὶ μερὶς καὶ κληρονομία καὶ σχοίνισμα, καὶ ὅσα τοιαῦτα. Οὐκ ἔτι γοῦν, φησὶν, Ἰουδαίους καλέσω τοῖς ὀνόμασιν οἷς καὶ πρότερον, ἀλλὰ τέκνα μωμητὰ, καὶ γενεὰν σκολιὰν, καὶ γεννήματα ἐχιδνῶν, καὶ σπέρμα πονηρὸν, καὶ εἴ τι τοιοῦτον· ἢ καὶ περὶ τῶν ἐξ ἐθνῶν ἄμφω τὰ ῥητὰ νοήσωμεν· ὅτι οὐ μὴ οἰκειώσωμαι τὰς ἐκκλησίας αὐτῶν ἐξ ἐναίμων θυσιῶν, ἀλλ' ἐξ εἰλικρινοῦς πίστεως καὶ πνεύματι τῆς θυσίας· οὐδὲ μὴ μνησθήσομαι τῶν ὀνομάτων, οἷς αὐτοὺς ὠνόμαζον πάλαι διὰ τῶν προφητῶν· ἀλλ' ἀντὶ μὲν ἐχθρῶν καλέσω φίλους, ἀντὶ ἀπίστων πιστοὺς, καὶ ὅσα τούτοις ἀκόλουθα· χείλη δὲ Θεοῦ νοοῖντ' ἂν οἱ λόγοι, καὶ ταῦτα γὰρ λόγων ὄργανα· ἄλλως τε καὶ ὁ Σωτὴρ ὕστερον ὡς ἄνθρωπος ὠνόμαζε καὶ Ἰουδαίους καὶ τοὺς ἐξ ἐθνῶν τοῖς ἐναντίοις τῶν προτέρων ὀνόμασιν, ὡς δεδήλωται.

« Κύριος μερὶς τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου. » — Οὐ παρὰ γνώμην, φησὶ, τοῦ Πατρὸς ἐγενόμην ἄνθρωπος· καὶ αὐτὸς γὰρ τῇ εὐδοκίᾳ μέτοχός ἐστι τοῦ λαοῦ τοῦ πιστεύσαντος ἐξ

A ἐθνῶν· τοῦτ... γὰρ καλεῖ κληρονομίαν, ὡς ἐν τῷ δευτέρῳ ψαλμῷ προείρηται. Ἔτι δὲ καὶ τοῦ θανάτου· ποτήριον γὰρ ἑνιαχοῦ τῆς Γραφῆς ὁ θάνατος ἑρμηνεύεται· κἀν τοῖς Εὐαγγελίοις γὰρ λέγει· « Τὸ ποτήριον ὃ ἐγὼ πίνω, ὑμεῖς οὐ δύνασθε πιεῖν· » καὶ αὖθις· « Πάτερ μου, εἰ δυνατόν ἐστι, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· » ηὐδόκησε γὰρ καὶ ἐπὶ τῇ ἀνακλήσει τῶν ἐθνῶν καὶ ἐπὶ τῷ θανάτῳ τοῦ Υἱοῦ· ἢ καὶ μερίδα τὸν πλοῦτον νοήσεις, ἵν' ᾖ τοιούτως· ὁ Θεὸς πλοῦτός ἐστι τῆς ἐξ ἐθνῶν κληρονομίας μου· ἔτι δὲ καὶ τῆς διδασκαλίας μου πλοῦτος καὶ κεφάλαιον· πανταχοῦ γὰρ τοῦ Εὐαγγελίου περὶ τοῦ Σωτῆρος διέξεισιν. Ἀλλὰ πλοῦτος μὲν ἡ μερίς· ὡς τὸ, « Μερίς μου ἐν γῇ ζώντων. » Καὶ γὰρ ἐπὶ τῶν μεριζόντων παίδων τὴν οὐσίαν B τοῦ πατρὸς ἡ μερὶς ἑκάστῳ πλοῦτός ἐστιν, ὥστε συμβαίνει τὸ αὐτὸ καὶ μερίδα λέγεσθαι καὶ πλοῦτον καὶ κλῆρον· τὸ μὲν, ὡς μεριζόμενον, τὸ δὲ πάλιν ὡ καταγόμενον ἀπὸ πατρός. Διδασκαλία δὲ τὸ ποτήριον· ὅτι καὶ οἶνος αὕτη διὰ τὸ εὐφραίνειν καὶ ἄμπελος ὁ Χριστός.

« Σὺ εἶ ὁ ἀποκαθιστῶν τὴν κληρονομίαν μου ἐμοί. » — Τὰ γὰρ ἔθνη πέλας τοῦ Υἱοῦ καὶ Θεοῦ τυγχάνοντα ἀνέστησαν εἰς εἰδωλολατρείαν εἶτα πάλιν ἀποκατέστησαν αὐτῷ διὰ τῆς πίστεως· ἀνατίθησι δὲ τῷ Πατρὶ τὴν χάριν, ὡς αἰτίῳ· καὶ ἔτι τουτὶ τὸ ῥητὸν ἐφερμηνευτικὸν τοῦ πρὸ αὐτοῦ· διὰ τοῦτο γὰρ, φησὶ, κοινωνὸς εἶ τῆς κληρονομίας μου καὶ τοῦ ποτηρίου μου, διότι σύ μοι ταύτην ἀποκατέστησας. Πρὸ τοῦ ποτηρίου δὲ τὴν κληρονομίαν τέθεικεν· ὅτι αὕτη γέγονεν αἰτία τοῦ θανάτου αὐτοῦ· δι' C αὐτὴν γὰρ ἀπέθανεν. Ῥητέον δέ τι καὶ γλαφυρὸν θεώρημα περὶ τῶν προκειμένων· ὅτι τὸν κατ' εἰκόνα Θεοῦ πεπλασμένον ἄνθρωπον διὰ τοῦτο κλῆρον τοῦ πλάσαντος ὄντα δελεάσας ὁ δυσμενὴς καὶ τυραννήσας ἐπεσπάσατο καὶ τὸν ἀλλότριον ἐσφετερίσατο· πέπομφε δὲ πρὸς αὐτὸν ὁ κληρονόμος γράμματα διὰ τῶν προφητῶν ἀπαιτοῦντα τὸν ἀφαιρεθέντα κλῆρον· ὡς δὲ καὶ μᾶλλον ἀντείχετο, λαβὼν αὐτὸς ὁ κληρονόμος τὰς διαθήκας τοῦ πατρὸς, κάτεισι πρὸς τὸν ἅρπαγα, καὶ δικαστὴς αὐτοῖς γίνεται ὁ πατὴρ, καὶ καταδικάσας τὸν βιαστὴν, ἀποκαθιστᾷ τῷ υἱῷ τὴν κληρονομίαν οὗ χάριν κοινωνὸν αὐτὸν τοῦ κατορθώματος ὁ υἱὸς ἐκάλεσεν.

« Σχοινία ἐπέπεσέ μοι ἐν τοῖς κρατίστοις μου. » — Οἱ κληροδοτοῦντες τὴν γῆν, σχοινίοις αὐτὴν διαμε- D τροῦντες, περιορίζουσι· βούλεται γοῦν λέγειν ὡς ἀποκαταστάσης μοι τῆς κληρονομίας μου, ἐπέπεσέ μοι τοῦτ', εἰ ἐπέβαλλον ἐμοὶ σχοινία πολλά· κἀντεῦθεν διεμετρήθη τοσαύτη καὶ περιωρίσθη, καὶ ἐγένετο γνώριμος· διὰ γὰρ τῶν αἰνιγμάτων τό τε πλῆθος τῶν πιστευόντων ἠνίξατο καὶ τὴν γνωριμότητα· δύο γὰρ ἔργα τοῦ σχοινίσματος, ὡς ἔφημεν. Κρατίστους δὲ λέγει τὴν κληρονομίαν αὐτοῦ· καὶ τοῦτο παρέστησε διὰ τῶν ἑξῆς.

« Καὶ γὰρ ἡ κληρονομία μου κρατίστη μοι. » — Ἄνω μὲν πληθυντικῶς κρατίστους εἶπε διὰ τοὺς κατὰ μέρος πιστούς· κάτω δ' ἑνικῶς κρατίστη διὰ τὴν τῶν κατὰ μέρος μίαν συναγωγὴν καὶ ὁμοδοξίαν.

OCR ABK / FR

A Κράτιστον δὲ λέγει τὴν ἐξαίρετον καὶ ἠγαπημένην, ἢ καὶ τὴν γενναίαν, ὡς καταπαλαίουσαν τὸν ἀντίπαλον. Νοοῦνται δὲ καὶ σχοινία ἃ ἐπέπεσον τῷ Χριστῷ παρὰ τῶν Ἰουδαίων ἀγομένῳ πρὸς Πιλᾶτον. Ἐπέπεσον δὲ αὐτῷ διὰ τοὺς κρατίστους, ἤτοι τοὺς πιστοὺς ὑπὲρ ὧν ἔπασχε. Πάλαι μὲν οὖν οἱ Ἰουδαῖοι ἦσαν Θεοῦ κληρονόμοι· ἐγενήθη γάρ, φησί, μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ· ἀποβλήτων καὶ τούτων γενομένων ἑτέραν ἀντέλαβε κληρονομίαν, τὴν βασιλείαν τῶν ἐξ ἐθνῶν, ἣν καὶ κρατίστην εἶπεν, ὡς ὑπὲρ τὴν παλαιοτέραν.

« Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με. » — Τὰ ἐντεῦθεν φησιν ὡς ἄνθρωπος· λέγει γὰρ ὁ Εὐαγγελιστὴς περὶ αὐτοῦ· « Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας. » B

« Ἔτι δὲ καὶ ἕως νυκτὸς ἐπαίδευσάν με οἱ νεφροί μου. » Νεφροὺς μὲν οἰητέον τὸ ἐπιθυμητικὸν μέρος τῆς ψυχῆς· περὶ τοὺς νεφροὺς γὰρ τοῦτο κεῖται, καθὼς ἐν τοῖς προεξηγηθεῖσιν ἔφημεν· νύκτα δὲ τὸν δεσποτικὸν θάνατον· ἄχρι φησί, θανάτου ἐπαιδαγώγησε καὶ ἐρρύθμισέ με ἡ ἐπιθυμία μου, μηδ' ἑνὸς τῶν γηΐνων ἐρασθεῖσα μόνων δὲ τῶν θείων ἱμειρομένη· ἢ καὶ νύκτα νοητέον τὰ ἀπόκρυφα μυστήρια, ἵν' ᾖ τοιοῦτον, ὅτι μέχρι καὶ αὐτῶν τῶν ἀγνώστων τοῖς ἄλλοις ἀνθρώποις ἐπαιδαγώγησέ με ἡ ἐπιθυμία μου.

« Προεωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός. » — Πρὸ παντὸς ἄλλου ἔβλεπον τὸν Θεὸν ἐνώπιόν μου, διὰ παντὸς τοῖς ὀφθαλμοῖς τῆς ψυχῆς ἐνώπιόν μου φαινόμενον. C

« Ὅτι ἐκ δεξιῶν μού ἐστιν ἵνα μὴ σαλευθῶ. » — Ἔβλεπον δὲ αὐτὸν ἐνώπιόν μου, διότι ἐν ταῖς δεξιαῖς μου πράξεσίν ἐστιν, ἐπαναπαυόμενος ἐν αὐταῖς· ἐγγίζει γὰρ ὁ Θεὸς δι' ἀρετῆς τοῖς ἐγγίζουσιν· ἐκ δεξιῶν μου δέ ἐστιν, ἵνα βοηθούμενος ὑπ' αὐτοῦ, μὴ παρακινηθῶ τῆς εὐθείας ὁδοῦ πρὸς τὴν ἐναντίαν· φυλάσσει γὰρ Κύριος τοὺς ἀγαπῶντας αὐτόν.

« Διὰ τοῦτο εὐφράνθη ἡ καρδία μου, καὶ ἠγαλλιάσατο ἡ γλῶσσά μου. » — Τῆς καρδίας μου γὰρ πληρωθείσης εὐφροσύνης ὡς ἀπολαβόντος τὴν κληρονομίαν καὶ καταγωνισαμένου τὸν ἐχθρὸν καὶ τοιοῦτον ἔχοντος ἐπίκουρον παραπήλαυσε καὶ ἡ γλῶσσα τῆς ἄγαν χαρᾶς, οἷα τὸν ἐπινίκιον ὕμνον ᾄδουσα καὶ τὰ τοῦ Θεοῦ μεγαλεῖα διηγουμένη.

D « Ἔτι δὲ καὶ ἡ σάρξ μου κατασκηνώσει ἐπ' ἐλπίδι, ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην. » — Τοῦτο περὶ τῆς ταφῆς τοῦ δεσποτικοῦ σώματος. κατοικῆσαι γὰρ τὸν τάφον ἐπ' ἐλπίδι ταχείας ἀναστάσεως· εἰδὼς γὰρ προειρήκει τοῖς μαθηταῖς πολλάκις. Εἰς ᾅδην τίθησι καὶ τῆς ἐλπίδος τὴν αἰτίαν· καὶ γὰρ οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην ὅπου τῶν τετελευτηκότων ψυχαὶ κατέχονται· τόπος γὰρ ὁ ᾅδης ὑπὸ γῆν ἀποκεκληρωμένος ταῖς τῶν ἀνθρώπων ψυχαῖς τῶν ἀποθνησκόντων· ποῦ τοίνυν ὁ λῆρος. Ἀπολλινάριος ὁ τὴν προσληφθεῖσαν σάρκα δογματίζων ἄψυχον καὶ ἄνουν ὡς ἀνόητος;

« Οὐδὲ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. » — Τοῦτο περὶ τοῦ δεσποτικοῦ σώματος· οὐδ' ἐμὲ τὸν ἀνακείμενόν σοι δι' ἀρετῶν οἰκειώσεως παραχωρήσεις ὑποστῆναι τὴν κατὰ σῶμα διαφθοράν, ἀλλ' ὡς ἀναμάρτητον συντηρήσεις ἀδιάλυτον ἐν τοῖς οἰκείοις μέρεσιν· ἵνα τῆς ψυχῆς ἐγκατοικισθείσης αὐτῷ παντελῶς ἀρτίως, θᾶττον ἀναστῶ. Φθορὰ μὲν οὖν ἐπὶ τῶν θανόντων ἡ διάζευξις τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. διαφθορὰ δὲ ἡ διάλυσις τοῦ σώματος μερῶν καὶ μελῶν εἰς χοῦν.

« Ἐγνώρισάς μοι ὁδοὺς ζωῆς. » — Ἐδίδαξάς με τὰς ἀρετάς· αἳ ποδηγοῦσι πρὸς τὴν ἀθάνατον ζωήν· ἢ ἀπεκάλυψάς μοι τοὺς τρόπους τῆς ἐμῆς ἀναστάσεως· περὶ ἧς ἔλεγε πολλάκις τοῖς μαθηταῖς· ἢ ἐδίδαξάς με ὁδοὺς ἀναστάσεως καὶ παλινζωΐας· ἃς αὐτὸς βαδίσας τεμῶ τοῖς μαθηταῖς.

« Πληρώσεις με εὐφροσύνης μετὰ τοῦ προσώπου σου. » — Πρόσωπον Πατρὸς ὁ Υἱός. « Ὁ ἑωρακὼς γάρ, φησίν, ἐμὲ ἑώρακε τὸν Πατέρα μου· » ἐπεὶ καὶ χαρακτὴρ αὐτοῦ λέγεται καὶ εἰκών· εὐφρανεῖς οὖν με, φησί, τὸν προσλαβόντα Θεοῦ μετὰ τὴν ἀνάστασιν· πρὸ ταύτης γὰρ καὶ ἐλυπεῖτο καὶ ἐδάκρυε, καὶ ἠγωνία νόμῳ φύσεως· ἢ καὶ μετὰ τοῦ προσώπου σου ἀντὶ τοῦ μετὰ σοῦ, περιφραστικῶς· ὁ μὲν γὰρ ἡνωμένος ἦν τῷ Υἱῷ, ὁ δ' Υἱὸς τῷ Πατρί. Καὶ κοινὴν ἔσχον τὴν εὐφροσύνην ἐπὶ τῇ σωτηρίᾳ τῶν ἀνθρώπων ἣν ὁ διὰ σωτηρίου θάνατος εἰργάσατο.

« Τερπνότης ἐν τῇ δεξιᾷ σου εἰς τέλος. » — Δεξιὰ τοῦ Πατρὸς ὁ Υἱός· ὥσπερ καὶ βραχίων καὶ δύναμις τέρψις φησί, καὶ ἀγαλλίασις ἔσται τῷ Υἱῷ σου, διὰ παντὸς τοὺς πεπτωκότας συναναστήσαντι καὶ τὴν ἑαυτοῦ κληρονομίαν ἀπολαβόντι.

## ΨΑΛΜΟΣ ΙϚ'.

Προσευχὴ τῷ Δαυΐδ. » — Ὑπὸ τοῦ Σαοὺλ διωκόμενος καὶ ποικίλως ἐπιβουλευόμενος ἔγραψε τὸν ψαλμὸν τοῦτον, εἰς ἐπικουρίαν τὸν Θεὸν ἐπικαλούμενος.

« Εἰσάκουσον, Κύριε δικαιοσύνης μου. » Τῆς περὶ τὸ δίκαιον διαθέσεως, ἥτις διὰ τῶν πράξεων ὡς διὰ γλώττης βοᾷ· διαφόρως γὰρ δυνάμενος πολεμεῖν τὸν πολεμιώτατόν μοι Σαούλ, ἐφεισάμην, ὡς ὑπὸ Θεοῦ βεβασιλευκότα, καὶ οὐδὲ ὑβρίσαι τοῦτον λόγῳ ἐτόλμησα· κεφαλὴ γὰρ ἐπὶ παντὸς τοῦ λαοῦ. Δίκαιον δὲ τοῦτον φείδεσθαι κατὰ πάντα διὰ ταῦτα· ἢ δικαιοσύνην ἐνταῦθα λέγει τὴν δικαιολογίαν αὐτοῦ, καθ' ἣν δικαιοῦται· ἣν καὶ προϊὼν τίθησιν· οὕτως νοούντων ἡμῶν, οὐ δεήσει κομπάζειν ὁ προφήτης, ἀλλ' εὐλόγως παρακαλεῖ.

« Πρόσσχες τῇ δεήσει μου. » — Δέησιν ἐνταῦθα ὑποληπτέον τὸ σχῆμα τῆς παρακλήσεως· ἐλεεινὸν γὰρ ὡς μεστὸν τῆς κατηφείας καὶ συντριβῆς καὶ ταπεινώσεως, καὶ μόνον ἀπὸ τῆς ὄψεως δυσωπεῖν δυνάμενον.

« Ἐνώτισαι τὴν προσευχήν μου οὐκ ἐν χείλεσι δολίοις. » — Τοῦτο καθ' ὑπερβατὸν ἀναγνωστέον, ἵν' ᾖ τὴν οὐκ ἐν χείλεσι δολίοις γενομένην ἢ προσαγομένην· καθαρὰ γὰρ δόλου καὶ ψεύδους τὰ χείλη μου, καὶ οὐ σύνοιδα λαλῆσαί ποτε δόλια τῷ Σαοὺλ

OCR ABK / FR

ἀλλ' ὁμολογήσας τὴν εἰς αὐτὸν ἀγάπην φυλάττω καθαρὰν τὴν ὁμολογίαν, εἰ καὶ αὐτὸς τὰς πρὸς ἐμὲ ψεύδεται συνθήκας. Τριάδα δὲ προβάλλεται πρὸς ἀντίληψιν· τὴν δικαιοσύνην αὐτοῦ, τὸ σχῆμα τῆς δεήσεως, καὶ τὴν ἐξ ἀδόλων χειλέων προσευχήν, ἵνα καὶ μᾶλλον ἐρεθίσῃ πρὸς ἄμυναν.

« Ἐκ προσώπου σου τὸ κρίμα μου ἐξέλθοι. » — Σὺ δικάσαις ἡμῖν, ὁ τὰ ἡμέτερα πρὸς ἀκρίβειαν εἰδὼς καὶ μόνος ἀῤῥεπὴς δικαστής· ὁ Θεὸς γὰρ κριτὴς δίκαιος καὶ ἰσχυρὸς περατῶσαι τὴν οἰκείαν ἀπόφασιν. Ἐκ προσώπου δὲ ἀντὶ τοῦ ἐκ σοῦ, περιφραστικῶς, ἢ ἐνώπιόν σου. Τὸ κρίμα μου δὲ, τουτέστιν ἡ περὶ ἐμοῦ ἀπόφασις· ἄδικον γὰρ ἡγοῦμαι δικάζειν ἐμαυτῷ καὶ κολάζειν τὸν ἀναιρεῖν ἐπαγόμενον.

« Οἱ ὀφθαλμοί μου ἰδέτωσαν εὐθύτητας. » — Ἴδοιμι ψήφους ὑφ' ἡμῖν ἐξηνεγμένας·

« Ἐδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτός. » — Οὐ μόνον ἀδίκου πράξεως ἀπεσχόμην, ἀλλὰ καὶ πονηρᾶς ἐνθυμήσεως· ἠρεύνησας γὰρ ὁ καρδιογνώστης, καὶ οὐχ εὗρές τινα μελέτην κατὰ τοῦ Σαοὺλ ἐν τῇ καρδίᾳ μου· καὶ εἶδες αὐτὴν οὐκ ἐν τῇ εὐπραγίᾳ μόνον ὀρθῶς ἔχουσαν, ἀλλὰ καὶ ἐν τῇ νυκτὶ τῶν πειρασμῶν καὶ τῶν ἃ σκοτίζουσι τὸν νοῦν, καὶ τῆς εὐθείας ἀποπλανᾶσθαι παρασκευάζουσιν· κατὰ γὰρ τὸν Ἰὼβ εἰπεῖν, ἐν τῷ φωτί σου ἐπορευόμην ἐν σκότει, ὅτι λύχνος ἦν τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου· ἢ καὶ νύκτα λέγει, καθ' ἣν τὸν Σαοὺλ ἐν τῷ σπηλαίῳ λαβὼν ὑποχείριον οὐκ ἀνεῖλεν.

« Ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία. » — Ἐπύρωσάς, με πυρὶ τῶν πειρασμῶν ὡς οἱ τεχνῖται τῷ πυρὶ τὸν χρυσὸν, ὅπως γνοῖεν εἰ ἔστι καθαρὸς, καὶ χωνευθέντος μου τούτοις καὶ βασανισθέντος οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία τοῦ Σαοὺλ, οὐδὲ μικροψυχήσας ὑπὸ τῆς ἀνάγκης ἐβουλευσάμην τι πονηρόν.

« Ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. » — Οὐκ ἔστι τὸ παρὸν ῥητὸν ἀνακόλουθον, ὥς τινες ᾠήθησαν, ἀλλ' αἰτία δοκεῖ τῆς πυρώσεως. διὰ γὰρ τοῦτο, φησὶ, παρεχώρησας πυρωθῆναί με πειρασμοῖς ἵνα μὴ μόνον ἀνώτερος αὐτῶν ὑπεραίρωμαι καὶ διαβάλλω τοὺς ἀμφὶ τὸν Σαοὺλ· θριαμβεύων ἃ πράττουσιν ἄδικα· ἢ καὶ ἵνα πρὸς σὲ συντόμως ἐπιστρεφόμενος, ἐν θλίψει γὰρ ἐμνήσθημεν σου, τὰ σὰ μᾶλλον ἔργα λαλῶ, πῶς ἅπαντα πρὸς τὸ συμφέρον οἰκονομεῖς.

« Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. » — Λόγους χειλέων Θεοῦ καλεῖ τὰς ἐντολὰς τοῦ διὰ Μωσέως δοθέντος νόμου. Χειλέων δὲ Θεοῦ καταχρηστικῶς, οἷα παρὰ Θεοῦ ὑφηγηθείσας· διὰ ταύτας οὖν, φησὶν, ἐφύλαξα, τουτέστιν ἐβάδισα ὁδοὺς σκληρὰς τὰς τῶν ἀρετῶν· τραχεῖαι γὰρ αὗται καὶ ἐπίπονοι, πάσης σωματικῆς ἡδονῆς ἀπεστερημέναι· Φυλάττειν δὲ παρὰ τῇ συνηθείᾳ τῆς Γραφῆς τὸ ἐνεργεῖν ὡς ἐπὶ τὸ πλεῖστον λέγεται· ὡς τό. « Ἐφύλαξα τὰς ἐντολάς σου, » τουτέστιν ἐπλήρωσα.

A « Κατάρτισαι τὰ διαβήματά μου ἐν ταῖς τρίβοις σου, ἵνα μὴ σαλευθῶσιν. » — Ἄνω μὲν ὠνόμασε διαβήματα τὰ τοῦ νοῦ κινήματα, κάτω δὲ τὰ τοῦ σώματος· οἷον τέλεια, ὀρθὰ ποίησον τὰ νοήματά μου ἐν τοῖς προστάγμασί σου, τοῖς φέρουσιν εἰς σὲ τοὺς δι' αὐτῶν ὁδεύοντας· τούτων γὰρ τελειωθέντων οὐδ' αἱ διὰ σώματος πράξεις ἀποσφαλεῖεν ἄν· ἢ κατάρτισαι τὰ διαβήματά μου, τουτέστι πᾶσάν μου ἐνέργειαν ἐν τῷ ὁδεύειν τὰς τρίβους σου· ἃς διὰ τῶν ἐντολῶν ἔτεμες τοῖς σπεύδουσιν ἐλθεῖν ἐπὶ σέ· ἵνα μὴ παρακινηθῶσι τοῦ προσήκοντος, μὴ παρὰ σοῦ καταρτιζόμενα· σὺ γὰρ εἶ ὁ διδάσκων ἄνθρωπον γνῶσιν.

« Ἐγὼ ἐκέκραξα ὅτι ἐπήκουσάς μου, ὁ Θεός. » — Οὐ μάτην ποιοῦμαι τὴν παράκλησιν· διότι καὶ πά-
B λιν παρακαλέσαντος ἐπήκουσας·

« Κλῖνον, Κύριε. » — Καὶ μὴν ἄκλιτόν ἐστιν ἐν ἡμῖν τὸ οὖς, ἀλλ' ὅτι κλινομένης τῆς κεφαλῆς ἐπὶ τὸν λέγοντα δοκεῖ τοῦτο κλίνεσθαι. Προείρηται δὲ ὅτι ἀπὸ τῶν ἀνθρωπίνων ἐνεργειῶν τὰ θεῖα χαρακτηρίζει συγκαταβατικώτερον διὰ τὴν τῶν ἀκροωμένων ἀσθένειαν· οἱ γὰρ βουλόμενοί τινος ἀκριβέστερον ἀκούειν, ἀδρανῶς ὑπ' ἀσθενείας φθεγγομένου, κλίνουσιν αὐτῷ διὰ τῆς κεφαλῆς τὸ οὖς· κλῖνον ὡς ὑψηλὸς ἐπὶ ταπεινὸν, ὡς ἰατρὸς ἐπὶ νοσοῦντα. Εἴη δ' ἂν ὅρασις μὲν Θεοῦ ἡ ἁπλῶς γνῶσις τῶν πραγμάτων, οὖς δὲ ἡ λεπτοτέρα· τὰ γὰρ ὁρατὰ τῶν ἀκουστῶν παχύτερα διὰ τὴν ὕλην. Ἄνω δὲ καὶ κάτω τῆς παρακλήσεως τὸ εἰσάκουσον καὶ πρόσσχες καὶ ἐνώτισαι καὶ τὰ τοιαῦτα εἰς ἔμφασιν τῆς πρὸς τὴν
C αἴτησιν ὁλοψύχου διαθέσεως.

« Θαυμάστωσον τὰ ἐλέη σου, ὁ σώζων τοὺς ἐλπίζοντας ἐπὶ σέ. » — Θαύματος ἄξια ποίησον. Ἐλέη δὲ λέγει τὴν ἀντίληψιν· οἱ γὰρ ἰδόντες αὐτὸν ὑπερασπιζόμενον ἐθαυμάστωσαν αὐτὸν, ὡς ταχεῖαν καὶ πανσθενῆ καὶ ὡς μὴ μόνον δικαίων, ἀλλὰ ἁμαρτωλῶν ἀντιλαμβανομένην.

« Ἐκ τῶν ἀνθεστηκότων τῇ δεξιᾷ σου φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ. » — Φύλαξόν με, Κύριε, ἀπὸ τῆς ἐπιβουλῆς τῶν παρὰ τὸν Σαοὺλ· οἳ ἀνθεστήκεισαν τῇ χειροτονίᾳ σου· διὰ γὰρ τῆς χειρὸς ταύτης ἐδήλωσε· οὐ γὰρ ἐχειροτόνησάς με βασιλέα διὰ τοῦ προφήτου τοῦ χρίσαντος. Οὗτοι δὲ σπουδάζουσιν ἀνελεῖν μὴ καταδεχόμενοι·

D « Περὶ τῆς κόρης τοῦ ὀφθαλμοῦ. » — Θαυμαστὴ δὲ ὄντως ἡ περὶ τὴν κόρην τοῦ ὀφθαλμοῦ φυλακή· χιτὼν γὰρ ἐπὶ χιτῶνι καὶ παραβολαὶ ποικίλαι ταύτην περιτειχίζουσιν, καὶ οἱ μὲν λεπτοὶ καὶ διαφανεῖς, ἵνα μὴ τραχύνωσιν ὑγρὰν οὖσαν καὶ ἁπαλήν· ἔξωθεν δὲ παχὺς ὁ τῶν βλεφάρων, δυσὶν ἡμικυκλίοις διῃρημένος, ἵνα καὶ τὸν κονιορτὸν ἀποσοβῇ καὶ τὴν ἐξ ἀέρος βλάβην καὶ τὰ πτερωτὰ ζωΰφια. Τετρίχωται δ' οὗτος ἵνα τὸν ἐγγὺς ἱδρῶτα καταῤῥέοντα κωλύῃ· δριμὺς γάρ ἐστι καὶ λυπηρός· ἐπάνω δὲ τούτου φάραγξ ὀφρύος ἐσχημάτισται καθάπερ τις στεῤῥὸς ὄροφος. Πεκόκασται δὲ καὶ οὗτος θριξὶν ἵνα μὴ ὁ φερόμενος ἄνωθεν ἱδρὼς ἐπὶ τὴν σκηνὴν

OCR ABK / FR

τῆς κόρης ἐμβάλλῃ, ἀλλ' ἀνακρουόμενος ἐκεῖθεν, ἐπὶ τοὺς κροτάφους μετοχετεύηται.

« Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με ἀπὸ προσώπου ἀσεβῶν τῶν ταλαιπωρησάντων με. » — Ἑτέραν εἰκόνα φυλακῆς εὑρὼν ἀξιοῖ νεοττοῦ τρόπον ἐπισκέπτεσθαι, πτέρυγας καλῶν τὰς συνεκτικὰς καὶ φρουρητικὰς καὶ θαλπτικὰς δυνάμεις τῆς παντοδυνάμου προνοίας, ἐκ μεταφορᾶς τῶν ταῖς ἑαυτῶν πτέρυξι σκεπόντων τοὺς νεοττοὺς πετεινῶν· τὸ γοῦν σκεπάσεις ἀντὶ τοῦ εὐκτικοῦ νοήσωμεν· πολλαχοῦ γὰρ τῆς Γραφῆς τὸ τοιοῦτον εἶδος· ἢ καὶ προφητεύει τὴν παρὰ τοῦ Θεοῦ βοήθειαν. Πρόσωπον δὲ ἀσεβῶν αὐτοὺς λέγει τοὺς ἀσεβεῖς. Καταχρηστικῶς δὲ νῦν εἶπεν ἀσεβεῖς τοὺς ἀμφὶ τὸν Σαοὺλ, ὡς δίκην ἀσεβῶν ζῶντας ἐν ἀνομίαις καὶ διψῶντας ἀνελεῖν τοὺς ἀθώους καὶ ὡς μὴ σεβομένους τὴν δηλωθεῖσαν ἐπ' αὐτῷ τοῦ Θεοῦ χειροτονίαν οἱ ἐταλαιπώρησαν αὐτὸν περὶ τὴν φυγήν· πᾶσαν κακοπάθειαν ὑφιστάμενος.

« Οἱ ἐχθροί μου τὴν ψυχήν μου περιέσχον. » — Ἀπὸ τῆς ψυχῆς ἑαυτὸν ἐνέφηνεν, ὡς ἀπὸ μέρους τὸ πᾶν. Περιέσχον δὲ ἀντὶ τοῦ περιεκύκλωσαν, πάντοθεν καθίζοντες λόχους.

« Τὸ στέαρ αὐτῶν συνέκλεισαν. » — Διὰ τοῦ στέατος τὴν καρδίαν καὶ τὰ σπλάγχνα δηλοῖ· διὰ ταῦτα γὰρ πολλὴ πιμελή· καί φησιν ὅτι Ἀπέκλεισάν μοι τὸν ἐκ καρδίας καὶ σπλάγχνων αὐτῶν ἔλεον· ἐξ ὧν οὗτος πρόεισιν. Ἄλλοι δέ φασι στέαρ τὴν ἀξίαν (ἀεξίαν) καὶ εὐημερίαν· ἑρμηνεύοντες ὅτι ἀπέκλεισαν καὶ οἷον συνέσχον αὐτὴν ὡς μηκέτι φευξομένην, ἀλλὰ διόλου συνεσομένην αὐτοῖς.

« Τὸ στόμα αὐτῶν ἐλάλησεν ὑπερηφανίαν. » — Ἐκόμπαζον γὰρ θᾶττον συσχεῖν αὐτὸν ὡς εὐθήρατον, μηδαμόθεν ἔχοντα βοήθειαν.

« Ἐκβάλλοντές με νυνὶ περιεκύκλωσάν με. » — Ἐξώσαντές με τῶν ἐμῶν ἁπάντων οὐκ ἠρκέσθησαν· ἀλλὰ νῦν περιεκύκλωσάν με θανατῶσαι σπουδάζοντες.

« Τοὺς ὀφθαλμοὺς αὐτῶν ἔθεντο ἐκκλῖναι ἐν τῇ γῇ. » — Ἔθεντο καὶ ἐσκέψαντο ἐκκλῖναι τοὺς ὀφθαλμοὺς αὐτῶν ἀπὸ σοῦ, τοῦ ἐν οὐρανοῖς κατοικοῦντος, καὶ τῶν σῶν προσταγμάτων ἃ κελεύουσι μὴ ἀδικεῖν τὸν ἀναίτιον εἰς γῆν, τουτέστιν εἰς γεηρὰς ἐπιθυμίας· αἵτινές εἰσιν ἀλόγως ἀποπλῆσαι πᾶν τὸ καθ' ἡδονήν. ἢ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐστήριξαν ἐπιτηροῦντες ἐκκλῖναι καὶ καταβαλεῖν με εἰς γῆν ὑπ' αὐτῶν σφαττόμενον.

« Ὑπέλαβόν με ὡσεὶ λέων ἕτοιμος εἰς θήραν καὶ ὡσεὶ σκύμνος οἰκῶν ἐν ἀποκρύφοις. » — Ὅσον ἐπὶ ταῖς ἑαυτῶν ἐλπίσιν ὑπέλαβόν με, τουτέστιν, ὑπελθόντος μετεώρησαν τῆς γῆς ἀνάρπαστον φέροντες. Διαφορὰν δὲ τῆς ἁρπαγῆς τοῦ λέοντος καὶ τοῦ σκύμνου τοιαύτην τινὲς ἀποδεδώκασιν· ὡς ὁ μὲν ἀλκῇ πεποιθὼς, φανερός ἐστιν ἐν τῷ θηρεύειν ὁ δὲ σκύμνος, μήπω θαῤῥῶν ἐκ τοῦ προφανῶς ἁρπάζειν. κάθηται κρυπτόμενος· καὶ τῶν ἐχθρῶν αὐτοῦ τοίνυν οἱ μὲν ἐθάῤῥουν προφανῶς ἁρπάσαι, τινὲς δὲ λαθραίως, ἑαυτοῖς οὐ τεθαῤῥηκότες. Οὐδὲν δὲ κωλύει ταυτὸν καὶ ἄμφω δηλοῦν· εἴωθεν γὰρ πολλάκις ἐν A τοῖς παθητικοῖς λόγοις ὁ προφήτης ταυτολογεῖν ἐν ὑπαλλαγαῖς λέξεων, ἵνα αὐξήσας τὸ πάθος εἰς ἔλεον ἐπισπάσηται.

« Ἀνάστηθι, Κύριε. » — Δοκῶν καθεύδειν διὰ τὴν μακροθυμίαν κινήθητι πρὸς ἄμυναν.

« Πρόφθασον αὐτούς. » — Πρὸ τοῦ δοῦναι πέρατι τὰ μεμελετημένα προκατάλαβε αὐτούς.

« Καὶ ὑποσκέλισον αὐτούς. » — Ἐμπόδισον τῷ κατ' ἐμοῦ δρόμῳ. Τοῦτο δὲ ἐκ μεταφορᾶς τῶν βουλομένων τισὶν ἐπικόπτειν τὸν δρόμον· οἳ τρεχόντων τοῖς ποσὶν αὐτῶν ὑποτιθέασι τὰ σκέλη κατὰ πάροδον, καὶ οὕτως εὐχερῶς καταβάλλουσιν.

« Ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς ῥομφαίᾳ σου, ἀπὸ ἐχθρῶν τῆς χειρός σου. » — Ἐν τῇ ῥομφαίᾳ σου ῥῦσαι τὴν ψυχήν μου ἀπὸ ἀσεβοῦς Σαοὺλ, καὶ B ἀπὸ τῶν ὑπηκόων αὐτοῦ, τῶν ἐχθραινόντων τῇ χειροτονίᾳ σου, τουτέστιν ἐμοὶ, ἢ τῶν πολεμούντων τῇ χειρί σου, δηλαδὴ σοὶ περιφραστικῶς· εἰ γὰρ ἐμοὶ πολεμοῦσιν, ἐγὼ δὲ σὸς, οἱ πολεμοῦντές μοι τῷ σῷ σοὶ ἄρα πολεμοῦσι. Τίνος δὲ χάριν ἀσεβῆ τοῦτον λέγει προειρήκαμεν. Καθ' ἑαυτὰ δὲ τὰ ῥητὰ ἀναγνωστέον ἀπολύτως. Κατάλληλον δὲ καὶ τὸ ῥῦσαι τὴν ψυχήν μου πρὸς τὸ ῥηθὲν ἀνωτέρω, « οἱ ἐχθροί μου γὰρ, εἶπε, τὴν ψυχήν μου περιέσχον. » Ἀποροῦσι δέ τινες πῶς ὁ φεισάμενος τοῦ Σαοὺλ ἐν τῷ σπηλαίῳ νῦν ἀναιρεθῆναι τοῦτον εὔχεται ῥομφαίᾳ. Θεοῦ. Καὶ λέγωμεν ὡς αὐτὸς μὲν αὐτόχειρ βασιλέως οὐκ ἀνέσχετο γενέσθαι, καθὼς ἐν προοιμίοις ἐξηγησάμεθα τοῦ ψαλμοῦ· τὸν δὲ Θεὸν παρεκάλει πρὸς ἐκδίκησιν, ταλαιπωρούμενος ἐν πάσῃ κακοπαθείᾳ· ὥσπερ γὰρ τὸ πρῶτον ἄδικον, οὕτω δίκαιον τὸ δεύ- C τερον· ἢ καὶ ἐν ῥομφαίᾳ λέγει, οὐκ ἀναιρούσῃ, ἀλλὰ φοβούσῃ τοὺς ἐχθροὺς μόνον. Ἀνθρωποπρεπῶς δὲ εἴρηται· καὶ γὰρ ὁ θέλων ἐξελέσθαι τὸν ὑπὸ πολεμίων συνεχόμενον ῥομφαίαν σπασάμενος ὁρμᾷ κατ' αὐτῶν. Καὶ ὅτι οὐκ ἀναιρεθῆναι τοὺς ἀμφὶ τὸν Σαοὺλ, ἀλλὰ δυσπραγῆσαι μόνον βούλεται δηλοῖ τὰ ἑξῆς.

« Κύριε, ἀπ' ὀλίγων, ἀπὸ γῆς διαμέρισον αὐτοὺς ἐν τῇ ζωῇ αὐτῶν. » — Ἔτι ζῶντας αὐτοὺς ἀφόρισον ἀπὸ τῶν ἀγαθῶν ἀνθρώπων, καὶ μὴ ἔστωσαν αὐτοῖς ἐναρίθμιοι· ἢ καὶ, ἀλλαχοῦ φησι, μετὰ δικαίων μὴ γραφήτωσαν· ἀφορισθέντες γὰρ τὴν ἀξίαν ἀπαιτηθήσονταί ποτε δίκην. Ὀλίγους δὲ πολλάκις ἡ Γραφὴ καλεῖ τοὺς ἀγαθούς· εἰ γὰρ πλείους ἀεὶ κακοὶ καὶ εἰ τὰ χερείονα νικᾷ· ὀλίγοι γὰρ οἱ σω- D ζόμενοι, καὶ ὀλίγοι ἐκλεκτοί. Ὀλίγων δὲ εἰπὼν, ἐπήγαγεν ἀπὸ γῆς.

« Καὶ τῶν κεκρυμμένων σου ἐπλήσθη ἡ γαστὴρ αὐτῶν. » — Κεκρυμμένα τινὲς ἔφασαν χρυσὸν καὶ ἄργυρον ἃ τοῖς λέγουσιν ἐγκεκρυμμένα τῆς γῆς ἀνορύττονται μεταλλευόμενα· τούτων οὖν ἐπλήσθη ἡ γαστὴρ αὐτῶν· ἤγουν τὰ κατὰ δίκην γαστέρων ἐμφορούμενα, ἢ καὶ αἱ κοιλίαι αὐτῶν ὀψωνούντων ὅσα λάβοιεν. Ἄλλοι δὲ λέγουσι τὰς παρὰ Θεοῦ τεθησαυρισμένας τιμωρίας· ἐπεὶ καὶ Μωϋσῆς ἐν τῷ Δευτερονομίῳ περὶ ποικίλων τιμωριῶν, ἐκ προσώπου τοῦ Θεοῦ δεξιῶν, » Οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ' ἐμοὶ καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου. »

OCR ABK / FR

προφητεύει γοῦν φάσκων, ὅτι τῶν ἀφανῶν τιμωριῶν A πλησθήσεται ἡ γαστὴρ αὐτῶν, τουτέστιν αὐτοί· ἀπὸ γὰρ μέρους τὸ πᾶν· πρὸς γὰρ τὴν πλησμονὴν καταλλήλως ἔθηκε τὴν γαστέρα· τοῖς μέλλουσι δὲ ὡς ἐνεστῶσιν ἐχρήσατο.

« Ἐχορτάσθησαν υἱῶν. » — Τὸν ὗν ἀκάθαρτον εἶχον Ἑβραῖοι διά τε τὸ μὴ ἀνάγειν μηρυκισμὸν ἐν τοῖς χείλεσι, καὶ διὰ τὸ φιλεῖν τὸν βόρβορον· διὰ οὖν τοῦ υἱὸς ἐνταῦθα τὴν ἀκαθαρσιῶν, ᾐνίξατο· ἐχορτάσθησαν γάρ, φησιν, ἀκαθαρσίαν τὸν πλοῦτον εἰς φιληδονίαν ἀκαλίσκοντες. Οἱ δ' ἀκριβέστεροι τῶν ἐξηγητῶν υἱῶν τῶν τέκνων, ἵν' ᾖ τοιοῦτον· ὅτι καθάπερ χρημάτων, οὕτω καὶ τέκνων ἐχορτάσθησαν, πολύπαιδες γεγονότες· ἢ καὶ κατὰ τὴν διπλῆν ἐξήγησιν ἐχορτάσθησαν τῶν εἴτε χρημάτων εἴτε τιμωριῶν· μετὰ τῶν υἱῶν ἐλλειπούσης τῆς προθέσεως· οὐκ αὐτοὶ B γὰρ μόνον, ἀλλὰ καὶ οἱ παῖδες αὐτῶν ἐπλούτησαν, ἢ ἐτιμωρήθησαν.

« Καὶ ἀφῆκαν τὰ κατάλοιπα τοῖς νηπίοις αὐτῶν. » — Διαρκέσαντα καὶ εἰς τοὺς ἐγγόνους τῶν υἱῶν· νηπίοις γὰρ αὐτῶν, δηλονότι τῶν υἱῶν· τουτέστιν εἰς ὅλην τὴν γενεὰν παρέτεινεν εἴτε ὁ πλοῦτος, εἴτε ἡ τιμωρία. Καὶ εἰ μὲν περὶ ποινῆς ταῦτα νοήσωμεν, προφητεία ἐπὶ τῶν ἀπηντηκότων τοῖς ἐχθροῖς αὐτοῦ κακῶν· εἰ δὲ περὶ εὐδαιμονίας, αὔξησις κατηγορίας ὅτι τοσούτων ἀγαθῶν ἀπολαύσαντες, παρανόμως ἔσχον, τῆς τοῦ Θεοῦ καταφρονοῦντες μακροθυμίας.

« Ἐγὼ δὲ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου. » — Δικαιοσύνη μὲν γάρ, περὶ ἧς ἐν ἀρχῇ λέλεκται τοῦ ψαλμοῦ, ἄξιόν με ποιήσει τῆς σῆς ἐπισκοπῆς, καὶ ἐμφανισθήσομαί σοι μετὰ τὸν καιρὸν C τῆς τελευταίας κρίσεως.

« Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου. » — Καὶ ἰδὼν τὴν δόξαν σου τηνικαῦτα πλησθήσομαι τῆς ἐπιθυμίας· ἥτις ἐστὶ τὸ ὀφθῆναί μοι καὶ ἰδεῖν τὴν δόξαν σου. Οἱ γὰρ ἁμαρτωλοὶ Θεοῦ πρόσωπον οὐκ ὄψονται· καὶ ὁ Κύριος δέ φησιν ἐν τοῖς Εὐαγγελίοις· « Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται, » τῶν ἐπιθυμουμένων αὐτοῖς αἰωνίων ἀγαθῶν. Αρμόζει δ' ὁ παρὼν ψαλμὸς καὶ παντὶ ἐναρέτῳ ἐπιβουλευομένῳ, ὃς μὴ ἀπατῶν δόλους ζητήσει καὶ θεῖναι μετὰ τοῦ ἐχθροῦ Σαοὺλ τὸν ἐχθρὸν αὐτοῦ λογίσεται, εἴτε αἰσθητὸν ἴσως εἴτε νοητόν. Ὁ δ' αὐτὸς καὶ λόγους χειλέων τοῦ Θεοῦ νοήσει τὰς εὐαγγελικὰς ἐντολάς, ἀνθεστηκότας δὲ τῇ δεξιᾷ τοῦ D Θεοῦ τοὺς δαίμονας ὡς ἀντικειμένους καὶ ὡς ἀποστάτας τοὺς αὐτοὺς δὲ καὶ ἀσεβεῖς καὶ ἐχθροὺς οἳ ἐξέβαλον αὐτὸν ἀπὸ τῆς σκέπης τοῦ Θεοῦ ἢ ἀπὸ τοῦ παραδείσου, καὶ τὰ ἑξῆς ἀκολούθως ἐκληφθεται. Εὔξεται δὲ διασκορπισθῆναι καὶ διαμερισθῆναι τοὺς δαίμονας ἀπὸ τῶν ἀγαθῶν ἀνδρῶν, ὅπως ἂν οὗτοι οἱ ἀγαθοὶ ζῶσι· μετὰ γὰρ θάνατον οὐ δεδοίκασι· καὶ τὰ περὶ τοῦ πλούτου δὲ καὶ τῆς τιμωρίας καὶ τὰ λοιπὰ προσαρμόσουσιν, ὡς κοσμοκράτορσιν· ὧν καὶ υἱοὺς καὶ ἐγγόνους νοήσει τοὺς μαθητὰς αὐτῶν καὶ ὑπουργοὺς πονηροὺς ἀνθρώπους· τῶν γὰρ τοιούτων πατὴρ ὁ διάβολος.

## ΨΑΛΜΟΣ ΙΖ'.

« Εἰς τὸ τέλος τῷ παιδὶ Κυρίου τῷ Δαυΐδ. Ἃ ἐλάλησεν τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς ταύτης, ἐν ἡμέρᾳ ἐρύσατο Κύριος αὐτὸν ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ καὶ ἐκ χειρὸς Σαούλ. » — Εἰς τὸ τέλος μὲν ἐπιγέγραπται ἢ διὰ τὸ προφητείας ἐμπεριέχειν εἰς τέλος ἐκβησομένας· περὶ Χριστοῦ γὰρ καὶ κλήσεως ἐθνῶν ἐν μέρει διαλέγεται· ἢ ὅτι ἐπὶ τῇ συντελείᾳ τῶν ἐχθρῶν αὐτοῦ τὸν ὕμνον τοῦτον ἀνέθηκε τῷ Θεῷ εὐχαριστήριον πάσης εὐεργεσίας ἧς ἀπήλαυσεν· ἢ καὶ διότι ἐπὶ τέλει τῆς ἑαυτοῦ ζωῆς τὸν παρόντα ψαλμὸν συνέταξε τῷ παιδὶ Κυρίου Δαυΐδ, καὶ οὐ τῷ βασιλεῖ ἢ προφήτῃ· ὅτι ταῦτα μὲν δωρήματι Θεοῦ· παῖς δὲ γίνεται Κυρίου· ἢ δι' εὐγνωμοσύνης ὡς πιστὸς δοῦλος, ἢ καὶ δι' B εὐεργετήσεως ὡς ἠγαπημένον τέκνον· οὗτος δὲ δι' ἀμφοῖν ἄμφω· καὶ τὰς τοῦ παιδὸς ἐκληρώσατο σημασίας· καὶ δοῦλος καὶ τέκνον χρηματίσας Θεοῦ· ὃ καὶ μᾶλλον ἔφερεν αὐτῷ μέγα καύχημα διὰ φιλοπονίας κτηθέν. Ἃ δὲ ἐλάλησε τῷ Κυρίῳ λείποντος τοῦ, ταῦτά ἐστι, δηλαδὴ τοὺς λόγους τῆς ᾠδῆς ταύτης ἐλάλησεν. Ὠδῆς δὲ ἐπέγραψε καὶ οὐ ψαλμοῦ, ὅτι οὐ διὰ μουσικῶν ὀργάνων, ἀλλ' ἀπὸ μόνου στόματος ᾖσε τὴν ᾠδὴν ταύτην ἤδη γηράσας, ὡς ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν γέγραπται· ἡμεῖς καταχρώμενοι ψαλμὸν καὶ τὴν ᾠδὴν ὀνομάζομεν. Ἐν ἡμέρᾳ δὲ ᾗ ἐρρύσατο αὐτὸν ἐκ χειρὸς πάντων τῶν ἐχθρῶν αὐτοῦ, τουτέστιν ἐν ἡμέρᾳ ὅτε ἔδοξεν ἐλευθερωθῆναι πάντων τῶν ἄχρι τότε πολεμίων ἀλλοφύλων καὶ ὁμογενῶν· διελὼν δὲ τῶν ἄλλων ἐχθρῶν καὶ τὸν Σαοὺλ C ἰδίᾳ καὶ τελευταῖον τέθεικεν· ἢ ὡς πολεμιώτατον αὐτὸν γενόμενον, ἢ φειδόμενος τοῖς ἄλλοις ἐχθροῖς αὐτὸν συντάξαι, ὡς βασιλέα καὶ εὐεργέτην αὐτοῦ ποτε γεγονότα καὶ πενθερόν.

« Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου. » — Πολλῶν, φησί, καὶ μεγάλων τετυχὼς ἀγαθῶν ἀπὸ σοῦ, καὶ μὴ δυνάμενος ἀμείψασθαι· τί γὰρ ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; Ὃ μόνον δύναμαι, τοῦτο καὶ ποιήσω· ἀγαπήσω γάρ σε οὐχ ὡς πρώην μὴ ἀγαπῶν, ἀλλ' ὡς ἐπὶ μᾶλλον τοῦτο ποιήσων· τοῦτο γὰρ καὶ πρώτη τῶν ἐντολῶν· « Ἀγαπήσεις γάρ, φησί, Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου. » Ἰσχὺν δὲ τὸν Θεὸν ἐκάλεσεν, ὡς τὴν ἀσθένειαν αὐτοῦ ἐνισχύσαντα κατὰ τῶν τοιούτων καὶ τοσούτων ἐχθρῶν.

D « Κύριος στερέωμά μου καὶ καταφυγή μου καὶ ῥύστης μου. » — Στερέωμα μέν, ὡς ἑδραιώσας καὶ ποιήσας αὐτὸν ἀκλόνητον πρὸς τὰς ἐμβολὰς τῶν ἑκάστοτε πειρασμῶν· καταφυγὴ δὲ ὡς φεύγοντα δεχόμενος εἴσω τῆς ἑαυτοῦ σκέπης, καὶ τῷ τείχει τῆς θείας βοηθείας περιφυλάττων· ῥύστης δὲ ὡς ἐξαιρούμενος τῶν πολιορκεῖν καὶ αἰχμαλωτίζειν ἐλπιζομένων.

« Ὁ Θεός μου βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. » — Ὁ Θεός μου μόνος ἐστὶ βοηθός μου ἀεί· διὸ καὶ ἐπ' αὐτὸν μόνον ἐλπιῶ, μὴ ἀπολιγωρῶν πρὸς τὰ συμπίπτοντα, μηδ' ἀπογινώσκων τὴν σωτηρίαν.

« Ὑπερασπιστής μου καὶ κέρας σωτηρίας μου

OCR ABK / FR

καὶ ἀντιλήπτωρ μου. » — Ἐν πολέμοις τὴν σκέπην αὐτοῦ πρὸ ἐμοῦ τιθείς· Ἵνα μὴ βληθῶ. Τὰς ἀσπίδας γὰρ οἱ ὑπερασπίζοντές τινων εἰώθασιν πρὸ αὐτῶν ἀνέχειν, ἀποτροπὴν τῆς ὁθενδήποτε βολῆς· κέρας δὲ σωτηρίας ἀντὶ τοῦ, ἀμυντήριον σωστικόν. τὰ γὰρ κερασφόρα ζῶα τοῖς κέρασιν ἀμύνονται κραταιῶς ἐν μάχαις, ἐπεὶ δὲ τὸ μέν τοι φυλακτήριόν ἐστιν ὅπλον, τὸ δέ τι πολεμιστήριον, καὶ τοῦτο κἀκεῖνό μοι, φησίν, ὁ Θεὸς ἐγένετο καὶ σκέπων ἐν πολέμῳ, καὶ διαφθείρων τοὺς ἐχθρούς. Ἀντιλήπτωρ, δὲ, ὡς ἀντιλαμβανόμενος εἰς ἀθυμίαν πίπτοντος, καὶ τῶν θλιβερῶν ἄλλων ἀνακτώμενος.

« Αἰνῶν ἐπικαλέσομαι τὸν Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. » — Οὕτω ποικίλοις ὀνόμασι βοηθείας ἐξυμνήσας τὸν Θεὸν, ὡς ποικίλως αὐτῷ βοηθοῦντα καὶ κατὰ διαφόρους τρόπους, φησὶν ὅτι Οὐ πεποίημαι τὸν κατάλογον τῶν τοιούτων καὶ τοσούτων ὀνομάτων, εὐχαριστῶν μόνον ὑπὲρ τῶν προλαβόντων ὡς· μηκέτι τοῦ Κυρίου δεόμενος, ἀλλὰ διὰ τούτων αἰνῶν καὶ μεγαλύνων αὐτὸν ἐφ' οἷς εὐηργετήθην καὶ δεικνύων τὴν εὐγνωμοσύνην καὶ ἔτι τοῦτον ἐπικαλέσομαι παρ' ὅλην τὴν ζωήν. Διὰ τοῦτο γὰρ εἶπον ὅτι Ἐλπιῶ ἐπ' αὐτὸν, καὶ πάντως ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι. Εἰ γὰρ καὶ ἀπὸ τῶν μέχρι τοῦ νῦν πολεμίων ἐῤῥύσθην, ἀλλ' εἰκὸς καὶ ἄλλους ἐπαναστήσεσθαι τῆς ζωῆς ἐμοὶ παρατεινομένης· τοσαῦτα εἰπὼν, ἀνακυκλοῖ τὸν λόγον καὶ καταλέγει τοὺς ποικίλους αὐτοῦ κινδύνους καὶ τὰς πολυειδεῖς ἐπικουρίας τοῦ Θεοῦ· Τροπικωτέρον δὲ τῇ διηγήσει κέχρηται πρὸς πλείονα τῶν πραγμάτων ἔμφασιν.

« Περιέσχον με ὠδῖνες θανάτου. » — Ἐπὶ τῶν ἀνδρῶν ὠδῖνας νοοῦμεν τοὺς ἐκ θλίψεως πόνους, καθάπερ καὶ ἐκ τῶν γυναικῶν αἱ ὠδῖνες γίνονται ἀποθλιβομένων τῶν πόρων διὰ τὴν στενοχωρίαν. Ἀλλ' ἐπ' ἐκείνων μὲν ὠδῖνες ἂν ῥηθεῖεν ζωῆς ὡς εἰς φῶς ζωῆς ἄγουσαι τὸ ἀνεχόμενον· ἐπὶ τούτων δὲ τοὐναντίον ὠδῖνες θανάτου ὡς εἰς σκότος φέρουσαι τὸν συνεχόμενον. Βούλεται τοίνυν εἰπεῖν· ὅτι συνεσχέθη ἀφορήτοις ὠδῖσι· διὰ γὰρ τῶν ὠδίνων τὴν δριμύτητα τούτων παρέστησεν.

« Καὶ χείμαῤῥοι ἀνομίας ἐξετάραξάν με. » — Χειμάῤῥους ἀνομίας καλεῖ τὰς τῶν ἀνόμων ἐθνῶν προσκαίρους καὶ αἰφνιδίους καὶ ῥαγδαίας προσβολάς· τοιοῦτον γὰρ οἱ χείμαῤῥοι χειμῶνος, ῥέοντες αἰφνίδιον καὶ ῥαγδαίως· ἐπονηρεύοντο γὰρ φθονοῦντες καὶ ἀνελεῖν ζητοῦντες αὐτόν. Προσφυὲς δὲ τὸ ἐξετάραξαν· κλονοῦσι γὰρ καὶ ἑλίσσουσιν οἱ χείμαῤῥοι τὰ παραπίπτοντα. Καὶ αὐτὸς οὖν κλόνον καὶ ἴλιγγον τοῖς λογισμοῖς ἔπασχεν ὑπὸ τοῦ αἰφνιδίου τῶν ἀδοκήτων.

« Ὠδῖνες ᾅδου περιεκύκλωσάν με· » — Τουτὶ τὸ ῥητὸν ταυτὸν δύναται τῷ. « Περιέσχον με ὠδῖνες θανάτου. » Τότε γὰρ περιεκύκλωσαν· Καὶ τὸ περιέσχον ταυτοσήμαντον, καὶ ᾅδης καὶ θάνατος ἀλληλουχούμενα· ᾅδην γὰρ ἔλεγον ἀειδῆ τόπον ὑπὸ γῆν τῶν θανόντων. Ἐπεὶ τοίνυν αἱ ὠδῖνες γεννήσεώς εἰσι, περιεκύκλωσάν με, φησίν, ὠδῖνες γεννῶσαι θάνατον ὑπηρέτην ᾅδου· ὁ μὲν γὰρ χωρίζει A τὴν ψυχὴν, ὁ δὲ κατέχει παραλαμβάνων. Ἢ καὶ ὠδῖνες ᾅδου πόνοι πρὸς ᾅδην ἄγοντες ἢ διάκονοι ᾅδου·

« Προέφθασάν με παγίδες θανάτου. » — Προκατέλαβόν με λόχοι θάνατον ἐργαζόμενοι. ὃ γὰρ τοῖς θηρευταῖς αἱ παγίδες, τοῦτο τοῖς πολεμίοις οἱ λόχοι.

« Καὶ ἐν τῷ θλίβεσθαί με ἐπεκαλεσάμην τὸν Κύριον καὶ πρὸς τὸν Θεόν μου ἐκέκραξα. « — Ὕψωσα τὴν φωνήν μου ἔτι ἀναγκαζόμενος.

« Ἤκουσεν ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου. » — Ναὸν ἅγιον τὸν οὐρανὸν ὑποληπτέον, ὡς προλαβόντες εἰρήκαμεν, ἢ τὴν τοῦ μαρτυρίου σκηνήν· ὁ γὰρ μέγας ἐν Ἱεροσολύμοις ναὸς ὕστερον ᾠκοδομήθη παρὰ Σολομῶντος. Ἤκουσε δὲ οὐκ αἰσθητῶς, B ἀλλὰ θεοπρεπῶς. τὰς γὰρ συνεκτικὰς νοῦ παντὸς δυνάμεις ἀδυνατοῦντες γνῶναι καὶ εἰπεῖν εἰς αἰσθήσεων εἰκόνας ταύτας καταμερίζομεν, δι' ὧν ἡμεῖς ἀντιλαμβανόμεθα τῶν ὄντων.

« Καὶ ἡ κραυγή μου ἐνώπιον αὐτοῦ. « — Διαπαντὸς ἡ κραυγή μου ἐνώπιόν ἐστιν αὐτοῦ, πρὸς αὐτὸν μόνον κράζοντος ἐν ἀνάγκαις.

« Εἰσελεύσεται εἰς τὰ ὦτα αὐτοῦ. » — Καὶ ἐν καιρῷ εἰσακούσεταί μου. Τούτοις δὲ τοῖς ῥήμασι καὶ ἡμεῖς χρώμεθα, εὐχαριστοῦντες ἅμα καὶ τὰς ἐπιθέσεις τῶν δαιμόνων ἐκδιηγούμενοι.

« Καὶ ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. » — Τὸ ἐντεῦθεν περὶ Χριστοῦ προφητεύει περὶ τῶν ἐσομένων ὡς γεγενημένων διαλεγόμενος· ἰδίωμα γὰρ τοῦτο προφητικόν· καὶ γὰρ ἐπὶ Δαυῒδ οὐδὲν τοιοῦτον γεγενημένον ἱστόρηται. Ἀντὶ δὲ τοῦ, C « Ἐσαλεύθη, καὶ ἔντρομος ἐγενήθη ἡ γῆ, » ὁ Ἀκύλας εἶπεν, ἐκινήθη καὶ ἐσείσθη. Γῆ δὲ νῦν οἱ ἐκ γῆς ἄνθρωποι, ἢ τὴν γῆν διοικοῦντες· διδάσκοντος γὰρ τοῦ Χριστοῦ, καὶ οἱ Ἑβραῖοι καὶ τὰ ἔθνη ἐταράχθησαν ὑπὸ τῆς περὶ αὐτοῦ φήμης· σάλος γὰρ ὁ τάραχος· καὶ ἐφοβήθησαν ὁρῶντες ἃ καὶ ἐποίει τεράστια· τρόμος γὰρ ὁ φόβος ἐνταῦθα, διὰ τὸ τρέμειν τοὺς ἄγαν φοβουμένους. Καὶ ἄλλως δὲ ἐκινήθησαν, συῤῥέοντες ἐπ' αὐτὸν κατὰ φήμην. Καὶ ἐσείσθησαν ταῖς ἑαυτῶν γνώμαις, θορυβηθέντες.

« Καὶ τὰ θεμέλια τῶν ὀρέων ἐταράχθησαν καὶ ἐσαλεύθησαν, ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεός. » — Ὄρη νοήσεις τοὺς δαίμονας διὰ τὴν ἔπαρσιν καὶ ἀλαζονίαν, θεμέλια δὲ τοὺς βαθεῖς διαλογισμοὺς αὐτῶν· ὁρῶντες γὰρ τὴν ἄμαχον τοῦ Θεοῦ δύναμιν D συνεχέοντο τοῖς λογισμοῖς, διαπορούμενοι τίς ἐστι καὶ ἀναλογιζόμενοι οἷα πείσονται. εἰ μὲν οὖν λογισμοὶ αὐτῶν οὕτως ἐταράχθησαν, αὐτοὶ δὲ ἐσαλεύθησαν ἀφ' ἧς ἐδεδήκεσαν δυνάμεως παρακινηθέντες· Τοῦτο δὲ ἔπαθον ὅτι ὠργίσθη αὐτοῖς ὁ Θεὸς, ἐπὶ τοσοῦτον τυραννήσασι καὶ καταδουλωσαμένοις τοὺς ἀθλίους ἀνθρώπους. Δύναται δὲ ταυτὶ τὰ ῥήματα νοεῖσθαι καὶ περὶ τῶν ἐν τῷ καιρῷ τοῦ δεσποτικοῦ πάθους γεγενημένων, ὥστε ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐῤῥάγησαν, ὅτι ὁ Θεὸς ὠργίσθη αὐτοῖς, δηλονότι τοῖς Ἰουδαίοις.

« Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ. » — Ὀργισθέντος γὰρ τοῦ δημιουργοῦ διὰ τὴν τοῦ πλάσματος ἀπω-

OCR ABK / FR

λειαν, προηγήσατο τῆς ἐκδικήσεως καπνὸς ὡς ἡ μερικὴ τοῦ τυραννήσαντος ἐποχή· τούς τε γὰρ πιστεύοντας ἀφῄρει τῆς ἐκείνου βλάβης, καὶ ἀπὸ τῶν δαιμονιζομένων ἀπήλαυνε πονηρὰ πνεύματα. Τοῦτο δὲ προοίμιον ἦν τῆς εὐτελοῦς ἐκδικήσεως, ἐπεὶ καὶ ὁ καπνὸς προοίμιον τοῦ πυρός. ἐξόδων γὰρ ἐλαυνόμενα τὰ δαιμόνια, « Τί ἡμῖν καὶ σοί, Υἱὲ τοῦ Θεοῦ; Ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς. » A

« Καὶ πῦρ ἀπὸ προσώπου αὐτοῦ καταφλεγήσεται. » — Εἰ καπνὸς προηγήσατο καὶ πῦρ ἕψεται, ὅ ἐστιν ἡ τελεία ἐκδίκησις καὶ παντελὴς ἀνενεργησία τοῦ διαβόλου. Ἀπὸ προσώπου δὲ αὐτοῦ, τουτέστιν ἐνώπιον αὐτοῦ· πῦρ γάρ, φασίν, ἐνώπιον αὐτοῦ προπορεύσεται καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. Καταφλεχθήσεται δὲ ἀντὶ τοῦ ἐξαφθήσεται. B

« Ἄνθρακες ἀνήφθησαν ἐπ' αὐτοῦ. » — Ἐπειδὴ τὸ πῦρ ἐστι ὁ Θεὸς καταναλίσκων τὴν πονηρίαν, δύναμιν μετέβαλον καὶ οἱ μαθηταὶ τῆς τοιαύτης ἐνεργείας, καὶ ἀπὸ τούτου πυρὸς ἀνήφθησαν αὐτοὶ ἄνθρακες ἐμπιπρῶντες τὴν τοῦ ἐχθροῦ ἰσχὺν τῷ πυρὶ τῆς οἰκείας πίστεως· « Ἰδοὺ γάρ, φησίν, δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. »

« Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη. » — Τὸ λεληθὸς τῆς θείας σαρκώσεως ἐμφῆναι βουλόμενος ὁ προφήτης εἶπεν ὅτι ἔκλινεν οὐρανοὺς ἄχρι γῆς καὶ ἀψοφητὶ κατέβη· λαθὼν γὰρ τὰς δυνάμεις ἁπάσας ἐνῴκει ἐν τῇ παρθενικῇ γαστρί. Σωματικῶς οὖν ἐσχηματογράφησε τῷ λόγῳ τὸ πρᾶγμα· καὶ δῆλον ἀπὸ τοῦ ἑπομένου· φησὶ γάρ· C

« Καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. » — Γνόφος μὲν ἐστι σκότος, πόδες δὲ ἡ πορεία· κεκρυμμένη γὰρ ἡ ὁδὸς τῆς ἐνανθρωπήσεως καὶ ἀκατανόητος ὁ τρόπος αὐτῆς· ἢ καὶ ἄλλως· καθάπερ γῆ λέγονται πολλάκις οἱ γήϊνοι ἄνθρωποι ἢ οἱ τὴν γῆν οἰκοῦντες, οὕτως καὶ οὐρανὸν οἰκοῦντας οὕστινας ἔκλινε κατιὼν εἰς γῆν· γέγραπται γὰρ ἐν τοῖς Εὐαγγελίοις ὅτι ἄγγελοι διηκόνουν αὐτῷ· κάθοδον δὲ Θεοῦ μὴ σωματικῶς νοήσεις, ἀπερίγραπτος γὰρ καὶ πάντα πληρῶν, ἀλλ' ὑπὲρ κατάληψίν τινα καὶ ἄρρητον.

« Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. » — Ταῦτα προφητεία περὶ τῆς ἀναλήψεως τοῦ Χριστοῦ. D Ὅτι δὲ τὰ Χερουβὶμ τότε τὸν Ἰησοῦν ὑπέλαβον, Ἰεζεκιὴλ τοῦτο τοῖς προφητικοῖς θεασάμενος ὀφθαλμοῖς διδάσκει λέγων· « Καὶ ἐξῆρε τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν, καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν, καὶ ἡ δόξα Θεοῦ Ἰσραὴλ ἐπ' αὐτὰ ὑπεράνω αὐτῶν, καὶ ἀνέβη ἡ δόξα Κυρίου ἐκ μέσης τῆς πόλεως· » ἀναντιρρήτως γὰρ περὶ τῆς τοῦ Σωτῆρος ἀναλήψεως ταῦτά φησιν· ἐπεὶ καὶ ὁ Παῦλος ἀπαύγασμα τῆς δόξης αὐτὸν ἐκάλεσεν· ἐπετάσθη δὲ ἐπὶ πτερύγων τῶν Χερουβὶμ· ἅπερ ἀνέμους ὠνόμασε διὰ τὴν ὀξύτητα τῆς κινήσεως· καὶ τῇ μὲν ἀληθείᾳ ἐπὶ τῶν Χερουβὶμ ὑπωχεῖτο πλησιαζόντων τῇ θεότητι· τοῖς δ' ἀποστόλοις ἔδοξαν ἀνέρχεσθαι πτέρυξιν ἀνέμων, τουτέστιν ἀνέμοις· πτερωτοὺς γὰρ εἰσήγαγεν τοὺς ἀνέμους διὰ τὴν ὀξεῖαν ἐν ἀέρι κίνησιν. πτερωτὰ γὰρ τὰ διαπερῶντα, ἐπεὶ καὶ ἡ νεφέλη ἀνέμῳ φέρεται.

« Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ. » — Σκότος οἰητέον τὸ μηκέτι βλέπεσθαι· τοιγαροῦν ἡ ἀορατία ἀπέκρυψεν αὐτόν· ταύτην γὰρ ἔθετο περὶ ἑαυτὸν ἀπόκρυψιν· ἀναληφθεὶς γὰρ ἀπεκρύβη ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. Ἢ σκότος οἰητέον τὴν σάρκα, κρυπτομένης ἐν αὐτῇ τῆς θεότητος, ἣς ἔθετο σκότος, τουτέστιν, ἀκαταληψίαν ἀποκρύπτουσαν αὐτὸν κατὰ θεότητα· σκοτίζονται γὰρ οἱ ἐνατενίζειν τῷ βάθει τῆς γνώσεως αὐτοῦ πειρώμενοι.

« Κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ. » — Λύσατε γάρ, φησί, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομήσω αὐτόν· Κύκλῳ δὲ αὐτοῦ, ὅτι ἐν αὐτῇ περιγραφόμενος, ἀλλὰ ἀπορρήτως οἰκήσας ὡς παντοδύναμος. Τοῦτο δὲ εἶπε δεικνύων ὅτι μετὰ τῆς σαρκὸς ἀνελήφθη καὶ οὐκ ἀπέθετο ταύτην, ὥς τινες ἐλήρησαν ὕστερον. Ἢ σκηνὴν λέγει τὴν ἀπροσπέλαστον αἴγλην· ὅτι καὶ φῶς οἰκῶν ἀπρόσιτον προσαγορεύεται, ὅπερ κύκλῳ τῆς θεότητος ὂν ἀποκρύψει μὲν ταύτην, ἀποστρέφει δὲ τὰς ὄψεις θελόντων ἐνιδεῖν.

« Σκοτεινὸν ὕδωρ ἐν νεφέλαις ἀέρων. » Ὕδωρ ἐνταῦθα λέγει τὸ περὶ Χριστοῦ μήνυμα, νεφέλας δὲ τὰς προφητείας, ἀέρας δὲ τοὺς προφήτας, καὶ δίδωσι τοιαύτην ἔννοιαν· ὅτι σκοτεινή ἐστιν ἡ περὶ Χριστοῦ προκήρυξις ἐν ταῖς προφητείαις τῶν προφητῶν καὶ δυσθεώρητος πρὸ τοῦ τέλους. Καὶ ὕδωρ μὲν ὡς ἀναψύχουσα τοὺς λειποθυμοῦντας ἐν ἔχουσα τὸ μηνυόμενον· ἀέρες δὲ τὴν διὰ τὴν καθαρότητα καὶ λεπτότητα τοῦ νοῦ. Ὅτι δὲ νεφέλας τοὺς προφήτας πολλάκις ἡ Γραφὴ καλεῖ, παρίστησιν Ἡσαΐας· τὸν γὰρ οἶκον τοῦ Ἰσραὴλ ἀμπελῶνα προσαγορεύσας, εἰσήγαγεν νεφέλας ἐντελλομένας μηκέτι βρέχειν εἰς αὐτόν, ὅ ἐστι προφήτας μηκέτι προλέγοντας.

« Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ αἱ νεφέλαι διῆλθον. » — Ἀπὸ τῆς λαμπρότητος τῆς ἐπιφανείας αὐτοῦ τῆς αὐγαζούσης μὴ τοῖς ἐγγὺς μόνον ἀλλὰ καὶ τοῖς πόῤῥω αἱ σκοτειναὶ προφητεῖαι διελύθησαν, καὶ τῆς ἀσαφείας αὐτῶν ἀποσκεδασθείσης ἀνεφάνη τὸ κεκρυμμένον· τοῦ ἡλίου γὰρ ἀνατείλαντος, ὁ τῶν νεφελῶν διαλύεται ζόφος, καὶ τὸ κρυπτόμενον ὑπ' αὐτῶν μέρος καθορᾶται. Ἢ καὶ νεφέλας ὑποληπτέον ἐνταῦθα τὸ νέφος τοῦ σκοτεινοῦ νόμου. Λάμψαντος γὰρ τοῦ Χριστοῦ διελύθη τὸ κάλυμμα τῶν αἰνιγμάτων αὐτοῦ, καὶ ἐφάνησαν ταῦτα τυποῦντα καὶ προμηνύοντα τὸν Χριστόν. Ἀλλ' ἐπὶ τούτων μὲν τῶν ἐξηγήσεων τὸ ἐνώπιον αὐτοῦ ἀπὸ τῆς τηλαυγήσεως τῆς ἐνώπιον αὐτοῦ, τουτέστι τῆς αὐτοῦ ἢ τῆς ἐπιφανείας αὐτοῦ, κατὰ δὲ τρόπον ἕτερον διαστείλας μὲν τὸ ἀπὸ τῆς τηλαυγήσεως καὶ ὑποστίξας, τὸ λοιπὸν τοῖς ἔμπροσθεν ἀποδώσεις, καὶ τοιαύτην δώσεις ἔννοιαν· ὅτι τοῦ Χριστοῦ τηλαυγήσαντος κατὰ τὴν ἐν σώματι πολιτείαν, ἐνώπιον αὐτοῦ καὶ ἀντ' αὐτοῦ οἱ ἀπόστολοι τὸν τοῦ κηρύγματος λόγον ἀποσταλάζοντες, διῆλθον τὴν οἰκουμένην, τὰς ἀρούρας τῶν ψυχῶν

OCR ABK / FR

ὡς νεφέλαι πληροῦντες, καὶ πρὸς καρπογονίαν ἀροτῶν ἐγείροντες.

« Χάλαζα καὶ ἄνθρακες πυρός. » — Τούτῳ καὶ τὴν πρώτην ἔννοιαν ἁρμόσωμεν· αἱ προφητεῖαι γὰρ ἀπεικάζονται καὶ χαλάζῃ διὰ τὸ σκληρὸν τῆς ἀπειθείας, καὶ πυρὶ διὰ τὸ πιμπρᾷν τὰς ἀντιλογίας τῶν ἀπιστούντων, ὥστε τὸ αὐτὸ νοεῖσθαι νεφέλην καὶ χάλαζαν καὶ πῦρ διὰ τὰς ἀποδοθείσας αἰτίας, οὐχ ἧττον δὲ συμβιβάζεται καὶ πρὸς τὴν ἐσχάτην ἐξήγησιν. Εἰς τοὺς ἀποστόλους ὁμοίως ἀποληψόμεθα χάλαζαν καὶ πῦρ, τὸ μὲν ὡς τὴν πλάνην ἀποτυφλοῦντας καὶ διαφθείροντας, τὸ δ' ὡς τὴν ἀσέβειαν ἐμπιπρῶντας.

« Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ ὁ Κύριος, καὶ ὁ Ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ. » — Κύριος καὶ Ὕψιστος ὁ Θεὸς ὡς δεσπότης καὶ ὑψηλός. Ἐβρόντησε δὲ καὶ ἔδωκε φωνὴν αὐτοῦ, ὅτε πρὸς τὸν Πατέρα ὁ Υἱὸς ἐβόησε· « Πάτερ, δόξασόν σου τὸ ὄνομα· ἦλθε γάρ, φησί, φωνὴ ἐκ τοῦ οὐρανοῦ, Καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. » Ὁ δὲ ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας ἔλεγε βροντὴν γεγονέναι. Ὥστε τὸ μὲν ἐβρόντησε πρὸς τὴν ὑπόληψιν τῶν ἀκουσάντων εἴρηται· τὸ δὲ ἔδωκε φωνὴν αὐτοῦ πρὸς τὴν ἀλήθειαν· φωνὴ γὰρ οὖσα βροντῆς ἀκηκοόσιν ἔδοξεν. Οὐ χρὴ δὲ θαυμάζειν ὅτε οὐκ ἔχουσιν ἀκολουθίαν καὶ τάξιν προφητεῖαι· δείκνυται γὰρ ἐνταῦθα ὡς οἱ προφῆται οὐ προεφήτευον, ἃ ἐβούλοντο, ἀλλ' ἅπερ ἂν ὑπὸ τοῦ Πνεύματος ἐνηχήθησαν.

« Ἐξαπέστειλε βέλη καὶ ἐσκόρπισεν αὐτούς. » — Βέλη μὲν λέγει τοὺς μαθητὰς ἀποσταλέντας εἰς ἅπαντα τοῦ κόσμου· ἐσκόρπισε δι' αὐτῶν ὁ Χριστὸς τοὺς δαίμονας οὓς ἐδήλωσε διὰ τῆς ἀντωνυμίας· μισεῖ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον, ὥσπερ αὐτούς, οὕτω καὶ τὴν προσηγορίαν αὐτῶν.

« Καὶ ἀστραπὰς ἐπλήθυνε καὶ συνετάραξεν αὐτούς. » — Τοὺς αὐτοὺς οἰητέον καὶ βέλη καὶ ἀστραπάς· ἐκεῖνο μὲν ὡς βάλλοντας καὶ ἀνατρέποντας τὴν πλάνην ἐκείνων, τοῦτο δὲ ὡς ἐμπιπρῶντας τὴν ἀσέβειαν καὶ τὰ τεμένη αὐτῆς· βαλλόμενοι γὰρ ταῖς εὐχαῖς, ἔπιπτον οἱ πολέμιοι, καὶ τὴν ἀστραπὴν οὐ φέροντες τοῦ ἐνοικοῦντος τοῖς μαθηταῖς τοῦ ἁγίου Πνεύματος συνεταράσσοντο καὶ εἰς ἀμηχανίαν καθίσταντο.

« Καὶ ὤφθησαν αἱ πηγαὶ τῶν ὑδάτων. » — Πηγαὶ τῶν ὑδάτων αὖθις οἱ ἀπόστολοι, πρῶτοι διδάσκαλοι τῆς κατὰ Χριστὸν πίστεως. Ὕδωρ μὲν γὰρ ἡ διδασκαλία τοῦ κηρύγματος, πηγαὶ δὲ οἱ πρῶτοι τοιαύτης κρουνοί, οἳ πᾶσιν ὤφθησαν εἰς ἅπασαν ἐκπεμφθέντες.

« Καὶ ἀνεκαλύφθη τὰ θεμέλια τῆς οἰκουμένης. » — Οἱ αὐτοὶ καὶ θεμέλια τῆς γῆς. Οἰκουμένη ὡς πρῶτοι πιστεύσαντες καὶ ὑποτεθέντες ἕδρα τῇ οἰκουμένῃ πάντες ἐπῳκοδομοῦντο. Ἀνεκαλύφθησαν δὲ διὰ τῆς τοῦ βίου τελουμένων τεραστίων λαμπρότητος· ἐν τῇ γῇ κέκρυπται τὰ θεμέλια. Τὰ δὲ τῆς πίστεως τοὐναντίον ὑπὲρ γῆς ἐφαίνετο πάσης, καὶ πράξει καὶ λόγῳ λάμποντα.

« Ἀπὸ ἐπιτιμήσεώς σου, Κύριε. » — Ταῦτα δὲ A γέγονεν ἐπιτιμηθέντων ὑπὸ σοῦ καὶ φοβηθέντων τῶν δαιμόνων.

« Ἀπὸ ἐμπνεύσεως πνεύματος ὀργῆς σου. » — Πυρὶ ἔοικεν ἡ ὀργή, καὶ ἐξαπτομένη ἀναδίδοται καπνώδης ἀτμός, καὶ διὰ τῶν μυκτήρων ἐμπνεῖται τῷ ἀέρι· διὸ καὶ πνεύματα ὀργῆς λέγονται, καὶ τοὺς ὀργιζομένους ἄγαν θυμοῦ πνέειν φαμέν. Διὰ τοῦτο δὲ τὴν κίνησιν τῆς ὀργῆς ἠνίξατο, ἀνθρωποπρεπῶς περὶ αὐτῆς εἰρηκώς. Εἰς τοσοῦτον, φησίν, ὠργίσθης, ὡς ἔμπνευσιν πνεύματος ὀργῆς τῷ ἀέρι γενέσθαι, διασκεδάζουσαν τοὺς ἐχθρούς.

« Ἐξαπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με. » — Τὰ ἐνταῦθα περὶ ἑαυτοῦ φησιν ὁ προφήτης, εἰς τὸν εἱρμὸν ἐπαναδραμὼν τοῦ λόγου. Ἐξαπέστειλε γάρ, εἶπε, Θεὸς βοήθειαν, καὶ ἐῤῥύσατό με.

B « Προσελάβετό με ἐξ ὑδάτων πολλῶν. » — Τὰ ὕδατα παρὰ τῇ θείᾳ Γραφῇ ποτὲ μὲν εἰς κάθαρσιν καὶ ἀναψυχὴν λαμβάνονται, καθάπερ ὅταν ὕδατα νοήσωμεν τὴν διδασκαλίαν, ποτὲ δὲ εἰς καταποντισμὸν καὶ ὄλεθρον, ὡς ἐπὶ τοῦ παρόντος. Τοιαύτη γὰρ ἡ τῶν ὑδάτων φύσις τὸ μὲν καθαίρουσα, τὸ δὲ ἀποπνίγουσα, καὶ μᾶλλον ὅταν εἴη πολλὰ καὶ βαθέα. Χρὴ τοίνυν ὕδατα πολλὰ νομίζειν τὸ πλῆθος τῶν συμφορῶν, ἢ τῶν ἐχθρῶν Προσελάβετο δὲ ἀντὶ τοῦ ἐξήγαγέ με πρὸς ἑαυτόν. Ὁ γὰρ ἐξάγων τινὰ πρὸς ἑαυτὸν ἑλκύει τοῦτον ἀντιλαμβανόμενος.

« Ῥύσεταί με ἐξ ἐχθρῶν μου δυνατῶν. » — Ἐχθροὺς ἐνταῦθα δυνατοὺς τοὺς δαίμονας ὑποληπτέον καὶ φανερῶς καὶ ἀφανῶς πολεμοῦντας, καὶ νύκτα καὶ μεθ' ἡμέραν, καὶ διὰ πάσης αἰσθήσεως, καὶ φύσιν C ἔχοντας ἀκάματον ἐν μάχαις· πνεύματα γάρ· ὁ γοῦν ἐκ τῶν αἰσθητῶν με ῥυσάμενος Θεός, αὐτὸς ῥύσεταί με καὶ ἐκ τῶν ἐχθρῶν τῶν δυνατῶν εἰς πονηρίαν καὶ ὄλεθρον.

« Καὶ τῶν μισούντων με, ὅτι ἐστερεώθησαν ὑπὲρ ἐμέ. » — Οἱ γὰρ αὐτοὶ μισάνθρωποι ὄντες μισοῦσι κἀμέ, καὶ μάλιστα βοηθούμενον ὑπὸ Θεοῦ. Διὰ τοῦτο δὲ ῥύσεταί με ἐξ αὐτῶν ὁ Κύριος, διότι συνεσκευάσθησαν καὶ συνήσπισαν καὶ ἐκραταιώθησαν ὑπὲρ ἐμέ, μὴ φραξάμενον τοῖς ὅπλοις τῆς ἀρετῆς, ὡς ἦν εἰκός, ἀλλ' ὑπομαλακισθέντα· ἢ ὅτι οἱ μὲν φύσιν ἔχουσιν ἄϋλον, ἐγὼ δὲ ὑλικήν, καὶ οὐχ ὁρῶ τοὺς τιτρώσκοντας.

« Προέφθασάν με ἐν ἡμέρᾳ κακώσεώς μου. » — Τὸ προφθάνειν οὐ πάντοτε σημαίνει τὸ προλαμ- D βάνειν, ἀλλ' ἔστιν ὅτε καὶ τὸ φθάνειν ἁπλῶς καὶ τὸ ἐπιτίθεσθαι, καθάπερ καὶ νῦν· ἐπέθεντο γάρ, φησίν, οἱ ἐχθροί μου εἴτε οἱ ὁρατοί, εἴτε οἱ ἀόρατοι, ἐν καιρῷ κακώσεώς μου, τουτέστιν ἀσθενείας τῶν πολεμικῶν παρασκευῶν, εἴτε τῶν ὁρατῶν, εἴτε τῶν ἀοράτων· ἀσθενοῦντα γάρ με βλέποντες, τότε μᾶλλον ἐπετίθεντο.

« Καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου. » — Εἰ μέλλοντος καταπεσεῖν ἀντηρείσατο, ἐγένετο τῇ ἀσθενείᾳ στηριγμός, ἀντὶ ῥάβδου ἐπερειδούσης.

« Καὶ ἐξήγαγέ με εἰς πλατυσμόν. » — Ἀπὸ τῆς τῶν θλίψεων στενότητος εἰς εὐφροσύνης πλάτος ἤτοι διάχυσιν· κατὰ τό, « Ἐν θλίψει ἐπλάτυνάς

OCR ABK / FR

με· » ἢ ὅτι περικυκλοῦντες οἱ ἐχθροί, στενοῦσι τὸν ἐναπειλημμένον. Ὅταν δ' ἐξενεχθῇ τούτων, ἀπολαύει εὐρυχωρίας μηκέτι στενοχωρούμενος.

« Ῥύσεταί με ὅτι ἠθέλησέ με. » — Τοσαύτης ἀξιώσας κηδεμονίας ἢ καὶ τὸ μέλλον με πάντως ῥύσεται· ἠθέλησε γάρ με, τουτέστιν ἐξελέξατό με.

« Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου. » — Μὴ ἀδικήσας γὰρ τοὺς ἐχθραίνοντάς μοι καὶ δίκαιος τά γε πρὸς αὐτοὺς φανείς, κατὰ τοῦτο τεύξομαι τῆς ἀμοιβῆς παρὰ τοῦ Θεοῦ, καὶ ἀντὶ τούτου ἀποδώσει μοι καθάπερ ὀφειλὴν τὴν ἑαυτοῦ βοήθειαν.

« Καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀνταποδώσει μοι. » — Καθαρότης τῶν χειρῶν ἑρμηνευτικόν ἐστι τῆς δικαιοσύνης· οὔτε γὰρ ἥρπασα οὔτε ἐπλεονέκτησα, οὔτε ἐπεβούλευσα τοῖς ἐπιβουλεύσασιν, ἀλλὰ καθαρὰς ἔχω τὰς χεῖρας ἀπὸ παντὸς μολυσμοῦ συγκρινομένας πρὸς τὰς αὐτῶν· ἢ καὶ διὰ τῶν χειρῶν πράττομεν.

« Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου. » — Ταῦτα αἴτια τίθησι τῆς καθαρότητος τῶν χειρῶν, ἐκαθαρίευον γάρ, ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, ἤτοι τὰς ἐντολὰς Κυρίου· καὶ οὐχ ὡς ἀσεβὴς ἀπέστην αὐτοῦ οὐδὲ ταύτας τηρῶν, καὶ δι' αὐτῶν ὁδεύων ἀναγκαίως καθαριεύσω.

« Ὅτι πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν μου, καὶ τὰ δικαιώματα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ' ἐμοῦ. » — Ἕτερον νόμος, καὶ ἕτερον ἐντολή, καὶ ἕτερον μαρτύριον, καὶ ἄλλο κρίμα, καὶ ἄλλο δικαίωμα· νόμος μὲν ὁ καθόλου περιεκτικὸς τῶν ἐντολῶν· ὡς τὸ, « Ὁ νόμος διὰ Μωσέως ἐδόθη· » ἐντολαὶ δὲ αἱ κατὰ μέρος· οἷον « Οὐ φονεύσεις, οὐ μοιχεύσεις· » καὶ ὅσα κατ' εἶδος εἴρηται· μαρτύριον δὲ ὅπερ ὁ νομοθέτης μετά τινος διαμαρτυρίας παρεγγυᾶται τοῖς ἀκούουσιν· ὡς ὅταν ὁ Μωσῆς λέγῃ πρὸς τὸν λαόν· ὅτι « Ἐὰν τάδε καὶ τάδε ποιήσητε διαμαρτύρομαι ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε· » κρίματα δὲ ὅσα τοῦ Θεοῦ κρίνοντος ἐγράφη, καθάπερ ἐπὶ τοῦ βλασφημήσαντος τὸ φοβερὸν ὄνομα. Μωσῆς μὲν γὰρ ἐπὶ τὸν Θεὸν τὴν κρίσιν ἀνέφερεν· ἐκείνου δὲ λιθοβοληθῆναι τοῦτον κελεύσαντος κρίμα τοῦτο καὶ ὅρος κατὰ τῶν ἄλλων βλασφήμων γέγονεν· δικαιώματα δὲ τὰ τοιαῦτα προστάγματα· οἷον « Ἐὰν κτήσῃ παῖδα Ἑβραῖον, ἓξ ἔτη δουλεύσει σοι, » καὶ τὰ ἑξῆς. Τὰ τοιαῦτα γὰρ δικαιοσύνης εἰσὶ μεστά. Καὶ ἡ μὲν διαίρεσις αὐτῶν τοιαύτη· ὀνομάζονται δὲ πολλάκις ταῦτα τοῖς ἀλλήλων ὀνόμασι, καὶ μᾶλλον ἐν τῷ ριη' ψαλμῷ· ἐνταῦθα δὲ τῶν ὀνομάτων, κριμάτων καὶ τῶν δικαιωμάτων ὅλας τὰς ἐντολὰς περιέλαβεν, ὡς ἀπὸ μέρους τὸ πᾶν· « Πᾶσαι γάρ, φησίν, αἱ ἐντολαὶ αὐτοῦ ἐνώπιόν μου ἀναγινωσκόμεναι καὶ οὐδέποτε πόῤῥω τεθέμεναι. »

« Καὶ ἔσομαι ἄμωμος μετ' αὐτοῦ. » — Ἀντὶ τοῦ δι' αὐτοῦ ἢ μετ' αὐτοῦ ὤν.

« Καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. » — Φυλακὴν μὲν λέγει νῦν τὴν ἀποχήν, ἀνομίαν δὲ

A τὴν ἁμαρτίαν. Ἡ δὲ ἀντωνυμία πρόσκειται διὰ τὸ τὴν ἁμαρτίαν οἱ εἶναι τῆς σαρκός, ἢ καὶ κατατίθεται σφαλῆναι ἄνθρωπος· οὐδεὶς γὰρ ἐν ἀνθρώποις ἀναμάρτητος.

« Καὶ ἀνταποδώσει μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ. » — Εἰ δὲ τοιοῦτος ἤμην καὶ ἔσομαι, πάντως ἀμοιβῆς τεύξομαι, καθὼς προείρηται. Καθαριότητα δὲ τῶν χειρῶν μου τὴν ἐνώπιον αὐτοῦ γινομένην· οὐ γὰρ εἰς ἐπίδειξιν ἀνθρώπων, ἀλλ' εἰς ἀρέσκειαν Θεοῦ ταύτην ἐποιούμην.

« Μετὰ ὁσίου ὅσιος ἔσῃ, καὶ μετὰ ἀνδρὸς ἀθώου ἀθῷος ἔσῃ, καὶ μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ μετὰ στρεβλοῦ διαστρέψεις. » — Ὅσιος μὲν ἐστιν
B ὁ τὰ πρὸς Θεὸν εὐσεβής, ἀθῷος δὲ ὁ τὰ πρὸς ἀνθρώπους· ἐκλεκτὸς δὲ ὁ τὰ πρὸς ἀρετὴν τέλειος· στρεβλὸς δὲ ὁ σκολιός· Διδασκαλικὸς οὖν ὁ λόγος καὶ πρὸς τὸν τυγχάνοντα ἀποτεινόμενος καὶ λέγων, ὅτι Οἷός ἐστιν ᾧ συνοικεῖς, τοιοῦτος ἔσῃ καὶ σὺ καὶ πρὸς τὴν ἕξιν αὐτοῦ μεταβαλλόμενος. Τὸ δὲ διαστρέψεις ἀντὶ τοῦ Στρεβλὸς ἔσῃ, ἤ, Διαστρέψεις τὴν γνώμην· ἀνάγονται δὲ καὶ πρὸς Θεὸν ταυτὶ τὰ ῥήματα, καὶ διδόασι τοιαύτην ἔννοιαν, ὅτι Τὸ πρὸς ἀξίαν ἀποδιδόσεις ἑκάστῳ, δικαιότατος ὤν, καὶ τὸν μὲν ὅσιον ὁσιῶν ἔσῃ, τὸν δὲ ἀθῷον ἀθωῶν, τὸν δὲ ἐκλεκτὸν ἐκλεγόμενος, τὸν δὲ στρεβλὸν διαστρέφων καὶ συμποδίζων. Καὶ ἔστι τὸ σχῆμα ὄνομα ἀντὶ μετοχῆς· ὅσιος ἀντὶ τοῦ ὁσιῶν.

« Ὅτι σὺ λαὸν ταπεινὸν σώσεις, καὶ ὀφθαλμοὺς
C ὑπερηφάνων ταπεινώσεις. » — Τοὺς ἐξ ἀρετῆς ταπεινούς· ὀφθαλμοὺς δὲ ὑπερηφάνων τοὺς ὑπερηφάνους, ἀπὸ μέρους τὸ πᾶν· ἢ καὶ ὅτι ἀπὸ τῶν ὀφθαλμῶν εἰώθασιν οἱ τοιοῦτοι χαρακτηρίζεσθαι, αἴροντες τὴν ὀφρύν· ὑπερήφανοι γὰρ παρὰ τὸ ἄνω ὀφρὺν ἀνατείνειν. Τοὺς οὖν τῶν τοιούτων ὀφθαλμοὺς εἰς γῆν ὁρᾷν παρασκευάσεις ἐκ θλίψεως, ἢ καὶ λαὸν ταπεινὸν τὸν ἐξ ἐθνῶν, τῷ βάρει τῶν ἁμαρτημάτων κάτω νεύειν ἀναγκαζόμενον, ἐπί τε τῷ νόμῳ καὶ τοῖς προγόνοις.

« Ὅτι σὺ φωτιεῖς λύχνον μου, Κύριε ὁ Θεός μου, φωτιεῖς τὸ σκότος μου. » — Τῆς ψυχῆς ὀφθαλμὸς ὁ νοῦς· ὁ δὲ ὀφθαλμὸς καὶ λύχνος ὡς ὁδηγῶν· σκότος δὲ αὐτῆς ὁ θυμὸς καὶ ἡ ἐπιθυμία. Λέγει οὖν ὅτι φωτίσεις τὸν νοῦν μου ταῖς θείαις ἐλλάμψεσι· τοῦτον δὲ φωτίσεις καὶ τὸ σκότος μου· φωτιζομένου γάρ
D μου τοῦ νοῦ καὶ τἄλλα μέρη τῆς ψυχῆς φωτίζονται· Καὶ τοῦτό ἐστι τὸ παρὰ τοῦ Σωτῆρος ἐν τοῖς Εὐαγγελίοις εἰρημένον· « Εἰ οὖν τὸ ἐν σοὶ φῶς σκότος ἐστί, τὸ σκότος πόσον; » τουτέστιν, εἰ ὁ νοῦς ἐσκοτισμένος ἐστί, πολλῷ πλέον αἱ ἄλογοι τῆς ψυχῆς δυνάμεις. Ἔστι δ' εἰπεῖν τὸν νοῦν καὶ φῶς καὶ σκότος· πρὸς μὲν τὴν φύσιν τῶν πραγμάτων φῶς, πρὸς δὲ τὸν Θεὸν σκότος, ἀόρατον αὐτῷ τυγχάνοντα· ἢ λύχνος μὲν ὁ Μωσαϊκὸς νόμος, ὁδηγῶν ἐπὶ τὰ καλὰ τοὺς ἀναγινώσκοντας· σκότος δὲ τὸ ἐπικείμενον αὐτῷ κάλυμμα τῆς ἀσαφείας, οὗ τὰ κεκρυμμένα προφητεύει Δαυῒδ φωτισθῆναι καὶ ἀνακαλυφθῆναι δηλονότι σαρκωθέντος Θεοῦ· ἢ λύχνος μὲν τὸ κήρυγμα

OCR ABK / FR

τοῦ Εὐαγγελίου φωτισθεὶς καὶ γνωρισθεὶς ἡμῖν παρὰ τοῦ Σωτῆρος· σκότος δὲ ἡ τῶν εἰδώλων πλάνη καὶ ἡ ἄγνοια τῆς ὀρθῆς πίστεως· ἢ λύχνος μὲν ὁ νοῦς, ὁδηγῶν τὸν ἄνθρωπον, σκότος δὲ τὸ σῶμα διὰ τὴν ἐπιπρόσθησιν καὶ παχύτητα. Φωτισθήσονται καὶ ἄμφω· ὁ μὲν ταῖς θείαις ἐλλάμψεσιν, ὁ δὲ τῇ καθάρσει. Τινὲς δὲ λέγουσι λύχνον ἐνταῦθα κληθῆναι τὸν ἐκ σπέρματος Δαυὶδ Ἰησοῦν ὃν ἐφώτισεν ὁ Λόγος ἑνωθεὶς αὐτῷ καὶ παρέσχεν ἀφιέναι τὰς ἀκτῖνας ἁπανταχοῦ· φησὶ γάρ, « Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. » σκότος δὲ τὴν σάρκα, ἣν προσλαβὼν ἐλάμπρυνε καὶ ἐθέωσεν.

« Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου. » — Ἐν σοὶ μὲν ἤτοι διὰ σοῦ. Πειρατηρίου δὲ, τουτέστι πειρασμοῦ παρὰ ἀνθρώπων ἢ δαιμόνων ἐπαγομένου.

« Καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος. » — Τῷ Θεῷ μου βοηθούμενος ὑπερπηδήσω τὰ ἀποφράττοντά μοι τὴν πρὸς αὐτὸν ὁδὸν ἁμαρτήματα, οἷς ἔχει τὴν ἰσχὺν ὁ Σατανᾶς, καὶ δι' ὧν κωλύει τὴν εἰς οὐρανοὺς ἄνοδον. Ἢ πειρατήριον μὲν ὁ βίος κατὰ τὸν Ἰὼβ, ἐν ᾧ δελέατα ἡδονῆς καὶ παγίδες θανάτου καὶ λόχοι, καὶ πολέμιοι νοητοὶ καὶ αἰσθητοί· τεῖχος δὲ τὸ σῶμα, προβεβλημένον τῆς ψυχῆς καὶ ἀποφράττον αὐτῇ τὰς θείας αὐγάς· ἢ καὶ τεῖχος οἱ ἐναέριοι δαίμονες, διαβαινούσαις ταῖς ψυχαῖς ἐμποδίζοντες.

« Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ. » — Σχῆμα καὶ τοῦτο τῆς παλαιᾶς γραφῆς· ἀντὶ γὰρ τοῦ εἰπεῖν ὅτι Τοῦ Θεοῦ μου ἄμωμος ἡ ὁδὸς, εἶπεν ὅτι. « Ὁ Θεός μου, ἄμωμος ἡ ὁδὸς αὐτοῦ. » Ὁδὸς δὲ Θεοῦ ἡ ἀρετὴ πρὸς αὐτὸν ἀνάγουσα· χρὴ γοῦν ἄμωμον εἶναι καὶ τὸν δι' αὐτῆς ὁδεύοντα. Ἢ καὶ περὶ τοῦ Σωτῆρος ὁ λόγος· ὁδεύσας γὰρ τὸν βίον, ἁμαρτίαν οὐκ ἐποίησεν.

« Τὰ λόγια Κυρίου πεπυρωμένα. » — Ἀληθινὰ καὶ καθαρὰ ψόγου παντὸς, ὡς τὸ κεχωνευμένον χρυσίον· καὶ ἀλλαχοῦ γὰρ εἴρηκεν· « Τὰ λόγια Κυρίου λόγια ἁγνὰ καὶ ἀργύριον πεπυρωμένον.

« Ὑπερασπιστής ἐστι πάντων τῶν ἐλπιζόντων ἐπ' αὐτόν. » — Ἐπαγγελλόμενος γὰρ βοηθεῖν οὐ ψεύδεται·

« Ὅτι τίς Θεὸς παρὲξ τοῦ Κυρίου; » — Τὸ ὅτι παρέλκον ἐνταῦθα ἢ ἀντὶ τοῦ, Ἐπειδὴ τίς ἄλλος, φησὶ, Θεὸς παρὲξ τοῦ Κυρίου τουτέστι τοῦ Πατρός.

« Ἢ, τίς Θεὸς πλὴν τοῦ Θεοῦ ἡμῶν; » — Θεὸν ἐνταῦθα τὸν Υἱὸν ἐκάλεσεν. Ἡμῶν δὲ εἰπὼν συνέταξεν ἡμῖν ἑαυτοῖς τοῖς πιστοῖς· οἷα προγνοὺς τὸ ἐντελὲς τῆς πίστεως·

« Ὁ Θεὸς ὁ περιζωννύων με δύναμιν. » — Τοῦτο περὶ τοῦ ἁγίου Πνεύματος. Εἰ δὲ καὶ τοὺς τρεῖς στίχους ἐκ παραλλήλου τὸ αὐτό φησί τις ἑρμηνεύειν οὐδὲν ἀπεικός· « περιζωννύων δέ με δύναμιν ἐν πολέμοις. »

« Καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μου. » — Διὰ τῶν ἐντολῶν ἠρίθμησε τὴν κατὰ τὸν βίον ἀναστροφήν μου. Ἢ καὶ περὶ τοῦ Σωτῆρος ὁ λόγος προσώπῳ τῆς Ἐκκλησίας τῶν πιστῶν. Ὅτι ἐξωμάλισέ μοι τὴν

A ὁδὸν διὰ τῆς ἑαυτοῦ μωρίας καὶ ἄμωμον ἀπειργάσατο.

« Καταρτιζόμενος τοὺς πόδας μου ὡσεὶ ἐλάφου. » — Εὐτρεπίζων, τελειῶν εἰς δρόμον ἐν καιρῷ φυγῆς.

« Καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με. » — Καὶ εἰς τὰ ὄρη σώζων με καὶ ἱστῶν καὶ παύων τοῦ δρόμου δίκην τῶν φευγουσῶν ἐλάφων, καὶ ἀναβαινουσῶν εἰς τὰ ὄρη, καὶ τῇ ἀπαλλαγῇ τοῦ δέους ἱσταμένων καὶ ἀναπνεουσῶν. Ἢ γὰρ καὶ δρομικώτατόν με ποιῶν, ὥστε φυγεῖν τοὺς ἑλεῖν ζητοῦντας δαίμονας καὶ ἐπὶ τὸ ὕψος τῶν ἀρετῶν ἀνάγων.

« Διδάσκων χεῖράς μου εἰς πόλεμον. » — Αὐτός μοι καὶ τὴν σύνεσιν τῆς πολεμικῆς ἐμπειρίας δέδωκεν, οὐ μόνον τῆς κατὰ τῶν ὁρωμένων ἐχθρῶν, ἀλλὰ καὶ τῆς κατὰ δαιμόνων· ὡς εὖ μὲν τὸν θυρεὸν
B τῆς πίστεως, εὖ δὲ τὴν μάχαιραν τοῦ Πνεύματος μεταχειρίζεσθαι καὶ διὰ τῶν πρακτικῶν ἀρετῶν, αἳ δηλοῦνται διὰ τῶν χειρῶν καταπολεμεῖν αὐτούς. Εἴη δ' ἂν καὶ ἡ πρὸς Θεὸν τῶν χειρῶν ἔκτασις παράταξις κατ' ἐχθρῶν.

« Καὶ ἔθου τόξον χαλκοῦν τοὺς βραχίονάς μου. » — Λείπει τὸ ὡς, ἵν' ᾖ ὡς τόξον χαλκοῦν, τουτέστι στεῤῥοὺς καὶ μὴ κάμνοντας ἐν ταῖς ἀφέσεσι τῶν βελῶν.

« Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας. » — Ἀντίληψιν οὐκ ἀνόνητον, ἀλλὰ σώζουσαν.

« Καὶ ἡ δεξιά σου ἀντελάβετό μου. » — Εἰώθασι γὰρ οἱ ἀντιλαμβανόμενοι τῇ δεξιᾷ χρῆσθαι, χειριδραστικωτέρα γὰρ αὕτη καὶ δυνατωτέρα καὶ ἐπιτηδειοτέρα τῆς λαιᾶς, ἢ καὶ δεξιὰν οἰητέον τὸν ἐνανθρωπήσαντα δημιουργὸν τῆς κτίσεως, ὃς ἀντελάβετο
C τῆς φύσεως ἡμῶν.

« Καὶ ἡ παιδεία σου ἀνώρθωσέ με εἰς τέλος. » — Νοήσεις παιδείαν τὸν παιδαγωγὸν νόμον, δι' οὗ κατηρτίσθη παντελῶς εἰς ἀρετήν. Ἢ καὶ παιδείαν Θεοῦ λέγει τοὺς κατὰ παραχώρησιν Θεοῦ παιδείας ἕνεκεν ἐπενεχθέντας πειρασμούς· ἀμφοτέρωθεν γάρ με, φησὶν, ὠφέλησας, τοῦτο μὲν ἀντιλαμβανόμενος, τοῦτο δὲ παραχωρῶν πειράζεσθαι·

« Καὶ ἡ παιδεία σου αὐτή με διδάξει. » — Καὶ ἔτι με διδάξεις καὶ παιδεύσεις, ὡς παῖδα σόν· ἐν θλίψει γὰρ, φησὶ, μικρὸν ἡ παιδεία σου ἡμῖν. εὐπραγοῦντες μὲν ἀποῤῥαθυμοῦμεν, θλίψεσι δὲ περιπίπτοντες ἐκ περιστάσεως διεγειρόμεθα καὶ σωφρονέστεροι γινόμεθα.

« Ἐπλάτυνας τὰ διαβήματά μου ὑποκάτω μου. »
D — Ἐπλάτυνας περιελὼν τὰς παγίδας καὶ τὰ θήρατρα, ὧν ἐν μέσῳ διαβαίνων ἐστενοχωρούμην· καὶ νῦν ἐκτὸς φόβου βαδίζω, μηδενὸς ἐνεδρεύοντος.

« Καὶ οὐκ ἠσθένησαν τὰ ἴχνη μου. » — Πρότερον μὲν γὰρ φεύγων τοὺς ἐχθροὺς, ἐπιπολαίως ἐπάτουν τὴν γῆν, ἀμυδρὰ ποιούμενος ἴχνη, διὰ τὸ σπεύδειν μὴ γνωρίζεσθαι ταῦτα τοῖς καταδιώκουσι, μή τί γε τούτοις ἕψονται· νῦν δὲ στερεῶς βαίνων, μηδένα δειλῶς. Εἴη δ' ἂν καὶ ἀπὸ τῆς Ἐκκλησίας ὁ λόγος εὐχαριστούσης ὅτι πλατύνεται ἡ ὁδὸς αὐτῆς πολλῶν καθημέραν ὁδευόντων· καὶ οὐκ ἀμαυροῦται τὰ χαράγματα τῆς εὐαγγελικῆς πολιτείας, ἀλλ' αὔξει καὶ λάμπει διὰ τῆς συνεχείας τῶν πολιτευομένων.

OCR ABK / FR

« Καταδιώξω τοὺς ἐχθρούς μου, καὶ καταλήψομαι αὐτούς. » — Ἀπὸ τῶν προλαβόντων θαυμασίων πληροφορηθεὶς καὶ περὶ τῶν μελλόντων φησίν, ὡς Εἰ πάλιν ἐχθροί μού τινες γένωνται, καὶ τούτους καταδιώξω, μὴ δυναμένους ἀντιστῆναι, καὶ οὐδὲ τὰς χεῖράς μου διαδράσουσιν.

« Καὶ οὐκ ἀποστραφήσομαι ἕως ἂν ἐκλείπωσιν. » — Καταλαβὼν δὲ αὐτοὺς οὐκ ἀναζεύξομαι, φεὶς ὡς ἡττηθέντας ἤδη, ἀλλ' ἄρδην πάντας διαφθερῶ.

« Ἐκθλίψω αὐτούς, καὶ οὐ μὴ δύνωνται στῆναι. » — Εἰπὼν ὅτι « καταδιώξω τοὺς ἐχθρούς, » λέγει καὶ τὸν τρόπον· ἀναγκάσω γὰρ αὐτούς, στενοχωρῶν καὶ πιέζων πάντοθεν· καὶ οὐ μὴ δυνηθῶσι στῆναι κατὰ πρόσωπον εἰς παράταξιν.

« Πεσοῦνται ὑπὸ τοὺς πόδας μου. » — Καταλαμβανόμενοι δὲ καὶ ἐν ἀφύκτῳ ὡσὰν νοούμενοι πεσοῦνται καθικετεύοντες. B

« Καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον. » — Πάλιν τὰς γινομένας εὐεργεσίας τὰς γεγενημένας καταλέγει.

« Συνεπόδισας πάντας τοὺς ἐπανισταμένους ἐπ' ἐμὲ ὑποκάτω μου. « — Ἐμποδίσας, κατέλαβες.

« Καὶ τοὺς ἐχθρούς μου ἔδωκάς μοι νῶτον. » — Δηλαδὴ νωτίζοντας, ὅ ἐστι φεύγοντας. οἱ γὰρ φεύγοντες τὰ νῶτα στρέφοντες, νῶτα δὴ λέγονται. ἢ λείπει τὸ γενομένους, ἵν' ᾖ, νῶτον γενομένους ἐν τῷ μεταστραφῆναι· ἢ λείπει τὸ εἰς ἵν' ᾖ, εἰς νῶτον εἰσβάλλειν ἀφυλάκτως αὐτούς.

« Καὶ τοὺς μισοῦντάς με ἐξωλόθρευσας. » — Ἐκ γῆς παντελῶς ἐθέρισας.

« Ἐκέκραξαν, καὶ οὐκ ἦν ὁ σώζων, πρὸς Κύριον, καὶ οὐκ εἰσήκουεν αὐτῶν. » — Ἐκέκραξαν εἰπὼν ἐπήγαγε καὶ πρὸς τίνα· καὶ γὰρ διὰ τὰς ἁμαρτίας αὐτῶν οὐκ εἰσηκούσθησαν. C

« Καὶ λεπτυνῶ αὐτοὺς ὡσεὶ χοῦν κατὰ πρόσωπον ἀνέμου. » — Ἀφανίσω αὐτοὺς ὡσεὶ χοῦν λεπτυνόμενον ἐνώπιον ἀνέμου· καὶ γὰρ ὁ ἄνεμος ἐπ' εὐθείας ἐμπίπτων ἀποκρίνει τῆς γῆς τὸν χοῦν ὡς λεπτότητα καὶ κουφότητα.

« Ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς. » — Λεανῶ, τουτέστι καταπατήσω· καὶ γὰρ ἐν ἀγοραῖς πηλὸς καταπατούμενος λεαίνεται. Ἀπὸ τοῦ ἑπομένου τοίνυν ἐδήλωσε τὸ προηγούμενον. Πλατεῖα δὲ ἡ λεωφόρος, ἐπεὶ καὶ ἁμαξιτός. Πλατεῖα δὲ πρὸς σύγκρισιν τῆς ἀτραποῦ στενωτάτης οὔσης.

« Ῥῦσαί με ἐξ ἀντιλογιῶν λαοῦ. » — Ἀνώτερόν με ποιήσης τῆς ἀντιλογίας τοῦ ὑποτεταγμένου μοι λαοῦ τρέμοντος ὡς βασιλέα, καὶ μὴ τολμῶντος ἀντιλέγειν τοῖς ἐμοῖς προστάγμασιν. D

« Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν. » — Οὐ μόνον πᾶσαν ἀντιλογίαν τῶν ὑπηκόων μοι περιελεῖς Ἰουδαίων, ἀλλὰ καὶ ἔθνη ὑποτάξεις μοι. Ἁρμοδιώτερον δὲ πρὸς Χριστὸν ἀνάγειν ἐντεῦθεν λέγοντα πρὸς τὸν Πατέρα κατὰ τὸ ἀνθρώπινον, ὅτι Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν, κατὰ τό, « Δώσω σοι ἔθνη τὴν κληρονομίαν σου· » τοῦ γὰρ πρὶν οἰκείου λαοῦ μὴ δεξαμένου αὐτόν, ἀλλ' ἀπιθοῦντος καὶ ἀντιλέγοντος καὶ τέλος ἀνελόντος τὸν Δεσπότην, ἐρράσθη μὲν αὐτῶν, περιστρέψας αὐτοῖς τὸν θάνατον, καὶ ἀναστάς, καὶ οὕτω διαδρὰς αὐτοὺς κατασφαλισαμένους τὸν τάφον. Εἰς τὰ ἔθνη δὲ ἐβασίλευσε, τὴν ἑκούσιον ὑποταγὴν δούτων δεξάμενος. A

« Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι. » — Λαὸς δ ἐξ ἐθνῶν, ἀγνοούμενός μοι πρὶν ὡς ἀγνοῶν με· γινώσκει γὰρ ὁ Κύριος τοὺς αὐτὸν γινώσκοντας.

« Εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι. » — Ἐν ἀκοῇ ὠτίου παρεδέξατό μου τὸ Εὐαγγέλιον.

« Υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι. » — Ταυτὸ τὸ ῥητὸν ἀπὸ τοῦ προφήτου νοήσωμεν καθαπτομένου τῶν Ἰουδαίων ὡς ψευδομένων τὸ γένος· ἐπιγράφονται γὰρ ἑαυτοῖς πατέρα τὸν Ἀβραὰμ καὶ τὸν Δαυΐδ, ἐναντία τούτοις ἐπιτηδεύοντες. Καὶ υἱοὺς μὲν αὐτοὺς λέγει διὰ τὸ ἐξ αὐτοῦ κατάγεσθαι, ἀλλοτρίους δὲ διὰ τὴν τῶν τρόπων ἀνομοιότητα.

« Υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. » — Ἠτιμώθησαν, ἄχρηστοι γεγόνασι δίκην σκευῶν πεπαλαιωμένων διὰ τῆς πονηρίας αὐτῶν. Ἐχώλαναν δέ, τουτέστι παρεστράπησαν ἀπὸ τῆς διὰ τῶν ἐντολῶν ὁρισθείσης αὐτοῖς ὁδοῦ· τοῦ χωλοῦ γὰρ ἡ πορεία παρετετραμμένη διὰ τὴν παρτροπὴν τῶν ἁρμονιῶν.

« Ζῇ Κύριος. » — Τοῦτο περὶ τῆς ἀναστάσεως ὁ Δαυΐδ προαναφωνεῖ τοῖς ὑπολαμβάνουσι τεθνάναι τὸν Χριστόν, Ἰουδαίοις βοῶν ὅτι ζῇ· ἀνέστη γάρ.

« Καὶ εὐλογητὸς ὁ Θεός. « — Ἄξιος γὰρ καὶ εὐλογεῖσθαι, εὐφημεῖσθαι.

« Καὶ ὑψωθήτω ὁ Θεὸς τῆς σωτηρίας μου. » — Ἐπισπεύδει αὐτὸν εἰς τὴν ἀνάληψιν ὅπως ἀπελθὼν πέμψῃ τὸν Παράκλητον τοῖς ἀποστόλοις, μέλλουσιν ὁδεύειν ἐπὶ τὸ κήρυγμα. Ἀλλὰ πάλαι μὲν ἦν ὁ Υἱὸς Θεὸς πλάσεως, νῦν δὲ Θεὸς ἀναπλάσεως, ἤτοι σωτηρίας. Τὴν δὲ ἀντωνυμίαν προσέθη μὲν κοινωνούμενος ἑαυτῷ τὰ ἡμέτερα. ἔστι δὲ καὶ ἄλλως, κατὰ τὴν τοῦ Δαυΐδ ὑπόθεσιν, εἰπεῖν ὅτι Κύριος, τουτέστιν ἀΐδιός ἐστι, μήτε ἀρχὴν μήτε πέρας ἔχων, ἀλλὰ ὢν ἀεί· παραμίγνυσι γὰρ ἔστιν οὗ καὶ δόγματα τοῖς λόγοις ὁ προφήτης διὰ τὴν τῶν ἐντυγχανόντων ὠφέλειαν. Εὐλογητὸς δὲ ὁ Θεὸς δι' ἃ ἐποίησε θαυμάσια. Ὑψωθήτω δὲ ἀντὶ τοῦ μέγας λογισθήτω ἡμῖν.

« Ὁ Θεὸς ὁ διδοὺς ἐκδικήσει ἐμοὶ καὶ ὑποτάξας λαοὺς ὑπ' ἐμέ. » — Ἐκδικήσεις κατὰ τῶν ἐχθρῶν· Ὑποτάξας δὲ τοὺς διὰ τὸν Σαοὺλ πολεμοῦντάς μοι Ἰουδαίους· οἳ καὶ ἄκοντες νῦν, ὡς βασιλεῖ μοι, ὑπέκυψαν. Ἐπὶ δὲ τοῦ Χριστοῦ νοήσεις ἐκδικήσεις κατὰ τῶν Ἑβραίων ἐξ ὀλοθρευθέντων ὑπὸ Ῥωμαίων, ὑποταγὴν δὲ λαῶν τὴν τῶν ἐξ ἐθνῶν.

« Ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου ὀργίλων. » — Εὐχαριστία ταῦτα πρὸς τὸν Θεόν, πάντα εἰς εὐθεῖαν μὲν μετασχηματισθέντα, κλητικὴν δὲ δύναμιν ἔχοντα· ἐχθροὺς δὲ ὀργίλους λέγει τοὺς ἀμφὶ τὸν Σαούλ, μηδέποτε τὴν ὀργὴν ἀπολελοιπότας ἕως περιῆσαν, ἢ νοῦς δαίμονας.

« Ἀπὸ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ ὑψώσεις με. » — Ἃ καὶ προλαβὼν εἶπε, ταῦτα πάλιν φησί, χαίρων ἐπανακυκλεῖν αὐτά, χαρᾶς ὄντα πρόξενα.

« Ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. » — Οἵτινες ἐπαναστήσονταί μοι, κατὰ τοὺς θεραπεύοντας τὸν Σαοὺλ ἀνώτερον θήσει με αὐτῶν, καὶ εἴ τις ἔσται

OCR ABK / FR

μοι κατὰ τὸν Σαοὺλ ἄδικος ἐπιβουλεύων τῷ σώζοντι, A ῥῦσαί με καὶ τούτου.

« Διὰ τοῦτο ἐξομολογήσομαί σοι ἐν ἔθνεσι, Κύριε. » — Διότι τοιοῦτος εἶ οἷον ἐμὸς ἐξύμνησε λόγος, εὐχαριστήσω σοι ἐν πᾶσι τοῖς ἔθνεσι. Καὶ μέντοι τοῦτο πεποίηκε διὰ τῆς βίβλου τῶν οἰκείων ψαλμῶν ἐν πᾶσιν ἔθνεσιν ἀναπτυσσομένου.

« Καὶ τῷ ὀνόματί σου ψαλῶ. » — Δηλαδή σοι κατὰ τὸ, « Ψαλῶ σοι ἐν κιθάρᾳ. »

« Μεγαλύνων τὰς σωτηρίας τοῦ βασιλέως. » — Τὸ Κύριε προσυπακουστέον ἐνταῦθα, ἵν' ᾖ, Κύριε, ὁ μεγάλας ποιῶν τὰς σωτηρίας μου τοῦ βασιλέως.

« Καὶ ποιῶν ἔλεος τῷ χριστῷ αὐτοῦ. » — Τῷ χρισθέντι ὑπὸ σεαυτοῦ, δηλαδὴ προστάξει σοι.

« Τῷ Δαυῒδ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος. » — Εἰπὼν βασιλέα εἶτα χριστὸν ἐπήγαγε καὶ B τὸ ὄνομα. Τὸ μὲν οὖν θεόθεν ἐλεεῖσθαι προσαρμόσει τοῖς ἐκ γένους τοῦ Δαυῒδ βασιλεύσασιν Ἰουδαίους· τὸ δ' ἕως αἰῶνος ἀνοίκειόν ἐστι· μετὰ γὰρ τὴν ἐξ αἰχμαλωσίας ἐπάνοδον μόνος Ζοροβάβελ ἡγεμονεύσας, οὐ καταλέλοιπε κληρονόμους τῆς ἡγεμονίας. Λείπεται τοίνυν τὸν Ἰησοῦν Χριστὸν σπέρμα τοῦ Δαυῒδ ἐνταῦθα λέγεσθαι, διὰ τὸ ἐκ Δαυῒδ κατάγεσθαι τὴν αὐτοῦ μητέρα, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Διὸ καὶ ὁ Εὐαγγελιστὴς εἴρηκε· « Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαυῒδ· » ποιῶν δὲ αὐτῷ ἔλεος ὁ Λόγος καὶ Θεὸς ὡς ἡνωμένος αὐτῷ καὶ τεθεωκώς.

## ΨΑΛΜΟΣ ΙΗ'.

« Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυΐδ. » — Εἰς τὸ τέλος C καὶ οὗτος ὁ ψαλμός, ὅτι γηραιὸς γενόμενος τοῦτον συνέταξεν, εἰς τέλος ζωῆς ἤδη βλέπων, ἢ ὅτι προαναφωνεῖ πρᾶγμα εἰς τέλος ἀποβησόμενον· ἐπιστομίζει γὰρ τὴν μέλλουσαν τῶν ληρούντων αὐτόματα γενέσθαι τὰ πάντα.

« Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ. » — Αὐτοί, φησίν, οἱ οὐρανοὶ πάντοτε κηρύττουσι τὸ μεγαλεῖον τοῦ Κυρίου, φωνῇ χρώμενοι τῇ ὄψει· ἐκ γὰρ μεγέθους καὶ καλλονῆς κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται. Πᾶς ὁρῶν οὐρανοῦ μέγεθος καὶ κάλλος καὶ σχῆμα καὶ θέσιν καὶ τὰ τοιαῦτα μονονουχὶ διδάσκαλον ἔχων τὴν θέσιν πιστεύει περὶ τῆς δυνάμεως τοῦ Θεοῦ. Οὐρανοὺς δὲ λέγει τὸν ὑπὲρ τὸ στερέωμα, πληθυντικῷ χαρακτῆρι χρησάμενος ἀντὶ ἑνικοῦ, κατὰ τὴν Ἑβραΐδα διάλεκτον ποτὲ μὲν πληθυντικῶς, D ποτὲ δὲ ἑνικῶς ὀνομάζουσαν τὸν οὐρανόν· εἰ γὰρ καὶ ἀφανής ἐστιν, ἀλλ' ἐκ τοῦ στερεώματος ἐκεῖνον συλλογιζόμεθα. Ἢ καὶ μόνον τὸ στερέωμά φησιν ὡς μόνον ὁρώμενον, ὡς εἶναι τὸν δεύτερον στίχον τοῦ πρώτου σαφηνιστικόν.

« Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. » — Εἰ τοῦ πρώτου στίχου τὸν δεύτερον λάβοις ἑρμηνευτικόν, ὃ ἐν ἐκείνῳ κέκληκεν οὐρανούς, τοῦτο εἶπεν ἐν τούτῳ στερέωμα, καὶ διηγοῦνται τοῦτο. Ἀναγγελεῖ καὶ δόξαν, τὴν ποίησιν χειρῶν ἤτοι ἐργασίαν. Συντόμως δὲ εἰπεῖν, τοῦτό φησιν, ὅτι ὁ οὐρανὸς μόνον φαινόμενος αὐτάρκης ἐστὶ διδάσκαλος τῆς τοῦ πεποιηκότος αὐτὸν Θεοῦ μεγαλουργίας· ταύτην γὰρ ὠνόμασε καὶ δόξαν καὶ ποίησιν χειρῶν.

« Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα. » — Εἰ αὐτόματος ὁ κόσμος ἐφέρετο, οὐκ ἂν ἐτήρουν τοὺς οἰκείους ὅρους αἱ ἡμέραι καὶ αἱ νύκτες. Νῦν δὲ τοσοῦτον προνοητής ἐστι τοῦ παντὸς ὡς ὑπὸ τῆς ἄγαν εὐταξίας δοκεῖν τὴν πρώτην ἡμέραν ἀεὶ τὴν ἑξῆς διδάσκειν περὶ τοῦ ὅρου τῆς ἀποκληρωθείσης αὐταῖς τάξεως· τρόπον γάρ τινα ἐρεύγεται αὐτῇ, τουτέστι, μηνύει ῥῆμα, ἤτοι τὸ περὶ τούτου πρόσταγμα τοῦ Θεοῦ.

« Καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. » — Τοῦτο δὲ καὶ ἐπὶ τῶν νυκτῶν ἔσται ἰδεῖν. Γνῶσιν δὲ ἤτοι τὴν διδασκαλίαν περὶ τοῦ ὅρου τῆς τάξεως ὡς μὴ ἀλλήλαις λυμαίνεσθαι, ἀλλὰ καὶ τάξει τινὶ τοῦτο μὲν τὰς ἡμέρας πλεονεκτεῖν, τοῦτο δὲ τὰς νύκτας, τοῦτο δὲ ἰσομοιρεῖν καὶ διὰ πάντων εὐαρμοστεῖν. Ἢ ἐρεύγεται ῥῆμα καὶ ἀναγγέλλει γνῶσιν, ὅτε ἐστὶ πρόνοια Θεοῦ τάξις προνοίας διδάσκαλος.

« Ἄλλως. — Ἡμέρα μὲν ὁ Πατήρ, ἡμέρα δὲ καὶ ὁ Υἱὸς διὰ τὴν αἴγλην τῆς θεότητος. Λέγει δὲ ὁ Πατὴρ τῷ Υἱῷ, καὶ γάρ φησιν· « Ἐγὼ ἐξ ἐμαυτοῦ οὐκ ἐλάλησα, ἀλλ' ὁ πέμψας με Πατὴρ....... μοι ἐντολὴν δέδωκε τί εἴπω καὶ τί λαλήσω. » Νὺξ δὲ πάλιν ὁ Χριστὸς, κατὰ τὴν ἀνθρωπότητα πρὸς σύγκρισιν τῆς θεότητος, καὶ ἀναγγελεῖ τῇ νυκτὶ, τουτέστι τοῖς ἀνθρώποις, θεογνωσίαν.

Ἄλλως. — Ἔγγισον τῷ Ἰορδάνῃ, καὶ εὑρήσεις τὸ ζητούμενον· ἡμέρα γὰρ καθὼς φῶς ὁ Πατήρ, ἡμέρα καθὼς φῶς ὁ Υἱὸς ὁ βαπτιζόμενος· ῥῆμα τὸ ἐν μέσῳ τὸ ἅγιον Πνεῦμα, καθότι ἐκείνῳ ἐν εἴδει περιστερᾶς κατέβη. Παῦλος γὰρ ὁ ἀπόστολος λέγει περὶ τοῦ Πνεύματος, « καὶ τὴν μάχαιραν τοῦ Πνεύματος, » ὅ ἐστι ῥῆμα Θεοῦ. Νὺξ δὲ ἡ καταδεεστέρως ὡς πρὸς τὸν Πρόδρομον. Γνῶσις δὲ ἡ ἀναγγελλομένη παρὰ Ἰω. Τοῖς Ἰουδαίοις πίστις εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα.

« Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. » — Ἐρωτηματικῶς ἀναγνωστέον, ὡς ἂν εἴη λέγοντος τοῦ Δαυῒδ, « Ἆρα οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι τῶν ἀψύχων τούτων κτισμάτων; ὧν αὐτῶν οὐδὲ φωναὶ ἀκούονται· μὴ ἀκουομένης γὰρ τῆς αὐτῶν φωνῆς παρὰ τὸ μὴ εἶναι, δῆλον οὐδὲ λαλιὰ οὐδὲ λόγος ἔσται· μέρη γὰρ ταῦτα τῆς φωνῆς. Οὕτως ἀπορήσας ἐπάγει τὴν λύσιν.

« Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. » Καὶ, φησὶ, τοσοῦτόν εἰσιν, ὅτι καὶ πᾶσα ἡ γῆ πεπλήρωται τοῦ φθόγγου αὐτῶν, καθ' ὃν εἰρήκαμεν τρόπον. Ταυτὸ δὲ δύναται « καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν· » ἐπαλιλλόγησε γὰρ ἐμφάσεως ἕνεκεν· ἐμφαντικὰ γὰρ μήκους καὶ πλάτους τὰ πέρατα, ὥσπερ αὖ καὶ λαλιὰ καὶ λόγος ταυτόν. Ἔθος δὲ τοῖς προφήταις καὶ μάλιστα τῷ Δαυῒδ τὸ αὐτὸ νόημα δι' ἄλλων καὶ ἄλλων ἐκφέρειν ὀνομάτων. Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν ὅτι διδάξας ὁ προφήτης ὡς τὰ δηλωθέντα κτίσματα μονονουχὶ φωνὴν ἀφιᾶσιν ὅτι ἔστι πρόνοια Θεοῦ, διατάττουσα καὶ τὸ πᾶν συνέχουσα, βούλεται προσα-

OCR ABK / FR

γορεῦσαι, ὡς ἄρα ἐν παντὶ ἔθνει ἔσονταί τινες συνιέντες τῆς τοιαύτης τῶν ἀψύχων φωνῆς, καὶ ἀπαγγέλουσι ταύτην διὰ τῆς ἑαυτῶν φωνῆς· διό φησιν, « Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι » διαλέκτου τινὸς ἐθνικῆς, δι' ὧν οὐχὶ ἀκούονται, τουτέστιν, ἀπαγγέλλονται ἁπλωθεῖσαι τῶν κτισμάτων ἀλάλητοι φωναί. Τοῦτο δὲ τελέσεται· πανταχοῦ γὰρ τῆς γῆς ἐν παντὶ ἔθνει οἱ συνιέντες ἀπαγγέλλουσιν· Ἔστι πρόνοια Θεοῦ. Ἐπὶ μέντοι τοῦ παρόντος νοήματος, τὸ ἀκούονται ἀντὶ τοῦ ἀκουσθήσονται νοήσωμεν κατ' ἀντιχρονίαν, ἢ καὶ τῷ ἐνεστῶτι ἐχρήσατο διὰ τὴν προφητείαν ὡς ἤδη γινόμενα τὰ μέλλοντα βλέπουσαν.

« Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ. » — Ὁ μὲν νοῦς τοῦ ῥητοῦ τοιοῦτός ἐστιν, ὅτι τῷ ἡλίῳ ἔταξεν ὁ Θεὸς κατοικίαν ἐν τῷ οὐρανῷ· φησὶ γὰρ Μωϋσῆς περὶ τῶν δύο φωστήρων τῶν μεγάλων, ὅτι καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς. Ἔδοξε δὲ τοῖς πολλοῖς ἀσύντακτον. Ἡμεῖς δὲ μετὰ τὸ σκήνωμα ὑποστίζοντες καὶ τὸ αὐτὸ νοοῦντες μὴ ἀντωνυμικῶς, ἀλλ' ἐπιῤῥηματικῶς, εὐχερῶς συντάττομεν· οἷον ἔθετο καὶ ὥρισται τῷ ἡλίῳ τὸ σκήνωμα καὶ τὴν κατοικίαν αὐτοῦ, ὅ ἐστιν ἐκεῖ, δηλονότι ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, περιττῆς κειμένης τῆς ἐν προθέσεως ὡς καὶ ἄλλα πολλὰ ἐν ἄλλοις ῥητοῖς παρατετηρήκαμεν. Καὶ ὁ ἥλιος τοίνυν μὴ ἀπολιμπάνων ποτὲ τὸ ἀφωρισμένον αὐτῷ σκήνωμα, τὸν οὐρανόν, κῆρυξ γίνεται τῆς τοῦ Θεοῦ δόξης καὶ προνοίας.

« Καὶ αὐτὸς ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ. » — Λείπει τὸ ἐστίν. C Ὡραῖός ἐστι, φησί, τῷ κάλλει τῶν ἀστραπτουσῶν ἀκτίνων δίκην νυμφίου προβαίνοντος ἀπὸ τοῦ θαλάμου.

« Ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν αὐτοῦ. » — Κἀνταῦθα νενοήκαμεν ἀντιχρονίαν· χαίρει γὰρ δραμεῖν τὴν ἀποκεκληρωμένην αὐτῷ πορείαν ὡς γίγας τῇ δυνάμει τεθαῤῥηκώς, τουτέστιν ἀδάμας ἐστὶν ἀεὶ τοσούτους ἐνιαυτοὺς δουλεύων τῷ τοῦ Θεοῦ προστάγματι. »

« Καὶ οὐκ ἔστιν ὃς ἀποκρυβήσεται τὴν θέρμην αὐτοῦ. » — Ὡς τόπος ἢ ὡς ἄνθρωπος· καὶ διὰ τοῦ τόπου μὲν τὰ ὄντα, διὰ τοῦ ἀνθρώπου δὲ τὰ ζῶντα συμπεριέλαβε· τοῦτο γὰρ τὸ θαυμασιώτατον, ὅτι τῷ αὐτοῦ ἀποστήματι καὶ φωτίζει καὶ θερμαίνει. Τὸ δὲ παρ' ἡμῖν πῦρ φωτίζει μὲν πόῤῥωθεν, οὐ θερμαίνει δέ, εἰ μὴ πλησιάσειε· D οὕτως ἐπαινέσας καὶ τὸ κάλλος αὐτοῦ καὶ τὴν ῥώμην, καὶ τὸν δρόμον αὐτοῦ καὶ τὴν χρείαν δείκνυσι, κἀντεῦθεν τοῦ πεποιηκότος αὐτὸν τὴν φιλότιμον ἰσχύν. Ἀλλ' ἡ μὲν εὐθὴς ἐξήγησις τῶν ῥητῶν αὕτη· τινὲς δὲ εἰς ἀλληγορίαν ἐμβάλλοντες αὐτά, φασὶν οὐρανὸν μὲν εἶναι τὰ οὐράνια τῶν ἀσωμάτων τάγματα διὰ παντὸς τὸν Θεὸν δοξάζοντες, ὡς Ἰεζεκιὴλ καὶ Ἡσαΐας ἤκουσαν, ἢ τοὺς ὑπερκειμένους τῶν γηΐνων ἀνθρώπων καὶ διὰ τῆς θεωρητικῆς φιλοσοφίας εἰς οὐρανὸν ἀνατεταμένους· στερέωμα δὲ τοὺς στερεουμένους διὰ τῆς πρακτικῆς ἄνδρας καὶ ἀῤῥήτους ταῖς τῶν πειρασμῶν προσβολαῖς· ἡμέραν δὲ πάλιν τὰς φω-

A τεινὰς δυνάμεις τῶν ἀσωμάτων· φῶτα γὰρ οὗτοι δεύτερα λέγονται· διαπορθμευούσας ἀλλήλαις τὰ θεῖα προστάγματα· νύκτα δὲ τοὺς ἀνθρώπους διὰ τὸν ἐπιπροσθοῦντα τῇ ψυχῇ ζόφον τῆς σαρκικῆς παχύτητος· καὶ τὰ ἑξῆς ἀκολούθως· τὸ δὲ « Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, » ὁ μέγας Παῦλος ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ εὐκαίρως ἐπὶ τοὺς εὐαγγελιστὰς καὶ ἀποστόλους τοῦ Χριστοῦ μετήγαγε καὶ προσήρμοσε. Τὸ δέ, « Ἐν τῷ ἡλίῳ ἔθετο τὸ σκήνωμα αὐτοῦ, » τοιουτοτρόπως ἀλληγοροῦσιν· ὡς ὁ Χριστὸς ἐν τῷ ἀνθρώπῳ οἰκεῖ τῷ λάμποντι ταῖς ἀρετῶν ἀκτῖσιν· « Ἐγὼ γάρ, φησί, καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν· » ἢ καὶ σκήνωμα τοῦ Χριστοῦ ἡ προσληφθεῖσα ἀνθρωπότης· ἣν οἰκήσας ἔθετο ἐν τῷ B φωτί, πολιτευόμενος ὑπὸ τὸν ἥλιον καὶ φανερῶς βιῶν καὶ αὐτὸς ὡς νυμφίος· « Ὡραῖος γάρ, φησίν, κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, » οἷάπερ λελαμπρυσμένος ταῖς τῶν ἀρετῶν ἀκτῖσιν, ἢ χάρις, ὃς καὶ ἠγαλλιάσατο δραμεῖν ὑπὲρ ἡμῶν τὴν ἐπὶ θάνατον. Ἀπ' ἄκρου δὲ τοῦ οὐρανοῦ κατιὼν εἰς αὐτὸ πάλιν ἐπανῆλθεν. Οὐδεὶς ἀποκρυβήσεται τῆς θέρμης τῶν λόγων αὐτοῦ· καὶ οἱ μὲν θαλφθήσονται, οἱ δὲ καὶ θήσονται, ὅτι αὐτῷ πᾶν γόνυ κάμψει, κατὰ τὸν Ἀπόστολον.

« Ὁ νόμος τοῦ Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς. » — Ἀρκεῖ, φησίν, εἰς διδασκαλίαν θεογνωσίας καὶ ὁ ἄγραφος νόμος, διὰ μεγέθους καὶ κάλλους καὶ εὐταξίας τῶν κτισμάτων λαλῶν. Νῦν δὲ καὶ γραπτὸν δέδωκε δι' οὗ καταμάθοι τις τὴν αὐτοῦ καὶ πρόνοιαν καὶ σοφίαν. Διαφόροις δὲ ὀνόμασι καλεῖ τὸν νόμον· νόμος μὲν γὰρ ὡς ῥυθμίζων τὴν πολιτείαν· μαρτύρια δὲ ὡς τοὺς ἁμαρτάνοντας διαμαρτυρούμενος· δικαίωμα δὲ ὡς δικάζων τὸ δίκαιον· ἐντολὴ δὲ ὡς τὸ πρακτέον ἐντελλόμενος· φόβος δὲ ὡς ἀδυσώπητος· κρίματα δὲ ὡς ψήφους ἐκφέρων, ὡς προλαβόντες πλατύτερον εἰρήκαμεν ἐν τῷ ιζ' ψαλμῷ. Ὁ νόμος Κυρίου ἄμωμος, ἐπιστρέφων ψυχάς· τί γὰρ ἔχοι τις αὐτοῦ μέμφασθαι; ὥστε καὶ εἰς ἐπιστροφὴν ψυχῶν ἐτέθη, διὰ τῶν μικρῶν τὰ μείζω διδάσκων.

« Ἡ μαρτυρία Κυρίου πιστή, σοφίζουσα νήπια. » — Ἀξιόπιστος, ἐπεὶ καὶ παρὰ Θεοῦ. Νήπια δὲ ἢ καθ' ἡλικίαν, ὥσπερ τὸν Δανιὴλ καὶ τοὺς κατ' αὐτόν· ἢ κατὰ ἀμαθίαν ἀνθρωπίνης σοφίας, ἢ κατὰ ἀκακίαν.

Ἄλλως. — Τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι τὸ μαρτυροῦν περὶ τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ· αὐτὸς γὰρ ὁ Κύριος λέγει τοῖς μαθηταῖς αὐτοῦ, περὶ τούτου φάσκων· « Ὅταν ἔλθῃ, φησίν, ὁ Παράκλητος ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρός, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτό, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. » Δηλονότι ἡ μαρτυρία Κυρίου τὸ Πνεῦμα τὸ ἅγιόν ἐστι. Τὸ αὐτὸ δὲ νοῆσαι καὶ ἐν τῷ Ἰορδάνῃ μυστήριον· ἐκεῖ γὰρ ὁ Παράκλητος τὸν Υἱὸν ἐμαρτύρησεν. Ὡσαύτως καὶ ἐν τῷ βαπτισμῷ. Ἐπεὶ οὖν μαρτυρία Κυρίου τὸ Πνεῦμα τὸ ἅγιον ὀνομάζεται, ἔξεστι νοῆσαι νήπια τοὺς ἀποστόλους· οἵτινες πρὸ τοῦ

OCR ABK / FR

A δέξασθαι τὸ Πνεῦμα τὸ ἅγιον, νήπιοι ταῖς φρεσὶν ἐτύγχανον διὰ τὸ ἀτελὲς τούτοις ὑπάρχειν· ὅτε καὶ ἐν τῷ ὑπερῴῳ μετὰ τὴν σωτήριον ἀνάστασιν ἐκαθέζοντο οἱ ἀπόστολοι, κατελθὼν ὁ Παράκλητος τοὺς ἀγραμμάτους καὶ ἁλιεῖς πρώην ὑπάρχοντας σοφωτέρους ῥητόρων καὶ ἁπάντων ἐν φρονήσει θαυμαζομένων ἐπέδειξεν· οὐδὲν παρ' αὐτῶν τὴν ἀντιμισθίαν δεξάμενος, ἢ πίστιν εἰλικρινεστάτην καὶ πόθον. Δύναται δὲ λόγος καὶ εἰς τὰ νήπια ἐκεῖνα ἀναφέρεσθαι, ἅπερ μετὰ βαΐων ὑπαντῶντα τὸν Κύριον ἀνευφήμουν καὶ ἐδόξαζον· καὶ γὰρ οἱ σοφοὶ καὶ οἱ γραμματεῖς οὐ συνῆκαν ποιῆσαι τοῦτον τὸν ἐλαχιστότατον· νήπια γὰρ ὑπὸ τοῦ ἁγίου Πνεύματος σοφισθέντα πεποιήκασιν.

« Τὰ δικαιώματα Κυρίου εὐθέα, εὐφραίνοντα καρδίαν. » — Μηδὲν σκολιὸν ἔχοντα, μᾶλλον μὲν οὖν καὶ B διὰ τοῦ διδάσκειν τὰς καρδίας εὐφραίνοντα· ἢ εὐθέα, ὡς εὐθύτητος δημιουργά.

« Ἡ ἐντολὴ Κυρίου τηλαυγής, φωτίζουσα ὀφθαλμούς. « — Τοὺς τῆς ψυχῆς, δι' αὐτῶν δὲ καὶ τοὺς τοῦ σώματος, ὥστε μὴ βαίνειν εἰς ὁδὸν πονηράν.

« Ὁ φόβος Κυρίου ἁγνός, διαμένων εἰς αἰῶνα αἰῶνος. » — Ἁγνός, ὡς καθαρὸς διαβολῆς· ὁ γὰρ ἀνθρώπινος φόβος διαβέβληται, δειλία καλούμενος· ἢ φόβον ἐνταῦθα τὸν τελειωτικὸν λέγει ὅς μόνος ἐστὶ καθαρός, διὰ μόνον τὸ μὴ ἐκπεσεῖν τῆς τοῦ Θεοῦ οἰκειώσεως συνιστάμενος· ὁ γὰρ στοιχειωτικὸς οὐκ ἔστιν ἁγνός· συνίσταται γὰρ διὰ τὰ οἰκεῖα πλημμελήματα καὶ τούτων εἴρηται· ἢ ἁγνός, ὡς ἁγνείας ποιητικός· οὗτος δὲ οὐκ ἔστι πρόσκαιρος ὡς ἀνθρώπινος ἢ ὡς ὁ στοιχειωτικός, ἀλλ' ὅλῃ τῇ ζωῇ C παρατεινόμενος· τὸ γὰρ διαρκὲς αὐτοῦ νῦν, οἶμαι, δηλοῖ τὸ εἰς αἰῶνα αἰῶνος· ἢ ἁγνὸς μὲν ὅτι κάθαρσις ἐπιγίνεται, διαμένων δὲ ὅτι ἐκεῖνος μὲν ἄχρι καθάρσεως φθάνων, ἐκβάλλεται διὰ τῆς ἀγάπης· οὗτος δὲ ἀντεισαχθεὶς συνδιαιωνίζει.

« Τὰ κρίματα Κυρίου ἀληθινά. » — Ἀληθινὰ ὡς μόνα κυρίως ἀπλανῆ, πρὸς ἀντιδιαστολὴν τῶν ἀνθρωπίνων κριμάτων ἃ πεπλάνηται ὅσον πρὸς τὴν ἄκραν ἀκρίβειαν διὰ τὴν τοῦ νοῦ ἀσθένειαν.

« Δεδικαιωμένα ἐπὶ τὸ αὐτό. » — Ἐν ταυτῷ δὲ δίκαια· τὸ γὰρ κυρίως ἀληθὲν ἅμα καὶ δίκαιόν ἐστιν·

« Ἐπιθυμητὰ ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν. » — Ὑπὲρ τὰ παρ' ἀνθρώποις δοκοῦντα τίμια τῶν ὅλων· ὁ γὰρ ὀρέξεως τούτων ἀποστὰς τῶν τοῦ D Θεοῦ κριμάτων ἀκορέστως ἐπιθυμήσει, τουτέστι τοῦ θείου νόμου.

« Καὶ γλυκύτερα ὑπὲρ μέλι καὶ κηρίον. » — Ὑπὲρ τὸν σίμβλον ὅπερ ἥδυτατόν ἐστιν εἰς ὄψιν καὶ γεῦσιν. Διὰ δὲ τῶν τιμιωτέρων ὅλων καὶ τοῦ ἡδυτέρου βρώματος ἐνέφηνε τὴν ἐπιθυμίαν καὶ γλυκύτητα τῶν θείων κριμάτων.

« Καὶ γὰρ ὁ δοῦλός σου φυλάσσει. » — Περὶ αὐτοῦ τοῦτο εἶπεν· ἢ ὅτι πᾶς ὅς ἐστι δοῦλός σου κατὰ τὴν ἀπὸ τῆς ἀρετῆς διάθεσιν ἐξ ἀνάγκης φυλάσσει αὐτά· δηλαδὴ τὰ προρρηθέντα πάντα· φυλάσσει δὲ ἀντὶ τοῦ φιλεῖ καὶ ἐνεργεῖ.

« Ἐν τῷ φυλάσσειν αὐτὰ ἀνταπόδοσις πολλή. » — Οὐκ ἐν τῇ μελλούσῃ ζωῇ μόνον, ἀλλὰ καὶ ἐν τῇ παρούσῃ.

« Παραπτώματα τίς συνήσει; » — Ἐπεὶ ἡ τούτων φυλακὴ δι' ἀποχῆς γίνεται πλημμελημάτων. Τοῦτο δὲ δυσκατόρθωτον εἰκότως διαπορεῖ· τίς οὕτως ἔσται συνετός, λέγων, εἰς διάκρισιν τῶν πλημμελημάτων, ὥστε μὴ περιπίπτειν αὐτοῖς; τινὰ γὰρ αὐτῶν λεπτὰ καὶ λανθάνοντα καὶ μᾶλλον τὰ κατὰ ψυχὴν συνιστάμενα.

« Ἐκ τῶν κρυφίων μου καθάρισόν με. » — Κρύφια λέγει ἢ τὰ ἐν κρυφῇ πραττόμενα πλημμελήματα, ἢ τοὺς κατὰ διάνοιαν συνισταμένους αἰσχροὺς λογισμούς, περὶ ὧν ἱκετεύει θερμῶς· οὗτοι γὰρ ὅσον εἰσὶν ἀφανεῖς, τοσοῦτον καὶ δυσκαταγώνιστοι, κατὰ πᾶσαν ἄδειαν μολύνοντες· τῶν γὰρ φανερῶν ἁμαρτημάτων περιγενήσεταί τις, εἰ μὴ παντὶ ἐκδεδίκηται· ἢ κρυφίων νοήσεις τῶν ἐν ἀγνοίᾳ ἡμαρτημένων.

« Καὶ ἀπὸ ἀλλοτρίων φεῖσαι τοῦ δούλου σου. » — Καὶ ἐν τοῖς ἀλλοτρίοις ἁμαρτήμασιν φεῖσαί μου· ἐνέχεται γὰρ καὶ βασιλεὺς ἁμαρτίαις ὑπηκόων, καὶ ἀρχιερεὺς ταῖς τοῦ λαοῦ, καὶ πατὴρ τῶν παίδων, καὶ δεσπότης ταῖς τῶν δούλων· ὅταν ἐξ ἀμελείας αὐτῶν οὗτοι ἁμαρτάνωσιν· ἢ καὶ ἀλλοτρίων λέγει τῶν τυχηρῶν παραπτωμάτων· ἃ μὴ κατὰ προαίρεσιν, ἀλλὰ περίστασιν γίνονται· ἢ ἀλλοτρίων νοήσεις τῶν ἐχθρῶν, εἴτε ὁρατῶν εἴτε ἀοράτων.

« Ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι. » — Ἐὰν ἐνταῦθα μὴ νικήσωσι, τότε τὸ τέλειον ἕξω· νῦν γὰρ εἰ καὶ φύλαξ εἰμὶ τοῦ νόμου, ἀλλὰ ταῦτα πεφόβημαι.

« Καὶ καθαρισθήσομαι ἀπὸ ἁμαρτίας μεγάλης. » — Μεγάλην ἁμαρτίαν τὰ εἰρημένα καλεῖ, εἰ καί τισι δοκοῦσιν εὐκαταφρόνητα· καὶ ὁ κατὰ διάνοιαν γὰρ μολυσμὸς διώκει τὴν χάριν τοῦ Πνεύματος, καὶ τὸ παρορᾶν τοὺς ὑπὸ χεῖρα πλημμελεῖν τῆς ἴσης αὐτοῖς ἐστι καταδίκης ἢ καὶ μείζονος ἄξιον.

« Καὶ ἔσονται εἰς εὐδοκίαν τὰ λόγια τοῦ στόματός μου. » — Τότε, φησίν, ἔσονται καὶ οἱ λόγοι τῆς προσευχῆς μου εἰς εὐαρέστησιν, καὶ προσδέξῃ τούτους, ὅτε καὶ ἀπὸ τῶν εἰρημένων καθαρισθῶσιν.

« Καὶ ἡ μελέτη τῆς καρδίας μου ἐνώπιόν σου διαπαντός. » — Ἔσται δῆλον ὅτι· εἰ γὰρ καὶ μὴ ἀπομάθῃ μελετᾶν αὐτὴ τὰ αἰσχρά, οὐκ ἂν τὰ σὰ μελετήσοι καὶ οἷς χαίροις αὐτός.

« Κύριε, βοηθέ μου καὶ λυτρωτά μου. » — Σὺ γάρ μοι βοηθήσεις λυτρωθῆναι καὶ λυτρώσεις τῶν εἰρημένων· ἢ Κύριε ὁ βοηθῶν μοι ἐν οἷς κατορθῶ, καὶ λυτρούμενος ἐν οἷς περιπίπτω· τὸ μέντοι, « Ἐκ τῶν κρυφίων μου καθάρισόν με, » καὶ τὰ ἑξῆς ἅπαντα πᾶσι πιστοῖς ἁρμόζουσι λέγεσθαι.

## ΨΑΛΜΟΣ ΙΘ'.

« Εἰς τέλος ψαλμὸς τῷ Δαυίδ. » — Εἰς τὸ τέλος καὶ οὗτος· ὡς προαγορεύων τὰ μέλλοντα τέλος λαβεῖν ἐπὶ Ἐζεκίου βασιλέως· τοῦ γὰρ Ἀσσυρίου Σενναχηρεὶμ διὰ Ῥαψάκου τὰ βλάσφημα ἐκεῖνα μηνύσαντος, περιαλγήσας Ἐζεκίας ἔδραμεν εἰς τὸν θεῖον ναὸν ὡς ἡ τῶν βασιλειῶν βίβλος ἱστορεῖ· καὶ ἀνήγγειλε πάντα τῷ Θεῷ ἄμυναν ἐκκαλούμενος,

OCR ABK / FR

A Οἱ δὲ περὶ αὐτὸν πάντες, ἐν οἷς ἦν καὶ Ἠσαΐας ὁ προφήτης, ἰδόντες τὴν συντριβὴν τῆς ψυχῆς αὐτοῦ μονονουχὶ τῶν παρόντων ῥητῶν τὴν δύναμιν αὐτῷ ἐπεφώνησαν, εὐχόμενοι δεχθῆναι τὴν ἱκετηρίαν τοῦ βασιλέως. Ὅρα δὲ πῶς ἡ θεία χάρις νῦ παρέδειξε τῷ Δαυὶδ οὐ τὰ πράγματα μόνον τὰ πολλοῖς ἔτεσιν ὕστερον, ἀλλὰ καὶ ἃ ἦν εἰκὸς εἰπεῖν τότε τοὺς περὶ τὸν βασιλέα.

« Ἐπακοῦσαί σου Κύριος ἐν ἡμέρᾳ θλίψεως. » — Καὶ γὰρ ὅτε ἀπέστειλεν Ἐζεκίας καὶ οἱ μετ' αὐτοῦ πρὸς Ἠσαΐαν οὕτως εἰρήκασιν « ἡμέρα θλίψεως καὶ ὀνειδισμοῦ. »

« Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ. » — Τὸ ἐξουδενωθεὶς καὶ ὑβρισθεὶς ὑπὸ τῶν Ἀσσυρίων τοῦ Ἰακὼβ ἐμνημόνευσεν ὡς κἀκείνου πειρασμοῖς ὁμιλήσαντος μεγάλοις καὶ φόβοις· ἢ ὑβρισθέντος πάντως διὰ B Θεόν.

« Ἐξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου. » — Ἅγιος ὁ ναὸς ὠνομάζετο ἐν ᾧ φοιτῶν ἐπίστευον τὸν Θεόν.

« Καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. » — Ἡ Σιὼν γὰρ τῷ Θεῷ ἀνέκειτο· ὁ Θεὸς ὁ ἐν τῇ Σιὼν ὢν ἐξ αὐτῆς κινούμενος βοηθῆσαί σοι.

« Μνησθείη πάσης θυσίας σου. » — Ἣν ἐν τῷ καιρῷ τῆς εἰρήνης προσήγαγες, θεοσεβάστατος ὤν.

« Καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. » — Ὁ μέλλεις προσενεγκεῖν ὁλοκάρπωσιν θῦμα πιανθείη· πιανθήσεται δὲ νομῆς ἐλευθέρας ἀπολαῦον. Ἔσται δὲ τοῦτο, λυθείσης ποτὲ τῆς πολιορκίας, ὥστε διὰ τῆς πιότητος τοῦ θύματος τὴν λύσιν τῆς πολιορκίας ἡ εὐχὴ βούλεται· ἢ πιανάτω ἀντὶ τοῦ πῖον ἡγησάσθω καὶ εὐαπόδεκτον. Ὁλοκαύτωμα δὲ ἐκαλεῖτο, διότι C ὅλον ἐκαίετο· καὶ γὰρ τῶν θυμάτων τὰ μὲν ὡλοκαυτοῦτο, τῶν δὲ μόριά τινα κατεκαίετο· ἐπίπλοον καὶ νεφροὶ καὶ στέαρ καὶ ἄλλα τοιαῦτα, καθὼς τὸ Λευϊτικὸν ἐδίδαξεν.

« Διάψαλμα. Δῴη σοι Κύριος κατὰ τὴν καρδίαν σου. » — Ὡς ἡ καρδία σου βούλεται· καρδίαν δὲ τὴν ψυχὴν πολλάκις λέγει διὰ τὸ ἐξῆρθαι ταύτην τῆς ψυχῆς μάλιστα τῶν ἄλλων μελῶν, ὡς τὸ, « Ἡ καρδία μου, ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. »

« Καὶ πᾶσαν τὴν βουλήν σου πληρῶσαι. » — Ἀγαθὴν καὶ δικαίαν οὖσαν.

« Ἀγαλλιασώμεθα ἐν τῷ σωτηρίῳ σου. » — Πεποίθαμεν ὅτι διὰ τὴν αὐτοῦ χρηστότητα καὶ τὴν σὴν καλοκαγαθίαν ὁ Θεὸς σωτηρίαν ποιήσει, καὶ D ἀκαταγώνιστον θήσει· ἧς καὶ ἡμεῖς ἀπολαύσομεν.

« Καὶ ἐν τῷ ὀνόματι Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. » — Εἰ γὰρ συντρίβει τοὺς ἐχθροὺς, φοβερὸς ἔσται τοῖς ἔθνεσι καὶ μόνον ὀνομαζόμενος ὁ Θεὸς τοῦ Ἰσραήλ. Διὰ τοῦ τοιούτου ὀνόματος ἡμεῖς μεγαλυνθησόμεθα ἐξακουόμενοι.

« Πληρώσαι Κύριος πάντα τὰ αἰτήματά σου. » — Ἐπιμένουσι τῇ εὐχῇ διὰ τὴν ἐπίμονον τοῦ βασιλέως συντριβὴν καὶ ταπείνωσιν.

« Νῦν ἔγνων ὅτι ἔσωσε Κύριος τὸν χριστὸν αὐτοῦ. » — Τοῦτο ὡς ἀφ' ἑκάστου τῶν εὐχομένων τηνικαῦτα πληροφορίαν τινὰ δεξαμένων παρὰ τοῦ ἁγίου Πνεύματος· χριστὸς ὁ βασιλεὺς ὡς χριόμενος.

« Ἐπακούσεται αὐτοῦ ἐξ οὐρανοῦ ἁγίου αὐτοῦ. » — Καὶ ἐν οὐρανοῖς γὰρ κατῴκει καὶ ἐν τῷ ναῷ ἐπεσκίαζε· διὸ ποτὲ μὲν ἐκ τοῦ ναοῦ, ποτὲ δὲ ἐξ οὐρανοῦ τοῦτον παρεκάλουν· ἁγίου δὲ τοῦ ἀφωρισμένου αὐτῷ.

« Ἐν δυναστείαις ἡ σωτηρία τῆς δεξιᾶς αὐτοῦ. » — Ἐν ὑπερβολῇ δυνάμεως ἡ παρὰ τῆς θείας δεξιᾶς γινομένη τινὶ σωτηρία· διὸ χρὴ θαῤῥεῖν καὶ μὴ δεδιέναι τὴν δοκοῦσαν ἀνυπόστατον τῶν πολεμίων παρασκευήν.

« Οὗτοι ἐν ἅρμασιν καὶ οὗτοι ἐν ἵπποις. » — Οἱ κυκλώσαντες ἡμᾶς ἐν ἅρμασι καὶ ἵπποις εἰσὶ καὶ πεποίθασιν· οὗτοι δὲ καὶ οὗτοι οἱ αὐτοί· καὶ τοῦτο γὰρ ἰδίωμα τῆς Ἑβραΐδος διαλέκτου.

« Ἡμεῖς δὲ ἐν ὀνόματι Κυρίου Θεοῦ ἡμῶν μεγαλυνθησόμεθα. » — Ἡμεῖς δὲ τὸ ὄνομα Κυρίου τὸ ἐξονειδισθὲν παρὰ τῶν ἐχθρῶν εἰς βοήθειαν ἐπικαλεσόμεθα· ἢ διὰ τὸ ὄνομα Κυρίου τὸ ὑβρισθὲν ἐπικαλεσόμεθα τὸν Κύριον βοηθόν.

« Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν· ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν. » — Τὰ μὲν προλαβόντα ῥητὰ κατὰ καιρὸν ἦσαν τοῦ θρήνου καὶ κοπετοῦ· τὰ δὲ ἐντεῦθεν μετὰ τὴν ἀόρατον ἀναίρεσιν τῶν Ἀσσυρίων ἐγίνοντο λυθείσης τῆς πολιορκίας καὶ χαιρόντων πάντων καὶ τῶν δοξαζόντων καὶ λεγόντων τοιαῦτα· συνεποδίσθησαν γὰρ τῇ θείᾳ δυνάμει καὶ κατηνέχθησαν εἰς πτῶμα θανάσιμον. Ἡμεῖς δὲ πεπτωκότες τῷ δέει ἀνέστημεν τῷ φρονήματι.

« Κύριε, σῶσον τὸν βασιλέα, καὶ ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε. » — Ὥσπερ νῦν ἔσωσας ἐκ χειρὸς ἐχθρῶν, οὕτω καὶ εἰς τὸ ἑξῆς ἄξιον ὄντα σώζεσθαι διὰ τὴν ἀρετὴν αὐτοῦ, καὶ ἐπάκουσον αὖθις ἡμῶν ὡς καὶ νῦν, ὁσάκις ἂν ἐπικαλεσώμεθά σε. Ὁ μὲν ψαλμὸς κατὰ τὸν Ἐζεκίαν ἡρμηνεύθη καὶ ἥρμοσε· τινὲς δὲ τῷ Δαυὶδ αὐτὸν ἁρμόζειν βιάζονται παρατασσομένῳ πρὸς ἐπιόντας ἐχθρούς· καί φασιν ὡς αὐτὸς ὁ Δαυὶδ ἐσχημάτισε τὸν ψαλμὸν εἰς τὸ πρόσωπον τῶν περὶ αὐτὸν ἑτέρων. Ἁρμόττει δ' ἂν καὶ παντὶ πιστῷ παρατασσομένῳ κατὰ τῶν δαιμόνων, οἷα τοῦ σώματος ὑπερευχομένου τῆς ψυχῆς· καὶ οἱ δαίμονες γὰρ ἐξουδένωσαν τὸ ὄνομα τοῦ Θεοῦ. Ἅγιον δὲ νοήσεις καὶ Σιὼν τὸν οὐρανὸν, ὡς πολλάκις εἴρηται. Χριστὸς δὲ αὐτοῦ καὶ βασιλεὺς ὁ Χριστιανὸς, ὡς προέφημεν. Ἐν ἅρμασι δὲ καὶ ἐν ἵπποις οἱ δαίμονες διὰ τὸ τάχος καὶ τὴν ἐν πολέμοις παρασκευήν. Λέγοιτο δ' ἂν ὁ ψαλμὸς οὗτος κατὰ τῶν αἰσθητῶν ἐχθρῶν ἡμῶν τῶν βαρβάρων καὶ ὑπὲρ τοῦ βασιλέως ἡμῶν.

## ΨΑΛΜΟΣ Κ'.

« Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυίδ. » — Καὶ οὗτος εἰς τὸ τέλος, ὡς προφητείας περιέχων· ἢ καὶ αὐτὸς τέλος ἔλαβεν ἐπὶ Ἐζεκίου· φασὶ γὰρ ὅτι μετὰ τὴν ἀβοήθητον νόσον ἐκείνην, προστεθείσης αὐτῷ ζωῆς ἐτῶν πεντεκαίδεκα, ὡς ἡ τῶν Βασιλειῶν ἐφηγεῖται βίβλος, οἱ περὶ αὐτὸν ἰδόντες τὸ παράδοξον ηὐχαρίστησαν τῷ Θεῷ. Τούτων οὖν τὰς φωνὰς

OCR ABK / FR

ὁ Δαυῒδ τοῦτο προϊδὼν, ὑπὲρ Ἐζεκίου τοῦτον ἐξεφώνησεν.

« Κύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ βασιλεύς. » — Τῇ βοηθούσῃ αὐτῷ καὶ εἰς τὸ ἑξῆς εὐφρανθήσεται· καὶ τοῦτο πιστεύομεν ἀπὸ τῶν προλαβόντων εὐεργετημάτων.

« Καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα. » — Ἐπὶ τῇ παρὰ σοῦ σωτηρίᾳ.

« Τὴν ἐπιθυμίαν τῆς ψυχῆς αὐτοῦ ἔδωκας αὐτῷ. » — Ἢ τὴν κατὰ τῶν ἐχθρῶν νίκην, ἢ τὴν προσθήκην τῆς ζωῆς, ἢ ἁπλῶς πᾶσαν ἀξίωσιν.

« Καὶ τὴν δέησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. » — Τὸ αὐτὸ πάλιν δεδήλωκεν οἷον ἐνηδόμενος τῇ εὐχαριστίᾳ· οὗ γάρ τις ἐπιθυμεῖ, τοῦτο καὶ διὰ τῶν χειλέων αἰτεῖ· θέλησιν γὰρ νῦν τὴν αἴτησιν νοήσομεν.

« Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος. » — Ἐπειδὴ καὶ προέλαβες αὐτὸν πρὸ τῆς αἰτήσεως εὐεργετῶν πολλάκις· εὐλογίαν γὰρ νῦν τὴν εὐεργεσίαν ὑποληψόμεθα· εὐλογίαις δὲ ταῖς τῆς σῆς χρηστότητος.

« Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. » — Καταλέγει τὰς εὐεργεσίας, ὅτι πρὸ πάντων ἐχαρίσω τὸ διάδημα βασιλείας.

« Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ. » — Ὥστε μὴ ὑπ' ἐχθρῶν, μήτε ὑπὸ νόσων ἀποθανεῖν· ἀμφότερα γὰρ ἐνταῦθα νοήσομεν.

« Μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος. » — Οὐ μόνον ἁπλῶς ζωὴν, ἀλλὰ καὶ μακράν. Τὸ δὲ εἰς αἰῶνα αἰῶνος ὁ προφήτης κυρίως μὲν ἐπὶ τοῦ μέλλοντος καὶ ἀκαταλύτου αἰῶνος τίθησιν, ἔστι δ' ὅτε καὶ ἐπὶ τῆς μακρᾶς χρονικῆς παρατάσεως, ποτὲ δὲ καὶ ἐπὶ τοῦ βεβαίου καὶ ἀμεταπτώτου ὡς ἐπὶ τοῦ προκειμένου, οἷον, « Ἔδωκας αὐτῷ ζωὴν, » καὶ ζωὴν μακρὰν καὶ μακρότητα ἡμερῶν βεβαίαν· εἰ δὲ καὶ διὰ τὴν αἰώνιον λέγει ζωὴν, οὐδὲ τοῦτο πόῤῥω σκοποῦ.

« Μεγάλη ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ σου. » — Μετὰ γὰρ τὴν θείαν συμμαχίαν καὶ εὐεργεσίαν μέγας παρὰ πάντων γέγονε καὶ περίβλεπτος ὡς καὶ βασιλεῖς διαπρεσβεύεσθαι πρὸς αὐτὸν καὶ χρήματα πέμπειν. Τοῦτο δὲ γέγονε διὰ τὴν γεγενημένην αὐτῷ θεόθεν ἐπισκοπήν.

« Δόξαν καὶ μεγαλοπρέπειαν ἐπιθήσεις ἐπ' αὐτόν. » — Καὶ ἔτι τοῦτον δοξάσεις, καὶ μείζονα ποιήσεις διὰ τὴν εὐαρέστησιν αὐτοῦ.

« Ὅτι δώσεις αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος. » — Εὐλογία καὶ μὴν καὶ προσαγόρευσις, ὡς ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν φησιν Ἐλισσαῖος πρὸς Γιεζῆ, « Ἐὰν εὕρῃς ἄνδρα, οὐκ εὐλογήσεις αὐτὸν, καὶ ἐὰν εὐλογήσῃ σε ἀνὴρ, οὐκ ἀποκριθήσῃ αὐτῷ, » ποτὲ μὲν σημαίνει τὸν αἶνον, ποτὲ δὲ τὴν χάριν, τὴν εὐεργεσίαν, ὡς τὸ « Προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, » καὶ τὴν μετάδοσιν τοῦ ἁγιασμοῦ· ποτὲ δὲ τὴν χάριν, ὡς ἐπὶ τοῦ παρόντος· ἔστι δ' ὅτε καὶ τὴν βλασφημίαν, ὡς τὸ « Ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. » Δώῃς δὲ ἀντὶ τοῦ δώσεις εὐκτικὸν ἀντὶ μέλλοντος. Ἔστι δὲ καὶ ἄλλως νοῆσαι

A τὸ, « Ὅτι δώῃς αὐτῷ εὐλογίαν εἰς αἰῶνα αἰῶνος. »

« Περὶ τῆς εὐλογίας. » Ἡ εὐλογία ποτὲ μὲν σημαίνει τὴν εὐφημίαν, ὡς τὸ, « Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον· » ποτὲ δὲ τὴν χάριν, ὡς τὸ, « Προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος· » ἔτι δὲ καὶ τὴν μετάδοσιν τοῦ ἁγιασμοῦ, ὡς ἐπὶ τοῦ παρόντος· ἔστι δ' ὅτε καὶ τὴν βλασφημίαν· ὡς, « Ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. » Καὶ μὴν καὶ τὴν προσαγόρευσιν, ὡς ἐν τῇ δ' τῶν Βασιλειῶν φησιν Ἐλισσαῖος πρὸς Γιεζῆ· « Ἐὰν εὕρῃς ἄνδρα, οὐκ εὐλογήσεις αὐτόν. Καὶ ἐὰν εὐλογήσῃ σε ἀνὴρ, οὐκ ἀποκριθήσῃ αὐτῷ. »

« Εὐφρανεῖς αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου. » — Ὁ Σύμμαχος ἡρμήνευσεν « ἀπὸ τοῦ προσώπου σου, » τουτέστι διὰ τῆς σῆς ἐπισκοπῆς· ἐπι-
B βλέψεις γὰρ ἐπ' αὐτὸν, καὶ χαρᾶς πλησθήσεται.

« Ὅτι ὁ βασιλεὺς ἐλπίζει ἐπὶ Κύριον καὶ ἐν τῷ ἐλέει τοῦ Ὑψίστου οὐ μὴ σαλευθῇ. » — Οὐκ ἐπὶ στρατεύμασιν, οὐδ' ἐπὶ πλούτῳ πέποιθεν ἤ τισι τοιούτοις, ἀλλ' ἐπὶ μόνῳ τῷ βοηθοῦντι Θεῷ· διὸ οὐ περιτραπήσεται.

« Εὑρεθείη ἡ χείρ σου πᾶσι τοῖς ἐχθροῖς σου. » — Θεοῦ χεὶρ ἡ θεία δύναμις, ᾗ περιπεσεῖν εὔχεται πάντας τοὺς τὸν Κύριον βλασφημοῦντας· εὑρεθείη αὐτοῖς, φησὶν εἰς τιμωρίαν.

« Ἡ δεξιά σου εὕροι πάντας τοὺς μισοῦντάς σε. » — Καταλήψαιτο.

« Θήσεις αὐτοὺς ὡς κλίβανον πυρὸς εἰς καιρὸν τοῦ προσώπου σου. » — Ἐμπρήσεις αὐτοὺς τῷ πυρὶ τῆς ὀργῆς σου· κλίβανον δὲ πυρὸς τὸ ὀπτανεῖον
C τῶν ἄρτων· εἰς καιρὸν δὲ τοῦ προσώπου, ἀντὶ τοῦ ἐν τῷ καιρῷ τῆς ἐπισκοπῆς, ὅταν ἐπίδῃς αὐτοὺς δυσμενής. Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.

« Κύριος ἐν ὀργῇ αὐτοῦ συνταράξει αὐτοὺς, καὶ καταφάγεται αὐτοὺς πῦρ. Τὸν καρπὸν αὐτῶν ἀπὸ γῆς ἀπολεῖς, καὶ τὸ σπέρμα αὐτῶν ἀπὸ υἱῶν ἀνθρώπων. » — Προαναφωνεῖ τὴν τῶν ἐχθρῶν ἀπώλειαν. Καὶ ἀπαριθμεῖται τὰ εἴδη τῶν τιμωριῶν αὐτῶν· ὅτι πειραθέντες τῆς θείας ὀργῆς συνταραχθήσονται πάντοθεν ἐξαπορούμενοι, καὶ πυρποληθήσονται, καὶ ὁ καρπὸς τῶν γεωργιῶν αὐτῶν διαφθαρήσεται, καὶ ἁπλῶς εἰπεῖν ἀπολοῦνται παγγενεί· τοῦτο γὰρ νοεῖται τὸ σπέρμα νῦν. Υἱοὺς δὲ ἀνθρώπων τὸ γένος τῶν ἀνθρώπων ἐκάλεσεν.

D « Ὅτι ἔκλιναν εἰς σὲ κακά. » — Ταῦτα πείσονται, διότι κεκινήκασιν εἰς σὲ κακὰ βλασφημοῦντες τὸ σὸν ὄνομα καὶ τοῖς δούλοις ἐπιβουλεύοντες καὶ κακοποιοῦντες.

« Διελογίσαντο βουλὴν ἣν οὐ μὴ δύνωνται στῆσαι. » — Εἰ γὰρ καὶ πολλὰ κατὰ σοῦ καὶ τῶν σῶν ἐμελέτησαν, ἀλλ' οὖν οὐκ ἰσχύσουσιν ἐμμεῖναι τοῖς δεδογμένοις· περιτραπήσονται γὰρ αἱ τούτων βουλαί.

« Ὅτι θήσεις αὐτοὺς νῶτον. » — Νῶτος γίνεται ὁ φεύγων· οὐδὲν γὰρ ἕτερον αὐτοῦ φαίνεται ἢ μόνον ὁ νῶτος.

« Ἐν τοῖς περιλοίποις σου ἑτοιμάσεις τὸ πρόσωπον αὐτῶν. » — Τοῦτο καθ' ὑπερβατὸν συντάξομεν,


OCR ABK/ FR

εἰ μέλλοιμεν συντηρῆσαι τὴν ἀκολουθίαν τῆς διανοίας· οἷον ἐν τοῖς περιλοίποις αὐτῶν ἑτοιμάσεις τὸ πρόσωπον· τουτέστιν οὐδ' οἱ περιλειφθέντες ἀπὸ τῆς ἐν τῷ πολέμῳ σφαγῆς, καὶ εἰς σφαγὴν τραπέντες σωθήσονται, ἀλλὰ καὶ κατ' αὐτῶν ἐπισκοπὴν τὴν σὴν εὐτρεπίσεις ὥστε μὴ διαφυγεῖν αὐτούς.

« Ὑψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου. » — Ἐν τῷ ἑβδόμῳ ψαλμῷ σεσαφήνισται τί σημαίνει τὸ ὑψώθητι· τὸ παρὸν γὰρ ῥητὸν ταυτὸν δύναται τῷ, Ὑψώθητι ἐν τοῖς πέρασι τῶν ἐχθρῶν σου.

« Ἄσομεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου. » — Ἐν τῷ τέλει τοῦ δωδεκάτου ψαλμοῦ προδιελάβομεν τί βούλονται τὸ ᾄσω καὶ ψαλῶ. Τινὲς δὲ καὶ τὸν παρόντα ψαλμὸν τῷ Δαυῒδ ἁρμόζουσι· λέγοντες ὑπὲρ ἑαυτοῦ τοῦτον ᾆσαι. Εἰ δὲ τοῦτο δεξόμεθα, κωλύει γὰρ οὐδὲν, μεθερμηνεύσωμεν τὰ ῥητά· καὶ γὰρ αὐτίκα τὸ, « Ἐν τῇ δυνάμει σου εὐφρανθήσεται καὶ ἐπὶ τῷ σωτηρίῳ ἀγαλλιάσεται, » διὰ τὸν Χριστὸν εἰρῆσθαι νοήσομεν· ἐπεὶ γὰρ ὁ Χριστὸς καὶ Θεοῦ ἐστι δύναμις· φησὶ γὰρ ὁ μέγας Παῦλος· « Χριστὸς Θεοῦ δύναμις, » καὶ πάλιν ὁ αὐτὸς καὶ σωτήρ ἐστι· φησὶ γὰρ ὁ Εὐαγγελιστής· « Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ· » πρὸς μὲν τὸν Πατέρα εἶπε, « Κύριε, ἐν τῇ δυνάμει σου· » πρὸς δὲ τὸν Υἱὸν, « Καὶ ἐπὶ τῷ σωτηρίῳ σου, » τουτέστι τῇ παρὰ σοῦ γινομένῃ σωτηρίᾳ τῶν ἀνθρώπων· οὕτω δὲ καὶ εἰς τὸ ἑξῆς· τὰ μὲν πρὸς τὸν Πατέρα, τὰ δὲ πρὸς τὸν Υἱὸν λέγοιτ' ἄν. Καὶ ὄντως ηὐφράνθη καὶ ἠγαλλιάσατο Δαυῒδ θεασάμενος καὶ μετὰ θάνατον τὸ τῆς θείας ἐνανθρωπήσεως μυστήριον. Εἰ γὰρ τὴν ἀχλὺν τῆς σαρκὸς περικείμενος ἔτι τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς εἶδε τὰ μέλλοντα, πολλῷ μᾶλλον ταύτην ἀποθέμενος, καθαρώτερον ἑώρα καὶ τηλαυγέστερον· ἀκολούθως δὲ καὶ ἐπιθυμίαν καρδίας ὑποληψόμεθα, τὸν μόθον τοῦ ἰδεῖν τὴν τοῦ Σωτῆρος ἐνανθρώπησιν ἧς προεῖδε τὸν τύπον. Θέλησις δὲ τῶν χειλέων τὸ θέλειν διὰ παντὸς ᾄδειν Θεῷ. Καὶ μέντοι καὶ ᾄδει πάντοτε, τοῖς τῶν πιστῶν χείλεσι χρώμενος· ζωὴν δὲ ᾐτήσατο καὶ ἔλαβε, πολλάκις κινδυνεύσας ἀποθανεῖν ὑπὲρ ἐχθρῶν καὶ δι' εὐχῆς περισωθείς. Μεγάλη δὲ ἡ δόξα αὐτοῦ ἐν τῷ σωτηρίῳ, τουτέστι διὰ τὴν παρὰ σοῦ σωτηρίαν. Ἐδοξάσθη γὰρ ἀληθῶς, ὅτι ἐκ τῆς ῥίζης αὐτοῦ ἡ σωτηρία ἡμῶν ἐβλάστησε, καὶ μέγας γέγονε καὶ περιβόητος. Εὐφρανεῖς δὲ αὐτὸν ἐν χαρᾷ μετὰ τοῦ προσώπου σου, ἀντὶ τοῦ τέρψεις αὐτὸν διὰ τοῦ Υἱοῦ σου· πρόσωπον γὰρ Πατρὸς ὁ Υἱός· φησὶ γὰρ, « Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα μου· ἐχθροὺς δὲ τοῦ Θεοῦ νοήσεις τοὺς μισοχρίστους Ἰουδαίους οἷς καὶ τὰ δεινότερα ἐπαρᾶται καὶ προφητεύει ἃ πεπόνθασιν ὧν τὸ σπέρμα πανολεθρίᾳ διεφθάρη. δηλαδὴ τῶν σταυρωσάντων τὸν Κύριον· οἱ γὰρ ἐν ταῖς διασποραῖς διαπεφεύγασιν ἐκεῖνον τὸν ὄλεθρον. « Θήσεις δὲ αὐτοὺς ὡς κλίβανον πυρὸς ἐν τῷ καιρῷ τοῦ προσώπου σου· » δηλαδὴ τοῦ Υἱοῦ σου, καθὼς εἰρήκαμεν· μετὰ γὰρ τὴν ἐπιδημίαν αὐτοῦ, τοῦτο πεπόνθασι, καὶ ἤρξαντο κατ' αὐτῶν φέρεσθαι τὰ δεινά· ἀφ' οὗ ὁ Χριστὸς εἶπεν αὐτοῖς, « Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία· » ἐν δὲ τοῖς « περιλοίποις

A σου, » τουτέστι τοῖς ἐξ αὐτῶν πεπιστευκόσιν εἰς σὲ τὸν Υἱὸν καὶ ὑπολειφθεῖσί σοι, ἑτοιμάσεις, ἤγουν κοσμήσεις καὶ δοξάσεις τὸ γένος αὐτῶν· δόξα γὰρ τοῖς Ἑβραίοις τέως ὅτι πατέρες τῶν ἀποστόλων γεγόνασιν. Εἰ καὶ καθ' ἑαυτοὺς ἄδοξοί εἰσι καὶ φευκτοὶ ἁρμόζομεν ψαλμὸν τοῦτον καὶ τῷ βασιλεῖ ἡμῶν κατὰ τῶν βαρβάρων ὡς καὶ τὸν πρότερον.

## ΨΑΛΜΟΣ ΚΑ'.

« Εἰς τὸ τέλος, ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς, ψαλμὸς τῷ Δαυῒδ. » — Ὁ ψαλμὸς οὗτος φανερῶς εἰς Χριστὸν ἀνάγεται· προαγορεύει γὰρ τὰ τοῦ προσλήμματος καὶ τὰ τοῦ σωτηρίου πάθους αὐτοῦ ἃ τέλος εἰλήφασιν. Ὑπὲρ τῆς ἀντιλήψεως δὲ ἐπιγέγραπται διὰ τὸ περιέχειν ἱκεσίαν ὑπὲρ τοῦ B ἐλθεῖν αὐτῷ παρὰ τοῦ Πατρὸς ἐν τῷ καιρῷ τοῦ πάθους ἀντίληψιν ἐνισχύουσαν. Τῆς ἑωθινῆς δὲ πρόσκειται, ἀντὶ τοῦ τῆς τοῦ Χριστοῦ· ὄρθρος γὰρ οὗτος ὀνομάζεται, ὅ ἐστιν ἡμέρας ἀρχή· ὄντως γὰρ ἀνέτειλεν ἡμῖν τῆς ἐν τῷ σκότει τῆς πλάνης καθημένοις ἥλιος δικαιοσύνης, καὶ φῶς γνώσεως· ἱκετεύει δὲ ὡς ἄνθρωπος διδάσκων εὔχεσθαι κατὰ τὸν τοῦ θανάτου καιρόν· φύσει γὰρ τότε καὶ ὁ πάνυ δίκαιος δειλιᾷ τὸ καινὸν τῆς διαζεύξεως. Τινὲς δὲ νοοῦντες πρόθεσιν ἀντὶ προθέσεως,. ἔθος γὰρ καὶ τοῦτο τοῖς παλαιοῖς, φασὶ τὸν ψαλμὸν τοῦτον εἶναι περὶ τῶν παθῶν τοῦ Χριστοῦ· ταῦτα γὰρ εἰσιν ἑωθινὴ ἀντίληψις ὅτι τότε μᾶλλον ἀντελάβετο ἡμῶν ὁ δηλωθεὶς ὄρθρος, ὅ ἐστι Χριστός· θανάτῳ νικήσας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου.

C « Ὁ Θεὸς, ὁ Θεός μου πρόσσχες μοι· ἱνατί ἐγκατέλιπές με ; » — Δειλίας μὲν ἀνθρωπίνης ὁ λόγος· πιστοῦται δὲ τοῦτο τὴν ἐνανθρώπησιν ὅτι τέλειος ὢν ἄνθρωπος· καὶ τῷ φυσικῷ φόβῳ ὑπέκειτο. Πρόσχες μοι· εἰώθασι γὰρ οἱ παραχωροῦντές τινα δημίοις ἀποστρέφειν τὰς ὄψεις ἑαυτῶν. Ἵνα τί με ἐγκατέλιπες· καὶ μὴν οὐδέποτε διέστη αὐτοῦ, ἅπαξ ἑνωθέντος τῷ Υἱῷ καὶ Θεῷ· ἀλλ' ἐγκαταλελεῖφθαι λέγει διὰ τὴν δειλίαν· εἰ γὰρ σὺ, φησὶ, τὴν παρὰ σοῦ βοήθειαν ἐπέσχες, οὐκ ἂν ἐγὼ τὸν θάνατον ἐδειλίασα· περὶ ταύτης δὲ τῆς δειλίας καὶ οἱ εὐαγγελισταὶ διεξίασιν· ὅτι καὶ προσηύξατο παρελθεῖν τὸ τοῦ θανάτου ποτήριον· καὶ αὐτὸ δὲ εἶπε τὸ τοῦ ψαλμοῦ ῥητὸν ἐπὶ τοῦ σταυροῦ. « Θεέ μου ἵνα τί ἐγκατέλιπες ; ἤγουν ἵνα τί με ἐγκατέλιπες εἰς δειλίαν ; εἰδὼς ὅτι τὸ μὲν πνεῦμα πρόθυμον, D ἡ δὲ σὰρξ ἀσθενής· ἢ, Διὰ τί με παρεχώρησας τῷ θανάτῳ, γινώσκων ὅτι οὐδὲν ἥμαρτεν ἄξιον θανάτου ;

« Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. » — Αἱ γὰρ εὐθύναι τῶν ἁμαρτιῶν μου πόῤῥω εἰσὶ τῆς σωτηρίας μου, τουτέστιν οὐκ ἐμποδίζουσιν αὐτῇ· διὰ τὸ μηδόλως εἶναι αὐτάς· ἀνομίαν γὰρ, φησὶν, οὐκ ἐποίησε· τῶν ἁμαρτανόντων δὲ ὁ θάνατος ἐπιτίμιον, ἢ καὶ ἄλλως τὸ πρόσωπον τῆς ὅλης τῶν ἀνθρώπων φύσεως ὡς συγγενὴς ἡμῶν ὑποδύεται, καὶ διὰ τί με, φησὶ, τὸ καθόλου ἄνθρωπον κατέλιπες, ἀποθνήσκειν ; εἶτα ἐπιφέρει καὶ τὴν αἰτίαν· ὅτι μεμάκρυνται σωτηρίας αἱ καταδίκαι μου, αἷς ἄρα κἀγὼ συνάπτομαι

OCR ABK / FR

μεμάκρυσμαι· εἰ γὰρ ἤγγιζον, ἐσωζόμην ἂν ἀπὸ τοῦ θανάτου.

«Ὁ Θεός μου, κεκράξομαι ἡμέρας πρὸς σὲ, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί.» — Τοῦτο γέγονε καθ' ἣν ἡμέραν ἔφαγε τὸ Πάσχα μετὰ τῶν μαθητῶν· ὅτι γὰρ ἐν τῇ νυκτὶ τότε προσηύχετο δεδηλώκασιν οἱ εὐαγγελισταί. Δῆλον δὲ ἐντεῦθεν, ὅτι καὶ πρὸ τῆς ἑσπέρας ηὔξατο. Μὴ ξενίζου δὲ πῶς τὸ πρῶτον τέθεικεν ὕστερον· τοιαῦτα γὰρ ἐν πολλοῖς τὰ προφητικά. Ἡ δ' αἰτία ἵνα μὴ δοκοῖεν οἴκοθεν λαλεῖν, ἀλλ' ὅ ἂν καὶ ὅσα ἀκούσειεν ὑπὸ τοῦ ἐνηχοῦντος πνεύματος. Καὶ ἐν τῇ ἡμέρᾳ, φησὶ, παρακαλέσω παρελθεῖν τὸν τοῦ θανάτου καιρὸν, καὶ εἰσακούσῃ μου, καὶ ἐν τῇ νυκτὶ πάλιν ὁμοίως· πλὴν οὐκ εἰς ἄνοιαν ἐμοὶ τὸ πῶς εἰσακούσῃ· νενόηκα γὰρ ὅτι διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων ἧς ἕνεκα καὶ σεσάρκωμαι. Τινὲς δὲ ἡμέραν καὶ νύκτα τὸν καιρὸν τῆς σταυρώσεώς φασιν· ἀπὸ γὰρ ὥρας ἕκτης ἕως ἐννάτης σκότος ἐγένετο, ὡς λέγεσθαι τὴν ἡμέραν ταύτην ἡμερονύκτιον· ὅτε καὶ ἀφεθῆναι τοῖς ἐσταυρωκόσι τὴν ἁμαρτίαν παρεκάλεσε μὲν, οὐκ εἰσηκούσθη δὲ πανολεθρίᾳ παραδοθέντων. Τούτου δὲ αἴτιον εἰδέναι σαφῶς, ὅτι ἔμελλον συκοφαντῆσαι αὐτὴν τὴν ἀνάστασιν, καὶ αὐξῆσαι τὴν ἁμαρτίαν.

«Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.» — Ἅγιον καλεῖ τὸν ἡνωμένον ἑατῷ Υἱὸν καὶ Θεόν· Καὶ ἐν τῷ Εὐαγγελίῳ δὲ φησιν· «Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί.» Ἔπαινος δὲ τοῦ Ἰσραὴλ ὁ Πατὴρ· ὅτι οἱ Ἰουδαῖοι τὴν θεογνωσίαν μόνον ἐνεκαυχῶντο, μὴ ποιοῦντες κρῖμα καὶ δικαιοσύνην μηδ' ἔχοντες τὴν ἀρετήν. Διὰ δὲ τοῦ εἰπεῖν ὅτι «Κατοικεῖς ἐν τῷ Υἱῷ,» ἔδειξεν ὅτι θέλει ὁ Υἱὸς τὴν σωτηρίαν τῶν ἀνθρώπων, καὶ οὐκ ἀποσείεται τὸν θάνατον τοῦ προσλήμματος· ἓν γὰρ καὶ τῷ Πνεύματι καὶ τῷ Υἱῷ θέλημα.

«Ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐῤῥύσω αὐτούς· Πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν καὶ οὐ κατῃσχύνθησαν.» — Ζεύγνυσιν ἑαυτὸν τοῖς ἐπαρηξαμένοις καί φησιν, ὡς οἱ κατὰ σάρκα πατέρες ἡμῶν οἱ πρὸ τῆς ἐμῆς ἐπιδημίας ἐν τῷ βίῳ λάμψαντες ἐπὶ σοὶ ἤλπισαν, καὶ βοήσαντες ἐῤῥύσθησαν τῶν κινδύνων· ἐκείνους οὖν κἀγὼ μιμούμενος ὡς ὅμοιος αὐτοῖς ὁμοίως καὶ αὐτὸς ποιοῦμαι τὴν δέησιν. Σύνηθες δὲ τῷ προφήτῃ τὰς λέξεις πολλάκις ἀναδιπλοῦν καὶ τριπλοῦν, εἰς ἔμφασιν τοῦ τόνου τῆς καρδίας· λύτρωσιν δὲ κινδύνου λέγουσιν οἱ σοφοὶ τὰ θεῖα οὐ μόνον ἐπὶ σωμάτων, ἀλλὰ καὶ πολλῷ μᾶλλον ἐπὶ ψυχῆς· ὅταν γενναίως ἐνεγκοῦσα τὰς ὀδύνας μηδ' ἐντεῦθεν πάθῃ περὶ τὴν πρόθεσιν· οὕτω γὰρ οἱ μάρτυρες ἀναιρεθέντες νενικήκασι διὰ τὸ ἀήττητον τῆς ψυχῆς.

«Ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος.» — Τοῦτο εἶπε ταπεινῶν ἑαυτόν· καὶ Δαυῒδ γὰρ ὁ προφήτης καὶ βασιλεὺς κύνα τεθνηκότα καλεῖ ἑαυτὸν ἐν τῇ βίβλῳ τῶν Βασιλειῶν. Εἰ δ' ἀναμάρτητος Ἰησοῦς οὕτως ἑαυτὸν φαυλίζει, τί ἂν ἡμεῖς οἱ φαῦλοι καὶ ἁμαρτωλοὶ ποιήσωμεν; Φασὶ δέ τινες διὰ τὴν ἀσυνδύαστον τοῦτο ῥηθῆναι γέννησιν. Ὡς

A γὰρ ὁ σκώληξ ἄνωθεν ἐπελθόντος ὑετοῦ τῇ γῇ κυΐσκεται, οὕτως καὶ ὁ Χριστὸς ἄνωθεν ἐπελθόντος ἁγίου Πνεύματος τῇ Παρθένῳ γεγέννηται. Καὶ σκώληξ μὲν ἂν λέγοιτο διὰ ταῦτα, οὐκ ἄνθρωπος δὲ πάλιν διὰ τὴν ὑπερφυῆ σύλληψιν καὶ γέννησιν· ἢ καὶ ἄλλως· ὅτι δέλεαρ τοῖς δαίμοσιν ἐφόρει τὴν σάρκα, ὑφ' ἣν τὸ τῆς θεότητος ἐκρύπτετο ἄγκιστρον· δέλεαρ γὰρ ἰχθύων ὁ σκώληξ· ἐγένετο γὰρ δέλεαρ εἰς ἅλωσιν τοῦ νοητοῦ κήτους, τοῦ τῇ θαλάσσῃ τοῦ παρόντος βίου ἐννηχομένου, τῷ τῆς θεότητος ἀγκίστρῳ περιτεθεῖσα ἡ ἀνθρωπότης· ὁ κῆτος, τὸ δέλεαρ περιχανὲν, τῷ ἀγκίστρῳ περιεχάρη, καὶ οὐκ ἄνθρωπος ἦν φίλος· ἢ καὶ ὅτι ὁ σκώληξ εὐτελὴς μὲν τὸ εἶδος, ἀφανιστικὸν δὲ τῆς ὕλης· οὕτω καὶ ὁ Χριστὸς εὐτελὴς μὲν τὸ φαινόμενον, ἀφανιστικὸν δὲ τῆς ἀντικειμένης δυνάμεως. B

«Ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ.» — Τοῦτο προαγορεύει σαφῶς, ἃ εἰς αὐτὸν πεπαρῳνήκασι κατὰ τὸν τοῦ πάθους καιρὸν, ἐμπαίζοντες καὶ χλευάζοντες. Καὶ ταυτὸν μὲν ἂν εἴη ὄνειδος ἀνθρώπων τὸ ἐξουθένημα λαοῦ· ἢ ὄνειδος μὲν ἀνθρώπῳ τῶν ἐκ Ῥώμης στρατιωτῶν, ἐξουθένημα δὲ λαοῦ τῶν Ἰουδαίων.

«Πάντες οἱ θεαροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν. Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν.» — Ταῦτα σαφῶς εὑρήσεις ἐν τῷ Ματθαίῳ κείμενα. φησὶ γάρ· «Οἱ δὲ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν καὶ λέγοντες,» καὶ τὰ ἑξῆς.

C «Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός.» — Ἀνδρὸς μὲν ὁμιλία διανοίγει παρθενικὰ κλεῖθρα τῆς λαστρός· ἀκοντιζόμενον δὲ τὸ σπέρμα φυσικῶς ἀνοίγει τὴν μήτραν· αὐτὴ δὲ λοιπὸν μύσασα, συνέχει τοῦτο μέχρις ἂν εἰς βρέφος τελεσιουργηθῇ, καὶ οὕτω στενοχωρηθεῖσα τῷ ὄγκῳ, πάλιν ἀνοίγεται καὶ παραχωρεῖ τοῦτο ὀλισθαίνειν. Ἐπὶ δὲ τοῦ Σωτῆρος ὥσπερ ἄνευ ὁμιλίας ἀνδρὸς ἡ σύλληψις· οὕτω καὶ ἡ πρόοδος τοῦ βρέφους ὑπερφυής, τῆς τοῦ Θεοῦ δυνάμεως ἐξελκυσάσης αὐτὸ, τῶν κλείθρων μηδ' ὅλως ἀνοιγέντων.

«. . . . ἀρχιεπίσκοπος εἰς αὐτόν.» — Τὰ περὶ τοὺς ἄλλους ἀνθρώπους καὶ τὰ λοιπὰ ζῶα ἐπὶ τῇ ἐξαρχῆς σαρκώσει τοῦ Θεοῦ Λόγου παρηκολουθηκότα ἔοικεν ἡ παροῦσα λέξις σημαίνειν· οὔτε γὰρ κατὰ τὸν φυσικὸν νόμον ἡ σύλληψις αὐτοῦ ἐξ ἀν-
D δρὸς σπέρματος· διὰ τοῦτο οὐδὲ τῷ εἰωθότι τοῖς γεννωμένοις ἐξώλισθε τρόπῳ τῶν τῆς μητρὸς ἐγκάτων τῆς τοῦ σπέρματος διαπλάσεως τὴν ἔξοδον κατεπειγούσης· ἀλλ' ἐκ Πνεύματος ἁγίου συλληφθεὶς, αὐτὸν Θεὸν Πατέρα οἱόν τινα μαιευόμενον τὸ κυηθὲν καὶ τῆς μήτρας ἐξέλκοντα· ἀλλὰ καὶ ἕτερον ἔσχεν ἐξαίρετον παρὰ τοὺς ἀνθρώπους γενόμενος· καθότι καὶ ἀπὸ μασθῶν μητρικῶν καὶ ἐν αὐτῇ μήτρᾳ ἤλπισεν ἐπὶ τὸν Θεὸν Πατέρα αὐτοῦ, ὃ μόγις ἐπὶ τῶν ἄλλων ἀνθρώπων γίνεται, τοῦ λόγου αὐτοῖς συμπληρουμένου· ὃ καὶ Ἠσαΐας ἐδήλου περὶ αὐτοῦ εἰπών· «Διότι πρινὴ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέ-

OCR ABK / FR

ξασθαι τὸ ἀγαθόν. » Ἅπερ ἅπαντα ἐκαινοτομεῖτο διὰ τὸν ἡνωμένον αὐτῷ Θεὸν Λόγον.

« Ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. » — Ὦ ἡ ἐλπίς μου ἐξ αὐτῆς θηλῆς· ἀπὸ τότε γάρ σε ἐγνώριζον ἐλπίδα μου συνετισθεὶς ὑπὸ τῆς ἑνωθείσης μοι θεότητος. Φησὶ δὲ περὶ τούτου Λουκᾶς· « Τὸ δὲ παιδίον ηὔξανε καὶ ἐκραταιοῦτο Πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτῷ. »

« Ἐπὶ σὲ ἐπεῤῥίφην ἐκ μήτρας. — « Τῇ σῇ σκέπῃ ἐπεῤῥίφην» οἷα μὴ ἔχων ἐπὶ γῆς πατέρα.

« Ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ. » — Τυθεὶς σε Θεὸν ἐπέγνων συνετισθεὶς' ὡς προείρηται. Τὸ δ'ἀπὸ γαστρὸς ἢ ὅτι ἐν τῇ γαστρὶ ὤν, ἢ ὅτι γαστρὸς ἐξελθών·

« Μὴ ἀποστῇς ἀπ' ἐμοῦ ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. » — Καὶ περὶ τούτων φασὶν οἱ εὐαγγελισταί, ὅτι « Ἤρξατο λυπεῖσθαι καὶ ἀδημονεῖν, » καὶ πάλιν· « Τότε οἱ μαθηταὶ πάντες ἀφέντες αὐτὸν ἔφυγον. »

« Περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με. » — Μόσχους καλεῖ τὸ δημῶδες πλῆθος τῶν Ἰουδαίων διὰ τὸ νεώτερον καὶ ἄτακτον. ταύρους δὲ τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς καὶ πρεσβυτέρους τοῦ λαοῦ διὰ τὸ προβεβηκὸς καὶ ἔξαρχον, οὓς καὶ πίονας λέγει· διότι πολλῶν ἀπήλαυσε δωρεῶν αὐτοῦ· προείρηκε γὰρ καὶ Μωϋσῆς, ὅτι « Καὶ ἔφαγεν Ἰακὼβ, καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος· ἐλιπάνθη, ἐπαχύνθη ἐπλατύνθη, καὶ ἐγκατέλιπε Θεὸν τὸν ποιήσαντα αὐτόν.

» Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος. » — Ὅτε συλλεγέντες ἐβόων· « Ἆρον ἆρον, σταύρωσον αὐτόν. »

» Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσορπίσθη πάντα τὰ ὀστᾶ μου. » — Ὀστᾶ αὐτοῦ τοὺς ἀποστόλους νοήσομεν· ὡς συνέχοντας καὶ στεῤῥοῦντας τὸ λοιπὸν τῆς Ἐκκλησίας Χριστοῦ. Πάντες γὰρ αὐτὸν ἀφέντες, ἔφυγον τηνικαῦτα· φησὶ γὰρ Ζαχαρίας· « Κατάξω τὸν ποιμένα, καὶ διασκορπισθήσονται τὰ πρόβατα. » Χύσιν δὲ λέγει τὴν ἀπ' αὐτοῦ κίνησιν αὐτῶν.

« Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου. » — Ἐτάκην δίκην κηροῦ τῷ πυρὶ τῶν θλίψεων ἐκλυθεῖσα καὶ τέλεον ἀσθενήσασα. Κοιλίαν δὲ λέγει νῦν τὸ κοῖλον ὅλον τοῦ σώματος.

« Ἐξηράνθη ὡσεὶ ὄστρακον ἡ ἰσχύς μου. » — Τῷ δηλωθέντι πυρὶ παγεῖσα ἐξικμασθείσης τῆς ἐνεργείας αὐτῆς.

« Καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου. » — Ὅτε κατηγορούντων αὐτὸν τῶν ψευδομαρτύρων οὐδὲν ἀπεκρίνετο· ἀλλ' ἵστατο σιωπῶν· ἢ ὅτε ἐνίψησεν ἐπὶ τῷ σταυρῷ.

« Καὶ εἰς χοῦν θανάτου κατήγαγές με. » — Χοῦς θανάτου ἐστὶν ὁ τάφος οἷα δὴ χωννυμένων τῶν θαπτομένων εἰς ὃν ἐμόν με, φησί, κατήγαγες ὑπὲρ τῶν ἀνθρώπων.

« Ὅτι ἐκύκλωσάν με κύνες πολλοί. » — Ταύρους μὲν ἐκάλεσε τοὺς Ἰουδαίους ὡς ὑπὸ τὸν ζυγὸν τοῦ νόμου ὄντας, εἰ καὶ τὸν νόμον παρέβαινον. Κύνας δὲ λέγει τοὺς ἐκ Ῥώμης στρατιώτας, ὡς κατὰ τὴν Χαναναίαν ὠνόμασεν εἰπών· « Οὐκ ἔστι τὸν ἄρτον τῶν τέκνων δοῦναι τοῖς κυναρίοις.

« Συναγωγὴ πονηρευομένων περιέσχον με. » — Τῶν φθονερῶν Ἰουδαίων.

« Ὤρυξαν χεῖράς μου καὶ πόδας. » — Τῇ διατρήσει τῶν ἥλων.

« Ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. » — Γυμνὸν κρεμάσαντες καὶ σφόδρα διατείναντες ὡς καὶ φαίνεσθαι τὰς ἁρμονίας τῶν ὀστέων, καὶ ἀριθμεῖσθαι ταῦτα τοῖς βουλομένοις.

« Αὐτοὶ δὲ κατενόησάν με. — Ἐπολυπραγμόνησάν με κρεμάμενον, καὶ Υἱός εἰμι τοῦ Θεοῦ· ἔλεγον γάρ· « Εἰ Υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ σταυροῦ. »

« Καὶ ἐπεῖδόν με. » — Καὶ ἐπέγνωσαν ὅτι εἰμί, βλέποντες τὴν κτίσιν συμπάσχουσαν, καὶ σκληροὶ ἔτι διέμειναν· φησὶ γὰρ ὁ Ματθαῖος ὅτι « Ὁ ἑκατόνταρχος καὶ οἱ μετ'αὐτοῦ, τηροῦντες τὸν Ἰησοῦν, ἰδόντες τὸν σεισμὸν καὶ τὰ γενόμενα, ἐφοβήθησαν σφόδρα λέγοντες· « Ἀληθῶς Θεοῦ Υἱὸς ἦν οὗτος· » ἢ καὶ ἄλλως ἐπολυπραγμόνησαν μήποτε κατενεχθῶ ἀπὸ τοῦ σταυροῦ διὰ τῶν μαθητῶν μου, καὶ διὰ τοῦτο ἐπεῖδόν με, τουτέστιν ἐτήρησάν με φυλακῇ στρατιωτῶν.

« Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. » — Ταῦτα σαφῶς ἡρμήνευσεν ὁ εὐαγγελιστὴς Ἰωάννης· φησὶ γὰρ οὗτος· « Οἱ οὖν στρατιῶται ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν ἔλαβον τὰ ἱμάτια αὐτοῦ καὶ ἐποίησαν τέσσαρα μέρη· ἑκάστῳ στρατιώτῃ μέρος καὶ τὸν χιτῶνα. » Ἦν δὲ ὁ χιτὼν ἄρραφος, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι'ὅλου. Εἶπον οὖν πρὸς ἀλλήλους. Μὴ σχίσωμεν αὐτόν, ἀλλὰ λάχωμεν περὶ αὐτοῦ, τίνος ἔσται· ἵνα, φησὶν ἡ Γραφή, πληρωθῇ δηλαδὴ τὰ παρόντα ῥητά· ἃ καὶ παρέθηκεν ἐκεῖ· ὥστε ἱμάτια μὲν λέγει τὰ ἐῤῥαμένα, ἃ καὶ διεῖλοντο ἑαυτοῖς· ἱματισμὸν δὲ τὸν ἄῤῥαφον χιτῶνα τὸν ἐκ τῶν ἄνωθεν ὑφαντόν, ὑπὲρ οὗ καὶ ἔβαλον κλῆρον.

« Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσσχες. » — Τούτων δηλαδὴ γινομένων.

« Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου. Σῶσόν με ἐκ στόματος λέοντος καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου. » — Ῥομφαίαν καλεῖ τοὺς ἐκ Ῥώμης, ὡς ξιφηφόρους· τοὺς αὐτοὺς δὲ καὶ κύνας, καθὼς ἀνωτέρω δεδηλώκαμεν· λέοντας δὲ τοὺς Ἰουδαίους διὰ τὴν ἀπήνειαν καὶ τὸ διψᾶν αὐτοῦ τὸν θάνατον καὶ τὴν ἐνέδραν· οὕτω γὰρ καὶ πρὸ μικροῦ τούτους ὠνόμασε. Τοὺς αὐτοὺς δὲ λέγει καὶ μονοκέρωτας, ὡς εἰς μίαν ὑπόστασιν τοῦ Θεοῦ πιστεύοντας. Ζῶον δὲ ἄγριον ὁ μονόκερως, φερωνύμως ἓν φέρων ἐπὶ τὸ μέτωπον κέρατον. Ἑνικῶς δὲ εἶπε κύνα καὶ λέοντα διὰ τὸ γένος, δι' οὗ τὸν καθ' ἕκαστον γινώσκομεν. Μονογενῆ δὲ λέγει τὴν ἰδίαν ψυχὴν ὡς μεμονωμένην διὰ τὸ μόνην τῶν ἄλλων ψυ-

OCR ABK / FR

χῶν ἄγευστον ἁμαρτίας εἶναι καὶ διὰ τὸ μόνον τὸν A Υἱὸν ἔχειν ἡνωμένον καθ' ὑπόστασιν. Περὶ δὲ τῆς ἑαυτοῦ ταπεινώσεως καὶ αὐτὸς ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ἐδίδαξεν εἰπών· « Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. » Τίνος δὲ ἕνεκεν οὕτως ηὔχετο προειρήκαμεν, ἔτι δὲ καὶ ὁποίαν ἐζήτει λύτρωσιν.

« Διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου. » — Σημείωσαι πῶς τὰ μὲν ὡς ἤδη γεγενημένα λέγει τὸ θεῖον Πνεῦμα προθεωροῦν αὐτά, τὰ δὲ ὡς μέλλοντα νόμῳ προφητείας. Ὄνομα δέ φησι τὸ τῆς πατρότητος· Θεὸν μὲν γὰρ ὡμολόγουν Ἑβραῖοι· Πατέρα δὲ Υἱοῦ οὐκ ἐγίνωσκον ὡς ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ εἴρηκε· « Πορευθεῖσαι εἴπατε τοῖς ἀδελφοῖς μου. »

« Ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. » — Οὐ μό- B νον γὰρ ἰδίᾳ τοὺς ἀποστόλους ἐδίδαξεν, ἀλλὰ καὶ ἐν ταῖς συναγωγαῖς τῶν Ἰουδαίων ἐπαῤῥησιάζετο διηγούμενος τὰ μεγαλεῖα τοῦ Θεοῦ καὶ Πατρός. Περὶ τούτων οὖν ἡ παροῦσα προφητεία· τοῦτο δὲ καὶ εἰς ἔτι ποιεῖ διὰ τοῦ Εὐαγγελίου αὐτοῦ καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἀναγινωσκομένη.

« Οἱ φοβούμενοι Κύριον, αἰνέσατε αὐτόν. » — Ὡς ἤδη εἰσακουσθεὶς προτρέπεται τοὺς πιστοὺς εἰς εὐχαριστίαν, καὶ πρῶτον τοὺς ἐξ ἐθνῶν· ὅτι καὶ πρῶτον εἰς τὰ ἔθνη τοὺς ἀποστόλους μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν ἐξαπέστειλε· « Πορευθέντες γάρ, φησί, μαθητεύσατε πάντα τὰ ἔθνη· » οὓς καὶ φοβουμένους τὸν Κύριον καλεῖ προσαγορεύων αὐτοὺς ἀπὸ τῆς ἀρετῆς· καὶ Πέτρος γὰρ οὕτως ἐν ταῖς Πράξεσιν ὠνόμασεν αὐτούς· « Ἄνδρες Ἰσραηλῖται C καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν· » ἐπεὶ δὲ ἡ Ἐκκλησία τῶν πιστῶν οὐκ ἐξ ἐθνῶν μόνον, ἀλλὰ καὶ ἐξ Ἰουδαίων συνίσταται, καὶ τοὺς εἰς δοξολογίαν κινεῖ· φησὶ γάρ·

« Ἅπαν τὸ σπέρμα Ἰακὼβ, δοξάσατε αὐτόν. » — Πάντες οἱ ἐξ Ἰουδαίων πεπιστευκότες· προπάτωρ γὰρ τῶν φυλῶν ὁ Ἰακώβ.

« Φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ. » — Ἐνταῦθα καὶ ἄμφω τὰ μέρη λέγει, διότι πᾶς ἐπιγνοὺς Χριστὸν Ἰσραήλ ἐστιν· Ἰσραὴλ γὰρ μεθερμηνεύεται νοῦς ὁρῶν Θεόν. Κελεύει τοίνυν καὶ ὑμνεῖν τὸν Θεὸν καὶ ἀεὶ φοβεῖσθαι αὐτὸν ὡς παντοδύναμον· ἢ καὶ τοῖς ἄλλοις Ἰουδαίοις παραγγέλλει φοβεῖσθαι αὐτὸν, ὡς παντοδύναμον, καὶ ἐπάξοντα τούτοις πανολεθρίαν, διὰ τὴν λύσιν τὴν μετὰ D τοῦ Υἱοῦ αὐτοῦ.

« Ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ. » — Οὐ παρεῖδεν οὐδὲ φορτικὸν ἡγήσατο τὴν ἐμὴν, φησί, δέησιν, τὴν περὶ τὸν διάβολον νικῆσαι, καὶ ὑμῖν τὴν νίκην δωρήσασθαι. Πτωχὸν δὲ ὠνόμασεν ἑαυτὸν διά τε τὴν εὐτέλειαν τῆς σαρκός, καὶ ὅτι καὶ ἄλλως πένης ἦν, ὅσον εἰς χρήματα καὶ περιουσίαν.

« Οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ. » — Περὶ δὲ τοῦ ἰδιώματος τούτου προειρήκαμεν ἐν τῇ ἐξηγήσει τοῦ Ἰὼβ ψαλμοῦ.

« Καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου. » — Εὐθὺς ἐν τῷ βοᾷν με πρὸς αὐτὸν εἰσήκουσέ μου.

« Παρὰ σοῦ ὁ ἔπαινός μου. » — Ὅτε φωνὴ κατηνέχθη ἐκ τοῦ οὐρανοῦ λέγουσα· « Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα. » — Καὶ αὖθις· « Ἐδόξασα καὶ πάλιν δοξάσω. »

« Ἐκκλησίᾳ μεγάλῃ. » — Ἐξομολόγησιν ἐνταῦθα τὴν αἴνεσιν λέγει. Μεγάλη δὲ ἡ τῶν πιστῶν Ἐκκλησία, ὡς μέχρι περάτων τῆς γῆς φθάνουσα· ἢ καὶ ὡς ἀπὸ μεγάλων ἀνδρῶν συνισταμένη. Ἀεὶ δὲ διὰ τοῦ Εὐαγγελίου μέσον αὐτῆς ὑμνεῖ τὸν Πατέρα. Ἄνω μὲν οὖν ἁπλῶς Ἐκκλησίαν εἶπε τὴν τῶν Ἰουδαίων συναγωγὴν, ἢ καὶ τὴν ἑκάστην παροικίαν μερικὴν τῶν εὐσεβῶν· νῦν δὲ μεγάλην λέγει τὴν καθολικὴν τῶν πιστῶν.

« Τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν. » — Εὐχὰς νῦν τὰς ὑποσχέσεις καλεῖ, δηλονότι τὸ διηγεῖσθαι τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ μνῆσαι αὐτόν.

« Οἱ μέχρι τότε πένητες ὅσον εἰς εὐσέβειαν, ἢ καὶ ὅσον εἰς ἀνθρώπινον πλοῦτον· ἀκτήμονες γὰρ οἱ κατὰ ἀλήθειαν Χριστιανοί. Φάγονται δὲ τὴν πνευματικὴν τροφὴν τῆς εὐαγγελικῆς διδασκαλίας τὴν αὔξουσαν τὴν ψυχήν.

« Φάγονται πένητες, καὶ ἐμπλησθήσονται. Καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν. » — Ὅτι οὐκ ἐφείσατο τοῦ Μονογενοῦς αὐτοῦ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων. Ἐκζητεῖ δὲ πᾶς τὸν Θεὸν ὁδεύων τὴν τρίβον τῶν ἐντολῶν αὐτοῦ, φερουσῶν ἄντικρυς εἰς αὐτόν· ἢ καὶ ἄλλως φάγονται τὸ σῶμα τοῦ Σωτῆρος ᾧ καὶ τὸ αἷμα συμπεριλαμβάνεται, καὶ ἐμπλησθήσονται Πνεύματος ἁγίου· καὶ ὕμνοις περὶ τὴν μυστικὴν χρήσονται τράπεζαν· ὡς εἶναι τοῦτο προφητείαν οὐ μόνον περὶ τοῦ Εὐαγγελίου, ἀλλὰ καὶ περὶ τῆς μυστικῆς τραπέζης.

« Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος. » — Φησὶν ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος· « Ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· » καὶ πάλιν· « Ἐάν τις φάγῃ ἐκ τοῦ ἐμοῦ ἄρτου, ζήσεται εἰς τὸν αἰῶνα· » φυλάττων δηλαδὴ τὰς ἐντολὰς διὰ τῆς καρδίας ὅλον τὸ ζῶον ἐδήλωσεν ἀπὸ τοῦ καιριωτέρου μέρους· εἰ γὰρ καὶ τεθνήξεται κατὰ φύσιν, ἀλλ' αὖθις ἀναστήσεται εἰς ζωὴν αἰώνιον.

« Μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς. » — Μνήμη ἐπὶ προεγνωσμένου πράγματος λέγεται. Φαίνεται τοίνυν ὡς ἡ θεογνωσία τοῖς ἀνθρώποις ἔμφυτός ἐστιν· ἀλλ' ἐν τοῖς ἔθνεσιν ἡ τῆς πλάνης ἀχλὺς ἐκάλεσεν αὐτήν. Τῆς ἀχλύος δὲ διασκεδασθείσης τῷ ἡλίῳ τῆς δικαιοσύνης Χριστῷ ἐμνήσθησαν, τοῦ δημιουργοῦ καὶ πρὸς αὐτὸν ἐπεστράφησαν ἢ μνησθήσονται, ἀντὶ τοῦ μνήμης ἀξιωθήσονται παρὰ τῷ Θεῷ μέχρι τότε παρεωραμένοι. Ὅρα δὲ ὅπως ἐχρήσατο τῇ τάξει μνησθήσονται εἰπὼν, εἶτα ἐπιστραφήσονται, εἶτα προσκυνήσουσιν.

« Καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν. » — Καὶ μὴν οὔτε πάντα τὰ πέρατα τῆς γῆς ἐπίστευσαν οὔτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν· ἀλλ' ἐπεὶ καὶ εἰς πάντα τὰ πέρατα τῆς

OCR ABK / FR

γῆς τὸ Εὐαγγέλιον ἔφθασεν, ἀπὸ τοῦ ὅλου τὸ μέρος A δεδήλωκεν, ὡς ἐν ἄλλοις τοὐναντίον ἀπὸ μέρους τὸ ὅλον· ἄλλως τε δὲ πατριὰς τὰς συγγενείας καλεῖ. Δῆλον δὲ ὅτι παντὸς ἔθνους συγγενεῖς ἐπίστευσαν εἰς Χριστὸν καὶ δι' αὐτοῦ προσεκύνησαν τὸν Πατέρα.

« Ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν. » — Οὗτός ἐστι καὶ βασιλεὺς αὐτῶν καὶ δεσπότης, κατὰ τὸ, « Καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· » καὶ διὰ τοῦτο προσκυνήσουσιν αὐτὸν τῆς διαβολικῆς τυραννίδος ἐλευθερωθέντες.

« Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς. » — Πίονας τοὺς πλουσίους λέγει, τοὺς πλουτήσαντας τὴν εὐσέβειαν, οἳ πρότερον πένητες ἦσαν, ὡς προειρήκαμεν.

« Ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς γῆν. » — Προσκυνήσουσιν αὐτὸν πάντες οἱ ἀποθνήσκοντες καὶ εἰς γῆν ἀναλυόμενοι· μετὰ γὰρ τὴν κοινὴν ἀνάστασιν αὐτῷ πᾶν γόνυ κάμψει κατὰ τὸν Ἀπόστολον, καὶ οἱ μὲν ἑκόντες καὶ πόθῳ, οἱ δὲ ἄκοντες καὶ φόβῳ.

« Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ. » — Αὐτός ἐστιν ὁ ταύτην ζωῶν, καὶ μὴ ἐῶν ἀποθνήσκειν ὑπὸ τῆς ἁμαρτίας. Τοῦτο δὲ καὶ ἐπὶ τοῦ Πνεύματος νοεῖται καὶ καὶ ἐπὶ τοῦ Υἱοῦ· καὶ ἄλλως δὲ, « Ζῇ τῷ Θεῷ, φησὶν, ἡ ψυχή μου, » ὡς ἐνεργὸς οὖσα πρὸς αὐτόν· ὥσπερ ἐκ τοῦ ἐναντίου τέθνηκε τῷ δαίμονι ὡς ἀκινητοῦσα πρὸς τὰς ὑποθήκας αὐτοῦ.

« Καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ. » — Σπέρμα Χριστοῦ ἤτοι τέκνα πάντες οἱ διὰ τοῦ Εὐαγγε- C λίου γεννηθέντες αὐτῷ· οὓς καὶ ὑπέταξε τῷ Πατρί.

« Ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη. » — Γνωρισθήσεται τῷ Θεῷ ἡ ἐξ ἐθνῶν γενεὰ τῶν πιστῶν ἡ ἐλευσομένη ἐν ταῖς ἡμέραις τῆς ἐνανθρωπήσεως τοῦ Υἱοῦ.

« Καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ. » — Οἱ διὰ πίστεως τεχθέντες ἀναγγελοῦσι τοῖς τεχθησομένοις, καὶ τοῦτο καθεξῆς ἀεί. Δικαιοσύνην δὲ, ὅτι καθεῖλε τὸν ἀδικοῦντα τοὺς ἀνθρώπους πολέμιον.

« Ὃν ἐποίησεν ὁ Κύριος. » — Ὃν ἐποίησεν ἤτοι συνεστήσατο λαὸν ἑαυτοῦ πρότερον οὐ λαὸν ὄντα, ἀλλ' ἀπωσμένον, ἢ ὃν ἐδημιούργησε. Τὸ δὲ, Ἀναγγελήσεται τῷ Κυρίῳ, τινὲς ἄλλως ἡρμήνευσαν, εἰπόντες ὅτι προφητεία, τουτέστι περὶ τῶν ἐν Ἱεροσολύμοις ζητησάντων ἰδεῖν τὸν Ἰησοῦν Ἑλλήνων· φησὶ γὰρ ὁ εὐαγγελιστὴς Ἰωάννης, ὅτι « Οὗτοι προσῆλθον Φιλίππῳ ὄντι ἀπὸ Βηθσαϊδειᾶ τῆς Γαλιλαίας, καὶ ἠρώτων αὐτὸν λέγοντες, Κύριε, θέλομεν τὸν Ἰησοῦν ἰδεῖν· ἔρχεται Φίλιππος καὶ λέγει τῷ Ἀνδρέᾳ, καὶ πάλιν Ἀνδρέας καὶ Φίλιππος λέγουσι τῷ Ἰησοῦ. Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς εἶπεν. Ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ Υἱὸς τοῦ ἀνθρώπου. » Ἰδοὺ τοίνυν ἀναγγέλλει τῷ Χριστῷ παρὼν τῶν ἀποστόλων ἡ γενεὰ ἐκείνη· τουτέστιν οἱ Ἕλληνες· οἱ ἐξερχόμενοι πρὸς αὐτὸν προοίμιόν τε ὄντες πάντων τῶν ἐξ ἐθνῶν ἐληλυθότων.

## ΨΑΛΜΟΣ ΚΒʹ.

« Ψαλμὸς τῷ Δαυΐδ. Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει. » — Αὐτὸς γὰρ ἐν τῷ Εὐαγγελίῳ φησίν· « Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός· » ὡς πρόβατα γὰρ πλανωμένους ἐπὶ τόπους ἀπωλείας τοὺς ἐξ ἐθνῶν εὗρε καὶ εἰς μάνδραν ἤγαγε, καὶ λοιπὸν ποιμαίνει· διὸ καὶ ἕκαστος αὐτῶν εὐχαριστῶν ἀπαγγέλλει τὰς εὐεργεσίας αὐτοῦ λέγων. « Ὁ Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει· » ἤτοι οὐδέν με λοιπὸν ἐπιλείψει τῶν ἐπιτηδείων. Ἰστέον δὲ ὅτι τὰ πάνυ ἐγνωσμένα χωρὶς ἄρθρου τὸν πολλάκις ἐκφέρονται.

« Εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν. » — Τόπος μὲν χλόης ἡ πρακτικὴ ἀρετή· ὕδωρ δὲ ἀναπαύσεως ἡ θεωρητικὴ φιλοσοφία· ἐκεῖ δέ με, φησὶ, B κατεσκήνωσεν, ὅπου τόπος χλόης. Ἐπίμεινε τῇ τροπῇ τοῦ ποιμαίνειν· χλόη γὰρ καὶ ὕδωρ εὐθηνία ποιμνίου. Τοῦτο δὲ βούλονται δηλοῦν, ὅτι ἐν ἀπολαύσει νομῆς με κατέστησε.

Καὶ ἄλλως· τόπος μὲν χλόης ἡ Ἐκκλησία· χλόη δὲ οἱ πιστοὶ ἀνθοῦντες κατ' ἀρετήν· ἢ καὶ χλόην τὴν τῶν Χριστιανῶν πίστιν νοήσεις, νεάζουσαν ἀεί· ἡ γὰρ τῶν Ἑλλήνων ὡς χόρτος ἐγήρασε καὶ ἀπεξηράνθη.

« Ἐπὶ ὕδατος ἀναπαύσεως ἐξέθρεψέ με. » — Τοῦτο διὰ τὸ λουτρὸν τοῦ βαπτίσματος· διὰ τοῦ τοιούτου γὰρ ὕδατος ῥυπτόμενοι, ῥύπτομεν τὸν πόνον καὶ τὸ βάρος τῆς ἁμαρτίας· καὶ λοιπὸν ἀναπαυόμεθα· διὸ καὶ ὁ Κύριος ἔλεγε· « Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· » ἢ καὶ ἄλλως· ὕδωρ τὸ ζωηρὸν νᾶμα τῆς τοῦ Χριστοῦ διδασκαλίας, ὡς προειρήκαμεν εἰς τὸν πρῶτον ψαλμὸν, τὸ παρὰ τὰς διεξόδους τῶν ὑδάτων ἑρμηνεύοντες.

« Τὴν ψυχήν μου ἐπέστρεψεν. » — Ἀπὸ τῆς πλάνης τῶν εἰδώλων.

« Ὡδήγησέ με ἐπὶ τρίβους δικαιοσύνης. » — Δικαιοσύνην ἐνταῦθα τὴν καθόλου λέγει τὴν ἐμπεριέχουσαν πάσας τὰς ἀρετάς· τρίβους δὲ ταύτης τὰς μερικὰς ἀρετάς· διότι φέρουσιν εἰς αὐτήν· αὐτὸς γὰρ ἐνανθρωπήσας ἔτεμε ταύτας καὶ βαδίσας ὑπέδειξεν ἔργῳ καὶ λόγῳ καθοδηγήσας ἡμᾶς.

« Ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. » — Διὰ τὸ κληθῆναί με Χριστιανὸν, ἢ ἵνα μὴ βλασφημῆται τὸ ὄνομα αὐτοῦ δι' ἀτόπων πράξεων παρὰ τοῖς ἀπίστοις.

D « Ἐὰν γὰρ καὶ πορευθῶ ἐν μέσῳ σκιᾶς θανάτου, οὐ φοβηθήσομαι κακὰ, ὅτι σὺ μετ' ἐμοῦ εἶ. » — Σκιὰ θανάτου ὁ παρὼν κόσμος· ὥσπερ γὰρ ὁ θάνατος χωρίζει τὴν ψυχὴν ἀπὸ τοῦ σώματος, οὕτω καὶ ὁ παρὼν κόσμος χωρίζει τὸν φιλόκοσμον ἀπὸ τοῦ Θεοῦ. Εἴ τις δὲ ἐστι μετὰ τοῦ Θεοῦ, καὶ ὁ Θεὸς μετ' αὐτοῦ ἐστι. Καὶ ἑτέρως δέ· σκιὰ θανάτου πόνος κινδύνου παντὸς, οἷα ἐοικὼς θανάτῳ διὰ τὴν πικρίαν τῆς ἀλγηδόνος· σκιὰ μέντοι διὰ τὴν ὁμοίωσιν· κακὰ δὲ οἱ πειρασμοί. Σύνεσις δὲ πᾶσι τοῖς ἀληθῶς Χριστιανοῖς ὁ Κύριος· αὐτοῦ γὰρ ὁ λόγος· « Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. »

OCR ABK / FR

« Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν. » — Ῥάβδος μὲν ἡ κρίσις τοῦ Θεοῦ, βακτηρία δὲ ἡ πρόνοια αὐτοῦ αἱ παρακαλοῦσιν εἰς σωτηρίαν· ἢ ῥάβδος μὲν ἡ παιδευτικὴ τῶν σφαλλομένων βακτηρία ἡ ὑπερασπιστικὴ τῶν ὀλιγοψυχούντων, τουτέστι καὶ ἁμαρτάνοντα ἐπαίδευσας, καὶ πεπονηκότα ὑπεστήριξας, καὶ δι' ἀμφοτέρων ὠφέλησας· Ἔστι δὲ ἡ σύνταξις οὕτως. Αὗταί με παρεκάλεσαν, ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου. Παρεκάλεσαν δὲ ἀντὶ τοῦ ἐνουθέτησαν· ὁ γὰρ νουθετῶν παρακαλεῖ καὶ ἕλκει πρὸς τὸ συμφέρον. Τινὲς δὲ ῥάβδον καὶ βακτηρίαν τὸν σταυρὸν ἐκάλεσαν, ὡς ἐκ δύο τμημάτων συγκείμενον· ὧν τὸ μὲν ὀρθὸν, βακτηρίαν δι' ἧς ὠρθώθημεν κείμενοι ἐν πλάνῃ, τὸ δὲ πλάγιον, ῥάβδον δι' ἧς ἔπληξε καὶ κατέῤῥαξε τοὺς δαίμονας· πλαγίως γὰρ οἱ στεῤῥῶς πλήττοντες τὴν πληγὴν καταφέρουσιν· προταγῆναι δὲ φασι τὴν ῥάβδον, διότι πρῶτον διὰ τοῦ σταυροῦ καθεῖλε τὸν τύραννον· εἶτα διὰ τοῦ αὐτοῦ καὶ ἡμᾶς ἐῤῥύσατο· ὡς εἶναι τὴν ἑρμηνείαν ὅτι ὁ σταυρός σού με παρεκάλεσεν εἰς εὐσέβειαν.

« Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με· » — Τράπεζα μὲν ἡ πρακτικὴ ἀρετή· ἔλαιον δὲ λιπαῖνον τὸν νοῦν ὡς κεφαλὴν ἡ θεωρία τῶν ἐν τοῖς λόγων· ποτήριον δὲ ἡ περὶ Θεοῦ γνῶσις· ἔλεος δὲ αὐτοῦ ἐλεήμων Υἱὸς καὶ Θεὸς, ὃς διὰ τῆς ἐνανθρωπήσεως αὐτοῦ καταδιώκει ἀεὶ, ἕως οὗ καταλάβοι πάντας τοὺς σωθησομένους. οἶκος δὲ ἡ βασιλεία αὐτοῦ ἐν ᾗ ἀποκαθίστανται πάντες οἱ ἅγιοι· μακρότης δὲ ἡμερῶν ἡ αἰώνιος ζωή· οὐ μόνον οὖν με, ὡς προεῖπον, εὐηργέτησας, ἀλλὰ καὶ τροφὴν πνευματικὴν ἐχαρίσω· τοῦτο γὰρ νῦν ἡ τράπεζα βούλεται καὶ ταύτην ἐνώπιον τῶν ἐχθρῶν μου ὡς ἀνιᾶσθαι βλέποντες· ἢ ἐξεναντίας ἀντὶ τοῦ τὸ ἐναντίον· ὅπερ οὗτοι βούλονται· καὶ γὰρ αὐτοὶ μᾶλλον ἀεὶ ἀνθρωπείαν με σπεύδουσιν. Ἢ τράπεζαν λέγει τὴν ἀπόλαυσιν τῶν μελλόντων ἀγαθῶν ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· ἢ καὶ τὴν τοῦ θυσιαστηρίου τράπεζαν ἐφ' ἧς πρόκειται ὁ δεῖπνος ὁ μυστικός.

« Ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου. » — Τῷ τοῦ Πνεύματος χαρίσματι. Κεφαλὴν δὲ τὸν νοῦν οἰητέον ἐκ τοῦ περιέχοντος τὸ περιεχόμενον· ἡ χάρις γὰρ τοῦ Πνεύματος ἱλαρύνει καὶ πιαίνει τὸν νοῦν. Ἢ τὸ χάρισμα τοῦ βαπτιστικοῦ ἐλαίου, ἢ τὸ τοῦ μύρου προαναφωνεῖ, ἐφ' ὧν ἀπὸ τῆς κεφαλῆς ὅλον τὸν ἄνθρωπον νοήσομεν.

« Καὶ τὸ ποτήριόν σου μεθύσκον με, ὡσεὶ κράτιστον. » — Τὸ πόμα τῶν εὐαγγελικῶν λόγων μεθύσκον μέ ἐστιν· ἔκστασιν γὰρ ἐμποιεῖ τοῦ προτέρου φρονήματος ὡς κρατούνων κατὰ τῶν ἐχθρῶν· ἢ καὶ τὸ ποτήριον τὸ τῆς ἀναιμάκτου θυσίας.

« Καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. » — καταδιώξει ἀντὶ τοῦ ἕψεται οὕτω δηλονότι πορευομένῳ καὶ τὴν πλάνην φεύγοντι· ἢ καταδιώξει ἀντὶ τοῦ ἐκζητήσει με καὶ οὐκ ἀποστήσεται.

« Καὶ τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου εἰς μακρότητα ἡμερῶν. » — Καταδιώξει ἐμὲ καὶ τὸ κατοι- A κεῖν ἐν τῇ σκέπῃ τοῦ Κυρίου περιφρουρούμενος· ἢ οἶκον Κυρίου λέγεται τὴν Ἐκκλησίαν καὶ συναγωγὴν τῶν πιστῶν, ἐν ᾗ οἰκεῖ ὁ Κύριος ὀπτανόμενος τοῖς ἀξίοις· τουτέστι καὶ ἐλέους ἀξιωθήσομαι· καὶ φρουρηθήσομαι καὶ πιστῶς μενῶ· ἢ καὶ ἄλλως τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου ἔσται μοι εἰς μακρότητα ἡμερῶν· ἤγουν δι' ὅλου τοῦ βίου.

## ΨΑΛΜΟΣ ΚΓ.

« Ψαλμὸς τῷ Δαυὶδ τῆς μιᾶς Σαββάτων. » Ὁ ψαλμὸς οὗτος τῆς μιᾶς Σαββάτων ἐστὶν, ἤτοι τῆς ἡμέρας καθ' ἣν ὁ Χριστὸς ἀνέστη, περὶ αὐτῆς προαγορευθείς· ἣν καὶ οἱ εὐαγγελισταὶ μίαν Σαββάτων σαφῶς ἐκάλεσαν. Διεξέρχεται δὲ καὶ περὶ τῆς τοῦ Σωτῆρος ἀναλήψεως ἐν τῷ τέλει.

B « Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς. » — Ὅτε δηλαδὴ τοῦ μνήματος ἐξαναστὰς ἐνεφανίσθη τοῖς μαθηταῖς καὶ εἶπεν· « Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· » ἐξ ἐκείνης γὰρ τῆς ἡμέρας τοῦ Χριστοῦ γέγονεν ἡ γῆ, πρότερον ὑπὸ τῶν δαιμόνων κυριευομένη· πανταχοῦ γὰρ λοιπὸν τῆς γῆς ἀντὶ τῶν εἰδωλείων θεῖοι ναοὶ καθιδρύνθησαν, τοῦ κηρύγματος διαδραμόντος ἄχρι τῶν περάτων τῆς οἰκουμένης, ὡς προλαβόντες εἰρήκαμεν. Πλήρωμα δὲ αὐτῆς οἱ ταύτην πληροῦντες ἄνθρωποι. Ἀπὸ δὲ τοῦ ὅλου πλείους ἐδήλωσεν· οὐ γὰρ πάντες τοῦ Κυρίου γεγόνασι. Τῷ μέντοι τῆς γῆς ὀνόματι καὶ τὰς νήσους συμπεριέλαβον, ὅτι γῆ καὶ αὗται.

« Ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦντες ἐν C αὐτῇ. » — Τοῦτο τῶν προῤῥηθέντων ἑρμηνευτικόν· ὃ γὰρ εἶπεν ἐκεῖ γῆν, τοῦτο ἐνταῦθα οἰκουμένην· καὶ ὃ ἐκεῖ πλήρωμα, τοῦτο ἐνταῦθα κατοικοῦντας ἐν αὐτῇ· καὶ ἄλλως δὲ εἰ καὶ μὴ πᾶσα καὶ πάντες τοῦ Κυρίου ἔδοξαν· ἐπληρώθησαν γάρ· ὅτι αὐτὸς τούτων ποιητὴς καὶ Κύριος.

« Αὐτὸς ἐπὶ θαλασσῶν ἐθεμελίωσεν αὐτὴν, καὶ ἐπὶ ποταμῶν ἡτοίμασεν αὐτήν. » — Χρὴ δὲ γινώσκειν ὅτι μέγας Βασίλειος θεμέλιον εἶναι τῆς γῆς μόνον τὸ δεσποτικὸν πρόσταγμα λέγων, καὶ μήτε ὕδωρ μήτε τι ἕτερον. Διὰ δὲ τοῦ προκειμένου ῥητοῦ τὴν ἐν ἀρχῇ τῆς κοσμογενείας θέσιν τοῦ ὕδατος δηλοῦσθαι φύσιν ἐπικειμένη τῇ γῇ καί οἱ ἐπηωρημένη καὶ συνεχομένη καὶ μὴ ἀποῤῥέοντος· τὸ γὰρ αὐτὸ καὶ θάλασσαν καὶ ποταμοὺς εἰκὸς προσαγορευθῆναι διὰ τὸ πλῆθος· ἐπεὶ καὶ ἄβυσσον ὁ Μωϋσῆς ὠνόμασι D τοῦτο διὰ τὸ βάθος· « Καὶ Πνεῦμα γάρ, φησὶ, Θεοῦ ἐπεφέρετο ἐπάνω τῆς ἀβύσσου. » Ὁ δὲ Χρυσόστομος Ἰωάννης τὸ παρὸν ῥητὸν εἰς ἀπόδειξιν μάλιστα λαμβάνει τοῦ ὑποκεῖσθαι πάσῃ τῇ γῇ δίκην θεμελίων ὕδατα καὶ κενὸν οὐδέν· αὐτὸς γὰρ ἦν ὁ ταύτην ἐν ἀρχῇ θεμελιώσας· « Πάντα γάρ, φησί, δι' αὐτοῦ ἐγένετο· » εἶτα παραπλέκει καὶ τὸ καινὸν τῆς θεμελιώσεως ὅτι ἐπάνω θαλασσῶν καὶ ποταμῶν ἥδρασεν αὐτήν. Τοῦτο δὲ λέγει πάντως οὐ καθολικῶς· ἦ γὰρ ἂν κατώτερον ἦν τὸ ὕδωρ. Ὁ δὲ Μωσῆς κατωτέραν ἐδίδαξεν εἶναι τὴν γῆν· δῆλον οὖν ὅτι μερικῶς τοῦτό φησιν· διότι ἐν πολλοῖς κοιλώμασι τῆς γῆς συριγγιώδεσιν ὑποτρέχουσι μέρη τινὰ τῆς θα-

OCR ABK / FR

λάσσης ἃ καὶ θαλάσσα, ἐκάλεσε τῷ τοῦ ὅλου χρησάμενος ὀνόματι· καὶ ὁ Μωσῆς γάρ φησι ὅτι τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας· περὶ γὰρ τῶν ποταμῶν τί χρὴ λέγειν, ὅπως ὑποβρύχιοι μέχρι πολλοῦ φερόμενοι ἀναδιδόασι; θαυμαστὸν δὲ πῶς οὐ συνιζάνει τὰ τηλικαῦτα βάρη τῆς γῆς· ὅρη γὰρ ὅλα τοῖς τοιούτοις ὕδασιν ἐφήδρασται· καὶ ὅμως μένει τεθεμελιωμένη ἐπ' αὐτῆς καὶ συνεχομένη μόνῳ τῷ προτάγματι τοῦ ποιήσαντος· ἡτοίμασε δὲ ἀντὶ τοῦ ἐκόσμησεν.

« Τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ Κυρίου; καὶ τίς στήσεται ἐν τόπῳ ἁγίῳ αὐτοῦ; » — Τοῦτο περὶ τῶν ἱερέων οἶμαι προαγορεύεσθαι · διαφαίνει γὰρ οἵους αὐτοὺς εἶναι χρή. Καὶ ὄρος μὲν Κυρίου νοήσεις τὸν καθολικὸν ἑκάστου ναόν· διὰ τὸ ὑπερανεστηκὸς καὶ διάδηλον καὶ τὸ περιπνεῖσθαι ταῖς ἀντιπνοίαις τῶν ἐχθρῶν τῆς πίστεως· τόπον δὲ ἅγιον τὸν ἐνώπιον τοῦ θυσιαστηρίου. Ὅρα δὲ τῆς λέξεως τὴν ἀκρίβειαν· ἀναβήσεται γάρ, εἶπε, διότι πρὸ τῆς εἰσόδου βαθμίδες τινὲς εἰώθασι κατασκευάζεσθαι. (Duo hæc verba fere omnino crasa sunt.) Τινὲς δὲ ὄρος Κυρίου λέγουσι τὸ ὕψος τῶν ἀρετῶν ἃς ὁ Χριστὸς ἐνετείλατο διὰ τοῦ Εὐαγγελίου · τόπον δὲ ἅγιον τὸν τῆς ἐπηγγελμένης βασιλείας τῶν οὐρανῶν · ἢ καὶ ἄλλως ὄρος τὸ ὕψος τῆς περὶ τοῦ Χριστοῦ θεολογίας καὶ τῶν ὀρθῶν δογμάτων τῆς ἐνανθρωπήσεως αὐτοῦ.

« Ἀθῷος χερσί, καὶ καθαρὸς τῇ καρδίᾳ. » — Εἰς ἐρώτησιν σχηματίσας ὁ προφήτης τὸ προλαβὸν ῥητόν, εἶτα νῦν ἀποκρίνεται. Καὶ διὰ μὲν τῶν χειρῶν τὰς πράξεις δηλοῖ, διὰ δὲ τῆς καρδίας τὰς ἐνθυμήσεις ἀμέμπτους ἔχων καὶ καθαράς· ἀθῷον γὰρ ἐνταῦθα τὸν ἄμεμπτον· ὡς ὅτε μὴ τοιοῦτος οὔτε ἀναβαίνει, οὔθ' ἵσταται, κἂν τοῦτο δοκῇ · σκόπει δὲ πῶς ἄμφω συνέζευξεν· ἑκάτερον γὰρ ἑκατέρου χωρὶς ἀδόκιμον.

« Ὃς οὐκ ἔλαβεν ἐπὶ ματαίῳ τὴν ψυχὴν αὐτοῦ. » — Ὃς οὐκ ἔλαβε παρὰ Θεοῦ τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ματαίου, ἵνα ματαία μεταχειρίζηται · ἢ ὃς οὐκ ἐχρήσατο εἰς πονηρὸν τὴν ψυχὴν αὐτοῦ κτισθεῖσαν ἐπ' ἀγαθοῖς.

« Καὶ οὐκ ὤμοσεν ἐπὶ δόλῳ τῷ πλησίον αὐτοῦ. » — Καὶ οὐκ ἐπιώρκησεν · ὁ γὰρ ἐπιορκῶν δολιεύεται ἵνα ἢ ἀφεθῇ χρεωστῶν, ἢ λάβῃ μὴ χρεωστούμενος· τοιαῦτα εἶπε καὶ ἐν τῷ ιδ' ψαλμῷ· καὶ ζήτει ἐκεῖ περὶ ὅρκου πλατύτερον ἔνθα κεῖται τό, « Ὁ ὀμνύων τῷ πλησίον αὐτοῦ καὶ οὐκ ἀθετῶν. »

« Οὗτος λήψεται εὐλογίαν παρὰ Κυρίου. » — Χάριν δωρεὰν κατὰ τὸν παρόντα βίον· ὁ καὶ πρᾶξιν ἀγαθὸς καὶ ἐνθύμησιν καθαρός, καὶ τῶν ματαίων ἀφεστὼς καὶ μὴ ἐπιορκῶν τῷ πλησίον.

« Καὶ ἐλεημοσύνην παρὰ Θεοῦ σωτηρίου αὐτοῦ. » — Κατὰ τὸν μέλλοντα· πᾶς γὰρ καὶ ὁ πάνυ δίκαιος ἐλέους δεῖται παρὰ Θεοῦ· εἰ γὰρ μὴ τὴν οἰκείαν παραμίξει συμπάθειαν, οὐ δικαιωθήσεται ἐνώπιον αὐτοῦ πᾶς ζῶν. Καὶ ἄλλως δὲ ποῖα ἔργα ἀνάξια τῆς βασιλείας τῶν οὐρανῶν;

« Αὕτη ἡ γενεὰ ζητούντων τὸν Κύριον. » — Αὕτη ἡ γενεὰ ἡ οὕτως βιοῦσα γενεά ἐστι ἀνδρῶν ζητούντων τὸν Κύριον. Ἤτοι ἀγαπώντων· ὁ γὰρ ἀγαπῶν ζητεῖ.

« Ζητούντων τὸ πρόσωπον τοῦ Θεοῦ Ἰακώβ. » — Θεὸς τοῦ Ἰακὼβ ὁ Πατὴρ ἐδείκνυτο τοῖς Ἑβραίοις · πρόσωπον δὲ Πατρὸς ὁ Υἱός · « Ὁ ἑωρακὼς γάρ, φησίν, ἐμὲ ἑώρακε τὸν Πατέρα. » Τὸν Ἰακὼβ δὲ συνεχῶς ἐν τοῖς Ψαλμοῖς τίθησιν, ὡς πατέρα τῶν Ἰακὼβ φυλῶν. Ἢ καὶ ἄλλως ζητούντων ἰδεῖν τὸν Θεὸν κατὰ τὸν μέλλοντα αἰῶνα· ὅτε πρόσωπον πρὸς πρόσωπον ὄψονται αὐτὸν οἱ ἄξιοι, καθά φησι Παῦλος.

Διάψαλμα.

Περὶ τοῦ διαψάλματος ἱκανῶς ἐν τοῖς προοιμίοις εἴρηται τῆς παρούσης βίβλου.

« Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν· » — Ἐντεῦθεν προαγορεύει καὶ τὴν εἰς οὐρανοὺς τοῦ Σωτῆρος ἀνάληψιν· εἰσάγει γὰρ τοὺς ἐν Χριστῷ διακονοῦντας ἐπὶ τῆς γῆς ἀγγέλους συνανιόντας αὐτῷ καὶ προάγοντας καὶ διακελευομένους τοῖς φυλάττουσι τὴν εἰς οὐρανὸν εἴσοδον αἴρειν τὰς πύλας. Συντάσσεται δὲ τὸ ῥητὸν οὕτως· Οἱ ἄρχοντες ἄρατε πύλας ὑμῶν, ἤγουν οἱ ἐξουσιάζοντες τῶν πυλῶν τούτων, ἄρατε ταύτας· ὑμῶν δὲ ἀντὶ τοῦ ὧν ἄρχετε. Οὐκ εἶπε δὲ ἀνοίξατε, ἀλλ' ἄρατε, παντελῶς ἐντεῦθεν τὸ ἀχώριστον τῆς δόξης τοῦ μέλλοντος εἰσελθεῖν ἐμφαίνων. Πύλας δὲ τὴν φυλακὴν οἰητέον.

« Καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. » — Ἡ φυλακὴ ἡ αἰώνιος διὰ τὴν ἀϊδιότητα τῶν φυλαττόντων ἀγγέλων · ἢ αἰώνιοι διὰ τὸ μηδέποτε ἀνοιγῆναι · κεκλεισμένων γὰρ αὐτῶν, κατῆλθεν εἰς γῆν, λαθὼν πάσας τὰς δυνάμεις.

« Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; » — Βασιλεὺς τῆς δόξης λέγεται καὶ κύριος τῆς δόξης, ὡς ὑπερένδοξος, καὶ ὡς βασιλεύων καὶ κυριεύων πάντων τῶν ἐνδόξων.

« Κύριος κραταιὸς καὶ δυνατός, Κύριος δυνατὸς ἐν πολέμῳ. » — Ἀκούσαντες οἱ ἄρχοντες τῶν πυλῶν ἐξηπορήθησαν. οἷα μόνον τὸν Θεὸν εἰδότες βασιλέα τῆς δόξης· ὃν ἐν τρισὶν ὑποστάσεσιν ὄντα, τὸν ὑπερουράνιον τόπον προσεδόκων οἰκεῖν. Ἄλλως τε καὶ ἡ περιβολὴ τῆς σαρκὸς ἐξέπληττε τούτους, ὅθεν ἐρωτῶσιν καὶ αὖθις ἀκούειν.

« Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν, καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης. » — Ὁ Κύριός ἐστιν ὃν οἴδατε ὁ κραταιὸς καὶ δυνατός. Εἶτα πάλιν ὁ Κύριος ὁ δυνατὸς ἐν πολέμοις. Ἡ δὲ ἀναδίπλωσις εἰς ἀναγνωρισμὸν αὐτοὺς ἄγει. Ἅμα δὲ καὶ ἐξυμνεῖ τὴν κατὰ τοῦ τυράννου νίκην· ᾧ πολεμήσας προσβαλόντι, καθεῖλε καὶ τῷ σταυρῷ καθάπερ δόρατι κατηκόντισεν.

« Τίς ἐστιν οὗτος, ὁ βασιλεὺς τῆς δόξης; Κύριος τῶν δυνάμεων. » — Ὁμοίως ἀποροῦσιν κἀκεῖνοι καὶ τοὺς πυνθάνονται καὶ ἀκούουσιν.

κδ'. « Αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. » — Ὁ δυνατὸς Κύριος ὁ βασιλεὺς τῶν δυνάμεων, ἢ καὶ δεσπότης τῶν δυνατῶν, αὐτός ἐστιν ὁ καταγγελλόμενος παρ' ἡμῶν βασιλεὺς τῆς δόξης. Χρὴ δὲ γινώσκειν ὡς οἱ Ἑβραῖοι καὶ τὸν παρόντα ψαλμὸν καὶ

OCR ABK / FR

τὸν πρὸ αὐτοῦ τοῖς ἐν Βαβυλῶνι αἰχμαλώτοις αὐτῶν προσάπτουσιν· ἐκεῖνον μὲν τὰ κατὰ τὴν ἐπάνοδον αὐτῶν χαρμόσυνα συνδιηγούμενον, τοῦτον δὲ παραμυθούμενον τὰ ἐν τῇ αἰχμαλωσίᾳ λυπηρὰ, καὶ διδάσκοντα μὴ δυσχεραίνειν τῷ τόπῳ, οἷα πάσης τῆς γῆς τοῦ Θεοῦ οὔσης, καὶ δυναμένου παντὸς, ἐν παντὶ τόπῳ εὐαρεστεῖν τῷ Θεῷ· ἐλέγχοντα δὲ προδήλως καὶ ἀπὸ τῆς τάξεως· ἢ γὰρ ἂν ἐκεῖνος μετὰ τοῦτον ἐτάγη· ὡς τὰ μετὰ τὴν ἐπάνοδον τῶν αἰχμαλώτων διηγούμενον· ναὶ μὴν καὶ ἀπὸ τῶν ῥητῶν· ποῦ γὰρ τὸ ἔλεος τοῦ Θεοῦ παρέμεινεν αὐτοῖς ἄχρι ζωῆς ὅλως; ὡς πρώτατος λέγει ψαλμός. Ποίας δὲ πύλας αἰωνίους ἔχει τὰ Ἱεροσόλυμα καθὼς ὁ παρὼν φησιν, ἵνα τἄλλα παρήσωμεν; A

## ΨΑΛΜΟΣ ΚΔ'.

Ψαλμὸς τῷ Δαυίδ. — Τοῦτον ἐξεφώνησε πολεμούμενος ὑπ' ἐχθρῶν. Ἁρμόζει δὲ καὶ πᾶσι τοῖς ἐν ἀνάγκαις καὶ ἐπηρείαις δαιμονικαῖς. B

« Πρός σε, Κύριε, ἦρα τὴν ψυχήν μου· ὁ Θεός μου ἐπὶ σοὶ πέποιθα. » — Σοὶ ἀνεθέμην τὴν ἐμὴν ψυχήν.

« Μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. » — Μηδέποτε καταισχυνθείην μηδὲν κατὰ τὸν νῦν αἰῶνα, μήτε κατὰ τὸν μέλλοντα, δηλοῖ δὲ τὸ εἰς τὸν αἰῶνα καὶ τὸ διαπαντός.

« Μηδὲ καταγελασάτωσάν με οἱ ἐχθροί μου· καὶ γὰρ πάντες οἱ ὑπομένοντες οὐ μὴ καταισχυνθῶσιν. » — Ἐν πολλοῖς ὁ Δαυὶδ τὸ ὑπομένον καὶ τὴν ὑπομονὴν ἐπὶ τῆς προσδοκίας καὶ τῆς ἐλπίδος καὶ ἀπεκδοχῆς τίθησι· φησὶν οὖν· « Οὐ μὴ αἰσχυνθῶσιν οἱ προσδοκῶντες καὶ ἐλπίζοντες καὶ ἀπεκδεχόμενοί σε ἤτοι παρὰ σοῦ βοήθειαν. C

« Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς. » — Ματαίως γὰρ καὶ ἐναντίως πολεμοῦσιν οἱ ἀνομοῦντες τῷ μηδὲν αἰδικήσαντι.

« Τὰς ὁδούς, σου, Κύριε, γνώρισόν μοι, καὶ τὰς τρίβους σου δίδαξόν με. » — Δι' ἀμφοτέρων τὰς ἐντολὰς ἐδήλωσεν ἃς εὔχεται παρὰ Θεοῦ μαθεῖν πρακτικῶς.

« Ὁδήγησόν με ἐπὶ τὴν ἀλήθειάν σου, καὶ δίδαξόν με. » — Μὴ μόνον τὴν πρᾶξιν, ἀλλὰ καὶ τὴν τῶν πραγμάτων ὀρθότητα ζητεῖν· ἐξ ἀμφοτέρων γὰρ ὁμοῦ κατορθοῦται ἡ σωτηρία.

« Ὅτι σὺ εἶ ὁ Θεὸς ὁ Σωτήρ μου, καὶ σὲ ὑπέμεινα ὅλην τὴν ἡμέραν. » — Ἤτοι διὰ παντός.

« Μνήσθητι τῶν οἰκτιρμῶν σου, Κύριε, καὶ τὰ ἐλέη σου, ὅτι ἀπὸ τοῦ αἰῶνός εἰσιν. » — Φύσει γὰρ οἰκτίρμων εἶ καὶ ἐλεήμων. D

« Χρηστὸς καὶ εὐθὺς ὁ Κύριος· διὰ τοῦτο νομοθετήσει ἁμαρτάνοντας ἐν ὁδῷ. » — Ἐπεὶ οὐ μόνον εὐθὺς ἤτοι δίκαιος, ἀλλὰ καὶ ἀγαθός ἐστιν, οὐ παραυτίκα τοὺς ἁμαρτάνοντας τιμωρήσεται, ἀλλ' ἐν τῇ ὁδῷ τῆς σωτηρίας τούτοις νομοθετήσει· ἤγουν διὰ τῶν νόμων αὐτοῦ καὶ ἐντολῶν καὶ παραινέσεων θήσει καὶ ἀποκαταστήσει, ὥστε ταύτην εἰ βούλοιντο.

« Ὁδηγήσει πραεῖς ἐν κρίσει, διδάξει ὁδοὺς αὐτοῦ. » — Ἀλλὰ τοὺς πραεῖς καὶ μὴ εἰδότας ἀντιλέγειν ὁδηγήσει ἐν τῇ διακρίσει τοῦ ὀρθοῦ, ἵνα μὴ πλανηθῶσι διὰ τὸ εἶναι γνώμης ἁπλοϊκῆς.

« Πᾶσαι αἱ ὁδοὶ Κυρίου ἔλεος καὶ ἀλήθεια τοῖς ἐκζητοῦσι τὴν διαθήκην αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ. » Ὁδοὺς τὴν νομοθεσίαν φησὶν ἃς ὁ Κύριος τοὺς ἀνθρώπους νομοθετεῖ ἐλεῶν· ἀληθὴς δὲ ὅτι ὁ νομοθέτης αὐτοτελής.

« Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, καὶ ἱλάσθητι τῇ ἁμαρτίᾳ μου· πολλὴ γάρ ἐστι. » — Περιττὸς ἐνταῦθα ὁ καί.

« Τίς ἐστιν ἄνθρωπος ὁ φοβούμενος τὸν Κύριον; νομοθετήσει αὐτῷ ἐν ὁδῷ, ᾗ ᾑρετίσατο. » — Ἐπεὶ διάφοροί εἰσιν αἱ πρὸς σωτηρίαν ὁδοί. τουτέστιν αἱ κατὰ Θεὸν πολιτεῖαι, ἐν ᾗ ὁδῷ διάγειν αἱρεῖται ὁ ἄνθρωπος τοῦ Θεοῦ εὑρίσκει αὐτὸν νομοθετοῦντα αὐτὸν, τουτέστι διδασκαλίας καὶ κανόνας θέμενον τῆς ἀκριβείας τοῦ πολιτεύματος.

« Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται. » — Ἡ ψυχὴ ἀποπτᾶσα τοῦ σώματος τοῖς αἰωνίοις ἀγαθοῖς ἐνσκηνώσει.

« Καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει γῆν. » — Καὶ οἱ γνήσιοι αὐτοῦ μαθηταὶ καὶ τοῦ τρόπου διάδοχοι κληρονομήσουσι τὸν οὐράνιον χῶρον.

« Κραταίωμα Κύριος τῶν φοβουμένων αὐτόν. » — Ἰσχὺς καὶ ὀχύρωμα.

« Καὶ ἡ διαθήκη αὐτοῦ δηλώσει αὐτοῖς. » — Ἡ ὑποθήκη αὐτοῦ γνωρίσει αὐτοῖς τὸ δέον.

« Ἐπίβλεψον ἐπὶ ἐμὲ, καὶ ἐλέησόν με, ὅτι μονογενὴς καὶ πτωχός εἰμι ἐγώ. » — Τὸ μονογενὴς ἀντὶ τοῦ μεμονωμένος· διὸ καὶ πτωχὸς, ὡς ἐκ τῆς τῶν ὁμοζήλων βοηθείας γεγυμνωμένος.

« Ἴδε τοὺς ἐχθρούς μου ὅτι ἐπληθύνθησαν, καὶ μῖσος ἄδικον ἐμίσησάν με. » — Τὴν συντριβὴν καὶ τὴν ταλαιπωρίαν μου ἐπισκεψάμενος, εἴτε τὴν ψυχικὴν εἴτε τὴν σωματικήν. Τοὺς αἰτίους τούτων ἁμαρτίας συγχώρησον.

« Ἄκακοι καὶ εὐθεῖς ἐκολλῶντό μοι, ὅτι ὑπέμεινά σε, Κύριε. » — Ἀγαθοῖς καὶ δικαίοις ἐδίδους τὸ ἑνοῦσθαι φιλικῶς.

« Λύτρωσαι ὁ Θεὸς τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ. » — Ἰσραὴλ ἢ τὸν λαόν φησι τοῖς πυκνοῖς πολέμοις πάσχοντα, ἢ καὶ ἑαυτὸν ὡς ἐκεῖθεν κατηγμένον. Ἔστι δὲ ἀληθῶς Ἰσραὴλ πᾶς ὁ νοερῶς ἀτενίζων τὸν Θεόν.

## ΨΑΛΜΟΣ ΚΕ.

« Ψαλμὸς τῷ Δαυίδ. » — Τοῦτον ἔγραψεν ὁ προφήτης ὁπότε φεύγων τὸν Σαοὺλ παρ' ἀλλοφύλοις διέτριβε.

« Κρῖνόν με, Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην καὶ ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ ἀσθενήσω. Δοκίμασόν με, Κύριε, καὶ πείρασόν με, πύρωσον τοὺς νεφρούς μου, καὶ τὴν καρδίαν μου. » — Ἐξέτασον ἐν ἐμοὶ, Κύριε, πῶς διῆγον ἐν ἀνεξικακίᾳ· εἶτα πρὸς τοὺς ἐχθροὺς ἐπὶ τῷ Κυρίῳ ἐλπίζων οὐ μὴ καταπέσω τῷ φρονήματι.

« Ὅτι τὸ ἔλεός σου κατέναντι τῶν ὀφθαλμῶν μού ἐστι. » — Ἐξέτασον πῶς ἀεὶ τὸ σὸν ἔλεος ἔχω πρὸ ὀφθαλμῶν μου, ἀλλαχόσε μὴ πεποιθώς.

« Καὶ εὐηρέστησα ἐν τῇ ἀληθείᾳ σου. » — Καὶ πῶς εὐάρεστά σοι ἐποίησα οὐκ οἴκοθεν, ἀλλ' ἀπὸ τῶν σῶν ἀψευδῶν λόγων παρακινούμενος· σὺ γὰρ

OCR ABK / FR

ἐπηγγείλω ἐν τῷ νόμῳ τοὺς εὐαρεστοῦν τάς σοι ἐλεεῖν.

« Νίψομαι ἐν ἀθώοις τὰς χεῖράς μου, καὶ κυκλώσω τὸ θυσιαστήριόν σου, Κύριε. » — Τὸ καθαρὸν τῆς συνειδήσεως οἱ παλαιοὶ ἐμφαίνοντες ἀπενίπτοντο τὰς χεῖρας ἔναντι τοῦ πλήθους, ὁπότε διαμαρτύρασθαι ἤθελον ἑαυτοὺς ἐναντίους εἶναί τινος πράγματος. Φησὶν οὖν ὁ Δαυὶδ ὅτι μετὰ ἀθώων νίψομαι τὰς χεῖράς μου μαρτυρούμενος ὅτι ἀναίτιος εἶναι πάντων ὧν εἶπον.

« Τοῦ ἀκοῦσαί με φωνῆς αἰνέσεως καὶ διηγήσασθαι πάντα τὰ θαυμάσιά σου. » — Ὥστε καὶ φωνὴν ἀκοῦσαι καλλόντων, ἀλλὰ καὶ αὐτὸν ἐμὲ ἀναγνῶναι τῷ λαῷ τὰ διὰ τῶν Γραφῶν κηρυττόμενα μεγαλουργήματά σου καὶ τὰ εἰς ἐμὲ γενόμενα ἐξειπεῖν.

« Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου, καὶ τόπον σκηνώματος δόξης σου. » — Τὴν σκηνὴν διὰ τούτων δηλοῖ ἣν ἐπεθύμει ἰδεῖν.

« Μὴ συναπολέσῃς μετὰ ἀσεβῶν τὴν ψυχήν μου καὶ μετὰ ἀνδρῶν αἱμάτων τὴν ζωήν μου. » — Τοὺς παρ' οἷς διέτριβεν ἀλλοφύλους δηλοῖ.

« Ὧν ἐν χερσὶν αἱ ἀνομίαι, ἡ δεξιὰ αὐτῶν ἐπλήσθη δωρεῶν. » — Ὧν ἀεὶ πρόχειρον τὸ ἀνομεῖν.

« Ὁ πούς μου ἔστη ἐν εὐθύτητι · ἐν ἐκκλησίαις εὐλογήσω σε, Κύριε. » — Ὁ πούς τῆς πολιτείας μου ἡδράσθη ἐν ὀρθότητι μὴ περιπατοῦντος σκολιῶς·

## ΨΑΛΜΟΣ ΚϚ.

« Ψαλμὸς τῷ Δαυὶδ πρὸ τοῦ χρισθῆναι. » — Πρὸ τῆς δευτέρας χρίσεως τοῦ Δαυὶδ ὁ παρὼν συντέθειται τούτῳ ψαλμὸς διωκομένου ὑπὸ Σαοὺλ ὅτε οἱ ἄρτοι αὐτῷ τῆς προθέσεως εἰς βρῶσιν ἐλήφθησαν. Τρὶς δὲ ἐχρίσθη ὁ Δαυὶδ, πρῶτον ὑπὸ Σαμουὴλ ἐν Βηθλεὲμ, δεύτερον εἰς Χεβρὼν ὑπὸ τῆς Ἰούδα φυλῆς μετὰ τὴν ἀναίρεσιν τοῦ Σαοὺλ, καὶ τρίτον ὑπὸ πασῶν τῶν φυλῶν μετὰ τὴν Μεμφιβοσὲτ τελευτήν.

« Ἐν τῷ ἐγγίζειν ἐπ' ἐμὲ κακοῦντας, τοῦ φαγεῖν τὰς σάρκας μου. » — Ἤδη φθάνοντές με οἱ αἱμοβόροι ἐχθροί μου οὐκ ἠδυνήθησαν βλάψαι · τοῦ σκοποῦ δὲ ἐξέπεσον.

« Ἐὰν ἐπαναστῇ ἐπ' ἐμὲ πόλεμος, ἐν ταύτῃ ἐγὼ ἐλπίζω· » — Ἐν ταύτῃ τῇ καρδίᾳ μου δηλαδὴ θαῤῥῶ ὡς δειλανδρήσει τὸν Θεὸν ἔχουσα ὑπέρμαχον.

« Μίαν ᾐτησάμην παρὰ Κυρίου, ταύτην ζητήσω, τὸ κατοικεῖν με ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. » — Μίαν αἴτησιν δηλονότι ᾐτησάμην, καὶ ἔτι ταύτην αἰτήσομαι.

« Τοῦ θεωρεῖν με τὴν τερπνότητα Κυρίου, καὶ ἐπισκέπτεσθαι τὸν ναὸν αὐτοῦ. » — Ἵνα διὰ τῆς εὐπρεπείας τοῦ οἴκου πρὸς τὸ θεῖον κάλλος τὸν νοῦν ἄγων τέρπωμαι, καὶ ἅμα ἐφορῶ μή τι παραμεληθείη τῶν καθηκόντων ἐν τῷ ναῷ.

« Ὅτι ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ, ἐν ἡμέρᾳ κακῶν μου ἐσκέπασέ με ἐν ἀποκρύφῳ τῆς σκηνῆς

A αὐτοῦ. » — Σκηνὴ ἡ θεία σκέπη, καὶ ταύτης ἀπόκρυφον τὸ ἄγαν φυλακτήριον.

« Ἐν τῇ πέτρᾳ ὕψωσέ με. » — Ἐν ἀσφαλείᾳ κατέστησε.

« Καὶ νῦν ἰδοὺ ὕψωσε κεφαλήν μου ἐπὶ ἐχθρούς μου. » Προφητεύει περὶ τῶν γενησομένων ὡς ἤδη γεγονότων, καὶ χρᾶται πᾶσι τοῖς παρῳχημένοις ἀντὶ μελλόντων. Τὸ δὲ Ὕψωσε κεφαλήν μου ἀντὶ τοῦ ὑπέρτερόν με τῶν ἐχθρῶν ἐποίησε.

« Ἐκύκλωσα καὶ ἔθυσα ἐν τῇ σκηνῇ αὐτοῦ θυσίαν αἰνέσεως, καὶ ἀλαλαγμοῦ · ᾄσω καὶ ψαλῶ τῷ Κυρίῳ· » — Θυσίαν εὐχαριστήριον ἅμα καὶ ἐπινίκιον · ἀλαλαγμὸς γὰρ πολεμικὴ βοὴ ἐπὶ τῇ τῶν ἐναντίων τροπῇ.

Εἰσάκουσον, Κύριε, φωνῆς μου ἧς ἐκέκραξα ·
B ἐλέησόν με, καὶ εἰσάκουσόν μου. » — Περὶ τῆς μιᾶς ἐκείνης αἰτήσεώς φησιν.

« Σοὶ εἶπεν ἡ καρδία μου, Κύριον ζητήσω, ἐξεζήτησέ σε τὸ πρόσωπόν μου τὸ πρόσωπόν σου, Κύριε, ζητήσω. » — Περιφραστικῶς ἀντὶ τοῦ ἐζήτησά σε.

« Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ ἀπὸ τοῦ δούλου σου. » — Καὶ μὴ ἀναχωρήσει ἀπ' ἐμοῦ δι' ὀργήν σου.

« Βοηθός μου γενοῦ, οὐ μὴ ἀποσκορακίσῃς με. » — Μὴ ἀποπέμψῃς με κατὰ μεταφορὰν τῆς ἀποπεμπομένης τοῦ σιδήρου σκωρίας τῇ σφυρηλασίᾳ.

« Καὶ μὴ ἐγκαταλίπῃς με ὁ Θεὸς ὁ Σωτήρ μου, ὅτι ὁ πατήρ μου καὶ ἡ μήτηρ μου ἐγκατέλιπόν με. » — Καὶ αὐτῆς τῆς ἀπὸ τῶν γονέων παραμυθίας ἐστέρημαι · δεδοίκασι γὰρ ἅπαντες τὸν
C Σαούλ.

« Νομοθέτησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ ὁδήγησόν με ἐν τρίβῳ εὐθείᾳ ἕνεκα τῶν ἐχθρῶν μου. » — Εἰ καὶ μὴ διὰ τὴν ἐμὴν ἀγαθωσύνην, ἀλλὰ διὰ τὴν τῶν ἐχθρῶν ἀδικίαν, μὴ παραδῷς με ὑποχείριον. Οἱ θλίβοντές με κατὰ περίφρασιν.

« Μὴ παραδῷς με εἰς ψυχὰς θλιβόντων με, ὅτι ἐπανέστησάν μοι μάρτυρες ἄδικοι, καὶ ἐψεύσατο ἡ ἀδικία ἑαυτήν. » Οἱ ἄδικοι μάρτυρες τὴν ἐκ τῆς ψευδομαρτυρίας βλάβην ἑαυτοῖς προσένειμαν τὴν σὴν ὀργὴν κληρωσάμενοι.

« Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ ζώντων. » — Πληροφοροῦμαι εἰς τὴν δικαιοσύνην τοῦ Θεοῦ ὅτι ἐν τῷ κόσμῳ ζῶν ἔτι τὰ ἔθιμα παρὰ Θεοῦ κομίσομαι,
D ἢ καὶ ἐν τῇ χώρᾳ τῶν ζώντων τὰ ἀΐδια λήψομαι ἀγαθὰ τοῦ Κυρίου.

« Ὑπόμεινον τὸν Κύριον, ἀνδρίζου, καὶ κραταιούσθω ἡ καρδία σου, καὶ ὑπόμεινον τὸν Κύριον. » — Τοῦτο καὶ τὸ ἑξῆς πρὸς ἑαυτὸν θαρσοποιὸν ἐπιφώνημα.

## ΨΑΛΜΟΣ ΚΖ'.

« Ψαλμὸς τῷ Δαυίδ. » — Προσευχὴ τῷ Δαυὶδ... καὶ τοῦτο διωκόμενος ὑπὸ τοῦ Σαοὺλ ὁ προφήτης συνέθετο.

« Πρὸς σὲ, Κύριε, κεκράξομαι, ὁ Θεός μου μὴ παρασιωπήσῃς ἀπ' ἐμοῦ, μήποτε παρασιωπήσῃς ἀπ' ἐμοῦ. » — Μὴ παρακούσῃς μου. Εἰώθασιν οἱ παρ-

OCR ABK / FR

ακούοντες μηδὲν φθέγγεσθαι πρὸς τοὺς αἰτουμένους.

« Καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. » — Ἤγουν ἐν τοῖς νεκροῖς.

« Εἰσάκουσον, Κύριε, τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ δέεσθαί με πρὸς σὲ, ἐν τῷ αἴρειν με χεῖράς μου πρὸς ναὸν ἅγιόν σου. » — Ναὸν λέγει τὸν οὐρανόν.

« Μὴ συνελκύσῃς με μετὰ ἁμαρτωλῶν. » — Μὴ διὰ τὸ συνδιάγειν με τοῖς ἁμαρτωλοῖς συνελκύσῃς κἀμὲ μετ' αὐτῶν εἰς τὸ δοῦναι δίκην.

« Κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς· ἀπόδος τὸ ἀνταπόδομα αὐτῶν αὐτοῖς. » — Τὴν κεχρεωστημένην ἐκδίκησιν ἀπόδος αὐτοῖς ἵνα βελτίους οἱ κακοὶ γένωνται.

« Ὅτι οὐ συνῆκαν εἰς τὰ ἔργα Κυρίου. » — Ὅτι οὐκ ἔγνωσαν τὰς θείας οἰκονομίας ὡς ἀνέχεται αὐτῶν ὁ Θεὸς, καιρὸν ὑφαπλῶν τούτοις ἐπιστροφῆς.

« Καὶ εἰς τὰ ἔργα τῶν χειρῶν αὐτοῦ καθελεῖς αὐτοὺς καὶ οὐ μὴ οἰκοδομήσεις αὐτούς. » — Προφητεύει ὅτι πεσόντες οὐκ ἀνορθωθήσονται.

« Καὶ ἀνέθαλεν ἡ σάρξ μου. » — Ἡ πρὸ τούτου ἐκτετηκυῖα ταῖς φροντίσι καὶ ταῖς κακοπαθείαις.

« Καὶ ἐκ θελήματός μου ἐξομολογήσομαι αὐτῷ. » — Προθύμως, οὐκ ἀναγκαστικῶς εὐχαριστήσω αὐτῷ· τοιοῦτόν ἐστι τὸ, » Ἑκουσίως θύσω σοι. »

« Κύριος κραταίωμα τοῦ λαοῦ αὐτοῦ καὶ ὑπερασπιστὴς τῶν σωτηρίων τοῦ Χριστοῦ αὐτοῦ ἐστι. » — Ὑπέρμαχος τῆς σωτηρίας τοῦ χρισθέντος προστάξει αὐτοῦ εἰς βασιλέα.

« Σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, καὶ ποίμανον αὐτοὺς, καὶ ἔπαρον αὐτοὺς ἕως τοῦ αἰῶνος. » — Καὶ ὕψωσον τοῖς κατ' ἐχθρῶν τροπαίοις μέχρι παντός.

## ΨΑΛΜΟΣ ΚΗ΄.

Ψαλμὸς τῷ Δαυῒδ ἐξόδου σκηνῆς· » — Ἱστορικῶς μὲν παραγγέλλει τοῖς ἱερεῦσι καὶ Λευΐταις περὶ τῆς ἐξελεύσεως τῆς ἐκ τῆς νομικῆς σκηνῆς, λέγων ὅτι, Ἑτοιμάσατε ἐξελθόντες τὰ πρὸς λατρείαν, υἱοὺς κριῶν καὶ ὅσα εἰς τιμὴν καὶ δόξαν Θεοῦ. Ἀναγωγικῶς δὲ σκηνή ἐστι τὸ σῶμα. Ἐξόδιον δὲ σκηνῆς ἡ ἀπὸ τοῦδε τοῦ βίου ἀναχώρησις πρὸς ἣν παρασκευάζεσθαι ὁ λόγος ἡμᾶς παρεγγυᾷ.

Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ. » — Κατέπειξιν ὁ λόγος ἔχει. Λέγει γὰρ, Ὦ υἱοὶ τοῦ Θεοῦ, ἤγουν ἀπόστολοι, ἐνέγκατε τῷ Κυρίῳ τοὺς υἱοὺς τῶν ἀλόγων κριῶν, ἤγουν τοὺς ἐξ ἐθνῶν.

« Ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν. » — Δόξα τοῦ ὀνόματος τοῦ Χριστοῦ αἱ ἐπαινεταὶ πράξεις ἡμῶν.

« Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ, προσκυνήσατε τῷ Κυρίῳ ἐν αὐλῇ ἁγίᾳ αὐτοῦ. » — Αὐλὴν λέγει τὴν μίαν Ἐκκλησίαν καὶ πιστὴν τῶν εὐσεβῶν.

« Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων. » — Τὴν κατενεχθεῖσαν οὐρανόθεν ἐν τῷ Ἰορδάνῃ πρὸς τὸν Χριστὸν λέγει ἣν καὶ βροντὴν καλεῖ, ὡς ἐξ οὐρανοῦ, καὶ ἐξάκουστον, Θεὸς δὲ δόξης ὁ ἔνδοξος.

A « Ὁ Θεὸς τῆς δόξης ἐβρόντησε Κύριος ἐπὶ ὑδάτων πολλῶν. » — Ὁ Χριστὸς ἐν τῷ Ἰορδάνῃ καὶ δι' ἐκείνου ἐν πᾶσι τοῖς ὕδασιν ἁγιάζων αὐτῶν τὴν φύσιν·

Φωνὴ Κυρίου ἐν ἰσχύϊ, φωνὴ Κυρίου ἐν μεγαλοπρεπείᾳ. » — Φωνὴ Κυρίου καὶ τὸ Εὐαγγέλιον καὶ πᾶν πρόσταγμα τοῦ Θεοῦ, ὃ καὶ ἰσχυροὺς καὶ μεγαλοπρεπεῖς ἐργάζεται τοὺς ἀξίους.

« Φωνὴ Κυρίου συντρίβοντος κέδρους, καὶ συντρίψει Κύριος τὰς κέδρους τοῦ Λιβάνου. » — Κέδρους λέγει τοὺς δαίμονας καὶ τὰ τούτων τεμένη. ἐμνήσθη καὶ τοῦ ὄρους Λιβάνου, ὅτι πολλὰ εἰδωλεῖα ἦ ἐν αὐτῷ.

B « Καὶ λεπτυνεῖ αὐτὰς ὡς τὸν μόσχον τὸν Λίβανον. » — Λεπτυνεῖ αὐτοὺς, λέγω δὴ τὸν Λίβανον ὅλον, ὥσπερ ὁ Μωϋσῆς τὸν γλυπτὸν μόσχον.

« Καὶ ὁ ἠγαπημένος ὡ υἱὸς μονοκερώτων. » — Καὶ ὁ Χριστὸς ἔσται μηδενὶ ὑποτεταγμένος.

« Φωνὴ Κυρίου διακόπτοντος φλόγα πυρός. » — Εἴτε γὰρ τοὺς τρεῖς παῖδας καὶ εἰς πολλοὺς μάρτυρας τὴν φλέγουσαν διέκοψαν τὴν ἐνέργειαν τοῦ πυρὸς καὶ ἐν τῇ κρίσει καὶ τὰς ἐνεργείας αὐτοῦ διέλοι, τὴν φωτιστικὴν εἰς τοὺς δικαίους, εἰς τοὺς ἁμαρτωλοὺς καὶ τὴν καυστικήν.

» Φωνὴ Κυρίου συσσείοντος ἔρημον. » — Μετακινοῦντος τὰ ἔθνη πρὸς Θεοῦ γνῶσιν.

« Καὶ σείσει Κύριος τὴν ἔρημον Κάδης. » — Οὐ πᾶσαν ἔρημον, ἀλλὰ τὴν Κάδης, ἤτοι τὴν ἁγίαν καὶ ἀφωρισμένην αὐτῷ.

C « Φωνὴ Κυρίου καταρτιζομένου ἐλάφους. » — Τοὺς πατοῦντας ἐπάνω ὄρεων ἀποστόλους εἰς δρόμον τοῦ κηρύγματος τελειοποιοῦσα τῇ ἐνισχύσει τοῦ Πνεύματος.

« Καὶ ἀποκαλύψει δρυμούς. » — Καὶ ἐκκαθάρῃ τὰς ὑλομανούσας ψυχὰς τῶν ἐθνῶν.

« Καὶ ἐν τῷ ναῷ αὐτοῦ πᾶς τις λέγει δόξαν. » — Καὶ ἐν παντὶ ναῷ αὐτοῦ πᾶς πιστεύσας ᾄσει ὕμνον.

« Κύριος τὸν κατακλυσμὸν κατοικεῖ. » — Τὴν κλεισθεῖσαν τῇ πλάνῃ συναγωγὴν τῶν ἐθνῶν οἰκουμένην ποιήσει τοῖς τοῦ Πνεύματος χαρίσμασι.

« Καὶ καθιεῖται Κύριος βασιλεὺς εἰς τὸν αἰῶνα. » — Τὸ καθιεῖται ἀντὶ τοῦ μενεῖ διὰ τὸ τῆς εὐσεβείας

D ἀμετάπτωτον.

## ΨΑΛΜΟΣ ΚΘ΄.

« Εἰς τὸ τέλος, τῷ Δαυῒδ ψαλμὸς ᾠδῆς τοῦ ἐγκαινισμοῦ τοῦ οἴκου. » — Ὑπερβατικῶς ψαλμὸς ᾠδῆς τοῦ Δαυΐδ. Ὁ δὲ τοῦ οἴκου ἐγκαινισμὸς δηλοῖ μὲν καὶ τὴν εἰς τὸ προφητεύειν ἐγκαίνισιν τῆς ψυχῆς τοῦ Δαυΐδ · τῆς γενομένης οἴκου τοῦ προφητικοῦ χαρίσματος ἥτις ἐγκαίνισις διὰ μετανοίας γέγονε μετὰ τὴν ἐπὶ τὸν Οὐρίαν παρανομίαν· δηλοῖ δὲ καὶ τὴν τῆς Ἐκκλησίας τῶν πιστῶν ἀνακαίνησιν διὰ τῆς ἀναγεννήσεως τοῦ βαπτίσματος.

« Ὑψώσω σε, Κύριε, ὅτι ὑπέλαβές με, καὶ οὐκ εὔφρανας τοὺς ἐχθρούς μου ἐπ' ἐμέ. » — Μεγαλυνῶ

OCR ABK / FR

σε ὅτι ἐκ τοῦ βόθρου με τῆς ἁμαρτίας ἀνείλκυσας. A χεῖρα βοηθείας ὤρεξάς μοι.

« Ἔσωσάς με ἀπὸ τῶν καταβαινόντων εἰς λάκκον. » — Λάκκον νοητέον τὸν ἄφυκτον κίνδυνον.

« Ψάλατε τῷ Κυρίῳ οἱ ὅσιοι αὐτοῦ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. » — Εὐχαριστεῖτε τῷ τὸν ἅγιον μνησθῆναι ἡμῶν ἐπιλελησμένων ταῖς ἁμαρτίαις.

« Ὅτι ὀργὴ ἐν τῷ θυμῷ αὐτοῦ καὶ ζωὴ ἐν τῷ θελήματι αὐτοῦ. » — Καλῶς ἄγαν τὴν κόλασιν τῇ ἀγανακτήσει συνέταξε, τὴν ζωογόνησιν δὲ τῇ θελήσει τῇ φυσικῇ.

« Τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. » — Τὸ αὐλισθήσεται δηλοῖ τῇ σκηνώσει. Διδάσκει δὲ τὸ ῥητὸν ὡς ἡ μετάνοια καὶ ἡ συγχώρησις ταχεῖαν ἐπάγει τὴν συγχώρησιν.

« Ἐγὼ δὲ εἶπα ἐν εὐθηνίᾳ μου, Οὐ μὴ σαλευθῶ εἰς τὸν αἰῶνα. » — Ἐν τῇ εὐημερίᾳ μου ᾠήθην μὴ δυσπραγῆσαί ποτε.

« Κύριε, ἐν τῷ θελήματί σου παρέσχου τῷ κάλλει μου δύναμιν. » — Ἀλλὰ ψευδῆ ὑπέλαβον· ὅτε γὰρ ἠθέλησας παρέσχες τῇ λαμπρότητί σου δύναμιν, τουτέστιν ἰσχυρῶς με ἐδόξασας· ὅτε δὲ διὰ τὴν ἐμὴν... ησιν ἀπέστρεψας τὴν ἐπισκοπήν, ἐγενόμην εὐθὺς ἐν θορύβῳ καὶ συμφορᾷ.

« Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν ; » — Ἡ σὰρξ αἷμα πεπηγὸς ὑπὸ φύσεως· ποία οὖν, φησίν, ὠφέλεια τῇ σαρκί μου, οὕτως αὐξηθείσῃ καὶ κοσμηθείσῃ, ἐπεὶ μέλλω διαφθαρῆναι ἀποθανών ;

« Ἔστρεψας τὸν κοπετόν μου εἰς χαρὰν ἐμοί· διέῤῥηξας τὸν σάκκον μου, καὶ περιέζωσάς με εὐφροσύνην. » — Τὸ περιέζωσας ἀντὶ τοῦ ἠμφίασας.

« Ὅπως ἂν ψάλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ. » — Περιφραστικῶς ἀντὶ τοῦ ἐγὼ ὁ δεδοξασμένος τῇ σῇ βοηθείᾳ. Τὸ δὲ, « Οὐ μὴ κατανυγῶ, » ἀντὶ τοῦ οὐ μὴ σιωπήσω· εἰώθασι γὰρ οἱ κατανυσσόμενοι καὶ ἐν καρδίᾳ λυπούμενοι σιωπᾷν.

### ΨΑΛΜΟΣ Λ'.

« Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυῒδ ἐκστάσεως. Ἐπὶ σοὶ, Κύριε, ἤλπισα. » — Ἔκστασιν τὴν παραφορὰν δηλοῖ τῆς εὐθύτητος ἣν ἔπαθε μοιχείᾳ καὶ φόνῳ ἁλούς. Ἔγραψε δὲ τὸν ψαλμὸν, διωκόμενος ὑπὸ τοῦ Ἀβεσαλώμ.

« Μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα· ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με, καὶ ἐξελοῦ με. » — Εἰ καὶ ἀνάξιός εἰμι βοηθείας, ἀλλ' ὡς δίκαιος σὺ τῶν διωκόντων με λύτρωσαι.

« Κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με. » — Ταχέως με λύτρωσαι.

« Ὅτι κραταίωμά μου καὶ καταφυγή μου εἶ σὺ, καὶ ἕνεκεν τοῦ ὀνόματός σου ὁδηγήσεις με καὶ διαθρέψεις με. » — Ὁδηγήσεις με εἰς τόπον ζωῆς καὶ λιμώττοντα διαθρέψεις.

« Εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου. » — Εἰς τὴν σὴν κηδεμονίαν καὶ προμήθειαν ἐπιῤῥίπτω μου τὴν ψυχήν.

« Ἐλυτρώσω με, Κύριε ὁ Θεὸς τῆς ἀληθείας. » — Πολλῶν γάρ με κινδύνων διέσωσας ὁ ἀληθινὸς Θεός.

« Ἐμίσησας τοὺς διαφυλάσσοντας ματαιότητας διακενῆς. » — Ἀποστρέφῃ τοὺς ἐμμένοντας ταῖς ματαίαις βουλαῖς, καὶ ταῦτα ἀναιτίως.

« Ὅτι ἐπεῖδες ἐπὶ τὴν ταπείνωσίν μου. » — Ταπείνωσιν λέγει νῦν τὴν ταλαιπωρίαν καὶ συντριβήν.

« Ἔσωσας ἐκ τῶν ἀναγκῶν τὴν ψυχήν μου. » — Ἤτοι τῶν περιστάσεων καὶ κινδύνων.

« Καὶ οὐ συνέκλεισάς με εἰς χεῖρας ἐχθρῶν· ἔστησας ἐν εὐρυχώρῳ τοὺς πόδας μου. » — Παρέσχες εὐρυχω-B ρίαν τοῖς ποσί μου λυτρωσάμενος τῆς στενοχωρίας τῆς ἐκ τοῦ κυκλώματος τῶν ἐχθρῶν.

« Ἐλέησόν με, Κύριε, ὅτι θλίβομαι. Ἐταράχθη ἐν θυμῷ ὁ ὀφθαλμός μου. » — Διὰ τὸν ἐπ' ἐμοὶ θυμόν σου τετάρακταί μου ὁ ὀφθαλμός. Ὁ μὲν σωματικὸς ἀπὸ τοῦ δακρύειν, ὁ δὲ ψυχικὸς ἀπὸ τῆς ἐκ λύπης συγχύσεως.

« Ἡ ψυχή μου καὶ ἡ γαστήρ μου. » — Ἡ ψυχὴ ἀπὸ ἀδημονίας, ἡ γαστὴρ ἀπὸ ἀσιτίας· μᾶλλον δὲ γαστέρα νοητέον ἐνταῦθα τὸ ταμιεῖον τῶν λογισμῶν.

« Ὅτι ἐξέλιπεν ἐν ὀδύνῃ ἡ ζωή μου, καὶ τὰ ἔτη μου ἐν στεναγμοῖς. » — Ἀπὸ κοινοῦ τὸ ἐλέησόν με, ὅτι πᾶσά μου ἡ ζωὴ ἐν θλίψει καὶ στεναγμοῖς δεδαπάνηται.

C « Ἠσθένησεν ἐν πτωχείᾳ ἡ ἰσχύς μου. » — Πτωχείαν τὴν σὴν τριβήν φησι τῆς ψυχῆς, ἢ καὶ τὴν ἔνδειαν τῶν ἀναγκαίων.

« Καὶ τὰ ὀστᾶ μου ἐταράχθησαν. » — Παρεκινήθησαν ἀφ' ἧς εἶχον βάσεως συνέχειν με μὴ δυνάμενα. Ἢ μᾶλλον πτωχείαν νοητέον τὴν θείαν ἐγκατάλειψιν, ἰσχὺν τὴν ἀνδρίαν τῆς ψυχῆς· ὀστᾶ δὲ τοὺς συνεκτικοὺς αὐτῆς στεῤῥοὺς λογισμούς.

« Παρὰ πάντας τοὺς ἐχθρούς μου ἐγενήθην ὄνειδος. » — Εἰς πάντας.

« Καὶ τοῖς γείτοσί μου σφόδρα. » — Ἀπὸ κοινοῦ ἐγενήθη ὄνειδος.

« Καὶ φόβος τοῖς γνωστοῖς μου. » — Δεδοίκασι μήπως κινδυνεύσωσι διὰ τὴν εἰς ἐμὲ οἰκείωσιν.

D « Ἐπελήσθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας. » — Ἠμνημονήθην ἀπὸ καρδίας τῶν φίλων μου ὥσπερ ὁ νεκρός.

« Ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κυκλόθεν. » — Ἀπὸ κοινοῦ πάλιν τὸ, « ἐλέησόν με, ὅτι οἰκεί... ἀκήκοα λοιδορίαν παρὰ πολλῶν. »

« Ἐγὼ δὲ ἐπὶ σοὶ, Κύριε, ἤλπισα· εἶπα, Σὺ εἶ ὁ Θεός μου. » — Ἐν τῇ δυνάμει σου αἱ ψῆφοί μου καὶ τοῦ θανάτου καὶ τῆς ζωῆς. Τὸ Θεὸς δὲ ἀντὶ τοῦ ἐξουσιαστής.

« Ῥῦσαί με ἐκ χειρὸς ἐχθρῶν μου καὶ τῶν καταδιωκόντων με. » — Δίκαιον ἑαυτὸν φησιν ὡς μὴ προαδικήσαντα τοὺς ἐχθροὺς, ἀνομίαν δὲ τὴν παρά-

OCR ABK / FR

νομον συμβουλήν· καὶ ὑπερηφανίαν μὲν τὴν ἀλαζονείαν, ἐξουδένωσιν δὲ τὴν ὕβριν.

« Ὡς πολὺ τὸ πλῆθος τῆς χρηστότητός σου, Κύριε, ἧς ἔκρυψας τοῖς φοβουμένοις σε. » — Ἣν απόθετον φυλάσσεις τοῖς δούλοις σου γυμνάζων τὴν τούτων ὑπομονήν.

« Ἐξειργάσω τοῖς ἐλπίζουσιν ἐπὶ σὲ ἐναντίον τῶν υἱῶν τῶν ἀνθρώπων. » — Ἐξεπλήρωσας δὲ καὶ ἔκδηλον εἰργάσω αὐτὴν ἐν τοῖς ἐλπίζουσιν ἐπὶ σὲ, ὅτε ἠθέλησας ἐνώπιον πολλῶν ἵνα μάθωσιν ὅτι ὑπερασπίζεις τῶν σῶν.

« Κατακρύψεις αὐτοὺς ἐν ἀποκρύφῳ τοῦ προσώπου σου. » — Ἤτοι τοὺς ἐλπίζοντας ἐπὶ σὲ, ἐν ἀποκρύφῳ τόπῳ δηλαδὴ τοῦ προσώπου, ἤτοι σοῦ κατὰ περίφρασιν, καὶ οὐχ εὑρήσουσιν αὐτοὺς οἱ ἐχθροί.

« Ἀπὸ ταραχῆς ἀνθρώπων. » — Ἐν καιρῷ ταραχῆς στασιαζόντων ἀνθρώπων καὶ ἐν καιρῷ ἀντιλογίας γλωσσῶν. Ἤτοι ἀπειθείας λαοῦ σκεπάσεις αὐτοὺς ὡς ἐν σκηνῇ.

« Εὐλογητὸς Κύριος, ὅτι ἐθαυμάστωσε τὸ ἔλεος αὐτοῦ ἐν πόλει περιοχῆς. » — Παράδοξον ἐποίησε τὸ ἔλεος αὐτοῦ ἐν ἐμοὶ, χρηματίσαντι ἀναλώτῳ ὡς πόλει περιτετειχισμένῃ.

« Ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου, Ἀπέρριμμαι ἀπὸ προσώπου τῶν ὀφθαλμῶν σου. » — Ἔκστασιν λέγει τὴν ἐντροπὴν τῆς ὁδοῦ τῶν θείων ἐντολῶν.

« Διὰ τοῦτο εἰσήκουσας τῆς φωνῆς τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρός σε. » Διότι ἀπερριμμένον ἡγούμενος ἐμαυτὸν ἀπὸ τῆς ἐπιφανείας τῆς ἐπισκοπῆς σου διὰ τὴν ἁμαρτίαν μεγάλης ὀδύνης ἔπασχον συντριβήν.

« Ἀγαπήσατε τὸν Κύριον, πάντες οἱ ὅσιοι αὐτοῦ, ὅτι ἀληθείας ἐκζητεῖ Κύριος. » — Ἤτοι τὰς ἀληθεῖς πρὸς αὐτὸν ἀγάπας.

« Καὶ ἀνταποδίδωσι τοῖς περισσῶς ποιοῦσιν ὑπερηφανίαν. » — Τοῖς γὰρ μετρίως ἀλαζονευομένοις μακροθυμῶν οὐκ ἀνταποδίδωσι.

## ΨΑΛΜΟΣ ΛΑʹ.

« Ψαλμὸς τῷ Δαυῒδ συνέσεως. Μακάριοι ὧν ἀφείθησαν αἱ ἀνομίαι, καὶ ὧν ἐπεκαλύφθησαν αἱ ἁμαρτίαι. » — Ζηλωτοὺς ἀποκαλῶν τοὺς ἀπόνως διὰ τοῦ βαπτίσματος τὸν ἀφανισμὸν τῶν ἐγκλημάτων κερδαίνοντας.

« Μακάριος ἀνὴρ ᾧ οὐ μὴ λογίσηται Κύριος ἁμαρτίαν, οὐδὲ ἔστιν ἐν τῷ στόματι αὐτοῦ δόλος. » — Ἐκεῖνος δὲ τῷ ὄντι μακάριος, ὁ τὰ τὴν διὰ βαπτίσματος ἄφεσιν μὴ ψευσάμενος τὰς εἰς Θεὸν συνθήκας· δόλος γὰρ τὸ ψεῦδος, φησίν.

« Ὅτι ἐσίγησα, ἐπαλαιώθη τὰ ὀστᾶ μου ἀπὸ τοῦ κράζειν με ὅλην τὴν ἡμέραν. » — Ἐπεὶ οὐκ εὐθὺς τὴν ἁμαρτίαν ἐθριάμβευσα, ἑτέρους δὲ ἀνέμενον, ἔλεγον, Ἐξησθένησεν ἡ δύναμίς μου ἀπὸ τοῦ βοᾷν με διὰ παντὸς καὶ ὀδύρεσθαι.

« Ὅτι ἡμέρας καὶ νυκτὸς ἐβαρύνθη ἐπ' ἐμὲ ἡ χείρ σου. » — Καὶ γὰρ δι' ὅλου βαρέως ἐπηνέχθη ἐπ' ἐμὲ ἡ τιμωρία σου· καὶ ὅτι οὐκ εὐθὺς μετενόησα.

Ἐστράφην εἰς ταλαιπωρίαν, ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν. » — Περιετράπη μοι τὰ τῆς εὐκληρίας εἰς ἀθλιότητα ἐν τῷ ἐμπαγῆναί μοι τὴν ἁμαρτίαν.

« Τὴν ἀνομίαν μου ἐγνώρισα καὶ τὴν ἁμαρτίαν μου οὐκ ἐκάλυψα. » — Εἰ καὶ αὐθορμήτως οὐκ ἐφαύλισας τὴν ἐμὴν ἁμαρτίαν, ἀλλ' ὅτε ἠλεγχόμην ὑπὸ Νάθαν εὐθὺς ὡμολόγησα καὶ οὐκ ἠρνησάμην.

« Εἶπα, Ἐξαγορεύσω κατ' ἐμοῦ τὴν ἀνομίαν μου τῷ Κυρίῳ, καὶ σὺ ἀφῆκας τὴν ἀσέβειαν τῆς καρδίας μου. » — Οὐκ ἐσεβάσθην ἐγὼ τοὺς περὶ μοιχείας καὶ φόνου νόμους σου· ἀλλὰ σὺ τὴν τοιαύτην ἀσέβειαν συνεχώρησας, καὶ οὐκ ἐθανάτωσας, ἀλλ' οὕτως ἐπαίδευσας, ὡς εἰ μὴ ὑπερβαλλόντως ἠνόμησα.

« Ὑπὲρ ταύτης προσεύξεται πρὸς σὲ πᾶς ὅσιος ἐν καιρῷ εὐθέτῳ. » — Ἀπὸ ταύτης τῆς ἀφεθείσης ἐμοὶ ἁμαρτίας κινούμενος πᾶς θεοσεβὴς οὐκ ἀπογνώσεται, ἀλλὰ παρακαλέσει ἐν καιρῷ μετανοίας. Ὁ γὰρ ἀνόσιος, οὐδὲ μεταμέλεται.

« Πλὴν ἐν κατακλυσμῷ ὑδάτων πολλῶν πρὸς αὐτὸν οὐκ ἐγγιοῦσιν. » — Τὸ πλὴν ἀντὶ τοῦ καί· φησὶ γάρ. « Καὶ ἐν πλημμύρᾳ πολλῶν πειρασμῶν οὐκ ἐγγιοῦσι πρὸς αὐτὸν οἱ πειρασμοὶ ὥστε καταποντίσαι μακρόθεν, καὶ θροήσουσι καὶ ταράξουσι.

« Συνετιῶ σε καὶ συμβιβῶ σε ἐν ὁδῷ ταύτῃ ᾗ πορεύσῃ· ἐπιστηριῶ ἐπὶ σὲ τοὺς ὀφθαλμούς μου. » — Ὡς ἀπὸ Θεοῦ τὸ ῥητὸν, Συνετίσω σε πῶς ἂν ὑπερτερήσῃς, καὶ συμπορεύσομαί σοι ἐν τῇ προκειμένῃ πορείᾳ.

« Μὴ γίνεσθε ὡς ἵππος καὶ ἡμίονος οἷς οὐκ ἔστι σύνεσις. » — Ἐκ τοῦ Δαυῒδ ὁ λόγος· παραινεῖ γὰρ μὴ γίνεσθαι ἡμᾶς θηλυμανεῖς καὶ ἀγόνους πρὸς ἀρετήν.

« Ἐν κημῷ καὶ χαλινῷ τὰς σιαγόνας αὐτῶν ἄγξαις τῶν μὴ ἐγγιζόντων πρός σε. » — Εἶτα εὔχεται πρὸς Θεὸν ὅτι αὐτοὺς ἐγγίζοντας πρός σε, δι' ἐπιστροφῆς καὶ ἄκοντας κατάσχοις τῆς πρὸς κακίαν φορᾶς δι' ἐπαγωγῆς πειρασμῶν.

« Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι, καὶ καυχᾶσθε πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. « — Μὴ ἐπὶ ταῖς ἀρεταῖς ὑμῶν· ἀβέβαιοι γὰρ εἰ μὴ φυλάττοιντο ὑπὸ Θεοῦ.

## ΨΑΛΜΟΣ ΛΒʹ.

« Ψαλμὸς τῷ Δαυῒδ, ἀνεπίγραφος παρ' Ἑβραίοις. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις. Ἐξομολογεῖσθε τῷ Κυρίῳ· ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ, δεκαχόρδῳ ψάλατε αὐτῷ. » — Ἔοικε πεποιῆσθαι εἰς τὴν κατὰ τὸν Ἐζεκίαν ἐπὶ τοῖς Ἀσσυρίοις θείαν τερατουργίαν προτρέπων ὑμνεῖν τὸν Θεὸν τοὺς ἀξίους· εἴτ, δ' ἂν καὶ ἡμῖν ἁρμόδιος.

« Ἄσατε αὐτῷ ᾆσμα καινόν. » — Ἐπὶ γὰρ τοῖς νέοις εὐεργετήμασιν ὀφείλομεν καὶ νέα προσάγειν Θεῷ τὰ εὐχαριστήρια· καὶ ἄλλως δὲ τὰ Χριστιανικὰ πάντα καινὰ πρὸς τὰ παλαιὰ καὶ νομικά.

« Καλῶς ψάλατε αὐτῷ ἐν ἀλαλαγμῷ. » — Τὸ, καλῶς, δηλοῖ τὸ ἀμετεωρίστως καὶ ὁλοψύχως.

« Ὅτι εὐθὺς ὁ λόγος τοῦ Κυρίου καὶ πάντα τὰ ἔργα αὐτοῦ ἐν πίστει. » — Ἀληθεῖς οἱ λόγοι Κυρίου καὶ αἱ ἀποβάσεις τῶν ἔργων αὐτοῦ πιστοῦσιν αὐτούς.

OCR ABK / FR

« Ἀγαπᾷ ἐλεημοσύνην καὶ κρίσιν. » — Ἐλεήμων A γὰρ ὑπάρχει καὶ δίκαιος. Ὅτι τε κίρνησι τῇ δικαιοσύνῃ τὸν ἔλεον ἢ ὅτι τὸν μὲν ἔλεον κατὰ τὸν παρόντα αἰῶνα ὑπερεκχέει· τὴν δὲ δικαιοσύνην μᾶλλον ἀποταμιεύει εἰς τὸν μέλλοντα αἰῶνα καὶ τότε ἄκρατον τοῦτον, εἴπ. . . . . καὶ ὅτι (ἀλ. ἄκρατον, ἢ καὶ ὅτι) τοὺς μὲν διορθουμένους ἐλεεῖ, τοῖς δὲ πάμπαν ἀδιορθώτοις κλείει τὸν ἔλεον.

« Τοῦ ἐλέους Κυρίου πλήρης ἡ γῆ. » — Ἐλεεῖ καὶ τοὺς ἀθέους· πῶς γὰρ ἂν ἄλλως ἦν αὐτοὺς ζῆν;

« Τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν. » — Τῷ ἐν ὑποστάτῳ λόγῳ τοῦ Πατρὸς καὶ τῷ ὁμοουσίῳ αὐτοῦ Πνεύματι· διὰ τοῦτο γὰρ εἶπε τοῦ στόματος αὐτοῦ ἐθεμελιώθησαν, ἤτοι ἐκτίσθησαν B καὶ οἱ οὐρανοὶ καὶ αἱ δυνάμεις αὐτῶν· ἤτοι αἱ ἐν αὐτοῖς αἵπερ εἰσὶν αἱ νοεραὶ καὶ ἄϋλοι.

« Συνάγων ὡσεὶ ἀσκὸν ὕδατα θαλάσσης. » — Λείπει ἡ εἰς πρόθεσις· οὕτω γάρ, φησί, τὰ ὕδατα τῆς θαλάσσης περικλείει εἰς τοὺς τόπους αὐτῶν ὥσπερ εἰς ἀσκόν.

« Τιθεὶς ἐν θησαυροῖς ἀβύσσους. » — Φυλάσσων ἐν τοῖς κόλποις τῆς γῆς τὴν τῶν ὑδάτων πληθὺν ὥσπερ ἐν θησαυροῖς διὰ τὸ κεκρυμμένον, διὰ τὸ δαψιλές, διὰ τὸ κατὰ χρείαν ἀνοίγεσθαί τε καὶ κλείεσθαι.

« Φοβηθήτω τὸν Κύριον πᾶσα ἡ γῆ. Ἀπ' αὐτοῦ δὲ σαλευθήτωσαν πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. » — Ἀπ' αὐτοῦ δὲ ἤτοι τοῦ φόβου τρομαζέτωσαν πάντες· διδάσκει δὲ διὰ τούτου τὴν ἄκραν εὐλάβειαν τοῦ σεβάσματος. C

« Κύριος διασκεδάζει βουλὰς ἐθνῶν· ἀθετεῖ δὲ λογισμοὺς λαῶν, καὶ ἀθετεῖ βουλὰς ἀρχόντων. » — Βουλή ἐστιν ἡ κυρωθεῖσα γνώμη, λογισμὸς δὲ ἡ ἁπλῶς ἐνθύμησις.

« Μακάριον τὸ ἔθνος οὗ ἐστι Κύριος ὁ Θεὸς αὐτοῦ, λαὸς ὃν ἐξελέξατο εἰς κληρονομίαν ἑαυτῷ. » — Μακάριον τὸ ἔθνος τὸ κυριευόμενον καὶ οἰκονομούμενον ὑπὸ τοῦ ἰδίου Θεοῦ.

« Ἐξ οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος· εἶδε πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων. » — Διὰ τούτων τὸ παντεποπτικὸν αἰνίττεται τοῦ Θεοῦ.

« Ἐξ ἑτοίμου κατοικητηρίου αὐτοῦ ἐπέβλεψεν ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. » — Τοῦ προχείρου εἰς τὸ πάντας θεᾶσθαι.

« Ὁ πλάσας κατὰ μόνας τὰς καρδίας αὐτῶν, ὁ D συνιεὶς εἰς πάντα τὰ ἔργα αὐτῶν. » — Καρδίας τὰς ψυχάς φησιν ἤτοι κεχωρισμένας τῶν λοιπῶν ζώων· ἀθάνατοι γὰρ καὶ λογικαί. Ὁ γοῦν τὰς ψυχὰς πλάσας οἶδε πάντως καὶ τὰ τούτων κινήματα συνιεὶς πάντα ὁ χωρὶς ὁράσεως ἢ ἀκοῆς ἢ ἄλλης αἰσθήσεως ἕκαστον τῶν πραττομένων κατανοῶν.

« Οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν. » — Τὴν ἐν πλήθει στρατιωτῶν, καὶ ἵππων καὶ ὅπλων.

« Καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. » — Γίγας ἐστὶν ὁ κατὰ σῶμα ῥωμαλεώτατος καὶ γενναιότατος.

« Ψευδὴς ἵππος εἰς σωτηρίαν. » — Ἀβέβαιος· ἄδηλον γὰρ εἰ σώσει τὸν ἐπιβάτην.

« Ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται. » — Ὁ ἵππος δηλονότι.

« Ῥύσασθαι ἐκ θανάτου τὰς ψυχὰς αὐτῶν καὶ διαθρέψαι αὐτοὺς ἐν λιμῷ. » — Καθὼς τοὺς περὶ Ἐζεκίαν ἐκ τοῦ καθ' ἡμέραν προσδοκωμένου θανάτου ἐῤῥύσατο, καὶ ἐν τῷ ἀπὸ πολιορκίας λιμῷ ἐξέθρεψεν.

« Ὅτι ἐν αὐτῷ εὐφρανθήσεται ἡ καρδία ἡμῶν, καὶ ἐν τῷ ὀνόματι ἁγίῳ αὐτοῦ ἠλπίσαμεν. » — Ἀπὸ κοινοῦ μέν, ὅτι αὐτὸς εὐφρανεῖ ἡμᾶς.

« Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. » — Ἠλπίσαμεν δὲ λίαν· γένοιτο τοίνυν πολύ.

## ΨΑΛΜΟΣ ΛΓ'.

« Ψαλμὸς τῷ Δαυΐδ, ὅτε ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ ἐναντίον Ἀβιμέλεχ, καὶ ἀπέλυσεν αὐτὸν καὶ ἀπῆλθεν. « — Φεύγων τὸν Σαοὺλ ὁ Δαυΐδ, ἀπήρχετο πρὸς τὸν ἀλλόφυλον Ἀγχοὺς βασιλέα τῆς Γὲθ, καὶ καθ' ὁδὸν ἐκκλίνας πρὸς Ἀχιμελὲχ τὸν ἀρχιερέα, καὶ τοὺς ἄρτους λαβὼν τῆς προθέσεως καὶ τὸ δόρυ τοῦ Γολιὰθ ὃ ἦν ἀνατεθειμένον τῷ Θεῷ, ἀπῆλθεν εἰς τὸν Ἀγχούς. Γνωσθεὶς δὲ ὅστις εἴη ἠλλοίωσε τὸ πρόσωπον αὐτοῦ μανίαν ὑποκριθείς, καὶ οὕτως ἀπελύθη. Ἰστέον οὖν ὅτι τὸ Ἀβιμελὲχ ὄνομα ἦν τῶν βασιλέων τῆς Γὲθ, ὥσπερ καὶ ἐν τῷ Φαραὼ τῶν τῆς Αἰγύπτου· ἡ ἐπιγραφὴ τοίνυν τοῦ ψαλμοῦ τῷ βασιλικῷ ὀνόματι τὸν Ἀγχοὺς ὀνομάζουσα, Ἀβιμελὲχ ἐκάλεσεν. Εἰ δὲ καὶ ὁ ἀρχιερεὺς Ἀβιμελὲχ προσηγορεύετο, θαυμαστὸν οὐδέν, ἔστι γὰρ καὶ κύριον ὄνομα βασιλεύς. Ὁ ἀρχιερεὺς δὲ μᾶλλον Ἀχιμελὲχ ἐν τῇ τῶν Βασιλειῶν βίβλῳ γέγραπται, καὶ οὐκ Ἀβιμελέχ, κἂν λέγωσί τινες, ὅτι τὰ στοιχεῖα παρ' Ἑβραίοις τὸ Χὰφ, τὸ Βὴθ, πολλὴν ἐμφέρειαν ἔχουσι βραχείᾳ μόνῃ κεραίᾳ τινὶ διαλλάττοντα, οὐκ ἀναγκαῖον τοῦτο πρὸς ἀπόδειξιν τοῦ καλεῖσθαι τὸν Ἀβιμελέχ· πολλὰ γὰρ καὶ ἄλλα στοιχεῖα πρὸς ἄλληλα φέρουσιν ὁμοιότητά τινα καὶ ἐμφέρειαν, ἀλλ' οὐ διὰ τοῦτο συγχέονται τὰ ὀνόματα· μᾶλλον μὲν οὖν ὁ ἀρχιερεὺς Ἀχιμελὲχ ὠνομάζετο καὶ Ἀβιάθαρ κατὰ διωνυμίαν· ὡς παρὰ τῶν εὐαγγελικῶν δεδιδάγμεθα παραδόσεων· εἰ δὲ τοῦ να' πρώτου ψαλμοῦ ἡ ἐπιγραφὴ Ἀβιμελὲχ καλεῖ τὸν ἀρχιερέα, γραφικὸν κἂν σφάλμα μάλιστα τοῦτο.

« Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ· διαπαντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου. » — Ἐν παντὶ καιρῷ προσήκοντι καὶ διαπαντὸς ὁπότε δυνατὸν ὑμνήσω τὸν Κύριον, τῷ σώματι κυρίῳ στόματι· τῷ δὲ νοερῷ διηνεκῶς· μνημονευτέον γὰρ Θεοῦ μᾶλλον ἢ ἀναπνευστέον.

« Ἐν τῷ Κυρίῳ ἐπαινεθήσεται ἡ ψυχή μου. » — Οὐ δι' ἀρετὴν οἰκείαν μεγαλυνθήσομαι, ἀλλὰ διὰ τὸ ἔχειν ὑπέρμαχον τὸν Θεόν.

« Ἀκουσάτωσαν πραεῖς, καὶ εὐφρανθήτωσαν. » — Ἀκουσάτωσαν ὅτι ἐζήτησα τὸν Κύριον εἰς ἐπικουρίαν, καὶ εἰσήκουσέ μου. Πραεῖς δέ φησι τοὺς ἀνεξικάκους· ἦν αὐτός.

« Προσέλθετε πρὸς αὐτὸν καὶ φωτίσθητε, καὶ τὰ

OCR ABK / FR

πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ. » — Ὅσοι τῇ εὐθυμίᾳ τὸν νοῦν ἐσκοτίσθητε, προσφύγετε εἰς Θεὸν καὶ τῇ εὐθυμίᾳ φωτίσθητε, καὶ οὐ μὴ καταισχυνθῆτε ἐλπίσιν.

« Οὗτος ὁ πτωχὸς ἐκέκραξε, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτοῦ, καὶ ἐκ πασῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν. » — Οὗτος ἐγὼ ὁ πτωχὸς πάσης ἀνθρωπίνης ἐπικουρίας.

« Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν, καὶ ῥύσεται αὐτούς. » — Στρατοπεδεύσει πέριξ ἑκάστου · τῇ δυνάμει αὐτοῦ περιτειχίζων αὐτόν. Ὅλῳ γὰρ στρατῷ παρεικάζει τὴν τοῦ ἀγγέλου δύναμιν, τοῦ φύλακος τῆς ἑκάστου ζωῆς.

« Γεύσασθε καὶ ἴδετε, ὅτι χρηστὸς ὁ Κύριος. Μακάριος ἀνὴρ ὃς ἐλπίζει ἐπ' αὐτόν. » — Πείρᾳ γνῶτε καὶ μάθετε τὴν ἀγαθωσύνην τοῦ Θεοῦ. Τουτέστιν ἐκζητήσατε καὶ ὑμεῖς, καὶ προσδράμετε, καὶ τὰ τοιαῦτα. Αἰνίττεται δὲ καὶ τὸν διὰ βαπτίσματος φωτισμὸν καὶ τὴν τῶν θείων μυστηρίων μετάληψιν, δι' ὧν τὸν σταυρὸν καὶ τὸν θάνατον διδασκόμεθα τὰ τῆς ἀγαθωσύνης τοῦ Κυρίου παραστατικά.

« Φοβήθητε τὸν Κύριον, πάντες οἱ ἅγιοι αὐτοῦ. » — Ἁγίους καλεῖ τοὺς ἀνακειμένους τῷ καθαρῷ Θεῷ.

« Ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν. » — Οὐκ ἔστιν ἔλλειψις ἀληθοῦς ἀγαθοῦ τοῖς φοβουμένοις αὐτόν.

« Πλούσιοι ἐπτώχευσαν, καὶ ἐπείνασαν . οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. » — Αἰωνίου καὶ ἀμειώτου·

« Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν ; » — Ἐκεῖνος ἀκουσάτω τῆς ἐμῆς διδαχῆς ὅστις ὀρέγεται τὴν ὄντως ζωήν.

« Ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς ; » — Ἡμέραι εἰσὶν ἀγαθαὶ τὸ ἀΐδιον φῶς μετὰ τῆς ἀλήκτου εὐφροσύνης καὶ ἀνεκλαλήτου.

« Παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ, καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον. » — Ἐντεῦθεν ὑποτίθεται τὰ ἔργα τοῦ θείου φόβου τοῦ στοιχειωτικοῦ, καὶ σωφρονίζει πρῶτον τὴν γλῶσσαν τὸ εὐόλισθον μόριον καὶ προχειρότατον ὄργανον εἰς ἅπαν κακόν.

« Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν · ζήτησον εἰρήνην, καὶ δίωξον αὐτήν. » — Περὶ τοῦ λόγου διδάξας, εἰς τὴν πρᾶξιν εὐτάκτως ἐχώρησε.

« Πρόσωπον Κυρίου ἐπὶ ποιοῦντας κακὰ, τοῦ ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. » — Ἡ ἐπισκοπὴ καὶ τοὺς πονηρούς, ἀλλ' ἕνεκα τοῦ ἀφανίσαι τὴν μνήμην αὐτῶν ἐκ τῆς χώρας τῶν σωζομένων.

« Ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ Κύριος εἰσήκουσεν αὐτῶν, καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐῤῥύσατο αὐτούς. » — Κραυγὴν νοητέον τὴν ἐπιτεταγμένην νοερὰν ἔντευξιν, λύτρωσιν καὶ θλίψεων τὸ ἀκυρίευτον ὑπ' αὐτῶν μεῖναι τὴν ψυχὴν καὶ ἀήττητον.

« Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τῇ καρδίᾳ. » — Τοῖς κατανενυγμένοις ἐπὶ τοῖς ἑαυτῶν ἁμαρτήμασι.

« Καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει. » — Τοὺς ἔχοντας τεταπεινωμένην ψυχήν·

« Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτοὺς ὁ Κύριος. » — Ἔτι κρατεῖς, ἐπιδείξει παντὸς πειρασμοῦ.

« Φυλάσσει Κύριος πάντα τὰ ὀστᾶ αὐτῶν · ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται. » — Ὀστᾶ καλεῖ τοὺς στερεοῦντας τὴν ψυχὴν λογισμούς, ὧν οὐδεὶς συντριβήσεται τῇ βίᾳ τῆς ἁμαρτίας.

« Θάνατος ἁμαρτωλῶν πονηρός. » — Ἀλγεινός, ἐπείπερ ὀξέως αἰσθάνονται τότε τῆς διαδεχομένης τούτους κολάσεως.

« Καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσι. » — Ψυχικῶς κινδυνεύουσιν.

« Λυτρώσεται Κύριος ψυχὰς δούλων αὐτοῦ, καὶ οὐ μὴ πλημμελήσουσι πάντες οἱ ἐλπίζοντες ἐπ' αὐτόν. » — Τῶν ἀνθρωπίνων ἐπιβουλῶν καὶ δαιμονικῶν αἳ ἡττήθησαν τῆς τούτων ὑπομονῆς.

## ΨΑΛΜΟΣ ΛΔ'.

« Ψαλμὸς τῷ Δαυΐδ. » — Καὶ τοῦτον ᾖσεν ὁ Προφήτης διωκόμενος ὑπὸ τοῦ Σαοὺλ. Ἁρμόζει δὲ καὶ πᾶσιν ὁμοίως τοῖς καταδιωκομένοις ὑπ' ἐχθρῶν.

« Δίκασον, Κύριε, τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με. » — Τῷ σχήματι τῆς πανοπλίας ἐκδειματοῦ τοὺς πονηρούς.

« Ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με. » — Γύμνωσον τὴν σπάθην ἥτις ἐξελκομένη τοῦ κουλεοῦ, δοκεῖ ἐκχεῖσθαι διὰ τὴν λειότητα.

« Αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου. » — Φράξον ἔμπροσθεν ὥστε μὴ δύνασθαι αὐτοὺς τὸν ἀπὸ σοῦ κίνδυνον ἐκφυγεῖν.

Ἀποστραφείησαν εἰς τὰ ὀπίσω καὶ καταισχυνθείησαν οἱ λογιζόμενοί μοι κακά. « — Οἱ σκεπτόμενοι καὶ μελετῶντες.

« Γενηθήτωσαν ὡσεὶ χοῦς κατὰ πρόσωπον ἀνέμου. » — Ὅσον ἐπὶ τῷ διασκεδάννυσθαι ἐν τῷ φεύγειν.

« Καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς. » — Προϋπακουστέον τὸ ἔστω.

« Γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα. » — Σκότος καὶ ὀλίσθημα τὴν κατάπτωσιν λέγει· οἵ τε γὰρ ἐν σκότει προσπταίοντες καὶ οἱ ὀλισθαίνοντες καταπίπτουσι.

« Καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτούς. » — Μήτε ὀφθαλμῷ, μήτε ποδὶ βοηθούμενοι, κατεπειγέσθωσαν καὶ ὑπὸ τοῦ ἀγγέλου ἐκδιώκοντος ὄπισθεν.

« Ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν. » — Ἀναιτίως καὶ ἀδίκως ἐπεκτήναντό μοι ὄλεθρον διὰ μηχανῆς αὐτῶν·

« Μάτην ὠνείδισαν τὴν ψυχήν μου. » — Ψευδῶς ὠνείδισάν με.

« Ἐλθέτω αὐτῷ παγὶς ἣν οὐ γινώσκει. » — Παντὶ τῷ τοιαῦτα κατ' ἐμοῦ συσκευάσαντι ἐλθέτω συμφορὰ ἀπρόοπτος.

« Καὶ ἡ θήρα ἣν ἔκρυψε συλλαβέτω αὐτόν. » — Θήραν λέγει τὸ δίκτυον · διὰ τούτου δὲ καὶ διὰ τῆς παγίδος τὴν συσκευὴν αἰνίττεται καὶ τὴν μηχανὴν-

OCR ABK / FR

« Καὶ ἐν τῇ παγίδι πεσεῖται ἐν αὐτῇ. » — Ἐν αὐτῇ παρ' αὐτοῦ παγείσῃ, τουτέστι τοῖς οἰκείοις ἐπιχειρήμασιν διαφθαρείη.

« Πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κύριε, τίς ὅμοιός σοι; » — Διὰ τῶν ὀστῶν τὴν ἐκ βάθους ψυχῆς ἐκφαίνει ἐξομολόγησιν. Τὸ δὲ τίς ἀντὶ τοῦ οὐδείς.

« Ῥυόμενος πτωχὸς ἐν χειρὸς στερεωτέρων αὐτοῦ. » — Ἀνθρωπίνης ἐπικουρίας ἔρημον.

« Πτωχὸν καὶ πένητα τῶν διαρπαζόντων αὐτόν. » — Διὰ τούτων τὴν ἄγαν εὐτέλειαν ἐδήλωσεν ἑαυτοῦ διαρπαζόντων καὶ ὅσον ἐπὶ ταῖς ἑαυτῶν ἐλπίσιν.

« Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου. » — Ἐπεὶ διὰ τῶν τέκνων ἡ μνήμη φυλάσσεται, τὴν διὰ θανάτου λήθην ἀτεκνίαν ἐκάλεσε. Τῇ ψυχῇ μου δὲ ἀντὶ τοῦ ἐμοί.

« Ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου. » — Κατέτηκον τῇ ἀσιτίᾳ ἐμαυτόν.

« Καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται. » — Καὶ ἡ αἴτησίς μου λαβοῦσα θεόθεν τὸ ἔμπρακτον, ἀποστραφήσεται εἰς κόλπον μου δίκην δώρου πολυτελοῦς·

« Ὡς πλησίον καὶ ὡς ἀδελφὸν ἡμέτερον οὕτως εὐηρέστουν. » — Τὸν Σαοὺλ φησιν· ἡ δὲ σύνταξις ἀδιάφορος.

« Ὡς πενθῶν καὶ σκυθρωπάζων, οὕτως ἐταπεινούμην. » — Οὐκ ἐπήρθην ἐπὶ τοῖς ἐμοῖς κατορθώμασιν, ἀλλὰ καὶ λίαν ἐταπείνουν καταστέλλων τὸν φθόνον.

« Καὶ κατ' ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν. » — Οἱ δὲ φθονοῦντες οἰόμενοι τὴν ἐμὴν ἰσχὺν ἀφανίζεσθαι ἐχάρησαν, καὶ ἠθροίσθησαν εἰς μελέτην ἐπιβουλῆς.

« Συνήχθησαν ἐπ' ἐμὲ μάστιγες, καὶ οὐκ ἔγνων » — Ἄνδρες μάστιγες, ἀρσενικῶς ἤτοι πλῆκται καὶ ἀναιρέται· ἐγὼ δὲ οὐκ ᾔδειν.

« Διεσχίσθησαν, καὶ οὐ κατενύγησαν. » — Διεσκεδάσθησαν μὴ εὑρόντες με ἔνθα ἤλπιζον· οὐ μὴν μετεμελήθησαν.

« Ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμῷ· ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν. » — Πεῖραν καὶ δοκιμὴν καὶ πᾶσαν ἐκίνησαν εἰς ἐμὲ ὥστε ἑλεῖν με· ποτὲ μὲν γὰρ ἀπάτῃ ἐχρήσαντο τοῦτο γὰρ βούλεται νῦν ὁ μυκτηρισμός, ποτὲ δὲ φανερῶς ἐξεθηριώθησαν.

« Κύριε, πότε ἐπόψει; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου. » — Ἀποκατάστησόν με εἰς τὴν προτέραν ἐλευθερίαν ἀπὸ τῆς κακουργίας αὐτῶν ῥυσάμενος.

« Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ πολλῇ ἐν λαῷ βαρεῖ αἰνέσω σε. » — Τουτέστι, πολυπληθεῖ.

« Ὅτι ἐμοὶ μὲν εἰρηνικῶς ἐλάλουν καὶ ἐπ' ὀργὴν δόλους διελογίζοντο. » — Δι' ὀργὴν καὶ ἣν ὑπέκρυπτον, ἐσκέπτοντο δολίως πῶς ἂν κινδυνεύσω.

« Καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν· » — Ὕστερον δὲ καὶ παῤῥησίᾳ κατηγόρουν μου καὶ ἀνυποστόλως.

« Εἶπον, Εὖγε, εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν. »

A — Ἰδόντες με, φησί, φεύγοντα καὶ ταλαιπωρούμενον εἰρήκασι τὸ ἐπιφώνημα τῆς εὐφροσύνης, τὸ εὖγε, εὖγε· ἤτοι καλῶς καλῶς ἔχει δηλαδὴ τὸ πρᾶγμα· εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν. Ἃ δηλονότι ἤθελον.

« Εἶδες, Κύριε, μὴ παρασιωπήσῃς· Κύριε, μὴ ἀποστῇς ἀπ' ἐμοῦ. » — Μὴ ὑπομείνῃς ἔτι· οἱ γὰρ ὑπομένοντες εἰώθασι σιωπῆν.

« Μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, Εὖγε, εὖγε τῇ ψυχῇ ἡμῶν· μηδὲ εἴποισαν, Κατεπίομεν αὐτόν. » — Τῷ στόματι τῆς ῥομφαίας.

« Ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἅμα οἱ θέλοντες. » — Τὸ ἅμα ἀντὶ τοῦ πάντες ἐν ταυτῷ.

« Οἱ θέλοντες τὴν τὴν δικαιοσύνην μου. » Τὴν δικαίωσίν μου.

« Καὶ ἡ γλῶσσά μου μελετήσει δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου. » — Τὸ μελετήσει
B ἐνταῦθα ἀντὶ τοῦ διηνεκῶς ἀπαγγελεῖ. Ἰστέον ὅτι τὰ πλείω καὶ κυριώτερα τοῦ παρόντος ψαλμοῦ εἰς τὸν Χριστὸν ἐκλαμβάνονται κατὰ τῶν ἀχαρίστων Ἰουδαίων.

## ΨΑΛΜΟΣ ΛΕ'.

« Εἰς τὸ τέλος, τῷ δούλῳ Κυρίῳ, τῷ Δαυΐδ· » — Διωκόμενος ὑπὸ τοῦ Σαοὺλ εἰς σπήλαιον ἐκρύβη κοιμηθησόμενος. Ἀγνοῶν καὶ ὁ Σαοὺλ, ηὐλίσθη καὶ αὐτὸς ἐν τῷ αὐτῷ σπηλαίῳ. Καὶ νυκτὸς ἀναστὰς ὁ Δαυῒδ περιεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ, καὶ μεθ' ἡμέραν ἔδειξεν αὐτὸ πόῤῥωθεν τῷ Σαοὺλ καὶ ὠνείδισεν αὐτῷ τὴν ἄδικον ἐπιβουλήν. Ὁ δὲ ἀπεκρίθη μετάνοιαν καὶ ὑπόθεσιν τῆς ἐπιβουλῆς. Πάλιν δὲ ἐδολιεύετο τὴν ἀναίρεσιν τοῦ Δαυῒδ, καὶ τότε ὁ
C Δαυῒδ τὸν παρόντα ψαλμὸν συντέθεικεν.

« Φησὶν ὁ παράνομος, τοῦ ἁμαρτάνειν ἐν ἑαυτῷ· Οὐκ ἔστι φόβος Θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτοῦ. » — Τὸ φησὶν ἀντὶ τοῦ μελετᾷ. Ἤγουν μελετᾷ ὁ παράνομος ἐν ἑαυτῷ ὥστε ἁμαρτάνειν. Τὸ τοῦ γὰρ ἀντὶ τοῦ ὥστε, ἢ περιττόν.

« Ὅτι ἐδόλωσεν ἐνώπιον αὐτοῦ τοῦ εὑρεῖν τὴν ἀνομίαν αὐτοῦ, καὶ μισῆσαι. » — Ὅτι ἐδολιεύσατο ἑαυτὸν εἰς τὴν διάγνωσιν τῆς ἀνομίας αὐτοῦ καὶ τὴν ταύτης ἀποστροφήν.

« Τὰ ῥήματα τοῦ στόματος αὐτοῦ ἀνομία καὶ δόλος, οὐκ ἠβουλήθη συνιέναι τοῦ ἀγαθῦναι. » — Οὐχ εἵλετο λαβεῖν σύνεσιν ὥστε ποιῆσαι τὸ καλόν.

« Ἀνομίαν δὲ ἐλογίσατο ἐπὶ τῆς κοίτης αὐτοῦ. » — Καὶ τὸν καιρὸν τῆς ἀναπαύσεως εἰς πονηρὰς μελέτας ἀνήλισκε.

D « Παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ. » — Ἕτοιμος ἦν εἰς πᾶσαν πρᾶξιν κακήν.

« Κακίᾳ δὲ οὐ προσώχθισε. » — Οὐκ ἐπιβαρῆ δὲ καὶ φορτικὴν ἐνόμισε τὴν κακίαν, τουτέστιν, οὐκ ἀπεσείσατο ταύτην.

« Κύριε, ἐν τῷ οὐρανῷ τὸ ἔλεός σου, καὶ ἡ ἀλήθειά σου ἕως τῶν νεφελῶν. » — Ἀντὶ τοῦ ἕως τοῦ οὐρανοῦ, τουτέστιν ὑψηλὸν καὶ πολύ.

« Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ. » — Καὶ διὰ τῶν ὀρέων τὸ ὕψος καὶ μέγεθος ᾐνίξατο. Ὄρη δὲ Θεοῦ τὰ ὑπὸ Θεοῦ κτισθέντα.

« Τὰ κρίματά σου ἄβυσσος πολλή. » — Καὶ οἰκονομίαι σου ἀκατάληπτοι.

OCR ABK / FR

« Ἀνθρώπους καὶ κτήνη σώσεις, Κύριε. » — Τὸ σώσεις ἀντὶ τοῦ σώζεις, τουτέστι ζωοποιεῖς.

« Οἱ δὲ υἱοὶ τῶν ἀνθρώπων ἐν σκέπῃ τῶν πτερύγων σου ἐλπιοῦσιν. » — Ὅσοι κυρίως εἰσὶν ἄνθρωποι, μὴ τὴν προσηγορίαν τὴν πονηρίαν παραχαράξαντες.

« Μεθυσθήσονται ἀπὸ πιότητος οἴκου σου. » — Εὐφρανθήσονται ἀπὸ τοῦ πλούτου σου. Τουτέστι τῆς πλουσίας χορηγίας τῶν χρειωδῶν τῶν τε σωματικῶν καὶ τῶν πνευματικῶν.

« Καὶ τὸν χειμάῤῥουν τῆς τρυφῆς σου ποτιεῖς αὐτούς. » — Τὸν σφοδρὸν ῥοῦν.

« Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς. » — Ὅτι σὺ πηγάζεις πᾶσαν ζωήν.

« Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς. » — Διὰ τοῦ Υἱοῦ σου ἐπιγνωσόμεθα Πνεῦμα τὸ ἅγιον.

« Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε, καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ. » — Τὴν δικαίαν κηδεμονίαν σου.

« Μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με. » — Περιφραστικῶς ἡ ὑπερηφανία καὶ ὁ ἁμαρτωλός. Ἁμαρτωλὸν δὲ μᾶλλον νοητέον τὸν διάβολον.

« Ἐκεῖ ἔπεσον πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. » — Ὅπου πίπτουσιν οἱ ἄνομοι, καὶ πεσόντες ἐξωθοῦνται ἀπὸ σοῦ, καὶ ἐξωσθέντες, οὐ δυνήσονται τοῦ πτώματος ἐπανελθεῖν.

## ΨΑΛΜΟΣ ΛΖ΄.

« Ψαλμὸς τῷ Δαυΐδ. Μὴ παραζήλου ἐν πονηρευομένοις. » — Παραζήλωσιν τὴν μίμησιν εἴρηκεν.

« Μηδὲ ζήλου τοὺς ποιοῦντας τὴν ἀνομίαν. » — Μηδὲ ζηλωτοὺς καὶ μακαρίους τοὺς ἀνομοῦντας ἡγοῦ διὰ τὴν μικρὰν εὐημερίαν καὶ πρόσκαιρον.

« Ἔλπισον ἐπὶ Κύριον, καὶ ποίει χρηστότητα. » — Ἔλπισον ὅτι τοὺς πόνους τῶν ἐναρέτων οὐ περιόψεται, καὶ ποίει τὸ ἀγαθόν.

« Καὶ κατασκήνου τὴν γῆν, καὶ ποιμανθήσῃ ἐπὶ τῷ πλούτῳ αὐτῆς. » — Οὕτω ποιῶν, ἀφόβως κατοίκει τὴν γῆν· ποιμανθήσῃ γὰρ παρὰ Θεοῦ ἐπὶ τοῖς ἀγαθοῖς αὐτῆς, ὥστε τῶν μὲν χρησίμων ἀπολαύειν, τῶν δὲ βλαπτόντων ἀπέχεσθαι.

« Κατατρύφησον τοῦ Κυρίου, καὶ δώσει σοι τὰ αἰτήματα τῆς καρδίας σου. » — Διὰ τῆς εἰς αὐτὸν ἀκορέστου ἀγάπης καὶ τῆς ἀπλήστου μελέτης τῶν αὐτοῦ ἐντολῶν.

« Ἀποκάλυψον πρὸς Κύριον τὴν ὁδόν σου. » — Ἀξίαν θείας ἐπισκοπῆς ποίησον τὴν πολιτείαν σου.

« Καὶ ἔλπισον ἐπ' αὐτόν, καὶ αὐτὸς ποιήσει. » — Ποιήσει ἃ συμφέρει.

« Καὶ ἐξοίσει ὡς φῶς τὴν δικαιοσύνην σου, καὶ τὸ κρίμα σου ὡς μεσημβρίαν. » — Δικαιοσύνην καὶ κρίμα τὴν δικαίαν κρίσιν ἐκάλεσεν, ἣν ὁ Θεὸς φανερὰν ἐξενέγκαι τοῖς εἰς αὐτὸν ἑαυτοὺς ἐπιῤῥίψασι· τοῦτο γὰρ ἡ ἀληθὴς ἐλπίς.

« Ὑποτάγηθι τῷ Κυρίῳ καὶ ἱκέτευσον αὐτόν. » — Μὴ ἀντιλέξῃς τῷ τούτου βουλήματι, καὶ ἱκέτευσον αὐτὸν ὥστε ἐλεηθῆναι καὶ σκεπασθῆναι.

A « Μὴ παραζήλου ἐν τῷ κατευοδουμένῳ ἐν τῇ ὁδῷ αὐτοῦ ἐν ἀνθρώπῳ ποιοῦντι παρανομίαν. » — Εἰπὼν « ἐν τῷ κατευοδουμένῳ » διέστειλε περὶ ποίου λέγει.

« Παῦσαι ἀπὸ ὀργῆς καὶ ἐγκατάλιπε θυμόν· μὴ παραζήλου ὥστε πονηρεύεσθαι. » — Μὴ μόνον ἀπέχε τοῦ μιμεῖσθαι τοὺς πονηροὺς εὐπραγοῦντας, ἀλλὰ μὴ ὀργίζου μηδὲ θυμοῦ ἐν τῷ αὐτοὺς εὐπραγεῖν.

« Ὅτι οἱ πονηρευόμενοι ἐξολοθρευθήσονται· οἱ δὲ ὑπομένοντες τὸν Κύριον, αὐτοὶ κληρονομήσουσι γῆν. » Εἰ καὶ μὴ πάντες σωματικῶς, τέως δ' οὖν ἅπαντες ψυχικῶς.

« Καὶ ἔτι ὀλίγον καὶ οὐ μὴ ὑπάρξει ὁ ἁμαρτωλός. » — Πόσον ζήσεται καὶ ἡ πονηρία τούτου σβεσθήσεται.

B « Καὶ ζητήσεις τὸν τόπον αὐτοῦ, καὶ οὐ μὴ εὕρῃς. » — Εἰ ζητήσεις δὲ εἰ ἔχει τόπον, οὐ μὴ εὕρῃς τὸν τόπον αὐτοῦ· τῶν γὰρ σωζομένων εἰσὶ πάντες οἱ τόποι, καὶ αἱ μοναὶ τοῦ Θεοῦ· τῶν δὲ ἀπολλυμένων ἡ γέεννα, ἥτις οὐδὲ καὶ τόπος λέγεται, ἀλλὰ ἀπώλεια.

« Οἱ δὲ πραεῖς κληρονομήσουσι γῆν, καὶ κατατρυφήσουσιν ἐπὶ πλήθει εἰρήνης. » — Καὶ καταπολαύσουσι τῆς γῆς ἐκείνης ἐν πολλῇ εἰρήνῃ· καὶ γὰρ ἐκεῖθεν ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός.

« Ὁ Κύριος ἐκγελάσεται αὐτόν, ὅτι προβλέπει, ὅτι ἥξει ἡ ἡμέρα αὐτοῦ. » — Προορᾷ γὰρ ὡς Θεὸς ἐρχομένην τὴν ἡμέραν τῆς καταστροφῆς αὐτοῦ.

« Ῥομφαίαν ἐσπάσαντο ἁμαρτωλοί, ἐνέτειναν τόξον C αὐτῶν. » — Τῇ διαφορᾷ τῶν ὅπλων τὰς διαφόρους ἐπιβουλὰς αἰνίττεται.

« Κρεῖσσον ὀλίγον τῷ δικαίῳ ὑπὲρ πλοῦτον ἁμαρτωλῶν πολύν. » — Τῷ δικαίῳ ἀνθρώπῳ κρεῖττον νομίζεται τὸ ὀλίγον μετὰ δικαιοσύνης τοῦ πολλοῦ μετὰ ἁμαρτίας.

« Ὅτι βραχίονες ἁμαρτωλῶν συντριβήσονται. » — Βραχίονας τὰς δυνάμεις καλεῖ.

« Ὑποστηρίζει δὲ τοὺς δικαίους ὁ Κύριος. » — Ὑπὸ δαιμόνων καὶ πονηρῶν ἀνθρώπων ὠθούμενοι οὐ περιτραπήσονται.

« Γινώσκει Κύριος τὰς ὁδοὺς τῶν ἀμώμων, καὶ ἡ κληρονομία αὐτῶν εἰς αἰῶνα ἔσται. » — Τὴν αἰώνιον γὰρ βασιλείαν τῶν οὐρανῶν κληρονομήσουσιν.

D « Οὐ καταισχυνθήσονται ἐν καιρῷ πονηρῷ. » — Ἐν καιρῷ ἐπιπόνῳ, τουτέστιν ἐν πειρασμοῖς, οὐ καταισχυνθήσεται ἡττηθείς, οὔτε μὴν ἐν τῷ τῆς κρίσεως καιρῷ τῷ ἐπιπονωτάτῳ τοῖς ἁμαρτωλοῖς.

« Καὶ ἐν ἡμέρᾳ λιμοῦ χορτασθήσονται. » — Λιμὸν ὑποληπτέον τὴν ἔνδειαν τῆς ἀληθινῆς εὐφροσύνης, οὗ δὴ λιμοῦ οὐ πειρασθήσεται ὁ δίκαιος.

« Ὅτι οἱ ἁμαρτωλοὶ ἀπολοῦνται. » — Ἀπώλεια κυρίως ἡ ἔκπτωσις τῆς σωτηρίας ἐστίν.

« Οἱ δὲ ἐχθροὶ τοῦ Κυρίου, ἅμα τῷ δοξασθῆναι αὐτοὺς, καὶ ὑψωθῆναι, ἐκλιπόντες ὡσεὶ καπνὸς ἐξέλιπον. » — Τοῦτο καὶ τοῖς Ἰουδαίοις ἁρμόζει καὶ τοῖς εἰδώλοις μετὰ τῶν ἐνοικούντων αὐτοῖς.



OCR ABK / FR

A

« Δανείζεται ὁ ἁμαρτωλὸς, καὶ οὐκ ἀποτίσει. » — Οὐ μόνον οὐ μεταδίδωσιν οἴκων, ἀλλ' οὐδὲ τὸ κεχρεωστημένον ἀποδίδωσι· τοσοῦτόν ἐστιν ἀπηνὴς καὶ παράνομος.

« Ὁ δὲ δίκαιος οἰκτείρει καὶ δίδωσιν. » — Οἰκτείρει μὲν οἴκοθεν, δίδωσι δὲ τὸ κεχρεωστημένον, ἤτοι ἀποδίδωσι.

« Ὅτι οἱ εὐλογοῦντες αὐτὸν κληρονομήσουσι γῆν· οἱ δὲ καταρώμενοι αὐτὸν ἐξολοθρευθήσονται. » — Τὸ ὅτι ἀποφαντικὸν ἀντὶ τοῦ ὄντως· κατάραν δὲ τὴν ὕβριν φησί.

« Παρὰ Κυρίου τὰ διαβήματα ἀνθρώπου κατευθύνεται. » — Ὁρμᾷ μὲν ὁ δίκαιος οἴκοθεν εἰς τὴν ὁδὸν τῆς ἀρετῆς, παρὰ Κυρίου δὲ διηγεῖται. Χωρὶς γὰρ τῆς θείας οὐδόλως εὐοδωθήσεται· ἀνθρώπου δὲ, τοῦ δικαίου δηλαδή.

B

« Καὶ τὴν ὁδὸν αὐτοῦ θελήσει. » — Τὴν πολιτείαν γὰρ αὐτοῦ ἀποδέχεται λίαν.

« Ὅταν πέσῃ, οὐ καταραχθήσεται· ὅτι Κύριος ἀντιστηρίζει χεῖρα αὐτοῦ. » — Ὅταν ἀλισθήσῃ λόγοις οἰκονομίας μείζονος παραχωρήσαντος τοῦ Θεοῦ, οὐκ ἀπολεῖται, χεῖρα βοηθείας, εἴτουν ἐπιστροφὴν καὶ μετάνοιαν ὑποτιθεμένου αὐτῷ τοῦ Θεοῦ.

« Νεώτερος ἐγενόμην· καὶ γὰρ ἐγήρασα, καὶ οὐκ εἶδον δίκαιον ἐγκαταλελειμμένον. » — Τὴν τελείαν φησὶν ἐγκατάλειψιν.

« Οὐδὲ τὸ σπέρμα αὐτοῦ ζητοῦν ἄρτους. » — Οὐδὲ εἴ τις αὐτῷ γένηται κατὰ πνεῦμα, καὶ τὸν τρόπον αὐτοῦ διεδέξατο, τῆς τὴν ψυχὴν στηριζούσης τροφῆς ἐξηπόρησεν.

C

« Ὅλην τὴν ἡμέραν ἐλεεῖ καὶ δανείζει ὁ δίκαιος. » — Ἀεὶ δανείζει ὁ δίκαιος ὃ βούλει. Δάνειον δὲ πᾶν δόμα τοῦ δικαίου, διὰ τὸ σὺν πολλῷ τόκῳ μέλλειν αὐτὸν θεόθεν τοῦ ἀπολαβεῖν.

« Καὶ τὸ σπέρμα αὐτοῦ εἰς εὐλογίαν ἔσται. » — Τουτέστι εὐλογημένον καὶ ἐπαινετόν.

« Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθὸν, καὶ κατασκήνου εἰς αἰῶνα αἰῶνος. » — Κατασκήνου εἰς τὸν αἰῶνα τὸν μέλλοντα, ἐν τῷ αἰῶνι παροικῶν, διὰ τὸ πρόσκαιρον τῆς ζωῆς.

« Ὅτι Κύριος ἀγαπᾷ κρίσιν. » — Κρίσιν τὴν δικαιοσύνην λέγει.

« Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν. » — Σοφίαν εἴρηκε τὸν νόμον τοῦ Θεοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ. Τὰς αὐτὰς δὲ καὶ κρίσιν ἐκάλεσεν.

D

« Ὁ νόμος τοῦ Θεοῦ ἐν καρδίᾳ αὐτοῦ, καὶ οὐχ ὑποσκελισθήσεται τὰ διαβήματα αὐτοῦ. » — Οὐκ ἐμποδισθήσεται ἡ πρὸς Θεὸν ὁδὸς αὐτοῦ.

« Κατανοεῖ ὁ ἁμαρτωλὸς τὸν δίκαιον, καὶ ζητεῖ τοῦ θανατῶσαι αὐτόν. » — Παρατηρεῖ καὶ ἐνεδρεύει τὸν δίκαιον ὁ ἁμαρτωλὸς ὁ αἰσθητὸς καὶ ὁ νοητός.

« Ὁ δὲ Κύριος οὐ μὴ ἐγκαταλίπῃ αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ. » — Περὶ τῆς τελείας λέγει ἐγκαταλείψεως.

« Οὐδὲ μὴ καταδικάσηται αὐτὸν, ὅταν κρίνηται αὐτόν. » — Ἀλλ' οὐδὲ κατὰ τὴν μέλλουσαν κρίσιν κατάδικον ποιήσει ὁ Θεὸς τὸν δίκαιον, ὅταν ὁ ἁμαρτωλὸς ἀντικρίνηται αὐτῷ· καὶ γὰρ οἱ δαίμονες κολαζόμενοι καταβοήσονται τῶν δικαίων, εἴποτέ τι ὡς ἄνθρωποι ἐπλημμέλησαν.

« Ὑπόμεινον τὸν Κύριον καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ, καὶ ὑψώσει σε τοῦ κατακληρονομῆσαι γῆν. » — Ἀνώτερόν σε ποιήσει τῶν ἐπιβούλων ἅμα καὶ δοξάσει σε.

« Ἐν τῷ ἐξολοθρεύεσθαι ἁμαρτωλοὺς ὄψει. » — Ἤτοι τὴν ἐξολόθρευσιν τῶν ἁμαρτωλῶν ἴδῃς.

« Ὁ τόπος αὐτοῦ. » — Ἀντὶ τοῦ, οὐχ εὑρέθη ὢν που.

« Φύλασσε κακίαν καὶ ἴδε εὐθύτητα. » — Τήρει τὸ εἶναι ἀπόνηρος· καὶ λάβε πρὸ ὀφθαλμῶν τὴν εὐθύτητα.

« Ὅτι ἐστὶν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ. » — Ἐγκατάλειμμά φησι τὸ μνημόσυνον.

« Οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἐπὶ τὸ αὐτὸ, τὰ ἐγκαταλείμματα τῶν ἀσεβῶν ἐξολοθρευθήσονται. » — Ὁμοῦ τῷ μνημοσύνῳ.

## ΨΑΛΜΟΣ ΛΖ'.

« Ψαλμὸς τῷ Δαυῒδ εἰς ἀνάμνησιν Σαββάτου. » — Εἰς ἀνάμνησιν τῶν πλημμελημάτων δηλαδὴ καὶ τῶν διὰ ταῦτα κακοπαθειῶν ὁ ψαλμὸς συντέθειται τῷ Δαυῒδ δεομένῳ περὶ τοῦ Σαββάτου, τουτέστι τῆς τῶν ἀλγεινῶν καταπαύσεως· ἄνεσιν γὰρ θεόθεν παρακαλεῖ τῶν δι' ἁμαρτίας ἐπενεχθεισῶν αὐτῷ πολυειδῶν συμφορῶν.

« Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι. » — Βέλη Θεοῦ καλεῖ τὰς ἐπενεχθείσας αὐτῷ συμφορὰς, τὰς τὴν καρδίαν νυττούσας δίκην βελῶν.

« Καὶ ἐπεστήριξας ἐπ' ἐμὲ τὴν χεῖρά σου. » — Τουτέστιν, ἐπιμόνως ἐτιμώρησας.

« Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου ἀπὸ προσώπου τῆς ὀργῆς σου. » — Ἴασίν φησι τὴν τῆς κακοπαθείας ἀπαλλαγήν· τὸ δὲ « ἀπὸ προσώπου τῆς ὀργῆς » ἀντὶ τοῦ, διὰ τὴν ὀργήν σου· περιφραστικῶς γὰρ εἴρηνται τὰ τοιαῦτα.

« Οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου. » — Κλονοῦμαι γὰρ καὶ τρέμω.

« Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου ἀπὸ προσώπου τῆς ἀφροσύνης μου. » — Οἱ μώλωπες τῆς ψυχῆς μου δυσωδίαν ἀποφέρουσι, καὶ οὐκ ἐξ ἐπιπολῆς, ἀλλὰ καὶ ἐσάπησαν τέλεον.

« Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην. » — Ἐκακοπάθησα, καὶ ἀσθενήσας κατεκάμφθην παντελῶς, τὴν ψυχὴν δηλαδὴ καὶ τὸ σῶμα.

« Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων. » — Τὰς ψόας λαγόνας εἶπεν ὁ Σύμμαχος, δι' ὧν δηλοῦται τὸ ἐπιθυμητικόν· περὶ ταύτας γὰρ οἱ νεφροί· φησὶν οὖν· Ἡ ἐπιθυμία μου ἐνεπαίχθη ὑπὸ τοῦ δαίμονος διὰ τῆς τῶν ἀτόπων ὀρέξεων ἐκπληρώσεως.

« Ἐκακώθην καὶ ἐταπεινώθην ἕως σφόδρα. » — Διὰ τούτου τὴν σκληραγωγίαν καὶ κακουχίαν ἐδή-

OCR ABK / FR

λωσε. Τὸ δὲ ἕως σφόδρα ἀντὶ τοῦ μέχρι τοῦ παντελοῦς. A

« Ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.» — Ἡ ἀγριότης τοῦ ἀπὸ καρδίας στεναγμοῦ, τουτέστι τοῦ ἐκ βάθους, βρυχηθμῷ λέοντος εἴκει.

« Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου· καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη. » — Ἡ μετὰ τὴν ἁμαρτίαν σωτηρίας ἐπιθυμῶ. Καὶ γινώσκεις τοῦτο, καὶ τοῦ στεναγμοῦ μου ἀκούεις.

« Ἡ καρδία μου ἐταράχθη· ἐγκατέλιπέ με ἡ ἰσχύς μου. » — Ἡ καρδία μου ἐταράχθη ὑπὸ τοῦ συνειδότος· ἡ ἰσχύς μου κατέλιπέ με ἀπὸ τῆς κακουχίας.

« Καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ' ἐμοῦ. » — Ἀπὸ τοῦ συνεχῶς δακρύειν.

« Οἱ φίλοι μου, καὶ οἱ πλησίον μου ἐξέναντί μου ἤγγισαν, καὶ ἔστησαν. » — Ἐναντιούμενοι ἐπλησιασάν μοι καταδιώκοντες καὶ ἔστησαν κατ' ἐμοῦ. B

« Καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν. » — Καὶ οἱ ἐμοὶ σύμμαχοι πόῤῥω ἔφυγον ἀπ' ἐμοῦ.

« Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου.» — Καὶ συνέθλιβόν με οἱ θέλοντες ἀνελεῖν με.

« Καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας. » — Καὶ οἱ θέλοντες κακωθῆναί μοι διελοιδοροῦντό μοι, καὶ ἐν αὐτοῖς ἐπεβούλευον κατ' ἐμοῦ.

« Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ. » — Λείπει τὸ ἤμην.

« Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. » — Ἐλεγμοὺς τὰς ἀντιῤῥήσεις φησὶ δι' ὧν τις ἐλέγχει τὸν κακῶς λέγοντα. C

« Ὅτι εἶπον, Μή ποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροί μου. » — Εἶπον ἐν ἐμαυτῷ εὐχόμενος, Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθροί μου.

« Καὶ ἐν τῷ σαλευθῆναι πόδας μου ἐπ' ἐμὲ ἐμεγαλοῤῥημόνησαν. » — Καὶ ἐν τῷ παρατραπῆναί με τῆς βάσεως τῶν θείων ἐντολῶν ἐκαυχῆσαντο κατ' ἐμοῦ.

« Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος. » — Πρόχειρόν με ταῖς τιμωρίαις ἡ ἁμαρτία ἐποίησε.

« Καὶ ἡ ἀλγηδών μου ἐνώπιον μού ἐστι διαπαντός. » — Καὶ ἡ τῆς ἁμαρτιας μνήμη διαπαντὸς ἐν ἐμοὶ, νύττουσα καὶ ἀλγύνουσα.

« Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου. » — Τουτέστι, φροντίσω τῆς θεραπείας αὐτῆς. D

« Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ. » Τὸ ζῶσιν ἀντὶ τοῦ σώζονται.

« Διέβαλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην. » — Ἀγαθωσύνην λέγει τὴν ἀνεξικακίαν· « ἐμοῦ γὰρ, φησὶν, ἀνεξικακοῦντος αὐτοῖς, » αὐτοὶ διέβαλλόν με.

## ΨΑΛΜΟΣ ΛΗ'.

« Εἰς τὸ τέλος τῷ Ἰδιθοὺμ ᾠδὴ τῷ Δαυίδ. » — Ἐνταῦθα τραγῳδεῖ ὁ Προφήτης τῆς ἀνθρωπίνης φύσεως καὶ τὴν εὐτέλειαν μεμνημένος καὶ ὧν ἔπαθεν ὑπὸ Ἀβεσσαλὼμ διωκόμενος.

« Εἶπα, Φυλάξω τὰς ὁδούς μου, τοῦ μὴ ἁμαρτάνειν με ἐν γλώσσῃ μου. Ἐθέμην τῷ στόματί μου φυλακήν. » — Ὁδοὺς ἐνταῦθα τοὺς λόγους φησίν.

« Ἐν τῷ συστῆναι τὸν ἁμαρτωλὸν ἐναντίον μου. » — Συστῆναι τὸ παρατάξασθαι εἴρηκεν.

« Ἐκωφώθην καὶ ἐταπεινώθην καὶ ἐσίγησα ἐξ ἀγαθῶν. » — Ἐκωφώθην ἑκὼν καὶ ἐταπεινώθην, ἐπεὶ ἐμνήσθην, ὅτι διὰ τὰς ἁμαρτίας μου ταῦτα. Ἐσίγησα καὶ οὐκ ἀπεκρίθην τῷ ὑβρίζοντι ἐξ ἀγαθῶν ἤτοι ἀγαθωσύνης, ὅ ἐστιν ἀνεξικακίας.

« Καὶ τὸ ἄλγημά μου ἀνεκαινίσθη. » — Καὶ ὁ διὰ τὰς ἁμαρτίας πόνος τῇ μνήμῃ ἀνεκαινίσθη.

« Ἐθερμάνθη ἡ καρδία μου ἐντός μου. » — Ὑβριζόμενος ἀνεφλέχθην ὑπὸ θυμοῦ· πλὴν ἐντός. οὐ γὰρ ἐξέφηνα τοῦτον χρησάμενος μακροθυμίᾳ.

« Καὶ ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ. » — Ἐν τῷ μελετᾷν με καὶ ἀναπολεῖν, καὶ πέπραχα πονηρὰ καὶ ἃ πάσχω δεινὰ, ἀεὶ ἀναφλεγήσεταί μοι πῦρ λύπης ἐμπιμπρῶν τὴν καρδίαν μου.

« Ἐλάλησα ἐν γλώσσῃ μου· Γνώρισόν μοι, Κύριε, τὸ πέρας μου. » — Πρὸς μὲν τὸν ἐχθρὸν ἐσίγησα, πρὸς δὲ τὸν Θεὸν ἐλάλησα ἠρέμα. Δῆλόν μοι ποίησον τὸ τέλος τῆς ζωῆς· σφόδρα γὰρ ἐφίεμαι τῆς τελευτῆς διὰ τὴν τῶν λυπηρῶν ἀπαλλαγήν.

« Καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν μου τίς ἐστιν, ἵνα γνῶ τί ὑστερῶ ἐγώ. » — Καὶ πᾶν τὸ ποσὸν τοῦ ὅλου χρόνου τῆς ζωῆς μου τί ἐστιν, ἵνα ἐξ ὧν ἐτῶν ἔζησα, γνωρίσω τὸ λεῖπον τῇ ὁλότητι τῆς ζωῆς μου.

« Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου. » — Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου, ὀλιγαρίθμους δηλαδή· καὶ ὁ παλαιστὴς γὰρ ἐλάχιστον μέτρου ἐστὶ, καὶ ὅπερ οἱ τέσσαρες δάκτυλοι τῇ συμπήξει ἀποτελέσουσι, τριτημόριον ὂν σπιθαμῆς. Λέγει δὲ διὰ τὰς ἐπιλοίπους ἡμέρας αὐτοῦ. Ἰστέον δὲ ὅτι καὶ τὸ μετρούμενον τῷ τοῦ μέτρου καλεῖται ὀνόματι, ὡς λέγομεν σίτου μέδιμνον καὶ πῆχυν ὑφάσματος.

« Καὶ ἡ ὑπόστασίς μου ὡσεὶ οὐθὲν ἐνώπιόν σου. » — Καὶ πρὸς τὴν σὴν αἰδιότητα πᾶσα ἡ ἐμὴ ὕπαρξις ὡς οὐθέν.

« Πλὴν τὰ σύμπαντα ματαιότης. » — Ἀληθῶς, φησὶ, τὰ σύμπαντα ἀνθρώπινα ἀγαθὰ ψεῦδος.

« Πᾶς ἄνθρωπος ζῶν. » — Τουτέστι πᾶσα ἀνθρωπίνη ζωή.

« Μέντοι γε ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος. » — Τὸ μέντοι γε καὶ τὸ μενοῦν γε τὸ ὄντος δηλοῦσι· τὸ δὲ ἐν εἰκόνι ἀντὶ τοῦ δι' εἰκόνος τε καὶ σκιᾶς.

« Πλὴν μάτην ταράσσεται, θησαυρίζει καὶ οὐ γινώσκει τίνι συνάξει αὐτά. » — Λοιπὸν ψευδῆ περισπᾶται.

« Καὶ νῦν τίς ἡ ὑπομονή μου; οὐχὶ Κύριος; καὶ ἡ ὑπόστασίς μου παρὰ σοῦ ἐστιν. » — Καὶ λοιπὸν τίς ἡ ἐλπίς μου;

« Ἐκωφώθην καὶ οὐκ ἤνοιξα τὸ στόμα μου, ὅτι σὺ ἐποίησας. » — Ὅτι σὺ παρεχώρησας ὀνειδίζεσθαί με δηλαδή.

« Ἐν ἐλεγμοῖς ὑπὲρ ἀνομίας ἐπαίδευσας ἄνθρω-

OCR ABK / FR

πον. » = Ἐν τοῖς διὰ πείρας ἐλέγχοις σου ἐσωφρόνισας ἄνθρωπον, ἢ ὡς ἐμὲ ἕνεκεν ἀνομίας· ἠνόμισα γάρ.

« Καὶ ἐξέτηξας ὡς ἀράχνην τὴν ψυχὴν αὐτοῦ. » — Ἐν τοῖς πειρασμοῖς ἐλέπτυνας αὐτὸν ὡς τὴν ἀράχνην τὸ ζωΰφιον.

« Πλὴν μάτην ταράσσεται πᾶς ἄνθρωπος. » — Διὰ τοῦτο ψευδῶς πᾶς ἄνθρωπος σπεύδει δηλονότι καὶ ἀγωνίζεται.

« Εἰσάκουσον τῆς προσευχῆς μου, Κύριε, καὶ τῆς δεήσεώς μου, ἐνώτισαι τῶν δακρύων μου, μὴ παρασιωπήσῃς. » — Ἀντὶ τοῦ παρίδῃς· ἀδιάφορος κἀνταῦθα ἡ σύνταξις ὡς πολλαχοῦ.

« Ὅτι πάροικος ἐγώ εἰμι παρὰ σοί, καὶ παρεπίδημος, καθὼς πάντες οἱ πατέρες μου. » — Κάτοικος μέν εἰμι πρὸς τοὺς ἀνθρώπους παρὰ σοὶ δὲ πάροικος· σοῦ γὰρ κελεύσαντος τοῦ Κυρίου τῆς γῆς μετοικίζομαι.

« Ἄνες μοι, ἵνα ἀναψύξω πρὸ τοῦ με ἀπελθεῖν, καὶ οὐκέτι οὐ μὴ ὑπάρξω. » — Ἐν τῷ βίῳ τούτῳ δηλαδή.

## ΨΑΛΜΟΣ ΛΘ'.

« Εἰς τὸ τέλος, τῷ Δαυὶδ ψαλμός. » — Προσώπῳ τῆς Ἐκκλησίας τῶν Χριστιανῶν εὐχαριστούσης μὲν ἐφ' οἷς ἠξιώθη τῆς θείας χάριτος, δεομένης δὲ καὶ περὶ τῶν ἐπανισταμένων αὐτῇ τυράννων.

« Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι, καὶ εἰσήκουσε τῆς δεήσεώς μου. » — Τοὺς μεγίστους κινδύνους τοιούτοις οἱ παιοὶ ὀνόμασιν ὑπεσήμαινον.

« Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας καὶ ἀπὸ πηλοῦ ἰλύος. » — Τουτέστι πηλοῦ ἰλυώδους καὶ δυσώδους.

« Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου. » — Ἐπὶ τὴν ἀσφάλειαν τῆς πίστεως καὶ ἥδρασέ με, ὥστε μὴ κλονεῖσθαι τοῖς πειρασμοῖς.

« Καὶ κατεύθυνε τὰ διαβήματά μου. » — Ὑπέδειξέ μοι τὴν τῆς σωτηρίας ὁδόν.

« Καὶ ἐνέβαλεν εἰς τὸ στόμα μου ᾆσμα καινόν, ὕμνον τῷ Θεῷ ἡμῶν. » — Τῇ καινῇ χάριτι καὶ ταῖς καιναῖς εὐεργεσίαις τοῦ Σωτῆρος ἐπιπρεπές.

« Ὄψονται πολλοί, καὶ φοβηθήσονται, καὶ ἐλπιοῦσιν ἐπὶ Κύριον. » — Ὄψονται τὰ τεράστια τοῦ Κυρίου καὶ φοβηθήσονται τὸν ἐνεργοῦντα ταῦτα.

« Μακάριος ἀνήρ, οὗ ἐστι τὸ ὄνομα Κυρίου ἐλπὶς αὐτοῦ. » — Τὸ ὄνομα Κυρίου ἀντὶ τοῦ, ὁ Κύριος.

« Ἀπήγγειλα καὶ ἐλάλησα, ἐπληθύνθησαν ὑπὲρ ἀριθμόν. » — Διηγησάμην πολλά σου θαυμάσια, οὐ μὴν τὰ πάντα· πῶς γὰρ ἃ καὶ ὑπὲρ τὴν ἀπειρίαν τοῦ ἀριθμοῦ ἐπληθύνθησαν.

« Θυσίαν καὶ προσφορὰν οὐκ ἠθέλησας· ὦτα δὲ κατηρτίσω μοι. » — Τὰ ἐντεῦθεν προσώπῳ τοῦ Χριστοῦ πρὸς τὸν Πατέρα λέγοντος, « Ἀπεδοκίμασας τὴν νομικὴν θυσίαν, σῶμα δέ μοι κατεσκεύασας ἐκ τῶν παρθενικῶν αἱμάτων. » Ὥστε τοῦτο ὑπὲρ τῆς τῶν ἀνθρώπων τυθῆναι σωτηρίας.

« Τότε εἶπον· Ἰδοὺ ἥκω. » — Τότε ὅτε τὰ νομικὰ θύματα ἀπηυδόκησας εἶπον ἐγώ· Ἰδοὺ ἥκω πρὸς θυσίαν· εἴρηκε γάρ, « Πάτερ, ἤγγικεν ἡ ὥρα. »

« Ἐν κεφαλίδι βιβλίου γέγραπται περὶ ἐμοῦ. » — Βιβλία λέγονται τὰ συγγράμματα· κεφαλίδες δὲ τὰ εἰλητάρια, ἐν οἷς οἱ Ἑβραῖοι συνέταττον τὰ συγγράμματα τῶν παλαιῶν. Φησὶν οὖν Ἐν κεφαλίδι βιβλίου, δηλονότι προφητικῶς, « περὶ τῆς ἐμῆς οἰκονομίας γέγραπται· » περιεκτικῶς γὰρ καὶ γενικῶς τὰς κεφαλίδας κεφαλίδα εἴρηκεν.

« Τοῦ ποιῆσαι τὸ θέλημά σου, ὁ Θεός μου, ἐβουλήθην. » — Καὶ τὸ τοῦ περιττὸν τίθεται κἀνταῦθα ὥσπερ καὶ πολλαχοῦ.

« Καὶ τὸν νόμον σου ἐν μέσῳ τῆς κοιλίας μου. » — Καὶ τὰς ἐντολάς σου ἐν μέσῳ τῆς καρδίας μου, τουτέστιν, ὁλοψύχως ἠβουλήθην ποιῆσαι.

« Εὐηγγελισάμην δικαιοσύνην ἐν ἐκκλησίᾳ μεγάλῃ. » — Δικαιοσύνην τὸ Εὐαγγέλιον εἴρηκεν ὡς δικαιοῦν τοὺς πιστεύοντας· τὸ δ' αὐτὸ καὶ ἀλήθειαν καὶ σωτήριον ἔλεος.

« Σὺ δέ, Κύριε, μὴ μακρύνῃς τοὺς οἰκτιρμούς σου ἀπ' ἐμοῦ. » — Τὰ ἐντεῦθεν προσώπῳ τῆς τῶν πιστῶν Ἐκκλησίας.

« Κατέλαβόν με αἱ ἀνομίαι μου, καὶ οὐκ ἠδυνήθην τοῦ βλέπειν. » — Σκοτίζουσι γὰρ οἱ πειρασμοὶ τοὺς νοερούς ὀφθαλμούς.

« Ἡ καρδία μου ἐγκατέλιπέ με. » — Οὕτω τοῖς πειρασμοῖς ἐξησθένησα, ὡς δοκεῖν μηδὲ καρδίαν ἔχειν.

« Εὐδόκησον, Κύριε, τοῦ ῥύσασθαί με. » — Θέλησον λυτρώσασθαί με τῆς τῶν πειρασμῶν καταχυρεύσεως.

« Καταισχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ζητοῦντες τὴν ψυχήν μου τοῦ ἐξᾶραι αὐτήν. » — Τὸ ἅμα ἀντὶ τοῦ, κατ' αὐτὸν πάντες.

« Καὶ εἰπάτωσαν διαπαντός, Μεγαλυνθήτω ὁ Κύριος, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου. » — Οἱ ἀγαπῶντες τὴν περὶ σοῦ σωτηρίαν καὶ μὴ τὴν παρ' ἀνθρώπων.

« Βοηθός μου καὶ ὑπερασπιστής μου εἶ σύ, ὁ Θεός μου, μὴ χρονίσῃς. » — Μὴ βραδύνῃς εἰς τὸ βοηθῆναί μοι.

## ΨΑΛΜΟΣ Μ'.

« Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυίδ. » — Φιλοπτωχίαν διδάσκει καὶ εἰς Χριστὸν ἀναφέρεται, καὶ περὶ τῆς τοῦ Ἰούδα προλέγει ἀποστασίας.

« Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν καὶ πένητα. » — Τὸ συνιῶν κεῖται ἐνταῦθα ἀντὶ τοῦ, δέον φρονῶν.

« Ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος. » — Ἡμέραν πονηρὰν ὀνομάζει τούς τε καιροὺς τῶν πειρασμῶν, καὶ τὴν τῆς μελλούσης κρίσεως ὥραν· τὴν ἐπίπονον τοῖς ἁμαρτωλοῖς.

« Κύριος φυλάξαι αὐτὸν καὶ ζῆσαι αὐτόν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ καὶ μὴ παραδοίη αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. » — Τὸ ζῆσαι ἀντὶ τοῦ ζωοποιῆσαι· γῆν δὲ πολλὰ τὸν οὐράνιον χῶρον καλεῖ.

« Κύριος βοηθήσαι αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐ-

OCR ABK / FR

τοῦ. » — Κλίνην ὀδύνης φησὶ τὴν ὑποδεχομένην τὸν ὀδυνώμενον.

« Ὅλην τὴν κοίτην αὐτοῦ ἔστρεψας ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ. » — Κοίτην φησὶ τὴν κατάκλισιν· τὸ δὲ ἔστρεψας ἀντὶ τοῦ στρέψεις, εἴτουν ἀλλάξεις, ἀπὸ νοσερᾶς εἰς ὑγιεινήν. Οὕτως δὲ συντακτέον. Ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ κατὰ τὸν καιρὸν τῆς ἀῤῥωστίας αὐτοῦ εἰς τὸ παντελὲς τὴν κατάκλισιν αὐτοῦ ἀλλάξεις.

« Ἐγὼ εἶπα. Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. » — Τὰ ἐντεῦθεν πάντα προσώπῳ τοῦ Χριστοῦ ἀναδεχομένου εἰς ἑαυτὸν τὰς ἁμαρτίας ἡμῶν.

« Οἱ ἐχθροί μου εἶπον κακά μοι. » — Τοῦ Κυρίου ἐχθροὶ οἱ Ἰουδαῖοι· κακὰ δὲ, ῥήματα δηλονότι τὰ πονηρά.

« Πότε ἀποθανεῖται, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; Καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν. » — Περὶ τοῦ Ἰούδα φησὶν ὅτι « Εἰσήρχετο ἔνθα κατηγόμην, ὥστε ἰδεῖν εἰ ἔστιν εὐκαιρία ἵνα με παραδῷ. »

« Μάτην ἐλάλει. » — Μάτην ἐμελέτα ἡ καρδία αὐτοῦ λαθεῖν με τὸν καρδιογνώστην.

« Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν ἑαυτῷ. » — Οὐδὲν ἕτερον ἐκ τῆς ἐπιβουλῆς ἐκέρδησεν, ἢ ὅτι ἐθησαύρισεν εἰς ἑαυτὸν ἀνομίαν.

« Ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. » — Τὸ ἐπὶ τὸ αὐτὸ ἀντὶ τοῦ, ὁμοῦ αὐτοῖς τοῖς ἐχθροῖς.

« Κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου. » — Τὸ ἐλογίζοντο ἀντὶ τοῦ ἐμελέτων καὶ ἐβουλεύοντο.

« Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ. » — Κατηγορίαν ψευδῆ συνεσκεύασαν κατ' ἐμοῦ· εἶπον γὰρ ὅτι ἀ... τὸν ὄχλον κατὰ τοῦ Καίσαρος.

« Μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; » — Ἄρα, φησὶν, ὁ ὑπνῶν οὐκ ἐγερθήσεται; κἀγὼ θανὼν, οὕτως εὐκόλως ἐξαναστήσομαι, ὥσπερ ἐκοιμώμην.

« Καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου ἐφ' ὃν ἤλπισα. » — Τὸ γὰρ παρέλκον· φησὶ δὲ, Οὐ μόνον οἱ ἐχθροί μου, ἀλλὰ καὶ ὁ ἄνθρωπος τῆς φιλίας μου, ἤγουν ὁ ἀγαπητός μου, ὃν ἀπέτρεφον, ἐμεγάλυνεν, ἤτοι μέγαν εἰργάσατο κατ' ἐμοῦ δόλον.

« Σὺ δὲ, Κύριε, ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς. » — Τὸ ἐλέησον καὶ ἀνάστησον ἀνθρωποπρεπές· τὸ δὲ ἀνταποδώσω θεοπρεπές.

« Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμέ. » — Τὸ τεθέληκας ἀντὶ τοῦ ἠγάπησας· ἐχθρὸς δὲ καὶ ὁ Ἰουδαῖος καὶ ὁ διάβολος.

« Ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου. » — Ἀκακίαν τὴν ἀμαρτίαν εἶπεν.

« Καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν αἰῶνα. » — Ἵδρυσας παρὰ σεαυτῷ ἀεί.

« Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ ἀπὸ τοῦ αἰῶνος καὶ εἰς τὸν αἰῶνα. Γένοιτο, γένοιτο. » — Ὁ Δαυῒδ ὑμνεῖ τοῦ Δεσπότου τὴν συγκατάβασιν, ἣν καὶ ἐπιτεταμένως ἐπεύχεται.

## ΨΑΛΜΟΣ ΜΑ'.

« Εἰς τὸ τέλος εἰς σύνεσιν τοῖς υἱοῖς Κορέ. » — A Προσώπῳ τῶν αἰχμαλωτισθέντων εἰς Βαβυλῶνα θεοσεβῶν ἀνδρῶν ἐκπεφώνηται· ἁρμόζει δὲ καὶ παντὶ κακοπαθοῦντι τὸν Θεὸν καὶ τὴν ἀνάλυσιν ἐπισπεύδοντι ὃν ὀνειδί... σι μᾶλλον οἱ δαίμονες. Ἰορδάνης δὲ ἑρμηνεύεται γῆ κατωτάτη καὶ Ἑρμονιεὶμ τόπος λύπης.

« Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ, ὁ Θεός. » — Τὸ ἐπιποθεῖ, ἀντὶ τοῦ σπεύδει καὶ ἐπείγεται. Πρὸς σὲ δὲ, τὸν οἰκοῦντα δηλαδὴ ἐν Ἱερουσαλήμ. Ἐν Βαβυλῶνι γὰρ οὐκ ᾤοντο ἐντυχεῖν τῷ Θεῷ διὰ τὴν τῆς χώρας εἰδωλολατρείαν.

« Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν ζῶντα. » — Τὸ ἐδίψησεν, ἀντὶ τοῦ ἐπιθυμητικῶς ἔσχεν. Ἰσχυρὸν δὲ ζῶντα λέγει τὸν Θεὸν διὰ τοὺς ἀσθε-
B νεῖς καὶ νεκροὺς θεοὺς τῶν Βαβυλωνίων. Μία δὲ καὶ ἡ αὐτὴ ἔννοια τοῦ τε παρόντος ῥητοῦ, καὶ τοῦ ἄνωθεν ὑπ' ἀγγέλου δεδιδαγμένου ἡμῖν ὕμνου τρισαγίου εἰς Θεόν.

« Πότε ἥξω καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ. » — Πότε ἥξω πρὸς τὸν ναὸν, καὶ ἐμφανισθήσομαι τῷ Θεῷ.

« Ἐγενήθη τὰ δάκρυά μου ἐμοὶ ἄρτος. » — Ὡς ὁ ἄρτος τοῖς ἀνθρώποις, οὕτως κἀμοὶ τὰ δάκρυα ἦσαν ὀρεκτὰ καὶ ἀπαραίτητα.

« Ταῦτα ἐμνήσθην καὶ ἐξέχεα ἐπ' ἐμὲ τὴν ψυχήν μου. » — Ταῦτα τὰ ὀνείδη τῶν ἐχθρῶν ἐνεθυμήθην καὶ ἐχαύνωσα ἐν ἐμοὶ τὴν ψυχήν μου, παραλελυμένην καὶ οἷον διαῤῥέουσαν ποιήσας αὐτήν.

« Ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς. » — Τὸ ὅτι βεβαιωτικόν· προφητεύει γὰρ τὴν ἐπάνοδον. Καὶ
C τόπον μὲν σκηνῆς τὸν ναὸν καλεῖ, Θεοῦ δὲ οἶκον τὰ ἄδυτα.

« Ἤχου ἑορταζόντων· » — Τὸ ἑορταζόντων ἀντὶ τοῦ ἑορταστικοῦ.

« Σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου. » — Τῆς ὕστερον εὐεργεσίας τοῦ Θεοῦ μνησθεὶς ἡδέως ἐπικαλεῖται αὐτὸν, λέγων· « Ὦ σωτηρία μου καὶ ὁ Θεός μου. »

« Πρὸς ἐμαυτὸν ἡ ψυχή μου ἐταράχθη. » — Ἐν ἐμαυτῷ, μή τινος τῶν ἔξω τὴν λύπην γινώσκοντος. Ἐταράχθη δὲ διά τε τὰς ἁμαρτίας μου, καὶ διὰ τὴν βραδυτῆτα τῆς ἐπανόδου.

« Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμονιεὶμ ἀπὸ ὄρους μικροῦ. » — Διὰ τοῦτο νῦν θλιβόμενος μνημονεύσω τῆς περὶ ἡμᾶς κηδεμο-
D νίας σου ἀφ' ὧν ἐν τῇ γῇ τῆς ἐπαγγελίας ἀπηλαύσαμεν ἀγαθῶν· ἀπὸ γὰρ τοῦ Ἰορδάνου καὶ τοῦ Ἑρμονιεὶμ ὄρους, ἤτοι τοῦ Δυσμῶν, πᾶσαν τὴν Ἰουδαίαν ἐδήλωσεν.

« Ἄβυσσος ἄβυσσον ἐπικαλεῖται εἰς φωνὴν τῶν καταῤῥακτῶν σου. » — Ἀλλεπάλληλα νῦν τὰ δεινά· ἡ γὰρ ἄβυσσος τῶν συμφορῶν ἑτέραν ἄβυσσον προσκαλεῖται εἰς ὀδυρμὸν ἡμῶν, τῶν κατεῤῥαγμένων σου· ἔστι γὰρ εὐθεῖα ὁ καταῤῥάκτης.

« Πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. » — Μετεωρισμοὺς καὶ κύματα λέγει τὰς ἐπαναστάσεις τῶν πειρασμῶν.

« Ἡμέρας ἐντελεῖται Κύριος τὸ ἔλεος αὐτοῦ. »

OCR ABK / FR

— Τὸ ἡμέρας ἀντὶ τοῦ, ἐν ἡμέρᾳ, τουτέστι φανερῶς. A Τὸ δὲ ἐντελεῖται ἀντὶ τοῦ ἀποστελεῖ.

« Καὶ νυκτὸς ᾠδὴ αὐτοῦ. » — Ἐν νυκτὶ νῦν ὑμνῶν τὸν Θεὸν διὰ τὸ ἐν ἡμέρᾳ τῆς δουλείας ἐπίμονον.

« Ἐν τῷ καταθλᾶσθαι τὰ ὀστᾶ μου, ὠνείδιζόν με οἱ ἐχθροί μου. » — Συντριβομένων τῶν ὀστῶν μου διὰ τῆς ἀχθοφορίας καὶ μαστιγώσεως ὀνειδίζουσί με οἱ ἐχθροί μου λέγοντες, Ποῦ ἐστιν ὁ Θεός σου;

ΨΑΛΜΟΣ ΜΒ'.

« Ψαλμὸς τῷ Δαυΐδ. » — Συνᾴδει τῷ πρὸ αὐτοῦ, τῆς αὐτῆς ἐννοίας ἐχόμενος.

« Κρῖνόν με, ὁ Θεός, καὶ δίκασον τὴν δίκην μου· ἐξ ἔθνους οὐχ ὁσίου, ἀπὸ ἀνθρώπου ἀδίκου καὶ δολίου ῥῦσαί με. Ὅτι σὺ εἶ ὁ Θεὸς κραταίωμά μου. Ἵνα τί ἀπώσω με; καὶ ἵνα τί σκυθρωπάζων πορεύομαι, ἐν τῷ ἐκθλίβειν τὸν ἐχθρόν μου; » — B Κριτὴς γενοῦ μοι μετὰ ἔθνους ἀνοσίου· ἡ γὰρ ἐξ ἀντὶ τῆς μετὰ ἔθνους· καὶ ἀνόσιοι οἱ Βαβυλώνιοι καὶ δαίμονες. Ἄνθρωπος δὲ ἄδικος ὁ Ναβουχοδονόσορ καὶ ὁ διάβολος.

« Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου. » — Φῶς μὲν καλεῖ τὴν θείαν ἐπισκοπήν, ἀλήθειαν δὲ τὴν ἀληθινὴν βοήθειαν. Ἀναγωγικῶς δὲ φῶς καὶ ἀλήθειά ἐστιν ὁ Χριστός.

« Αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου, καὶ εἰς τὰ σκηνώματά σου. » — Ἀντιχρονικῶς, « Αὐτά με, φησίν, εἰς Σιὼν καὶ εἰς τὸν ναὸν ἀποκαταστήσουσιν. » Ἀναγωγικῶς δὲ ὁ Χριστὸς εἰς οὐρανὸν ὁδηγήσει, ἢ ἄξει τοὺς πιστούς.

« Καὶ εἰσελεύσομαι πρὸς τὸ θυσιαστήριον τοῦ Θεοῦ. » — Λατρεύσων αὐτῷ καὶ θύσων. C

« Πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα τὴν νεότητά μου. » — Νεότητα τὴν ἀκμὴν τῆς προθυμίας ἐκάλεσε· περιφραστικῶς δὲ εἴρηκε, πρὸς τὸν Θεὸν τὸν εὐφραίνοντα ἐμὲ τὸν ἀκμάζοντα τῇ προθυμίᾳ τῆς αὐτοῦ λατρείας. Δηλοῖ δὲ καὶ τὴν διὰ βαπτίσματος ἀνανέωσιν.

ΨΑΛΜΟΣ ΜΓ'.

« Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν. » — Τὴν ἐπιγραφὴν ὁ παρὼν ψαλμὸς φέρει τοῦ μα' ψαλμοῦ· προσώπῳ δὲ εἴρηται τῶν Μακκαβαίων, τῶν ἀνδρισαμένων κατὰ τοῦ Ἀντιόχου καὶ τῶν Μακεδόνων πεποιθήσει τῇ εἰς Θεόν.

« Ὁ Θεός, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν, οἱ πατέρες ἡμῶν ἀπήγγειλαν ἡμῖν, ἔργον ὃ εἰργάσω ἐν ταῖς ἡμέραις αὐτῶν ἐν ἡμέραις ἀρχαίαις. » — D Ἠκούσαμεν τὸ σὸν ἔργον παρὰ τῶν πατέρων ἡμῶν, ὅτι ἡ δύναμίς σου ἔθνη ἠφάνισεν ἐκ τῆς Παλαιστίνης, καὶ τοὺς πατέρας ἡμῶν κατοικίσας ἡδραίωσεν αὐτῇ.

« Ὁ βραχίων αὐτῶν οὐκ ἔσωσεν αὐτούς. » — Ἐκ τοῦ πολέμου τῶν ἀλλοφύλων.

« Ἀλλ' ἡ δεξιά σου καὶ ὁ βραχίων σου, καὶ ὁ φωτισμὸς τοῦ προσώπου σου. » — Δεξιὰν καὶ βραχίονα Κυρίου τὴν θείαν ὀνομάζει ἰσχύν· φωτισμὸν δὲ προσώπου τὴν ἐπισκοπὴν καὶ ἀντίληψιν· ἡ εὐδοκία δὲ σημαίνει τὸ ἀγαθὸν δόγμα.

« Σὺ εἶ αὐτὸς ὁ βασιλεύς μου. » — Ὁ ἐκεῖνα ἐργασάμενος αὐτὸς εἶ καὶ νῦν, ὁμοίως βασιλεύων, ὁμοίως κρατῶν.

« Ὁ ἐντελλόμενος τὰς σωτηρίας Ἰακώβ. » — Διὰ τούτου τὴν εὐκολίαν τῆς βοηθείας ἐδήλωσεν· ἀρκεῖ γάρ, φησί, λόγος σου μόνος εἰς τὸ σωθῆναι τὸν ἐπιγινώσκοντα λαόν.

« Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. » — Τὸ κερατιοῦμεν ἀντὶ τοῦ καταγωνισόμεθα, ἐκ μεταφορᾶς τῶν τοῖς κέρασι χρωμένων ζώων εἰς τὴν τῶν ἀντιπάλων καθαίρεσιν.

« Καὶ ἐν τῷ ὀνόματί σου ἐξουδενώσομεν τοὺς ἐπανισταμένους ἡμῖν. » — Μόνον εἰπόντες, « Ὁ Θεὸς τοῦ Ἰσραήλ, » εὐκαταφρονήτους ποιήσομεν τοὺς ἐχθρούς.

« Ἐν τῷ Θεῷ ἐπαινεσθησόμεθα ὅλην τὴν ἡμέραν. » — Ἐπὶ τῷ Κυρίῳ καυχησόμεθα διαπαντός.

« Καὶ ἐν τῷ ὀνόματί σου ἐξομολογησόμεθα εἰς τὸν αἰῶνα. » — Ἡ ἐν πρόθεσις περιττή· φησὶ γάρ, « Τῷ ὀνόματί σου εὐχαριστήσομεν διὰ παντός. »

« Καὶ οὐκ ἐξελεύσει, ὁ Θεός. » — Ἀντιχρονικῶς, « Καὶ οὐκ ἐξέρχῃ, φησί, τὰ στρατεύματα. »

« Ἀπέστρεψας ἡμᾶς εἰς τὰ ὀπίσω παρὰ τοὺς ἐχθροὺς ἡμῶν. » — Εἰωθώς, ὦ Δέσποτα, τρέπειν τοὺς ἐχθροὺς ἡμῶν καὶ ἡμᾶς κρατύνειν, νῦν τὸ ἐναντίον πεποίηκας.

« Διήρπαζον ἑαυτοῖς. » — Διήρπαζον τὰ ἡμέτερα.

« Ἔδωκας ἡμᾶς ὡς πρόβατα βρώσεως. » — Ἐξέδωκας ἡμᾶς εἰς σφαγήν.

« Καὶ ἐν τοῖς ἔθνεσι διέσπειρας ἡμᾶς. » — Ὅσοι τὸν θάνατον διεφύγομεν, τῇδε κἀκεῖσε ἀπεμπολούμενοι, δουλεύειν ἀναγκαζόμεθα.

« Ἀπέδου τὸν λαόν σου ἄνευ τιμῆς. » — Ὡς ἀχρήστους καὶ ἀτίμους δούλους ἐκδίδωσί τις δωρεάν, κέρδος ἡγούμενος τὴν τούτων ἀπαλλαγήν, οὕτω καὶ σὺ ἐξέδωκας ἡμᾶς τοῖς ἐχθροῖς.

« Καὶ οὐκ ἦν πλῆθος ἐν τοῖς ἀλαλάγμασιν ἡμῶν. » — Ἐχθρῶν ἐν τῷ καθ' ἡμῶν ἀλαλάζειν τὰ ἐπινίκια, ἀλλ' ὑπ' ὀλίγων ᾐχμαλωτεύθημεν.

« Ἔθου ἡμᾶς ὄνειδος τοῖς γείτοσιν ἡμῶν, μυκτηρισμὸν καὶ χλεύασμα τοῖς κύκλῳ ἡμῶν. » — Τὰ ἔθνη ἐν οἷς δουλεύομεν (repetitio exstat in duobus codd.).

Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι, κίνησιν κεφαλῆς ἐν τοῖς λαοῖς. » — Τὰ ἔθνη ἐν οἷς δουλεύομεν παράδειγμα ἔχουσιν ἡμᾶς ἐν τῷ πλήθει τῶν συμφορῶν.

« Ἀπὸ φωνῆς ὀνειδίζοντος καὶ καταλαλοῦντος. » — Τὸ καταλαλοῦντος ἀντὶ τοῦ βλασφημοῦντος.

« Ἀπὸ προσώπου ἐχθροῦ καὶ ἐκδιώκοντος. » — Σοβαρὸν γὰρ ὁρῶσιν εἰς ἐμὲ οἱ ἐχθροί, καὶ οὐδ' ἀντιβλέπειν τούτοις ἰσχύω.

« Ταῦτα πάντα ἦλθεν ἐφ' ἡμᾶς, καὶ οὐκ ἐπελαθόμεθά σου. » — Ὥστε ὀνομάσαι θεὸν ἕτερον.

« Καὶ οὐκ ἠδικήσαμεν ἐν διαθήκῃ σου. » — Οὐ παρέβημεν τὸν νόμον σου· εἰς τὸν νόμον γὰρ ἀδικεῖ ὁ παραβαίνων αὐτόν.

« Καὶ οὐκ ἀπέστη εἰς τὰ ὀπίσω ἡ καρδία ἡμῶν. » — Ὥσπερ ὁ νόμος εἰς τὰ ἔμπροσθεν ἄγει, οὕτως ἡ παρανομία εἰς τὰ ὀπίσω μεθίστησιν.

OCR ABK / FR

« Καὶ οὐκ ἐξέκλινας τὰς τρίβους ἡμῶν ἀπὸ τῆς ὁδοῦ σου. » — Ἀπὸ κοινοῦ τὸ ἀρνητικόν· πολλοῖς μὲν ἀλγεινοῖς ἡμᾶς ἐπαίδευσας· οὐ παρέτρεψας δὲ τὴν διαγωγὴν ἡμῶν ἀπὸ τοῦ νόμου σου· οὐ γὰρ τέλεον ἡμᾶς ἐγκατέλιπες.

« Καὶ ἐπεκάλυψεν ἡμᾶς. » — Ἡ σκιὰ μιμεῖταί πως τὸ πρωτότυπον.

« Σκιὰ θανάτου. » — Τὰς τῷ θανάτῳ ἐοικυίας θλίψεις ἐκάλεσεν.

« Οὐχὶ ὁ Θεὸς ἐκζητήσει ταῦτα ; αὐτὸς γὰρ γινώσκει τὰ κρύφια τῆς καρδίας. » — Τὸ ἐκζητήσει, ἀντὶ τοῦ ἐξετάσει.

« Ὅτι ἕνεκέν σου θανατούμεθα ὅλην τὴν ἡμέραν. » — Δυνάμενοι συνθέσθαι τοῖς εἰδωλολάτραις καὶ εὐπραγεῖν, διὰ σὲ ἀποθνήσκομεν τῇ προαιρέσει διὰ παντός.

« Ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. » — Διὰ τὸ πρὸς ἀναίρεσιν εὐχερές.

« Ἐπιλανθάνῃ τῆς πτωχείας ἡμῶν καὶ τῆς θλίψεως ἡμῶν. » — Πτωχεία λέγεται καὶ ἡ κακουχία ἐκ τοῦ ἑπομένου.

« Ὅτι ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν. » — Περιφραστικῶς· μέχρι τῆς γῆς αὐτῆς κατεκάμφθημεν, ὡς καὶ τὴν γαστέρα ἡμῶν αὐτῇ πελάσαι τῇ γῇ. Διὰ τούτων δὲ τὸ πολὺ βάρος ἐμφαίνει τῶν θλίψεων. Ἁρμόζουσι δὲ οἱ λόγοι καὶ τοῖς ἁγίοις μάρτυσι, καὶ πᾶσι τοῖς ἐπηρεαζομένοις διὰ Χριστόν.

## ΨΑΛΜΟΣ ΜΔ'.

« Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν, ᾠδὴ ὑπὲρ τοῦ ἀγαπητοῦ. » — Ἀλλοιωθησομένους φησὶ τοὺς Χριστιανούς, ὡς μεταποιησομένους διὰ τῆς παλιγγενεσίας τοῦ θείου βαπτίσματος· ἀγαπητὸν δὲ τὸν Χριστόν, τῷ Πατρὶ μὲν ὡς Υἱόν, ἡμῖν δὲ ὡς Πατέρα κηδεμονικώτατον.

« Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. » — Προοιμιάζεται ὁ Προφήτης ὅτι λόγον ἀγαθὸν καὶ σωτήριον ἐρεῖ, μεγάλα προαγορεύσει περὶ Χριστοῦ.

« Λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. » — Προσφωνεῖ, φησί, τῷ βασιλεῖ Χριστῷ τὰ ἔργα μου· ἔργα δὲ προφήτου αἱ προφητεῖαι.

« Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου. » — Ἡ γλῶσσά μου ὑπουργεῖ τῷ πνεύματι οἷα ὁ κάλαμος γράφει ταχυγράφῳ, εὐχερῶς καὶ ἀμελετήτως ἐκεῖνα φθεγγομένη, πρὸς ἃ κινεῖται παρ' αὐτοῦ.

« Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. » — Πρὸς Χριστὸν ἤδη ἀποτείνεται καὶ περὶ τῶν ἀρετῶν διέξεισι τοῦ προσλήμματος, « Ὡραῖος, φάσκων, εἰ τὴν ψυχὴν παρὰ πάντας ἀνθρώπους, » ὅτι καὶ μόνος ἀναμάρτητος.

« Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου. » — Χαρίτων οἱ λόγοι σου γέμουσιν.

« Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα. » — Διὰ ταύτας οὖν σου τὰς ἀρετὰς ὑμνητὸν διὰ παντὸς ἐποίησέ σε ὁ Θεός.

« Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατέ. » — Τὴν κολαστικήν σου δύναμιν ἀναλαβοῦ ἐν τῇ ἀρετῇ σου· τουτέστι, διὰ τῆς ἀναμαρτήτου οὐσίας σου τὴν τυραννίδα τοῦ διαβόλου κατάλαβε.

A

« Καὶ ἔντεινον καὶ κατευοδοῦ καὶ βασίλευε. » — Ἐπίτεινον τὴν ὁρμήν σου, κατόρθου πᾶν ὃ θέλεις, καὶ κυρίευε τῶν ἐπερχομένων σοι διὰ τὰς ἀρετάς σου.

« Καὶ ὁδηγήσει σε θαυμαστῶς ἡ δεξιά σου. » — Καὶ ἀγάγει σε ἐπὶ ταῦτα τὰ κατορθώματα ἡ δύναμίς σου, μηδενὸς ἄλλου δεόμενον. Θαυμαστῶς δὲ ὅτι διὰ τῆς κατάρας τὴν κατάραν ἐξαφανίσεις, καὶ διὰ θανάτου καταργήσεις τὸν θάνατον.

« Τὰ βέλη σου ἠκονημένα, δυνατέ· λαοὶ ὑποκάτω σου πεσοῦνται ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως. » — Ὑπερβατῶς, τὰ βέλη σου ἠκονημένα, τουτέστι οἱ εὐαγγελικοί σοι λόγοι. Λαμπροὶ δὲ τμητικοὶ

B

ἐν καρδίᾳ τῶν ἐχθρῶν τοῦ βασιλέως σου, τῶν μὲν δαιμόνων πρὸς νέκρωσιν, τῶν δὲ εἰς εἰδωλολατρείαν ἀποστάντων ἀνθρώπων πρὸς αἴσθησιν καὶ ἐπίγνωσιν τοῦ Δεσπότου. Εἶεν δ' ἂν καὶ οἱ ἀπόστολοι βέλη Χριστοῦ.

« Ὁ θρόνος σου, ὁ Θεός, εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » — Ἐπεὶ διπλοῦς ὁ Χριστός, ποτὲ μὲν περὶ τῆς θείας αὐτοῦ φύσεως ἡ προφητεία διαλέγεται, ποτὲ δὲ περὶ τῆς ἀνθρωπίνης.

« Καὶ ἡ ῥάβδος τῆς εὐθύτητος ῥάβδος τῆς βασιλείας σου. » — Ὁ θρόνος τὸ βασιλικὸν παρίστησιν· ἡ ῥάβδος δὲ τὸ δικαστικόν.

« Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. » — Ἀκούει καὶ τὸ πρόσλημμα, διότι τεθέωται. Φησὶ γοῦν, Διὰ τοῦτο ὡς Θεός, τῇ θεώσει δηλαδή, ἔχρισέ σε τῇ

C

θεότητι ὁ φύσει Θεός σου, ἵνα ποιήσῃς πάντα τὰ εἰρημένα. Ἔχρισε δὲ σὲ παρὰ πάντας τοὺς μετόχους ἤτοι κοινωνούς σου κατὰ τὸ Χριστὸς ὄνομα, τουτέστι παρὰ πάντας βασιλεῖς καὶ ἱερεῖς καὶ προφήτας. Τίνι γὰρ αὐτῶν ἥνωται καθ' ὑπόστασιν ὁ Θεός ; Ἔλαιον δὲ τὴν χρίσιν ἐκάλεσεν· ἀγαλλιάσεως δὲ ἡ χρίσις· ἐπεὶ χαροποιὸς ἡ θεία φύσις καὶ εὐφροσύνης ἀνεκλαλήτου παρεκτική.

« Σμύρνα, καὶ στακτή, καὶ κασία ἀπὸ τῶν ἱματίων σου. » — Ἐνδύματα τοῦ Λόγου ψυχὴ καὶ σάρξ, ἅπερ ἐφόρεσε δι' ἡμᾶς. Ἐκ μὲν οὖν τῆς σαρκὸς νέκρωσις ἔσται, φησίν, ἐκ δὲ τῆς ψυχῆς κάθοδος εἰς ᾅδην· κατωφερὲς γὰρ ἡ στακτή· ἐξ ἀμφοτέρων δὲ ἡ εὐωδία τῆς ἀναμαρτησίας· ἀρωματίζει γὰρ ἡ κασία, ἥτις καὶ διὰ τὸ ξυλῶδες ὑποδηλοῖ πως καὶ τὸν

D

σταυρόν.

« Ἀπὸ βάρεων ἐλεφαντίνων. » — Τὴν σάρκα καὶ τὴν ψυχὴν καὶ βάρεις ἐκάλεσεν, οἴκους δηλαδὴ τῆς θεότητος. Διὰ δὲ ἐλεφαντίνου τῆς ἀρετῆς αὐτῶν ᾐνίξατο τὴν λαμπρότητα.

« Ἐξ ὧν εὔφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ σου. » — Ὧν ἕνεκα, τῆς νεκρώσεως δηλαδὴ καὶ τῆς εἰς ᾅδην καθόδου καὶ ὅσα περὶ τὸ σωτήριον πάθος, εὐφρανοῦσί σε ἐν τῷ τέλεσθαί σε τῶν πιστῶν αἱ ψυχαί, ἃς διὰ τοῦ βαπτίσματος οἱ συγκληρονόμοι τῆς σῆς βασιλείας ἀπόστολοί σου γεννήσουσι.

« Παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη. » — Ἡ

OCR ABK / FR

βασίλισσαν λέγει τὴν συναγωγὴν τῶν εὐσεβῶν, ἣν Χριστῷ ἐνυμφεύσατο, ἣ παραστήσεται τῇ δόξῃ αὐτοῦ περιδεβλημένη τῷ θείῳ βαπτίσματι καὶ τῇ τοῦ Πνεύματος χάριτι, καὶ πεποικιλμένη ταῖς ἀρεταῖς.

« Ἄκουσον, θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου. » — Καὶ θύγατρα καὶ νύμφην Χριστοῦ τὴν τῶν ὀρθοδόξων Ἐκκλησίαν ὁ Προφήτης καλεῖ, τὸ μὲν ὡς ἀναγεννηθεῖσαν αὐτῷ διὰ τοῦ βαπτίσματος, τὸ δ' ὡς ἁρμοσθεῖσαν διὰ τοῦ Εὐαγγελίου. Ἄκουσον οὖν, φησὶν, ἃ λέγω, καὶ ἴδε τὰ διὰ σὲ παθήματά τε καὶ θαύματα τοῦ Δεσπότου· καὶ ὑπόθες τὸ οὖς ἐν ταῖς αὐτοῦ ἐντολαῖς, καὶ ἐπιλάθου τοῦ ἔθνους σου· τουτέστι τῆς πονηρᾶς πολιτείας αὐτῶν καὶ τοῦ ναοῦ τοῦ πρὶν πατρὸς τοῦ διαβόλου.

« Καὶ προσκυνήσουσιν αὐτῷ θυγατέρες Τύρου ἐν δώροις. » — Καὶ ἡ τῆς εἰδωλολατρείας μητρόπολις Τύρος ἐν δώροις ἤτοι μετὰ δώρων προσκυνήσει Χριστῷ.

« Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ. » — Πρόσωπον ἤτοι κεφαλὴ τῆς Ἐκκλησίας ὁ Χριστὸς, ὃν λιτανεύσουσι, τουτέστι τιμῶσι, καὶ ἱκετεύσουσι, καὶ ἡγεμόνες, καὶ βασιλεῖς.

« Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. » — Κεκαλλωπισμένους, φησὶν, ἀκούων τῆς τῆς βασιλίδος Ἐκκλησίας, ἔσωθεν εἶναι τούτους νόει μοι καὶ εἰς ψυχήν.

« Ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη. » — Κροσσωτοὺς ἤτοι κρόσσια νόει μοι τὰς πολυειδεῖς ἀρετὰς, καὶ τὰ διάφορα τοῦ Πνεύματος χαρίσματα, ὧν τὸ τίμιον αἰνίττεται ὁ χρυσός.

« Ἀπενεχθήσονται τῷ βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. » — Μετὰ τὴν σύστασιν τῆς Ἐκκλησίας, ὕστερον καὶ ἡ παρθενία, φησὶν, ἡ μὴ πρότερον ζηλωτὴ πολιτευθήσεται, καὶ σοὶ τῷ βασιλεῖ παρθένοι ψυχαὶ προσαχήσονται χαίρουσαι, καὶ μηδὲν ἡγούμεναι τὸ τῆς παρθενίας ἐπίπονον, διὰ τὸν σὸν ἔρωτα. Πλησίον δὲ αὗται τῆς Ἐκκλησίας τῷ τρόπῳ διὰ τὸ ὁμόπιστον, αἵτινες εἰς τὸν οὐράνιον ναὸν ὡς θυσίαν ἀχθήσονται.

« Ἀντὶ τῶν πατέρων σου ἐγεννήθησαν υἱοί σοι. » — Πρὸς τὴν Ἐκκλησίαν ὁ λόγος. Ἐπελάθου, φησὶ, τῶν πατέρων σου· καὶ ἀντὶ τούτων ἔσονται πατέρες πολλῶν οἱ γεννηθέντες ἐκ σοῦ διὰ τοῦ βαπτίσματος.

« Καταστήσεις αὐτοὺς ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν. » — Ὅρα τὴν ἐξουσίαν τῆς Ἐκκλησίας ὅση· χειροτονεῖ τοὺς υἱοὺς αὐτῇ προστάτας καὶ ἡγουμένους ἐν πάσῃ τῇ γῇ. Οἱ γὰρ τῶν διδασκάλων νόμοι καὶ τὰ τούτων δόγματα τὴν οἰκουμένην ἅπασαν διειλήφασι, καὶ ζώντων αὐτῶν καὶ θανόντων, τὰ τούτων ἐνεργοῦσι ἐνεργοῦσι θεσπίσματα.

« Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. » — Ἡ Χριστιανικὴ Ἐκκλησία ταυτά φησι πρὸς τὸν Κύριον.

« Διὰ τοῦτο λαοὶ ἐξομολογήσονταί σοι εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » — Διότι τοσαύτης με προμηθείας ἠξίωσας, πλήθη πιστῶν εὐχαριστήσουσί σοι, καὶ ἐν παντὶ τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.

## ΨΑΛΜΟΣ ΜΕ'.

« Εἰς τέλος ὑπὲρ τῶν υἱῶν Κορὲ, ὑπὲρ τῶν κρυφίων. » — Τὸ μὲν ὑπὲρ τῶν υἱῶν Κορὲ ἀντὶ τοῦ διὰ τῶν υἱῶν Κορὲ δηλονότι ἔψαλται τῷ Δαυΐδ, τὸ δὲ ὑπὲρ τῶν κρυφίων ἀντὶ τοῦ περὶ τῶν κεκρυμμένων τοῖς πολλοῖς· αἰνιγματώδη γὰρ ἐν αὐτῷ τὰ πολλά. Εἴρηται δὲ ὁ ψαλμὸς προσώπῳ τῶν ἀποστόλων καὶ μαρτύρων, προαγορεύων τοὺς τῆς Ἐκκλησίας διωγμοὺς καὶ τὴν ταύτης ὑπομονὴν καὶ τὴν ἐφεξῆς εἰρήνην.

« Θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις, βοηθὸς ἐν θλίψεσι ταῖς εὑρούσαις ἡμᾶς σφόδρα. » — Τὸ σφόδρα πρὸς τὸ βοηθὸς ἀποδοτέον.

« Διὰ τοῦτο οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι τὴν γῆν. » — Ἐπεὶ τοιοῦτον βοηθὸν ἔχομεν, οὐδ' ἂν πάντα ἄνω καὶ κάτω γένηται δειλιάσομεν. Διὰ τούτων δὲ τῶν ῥητῶν τὴν ὑπερβολὴν τῶν κινδύνων ἠνίξατο.

« Ἤχησαν καὶ ἐταράχθησαν τὰ ὕδατα αὐτῶν. » — Παντοδύναμος ὁ βοηθὸς ἡμῶν· πολλάκις γὰρ τὰ ὕδατα τῶν θαλασσῶν ἐβρυχήσαντό καὶ ἀνεβράσθησαν, καὶ τὰ ὄρη ἐσείσθησαν τῇ δυνάμει αὐτοῦ.

« Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ. » — Ποταμὸς τὸ Πνεῦμα τὸ ἅγιον· ὁρμήματα αὐτοῦ τὰ διάφορα χαρίσματα· πόλις τοῦ Θεοῦ τὸ σύστημα τῶν πιστῶν.

« Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. » — Ἡγιασμένον σκήνωμα Θεοῦ ἡ Ἐκκλησία, ἧς ἐν μέσῳ ἐστὶν ὁ Χριστὸς, ἀπερίτρεπτον αὐτὴν διαφυλάττων τοῖς πειρασμοῖς.

« Βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ πρωΐ. » Ἐν ταῖς περιστάσεσι βοηθήσει αὐτῇ κατὰ τὸ πρωὶ ὡν πρωϊαίτερον, ἤγουν κατὰ τάχος τάχους ταχύτερον.

« Ἐταράχθησαν ἔθνη. » — Τοῦ Εὐαγγελίου κηρυσσομένου συνεκινήθησαν πάντες, οἱ μὲν προστρέχοντες τῇ πίστει, οἱ δὲ αὐτῆς κατατρέχοντες.

« Ἔκλιναν βασιλεῖαι. » — Τινὲς μὲν βασιλεῖαι πολεμοῦσαι τῇ Ἐκκλησίᾳ ἡττήθησαν· τινὲς δὲ ὑπετάγησαν αὐτῇ διὰ πίστεως.

« Ἔδωκεν φωνὴν αὐτοῦ ὁ Ὕψιστος· ἐσαλεύθη ἡ γῆ. » — Κελεύει μόνον ὁ Θεὸς, καὶ σείεται ἡ γῆ, ὃν βούλει σεισμόν.

« Κύριος τῶν δυνάμεων μεθ' ἡμῶν. » — Ἡ Ἐκκλησία ταῦτά φησι.

« Τόξον συντρίψει, καὶ συγκλάσει ὅπλον, καὶ θυρεοὺς κατακαύσει ἐν πυρί. » — Ὅπλον λέγει πᾶν τὸ ἀγχέμαχον ὄργανον.

« Σχολάσατε, καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός. » — Ἡσυχάσατε ἀπὸ τῶν συνεχῶν πολέμων, τῶν αἰσθητῶν καὶ νοητῶν, καὶ τὴν ἐμὴν ἐπίγνωτε δύναμιν.

## ΨΑΛΜΟΣ ΜΣ'.

« Εἰς τέλος ὑπὲρ τῶν υἱῶν Κορέ. » — Προσώπῳ τῶν ἀποστόλων προαγορεύων τὸ ἀήττητον κράτος τοῦ εὐαγγελικοῦ κηρύγματος.

« Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως. Ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. » — Διότι ὁ Χριστὸς ὕψιστος κατὰ τὴν θεότητα, φοβερὸς

OCR ABK / FR

νῶν ἀπὸ τῶν σημείων ὧν καθ' ἑκάστην τερατουργεῖ καὶ βασιλεὺς μέγας ὅλης τῆς γῆς. Τοῦτο δὲ εἶπε διὰ τοὺς προσκαίρους βασιλεῖς, καὶ γῆς μικρῶν κρατοῦντας μερῶν.

« Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. » — Λαοὺς λέγει τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας· ἔθνη τοὺς ἐκ τῶν λοιπῶν γενῶν· καὶ πάλιν κληρονομίαν ἑαυτοῦ τοὺς ἐξ ἐθνῶν· τοὺς ἐξ Ἰουδαίων δὲ καλλονὴν Ἰακώβ. Καλλονὴν δέ φησιν ὡς κατάλειμμα καὶ ὡς ἐκλογήν· τὰ γὰρ ὑπερέχοντα τῶν ἄλλων καταλείπει ἑαυτῷ βασιλεύς.

« Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτοῦ, τὴν καλλονὴν Ἰακὼβ ἣν ἠγάπησεν. » — Τὸ ἡμῖν ἀντὶ τοῦ δι' ἡμῶν.

« Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, καὶ Κύριος ἐν φωνῇ σάλπιγγος. » — Ἀλαλαγμὸν καὶ φωνὴν σάλπιγγος τὰς φωνὰς λέγει τῶν συνανιόντων τῷ Κυρίῳ ἀγγέλων κατὰ τὴν τούτου ἀνάληψιν, ὡς εὐφημίας ἐπινικίους μεγαληγορούντων.

« Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε· ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε. » — Μὴ γλώττῃ μόνον, ἀλλὰ καὶ νοΐ.

« Ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. » — Ἐβασίλευσε καὶ κατὰ τὸ τούτου ἀνθρώπινον, καὶ κατὰ τὴν ἑκούσιον τῶν βασιλευομένων ὑποταγήν.

« Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. » — Ὁ θρόνος δηλοῖ τὸ βασιλικὸν καὶ τὸ δικαστικόν, ἡ καθέδρα τὸ βέβαιον, ἡ ἁγιότης τὸ καθαρὸν πάσης προσωποληψίας.

« Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραάμ. » — Οὐ μόνον ἰδιῶται, ἀλλὰ καὶ βασιλεῖς συνήχθησαν μετὰ τοῦ Χριστοῦ, τῆς μερίδος τούτου γενόμενοι, ὃς δὴ Χριστὸς καὶ τοῦ Ἀβραὰμ Θεὸς ἦν καὶ τῆς Παλαιᾶς νομοθέτης ὡς τῆς Καινῆς.

« Ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν. » — Ὅτι τῷ Θεῷ κατὰ τυράννων καὶ κατὰ δαιμόνων κεκραταιωμένοι ἀπόστολοι, πάντων τῶν γηΐνων λίαν ὑπερυψώθησαν. ὑφ' ὧν οἱ ἄρχοντες τῶν λαῶν, δηλονότι καὶ οἱ ἀρχόμενοι, πρὸς Χριστὸν ἐχειραγωγήθησαν.

## ΨΑΛΜΟΣ ΜΖ'.

« Ψαλμὸς ᾠδῆς τοῖς υἱοῖς Κορὲ δευτέρᾳ Σαββάτου. » — Τῇ δευτέρᾳ ἡμέρᾳ τῆς ἑβδομάδος ὁ παρὼν ἐμελῳδήθη ψαλμός· Σάββατον γὰρ καὶ τὴν ὅλην ἑβδομάδα καλοῦσιν Ἑβραῖοι. Εὐχαριστίαν δὲ περιέχει ὁ ψαλμὸς πρὸς Θεὸν προσώπῳ τῶν ἐκ τῆς αἰχμαλωσίας ἐπανελθόντων εἰς Ἱερουσαλήμ· ἁρμόζει δὲ καὶ τοῖς ἐξ αἰχμαλωσίας τῶν δαιμόνων εἴτουν εἰδωλολατρείας ἐπανελθοῦσι πρὸς θεογνωσίαν.

« Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν ἐν ὄρει ἁγίῳ αὐτοῦ. » — Ἄξιος αἰνεῖσθαι ἐν Ἱερουσαλὴμ καὶ ἐν τῷ ὄρει Σιών, τῷ καλῶς ἐῤῥιζωμένῳ, τουτέστι βεβαίως πεπηγμένῳ, τῷ ὄντι εὐφροσύνῃ πάσης τῆς οἰκουμένης. Ταῦτα δέ φησιν ἐπείπερ ἡ εὐσέβεια πρώτως εἰς Ἱερουσαλὴμ ἐῤῥίζωται, κἀκεῖθεν ἐξελήλυθε τὰ τῆς παγκοσμίου χαρᾶς εὐαγγέλια.

« Ὄρη Σιὼν τὰ πλευρὰ τοῦ βοῤῥᾶ, ἡ πόλις βασιλέως τοῦ μεγάλου. » — Περιχαρῶς ἀνακαλεῖται τὸ ὄρος καὶ τὴν πόλιν. Πλευρὰ δὲ λέγει τὰ πλάγια. Εἶεν δ' ἂν ὄρη Σιὼν καὶ οἱ διδάσκαλοι, ἐξ ὧν πλαγιάζει, τουτέστιν ἐκκλίνει, ὁ βοῤῥᾶς, ἤτοι ὁ Σατανᾶς. Πόλις δὲ Θεοῦ ἡ συναγωγὴ τῶν πιστῶν.

« Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῶν γινώσκεται. » — Ἐπιγινώσκεται ὁ Κύριος ἐν τοῖς πυργώμασι τῆς πόλεως ἐκ ταύτης ἀντιλαμβάνεσθαι καὶ διαφυλάττειν αὐτὴν ἀπόρθητον.

« Ὅτι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν· διήλθοσαν ἐπὶ τὸ αὐτό. » — Παρῆλθον ἐπ' αὐτὴν ὁμοῦ.

« Αὐτοὶ ἰδόντες οὕτως ἐθαύμασαν. » — Τὸ οὕτως ἀντὶ τοῦ, μετὰ τὸ ἰδεῖν.

« Ἐκεῖ ὠδῖνες ὡς τικτούσης. » — Ἐν αὐτοῖς ἀγωνίαι καὶ ὑποψίαι κινδύνων σφοδραί.

« Ἐν πνεύματι βιαίῳ συντρίψεις πλοῖα Θαρσεῖς. » — « Τὸ Θαρσεῖς τροπικὸν καὶ μονόκλητον. Ἐφοίτων δὲ καὶ διὰ τῶν πλοίων τῶν Θαρσεῖς πολέμιοι τῇ Ἱερουσαλήμ. Νοοῦνται δὲ πλοῖα Θαρσεῖς, τουτέστιν ἀποστασίας, καὶ οἱ δαίμονες τῷ σφοδρῷ κινήματι τῆς θείας ὀργῆς συντριβόμενοι.

« Καθάπερ ἠκούσαμεν, οὕτως καὶ εἴδομεν. » — Ἠκούσαμεν τερατουργὸν γενέσθαι τὸν Θεὸν ὑπὲρ τοῦ λαοῦ αὐτοῦ. Τοῦτο καὶ ἔργοις εἴδομεν νῦν ἐν ἡμῖν.

« Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. » — Τοῦτο φανερῶς περὶ τῆς Ἐκκλησίας, ἧς πύλαι ᾅδου οὐ κατισχύσουσιν.

« Κατὰ τὸ ὄνομά σου, ὁ Θεός, οὕτως καὶ ὕμνος σου ἐπὶ τὰ πέρατα τῆς γῆς. » — Ὥσπερ τὸ ὄνομά σου ἐξάκουστον γεγονὸς ἐκ τῶν θαυμασίων σου καὶ εἰς αὐτὰς τὰς ἐσχατιὰς τῆς γῆς κηρύττεται· οὕτω συνέπεται καὶ ὁ σὸς ὕμνος τῇ διηγήσει τῶν θαυμασίων σου.

« Δικαιοσύνης πλήρης ἡ δεξιά σου. » — Ὡς δικαίως ἀμυνομένη τοὺς ἀδικοῦντας ἡμᾶς.

« Εὐφρανθήτω ὄρος Σιών, καὶ ἀγαλλιάσθωσαν αἱ θυγατέρες τῆς Ἰουδαίας. » — Ὄρος Σιὼν ἡ καθολικὴ Ἐκκλησία· θυγατέρες δὲ τῆς Ἰουδαίας ἤτοι τῆς ἐξομολογήσεως καὶ πίστεως αἱ κατὰ μέρος ἐκκλησίαι καὶ αἱ ψυχαὶ τῶν πιστῶν.

« Διηγήσασθε ἐν τοῖς πύργοις αὐτῆς. » — Διηγήσασθε τὰ κατορθώματα τοῦ Χριστοῦ. Εἰσὶ δὲ πύργοι καὶ βάρεις τῆς καθολικῆς Ἐκκλησίας αἱ μερικαί, ἐν αἷς τῶν τοῦ Χριστοῦ κατορθωμάτων τοὺς λόγους ποιήσασθαι προτρέπεται τὸ Πνεῦμα τοὺς ἀποστόλους.

« Θέσθε τὰς καρδίας ὑμῶν εἰς τὴν δύναμιν αὐτῆς. » — Φροντίσατε εἰς τὴν τῆς Ἐκκλησίας ἐνίσχυσιν.

« Καὶ καταδιέλεσθε τὰς βάρεις αὐτοῦ, ὅπως ἂν διηγήσησθε εἰς γενεὰν ἑτέραν. » — Ἀπομερίσατε ἑαυτοῖς ἕκαστος εἰς καταρτισμὸν τὰς κατὰ τόπους ἐκκλησίας.

## ΨΑΛΜΟΣ ΜΗ'.

« Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορέ. Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη· ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην. » — Διαλεγόμενος πρὸς ἡμᾶς κλινῶ τὸ οὖς τῆς ψυχῆς μου εἰς τὴν ἐνηχουμένην

OCR ABK / FR

μοι παρὰ τοῦ ἁγίου Πνεύματος παραβολήν· τουτέστιν εἰς ἀπόκρυφον γόγον· τοιαῦτα γὰρ τὰ προφητικά.

A

« Ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. » — Φανερώσω διὰ ψαλτηρίου, τουτέστι μετὰ μουσικοῦ μέλους τὸν λόγον μου.

« Ἵνα τί φοβοῦμαι ἐν ἡμέρᾳ πονηρᾷ; » — Πονηρὰν καλεῖ τὴν τῆς κρίσεως.

« Ἡ ἀνομία τῆς πτέρνης μου κυκλώσει με. » — Διὰ τί φοβοῦμαι; ὅτι τὸ τῆς κυκλώσει με ἀνομία τῆς ἀπάτης μου· ἀπάτη δὲ ἁμαρτία ὡς ἀπατῶσα τὸν ἁμαρτάνοντα Περιφραστικῶς δὲ εἶπεν ἀντὶ τοῦ, ἡ ἁμαρτία μου.

« Οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν· καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. » — Προσυπακουστέον τὸ ἀκουσάτωσαν.

« Ἀδελφὸς οὐ λυτροῦται· λυτρώσεται ἄνθρωπος. » — Ἄνθρωπος ἀλλότριος δηλαδή.

« Οὐ δώσει τῷ Θεῷ ἐξίλασμα ἑαυτοῦ. » — Οὐ δώσει τι ἕτερον εἰς λύτρον τῷ Θεῷ ἑαυτοῦ ἐν τῇ κρίσει ὁ ἐπὶ τῇ δυνάμει αὐτοῦ πεποιθώς.

« Καὶ τὴν τιμὴν τῆς λυτρώσεως τῆς ψυχῆς αὐτοῦ· » — Νόει μοι λύτρωσιν τὴν ἐλευθερίαν. τιμὴν δὲ τὸ τίμημα. Φησὶ δὲ ὅτι οὐκ ἐξωνήσεται σωτηρίαν ἑαυτῷ ὁ καυχώμενος ἐν πλούτῳ.

« Καὶ ἐκοπίασεν εἰς τὸν αἰῶνα. « — Ὃς δὲ εἰς τὸν αἰῶνα τοῦτον ἐκοπίασε διὰ Θεὸν, τῆς μελλούσης ζωῆς ἐπιτεύξεται.

« Οὐχ ὄψεται καταφθορὰν ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας. » — Καταφθορὰν ὀνομάζει ἐνταῦθα τὴν ἀπώλειαν τῆς ψυχῆς, τὴν εἰς τὸ διηνεκὲς κακοπάθειαν, ἣν οὐκ ἴδῃ εἰς αὐτὸν ὁ κατὰ Θεὸν κεκοπιακὼς, ὅτε θεάσεται τοὺς τοῦ κόσμου σοφοὺς, τοὺς περιέργους ἀνθρώπους δηλονότι καὶ πονηροὺς, τὸν ἐν γεέννῃ θάνατον ἀποθνήσκοντας.

« Ἐπιτοαυτὸ ἄφρων καὶ ἄνους ἀπολοῦνται, καὶ καταλείψουσιν ἀλλοτρίοις τὸν πλοῦτον αὐτῶν. » — Τὸν τῇ δοκήσει σοφὸν εἰς ἄφρονα καὶ ἄνουν διαιρεῖ· καὶ ἄφρονα μὲν καλεῖ τὸν μὴ εἰδότα τὸν ὄντως Θεὸν, ἄνουν δὲ τὸν ἐπτοημένον περὶ τὰ γήϊνα· οἳ ἅμοῦ τῆς τῶν σωζομένων μερίδος ἀφανισθήσονται.

« Καὶ οἱ τάφοι αὐτῶν οἰκίαι αὐτῶν εἰς τὸν αἰῶνα. » — Οἰκίαι αὐτῶν καὶ κατασκηνώσεις αὐτῶν ἔσονται ἕως τῆς συντελείας οἱ τάφοι αὐτῶν καὶ οὐχ ἃ κατεσκεύασαν οἰκήματα λαμπρὰ καὶ πολυτελῆ.

« Ἐπεκαλέσαντο τὰ ὀνόματα αὐτῶν ἐπὶ τῶν γαιῶν. » — Ἐπωνύμους ἑαυτοῖς ἐποιήσαντο πόλεις, καὶ χώρας, καὶ ἀγρούς.

« Καὶ ἄνθρωπος ἐ τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς ἀνοήτοις κτήνεσι καὶ ὡμοιώθη αὐτοῖς. » — Καὶ πᾶς τις αὐτῶν ἄνθρωπος ὢν ἐν τιμῇ τοῦ κατ' εἰκόνα, ἠγνόησε τοῦτο ἑκὼν, καὶ συνετάγη τοῖς κτήνεσιν.

« Αὕτη ἡ ὁδὸς αὐτῶν σκάνδαλον αὐτοῖς. » — Αὕτη ἡ διαγωγὴ αὐτῶν, ἤγουν ἡ πρὸς τὰ κτήνη ὁμοίωσις, ἐμπόδιον τούτοις εἰς ἀρετήν.

« Καὶ μετὰ ταῦτα ἐν τῷ στόματι αὐτῶν εὐδοκήσουσιν. » — Καὶ μετὰ τὸ ὁμοιωθῆναι ταῖς κτήνεσι, διὰ τοῦ στόματος αὐτῶν ἀρεσθήσονται τοῖς πεπραγμένοις, ἤτοι, Καλῶς ἐποιήσαμεν, ἐροῦσι, καὶ τὸ κακὸν αἰνέσουσιν.

« Ὡς πρόβατα ἐν ᾅδῃ ἔθετο· θάνατος ποιμανεῖ αὐτούς. » — Ἐπεὶ ἀπεκτηνώθησαν, θήσει αὐτοὺς ὁ Θεὸς ἐν τῷ τόπῳ τῆς κολάσεως ὡς πρόβατα πρόχειρα εἰς ἀπώλειαν, καὶ γέεννα κατακυριεύσει αὐτῶν.

« Καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωΐ. » — Καὶ κρείττους αὐτῶν ἔσονται οἱ ἐνάρετοι τάχιστα, ὡς δεσπόται πρὸς δούλους, κἂν τοῦτο ἐν τῷ κόσμῳ οὐκ ἦν.

« Καὶ ἡ βοήθεια αὐτῶν παλαιωθήσεται ἐν τῷ ᾅδῃ. » — Τουτέστιν ἀφανισθήσεται.

« Ἐκ τῆς δόξης αὐτῶν ἐξώσθησαν. » — Τῆς ἐκ πλούτου καὶ οἰκοδομημάτων δόξης αὐτῶν ἀποσπαρθήσονται πρὸς ᾅδην ἀγόμενοι.

B

« Πλὴν ὁ Θεὸς λυτρώσεται τὴν ψυχήν μου ἐκ χειρὸς ᾅδου, ὅταν λαμβάνῃ με. » — Προφητεύει ὅτι ὁ Θεὸς Λόγος, ὅταν λάβῃ τὴν ἀνθρωπίνην μορφὴν, τὰς τῶν ἀνθρώπων ψυχὰς ἐκ τῆς τοῦ ᾅδου κατασχέσεως ῥύσεται.

« Ὅτι ἡ ψυχὴ αὐτοῦ ἐν τῇ ζωῇ αὐτοῦ εὐλογηθήσεται. » — Καὶ γὰρ αὐτὸς ἕως ἂν ζῶμεν χαρισθήσεται.

« Ἐξομολογήσεταί σοι ὅταν ἀγαθύνῃς αὐτῷ. » — Πρὸς τὸν Θεὸν ὁ Λόγος εὐχαριστήσει ὅταν ἀγαθοῖς ἐντύχῃ· ὅταν δὲ λυπηροῖς βλ.....

« Εἰσελεύσεται ἕως γενεᾶς πατέρων αὐτοῦ. » — Ἐκεῖ καταντήσει γενεὰ τῶν προγόνων αὐτοῦ εἰς τὸ ἐξώτερον σκότος τὸ αἰώνιον.

C

« Καὶ ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε. » — Ἐπαναλαμβάνει σχετλιάζων.

## ΨΑΛΜΟΣ ΜΘ'.

« Ψαλμὸς τῷ Ἀσάφ. » — Καὶ οὗτος ὁ ψαλμὸς περὶ τῆς κοινῆς κρίσεως· πλὴν ἐν νῷ πρὸ τούτου μὲν κατηγορεῖται πᾶς πονηρὸς, ἐν τούτῳ δὲ ἰδικῶς οἱ Ἰουδαῖοι ἐλέγχονται.

« Θεὸς θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν. » — Ὁ Κύριος καὶ Θεὸς καὶ δημιουργὸς τῶν ὀνομαζομένων πάντων θεῶν λαλήσει δικαστικῶς καὶ καλέσει τὴν γῆν πᾶσαν, ὅτι καὶ παγκόσμιον τὸ κριτήριον.

« Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ. » — Ἐντεῦθεν ἕως τοῦ Ἄκουσον λαός μου, μέσον, βουλήματα. Φησὶ δὲ νῦν ὅτι ἐκ τῆς Σιὼν ἔσται τὸ πρόσλημμα τοῦ Λόγου, ὅπερ ἐστὶ ναὸς καὶ δόξα τῆς αὐτοῦ ὡραιότητος ἤτοι θεότητος.

D

« Ὁ Θεὸς ἐμφανῶς ἥξει. « — Ἐν μὲν τῇ πρώτῃ παρουσίᾳ κρυφίως ἐλήλυθεν· ἐν δὲ τῇ δευτέρᾳ μετὰ δυνάμεως καὶ δόξης ἔλθῃ πολλῆς.

« Ὁ Θεὸς ἡμῶν, κεὶ οὐ παρασιωπήσεται. » — Οὐκ ἀνεξικακήσει, ἀλλ' ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

« Πῦρ ἐνώπιον αὐτοῦ καυθήσεται καὶ κύκλῳ αὐτοῦ καταιγὶς σφόδρα. » — Τὸ φρικτὸν αὐτοῦ καὶ ἀνυπόστατον διὰ τούτων δηλοῖ· καταιγὶς δέ ἐστι ῥαγδαία πνεύματος ῥύμη ἀφόρητος.

« Προσκαλέσεται τὸν οὐρανὸν ἄνω, καὶ τὴν γῆν

OCR ABK / FR

τοῦ διακρῖναι τὸν λαὸν αὐτοῦ. » — Ὑπερβατῶς, τὸν ἄνω ὄντα οὐρανὸν προσκαλεῖται καὶ τὴν γῆν ἕνεκα τοῦ ἐλέγξαι τὸν λαὸν αὐτοῦ τὸν Ἰουδαϊκόν.

« Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ. » — Ὁσίους λέγει τοὺς Ἑβραίους, ὡς ἀφοσιωθέντας αὐτῷ. « Τοὺς διατιθεμένους τὴν διαθήκην αὐτοῦ ἐπὶ θυσίαις. » — Τοὺς διοικοῦντας καὶ ἐκπληροῦντας τὸν νόμον αὐτοῦ ἐπὶ θυσίαις μόνον.

« Καὶ ἀναγγελοῦσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὁ Θεὸς κριτής ἐστιν. » — Κηρύξουσιν οἱ οὐρανοὶ τὴν δικαιοσύνην αὐτοῦ, ὅτι ὄντως κριτής ἐστι, φύσει κεκτημένος τὸ δίκαιον.

« Ἄκουσον, λαός μου, καὶ λαλήσω σοι. » — Ἐντεῦθεν οἱ λόγοι τοῦ Θεοῦ. Τὸ δὲ διαμαρτύρομαι, ἀντὶ, παῤῥησίᾳ λεχθήσομαι.

« Ἔγνωκα πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστι. » — Ὡραιότης ἀγροῦ οἱ κατὰ καιροὺς φυόμενοι καρποί· τὸ δὲ κατ' ἐμοῦ ἀντὶ τοῦ, παρ' ἐμοί.

« Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω. » — Τοῦτο εἰρωνικόν.

« Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως. » — Αἴνεσιν τὴν εὐχαριστίαν φησίν.

« Καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου. » — Εὐχὰς λέγει τὰς ὑποσχέσεις τῆς εὐαρεστήσεως· ἐξ αὐτοῦ γὰρ τοῦ δοῦλοι καλεῖσθαι Θεοῦ τῷ Δεσπότῃ εὐαρεστεῖν ὑποσχόμεθα.

« Τῷ δὲ ἁμαρτωλῷ εἶπεν ὁ Θεός. » — Ἁμαρτωλόν φησι τὸν τῶν ἱερέων καὶ γραμματέων χορόν.

« Εἰ ἐθεώρεις κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις. » — Μοιχὸν ἐνταῦθά φησι παντοῖον ἀκόλαστον ταῖς σαρκικαῖς ἐπιθυμίαις.

« Τὸ στόμα σου ἐπλεόνασε κακίᾳ. » — Ἐπληρώθη ψεύδους. Ἀδιάφορος δὲ ἡ σύνταξις κἀνταῦθα ὡς πολλαχοῦ·

« Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις, κατὶ κατὰ τοῦ υἱοῦ τῆς μητρός σου ἐτίθεις σκάνδαλον. » — Συνεδριάζων τισίν· ἀδελφὸν δὲ καὶ υἱὸν μητρὸς ἐκ παραλλήλου φησὶ τὸν τῆς αὐτῆς φύσεως ἅμα καὶ πίστεως κοινωνόν· Σκάνδαλον δὲ τὴν παγίδα, τουτέστι τὴν ἐπιβουλήν.

« Ταῦτα ἐποίησας, καὶ ἐσίγησα. » — Ἐμακροθύμησα.

« Ὑπέλαβες ἀνομίαν ὅτι ἔσομαί σοι ὅμοιος. » — Ἐμοῦ μακροθυμοῦντος, ὑπέλαβες συνευδοκεῖν με ταῖς ἁμαρτάνουσιν.

« Σύνετε δὴ ταῦτα, οἱ ἐπιλανθανόμενοι τοῦ Θεοῦ. » — Οἱ ἀμνημονοῦντες τοῦ Θεοῦ διὰ τὴν μακροθυμίαν αὐτοῦ.

« Μήποτε ἁρπάσῃ, καὶ οὐ μὴ ᾖ ὁ ῥυόμενος. » — Μήποτε ἁρπάσῃ τὰς ψυχὰς ἡμῶν δι' ἀγγέλων ἀποτόμων.

« Θυσία αἰνέσεως δοξάσει με. » — Τὴν δι' εὐχαριστίας θυσίαν ἔχω δόξαν ἐμὴν καὶ οὐ τὴν διὰ ζώων.

« Καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριόν μου. » — Καὶ ἐν ἐκείνῃ τῇ θυσίᾳ ἐστὶν ὁδὸς δι' ἧς A δείξω τῷ οὕτως θύοντι τὴν παρ' ἐμοῦ σωτηρίαν.

## ΨΑΛΜΟΣ Ν'.

« Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυῒδ. Ἐν τῷ ἐλθεῖν πρὸς αὐτὸν Νάθαν τὸν προφήτην· ἡνίκα εἰσῆλθε πρὸς Βηρσαβεέ. » — Τὸ ἡνίκα ἐνταῦθα ὑστεροχρονίαν δηλοῦν ἔφτιν ἀντὶ τοῦ μεθ'ὅ.

« Ἐλέησόν με, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου. » — Ἀξίως τοῦ μεγάλου σου ἐλέους ἐλέησόν με μεγάλως ἡμαρτηκότα σοι.

« Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. » — Συνεχωρήθη γὰρ καὶ διὰ Νάθαν. Κεῖται δὲ τὸ ἐπιπλεῖον ἀντὶ τοῦ ἄγαν.

« Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρ- B τία μου ἐνώπιόν μού ἐστι διαπαντός. » — Ἐλέησόν με, φησὶν, ὅτι οὐκ ἐπελαθόμην τῆς ἁμαρτίας μου, καταφρονήσας αὐτῆς, ἀλλ' ἐν νῷ ταύτην στρέφω ἀεί.

« Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα. » — Βασιλεὺς ὢν καὶ σοὶ μόνῳ δικαστῇ ὑποκείμενος, σοὶ μόνῳ ἥμαρτον. Ἄλλως δὲ, Κἂν τὸν Οὐρίαν ἠδίκησα, ἀλλ' αὕτη ἁμαρτία ἐπὶ σὲ διαβαίνει· τοὺς σοὺς νόμους γὰρ παραβέβηκα. Ἢ ὅτι, τοὺς ἄλλους λαθὼν, σοὶ μόνῳ ἔγνωσμαι ἡμαρτηκώς.

« Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου. » — Τὸ ὅπως οὐκ ἔστι νῦν αἰτίας δηλωτικὸν, ἀλλ' ἐκβάσεως. Φησὶ γὰρ, Ἐποίησα τὸ κακὸν κατὰ τῆς ἐμαυτοῦ κεφαλῆς ἵν' ἐν ταῖς δικαιολογίαις σου ταῖς πρὸς ἐμὲ C σὺ μὲν δεδικαιωμένος ὀρθῆς καὶ ἀνεπίληπτος, ἐγὼ δὲ καταδεδικασμένος καὶ ὑπαίτιος, καὶ ἐν τῷ ἄγειν σεαυτὸν εἰς κρίσιν μετ' ἐμοῦ, σὺ μὲν νικήσῃς, ἐγὼ δὲ ἡττηθῶ. Κρίνεται δὲ ὁ Θεὸς μεθ' ἡμῶν, ὅταν ἐλέγχῃ ἡμᾶς.

« Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. » — Συνεσχέθην ταῖς ἀνομίαις· ἡ μήτηρ μου, ὡς ἔοικεν, εἰς τοῦτό με ἀγέννησεν, εἰς τὸ ἁμαρτάνειν· τὸ γὰρ ἐκίσσησεν ἐγέννησεν εἶπεν ὁ Σύμμαχος.

« Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας. » — Ὁμολογῶ τὰς ἀνομίας μου, διότι ἀγαπᾷς τὴν ἀλήθειαν.

« Τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. » — Πρὸς οἰκείαν αἰσχύνην τοῦτό φησιν.

D « Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. » — Ταῦτα δύναμιν ἔχει εὐχῆς. Ὕσσωπον δὲ τροπικῶς ὀνομάζει τὴν ἄφεσιν.

« Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην. » — Ταῖς ἀκοαῖς τῆς ψυχῆς μου ἐνηχήσεις χαρὰν τῇ πληροφορίᾳ τῆς συγχωρήσεως·

« Καὶ ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. » — Διὰ τῶν ὀστῶν ὅλον δηλοῖ ἑαυτὸν κατακαμφθέντα τῷ φορτίῳ τῆς ἁμαρτίας.

« Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. » — Πάριδέ μου τὰ ἁμαρτήματα.

OCR ABK / FR

« Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός. » — Καρδίαν τὴν ψυχὴν λέγει. Κτίσον δὲ τὸ ἀποκατάστησον.

« Καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. » — Πνεῦμα εὐθὲς τὸ πνευματικὸν χάρισμα τῆς εὐθύτητος. Τὸ δὲ ἐγκαίνισον, ἀντὶ τοῦ, καινῶς ἔμβαλε· ἔγκατα δὲ καλεῖ τὰ κρύφια τῆς διανοίας, καὶ τὰ βάθη τῶν λογισμῶν.

« Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου. » — Τὴν χαρὰν ἣν εἶχον ἐκ τοῦ σώζεσθαι διὰ σοῦ.

« Καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με. » — Κραταίωσόν με χαρίσματι κυριευτικῷ τῶν παθῶν, καὶ ὁδηγῷ πρὸς τὰ κρείττονα.

« Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν. » — Τοῖς ἄλλοις ἁμαρτωλοῖς ἔσομαι τύπος μετανοίας καὶ ἐπιστροφῆς·

« Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου. » — Αἵματα λέγονται καὶ οἱ ἄδικοι φόνοι, καὶ οἱ τούτοις ἐπιχαίροντες δαίμονες.

« Ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. » — Τῇ ἀπαγγελίᾳ τῆς παρὰ σοῦ γενομένης μοι δικαιώσεως εἴτουν ἐλευθερίας ἀπὸ τῆς ἁμαρτίας μου.

« Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. » — Ἀνοίξεις πρὸς τὴν σὴν δοξολογίαν καὶ ὕμνησιν κεκλεισμένα τῇ καταγνώσει διὰ τὴν ἁμαρτίαν.

« Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. » — Τὸ εὐδοκήσεις, ἀντὶ τοῦ ἀποδέξῃ.

« Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον. » — Ἑκουσίως τεταπεινωμένη ψυχή.

« Καρδίαν συντετριμμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. » — Οὐκ ἀποδοκιμάσει, οὐκ ἀποστραφήσεται.

« Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών. » — Ἀγάθυνον μὲν τὸ ἀγαθοποίησον, Σιὼν δὲ καὶ ἡ τῶν πιστῶν συναγωγὴ καὶ μία ἑκάστη ψυχὴ εὐσεβής, τάχα δὲ καὶ ἡ τῆς Ἐκκλησίας προϊσταμένη, καὶ οἱ τὴν ψυχὴν ὀχυροῦντες στεῤῥοὶ λογισμοί· θυσία δὲ δικαιοσύνη, ἤτοι δικαία ἡ ἀρετή. Καὶ ἀναφορὰ μέν, εἴτουν ἀναφαίρεμα, ἡ μερικὴ ἀρετή· ἡ δὲ καθόλου καὶ τελεία ὁλοκαύτωμα· μόσχοι δὲ ὅσοι διὰ πράξεως καὶ θεωρίας κερατίζουσι τὸν διάβολον, καὶ εἰς ὀσμὴν εὐωδίας προσάγουσιν ἑαυτοὺς τῷ Θεῷ.

## ΨΑΛΜΟΣ ΝΑ'.

« Εἰς τὸ τέλος, συνέσεως τῷ Δαυΐδ, ἐν τῷ ἐλθεῖν Δωὴκ τὸν Ἰδουμαῖον, καὶ ἀναγγεῖλαι τῷ Σαοὺλ καὶ εἰπεῖν αὐτῷ· Ἦλθε Δαυῒδ εἰς τὸν οἶκον Ἀχιμέλεχ. » — Φεύγων Δαυῒδ Σαοὺλ ἐπείνασε, καὶ ἀπελθὼν εἰς Νομβὰ πόλιν τῶν ἱερέων πρὸς Ἀβιμέλεχ τὸν ἀρχιερέα, κατεμηνύθη τῷ Σαοὺλ παρὰ Δωὴκ τοῦ ἐπιμελητοῦ τῶν βασιλικῶν ἡμιόνων. Ἐκμανεὶς δὲ ὁ Σαοὺλ ἠγάγετο καὶ κατέσφαξε τοὺς τριακοσίους πεντήκοντα ἱερεῖς διὰ Δωήκ, καὶ πᾶσαν τὴν πόλιν αὐτῶν πανωλεθρίᾳ παρέδωκεν, ὃ μαθὼν ὁ Δαυῒδ τὸν παρόντα ψαλμὸν συντέθεικε . . . . στέον καὶ ὅτι τὸ Ἀβιμέλεχ σφάλμα δοκεῖ γραφικόν, γεγονὼς ἐν τῷ

A Ἑβραϊκῷ διὰ τὴν πολλὴν ἐμφέρειαν τῶν παρ' Ἑβραίοις στοιχείων, τοῦ τε χὰφ καὶ βὴθ· Ἀχιμέλεχ γὰρ τὸ ὄνομα τοῦ ἀρχιερέως αἱ Βασιλεῖαι διαγορεύουσιν.

« Τί ἐγκαυχᾷ ἐν κακίᾳ ; » — Δυνατὸς ἐν κακίᾳ καὶ Δωὴκ καὶ ὁ προδότης Ἰούδας, καὶ ὁ διάβολος μᾶλλον καὶ πᾶς ὑπηρέτης αὐτοῦ.

« Ὁ δυνατός, ἀνομίαν ὅλην τὴν ἡμέραν, ἀδικίαν ἐλογίσατο ἡ γλῶσσά σου. » — Ἀσυνδέτως ἀνομίαν, ἀδικίαν διαπαντὸς ἐφθέγξατο ἡ γλῶσσά σου.

« Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησας δόλον. » — Ὀξεῖαν καὶ δραστηρίαν κατεσκεύασας βουλήν.

« Ἠγάπησας πάντα ῥήματα καταποντισμοῦ, γλῶσσαν δολίαν. » — Λόγους καταποντιστικοὺς καὶ ἀφανιστικοὺς ἀνθρώπων.

« Διὰ τοῦτο ὁ Θεὸς καθέλοι σε εἰς τέλος. » — Τὰ
B εὐκτικὰ ἀντὶ μελλόντων ὁριστικῶν· προφητεῖαι γάρ εἰσιν ἐν τύπῳ ἀρᾶς.

« Ἐκτίλαι σε, καὶ μεταναστεύσαι σε ἀπὸ σκηνώματός σου. » — Σκήνωμα τῆς ψυχῆς τὸ σῶμα· τοῦ δὲ Σατὰν ἡ παρ' ἡμῖν προσεδρία.

« Καὶ τὸ ῥίζωμά σου ἐκ γῆς ζώντων. » — Ῥίζωμα τὸ γένος καὶ ἡ τῆς προσεδρίας ἑδραίωσις.

« Ὄψονται δίκαιοι καὶ φοβηθήσονται. » — Ὄψονται τοῦ πονηροῦ καταστροφήν, καὶ ἀσφαλέστεροι τῷ φόβῳ ἀφύκτου δίκης γενήσονται.

« Καὶ ἐπ' αὐτὸν γελάσονται καὶ ἐροῦσιν· Ἰδοὺ ἄνθρωπος ὃς οὐκ ἔθετο τὸν Θεὸν βοηθὸν αὐτοῦ. » — Ἄνθρωπος λέγεται καὶ ὁ διάβολος διὰ τὸ φιλήδονον αὐτοῦ.

« Ἀλλ' ἐπήλπισεν ἐπὶ τὸ πλῆθος τοῦ πλούτου αὐτοῦ, καὶ ἐνεδυναμώθη ἐπὶ τῇ ματαιότητι αὐτοῦ. » —
C Πλοῦτον καλεῖ καὶ τὴν κτῆσιν τῆς κακίας.

« Ἐγὼ δὲ ὡσεὶ ἐλαία κατάκαρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. » — Προφητεύει ὅτι ἀκέραιος φυλαχθήσεται ἐν τῇ σκέπῃ τοῦ Θεοῦ, καθάπερ ἐλαία, ἧς οὐκ ἀπεῤῥύη ὁ καρπός.

« Ἐξομολογήσομαί σοι εἰς τὸν αἰῶνα ὅτι ἐποίησας. » — Ἐποίησας, ἐκδίκησιν δηλαδή.

« Καὶ ὑπομενῶ τὸ ὄνομά σου. » — Καὶ ἔτι προσδοκήσω σε, δηλονότι ἐκδικητήν.

« Ὅτι χρηστὸν ἐναντίον τῶν ὁσίων σου. » — Ὅτι ὠφέλιμον τοῦτο παρὰ τοῖς ἀφωσιωμένοις καὶ ἀνακειμένοις σοι.

## ΨΑΛΜΟΣ ΝΒ'.

« Εἰς τέλος ὑπὲρ Μαελὲθ συνέσεως τῷ Δαυΐδ. » — Εἰ καὶ τῷ τρισκαιδεκάτῳ κατὰ τὴν ἐπαγγελίαν ὁ αὐτός
D ἐστιν, πλὴν ὀλίγων τινῶν, ἀλλὰ τὴν ἔννοιαν ἔχει διαφορὰν μυστηριώδη· ὅλος γὰρ τῆς κατὰ Χριστοῦ τῶν Ἰουδαίων λύττης κατηγορεῖ.

« Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, Οὐκ ἔστι Θεός· διεφθάρησαν, καὶ ἐβδελύχθησαν ἐν ἀνομίαις. » — Ὁ ἄφρων Ἰουδαϊκὸς λαὸς ἐλογίσατο ἐν τῇ ψυχῇ αὐτοῦ, καὶ ἐδογμάτισε περὶ τοῦ Χριστοῦ, ὅτι οὐκ ἔστι Θεός, ἀλλ' ἄνθρωπος ψιλός.

« Ὅτι Θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. » — Ἀνθρωπαρέσκους ὀνομάζει τοὺς Ἰουδαίους, οἳ καὶ τὸν Καίσαρα θεραπεύοντες· ἐβόων· « Οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα· » ὧν διεσκόρπισε τὰ ὀστᾶ, ἤτοι τὰς φυλὰς δι' ὧν συνίστατο.

OCR ABK / FR

« Κατῃσχύνθησαν, ὅτι ὁ Θεὸς ἐξουδένωσεν αὐτούς. » — Αἰσχύνη πᾶσιν ἔθνεσι προετέθησαν, διότι ὁ Χριστὸς ἐξουδένωμα καὶ ὄνειδος αὐτοὺς ἐποίησε.

## ΨΑΛΜΟΣ ΝΓ'.

« Εἰς τὸ τέλος ἐν ὕμνοις συνέσεως τῷ Δαυΐδ, ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαοὺλ· Οὐκ ἰδοὺ Δαυῒδ κέκρυπται παρ' ἡμῖν; » — Ἐν τῷ ἐλθεῖν τοὺς Ζιφαίους καὶ εἰπεῖν τῷ Σαοὺλ, Οὐκ ἰδοὺ Δαυῒδ κέκρυπται παρ' ἡμῖν. Φεύγων τὸν Σαοὺλ ὁ Δαυῒδ ἐκάθισεν εἰς τὴν ἔρημον Ζίφ. Οἱ δὲ Ζιφαῖοι τὴν μὲν πρὸς Δαυῒδ φιλίαν ὑπεκρίθησαν, κατεμήνυσαν δὲ αὐτὸν τῷ Σαοὺλ, καὶ ὃς ἐπεστράτευσε κατ' αὐτοῦ. Ἐν ὅσῳ δὲ τοῦτο, πόλεμος τῶν ἀλλοφύλων ἐγένετο, καὶ τοῦ Σαοὺλ ἀντιπεριϊσπασθέντος πρὸς τὸν τοιοῦτον τῶν ἀλλοφύλων πόλεμον, ἀδείας τυχὼν ὁ Δαυῒδ καὶ φεύγων ἐκεῖθεν τὸν παρόντα ψαλμὸν συντέθεικεν εὐχαριστήριον τῷ Θεῷ·

« Θεὸς, ἐν τῷ ὀνόματί σου σῶσόν με. » — Ὅτι ὁ Σωτὴρ ὀνομάζῃ, καὶ ἔτι σῶσόν με, ἢ ὅτι ἀρκεῖ μοι πρὸς σωτηρίαν ἡ τοῦ σοῦ ὀνόματος ἐπίκλησις.

« Καὶ ἐν δυνάμει σου κρῖνόν με. » — Καὶ ὅτι δυνατὸς εἶ, ἐκδικήσεις με.

« Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς μου· ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου, ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ' ἐμέ. » — Ἀλλοτρίους λέγοι ἂν τοὺς Ζιφαίους ὡς ἀποξενωθέντας τῆς πρὸς αὐτὸν εὐνοίας· κραταιοὺς δὲ τοὺς περὶ τὸν Σαοὺλ διὰ τὴν πολεμικὴν παράταξιν. Ἡμεῖς δὲ τοὺς δαίμονας οἴδαμεν τοὺς αὐτὴν ἐπιβουλεύοντας τὴν ψυχὴν ἀλλοτρίους μὲν, ὡς ἀποστάτας Θεοῦ, κραταιοὺς δὲ εἰς κακίαν καὶ ὡς ἀσωμάτους καὶ ὡς κοσμοκράτορας.

« Καὶ οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν. » — Οὐ προέθεντο τὸν Θεὸν πρὸ προσώπου τῆς ψυχῆς αὐτῶν, εἴτουν οὐκ ἐμνήσθησαν ὅτι ὁρᾷ τὰ πάντα καὶ κρινεῖ δικαίως.

« Ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς. » — Διότι ἀληθὴς εἶ, ἀφάνισον αὐτοὺς ψευδεῖς ὄντας, καὶ ἄλλα μὲν λέγοντας, ἄλλα δὲ ἀποδόντας.

« Ἑκουσίως θύσω σοι. » — Οὐκ ἐξ ἀνάγκης νομικῆς, ἀλλ' ἐκ προαιρέσεως θερμῆς θυσίαν εὐχαριστίας προσάξω σοι.

« Ἐξομολογήσομαι τῷ ὀνόματί σου, Κύριε. » — Εὐχαριστήσω σοι· Τοῦτο δὲ σαφηνιστικόν ἐστι τοῦ « θύσω σοι. » Εὐχαριστήσω σοὶ δὲ, διότι ἐκ πάσης θλίψεως ἐῤῥύσω με.

« Ὅτι ἀγαθὸν, ὅτι ἐκ πάσης θλίψεως ἐῤῥύσω με. » — Ἀγαθὸν γὰρ τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ.

« Καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου. » — Καὶ ἐν τοῖς ἐχθροῖς μου ἤδη εἶδον ὄμμασι προβλεπτικοῖς ὃ ἐβουλόμην δηλαδὴ, τουτέστιν ἐκδίκησιν. Ἔστι δὲ ἀντὶ μέλλοντος ὁ παρῳχηκώς.

## ΨΑΛΜΟΣ ΝΔ'.

« Εἰς τὸ τέλος, ἐν ὕμνοις συνέσεως τῷ Δαυΐδ. Ἐνώτισαι, ὁ Θεὸς, τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου. Πρόσσχες μοι, καὶ εἰσάκουσόν μου, ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην. « — Ἀδολεσχίαν ἐνταῦθα τὴν συνέχειαν ὀνομάζει τῶν συμφορῶν, ἢ καὶ τὴν συνεχῆ ἐμμελέτησιν καὶ τὴν

A ἀμηχανίαν τοῦ πῶς ἂν ἐκφύγοι τὰς ἐπιβουλὰς τῶν ἐχθρῶν· διάφορα γὰρ ἐμφαίνει τὸ τῆς ἀδολεσχίας ὄνομα. πανταχοῦ μέντοι τὸ συνεχὲς δηλοῖ.

« Ἀπὸ φωνῆς ἐχθροῦ καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ. « — Φωνὴν ἐχθρῶν τὰς διαβολάς φησι, τοὺς ὀνειδισμοὺς καὶ τὰς ὕβρεις. θλίψιν δὲ τοὺς διωγμούς.

« Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν· » — Ἐκίνησαν ἐπ' ἐμὲ, ἣν οὐκ ᾔδειν ἀνομίαν, ἐπίβουλον εἶναί με τοῦ βασιλέως συκοφαντήσαντες.

« Καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. » — Καὶ ἐν τῷ ὀργίζεσθαι κατ' ἐμοῦ ἐμνησικάκουν μοι.

« Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος. » — Τὴν ἀθυμίαν φησί.

« Καὶ εἶπα, Τίς δώσει μοι πτέρυγας ὡσεὶ περι-

B στερᾶς, καὶ πετασθήσομαι καὶ καταπαύσω; » — Περιστερᾶς ἐζήτησε πτέρυγας, οὐ τόσον ὅτι ὀξέως τὸ ζῶον ἵπταται ὅσον διὰ τὸ ἀπόνηρον αὐτοῦ· ἐπεὶ τοιοῦτος καὶ ὁ προφήτης ἤτησε καὶ πετασθήσεσθαι εἰς τόπους ἀσφαλεῖς, καὶ καταπαῦσαι ἀπὸ τῶν συνεχῶν φόβων τε καὶ πόνων.

« Ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. » — Ἀντὶ τοῦ φεύγων.

« Προσεδεχόμην τὸν Θεὸν τὸν σώζοντά ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος. » — Καταιγίδα λέγει τὴν ζάλην τῶν πειρασμῶν.

« Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν. « — Τὰς τῶν Ἰουδαίων βλασφήμους ἃς μὲν αὐγκλεισον ἐν τῷ στόματι αὐτῶν καὶ ἀφώνους ἀπέργασαι, τῶν δὲ τὴν συμφωνίαν διάλυ.. διασκορπίσας τοὺς θεοκτόνους· ὅσους παρῆλθοι τῶν Ῥω-

C μαίων ἡ μάχαιρα.

« Ὅτι εἶδον ἀνομίαν, καὶ ἀντιλογίαν ἐν τῇ πόλει. » — Τεθέαμαι τοῖς προφητικοῖς ὄμμασιν ἐν τῇ πόλει Ἱερουσαλὴμ ἀνομίαν μὲν ὅτι ἐζήτουν θανατῶσαι τὸν χορηγὸν τῆς ζωῆς. ἀντιλογίαν δὲ, ὅτι ἀντέλεγον αὐτῷ διδάσκοντι τὰ σωτήρια.

« Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς ἀνομία. » = Διαπαντὸς περιέλαβε τὴν ὅλην πόλιν ἡ παρανομία.

« Ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία. » — Οὐ μὴν ἀλλὰ καὶ κόπος ἦν τῇ πόλει ἐν ταῖς κατὰ τῶν ἐναντίων μηχαναῖς, καὶ ἀδοξία ἐν τῷ πλεονεκτεῖν· καὶ τόκος τοῦ νόμου τοῦτο κωλύοντος. καὶ ἀπάτη ἐν τοῖς συναλλάγμασιν αὐτῶν.

« Ὅτι εἰ ὁ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν. » —

D Τὰ ἐντεῦθεν πρὸς τὸν Ἰούδαν προσώπῳ τοῦ Χριστοῦ.

« Σὺ δὲ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου. » — Λείπει τὸ, ἵνα τί ὠνείδισας εἴτουν ἐξουδένωσας, καὶ ἵνα τί ἐμεγαλοῤῥημόνησας; εἴτουν ἀπηναισχύντησας. Ἰσόψυχον δὲ τοῦτόν φησιν, ὡς ἀγαπητόν· ἡγεμόνα δὲ ὡς μετὰ τῶν ἄλλων μαθητῶν χειροτονηθέντα διδάσκαλον τῶν πιστευόντων καὶ ἄρχοντα· γνωστὸν δὲ ὡς οἰκειότατον.

« Ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα. » — Ὃς σὺν ἐμοὶ ὢν ἐδωκάς μοι βρῶσιν αἰσθητήν τε ὡς ὑπηρέτης, καὶ νοητὴν ὡς ἀπόστολος· εἴη δ' ἂν αὕτη τοῦ κηρύγματος ἡ διδασκαλία.

OCR ABK / FR

« Ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ. » — Εἰς τὸ ἱερὸν ἐπορεύθημεν ὁμογνωμόνως· ἐπὶ τοσοῦτόν σε ἀχώριστον εἶχον καὶ γνήσιον.

« Ἐλθέτω δὴ θάνατος ἐπ' αὐτούς· καὶ καταβήτωσαν εἰς ᾅδου ζῶντες. » — Ταῦτα προϊὼν ὁ Δαυῒδ ἐπαρᾶται τῷ προδότῃ καὶ τοῖς λοιποῖς χριστοκτόνοις τὰ μέλλοντα τούτους δεινὰ καταλήψεσθαι, καὶ θάνατον μὲν τὸν ἀπ' ἀγχόνης λέγει καὶ πολέμου, καὶ εἴ τις ἄλλος πικρός· ᾅδην δὲ τοὺς κρημνοὺς καὶ τοὺς λάκκους, οἷς ἑαυτοὺς ζῶντας καθῆκαν οἱ Ἑβραῖοι ἐκ τῆς ἀνάγκης τοῦ Ῥωμαϊκοῦ πολέμου.

« Ὅτι πονηρία ἐν ταῖς παροικίαις αὐτῶν, ἐν μέσῳ αὐτῶν. » — Παροικίας ὠνόμασε τὰς κατοικίας αὐτῶν διὰ τὸ πρόσκαιρον αὐτῶν· ἐν μέσῳ δὲ εἶπεν ἀντὶ τοῦ, εἰς βάθος καὶ οὐκ ἐπιπολαίως, ἀλλ' ἐν ταῖς καρδίαις αὐτῶν.

« Ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς φωνῆς μου. » — Τὰ τοῦ Θεοῦ θαυμάσια δηλαδή.

« Λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου ἀπὸ τῶν ἐγγιζόντων μοι. » — Ῥύσεται, φησί, τὴν ψυχήν μου χωρὶς πολέμου ἀπὸ τῶν συγγενῶν μου· βαρύτητος δὲ ὁ λόγος. Εἶεν δ' ἂν ἐγγίζοντες καὶ οἱ ἐπικείμενοι ἤδη πολέμιοι. Τὸ δὲ ἐν πολλοῖς, ἀντὶ τοῦ σὺν πλήθει. Τὸ σὺν ἐμοὶ δὲ τὴν ὑπ' ἐχθρῶν οἱονεὶ κατάληψιν ἐμφαίνει, καὶ τὸ ἐν αὐτῷ γενέσθαι αὐτόν τε καὶ τοὺς διώκοντας.

« Οὐ γάρ ἐστιν αὐτοῖς ἀντάλλαγμα, καὶ οὐκ ἐφοβήθησαν τὸν Θεόν. » — Οὐκ ἔστιν αὐτοῖς ἐναλλαγὴ ἀπὸ τῆς κακίας.

« Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἐν τῷ ἀποδιδόναι. » — Διὸ καὶ ἤδη ἐξέτεινεν, ἤγουν ἐκτενεῖ ὁ Θεὸς τὴν κολαστικὴν αὐτοῦ δύναμιν, ἐπὶ τῷ ἀποδιδόναι αὐτοῖς τὴν ἐποφειλομένην τιμωρίαν.

« Ἐβεβήλωσαν τὴν διαθήκην αὐτοῦ. » — Περιεφρόνησαν γὰρ τὸν νόμον αὐτοῦ καὶ τὸ Εὐαγγέλιον.

« Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτοῦ. » — Ἐκ τῆς ὀργῆς αὐτοῦ διεμερίσθησαν, αἰχμαλωτιζόμενοι καὶ πανταχοῦ διασκεδαννύμενοι, καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν, ὥστε ἐπιγνῶναι τὸν Κύριον, λέγοντες· Μήποτε διὰ τὸν Ἰησοῦν ταῦτα πάσχομεν· οὐ μὴν ἀπέγνωσαν ἀληθῶς.

« Ἡπαλύνθησαν οἱ λόγοι αὐτῶν ὑπὲρ ἔλαιον· καὶ αὐτοί εἰσι βολίδες. » — Μὴ ζήτει πραγμάτων ἀκολουθίαν καὶ τάξιν ἐν τοῖς προφητικοῖς. Ἰδοὺ γὰρ τοῦτο τὸ ῥητὸν τοὺς πρὸς Χριστὸν ὑποκριτικοὺς λόγους τῶν Ἰουδαίων προαγγέλλει· λόγους γὰρ ἁπαλοὺς προσέφερον αὐτῷ πρὸ αὐτὸν ἀνελεῖν, Ῥαββὶ καλοῦντες, καὶ ὅτι ἀληθὴς εἶ, λέγοντες, καὶ τὰ τοιαῦτα· ἔνδον δὲ ἦσαν ἠκονημένα βέλη οὗ αἵματος διψῶντες αὐτοῦ.

« Ἐπίῤῥιψον ἐπὶ Κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σε διαθρέψει. » — Τοῦτο κοινὴ πρὸς ἅπαντας ἐπιβουλευομένους παραίνεσις.

« Οὐ δώσει εἰς τὸν αἰῶνα σάλον τῷ δικαίῳ. » — Οὐ παραχωρήσει μέχρι τέλους ἐπάγεσθαι τῷ δικαίῳ πλεονασμὸν πειρασμοῦ.

« Σὺ δὲ, ὁ Θεὸς, κατάξεις αὐτοὺς εἰς φρέαρ διαφθορᾶς. » — Φρέαρ διαφθορᾶς τὸ βαθὺ καὶ ἄφυκτον τῆς τιμωρίας ἐκάλεσεν, ἔνθα τοὺς ἐπιβουλεύοντας τοῖς ἀθῴοις κατάξει ὁ Κύριος· ὅταν ἀποδιδῶσιν ἑκάστῳ τὰ πρὸς ἀξίαν.

« Ἄνδρες αἱμάτων καὶ δολιότητος οὐ μὴ ἡμισεύσωσι τὰς ἡμέρας αὐτῶν. » — Τοῦτο δι' ἐκφόβησιν καὶ τῆς κακίας ἀναστολὴν ἀπὸ τοῦ πλεονάζοντος εἴρηται· τινὲς γὰρ τῇ κακίᾳ συγκατεγήρασαν.

« Ἄνδρες αἱμάτων καὶ δολιότητος. » — Οἱ αἱμοχαρεῖς καὶ οἱ δόλιοι.

## ΨΑΛΜΟΣ ΝΕ.

« Εἰς τὸ τέλος, ὑπὲρ τοῦ λαοῦ τοῦ ἀπὸ τῶν ἁγίων μεμακρυμμένου, τῷ Δαυῒδ εἰς στηλογραφίαν, ὁπότε ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι ἐν Γέθ. Ἐλέησόν με, ὁ Θεός. » — Ὁπότε πρὸς τοὺς ἀγροὺς πρὸς τὸν ἀλλόφυλον ἀπελθὼν Δαυῒδ, ἐγνώσθη καὶ ἑάλω, εἶτα μανίαν ὑποκριθεὶς διέφυγε, τότε τὸν παρόντα ψαλμὸν συνέθετο. Βουλόμενος δὲ τὴν εἰς αὐτὸν θείαν εὐεργεσίαν ἐκκηρύττεσθαι, εἰς στηλογραφίαν ἐπέγραψε, τουτέστιν εἰς ἀνέκλειπτον γραφήν· ἐκ μεταφορᾶς τῶν λιθίναις ἢ χαλκαῖς στήλαις ἐγγραφόντων ῥήματά τινα εἰς μνήμην διηνεκῆ. Ἁρμόζει δὲ ὅλος καὶ τῷ αἰχμαλωτισθέντι λαῷ αἰσθητῶς τε καὶ νοητῶς· τῷ μεμακρυμμένῳ τῶν ἁγίων εἴτε τοῦ ἐν Ἱεροσολύμοις ναοῦ κατὰ σῶμα, εἴτε τῶν ἁγίων ἀνδρῶν κατὰ διαγωγήν.

« Ὅτι κατεπάτησέ με ἄνθρωπος, ὅλην τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με. » — Ἄνθρωπος νοεῖται καὶ ὁ Σαοὺλ, καὶ ὁ Βαβυλώνιος βασιλεὺς διὰ τὸ ἀνθρωποπρεπὲς αὐτοῦ καὶ φιλήδονον. Τὸ δὲ κατεπάτησε δηλοῖ τό τε κατεφρόνησε, τὸ συνέτριψε, καὶ τὸ κατέλαβε διώκων καὶ οἱονεὶ συνεπάτησεν.

« Ἀπὸ ὕψους. » — Τὸ ὕψος τήν τε δυναστείαν δηλοῖ, καὶ τὴν εὐστοχίαν· ὁ γὰρ ὑψόθεν βάλλων κατευστοχεῖ.

« Ἡμέρας οὐ φοβηθήσομαι· ὅτι ἐγὼ ἐλπιῶ ἐπὶ σέ. » — Ἡμέρας τὰς εὐημερίας φησὶ τῶν ἐχθρῶν.

« Ἐν τῷ Θεῷ ἐπαινέσω τοὺς λόγους μου. » — Ἐν τῷ περὶ Θεοῦ λέγειν, ἐπαινετοὺς ποιήσω τοὺς λόγους μου.

« Ἐπὶ τῷ Θεῷ ἤλπισα· οὐ φοβηθήσομαι τί ποιήσει μοι σάρξ. » — Σάρκα λέγει τὸν ἐμπαθῆ.

« Ὅλην τὴν ἡμέραν τοὺς λόγους μου ἐβδελύσσοντο. » — Ἀπεστρέφοντο, περιεφρόνουν.

« Κατ' ἐμοῦ οἱ διαλογισμοὶ αὐτῶν εἰς κακά. » — Εἰς τὸ κακῶσαί με.

« Παροικήσουσι, καὶ κατακρύψουσιν. » — Παραμενοῦσι καὶ κατακρύψουσί μοι ἐνέδρας.

« Αὐτοὶ τὴν πτέρναν μου φυλάξουσι. » — Τὴν πορείαν μου ἐπιτηρήσουσιν ὥστε παγιδεῦσαί με.

« Καθάπερ ὑπέμειναν τὴν ψυχήν μου. » — Ὥσπερ αὐτοὶ ἐνεδρεύοντες περιέμειναν με, οὕτω καὶ σὺ ἀπελάσεις αὐτοὺς ἀντ' οὐδενὸς, ὅ ἐστι ῥᾳδίως, ὡς οὐδὲν ὄντας· ἡ γὰρ ὑπὲρ ἐνταῦθα ἀντὶ τῆς ἀντί.

« Ἐν ὀργῇ λαοὺς κατάξεις. » — Μόνον ὀργισθεὶς ὅλα πλήθη συντρίψεις. »

« Ὁ Θεὸς, τὴν ζωήν μου ἐξήγγειλά σοι. » — Τὴν πολιτείαν μου ἐφανέρωσά σοι.

« Ἔθου τὰ δάκρυά μου ἐνώπιόν σου, ὡς καὶ ἐν

OCR ABK / FR

τῇ ἐπαγγελίᾳ σου. » — Ἐπεῖδες τὰ δάκρυά μου ὡς A ἐπηγγείλω ἐν νόμῳ σου περὶ τοῦ ἀδικουμένου· στενάζων λέγει πρός με καὶ ἐπακούσομαι αὐτοῦ· ἐλεήμων γάρ εἰμι.

« Ἐπιστρέψουσιν οἱ ἐχθροί μου εἰς τὰ ὀπίσω, ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλέσωμαί σε. » — Τουτέστι φεύξονται.

« Ἰδοὺ ἔγνω, ὅτι Θεός μου εἶ σύ· » — Ἤδη ἔγνων εἶπουν εὐθὺς γινώσκω εἰσακουόμενος ὅτι Θεός μου εἶ σύ.

« Ἐπὶ τῷ Θεῷ αἰνέσω ῥῆμα, ἐπὶ τῷ Κυρίῳ αἰνέσω λόγον. » — Καὶ ὧδε τὸ αἰνέσω, ἀντὶ τοῦ αἰνετὸν ποιήσω, καὶ ῥῆμα μὲν ὁ βραχὺς λόγος, λόγος δὲ ὁ μείζων.

« Ἐπὶ τῷ Θεῷ ἤλπισα· οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος. » — Ὃν εἶπεν ἄνθρωπον ἐν ἀρχῇ τοῦ B ψαλμοῦ, τοῦτον κἀνταῦθά φησιν.

« Ἐν ἐμοὶ, ὁ Θεὸς, εὐχαὶ, ἃς ἀποδώσω αἰνέσεώς σου. » — Ἐν τῇ μνήμῃ μού εἰσιν αἱ ὑποσχέσεις τοῦ ἐπαινέσαι, ἃς καὶ ἐκπληρώσω.

« Τοῦ εὐαρεστῆσαί με ἐνώπιον Κυρίου ἐν φωτὶ ζώντων. » — Εὐάρεστα τῷ Κυρίῳ πράξω ἕως ἂν τὸ φῶς τοῦτο βλέπω τὸ φαῖνον τοῖς ζῶσιν.

## ΨΑΛΜΟΣ ΝϚ'.

« Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, τῷ Δαυῒδ εἰς στηλογραφίαν, ἐν τῷ αὐτὸν ἀποδιδράσκειν ἀπὸ προσώπου Σαοὺλ εἰς τὸ σπήλαιον. Ἐλέησόν με, Θεὸς, ἐλέησόν με· ὅτι ἐπὶ σοὶ πέποιθεν ἡ ψυχή μου. » — Ἰδίᾳ καθ' ἑαυτὸ ἀναγνωστέον· κοιμωμένῳ γὰρ τῷ Σαοὺλ ἐπελθὼν ξιφήρης ἐν τῷ σπηλαίῳ τοῦτο τὸ πρόῤῥημα κατεπᾴδων ἑαυτοῦ συνεχέστερον κατέ- C στειλε τὸν θυμὸν καὶ οὐκ ἀνεῖλεν αὐτόν. Παραινεῖ δὲ καὶ ἡμᾶς μὴ διαφθείρειν τὴν ἀνεξικακίαν. Προφητεύει δὲ καὶ περὶ τῆς τῶν ἐθνῶν Ἐκκλησίας. Συνετέθη δὲ ὁ ψαλμὸς μετὰ τὸ ἐξελθεῖν τὸν Προφήτην τοῦ σπηλαίου.

« Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου ἐλπιῶ, ἕως οὗ παρέλθῃ ἡ ἀνομία. » — Σκιὰ πτερύγων τὴν σκέπην φησίν· ἀνομίαν δὲ τὴν ἐπιβουλὴν τὴν ἐξ ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, ἥτις τότε παρέλθοι, ὅταν ἔλθῃ ἡ πρὸς θάνατον ἀνάλυσις.

« Ἐξαπέστειλεν ἐξ οὐρανοῦ καὶ ἔσωσέ με. » — Ἐξ ὕψους ἀπέστειλε δύναμιν.

« Ἔδωκεν εἰς ὄνειδος τοὺς καταπατοῦντάς με. » — Ὄνειδος τὴν αἰσχύνην φησίν.

« Ἐξαπέστειλεν ὁ Θεὸς τὸ ἔλεος αὐτοῦ, καὶ τὴν ἀλήθειαν αὐτοῦ, καὶ ἐῤῥύσατο τὴν ψυχήν μου ἐκ D μέσου σκύμνων. » — Ἀλήθειαν πολλαχοῦ τὴν δικαιοσύνην φησὶν ἣν ἐξαπέστειλεν ὁ Θεὸς, ἵνα καταδικάσῃ τοὺς ἀδικοῦντας· τὸ δὲ ἔλεος, ἵνα ἐλεήσῃ τὸν ἀδικούμενον· διὰ δὲ τῶν σκύμνων ἡ ἀπήνεια δεδήλωται τῶν ἐχθρῶν.

« Ἐκοιμήθην τεταραγμένος. » — Ἐν τῷ σπηλαίῳ συγκεκλεισμένος, ἢ ἐν ταῖς νυκτεριναῖς ἐπιθέσεσι τῶν δαιμόνων στροβούμενος.

« Υἱοὶ ἀνθρώπων ὀδόντες αὐτῶν· ὅπλα καὶ βέλη. » — Διὰ τούτων τοὺς λόγους ἐδήλωσε τῶν ἐπιβουλῶν. Εἶεν δ' ἂν καὶ δαιμόνων ὀδόντες καὶ γλῶσσα οἱ πονηροὶ λογισμοί.

A « Ὑψώθητι ἐπὶ τοὺς οὐρανοὺς, ὁ Θεός· καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου. » — Ὑψηλὸς καὶ ἐπουράνιος γνώσθητι καὶ τοῖς μὴ εἰδόσι σε, καὶ δραμέτω ἐπὶ πᾶσαν τὴν γῆν ἡ μεγαλειότης σου.

« Παγίδα ἡτοίμασαν τοῖς ποσί μου· καὶ κατέκαμψαν τὴν ψυχήν μου. » — Θήρατρά μοι ἐπιβουλῶν κατεσκεύασαν καὶ ἐθανάτωσάν με.

« Ὤρυξαν πρὸ προσώπου μου βόθρον καὶ ἐνέπεσαν εἰς αὐτόν. » — Ηὐτρέπισάν μοι βόθρον ἀπωλείας διὰ λόγων· αὐτοὶ δὲ ἐκινδύνευσαν.

« Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ. » — Τὴν σὴν οὖν ἔχων ἀντίληψιν ἕτοιμός εἰμι πρὸς πάντα πειρασμὸν ἐπερχόμενον.

« Ἐν τῇ δόξῃ μου. » — Δόξαν λέγει τὴν σύνεσιν δι' B ἣν ἐδοξάζετο.

« Ἐξεγέρθητι, ἡ δόξα μου. » — Δόξαν οὖν αὖθίς φησι τὸ προφητικὸν χάρισμα.

« Ἐξεγέρθητι, ψαλτήριον καὶ κιθάρα. » — Τὸ μὲν ψαλτήριον ἀνάγεται εἰς ψυχὴν, ἡ κιθάρα δὲ εἰς τὸ σῶμα.

« Ἐξεγερθήσομαι ὄρθρου. » — Τὸ ὄρθρου, ἀντὶ τοῦ ταχέως.

## ΨΑΛΜΟΣ ΝΖ'.

« Εἰς τὸ τέλος, μὴ διαφθείρῃς· τῷ Δαυῒδ εἰς στηλογραφίαν. » — Τῆς αὐτῆς ἔχεται ὑποθέσεως τῷ πρὸ αὐτοῦ μετ' ἐκεῖνόν τε γέγραπται πρὸς τὸν Σαοὺλ, προηγουμένως καὶ τοὺς περὶ αὐτὸν ἀποτεινόμενος, ἑπομένως δὲ καὶ πρὸς πάντας τοὺς μιμουμένους τὴν C πονηρίαν αὐτῶν.

« Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθεῖα κρίνατε, οἱ υἱοὶ τῶν ἀνθρώπων. » — Εἰ ἀληθῶς δίκαια λέγετε, ὅτι ἐπίβουλον ὑμῖν ἐμὲ γενόμενον καταδιώκετε, ὀρθὰς ἀποφάσεις ἐξενέγκατε ἐν τίνι με πονηρὸν ἐγνώκατε.

« Καὶ γὰρ ἐν καρδίᾳ ἀνομίας ἐργάζεσθε. » — Λείπει τὸ, ἀλλ' οὐ δύνασθε ὀρθῶς κρῖναι· καὶ γὰρ ὄνομα μελετᾶται. Πρόσκειται δὲ τὸ ἐν τῇ γῇ, ὅτι ἐν τῷ ᾅδῃ οὐχ οὕτως ἔσται αὐτοῖς.

« Ἐν τῇ γῇ ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν. » — Συμπλέκουσιν εἶπε διὰ τὸ ποικίλον τῶν ἐπιχειρημάτων.

« Ἀπηλλοτριώθησαν οἱ ἁμαρτωλοὶ ἀπὸ μήτρας. » — Σχεδὸν ἔτι γεννώμενοι, ἀλλοτρίους ἑαυτοὺς τοῦ Θεοῦ πεποιήκασι, σύντροφον τὴν πονηρίαν κτησά- D μενοι.

« Ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς. » — Θυμὸς πάλιν αὐτοῖς ὡσεὶ ἀσπίδος ἐθελοκωφούσης.

« Ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων, καὶ φαρμακοῦ τε φαρμακουμένου παρὰ σοφοῦ. » — Ἐπᾴδοντα καὶ φαρμακὸν ἤτοι γόητα, καὶ σοφὸν, ἤγουν τεχνίτην, τὸν θηρεπῳδὸν ὀνομάζεται, ὃς ἐπῳδαῖς τισι καταθέλγων τὰ ἑρπετὰ, ἐξημεροῖ καὶ πρὸς χρῆσιν ἰατρείας λαμβάνει. Τούτῳ τὴν ἔφοδον ὅτε γνῷ ἡ ἀσπὶς ἀποφράττει διὰ πανουργίας, ἵνα μὴ θελχθεῖσα ἁλῷ.

« Ἐξουδενωθήσονται ὡσεὶ ὕδωρ διαπορευόμενον. »

OCR ABK / FR

— Εὐκαταφρόνητοι γενήσονται ὡς τὸ χεόμενον ὡς ἔτυχεν ὕδωρ καὶ σκεδαννύμενον.

« Ἐντείνων ἐντενεῖ τὸ τόξον αὐτοῦ, ἕως οὗ ἀσθενήσειεν. » — Οὐ παύσεται βάλλων ταῖς τιμωρίαις αὐτοὺς, ἕως οὗ καταλύσει τούτων τὴν δύναμιν.

« Ἔπεσε πῦρ ἐπ' αὐτοὺς, καὶ οὐκ εἶδον τὸν ἥλιον. » — Ἔλθοι ὁ ἄπλατος θυμὸς ἐπ' αὐτοὺς, καὶ τῆς ζωῆς στερηθήσονται.

« Πρὸ τοῦ συνιέναι τὰς ἀκάνθας ὑμῶν τὴν ῥάμνον. » — Ῥάμνος ἐστὶ φυτὸν ἀκανθῶδες μέγα τε καὶ σκληρόν. Ἀποστρεφόμενος οὖν πρὸς τοὺς ἐχθρούς φησι, Πρὸ τοῦ τὰς ὑμῶν ἀκάνθας ἤτοι τὰς ἁμαρτίας ἐπιγνῶναι τὴν ῥάμνον πρακτικῶς διὰ τὸ αὐξηθῆναι καὶ μεγεθυνθῆναι αὐτὰς, τοῦτο πεσεῖται τὸ πῦρ.

« Ὡσεὶ ζῶντας, ὡσεὶ ὀργῇ καταπίεται ὑμᾶς. » — Τὸ ῥηθὲν δηλαδὴ πῦρ. Τὸ μὲν οὖν ὡσεὶ ζῶντας, ἀντὶ τοῦ ἔτι ζῶντας· τὸ δὲ ὡσεὶ ἐν ὀργῇ, ἀντὶ τοῦ ἀποτόμως. Τὸ δὲ καταπίεται τὸ εὐχερὲς δηλοῖ τοῦ ἀφανισμοῦ.

« Εὐφρανθήσεται δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν ἀσεβῶν. » — Οὐκ ἐπὶ τῇ πτώσει τοῦ πονηροῦ, ἀλλ' ἐπὶ τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ.

« Τὰς χεῖρας αὐτοῦ νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ. » — Οὐ τῷ αἵματι ταύτας μολύνων, ἀλλ' ἐν τῷ ὀλέθρῳ τοῦ ἁμαρτωλοῦ αὐτὸς νίψεται. Τουτέστιν ἀθῷος τοῦ τοιούτου ὀλέθρου δειχθήσεται.

« Καὶ ἐρεῖ ἄνθρωπος· Ἄρα ἐστὶ καρπὸς τῷ δικαίῳ· ἄρα ἐστὶν ὁ Θεὸς κρίνων αὐτοὺς ἐν τῇ γῇ; » — Καὶ ὁ συνετὸς ἄνθρωπος ἐρεῖ· « Περίκαρπός ἐστι τῷ δικαίῳ ἡ ἐκδίκησις· ὄντως ὁ Θεὸς δικάζει τὸν δίκαιον καὶ τὸν ἄδικον ἐν τῷ κόσμῳ.

## ΨΑΛΜΟΣ ΝΗ΄.

« Εἰς τὸ τέλος μὴ διαφθείρῃς· τῷ Δαυῒδ εἰς στηλογραφίαν, ὁπότε ἀπέστειλε Σαοὺλ, καὶ ἐφύλαξε τὸν οἶκον αὐτοῦ, τοῦ θανατῶσαι αὐτόν. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός. » — Παρεγγυᾷ ὁ ψαλμὸς εἰς τὸ τέλος τῶν πειρασμῶν ὁρᾷν καὶ μὴ διαφθείρειν τὴν ὑπομονήν· πεποίηται δὲ εἰς ἀνέκλειπτον μνήμην τῶν γεγενημένων ὅλος τέ ἐστι κατὰ τῶν θεοκτόνων.

« Καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ' ἐμὲ λύτρωσαί με. » — Ἐπανισταμένους τοὺς ἐπιτιθεμένους καὶ ἐφορμῶντάς φησιν.

« Ὅτι ἰδοὺ ἐθήρευσαν τὴν ψυχήν μου, ἐπέθεντο ἐπ' ἐμὲ κραταιοί. » — Ὅσον τὸ ἐπ' αὐτοῖς.

« Οὔτε ἡ ἀνομία μου, οὔτε ἡ ἁμαρτία μου, Κύριε. » — Λείπει τὸ αἰτία· οὔτε γὰρ ἠνόμησα, οὔτε ἡμάρτηκα εἰς αὐτούς· ἀλλὰ χωρὶς πταίσματος ἐπολιτευσάμην, καὶ διὰ τοῦτο μεγάλα κατώρθωσα. Ταῦτα δ' ἂν ἁρμόζει μᾶλλον τῷ ἀναμαρτήτῳ Χριστῷ, ἀδίκως ἐπιβουλευομένῳ παρὰ τῶν Ἰουδαίων.

« Ἐξεγέρθητι εἰς συνάντησίν μου καὶ ἴδε. » — Κινήθητι πρὸς τὸ συναντῆσαί μοι φεύγοντι, καὶ ἐπιῤῥῶσαί με, καὶ ἴδε οἷα πάσχω.

« Καὶ σὺ, Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς τοῦ Ἰσραήλ. » — Ὁ τῶν ἀγγέλων Θεὸς ἢ ὁ δυνατὸς, ἢ δυνάμεως χορηγός.

« Πρόσσχες τοῦ ἐπισκέψασθαι πάντα τὰ ἔθνη. »

A — Ἐπισκέψασθαι δυσωπεῖ διὰ τῆς ἐνανθρωπήσεως.

« Μὴ οἰκτειρήσῃς πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν. » — Τοὺς ἀνεπιστρόφως ἔχοντας, εἴτε τοὺς περὶ τὸν Σαοὺλ εἴτε τοὺς θεοκτόνους, εἴτε τοὺς δαίμονας.

« Ἐπιστρέψουσιν εἰς ἑσπέραν. » — Ἀπὸ τῆς διασπορᾶς ἐπιστρέψουσιν ὀψὲ καὶ μόλις εἰς Ἱερουσαλὴμ, καὶ οὔτε τροφῶν εὐπορήσουσιν, ἀλλὰ καὶ ὡς ἄγος πελασθήσονται καὶ κύκλῳ τῆς πόλεως ἔξω που αὐλισθήσονται.

« Καὶ λιμώξουσιν ὡς κύων, καὶ κυκλώσουσι τὴν πόλιν. » — Εἰς παράδειγμα τὸν κύνα παρέλαβε διὰ τὸ λιμώττειν ἄγαν τοῦτο τὸ ζῶον καὶ διὰ τὴν ἀναίδειαν.

B « Ἰδοὺ αὐτοὶ ἀποφθέγξονται ἐν τῷ στόματι αὐτῶν. » — Τὸ αἴτιον ὅτι αὐτοὶ ἐξενέγκωσιν ἀπόφασιν διὰ τοῦ οἰκείου στόματος κατὰ τοῦ Χριστοῦ λέγοντες, Σταυρωθήτω.

« Καὶ ῥομφαία ἐν τοῖς χείλεσιν αὐτῶν. » — Ῥομφαίαν καλεῖ τὴν θανατηφόρον ἀπόφασιν ἣν ἐξήνεγκον, ὡς μηδενὸς ἀκούοντος ἢ ἐφορῶντος.

« Ὅτι τίς ἤκουσεν; » — Ὅτι οὐδεὶς ἤκουσεν ἐνόμισαν.

« Καὶ σὺ, Κύριε, ἐκγελάσῃ αὐτοὺς, ἐξουδενώσεις πάντα τὰ ἔθνη. » — Ἔθνη φησὶν ἐνταῦθα τὰ τοῖς θείοις νόμοις ἀντιναττόμενα καὶ τὰ τῶν δαιμόνων συστήματα.

« Τὸ κράτος μου πρὸς σὲ φυλάξω· ὅτι σὺ, ὁ Θεὸς, ἀντιλήπτωρ μου εἶ. » — Τὴν βασιλείαν παρὰ σοὶ ἐάσω ὥστε λήψεσθαι ταύτην ἐκ σοῦ.

C « Ὁ Θεός μου, τὸ ἔλεος αὐτοῦ προφθάσει με. » — Προλάβῃ τὴν ἐμὴν αἴτησιν· οὕτω ταχύς ἐστιν εἰς βοήθειαν.

« Ὁ Θεός μου δείξει μοι ἐν τοῖς ἐχθροῖς μου. » — Λείπει τὸ ὅσα βούλομαι.

« Μὴ ἀποκτείνῃς αὐτούς· μή ποτε ἐπιλάθωνται τοῦ νόμου σου. » — Ὁ θάνατος γὰρ ἀφαιρεῖ τὴν μνήμην.

« Διασκόρπισον αὐτοὺς ἐν τῇ δυνάμει σου καὶ κατάγαγε αὐτοὺς ὁ ὑπερασπιστής μου, Κύριε. » — Τὸ κατάγαγε δηλοῖ τὸ ταπείνωσον.

« Ἁμαρτίαν στόματος αὐτῶν, λόγον χειλέων αὐτῶν. » Ἡ ἁμαρτία τῆς χριστοκτονίας διὰ τοῦ στόματος αὐτῶν ἐτελέσθη, κἂν οὐκ αὐτόχειρες ἐγένοντο ἐπὶ τῷ θανάτῳ τοῦ Κυρίου· ὁ λόγος ὃν εἶπον,

D Ἆρον, ἆρον, σταύρωσον αὐτὸν, αὐτὸς ἦν ἡ ἁμαρτία τῆς χριστοκτονίας, αὐτὸς ἀνεῖλε τὸν Κύριον.

« Καὶ συλληφθήτωσαν ἐν τῇ ὑπερηφανίᾳ αὐτῶν. » — Ἐπείπερ ἀλαζονευόμενοι κατὰ Χριστοῦ ἔλεγον, « Οὐκ ἔχομεν βασιλέα ἕτερον εἰ μὴ μόνον τὸν Καίσαρα » παραδοθήτωσαν τῇ τοῦ Καίσαρος βασιλείᾳ.

« Καὶ ἐξ ἀρᾶς καὶ ψεύδους διαγγελήσονται συντέλειαι. » — Καὶ ἐκ τῆς ὕβρεως καὶ τῆς συκοφαντίας ἤτοι διὰ τὴν κατὰ Χριστὸν ὕβριν καὶ συκοφαντίαν διάγγελμα καὶ περιλάλημα γενήσονται ἐπὶ τῇ συντελείᾳ, τουτέστι καταστροφῇ.

« Ἐν ὀργῇ συντελείας καὶ οὐ μὴ ὑπάρξωσιν. » —

OCR ABK / FR

Οὐκ ἐπὶ ἁπλῶς συντελείᾳ, ἀλλ' ἐπὶ θυμῷ συντελείας, καὶ λοιπὸν οὐκ ἔτι πάλιν εἰς πολιτείαν συστήσονται· συντέλειαν γὰρ οὐ τὴν πανωλεθρίαν ἔφησεν, ἀλλὰ τὴν τῆς πολιτείας καταστροφήν, ἣν οὐχ ἁπλῶς παθεῖν τοὺς χριστοκτόνους, ἀλλὰ σὺν ἐπαγωγῇ τιμωριῶν προαγγέλλει πολλῶν καὶ σφοδρῶν.

« Καὶ γνώσονται ὅτι Θεὸς δεσπόζει τοῦ Ἰακώβ, καὶ τῶν περάτων τῆς γῆς. » — Θεὸν ἐνταῦθα τὸν Χριστόν φησιν.

« Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι καὶ γογγύσωσιν. » — Διασκορπισθήσονται προσαιτοῦντες, ἕνεκα τοῦ φαγεῖν· ἐπεὶ δὲ οὐ χορτασθήσονται, οὐ μετανοήσουσι πρὸς Κύριον, ἀλλὰ γογγύσουσιν ὡς οἱ πρόγονοι τούτων. Περιττὸς δὲ κἀνταῦθα ὁ καὶ σύνδεσμος.

## ΨΑΛΜΟΣ ΝΘ'.

« Εἰς τὸ τέλος, τοῖς ἀλλοιωθησομένοις, ἔτι εἰς στηλογραφίαν τῷ Δαυῒδ εἰς διδαχήν, ὁπότε ἐνεπύρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σωβάλ, καὶ ἐπέστρεψεν Ἰωάβ, καὶ ἐπάταξε τὸν Ἐδὼμ ἐν τῇ φάραγγι τῶν Ἁλῶ δώδεκα χιλιάδας. — Ἔστι δὲ εἰς στηλογραφίαν τῷ Δαυῒδ εἰς διδαχήν, ὁπότε ἐνεπόρισε τὴν Μεσοποταμίαν Συρίας, καὶ τὴν Συρίαν Σωβάλ, καὶ ἐπέστρεψεν ἐν Ἰωὰβ καὶ ἐπάταξεν ἐν τῇ φάραγγι τῶν Ἁλῶν δώδεκα χιλιάδας. Τόπος ἐστὶν ἡ φάραγξ τῶν Ἁλῶν, δι' ἧς τοὺς κατοικοῦντας ἐδήλωσεν. Ἀλλοιωθησομένους δὲ λέγει τοὺς ἀπὸ τῆς τῶν αἰχμαλωτευσάντων δουλείας εἰς ἐλευθερίαν ἐλθόντας Ἰουδαίους, μᾶλλον δὲ τοὺς ἐκ τῆς δαιμονικῆς τυραννίδος ἐλευθερωθέντας διὰ τοῦ βαπτίσματος, διδαχὴν δὲ λέγει εὐεργεσίας ἢ ὑπομονῆς.

« Ὁ Θεός, ἀπώσω ἡμᾶς καὶ καθεῖλες ἡμᾶς, ὠργίσθης, καὶ οἰκτείρησας ἡμᾶς. » — Σεισμὸν καὶ ταραχὴν ἱστορικῶς μὲν τῆς γῆς τῶν Ἰουδαίων φησίν, ἤγουν τὴν κατασροφὴν τῶν ἐν αὐτῇ πόλει, καὶ τὴν λεηλασίαν καὶ τὴν σύγχυσιν τῶν ἀνθρώπων, ἀναγωγικῶς δὲ τὴν τῆς οἰκουμένης μετάθεσιν ἐξ εἰδωλολατρείας εἰς θεογνωσίαν καὶ ἀπὸ τοῦ νόμου πρὸς τὸ Εὐαγγέλιον τόν τε θόρυβον ὃν ἔπασχον οἱ ἄνθρωποι ἐκ τῆς φήμης τῶν θαυματουργημάτων καὶ τῶν διδαγμάτων τοῦ Χριστοῦ καθ' ὃν οὗτος καιρὸν ἐπολιτεύετο ἐπὶ γῆς.

« Ἴασαι τὰ συντρίμματα αὐτῆς ὅτι ἐσαλεύθη. » — Ἱστορικῶς μὲν συντρίμματά φησι τὴν πτῶσιν τῆς Ἱερουσαλὴμ καὶ τῶν περὶ αὐτὴν πόλεων ἀναγωγικῶς δὲ τὰς ψυχικὰς ἀντιστάσεις τῶν ἀνθρώπων Κυρίῳ, καὶ σάλον τὴν παρατροπὴν τοῦ δέοντος.

« Ἔδειξας τῷ λαῷ σου σκληρά. » — Τοῖς μὲν Ἰουδαίοις τὰ τῆς αἰχμαλωσίας ἐπίπονα, τοῖς δὲ πιστεύσασι τὴν τῆς ἀρετῆς στενὴν καὶ τεθλιμμένην ὁδόν.

« Ἐπότισας ἡμᾶς οἶνον κατανύξεως. » — Οἶνος κατανύξεως αἱ θλίψεις αἱ φέρουσαι τῶν προεπταισμένων μεταμέλον, καὶ τὸ εὐαγγελικὸν κήρυγμα εὐφραῖνον ὁμοῦ καὶ πρὸς μετάνοιαν ἄγον.

« Ἔδωκας τοῖς φοβουμένοις σε σημείωσιν τοῦ φυγεῖν ἀπὸ προσώπου τόξου. » — Οἱονεὶ ἐνεστιγμασμένοι ἦσαν οἱ φοβούμενοί σε καὶ οὐκ ἀνῃρέθησαν· διὰ τοῦ τόξου δὲ πᾶν πολεμικὸν τόξον δεδήλωκε. Σημείωσις δὲ αὐτοῖς ἂν σφραγὶς τοῦ ἁγίου βαπτίσματος καὶ ὁ τύπος τοῦ ζωηφόρου σταυροῦ, δι' ὧν φεύγομεν ἐκ τοῦ τῶν δαιμόνων ποικίλου τόξου.

« Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου. » — Τὴν αἰτίαν λέγει πάλιν τῆς σημειώσεως.

« Σῶσον τῇ δεξιᾷ σου, καὶ ἐπάκουσόν μου. » — Δεξιὰν λέγει νῦν τὴν δύναμιν.

« Ὁ Θεὸς ἐλάλησεν ἐν τῷ ἁγίῳ αὐτοῦ. » — Τοῦτο προσώπῳ οἰκείῳ φησὶν ὁ Δαυΐδ, λέγων, « Ὁ Θεὸς ἐλάλησε διὰ τοῦ ἁγίου αὐτοῦ Πνεύματος, » δηλαδή, Ἀγαλλιάσομαι τῇ εὐαρεστίᾳ τοῦ ἐμοῦ λαοῦ, καὶ κληροδοτήσω αὐτοῖς τὴν πόλιν τῆς φυλῆς Ἐφραΐμ, τὴν καλουμένην Σίκιμα καὶ τὸ πρὸ τῶν Σικίμων κείμενον χωρίον, ὃ Σκηνῶν καλεῖται κοιλάς. Διὰ τούτων δὲ σύμπασαν τὴν Ἰουδαίαν ἐδήλωσεν.

« Ἐμός ἐστι Γαλαὰδ καὶ ἐμός ἐστι Μανασσῆς. » — Διὰ τῶν ὀνομάτων τούτων πάσας δεδήλωκε τὰς φυλάς, ἃς οἰκειοῦται ὁ Θεὸς πάλιν, κἂν δι' ἁμαρτίαν ἀπώσατο. Καὶ ὁ Χριστὸς λέγοι ἂν ταῦτα, οἰκειούμενος τοὺς αὐτοῦ κατὰ σάρκα προπάτορας, καὶ μᾶλλον διὰ τοὺς πιστεύσαντας ἐξ αὐτῶν.

« Καὶ Ἐφραῒμ κραταίωσις τῆς κεφαλῆς μου. » — Κεφαλὴν τὴν ἀρχὴν ὀνομάζει καὶ βασιλείαν, ἣν οἰκοῦνται διὰ τὸν λαόν.

« Μωὰβ λέβης τῆς ἐλπίδος μου. » — Μωὰβ ἤτοι τὸ Μωαβιτῶν ἔθνος, λέβης ἔσται, ἤγουν ὑπηρέτης· ὑπηρετικὸν γὰρ σκεῦος ὁ λέβης· ὑπηρέτης δὲ τῆς ἐλπίδος μου, τουτέστι τῶν ἐλπιζόντων εἰς ἐμέ.

« Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ τὸ ὑπόδημά μου. » — Ὑπόδημα τὴν πορείαν λέγει. Φησὶ δὲ ὅτι καὶ τοὺς Ἰδουμαίους ὑποτάξω τῷ λαῷ μου, συνεκστρατεύσας αὐτῷ. Λέγεται δὲ καὶ τῆς τοῦ Χριστοῦ θεότητος ὑπόδημα ἡ θεοφόρος αὐτοῦ σάρξ, δι' ἧς ἐπιδημῆσαι καὶ τοῖς ἀλλοφύλοις εὐδόκησε, τουτέστιν ἀγαγεῖν αὐτοὺς πρὸς ἐπίγνωσιν ἑαυτοῦ.

« Ἐμοὶ ἀλλόφυλοι ὑπετάγησαν. » — Τὸ ὑπετάγησαν ἀντὶ τοῦ ὑποταγήσονται.

« Τίς ἀπάξει με εἰς πόλιν περιοχῆς; » — Προσώπῳ μὲν τῶν αἰχμαλώτων τὴν Ἱερουσαλὴμ ὁ Προφήτης ἀνακαλεῖται, πόλιν περιοχῆς ὀνομάζων ταύτην, διὰ τὸ εὐτείχιστον. Οἰκείῳ δὲ προσώπῳ τὴν Ἐκκλησίαν ἰδεῖν ἐπιθυμεῖ τῶν πιστῶν, τὴν τετειχισμένην ταῖς ἀρεταῖς καὶ τοῖς πνευματικοῖς χαρίσμασι καὶ ταῖς θείαις δυνάμεσιν.

« Ἢ τίς ὁδηγήσει με ἕως τῆς Ἰδουμαίας; » — Ὁμοίως καὶ τὴν ἄπιστον Ἰουδαίαν καταδουλώσασθαι μὲν ἐφίενται οἱ αἰχμάλωτοι· ὁ δὲ Προφήτης πιστεύσασαν καὶ ταύτην ἰδεῖν ἐκζητεῖ.

« Οὐχὶ σύ, ὁ Θεός, ὁ ἀπωσάμενος ἡμᾶς; » — Ἤτοι τὸν Ἰουδαϊκὸν λαὸν ἁμαρτήσαντα.

« Καὶ οὐκ ἐξελεύσῃ, ὁ Θεός, ἐν ταῖς δυνάμεσιν ἡμῶν; » — Ἁρμόζει ταῦτα καὶ τῇ τῶν πιστῶν Ἐκκλησίᾳ.

« Δὸς ἡμῖν βοήθειαν ἐν θλίψεσι, καὶ ματαία σωτηρία ἀνθρώπου. » — Ἡ παρὰ ἀνθρώπου σωτηρία ψευδής.

« Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν. » — Διὰ τοῦ


OCR ABK/FR

A Θεοῦ δυνατὰ ἔργα, τουτέστιν μεγάλα κατορθώματα, ἐργασόμεθα.

## ΨΑΛΜΟΣ Ξ΄.

« Εἰς τὸ τέλος, ἐν ὕμνοις τῷ Δαυΐδ. Εἰσάκουσον, ὁ Θεὸς, τῆς δεήσεώς μου, πρόσσχες τῇ προσευχῇ μου. » — Τὸν σκοπὸν ὁ παρὼν ψαλμὸς ἔχει τοῦ πρὸ αὐτοῦ. Ἐν ὕμνοις δὲ, ὅτι ὑμνεῖ τὸν εὐεργέτην, τὰς εὐεργεσίας αὐτοῦ διηγούμενος.

« Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα. » — Ἀντὶ τοῦ, ἐκ τῆς Βαβυλῶνος· πέρατα γὰρ τῆς γῆς καὶ ἡ Βαβυλὼν λέγοιτ' ἄν, ὡς ἐσχατιὰ τῆς ἡμετέρας οἰκουμένης· ἢ ἀντὶ τοῦ μακρόθεν. Μακρὰν δέ ἐστι τοῦ Θεοῦ ὁ μὴ πολιτευόμενος ὀρθῶς καὶ θεοφιλῶς.

B « Ἐν τῷ ἀκηδιάσαι τὴν καρδίαν μου, ἐν πέτρᾳ ὕψωσάς με. » — Ὅτε ἀπέκαμον ταῖς θλίψεσιν, ἐπὶ τὸ ὕψος καὶ τὴν ἀσφάλεια τῆς εἰς σὲ ἐλπίδος ἀνήγαγές με, μὴ ἐάσας συγχωσθῆναι ταῖς συμφοραῖς.

« Ὡδήγησάς με, ὅτι ἐγενήθης ἐλπίς μου. » — Ὡδήγησάς με ἐπὶ τὰ καλὰ καὶ σωτήρια, ἐπειδὴ ἔσχον ἐλπίδα σωτηρίας.

« Πύργος ἰσχύος ἀπὸ προσώπου ἐχθροῦ. » — Ἀπὸ κοινοῦ τὸ, Ἐγεννήθης πύργος ἰσχυρὸς ἐνώπιον ἐχθροῦ ὥστε κωλύειν αὐτόν.

« Παροικήσω ἐν τῷ σκηνώματί σου εἰς τὸν αἰῶνα. » — Σκήνωμα Θεοῦ ὁ θεῖος ναὸς καὶ ὁ οὐράνιος χῶρος. Τὸ δὲ εἰς τοὺς αἰῶνας τὸ διηνεκῶς δηλοῖ.

C « Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου. » — Δεῦτε γὰρ, φησὶ, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν. Ἱστορικῶς δὲ τὴν γῆν τῆς ἐπαγγελίας εἴποι τις ἄν.

« Ἡμέρας ἐφ' ἡμέρας τοῦ βασιλέως προσθήσεις. » — Πολλὰς ἡμέρας προσθήσεις ἐπὶ τὰς ἡμέρας, φησὶ, τοῦ βασιλέως διὰ τὴν θεοφίλειαν αὐτοῦ. Λέγει δὲ τὸν Ζοροβάβελ ὁ Ἰουδαῖος. Ἀλλὰ τὸ ἑξῆς οὐδενὶ ἄλλῳ ἁρμόζει πλὴν τοῦ μεγάλου Βασιλέως Χριστοῦ. Οὐ ἐπὶ τὰς ἀριθμητὰς ἡμέρας τῆς ἐν κόσμῳ ζωῆς αὐτοῦ· ἡμέρας ἀναριθμήτους σὺν αὐτῶν οἰκῶν Θεὸς Λόγος προσέθετο κατὰ τὴν ὑπερκόσμιον τούτου ζωήν· διὸ καὶ τὰς προστεθείσας ἡμέρας σαφηνίζων ὁ Προφήτης, ἐπήγαγε τὰ ἑξῆς, καὶ μήτις τῷ τῆς προσθήκης παραταττέσθω ὀνόματι· δύναται γὰρ
D τῷ πεπερασμένῳ προστεθῆναι ποσῷ· τὸ κατὰ τέλος ἄπειρον, εἴτουν τὸ ἀτελεύτητον· οὐ μὴν τὸ ἀνάπαλιν.

« Τὰ ἔτη αὐτοῦ ἕως ἡμετέρας γενεᾶς. » — Τοῦτο σαφηνιστικὸν τῆς προσθήκης· τὰ ἔτη αὐτοῦ γὰρ, φησὶν, ἕως τῆς τελευταίας ἡμέρας τῶν δύο γενεῶν, τοῦ τε παλαιοῦ καὶ τοῦ νέου λαοῦ, τουτέστιν ἕως τῆς συντελείας· τοῦ γὰρ ἦν τὸ δεόμενον πιστώσεως· μετὰ γὰρ τὴν συντέλειαν δῆλον ἅπασιν ὅ τι ζήσεται διαπαντός· οὐκ ἔτι γὰρ κυριεύει ὁ θάνατος ἐν οὐδενί.

« Διαγένει εἰς τὸν αἰῶνα ἐνώπιον τοῦ Θεοῦ. » — Σαφτυτατα χίαν ὁ Δαυΐδ τὴν τοῦ Χριστοῦ διδάσκει ζωήν, διαμενεῖν αὐτὸν λέγων διηνεκῶς ἐνώπιον τοῦ Θεοῦ καὶ Πατρός.

« Ἔλεος καὶ ἀλήθειαν αὐτοῦ τίς ἐκζητήσει ; » — Οὐδεὶς ἐκζητήσει ὥστε μαθεῖν· ἀκατανόητα γάρ.

« Οὕτως ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας. » — Ὥσπερ νῦν, οὕτω, φησὶν, ὑμνήσω σε διαπαντός.

« Τοῦ ἀποδοῦναί με τὰς εὐχάς μου ἡμέραν ἐξ ἡμέρας. » — Ὥστε ἀποδοῦναί μέ σοι τὰς τῆς ὑμνήσεως ὑποσχέσεις μου καθ' ἡμέραν ἐξ ἡμέρας, ἤγουν ἐν διαδοχῇ ἡμερῶν· ὑπέσχηται γὰρ πολλάκις ἐν τοῖς προλαβοῦσι ψαλμοῖς ἀεὶ ὑμνεῖν τὸν Θεόν.

## ΨΑΛΜΟΣ ΞΑ΄.

« Εἰς τὸ τέλος, ὑπὲρ Ἰδιθοὺμ ψαλμὸς τῷ Δαυΐδ. »
B — Προαγορεύει ὁ ψαλμὸς τὴν τῶν Μακκαβαίων ὑπὲρ εὐσεβείας ἔνστασιν· προτρεπόμενος καὶ ἡμῖν ὑπομονὴν καὶ ἐλπίδα τὴν εἰς Θεόν. Ἁρμόζει δὲ πᾶσι τοῖς ὑπὲρ εὐσεβείας ἀγωνισαμένοις.

« Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου ; παρ' αὐτοῦ γὰρ τὸ σωτήριόν μου. » — Οὐ τοῖς θείοις ἐμμενῶ διατάγμασιν.

« Ἀντιλήπτωρ μου, οὐ μὴ σαλευθῶ ἐπὶ πλεῖον. » — Σάλον τὴν δειλίαν καλεῖ.

« Ἕως πότε ἐπιτίθεσθε ἐπ' ἄνθρωπον ; φονεύετε πάντες ὑμεῖς ; » — Ὑπερβατικῶς, Ἕως πότε ἐπεμβαίνετε πάντες ὑμεῖς ἐπ' ἄνθρωπον ἀσθενῆ, ὡς ὑπερβαίνει τις τοίχῳ κεκλιμένῳ εἰς πτῶσιν, καὶ φραγμῷ ἐκτετιναγμένῳ ἵνα τέλεον καταστραφῶσιν αὐτά, ἕως πότε φονεύετε ;

C « Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι. » — Ἐβουλεύσαντο οἱ ἐχθροὶ ἀπώσασθαι ἀπ' ἐμοῦ τὴν εὐσέβειαν· ὄντως γὰρ τιμὴ τὸ δουλεύειν Θεῷ.

« Ἔδραμον ἐν δίψει. » — Ἔσπευσαν ἐν ἐπιθυμίᾳ πολλῇ πρὸς τοῦτο.

« Τῷ στόματι αὐτῶν ηὐλόγουν, καὶ τῇ καρδίᾳ αὐτῶν κατηρῶντο. » — Χείλεσι μὲν ἐκολάκευον, ψυχῇ δὲ ὕβριζον.

« Ὅτι παρ' αὐτοῦ ἡ ὑπομονή μου. » — Αὐτά μοι δίδωσι τὴν ἐν θλίψεσι καρτερίαν.

« Ὅτι αὐτὸς Θεός μου, καὶ σωτήρ μου· ἀντιλήπτωρ μου, οὐ μὴ μεταναστεύσω. » — Οὐ μεταβήσομαι ἀπὸ τῆς εἰς Θεὸν δουλείας.

« Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου καὶ ἡ δόξα μου. » — Ἐπὶ τῷ Θεῷ, οὐκ ἐπ' ἀνθρώπῳ, καὶ τὸ σώζεσθαί με καὶ τὸ δοξάζεσθαι.

D « Ὁ Θεὸς τῆς βοηθείας μου, καὶ ἡ ἐλπίς μου ἐπὶ τῷ Θεῷ. » — Ὁ Θεὸς ὁ βοηθός μου.

« Ἐλπίσατε ἐπ' αὐτὸν, πᾶσα συναγωγὴ λαῶν, ἐκχέατε ἐνώπιον αὐτοῦ τὰς καρδίας ὑμῶν· ὅτι ὁ Θεὸς βοηθὸς ἡμῶν εἰς τὸν αἰῶνα. » — Ἐκκενώσατε ἐνώπιον αὐτοῦ πάντας τοὺς λογισμοὺς ὑμῶν· ἀφιερώσατε τούτους αὐτῷ καὶ διχόνοιαν μὴ ἔχετε εἰς αὐτόν.

« Πλὴν μάταιοι υἱοὶ τῶν ἀνθρώπων. » — Ὄντως ἀνόητοί εἰσιν οἱ τοῖς ἀνθρωπίνοις προστετηκότες καὶ μὴ εἰς Θεὸν ἀεὶ βλέποντες.

« Ψευδεῖς υἱοὶ τῶν ἀνθρώπων ἐν ζυγοῖς τοῦ ἀδικῆσαι. » — Τὰς κρίσεις καλεῖ καὶ φησιν « Ψευδεῖς

OCR ABK / FR

κρίνουσιν ἀνθαιρούμενοι τῶν ἑστώτων τὰ ἄστατα, ὥστε ἀδικῆσαι καὶ ἑαυτοὺς ψυχικῶς καὶ ἑτέρους πραγματικῶς.

« Αὐτοὶ ἐκ ματαιότητος ἐπὶ τὸ αὐτό. » — Ἐπὶ τὸ αὐτό εἰσιν, ἤγουν ὁμονοοῦσι διὰ ματαιότητα.

« Πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν. » — Ἐὰν φέρηται κατὰ ῥοῦν ὁ πλοῦτος ὑμῖν, μὴ προσηλοῦτε αὐτῷ τὴν καρδίαν.

« Ἅπαξ ἐλάλησεν ὁ Θεός· δύο ταῦτα ἤκουσα. » — Τὸ ἅπαξ ἀντὶ τοῦ βεβαίως καὶ χωρὶς δισσολογίας τινός.

« Ὅτι τὸ κράτος τοῦ Θεοῦ, καὶ σοῦ, Κύριος τὸ ἔλεος. » — Ὅτι ὁ Θεὸς μόνος κραταιὸς, καὶ ὅτι ὁ Θεὸς μόνος ἐλεήμων, καὶ ὡς μὲν κραταιὸς ἀπώσεται τοὺς ἐχθροὺς ἡμῶν· ὡς ἐλεήμων δὲ ἐλεήσει ἡμᾶς καὶ προσλάβηται.

## ΨΑΛΜΟΣ ΞΒ.

« Ψαλμὸς τῷ Δαυῒδ, ἐν τῷ εἶναι αὐτὸν ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας. Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω. — Οὕτως ἐν ταύτῃ τῇ ἐρήμῳ, καὶ μετὰ τῆς τοσαύτης διαθέσεως ἐνεφανίσθην σοι, ἐν τῇ σκηνῇ λατρεύων σοι.

« Ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ, οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου. » — Ὁ ὀρθρίζων δέ σοι παρίσταμαι, ὥστε ἰδεῖν τὴν κατὰ τῶν ἐχθρῶν μου δύναμίν σου καὶ τὴν δόξαν σου· ἢ δοξασθήσῃ ὡς τῶν ἐλπιζόντων ἐπὶ σὲ βοηθός.

« Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς. » — Ζωὰς λέγει τὰς τρυφηλὰς καὶ ἀπολαυστικὰς βιοτάς.

« Οὕτως εὐλογήσω σε ἐν ζωῇ μου. » — Οὕτως καὶ νῦν, τουτέστιν ἐξ ὅλης ψυχῆς.

« Ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου. » — Εἰς σὲ μόνον ἀναπετάσω τὰς χεῖράς μου.

« Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου. » — Ὥσπερ ἐκ στέατος καὶ λίπους ἡδύνεταί τις, οὕτως κἀγὼ ἐκ τοῦ ὑμνεῖν σε.

« Καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου. » — Καὶ στόματι ἀγαλλιωμένῳ αἰνέσω σε

« Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ· ὅτι ἐγενήθης βοηθός μου. » — Ἀντιχρονικῶς, ἐπεὶ μέμνημαί σου καὶ ὑπνῶν, διὰ τοῦτο εὐθὺς ἅμα τῷ ἀφυπνισθῆναι λογίζομαι περὶ σοῦ.

« Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου. » — Ἐδεήθην ὄπισθέν σου τῷ τῆς σῆς ἀγάπης δεσμῷ· διὸ καὶ ἀντελάβου μου.

« Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας. » — Χεῖρας ῥομφαίας ἐπὶ τῶν ἀοράτων ἐχθρῶν τὸ ἄφυκτον τοῦ ξίφους, ἢ τὴν πολεμικὴν δεξιὰν νοητέον· ἐπὶ δὲ τῶν ἀοράτων τὴν τιμωρίαν· κατώτατον δὲ τῆς γῆς τὸν τάρταρον.

« Μερίδες ἀλωπέκων ἔσονται. » — Ἢ ὅτι τοῖς θηρίοις βορὰ προκείσονται, ἢ ὅτι καὶ ὑπὸ εὐτελῶν καὶ ἐλαχίστων ἀναιρεθήσονται· τῶν δαιμόνων δὲ ἀναίρεσις ἡ ἧττα καὶ παντελὼς ἀπεσόβησις.

« Ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεσφράγη τὸ στόμα λαλούντων ἄδικα. » — Ἔθος ἦν ὅρκον ποιεῖσθαι τὴν σωτηρίαν τοῦ βασιλέως. Δοξάζεται δὲ μᾶλλον ὁ ὀμνύων ἐν τῷ Θεῷ, τουτέστιν ὁ βεβαιῶν καὶ ἑδράζων ἑαυτὸν ἐν τῷ Θεῷ· τὸ γὰρ ὀμνύειν σύμβολόν ἐστι βεβαιώσεως καὶ ἑδρασμοῦ.

## ΨΑΛΜΟΣ ΞΓ'.

« Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυΐδ. Εἰσάκουσον, ὁ Θεὸς, φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ. » — Καὶ οὗτος τῷ πρὸ αὐτοῦ ἀκολουθεῖ, τὰς τῶν ἀνωτέρω ῥηθέντων ἐχθρῶν ἐπιβουλὰς διηγούμενος.

« Σκέπασόν με ἀπὸ συστροφῆς πονηρευομένων, ἀπὸ πλήθους ἐργαζομένων ἀδικίαν. » — Συστροφὴν λέγει τὸ σύστημα.

« Ἐνέτειναν τὸ τόξον αὐτῶν, πρᾶγμα πικρὸν, τῷ ἀποτοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. » — Ὑπερβατικῶς ηὐτρέπισαν τὴν γλῶσσαν αὐτῶν ὡς τόξον· ὥστε δι' αὐτῆς ἐπιχειρῆσαι λάθρα κατὰ τοῦ ἀναιτίου· ὅπερ ἐστὶ πρᾶγμα πικρόν.

« Ἐξάπινα κατατοξεύουσιν αὐτὸν, καὶ οὐ φοβηθήσονται. » — Τὸ ἐξάπινα τὸ αἰφνηδίως δηλοῖ· οὐ φοβηθήσονται δὲ τὴν θείαν ὀργήν.

« Ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν. » — Ἐκύρωσαν παρ' ἑαυτοῖς τὸν λόγον τῆς ἐπιβουλῆς.

« Διηγήσαντο τοῦ κρύψαι παγίδας, εἶπον· Τίς ὄψεται αὐτούς; » — Εἰσηγήσαντο, συνεβούλευσαν.

« Ἐξηρεύνησαν ἀνομίαν. » — Ἐζήτησαν ὥστε χρήσασθαι αὐτοῦ.

« Ἐξέλιπον, ἐξερευνῶντες ἐξερευνήσεις. » — Ἠτόνησαν, ζητοῦντες ζητήσεις δολεράς.

« Προσελεύσεται ἄνθρωπος καὶ καρδία βαθεῖα· καὶ ὑψωθήσεται ὁ Θεός. » — Προσέλθῃ αὐτοῖς εἰς ὑπηρεσίαν τῆς μηχανῆς ἄνθρωπος, καὶ οὗτος δολιώτατος· καὶ μηδὲν αὐτοῦ ἰσχύσαντος δοξασθήσεται ὁ Θεός.

« Καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. » — Γλώσσας λέγει τὰς συσκευάς.

« Ἐταράχθησαν πάντες οἱ θεωροῦντες αὐτούς. » — Ἐθορυβήθησαν οἱ θεωροῦντες αὐτοὺς, τῶν ἐπιχειρημάτων ἀποτυγχάνοντας· οἱ παρῳχημένοι δὲ ἀντὶ μελλόντων.

« Καὶ ἀνήγγειλαν τὰ ἔργα τοῦ Θεοῦ καὶ ποιήματα αὐτοῦ συνῆκαν. » — Ἔγνωσαν οἷα ποιεῖ βοηθῶν τοῖς δούλοις αὐτοῦ.

## ΨΑΛΜΟΣ ΞΔ'.

« Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυΐδ, ᾠδὴ Ἱερεμίου, καὶ Ἰεζεκιὴλ τῷ λαῷ τῆς παροικίας, ὅτε ἔμελλον ἐκπορεύεσθαι. » — Ἡ μὲν προσθήκη τῆς ἐπιγραφῆς πᾶσιν ἅπαξ ἁπλῶς ὠβέλισται τοῖς ἐξηγηταῖς. Φαίνεται δὲ δηλοῦσα ὅτι πρότερον μὲν στόματι μόνῳ διά τινων στιχάδων Ἱερεμίου καὶ Ἰεζεκιὴλ ᾖσεν ὁ Προφήτης τὸν παρόντα ψαλμόν· ὕστερον δὲ δι' ἑαυτοῦ ὁ Προφήτης σὺν ὀργάνῳ ψαλτηρίῳ τὸν τοιοῦτον ψαλμὸν ἐψαλτῴδει προσώπῳ αἰχμαλώτου λαοῦ, ὅτι ἀπὸ τῆς ἐν Βαβυλῶνι παροικίας ἤμελλε πρὸς τὴν Ἱερουσαλὴμ ἐκπορεύεσθαι· προφητεύει δὲ περί τε τῆς ἐπανόδου τῶν ἐν Βαβυλῶνι, καὶ περὶ τῆς εὐσεβείας τῶν ἐθνῶν.

OCR ABK / FR

« Σοὶ πρέπει ὕμνος, ὁ Θεός, ἐν Σιών· καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ. » — « Εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει. » — Τοῦτο προφητεία περὶ τῆς θεογνωσίας καὶ μᾶλλον τῆς περὶ τὴν συντέλειαν γενησομένης.

« Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς. » — Τοῖς λόγοις τῶν ἀνόμων οὐκ ἠσθενήσαμεν τὴν εἰς σὲ πίστιν, ἀλλὰ καὶ λίαν ἐνεδυναμώθημεν· διὸ ταῖς προτέραις ἀσεβείαις ἡμῶν σύγγνωθι.

« Κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου. » — Αὐλαὶ Θεοῦ αἰσθητῶς μὲν οἱ θεῖοι ναοί, νοητῶς δὲ αἱ ἄνω μοναί.

« Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου. » — Οἶκος Θεοῦ ὁ οὐράνιος χῶρος, καὶ ἀγαθὰ αὐτοῦ αἱ τοὺς δικαίους μένουσαι ἀπολαύσεις· καὶ ἡ Ἐκκλησία δὲ τῶν πιστῶν οἶκος Θεοῦ, καὶ ἀγαθὰ ταύτης τὰ θεῖα δόγματα.

« Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. » — Ἁγιασμοῦ πλήρης ὁ σὸς ναός. Ὁ κάτω καὶ ἄνω καὶ ἐν τῇ σῇ δικαιοσύνῃ θαυμάζεται· ὁ κάτω μὲν διὰ τῶν σῶν λογίων διδάσκων αὐτόν· ὁ ἄνω δὲ πρακτικῶς αὐτὴν διηγούμενος διὰ τῆς κατ' ἀξίαν ἑκάστῳ διανομῆς τῶν ἐκεῖ ἀναπαύσεων.

« Ἐπάκουσον ἡμῶν, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν. » — Τὸ μακρὰν τὸ πόρρω τῆς ἠπείρου δηλοῖ, διὰ δὲ τῆς θαλάσσης τὰς νήσους ἐσήμανεν.

« Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ. » — Συνεξακούεται τὸ ἐστι· τὸ ἑτοιμάζων δὲ τὸ ἑδράζων δηλοῖ.

« Περιεζωσμένος ἐν δυναστείᾳ. » — Περικεκυκλωμένος τῇ ἀπείρῳ δυνάμει.

« Ταραχθήσονται τὰ ἔθνη, καὶ φοβηθήσονται οἱ κατοικοῦντες τὰ πέρατα ἀπὸ τῶν σημείων σου. » — Διὰ τὸ ἄηθες καὶ ξένον τοῦ εὐαγγελικοῦ κηρύγματος.

« Ἐξόδους πρωίας καὶ ἑσπέρας τέρψεις. » — Καὶ τὰς ἐξόδους τῆς πρωίας ἤγουν ὅθεν ἐξέρχεται καὶ ἄρχεται ἡ πρωία, καὶ τὰς ἐξόδους τῆς ἑσπέρας, ἤγουν καὶ τὴν ἀνατολὴν καὶ τὴν δύσιν, ἤτοι πᾶσαν τὴν οἰκουμένην, εὐφρανεῖς διὰ τῆς σῆς ἐνανθρωπήσεως.

« Ἐπεσκέψω τὴν γῆν καὶ ἐμέθυσας αὐτήν. » — Ἐπεσκέψω τοὺς ἐπὶ γῆς τῇ σῇ παρουσίᾳ, καὶ ἐνέπλησας αὐτοὺς τῆς εὐφροσύνης διδασκαλίας σου.

« Ἐπλήθυνας τοῦ πλουτῆσαι αὐτήν. » — Ἐπλήθυνας τὴν εὐαγγελικὴν ἀρδείαν, ἵνα τὴν εἰρημένην γῆν πλουτίσῃς ταῖς ἀρεταῖς.

« Ὁ ποταμὸς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων. » — Ποταμὸς τοῦ Θεοῦ ὁ Κύριος Ἰησοῦς· ὕδατα δὲ τὰ τούτου διδάγματα. Οὗτος ὀχετοὺς τοὺς ἀποστόλους ἀπέρρευσε καὶ πᾶσαν τὴν οἰκουμένην κατήρδευσεν.

« Ἡτοίμασας τὴν τροφὴν αὐτῶν· ὅτι οὕτως ἡ ἑτοιμασία σου. » — Ἡτοίμασας τὴν λογικὴν τροφὴν τῶν ἐθνῶν· ὅτι οὕτως ἑτοιμασία τῆς ἀληθινῆς τροφῆς, καὶ οὐκ ἄλλως· τουτέστιν, ἄριστα παρεσκεύασας διδαχθῆναι τὰ ἔθνη τὴν εὐσέβειαν.

« Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς. » — Αὔλακες τῆς εἰρημένης
A γῆς τὰ βάθη τῶν καρδιῶν· γεννήματα δὲ αἱ ἀρεταί.

« Ἐν ταῖς σταγόσιν αὐτῆς εὐφρανθήσεται ἀνατέλλουσα. » — Σταγόνες αἱ ἀπὸ τῶν διδασκάλων στάζουσαι ψεκάδες τῆς διδαχῆς, ὑφ' ὧν πιανθήσεται θάλλουσά τε καὶ αὔξουσα. Τὸ δὲ αὐτῆς τὸ δι' αὐτὴν εἶναι τὰς σταγόνας δηλοῖ.

« Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου. » — Ἅγιον ποιήσεις καὶ ἐπαινούμενον τὸν κύκλον τοῦ ἐνιαυτοῦ τῆς σῆς ἀγαθότητος. Ἐνιαυτὸς δὲ τῆς τοῦ Κυρίου ἀγαθότητος ὁ τῆς ἐπιδημίας τούτου καιρός.

« Καὶ τὰ πεδία σου πλησθήσονται πιότητος. » — Διὰ τῶν πεδίων καὶ τῶν βουνῶν καὶ τῶν κοιλάδων ἐκφαίνει ὡς ἅπας τόπος ὑποδέξεται τοὺς πιστούς.

B « Πιανθήσονται τὰ ὡραῖα τοῦ ἐρήμου· καὶ ἀγαλλίασιν οἱ βουνοὶ περιζώσονται. » — Ὡραῖα τῆς ἐρήμου τὰ ταύτης ἐπιτήδεια μέρη ταῖς ὥραις τοῦ ἐνιαυτοῦ, ἤγουν τὰ καρποφόρα. Διὰ τούτων δὲ τοὺς ἐν αὐτοῖς κατοικοῦντας δεδήλωκεν.

« Ἐνεδύσαντο οἱ κριοὶ τῶν προβάτων. » — Κριοὶ τῶν προβάτων οἱ τῶν πιστῶν ἡγεμόνες, ἐνδεδυμένοι τὴν χάριν τοῦ Πνεύματος.

« Καὶ αἱ κοιλάδες σου πληθυνοῦσι σῖτον. » — Σῖτόν φησι τῶν καρπῶν τῶν ἀρετῶν.

« Κεκράξονται καὶ γὰρ ὑμνήσουσι. » — Βοήσουσιν εὐχαρίστως πρὸς Κύριον καὶ τὸν εὐεργέτην ὑμνήσουσι· περιττὸς δὲ τὸ γάρ.

## ΨΑΛΜΟΣ ΞΕ'.

« Εἰς τὸ τέλος, ᾠδὴ ψαλμοῦ ἀναστάσεως. » —
C Τὸ ἀναστάσεως ἀντὶ τοῦ περὶ τῆς ἀναστάσεως· ἱστορικῶς μὲν τῆς Βαβυλῶνος τῶν αἰχμαλωτισθέντων· ἀναγωγικῶς δὲ τῆς ἐξ ἁμαρτίας τῶν ἐπιστρεφόντων· προφητεύει γὰρ ὁ ψαλμὸς περὶ τῆς πίστεως τῶν ἐθνῶν, ἔτι τε περὶ τῶν τοῦ Χριστοῦ μαρτύρων.

« Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ. » — Δότε δόξαν τῇ αἰνέσει αὐτοῦ, τουτέστιν, ἐνδόξως αἰνέσατε αὐτόν.

« Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σοι οἱ ἐχθροί σου. » — Οἱ τῆς ἀληθείας ἐχθροὶ τὴν εἰς σὲ πίστιν ψευδῶς ὑποκριθήσονται διὰ τὸν φόβον τῆς πολλῆς δυνάμεώς σου, τῆς ἐν τῇ βασιλείᾳ τῶν εὐσεβῶν.

« Δεῦτε καὶ ἴδετε τὰ ἔργα τοῦ Θεοῦ, ὡς φοβερὸς ἐν βουλαῖς ὑπὲρ τοὺς υἱοὺς τῶν ἀνθρώπων. » — Λίαν
D φοβερὸς καὶ μέγας ἐστὶν ἐν μεθόδοις καὶ οἰκονομίαις, ὅταν θέλῃ σῶσαι τὸν λαὸν αὐτοῦ.

« Ἐν ποταμῷ διελεύσονται ποδί. » — Τὸ διελεύσονται ἀντὶ τοῦ διῆλθοσαν οἱ πρόγονοι ἡμῶν. Ποδὶ δὲ ἀντὶ τοῦ πεζῇ καὶ οὐ μετὰ πλοίου. Περὶ τοῦ Ἰορδάνου δέ φησιν ὅτι διέβη αὐτὸν ἡ κιβωτὸς διὰ ξηρᾶς.

« Ἐκεῖ εὐφρανθησόμεθα ἐπ' αὐτῷ, τῷ δεσπόζοντι ἐν τῇ δυναστείᾳ τοῦ αἰῶνος. » — Τὸ ἐκεῖ ἀντὶ τοῦ ἐν τοῖς τοιούτοις θαύμασιν εὐφράνθημεν ἐπὶ τῷ Θεῷ, τῷ δεσπόζοντι παντὸς αἰῶνος. Ἐν τῇ ἀπείρῳ δυνάμει αὐτοῦ οἰκειοῦται καὶ τὴν τῶν προγόνων εὐφροσύνην.

OCR ABK / FR

« Οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπὶ τὰ ἔθνη ἐπιβλέπουσιν. » — Τὸν ἐξ ἐθνῶν λαὸν αὐτοῦ ἐπισκέπτεται.

« Οἱ παραπικραίνοντες μὴ ὑψούσθωσαν ἐν αὐτοῖς. » — Οἱ γογγυσταὶ Ἰουδαῖοι μὴ μέγα φρονείτωσαν ὡς λαὸς περιούσιος.

« Εὐλογεῖτε, ἔθνη, τὸν Θεὸν ἡμῶν, καὶ ἀκουτίσατε τὴν φωνὴν τῆς αἰνέσεως αὐτοῦ. » — Ἀκουστὴν ποιήσατε, τουτέστιν, ἐξάρατε μεγαλοφώνως αὐτὴν, καὶ τοὺς ἄλλους ταῦτα διδάξατε.

« Τοῦ θεμένου τὴν ψυχήν εἰς ζωὴν, καὶ μὴ δόντος εἰς σάλον τοὺς πόδας μου. » — Τοῦ ῥυσαμένου με ἀπὸ θανάτου ψυχικοῦ καὶ μὴ παραχωρήσαντος τῆς εὐσεβείας παρατραπῆναί με.

« Ὅτι ἐδοκίμασας ἡμᾶς, ὁ Θεὸς, ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον. » — Οὗτοι οἱ λόγοι τῶν τῆς εὐσεβείας ἀγωνιστῶν, Ἐξήτασας ἡμᾶς, λεγόντων, ὅπως ἔχομεν πίστεως καὶ ὑπομονῆς.

« Εἰσήγαγες ἡμᾶς εἰς τὴν παγίδα. » — Παγίδα λέγει πάσης κακώσεως συνοχήν.

« Ἔθου θλίψεις ἐπὶ τὸ νῶτον ἡμῶν. » — Τὰς μάστιγάς φησι καὶ τὰ βάρη τῶν πειρασμῶν.

« Ἐπεβίβασας ἀνθρώπους ἐπὶ τὰς κεφαλὰς ἡμῶν. » — Ὑπέταξας ἡμᾶς τοῖς ἐχθροῖς.

« Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος· καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. » — Πῦρ καταπιμπρῶν καὶ ὕδωρ συμπνῖγον ἡ σφοδρότης τῶν πειρασμῶν. ἀνοψυχὴ δὲ ἡ ἀνάπαυσις.

« Εἰσελεύσομαι εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν. » — Οἶκος εἴη ἂν τοῦ Θεοῦ ὁ οὐρανός· ὁλοκαυτώματα δὲ αἱ ὁλοτελεῖς ἐργασίαι τῶν ἀρετῶν.

« Ἀποδώσω σοι τὰς εὐχάς μου ἃς διέστειλαν τὰ χείλη μου. » — Εὐχαὶ αἱ ὑποσχέσεις. Τὸ δὲ διέστειλεν ἑρμηνευτικὸν τὸ ἐλάλησεν.

« Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοίσω σοι. » — Ὁλοκαυτώματα μεμυαλωμένα, τουτέστι πίονα, αἱ ἐξαίρετοι ἐργασίαι τῶν ἀρετῶν.

« Μετὰ θυμιάματος καὶ κριῶν. » — Θυμίαμα ἡ ψυχικὴ εὐωδία· κριοὶ δὲ οἱ ἡγεμονικοὶ τῆς ψυχῆς λογισμοὶ κερατίζοντες τὰ πάθη.

« Ποιήσω σοι βόας μετὰ χιμάρων. » — Βόες αἱ ἐνέργειαι τοῦ σώματος· γῆς μὲν γὰρ ἐργάτης ὁ βοῦς, ἐκ γῆς δὲ τὸ σῶμα· χίμαροι δὲ αἱ ὑπὲρ ἁμαρτίας δόσεις· πάλαι γὰρ ὁ χίμαρος ὑπὲρ ὁμαρτίας ἐθύετο.

« Πρὸς αὐτὸν τῷ στόματί μου ἐκέκραξα καὶ ὕψωσα ὑπὸ τὴν γλῶσσάν μου. » — Ὕψωσα τὴν φωνήν μου δηλαδή· τὸ δὲ ὑπὸ τὴν γλῶσσάν μου ἀντὶ τοῦ, ἐν τῇ γλώσσῃ μου.

« Ἀδικίαν εἰ ἐθεώρουν ἐν καρδίᾳ μου, μὴ εἰσακουσάτω μου Κύριος. » — Ἀδικία λέγεται καὶ ἡ ἁπλῶς κακία, ὥσπερ καὶ δικαιοσύνη ἡ ἁπλῶς ἀρετή. Παιδευτικὸς δὲ ὁ λόγος τὸ πῶς δεῖ δέεσθαι τοῦ Θεοῦ.

« Εὐλογητὸς ὁ Θεὸς, ὃς οὐκ ἀπέστειλε τὴν προσευχήν μου, καὶ τὸ ἔλεος αὐτοῦ ἀπ' ἐμοῦ. » — Ἐπ' αὐτοῦ δηλονότι.

## ΨΑΛΜΟΣ ΞϚ'.

« Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς ᾠδῆς τῷ Δαυίδ. » — Τὴν τοῦ Κυρίου ἐνανθρώπησιν προαγορεύει καὶ τοῦτον ὑμνεῖν παρακελεύεται.

« Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς καὶ ἐλεήσαι ἡμᾶς. » — Εὔχεται ὁ Προφήτης πληρωθῆναι τῆς θείας ἐνανθρωπήσεως τὸ μυστήριον καὶ οἰκτειρηθῆναι τὴν ἀνθρωπείαν φύσιν, τυραννουμένην ὑπὸ τοῦ διαβόλου· εἶτα καὶ ἁγιασθῆναι.

« Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου. » — Ὥστε γνῶναι τοὺς ἐν τῇ γῇ τὴν ἐπιδημίαν σου, καὶ τοὺς ἐν πᾶσιν ἔθνεσι τὴν σωστικὴν ἐνανθρώπησίν σου.

« Ὅτι παρέστησας αὐτούς. » — Ὅτι κατακρινεῖς μὲν δικαίως τοὺς ἀπειθεῖς τῶν Ἰουδαίων λαούς· τὰ πεπιστευκότα δὲ ἔθνη ὁδηγήσεις ἐν τῇ γῇ τῶν πραέων.

« Γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς. » — Καρπὸς τῆς γῆς ὁ Χριστός.

« Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν. » — Ὅρα τὸ Θεὸς ὄνομα τριπλασιασθὲν καὶ τὴν αὐτῶν ἀντωνυμίαν ἑνικῶς ἐπαχθεῖσαν.

## ΨΑΛΜΟΣ ΞΖ'.

« Εἰς τὸ τέλος, τῷ Δαυὶδ ψαλμὸς ᾠδῆς. » — Οὗτος ἐκδηλότερον προκηρύττει τὴν τοῦ Σωτῆρος ἐπιφάνειαν.

« Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ. » — Ἡ ἀνάστασις δηλοῖ τὴν εἰς ἐκδίκησιν κίνησιν.

« Καὶ φυγέτωσαν οἱ μισοῦντες αὐτὸν ἀπὸ προσώπου αὐτοῦ. » — Φυγέτωσαν ἀπὸ γῆς ἐπιφανείας αὐτοῦ οἱ ἀντικείμενοι.

« Ὡς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν· ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. » — Εἰς ἀέρα σκεδαννύμενος.

« Καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν, ἀγαλλιάσθωσαν ἐνώπιον τοῦ Θεοῦ, τερφθήσονται ἐν εὐφροσύνῃ. » — Οἱ δικαιωθέντες διὰ τῆς εἰς Χριστὸν πίστεως καταλυθείσης τῆς τῶν Ἰουδαίων τυραννίδος χαρήτωσαν.

« Ὁδοποιήσατε τῷ ἐμβεβηκότι ἐν δυσμῶν. » — Πρὸς τοὺς ἀποστόλους ὁ λόγος· Εὐτρεπίσατε διὰ τοῦ κηρύγματος τὴν ὁδὸν τῶν ἀνθρωπίνων ψυχῶν ἐν τῷ Κυρίῳ εἰς ἐπιφοίτησιν, ὃς ἔχων δόξης ἀπρόσιτον φῶς ἐπέβη ἐπέβη ἐπὶ δυσμῶν τῆς ἡμετέρας εὐτελείας καὶ ταπεινότητος. Καὶ ἄλλως δὲ δυσμαῖς ἐοίκαμεν διὰ τὸ σκότος τῆς πλάνης. Αὐτῷ δέ ἐστιν ὄνομα Κύριος, ἁπλῶς πάντων ὅ ἐστιν ὁ Θεός.

« Ταραχθήτωσαν ἀπὸ προσώπου αὐτοῦ, τοῦ πατρὸς τῶν ὀρφανῶν καὶ κριτοῦ τῶν χηρῶν· » — Οἱ δαίμονες δηλαδή.

« Ὁ Θεὸς ἐν τόπῳ ἁγίῳ αὐτοῦ. » — Λείπει τὸ ἐστί· τόπος δὲ ἅγιος τοῦ Θεοῦ καὶ ὁ οὐρανὸς καὶ ὁ ναὸς, καὶ πᾶς ἄνθρωπος θεοφιλής.

« Ὁ Θεὸς κατοικίζει μονοτρόπους ἐν οἴκῳ. » — Μονοτρόπους φησὶ τοὺς εὐηθεῖς καὶ μηδεμίαν ἐπιπλοκὴν κακίας ἔχοντας· οὓς κατοικίζει ὁ Κύριος

OCR ABK / FR

εἰς οἶκον ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς.

« Ἐξάγων πεπεδημένους ἐν ἀνδρίᾳ. » — Ἐλευθερῶν ἐστὶν ἐν πολλῇ δυνάμει τοὺς πεπεδημένους τοῖς τῶν δαιμόνων δεσμοῖς, ἤγουν τοὺς τῇ πλάνῃ τῆς εἰδωλολατρείας κατεχομένους.

« Ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις. » Οὐ μόνον τούτους τοὺς ἐθνικοὺς, ἀλλ' ὁμοίως τούτοις καὶ τοὺς γογγυστὰς Ἰουδαίους, καὶ τοὺς κατοικοῦντας ἐν τάφοις, ἤγουν τοὺς ἀπ' αἰώνων νεκρούς· πάντας γὰρ ἦλθε σῶσαι, τούς τε ἐν τῷ κόσμῳ, τούς τε ἐν τῷ ᾅδῃ πιστεύσαντας εἰς αὐτόν.

« Ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ. » — Ἐν τῷ ἐξέρχεσθαί σε τοῦ Ἰουδαϊκοῦ λαοῦ, ἐνώπιον ἤτοι φανερῶς ἐν τῷ διαβαίνειν σε ἐν τῇ τῶν ἐθνῶν συναγωγῇ, τῇ ἐρήμῳ παντὸς ἀγαθοῦ, ἡ γῆ ἐσείσθη κατὰ τὸν καιρὸν τοῦ πάθους καὶ τῆς ἀναστάσεώς σου, καὶ οἱ οὐρανοὶ ἔσταξαν τὴν τοῦ παναγίου Πνεύματος καθόδον τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς.

« Ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινᾶ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ. » — Ταῦτα δὲ γεγόνασιν ἐκ τοῦ ὄντος καὶ τοῦ Σινᾶ ὄρους τοῦ Θεοῦ καὶ τοῦ Ἰακώβ. Ἐμνήσθη δὲ τούτων, ἵνα δείξῃ, ὅτι ὁ ἐν τῷ ὄρει δοὺς τὸν νόμον, καὶ τῷ Ἰακὼβ φαντασθεὶς, αὐτὸς καὶ ταῦτα ποιεῖ.

« Βροχὴν ἑκούσιον ἀφοριεῖς, ὁ Θεὸς, τῇ κληρονομίᾳ σου. » — Βροχὴ ὁ εὐαγγελικὸς λόγος, ὡ ἀρδεύων ψυχάς· ἑκούσιος δὲ εἴρηται, διὰ τὸν Μωσαϊκὸν νόμον, οὐ κατὰ θέλησιν, ἀλλὰ κατ' οἰκονομίαν ἐξενηνεγμένον ὑπὸ Θεοῦ πρὸς τὴν τῶν Ἰουδαίων σκληροκαρδίαν.

« Καὶ ἠσθένησε, σὺ δὲ κατηρτίσω αὐτήν. » — Ἠσθένησεν ἡ συναγωγὴ τῶν ἐθνῶν πάλαι τῇ εἰδωλολατρείᾳ· σὺ δὲ ἀρτίαν ἐποίησας, ἀνακαινίσας τῷ θείῳ βαπτίσματι.

« Τὰ ζῶά σου κατοικοῦσιν ἐν αὐτῇ. » — Οἱ τὴν ἐν σοὶ ζωὴν ζῶντες ἀπόστολοι, κατοικοῦντες ἐν τῇ κληρονομίᾳ σου.

« Ἡτοίμασας ἐν τῇ χρηστότητί σου τῷ πτωχῷ ὁ Θεός. » — Ἡτοίμασας τὸν εὐαγγελικὸν πλοῦτον καὶ τὰ ἄῤῥητα ἀγαθὰ τῷ πτωχῷ παντὸς ἀγαθοῦ λαῷ ἐθνῶν διὰ τὴν ἀγαθότητά σου.

« Κύριος δώσει ῥῆμα τοῖς εὐαγγελιζομένοις δυνάμει πολλῇ. » — Τοῖς ἰδιώταις ἀποστόλοις ὁ Πατὴρ δώσει λόγον ἐν δυνάμει πολλῇ, τουτέστι, δυνατοὺς ἀποδείξει ἐν λόγῳ αὐτούς.

« Ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, τοῦ ἀγαπητοῦ. » — Δυνάμεις τοῦ ἀγαπητοῦ Υἱοῦ τὰ οὐράνια τάγματα καὶ πάντες οἱ κατ' ἐχθρῶν αὐτοῦ δαιμόνων παρατασσόμενοι.

« Καὶ τῇ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα. » — Δώσει ῥῆμα εἰς τὸ διαμετρήσασθαι αὐτοῖς τὰ. » λάφυρα τοῦ διαβόλου, τουτέστι τὰ ἔθνη ἐν τῇ τοῦ Πνεύματος χάριτι· αὕτη γὰρ ὡραιότης καὶ καλλωπισμὸς τῆς Ἐκκλησίας ἐστίν.

« Ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων. » — Ἀφήψεσθε δὲ τὰ λάφυρα τοῦ διαβόλου, ἐὰν ἐγχρονίσητε ἢ ἀποθάνητε μέσον τῶν κληρεδοτηθέντων ὑμῖν ἐθνῶν, ὧν πτέρυγες τοῦ Πνεύματος οἱ ὑπερηρμένοι τῶν γηΐνων, οἱ τῇ λαμπρότητι τοῦ κηρύγματος περιηργυρωμένοι, καὶ κεχρυσωμένοι τῇ τιμιότητι τῆς γνώσεως τῶν ἀποκρύφων μυστηρίων τοῦ Πνεύματος.

« Ἐν τῷ διαστέλλειν τὸν ἐπουράνιον βασιλέα ἐπ' αὐτῆς. » — Τοὺς αὐτοὺς ἀποστόλους καὶ βασιλεῖς ὀνομάζει ὡς ἡγεμόνας τῶν ἐθνῶν καὶ κληρονόμους τῆς βασιλείας Χριστοῦ. Φησὶν οὖν ἐν τῷ διαστεῖλαι, τουτέστι τῷ διαιρῆσαι καὶ κληρῶσαι τὸν Χριστὸν τοὺς ἀποστόλους ἐπ' αὐτῆς τῆς εἰρημένης κληρονομίας τῶν ἐθνῶν, χιονωθήσονται οἱ ἀπόστολοι, τουτέστι, λευκανθήσονται καὶ λαμπρυνθήσονται τῇ αἴγλῃ τοῦ Πνεύματος ἐν τῇ Σελμὼν ἤτοι τῇ Ἱερουσαλήμ.

« Ὄρος τοῦ Θεοῦ, ὄρος πῖον. » — Τὴν Ἐκκλησίαν καλεῖ ὄρος μὲν ὡς ὑπερκειμένην τῶν γηΐνων, τοῦ Θεοῦ δὲ ὡς ᾠκειωμένην αὐτῷ. Πῖον δὲ διὰ τὸ δαψιλὲς καὶ εὔχρηστον τῆς ἐν αὐτῇ πνευματικῆς νομῆς. Τετυρωμένοι δὲ διὰ τὸ συνεστὼς καὶ στερεὸν τῶν ἐν αὐτῇ δογμάτων τῆς πίστεως.

« Ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα; » — Πρὸς τοὺς κακοδόξους, διατί ὑπολαμβάνετε ἕτερα ὄρη τετυρωμένα παρὰ ταύτην.

« Τὸ ὄρος ὃ ηὐδόκησεν ὁ Θεὸς κατοικεῖν ἐν αὐτῷ. » — Τοῦτο, φησὶ, τὸ ὄρος ἐστὶν εἰς ὃ ἠρέσθη ὁ Θεὸς κατοικεῖν· καὶ γὰρ ἐν αὐτῷ κατασκηνώσει ὁ Κύριος διαπαντός.

« Τὸ ἅρμα τοῦ Θεοῦ μυριοπλάσιον, χιλιάδες εὐθηνούντων. » — Ἅρμα τοῦ Θεοῦ εἰσὶν οἱ τῆς θείας ἐπιβάσεως ἄξιοι. Συγκρίνει οὖν τὸ πλῆθος τῶν πρὸ τῆς σαρκώσεως τοῦ Χριστοῦ δικαίων τῷ πλήθει τῶν μετὰ τὴν σάρκωσιν τοῦ Χριστοῦ δικαίων· καί φησι τὸ ἅρμα τοῦ Θεοῦ νῦν μυριοπλάσιον, τοῦτό τε ἅρματος, καὶ πῶς τότε μὲν ὀλίγοι, νῦν δὲ χιλιάδες εἰσὶν ὅλαι τῶν εὐθηνούντων τῇ καρποφορίᾳ τῶν ἀρετῶν.

« Ὁ Κύριος ἐν αὐτοῖς ἐν Σινᾶ ἐν τῷ ἁγίῳ. » — Καὶ διὰ τούτων τὸν αὐτὸν κηρύττει τῆς Παλαιᾶς καὶ τῆς Νέας Θεόν· Κύριος γὰρ, φησὶν, ἐν αὐτοῖς ἐστὶν ὃς ἐν Σινᾶ ἦν τῷ ἁγίῳ. Λείπει τὸ ὃς, καὶ παρέλκει ἡ μία προθέσις. Ἀνέβης εἰς ὕψος, ἑκουσίως ἀναβὰς εἰς ὕψος τοῦ σταυροῦ· οὓς ἀπατήσας ἐχθρὸς ᾐχμαλώτευσεν ἀπὸ σοῦ, τούτους σὺ καθελὼν αὐτὸν ἀντῃχμαλώτευσας ἐξ αὐτοῦ.

« Καὶ γὰρ ἀπειθοῦντες τοῦ κατασκηνῶσαι· Κύριος ὁ Θεὸς εὐλογητός. » — Ἑρμηνεύει ποῖα δόγματα ὁ Κύριος ἔλαβε, καί φησι. Καὶ γὰρ τοὺς ἀπειθοῦντας ἔλαβες ἐθνικοὺς, ὥστε κατοικῆσαι ἐν αὐτοῖς.

« Εὐλογητὸς Κύριος ἡμέραν καθ' ἡμέραν. » — Ἡμέραν, ἀνὰ πᾶσαν δηλονότι. Τούτου δὲ σαφηνιστικὸν τὸ καθ' ἡμέραν ἐστί.

« Κατευοδώσει ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν. — Τὸν δρόμον τοῦ κηρύγματος εὐωδωθῆναι αὐτοῖς εὔχονται οἱ ἀπόστολοι.

« Ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν, καὶ τοῦ Κυρίου Κυρίου αἱ διέξοδοι τοῦ θανάτου. » — Τῆς

OCR ABK / FR

τοῦ Κυρίου δυνάμεώς ἐστι τὸ διεξάγειν ἐκ θανάτου εἰς ζωήν· μόνου γὰρ αὐτοῦ γέγονεν ἡ ἔξοδος τοῦ θανάτου καὶ διεξέλευσις.

« Πλὴν ὁ Θεὸς συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ. » — Κεφαλὰς ἐθνῶν τὰς καιριωτάτας δυνάμεις τῶν δαιμόνων φησί.

« Κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημμελείαις αὐτῶν. » — Τῶν διαπορευομένων καὶ ἐξιχνιαζόντων ἐν ταῖς πλημμελείαις αὐτῶν πλημμελούντων ἀνθρώπων καὶ τὴν κορυφήν, τουτέστι τὸ ἀκρότατον τῆς τριχός· ἤγουν τῶν ἐξερευνώντων ἐν τῷ καιρῷ τοῦ λογοθέτου τῆς ψυχῆς, καὶ τὰ λίαν τῶν ἁμαρτημάτων σμικρότητος.

« Εἶπε Κύριος· Ἐξ Βασὰν ἐπιστρέψω. » — Βασὰν αἰσχύνει ἑρμηνεύεται. Ἐπέστρεψεν οὖν ὁ Κύριος πρὸς ἑαυτὸν τὰ ἔθνη ἐκ τῆς τῶν εἰδώλων αἰσχύνης καὶ τῆς τῶν παθῶν ἀτιμίας.

« Ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης. » — Ἐπέστρεψε καὶ τοὺς ἐν βυθοῖς θαλάσσης· ἤγουν τοὺς ἐν τῷ βάθει τῆς πολυκλύδωνος ἁμαρτίας ὅπως ἂν βαφῇ ὁ πούς σου. Τοῦτο, φησί, ποιήσεις, Κύριε, ὅπως τέλεον νικήσῃς τοὺς δαίμονας. Ὁ λόγος δὲ μεταφορικός.

« Ἡ γλῶσσα τῶν κυνῶν σου ἐξ ἐχθρῶν, παρ' αὐτοῦ. » — Πάλιν ἡ γλῶσσα τῶν κυνῶν σου βαφῇ παρ' αὐτοῦ, τουτέστιν ἀπ' αὐτοῦ τοῦ ἐξ ἐχθρῶν ὄντος αἵματος δηλαδή. Κύνες δὲ τοῦ παμβασιλέως Χριστοῦ οἱ θεῖοι ποιμένες, οἱ τοὺς ἐχθροὺς αὐτοῦ ὡς ἀγρίους θῆρας ταράσσοντες καὶ μονονοὺ τοῦ αἵματος τούτου ἀπογευσάμενοι. Ποὺς δὲ Χριστοῦ ἡ Ἐκκλησία, ἧς αὐτὸς κεφαλή.

« Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεός. » — Αἱ ἀναστροφαὶ τῆς ἐνσάρκου πολιτείας σου, τοῦ ἐν τῷ ἁγίῳ Πατρὶ ὄντος Υἱοῦ, ὤφθησαν τοῖς σοῖς αὐτόπταις.

« Προέφθασαν ἄρχοντες ἐχόμενοι ψαλλόντων. » — Προέλαβον πάντας οἱ ἄρχοντες τῶν ἐθνῶν ἀπόστολοι πρῶτοι πιστεύσαντες ἐχόμενα, τουτέστι σύνεγγυς τῶν ψαλλόντων ἤτοι ἐκφωνούντων τὰ περὶ τοῦ Χριστοῦ, τουτέστι τῶν προφητῶν καὶ τῷ χρόνῳ καὶ τῷ κηρύγματι ἀκολουθοῦντες αὐτοῖς.

« Ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. » — Ἐν μέσῳ δηλονότι πιστεύσαντες τῶν Ἰουδαϊκῶν συναγωγῶν, αἱ νεάνιδες διὰ τὸ ἀτελὲς τῆς πολιτείας αὐτῶν· τυμπανίστριαι δὲ, διὰ τὸ σωματικὸν τῆς πρὸς Θεὸν λατρείας.

« Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ. » — Πηγὰς Ἰσραὴλ φησι τὰς τῶν προφητῶν καὶ τοῦ νόμου Γραφάς, αἷς συνᾴδειν τὸν εἰς Θεὸν ὕμνον διακελεύεται.

« Ἐκεῖ Βενιαμὶν νεώτερος. » — Ἐκεῖ ἐν ταῖς ἐκκλησίαις, δηλαδὴ ὁ Βενιαμὶν, ἤτοι ὁ ἅγιος Παῦλος ὁ ἐκ φυλῆς Βενιαμίτιδος νεώτερος, ἤτοι τῶν ἄλλων ἀποστόλων ὕστερον πιστεύσας.

« Ἐν ἐκστάσει. » — Διὰ τὴν ἕως τρίτου οὐρανοῦ ἁρπαγήν.

« Ἄρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν· ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλίμ. » — Ἡγεμόνες αὐτῶν τῶν ἐκκλησιαστικῶν οἱ ἄρχοντες εἴτουν ἔξο-

A χοι καὶ ἀπόλεκτοι τῆς Ἰουδαϊκῆς φυλῆς, ὡς οἱ ἀδελφοὶ τοῦ Κυρίου καὶ οἱ τοῦ Ζαβουλὼν καὶ τῆς τοῦ Νεφθαλεὶμ, ἤγουν οἱ ἀπὸ Γαλιλαίας ἀπόστολοι· ἡ Γαλιλαία γὰρ τῷ Ζαβουλὼν κεκληροδότηται καὶ τῷ Νεφθαλείμ.

« Ἔντειλαι, ὁ Θεὸς, τῇ δυνάμει σου. » — Τοῦτο πρὸς τὸν Πατέρα, ἵνα ἐντείληται τῷ Υἱῷ τὰ περὶ τοῦ κηρύγματος ὡς τὸ διαγγέλλων τὸ πρόσταγμα τοῦ Κυρίου.

« Δυνάμωσον, ὁ Θεὸς, τοῦτο ὃ κατειργάσω ἐν ἡμῖν. » — Τοῦτο πρὸς τὸν Υἱόν, Κραταίωσον ἐν ἡμῖν τὸ κήρυγμα, ὅπερ ἀπήρτισας διὰ τοῦ ναοῦ σου, ἤτοι τοῦ προσλήμματός σου, ἐπὶ τὴν γῆν τῆς Ἱερουσαλὴμ ὡς τὸ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ.

« Σοὶ οἴσουσι βασιλεῖς δῶρα. » — Ναούς τε καὶ
B ἀναθήματα.

« Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου. » — Φίμωσον τοὺς νοητὰς λέοντας, τοὺς ἀγρίους καὶ ἀπηνεῖς δαίμονας.

« Ἡ συναγωγὴ τῶν ταύρων ἐν ταῖς δαμάλεσι τῶν λαῶν. » — Οἱ τῶν Ἰουδαίων ἡγούμενοι ἐν ταῖς δαμάλεσι τῶν λαῶν, τουτέστιν ἐν μέσῳ τῶν ὑποτεταγμένων λαῶν, ἐγίνοντο δηλονότι, ὥστε τοὺς δοκίμους τῷ Εὐαγγελίῳ τοὺς ἀποστόλους ἐγκλεισθῆναι, τουτέστι κωλυθῆναι κηρύττειν τε καὶ εὐαγγελίζεσθαι.

« Διασκόρπισον ἔθνη τὰ τοὺς πολέμους θέλοντα. » — Τοὺς αἰσθητούς τε καὶ νοητοὺς πολεμίους τῆς Ἐκκλησίας.

« Ἥξουσι πρέσβεις ἐξ Αἰγύπτου. » — Ἐλεύσον-
C ται πιστοὶ πρεσβεύοντες ὑπὲρ τοῦ κόσμου παντὸς ἐξ Αἰγύπτου, τουτέστι πάσης γῆς ἐθνικῆς, ὅσης ἐκυρίευεν ὁ νοητὸς Φαραώ.

« Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ. » — Ἀντὶ τοῦ προφθάσει, τουτέστι ποιήσει φθάσαι καὶ πλησιάσαι τῷ Θεῷ διὰ προσευχῆς καὶ δώρων προσαγωγῆς τὰς χεῖρας αὐτῆς. Διὰ αὐτῆς, διὰ τῆς Αἰθιοπίας δὲ τὰ τῆς γῆς ἠνίξατο πέρατα, καὶ γὰρ ἔσχατοι πάντων ἀνθρώπων ἐν ἀνατολῇ τε καὶ δύσει κατοικοῦσιν Αἰθίοπες.

« Αἱ βασιλεῖαι τῆς γῆς, ᾄσατε τῷ Θεῷ· ψάλατε τῷ Κυρίῳ τῷ ἐπιβεβηκότι ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατὰ ἀνατολάς. » — Ἡ πρώτη ἐπὶ ἀντὶ τῆς ἀνὰ, τῷ ἀναβεβηκότι ἐπὶ τὸν ἀνώτερον οὐρανὸν κατὰ ἀνατολὰς, ἤγουν εἰς τὰς ἀνατολάς, τουτέστιν εἰς τὴν
D προτέραν αὐτοῦ δόξαν τε καὶ λαμπρότητα.

« Ἰδοὺ δώσει τῇ φωνῇ αὐτοῦ φωνὴν δυνάμεως. » — Τοῖς ἀποστόλοις δώσει λόγον ἐνδύναμον.

« Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια αὐτοῦ. » — Τῷ θεωρητικῷ ἀνδρὶ τὰ τοῦ Θεοῦ μεγαλεῖα γνωρίζονται, καὶ ἡ δύναμις αὐτοῦ τῷ ὑπαρηρμένῳ τῶν γεηρῶν.

« Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ. » — Θαυμάζεται ὁ Θεὸς ἐπὶ τοῖς ἁγίοις αὐτοῦ, ἤγουν ἐπὶ τῇ πολιτείᾳ τούτων καὶ τῇ τερατουργίᾳ.

« Ὁ Θεὸς Ἰσραὴλ, αὐτὸς δώσει δύναμιν καὶ κραταίωσιν τῷ λαῷ αὐτοῦ. » — Εἰς τὸ ἐμμένειν τῇ ἀμωμήτῳ πίστει αὐτοῦ.

OCR ABK / FR

### ΨΑΛΜΟΣ ΞΗ'.

« Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, ψαλμὸς τῷ Δαυΐδ. Σῶσόν με, ὁ Θεός. » — Ὁ ψαλμὸς προσώπῳ τοῦ αἰχμαλώτου λαοῦ, οἵτινες ἠλλοιώθησαν, ἀντὶ δούλων γεγονότες πάλιν ἐλεύθεροι. Μᾶλλον δὲ καὶ ἀριδήλως προσώπῳ τοῦ Σωτῆρος Χριστοῦ καὶ τῆς αὐτοῦ Ἐκκλησίας, ἣν οὗτος ἠλλοίωσεν, ἐκ τῆς νοητῆς αἰχμαλωσίας εἰς τὴν ὄντως ἐλευθερίαν μεταγαγών.

« Ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου. » — Ὕδατα τοὺς πειρασμοὺς λέγει, οὐκ ἐπιπολαίως, ἀλλ' εἰς βάθος, ἕως ψυχῆς διαβάντας. Ἐμφαίνει διὰ τούτου τὴν τῆς ἀλγηδόνος σφοδρότητα.

« Ἐνεπάγην εἰς ὕλην βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. » — Τὸ ἀπέραντον ὑποσημαίνει τῶν θλίψεων μεταφορικῶς· οἱ γὰρ ἐγχωννύμενοι τῇ κατὰ βυθὸν ὑποστάθμῃ τοῦ ὕδατος οὐχ εὑρίσκουσιν ὑπόστασιν, εἴτουν ἑδραίωσιν, ἀεὶ συνιζάνουσι διὰ τὸ τελματῶδες.

« Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με. » — Πάλιν τὰς συμφορὰς διὰ τὸ πλῆθος καὶ τὴν πικρίαν βάθη θαλάσσης ἐκάλεσε· καταιγίδα δὲ τὴν τούτων σφοδρότητα.

« Ἐκοπίασα κράζων· ἐβραγχίασεν ὁ λάρυγξ μου. » — Τὸ συνεχὲς τῆς δεήσεως καὶ ἐπιτεταμένον ἐνέφηνεν.

« Ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου. » — Ἀπέκαμον, ἠτόνησαν οἱ ὀφθαλμοί μου. Δηλοῖ δὲ τὸ τῆς εἰς Θεὸν προσδοκίας ἐπίμονον.

« Ἃ οὐχ ἥρπασα, τότε ἀπετίννυον. » — Ὑπὲρ ὧν οὐκ ἠδίκησα, δίκας ἀπεδίδουν τότε ὁπότε ἀπητούμην αὐτάς.

« Ὁ Θεός, σὺ ἔγνως τὴν ἀφροσύνην μου. » — Οἶδας ὅτι κατ' αὐτῶν ἠφρονευσάμην.

« Καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβησαν. » — Καὶ εἴ τι πρὸς αὐτοὺς ἐπλημμέλησα, οὐ διέλαθέ σε.

« Μὴ αἰσχυνθείησαν ἐπ' ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε, Κύριε τῶν δυνάμεων. » — Μὴ αἰσχυνθείησαν δι' ἐμὲ ἀποτυχόντα τῆς ἀπὸ σοῦ προσδοκωμένης βοηθείας.

« Μηδὲ ἐντραπείησαν ἐπ' ἐμὲ οἱ ζητοῦντές σε, ὁ Θεὸς τοῦ Ἰσραήλ. » — Ζητοῦντας τοὺς ἐπικαλουμένους φησί.

« Ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου. » — Τὰ ἐντεῦθεν ἔτι ἀριδηλότερον ἁρμόζουσι τῷ Χριστῷ.

« Ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με. » — Ζῆλον λέγει τὴν δικαίαν ὑπὲρ ἱεροῦ ἀγανάκτησιν.

« Καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἔπεσαν ἐπ' ἐμέ. » — Καὶ ὠνειδίσθην ὑπὸ τῶν ὀνειδιζόντων σε διὰ τῶν πονηρῶν αὐτῶν πράξεων· δι' αὐτοὺς γὰρ βλασφημεῖται τὸ ὄνομά σου ἐν τοῖς ἔθνεσι.

« Καὶ συνέκαλυψα ἐν νηστείᾳ τὴν ψυχήν μου. » — Ἔκρυψα ἐμαυτὸν διὰ νηστείας τῷ διαβόλῳ· καὶ ὑπέλαβε ψιλὸν εἶναί με ἄνθρωπον.

« Καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί. » — Καὶ ἡ νηστεία γέγονέ μοι εἰς ὄνειδος· ἐντεῦθεν γὰρ ὁ διάβολος ὡς ἄνθρωπον ἐξουδένου με.

« Καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον. » — Σάκκον καλεῖ τὴν σάρκα διὰ τὸ σκληρὸν αὐτῆς καὶ ἀντίτυπον. Ἐνεδυσάμην οὖν, φησί, σάρκα, καὶ οὐκ ἐγίνωσκεν ὁ διάβολος τίς εἰμι.

« Καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν. » — Μετὰ τὸ σταυρωθῆναι τὸν Κύριον παράδειγμα ἐποιοῦντο τοῦτον οἱ Ἰουδαῖοι, ἀγνοοῦντες ὡς δι' αὐτὸν ταῖς ἀληθείαις παραδειγματισθήσονται.

« Ἐγὼ δὲ καὶ ἡ προσευχή μου πρὸς σέ, Κύριε. » — Ἐγὼ δὲ πρὸ τοῦ παθεῖν τῇ προσευχῇ μου, πρὸς σὲ προσηυχόμην δηλαδή, λέγων· Κύριε, καιρὸς εὐδοκίας· Πάτερ, ἐλήλυθεν ἡ ὥρα· εὐδοκία γὰρ τὸ ἀγαθὸν θέλημα, τὸ διὰ σταυρικοῦ θανάτου ζωοποιῆσαι τὸν Κύριον ἡμᾶς τοὺς νεκρωθέντας τῇ ἁμαρτίᾳ.

« Καιρὸς εὐδοκίας, ὁ Θεός. » — Νόμῳ φύσεως ἀνθρωπίνης ἀπαλλαγμὸν ἐζήτει τῶν πειρασμῶν ὁ Χριστός.

« Ἐν ἀληθείᾳ τῆς σωτηρίας σου. » — Ἀντὶ τοῦ, ἐν τῇ ἀληθινῇ σωτηρίᾳ σου· μόνη γὰρ ἀληθὴς ἡ σωτηρία ἡ παρὰ σοῦ. Σῶσόν με τῆς ἰλύος τῶν πειρασμῶν, ἵνα μὴ τέλεον συγχωρηθῶ.

« Ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με. » — Ἵνα μὴ ἐπιχαρῶσι τῇ ἀπωλείᾳ μου.

« Σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου. » — Οἶδας ὅσα με ὀνειδίζουσι καὶ αἰσχύνουσι καὶ ἐντρέπουσιν ὡς αὐτοῖς δοκεῖ.

« Ἐναντίον σου πάντες οἱ θλίβοντές με. » — Σὺ γὰρ τὰ πάντα ὁρᾷς.

« Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν. » — Προεγίνωσκον, φησί, πάντα.

« Καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντας, καὶ οὐχ εὗρον. » — Τὸ μὲν ὑπέμεινα, ἀντὶ τοῦ περιέμεινα· οὐ δὲ παρακαλοῦντας, ἀντὶ τοῦ παραμυθουμένους.

« Καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. » — Τὸ μὲν εἰς τὸ βρῶμα, ἀντὶ τοῦ εἰς τὸ φαγεῖν με· τὸ δὲ εἰς τὴν δίψαν μου, ἀντὶ τοῦ ὅτε ἐδίψων.

« Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν, καὶ εἰς σκάνδαλον. » — Διὰ μὲν τῆς τραπέζης τὴν εὐφροσύνην δηλοῖ, διὰ δὲ τῶν ἐπαγομένων τὴν λύπην. Ἀνταπόδοσιν δὲ λέγει τὴν δικαίαν ἀπότισιν. Τύπῳ δὲ ἀρᾶς προφητεύει τὰ γενησόμενα.

« Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν. » — Τοὺς ψυχικοὺς φησιν ὀφθαλμούς.

« Καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον. » — Ἀεὶ δουλείαν αἰνίττεται τὸ ῥητόν.

« Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν. » — Ἔπαυλιν λέγει τὴν πόλιν Ἱερουσαλήμ, ἐν ᾗ κοινῶς οἱ θεοκτόνοι ηὐλίζοντο· σκηνώματα δὲ ἰδίως τὰς οἰκίας αὐτῶν.

« Ὅτι ὃν σὺ ἐπάταξας αὐτοὶ κατεδίωξαν. » —

OCR ABK / FR

Ὅτι ὃν σὺ παταχθῆναι παρεσκεύασας αὐτοὶ κατέδραμον, ἄχρις ἂν ἐφόνευσαν.

« Καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν. » — Ηὔξησάν μοι τὸ ἄλγος τῶν τραυμάτων, τῇ προσθήκῃ τοῦ ὀνειδισμοῦ· ἢ καὶ τῆς συκοφαντίας, ὅτι ταφεὶς ἐκλάπη, ἀλλ' οὐκ ἀνέστη·

« Πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν. » — Τὰς αὐξήσεις προλέγει τῶν συμβησομένων συμφορῶν τοῖς Ἰουδαίοις· ἀνομίαν γὰρ ἐνταῦθα τὴν δι' ἁμαρτίαν ἐπαγομένην τιμωρίαν φησί.

« Καὶ οὐκ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου. » — Καὶ οὐ μὴ ἔλθωσιν εἰς τὸ δικαιωθῆναι παρὰ σοῦ καὶ τυχεῖν ἐλέους.

« Ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων. » — Ζῶντας λέγει τοὺς κληρονόμους τὴν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ζωὴν τὴν αἰώνιον. Βίβλον δὲ τροπικῶς τὴν θείαν γνῶσιν καλεῖ.

« Καὶ μετὰ δικαίων μὴ γραφήτωσαν. — Τοῦτο τοῦ ἄνω ἑρμηνευτικόν.

« Πτωχὸς καὶ ἀλγῶν εἰμὶ ἐγώ. » — Πτωχὸς μὲν ὁ Κύριος κατὰ σάρκα καὶ τῶν ἐπὶ γῆς εὐτελέστατος· ἀλγῶν δὲ τοῖς δι' ἡμᾶς πάθεσι τοῦ παναγίου αὐτοῦ σώματος.

« Ἡ σωτηρία σου, ὁ Θεός, ἀντελάβετό μου. » — Τὰ ἐντεῦθεν προσώπῳ τῆς Ἐκκλησίας, Ἡ ἀπὸ σοῦ σωτηρία, λεγούσης, ἠλευθέρωσέ με τῆς πλάνης.

« Καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς. » — Τοιοῦτος γὰρ ὁ κατὰ νόμον θυόμενος μόσχος, ἀκμαῖος ἤδη· τοῦτο γὰρ ἡ ἀρτιφυΐα τῶν κεράτων καὶ τῶν ὀνύχων δηλοῖ· μᾶλλον δὲ τὴν τῆς νομικῆς λατρείας νέκρωσιν διὰ τῆς τῶν κεράτων καὶ ὅπλων νεκρότητος ὁ Προφήτης ἠνίξατο.

« Εἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν. » — Οἱ πτωχοὶ πιστοὶ ἰδέτωσαν ὅσα ὁ Κύριος πέπονθε δι' αὐτοὺς καὶ ὅσα κατώρθωσε.

« Ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσε. » — Ἐν τῷ πρὸ τούτου ψαλμῷ περὶ τῶν πεπεδημένων διείληπται.

« Ὅτι ὁ Θεὸς σώσει τὴν Σιών, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας. » — Σιὼν λέγει τῶν πιστῶν Ἐκκλησίαν τὴν καθολικήν· πόλεις δὲ Ἰουδαίας τὰς κατὰ μέρος συναγωγάς, αἳ δι' ἐξομολογήσεως προσέρχονται τῷ Χριστῷ· Ἰουδαία γὰρ ἐξομολόγησις ἑρμηνεύεται.

« Καὶ κατοικήσουσιν ἐκεῖ καὶ κληρονομήσουσιν αὐτήν. » — Οἱ δοῦλοί σου δηλαδή, τουτέστι οἱ ἀπόστολοι καὶ οἱ ποιμένες, ὧν σπέρμα οἱ μαθηταὶ αὐτῶν Χριστιανοί.

## ΨΑΛΜΟΣ ΞΘ'.

« Εἰς τὸ τέλος τῷ Δαυὶδ εἰς ἀνάμνησιν, εἰς τὸ σῶσαί με Κύριον. Θεός, εἰς τὴν βοήθειάν μου πρόσχες· Κύριε, εἰς τὸ βοηθῆσαί μοι σπεῦσον. » — Τὸ τῇ ἐπιγραφῇ προκείμενον τὸ εἰς τὸ σῶσαί με Κύριον δηλαδή, τοῖς ἐξηγηταῖς ὠβέλισται· δηλοῖ δὲ ὅμως ἐν βραχεῖ τὸν σκοπὸν τοῦ ψαλμοῦ· συνθέμενος γὰρ ὁ Προφήτης τὸν παρόντα ψαλμὸν ἐξ ὧν ἐν τῷ λθ' προείρηκα, πρόχειρον εἶχεν ἀεὶ καὶ δι' αὐτοῦ τῆς κατὰ τὸν Οὐρίαν παρανομίας ἀναμιμνησκόμενος

A καὶ τῶν ἄλλων ἐπιβουλῶν τῶν τε παρὰ τῶν νοητῶν ἐχθρῶν καὶ τῶν αἰσθητῶν, ἤτοι σωτηρίαν ἐκ τοῦ Θεοῦ, χρώμενος τῷ τοιούτῳ ψαλμῷ καὶ οἷα τινὶ ἐπῳδῇ κατὰ πάσης προσβολῆς παντοίων ἐχθρῶν.

## ΨΑΛΜΟΣ Ο'.

« Τῷ Δαυὶδ ψαλμός, τῶν υἱῶν Ἰωναδάβ, καὶ τῶν πρώτων αἰχμαλωτισθέντων. » — Προσώπῳ τῶνδε συντέθειται ὁ ψαλμός, ἁρμόζει δὲ τοῖς τῆς εὐσεβείας ἀγωνισταῖς, ὑπὸ αἰσθητῶν πολεμουμένης καὶ νοουμένων ἐχθρῶν.

« Ἐπὶ σοί, Κύριε, ἤλπισα, μὴ καταισχυνθείην εἰς τὸν αἰῶνα. » — Ἅμα τῷ τεχθῆναι ἐπὶ σὲ ἡδράσθην ὡς ἐπὶ ἔρεισμα.

« Ἐν σοὶ ἡ ὕμνησίς μου διαπαντός. » — Σύ, φησίν, ἀεὶ ὑμνῶ· τὸ γοῦν ἐν σοί, ἀντὶ τοῦ εἰς σέ.

B « Ὡσεὶ τέρας ἐγενήθην τοῖς πολλοῖς· καὶ σὺ βοηθός μου κραταιός. » — Συντακεὶς ὑπὸ νηστείας καὶ σακκενδυτῶν, καὶ εἰδεχθὴς ἐκ λύπης, φερόμενος οἱονεὶ τέρας ἐνομίσθην τοῖς χυδαίοις, ἀλλ' οὐ τοῖς ἔμφροσι.

« Πληρωθήτω τὸ στόμα μου αἰνέσεως, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου. » — Τὸ πληρωθήτω ἀντὶ τοῦ πληρωθείη, ὡς ἂν ὑμνήσω, φησί, τὴν μεγαλοσύνην σου, καὶ οὐχ ἅπαξ, ἀλλ' ὅλην τὴν ἡμέραν, τουτέστι διαπαντός.

« Μὴ ἀποῤῥίψῃς με εἰς καιρὸν γήρως· ἐν τῷ ἐκλείπειν τὴν ἰσχύν, μὴ ἐγκαταλίπῃς με. » — Ὁ ἐκ νεότητος βοηθῶν μοι μὴ ἀπώσῃ με ἐν τῷ καιρῷ τοῦ γήρως· γῆρας δὲ νοεῖται καὶ ἡ ἁμαρτία διὰ τὴν ψυχικὴν ἀτονίαν.

C « Ὅτι εἶπον οἱ ἐχθροί μου ἐμοί. » — Τὸ ἐμοί, ἀντὶ τοῦ ἐπ' ἐμοί, τουτέστι δι' ἐμέ· εἶπον δὲ πρὸς ἀλλήλους.

« Καὶ οἱ φυλάσσοντες τὴν ψυχήν μου ἐβουλεύσαντο ἐπὶ τὸ αὐτό. » — Φυλάσσοντας λέγει τοὺς ἐπιτηροῦντάς τε καὶ ἐπιβουλεύοντας.

« Ὁ Θεός μου, μὴ μακρύνῃς ἀπ' ἐμοῦ· ὁ Θεός μου, εἰς τὴν βοήθειάν μου πρόσσχες. » — Μακρύνει ὁ Θεὸς οὐ κατ' οὐσίαν, ἀόριστος γάρ, ἀλλὰ κατὰ πρόνοιαν, ὅταν ὑπὸ τῆς δυσωδίας διώκηται τῶν ἁμαρτιῶν ἡμῶν.

« Ἐγὼ δὲ διαπαντὸς ἐλπιῶ ἐπὶ σέ, καὶ προσθήσω ἐπὶ πᾶσαν τὴν αἴνεσίν σου. » — Πᾶσαν εἶπεν ὅτι οὐ διὰ λόγων μόνον, ἀλλὰ καὶ δι' ἔργων ἐστὶν αἴνεσις· φησὶ γὰρ ὁ Σωτήρ, « Ὅπως ἴδωσι τὰ καλὰ
D ἔργα ὑμῶν καὶ δοξάζωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. »

« Ὅτι οὐκ ἔγνων γραμματείας. » — Ὑποσχόμενος ἀναγγεῖλαι τὴν τοῦ Θεοῦ δικαιοσύνην καὶ τὴν παρ' αὐτοῦ σωτηρίαν· εἶτα συνεὶς ὅτι οὐκ ἔστιν ἱκανός, μετροφρονεῖ λέγων· Διότι οὐκ ἔμαθον σοφιστείας τεχνικὰς ἵν' ἐντεῦθεν δυνηθῶ ἀξίως ἀναγγέλλειν· διὰ τοῦτο εἰσελεύσομαι εἰς τὴν ὑπόσχεσιν ἐν τῇ τοῦ Θεοῦ δυνάμει, καὶ ταύτῃ θαῤῥῶν ἐπιχειρήσω τῷ ἀναγγεῖλαι.

« Κύριε· μνησθήσομαι τῆς δικαιοσύνης σου μόνου. » — Μόνου εἶπεν ὥσπερ εἰ ἔλεγε, Σὺ μόνος δικάσεις ἡμῖν τε καὶ τοῖς ἐχθροῖς.

OCR ABK / FR

« Ὁ Θεός, ἐδίδαξάς με ἐκ νεότητός μου καὶ μέχρι νῦν ἀπαγγελῶ τὰ θαυμάσιά σου. » — Ὑπερβατικῶς, Ὁ Θεός μου, ἀπαγγελῶ τὰ θαυμάσιά σου, ἃ ἐδίδαξάς με ἐκ νεότητός μου καὶ μέχρι τοῦ νῦν, τά τε ἐν βίβλοις γεγραμμένα, καὶ ὅσα ἐν ταῖς ἡμέραις μου γεγόνασιν.

« Καὶ ἕως γήρως καὶ πρεσβείου, ὁ Θεός μου, μὴ ἐγκαταλίπῃς με. » — Τὸ ἕως ἀόριστον, ἰδιώματι γραφικῷ. Πρεσβεῖον δὲ τὸ ἔσχατον γῆράς ἐστιν, ὅθεν καὶ πρεσβύτης.

« Τὴν δυναστείαν σου καὶ τὴν δικαιοσύνην σου. » — Ἀπὸ κοινοῦ τὸ, « ἕως ἂν ἀπαγγείλω. » Ἔστι δὲ ἡ δυναστεία ἑρμηνευτικὸν τοῦ βραχίονος. Τὸ δ' ἑξῆς ὑπερβατῶς, τὴν ἕως τῶν ὑψίστων δικαιοσύνην σου. Ὕψιστοι δὲ, τουτέστιν ὑψηλότατοι, οἱ οὐρανοί.

« Ὁ Θεός, ἕως τῶν ὑψίστων ἃ ἐποίησας μεγαλεῖα. » — Τὸ ἃ καὶ τὸ ὅσας ἠθικῶς ἀναγνωστέον ἀπὸ καρδίας· εἶτα ἐπενεκτέον τὸ ἑξῆς, ὅτι πολλὰς καὶ κακωτικὰς εἴπουν βαρείας.

« Ὅσας ἔδειξάς μοι θλίψεις πολλὰς καὶ κακὰς καὶ ἐπιστρέψας ἐζωοποίησάς με· καὶ ἐκ τῶν ἀβύσσων τῆς γῆς ἀνήγαγές με. » — Θανάτῳ γὰρ αἱ σφοδραὶ θλίψεις ἐοίκασιν.

« Ἐπλεόνασας ἐπ' ἐμὲ τὴν μεγαλωσύνην σου. » — Ἀντὶ τοῦ ἐπεδαψιλεύσω.

« Καὶ γὰρ ἐγὼ ἐξομολογήσομαί σοι ἐν λαοῖς, Κύριε· » — Ὁ γὰρ σύνδεσμος παρέλκει.

« Ἐν σκεύεσι ψαλμοῦ τὴν ἀλήθειάν σου, ὁ Θεός. » — Σκεύη ψαλμῶν τὰ διάφορα εἴδη τῶν μουσικῶν ὀργάνων, ἢ καὶ αὐτὰ τὰ ψάλλοντα ὄργανα φωνητικά· καὶ ἄλλως δὲ τὰ εἴδη καὶ οἱ χαρακτῆρες τῶν ὕμνων· ἀναγωγικῶς δὲ καὶ τῶν πιστῶν αἱ ψυχαί.

« Ψαλῶ σοι ἐν κιθάρᾳ, ὁ ἅγιος τοῦ Ἰσραήλ. » — Ἡ κιθάρα ἀνάγεται εἰς τὴν ψυχήν· ἅγιος δὲ τοῦ Ἰσραὴλ, ὁ ἁγιάζων τὸν Ἰσραήλ.

« Ἀγαλλιάσεται τὰ χείλη μου ὅταν ψαλῶ σοι· καὶ ἡ ψυχή μου ἣν ἐλυτρώσω. » — Ἐξ ὁρατῶν δηλαδὴ καὶ ἀοράτων ἐχθρῶν.

« Ἔτι δὲ καὶ ἡ γλῶσσά μου ὅλην τὴν ἡμέραν μελετήσει τὴν δικαιοσύνην σου. » — Τὸ μελετήσει, ἀντὶ τοῦ ἐπιμόνως λαλήσει.

« Ὅταν αἰσχυνθῶσι καὶ ἐντραπῶσιν οἱ ζητοῦντες τὰ κακά μοι. » — Τέλεον γὰρ ἀπαλλαγεὶς τῶν ἐχθρῶν ἀπερισπάστως ἐνδιατρίψω καὶ ἐμφιλοχωρήσω τοῖς ὕμνοις σου.

## ΨΑΛΜΟΣ ΟΑ'.

« Εἰς Σολομῶντα. » — Οὗτος ὁ ψαλμὸς προδήλως εἰς τὸν εἰρηνικώτατον ἐῤῥέθη Χριστόν· ὁ γὰρ Σολομῶν οὔτε συμπαρέμεινε τῷ ἡλίῳ οὔτε πρὸ τῆς σελήνης ἦν, οὔτε κατεκυρίευε τῶν περάτων τῆς γῆς, οὔτε πρὸ τοῦ ἡλίου τὸ ὄνομα αὐτοῦ.

« Ὁ Θεός, τὸ κρίμά σου βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην τῷ υἱῷ τοῦ βασιλέως. » — Προεωρακὼς ὁ Δαυῒδ τὰ κατὰ Χριστὸν παρακαλεῖ ταχῦναι ταῦτα, καὶ δοθῆναι αὐτῷ ὡς ἀνθρώπῳ ἃ εἶχεν ὡς Θεός. Βασιλέα δὲ καὶ βασιλέως υἱὸν ἐκάλεσεν αὐτὸν ὡς Θεὸν καὶ Θεοῦ Υἱὸν, καὶ κατὰ τὸ ἀνθρώπινον ἐκ βασιλικῆς φυλῆς καταγόμενον, καὶ τοῦ βασιλέως A Δαυῒδ ὄντα υἱόν. Κρῖμα δὲ ὠνόμασε τὴν κρίσιν, οὗ ἑρμηνευτικὸν ἡ δικαιοσύνη.

« Κρίνειν τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοὺς πτωχούς σου ἐν κρίσει. » — Τοὺς λαὸν μὲν ὄντας Θεοῦ νῦν διὰ τὴν πίστιν, πτωχοὺς δὲ διὰ τὴν προτέραν ἀπιστίαν κρίνει, φησί, μετὰ τοῦ διαβόλου· τὴν κρίσιν γὰρ πᾶσαν ὁ Πατὴρ δέδωκε τῷ Υἱῷ, καθὼς ὁ Κύριος εἴρηκε. Καὶ πάλιν, « Νῦν κρίσις ἐστὶ τοῦ κόσμου. »

« Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην. » — Τῶν ἐν ὄρεσι καὶ βουνοῖς τιμωμένων στασιαστῶν καὶ ἀδίκων δαιμόνων ἀπελθόντων. Ὁ αὐτός ἐστι συκοφάντης καὶ ὁ διάβολος, ὁ τοῦ Κυρίου καταψευσάμενος, ὅτι διὰ φθόνον ἀπηγόρευσε τοῦ φυτοῦ τὴν μετάληψιν.

B « Κρινεῖ τοὺς πτωχοὺς τοῦ λαοῦ, καὶ σώσει τοὺς υἱοὺς τῶν πενήτων, καὶ ταπεινώσει συκοφάντην. Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ καὶ πρὸ τῆς σελήνης γενεὰς γενεῶν. » — Διὰ τοῦ μὲν συμπαραμενεῖ τῷ ἡλίῳ τὸ ἀτελεύτητον τοῦ Κυρίου ἐδήλωσε· διὰ δὲ πρὸ τῆς σελήνης τὸ ἄναρχον· ἐπήγαγε γὰρ πρὸς ἀμφότερα τὸ γενεὰς γενεῶν, ὅ ἐστι τοῦ ἀπείρου καὶ ἀϊδίου ἐμφαντικόν.

« Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν. » — Ἡ μὲν τοῦ ὑετοῦ πρὸς τὸν πόκον κατάβασις τὴν ἐν τῇ μήτρᾳ τῆς Παρθένου κάθοδον τοῦ Λόγου ὑποδηλοῖ τῆς ἐκ τοῦ πλανηθέντος προβάτου τὴν γένεσιν ἐσχηκυίας· ἡ δὲ τῆς σταγόνος πρὸς γῆν, τὴν δευτέραν τοῦ Κυρίου πρὸς τὴν οἰκουμένην ἐπέλευσιν· ἐκεῖ μὲν γὰρ πολὺ τὸ λεληθὸς, ἐνταῦθα δὲ τὸ ἀλάθητον οὐδένα λανθάνει C φορᾶς σταγόνων πρὸς τὴν ἀντίτυπον γῆν. Ὅρα δὲ καὶ τὴν τῶν συμβόλων ἐνάργειαν· πρότερον ὁ ὑετὸς ἐν πόκῳ, καὶ τότε ἐν γῇ, καὶ ὅτε μὲν ἐν τῷ πόκῳ οὐκ ἐν τῇ γῇ, ὅτε δ' ἐν τῇ γῇ πάλιν οὐκ ἐν τῷ πόκῳ.

« Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη. » — Ἐπειδὴ τῆς δευτέρας ἐμνήσθη τοῦ Κυρίου ἐπιφανείας, λέγει τίνα ἔσται τότε. Φησὶν οὖν λάμψαι πανταχοῦ τὴν δικαιοσύνην, ἥτις ἐστὶν ἡ τῆς δημιουργοῦ Τριάδος ἐπίγνωσις καὶ προσκύνησις, καὶ ἡ τοῦ κατ' ἀξίαν ἑκάστου διανομή.

« Καὶ πλῆθος εἰρήνης. » — Τότε γὰρ τελείως λυθήσεται τὸ τῆς ἔχθρας μεσότειχον, πάντων ὑποτεταγμένων τῷ πλάσαντι.

« Ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη. » — Τοῦτο δηλοῖ τὴν τῆς εἰρήνης διηνεκτίαν· τὰ γὰρ ποιήματα τοῦ D Θεοῦ ἀλλοιωθήσονται μὲν τὸ κρεῖττον καὶ ἐνδοξότερον· οὐ μὴν ἀναιρεθήσονται πώποτε.

« Καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης· καὶ ἀπὸ ποταμῶν ἕως τῶν περάτων τῆς γῆς. » — Τὰ τοῦ ὠκεανοῦ μέρη τοῦ κυκλοῦντος πᾶσαν τὴν γῆν διὰ μὲν τὸν πληθυσμὸν τῶν ὑδάτων θαλάσσας ὠνόμασε, διὰ δὲ τὸ ἀέναον ποταμούς. Κυρίευσιν δὲ λέγει τὴν κατ' ἐπίγνωσιν.

« Ἐνώπιον αὐτοῦ προσπεσοῦνται Αἰθίοπες. » — Τὴν ὑποταγὴν πάσης τῆς οἰκουμένης διὰ τῶν τὰ ἄκρα ταύτης οἰκούντων ἐνέφηνεν.

« Καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι. » — Οἱ δαίμονες, φησί, τελείως καταβληθήσονται.

OCR ABK / FR

« Βασιλεῖς Θαρσεῖς καὶ νῆσοι δῶρα προσοίσουσι· βασιλεῖς Ἀράβων καὶ Σαβᾶ δῶρα προσάξουσιν. » — Θαρσεῖς τὴν τῆς Λιβύης Καρχηδόνα φησίν, Σαβᾶ δὲ πόλιν Ἰνδίας περιφανῆ. Διὰ τῆς προσαγωγῆς οὖν τῶν δώρων, τῆς ὑπ' αὐτῶν τε καὶ τῶν κατὰ θάλασσαν νήσων, τῆς ἁπάσης γῆς καὶ θαλάσσης ἐδήλωσεν ὑπακοὴν ἀκούσιον εἰς Χριστόν.

« Ὅτι ἐῤῥύσατο πτωχὸν ἐκ δυνάστου, καὶ πένητα ᾧ οὐχ ὑπῆρχε βοηθός. » — Πτωχὸν καὶ πένητα λέγει τὸν ἐξ ἐθνῶν λαόν· δυνάστην δὲ τὸν κατατυραννοῦντα τούτου πάλαι διάβολον.

«Φείσεται πτωχοῦ καὶ πένητος καὶ ψυχὰς πενήτων σώσει. » — Ποτὲ μὲν περὶ τῆς δευτέρας ἐπιδημίας τοῦ Σωτῆρός φησι· ποτὲ δὲ περὶ τῆς πρώτης μεταβαίνων τῷ λόγῳ καὶ τὴν τάξιν μεταλλάττων τῆς διηγήσεως, ἔθει προφητικῷ.

« Ἐκ τόκου καὶ ἐξ ἀδικίας λυτρώσεται τὰς ψυχὰς αὐτῶν. » — Τόκον λέγει τὴν καθ' ἡμῶν πλεονεξίαν τοῦ Σατανᾶ καὶ ἀδικίαν, τὴν ὑπ' αὐτοῦ καταδούλωσιν, ἐξ ὧν τοὺς πιστεύσαντας ὁ Κύριος ἐλυτρώσατο.

« Καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ. » — Μετὰ τὴν τριήμερον ταφὴν ζήσεται εἰς τὸν αἰῶνα.

« Ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας. » — Πάλιν διὰ τῆς δωροφορίας τὴν ὑποταγὴν σημαίνει.

« Καὶ προσεύξονται περὶ αὐτοῦ διαπαντός. » — Τὸ περὶ αὐτοῦ ἀντὶ τοῦ περὶ τῆς παρ' αὐτοῦ σωτηρίας.

« Ἔσται στήριγμα ἐν τῇ γῇ ἐπ' ἄκρων τῶν ὀρέων. » — Ἔσται ὁ Χριστὸς στήριγμα ἐν τῇ γῇ, τουτέστι τοῖς ἐν τῇ γῇ, ἤγουν τῇ Ἐκκλησίᾳ αὐτοῦ, τῇ ἐπ' ἄκρων τῶν ὀρέων, ἤτοι τῇ περιφανεῖ καὶ περιόπτῳ ταῖς ἀρεταῖς.

« Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ. » — Ὁ καρπός, ἤγουν ἡ διδασκαλία αὐτοῦ, τουτέστι τὸ Εὐαγγέλιον, καὶ ὑπὲρ τὸ ὕψος τοῦ Λιβάνου ὑψωθήσεται· τοῦτο δὲ εἶπε, διὰ τὸ μέλλειν ὑψωθῆναι καὶ δοξασθῆναι τὸ κήρυγμα τοῦ Χριστοῦ καὶ πάσης εἰδωλολατρείας κυριεῦσαι, κατείδωλον γὰρ ὄρος ὁ Λίβανος.

« Καὶ ἐξανθήσουσιν ἐκ πόλεως ὡσεὶ χόρτος τῆς γῆς. » — Ἐξανθήσουσιν ἐκ πόλεως ἁπάσης οἱ πιστοὶ δίκην χόρτου διὰ τὸ πλῆθος καὶ τὴν ἐπίδοσιν.

« Καὶ ἐνευλογισθήσονται ἐν αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς. » — Τὸ ἐνευλογηθήσονται, ἀντὶ τοῦ ἁγιασθήσονται.

« Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος. » — Ἰδοὺ καὶ Θεὸν ἐκάλεσεν αὐτὸν φανερῶν καὶ μόνον πρὸς ἀντιδιαστολὴν τῶν ψευδωνύμων θεῶν.

« Καὶ πληρωθήσεται τῆς δόξης αὐτοῦ πᾶσα ἡ γῆ· γένοιτο, γένοιτο. » — Προλέγει καὶ τοῦτο τὴν πίστιν ἁπάντων ἐθνῶν.

## ΨΑΛΜΟΣ ΟΒ'.

« Ἐξέλιπον οἱ ὕμνοι Δαυΐδ τοῦ υἱοῦ Ἰεσσαί. Ψαλμὸς τῷ Ἀσάφ. » — Πάντες μὲν οἱ ψαλμοὶ ποιήματα τοῦ Δαυΐδ, οὐ πάντες δὲ ὑμνῳδήθησαν παρ' αὐτοῦ. Καὶ τοῦτο δηλοῖ τὸ ἐξέλιπον οἱ ὕμνοι

A Δαυΐδ, τουτέστιν οἱ ἑξῆς ψαλμοὶ οὐχ ὑμνῳδήθησαν παρὰ τοῦ Δαυΐδ· διὸ καὶ οὐχ οἱ ψαλμοί, φησίν, ἐξέλιπον τοῦ Δαυΐδ, ἀλλ' οἱ ὕμνοι. Ἐσχημάτισται δὲ ὁ παρὼν ψαλμὸς προσώπῳ τοῦ ἐν Βαβυλῶνι δορυαλώτου λαοῦ· ἁρμόζει δὲ καὶ παντὶ μικροψυχοῦντι, ἐφ' οἷς οἱ πονηροὶ εὐπραγοῦσι καὶ δυσπραγοῦσιν οἱ ἀγαθοί, τὴν τοιαύτην μικροψυχίαν παραμυθούμενος.

« Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ, τοῖς εὐθέσι τῇ καρδίᾳ. » — Λίαν ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραήλ· εἰ παιδεύει γάρ, ἀλλ' ἐξ ἀγάπης καὶ πρὸς διόρθωσιν. Τοῦτο δὲ ὢν κρίνεται παρὰ τοῖς ὀρθῶς λογιζομένοις· καρδίᾳ γὰρ τὸν λογισμὸν ἐνταῦθα ὑποληπτέον.

« Ἐμοῦ δὲ παρὰ μικρὸν ἐσαλεύθησαν οἱ πόδες. » — Πόδας καλεῖ τοὺς ὑπερείδοντας τὴν ψυχὴν εὐσεβεῖς

B λογισμούς. Φησὶ δέ, Μικροῦ παρετράπην καὶ ὑπεσύρην εἰς ὄλισθον, τοῦ μὴ τὸν Θεὸν οἴεσθαι προνοεῖν τοῦ κόσμου.

« Παρ' ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου. » — Τουτέστιν, ἐχαυνώθη τὰ διανοήματά μου.

« Ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν θεωρῶν. » — Ὅτι ἐπὶ τοῖς ἀνόμοις ἐχθροῖς ἐθυμώθην, δικαίως ὡς ὑπελάμβανον, ἐν ἀταραξίᾳ παντελεῖ διάγοντας βλέπων αὐτούς.

« Ὅτι οὐκ ἔστιν ἀνάνευσις ἐν τῷ θανάτῳ αὐτῶν. » — Ἀνάνευσις ἡ ἀπαγόρευσις. Φησὶ γοῦν· Οὐκ ἔστιν ἀπευκτὸς ὁ θάνατος αὐτῶν, ἅτε κατὰ φύσιν καὶ μὴ βιαίως ἐπερχόμενος.

« Καὶ στερέωμα ἐν τῇ μάστιγι αὐτῶν. » — Οὐδ' ἐπιμονὴ ἐν τῇ πληγῇ αὐτῶν· εἰ γάρ ποτε κακωθεῖεν,

C ταχὺ τῆς θλίψεως ἀπαλλάττονται.

« Ἐν κόποις ἀνθρώπων οὐκ εἰσί, καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται. » Οὐκ εἰσὶν ἐν κόποις ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων· τὸ γὰρ κοπιᾷν ἴδιον ἀνθρώπων· ἀλλ' ἀπόνως κτῶνται τὰ ἀγαθὰ καὶ καθὼς οἱ λοιποὶ ἄνθρωποι, οὐ κακωθήσονται, ὥς ἔμοιγε φαίνεται.

« Διὰ τοῦτο ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία αὐτῶν εἰς τέλος, ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν. » — Λιπαρὰ καὶ δαψιλής· τοιοῦτον γὰρ τὸ ἀποῤῥέον ἐκ στέατος.

« Διήλθοσαν εἰς διάθεσιν καρδίας. » — Ἦλθον εἰς ἕξιν τῆς ἀδικίας· ἕξις γὰρ ἡ περί τι μένουσα διάθεσις, ἤτοι σχέσις τῆς καρδίας.

« Διενοήθησαν καὶ ἐλάλησαν ἐν πονηρίᾳ. » — Ἐκ

D μελέτης καὶ σκέψεως ἐλάλησαν πονηρά, καὶ οὐ κατὰ συναρπαγήν.

« Ἀδικίαν εἰς τὸ ὕψος ἐλάλησαν. » — Κατὰ τοῦ ὑψίστου Θεοῦ ἐβλασφήμησαν, λέγοντες μὴ εἶναι αὐτὸν Θεόν.

« Ἔθεντο εἰς οὐρανὸν τὸ στόμα αὐτῶν, καὶ ἡ γλῶσσα διῆλθεν ἐπὶ τῆς γῆς. » — Ὕβριζον μὲν τὸν Θεόν· κατεπᾴδουν δὲ τοὺς ἀνθρώπους.

« Διὰ τοῦτο ἐπιστρέψει ὁ λαός μου ἐνταῦθα. » — Διὰ τὴν κακίαν οὖν τῶν ἐχθρῶν, φησὶν ὁ Θεός, ἐπιστρέψει ὁ ἐν αἰχμαλωσίᾳ λαός μου ἐπὶ τὴν ἑαυτοῦ πατρίδα.

« Καὶ ἡμέραι πλήρεις εὑρεθήσονται ἐν αὐτοῖς. »

OCR ABK / FR

— Πεπληρωμέναι, ὅσον εἰς μέτρον ζωῆς ἢ ὅσον εἰς ἀρετὴν, ἤγουν γηράσουσιν ἢ εὐαρεστήσουσί μοι.

« Καὶ εἶπον· Πῶς ἔγνω ὁ Θεός; » — Ὅσοι τοῦ λαοῦ μικροψυχότεροι καὶ ἀσυνετώτεροι τὰ τογμώμενα βλέποντες, εἶπον· Πῶς ἔγνω καὶ ὑπομένει ταῦτα ὁ Θεός;

« Καὶ εἰ ἔστι γνῶσις ἐν τῷ Ὑψίστῳ; » — Ἐζήτησαν εἰ ἔστι γνῶσις τῶν οὕτω γινομένων ἐν τῷ Θεῷ.

« Ἰδοὺ οὗτοι οἱ ἁμαρτωλοί. » — Ἀπὸ κοινοῦ τὸ εἶπον. Ἰδοὺ οὗτοι οἱ Βαβυλώνιοι ἁμαρτωλοί εἰσι.

« Καὶ εὐθηνοῦντες εἰς τὸν αἰῶνα, κατέσχον πλούτου. » — Διαπαντὸς κατεκράτησαν πλούτου·

« Καὶ εἶπα· Ἄρα ματαίως ἐδικαίωσα τὴν καρδίαν μου, καὶ ἐνιψάμην ἐν ἀθώοις τὰς χεῖράς μου; » — Ἀλλὰ καὶ αὐτὸς ἔπαθόν τι τοιοῦτον ὁ μεγαλοψυχώτερος καὶ συνετώτερος, καὶ εἶπον ἐν ἑαυτῷ, Ἄρα διακενῆς ἐδικαίωσα τὴν ψυχήν μου, ἐποίησα καθαρίσας αὐτὴν ἀπὸ πάσης ἀδικίας.

« Καὶ ἐγενόμην μεμαστιγωμένος ὅλην τὴν ἡμέραν. » — Ἤγουν τεταλαιπωρημένος ταῖς δι' ἀρετὴν κακουχίαις.

« Καὶ ὁ ἔλεγχός μου εἰς τὰς πρωΐας. » — Καὶ ἐξανιστάμενος τῆς κοίτης, εὐθὺς ἤλεγχον ἐμαυτὸν ἐνώπιον Κυρίου, ἐξαγορευόμενος τούτῳ τὰς ἁμαρτίας μου. Ἔλεγχον οὖν φησι τὸν ἐλεγκτικὸν λόγον παρ' αὐτοῦ κατὰ πρωῒ προσφερόμενον εἰς κατηγορίαν αὐτοῦ.

« Εἰ ἔλεγον· Διηγήσομαι οὕτως. » — Ἀσυνθέτως λέγεται τὸ παραβαίνω τὰς συνθήκας, καὶ ἀκυρῶ. Γενεὰ δὲ τῶν υἱῶν τοῦ Θεοῦ ὁ Ἰσραηλίτης λαὸς, μᾶλλον δὲ οἱ τῇ ἀληθείᾳ Πατέρα καὶ Δημιουργὸν γινώσκοντες τὸν Θεὸν, καὶ τὰς αὐτοῦ φυλάσσοντες ἐντολάς. Φησὶν οὖν· Εἰ ἔλεγον ἐν ἐμαυτῷ, ὅτι Διηγήσομαι οὕτως, τουτέστιν εἰ κατατιθέμενον εἰς τὸ ἐξειπεῖν καὶ ἀποφήνασθαι οὕτως καθὼς ὁ λογισμός μοι ἐνώχλησεν, ἤγουν ὅτι ματαίως ἐδικαίωσα τὴν καρδίαν μου καὶ τὰ ἑξῆς, ἰδοὺ ὅσον ἐπὶ τῇ τοιαύτῃ μου διηγήσει καὶ ἀποφάνσει παρέβης ἐν τῷ λαῷ σου τὰς πρὸς Ἀβραὰμ καὶ τοὺς προγόνους ἡμῶν περὶ τῆς ἐπαγγελίας συνθήκας σου· δῆλον οὖν ὅτι τὸ οὕτως ἐννοῆσαι πανάτοπον. Ὑπέλαβον οὖν ἤτοι ἤλπισα γνῶναι· δηλονότι τὸ ἀπορούμενον χαλεπὸν εἰς διάγνωσιν.

« Καὶ ὑπέλαβον τοῦ γνῶναι τοῦτο. Κόπος ἐστὶν ἐνώπιόν μου. » Κόπος μοί ἐστιν, ἕως οὗ ἔλθω εἰς τὸν ναὸν τῆς Ἱερουσαλὴμ ἐν ᾧ ἁγιάζεται ὁ λαὸς, καὶ συνῶ, τουτέστι γνώσομαι τὸ ἄπορον, δηλονότι ἐν τοῖς τέλεσιν αὐτῶν, ἤγουν τῶν Βαβυλωνίων· τότε γὰρ γνώσομαι ἀληθῶς ὅτι οὐ μάτην ἐδικαίωσα τὴν καρδίαν μου, καὶ τὰ ἑξῆς, ὅταν τέλος τοῖς Βαβυλωνίοις ἐπέλθοι καὶ τῆς εὐημερίας καὶ τῆς πολιτείας, ἐγὼ δὲ τὴν προτέραν εὐκληρίαν ἀπολάβω. Ταῦτα δὲ προφητεία σαφής.

« Πλὴν διὰ τὰς δολιότητας αὐτῶν ἔθου αὐτοῖς κακά. » — Τὸ ἔθου ἀντὶ τοῦ ἀπόθετα ἐποίησας, ἐταμιεύσω ἡτοίμασας.

« Κατέβαλες αὐτοὺς ἐν τῷ ἐπαρθῆναι. » —
A Ἐπαρθέντας πλούτῳ καὶ πάσῃ εὐημερίᾳ κατέρραξας.

« Πῶς ἐγένοντο εἰς ἐρήμωσιν ἐξάπινα; » — Προϊδὼν τὴν καταστροφὴν αὐτῶν ἀποθαυμάζει τὸ αἰφνίδιον τῆς μεταβολῆς ὡσεὶ ἐνύπνιον, ἐξεγειρομένου, ὡς τὸ ἐράσμιον ὄναρ ἀπόλλυται ἐξεγειρομένου ἐκ τοῦ ὕπνου τοῦ φανταζομένου αὐτό.

« Κύριε, ἐν τῇ πόλει σου τὴν εἰκόνα αὐτῶν ἐξουδενώσεις. » — Διὰ τὴν πόλιν σου Ἱερουσαλὴμ τὴν εὐημερίαν αὐτῶν ἀτιμάσεις, τὴν εἰκόνι ἐοικυῖαν, ὡς ἤδη μὴ οὖσαν, ἀλλὰ δοκοῦσαν μόνον διὰ τὸ πρόσκαιρον καὶ ἀβέβαιον.

« Ὅτι ἐξεκαύθη ἡ καρδία μου, καὶ οἱ νεφροί μου ἠλλοιώθησαν. » — Ἐξεκαύθη τῷ πυρὶ τοῦ θυμοῦ. Διὰ δὲ τῶν νεφρῶν τοὺς κρυπτομένους αἰνίττεται λογισ-
B μοὺς, οὓς εὐσεβεῖς, φησὶν, ἔχων μικροῦ δεῖν ἐξετράπην διὰ τὴν ἐκείνων ἀλαζονείαν.

« Κἀγὼ ἐξουδενωμένος, καὶ οὐκ ἔγνων. » — Τὰ ἐντεῦθεν μετὰ τὴν ἐπάνοδον ἁρμόζει. Ἐξουδενωμένος ἤμην, φησὶν, εἴτουν ἀπειργμένος τότε ἀπὸ σοῦ διὰ τὰς ἁμαρτίας μου, καὶ διὰ τοῦτο οὐκ ἔγνων τὸ ἀπορούμενόν μοι, μὴ ἔχων τὸν ἀπὸ σοῦ φωτισμόν.

« Κτηνώδης ἐγενήθην παρὰ σοί. » — Οὐδὲν τοῦ κτήνους διήλλαττον, ὡς πρὸς σὲ συγκρινόμενος τὰς σὰς οἰκονομίας μηδόλως εἰδώς.

« Κἀγὼ διαπαντὸς μετὰ σοῦ. » — Ἐγὼ διαπαντὸς μετὰ σοῦ ἔσομαι μηδὲ τῶν σῶν περιεργαζόμενος, μηδὲ σκανδαλιζόμενος, ἀλλὰ σὲ μόνον ἐννοῶν, καὶ τῆς σῆς μνήμης μὴ ἀφιστάμενος.

« Ἐκράτησας τῆς χειρὸς τῆς δεξιᾶς μου. » —
C Χειραγωγοῦ δίκην ἐπελάβου τῆς χειρός μου, καὶ ἐξήγαγές με τῆς γῆς τῶν Βαβυλωνίων καὶ τῆς δουλείας αὐτῶν.

« Καὶ ἐν τῇ βουλῇ σου ὡδήγησάς με. » — Καὶ ὑπέθου μοι βουλὴν δι' ἧς ῥᾳδία μοι γέγονεν ἡ διάβασις διὰ τῶν ἐθνῶν.

« Καὶ μετὰ δόξης προσελάβου με. » — Καὶ περιφανῆ μοι τὴν εἰς τὴν σὴν πόλιν ὁδὸν ἐχαρίσω.

« Τί γάρ μοι ὑπάρχει ἐν τῷ οὐρανῷ; » — Εἰ μὴ σὺ δηλονότι.

« Καὶ παρὰ σοῦ τί ἠθέλησα ἐπὶ τῆς γῆς; » — Εἰ μὴ σὲ καὶ τὴν βοήθειαν δηλαδή.

« Ἐξέλιπεν ἡ καρδία μου καὶ ἡ σάρξ μου. » — Ἐδαπανήθη ἡ καρδία μου, τηκομένη τῷ πυρὶ τοῦ πόθου σου· ἡ σάρξ μου πάλιν ἐδαπανήθη, ἀποστρε-
D φομένη τὴν εὐπάθειαν διὰ τὴν σὴν ἀγάπην καὶ πυκνῶς ταλαιπωρουμένη.

« Ὁ Θεὸς τῆς καρδίας μου, καὶ ἡ μερίς μου ὁ Θεὸς εἰς τὸν αἰῶνα. » — Ἐνδιαθέτως οὖν ὁ Θεὸς τῆς ψυχῆς μου, καὶ ὁ Θεὸς ὅς εἶ μου μερὶς καὶ κλῆρος διαπαντός.

« Ὅτι, ἰδοὺ, οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ ἀπολοῦνται. » — Ὁ ἀφιστάμενος τῆς εἰς Θεὸν πίστεως καὶ τῆς φυλακῆς τῶν αὐτοῦ ἐντολῶν, ἐκεῖνος καὶ μακρύνει καὶ πορνεύει ἀπὸ Θεοῦ, καὶ λαμβάνει τὸ ἐπιτίμιον ἀπώλειαν καὶ ἐξολόθρευσιν, δι' ὧν δηλοῦται τῆς σωτηρίας ἡ ἔκπτωσις.

« Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν

OCR ABK / FR

ἐστι· τίθεσθαι ἐν τῷ Κυρίῳ τὴν ἐλπίδα μου. » — Προσκολλᾶταί τις τῷ Θεῷ δι' ὀρθῆς πίστεως καὶ...... ἐντολῶν φυλακῆς.

A « Τοῦ ἐξαγγεῖλαί με πάσας τὰς αἰνέσεις ἐν ταῖς πύλαις τῆς θυγατρὸς Σιών. » — Εἰσὶ καὶ νοηταὶ πύλαι Σιών, αἱ κατὰ τόπους ἐκκλησίαι δι' ὧν εἰσί τις εἰς τὴν ἄνω Σιών.

## ΨΑΛΜΟΣ ΟΓ'.

« Συνέσεως τῷ Ἀσάφ. » — Ἀπαγγέλλει τὰς τῶν Ἰουδαίων συμφορὰς τὰς κατὰ τὴν ὑπὸ Ῥωμαίων τελευταίαν ἅλωσιν, εὐαγγελίζεται δὲ καὶ τὴν ἡμετέραν σωτηρίαν.

« Ἵνα τί, ὁ Θεός, ἀπώσω εἰς τέλος; » — Τὸ ἵνα τί δυσωπητικὸν ἐνταῦθα καὶ οἰκτρόν· τὸ δὲ εἰς τέλος τὴν παντελῆ δηλοῖ ἐγκατάλειψιν.

B « Ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου. » — Ἀπὸ κοινοῦ τὸ ἵνα τί. Καὶ πρόβατα μὲν ὁ λαός· νομὴ δὲ τὰ ἱερὰ λόγια τῆς θεοπνεύστου Γραφῆς.

« Μνήσθητι τῆς συναγωγῆς σου ἧς ἐκτήσω ἀπ' ἀρχῆς. » — Διὰ τοῦ πρώτου καὶ ἄλλην ὑστέραν ἐνδείκνυται δηλονότι τῶν ἐξ ἐθνῶν.

« Ἐλυτρώσω ῥάβδον κληρονομίας σου. » — Ἀπολύτως ἀναγνωστέον· Ἐλυτρώσω ἐκ πολέμων καὶ αἰχμαλωσιῶν τὴν ῥάβδον, ἤτοι τὸ σκῆπτρον καὶ τὴν βασιλείαν, τουτέστι τὸν βασιλευόμενον λαὸν τῆς κληρονομίας σου, ἥως ὃν ἔσχες ὡς κλῆρον καὶ κτῆμα ἴδιον.

« Ὄρος Σιὼν τοῦτο ὃ κατεσκήνωσας ἐν αὐτῷ. » — Τὸ ὄρος Σιὼν τὸ πολυύμνητον τοῦτό ἐστιν ὃ κατεσκήνωσας τὸν λαόν σου, ἢ σὺ αὐτός. Τὸ ἐν αὐτῷ δὲ ὡς παρέλκον κείμενον, βεβαίωσιν ἐμφαίνει.

C « Ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος. » — Κατάβαλε τὰς ἐπάρσεις τῶν ἐχθρῶν τέλεον.

« Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου; » — Ἐνδιαθέτως, Φεῦ! πόσα πονηρὰ ἐποίησεν ὁ ἐχθρὸς ἐν τῷ ναῷ σου· καὶ γὰρ πολλὰ παροινήσας εἰς αὐτὸν πολυτρόπως τοῦτον ἐξέτριψεν.

« Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν ὡς εἰς τὴν ἔξοδον ὑπεράνω. » — Τὰ σημεῖα αὐτων ἤτοι τὰς σημαίας ἔθεντο, τουτέστιν ἔστησαν ὡς εἰς τὴν ἔξοδον, ἤτοι πρὸς τὰς πύλας τῆς πόλεως, ἐπάνω αὐτῶν, ἤγουν εἰς τὸ τεῖχος. Τὸ ὡς δὲ ποιότητα δηλοῖ ταύτης. Ἔστησαν οἱ Ῥωμαῖοι, σημεῖα νίκης πορθήσαντες τὴν Ἱερουσαλήμ, καὶ οὔπω ἔγνωσαν οἱ ἔνδον ἔτι περὶ ἑορτὴν ἀσχολούμενοι.

D « Καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. » — Ἑορτὴν τὴν τοῦ Πάσχα καθ' ἣνὁ Τίτος ἐπολιόρκησε καὶ ᾐχμαλώτισε τοὺς ἐν ταύτῃ τῇ ἑορτῇ τὸν Σωτῆρα σταυρώσαντας.

« Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξέκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτό. » — Δρυμός ἐστιν ἡ ἐν ὄρεσι ξυλοφόρος γῆ. Φησὶν οὖν ὅτι κατέκοψαν τὰς πύλας τῆς πόλεως· ἐπὶ τὸ αὐτό, τουτέστιν ὁμοῦ πάσας, ὥσπερ ἐὰν ἵσταντο ἐν δρυμῷ ξύλων, οἱ κατακόπτοντες αὐτά, καὶ ἔκοπτον δηλονότι ξύλα ἁπλῶς.

« Ἐν πελέκει καὶ λαξευτηρίῳ κατέῤῥαξαν αὐτήν. » — Αὐτήν, ἤγουν τὴν πόλιν, κατέῤῥαξαν, ἤτοι κατέβαλον, ἐν πελέκει μὲν τὰ στέγη καὶ τὰς θύρας τῶν οἰκιῶν καὶ ὅσα ἐν ξύλοις, ἐν λαξευτηρίῳ δὲ τὰ τείχη καὶ τοὺς τοίχους καὶ ὅσα ἐν λίθοις· τὸ λαξευτήριον γὰρ λιθουργικόν ἐστιν ὄργανον.

« Ἐνεπύρισαν ἐν πυρὶ τὸ ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ ὀνόματός σου. » — Τὸ ἐβεβήλωσαν ἀντὶ τοῦ βεβήλως καὶ ἀνοσίως κατέῤῥιψαν· ἁγιαστήριον δὲ καὶ σκήνωμα Θεοῦ ὁ ναός.

« Εἶπον ἐν τῇ καρδίᾳ αὐτῶν αἱ συγγένειαι αὐτῶν ἐπὶ τὸ αὐτό. » — Εἶπον πρὸς ἀλλήλους ὁμοῦ πᾶσαι αἱ συγγένειαι τῶν ἐθνῶν ἐν ὅλῃ καρδίᾳ αὐτῶν, τουτέστιν ἀπὸ καρδίας· Δεῦτε καὶ ἀργήσωμεν τὰς νομικὰς λατρείας τοῦ Θεοῦ τούτου ὃν Ἰουδαῖοι σέβουσιν, ἀφανίσαντες τοὺς νόμους καὶ τὰς πολιτείας αὐτῶν.

« Τὰ σημεῖα ἡμῶν οὐκ εἴδομεν. » — Τὰ τεράστια ἃ λέγουσι τὸν Ἰησοῦν αὐτῶν θαυματουργεῖν δι' αὐτούς, ἡμεῖς τέως οὐχ ἑωράκαμεν εἰς ἑαυτούς.

« Οὐκ ἔστιν ἔτι προφήτης· καὶ ἡμᾶς οὐ γνώσεται ἔτι. » — Οὐκ ἔστιν ἔτι, ἤγουν εἰς τὸ ἑξῆς, προφήτης ἐν αὐτοῖς, εἰς τὸ προειδέναι τι καθ' ἡμῶν καὶ λέγειν καὶ θαῤῥύνειν αὐτούς. Τοῦτο γὰρ δηλοῖ τὸ ἡμᾶς οὐ γνώσεται, ὅπως ἔξομεν δηλαδή, τὸ δεύτερον δὲ ἔτι ἀντὶ τοῦ λοιπόν.

« Ἕως πότε, ὁ Θεός, ὀνειδιεῖ ὁ ἐχθρός; παροξυνεῖ ὁ ὑπεναντίος τὸ ὄνομά σου εἰς τέλος; » — Ὁ Θεὸς ὀνειδιεῖ δὲ καὶ ἡμᾶς καὶ σέ, παροξυντικὰ ῥήματα κατὰ σοῦ φθεγγόμενος, εἰ καὶ σὺ μακροθυμεῖς παραχωρῶν αὐτοῖς διὰ τὰς ἁμαρτίας ἡμῶν.

« Ἵνα τί ἀποστρέφεις τὴν χεῖρά σου καὶ τὴν δεξιάν σου ἐκ μέσου τοῦ κόλπου σου εἰ τέλος; » — Κόλπος Θεοῦ ὁ τῶν ἀγαθῶν θησαυρός, χεὶρ δὲ καὶ δεξιὰ ἡ μεταδοτικὴ τῶν ἀγαθῶν ἐνέργεια. Φησὶ γοῦν, Διὰ τί τῶν ἀγαθῶν οὐ μεταδίδως ἡμῖν, ὡς πρότερον; Τὸ δὲ εἰς τέλος τὴν διηνεκῆ δηλοῖ τῶν Ἰουδαίων παρόρασιν.

« Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. » — Τὸ πρὸ αἰῶνος, ἀντὶ τοῦ ἐξ ἀρχῆς· τὸ δὲ ἐν μέσῳ τῆς γῆς, ἀντὶ τοῦ ἐν μέσῳ τῶν ἀνθρώπων, ἤτοι φανερῶς λίαν. Σωτηρίαν λέγει τὴν ἐκ τῆς Αἰγυπτιακῆς δουλείας ἐλευθερίαν τῶν Ἰουδαίων, μᾶλλον δὲ τὴν τῆς νοητῆς δουλείας ἀπαλλαγὴν ἡμῶν διὰ τῆς θείας ἐνανθρωπήσεως.

« Σὺ ἐκραταίωσας ἐν τῇ δυνάμει σου τὴν θάλασσαν. » — Ἐστερέωσας τὰ διαιρεθέντα μέρη τῆς Ἐρυθρᾶς, ἢ κραταιὰν κατὰ δαιμόνων ἐποίησας τὴν θάλασσαν τοῦ βαπτίσματος.

« Σὺ συνέτριψας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος. » — Τοὺς Αἰγυπτίων ταξιάρχους, ἢ τὰς δαιμονικὰς ἀρχάς.

« Σὺ συνέθλασας τὴν κεφαλὴν τοῦ δράκοντος. » — Ὁ δράκων ἐνταῦθα ὁ αἰσθητὸς Φαραὼ καὶ νοητός, θλάσις δὲ κεφαλῆς ἡ συντριβὴ τῆς ἀρχῆς καὶ βασιλείας αὐτῶν.

« Ἔδωκας αὐτὸν βρῶμα λαοῖς τοῖς Αἰθίοψι. » — Τὸ ἔδωκας ἀντὶ τοῦ ἐξέδωκας Διὰ δὲ τοῦ Φαραὼ καὶ πᾶσαν τὴν ὑπ' αὐτὸν χώραν ὑποδηλοῖ· ἣν οἱ Αἰθίοπες ὅμοροι τοῖς Αἰγυπτίοις ὄντες καὶ πάλαι,

OCR ABK / FR

A τούτοις ἐπιβουλεύοντες, ἐλπίσαντό τε καὶ κατηνάλωσαν, τὴν ξένην αὐτῶν μαθόντες συντριβήν. Νοοῦνται δὲ Αἰθίοπες καὶ οἱ μεμελανωμένοι πρὶν τὰς ψυχὰς, οἷς διὰ τοῦ βαπτίσματος ὁ διάβολος ἐκδέδοται παρανάλωμα γίνεσθαι.

« Σὺ διέῤῥηξας πηγὰς καὶ χειμάῤῥους. » — Τὸ πληθυντικὸν ἀντὶ ἑνικοῦ. Λέγει δὲ τὸ ἐκ πέτρας ὕδωρ πηγὴν μὲν διὰ τὴν βλύσιν, χείμαῤῥον δὲ διὰ τὸ σφοδρὸν τῆς φορᾶς, καὶ ὁ Κύριος δὲ διέῤῥηξεν ἤτοι ἀνέδωκε πηγὰς καὶ χειμάῤῥους διδασκαλίας πνευματικῆς ἐν τῇ πρὶν ἐρήμῳ Ἐκκλησίᾳ τῶν ἐθνῶν.

« Σὺ ἐξήρανας ποταμοὺς Ἠθάμ. » — Τὸ Ἠθὰμ ἀρχαίους ἑρμηνεύει. Λέγει δὲ τοὺς τῶν Σοδόμων καὶ Γομόῤῥων, οὓς ὁ Θεὸς ἀπετέφρωσεν. Εἶεν δ' ἂν ποταμοὶ Ἠθὰμ, καὶ αἱ ἐν Ἰουδαίοις γινόμεναι προ-
B φητεῖαι.

« Σή ἐστιν ἡμέρα καὶ σή ἐστιν ἡ νὺξ, σὺ κατηρτίσω φαῦσιν καὶ ἥλιον. » — Φαῦσιν τὴν ἀνατολὴν τῆς ἡμέρας, ἤτοι τὸν ὄρθρον φησὶν, ὡραῖα δὲ τοὺς ἐτησίους καρπούς.

« Σὺ ἐποίησας πάντα τὰ ὅρια τῆς γῆς· θέρος καὶ ἔαρ σὺ ἔπλασας αὐτά. » — Διὰ τῶν δύο ἐντιμοτέρων ὡρῶν τὸν ἐνιαυτὸν ὅλον ἐδήλωσεν. Ταύτης δὲ εἶπεν, ἤγουν τῆς συναγωγῆς σου καὶ μᾶλλον τῆς νέας. Ἡ παλαιὰ καὶ γὰρ ἐπιλέλησται τέλεον.

« Ἐχθρὸς ὠνείδισε τὸν Κύριον. » — Ὁ Τίτος ἢ Ῥωμαίων στρατὸς, μᾶλλον δὲ ὁ Ἰουδαῖος καὶ Ἕλλην ὠνείδισαν τὸν Χριστὸν ὡς μὴ ὄντα Θεὸν καὶ ὡς ἀσθενῆ, καὶ ὅσα ὑβριστικά. Οἱ αὐτοὶ δὲ καὶ λαὸς ἄφρων, ὡς μὴ φρονοῦντες ὀρθῶς περὶ Θεοῦ.

C « Μὴ παραδῷς τοῖς θηρίοις ψυχὴν ἐξομολογουμένην σοι. » — Οἱ αἰσθητοὶ καὶ νοητοὶ ἐχθροὶ θηρία· τὸν ὅλον δὲ ἄνθρωπον ἐδήλωσεν ἀπὸ τῆς ψυχῆς· τὸ δὲ ἐξομολογουμένην ἀντὶ τοῦ εὐχαριστοῦσαν.

« Ὅτι ἐπληρώθησαν οἱ ἐσκοτισμένοι τῆς γῆς οἴκων ἀνομιῶν. » — Οἶκος ἐνταῦθα ὡς πολυχώρητον μέτρον παρείληπται. Ἐσκοτισμένους δὲ τῶν ἀνθρώπων ἐκείνους φησὶν, ὅσοι τῇ ἀγνοίᾳ δουλεύουσι καὶ τοῖς πάθεσι.

« Μὴ ἀποστραφήτω τεταπεινωμένος κατῃσχυμένος. » — Ὁ λαός σου δηλονότι ἐν τῷ μὴ εἰσακούεσθαι δεόμενος.

« Ἀνάστα, ὁ Θεὸς, δίκασον τὴν δίκην σου » — Ἡ γὰρ τοῦ λαοῦ σου δίκη σή ἐστιν.

D « Μνήσθητι τοῦ ὀνειδισμοῦ σου, τοῦ ὑπὸ ἄφρονος ὅλην τὴν ἡμέραν. » — Τοῦ ὅλην τὴν ἡμέραν, ἤγουν ἀεὶ γινομένου εἰς σὲ ὀνειδισμοῦ.

« Ἡ ὑπερηφανία τῶν μισούντων σε ἀνέβη διαπαντός. » — Ὑψώθη, ἐκορυφώθη ἡ ἀνέβη ἐνώπιόν σου.

## ΨΑΛΜΟΣ ΟΔ'.

« Εἰς τὸ τέλος, μὴ διαφθείρῃς, ψαλμὸς ᾠδῆς τῷ Ἀσάφ. » — Προσώπῳ συνετέθη τοῦ ἐν Βαβυλῶνι δορυαλώτου λαοῦ. Πρόῤῥησιν δὲ ἔχει τῆς ἐν τῇ συντελείᾳ, παγκοσμίου κρίσεως παρεγγυώμενος εἰς τὸ τέλος τῆς ζωῆς ὁρᾷν ἕκαστον καὶ μὴ διαφθείρειν αὐτὸ ταῖς ἁμαρτίαις.

« Ἐξομολογησόμεθά σοι, ὁ Θεὸς· ἐξομολογησόμεθά σοι, καὶ ἐπικαλεσόμεθα τὸ ὄνομά σου. » — Ἐπικαλεσόμεθα εἰς βοήθειαν.

« Διηγήσομαι πάντα τὰ θαυμάσιά σου, ὅταν λάβω καιρόν. » — Τὸ ῥητὸν ἀπὸ τοῦ Χριστοῦ· Ὅταν λάβω, παρ' ἐμαυτοῦ δηλονότι, τὸν καιρὸν τῆς κρίσεως, δικαίας κρίσεις κρινῶ τοῖς τε ἀδικοῦσι καὶ τοῖς ἀδικουμένοις.

« Ἐτάκη ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ. » — Ἐρχομένης τῆς κρίσεως ἡ γῆ ἐτάκη, τουτέστιν, διελύθη τὴν δύναμιν. Τὸ ἐτάκη δὲ, ἀντὶ τοῦ τακήσεται.

« Ἐγὼ ἐστερέωσα τοὺς στύλους αὐτῆς. » — Ἐμοῦ κελεύσαντος ἐτάκη· ἐγὼ γὰρ αὐτὴν κατ' ἀρχὰς ἥδρασα. Στῦλοι δὲ τῆς γῆς ἡ συνέχουσα ταύτην δύναμις.

« Εἶπα τοῖς παρανομοῦσι· Μὴ παρανομεῖτε, καὶ τοῖς ἁμαρτάνουσι, Μὴ ὑψοῦτε κέρας. » — Φησὶν ὁ Δαβίδ· Κρίσεως γίνεσθαι μελλούσης διεμαρτυράμην καὶ τοῖς ἁμαρτάνουσιν λέγων, Μὴ καυχᾶσθε· τὸ γὰρ κέρας δηλοῖ μὲν καὶ τὴν δύναμιν, δηλοῖ δὲ καὶ τὸ καύχημα· διότι τὰ κερασφόρα ζῶα καὶ ἀμύνονται καὶ γαυριῶσιν ἐν τοῖς κέρασιν αὐτῶν.

« Ὅτι οὔτε ἐξ ἐξόδων, οὔτε ἀπὸ δυσμῶν, οὔτε ἀπὸ ἐρήμων ὀρέων. » — Ὅτι οὔτε ἐξ ἐξόδων, ἡλιακῶν δηλαδὴ, τουτέστιν ἀπὸ ἀνατολῆς, οὔτε ἀπὸ δύσεως, οὔτε ἀπὸ τῶν ὀρῶν τῶν ἐρήμων ἀνθρώπων καὶ ἀοικήτων, ἤτοι τῶν βορείων ἄκρων καὶ νοτίων, λεληθέ τι, ἐν τῇ κρίσει δηλονότι· καὶ ἡ αἰτία, ὅτι κριτής ἐστιν ὁ Θεὸς, ὁ πάντα εἰδὼς πρὶν γενέσεως αὐτῶν.

« Τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ. » — Τὸν μὲν ἀτιμάζει, τὸν δὲ τιμᾷ κατ' ἀξίαν τῶν βεβιωμένων.

« Ὅτι ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου πλῆρες κεράσματος. » — Χεῖρα μὲν Κυρίου καλεῖ τὴν δύναμιν αὐτοῦ, πρότερον δὲ οἴνου τὸ σκεῦος τῆς τιμωρίας· ἄκρατος δὲ οὗτος ὁ οἶνος ὡς αὐστηρὸς καὶ ἀπότομος καὶ ἀμιγὴς φιλανθρωπίας. Ἔστι δὲ καὶ ἕτερον πρότερον ἐν τῇ χειρὶ αὐτοῦ. « Πλήρης κεράσματος, ἤτοι φιλανθρωπίας· » κέρασμα γὰρ οἴνου μὲν ὕδωρ, αὐστηρίας δὲ φιλανθρωπία. Ἀσυνδέτως οὖν ἀναγνωστέον καθ' ἑαυτὸ τὸ πλήρης κεράσματος, συνεξακουομένου τοῦ καὶ συνδέσμου ἕλκοντος καὶ ἐπὶ τούτου, « τὸ ποτήριον ἐν χειρὶ Κυρίου. »

« Καὶ ἔκλινεν ἐκ τούτου εἰς τοῦτο. » — Ἐνέχεεν ἐκ τοῦ σκεύους τῆς ἀποτόμου ὀργῆς ἐπὶ τὸ σκεῦος τῆς φιλανθρωπίας ὥστε ποιῆσαι μίγμα καὶ ποτίσαι τοὺς ἰασίμους καὶ ἐπιστρέφοντας.

« Πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη· πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. » — Τρυγίαν ὠνόμασε τὸ τάχος τῆς ἀκράτου τιμωρίας, τὴν ἐσχάτην κόλασιν, ἥτις ὑπολείπεται τοῖς μὴ μεταβαλλομένοις ἀπὸ κακίας, οὓς καὶ ἁμαρτωλοὺς κυρίως ὠνόμασεν.

« Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα· ψαλῶ τῷ Θεῷ Ἰακώβ. » — Ἐλευθερωθεὶς δηλονότι τῆς τοῦ ἐχθροῦ δουλείας.

OCR ABK / FR

« Καὶ πάντα τὰ κέρατα τῶν ἁμαρτωλῶν συν- A
θλάσω. » — Τῶν αὖθις πολεμησόντων με δυσμενῶν.

« Καὶ ὑψωθήσεται τὰ κέρατα τοῦ δικαίου. » — Δίκαιον καλεῖ πάντα εὐσεβῆ. Κυρίως δὲ δίκαιος ὁ Χριστὸς ὡς ἀναμάρτητος.

## ΨΑΛΜΟΣ ΟΕ'.

« Εἰς τὸ τέλος, ἐν ὕμνοις ψαλμὸς τῷ Ἀσὰφ, ᾠδὴ πρὸς τὸν Ἀσσύριον. » — Τὸ πρὸς τὸν Ἀσσύριον, ἀντὶ τοῦ πρὸς τὰ κατὰ τὸν Ἀσσύριον Σεναχηρεὶμ· τὴν συντριβὴν γὰρ αὐτοῦ προφητεύει, μᾶλλον δὲ τοῦ νοητοῦ Ἀσσυρίου τοῦ διαβόλου. Διαλαμβάνει δὲ καὶ περὶ τῆς μελλούσης κρίσεως. Ἐν ὕμνοις δὲ, ὅτι εὐχαριστήριος ὁ ψαλμός.

« Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός. » — Ἰουδαίαν καὶ Ἰσραὴλ καὶ τὴν Ἰουδαϊκὴν καὶ Ἰσραηλιτικὴν B
ὑποληπτέον Γραφὴν, ἐν ᾗ γνώριμός ἐστιν ὁ Χριστὸς καὶ μέγα καὶ ἔνδοξον τὸ ὄνομα αὐτοῦ προκαταγγέλλεται. Λέγοιτο δ' ἂν καὶ Ἰουδαία νέα καὶ Ἰσραὴλ καὶ ἡ ἐξ ἐθνῶν Ἐκκλησία.

« Καὶ ἐγενήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ. » — Εἰρήνην φησὶ τὸν εἰρηνεύοντα ἄνθρωπον, πρὸς τοὺς ἀνθρώπους μὲν ἐν τῷ ἀγαπᾷν αὐτοὺς, πρὸς τὰ πάθη δὲ ἐν τῷ ὑποτάττειν αὐτά. Ἐν τῷ τοιούτῳ δὲ γίνεται τὸ προσχωριστικὸν τοῦ Θεοῦ. Σιὼν δὲ σκοπευτήριον ἑρμηνεύεται, καὶ εἴη ἂν Σιὼν ὁ πόῤῥωθεν τὰς τῶν δυσμενῶν ἐπελεύσεις κατασκεπτόμενος.

« Ἐκεῖ συνέτριψε τὰ κράτη τῶν τόξων, ὅπλον, καὶ ῥομφαίαν, καὶ πόλεμον. » — Ἐκεῖ ἐν τῷ εἰρηνευόντι ἀνθρώπῳ συνέτριψεν ἤτοι κατήργησε πάντα τοῦ Βελίαρ τὰ μηχανήματα.

C

« Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων. » — Φωτίζεις φωτὶ χαρᾶς καὶ ἀντιλήψεως τοὺς ἐν σκότει λύπης καὶ ἀπογνώσεως. Ὄρη δὲ αἰώνια ὑποληπτέον τοὺς οὐρανοὺς διὰ τὸ ὕψος καὶ τὸ διαρκὲς, μᾶλλον δὲ τὰς ἀγγελικὰς δυνάμεις δι' ὧν πρὸς τὸ κρεῖττον καθοδηγούμεθα.

« Ἐταράχθησαν πάντες οἱ ἀσύνετοι τῇ καρδίᾳ. » — Ἐταράχθησαν οἱ Ἀσσύριοι ἀναιρούμενοι καὶ οἱ δαίμονες κατατροπούμενοι, οἱ καὶ ἄμφω ὡς θεομάχοι ἀσύνετοι καὶ ἀνόητοι.

« Ὕπνωσαν ὕπνον αὐτῶν· καὶ οὐχ εὗρον οὐδὲν πάντες οἱ ἄνδρες τοῦ πλούτου ταῖς χερσὶν αὐτῶν. » — Ἐκοιμήθησαν πάντες οἱ ἄνδρες καὶ οὐχ εὗρον ἐν ταῖς χερσὶν οὐδὲν τοῦ πλούτου ὃν προσεδόκησαν λαβεῖν. Ἄνδρας δὲ νοητέον καὶ τοὺς Βαβυλωνίους, καὶ τοὺς δαίμονας· ὕπνος δὲ τῶν δαιμόνων ἡ ἀργία, καὶ πλοῦτος τὸ ἁμαστῆσαι ἡμᾶς.

« Ἀπὸ ἐπιτιμήσεώς σου, ὁ Θεὸς Ἰακὼβ, ἐνύσταξαν οἱ ἐπιβεβηκότες τοῖς ἵπποις. » — Ἐπιτίμησιν λέγει τὴν κατὰ τῶν πολεμίων ἀπόφασιν· νυσταγμὸν δὲ τὴν πάρεσιν τῆς δυνάμεως· ἐπιβεβηκότας δὲ τοῖς ἵπποις τοὺς ἐχθροὺς, ἐπιβεβηκέναι δὲ τοῖς ἵπποις καὶ οἱ δαίμονες λέγονται διὰ τὸ τάχος καὶ τὴν ἐν τοῖς θηλυμανέσιν ἀνάπαυσιν.

« Σὺ φοβερὸς εἶ· καὶ τίς ἀντιστήσεταί σοι; ἀπὸ τότε ἡ ὀργή σου. » — Τὸ ἀπὸ τότε ἢ ἀορίστως ἀντὶ πάλαι, πρὸ πολλοῦ, ἢ ἀντὶ τοῦ, ἀφ' οὗ, δηλονότι κατὰ σοῦ ἐβλασφήμησαν.

« Ἐκ τοῦ οὐρανοῦ ἠκούτισας κρίσιν. » — Τὴν δηλωθεῖσαν ἀπόφανσιν ἀκουστήν μοι ἐκ τοῦ οὐρανοῦ πεποίηκας ὡς προφήτης, μᾶλλον δὲ τὴν παγκόσμιον κρίσιν ἀκουστὴν ἐποίησας πᾶσιν ἀνθρώποις διὰ τῆς παρὰ σοῦ ἄνωθεν ἐμπνευσθείσης ἁγίας Γραφῆς.

« Γῆ ἐφοβήθη καὶ ἡσύχασεν. » — Γῆν καλεῖ πάντα γηγενῆ καὶ μᾶλλον τοὺς φρονοῦντας τὰ γήϊνα. Ἡσύχασαν δὲ οἱ ἄνθρωποι, καταργηθέντος ἔργου παντὸς ἐν τῷ κινηθῆναι εἰς τὴν ῥηθεῖσαν κρίσιν τὸν Θεὸν ὥστε σῶσαι πάντας τοὺς δικαίους· ἴδιον γὰρ δικαίου παντὸς ἡ πρᾳότης.

« Ὅτι ἐνθύμιον ἀνθρώπου ἐξομολογήσεταί σοι. » — Τότε, φησὶ, πᾶν ἐνθύμιον ἀνθρώπινον, αὐτὸ ἑαυτὸ ἀποκαλύψει σοι δικάζοντι.

« Καὶ ἐγκατάλειμμα ἐνθυμίου ἑορτάσει σοι. » — Καὶ τὸ λείψανον δὲ τοῦ ἐνθυμήματος, τουτέστι τὸ βραχύτατον αὐτοῦ μόριον, ἑορτάσει σοι, ἤγουν ἐπιδεῖξίς ἐστι τοῦ ἑορταζομένου πράγματος καὶ θεατρισμός.

« Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. » — Τούτων οὖν οὕτως ἐχόντων ὑποσχέσεις μετανοίας ποιήσατε πρὸς τὸν Θεὸν, καὶ ἀπόδοτε ταύτας αὐτῷ ὡς χρέος ἀναγκαιότατον.

« Πάντες οἱ κύκλῳ αὐτοῦ οἴσουσι δῶρα. » — « Κύκλῳ τοῦ Θεοῦ οἱ ἀγαπῶντες αὐτὸν οἵ πάντες οἴσουσι τούτῳ δῶρα, τὰς ἀρετάς.

« Τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων, « — Πνεύματα τὰς ψυχὰς, λέγει· βασιλεῖς δὲ τῆς γῆς τὸν Φαραὼ καὶ ἄλλους, ὅσοι τῶν θείων τερατουργημάτων πεπείρανται.

## ΨΑΛΜΟΣ ΟΣ'.

« Εἰς τὸ τέλος. ὑπὲρ Ἰδιθοὺμ, ψαλμὸς τῷ Ἀσάφ. » — Τὸ Ὑπὲρ Ἰδιθοὺμ τὸ ὑπὸ Ἰδιθοὺμ δηλοῖ· τῷ γὰρ Ἰδιθοὺμ ἐδόθη ὁ ψαλμὸς πρὸς τὸ ψαλτῳδηθῆναι· τοῦ δὲ μὴ εὐκαιρήσαντος ὁ Ἀσὰφ αὐτὸν ἐψαλτῴδησεν. Ἐσχημάτισται δὲ προσώπῳ τοῦ αἰχμαλωτισθέντος εἰς Βαβυλῶνα λαοῦ.

« Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα· φωνῇ μου πρὸς Θεὸν, καὶ προσέσχε μοι. » — Ἀπὸ κοινοῦ τὸ ἐκέκραξα.

« Τὸν Θεὸν ἐξεζήτησα. » — Τὸ ἐξεζήτησα τὴν σπουδαίαν ζήτησιν δηλοῖ.

« Ταῖς χερσί μου νυκτὸς ἐναντίον. » — Ἀπὸ
D
κοινοῦ τὸ ἐξεζήτησα. Ταῖς χερσὶ δὲ ἀντὶ τοῦ, αἴρων τὰς χεῖρας εἰς προσευχήν. Νυκτὸς δὲ, διότι τότε πανταχόθεν ἄδεια. Ἐναντίον δὲ ἤτοι ἐνώπιον αὐτοῦ, ὡς πάντα βλέποντος, οὐκ ἠπατήθην καὶ ταῖς ἐλπίσιν, ἤγουν οὐκ ἠστόχησα βοηθὸν ἐλπίσας εὑρεῖν αὐτόν.

« Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου. » — Ἀπηγόρευσε παρηγορηθῆναι ἐξ ἀνθρώπου λίαν βαρυθυμοῦσα.

Ἐμνήσθην τοῦ Θεοῦ καὶ εὐφράνθην. » — Μόνον τότε παρηγορήθην, ὁπότε ἐμνήσθην ὅτι δύναται ὁ Θεὸς βοηθῆσαί μοι.

« Ἠδολέσχησα, καὶ ὠλιγοψύχησε τὸ πνεῦμά μου. » — Ἐμελέτων ἐν ἑαυτῷ καὶ ἐφρόντιζον πῶς ἀπαλ-

λαγείην τῶν ἀλγεινῶν, καὶ μὴ εὑρίσκοντός μου λύσιν, ἐστενοχωρήθη ἡ ψυχή μου.

« Προκατελάβοντο φυλακὰς οἱ ὀφθαλμοί μου. » — Ἔθος ἐν τοῖς στρατοπέδοις διαιρεῖσθαι τὴν νύκτα πᾶσαν εἰς τέσσαρα μέρη, καὶ καθ' ἓν ἕκαστον τεταρτημόριον τῆς νυκτὸς ἐπαγρυπνεῖν στρατιώτας ἀμοιβαδὸν καὶ φυλάσσειν τὸ ὅλον στρατόπεδον· Ἐντεῦθεν οὖν τὰ τέσσαρα τεταρτημόρια τῆς νυκτὸς ὠνομάσθησαν φυλακαί. Προέλαβον οὖν, φησὶν, οἱ ὀφθαλμοί μου τὰς τῆς νυκτὸς φυλακὰς, ἤγουν αἱ πᾶσαι φυλακαὶ τῆς νυκτὸς ἀγρυπνοῦντά με κατελάμβανον· ὑπὸ γὰρ τῆς συνεχοῦς μερίμνης ἀπῆν ὁ ὕπνος τῶν ἐμῶν ὀφθαλμῶν.

« Ἐταράχθην, καὶ οὐκ ἐλάλησα. » — Συνεχύθην ταῖς θλίψεσιν, ἀλλ' οὐκ ἐξέφηνα ταύτας πρὸς τοὺς ἐχθροὺς· ἵνα μὴ καὶ μᾶλλον ἐπιχαρῶσί μοι.

« Διελογισάμην ἡμέρας ἀρχαίας· καὶ ἔτη αἰώνια ἐμνήσθην. » — Ἀνελογισάμην τοὺς ἔκπαλαι καιροὺς, ὅτε τῆς ἐν Αἰγύπτῳ δουλείας ἐλυτρώθησαν οἱ τότε καὶ μυρία εὐηργετήθησαν. Τὸ δὲ ἐμνήσθην ἀντὶ τοῦ ἐνεπολέμησα κατὰ νοῦν· τὸ δὲ ἐμελέτησα τὴν μετὰ σκέψεως ἀνάμνησιν δηλοῖ.

« Καὶ ἐμελέτησα νυκτὸς, μετὰ τῆς καρδίας μου ἠδολέσχουν. » — Τὸ νυκτὸς ἀντὶ τοῦ ἐν νυκτὶ, ὅτι ἠρεμία πάντων. Μετὰ τῆς καρδίας μου δὲ, ἀντὶ τοῦ ἐν τῇ ψυχῇ μου.

« Καὶ ἔσκαλλεν τὸ πνεῦμά μου. » — Τὸ ἔσκαλλον, ἀντὶ τοῦ ἀνώρυττεν, ἀνηρεύνα. Τί δὲ τὰ ἐπαγόμενα;

« Μὴ εἰς τοὺς αἰῶνας ἀπώσεται Κύριος, καὶ οὐ προσθήσει τοῦ εὐδοκῆσαι ἔτι; » — Τὰ προσθήσει ἐπὶ τοῦ τὰ αὐτὰ καὶ πάλιν ποιῆσαι καὶ ἐνεργῆσαι τάττεται παρὰ τῆς Γραφῆς. Τὸ γοῦν « μὴ οὐ προσθήσει εὐδοκῆσαι » ἀντὶ τοῦ, μὴ οὐχὶ καὶ πάλιν εὐδοκήσει, τουτέστιν ἀγαθὰ θελήσει, ἤγουν εὐεργετήσει. Τὸ τοῦ δὲ παρέλκει· ἐπαπορητικὰ δὲ τὰ ῥήματα μέχρι τοῦ· « Καὶ εἶπα, Νῦν ἠρξάμην. »

« Ἢ εἰς τέλος τὸ ἔλεος αὐτοῦ ἀποκρύψει; » — Τὸ εἰς τέλος νῦν ἀντὶ τοῦ παντελῶς.

« Συνετέλεσε ῥῆμα ἀπὸ γενεᾶς εἰς γενεάν. » — Μήποτε, φησὶ, τὸ ἀπὸ γενεᾶς εἰς γενεὰν ῥῆμα, τουτέστι τὴν ἀρχαίαν ἐπαγγελίαν τὴν πρὸς τοὺς πατέρας ἡμῶν συντέλεσεν, εἴτουν συνέκλεισεν ὡς μὴ παραιτέρω χωρῆσαι.

« Καὶ εἶπα, Νῦν ἠρξάμην. » — Εὐγνωμοσύνης ὁ λόγος· ἀναλογισάμενος γάρ φησιν· Ἃ ἥμαρτον, εἶπα ὅτι νῦν ἀρχή μοι τῆς ἀξίας τιμωρίας· τὰ γὰρ μέχρι τοῦ νῦν προοίμια ταύτης.

« Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου. » — Ἡ ἐναλλαγὴ, φησὶν, ἡ ἀπὸ ἐλευθερίας καὶ αἰνέσεως εἰς στενοχωρίαν τῆς θείας ἔργον χειρὸς, κολαζούσης ἡμᾶς. Ἀναγωγικῶς δὲ περὶ τῆς εὐαγγελικῆς πολιτείας ὁ λόγος· ταύτην γὰρ προφητικοῖς ὄμμασιν ἰδὼν ὁ Δαυὶδ παρηλλαγμένην τῆς νομικῆς, φησὶν ὅτι αὕτη τοῦ Χριστοῦ ἐστιν ἔργον· οὗτος γὰρ δεξιὰ καὶ βραχίων τοῦ Πατρὸς προσαγορεύεται κατὰ τὴν θεότητα, ὡς ποιητὴς πάντων καὶ ὡς δύναμις.

« Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου. » — Ἀπὸ κοινοῦ ληπτέον αὖθις τὸ καὶ εἶπα. Ἔργα δὲ Κυρίου καὶ ἐπιτηδεύματα καλεῖ τὰς πρὸς ἀνθρώπων σωτηρίαν οἰκονομίας αὐτοῦ.

« Ὁ Θεὸς, ἐν τῷ ἁγίῳ ἡ ὁδός σου. » — Ἤγουν ἐν ἁγιότητι ἡ πρᾶξίς σου· πᾶσα γὰρ πρᾶξις Θεοῦ ἁγία καὶ ἄμεμπτος. Καὶ ἄλλως δὲ ἅγιος ὁ Χριστὸς ὁ μόνος ἀναμάρτητος, ἐν ᾧ ἡ περὶ τῶν ἀνθρώπων σωτηρίας οἰκονομία τοῦ Θεοῦ καὶ Πατρὸς ἐνηργήθη.

« Τίς θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; » — Τίς θεὸς τῶν ἀλλοφύλων οὕτω μεγαλοδύναμος καὶ μεγαλουργὸς καθὼς ὁ ἡμέτερος;

« Σὺ εἶ Θεὸς, ὁ ποιῶν θαυμάσια. » — Σὺ εἶ ὁ κυρίως Θεὸς, ὁ ποιῶν θαυμαστὰ ἔργα.

B « Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου. » — Ἐγνωρίσθη μὲν ἐν ταῖς Αἰγυπτίοις καὶ τοῖς λοιποῖς ἀλλοφύλοις ἡ δύναμις τοῦ Θεοῦ ἔργοις αὐτοῖς (λαοὺς γὰρ ἐνταῦθα τὰ ἔθνη φησίν), ἐγνωρίσθη δὲ ἐν πᾶσι τοῖς ἔθνεσιν ὕστερον ἡ ἐνυπόστατος δύναμις τοῦ Πατρός.

« Ἐλυτρώσω ἐν τῷ βραχίονί σου τὸν λαόν σου τοὺς Ἰακὼβ καὶ Ἰωσήφ. » — Ἐν μὲν θείᾳ δυνάμει τερατουργῶν λελύτρωται τῶν ἐθνῶν ὁ ἐξ Ἰακὼβ καὶ Ἰωσὴφ κατηγμένος λαὸς παλαιὸς, ἐν δὲ τῷ Χριστῷ τῆς τοῦ διαβόλου τυραννίδος ὁ νέος λαὸς ἡμεῖς λελυτρώμεθα, οἵτινες καὶ οἱ υἱοὶ Θεοῦ καλούμεθα καὶ Ἰακὼβ καὶ Ἰωσὴφ, ὡς ἀντὶ τοῦ παλαιοῦ λαοῦ υἱοθετηθέντες αὐτῷ καὶ τὴν ἐκείνου, δὴ τοῦ παλαιοῦ λαοῦ, καὶ οἰκείωσιν καὶ κλῆσιν κληρονομήσαντες.

C « Εἴδοσάν σε ὕδατα, ὁ Θεὸς, εἴδοσάν σε ὕδατα, καὶ ἐφοβήθησαν, καὶ ἐταράχθησαν ἄβυσσοι. Πλῆθος ἤχους ὑδάτων φωνὴν ἔδωκαν αἱ νεφέλαι. » — Πεπείρανται μὲν τῆς θείας δυνάμεως τὰ τῆς Ἐρυθρᾶς ὕδατα καὶ οἱονεὶ φοβηθέντα διέστησαν, ὅτε καὶ τὰ βάθη τῆς θαλάσσης ἐταράχθησαν τῷ ἐμπεσόντι ἀνέμῳ τοῖς ὕδασι, καὶ πλῆθος γέγονε τότε τοῦ ἤχου τῶν ὑδάτων, τουτέστι πολὺς ἦχος· εὑρίσκεται γὰρ καὶ τὸ ἦχος εὐθεῖα· εἴδοσαν δὲ ὕδατα τὸν Χριστὸν, ὅτι τοῦ πλοίου βυθιζομένου, διυπνισθεὶς αὐτὸς ἐπετίμησε τοῖς ἀνέμοις καὶ τῇ θαλάσσῃ, καὶ ἐφοβήθη καὶ ἡσύχασε. Τότε δὲ ἐταράχθησαν καὶ αἱ ἄβυσσοι τῆς θαλάσσης τῷ φόβῳ τῆς δεσποτικῆς ἐπιτιμήσεως. Ἔτι δὲ τὸ πλῆθος τοῦ ἤχους τῶν ὑδάτων ἤτοι τῶν ἠχηθέντων κυμάτων ἡ πληθύς.

D « Καὶ γὰρ τὰ βέλη σου διαπορεύονται, φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ. » — Καταιγίδος γενομένης εἰκὸς καὶ βροντὰς γενέσθαι καὶ ἀστραπὰς, εἰς κατάπληξιν τῶν Αἰγυπτίων, φωναὶ δὲ τῶν νεφελῶν αἱ βρονταί· βέλη δὲ διαπορευόμενα κατ' ἐχθρῶν νοηθεῖεν ἂν αἱ ἀστραπαί. Τὸ μέντοι διαπορεύονται ἀντὶ τοῦ διεπορεύοντο ἀντιχρονικῶς. καὶ ὁ γὰρ σύνδεσμος περιττός. Φωνὴν δὲ ἔδωκαν αἱ νεφέλαι ἐπὶ τῆς μεταμορφώσεως. Φησὶ γάρ· « Καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός· βέλη δὲ Χριστοῦ οἱ ἀπόστολοι, διαπορευόμενοι εἰς τὸν κόσμον καὶ ἀναιροῦντες τοὺς δαίμονας.

OCR ABK / FR

Ἦχος τῆς ὑπὸ σοῦ κτισθείσης βροντῆς, ἐν ἑκάστῳ ἅρματι ἦν· τροχὸς γὰρ ἀπὸ μέρους τὸ ὅλον ἅρμα κληθῆναι δύναται, ὑφ' ἧς δὴ τῆς βροντῆς ἐκταραχθέντων τῶν ἵππων συνεδέθησαν ἀλλήλοις οἱ ἄξονες τῶν τροχῶν καὶ ἤγετο μετὰ βίας ἡ Αἰγύπτιος στρατιά. Φωνὴ δὲ βροντῆς καὶ τὸ εὐαγγελικὸν κήρυγμα, ὡς ἐξ οὐρανοῦ ἦχον καὶ ὡς στερεὸν καὶ ἐξάκουστον πᾶσιν ἀνθρώποις. Τροχὸς δὲ ὁ κόσμος διὰ τὸ ἄστατον αὐτοῦ.

« Ἔφαναν αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ. » — « Ἐφάνησαν ἅπασιν αἱ λαμπρότητες τῶν θαυμασίων σου. »

« Ἐσαλεύθη καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. » — « Ἐφοβήθησαν πάντες ἄνθρωποι ἀπὸ τοῦ μεγέθους τῶν τεραστίων σου. »

« Ἐν τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς· καὶ τὰ ἴχνη σου γνωσθήσονται. » — Ἐπεὶ προεπορεύετο Κύριος τοῦ λαοῦ αὐτοῦ· διὰ τῆς θαλάσσης δὲ διελήλυθεν ὁ λαός, διὰ τῆς θαλάσσης ὥδευσεν ὁ Κύριος. Τὰ ἴχνη δὲ τῆς τοιαύτης πορείας σου οὐ γινώσκονται, διὰ τὸ συναχθῆναι πάλιν τὸ ὕδωρ ὁμοῦ, καὶ ἑνωθῆναι τὴν θάλασσαν. Ὁ Χριστὸς δὲ ἐν τῇ θαλάσσῃ τὴν ὁδὸν ἐποιήσατο ὅτε ἀπῆλθε πρὸς τοὺς μαθητάς, πεζεύων ἐπάνω τῆς θαλάσσης. Τὰ ἴχνη καθ' ὕδατος οὐ συνίστανται.

« Ὡδήγησας ὡς πρόβατα τὸν λαόν σου ἐν χειρὶ Μωϋσῆ καὶ Ἀαρών. » — Ὡς πρόβατα εἶπε, σημαίνων τὴν εἰς αὐτοὺς ἐπιμέλειαν, ἐπεὶ καὶ ποιμαίνων τὸν Ἰσραὴλ ὀνομάζεται. Στρέφεται δὲ ἡ ἀναγωγὴ τοῦ ῥητοῦ πρὸς τὸ πρόσωπον τοῦ Θεοῦ καὶ Πατρός, οὗ νέος λαὸς ὁ Χριστιανικός. Χεὶρ δὲ ἡ χειραγωγία καὶ ὁδήγησις τοῦ Χριστοῦ· ὅς ἐστι Μωσῆς μὲν ὡς νομοθέτης τοῦ εὐαγγελικοῦ νόμου, Ἀαρὼν δὲ, ὡς μέγας ἀρχιερεύς, θύσας ἑαυτὸν ὑπὲρ τοῦ λαοῦ αὐτοῦ.

## ΨΑΛΜΟΣ ΟΖ'.

« Συνέσεως Ἀσάφ. » — Συνέσεως γὰρ δεῖ πρὸς τὸ γνῶναι ὅτι ὁ Δαυῒδ προσώπῳ Χριστοῦ τόνδε τὸν ψαλμὸν λέγει πρὸς τοὺς πιστούς.

« Προσέχετε, λαός μου, τῷ νόμῳ μου, κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου. » — Νόμον λέγει τὸν εὐαγγελικόν.

« Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου· φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς. » — Τὰς εὐαγγελικὰς παραβολὰς ὠνόμασε καὶ προβλήματα. Δηλοῦσι δὲ καὶ ἄμφω τὸ αἰνιγματῶδες· μᾶλλον μέντοι τὰ προβλήματα ἐνταῦθα αὐτὰ σημαίνει τὰ προκαλύμματα. Δηλοῦνται δὲ διὰ τούτων κεκαλυμμένα καὶ ἀπόκρυφα πράγματα· οὕτω γὰρ καὶ ὁ εὐαγγελιστὴς Ματθαῖος ἡρμήνευσε· « Φθέγξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου· » τὰ τοῦ Χριστοῦ γὰρ οἰκονομήματά τε καὶ κατορθώματα κεκρυμμένα ἦσαν ἀπ' αἰῶνος· τοῦτο γὰρ σημαίνει τὸ ἀπ' ἀρχῆς· ἃ δὴ αὐτὸς ὁ Χριστὸς ἐφθέγξατο καὶ εὐηγγελίσατο.

« Ὅσα ἠκούσαμεν καὶ ἔγνωμεν αὐτά. » — Τὸ ὅσα καθ' ἑαυτὸν ἀναγνωστέον θαυμαστικῶς, ὡσάν· Ὢ πόσα ἠκούσαμεν παρά τε τῶν θείων Γραφῶν· Ἠκούσαμεν δὲ εἶπε διὰ τὸ πρόσλημμα· ἔγνωμεν δὲ ἀντὶ

A ἐβεβαιώθημεν καὶ ἐπληροφορήθημεν. Βούλεται δὲ ἀπαριθμήσασθαι τὰς τῶν Ἰουδαίων εὐεργεσίας, τοὺς αὐτῶν παροργισμοὺς εἰς τὸν εὐεργέτην, τὰς ἐντεῦθεν διαφόρους παιδείας καὶ ἰατρείας, ὑφ' ὧν τῆς κακίας μὴ ἐκτριβείσης ἀναγκαίως δηλονότι τὸ τῆς θείας ἐνανθρωπήσεως αἴτιον τὸ συνετῶς παραδείκνυται.

« Καὶ οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν. » — Οἱ μὲν πατέρες διηγήσαντο αὐτὰ τοῖς προσεχῶς τέκνοις αὐτῶν· τὰ δὲ τέκνα οὐκ ἔκρυψαν ἅπερ ἔμαθον πρὸς ἑτέραν μετ' αὐτοὺς γενεάν, ἀλλ' ὁμοίως διηγήσαντο αὐτὰ τοῖς υἱοῖς αὐτῶν, καὶ οὕτω καθεξῆς· νόμος γὰρ ἦν λέγων· « Διδάξεις αὐτὰ τοῖς υἱοῖς σου, καὶ τοῖς υἱοῖς τῶν υἱῶν σου. »

« Ἀπαγγέλλοντες τὰς αἰνέσεις τοῦ Κυρίου καὶ B τὰς δυναστείας αὐτοῦ καὶ τὰ θαυμάσια αὐτοῦ ἃ ἐποίησεν. Τὸ, « οἱ πατέρες ἡμῶν διηγήσαντο ἡμῖν, » τῷ ἀπαγγέλλοντες συντάττεται καθ' ὑπερβατόν. Αἰνέσεις δέ φησι τὰ αἰνετὰ ἔργα τοῦ Θεοῦ.

« Υἱοὶ τεχθησόμενοι καὶ ἀναστήσονται καὶ ἀπαγγελοῦσιν αὐτὰ τοῖς υἱοῖς αὐτῶν. » — Τὸ ἀναστήσονται ἀντὶ γεννηθήσονται.

« Ἵνα θῶνται ἐπὶ τὸν Θεὸν τὴν ἐλπίδα αὐτῶν, καὶ μὴ ἐπιλάθωνται τῶν ἔργων τοῦ Θεοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσιν. » — Μανθάνοντες δηλαδή, ὅσα ὁ Θεὸς ἐπηγγείλατο τοῖς ἐλπίζουσιν ἐπ' αὐτόν.

« Γενεὰ ἥτις οὐ κατηύθυνε τὴν καρδίαν ἑαυτῆς. » — Οὐχ ὤρθωσε τὴν καρδίαν ἑαυτῆς, ὥστε ἁπλῶς καὶ C βεβαίως πιστεύειν, ἀλλ' ἐσχολίαζε διστάζουσα.

« Καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς. » — Οὐ πιστὴ ἐγένετο ἡ ψυχὴ αὐτοῦ πρὸς τὸν Θεὸν καὶ τοὺς λόγους αὐτοῦ.

« Υἱοὶ Ἐφραῒμ ἐντείνοντες καὶ βάλλοντες τόξον ἐστράφησαν ἐν ἡμέρᾳ πολέμου. Οἱ ἀπόγονοι τοῦ Ἐφραῒμ οἱ ἐντείνοντες τόξα καὶ βάλλοντες ἐκ τόξων, ἐστράφησαν, δεδωκότες νῶτα φεύγοντες. Δηλοῖ δὲ διὰ τῆς τοῦ Ἐφραῒμ φυλῆς καὶ τὰς ἄλλας φυλὰς ὅσαι εἰδωλολατρήσασαι παρεδόθησαν τοῖς ἐχθροῖς αὐτῶν· ἡ γὰρ φυλὴ τοῦ Ἐφραῒμ υἱοῦ Ἰωσὴφ τοξικωτέρα τῶν ἄλλων ἦν καὶ ἐν πολέμοις χρησιμωτέρα.

« Οὐκ ἐφύλαξαν τὴν διαθήκην τοῦ Θεοῦ. » — Ἐνταῦθα τὸ τῆς ἥττης αἴτιον διασαφεῖ. Διαθήκην δὲ D λέγει τὰς συνθήκας, ἃς διαφόρως ἐποιήσατο μετὰ τῶν Ἑβραίων ὁ Θεός, ἄγων αὐτοὺς εἰς τὴν γῆν τῆς ἐπαγγελίας· νόμον δὲ τὰς ἐντολάς.

« Καὶ ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ καὶ τῶν θαυμασίων αὐτοῦ, ὧν ἔδειξεν αὐτοῖς. » — Θαυμάσια λέγει τὰς τῶν Αἰγυπτίων πληγὰς καὶ τὸν ὄλεθρον αὐτῶν. Ἔδειξε δὲ αὐτοῖς ταῦτα διὰ τῆς πρὸς αὐτοὺς διδασκαλίας τῶν πατέρων αὐτῶν.

« Ἐναντίον τῶν πατέρων αὐτῶν ἃ ἐποίησε θαυμάσια ἐν γῇ Αἰγύπτῳ ἐν πεδίῳ Τάνεως. » — Ἡ Τάνις πόλις ἦν Αἰγυπτιακὴ ἐν ᾗ τοῦ Φαραὼ τὰ βασίλεια.

« Παρέστησεν ὕδατα. » — Τὸ παρέστησεν ἀντὶ



OCR ABK/FR

ἔνθεν κἀκεῖθεν ἀνέστησε τὰ ὕδατα τῆς θαλάσσης.

« Ὡσεὶ ἀσκόν. » — Ἀντὶ τοῦ, ἐξογκουμένης δίκην ἀσκοῦ.

« Διέῤῥηξε πέτραν ἐν ἐρήμῳ. » — Ἐν τῇ ἐρήμῳ τοῦ ὄρους Χωρήβ. Διὰ τῆς ἀβύσσου δὲ τὸ πλῆθος τῶν ὑδάτων ἐδήλωσεν.

« Καὶ ἐξήγαγεν ὕδωρ ἐκ πέτρας, καὶ κατήγαγεν ὡς ποταμοὺς ὕδατα. » — Τοῦτο ἕτερον θαῦμα γεγονὸς ἐν τῇ ἐρήμῳ Καδ.... δὶς γὰρ ἐκ πέτρας ἀνέδωκε κατὰ διαφόρους χρόνους καὶ τόπους· παρεπίκραναν τὸν Ὕψιστον ἐν ἀνύδρῳ τόπῳ ἢ γῇ δηλονότι.

« Καὶ ἐξεπείρασαν τὸν Θεὸν ἐν ταῖς καρδίαις αὐτῶν· τοῦ αἰτῆσαι βρώματα ταῖς ψυχαῖς αὐτῶν. » — Περιφραστικῶς ἀντὶ αὐτοῖς.

« Καὶ κατελάλησαν τοῦ Θεοῦ. » — Οὐ λαβεῖν τὴν χρείαν ἐζήτησαν, ἀλλ' ὡς ἀδυνάτου Θεοῦ κατηγόρησαν.

« Ἐπεὶ ἐπάταξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα, καὶ χείμαῤῥοι κατεκλύσθησαν. » — Ἀντὶ σφοδρῶς ἐῤῥευσαν.

« Ἡ ἑτοιμάσαι τράπεζαν. » — Τὸ ἢ ἀντὶ τοῦ καί.

« Διὰ τοῦτο ἤκουσε Κύριος. » — Εἰ ἐν ταῖς καρδίαις ἐλάλησαν, ἀλλ' ὁ καρδιογνώστης ἤκουσε.

« Καὶ ἀνεβάλετο. » — Πῶς ὠργίσθη καὶ οἷον ἀνέρυσε τὴν στολὴν εὐτρεπιζόμενος ὡς πρὸς ἄμυναν, ἢ ἀνεβάλετο δοῦναι αὐτοῖς τὴν ἐπηγγελμένην γῆν τοῖς πατράσιν αὐτῶν.

« Καὶ πῦρ ἀνήφθη ἐξ Ἰακώβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ. » — Ἰακὼβ καὶ Ἰσραὴλ ὁ Ἰουδαϊκὸς λαός. Τὸ πῦρ δὲ οὐ κατῆλθεν ἐξ οὐρανοῦ, ἢ γὰρ ἂν ἠφάνισεν ἅπαντας, ἀλλὰ προστάγματι Θεοῦ ἀναφθὲν πλησίον τῆς παρεμβολῆς ἀνέβη ἐν ὀργῇ· τουτέστι, μετὰ σφοδρᾶς καὶ ἀσχέτου ὁρμῆς πρὸς τὴν παρεμβολήν, καὶ μέρος τι ταύτης κατέφλεξεν.

« Ὅτι οὐκ ἐπίστευσαν ἐν τῷ Θεῷ, οὐδὲ ἤλπισαν ἐπὶ τὸ σωτήριον αὐτοῦ. » — Τοσαῦτα κατιδόντες τεράστια, οὐκ ἐπίστευσαν τῇ δυνάμει τοῦ Θεοῦ. Περιττὴ δὲ ἡ ἐν πρόθεσις.

« Καὶ ἐνετείλατο νεφέλαις ὑπεράνωθεν. » — Ἐνετείλατο ταῖς νεφέλαις ὑπεράνων ἤτοι ἐξ ὕψους ῥῦσαι δηλονότι τὸ μάννα.

« Καὶ θύρας οὐρανοῦ ἀνέῳξε. » — Τὰς νεφέλας καὶ θύρας οὐρανοῦ κέκληκεν ὡς προβεβλημένας αὐτοῦ.

« Καὶ ἔβρεξεν αὐτοῖς μάννα φαγεῖν, καὶ ἄρτον οὐρανοῦ ἔδωκεν αὐτοῖς. — Ἄρτον δὲ οὐρανοῦ τὸ μάννα φησί, διὰ τὸ δοκεῖν ἐξ οὐρανοῦ κατάγεσθαι· ἢ τὸν ἀέρα προσηγόρευσεν οὐρανόν. Τὸ δ' αὐτὸ μάννα καὶ ἄρτον ἀγγέλων ὠνόμασεν, ὡς δι' ἀγγέλων χορηγηθέν· τοῦτο καὶ ἐπισιτισμόν, τουτέστι τροφὴν εἴρηκε.

« Ἀπῆρεν νότον ἐξ οὐρανοῦ, καὶ ἐπήγαγεν ἐν τῇ δυνάμει αὐτοῦ λίβα. » — Ἀπῆρεν ἀντὶ τοῦ ἐκίνησεν.... βρέξε δὲ εἶπε διὰ τὸ δίκην βροχῆς ἄνωθεν πυκνῶς καὶ συχνῶς καταφέρεσθαι.

« Καὶ ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας. » — Διὰ τὴν δαψίλειαν καὶ τὸ ἀλλεπάλληλον. Ἐμνήσθη δὲ νότου καὶ λιβός, ἐπείπερ οὗτοι οἱ ἄνεμοι τοὺς θερ-

A μοὺς καταπνέουσι τόπους ἐν οἷς διαιτᾶται τὸ γένος τῆς ὀρτυγομήτρας.

« Καὶ ἔφαγον, καὶ ἐνεπλήσθησαν σφόδρα, καὶ τὴν ἐπιθυμίαν αὐτῶν ἤνεγκεν αὐτοῖς. » — Ἐπιθυμίαν νῦν ἔφησε τὸ ἀποτέλεσμα τῆς ἐπιθυμίας.

« Ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν. » — Ἰδόντες τὴν ὀρτυγομήτραν οὐκ ἐπίστευσαν τῇ ἐπαγγελίᾳ τοῦ Θεοῦ, ὑπεσχημένου μέχρι μηνὸς διαθρέψαι αὐτοὺς ἐν αὐτῇ εἰς πλησμονήν, ἀλλὰ φοβηθέντες μή ποτε ἐκλείψειεν, ἔψυξαν ἑαυτοῖς εἰς φυλακήν. Διὸ καὶ ὠργίσθη ὁ Θεὸς εἰς τὸν λαόν, καὶ ἀπέκτεινεν ἐν χολέρᾳ πολλούς· τὸ γὰρ ἐν τοῖς πλείοσιν ἤτοι τοὺς πλείονας συγκριτικὸν ὄν, ἀντὶ ἁπλοῦ ἐστιν ἐνταῦθα. Ἐκλεκτοὺς δὲ ἑαυτοὺς εἴρηκε, ὡς ἐπιλεγέντας εἰς τὸ παρατάττεσθαι.

B « Ἐν πᾶσι τούτοις ἥμαρτον ἔτι· καὶ οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ. » — Ἐν πᾶσιν οἷς τε εὐηργετοῦντο, οἷς τε ἐκολάζοντο, ἥμαρτον ἔτι ἄλλα τε πολλὰ καὶ ὅτι ἐδειλίασαν τοὺς ἐνοικοῦντας τῇ γῇ τῆς ἐπαγγελίας, μὴ θαῤῥήσαντες τῷ ἐπαγγειλαμένῳ Θεῷ.

« Καὶ ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι αὐτῶν. » — Ἐν ἀταξίᾳ καλῶν καὶ ἐν ἐπιθυμίαις σαρκικαῖς· μόνα γὰρ ταῦτα διώκοντες ἐν τῇ ἐρήμῳ πάντες ἀπώλοντο.

« Καὶ τὰ ἔτη αὐτῶν μετὰ σπουδῆς. » — Εἰπὼν μετὰ σπουδῆς τὸ ταχὺ τοῦ θανάτου ἐδήλωσεν.

« Ὅταν ἀπέκτεινεν αὐτούς, τότε ἐξεζήτουν αὐτόν. » — Εὐεργετούμενοι μὲν οὐκ ᾐσθάνοντο, κολαζόμενοι δὲ ἐσωφρόνουν.

C « Καὶ ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐτῶν. » — Οὐκ ἀπὸ διαθέσεως καρδίας, ἀλλὰ λόγοις μόνοις εὐφήμοις.

« Καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτῷ. » — Λόγῳ μὲν ἐπαγγελλόμενοι πιστεύειν αὐτῷ καὶ πείθεσθαι, ἔργῳ δὲ ἀπειθοῦντες.

« Ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ, καὶ οὐκ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ. » — Οὐκ εὐθεῖα, οὐκ ὀρθή, πρὸς τὸ πιστεύειν αὐτῷ. Οὐκ ἐπίστευσαν οἷς ἐπηγγείλατο αὐτοῖς.

« Αὐτὸς δέ ἐστιν ὁ οἰκτίρμων, καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτῶν, καὶ οὐ διαφθερεῖ. » — Ἀντιχρονικῶς, τουτέστιν ἱλάσατο καὶ οὐ διέφθειρεν εὐθὺς ἢ εἰς τέλος.

« Καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ. » — Ἐλλειπτικῶς καὶ ἐπλήθυνε τὸ οἰκτεῖραι
D δηλονότι, εἶτουν λίαν αὐτοὺς ᾤκτειρεν, ὥστε ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ.

« Καὶ ἐμνήσθη ὅτι σάρξ εἰσι, πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον. » — Ὥσπερ ἡ λήθη τῆς συνήθους προστασίας ἀναβολὴν ὑπαινίττεται, οὕτω δὴ καὶ ἡ μνήμη τὴν ἐξαίφνης ἀντίληψιν. Ἀντελάβετο γοῦν, ὅτι σὰρξ ἦσαν ἀσθενὴς καὶ ὀλιγοχρόνιος καὶ πνεῦμα μεθιστάμενον ἐντεῦθεν, καὶ οὐκέτι ἐν τῷ βίῳ τούτῳ παλινοστοῦν.

« Καὶ ἐπέστρεψαν καὶ ἐπείρασαν τὸν Θεόν· καὶ τὸν ἅγιον τοῦ Ἰσραὴλ παρώξυναν. » — Ἀπέστρεψαν ἀπὸ τῆς προτέρας κακίας ἐφ' ἑτέρας, ἀπὸ τοῦ γογγύζειν ἐπὶ τὸ δοκιμάζειν τὴν δύναμιν τοῦ Θεοῦ.

OCR ABK / FR

**(A)** « Οὐκ ἐμνήσθησαν τῆς χειρὸς αὐτοῦ, ἡμέρας ἧς ἐλυτρώσατο αὐτοὺς ἐκ χειρὸς θλίβοντος. » — Οὐκ ἐμνήσθησαν τῆς δυνάμεως αὐτοῦ, καὶ τῆς ἡμέρας καθ' ἣν ἐλυτρώσατο αὐτοὺς ἐκ τῆς τυραννίδος τοῦ Φαραώ.

« Ὡς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ καὶ τὰ τέρατα αὐτοῦ ἐν πεδίῳ Τάνεως. » — Οὐκ ἐμνήσθησαν πῶς ἔθετο ἐν Αἰγύπτῳ τὰ σημεῖα αὐτοῦ καὶ μετέστρεψεν εἰς αἷμα· τὸν Νεῖλον καὶ τὰ ἐκεῖθεν μετοχετευόμενος ῥεῖθρα ποταμοὺς φησιν· ὀμβρήματα δὲ τὰς δεξαμενάς. Εἰπὼν δὲ ἐν Αἰγύπτῳ ἐπήγαγε τὸ αὐτῶν ἤτοι τῶν Αἰγυπτίων.

« Ἐξαπέστειλεν εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς. » — Οὐ τίθησι τὰς πληγὰς κατὰ τάξιν. Ἡ κυνόμυιά ἐστιν ἀγρία μυῖα καὶ ἀναιδής. Τὸ δὲ κατέφαγε καταχρηστικῶς εἴρηκεν ἀντὶ τοῦ κατέδακεν.

« Καὶ βάτραχον, καὶ διέφθειρεν αὐτούς. » — Ἐλυμήνατο δάκνων καὶ αὐτὸς καὶ τὰς ῥοὰς προαρπάζων καὶ πάσης ἀηδίας ἐμπιπλῶν.

« Καὶ ἔδωκεν τῇ ἐρυσίβῃ τοὺς καρποὺς αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν τῇ ἀκρίδι. » — Ἐρυσίβη ποιεῖ ὡς κονιορτώδη φθορὰν των σπερμάτων· τὸ γὰρ ἐπικαθίζον τοῖς καρποῖς παχνῶδες καὶ κατακαῖον αὐτούς, ἐκεῖνό φησιν ὁ Ἡρωδιανὸς ἐρυσίβην.

« Ἀπέκτεινεν ἐν χαλάζῃ τὴν ἄμπελον αὐτῶν, καὶ τὰς συκαμίνους αὐτῶν ἐν τῇ πάχνῃ. » — Ἐναπενέκρωσεν εἰς καρπογονίαν.

« Καὶ παρέδωκεν εἰς χάλαζαν τὰ κτήνη αὐτῶν καὶ τὴν ὕπαρξιν αὐτῶν πυρί. » — Ὕπαρξιν λέγει τὴν κτῆσιν τὴν ὁθενδήποτε προσοῦσαν αὐτοῖς.

« Ἐξαπέστειλεν εἰς αὐτοὺς ὀργὴν θυμοῦ αὐτοῦ. » — Ὀργὴν θυμοῦ εἰπὼν τὴν σφοδρὰν ἐδήλωσεν ἀγανάκτησιν, καὶ δι' αὐτῆς τὰς τιμωρίας αἵπερ ἦσαν τῆς θείας ἀγανακτήσεως ἀποτέλεσμα.

« Θυμὸν καὶ ὀργὴν καὶ θλῖψιν, ἀποστολὴν δι' ἀγγέλων πονηρῶν. » — Θυμὸν μὲν ἧττον κολαζούσης τιμωρίας εἴρηκεν, ὀργὴν δὲ τὰς μᾶλλον θλίψεις ἐμποιούσας, θλῖψιν δὲ τὰς ἔτι σφοδροτέρας· πονηροὺς δὲ ἀγγέλους τοὺς πόνους ἐμποιοῦντας ἔφησεν, ἤτοι τοὺς κολαστικούς.

« Οὐκ ἐφείσατο ἀπὸ θανάτου τῶν ψυχῶν αὐτῶν. » — Οὐκ ἐφείσατο τῶν ψυχῶν αὐτῶν ἀπὸ θανάτου ὥστε μὴ θανατῶσαι. Λέγει δὲ περὶ τῶν πρωτοτόκων.

« Ὡδοποίησε τρίβον τῇ ὀργῇ αὐτοῦ. » — Τῇ ὀργῇ αὐτοῦ πρότερον ἠρεμούσῃ διὰ φιλανθρωπίαν ὁδὸν κατεσκεύασεν, ὥστε βαδίζειν κατὰ τῶν Αἰγυπτίων σκληρυνομένων.

« Καὶ τὰ κτήνη αὐτῶν εἰς θάνατον συνέκλεισε. » — Διὰ τοῦ συνέκλεισεν τὸ ἄφυκτον τῆς τιμωρίας δεδήλωκε.

« Καὶ ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπαρχὴν παντὸς πόνου αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ. » — Ἀπαρχὴν λέγει τὸ ἐξαίρετον καὶ τιμιώτατον· πόνον δὲ τὴν κτῆσιν· κτῆσις δὲ καὶ τὰ τέκνα. Δηλοῖ δὲ πάλιν τὰ πρωτότοκα· σκηνώματα δὲ Χὰμ ἡ Αἴγυπτος· ὁ γὰρ Αἴγυπτος, ἀφ' οὗ ἡ χώρα οὕτως ὠνόμασται, προπάτορα εἶχε τὸν Χάμ.

« Καὶ ἀπῆρεν ὡς πρόβατα τὸν λαὸν αὐτοῦ. Καὶ ἀνήγαγεν αὐτοὺς ὡσεὶ ποίμνιον ἐν ἐρήμῳ. » — Ἀπήγαγεν αὐτοὺς ἐκ τῆς Αἰγύπτου ὁδηγῶν καὶ περιέπων ὡς ποιμὴν πρόβατα.

« Καὶ ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι, καὶ οὐκ ἐδειλίασαν· καὶ τοὺς ἐχθροὺς αὐτῶν ἐκάλυψε θάλασσα. » — Ὡδήγησεν αὐτοὺς ἐξερχομένους ἐν τῇ πρώτῃ νυκτί· ἐπ' ἐλπίδι δὲ τῆς πρὸς Ἀβραὰμ ἐπαγγελίας. Οὐκ ἐδειλίασαν δὲ ἐν τῇ νυκτὶ ἐκείνῃ· ὕστερον γὰρ καὶ πάνυ ἐδεδίεισαν.

« Καὶ εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ. » — Ὄρος λέγει τὸ Σιών· ἁγιάσματος δὲ ὡς ἀπονενεμημένον τῇ κιβωτῷ· ταύτην γὰρ ἐκάλουν ἁγίασμα.

**(B)** « Ὄρος τοῦτο ὃ ἐκτήσατο ἡ δεξιὰ αὐτοῦ. » — Ἣ ἐκτήσατο οὐχ ἡ ἀνδρία τοῦ λαοῦ, ἀλλ' ἡ δύναμις τοῦ Θεοῦ.

« Καὶ ἐξέβαλεν ἀπὸ προσώπου αὐτῶν ἔθνη. » — Ἑπτὰ ἔθνη, Χετταίους, Γεργεσαίους, Ἀμορραίους, Χαναναίους, Φερεζαίους, Εὐαίους καὶ Ἰεβουσαίους.

« Καὶ ἐκληροδότησεν αὐτοὺς ἐν σχοινίῳ κληροδοσίας. » — Οὕτως ἀκωλύτως διένειμεν αὐτοῖς τὴν γῆν τῶν ἐθνῶν, ὡς εἴ τις πατὴρ ἐν σχοινίῳ μετρήσει τοῖς παισὶν αὐτοῦ κλήρους γῆς ἑαυτοῦ.

« Καὶ ἀπέστρεψαν καὶ ἠθέτησαν. » — Ἀπέστρεψαν ἀπὸ Θεοῦ καὶ εἰδωλολάτρησαν καὶ ἠθέτησαν τὸν Θεόν.

**(C)** « Καθὼς οἱ πατέρες αὐτῶν μετεστράφησαν εἰς τόξον στρεβλόν. » — Μετεστράφησαν ἀπὸ τῆς εὐεργεσίας εἰς δυσσέβειαν δίκην τόξου στρεβλοῦ· καθὼς γὰρ τὸ διεστραμμένον τόξον οὐκ ὀρθῶς τὰ βέλη ἀφίησιν, οὕτω καὶ ὁ νοῦς αὐτῶν διαστραφεὶς οὐκ ὀρθῶς ἀφίει τὰς περὶ Θεοῦ ἐννοίας. Ἔστιν οὖν ἐνταῦθα τὸ εἰς ἀντὶ τοῦ ὡς.

« Καὶ παρώργισαν αὐτὸν ἐν τοῖς βουνοῖς αὐτῶν. » — Τὰ γὰρ ἔθνη ἐν τοῖς βουνοῖς ἔθυον. Γλυπτὰ δὲ ἦσαν τὰ εἴδωλα αὐτῶν. Τὸ δὲ παρεζήλωσαν αὐτὸν ἀντὶ τοῦ, παραζηλῶσαι ἐποίησαν, ὅ ἐστι δικαίως ὀργισθῆναι διὰ τὰ γλυπτά, καὶ οἱονεὶ ζηλοτυπῆσαι ὡς τοῦ ἀνήκοντος αὐτῷ σεβάσματος ἁρπαζομένου καὶ διδομένου τοῖς παραγράπτοις θεοῖς.

« Ἤκουσεν ὁ Θεὸς καὶ ὑπερεῖδε. » — Ἤκουσε βοώσης τῆς ἀσεβείας αὐτῶν, καὶ ὑπερεῖδεν, ὅ ἐστιν, ἀπεστράφη τὸν Ἰσραήλ.

**(D)** « Καὶ ἐξουδένωσε σφόδρα τὸν Ἰσραήλ. » — Ἤτοι ἄτιμον καὶ εὐκαταφρόνητον ἐποίησε· διαφόροις γὰρ ἔθνεσι διαφόρως παρέδωκεν εἰς αἰχμαλωσίαν.

« Καὶ ἀπώσατο τὴν σκηνὴν Σηλώμ. » — Ἀπώσατο τὴν κατοικίαν τὴν ἐν Σηλώμ, ἕως οὐκ ἠθέλησε διὰ τῆς κιβωτοῦ κατοικεῖν ἔτι ἐν Σηλώμ· οὐκ ἂν γὰρ ἄλλη ὡς κιβωτὸς ἐλείφθη τοῖς πολεμίοις.

« Σκήνωμα, οὗ κατεσκήνωσεν ἐν ἀνθρώποις. » — Τὴν σκηνὴν ἣν κατεσκήνωσε διὰ τῆς κιβωτοῦ ἐν ἀνθρώποις· ἐν Σηλὼμ γὰρ πρότερον κατῴκισεν ἡ κιβωτός. Σηλὼμ δὲ τὴν Ἱερουσαλὴμ ἐξελέξατο.

« Καὶ παρέδωκεν εἰς αἰχμαλωσίαν τὴν ἰσχὺν αὐτῶν. » — Ἰσχὺν καὶ καλλονὴν αὐτῶν ὀνομάζει τὴν

OCR ABK / FR

κιδωτὸν ὡς ῥωννύουσαν ἄχρι τότε καὶ κοσμοῦσαν αὐτούς. A

« Καὶ αἱ παρθένοι αὐτῶν οὐκ ἐπενθήσαν. » — Ἑκάστη τῶν αὐταῖς προσγενῶν περὶ τὰς οἰκείας συμφορὰς ἀσχολουμένη.

« Οἱ ἱερεῖς αὐτῶν ἐν ῥομφαίᾳ ἔπεσον. » — Ὀφνεὶ καὶ Φνεὶ καὶ Φινεὲς υἱοὶ τοῦ Ἠλεὶ οἱ συνδεθέντες τῇ κιδωτῷ καὶ ταύτην ἐπιφερόμενοι ὁμοῦ ἀνῃρέθησαν.

« Καὶ αἱ χῆραι αὐτῶν οὐ κλαυθήσονται. » — Αἱ γυναῖκες αὐτῶν χῆραι γεγονυῖαι οὐκ ἔσχον τοὺς κλαύσοντας ἤτοι πενθήσοντας. Ἔστι δὲ ἀντιχρονία.

« Καὶ ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, ὡς δυνατὸς κεκραιπαληκὼς ἐξ οἴνου. » — Ὕπνον καὶ μέθην ἰσχυρὰν τὴν εἰς τοὺς ἐχθροὺς μεγάλην μακροθυμίαν φησί. B

« Καὶ ἐπάταξε τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὰ ὀπίσω· ὄνειδος αἰώνιον ἔδωκεν αὐτοῖς. » — Τὸ ἐπάταξε ποτὲ μὲν δηλοῖ τὸ ἀνεῖλε, ποτὲ δὲ τὸ ἁπλῶς ἔπληξεν, ὥσπερ καὶ νῦν· εἰς τὰ ὀπίσω δὲ ἤτοι εἰς τὰς ἕδρας ὄνειδος αἰώνιον ἔδωκεν· ὄνειδος γὰρ ἦν τὸ ἐν ταῖς ἕδραις πληγῆναι, ἐλεγχομένης ἐντεῦθεν τῆς ἀκολάστου καὶ ἀσχήμονος αὐτῶν βιοτῆς.

« Καὶ ἀπώσατο τὸ σκήνωμα Ἰωσήφ. » — Τὴν σκήνωσιν τὴν ἐν Ἰωσήφ, εἴτουν τὴν ἐν τοῖς ὁρίοις τῆς φυλῆς Ἰωσήφ. Λέγει δὲ τὴν Σηλώμ.

« Καὶ τὴν φυλὴν Ἐφραὶμ οὐκ ἐξελέξατο. » — Ὥστε βασιλεῦσαι αὐτήν, καὶ ἐξελέξατο εἰς βασιλείαν δηλαδή.

« Καὶ ἐξελέξατο τὴν φυλὴν Ἰούδα, τὸ ὄρος τὸ Σιὼν ὃ ἠγάπησε. » — Ἀντὶ μὲν τῆς Σηλὼμ τῆς ἐν C τῷ ὄρει Ἐφραὶμ ἐξελέξατο εἰς κατοικίαν τῆς κιδωτοῦ, ὃ καὶ ἀγαπηθῆναι λέγει, διὰ τὸ μεγαλυνθῆναι καὶ ὀνομαστὸν γενέσθαι ἀφ' οὗ τὴν κιδωτὸν ὑπεδέξατο. Ἀντὶ δὲ τῆς ἀνδρικωτάτης φυλῆς τοῦ Ἐφραὶμ ἐξελέξατο εἰς βασιλείαν τὴν Ἰούδα φυλήν, ἧς ἦν ὁ Δαυΐδ· τὰ γὰρ κατὰ τὸν Σαοὺλ ἐκ τῆς φυλῆς ὄντα Βενιαμὶν παρεσιώπησε, διὰ τὸ μηδὲ κατὰ θείαν ἐντολὴν γενέσεως τῇ βασιλείᾳ αὐτοῦ, ἀλλὰ διὰ τὴν τοῦ λαοῦ κακίαν.

« Καὶ ᾠκοδόμησεν ὡς μονοκερώτων τὸ ἁγίασμα αὐτοῦ ἐν τῇ γῇ, ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα. » Καὶ ᾠκοδόμησεν ὡς ἀντιχρονικῶς· προφητεύει γὰρ νῦν περὶ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ. Τὸ δὲ ὡς μονοκέρατος προσυπακουστέον τὸ κέρας. Ὥσπερ γὰρ τοῦ μονοκέρωτος τὸ κέρας ἕν ἐστι, καὶ μέγιστον καὶ κάλλιστον καὶ ἰσχυρόν, οὕτω καὶ ὁ ναὸς τοῦ Θεοῦ ᾠκοδο- D μήθη τότε ἐν ὅλῃ τῇ γῇ εἷς, καὶ μέγιστος καὶ κάλλιστος καὶ ἰσχυρὸς τῇ κατασκευῇ καὶ μόνος μόνου Θεοῦ. — Τὴν τοῦ Ἰούδα φυλὴν ἡδραίωσεν εἰς τὸν αἰῶνα ἐν τῇ γῇ, τουτέστι τὴν Ἐκκλησίαν τῶν πιστῶν· ἧς ᾅδου πύλαι οὐ κατισχύουσι· φυλὴ γὰρ αὕτη τοῦ νέου Ἰούδα Χριστοῦ· τοῦ γὰρ παλαιοῦ ἡ φυλὴ ποῦ ἐστι τεθεμελιωμένη διαπαντός;

« Καὶ ἐξελέξατο Δαυῒδ τὸν δοῦλον αὐτοῦ, καὶ ἀνέλαβεν αὐτὸν ἐκ τῶν ποιμνίων τῶν προβάτων· ἐξόπισθεν τῶν λοχευομένων ἔλαβεν αὐτόν. » — Οὐδὲ τέλος· καὶ γὰρ ἦν ποιμήν, ἀλλ' ὑπὲρ ποιμένος τοῖς τίκτουσι τῶν προβάτων ἑπόμενος.

« Καὶ ἐποίμανεν αὐτοὺς ἐν τῇ ἀκακίᾳ τῆς καρδίας αὐτοῦ· καὶ ἐν ταῖς συνέσεσι τῶν χειρῶν αὐτοῦ ὡδήγησεν αὐτούς. » — Ἀκακίαν μέν φησιν ἀπόνηρον, καὶ ἁπλοῦν, καὶ πρᾶον· συνέσεις δὲ χειρῶν τὰς λελογισμένας πράξεις.

## ΨΑΛΜΟΣ ΟΗ'.

« Ψαλμὸς τῷ Ἀσάφ. » — Ὅπερ ἑρμηνεύεται συλλέγοντος. Προαναφωνεῖ τὴν τοῦ Ἐπιφανοῦς Ἀντιόχου κατὰ τῶν Ἰουδαίων ἀπόνοιαν, σχηματισθεὶς εἰς πρόσωπον τῶν ἐν αὐτοῖς τότε θεοσεβεστέρων. Ἁρμόζει δὲ καὶ τοῖς ὑπὸ τυράννων διωκομένοις Χριστιανοῖς.

« Ὁ Θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου. » — Τὸν εἰς κλῆρόν σοι ἀποτεταγμένον λαόν.

« Ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου. — Ποσὶν ἀνάγνοις τοῦτον πατήσαντες καὶ μιαρὰς θυσίας ἐπιτελέσαντας ἐν αὐτῷ καὶ εἰσαγαγόντες εἴδωλα, καὶ ἄλλως κοινώσαντες. Ἔστι δὲ ὁ ναὸς Θεοῦ πανάγιον τέμενος.

« Ἔθεντο Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον. » — Τὸ ὀπωροφυλάκιον καλύβη ἐστὶν ἢ σκηνή, ἐν ᾗ μένων τις φυλάσσει τὰς ἀκμαζούσας ὀπώρας. Οὕτως οὖν, φησί, καὶ τὴν Ἱερουσαλὴμ ἐποίησαν ἐρείπιον, σχῆμα μόνον πόλεως ἔχουσαν, ὡς οἰκίας φέρει σχῆμα τὸ ὀπωροφυλάκιον. Καλοῖτο δ' ἂν Ἰσραὴλ καὶ πᾶσα πόλις Χριστιανῶν.

« Ἔθεντο τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. » — Θνησιμαῖα τὰ τεθνηκότα σώματα καλεῖ.

« Ἐξέχεαν τὸ αἷμα αὐτῶν ὡσεὶ ὕδωρ, κύκλῳ Ἱερουσαλήμ· καὶ οὐκ ἦν ὁ θάπτων. » — Τὸ κύκλῳ τὸ πανταχοῦ δηλοῖ. Οὐκ ἦν δὲ ὁ θάπτων, τῶν μὲν πεφευγότων, τῶν δὲ αἰχμαλωτισθέντων.

« Ἐγενήθημεν ὄνειδος τοῖς γείτοσιν ἡμῶν. » — Γείτονας λέγει τὰ ἐγγειτονοῦντα αὐτοῖς ἀλλόφυλα ἔθνη. Ἡμῖν δὲ γείτονες οἵ τε Ἰουδαῖοι καὶ οἱ αἱρετικοί, ὡς κατά τι πλησιάζοντες ἡμῖν εἰς τὴν πίστιν.

« Μυκτηρισμὸς καὶ χλευασμὸς τοῖς κύκλῳ ἡμῶν. » — Μυκτηρισμὸς μέν ἐστιν ὁ κατάγελως, χλευασμὸς δὲ τὴν κωμῳδίαν ὑποληπτέον.

« Ἕως πότε, Κύριε, ὀργισθήσῃ εἰς τέλος. » — Τὸ εἰς τέλος ἀντὶ τοῦ παντελῶς ἤτοι σφοδρότατα.

« Ὅτι κατέφαγε. » — Κατέφαγον ἐν στόματι ῥομφαίας οἱ περὶ τὸν Ἀντίοχον τὸν παλαιὸν Ἰσραήλ, οἱ διῶκται δὲ τῆς πίστεως τὸν τῆς χάριτος.

« Μὴ μνησθῇς ἡμῶν ἀνομιῶν ἀρχαίων. » — Ἀρχαίας ἀνομίας τὰς προλαβούσας φησίν.

« Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου, Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα. » — Ἐπτωχεύσαμεν ἐκπεσόντες ὧν εἴχομεν, ἢ καὶ τῶν ἀρετῶν. Σωτῆρα δὲ τὸν Θεὸν καλοῦσιν, ὡς πολλάκις σωτηρίας αὐτοὺς ἀξιώσαντα.

« Βοήθησον ἡμῖν, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν· ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου ῥῦσαι ἡμᾶς. » — Εἰ καὶ ἀνάξιοι ἐλέους, ἀλλά γε ῥῦσαι ἡμᾶς, ἵνα μὴ δόξῃ τὸ σὸν ὄνομα παρὰ τοῖς ἔθνεσιν ὀνειδιζόμενον ὡς ἀσθενές, καὶ μὴ δυνάμενον ἐξελέσθαι τὸν οἰκεῖον λαόν.

OCR ABK / FR

« Εἰσελθέτω ἐνώπιόν σου ὁ στεναγμὸς τῶν πεπεδημένων. » — Τῶν εἰς αἰχμαλωσίαν ἀπαγομένων ἢ τῶν ἐν φυλακαῖς καὶ δεσμοῖς.

« Κατὰ τὴν μεγαλωσύνην τοῦ βραχίονός σου περιποίησαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. » — Βραχίονα τὴν ἰσχὺν λέγει. Τὸ δὲ περιποίησαι δηλοῖ τὸ διάσωσον.

« Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα εἰς τὸν κόλπον αὐτῶν. » — Ἑπταπλασίονα τὸν ὀνειδισμὸν, ἤτοι πολλαπλασίονα τὴν ἐξουδένωσιν. Εἰς τὸν κόλπον δὲ εἰπὼν ἀναπόβλητον ᾐνίξατο αὐτοῖς τὴν τιμωρίαν τοῦ εἰς Θεὸν ὀνειδισμοῦ, καὶ ἀεὶ ἐπικειμένην αὐτοῖς.

« Ἡμεῖς δὲ λαός σου, καὶ πρόβατα νομῆς σου, ἀνθομολογησόμεθά σοι εἰς τὸν αἰῶνα. » — Ἡμεῖς δὲ λαός σού ἐσμεν, εἰ καὶ ἐπταίσαμεν. Νομὴ δὲ Θεοῦ τὰ θεῖα ἐντάλματα. Ἀνθομολόγησις τὴν ἐπ' εὐεργεσίᾳ εὐχαριστίαν δηλοῖ.

## ΨΑΛΜΟΣ ΟΘ'.

Εἰς τὸ τέλος, ὑπὲρ τῶν ἀλλοιωθησομένων, μαρτύριον τῷ Ἀσὰφ, ψαλμὸς ὑπὲρ τοῦ Ἀσσυρίου. » — Τὸ ὑπὲρ τῶν ἀλλοιωθησομένων μεταβολὴν πραγμάτων σημαίνει πανταχοῦ. Τὸ δὲ μαρτύριον δηλοῖ τὸ διαμαρτύρεται, ἤως ἀναγγέλλει τὰς ἐσομένας τοῖς Ἰουδαίοις συμφορὰς ἵνα σωφρονέστεροι γένωνται. Τὸ δὲ ὑπὲρ τοῦ Ἀσσυρίου ἀντὶ τοῦ περὶ τοῦ Ἀσσυρίου, τουτέστι περὶ ὧν Ἰουδαίοις ποιήσειεν ὁ Βαβυλώνιος Ναβουχοδονόσορ, ὁ ἐξ Ἀσσυρίων ἕλκων τὸ γένος. Ἁρμόζει δὲ ὁ ψαλμὸς καὶ τοῖς ὑπὸ τῶν πολεμίων τῆς πίστεως κακοπαθοῦσι Χριστιανοῖς. Ἐν τῷ τέλει δὲ περὶ τῆς θείας προαγγέλλει ἀνθρωπήσεως.

« Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες, ὁ ὁδηγῶν ὡσεὶ πρόβατον Ἰωσήφ. » — Ἀντιχρονικῶς ἀντὶ τοῦ ὁ ποιμάνας καὶ ὁδηγήσας, τῷ μὲν Ἰσραὴλ ἤτοι τῷ Ἰακὼβ ὑπέσχετο συνεῖναι, καὶ φυλάττειν αὐτόν· τὸν Ἰωσὴφ πάλιν τῆς θηριώδους γνώμης καὶ μανίας ἀπαλλάξας τῶν ἀδελφῶν, ὡδήγησεν εἰς τὴν Αἴγυπτον καὶ πᾶσιν ἦν χειραγωγῶν, καὶ τῶν ἐπερχομένων κινδύνων λυτρούμενος. Λέγοιτο δ' ἂν καὶ ὁ ἐξ ἐκείνου κατηγμένος λαὸς Ἰσραὴλ καὶ Ἰωσήφ· ἀλλὰ καὶ ὁ ἐξ ἐθνῶν λαὸς τοῦ Χριστοῦ, ὡς ὁρῶντες τὸν Θεὸν καὶ ὥσπερ προτεθειμένοι τοῖς ἐξ Ἰουδαίων πιστοῖς. Καὶ ἄλλα πρόβατα ἔχω, φησὶν, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης. Ἰωσὴφ δὲ πρόθεσις ἑρμηνεύεται.

« Ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφάνηθι. » — Ὁ ἐπαναπαυόμενος ἐν τοῖς Χερουβὶμ, ἐμφάνηθι, τουτέστι γνώσθητι ὅτι ἦλθες βοηθὸς δηλαδὴ ἐνώπιον τοῦ λαοῦ σου· ἀπὸ γὰρ τῶν τριῶν ἐπιφανεστέρων τότε φυλῶν τὸ σύμπαν Ἰσραηλιτικὸν ἐσήμανε γένος. Λέγεται δὲ καὶ ὁ Χριστιανικὸς λαὸς Ἐφραῒμ ὡς καρποφόρος ταῖς ἀρεταῖς, Βενιαμὶν ὡς δεξιὸς ἐν τῇ πίστει· Μανασσῆς δὲ ὡς λήθην λαβὼν τῆς προτέρας πλάνης. Ἑρμηνεύονται δὲ καρποφορία μὲν ὁ Ἐφραῒμ, υἱὸς δεξιᾶς ὁ Βενιαμὶν, ἐπιλησμονὴ δὲ ὁ Μανασσῆς.

« Ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς. » — Ἐξανάστησον τὴν ὑπερφυῆ δύναμίν σου εἰς ἀντίληψιν ἡμῶν· τῇ μακροθυμίᾳ οἷον καθεύδουσαν.

« Ὁ Θεὸς ἐπίστρεψον ἡμᾶς, καὶ ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα. » — « Ἀπὸ τῶν λυπηρῶν εἰς τὰ εὔθυμα, ἢ πρὸς σὲ ἐπίστρεψον ἡμᾶς συνεργῶν εἰς τὰ σὰ θελήματα.

« Κύριε ὁ Θεὸς τῶν δυνάμεων, ἕως πότε ὀργίζῃ ἐπὶ τὴν προσευχὴν τοῦ δούλου σου. » — Ἀντὶ τοῦ οὐκ ἐπιστρέφῃ.

« Ψωμιεῖς ἡμᾶς ἄρτον δακρύων καὶ ποτιεῖς ἡμᾶς ἐν δάκρυσιν ἐν μέτρῳ. » — Ἕως πότε φαγεῖν δώσεις τὸν ἄρτον ἐν δάκρυσι, καὶ πιεῖν τὸ πόμα πάλιν ἐν δάκρυσιν· ἢ ἀντὶ βρώματος καὶ πόματος δώσεις ἡμῖν δάκρυα πιεῖν τε καὶ φαγεῖν. Τὸ δὲ ἐν μέτρῳ ἀντὶ τοῦ πρὸς μέτρον, ὅ ἐστιν ἀναλόγως ταῖς ἁμαρτίαις ἡμῶν.

« Ἔθου ἡμᾶς ἀντιλογίαν τοῖς γείτοσιν ἡμῶν. » — Ἀντιλογίαν ἐνταῦθα τὸ ὄνειδός φησιν.

« Ἄμπελον ἐξ Αἰγύπτου μετῆρας. » — Ἄμπελον νοητέον καὶ τὴν τῶν Ἰουδαίων συναγωγὴν διὰ τὸ εὐθαλὲς, ἀλλὰ καὶ τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν ὁμοίως, ἐκ τῆς σκοτεινῆς Αἰγύπτου ἀγνωσίας μετενηνεγμένην ἐπὶ τὴν ἀγαθὴν τῆς εὐσεβείας.

« Ἐξέβαλες ἔθνη καὶ κατεφύτευσας αὐτήν. » — Ἔθνη δὲ καὶ ἀλλόφυλοι καὶ οἱ δαίμονες· διὰ δὲ τοῦ κατεφύτευσας τὴν ἑδραίαν κατοίκησιν ὑπεδήλωσεν.

« Ὡδοποίησας ἔμπροσθεν αὐτῆς καὶ κατεφύτευσας τὰς ῥίζας αὐτῆς, καὶ ἐπλήρωσε τὴν γῆν. » — Ὁδὸν ἐποίησας ἐξελὼν τὰ ἔθνη, δίκην ἀκανθῶν καὶ σκόλων ἑτέρων, ἢ νόμον δοὺς δι' οὗ βαδιεῖται, τουτέστι πολιτεύσεται ἡ τῶν Ἰουδαίων συναγωγή· ἧς ῥίζα ἡ βασιλεία. Γῆν δὲ νοητέον τὴν τῆς ἐπαγγελίας τῆς ἐξ ἐθνῶν Ἐκκλησίας. Ὁδοποίησις μὲν τὰ εὐαγγελικὰ διατάγματα, ῥίζαι δὲ αὐτῆς τὰ περὶ Θεοῦ δόγματα. Γῆν δ' ἐνταῦθα νοήσεις καὶ τὴν οἰκουμένην καὶ βασιλείαν τῶν οὐρανῶν.

« Ἐκάλυψεν ὄρη ἡ σκιὰ αὐτῆς· καὶ αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ Θεοῦ. » — Ἡ σκιὰ τῆς Ἰουδαϊκῆς συναγωγῆς ἡ κατὰ νόμον λατρεία· ὄρη δὲ τὸ ἐν Σηλὼμ καὶ Σιὼν, ἐν οἷς κατῴκησεν ἡ σκηνή. Ἡ σκιὰ μὲν ἡ ἐξουσία καὶ ἡ δυναστεία ἡ ἐπιτεθεῖσα αὐτοῖς, ὄρη δὲ τὰ ὅμορα ἔθνη· καὶ κέδροι μὲν οἱ ἄρχοντες τῶν ἐθνῶν τοῦ Θεοῦ ὄντες καὶ αὐτοὶ, ὡς ὑπὸ Θεοῦ τὸ ἄρχειν εἰληφότες· ἀναδενδράδες δὲ οἱ τῶν Ἰουδαίων κριταὶ καὶ ἡγούμενοι· κλήματα δὲ τὰ πλήθη τοῦ λαοῦ. Θάλασσα δὲ ἡ Ἰνδική· παραφυάδες δὲ οἱ ἐξ ἀλλογενῶν προσήλυτοι πρὸς θεογνωσίαν· ποταμοὶ δὲ Εὐφράτης πληθυντικῶς· τῆς Ἐκκλησίας σκιὰ ἡ δόξα καὶ ἡ ἐπισκιάζουσα ταύτην χάρις τοῦ Πνεύματος· ὄρη δὲ οἱ κατὰ πρακτικὴν ἀρετὴν ὑψηλοί· κέδροι δὲ οἱ κατὰ τὴν θεωρητικήν· ἀναδενδράδες δὲ τὰ περὶ θεότητος δόγματα. Θάλασσαν δὲ νοητέον πᾶσαν καὶ ποταμοὺς πάντας δι' ὧν δηλοῦται ἡ οἰκουμένη.

« Ἵνα τί καθεῖλες τὸν φραγμὸν αὐτῆς καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν; » — Φραγμὸν λέγει τὴν φρουροῦσαν αὐτοὺς θείαν ἐπισκοπήν· τρυγᾶν δὲ τὸ λυμαίνεσθαι· παραπο-

OCR ABK / FR

ρευομένους δὲ τοὺς πολύπορον αὐτῆς ποιοῦντας τὴν A τὴν δίοδον ἀλλοφύλους, ἢ ἀλλοδόξους.

« Ἐλυμήνατο αὐτὴν ὗς ἐκ δρυμοῦ· καὶ μονιὸς ἄγριος κατενεμήσατο αὐτήν. » — Ὁ Βαβυλώνιος Ναβουχοδονόσορ ὃς μὲν λεχθείη ἂν ὡς ἀκάθαρτος καὶ τῷ τῶν ἡδονῶν βορβόρῳ ἐγκαλινδούμενος· μονιὸς δὲ ὡς μόνος δίχα συμμάχων ἐπιστρατεύσας Ἰουδαίοις· ἀσυναγέλαστος γὰρ ὁ μονιὸς δι' ὑπερβολὴν ἀγριότητος. Δρυμὸς δὲ Βαβυλὼν ὡς δασεῖα τῷ πλήθει τῶν ἐνοικούντων, καὶ πρὸς τὴν ἀρετὴν ἄκαρπος καὶ τῶν νοητῶν θηρίων ἐνδιαίτημα. Εἴη δ' ἂν καὶ ὁ διάβολος ὗς, καὶ μονιός, ὡς ἐνηδόμενος ταῖς ἀκαθαρσίαις καὶ τῇ κακίᾳ ἰδιάζων. Δρυμὸς δὲ αἱ τοῖς πάθεσιν ὑλομανοῦσαι ψυχαί, αἷς οὗτος ἐφήδεται καὶ ἐνσκηνοῖ, κατὰ ταύτην τὴν ἀγωγικωτέραν ὁρμὴν τοῦ λόγου. Διηγούμενος B ἐντεῦθεν ὁ Προφήτης ὁποία ἦν πρότερον ἡ συναγωγὴ τῶν ἐθνῶν ἐπισπεύδει τοῦ Κυρίου τὴν ἐνανθρώπησιν.

« Καὶ κατάρτισαι αὐτὴν ἣν ἐφύτευσεν ἡ δεξιά σου. » — Περιφραστικῶς ἣν ἐφύτευσας σύ, τουτέστι κατῴκισας. Ἐπὶ δὲ τῶν ἐθνῶν συναγωγῆς φυτείαν νοήσεις τὴν δημιουργίαν.

« Ἐμπεπυρισμένη πυρὶ καὶ ἀνεσκαμμένη. » — Λείπει τὸ ἐστίν. Αἰνίττεται δὲ διὰ τῆς ἀμπέλου τὴν γῆν αὐτῆς εἴτουν τὴν πόλιν ἢ τὰς πόλεις. Τὴν δὲ ἐθνῶν συναγωγὴν τὰ πνεύματα τῆς ἀκαθαρσίας ἐξέκαυσαν, ἐν ταῖς ἀλόγοις ἐπιθυμίαις, καὶ τοὺς ἐπὶ ἔργοις ἀγαθοῖς δημιουργηθέντας ἀνέτρεψαν τῇ κακίᾳ εἰς τὸ παντελὲς οἱ τῆς κακίας ἐφευρεταί.

« Ἀπὸ τῆς τιμήσεως τοῦ προσώπου σου ἀπολοῦνται. » — Ἐπιτίμησις ἡ ὀργὴ νοεῖται. Πρόσωπον δὲ C καὶ δεξιὰ τοῦ Πατέρος ὁ Υἱός, τὸ μὲν ὡς εἰκὼν καὶ χαρακτὴρ τῆς πατρικῆς ὑποστάσεως, τὸ δ' ὅτι δι' αὐτοῦ ὡς διὰ χειρὸς πάντα παρήγαγεν ὁ Πατήρ. Ἐλλείπει δὲ τῷ στίχῳ, οἱ ἐχθροί.

« Γενηθήτω ἡ χείρ σου ἐπ' ἄνδρα δεξιᾶς σου. » — Χεὶρ μὲν Θεοῦ ἡ θεία δύναμις, ἄνδρα δὲ δεξιᾶς Ἰουδαῖοι μὲν Ζοροβάβελ φασίν, ὡς καὶ δεξιώτατον, ἡμεῖς δὲ τὸ πρόσλημμα τοῦ Υἱοῦ.

« Καὶ ἐπὶ υἱὸν ἀνθρώπου ὃν ἐκραταίωσας σεαυτῷ. » — Ἀπὸ κοινοῦ τὸ ἐπίβλεψον. Υἱὸς δὲ ἀνθρώπου κατὰ μὲν Ἰουδαίους ὁ Ζοροβάβελ, κατὰ δὲ τὴν προφητικὴν θεωρίαν ὁ προσληφθεὶς ἄνθρωπος τῷ Θεῷ Λόγῳ, ὃν αὐτὸς ὁ προσλαβὼν ἐκραταίωσεν ἑαυτῷ· ἤως ἀφ' ἑαυτοῦ, ἀπὸ τῆς αὐτοῦ δυνάμεως μεταδοὺς αὐτῷ καὶ δυναμώσας κατὰ τοῦ πολεμίου· D πρὸς τὸν προσλαβόντα γὰρ ἡ εὐχὴ περὶ τοῦ προσληφθέντος ἀνθρώπου, ἵνα προσλάβῃ θᾶττον αὐτόν· διὸ τὸ ἐκραταίωσας ἀντὶ τοῦ κραταιώσεις. Ὃν ὁ Υἱὸς κραταιοῖ, τοῦτον ὁ Πατὴρ κραταιοῖ κατὰ τὴν πρὸς τὸ πρῶτον αἴτιον ἀναφοράν.

« Καὶ οὐ μὴ ἀποστῶμεν ἀπὸ σοῦ· ζωώσεις ἡμᾶς· καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα. » — Ταῦτα προσώπῳ τῶν μελλόντων πιστεῦσαι ἐθνῶν καὶ ἀφοσιωθῆναι τελείως Θεῷ. Ζωώσεις ἡμᾶς, φησί, τοὺς νεκρωθέντας ταῖς συμφοραῖς ἢ μᾶλλον τῇ ἀπιστίᾳ.

## ΨΑΛΜΟΣ Π'.

« Εἰς τὸ τέλος, ὑπὲρ τῶν ληνῶν ψαλμὸς τῷ Ἀσάφ. » — Οὗτος διασύρει τὴν Ἑβραίων ἀχαριστίαν καὶ ἀπείθειαν, καὶ διδάσκει τὴν ἀποβολὴν αὐτῶν ἐξασφαλιζόμενος τὸν νέον λαόν, ἵνα μὴ καὶ οὗτος τὴν τοῦ παλαιοῦ μιμησάμενος κακίαν ἀποβληθῇ.

« Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν· ἀλαλάξατε τῷ Θεῷ Ἰακώβ. » — Λάβετε διδασκαλίαν πνευματικήν, καὶ δότε νέκρωσιν τῶν ἐπὶ γῆς μελῶν.

« Λάβετε ψαλμὸν καὶ δότε τύμπανον ψαλτήριον τερπνὸν μετὰ κιθάρας. » — Ψαλτήριον λέγει τὴν θεωρίαν· κιθάραν δὲ τὴν πρᾶξιν.

« Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ὑμῶν. » — Καθὰ τοῖς ἱερεῦσι νόμος ἐκέλευε σαλπίζειν κατὰ πρώτην τοῦ ἑβδόμου μηνὸς εἰς ἀνάμνησιν τῆς ἐπὶ τοῦ Σινᾶ σάλπιγγος οὐρανίου, κελεύει τοῖς ἱεροῖς διδασκάλοις τὸ Πνεῦμα σαλπίζειν τὸ ἅγιον, εἴτουν κηρύττειν κατὰ τὴν ἡμέραν τῆς Χριστοῦ ἀναστάσεως αὐτὴν τὴν τοῦ Κυρίου ἀνάστασιν. Ταύτην δὲ τὴν ἡμέραν νεομηνίαν μὲν ὀνομάζει διὰ τὸ κατ' αὐτὴν ἀνακαινισθῆναι τὴν κτίσιν, εὔσημον δὲ ἤτοι ἐπίσημον ὡς ἑορτῶν ἑορτήν. Σάλπιγγα δὲ τὴν γλῶτταν καλεῖ.

« Ὅτι πρόσταγμα τῷ Ἰσραὴλ ἐστι, καὶ κρίμα τῷ Θεῷ Ἰακώβ. » — Οὕτω, φησίν, ἐντέλλομαι ἡμῖν, ὅτι καὶ τῷ Ἰσραηλιτικῷ λαῷ πρόσταγμα θεόθεν ἐστὶ τὸ σαλπίζειν ἐν τῇ νεομηνίᾳ, καὶ κρίσις εἴτουν ἀπόφασις εἰς τοῦτο τοῦ Θεοῦ.

« Μαρτύριον ἐν τῷ Ἰωσὴφ ἔθετο αὐτόν, ἐν τῷ ἐξελθεῖν αὐτὸν ἐκ γῆς Αἰγύπτου. » — Αὐτὸ τὸ σαλπίζειν διαμαρτυρίας καὶ παραγγελίας ἐποιήσατο ἐν τῷ λαῷ ὅτε ἐξῆλθεν αὐτὸς ὁ λαὸς ἐξ Αἰγύπτου.

« Γλῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν. » — Διάλεκτον ἣν οὐκ ἔγνω, τουτέστιν ἀσυνήθη καὶ ξένην, ἤκουσεν ὁ λαός, διαταττομένου Θεοῦ αὐτοῖς τὴν διάλεκτον. Ὅτε, φησίν, ἐφοβήθησαν· πᾶς ὁ λαὸς δὲ ἀπέστησαν μακρόθεν.

« Ἀπέστησεν ἀπὸ ἄρσεων τὸν νῶτον αὐτοῦ. » — Διδάξας οἵας ἠξιώθη χάριτος ὁ λαός, διδάσκει καὶ τὴν προλαβοῦσαν εἰς αὐτοὺς εὐεργεσίαν τοῦ Θεοῦ, ἤτοι τὴν τῆς Αἰγυπτιακῆς δουλείας ἀπαλλαγήν. Ἄρσεις δὲ λέγει τὰ βαστάγματα τοῦ πηλοῦ καὶ τῆς πλίνθου.

« Ἐν θλίψει ἐπεκαλέσω με, καὶ ἐρρυσάμην σε. » — Ἐντεῦθεν τὸν Δεσπότην Χριστὸν εἰσάγει ὁ Δαυΐδ, διαλεγόμενον τοῖς Ἰουδαίοις, καὶ διδάσκοντα ὅτι αὐτὸς ἦν πάλαι τὸν λαὸν εὐεργετήσας, ὁ νῦν ἐν σαρκὶ καθορώμενος.

« Ἐπήκουσά σου ἐν ἀποκρύφῳ καταιγίδος. » — Ἐν ἀποκρύφῳ ὤν, τουτέστιν ἀοράτως ὤν, ἐπήκουσά σου, ἤτοι ἐπλήρωσα τὴν δέησίν σου καὶ τῶν Αἰγυπτίων ἐλυτρωσάμην σε· διὰ τῆς καταιγίδος τῆς συνταραξάσης αὐτοὺς δὴ τοὺς Αἰγυπτίους καὶ ἀγαγούσης βιαίως ἐπὶ τὸν ὄλεθρον ἐδοκίμασά σε, συνεχώρησα διψῆσαί σε μικρόν, καὶ εὗρον εὐθὺς ἀχάριστον καὶ ἀγνώμονα. Λέγει δὲ ὅτε εἰς Μερρὰν ἦλθον καὶ πικρὸν εὑρόντες τὸ ὕδωρ τοῦ Μωυσῆ κατεγόγγυσαν, τοῦ Θεοῦ καταλάλησαν. Καὶ ἀπὸ τοῦ πράγματος τὴν προσηγορίαν ὁ τόπος ἐδέξατο.

« Ἄκουσον, λαός μου, καὶ διαμαρτύρομαί σοι. »

OCR ABK / FR

— Παῤῥησίᾳ βοῶ σοι καὶ ἐμμαρτύρως ὅτι, ἐὰν A
ἀκούσῃς τὸν λόγον μου καὶ πιστεύσῃς εἰς ἐμὲ καὶ γνωσθῇ Θεὸς ἐν σοὶ κατ' ἐπίγνωσιν, οὐκ ἔσται ἐν σοὶ θεός τις νέος ἄλλος παρὰ τὸν πρῶτόν σου Θεὸν, οὐδὲ προσκυνήσας ἐμοὶ ξένῳ προσκυνήσεις θεῷ παρ' ὃν προσεκύνουν οἱ πατέρες σου· αὐτὸς γὰρ ἐγὼ ὁ νῦν εἰς τὴν ἐμὴν ἐπίγνωσίν τε καὶ πίστιν ἐνάγων σε, αὐτός εἰμι πρῶτος Θεός σου, ὅς σε, τουτέστι τοὺς σοὺς πατέρας ἐκ τῆς Αἰγύπτου ἀναγαγὼν αὐτός εἰμι καὶ οὐχ ἕτερος, εἰ καὶ σάρκα προσείληφα διὰ σέ.

« Πλάτυνον τὸ στόμα σου, καὶ πληρώσω αὐτό. » — Ἄνοιξον τὸ στόμα τοῦ νοός σου, καὶ τροφῆς ἐμπλήσω τοῦτο πνευματικῆς, εἴτουν σοφίας θείων νοημάτων, ἢ καὶ τὸ αἰσθητόν σου στόμα τῆς καταλλήλου ἐμπλήσω τροφῆς, ἢ καὶ πάσας τὰς αἰσθήσεις σου περανῶ τὰς ἐπὶ συμφέροντι δηλαδή.

« Καὶ ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν. » — Καὶ ἀφῆκα αὐτοὺς φέρεσθαι κατὰ τὰ θελήματα καὶ τὰς ἐπικρίσεις τῶν οἰκείων λογισμῶν ὡς ἀπειθεῖς. Ἐγὼ δὲ μετέβην ἐπὶ τὰ ἔθνη.

« Ἐν τῷ μηδενὶ ἂν τοὺς ἐχθροὺς αὐτῶν ἐταπείνωσα. » — Τὸ ἐν τῷ μηδενὶ τὸ ἀπόνως καὶ εὐχερῶς δηλοῖ. Ἐχθροὺς δὲ τοὺς αἰσθητοὺς λέγει καὶ νοητούς.

« Οἱ ἐχθροὶ Κυρίου ἐψεύσαντο αὐτῷ. » — Ῥαββὶ γὰρ καλοῦντες καὶ διδάσκαλον ἀγαθὸν ἀπώσαντο τὴν διδασκαλίαν αὐτοῦ. Μὴ μόνον δὲ, ἀλλὰ καὶ θανάτῳ τοῦτον παραδεδώκασι.

« Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα. » — Διὸ καὶ διαπαντὸς ἔσονται τούτων αἱ συμφοραί· καιρὸν γὰρ οἱ Ἑβραῖοι καὶ Σύροι τὰς συμφορὰς ὀνομάζουσι.

« Καὶ ἐψώμισεν αὐτούς. » — Ἤτοι παρέσχεν εἰς τροφὴν τὸ μάννα.

« Ἐκ στέατος πυροῦ καὶ ἐκ πέτρας μέλι ἐχόρτασεν αὐτούς. » — Ὅ ἐστι τὸ τοῦ σίτου ἐντὸς, ὅ ἐστι τὸ λεπτότατον ἄλευρον, ἡ σεμίδαλις· τοιοῦτον γὰρ ἔδοξε τοῖς Ἰουδαίοις τὸ μάννα σιλιγνίτης ἄρτος· ὥσπερ καὶ τὸ ὕδωρ μέλι γλυκύτατον.

## ΨΑΛΜΟΣ ΠΑʹ.

Ψαλμὸς τῷ Ἀσάφ. » — Προαγορεύει τὸν παρὰ τοῦ Χριστοῦ κατὰ τῶν γραμματέων καὶ τῶν Φαρισαίων ἔλεγχον.

« Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν. » — Τοὺς γραμματεῖς καὶ Φαρισαίους ὁ Προφήτης θεοὺς ὠνόμασε διὰ τὸ ἀρχικὸν καὶ δικαστικὸν ἀξίωμα.

« Ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ. » — Τουτέστι, φανερῶς ἐλέγξει ὁποῖοί εἰσιν.

« Ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε; » — Τοῦτο τὸ ἔλεγχος. Τὸ δὲ λαμβάνετε ἀντὶ τοῦ εὐλαβεῖσθε. Ἁμαρτωλοὺς δὲ νῦν τοὺς ἀδίκους φησὶν ἰδίως.

« Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε. » — Τὸ δικαιώσατε ἀντὶ τοῦ δικαίαν ψῆφον ἐξενέγκατε. Τοῦτο δὲ σαφηνισμός ἐστι τοῦ κρίνοντος.

« Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν· ἐν σκότει διαπορεύονται. » — Τὸ οὐ συνῆκαν σαφηνισμός ἐστι. Τὸ οὐκ ἔγνωσαν ἀσύνετοι φησίν, ἔμειναν πρὸς τοὺς θείους λόγους τούτους ἐθελοκωφήσαντες· ἐν πλάνῃ γὰρ πολιτεύονται.

« Σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς. » — Ἀγανακτήσεως ὁ λόγος, οἷον μηδὲ ἡ γῆ ἀνασχέτω μένειν ἀσάλευτος οὕτω παρανομούντων τῶν διδασκάλων Ἰσραήλ.

« Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες. » — Ἐγὼ ὑμᾶς τοὺς κριτὰς θεοὺς ὠνόμασα ἐν τῇ βίβλῳ τῆς Ἐξόδου, φήσας πρὸς τὸν λαὸν, « Θεοὺς οὐ κακολογήσεις ἰδίους· » ἢ πάλιν υἱοὺς Ὑψίστου ἐν τῷ εἰπεῖν, « Υἱὸς πρωτότοκός μου Ἰσραήλ. »

« Ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε καὶ εἰς τῶν ἀρχόντων πίπτετε. » — Θνητοὶ μόνον καὶ μηδὲν τὰ γήϊνα εἰδότες οὕτως ἀποθνήσκετε, τουτέστιν, ὡς B
πρὸς τὸ ἀποθανεῖν μόνον ζητεῖτε, καὶ οὐ πρὸς τὸ τὴν κρείττω καὶ ὄντως ζῆσαι ζωὴν, καὶ ἀποπίπτετε τῆς ὑμῖν ἀφωρισμένης τιμῆς ὡς εἷς τῶν ἐν ἀγγέλοις ἀρχόντων, τῶν μὴ προσηκόντως χρησαμένων τῇ ἀρχῇ διὰ οἴησιν.

« Ἀνάστα, ὁ Θεὸς, κρῖνον τὴν γῆν. » — Ἐντεῦθεν ὁ Προφήτης οἰκείῳ προσώπῳ τὸν μόνον ἴδιον ἱκετεύει κριτὴν ἐπιφανῆναι ταχέως καὶ κρῖναι δικαίως καὶ τοὺς ἀδίκους παῦσαι κριτάς. Εἴη δ' ἂν καὶ περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως τοῦ Σωτῆρος πρόῤῥησις τὸ ῥητόν.

« Ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν. » — Καὶ γὰρ σὺ κληρονομίαν ἕξεις ἐν πᾶσι τοῖς ἔθνεσιν.

## ΨΑΛΜΟΣ ΠΒʹ.

C
« Ὠδὴ ψαλμοῦ τῷ Ἀσάφ. » — Προσώπῳ τῶν ἐπανελθόντων ἐκ Βαβυλῶνος εἰς Ἱερουσαλὴμ πολεμουμένων φθόνῳ ὑπὸ τῶν γειτονούντων καὶ λοιπῶν βαρβάρων ἐθνῶν ἃ δὴ καὶ κατετροπώσαντο στρατηγοῦντος Ζοροβάβελ. Ἁρμόζει δὲ ὁ ψαλμὸς καὶ τοῖς διωκομένοις ὑπὲρ Χριστοῦ.

« Ὁ Θεὸς, τίς ὁμοιωθήσεταί σοι; » — Τὸ τίς διαπορητικὸν ἀντὶ τοῦ οὐδείς.

« Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς, ὁ Θεός. » — « Μὴ μακροθυμήσῃς, μηδὲ ἀνεξικακήσῃς. »

« Ὅτι ἰδοὺ οἱ ἐχθροί σου ἤχησαν· καὶ οἱ μισοῦντές σε ἦραν κεφαλήν. » — Ἤτοι μετὰ βοῆς ἔδραμον καθ' ἡμῶν. Τὸ δὲ ἦραν κεφαλὴν δηλοῖ τὸ ἐπήρθησαν.

D
« Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην, καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου. » — Κατὰ [τῶν ἁγίων σου] πανοῦργον καὶ δολερωτάτην μελέτην συνεσκευάσαντο.

« Εἶπαν· Δεῦτε, καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους. » — Τοῦτο ἡ γνώμη. Τὸ δὲ ἐξ ἔθνους ἀντὶ τοῦ ἐκ τοῦ εἶναι ἔθνος.

« Καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι. » — « Οὐ μὴ μνημονευθῇ, οὐκ ἔτι ὅλως ὀνομασθῇ. »

« Ὅτι ἐβουλεύσαντο ἐν ὁμονοίᾳ ἐπὶ τὸ αὐτό. » — Τὸ ἐπὶ τὸ αὐτὸ τὴν ὁμοῦ δηλοῖ καὶ εἰς ἕνα τόπον συναγωγὴν τῶν ἐθνῶν.

« Κατὰ σοῦ διαθήκην διέθεντο. » — Διαθήκην τὴν συνθήκην φησί.

OCR ABK / FR

A « Τὰ σκηνώματα τῶν Ἰδουμαίων καὶ οἱ Ἰσμαηλῖται Μωὰβ καὶ οἱ Ἀγαρηνοί. » — Αἱ πόλεις τῶν Ἰδουμαίων, ἤως οἱ Ἰδουμαῖοι ἀλλόφυλοι, οἱ Φιλιστιαῖοι καὶ οἱ Παλαιστηναῖοι, ὡς παροικοῦντες τοῖς Ἰουδαίοις ἐγγύτατα, διαφερόντως ἐκαλοῦντο ἀλλόφυλοι.

« Καὶ γὰρ καὶ Ἀσοὺρ συμπαρεγένετο μετ' αὐτῶν. » — Περιττεύει τὸ γάρ. Λέγει δὲ Ἀσσυρίους τοὺς Σαμαρείτας ὡς ἀποίκους αὐτῶν· μετὰ γὰρ τὴν αἰχμαλωσίαν τῶν δώδεκα φυλῶν ταῖς τῶν Ἀσσυρίων ᾤκησαν πόλεσιν.

« Ἐγενήθησαν εἰς ἀντίληψιν τοῖς υἱοῖς Λώτ. » — Ἀντίληψιν συμμαχίαν φησίν· υἱοὺς δὲ Λὼτ τοὺς Μωαβίτας καὶ Ἀμανίτας.

« Ποίησον αὐτοὺς ὡς τῇ Μαδιὰμ καὶ τῷ Σισάρᾳ, ὡς τῷ Ἰαβὶμ ἐν τῷ χειμάρρῳ Κισσῶν. » — Τὴν μὲν B γὰρ στρατιὰν τῶν Μαδιηναίων ἀπειροπληθῆ οὖσαν, μόνον τριακοσίοις ἀνδράσιν ὁ Γεδεὼν ἐξωλόθρευσε. τὸν δὲ Σισάραν στρατηγὸν ὄντα τῆς δυνάμεως Ἰαβὶμ βασιλέως Χαναὰν κατεπολέμησεν ὁ Βαράχ, ἀπὸ Δεβώρας κελευσθεὶς τῆς κρινούσης τότε τὸν Ἰσραήλ. Ὡσαύτως δὲ ὁ αὐτὸς Βαρὰκ καὶ τὸν |βασιλέα Ναβεὶμ πανστρατιᾷ διέφθειρεν ἐν τόπῳ ἐπιλεγομένῳ χειμάρρῳ Κισσῶν.

« Ἐξωλοθρεύθησαν ἐν Ἀενδώρ. » — Ἡ Ἀενδὼρ τόπος ἐστὶν ἐν ᾧ κατεπολεμήθη ὁ Σισάρα.

« Ἐγενήθησαν ὡσεὶ κόπρος τῇ γῇ. » — Ἄταφοι κείμενοι ἦσαν πάντες καὶ διαλυθέντες. —

« Θοῦ τοὺς ἄρχοντας αὐτῶν ὡς τὸν Ὠρὴβ καὶ Ζὴβ, καὶ Ζεβεὲ καὶ Σαλμανάν. » — Τούτους ἅπαντας ἀνεῖλεν ὁ Γεδεών.

C « Πάντας τοὺς ἄρχοντας αὐτῶν, οἵτινες εἶπον, Κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ Θεοῦ. » — Κτησώμεθα τὸν ναόν, χάριν ἁρπαγῆς τῶν ἱερῶν σκευῶν καὶ ἀναθημάτων.

« Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχὸν καὶ ὡς καλάμην κατὰ πρόσωπον ἀνέμου. » — Ἀστατοῦντας ἀεὶ καὶ περιστρεφομένους ταῖς τῶν συμφορῶν ἀλλεπαλλήλοις μεταβολαῖς.

« Οὕτως καταδιώξεις αὐτοὺς ἐν τῇ καταιγίδι σου· καὶ ἐν τῇ ὀργῇ σου συνταράξεις αὐτούς. » — Καταιγίδα λέγει τὴν ἀξίαν κίνησιν τῆς ὀργῆς. Οὕτω δὲ, φησί, καταδιώξεις αὐτούς, ὡς καταδιώκει τὴν ὕλην τὸ πῦρ.

« Πλήρωσον τὰ πρόσωπα αὐτῶν ἀτιμίας, καὶ ζητήσουσι τὸ ὄνομά σου, Κύριε. » — Ἀπὸ τῆς παραδόξου γὰρ ἥττης αἰσχυνθέντες, ἐρωτήσουσι μετ' D ἐκπλήξεως, Τίς οὗτος ὁ Θεὸς ὁ τοιαῦτα τερατουργῶν;

« Αἰσχυνθήτωσαν καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν. » — Τύπῳ ἀρᾶς προλέγει τὰ γενησόμενα, ὅτι κατὰ τὸν μέλλοντα αἰῶνα οἱ μέχρι τέλους μείναντες πονηροὶ αἰσχυνθήσονται, δημοσιευομένων τῶν πονηρῶν αὐτῶν πράξεων, καὶ τῇ ἀπονομίᾳ τοῦ δικαστοῦ ταραχθήσονται, εἶτα σὺν ἀτιμίᾳ πολλῇ τοῦ κλήρου τῶν δικαίων διακριθήσονται, καὶ τὴν ἐν τῇ γεέννῃ ἀπώλειαν κατακριθήσονται, καὶ γνώσονται ἔργοις αὐτοῖς ὅτι μόνος ὁ Θεὸς κατὰ ἀλήθειαν Κύριος ὀνομάζεται, ὁ κυριεύων ἁπάντων, καὶ αὐτὸς μόνος ἀληθινὸς Θεὸς ἁπάσης τῆς γῆς· Ὕψιστον γὰρ τὸν Θεὸν ἐκάλουν ὡς ὑπερουράνιον.

ΨΑΛΜΟΣ ΠΓ'.

« Εἰς τὸ τέλος ὑπὲρ τῶν ληνῶν τοῖς υἱοῖς Κορὲ, ψαλμός. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου. » — Σκηνώματα ἐνταῦθα τὰς κατὰ τόπους ἐκκλησίας καλεῖ.

« Κύριε τῶν δυνάμεων· ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ Κυρίου. » — Τὸ ἐκλείπει ἐπὶ τῶν θερμῶν λέγεται ἐραστῶν, μὴ δυναμένων ὑπομεῖναι τῶν ποθουμένων τὸν χωρισμόν. Ἐκλύεται γοῦν, φησίν, ἡ ψυχή μου τῷ πυρὶ τοῦ πόθου· εἴποι δ' ἂν ταῦτα καὶ πᾶς ὁ τῆς οὐρανίου καταπαύσεως ἐρῶν. Ἐπιποθεῖν δέ ἐστι τὸ ἐξ ἐπιτεταμένου πόθου εἴς τι ἐπείγεσθαι.

« Ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα. » — Καὶ τὸ σῶμα δὲ τῆς ψυχικῆς κεκοινώνηκε θυμηδίας τῆς ἐπὶ τῷ Χριστῷ.

« Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσία ἑαυτῆς. » — Καὶ γὰρ ἡ ἐξ ἐθνῶν κληρονομία σου, ἡ δίκην στρουθίου καὶ τρυγόνος πλανωμένη πρὶν ἐν ἐρήμῳ, θείας διδασκαλίας εὗρε νῦν.

« Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ βασιλεύς μου καὶ ὁ Θεός μου. » — Ἤτοι τὰς ἐκκλησίας σου καὶ οἰκίαν καὶ νοσσιάν, καὶ τῆς πλάνης κατέπαυσας, ὅπου δὴ καὶ τὰ πνευματικὰ γεννήματα ἑαυτῆς, ἤτοι τὰς ἀρετὰς θήσει, τουτέστιν ἐνεργήσει.

« Μακάριος ἀνὴρ οὗ ἐστιν ἀντίληψις αὐτῷ παρὰ σοῦ. Ἀναβάσεις ἐν τῇ καρδίᾳ αὐτοῦ διέθετο. » — Ἀπὸ κοινοῦ, Μακάριος ὃς τὴν κοιλάδα τοῦ Κλαυθμῶνος, ἤως κατὰ τὸν παρόντα χθαμαλὸν καὶ ἐπώδυνον βίον οὐκ ἐφρόνησε ταπεινά τε καὶ γήϊνα· ἐν τῇ ψυχῇ αὐτοῦ ἐμελέτησε λογισμοὺς ἀναβιβάζοντας αὐτὸν πρὸς Θεόν. Μακάριος δὲ ὁ τοιοῦτος· καὶ δῆλον· τοῦτο γὰρ ὁ νομοθετῶν αὐτὸ, δηλαδὴ ἀφίστασθαι τῶν γηΐνων, εὐλογίας δώσει τῷ ἀνθρώπῳ τούτῳ καὶ εἰς τὸν τόπον καθ' ὃν ἔθετο, ἐν τῇ καρδίᾳ δηλονότι αὐτοῦ τοὺς δηλωθέντας λογισμούς· καὶ κατὰ τὸν παρόντα γὰρ κόσμον ἐμακάρισεν ὁ Χριστὸς τοὺς ποικίλως ἀνερχομένους ἐν αὐτῷ. Ἐμακάρισε δὲ διὰ τῶν εὐαγγελικῶν ποικίλων μακαρισμῶν· οὗτοι οἱ τὰς ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενοι ἐξ ἀρετῆς μεταβήσονται· δύναμις γὰρ ψυχῆς ῥωστικὴ τυγχάνει ἡ ἀρετή.

« Πορεύσονται ἐκ δυνάμεως εἰς δύναμιν· ὀφθήσεται ὁ Θεὸς τῶν θεῶν ἐν Σιών. » — Φῶς ἐν τῷ κόσμῳ, φησίν. Εὐλογήσει, τουτέστι μακαρίσει ὁ Θεὸς τοὺς τὰ οὐράνια φρονοῦντας οὐ διὰ προφήτου, οὐ δι' ἀγγέλου φωνῆς, ἀλλ' αὐτὸς ὁραθήσεται ἐν Σιών, σεσαρκωμένος, καὶ οὕτω δώσει τὰς εὐλογίας εἴτουν ποιήσεται τοὺς μακαρισμούς.

« Ὑπερασπιστὰ ἡμῶν, ἴδε, ὁ Θεὸς, καὶ ἐπίβλεψον εἰς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. » — Νεῦσον εἰς τὴν ἐπισκοπὴν τοῦ λαοῦ σου, ἤως εἰς τὸ ἐπιφανῆναι τῷ λαῷ σου, τῷ κατὰ μετουσίαν σὺν Χριστῷ καλουμένῳ, καθάπερ δὴ καὶ Θεῷ.

OCR ABK / FR

"Ὅτι κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. » — Τῶν ἀπὸ Σολομῶντος τοῦ κτίσαντος τὸν ναὸν ἐτῶν χιλίων ὄντων ἕως τῆς σῆς παρουσίας, Δέσποτα Χριστὲ, κρείσσων τούτων ἁπάντων τῆς ἐν τῷ ναῷ σωματικῆς παρουσίας σου.

« Ἐξελεξάμην παραῤῥιπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου μᾶλλον ἢ οἰκεῖν με ἐν σκηνώμασιν ἁμαρτωλῶν. » — Παραῤῥιπτεῖσθαι, τουτέστι παρεῤῥιμμένος εἶναι ὡς ἔτυχεν ἐπ' ἐδάφους, ἢ οἰκεῖν ἁβρῶς καὶ ὥσπερ οἰκοδεσπότης μετὰ ἁμαρτωλῶν.

« Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ ὁ Θεός. » — Ἐλεήσας γὰρ ἡμᾶς ἐνηνθρώπησε καὶ ἀληθὲς ἐκήρυξεν Εὐαγγέλιον.

« Χάριν καὶ δόξαν δώσει Κύριος. » — Χάριν τὴν τῶν ἁμαρτιῶν ἄφεσιν, τὴν υἱοθεσίαν, τὰ θαύματα, δόξαν τήν τε ἐνταῦθα καὶ πολλῷ πλέον τὴν ἐν οὐρανοῖς, καὶ ἀγαθὰ τὰ ἀνέκφραστα.

## ΨΑΛΜΟΣ ΠΔ'.

« Εἰς τὸ τέλος, τοῖς υἱοῖς Κορὲ ψαλμός. » — Προσαγορεύει τοπικῶς μὲν τὴν ἐκ Βαβυλῶνος ἐλευθερίαν τῶν αἰχμαλωτισθέντων Ἑβραίων, ἀναγωγικῶς δὲ τὴν ἐκ τῆς ἀγνοίας ἀπαλλαγὴν τῶν ἐθνῶν.

« Εὐλόγησας, Κύριε, τὴν γῆν σου. » — Ἀγαθὰ ἠθέλησας τῇ γῇ σου· ἤγουν εὐηργέτησας τοὺς ἀνθρώπους, τὸ πλάσμα σου. Τὰ μέλλοντα δὲ ὡς ἤδη γεγονότα νόμῳ προφητείας φησίν.

« Ἀπέστρεψας τὴν αἰχμαλωσίαν Ἰακώβ. » — Ἀπέστρεψας τὸν αἰχμάλωτον λαὸν τοῦ Ἰακὼβ ἀπὸ τῆς κατεχούσης αὐτὸν τυραννίδος. Ἰακὼβ δὲ καὶ ὁ Χριστιανικὸς λαὸς διαφόρως εἴρηται.

« Ἀφῆκας τὰς ἀνομίας τῷ λαῷ σου· ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν. » — Ὁμοίως τῷ, « Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι. »

« Κατέπαυσας πᾶσαν τὴν ὀργήν σου· ἀπέστρεψας ἀπὸ ὀργῆς θυμοῦ σου. » — Ἀνεχώρησας ἀπὸ τῆς σφοδρᾶς καθ' ἡμῶν ἀγανακτήσεως ἐπὶ εὐμένειαν.

« Ἐπίστρεψον ἡμᾶς, ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν. » — Λοιπὸν προσώπῳ τοῦ λαοῦ ποιεῖται τοὺς λόγους. Ἐπίστρεψον δὲ, φησὶν, ἀπὸ τῆς οἰασοῦν αἰχμαλωσίας εἰς τὴν προτέραν εὐγένειαν.

« Μὴ εἰς τοὺς αἰῶνας ὀργισθῇς ἡμῖν. » — Τὸ εἰς τοὺς αἰῶνας ἀντὶ τοῦ διαπαντός.

« Ἢ διατενεῖς τὴν ὀργήν σου ἀπὸ γενεᾶς εἰς γενεάν; » — Τὸ διατενεῖς ἀντὶ τοῦ παρατενεῖς. Τὸ δὲ ἀπὸ γενεᾶς εἰς γενεὰν ἀντὶ τοῦ ἐπὶ μήκιστον.

« Ὁ Θεὸς, σὺ ἐπιστρέψας ζωώσεις ἡμᾶς· καὶ ὁ λαός σου εὐφρανθήσεται ἐπὶ σοί. » — Τὸ ζωώσεις ἀντὶ τοῦ ζωώσαις.

« Ἀκούσομαι τί λαλήσει ἐν ἐμοὶ Κύριος ὁ Θεός. » — Ὁ Προφήτης φησίν· Ὑπόσχω τὸ οὖς τῆς ψυχῆς, καὶ ἐνωτισθήσομαι τί εἶπεν ἐν ἐμοὶ ὁ Θεός· εἶτα ἐνωτισθεὶς, φησὶ, λέγει ὁ Θεὸς ὅτι εὐαγγελίσεται εἰρήνην ἐπὶ τοὺς πιστεύσαντας εἰς αὐτὸν καὶ τῆς παλαιᾶς ἔχθρας κατάλυσιν.

« Πλὴν ἐγγὺς τῶν φοβουμένων αὐτὸν τὸ σωτήριον αὐτοῦ· τοῦ κατασκηνῶσαι δόξαν ἐν τῇ γῇ ἡμῶν. » — Πλὴν τὸ σωτήριον αὐτοῦ τῶν φοβουμένων αὐτὸν ἐγγὺς, ἤγουν ἡ παρ' αὐτοῦ σωτηρία ἡ εἰς τοὺς αὐτὸν φοβουμένους ἤτοι τοὺς πιστεύσαντας ἥξει καὶ οὐ χρονιεῖ, ὥστε κατοικῆσαι ἐν τῇ γῇ ἡμῶν δόξαν. Εἰ μὲν οὖν γῆν νοήσεις τὴν Ἱερουσαλὴμ, ὅπου κατῴκησεν ὁ Λόγος σωματωθεὶς, δόξαν νόησον διπλοῦν Χριστὸν ὡς ὄντως ἔνδοξον διὰ τὴν θείαν φύσιν αὐτοῦ, διὰ τὴν ἀναμαρτησίαν τοῦ προσλήμματος, διὰ τὰ ὑπερφυέστατα θαύματα· εἰ δὲ τὴν ἀνθρωπότητα νοήσεις γῆν, ἀκολούθως νόησον δόξαν τὴν τοῦ Λόγου μόνην ὑπόστασιν.

« Ἔλεος καὶ ἀλήθεια συνήντησαν· δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν. » — Τὸ συνήντησαν καὶ τὸ κατεφίλησαν τὴν ἐπὶ Χριστῷ παριστῶσι συνδρομὴν καὶ ἕνωσιν τῶν δηλουμένων ἀρετῶν.

« Ἀλήθεια ἐκ τῆς γῆς ἀνέτειλεν· καὶ δικαιοσύνη ἐκ τοῦ οὐρανοῦ διέκυψεν. » — Ἀλήθεια ὁ Χριστός· Ἐγὼ γάρ εἰμι, φησὶν, ἡ ἀλήθεια· οὗ ἀνατείλαντος ἐκ τῆς γῆς, κατὰ τὴν κάτω γέννησιν ἡ δικαιοσύνη, τουτέστι ὁ Χριστὸς ἐπέβλεψεν ἐφ' οὓς ἐπεστρέφετο πρότερον γηγενεῖς.

« Καὶ γὰρ ὁ Κύριος δώσει χρηστότητα· καὶ ἡ γῆ ἡμῶν δώσει τὸν καρπὸν αὐτῆς. » — Χρηστότης τοῦ Κυρίου ἡ δι' ἡμᾶς αὐτοῦ συγκατάβασις τῆς ἡμετέρας γῆς εἴτουν γεηρᾶς οὐσίας καρπὸς τοῦ Κυρίου πανάγιον πρόσλημμα.

« Δικαιοσύνη ἐνώπιον αὐτοῦ προπορεύσεται. » — Δικαιοσύνη ἐνταῦθα τὴν καθόλου φησὶν ἀρετήν.

« Καὶ θήσει ὁδὸν τὰ διαβήματα αὐτοῦ. » — Καὶ λοιπὸν ὁ Χριστὸς τὰ διαβήματα αὐτοῦ, τουτέστι τὴν ἐνάρετον πολιτείαν αὐτοῦ, θήσει εἰς τὸ εἶναι ὁδὸν τοῖς βουλομένοις ἀνέρχεσθαι πρὸς αὐτὸν δι' αὐτῆς.

## ΨΑΛΜΟΣ ΠΕ'.

« Προσευχὴ τῷ Δαυΐδ. Κλῖνον, Κύριε τὸ οὖς σου καὶ ἐπάκουσόν μου· ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου ὅτι ὅσιός εἰμι. » — Ὅσιος εἴρηται ὁ ἀφωσιωμένος καὶ ἀνατεθειμένος Θεῷ καὶ πᾶσαν ἐλπίδα ἔχων εἰς αὐτόν.

« Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν. » = Τὸ ὅλην τὴν ἡμέραν δηλοῖ τὸ διαπαντός.

« Ὅτι σὺ, Κύριε, χρηστὸς καὶ ἐπιεικής. » — Ἐπιεικὴς δηλοῖ τὸν προσηνῆ τε καὶ ἥμερον, ἐνταῦθα δὲ τὸν ἵλεον.

« Καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις. » — Τοῖς ἐπικαλουμένοις οὐ χείλεσιν, ἀλλ' ὅλῃ ψυχῇ.

« Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σέ. » — Ἡμέραν θλίψεως τὴν ἐνεστῶσάν φησιν.

« Ὅτι ἐπήκουσάς μου. » — Καὶ πάλαι γὰρ ἱκετεύσαντί μοι τὴν αἴτησιν δέδωκας.

« Πάντα τὰ ἔθνη ὅσα ἐποίησας ἥξουσι, καὶ προσκυνήσουσι ἐνώπιόν σου, Κύριε. » — Τοῦτο περὶ τῆς τελείας εἴη ἂν ὑποταγῆς ἁπάντων ἐθνῶν πρὸς τὸν Κύριον ἐν τῷ τέλει τοῦ παρόντος αἰῶνος γενησομένης. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα.

« Ὁδήγησόν με, Κύριε, ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. » — Ὁδὸν λέγει τὰς ἐντολὰς τοῦ Κυρίου· ἀλήθειαν δὲ τῶν δογμάτων

OCR ABK / FR

ὀρθότητα· καὶ ἁπλῶς αἰτεῖ τῆς τε πρακτικῆς ἀρετῆς καὶ τῆς θεωρητικῆς τὴν ἀκρίβειαν. Τὸ πορεύσομαι δὲ ἀντὶ τοῦ πορευθείην τέθειται.

« Εὐφρανθήτω ἡ καρδία μου τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. » — Ἡ γὰρ ἀληθὴς εὐφροσύνη τοῦ θείου φόβου ἐστὶν ἀπογέννημα, φόβου δηλονότι τοῦ τελειωτικοῦ. Εὐφρανθήτω γοῦν, φησίν, ἡ καρδία μου ἐκ τοῦ φοβεῖσθαί σε, ἀλλὰ μὴ ἔκ τινος τῶν τοῦ κόσμου τερπνῶν.

« Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμέ· καὶ ἐῤῥύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. » — Ἅδην ὑποληπτέον κατώτατον πάντα κίνδυνον ἰσχυρὸν σωματικόν τε καὶ ψυχικόν.

« Ὁ Θεός, παράνομοι ἐπανέστησαν ἐπ' ἐμέ. » — Οἱ ἀδίκως πολεμοῦντες αἰσθητοὶ καὶ νοητοὶ δυσμενεῖς.

« Καὶ σύ, Κύριε ὁ Θεός μου, οἰκτίρμων, καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. » — Οὐ ψευδῆ γὰρ τὸ εἶναι Θεός, ὡς οἱ θεοὶ τῶν ἐθνῶν· διὸ καὶ σώζεις τοὺς ἐλπίζοντας ἐπὶ σέ.

» Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με· δὸς τὸ κράτος σου τῷ παιδί σου καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου. » — Δοῦλός σου γάρ εἰμι καὶ τῆς σῆς θεραπαίνης υἱός, τουτέστιν, ἄνωθεν ἐκ προγόνων ὑπὸ τὴν σὴν δεσποτείαν τελῶ.

« Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν. » — Τῶν γὰρ σημείων τὰ μὲν εἰσι πονηρὰ καὶ ὀλέθρια, τουτέστιν ἐπίπονα καὶ ἀφανιστικά, ὡς ἐν τοῖς Αἰγυπτίοις, τὰ δὲ ἀγαθὰ καὶ σωτήρια, ἢ ὡς ἀγαθύνοντα καὶ σώζοντα.

« Καὶ ἰδέτωσαν οἱ μισοῦντές με. » — Ὑπερβάτως, Καὶ ἰδέτωσαν οἱ μισοῦντές με ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με.

« Καὶ αἰσχυνθήτωσαν, ὅτι σύ, Κύριε, ἐβοήθησάς μοι καὶ παρεκάλεσάς με. » — Παράκλησιν τὴν ψυχαγωγίαν καλεῖ· σημεῖα δὲ εἰς ἀγαθὸν τὰ τοῦ Παρακλήτου χαρίσματά ἐστιν ὄντως· ταῦτα γὰρ οἱ δαίμονες μάλιστα [φυβοῦνται].

ΨΑΛΜΟΣ ΠΣΤ'.

« Τοῖς υἱοῖς Κορὲ, ψαλμὸς ᾠδῆς. — Προαγορεύει τὴν γέννησιν τοῦ Χριστοῦ καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν.

« Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι ἁγίοις. » — Θεμέλιοι αὐτοῦ, τουτέστι τοῦ Χριστοῦ τὰ περὶ αὐτοῦ δόγματα· ταῦτα γὰρ ὑπόβαθρα καὶ στήριγμα καὶ ῥίζα τῆς εἰς αὐτὸν πίστεως. Ὄρη δὲ ἅγια οἱ ἀπόστολοι ὡς στεῤῥοὶ τὴν πίστιν καὶ ἐπερηρεισμένοι γεηρᾶς σχέσεως καὶ ὡς ἀφωρισμένοι Θεῷ, καὶ Πνεύματος ἁγίου πεπληρωμένοι.

« Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ. » — Παράδοξα ἐλαλήθη μοι παρὰ Κυρίου περὶ σοῦ τῆς ἄνω Σιών.

« Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ. » - Τὰς κατὰ τόπον ἁγίας ἐκκλησίας πύλας εἴτουν εἰσόδους εἴρηκε τῆς ἄνω Σιών, Ἀγαπήσει (Al. ἀγαπήσῃ) Θεὸς (Al. Θεῷ) παρὰ πάσας τὰς πόλεις τῶν Ἰουδαίων. Ἐκκλησίας καὶ πόλεις τὰς συναγωγὰς νόει μοι τῶν λαῶν.

« Μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος τοῖς γινώσκουσί με. » — Τίνα τὰ λαληθέντα ὑπὸ Κυρίου παράδοξα; Μνείαν ποιήσομαι ἐν τοῖς γινώσκουσί με, τουτέστι τοῖς πιστεύουσιν εἰς ἐμὲ καὶ Ἀράβων καὶ Βαβυλωνίων· καὶ Φιλιστιαῖοι καὶ Τύριοι καὶ Αἰθίοπες τὰ εὐσεβέστατα ἔθνη τεχθήσονται διὰ τῆς ἀναγεννήσεως τοῦ θείου βαπτίσματος ἐκεῖ, ἤγουν ἐν τῇ Σιών, οὕτως ταῦτα παράδοξα.

« Μήτηρ Σιὼν ἐρεῖ· Ἄνθρωπος καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ. » — Τοῦτο περὶ τῆς Σιὼν ὅτι ἄνθρωπος ἐκ παντὸς ἔθνους ἐρεῖ ὅτι μήτηρ ἡ Σιών, ἤγουν μητέρα ὀνομάσει τὴν Σιών. Διὰ τί; Διότι ἐγεννήθη ἐν αὐτῇ ἤγουν ἐν τοῖς ὁρίοις αὐτοῦ ἄνθρωπος ὄντως τὸ τῆς ἀνθρωπότητος φυλάξας ἀξίωμα, καὶ αὐτὸς ὁ γεννηθεὶς ἐν αὐτῇ ἄνθρωπος, αὐτὸς ἐθεμελίωσεν αὐτὴν κατ' ἀρχάς, ὡς ποιητὴς οὐρανοῦ καὶ γῆς, ὁ ὢν ὕψιστος ὡς Θεός. Τούτου γοῦν γεννηθέντος ἐν αὐτῇ καὶ τῆς εἰς αὐτὸν πίστεως ἐν αὐτῇ λαβούσης τὴν πρώτην ἀρχήν, εἰκότως ἁπάντων τῶν πιστῶν μήτηρ αὐτή ἐστιν ἡ Σιών.

« Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ ἀρχόντων τούτων τῶν γεγενημένων ἐν αὐτῇ. » — Ὁ Χριστὸς διδάξει τὰ περὶ αὐτοῦ ἐν γραφῇ λαῶν, ἤγουν διὰ τῆς γραφῆς τῶν λαῶν τῶν τεχθέντων ἐν αὐτῇ, ἤγουν τῇ Σιὼν καὶ τῶν ἀρχόντων αὐτῶν. Λέγω δὲ γραφὴ τὴν προφητικήν, τὴν ὥσπερ τινὰ κλῆρον δοθεῖσαν τοῖς Ἰουδαίοις ἅπασιν. Ἐπληρώθη δὲ ἡ πρόῤῥησις αὕτη, ὅτε ἐπεδόθη τῷ Χριστῷ βιβλίον Ἡσαΐου τοῦ προφήτου, καὶ ἀνοίξας τὸ βιβλίον ἐντεῦθεν ἐδίδαξε περὶ ἑαυτοῦ, καὶ ὅτε ἡρμήνευσεν ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ.

« Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί. » — Τοῦτο πάλιν τῆς ἄνω Σιών, καί φησιν ὅτι Ὄντως ἐν σοὶ ἔσται ἡ μονὴ καὶ ἀνάπαυσις πάντων τῶν εὐφραινομένων· ἀθυμία γὰρ ἀπέδρα πᾶσα ἀπὸ σοῦ.

ΨΑΛΜΟΣ ΠΖ'.

« Ὠδὴ ψαλμοῦ τοῖς υἱοῖς Κορὲ, εἰς τὸ τέλος ὑπὲρ Μαελὲθ τοῦ ἀποκριθῆναι λόγον συνέσεως Αἰμὰν τῷ Ἰσραηλίτῃ. « Τὸ ὑπὲρ Μαελὲθ ἀντὶ τοῦ διὰ χορεὐ... εἶδον γὰρ καὶ ἐν τῷ ἀποκριθῆναι πρὸς τὴν δι' ὀργάνου μουσικὴν ἐχόρευον. Αἰμὰν δὲ ὅτι οὐ μόνον τοῖς υἱοῖς Κορὲ ὁ ψαλμὸς παραδέδοται, ἀλλὰ καὶ ἑτέρ... ἀρχῳδῷ Αἰμάν, ὥσπερ ὁ μετὰ τοῦτον μόνῳ τῷ Αἰθάμ. Ἰσραηλῖται καὶ ἄμφω ἐγράφησαν διὰ τὸ καλεῖσθαι καὶ ἀλλοφύλοις τοῖς ὀνόμασι τούτοις. Συνέσεως δὲ δεῖ καὶ ἐνταῦθα μυστικῆς, οὔσης προαγορεύσεως περὶ θανάτου τοῦ Χριστοῦ.

« Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐνώπιόν σου. » — Ὁ Δεσπότης Χριστὸς Κύριον Θεὸν καὶ Σωτῆρα καλεῖ τὸν Πατέρα ὡς ἄνθρωπος. Διὰ δὲ τοῦ ἡμέρα καὶ ἐν νυκτὶ δηλοῖ τὸ διαπαντός.

« Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου· καὶ ἡ ζωή μου τῷ ᾅδῃ ἤγγισε. » — Κακῶν ἤτοι κακωτικῶν λυπηρῶν· « Περίλυπος γάρ, φησίν, ἡ ψυχή μου ἕως θανάτου· » ᾅδην γὰρ νῦν τὸν θάνατον ὑποληπτέον.

« Προσελογίσθην μετὰ τῶν καταβαινόντων εἰς λάκκον. » — Συνηριθμήθην μετὰ τῶν θαπτομένων· πάντες γὰρ ἀφέντες αὐτὸν ἔφυγον.

« Ἐγεννήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος ἐν νε-

OCR ABK / FR

χροῖς ἐλεύθερος. » — Ὡς μετὰ τῶν νεκρῶν ἐλεύθερος ἤτοι ἀναίτιος· ἐπιτίμιον γὰρ ἁμαρτίας ὁ θάνατος.

« Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ. » — Ἐγεννήθην ὡς τετραυματισμένος, κείμενος ἐν τάφῳ καὶ τὸν ὕπνον τοῦ θανάτου ὑπνώττων, ἴσως οἱ ἐξ ἀναιρέσεως τῆς ἐκ τραυμάτων καὶ πληγῶν ἀποθνήσκοντες καὶ μὴ φυσικῶς.

« Ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν. » — Ὧν ἐμνήσθη οὔπω ὥστε ζῶσαι αὐτούς, καὶ διὰ τοῦτο ἐξέπεσον αὐτοὶ τῆς σῆς ἀντιλήψεως, ἐπεὶ ἐπελάθου αὐτῶν. Καὶ διὰ τῶν τοιούτων δὲ λόγων ἐμφαίνει τὴν οἰκονομικὴν ἐγκατάλειψιν.

« Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτείᾳ καὶ ἐν σκιᾷ θανάτου. » — Τὸν τάφον φησὶ λάκκον κατώτερον καὶ τόπους σκοτεινοὺς καὶ νύκτα θανάτου, τουτέστιν, ἣν ὁ θάνατος προξενεῖ.

« Ἐπ' ἐμὲ ἐστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ' ἐμέ. » — Θυμὸν Θεοῦ νόει μοι τὴν ἐπενεχθεῖσαν τῷ γένει τῶν ἀνθρώπων τοῦ θανάτου κατάραν, ἣν ὁ Χριστὸς εἰς ἑαυτὸν δι' ἡμᾶς κατεδέξατο. Τὸ δὲ ἐπεστηρίχθη ἀντὶ τοῦ ἐπεβάρησε τέθειται, διὰ τοῦ θανάτου τοῦ σταυρικοῦ βαρὺ καὶ ἐπίμονον.

« Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ' ἐμοῦ. » — Τῷ φόβῳ σταυρωτῶν.

« Ἔθεντό με βδέλυγμα ἑαυτοῖς. » — Οἱ Ἰουδαῖοι δηλονότι.

« Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην. » — Παρεδόθην τοῖς Ἰουδαίοις ὑπὸ Ἰσκαριώτου, καὶ δυνάμενος ἐκπορευθῆναι ὑπ' αὐτῶν οὐκ ἐποίουν τοῦτο, ἀλλ' ἐνεκαρτέρησα ἑκών.

« Οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας. » — Πτωχείαν ἐνταῦθα τὴν τοῦ σώματός φησι κάκωσίν τε καὶ ἔκτηξιν.

« Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι, καὶ ἐξομολογήσονταί σοι. » — Μὴ τοῖς ἀναισθήτοις νεκροῖς ποιήσεις θαυμαστὰ ἔργα, ἢ ἰατροὶ ἀναστήσουσι τοὺς νεκροὺς καὶ οὕτως εὐχαριστήσουσί σοι οἱ παρὰ τῶν ἰατρῶν ἀναστάντες νεκροί; Ταῦτα δὲ οἱ μέν φασι λέγειν τὸν Κύριον ἀνθρωπίνῃ δειλίᾳ τῇ πρὸς θάνατον αἰτοῦντα τὸ ζῆν, οἱ δὲ τὰς αἰτίας ἡμῖν γνωρίσαι βουλόμενον δι' ἃς ἦν ἀναγκαία ἡ πρὸς τὸν ᾅδην αὐτοῦ κάθοδος.

« Μὴ διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ; » — Ἀπώλειαν τὸν τάφον ὠνόμασεν, ὡς ἐν αὐτῷ διαφθειρομένου τοῦ ἐγκειμένου νεκροῦ.

« Μὴ γνωσθήσεται ἐν τῷ σκότει τὰ θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ. » — Τὸν τάφον φησὶ καὶ σκότος καὶ γῆν ἐπιλελησμένην· ἐπιλανθάνονται γὰρ αὐτῆς οἱ ζῶντες, ὡς ἐμπλέων διαφθορᾶς.

« Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε. » — Τὸ πρωῒ μὲν δηλοῖ τὸ ταχέως· εἰς δὲ τὸ προφθάσει περιττεύει ἡ πρόθεσις.

« Ἵνα τί, Κύριε, ἀπωθεῖς τὴν προσευχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ; » Ταῦτα ὑπὲρ ἡμῶν τῶν πρὶν ἀπεῤῥιμμένων καὶ ὠργισμένων ὁ Δεσπότης φησί.

« Πτωχός εἰμι ἐγὼ καὶ ἐν κόποις ἐκ νεότητός μου. » — Τόσον γὰρ ἦν πένης ὁ Κύριος ὡς μὴ ἔχειν τὴν κεφαλὴν ποῦ κλίνειν, καὶ οὕτως ἦν ἐν κόποις ἐξ αὐτῆς τῆς ἄγαν νεότητος, ὡς ἐξ αὐτῶν σπαργάνων ἐπιβουλευόμενός τε καὶ διωκόμενος δι' ὅλου ταλαιπωρῶν.

« Ὑψωθεὶς δὲ ἐταπεινώθην. » — Ὕψωσιν νοητέον ἐκ τῶν θαυμάτων καὶ τὴν ἐπὶ σταυροῦ ταπείνωσιν τὴν ἐκ τῶν ἐμπαιγμῶν καὶ λοιδοριῶν, καὶ αὐτὴν τὴν μέχρι θανάτου καὶ ταφῆς.

« Καὶ ἐξηπορήθην. » — Δόξα (?) καὶ ἄπορος βοηθείας· διὸ καὶ ἔλεγον· « Ἄφες ἴδωμεν εἰ ἔρχεται Ἠλίας σώσων αὐτόν. »

« Ἐπ' ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με. » — Τὰς γὰρ κατὰ τῆς ἀνθρωπότητος ἐπιτιμήσεις καὶ ἀπειλὰς ἑαυτῷ προσενέγκας διὰ παθῶν κατεδέξατο.

« Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ· ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα. » — Οἱ Ἰουδαῖοι κατακλυσμοῦ δίκην περιεκύκλωσαν, καὶ περιέλαβόν με ὁμοῦ πάντες. Ἡμέραν δὲ τὴν τοῦ πάθους φησίν.

« Ἐμάκρυνας ἀπ' ἐμοῦ φίλον καὶ πλησίον καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας. » — Παραχωρήσαντος τοῦτό σου οἰκονομικῶς.

## ΨΑΛΜΟΣ ΠΗ'.

« Συνέσεως Αἰθὰμ τῷ Ἰσραηλίτῃ. » — Συνέσεως Αἰθὰμ, τῆς εἰς Βαβυλῶνα ἀγωγῆς τῶν αἰχμαλωτισθέντων καὶ περὶ τοῦ Χριστοῦ προαγόρευσις.

« Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι, εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου. » — Ἐλέη Θεοῦ καὶ ἀλήθειάν φησι τὴν πρὸς αὐτὸν θείαν ὑπόσχεσιν, τὸ ἐκ τοῦ σπέρματος αὐτοῦ δοῦναι τοῖς ἀνθρώποις τὴν σωτηρίαν δι' ἔλεος ἄφατον.

« Ὅτι εἶπας· Εἰς τὸν αἰῶνα ἔλεος οἰκοδομηθήσεται. » — Ὠκοδόμηται γὰρ ἐκ παρθενικῆς ὕλης ὁ οἶκος τῆς ἐνυποστάτου Λόγου σοφίας Θεοῦ, ἤγουν ὁ Ἰησοῦς ἔλεος ὢν ἀεὶ τοῖς πιστεύουσιν εἰς αὐτόν.

« Ἐν τοῖς οὐρανοῖς ἑτοιμασθήσεται ἡ ἀλήθειά σου. » — Ἡ ἀλήθεια τοῦ Θεοῦ, ὁ Χριστὸς ἐν τοῖς οὐρανοῖς ἡδράσθη· ἕτοιμον γὰρ πολλαχοῦ τὸ ἑδραῖον ἡ Ἑβραῒς οἶδε γραφή.

« Διεθέμην διαθήκην τοῖς ἐκλεκτοῖς μου. » — Προσώπῳ Θεοῦ ταῦτα. Καὶ διαθήκην μὲν λέγει τὴν ἐπαγγελίαν· ἐκλεκτοὺς δὲ τὸν Ἀβραὰμ καὶ τοὺς ὁμοίους αὐτῷ.

« Ὤμοσα Δαυῒδ τῷ δούλῳ. » — Ὁ ὅρκος τὸ βέβαιον τῆς ἐπαγγελίας δηλοῖ.

« Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου. » — Ὁ γὰρ Χριστὸς ἥδρασεν εἰς τὸν αἰῶνα, ζῶν καὶ βασιλεύων διηνεκῶς.

« Καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου. » — Οἰκοδομὴν τὴν ἀπάρτισιν λέγει· θρόνον δὲ τὴν βασιλείαν. Τοῦ Χριστοῦ δὲ τὴν βασιλείαν τοῦ Δαυῒδ φησι διὰ τὸ ἐξ αὐτοῦ κατάγεσθαι τὸν Χριστόν.

« Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου,

OCR ABK / FR

Κύριε. » — Οὐρανοὺς λέγει τοὺς ἐν οὐρανοῖς νόας, καὶ τοὺς τὴν οὐράνιον κεκτημένους διαγωγὴν ἐπὶ γῆς, οἵ, φησί, μεγαλυνοῦσι τὰς θαυμαστὰς καὶ ἀληθινὰς ἐπαγγελίας σου ἐν τῇ συναγωγῇ τῶν ἐκ οὐρανοῖς ἁγίων σου καὶ τῶν ἐπὶ γῆς.

« Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ, ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ; — Ὅτι οὐδεὶς ἐν τῷ ὕψει ἢ ὡς ἄγγελος ἰσωθήσεται τῷ Κυρίῳ οὔτε ἐν ἁγίοις ἀνθρώποις ὁμοιωθήσεται.

« Ὁ Θεὸς ἐνδοξαζόμενος ἐν βουλῇ ἁγίων. » — Ἐν συναγωγῇ δοξάζεται ὄντως καὶ ὑμνεῖται ὁ Θεός.

« Μέγας καὶ φοβερός ἐστιν ἐπὶ πάντας τοὺς περὶ κύκλῳ αὐτοῦ. » — Οἱ ἅγιοι πέριξ διοικοῦσιν, ἁγίους δὲ τούς τε τε ἀγγέλους νοεῖ καὶ τοὺς ἐν ἀνθρώποις φιλεῖ οἷς μέγας καὶ φοβερὸς ὁ Θεός, ὡς τὴν αὐτοῦ ἀκριβῶς ἐπισταμένοις ὑπεροχήν.

« Κύριε ὁ Θεὸς τῶν δυνάμεων, τίς ὅμοιός σοι; δυνατὸς εἶ, Κύριε, καὶ ἡ ἀλήθειά σου κύκλῳ σου. » — Οὐ μόνον δυνατὸς εἶ ποιῆσαι ἃ ἐπαγγέλλῃ, ἀλλὰ καὶ ἡ ἀλήθεια οὐδέποτε ἀφέστηκεν ἀπὸ σοῦ.

« Σὺ δεσπόζεις τοῦ κράτους τῆς θαλάσσης. » — Κράτος θαλάσσης τὴν βίαν τῶν κυμάτων φησί, λέγων, Τὸ σὸν νεῦμα διεγείρει τὴν θάλασσαν καὶ πάλιν τὴν γαλήνην ἐργάζεται.

« Σὺ ἐταπείνωσας ὡς τραυματίαν ὑπερήφανον. » — Ὄντως ἐστὶν ὁ διάβολος. Ὡς τραυματίαν δὲ εἶπεν, ἐπείπερ οἱ τετραυματισμένοι ταπεινοί εἰσι, τῷ ἄλγει τοῦ τραύματος συγκαμπτόμενοι.

« Τὸν βοῤῥᾶν καὶ τὴν θάλασσαν σὺ ἔκτισας. » — Βοῤῥᾶν τὸ βόρειον μέρος φησίν· θάλασσαν δὲ τὸ νότιον· ἃ καὶ κυρίως ἄκρα τοῦ κόσμου εἰσί.

« Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται. » — Διὰ τῶν ὀρῶν τούτων ὁρίων ὄντων τῆς γῆς ἐπαγγελίαν τῆς πρὸς τὴν τοιαύτην ἐδήλωσε γῆν, καὶ ὅτι τὰς πλείους διατριβὰς ὁ Χριστὸς ἐν τούτοις ἐποιεῖτο τοῖς μέρεσι. Καὶ ἐν Θαβὼρ μὲν μετεμορφώθη, ἐν Ἑρμὼν δὲ τὸν υἱὸν τῆς χήρας ἀνέστησεν· ἐνταῦθα γὰρ ἡ πόλις Ναΐμ.

« Σὸς ὁ βραχίων μετὰ δυναστείας. » — Πρὸς τὸν Πατέρα ὁ λόγος, Ὁ σὸς βραχίων ἤτοι δύναμις μετὰ δυναστείας, ὅ ἐστιν δυνατωτάτη καὶ ἰσχυρά.

« Κραταιωθήτω ἡ χείρ σου· ὑψωθήτω ἡ δεξιά σου. » — Τὴν δύναμιν πάλιν ἐκάλεσε καὶ χεῖρα καὶ δεξιάν, κραταιουμένην μὲν κατ' ἐχθρῶν, ὑψουμένην δὲ, εἰς σκέπην τῶν οἰκείων. Δύναμις δὲ τοῦ Πατρὸς ὁ Υἱός.

« Δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου. » — Ἐπὶ δικαιοσύνῃ καὶ κρίσει ἤτοι δικαίας κρίσεως ὁ δικαστικός σου θρόνος ἥδρασται· διὸ καὶ μετὰ τοῦ τυραννήματος κρινεῖς δικαίως ἡμᾶς.

« Μακάριος ὁ λαὸς, ὁ γινώσκων ἀλαλαγμόν. » — Μακαρίζει τοὺς εἰδότας νικᾷν τοὺς ἀοράτους ἐχθροὺς καὶ κατ' αὐτῶν ἀλαλάζειν, καί φησιν· Οὗτοι ἐν ταῖς ἐντολαῖς τοῦ Υἱοῦ σου πολιτευθήσονται.

« Καὶ ἐν ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν. » — Ἐν σοὶ εὐφρανθήσονται διὰ παντὸς, καὶ ἐν τῷ Υἱῷ σου δοξασθήσονται.

« Ὅτι καύχημα τῆς δυνάμεως αὐτῶν σὺ εἶ. » — Δύναμις τῶν Χριστιανῶν ὁ Χριστὸς, οὗ καύχημα ὁ Πατὴρ ἐφ' ᾧ σεμνύνεται, καὶ ᾧ πάντα τὰ ἑαυτοῦ ἀνατίθησι κατορθώματα.

« Καὶ ἐν εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας αὐτῶν. » — Εὐδοκία τοῦ Πατρὸς ἡ ἐνανθρώπησις τοῦ Υἱοῦ.

« Ὅτι τοῦ Κυρίου ἡ ἀντίληψις, καὶ τοῦ ἁγίου Ἰσραὴλ βασιλέως ἡμῶν. » — Τὸ ἀντιλαμβάνεσθαι ἡμῶν ἔργον ἐστὶ τοῦ Κυρίου καὶ βασιλέως ἡμῶν, ὅς ἐστιν Ἅγιος τοῦ Ἰσραήλ.

« Τότε ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου. » — Υἱοὺς μὲν Θεοῦ τοὺς προφήτας ἐνταῦθά φησι τῇ διὰ τῆς ἀρετῆς οἰκειώσει. Τὸ δὲ ἐν ὁράσει ἀντὶ τοῦ ἐναργῶς· ἡ γὰρ ὅρασις ἐναργεστέρα τῶν ὅλων αἰσθήσεων. Τὸ τότε δὲ τὸν χρόνον δηλοῖ καθ' ὃν ἐνεπνεύσθησαν οἱ προφῆται τὰ περὶ τοῦ Χριστοῦ.

« Καὶ εἶπας· Ἐθέμην βοήθειαν ἐπὶ δυνατόν. » — Δυνατὸν λέγει τὸν Ἰησοῦν ὡς ἔχοντα ἐν ἑαυτῷ τὴν τοῦ Θεοῦ δύναμιν, ἤτοι τὸν Υἱὸν τοῦ Θεοῦ· τοῦτον γὰρ καὶ βοήθειαν λέγει παρεσχηκέναι ὑπὸ τοῦ Πατρός· ἐπεὶ εὐδοκίᾳ τοῦ Πατρὸς ἥνωται ὁ Λόγος τῷ Ἰησοῦ.

« Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου. » — Τὸν αὐτὸν λέγει καὶ ἐκλεκτὸν, ὡς καὶ ἐκλεγόμενον εἰς τὴν καθ' ὑπόστασιν ἕνωσιν τοῦ Υἱοῦ καὶ ὑψωθέντα δι' αὐτήν· τὸν λαὸν δὲ λέγει τὸν Ἰουδαϊκόν· ἐκ τούτου γὰρ ἡ τοῦτον γεννήσασα.

« Εὗρον Δαυῒδ τὸν δοῦλόν μου. » — Τὸν αὐτὸν λέγει καὶ Δαυῒδ, ὡς ἐκ Δαυῒδ καταγόμενον.

« Ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν. » — Ἤως ἐν τῷ ἁγίῳ Πνεύματι·

« Ἡ γὰρ χείρ μου συναντιλήψεται αὐτῷ, καὶ ὁ βραχίων μου κατισχύσει αὐτόν. » — Χεὶρ καὶ βραχίων Θεοῦ ἡ δύναμις αὐτοῦ, ἢ ὡς ὁ Υἱός. Τὸ δὲ κατισχύσει ἀντὶ τοῦ ἰσχυρότητα ποιήσει· καὶ γὰρ ἐν τοῖς τοιούτοις ἡ κατὰ πρόθεσις ἐπίτασιν δηλοῖ· ὡς καὶ ἐν τῷ καταργήσει, ἀντὶ τοῦ ἀνενέργητον ποιήσει τελείως, καὶ ἐν τοῖς ὁμοίοις.

« Οὐκ ὠφελήσει ἐχθρὸς ἐν αὐτῷ. » — Οὐκ ἀνύσει ὁ διάβολος ἐν αὐτῷ πειράζων.

« Καὶ υἱὸς ἀνομίας οὐ προσθήσει τοῦ κακῶσαι αὐτόν. » — Ὁ αὐτὸς καὶ υἱὸς ἀνομίας λέγεται, καὶ ἄνομος, ὃς οὐ προσεπιχειρήσει, πειράζων ἡττῆσαι αὐτὸν, ἀποκρουσθεὶς κατὰ τὸν καιρὸν πρῶτον τοῦ πειρασμοῦ.

« Καὶ συγκόψω ἀπὸ προσώπου αὐτοῦ τοὺς ἐχθροὺς αὐτοῦ. » — Τὸ συγκόψω δηλοῖ τὸ ἀνελῶ. Τὸ δὲ ἀπὸ προσώπου τὸ ἀπ' ἐνώπιον. Ἐχθροὶ δὲ καὶ μισοῦντες αὐτὸν οἵ τε δαίμονες καὶ Ἰουδαῖοι.

« Καὶ ἡ ἀλήθειά μου καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ. » — Ἀλήθεια καὶ ἔλεος πατρικὸν ὁ Υἱός.

« Καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ. » — Καὶ ἐν τῷ καλεῖσθαι τῷ ἐμῷ ὀνόματι ἤως Κύριος καὶ Θεός, μεγαλυνθήσεται ἡ δόξα αὐτοῦ. Ἐκλήθη δὲ τῷ τοιούτῳ ὀνόματι ὁ Ἰησοῦς

OCR ABK / FR

ἤτοι τὸ πρόσλημμα κατὰ τὸν λόγον τῆς ἀντιδόσεως·

A « Καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ. » — Διὰ μὲν τῆς θαλάσσης τὰς νήσους ἐδήλωσεν, διὰ δὲ τὸν ποταμὸν τὴν ἤπειρον. Χεῖρα δὲ καὶ δεξιὰν ἐνταῦθά φησι τὴν κατοχήν τε καὶ κυριότητα.

« Αὐτὸς ἐπικαλέσεταί με, Πατήρ μου εἶ σύ· Θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου. » — Κατὰ τὸν ἡνωμένον μοι Λόγον σου. Θεός μου δὲ καὶ ἀντιλήπτωρ κατὰ τὴν ἀνθρωπίνην οὐσίαν.

Κἀγὼ πρωτότοκον θήσομαι. » — Ἀδελφοὺς γὰρ ἔχει ὁ Κύριος τοὺς πεπιστευκότας ὡς ἄνθρωπος, πρωτότοκος ὢν ἐν αὐτοῖς, ὁ κατὰ τὴν θείαν φύσιν μονογενὴς Υἱὸς τοῦ Πατρός.

« Ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. » — Καὶ ὡς ἄνθρωπος γὰρ πάντων δεσπόζει διὰ τὴν θέωσιν τοῦ προσλήμματος.

« Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου. » — Ἔλεος εἴρηται τοῦ Πατρὸς ὁ Υἱὸς, ἐπεὶ δι' αὐτοῦ ἠλέησεν ἡμᾶς, καὶ τοῦ τυράννου ἐῤῥύσατο. Δεδήλωται δὲ διὰ τοῦ ῥητοῦ τὸ ἐς ἀεὶ ἀχώριστον τῶν ἐνωθεισῶν ἐπὶ Χριστοῦ φύσεων.

« Καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ. » — Καὶ ἡ πρὸς τὸν Δαυῒδ ἐπαγγελία μου βεβαία ἔσται ἐπ' αὐτῷ, τουτέστιν, εἰς αὐτὸν ἀποβήσεται τὸ εἰρημένον πρὸς τὸν Δαυῒδ, ἤτοι τὸ Ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου.

« Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ. » — Σπέρμα τοῦ Χριστοῦ ἡ εὐαγγελικὴ πολιτεία αὐτοῦ ἤως ἡ διδασκαλία αὐτοῦ.

« Καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ. » — Θρόνον τὴν βασιλείαν λέγει· ἡμέραν δὲ οὐρανοῦ τὸν οὐράνιον αἰῶνα, τουτέστι τὸν ἐν τοῖς ἄνω, τὸ θεῖον καὶ ἀτελεύτητον.

« Ἐὰν ἐγκαταλίπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, καὶ τοῖς κρίμασί μου μὴ πορευθῶσιν. » — Οἱ υἱοὶ τοῦ Χριστοῦ οἱ διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας ἀναγεννηθέντες αὐτῷ.

« Ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσιν. » — Βέβηλον λέγεται πρὸς ἀντιδιαστολὴν τοῦ ἀδύτου τὸ πᾶσι βατὸν καὶ κοινὸν, καὶ διὰ τοῦτο ἐξητυτελισμένον καὶ ἄτιμον.

« Ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν. » — Ῥάβδος καὶ μάστιγες αἱ συμφοραὶ καὶ οἱ πειρασμοί.

« Τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν. » — Ἤως οὐ τελείαν ποιήσομαι αὐτῶν ἐγκατάλειψιν.

« Οὐδὲ μὴ ἀδικήσω ἐν τῇ ἀληθείᾳ μου. » — Οὐδ' οὐκ ἀδικήσω τὴν ἀλήθειάν μου ἐκ τοῦ ψεύσασθαι, οὐδ' οὐ μὴ ἀτιμάσω τὴν ἐπαγγελίαν μου ἐκ τοῦ ἀθετῆσαι αὐτήν.

« Οὐδὲ μὴ βεβηλώσω τὴν διαθήκην μου. » — Διαθήκην δὲ λέγει τὸ, « Ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν. »

« Καὶ τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων μου οὐ μὴ ἀθετήσω. » — Ἤως τὰ δηλούμενα διὰ τῶν λόγων μου.

« Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, Εἰ τῷ Δαυῒδ ψεύσομαι. » — Ὤμοσα κατὰ τῆς ἐμῆς ἁγιωσύνης ἅπαξ ἤως ἄνευ παλιλλογίας τινός. Τὸ δὲ εἰ ἀντὶ τοῦ οὐ. « Τὸ σπέρμα αὐτοῦ. » Τὸ σπέρμα τοῦ Δαυῒδ ὁ Χριστὸς, καθάπερ προείρηται.

« Καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα. » — Ἤως τοῦ σπέρματος Δαυΐδ. Τὸ δὲ ὡς ἥλιος καὶ ὡς ἡ πεπληρωμένη (forte σελήνη) ἤως ἡ πανσέληνος καὶ ἀλώφωτος τὸ ἐπίσημον ἅμα καὶ μόνιμον τῆς τοῦ Χριστοῦ βασιλείας δηλοῖ.

« Καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός. » — Καὶ ὁ διαμαρτυράμενος εἴτουν ἐπαγγειλάμενος ταῦτα ἐν

B τῷ οὐρανῷ ὢν βέβαιός ἐστιν.

« Σὺ δὲ ἀπώσω καὶ ἐξουδένωσας· ἀνεβάλου τὸν χριστόν σου. » — Τὰ ἐντεῦθεν προσώπῳ τοῦ ἐν Βαβυλῶνι αἰχμαλώτου λαοῦ. Διὰ τούτων δὲ τῶν ῥητῶν ὁ Προφήτης ὑποδηλοῖ τὸ τῶν Ἰουδαίων ἀσύνετον ἐν Γραφαῖς καὶ ἀνόητον· μὴ συνιέντες γὰρ τί τὸ σπέρμα Δαυῒδ καὶ τίς ἡ βασιλεία αὐτοῦ, ἀνοηταίνουσι, ψευδῆσαι τὸν Θεὸν ὑποκαμβάνοντες. Τὸ δὲ ἀνεβάλου τὸ παρεκρούσω δηλοῖ. Χριστὸν δὲ λέγει τὸν Δαυῒδ πρὸς ὃν ἡ ἐπαγγελία.

« Κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου. » — Κατέλυσας τὴν ἐπαγγελίαν τὴν πρὸς αὐτόν.

« Ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ. » — Παρεχώρησας ἀτιμωθῆναι εἰς τὴν γῆν, ὅ ἐστι καταπεσεῖν καὶ κοινωνηθῆναι τὸν ναὸν ὃν ὁ Δαυῒδ

C μὲν οἰκοδομῆσαι προέθετο, Σολομὼν δὲ τὸ ἔργον εἰργάσατο τοῦ πατρός.

« Καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ. » — Φραγμοὶ τοῦ Δαυῒδ ἤτοι τοῦ ἐξ αὐτοῦ καταγομένου λαοῦ τὰ τείχη τῶν πόλεων. Ὀχυρώματα δὲ οἱ προμαχοῦντες πολεμισταί. Λέγεται δὲ ἀνομία ὁ ἄνομος, καὶ δόξα ὁ ἔνδοξος, καὶ δειλία ὁ δειλὸς, καὶ τὰ τοιαῦτα ὁμοίως· Τὸ δὲ ἔθου τὸ εἰργάσω δηλοῖ.

« Διήρπασαν αὐτὸν πάντες οἱ διοδεύοντες ὁδόν » — Αὐτὸν ἤτοι τὴν παρουσίαν αὐτοῦ διήρπαζον οἱ . . . αὐτῆς πεποιημένοι τὴν δίοδον ἐγγειτονοῦντες ἀλλόφυλοι.

« Ὕψωσας τὴν δεξιὰν τῶν θλιβόντων αὐτόν. » — Ἐν τῷ παίειν αὐτοὺς ἐν τῷ πολέμῳ εὔφρανας πάντα τὰ γείτονα ἔθνη. Ἀπέστρεψας τὴν βοήθειαν ἣν

D συνήθως ἐν μάχαις αὐτῷ παρεῖχες.

« Ἀπέστρεψας τὴν βοήθειαν τῆς ῥομφαίας αὐτοῦ, καὶ οὐκ ἀντελάβου αὐτοῦ ἐν τῷ πολέμῳ. » — Τῷ πρὸς Βαβυλωνίους.

« Κατέλυσας αὐτὸν ἀπὸ καθαρισμοῦ. » — Κατέπαυσας αὐτὸν ἀπὸ τοῦ συνήθους καθαρισμοῦ, τουτέστιν, ἀνεῖλες τὰς ἑορτὰς αὐτοῦ· ἐν ταύταις γὰρ ἐχρῶντο περιῤῥαντηρίοις καὶ καθαρσίοις οἱ Ἰουδαῖοι.

« Τὸν θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥαξας. » — Τὴν βασιλείαν αὐτοῦ ἀνέτρεψας.

« Ἐσμίκρυνας τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ. » — Χρόνον λέγει τὸν ἐπαγγελθέντα τῷ σπέρματι

OCR ABK / FR

τοῦ Δαυὶδ τὸν εἰς αἰῶνα αἰῶνος. Ἐσμίκρυνας τὰς ἡμέρας ἀντὶ τοῦ συνέτεμες μακρὸν ὑποσχεθέντα.

A

« Κατέχεας αὐτῷ αἰσχύνην. » — Αἱ γὰρ αἰσχύναι τῶν ἀπογόνων αἰσχύναι τοῦ προγόνου δοκοῦσιν. Ἠσχύνθησαν δὲ ἐξανδραποδισθέντες καὶ παθόντες τὰ ἀτιμότατα.

« Μνήσθητι τίς μου ἡ ὑπόστασις. » — Μνήσθητι διὰ τί ὑπέστην πάντως· ἵνα ζῶν δοξάσω τὰ μεγαλεῖά σου.

« Μὴ γὰρ ματαίως ἔκτισας πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων ; » — Ἵνα δίκην ἀχρήστου καὶ περιττοῦ τινος ὡς ἔτυχε παραπόλοιντο.

« Τίς ἐστιν ἄνθρωπος ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον, ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου ; » — Ἅδου χεῖρα καλεῖ τὴν τοῦ θανάτου κατάσχεσιν. Ἐπεὶ, φησὶν, ἀναγκαίως ἀποθανεῖν μέλλομεν, ζῶσιν ἡμῖν μετάδος φιλανθρωπίας.

« Ποῦ εἰσὶ τὰ ἐλέη σου τὰ ἀρχαῖα, Κύριε, ἃ ὤμοσας τῷ Δαυὶδ ἐν τῇ ἀληθείᾳ σου ; » — Αἱ ἐπαγγελίαι σου αἱ ἔκπαλαι, ἃς ἐβεβαίου τῷ Δαυὶδ ἐν τῷ ἀληθεῖ.

« Μνήσθητι τοῦ ὀνειδισμοῦ τῶν δούλων σου (οὗ ὑπέσχον ἐν τῷ κόλπῳ μου) πολλῶν ἐθνῶν. » — Τῶν δούλων σου τῶν Ἑβραίων παρὰ πολλῶν ἐθνῶν παρά τε τῶν αἰχμαλωτισάντων καὶ τῶν περιοίκων, ὅντινα ὀνειδισμὸν ὑπέσχον ἕως ἐβάστασας ἐν τῷ κόλπῳ μου, τουτέστιν ἐν τῇ καρδίᾳ μου. Πρὸς τὴν ἀκολουθίαν δὲ τοῦ ὀνειδισμοῦ ἐπήνεγκε τὸ οὗ, κατὰ τὴν Ἀττικὴν συνήθειαν.

« Οὗ ὠνείδισαν οἱ ἐχθροί σου, Κύριε, οὗ ὠνείδισαν τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου. » — Ὁ διπλασιασμὸς τοῦ οὗ ὠνείδισαν ἐκφαντικὸς πάθους ἐστί. Χριστὸν δὲ Θεοῦ φησὶ τὸν βασιλέα Δαυίδ· ἀντάλλαγμα δὲ τοῦ Δαυὶδ τὸν Ἰεχονίαν, ἢ τὸν Σεδεκίαν, ὡς ἀντ' ἐκείνου βασιλεύσαντα, οἷς καὶ ὠνείδιζον τὴν αἰχμαλωσίαν.

« Εὐλογητὸς Κύριος εἰς τὸν αἰῶνα· γένοιτο. » — Εὐφημητὸς, φησὶν, ὁ Θεὸς ἀεὶ πάντων ἕνεκα· γένοιτο, γένοιτο πᾶσιν εὐφημητός.

## ΨΑΛΜΟΣ ΠΘ΄.

« Προσευχὴ Μωϋσῇ ἀνθρώπῳ τοῦ Θεοῦ. Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ καὶ γενεᾷ. » — Πρὸ τοῦ τὰ ὄρη γεννηθῆναι καὶ κτισθῆναι τὴν γῆν καὶ τὴν οἰκουμένην καὶ ἀπὸ τοῦ ἀεὶ καὶ ἕως τοῦ ἀεὶ σὺ εἶ μόνος. Διὰ τῆς ταυτολογίας δὲ μέγεθος τῷ λόγῳ περιέθηκεν.

« Μὴ ἀποστρέψῃς ἄνθρωπον εἰς ταπείνωσιν. » — Ταπείνωσιν ἐνταῦθά φησι τὸ ὑποταγῆναι τῷ ἐχθρῷ. Μὴ παραχωρήσῃς, λέγων, ἀποστραφῆναι εἰς ταύτην ἄνθρωπον φυγόντα εἰς σέ.

« Καὶ εἶπας, Ἐπιστρέψατε, υἱοὶ τῶν ἀνθρώπων. » — Καὶ γὰρ σὺ ὥρισας ἐπιστρέψειν τοὺς ἀνθρώπους· δέξαι οὖν ἡμᾶς ἐπιστρέφοντας.

« Ὅτι χίλια ἔτη ἐν ὀφθαλμοῖς σου ὡς ἡ ἡμέρα ἡ χθὲς, ἥτις διῆλθε, καὶ φυλακὴ ἐν νυκτί. » — Καὶ τοῦτο πρὸς ἀπόδ . . . . . τῆς ἀϊδιότητος τοῦ Θεοῦ παρέλαβε, καί φησιν· Ὄντως τὰ ἐλευσόμενα χίλια ἔτη λογίζονται ἐνώπιόν σου ὡς μία ἡμέρα, καὶ αὕτη ἡ χθὲς ἤτοι παρελθοῦσα, καὶ ὡς ἕν τι μόριον, νυκτός· ἡ μὲν γὰρ χιλιονταετηρὶς παραῤῥεῖ, σὺ δ' ἀκίνητος εἶ καὶ ἀΐδιος. Τὸ δὲ ἥτις διῆλθεν ἑρμηνευτικόν ἐστι τοῦ χθές.

« Τὰ ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται. » — Περιττὴ γὰρ οἷον ἡ πρόσθεσις εἶτα σκληρυνθήσεται. Εὐτελίσας τοῖς ἀνθρώποις χίλια ἔτη, φησὶν, ἔτι αὐτὰ ἐξουδενώσω.

« Τὸ πρωῒ ὡσεὶ χλόη παρέλθοι, τὸ πρωῒ ἀνθήσαι, καὶ παρέλθοι· τὸ ἑσπέρας ἀποπέσοι, σκληρυνθείη καὶ ξηρανθείη. » — Ταχέως ὥσπερ χλόη παρέλθοι τὰ χίλια ἔτη· καὶ χλόη τῶν ὅλων χλοῶν (χλοωνῶν) ὠκυμορωτέρα, ἥτις κατὰ τὸ πρωῒ μὲν τῆς ἡμέρας ἀνθήσει, καὶ εὐθὺς παρελεύσεται ὑπὸ τοῦ ἀνθεῖν, κατὰ δὲ τὸ ἑσπέρας πέσοι, τουτέστι κλιθήσεται εἰς γῆν δαπανωμένης τῆς ἐν αὐτῷ ἰκμάδος, καὶ οὕτω τελείως ξηρανθήσεται. Τὰ δὲ εὐκτικὰ νῦν ἀντὶ μελλόντων ὁριστικῶν.

B

« Ὅτι ἐξελίπομεν ἐν τῇ ὀργῇ σου, καὶ ἐν τῷ θυμῷ σου ἐταράχθημεν. » — Τὸ ὅτι διηγηματικὸν ἐνταῦθα. Τὸ δὲ, ἐξελίπομεν ἀντὶ τοῦ ὠλιγωρήθημεν, ἀπωλόμεθα, ἐν τῷ ὀργισθῆναί σε ἡμῖν ἁμαρτάνουσιν, καὶ ἔθου αὐτὰς ἐναντίον σου, καὶ ἔθου αὐτὰς γυμνὰς ἐνώπιόν σου, καὶ ὁρώμενοι παροξύνουσί σε καθ' ἡμῶν.

« Ὁ αἰὼν ἡμῶν εἰς φωτισμὸν τοῦ προσώπου σου. » — Ὅλη ἡ ζωὴ ἡμῶν ἕως αἱ κατ' αὐτὴν πράξεις, τουτέστι τὰ ἁμαρτήματα εἰς τὸ ἐμφανὲς τῆς σῆς ἐπισκοπῆς κεῖται, ἕως πεφανέρωταί σοι.

« Ὅτι πᾶσαι αἱ ἡμέραι ἡμῶν ἐξέλιπον· καὶ ἐν τῇ ὀργῇ σου ἐξελίπομεν. » — Τεθνήκαμεν ἤδη ταῖς συμφοραῖς, ταῖς θλίψεσιν ἀπεπνίγημεν.

C

« Τὰ ἔτη ἡμῶν. » — Τὰ ἔτη ἡμῶν τῶν ἀνθρώπων ἐλογιζόμην ἐγὼ ὥσπερ εἰ ἦν ἀράχνη.

« Ὡσεὶ ἀράχνη ἐμελέτων. » — Ἀντὶ τοῦ ἐμελετῶντο ἕως μελετῶντά ἐστι, τουτέστι λογίζονται ὡς ὁ τῆς ἀράχνης ἱστὸς, διὰ τὸ πολυμο... καὶ ἀπαραμόνιμον.

« Καὶ αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη. » — Ἐν αὐτοῖς ὄντων, ἕως ὅτε αὐτῶν ἐκ μὲν τῶν οἰκείων μελῶν κατεξουσιάζοντες καὶ ἐκ δυνάμεως κινούμενοι.

« Ἐὰν δὲ ἐν δυναστείαις ὀγδοήκοντα ἔτη. » — Εἶναι μέλλομεν ἤτοι καταδυναστεύεσθαι ὑπὸ τοῦ γήρους καὶ ἐν βίᾳ ζῆν.

D

« Καὶ τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος. » — Καὶ τὸ πλεῖον τῶν ἀπηριθμημένων ἐτῶν, ἵνα μὴ λέγω τὸ πᾶν, ἐν ταλαιπωρίᾳ καὶ ὀδύνῃ διαβιβάζομεν.

« Ὅτι ἐπῆλθε πραότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα. » — Τὰ κατὰ τὸν βίον ἀλγεινὰ πάντα πραότητά φησι, τουτέστι φιλάνθρωπον τιμωρίαν καὶ παίδευσιν ἥμερον.

« Τίς γινώσκει τὸ κράτος τῆς ὀργῆς σου ; » — Ἐὰν ἡ μικρὰ παιδεία σου τοσαύτην ἡμῖν αἴσθησιν ἐμποιεῖ, τίς ἄρα γινώσκει τὴν ἰσχὺν τῆς ὀργῆς σου, πόση ἐστὶ τοῖς μὴ ἐπιστρέψασιν ; Αἰνίττεται δὲ καὶ αἰωνίαν κόλασιν.

OCR ABK / FR

« Καὶ ἀπὸ τοῦ φόβου σου τὸν θυμόν σου ἐξαριθμήσασθαι ; » — Καὶ πάλιν τίς γινώσκει μετρῆσαι τὸν θυμόν σου, τουτέστι διαγνῶναι οἷός ἐστιν ; ἢ πάντως οὐδεὶς, διὰ τὸ εἶναί σε φοβερὸν ἄγαν, ἐξαριθμήσασθαι τὴν δεξιάν σου οὕτως· ἕως ἐν πραότητι παιδεύων με δηλαδὴ, δός μοι γνῶναι τὴν δεξιάν σου ἐκ τοῦ στῆναί με ἐν αὐτῇ, καὶ τοὺς πεπεδημένους τὴν ψυχὴν ἐν τῷ φόβῳ σου ἐκ τοῦ συνταγῆναι αὐτοῖς.

« Ἐπίστρεψον, Κύριε· ἕως πότε ; καὶ παρακλήθητι ἐπὶ τοῖς δούλοις σου. » — Δηλονότι οὐκ ἐπιστρέφεις· παρακλήθητι, δυσωπήθητι.

« Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε. » — Ἀντὶ τοῦ ἐμπλησθείημεν, καὶ τὰ λοιπὰ ὁμοίως ἀντὶ εὐκτικῶν.

« Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὰ ἔργα σου. » — Ἐπίσκεψον ἡμᾶς, καὶ τοὺς υἱοὺς ἡμῶν, εἴτε σαρκικοὺς, εἴτε πνευματικοὺς, ὁδήγησον ἐν ταῖς ἐντολαῖς σου.

« Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. » — Λαμπρότης Θεοῦ ἡ ἐκ Θεοῦ χάρις, ἡ λαμπρύνουσα τὸν νοῦν καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν. Ἔργα χειρῶν αἱ πράξεις. Καλὴ δὲ τοῦ ἐφ' ἡμᾶς ἡ προσθήκη· καὶ γὰρ ἡμέτερον τὸ κέρδος τῆς ἀρετῆς. Ἔργα δὲ χειρῶν ἡ ἐκ πράξεων ἐπισυμβαίνουσα γνῶσις. Παρακαλεῖ γοῦν ὁ Προφήτης μήτε κατὰ πρᾶξιν μήτε κατὰ γνῶσιν παρεγκλίνειν τῆς εὐθύτητος, ἤτοι τοῦ πρέποντος.

## ΨΑΛΜΟΣ ϟ'.

« Αἶνος ᾠδῆς τῷ Δαυΐδ. — Οὗτος ὁ ψαλμὸς δι-τῆς εἰς Θεὸν ἐλπίδος τὸ ἄμαχον.

« Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται. » — Ὁ ἐπίμονον ἔχων τὸν νοῦν τῇ βοηθείᾳ τῇ ἐκ Θεοῦ, διὰ τὸ εἰς μόνον τὸν Θεὸν ἐλπίζειν, ἀεὶ δὲ οὗτος τῇ σκέπῃ τοῦ οὐρανίου Θεοῦ διάξει, τουτέστιν ὑπὸ Θεοῦ φυλαχθήσεται πάντοτε.

« Ἐρεῖ τῷ Κυρίῳ, Ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου. » — Ἐρεῖ τῷ Θεῷ μετὰ θάῤῥους καὶ παῤῥησίας.

« Ὁ Θεός μου, ἐλπιῶ ἐπ' αὐτόν. » — Ἐρεῖ πάλιν ἐνώπιον πάντων· Θεός μου οὗτός ἐστιν.

« Ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν. » — Ὁ λόγος ἐστράφη πρὸς τὸν ἐλπίζοντα εἰς μόνον τὸν Θεόν. Θηρευτὰς δὲ λέγει τοὺς αἰσθητοὺς ἐπιβούλους καὶ νοητούς.

« Καὶ ἀπὸ λόγου ταραχώδους. » — Λόγον ταραχώδη τὸν τῆς συκοφαντίας φησὶ καὶ διαβολῆς· πολὺ γὰρ οὗτος οἶδε ταράσσειν τὴν ψυχήν.

« Ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι. » — Ἑστὼς ἔμπροσθέν σου πρόμαχος καὶ φυλάττων σε πολεμούμενον.

« Καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς. » — Σκεπάσει γάρ σε καὶ ὡς νεοσσόν.

« Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ. » — Τῷ ὅπλῳ αὐτοῦ ἤγουν τῷ σταυρῷ περιφρουρήσει σε ἡ ἀλήθεια, τουτέστιν ὁ Χριστός.

« Οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ. » — A Ἀπαγομένου εἴτε ἐξ ἀνθρώπων εἴτε ἐκ δαιμόνων.

« Ἀπὸ βέλους πετομένου ἡμέρας. » — Ἀπὸ βέλους ἀφιεμένου ἐν ἡμέρᾳ, εἴτε αἰσθητῶς, εἴτε νοητῶς.

« Ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου. » — Διὰ τοῦ πράγματος ἐδήλωσε καὶ τοὺς κακούργους ἀνθρώπους, καὶ τοὺς δαίμονας, καὶ τὰ πάθη τὰ ἐν νυκτὶ ἐπερχόμενα.

« Ἀπὸ συμπτώματος. » — Σύμπτωμα μέν ἐστι τὸ ἀπροσδοκήτως συμβαῖνον ἀβούλητον.

« Καὶ δαιμονίου μεσημβρινοῦ. » — Πᾶν πάθος ὅπερ ἐπανίσταται μετὰ τροφήν.

« Πεσεῖται ἐκ τοῦ κλίτους σου. » — Κλίτος τὸ ἀριστερὸν ἐκάλεσε μέρος.

B « Χιλιὰς καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. » — Βελῶν δηλονότι· τοξευθήσῃ γὰρ, φησὶ, παρὰ τῶν νοητῶν πολεμίων, πολλὰ μὲν ἐξ ἀριστερῶν, πλείω δὲ ἐκ τῶν δεξιῶν, ἀλλ' ἄπρακτα πεσοῦνται τὰ βέλη, σοὶ δὲ οὐδὲ πλησιάσουσι· μόνον δὲ τοῖς νοεροῖς σου ὀφθαλμοῖς γνώσῃ αὐτὰ, καὶ τὴν τιμωρίαν τῶν ἁμαρτωλῶν δαιμόνων θεάσῃ. Τίς δὲ ἡ τιμωρία ; Τὸ τῶν προβόλων αὐτῶν ἀνενέργητον.

« Ὅτι σὺ, Κύριε, ἡ ἐλπίς μου, τὸν Ὕψιστον ἔθου καταφυγήν σου. » — Λείπει τὸ εἶπας.

« Οὐ προσελεύσεται πρὸς σὲ κακά. » — Κακὰ λέγει τοὺς πειρασμοὺς, οὐδὲ τῆς ψυχῆς μὴ κατακρατεῖ πειρασμὸς, οὐ δοκεῖ τούτῳ προσέρχεσθαι.

« Καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. » — Οὐ γὰρ ὑπολαμβάνεταί τι ἀλγεινὸν πλησιάσαι τῷ σώματι τοῦ μὴ ἐντεῦθεν βλαπτομένου τὴν C ψυχήν.

« Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαί σε ἐν πάσαις ταῖς ὁδοῖς σου. » — Ὁδοὺς τὰς πράξεις φησί.

« Ἐπὶ χειρῶν ἀροῦσί σε. » — Χεῖρες ἀγγέλων αἱ σωστικαὶ δυνάμεις αὐτῶν.

« Μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. » — Λίθος ἡ ἁμαρτία· πούς ἡ πολιτεία.

« Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. » — Ταῦτα πάντα ὁ διάβολος ὀνομάζεται.

« Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. » — Εἰσάγει τὸν Θεὸν ὁ Προφήτης βεβαιοῦντα τοὺς λόγους αὐτοῦ.

« Σκεπάσω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου. » — D Γινώσκει ὅτι ὁ Θεὸς ὁ ἀξίως προσφερόμενος.

« Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτόν. » — Τὴν αἰωνίαν λέγει ζωήν.

## ΨΑΛΜΟΣ ϟΑ'.

« Ψαλμὸς ᾠδῆς εἰς τὴν ἡμέραν τοῦ Σαββάτου. » — Σάββατον ἐνταῦθα τὸν μέλλοντα αἰῶνα νοητέον, ὅς ἐστιν ἀργία παντελὴς καὶ κατάπαυσις τῶν ἀνθρωπείων πάντων πραγμάτων.

« Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε. » — Διὰ τοῦ πρωῒ καὶ τῆς νυκτὸς πάντα τὸν χρόνον ἐδήλωσε· καὶ διὰ μὲν τοῦ ἐλέους τὰς περὶ ἡμᾶς εὐεργεσίας, διὰ δὲ τῆς ἀδικίας τὴν κατὰ τῶν ἀδικούντων ἐκ-

OCR ABK / FR

δίκησιν· πολλάκις γὰρ ἀλήθειαν τὴν δικαιοσύνην A καλεῖ.

« Ὅτι εὔφρανάς με, Κύριε, ἐν τῷ ποιήματί σου. » — Ποίημα λέγει τὴν σύμπασαν αἰσθητὴν κτίσιν ὁλικῶς. Τὰ δὲ εἴδη ταύτης τὰ κατὰ μέρος καὶ τὴν συντήρησιν καὶ διαμονὴν καὶ πρόνοιαν, καὶ τὰς ἀῤῥήτους οἰκονομίας τοῦ Θεοῦ χειρῶν ἔργα φησί.

« Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, σφόδρα ἐβαθύνθησαν οἱ διαλογισμοί σου. » — Διαλογισμοὺς φησι τὰς βουλὰς καὶ τὴν σοφίαν τοῦ Θεοῦ· διὰ δὲ τοῦ ἐβαθύνθησαν τὸ ἀνέφικτον τούτων δηλοῖ καὶ ἀνεξερεύνητον.

« Ἀνὴρ ἄφρων οὐ γνώσεται, καὶ ἀσύνετος οὐ συνήσει ταῦτα. » — Τῆς θείας φρονήσεως ἄμοιρος οὐ νοήσει ταῦτα, ὅτι δηλαδὴ μεγάλα καὶ θαυμαστά σου τὰ ἔργα καὶ ἡ βουλὴ καὶ σοφία σου ἀνεξερεύνητος. B

« Ἐν τῷ ἀνατεῖλαι τοὺς ἁμαρτωλοὺς ὡσεὶ χόρτον, καὶ διέκυψαν πάντες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν. » — Ὁ καὶ περιττός. Τὸ δὲ διέκυψαν ἀντὶ τοῦ ἐβλάστησαν, ἔφυσαν, διέκυψαν τῆς γῆς. Φησὶ γοῦν, Ἐπληθύνθησαν οἱ πονηροὶ ἐνταῦθα, ἵνα κατὰ τὸν μέλλοντα αἰῶνα τὴν ἐν γεέννῃ κληρώσωνται ἀπώλειαν· ἡ γὰρ αὔξησις τῆς πονηρίας τοιοῦτον ἔχει τὸ τέλος.

« Σὺ δὲ ὕψιστος εἰς τὸν αἰῶνα, Κύριε. » — Σὺ δὲ τὸ ὕψος τοῦ κράτους αἰώνιον ἔχεις.

« Ὅτι ἰδοὺ οἱ ἐχθροί σου, Κύριε, ὅτι οἱ ἐχθροί σου ἀπολοῦνται καὶ διασκορπισθήσονται πάντες οἱ ἐργαζόμενοι ἀνομίαν. » — Ἐχθροὶ Κυρίου πάντες οἱ τῷ ἀποστάτῃ διαβόλῳ πειθόμενοι, οἵτινες ἀπολοῦνται ἐν γεέννῃ καὶ εἰς τὰς διαφόρους κολάσεις διασκορπίσονται. C

« Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου. » — Κέρας τοῦ Δαυῒδ ὁ Χριστός, ὃς μεγαλυνθήσεται κατὰ τὸν καιρὸν τῆς παγκοσμίου κρίσεως ὑπερβαλλόντως πάντων τῶν ἐχθρῶν αὐτοῦ ταπεινωθέντων αὐτῷ.

« Καὶ τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι. » — Λείπει τὸ ἔσται· ἐπεὶ γάρ, φησίν, ἔγνων ὅτι οὕτως τὸ κέρας μου ὑψωθήσεται, τὸ γῆράς μου διαβιβάσει ἐν ἱλαρότητι πολλῇ.

« Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου. » Τὸ ἐπεῖδεν ἀντὶ τοῦ ἐπόψεται. Ἐλλείπει δὲ τῷ ῥητῷ τὴν ἐκδίκησιν. Ἐχθροὺς δὲ νοητέους τοὺς δαίμονας καὶ τοὺς ἀσεβεῖς. D

« Καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πονηρευομένοις ἀκούσεται τὸ οὖς μου. » — Πάλιν τοὺς αὐτοὺς λέγει ἐπανισταμένους ἐπ' αὐτὸν καὶ πορευομένους ἀσυνδέτως. Ἀκούσεται δὲ τὴν κατ' αὐτοῦ τοῦ Δεσπότου ἀπόφασιν· τοῦτο γὰρ ἐλλείπει τῷδε τῷ ῥητῷ.

« Δίκαιος ὡς φοῖνιξ ἀνθήσει· ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται. » — Τὸ ταχυμάραντον τῶν ἁμαρτωλῶν διὰ τοῦ χόρτου δηλώσας, τὸ ἀειθαλὲς τοῦ δικαίου διὰ τοῦ φοίνικος δεδήλωκε· διὰ δὲ τῆς κέδρου τὸ πολυπληθές· πεπληθυσμένη γὰρ αὕτη ταῖς κόμαις. Ἀειθαλὴς μὲν οὖν ἔσται ὁ δίκαιος τῇ αἰωνίῳ ζωῇ· πολυπληθὴς δὲ τῇ ἀφθονίᾳ τῶν ἀγαθῶν.

« Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου ἐν ταῖς αὐλαῖς τοῦ Θεοῦ ἡμῶν ἐξανθήσουσιν. » — Περιζωννύμενοι ἐν τῇ Ἐκκλησίᾳ τῶν ἀληθῶς πιστῶν, κατὰ τὸν μέλλοντα αἰῶνα ἐν ταῖς οὐρανίαις μοναῖς τὰ ἄνθη τῶν ἀρετῶν ἐνδείξονται, τὰς ποικίλας ἀπολαύσεις τῶν πολυειδῶν ἀγαθῶν.

« Ἔτι πληθυνθήσονται ἐν γήρει πίονι. » — Γῆρας πῖόν φησι τὸ βαθύτατον. Διὰ τούτου δὲ τὴν μέλλουσαν παρεδήλωσε τελειότητα, ἐν ᾗ πολλαπλάσιοι ἄγαν δέξονται τὸν τῆς δικαιοσύνης καρπὸν οἱ δίκαιοι καὶ εὖ πάθωσι τὰς ἀῤῥήτους ἀπολαύσεις κερδήσαντες, ὥστε εἰπεῖν γεγηθυίᾳ ψυχῇ, Ὄντως δίκαιος ὁ Κύριος ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ ἔργα αὐτοῦ.

## ΨΑΛΜΟΣ ϞΒʹ.

« Εἰς τὴν ἡμέραν τοῦ προσαββάτου, ὅτε κατῴκισται ἡ γῆ, αἶνος ᾠδῆς τῷ Δαυΐδ. Κύριος ἐβασίλευσεν. » — Ὁ Χριστὸς βασιλεύων ὡς Θεὸς ἐβασίλευσε καὶ ὡς ἄνθρωπος μετὰ τὴν ἀνάστασιν· ἣ βασιλεία ὑποληπτέον τὴν κατ' ἐπίγνωσιν.

« Εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. » — Τὴν ὡς Θεῷ πρέπουσαν αὐτῷ δόξαν καὶ δυναστείαν καὶ ἐξουσίαν ἐφανέρωσε, καὶ τὴν πρότερον κρυπτομένην θείαν δόξαν αὐτοῦ, ἣν καὶ περιεζώσατο, τουτέστιν ηὐτρεπίσατο πρὸς καθαίρεσιν τῶν ἀποστατικῶν δυνάμεων.

« Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. » — Οἰκουμένην φησὶ τὴν ἐν ὅλῳ τῷ κόσμῳ καθολικὴν τοῦ Χριστοῦ Ἐκκλησίαν.

« Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. » — Ἑδραία ἡ βασιλεία σου ἀπ' ἀρχῆς.

« Ἐπῆραν οἱ ποταμοί, Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν. » — Ποταμοὺς ἐνταῦθά φησι τοὺς ἀποστόλους, οἵτινες ὕψωσαν τὰς φωνὰς αὐτῶν εἰς τὸ κήρυγμα.

« Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν. » — Ποταμοὺς νῦν φησι τοὺς ὕστερον διδασκάλους, οἵτινες ταῖς ὁδοῖς τῆς τῶν ἀποστόλων διδασκαλίας ἐπηκολούθησαν· ἐπιτρίψεις γάρ εἰσιν αἱ τομαὶ ἃς χαράττουσιν οἱ ποταμοί, ἐπιτρίβοντες τὴν γῆν ἐν τῷ φέρεσθαι. Τὸ δὲ ἀροῦσιν ἐνταῦθα δηλοῖ τὸ λήψονται.

« Ἀπὸ φωνῶν ὑδάτων πολλῶν. » — Ὕδατα πολλὰ νοητέον τοὺς ἀποστόλους καὶ λοιποὺς διδασκάλους· φωνὰς δὲ αὐτῶν τὰς διδασκαλίας· θάλασσαν δὲ τὴν πληθὺν τῶν πιστευσάντων ἐθνῶν· μετεωρισμοὺς δὲ τὰς πρὸς Θεὸν ὑψώσεις τῶν διανοιῶν.

« Θαυμαστὸν ἐν ὑψηλοῖς ὁ Κύριος. » — Μᾶλλον δὲ ἐν τοῖς ὑψηλοῖς πράγμασιν ἤως τοῖς ῥηθεῖσι μετεωρισμοῖς θαυμαστὸς ὁ Κύριος, ὁ κατορθώσας τὰ θαυμαστά.

« Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. » — Αἱ περὶ σοῦ μαρτυρικαὶ προφητεῖαι λίαν ἐδείχθησαν ἀληθεῖς.

« Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν. » — Οἶκος Θεοῦ ἡ Ἐκκλησία τῶν πιστῶν ᾗ πρέπει τὸ εἶναι ἁγία διηνεκῶς καὶ μα-

OCR ABK / FR

λυσμοῦ καθαρότητος παντὸς ὡς ἔνοικον ἐχούσῃ τὸν A ὄντως ἅγιον.

## ΨΑΛΜΟΣ ϞΓ'.

« Ψαλμὸς τῷ Δαυῒδ τετράδι Σαββάτου. Θεὸς ἐκδικήσεων Κύριος. » — Θεὸς ἐκδικητὴς ὁ Κύριός ἐστι. Παρηγορίαν ὁ ψαλμὸς τοῖς ἀδικουμένοις εἰσφέρει.

« Θεὸς ἐκδικήσεων ἐπαῤῥησιάσατο. » — Τὸ ἐπαῤῥησιάσατο ἀντὶ τοῦ παῤῥησιάζεται, τουτέστι τὴν ἑαυτοῦ φανερώσει δικαιοκρισίαν.

« Ὑψώθητι ὁ κρίνων τὴν γῆν· ἀπόδος ἀνταπόδοσιν τοῖς ὑπερηφάνοις. » — Ὑπερηφάνους λέγει τοὺς δυνάστας ὡς τῶν πενήτων καταφρονοῦντας.

« Φθέγξονται καὶ λαλήσουσιν ἀδικίαν. » — Ἀπὸ κοινοῦ τὸ, « Ἕως πότε λαλήσουσι πάντες. » Ἀπὸ κοινοῦ τὸ ἀδικίαν. B

« Χήραν καὶ ὀρφανὸν ἀπέκτειναν· καὶ προσήλυτον ἐφόνευσαν. » — Ἀποκτενεῖ καὶ φονεύσει πᾶς ὁ ἁρπάζων τὰ ἀλλότρια· προσήλυτος δὲ παρὰ μὲν Ἰουδαίοις ὁ ἐξ ἐθνῶν τῷ Ἰουδαϊσμῷ προσελθὼν, παρ' ἡμῖν δὲ ὁ πάροικος.

« Καὶ εἶπαν· Οὐκ ὄψεται Κύριος, οὐδὲ συνήσει ὁ Θεὸς τοῦ Ἰακώβ. » — Τὸ συνήσει ἀντὶ τοῦ γνώσεται.

« Σύνετε δὴ ἄφρονες ἐν τῷ λαῷ, καὶ μωροί ποτε φρονήσατε. » — Ἐπίγνωτε τὰ πᾶσι γνώριμα.

« Ὁ φυτεύσας τὸ οὖς οὐχὶ ἀκούει; ἢ ὁ πλάσας τὸν ὀφθαλμὸν οὐχὶ κατανοεῖ; » — Τὸ κατανοεῖ ἀντὶ τοῦ ὁρᾷ.

« Ὁ παιδεύων ἔθνη οὐχὶ ἐλέγξει; » — Ἃ καὶ τὰ μὲν νόμον δεξάμενα θεῖον ἔθνη παιδεύων καὶ σωφρονίζων διὰ τῶν παρ' αὐτοῖς νόμων δι' ὧν οἱ πταίοντες κολάζονται, οὐχὶ ἐλέγξει, τουτέστι κολάσει παρανομοῦντας ὑμᾶς; C

« Ὁ διδάσκων ἄνθρωπον γνῶσιν. » — Ὁ χορηγὸς τῆς γνώσεως Θεὸς πάντως γινώσκει τοὺς διαλογισμοὺς τῶν τὰ ἀνθρώπινα φρονούντων καὶ γήϊνα, καὶ διὰ τοῦτο περὶ τὴν θείαν πρόνοιαν ἁμαρτανόντων ὅτι εἰσὶ ψευδεῖς καὶ ἐσφαλμένοι.

« Μακάριος ἄνθρωπος, ὃν ἂν παιδεύσῃς, Κύριε. » — Ὃν ἂν συνετίσῃς τῇ παρὰ σοῦ διδασκαλίᾳ.

« Καὶ ἐκ τοῦ νόμου σου διδάξῃς αὐτόν. » — Εἴτε τοῦ φυσικοῦ εἴτε τοῦ γραπτοῦ.

« Τοῦ πραῦναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν. » — Ὡς μὴ σχετλιάζειν αὐτὸν, μὴ ἀγανακτεῖν ἐκ τῶν ἐπιπόνων ἡμερῶν, ὅτι ἡ κακία κατακυριεύει, ἀλλ' ὑπομένειν τε καὶ μακροθυμεῖν ἕως ἂν πᾶς ὁ τῶν D θείων ἐντολῶν παραβάτης εἰς βόθρον ἐκβληθῇ ἀϊδίου κακώσεως.

« Ἕως οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος. » — Ἕως ἂν ἡ αὐτοδικαιοσύνη Χριστὸς ἐκ τῆς νῦν ἀνοχῆς ἐπὶ τὴν μέλλουσαν κρίσιν τραπῇ καὶ ἐχομένη (ἐχόμενοι) καὶ ἐγγὺς αὐτοῦ πάντες οἱ δίκαιοι.

« Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις; » — Τίς βοηθήσει μοι κατὰ τῶν πονηρῶν ἐχθρῶν τῶν αἰσθητῶν τε καὶ νοητῶν;

« Ἢ τίς συμπαραστήσεταί μοι ἐπὶ τοὺς ἐργαζομένους τὴν ἀνομίαν, » — Παραταττομένῳ κατὰ τῶν δυσμῶν.

« Εἰ μὴ ὅτι Κύριος ἐβοήθησέ μοι· παρὰ βραχὺ παρῴκησε τῷ ᾅδῃ ἡ ψυχή μου. » — Ἀντὶ τοῦ ἐνῴκησεν. Ἅδην δὲ λέγει τὸν κίνδυνον, εἴτε τὸν σωματικὸν εἴτε τὸν ψυχικόν.

« Εἰ ἔλεγον, Σεσάλευται ὁ πούς μου· τὸ ἔλεός σου, Κύριε, ἐβοήθει μοι. » — Εἰ ἐξωμολογούμην τὴν ἰδίαν ἀσθένειαν τῆς σῆς φιλανθρωπίας ἐτύγχανον.

« Κατὰ τὸ πλῆθος τῶν ὀδυνῶν μου ἐν τῇ καρδίᾳ μου αἱ παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου. » — Ἀναλογοῦσαν ταῖς ὀδύναις μου ταῖς ἐν τῇ καρδίᾳ μου παρὰ σοῦ ἐδεχόμην παραψυχήν.

« Μὴ συμπροσέστω σοι θρόνος ἀνομίας. » — Θρόνον ἀνομίας τὸν δαιμονικὸν ὀνομάζει ἑσμὸν διὰ τὸ τὴν ἀνομίαν ἐν αὐτοῖς καὶ βασιλεύειν καὶ ἀναπαύεσθαι. Εὔχεται δὲ, μᾶλλον δὲ προφητεύει τύπῳ εὐχῆς μὴ τοὺς δαίμονας συμπαρεῖναι κρίνοντι τῷ Χριστῷ, ἀλλὰ πρὸ τῆς αὐτοῦ καθόδου τὴν ἡτοιμασμένην ἐκείνοις κληρώσασθαι γέενναν, ἵνα μὴ λίαν ὄντες μισάνθρωποι κατηγορῶσι τῶν δικαίων, εἴ τι καὶ παρὰ γνώμην τούτοις ἡμάρτηται.

« Ὁ πλάσσων κόπον ἐπὶ πρόσταγμα. » — Ὁ δαιμονικὸς ἑσμὸς ἐπὶ τὸ ἐλαφρὸν πρόσταγμα τοῦ Χριστοῦ κόπον πλάσσει, κατασκευάζων ἐφ' ἑαυτὰς τὰς κυριακὰς ἐντολὰς ἐπιπόνους, ὡς ἐντεῦθεν αὐτὰς παραιτουμένου.

« Θηρεύσουσιν ἐπὶ ψυχὴν δικαίου. » — Τὴν αἰτίαν λέγει δι' ἣν ἀπεύχεται τὸν δαιμονικὸν ἑσμὸν παρεῖναι τῷ κριτηρίῳ τοῦ Χριστοῦ· πάρεισι γὰρ, φησὶν, οἱ δαίμονες· θήραν στήσουσιν ἐπὶ τὸν δίκαιον, κακηγοροῦντες παντοίως διαμισοῦντας ὑπερβολήν.

« Καὶ αἷμα ἀθῷον καταδικάσονται. » — Τὸν ἀθῷόν φησι περιφραστικῶς, ὃν, εἰ πάρεισιν οἱ δαίμονες, κατάδικον ποιήσουσιν ὅσον τὸ ἐπ' αὐτοῖς.

« Καὶ ἐγένετό μοι Κύριος εἰς καταφυγήν. » — Ὁ παρῳχηκὼς ἀντὶ μέλλοντος.

« Καὶ ὁ Θεός μου εἰς βοηθὸν ἐλπίδος μου. » — Βοηθὸς τῆς ἐλπίδος μου ἤτοι βοηθὸς ἐμοῦ τοῦ ἐλπίζοντος ἐπ' αὐτόν.

« Καὶ ἀποδώσει αὐτοῖς Κύριος τὴν ἀνομίαν αὐτῶν, καὶ τὴν πονηρίαν αὐτῶν· ἀφανιεῖ αὐτοὺς Κύριος ὁ Θεὸς ἡμῶν. » — Οὐδαμοῦ γὰρ φανήσονται διὰ τὸ κατακεχῶσθαι τῷ ἡτοιμασμένῳ τούτοις πυρί.

## ΨΑΛΜΟΣ ϞΔ'.

« Αἶνος ᾠδῆς τῷ Δαυΐδ. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ· ἀλαλάξωμεν τῷ Θεῷ τῷ σωτῆρι ἡμῶν. » — Ὡς νενικηκότα τοὺς τυραννοῦντας δαίμονας ἐπιφαίνει.

« Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει. » — Προλάβωμεν τὴν δευτέραν αὐτοῦ παρουσίαν ἐξαγορεύσει τῶν πεπλημμελημένων, τουτέστι πρὸ θανάτου μετανοήσωμεν· τὸν γὰρ ἀποθανόντα ἤδη κατέλαβεν ἡ β' ἔλευσις τοῦ Χριστοῦ.

« Ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πάντας τοὺς θεούς. » — Εἰ καὶ ἄνθρωπος ἐφάνη



OCR ABK / FR

A ὁ Κύριος, πέπονθε δι' ἡμᾶς, ἀλλὰ Θεὸς μέγας ἐστὶ, καὶ πάντων ἐξουσιαστὴς καὶ δημιουργός.

« Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς. » — Ἐν τῇ ἐξουσίᾳ αὐτοῦ.

« Καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσίν. » — Αὐτοῦ εἰσὶ κτίσματα δηλαδή.

« Δεῦτε προσκυνήσωμεν αὐτῷ καὶ κλαύσωμεν ἐναντίον Κυρίου τοῦ ποιήσαντος ἡμᾶς. » — Προσκυνήσωμεν ὡς δοῦλοι, προσπέσωμεν ὡς τῆς αὐτοῦ βοηθείας δεόμενοι, κλαύσωμεν ὡς ἁμαρτωλοί.

« Ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς νομῆς αὐτοῦ. » — Ὡς παρατρεφόμενοι καὶ προνοούμενοι.

« Καὶ πρόβατα χειρὸς αὐτοῦ. » — Ὡς παρ' αὐτοῦ ἰθυνόμενοι καὶ διεξαγόμενοι.

B « Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνετε τὰς καρδίας ὑμῶν. » — Τὸ σήμερον ἀορίστως τοῦ ἐν οἵῳ δήποτε καιρῷ.

« Ὡς ἐν παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ. » — Παραπικρασμὸν τὴν ἀντιλογίαν φησὶ καὶ ἀπήνειαν.

« Οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου. » — Ὅπου διστάζοντες τὴν ἐμὴν δύναμιν ἐδοκίμαζον. Εἰσήγαγεν αὐτὸν Κύριον διαλεγόμενον ὁ Δαυΐδ.

« Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ. » — Τὸ προσώχθισα ἀντὶ τοῦ ἐπαχθῶς ἔσχον, δυσηρεστήθην.

« Καὶ εἶπα· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ. » — Ἤτοι ἀστατοῦσιν αὐτοί, οὐκ ἔγνωσαν. Τὸ δὲ ἀντὶ τοῦ γάρ. Γνῶσιν δὲ λέγει τὴν διὰ πράξεως· ὁδοὺς δὲ τὰς ἐντολάς.

C « Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου. » — Λίαν βεβαίως ἀποφηνάμην ἐν τῷ ὀργισθῆναί με, Ἀεὶ εἰσέλθωσιν εἰς τὴν παρ' ἐμοῦ ἐπηγγελμένην αὐτοῖς γῆν, τὴν τεσσαρακονταετοῦς μεταβάσεως καὶ πλάνης κατάπαυσιν.

## ΨΑΛΜΟΣ ϞΕ'.

« Ὠδὴ τῷ Δαυΐδ, ὅτε ὁ οἶκος ᾠκοδόμητο μετὰ τὴν αἰχμαλωσίαν. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ᾄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ· ᾄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ. » — Ἐπὶ καινοῖς πράγμασι καινῆς χρεία τῆς ὑμνῳδίας, καὶ ὅτι τὰ Χριστιανικὰ πάντα καινὰ, πρὸς τὰ παλαιὰ δηλονότι καὶ νομικά.

D « Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. » — Διαγγέλλετε ἀεὶ καὶ κηρύσσετε τὴν παρ' αὐτοῦ γενομένην τῷ κόσμῳ σωτηρίαν διὰ τῆς θείας ἐνανθρωπήσεως.

« Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς λαοῖς τὰ θαυμάσια αὐτοῦ. » — Δόξα τῷ δεσπότῃ τὸ ὑπὲρ δούλων παθεῖν.

« Ὅτι μέγας Κύριος, καὶ αἰνετὸς σφόδρα· φοβερός ἐστιν ὑπὲρ πάντας τοὺς θεούς. » — Δύναται γὰρ καὶ ἐν τῷ νῦν αἰῶνι κολάζειν, καὶ ἐν τῷ μέλλοντι, καὶ οὐ σῶμα μόνον ἀλλὰ καὶ ψυχήν· οἱ δὲ θεοὶ τῶν ἐθνῶν οὐδαμῶς· ὃ γὰρ δοκοῦσι δύνασθαι, φαντασία ἐστὶ καὶ οὐκ ἀλήθεια.

« Ὅτι πάντες οἱ θεοὶ τῶν ἐθνῶν δαιμόνια. Ὁ δ' Κύριος τοὺς οὐρανοὺς ἐποίησεν. » — Ἐκ τῶν οὐρανῶν καὶ τὴν σύμπασαν κτίσιν ἐδήλωσεν.

« Ἐξομολόγησις καὶ ὡραιότης ἐνώπιον αὐτοῦ. » — Οἱ δ' ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν καὶ διὰ τῆς ἐκείνων ἀπολύσεως ὡραῖοι γινόμενοι τὰς ψυχὰς οἰκείωσιν ἔχουσι πρὸς αὐτὸν διὰ τῶν ἕξεων. Τοὺς ἔχοντας ὑπεδήλωσεν.

« Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ. » — Ἁγιασμός ἐστιν ὁ ναὸς αὐτοῦ, ὃν ἐκ τῶν παρθενικῶν αἱμάτων ἐδείματο, ὃς ἔχει καθαρότητα (καὶ γὰρ ἀναμάρτητος) καὶ μεγαλοπρέπειαν. Ἔργα δὲ εἰργάσατο μεγάλα, ὄντως ἐπιπρεπῆ.

« Ἐνέγκατε τῷ Κυρίῳ, αἱ πατριαὶ τῶν ἐθνῶν, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν. » — Τὰς τῶν ἱερέων καὶ διδασκάλων ὁμηγύρεις πατριὰς οἴδαμεν πνευματικὰς τῶν ἐθνῶν.

« Ἐνέγκατε τῷ Κυρίῳ δόξαν ὀνόματι αὐτοῦ. » — Δόξα μὲν καὶ δι' ὑμνολογίας προσφέρεται τῷ Θεῷ, τιμὴ δὲ διὰ τῆς σεμνῆς πολιτείας ἡμῶν.

« Ἄρατε θυσίας, καὶ εἰσπορεύεσθε εἰς τὰς αὐλὰς αὐτοῦ. » — Θυσίαι ὄντως αἱ ἀρεταί, αὐλαὶ δὲ τοῦ Θεοῦ αἱ τῶν πιστῶν ἐκκλησίαι, πολλαὶ μὲν τῷ ἀριθμῷ, μία δὲ τῇ πίστει· τοῦτο γὰρ διὰ τοῦ ἐπαγομένου. Ἐδήλωσε δὲ ὁ προφήτης ἁπάσης ἀρετῆς εἶναι τοὺς διδασκάλους ἀρχέτυπά τε καὶ ὑποδείγματα.

« Σαλευθήτω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ. » — Μετακινηθήτωσαν τῇ ἐπιφανείᾳ αὐτοῦ ἀπὸ τῆς πλάνης ἐπὶ τὴν ἀλήθειαν οἱ κατοικοῦντες τὴν γῆν.

« Καὶ γὰρ κατώρθωσε τὴν οἰκουμένην ἥτις οὐ σαλευθήσεται. » — Τῇδε κἀκεῖσε πλανωμένην πρώην, νῦν εἰς τὴν εὐθεῖαν ἥδρασε πίστιν τὴν παγκόσμιον Ἐκκλησίαν αὐτοῦ, ἧς ᾅδου πύλαι οὐ κατισχύσουσι.

« Κρινεῖ λαοὺς ἐν εὐθύτητι. » — Κατὰ τὴν μέλλουσαν κρίσιν.

« Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ. » — Ὁ γὰρ οὐράνιος, εἶτα ἐπίγειος τῷ οὐρανίῳ καὶ τῷ ἐπιγείῳ κόσμῳ σωτηρίαν ἐχαρίσατο.

« Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς. » — Διὰ τῆς θαλάσσης τοὺς νησιώτας ἐδήλωσε· διὰ τῶν πεδίων δὲ καὶ τῶν ξύλων τοῦ δρυμοῦ τοὺς ἐν πεδίοις οἰκοῦντας καὶ τοὺς ἐν ὄρεσιν· εἰώθασι δὲ οἱ προφῆται καὶ τοῖς ἀψύχοις περιτιθέναι χαρὰν, ὅταν ὑπερβάλλουσαν εὐφροσύνην ἐμφῆναι βούλωνται. Τὸ σαλεύεσθαι δὲ πού μὲν δηλοῖ τὸ μετατίθεσθαι καὶ μεταβάλλεσθαι, πού δὲ τὸ ὑπὸ φόβου ταράττεσθαι, πού δὲ τὸ ὑφ' ἡδονῆς σκιρτᾷν, ὡς ἐνταῦθα.

« Ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται. » — Ἔχουσι τὰ σύμπαντα ἡδονὴν ἐκ τῆς ἐπιφανείας τοῦ Χριστοῦ, ὅτι ἔρχεται κατορθῶσαι τὴν οἰκουμένην.

« Ὅτι ἔρχεται κρίνειν τὴν γῆν. » — Διὰ τούτου τὴν δευτέραν ἔλευσιν τοῦ Κυρίου ἐσήμανε, καθ' ἣν ἀποδώσει ἑκάστῳ κατὰ ἔργα αὐτοῦ.

« Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ. » — Ἐν δικαιοσύνῃ μὲν ὡς

OCR ABK / FR

A ἀπροσωπόληπτος, ἐν ἀληθείᾳ δὲ, ὡς πάντα εἰδὼς, καὶ διὰ τοῦτο ἀπαραλογίστως κρίνων τὸν δίκαιον.

### ΨΑΛΜΟΣ ϞϚʹ.

« Ψαλμὸς τῷ Δαυῒδ, ὅτε ἡ γῆ αὐτοῦ καθίστατο. Κύριος ἐβασίλευσεν· ἀγαλλιάσθω ἡ γῆ· εὐφρανθήτωσαν νῆσοι πολλαί, νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ. » — Νεφέλη καὶ γνόφος ἡ προσληφθεῖσα σὰρξ, ὡς ὑποκρύπτουσα τὴν θεότητα.

« Δικαιοσύνη καὶ κρίμα κατόρθωσις τοῦ θρόνου αὐτοῦ. » — Ὁ θρόνος γὰρ, ἤγουν ἡ κατ' ἐπίγνωσιν αὐτοῦ βασιλεία, δικαιοσύνην καὶ κρίσιν ἀδέκαστον, τοῦ μὲν τυράννου καθαίρεσιν, τῶν δὲ τυραννουμένων ἐλευθερίαν.

« Πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται. » — Ταῦτα τοῦ καιροῦ τῆς παγκοσμίου κρίσεως.

B « Καὶ φλογιεῖ κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ. » — Τὸ κύκλῳ ἀντὶ τοῦ πανταχοῦ.

« Ἔφαναν αἱ ἀστραπαὶ αὐτοῦ τῇ οἰκουμένῃ. » — Ἀστραπὰς λέγει τὴν ἐν ὅλῃ τῇ οἰκουμένῃ διελευσομένην δόξαν αὐτοῦ καὶ λαμπρότητα.

« Εἶδε, καὶ ἐσαλεύθη ἡ γῆ. » — Ἰδόντες τὸν κριτὴν τρομάζουσι πάντες οἱ γηγενεῖς.

« Τὰ ὄρη ὡσεὶ κηρὸς ἐτάκησαν ἀπὸ προσώπου Κυρίου. » — Καὶ αὐτοὶ οἱ ἄρχοντες καὶ βασιλεῖς κηροῦ δίκην πυρὶ πελάζοντος τῷ φόβῳ διαλυθήσονται.

« Αἰσχυνθήτωσαν πάντες οἱ προσκυνοῦντες τοῖς γλυπτοῖς. » — Καὶ γὰρ τὸν ἀληθινὸν ἰδόντες Θεὸν ἄῤῥητον κληρώσονται τὴν αἰσχύνην οἱ τοῖς εἰδώλοις λατρεύσαντες.

C « Προσκυνήσατε αὐτῷ πάντες οἱ ἄγγελοι αὐτοῦ. » — Αὐτῷ γὰρ κάμψει γόνυ πλῆθος ἅπαν ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων.

« Ἤκουσε καὶ εὐφράνθη Σιὼν, κτλ. » — Σιὼν λέγει τὴν καθολικὴν Ἐκκλησίαν· θυγατέρας δὲ τῆς Ἰουδαίας τὰς κατὰ τόπους μερικὰς συναγωγὰς τῶν ἀπίστων. Ἤκουσε δὲ τὴν δευτέραν ἔλευσιν τοῦ Σωτῆρος Χριστοῦ, καὶ εὐφράνθη ἕνεκεν τῆς δικαίας αὐτοῦ κρίσεως, ὅτι ἀποδώσει τοῖς μὲν ὄντως πιστοῖς ἀνάπαυσιν αἰώνιον, τοῖς δὲ ἀπίστοις ὁμοίως κόλασιν αἰώνιον.

« Ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσεται αὐτούς. » — Ἁμαρτωλὸς κυρίως ὁ διάβολος, ὡς πάσης ἁμαρτίας δημιουργός.

« Φῶς ἀνέτειλε τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη. » — Ἀντιχρονία· « Λάμψουσι D γὰρ, φησὶ, δίκαιοι ὡς ὁ ἥλιος. »

« Εὐφράνθητε δίκαιοι ἐν τῷ Κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ. » — Εὐχαριστεῖτε ἐν τῷ μνημονεύειν, ὅτι ἡγιάσθητε παρ' αὐτοῦ.

### ΨΑΛΜΟΣ ϞΖʹ.

« Ψαλμὸς τῷ Δαυῒδ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ὅτι θαυμαστὰ ἐποίησεν ὁ Κύριος. » — Τί θαυμαστότερον τοῦ τὸν Θεὸν ἐνανθρωπῆσαι καὶ τἄλλα κατορθῶσαι ὅσα διδάσκει τὸ Εὐαγγέλιον;

« Ἔσωσαν αὐτῷ ἡ δεξιὰ αὐτοῦ, καὶ ὁ βραχίων ὁ ἅγιος αὐτοῦ. » — Ἐπανεσώσατο αὐτῷ ἡ οἰκεία ἀντίληψις τοὺς αἰχμαλωτισθέντας ὑπὸ τοῦ ἐχθροῦ δούλους.

« Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ. » — Ἐφανέρωσε τὴν παρ' αὐτοῦ σωτηρίαν καὶ τὴν δικαιοσύνην διὰ τῶν ἀποστόλων ἐν πᾶσι τοῖς ἔθνεσιν, ὅτι ἦλθε σῶσαι μὲν ἡμᾶς, καθελεῖν δὲ τὸν πολέμιον.

« Ἐμνήσθη τοῦ ἐλέους αὐτοῦ τῷ Ἰακὼβ, καὶ τῆς ἀληθείας αὐτοῦ τῷ οἴκῳ Ἰσραήλ. » — Πάλαι ὁ Θεὸς ἐπαγγειλάμενος τῷ Ἀβραὰμ ἐλεῆσαι τὸ γένος αὐτοῦ, τουτέστι τοὺς ἐξ Ἰακώβ· ὁ γὰρ Ἡσαῦ μεμίσηται καὶ ἀποβέβληται· δι' ὅρκου τε βεβαιώσας ὅτι ἀληθεύσει ὕστερον ἐμνήσθη τοῦ ἐπαγγελθέντος ἐλέους, καὶ τῆς βεβαιωθείσης ἀληθείας, ἐν τῷ Ἰακὼβ γενέσθαι, καὶ ἐν τῷ οἴκῳ αὐτοῦ ἐκεῖθεν ἀναλάμψαι καὶ σῶσαι πάντας τοὺς πιστεύσαντας ἀληθῶς εἰς αὐτόν· οὗτοι γὰρ καὶ Ἰακὼβ καὶ οἶκος Ἰσραὴλ διὰ τὴν πρὸς Χριστὸν τὸν ἐξ Ἰακὼβ οἰκείωσιν τὴν διὰ πίστεως.

« Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. » — Ἐνώπιον αὐτῶν ἀποκαλυφθὲν διὰ τῶν ἀποστόλων.

« Ψάλατε τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν κιθάρᾳ καὶ φωνῇ ψαλμοῦ. » — Ψάλλει ἐν κιθάρᾳ ὁ διὰ τῆς πρακτικῆς δοξάζων Θεόν· ὁ δὲ διὰ θεωρίας ὕμνος φωνὴ ψαλμοῦ εἴη ἄν.

« Ἐν σάλπιγξιν ἐλαταῖς, καὶ φωνῇ σάλπιγγος κερατίνης. » — Αἱ τέσσαρες γὰρ εὐαγγελικαὶ σάλπιγγες εἴτουν διδασκαλίαι, ὑπὸ τοῦ ἁγίου Πνεύματος χαλκευθεῖσαι καὶ κατασκευασθεῖσαι ὡς εὔηχοι πρὸς μίαν συνάπτονται κερατίνην, ἤγουν ζωηράν· ἐκ ζώου γὰρ τὸ κέρας. Φωνὴν δὲ νοητέον τὴν συμφωνίαν τὴν ἐπὶ ταῖς ἐντολαῖς καὶ τοῖς δόγμασι.

« Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς. » — Τὸ σαλεύεσθαι ποτὲ μὲν δηλοῖ μετακίνησιν καὶ μεταβολήν, ποτὲ δὲ σκίρτησιν ἐκ χαρᾶς, ἄλλοτε τρόμον ἐκ φόβου, ὅτε δὲ ἔκστασιν ἐκ θάμβους θορύβησίν τε καὶ ὅλως ταραχήν.

« Ποταμοὶ κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό. — Ποταμοὺς ὑποληπτέον τοὺς τὰ ῥεῖθρα τῆς διδασκαλίας προχέοντας, οὓς κροτεῖν ἐν χειρὶ διακελεύεται τὸ Πνεῦμα τὸ ἅγιον, τουτέστι τὸν τῆς διδασκαλίας ἦχον ἐν πράξει ἀποστελεῖν· μακάριος γὰρ ὃς ποιήσει καὶ οὕτως διδάξει.

« Τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου Κυρίου ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν. » — Ὄρη λέγει νῦν τοὺς ὑψηλοὺς τὴν διάνοιαν.

« Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ καὶ λαοὺς ἐν εὐθύτητι. » — Τὸ ἀληθὲς καὶ εὐθὲς, τὸ δὲ ψεῦδος καὶ σκολιόν.

### ΨΑΛΜΟΣ ϞΗʹ.

« Ψαλμὸς τῷ Δαυῒδ, Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί. » — Τοῦ Χριστοῦ βασιλεύσαντος Ἰουδαῖοι μὲν ἐκμαινέσθωσαν, ἡ δὲ οἰκουμένη μετατιθέσθω πρὸς τὴν εὐσέβειαν.

« Ὅτι φοβερὸν καὶ ἅγιόν ἐστιν. » — Φοβερὸν μὲν τοῖς ἐχθροῖς, ἐλαύνον καὶ μαστίζον αὐτούς, ἅγιον δὲ τοῖς οἰκείοις, ἁγιάζον καὶ καθαῖρον αὐτούς.

« Καὶ τιμὴ βασιλέως κρίσιν ἀγαπᾷ. » — Τὸ ἀξίωμα τοῦ βασιλέως δικαιοσύνην ἀγαπᾷ· διὸ βοηθήσει

OCR ABK / FR

μὲν τοῖς τυραννουμένοις, καταβαλεῖ δὲ τὸν τυραννοῦντα διάβολον.

« Σὺ ἡτοίμασας εὐθύτητας. » — Σὺ δέδωκας τὸν νόμον ἐν ᾧ εὐθετήθητι.

« Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ· ὅτι ἅγιός ἐστιν. » — Ὑποπόδιον τοῦ Χριστοῦ κατὰ μὲν τὴν θείαν αὐτοῦ φύσιν ἡ ἁγία σὰρξ αὐτοῦ, κατὰ δὲ τὴν ἀνθρωπίνην ὁ σταυρὸς, ἐφ' οὗ ἔστησαν οἱ πόδες αὐτοῦ προσηλωθέντες.

« Καὶ ἐκδικῶν ἐπὶ πάντα τὰ ἐπιτηδεύματα αὐτῶν. » — Εἴγε τις εὑρίσκετο ἀνθιστάμενος.

« Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε εἰς ὄρος ἅγιον αὐτοῦ, ὅτι ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. » — Καὶ προσκυνεῖτε, δηλονότι τὸν Κύριον, ἐν τῷ ἁγίῳ ὄρει αὐτοῦ. Ὄρος δὲ ἅγιον ἡ Σιὼν καὶ ὁ οὐρανὸς καὶ ἡ Ἐκκλησία, καὶ τὸ ὕψος τῆς θεογνωσίας.

### ΨΑΛΜΟΣ ϞΘ'.

« Ψαλμὸς εἰς ἐξομολόγησιν. Ἀλαλάξατε τῷ Θεῷ, πᾶσα ἡ γῆ· δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ. » — Τῷ ἀπαλλάξαντι ἡμᾶς τῆς πικρᾶς τυραννίδος τοῦ διαβόλου.

« Αὐτὸς ἐποίησεν ἡμᾶς, καὶ οὐχ ἡμεῖς. » — Τουτέστι, Θεοῦ ἐσμὲν ποίημα καὶ οὐκ ἀνθρώπων· εἰ γὰρ καὶ δοκοῦσιν οἱ πατέρες ποιεῖν τὰ τέκνα, ἀλλ' οὖν ὁ Θεὸς ταῦτα ποιεῖ. Οἱ δὲ πατέρες μόνον διακονοῦσι τῷ θείῳ προστάγματι.

« Εἰσέλθετε εἰς τὰς πύλας αὐτοῦ ἐν ἐξομολογήσει, εἰς τὰς αὐλὰς αὐτοῦ ἐν ὕμνοις. » Πύλας καὶ αὐλὰς Θεοῦ τὰς κατὰ τόπους ἐκκλησίας καλεῖ.

« Αἰνεῖτε τὸ ὄνομα αὐτοῦ· ὅτι χρηστὸς Κύριος· εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ, καὶ ἕως καὶ γενεὰς ἡ ἀλήθεια αὐτοῦ. » — Ἀλήθειαν εἴρηκεν ἐνταῦθα τὸ τῶν θείων ἐπαγγελιῶν ἀψευδές.

### ΨΑΛΜΟΣ Ρ'.

« Τῷ Δαυῒδ ψαλμός. Ἔλεον καὶ κρίσιν ᾄσομαί σοι, Κύριε. » — Ὑπομνήσω σου μετ' ᾠδῆς, Κύριε, τὸν ἔλεον καὶ τὴν κρίσιν· ἐλεήμων γὰρ ὑπάρχεις καὶ δίκαιος.

« Ψαλῶ καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ. » — Ὁδεύων πολιτευόμενος ἀμώμως, ψαλῶ σοι, καὶ συνήσω τὰ ψαλλόμενα, τουτέστι, ψαλῶ μετὰ συνέσεως.

« Πότε ἥξεις πρός με; » — Διαπύρως ἐπιθυμοῦντα τοῦ ἐλθεῖν σε πρός με καὶ μονὴν μετὰ τοῦ Πατρός σου ποιήσασθαι παρ' ἐμοί.

« Οὐ προετιθέμην πρὸ ὀφθαλμῶν μου πρᾶγμα παράνομον. » — Οὐκ ἠνειχόμην ὁρᾷν ἢ αἰσθητῶς ἢ νοητῶς, τουτέστιν ἐνθυμεῖσθαι πρᾶξιν παράνομον.

« Ποιοῦντας παραβάσεις ἐμίσησα. » — Τοὺς παραβαίνοντας τὰς θείας ἐντολὰς, εἴτε τὰς πρὸς ἀνθρώπους συνθήκας, ἀποστρεφόμην.

« Ἐκκλίνοντος ἀπ' ἐμοῦ τοῦ πονηροῦ οὐκ ἐγίνωσκον. » — Ἀντὶ τοῦ κατεφρόνουν, καὶ ὡς μὴ γεγονυῖαν ἡγούμην τὴν αὐτοῦ ὑποχώρησιν· οὐ χρὴ γὰρ τῆς τοῦ πονηροῦ φιλανθρωπίας ἀντέχεσθαι, εἰ μὴ μεταβάλλοι τὸν τρόπον.

« Ὑπερηφάνῳ ὀφθαλμῷ καὶ ἀπλήστῳ καρδίᾳ τούτῳ οὐ συνήσθιον. » — Ὡς ἀλαζόνι καὶ πλεονέκτῃ ἀνθρώπῳ· ἀπὸ μέρους τὸ ὅλον.

« Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πιστοὺς τῆς γῆς. » — Ἐκείνοις προσεῖχον, καὶ συνέδροις ἐχρώμην τοῖς πιστοῖς ἐπιδεικνυμένοις τῷ Θεῷ ἐκ τῆς θεοφιλοῦς πολιτείας αὐτῶν.

« Λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου. » — Λέγων ἄδικα οὐ κατευθ. . . . τὸ ἐνώπιόν μου ἐφ' οἷς ἐσπούδαζε δηλαδή· ἀλλ' ἠλέγχετο δηλονότι καὶ τοῦ σκοποῦ διημάρτανεν.

« Εἰς τὰς πρωΐας ἀπέκτεινον πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς. » — Ἱστορικῶς μὲν ὁ μακάριος Ἰωσίας τοὺς ἐν τῇ ὑπ' ἐκεῖνον γῇ ὄντας ἱερεῖς τῶν εἰδώλων ἀπέκτανε καὶ πάντας τοὺς μὴ πρὸς θεοσέβειαν ἐπιστρέφοντας ἐκ τῆς Ἱερουσαλὴμ ἐξωλόθρευε κατὰ τὰς πρωΐας, τοῦ τοιούτου μύσους ἐκκαθαίρων τὴν ἱερὰν πόλιν, ὅταν τῆς διανοίας νηφούσης ἀσφαλεστέρως αἱ πράξεις γίνωνται. Κατὰ δὲ ἀναγωγὴν πρωΐαν ὑποληπτέον, ὅταν ἡ τοῦ παναγίου Πνεύματος ἀκτὶς ἐπιλάμπῃ τῇ διανοίᾳ, καὶ ἁμαρτωλοὺς γῆς ἀποκτεινομένους, εἴπουν ἀφανιζομένους, τοὺς ἐμπαθεῖς λογισμοὺς τοὺς ἐκ τοῦ γεώδους σώματος καὶ τῶν γηΐνων ἀπλῶς φυομένους, πόλιν δὲ Κυρίου τὴν εὐσεβῆ ψυχήν. Δηλοῖ δὲ ἡ πρωΐα καὶ τὸ ταχέως καὶ τὸ φανερῶς.

### ΨΑΛΜΟΣ ΡΑ'.

« Προσευχὴ τῷ πτωχῷ, ὅταν ἀκηδιάσῃ, καὶ ἔναντι Κυρίου ἐκχέῃ τὴν δέησιν αὐτοῦ. » — Πτωχὸν ἐνταῦθά φησι τὸν θείας ἐπικουρίας δεόμενον, ἀκηδιάσαντι τῷ πολέμῳ τῶν εἴτε ὁρατῶν εἴτε ἀοράτων ἐχθρῶν. Ἔγκεινται δὲ τῷ ψαλμῷ καὶ προφητεῖαι περὶ Χριστοῦ.

« Κύριε, εἰσάκουσον τῇ προσευχῇ μου· καὶ ἡ κραυγή μου πρός σε ἐλθέτω. » — Ὡς ὑπὸ πυρὸς πεφρυγμένον ξύλον, οὕτω τὰ ὀστᾶ μου κατεξηράνθησαν· ἡ γὰρ ἀθυμία τὴν ἐν αὐτοῖς φυσικὴν ἰκμάδα κατεδαπάνησεν.

« Ἐπλήγην ὡσεὶ χόρτος, καὶ ἐξηράνθη ἡ καρδία μου. » — Ὥσπερ ὁ χόρτος πληγεὶς μαραίνεται, οὕτω κἀγὼ πληγεὶς τοῖς πειρασμοῖς ἐμαράνθην τὴν καρδίαν.

« Ὅτι ἐπελαθόμην τοῦ φαγεῖν τὸν ἄρτον μου. » — Οἱ παλαιοὶ τὴν ὄρεξιν μνήμην καλοῦσι τροφῆς, τὴν δὲ ἀνορεξίαν λήθην τροφῆς.

« Ἀπὸ φωνῆς τοῦ στεναγμοῦ μου ἐκολλήθη τὸ ὀστοῦν μου τῇ σαρκί μου. » — Ὁ γὰρ ἀληθὴς στεναγμὸς ἀναλίσκει τὴν παχύτητα τῶν κρεῶν, τῶν μεσαζόντων ὀστῷ καὶ δέρματι· τὸ δέρμα γὰρ ὠνόμασε σάρκα.

« Ὡμοιώθην πελεκᾶνι ἐρημικῷ· ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ. » — Δι' ἑκάστου τῶν εἰρημένων ὀρνίθων τὴν ἑαυτοῦ δουλείαν ὑπέφηνεν· ὅ τε γὰρ πελεκᾶν ὑπὸ δειλίας τοῖς ἐρήμοις ἐνδιαιτᾶται, καὶ ὁ νυκτικόραξ ὁμοίως τοῖς ἐρειπίοις προστρέχει τῶν οἰκημάτων, καὶ τὸ στρουθίον δὲ διὰ δειλίαν ἀγρυπνεῖ καὶ μόνον μένει ἐπὶ τοῦ δώματος, ὅ ἐστι τὸ ἄνω τῆς στέγης καὶ ὕπαιθρον.

« Ὅλην τὴν ἡμέραν ὠνείδιζόν με οἱ ἐχθροί μου, καὶ οἱ ἐπαινοῦντές με κατ' ἐμοῦ ὤμνυον. » — Οἱ τὰ ἐμὰ θαυμάζοντες πρότερον ὤμνυον ὕστερον κατὰ

OCR ABK / FR

τῶν ἐμῶν συμφορῶν, Μὴ πάθοιμεν, λέγοντες, ἃ ὁ δεῖνα, ἢ ὅρκους ἐπιβουλῆς ὤμνυον κατ' ἐμοῦ.

« Ὅτι σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων. » — Καὶ παρὰ τὸν τῆς τροφῆς καιρὸν ἐπὶ πρόσωπον ἐῤῥιμμένος, ἐπὶ σποδοῦ καὶ πενθῶν, τῇ ἄχνῃ τοῦ πνεύματος σποδὸν ἔσπιον ἀντὶ τροφῆς, ἐφόρετο δέ μου τὸ πόμα τοῖς δάκρυσιν.

« Ἀπὸ προσώπου τῆς ὀργῆς σου καὶ τοῦ θυμοῦ σου. » — Ταῦτά μοι συνέβησαν ἀπὸ τῆς ὀργῆς σου, περιφραστικῶς.

« Ὅτι ἐπάρας κατέῤῥαξάς με. » — Ὅτι ὑψώσας πρότερον, καταπεσεῖν ὕστερον καὶ συντριβῆναί με παρεχώρησας.

« Αἱ ἡμέραι μου ὡσεὶ σκιὰ ἐκλίθησαν· κἀγὼ ὡσεὶ χόρτος ἐξηράνθην. » — Ταχέως παρῆλθοσαν δίκην σκιᾶς· ἡ σκιὰ γὰρ τάχιστα μεταπίπτει τε καὶ παρέρχεται.

« Σὺ ἀναστὰς οἰκτειρήσεις τὴν Σιών. » — Κατὰ μὲν τὸ πρόχειρον τὴν αἰσθητὴν Ἱερουσαλὴμ, κατὰ δὲ τὸ βαθύτερον τὴν τῶν πιστῶν Ἐκκλησίαν διὰ τῆς ἐκ νεκρῶν ἀναστάσεως.

« Ὅτι καιρὸς τοῦ οἰκτειρῆσαι αὐτὴν, ὅτι ἥκει καιρός. » — Ἢ ὅτι ὁ τῇ αἰχμαλωσίᾳ ὡρισμένος καιρὸς, τουτέστιν ο' ἔτη πεπλήρωνται, ἢ ὅτι πάντες συνεπιτίθενται καὶ πολεμοῦσι τῇ Ἐκκλησίᾳ.

« Ὅτι ηὐδόκησαν οἱ δοῦλοί σου τοὺς λίθους αὐτῆς· καὶ τὸν χοῦν αὐτῆς οἰκτειρήσουσιν. » — Ἢ ὅτι καὶ τοὺς καταλελυμένους λίθους τῆς Ἱερουσαλὴμ ἠγάπησαν οἱ ἐκ τῆς αἰχμαλωσίας ἀνασωθέντες, καὶ ὁ ἐκ τῆς πορθήσεως χοῦς οἶκτον αὐτοῖς ἐντίθησιν· ἢ ὅτι οἱ ἀπόστολοι τοὺς στερεωτέρους μὲν πρὸς εὐσέβειαν εἰς οἰκοδομὴν τῆς Ἐκκλησίας ἡτοίμασαν, τοὺς ἀσθενεστέρους δὲ πρεπούσης ἐπιμελείας ἀξιώσουσιν.

« Καὶ φοβηθήσονται τὰ ἔθνη τὸ ὄνομά σου, Κύριε, καὶ πάντες οἱ βασιλεῖς τῆς γῆς τὴν δόξαν σου. » — Ἢ διὰ τὴν ἐπὶ τὸ κρεῖττον τοσαύτην μεταβολὴν τῶν αἰχμαλωτισθέντων, ἢ διὰ τὰ τελούμενα σημεῖα καὶ τέρατα ἐκ μόνης τῆς τοῦ Χριστοῦ ἐπικλήσεως, μᾶλλον δὲ ὕστερον, ὅτε ἥξει Κύριος μετὰ δυνάμεως καὶ δόξης πολλῆς.

« Γραφήτω αὕτη εἰς γενεὰν ἑτέραν. » — Ἀφορισθήτω αὕτη ἡ προσευχὴ, τουτέστιν ὁ παρὼν ψαλμὸς, εἰς τὴν τοῦ νέου λαοῦ γενεάν· ἐπειδὴ ὁ παλαιὸς ταῖς ἐγκειμέναις αὐτῇ περὶ Χριστοῦ προφητείαις ἠπίστησεν.

« Καὶ λαὸς ὁ κτιζόμενος αἰνέσει τὸν Κύριον. » — Ὁ κτιζόμενος εἴρηκε διὰ τὴν ἄχρι συντελείας ἐπίδοσιν τῶν πιστευόντων. Κτίσιν δέ μοι νόει μὴ τὴν οὐσίωσιν, ἀλλὰ τὴν ἐπὶ τὸ κρεῖττον μεταβολήν.

« Ὅτι ἐξέκυψεν ἐξ ὕψους ἁγίου αὐτοῦ. » — Ἄνω μείνας καὶ κάτω φανείς.

« Κύριος ἐξ οὐρανοῦ ἐπὶ τὴν γῆν ἐπέβλεψε. » — Διὰ τῆς ἐπισκοπῆς τὴν παρουσίαν ἐνέφηνε.

« Τοῦ ἀκοῦσαι τοῦ στεναγμοῦ τῶν πεπεδημένων. » — Τοῦ στεναγμοῦ ὃν ἐστέναζον οἱ δίκαιοι ὑπὲρ τῶν πεπεδημένων ταῖς τῶν ἁμαρτημάτων σειραῖς.

« Τοῦ λῦσαι τοὺς υἱοὺς τῶν τεθανατωμένων. »

A — Ὥστε λῦσαι τοῦ δεσμοῦ τῆς τῶν δαιμόνων δουλείας τοὺς ἀπογόνους τῶν ἀποθανόντων τῇ ἀπιστίᾳ.

« Τοῦ ἀναγγεῖλαι ἐν Σιὼν τὸ ὄνομα Κυρίου. » — Τὸ τοῦ Πατρός· Ἐφανέρωσα γάρ σου τὸ ὄνομα τοῖς ἀνθρώποις.

« Καὶ τὴν αἴνεσιν αὐτοῦ ἐν Ἱερουσαλήμ. » — Ἤνει γὰρ τὸν Πατέρα συνεχῶς, αὐτῷ τὰ πάντα ἀνατιθείς.

« Ἐν τῷ ἐπισυναχθῆναι λαοὺς ἐπὶ τὸ αὐτὸ καὶ βασιλεῖς τοῦ δουλεύειν τῷ Κυρίῳ. » — Ἐποίει δὲ τὴν αἴνεσιν τοῦ Πατρὸς, ὅτε συνήγοντο πρὸς αὐτὸν οἱ λαοὶ καὶ οἱ ἄρχοντες αὐτῶν ἤως ἀπόστολοι ἐπὶ τῷ πιστεύσαντες δοῦλοι εἶναι αὐτοῦ, Κύριον ὄντως κατὰ τὴν θεότητα.

B « Ἀπεκρίθη αὐτῷ ἐν ὁδῷ ἰσχύος αὐτοῦ. » — Συμπεράνας ταύτην τὴν προφητείαν, ἔχεται πάλιν τῆς πρώτης ἀκολουθίας, καί φησιν ἀπεκρίθη, ὅ ἐστι νῦν ἀντὶ τοῦ ἐλάλησεν ἁπλῶς αὐτῷ, ἤτοι τῷ Θεῷ, πρὸς ὃν ἡ προσευχὴ τοῦ παρόντος ψαλμοῦ. Ἐλάλησε δὲ ὁ πτωχὸς, δηλαδὴ ὁ ἀκηδιάσας. Ὁδὸν δὲ ἰσχύος ὑποληπτέον τὸν καιρὸν ἐν ᾧ ἔτι δύναται, καὶ οὔπω τέλεον ὑπὸ τῆς ἀκηδίας ἠσθένησεν οὐδὲ καταβέβληται παντελῶς.

« Τὴν ὀλιγότητα τῶν ἡμερῶν μου ἀνάγγειλόν μοι. » — Τὴν ὀλίγην ποσότητα τῶν ὑπολειφθεισῶν μοι τῆς ζωῆς ἡμερῶν δήλωσόν μοι, ἵνα συντονωτέραν θήσω τὴν ἐπιμέλειαν τῆς ψυχῆς.

« Μὴ ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου. » — Ἀναγωγὴν λέγει τὴν ἐκδημίαν τῆς ψυχῆς ἐκ τοῦ σώματος· ἥμισυ δὲ ἡμερῶν τὸν πρὸ τοῦ γήρως καιρόν.

C Φησὶν οὖν· Δός μοι τὴν μέχρι γήρως ζωὴν, ἵνα ποιήσω καρποὺς σωτηρίας.

« Ἐν γενεᾷ γενεῶν τὰ ἔτη σου. » — Παρέλκει τῇ προσευχῇ· καὶ δόγματα καὶ γενεὰν μὲν γενεῶν τὸ ἀεί φησιν, ἔτη δὲ καὶ τοῦ εἶναι παράτασιν.

« Κατ' ἀρχὰς σὺ, Κύριε, τὴν γῆν ἐθεμελίωσας. » — Ἑδραίαν ἐποίησας.

« Καὶ ἔργα τῶν χειρῶν σού εἰσιν οἱ οὐρανοί. » — Τῆς ἐνεργητικῆς σου δυνάμεως ποιήματα ὁ οὐρανὸς καὶ τὸ στερέωμα.

« Αὐτοὶ ἀπολοῦνται. » — Ἀλλοιούμενοι ὡς ποιήματα.

« Σὺ δὲ διαμένεις. » — Ἀναλλοίωτος ὡς ποιητής.

« Καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται. » —

D Ἑφερμηνευτικὰ ταῦτα τῶν ἀνωτέρων. Τὸ δὲ ἑλίξεις ἀντὶ τοῦ συστελεῖς, παλαιωθέντας δηλονότι, καὶ μεταποιήσεις πρὸς καινότητα.

« Οἱ υἱοὶ τῶν δούλων σου κατασκηνώσουσιν. » — Οἱ υἱοὶ τῶν ἀποστόλων κατασκηνώσουσιν ἐν τῇ Ἐκκλησίᾳ. Καὶ τὸ σπέρμα αὐτῶν, ἤτοι τὸ κήρυγμα αἰωνίως κατευθυνθήσεται εὐοδούμενον.

## ΨΑΛΜΟΣ ΡΒ'.

« Ψαλμὸς τῷ Δαβίδ. » — Τῷ Κυρίῳ εὐχαριστήριος.

« Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου. » —

OCR ABK / FR

Ἐντὸς λέγει τοὺς λογισμοὺς, τὰς ἐνθυμήσεις καὶ A πάσας δυνάμεις ψυχῆς.

« Καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. » — Ἀνταποδόσεις φησὶ τὰς εὐεργεσίας· λαβόντες γὰρ καλὰ ἀπεδώκαμεν πονηρὰ διὰ τῆς παρακοῆς· αὐτὸς δὲ αὖθις ἀνταπέδωκεν ἀγαθά. Εἶτα καταλέγει τὰς ἀνταποδόσεις ἐφεξῆς.

« Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου. » — Τὸν ἄφθαρτον ζωήν σοι δωρούμενον ἐν τῇ ἀναστάσει.

« Τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς. » — Τὸν δρόμον τελέσασαν καὶ τὴν πίστιν τηρήσασαν. Ἐν ἐλέει δὲ εἴρηκεν, ὅτι οὐδεὶς ἐξ ἔργων μόνων δικαιοῦται, εἰ μὴ τὸν ἔλεον παραμίξας ὁ Δεσπότης ἀναπληρώσει τὸ ἐλλεῖπον.

« Τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου. » B — Τὴν ἐν ἀγαθοῖς δηλονότι, τουτέστι τὸν κορεννύντα σε ἀγαθῶν, πεινῶντα ἀγαθῶν.

« Ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου. » — Τὸ ἐκ τῶν παθῶν γῆρας ἀποῤῥιπτούσης, ὡς ἐκεῖνος τὸ ἐκ τῶν πτερῶν, καὶ διὰ μετανοίας ἀνανεουμένης, ὡς ἐκεῖνος διὰ παλιμφυίας πτερῶν.

« Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις. » — Λείπει τὸ ἐστίν.

« Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοῖς φοβουμένοις αὐτόν. » — Ἐκ τοῦ μείζονος ἐν ἡμῖν διαστήματος παραδειγματίζει τὸ ἄμετρον ἔλεος τοῦ Θεοῦ, καί φησιν· Ὅσον τὸ διάστημα τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, τοσοῦτον τὸ ἔλεος αὐτοῦ ἐστήριξεν ἐπὶ τοὺς φοβουμένους αὐτὸν ὁ Κύριος.

C « Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν. » — Εἰκότως ἀνέχεται καὶ φιλανθρωπεύεται· καὶ γὰρ αὐτὸς ὁ πλάσας οἶδε τὸ καθ' ἡμᾶς πλάσμα, τουτέστι τὴν φύσιν, ὅτι πολλὴν ἔχει ἀσθένειαν.

« Ἐμνήσθη ὅτι χοῦς ἐσμέν. » — Ἑρμηνευτικὸν τοῦ προῤῥηθέντος· οἶδε γάρ, φησίν, ὅτι ἐκ χοὸς ἐπλάσθημεν αὐτόθεν ἀσθενοῦς.

« Ἄνθρωπος ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ. » — Εὐμάραντοι καὶ πρόσκαιροι· ἡμέραν δὲ λέγει τὴν ζωήν.

« Ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει. » — Νῦν μὲν ὡραῖος ὤν, ὕστερον δὲ μαραινόμενος καὶ φθειρόμενος κατὰ τὴν διάζευξιν.

Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει. » — Ὅτι ἐν αὐτῷ πνεῦμα, τουτέστιν ἡ ψυχὴ, διῆλθεν, D ἤτοι παρῆλθε, καὶ εὐθὺς οὐχ ὑπάρξει ὁ ἄνθρωπος κατὰ τὸν παρόντα βίον. Ταῦτα δὲ καὶ τὰ προειρημένα διὰ τὸ σῶμα ἐλέχθησαν.

« Καὶ οὐκ ἐπιγνώσεται καὶ ἔτι τὸν τόπον αὐτοῦ. » — Τόπον αὐτοῦ τὴν ἐνταῦθα λέγει θνητοπρεπῆ πολιτείαν τε καὶ κατάστασιν.

« Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοῖς φοβουμένοις αὐτόν. » — Ἀπὸ τοῦ παρόντος καὶ ἕως τοῦ μέλλοντος, ἤγουν ὧδε κἀκεῖ· χρὴ γὰρ κἀκεῖ τοῦ θείου ἐλέους πρὸς τὴν τῶν κολαστηρίων ἀποφυγήν.

« Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς τῶν υἱῶν. » — Δικαιοσύνην λέγει τὴν ἀμοιβὴν τῶν κατορθωμάτων, ἢ καὶ τοὺς κατὰ (?) διηνεκὲς ἀπογόνους ἔσεσθαί φησι τῶν φυλασσόντων τὰς τοῦ Θεοῦ ἐντολὰς, καὶ ἐν νῷ στρεφόντων αὐτὰς, ὥστε ἐνεργεῖν καὶ πληροῦν. Ἀπογόνους δὲ νοητέον, εἴτε σαρκικοὺς εἴτε πνευματικοὺς, τοὺς τὴν πρὸς τοὺς προγόνους γνησιότητα διὰ τοῦ τρόπου ἐπαληθίζοντας.

« Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ. » — Δυνατοὺς ἐν ἰσχύϊ λέγει τοὺς ἀσθενεῖς.

« Ποιοῦντες τὸν λόγον αὐτοῦ. » — Οἱ πληροῦντες πᾶν πρόσταγμα αὐτοῦ ἅμα τῷ ἀκοῦσαι ἀγγελοπρεπῶς τῆς φωνῆς τῶν κατὰ μέρος προσταγμάτων αὐτοῦ.

« Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ. » — Εἰπὼν τοὺς ἀγγέλους, λέγει καὶ τὰς ἄλλας πράξεις τῶν ἀσωμάτων δυνάμεων.

« Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ. — Εἰ πάντων δεσπόζει ὁ Κύριος, καὶ πᾶς τόπος τῆς δεσποτείας αὐτοῦ. Εἰ δ' ἐν παντὶ τόπῳ διδασκόμεθα τὸν Κύριον εὐλογεῖν, δῆλον ὡς οἱ μὴ δυνάμενοι τὴν ᾠδὴν Κυρίου ᾄδειν ἐπὶ γῆς ἀλλοτρίας ἐκβάλλονται.

## ΨΑΛΜΟΣ ΡΓ'.

« Ψαλμὸς τῷ Δαυὶδ ὑπὲρ τῆς τοῦ κόσμου. » — Ὁ πρὸ τούτου μὲν εὐχαριστήριος τῷ Κυρίῳ ἕνεκα τῶν εἰς ἡμᾶς καθ' ἑκάστην γινομένων εὐεργεσιῶν· οὗτος δὲ ἕνεκα τῶν κτισμάτων αὐτοῦ δοξάζει τὸν Θεόν

« Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα. » Μέγας λίαν ἐγνώσθης ἡμῖν ἀπὸ τῆς μεγαλουργίας καὶ προνοίας τῶν κτισμάτων.

« Ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω. « — Εὐχαριστίαν καὶ μεγαλοπρέπουσαν τιμὴν περιέθου σύν τῳ, τὸ μὲν ὅτι δι' ἡμᾶς τὸν κόσμον παρήγαγες, τὸ δ' ὅτι τοιοῦτον ἔργον εἰργάσω μέγα καὶ θαυμαστόν.

« Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. » — Διδάσκει διὰ τούτων ὡς ἡ θεία φύσις ὑπέρλαμπρος καὶ τῶν ὅλων ἔχει τὴν γνῶσιν, καὶ ὅτι ἀόρατος ὑπάρχει καὶ ἀκατάληπτος.

« Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν. » — Οὕτως εὐχερῶς, ὡς ἐκτείνει τις δέρμα.

« Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. » — Τὰ ὑψηλὰ αὐτοῦ, ἤτοι τὸ στερέωμα.

« Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ. » — Ὁ ἐπιβαίνων νέφους, ὡς ἐπὶ τοῦ Σινᾶ, καὶ διὰ τούτου δὲ τὸ ἀόρατον τῆς θείας ὑποδηλοῖ φύσεως καὶ ἀκατάληπτον.

« Ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. » — Ὁ ταῖς πτέρυξι τῶν ἀνέμων ἐποχούμενος. Διὰ τούτου δὲ τὸ πανταχοῦ παρεῖναι τὸν Θεὸν ὑπεσήμηνεν.

« Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. » — Καὶ τῆς ἀοράτου κτίσεως ποιητὴν κηρύττει τὸν Θεόν· διὰ δὲ τοῦ πνεύματος τὸ ὀξυκίνητον τῶν ἀγγέλων ἐδήλωσε, διὰ τοῦ πυρὸς πάλιν τὸ δραστικὸν καὶ ἐνεργέστατον.

« Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » — Οὐ

OCR ABK / FR

περιτραπήσεταί ποτε, εἰ καὶ σαλευθήσεται, οὔτε μὴν τῆς κατὰ τὸ μέσον χώρας μετατεθήσεται.

« Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτῆς. » — Πλῆθος ὑδάτων ὥσπερ ἔνδυμα, ἡ περιβολὴ αὐτοῦ τοῦ στοιχείου, ἤγουν τῆς γῆς· ὁ γὰρ ὠκεανὸς περίκειται πανταχόθεν αὐτῇ, καὶ ὥσπερ νῆσος ἔνεστι τούτῳ ἡ γῆ.

« Ἐπὶ τῶν ὀρέων στήσεται ὕδατα. » — Δίκην τῶν βουνῶν ἀνάστησον τῆς θαλάσσης κύματα μετεωριζόμενα.

« Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται. » — Ἀπὸ τῆς σῆς σφοδρᾶς κελεύσεως εἰς τοὐπίσω τραπήσονται.

« Ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσι. » — Τὸ αἰτιατὸν εἶπεν ἀντὶ τοῦ αἰτίου· ἐκ γὰρ τοῦ τὴν φωνὴν ἤτοι τὸν ψόφον τῆς βροντῆς θείᾳ νεύσει ποιοῦντος πνεύματος καὶ τὰ ὕδατα τρέμει καὶ στερεᾶ καὶ σώματος πολλάκις διίσταται τοῦ δηλωθέντος πνεύματος προσπίπτοντος αὐτοῖς. Τὸν τρόμον δὲ τῶν ὑδάτων δειλίαν ἐκάλεσεν.

« Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτά. » — Ἀναβαίνουσι τὰ ὕδατα ὡς ὁρμῇ ὑψούμενα, καὶ καταβαίνουσιν ὡς πεδία ταπεινούμενα, εἰς τὸν τόπον ὃν ἥδρασας αὐτοῖς, ἤτοι ἐν ταῖς ἀφορισθείσαις τῇ θαλάσσῃ κοιλότησι τῆς γῆς.

« Ὅριον ἔθου ὃ οὐ παρελεύσεται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. » — Τὸ γὰρ ὁροθέσιον τῆς θαλάσσης οὐ παρελεύσονται τὰ ὕδατα ταύτης, οὐδ' ἐπιστραφήσονται, ὅθεν κατ' ἀρχὰς ὑπεχώρησαν, ὥστε πάλιν καλύψαι τὴν γῆν, καθὰ ταύτην ἐκάλυπτον πρὸ τοῦ συναχθῆναι εἰς τὰς συναγωγὰς αὐτῶν καὶ ὀφθῆναι τὴν ξηράν.

« Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ· προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. » — Προσλάβωνται οἱ ὄναγροι τὰ ὕδατα, ὅταν διψῶσι. Διψῶδες δὲ ζῶον ὁ ὄναγρος, ὡς κατάξηρον.

« Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει. » — Ἐπ' αὐτὰ τὰ ὕδατα, τουτέστι παρὰ ταῖς ὄχθαις αὐτῶν, τὰ φίλυδρα σκηνώσει τῶν ὀρνέων.

« Ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. » — Τὰ ὕδατα δηλονότι μετὰ ῥύμης καὶ ἤχου τῶν πετρῶν ἐξερχόμενα.

« Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ. » — Ἐκ τῶν νεφελῶν. Εἰ δὲ τὰ ὄρη ποτίζονται, καὶ πᾶσα ἡ γῆ δηλαδή. Ἐπάγει δὲ καὶ τὴν χρείαν τῶν ὑετῶν, ὅτι διὰ τὴν τροφὴν οὗτοι τῶν ἀνθρώπων, καὶ τὴν τῶν ζώων νομήν.

« Ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. » — Καρπὸς τῶν ἔργων τοῦ Θεοῦ οἱ καρποὶ σύμπαντες· ἔργα γὰρ ἤτοι ποιήματα τοῦ Θεοῦ καὶ ἡ γῆ καὶ τὰ ξύλα καὶ τὰ ζῶα, ἐπεὶ καὶ πάντα τὰ ὄντα. Γῆν δὲ λέγει συνήθως τοὺς ἐπὶ γῆς.

« Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. » — Δουλείαν τῶν ἀνθρώπων φησὶ τὰ τοῖς ἀνθρώποις δουλεύοντα ζῶα.

« Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς. » — Ἐπὶ τοῦτο, φησί, ποτίζει τὰ ὄρη καὶ τὴν ἄλλην γῆν ὁ Θεὸς τοῖς ὑετοῖς, ὥστε ἐκ γῆς ἐξαγαγεῖν καὶ ἄρτον, ἤτοι

A σῖτον ἄρτου ποιητικόν, καὶ πάλιν ἀσυνδέτως ὥστε φαιδρῦναι πρόσωπον ἀνθρώπου ἐν ἐλαίῳ· τοῦτο δὲ κατὰ χρῆσιν ἀρχαίαν· εἰώθασι γὰρ οἱ παλαιοὶ καὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον ἀλείφειν ἐλαίῳ. Καὶ ὁ οἶνος δὲ, φησίν, ἐκ γῆς ὤν, εὐφραίνει καρδίαν ἀνθρώπου, καὶ ὁ ἄρτος ἐκ γῆς ὢν δυναμοῖ τὴν τοῦ ἀνθρώπου καρδίαν.

« Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου. » — Ἀρδείας πλησθήσονται πάντα τὰ φυτὰ καὶ δένδρα τῆς γῆς.

« Αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. » — Διὰ τοῦ Λιβάνου καὶ τῶν ἐν αὐτῷ δένδρων καὶ τὰ λοιπὰ δεδήλωκεν ὄρη καὶ δένδρα. Τὸ ἐφύτευσας δὲ ἀντὶ τοῦ ἀνῆκας προστάγματι.

« Ἐκεῖ στρουθία ἐννοσσεύσουσι. » — Ἐν τοῖς φυ-
B τοῖς δένδροις, ἐν ταῖς κέδροις· διὰ δὲ τῶν στρουθίων καὶ τἄλλα δεδήλωκεν ὄρνεα.

« Τοῦ ἐρωδιοῦ κατοικία ἡγεῖται αὐτῶν. » — Ἐρωδιὸς εἶδος ὀρνέου πηγνύντος πρώτου τὴν καλιάν.

« Ὄρη τὰ ὑψηλὰ τοῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις. » — Τὰ μὲν ὕψη τῶν ὀρέων καταφυγὴ ταῖς ἐλάφοις ὑπὸ τῆς Προνοίας γεγόνασι· αἱ δὲ τῶν πετρῶν καταδύσεις τοῖς λαγωοῖς.

« Ἐποίησε σελήνην εἰς καιρούς. » Καιροὺς λέγοι ἂν τοὺς τῆς νυκτός· ἢ ὅτι διὰ τὴν τῶν καιρῶν διδασκαλίαν ἡ σελήνη γεγένηται· διὰ γὰρ τῶν αὐτῆς αὐξήσεων καὶ μειώσεων οἱ μῆνες μετροῦνται, διὰ τῶν μηνῶν ὁ σύμπας ἐνιαυτός.

« Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. — Μεταφορικῶς ἐδήλωσε τὴν εὔκαιρον τοῦ ἡλίου ὑπὲρ γῆν πο-
C ρείαν καὶ ὑπὸ γῆν.

« Ἔθου σκότος, καὶ ἐγένετο νύξ. » — Ὥρισας σκότος παρυφιστᾷ ὑποχωροῦντος τοῦ ἡλιακοῦ φωτός, καὶ τὸ τοιοῦτον σκότος ἐκάλεσε νύκτας.

« Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. » — Διὰ τοῦτο δεδήλωκεν ὅτι καὶ τοῖς θηρίοις ἡ Πρόνοια παρέχει τροφήν Τὸ δὲ παρὰ τῷ Θεῷ ἀντὶ τοῦ παρὰ τοῦ Θεοῦ ἢ παρὰ τῷ Θεῷ οὖσαν.

« Ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. » — Πλήρης καὶ ἡ γῆ καὶ ἡ θάλασσα σῶν κτισμάτων.

« Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ. » — Δράκοντα τὸ κῆτός φησιν ὡς ἐν τοῖς ἐναλίοις ὑπερμέγεθες, ὥσπερ ἐν τοῖς χερσαίοις ὁ δράκων. Τοῦτο δὲ τὸ κῆτος, φησίν, ἔκτισας ἐνσκιρτᾷν ἐν αὐτῷ,
D δηλονότι τῷ ὕδατι.

« Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον. » — Ἐν καιρῷ χρείας.

« Δόντος σου αὐτοῖς, συλλέξουσιν· ἀνοίξαντός σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσονται χρηστότητος. » — χεῖρα λέγει τὴν χορηγὸν δύναμιν· χρηστότητα δὲ τὴν εὐεργεσίαν. Τὸ δὲ ἀνοίξαντος, ἀντὶ τοῦ φανερώσαντος.

« Ἀποστρέψαντός σου τὸ πρόσωπον ταραχθήσονται. » — Πρόσωπόν φησι τὴν ἐπισκοπήν· ταραχὴν δὲ τὴν ἀθυμίαν καὶ τὴν δειλίαν· ὅταν γὰρ ἢ θυμοῦ βρασμός, ἢ κλύδων ἀθυμίας, ἢ κλόνος φόβου τε καὶ δειλίας, ἢ τρικυμία λογισμῶν ἀνεδράστων καὶ ἀμ-

OCR ABK / FR

φιβάλων ἢ ἄλλο τι πάθος ὅμοιον ἐνοχλῇ τῇ ψυχῇ, τότε ταράττεσθαι λέγεται αὕτη.

« Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσι. » — Ἀφελεῖς τὴν ψυχὴν αὐτῶν, καὶ ἀποθανοῦνται. Περὶ τῶν ἀνθρώπων ὁ λόγος.

« Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται. » — Τὸ θεῖον λέγει Πνεῦμα, τὸ ζωοποιὸν, τὸ τοὺς ἀνθρώπους ἀνακτίζον διὰ τῆς ἀναστάσεως.

« Καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. » Καὶ σύμπασα γὰρ ἡ γῆ ἀπαλλαγήσεται τῆς φθορᾶς.

« Εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ. » — Τοῖς κατορθωθησομένοις διὰ τῆς αὐτοῦ ἐνανθρωπήσεως.

« Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν. » — Εἰ γὰρ καὶ ὑπὸ πνεύματος γίνεται ὁ κλόνος τῆς γῆς, ἀλλ' οὖν τὸ πνεῦμα νεύσει Θεοῦ συνίσταται, καὶ οὕτως ἰσχυρῶς ταῖς σήραγξιν ἐμπίπτει τῆς γῆς, ὥστε κλονῆσαι τὰ ἐν οἷς ἂν ἐμπέσοι μέρη αὐτῆς. Ἡ δὲ θεία ἐπισκοπὴ ποῦ μὲν εὐμένειαν σημαίνει, ποῦ δὲ ὀργὴν, ὡς καὶ ἐνταῦθα.

« Ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. » — Καὶ καπνίζονται τὰ ὄρη δίκην ξύλου πυρὶ πλησιάσαντος. Ἀφὴν δὲ λέγει ἐνταῦθα τὴν ἀμυδρὰν τῆς τοῦ Θεοῦ δυνάμεως ἔνδειξιν.

« Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. » — Ἕως ἂν ζῶ.

« Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου. » — Ἀρέσοι αὐτῷ ἡ πρὸς αὐτὸν ὁμιλία μου. Τούτου γενομένου, ἐγὼ τὴν ἐντεῦθεν εὐθυμίαν καρπώσομαι.

« Ἐκλείποιεν οἱ ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. » — Ὥστε μὴ ὑπάρχειν αὐτοὺς, οἷοί εἰσιν, ἀλλὰ μεταβληθῆναι τῶν ὄντως ἁμαρτωλῶν καὶ ἀνόμων δαιμόνων τέλεον καταργηθέντων, οἳ καὶ ἐν ἀνθρώποις τὴν κακίαν ἐνεργοῦσι. Ταῦτα δὲ γενήσονται περὶ τὴν δευτέραν ἔλευσιν τοῦ Χριστοῦ.

## ΨΑΛΜΟΣ ΡΔ'.

« Ἀλληλούϊα. » — Τὸ ἀλληλούϊα αἰνεῖτε τὸν ὄντα ἑρμηνεύεται. Ὢν δὲ ὁ Θεὸς κυρίως ἐστίν. Ἐν ὅσοις οὖν ψαλμοῖς εὑρίσκεται τὸ ἀλληλούϊα ἐπιγεγραμμένον, αἰνετηρίους τῷ Θεῷ δηλοῖ τοὺς τοιούτους εἶναι ψαλμούς. Νῦν δὲ πρὸς τοὺς ἀποστόλους ὁ λόγος.

« Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα αὐτοῦ· ἀπαγγείλατε ἐν τοῖς ἔθνεσι τὰ ἔργα αὐτοῦ. » — Μέγα φρονεῖτε, καυχᾶσθε ἐν τῷ ὀνομάζεσθαι Χριστιανοί.

« Ἐπαινεῖσθε ἐν τῷ ὀνόματι τῷ ἁγίῳ αὐτοῦ. Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον. » — Ζητεῖ τὸν Κύριον, ὁ διὰ τῆς ὁδοῦ τῶν αὐτοῦ φερόμενος ἐντολῶν, τῆς ἀγούσης πρὸς αὐτὸν, καὶ ἐπικαλούμενος αὐτὸν εἰς βοήθειαν, καὶ ἐπιμόνως αὐτῷ πεποιθώς.

« Ζητήσατε τὸν Κύριον καὶ κραταιώθητε. » — Ἐκραταιώθητε εἰς τὸ ζητῆσαι, τουτέστιν, ἰσχυρῶς ζητήσατε αὐτόν.

« Μνήσθητε τῶν θαυμασίων αὐτοῦ ὧν ἐποίησεν. » — Ἐπὶ τῷ διδάξαι.

« Τὰ τέρατα αὐτοῦ καὶ τὰ κρίματα τοῦ στόματος A αὐτοῦ. » — Μνήσθητε ἀπὸ κοινοῦ κατὰ ἀδιαφορίαν συντάξεως. Τέρατα μὲν οὖν λέγει τὰς ὑπερφυεῖς θαυματουργίας, κρίματα δὲ τὰς διὰ τοῦ νόμου ἀποφάνσεις.

« Σπέρμα Ἀβραὰμ δούλου αὐτοῦ· υἱοὶ Ἰακὼβ ἐκλεκτοὶ αὐτοῦ. » — Ὥσπερ Ἀβραάμ. Καλεῖ δὲ τοὺς ἀποστόλους ἀπογόνους Ἀβραὰμ καὶ Ἰακὼβ, δούλους τε Θεοῦ ἀληθεῖς καὶ ἐκ τοῦ κόσμου ἐκλελεγμένους ὑπ' αὐτοῦ.

« Αὐτὸς Κύριος ὁ Θεὸς ἡμῶν. » — Αὐτὸς ὁ Χριστός.

« Ἐν πάσῃ τῇ γῇ τὰ κρίματα αὐτοῦ. » — Αὐτὸς δικάσει πᾶσαν τὴν γῆν.

« Ἐμνήσθη εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. » — Τῆς εἰς τὸν αἰῶνα ὑποσχέσεως αὐτοῦ, τῆς αἰ-
B ωνίου, τῆς ἀμετακινήτου, ἐμνήσθη ἐπὶ τῷ ἐκπληρῶσαι.

« Λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς. » — Ἐμνήσθη τοῦ λόγου οὗ ἐθέσπισε, τοῦ εἰς χιλίας γενεὰς, τουτέστι μέχρι πολλῶν ἐτῶν ἐξικνουμένου.

« Καὶ ἔστησεν αὐτὴν τῷ Ἰακὼβ εἰς πρόσταγμα καὶ τῷ Ἰσραὴλ εἰς διαθήκην αἰώνιον. » — Ὃν δὴ λόγον ὑπέσχηται τῷ Ἀβραάμ. Καὶ πάλιν ἐμνήσθη τοῦ ὅρκου αὐτοῦ ὃν ὤμοσε τῷ Ἰσαὰκ, καὶ ἀμετακίνητον ἔθετο αὐτὸν τῷ Ἰακὼβ εἰς τὸ εἶναι πρόσταγμα, τουτέστι θέσπισμα βασιλικὸν ἀπαράβατον.

« Λέγων· Σοὶ δώσω τὴν γῆν Χαναὰν, σχοίνισμα κληρονομίας ὑμῶν. » — Τὴν Παλαιστίνην ἣν κατῴκουν οἱ Χαναναῖοι, λέγων, « Σοὶ δώσω κληρονο-
C μίας σχοίνισμα, » ἤγουν μέτρημά τε καὶ σχοίνισμα. Λέγων δὲ ταῦτα, ὑπισχνούμενος, ὅτε ἦσαν οἱ περὶ τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ὀλίγοι τῷ ἀριθμῷ καὶ παρεπίδημοι τῇ γῇ τῶν Χαναναίων.

« Καὶ διῆλθεν ἐξ ἔθνους εἰς ἔθνος, καὶ ἐκ βασιλείας εἰς λαὸν ἕτερον. » — Πυκνῶς μεταναστεύοντες καὶ τόπους ἐκ τόπων ἀμείβοντες οἱ πατριάρχαι, διεπορεύθησαν ἐκ τοῦδε τοῦ ἔθνους εἰς τόδε, καὶ ἐκ βασιλευομένου λαοῦ εἰς δημοκρατούμενον.

« Οὐκ ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτοὺς, καὶ ἤλεγξεν ὑπὲρ αὐτῶν βασιλεῖς. » — Οὕτω γὰρ πλανωμένων τῶν τριῶν τούτων πατριαρχῶν, οὐδενὶ παρεχώρησεν ὁ Θεὸς ἀδικῆσαι αὐτοὺς, ἀλλὰ καὶ βασιλεῖς ἐπηρεάσαι πειραθέντας αὐτοῖς ὡς ἀδίκους ἤλεγξε καὶ κατῄσχυνε καὶ ἐφόβησεν, ὡς τὸν Φαραὼ
D καὶ τὸν Ἀβιμέλεχ, τὸν μὲν Αἰγύπτου βασιλέα, τὸν δὲ Γεράρων.

« Μὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς προφήταις μου μὴ πονηρεύεσθε. » — Χριστοὺς φησιν αὐτοὺς, ὡς τῷ προφητικῷ κεχρισμένους χαρίσματι· πολλὰ γὰρ προεφήτευσαν.

« Καὶ ἐκάλεσε λιμὸν ἐπὶ τὴν γῆν· πᾶν στήριγμα ἄρτου συνέτριψεν. » — Πᾶν ἰσχύον διαθρέψαι σπανίσαι πεποίηκεν, οὐ μόνον δηλαδὴ σῖτον, ἀλλὰ καὶ κριθὰς, καὶ ὄσπρια, καὶ εἴ τι ἄλλο δύναται τρέφειν.

« Ἀπέστειλεν ἔμπροσθεν αὐτῶν ἄνθρωπον. » — Ἔμπροσθεν τῶν περὶ τὸν Ἰακὼβ ἀπέστειλε τὸν

OCR ABK / FR

Ἰωσὴφ, τῇ πονηρίᾳ τῶν ἀδελφῶν εἰς δέον χρησάμενος.

« Εἰς δοῦλον ἐπράθη Ἰωσήφ. » Παρὰ μὲν τῶν ἀδελφῶν αὐτοῦ τοῖς Ἰσμαηλίταις, παρὰ δὲ τῶν Ἰσμαηλιτῶν εἰς Αἴγυπτον τῷ Πενταφρῇ.

« Ἐταπείνωσαν ἐν πέδαις τοὺς πόδας αὐτοῦ. » — Οἱ περὶ τὸν δεσπότην αὐτοῦ ἐκάκωσαν τοὺς πόδας αὐτοῦ ἐν δεσμοῖς.

« Σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ. » — Τουτέστιν αὐτός. Σίδηρον δὲ λέγει τὸν σιδηροῦν κλοιὸν, ἢ τὸ ξίφος ὃ διέφυγεν ἡ ψυχὴ αὐτοῦ ἄχρι τούτου ἐλθοῦσα.

« Μέχρι τοῦ ἐλθεῖν τὸν λόγον αὐτοῦ. » — Τὴν σοφίαν αὐτοῦ καθ' ἣν ἔλυσε τοὺς ὀνείρους, ἢ τὴν φροντίδα ἣν ἐφρόντισεν αὐτοῦ ὁ Θεός.

« Τὸ λόγιον Κυρίου ἐπύρωσεν αὐτόν. » — Ὁ φυσικὸς νόμος καθ' ὃν ἐδιδάσκετο, γυναικὸς ἀλλοτρίας μὴ ἅπτεσθαι, παρεσκεύασεν αὐτὸν πυρωθῆναι τῇ καμίνῳ τῶν πειρασμῶν.

« Καὶ εἰσῆλθεν Ἰσραὴλ εἰς Αἴγυπτον· καὶ Ἰακὼβ παρῴκησεν ἐν γῇ Χάμ. » — Παλιλλογεῖ κἀνταῦθα, γῆ γὰρ Χὰμ ἡ Αἴγυπτος.

« Καὶ ηὔξησε τὸν λαὸν αὐτοῦ σφόδρα. » — Ηὔξησεν, ὁ Θεὸς δηλαδή. Τὸ δὲ αὐτοῦ νοεῖται καὶ ἐπὶ Θεοῦ, νοεῖται καὶ ἐπὶ τοῦ Ἰακώβ.

« Καὶ ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτοῦ. » — Ὑπὲρ τοὺς Αἰγυπτίους, οἵτινες ἐχθροὶ ἦσαν καὶ τοῖς Ἰσραηλίταις καὶ τῷ Θεῷ.

« Μετέστρεψε τὴν καρδίαν αὐτῶν τοῦ μισῆσαι τὸν λαὸν αὐτοῦ. » — Οὐκ αὐτὸς μεταβαλὼν, ἀλλὰ τῷ αὐτεξουσίῳ παραχωρῶν. Ἐνταῦθα δὲ τὸ μὲν πρῶτον αὐτοῦ δηλωτικόν ἐστι τοῦ Φαραὼ, οὐ τοῦ ἀγαπῶντος τὸν Ἰωσὴφ, ἀλλ' ἑτέρου· τὸ δὲ δεύτερον αὐτοῦ μηνυτικόν ἐστι τοῦ Θεοῦ.

« Τοῦ δολιοῦσθαι ἐν πᾶσι τοῖς δούλοις αὐτοῦ. » — Τοῦ ἐπιβουλεύειν· προσέταξε γὰρ ταῖς μαίαις ἀναιρεῖν τὰ ἄρσενα τῶν Ἑβραϊκῶν βρεφῶν.

« Ἔθετο ἐν αὐτοῖς τοὺς λόγους τῶν σημείων αὐτοῦ καὶ τῶν τεράτων αὐτοῦ ἐν γῇ Χάμ. » — Τὰ προστάγματα περὶ τῶν ἐν γῇ Χὰμ ἐνεργηθησομένων σημείων καὶ τεράτων αὐτοῦ· ἐνεργῆσαι γὰρ ἐν Αἰγύπτῳ προσέταξεν αὐτοῖς τοσάδε καὶ τοιάδε σημεῖα. Ὥσπερ δὲ ἐν τῷ οζ' ψαλμῷ τὴν τάξιν οὐ φυλάττει τῶν Αἰγυπτιακῶν πληγῶν, οὕτω καὶ ἐνταυθοῖ.

« Ἐξαπέστειλε σκότος, καὶ ἐσκότασε, καὶ παρεπίκραναν τοὺς λόγους αὐτοῦ. » — Διὰ τῶν λόγων δεδήλωκε τὸν λέγοντα Θεὸν, ὃν παρελύπησαν, τοὺς λόγους αὐτοῦ ἀθετοῦντες, οἱ Αἰγύπτιοι· οὐ γὰρ ἤκουσαν Θεοῦ κελεύοντος ἀπολῦσαι τὸν λαὸν αὐτοῦ, κελεύοντος δὲ τοῦτο διὰ Μωσέως δηλονότι καὶ Ἀαρών.

« Ἐξεῖρψεν ἡ γῆ αὐτῶν βατράχους. » — Τὸ ἐξεῖρψεν ἀντὶ τοῦ ἐξέδωκεν ἑρπυστικούς.

« Ἐν τοῖς ταμιείοις τῶν βασιλέων αὐτῶν. » — Οὐ μόνον ἐν τοῖς ἄλλοις τόποις, ἀλλὰ καὶ ἐν τοῖς εἰς τὰ βασίλεια ταμιείοις, ἔνθα πολλὴ φυλακὴ καὶ ἀσφάλεια.

« Εἶπε, καὶ ἦλθε κυνόμυια καὶ σκνῖπες ἐν πᾶσι A τοῖς ὁρίοις αὐτῶν. » — Ἡ αἰθάλη μετεστοιχείωτο εἰς σκνῖπας. Ζωΰφιον δὲ κωνωποειδές ἐστιν ὁ σκνίψ.

« Καὶ ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ χρυσίῳ. » — Ἃ ἐχρήσαντο παρὰ τῶν Αἰγυπτίων, οὕτω τοῦ Θεοῦ κελεύσαντος, ὥστε λογισθῆναι ταῦτα μισθὸν τῆς πολυετοῦς ὑπηρεσίας αὐτῶν.

« Καὶ οὐκ ἦν ἐν ταῖς φυλαῖς αὐτῶν ἀσθενῶν. » — Ἵνα μηδεὶς ὑπολειφθῇ διὰ νόσον. Τοῦτο δὲ μὴ ἀναγεγραμμένον ἐν τῇ Ἐξόδῳ φησὶν ὁ Δαυῒδ, παρὰ τοῦ Πνεύματος διδαχθεὶς, ὥσπερ καὶ ἄλλα πολλά.

« Εὐφράνθη Αἴγυπτος ἐν τῇ ἐξόδῳ αὐτῶν. » — Αἴγυπτόν φησι τοὺς ὑπολειφθέντας Αἰγυπτίους.

« Ὅτι ἐπέπεσεν ὁ φόβος αὐτῶν ἐπ' αὐτούς. » — Ὁ φόβος τῶν Ἑβραίων ἔπεσεν ἐπὶ τοὺς Αἰγυπτίους, τουτέστιν, ἐφοβήθησαν οἱ Αἰγύπτιοι τοὺς
B Ἑβραίους διὰ τὰς ὑπὲρ αὐτῶν θεηλάτους μάστιγας.

« Διέῤῥηξε πέτραν, καὶ ἐῤῥύησαν ὕδατα· ἐπορεύθησαν ἐν ἀνύδροις ποταμοί. » — Ποταμοὺς λέγει τοὺς ἐκ τῆς πέτρας διαῤῥηχθείσης ὀχετοὺς τῶν ὑδάτων οἵτινες ἐν ἀνύδροις τόποις κατέῤῥευσαν.

« Ὅτι ἐμνήσθη τοῦ λόγου τοῦ ἁγίου αὐτοῦ, τοῦ πρὸς Ἀβραὰμ τὸν δοῦλον αὐτοῦ. » — Ὅτι πληθυνεῖ τὸ σπέρμα αὐτοῦ, καὶ ὅτι δώσει αὐτῷ γῆν Χαναάν.

« Καὶ ἔδωκεν αὐτοῖς χώρας ἐθνῶν· καὶ πόνους λαῶν κατεκληρονόμησαν. » — Τούς τε ἀθετοῦντας αὐτοὺς κολάσας ἐνδίκως καὶ τὰς οἰκείας ἐμπεδώσας ὁμολογίας.

« Ὅπως ἂν φυλάξωσι τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωσιν. » — Ἀντὶ τοῦ
C ποθήσωσιν· ὃ γὰρ ποθεῖ τις καὶ ἐκζητεῖ.

## ΨΑΛΜΟΣ ΡΕ'.

« Ἀλληλούϊα. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστός· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Ἐξομολογεῖσθε ἀεὶ τῷ Θεῷ τὰς ἁμαρτίας ὑμῶν, ὅτι ἀγαθὸς καὶ ἀμνησίκακος, ὅτι αἰώνιον τὸ ἔλεος αὐτοῦ καὶ διηνεκές· ἀεὶ γὰρ ἐλεεῖ τοὺς μετανοοῦντας.

« Τίς λαλήσει τὰς δυναστείας τοῦ Κυρίου, ἀκουστὰς ποιήσει πάσας τὰς αἰνέσεις αὐτοῦ; » — Οὐδεὶς γὰρ ἀπόχρη λόγος εἰς ὑμνῳδίαν τοῦ Θεοῦ.

« Μακάριοι οἱ φυλάσσοντες κρίσιν καὶ ποιοῦντες δικαιοσύνην ἐν παντὶ καιρῷ. » — Μακαρίζει ὁ προφήτης οὐ τοὺς ἅπαξ, ἀλλὰ τοὺς διηνεκῶς ὀρθῶς κρίναντας καὶ δικαίως καὶ ἑτέροις καὶ ἑαυτοῖς, ὥστε μὴ παραχωρεῖν κατεξανίστασθαι τὸ χεῖρον τοῦ
D κρείττονος.

« Μνήσθητι ἡμῶν, Κύριε, ἐν τῇ εὐδοκίᾳ τοῦ λαοῦ σου· ἐπίσκεψαι ἐν τῷ σωτηρίῳ σου. » — Ἱκετεύει ὁ προφήτης μνείαν γενέσθαι καὶ αὐτοῦ ἐν τῇ διὰ τῆς θείας ἐνανθρωπήσεως εὐεργεσίᾳ καὶ σωτηρίᾳ τοῦ νέου λαοῦ. Αἱ τοιαῦται δὲ ἱκεσίαι δόγματά εἰσι προφητικά· ὥσπερ νῦν δογματίζει προφητεύων ὁ Δαυῒδ μὴ μόνον τοῖς ζῶσιν, ἀλλὰ καὶ τοῖς τεθνεῶσι τὸ σωτήριον ἐπισκοπὴν ποιήσασθαι τὸν Χριστὸν διὰ τῆς ἐν τῷ ᾅδῃ καθόδου αὐτοῦ.

« Τοῦ ἰδεῖν ἐν τῇ χρηστότητι τῶν ἐκλεκτῶν σου, τοῦ εὐφρανθῆναι ἐν τῇ εὐφροσύνῃ τοῦ ἔθνους σου. » — Ὥστε ἰδεῖν καὶ ἡμᾶς, ἤγουν πείρᾳ γνῶναι καὶ

OCR ABK / FR

παθεῖν τὴν γαθωσιν καὶ θυμηδίαν τοῦ Χριστιανικοῦ λαοῦ σου.

« Ἡμάρτομεν μετὰ τῶν πατέρων ἡμῶν· ἠνομήσαμεν, ἠδικήσαμεν. » — Οὐ συνῆκαν τὰ ἐν Αἰγύπτῳ θαυμάσιά σου, οὐδὲ ἐμνήσθησαν τοῦ εἰς αὐτοὺς γενομένου ἐλέους σου, ἀλλ' ἰδόντες τοὺς Αἰγυπτίους ὀπίσω αὐτῶν, ἐφοβήθησαν καὶ ἐγόγγυζον, μὴ πιστεύοντες τῇ δυνάμει σου.

« Καὶ παρεπίκραναν ἀναβαίνοντες ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. » — Ἀναβαίνοντες εἶπεν, ὅτι χθαμαλή ἐστιν ἡ Αἴγυπτος· ὅθεν ἀνέβαινον πρὸς τὴν Ἐρυθρὰν θάλασσαν, ἐν ὑψηλοτέροις μέρεσι κειμένην καὶ πλησιάζουσαν τῇ ἐρήμῳ.

« Καὶ ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ. » — Ἵνα μὴ βλασφημηθῇ ὡς ἀσθενής· αὐτοὶ γὰρ ἀνάξιοι ἦσαν σωτηρίας.

« Τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ. » — Ὥστε γνώριμον πανταχοῦ ποιῆσαι τὸ μεγαλοδύναμον αὐτοῦ.

« Καὶ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. » — Ταῖς ἐπαγγελίαις αὐτοῦ.

« Καὶ ᾖνεσαν τὴν αἴνεσιν αὐτοῦ. » — Τὴν ἐπινίκιον ᾠδὴν ἣν ὑπηγόρευσεν αὐτοῖς Μωϋσῆς.

« Ἐτάχυναν, ἐπελάθοντο τῶν ἔργων αὐτοῦ· καὶ οὐχ ὑπέμειναν τὴν βουλὴν αὐτοῦ. » — Ταχέως ἐπελάθοντο τῶν εὐεργεσιῶν αὐτοῦ. Ὅτι πεινάσαντες καὶ τῶν ἐν Αἰγύπτῳ βρωμάτων μνησθέντες διεγόγγυζον, οὐκ ἀνέμειναν τὴν πρόνοιαν αὐτοῦ ἵνα γένηται εἰς αὐτοὺς, ὅπερ ἐβούλετο ὁ Θεός.

« Καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ. » — Βρωμάτων δηλαδή.

« Καὶ ἐπείρασαν τὸν Θεὸν ἐν ἀνύδρῳ. » — Ἐν ἀνύδρῳ τόπῳ ἢ γῇ δηλονότι ἐδοκίμασαν τὸν Θεὸν, λέγοντες μετὰ δισταγμοῦ, Πότερον δύναται διαθρέψαι ἡμᾶς ἐνταυθοῖ;

« Καὶ ἔδωκεν αὐτοῖς τὸ αἴτημα αὐτῶν. » — Αἴτημα λέγει τὴν ἐπιθυμίαν, τὸ ζήτημα τῆς ψυχῆς ὅπερ ᾐτήσαντο.

« Ἐξαπέστειλε πλησμονὴν εἰς τὰς ψυχὰς αὐτῶν. » — Οὐ γὰρ ἁπλῶς ἔδωκε τὴν ὀρτυγομήτραν καὶ τὸ μάννα καὶ τὸ ὕδωρ τότε ἐν Μεῤῥᾷ γλυκανθὲν καὶ τὸ ἐκ πέτρας ῥυὲν, ἀλλ' ἄχρι κόρου.

« Καὶ παρώργισαν τὸν Μωϋσῆν ἐν τῇ παρεμβολῇ, Ἀαρὼν τὸν ἅγιον Κυρίου. » — Κατὰ Μωσέως μὲν γὰρ ἐμελέτησαν τυραννίδα οἱ περὶ Δαθὰν καὶ Ἀβειρών· οἱ περὶ Κορὲ δὲ τὴν τοῦ Ἀαρὼν τοῦ καθιερωμένου τῷ Θεῷ ἱερωσύνην ἁρπάσαι ἐπειράθησαν.

« Ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε Δαθὰν· καὶ ἐκάλυψεν ἐπὶ τὴν συναγωγὴν Ἀβειρών. » · Ἐκάλυψε τὴν συναγωγὴν τοῦ Ἀβειρων· ἀπὸ κοινοῦ δὲ τὸ ἡ γῆ.

« Καὶ ἐξεκαύθη πῦρ ἐν τῇ συναγωγῇ αὐτῶν, φλὸξ κατέφλεξεν ἁμαρτωλούς. » — Ἐν τῇ συναγωγῇ τῶν περὶ Κορὲ πῦρ ἀναφθὲν κατέκαυσε τῇ τούτου φλογὶ τοὺς ν' καὶ σ' ἄνδρας, τοὺς προσφέροντας τὸ θυμίαμα· Οὓς ἁμαρτωλοὺς εἶπεν, ὡς ἁρπάσαι τὴν ἱερωσύνην ἀναξίως ἐπιχειρήσαντας.

« Καὶ ἠλλάξαντο τὴν δόξαν αὐτοῦ ἐν ὁμοιώματι

A μόσχου ἐσθίοντος χόρτον. » — Μετέστησαν τὴν τιμὴν τοῦ Θεοῦ εἰς εἴδωλον μόσχου χορτοφάγου. Τοῦτο δὲ ἐπὶ διασυρμῷ τῆς τῶν Ἑβραίων ἀλογίας προστέθειται.

« Καὶ εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς. » — Εἶπε γὰρ ὁ Θεὸς πρὸς Μωϋσῆν, « Ἔασόν με, καὶ θυμωθεὶς, ἐκτρίψω αὐτούς. » Εἶπε γοῦν περὶ τοῦ ἐξολοθρεῦσαι αὐτούς.

« Εἰ μὴ Μωσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ. » — Ἔφη πρὸς Κύριον ὁ Μωϋσῆς, « Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μὴ, ἐξάλειψόν με ἐκ τῆς βίβλου ἧς ἔγραψας. »

« Καὶ ἐξουδένωσε γῆν ἐπιθυμητήν. » — Ὡς οὐδὲν αὐτὴν λογισάμενοι, ὅτε δηλονότι οἱ ἀποσταλέντες εἰς
B τὴν εἰρημένην γῆν κατάσκοποι ὑποστρέψαντες τὴν δειλίαν ἐνῆκαν τῷ λαῷ, γενναίους εἰπόντες εἶναι τοὺς κατοικοῦντας ἐν αὐτῇ· τότε γὰρ ἡ συναγωγὴ τοῦ λαοῦ πᾶσα ἔκλαιον ἐν ταῖς σκηναῖς αὐτῶν καὶ ἐγόγγυζον.

« Οὐκ ἐπίστευσαν τῷ λόγῳ αὐτοῦ. » — Ὅτι δώσει αὐτοῖς αὐτήν.

« Καὶ ἐγόγγυσαν ἐν τοῖς σκηνώμασιν αὐτῶν· οὐκ εἰσήκουσαν τῆς φωνῆς Κυρίου. » — Οὐκ ἐπείσθησαν τῷ Θεῷ παρεγγυήσαντι τῆς ἐπηγγελμένης ἐπιβῆναι γῆς.

« Καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς. » — Καὶ ἐκίνησε τὴν κολαστικὴν αὐτοῦ δύναμιν ἐπ' αὐτούς.

« Τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ. » — Ὥστε θανατῶσαι αὐτούς.

C « Καὶ τοῦ καταβαλεῖν τὸ σπέρμα αὐτῶν ἐν τοῖς ἔθνεσι· καὶ διασκορπίσαι αὐτοὺς ἐν ταῖς χώραις. » — Τοὺς μὲν πατέρας ὡς ἀπειθεῖς ἄλλῳ τρόπῳ κατέβαλε, τῷ θανάτῳ γὰρ, τὰ τέκνα δὲ κατέσπειρεν, ὅ ἐστι, κατῴκισε πανταχοῦ, ἐν τοῖς ἔθνεσιν, ἤγουν τῇ γῇ τῶν ἐθνῶν τῇ ἐπηγγελμένῃ. Ἐπ' ἀγαθῷ δὲ εἴρηται καὶ τὸ διασκορπίσαι· δίκην γὰρ σπέρματος ὥστε ἐκριζωθῆναι καὶ αὐξηθῆναι καὶ πληθυνθῆναι ἐν ταῖς χώραις τῶν ἐθνῶν ἁπάσαις, ἤγουν τῇ γῇ τῆς ἐπαγγελίας.

« Καὶ ἐτελέσθησαν τῷ Βεελφεγώρ. » — Βὴλ καὶ Βάαλ καὶ Βέελ τὸ αὐτό ἐστιν, εἴδωλον τοῦ Πριάπου, λίαν ἀσχημονέστατον. Φεγὼρ δὲ τοπικὸν ὄνομα. Τὸ Βεελφεγὼρ οὖν σύνθετος λέξις ἐστὶ, τό τε εἴδωλον δηλοῦσα καὶ τὸν τόπον ἐν ᾧ τὸ εἴδωλον ἦν. Τὸ δὲ
D ἐτελέσθησαν δηλοῖ τὸ ἐμυήθησαν, ᾠκειώθησαν, ἀφιερώθησαν.

« Καὶ ἔφαγον θυσίας νεκρῶν. » — Νεκρὰ λέγει τὰ εἴδωλα ὡς ἀναίσθητα.

« Καὶ παρώξυναν αὐτὸν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτοῦ. » — Ἐν ταῖς τοιούτοις ἔργοις αὐτῶν.

« Καὶ ἐπληθύνθη ἐν αὐτοῖς ἡ πτῶσις. » — Ἀποθνησκόντων πολλῶν.

« Καὶ ἔστη Φινεὲς καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. » — Ἀνέστη καὶ ἐξιλεώσατο τὸν Θεὸν, καὶ ἐπαύσατο ἡ θανατοφόρος πληγὴ τοῦ λαοῦ· τὸν γὰρ Ζαμβρὶ μιγνύμενον φανερῶς τῇ Μαδιανίτιδι, ζήλου πλησθεὶς ὁ Φινεὲς καὶ λαβὼν δόρυ, συνεῖλε τῇ γυ-

OCR ABK / FR

ναικὶ πληγῇ μιᾷ, καὶ οὕτως ἔστη ἡ ὀργὴ τοῦ Θεοῦ, ἐξιλεωθέντος τῷ ζήλῳ τοῦ Φινεές.

« Καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην εἰς γενεὰν καὶ γενεὰν ἕως τοῦ αἰῶνος. » — Καὶ ὁ φόνος οὗτος εἰς ἀρετὴν παρὰ πάντων ἐλογίσθη τῷ Φινεὲς διαπαντός.

« Καὶ παρώργισαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας. » — Τὸ ἐν ἐρήμῳ Κάδδης ἐκ πέτρας ῥυὲν ὕδωρ ἀντιλογίας ὕδωρ ὠνόμασται ἀπὸ τῆς προηγησαμένης ἀντιλογίας καὶ ἀπειθείας τῶν Ἰουδαίων ὅτε διψήσαντες ἐγόγγυζον, καὶ οὐχ ὑπήκουον Μωσεῖ ἐφ' οἷς ἔλεγεν, ἀλλὰ διελοιδοροῦντο μᾶλλον αὐτῷ.

« Καὶ ἐκακώθη Μωσῆς δι' αὐτούς. » — Ἐκακώθη παρὰ Θεοῦ κατακριθεὶς ἔξω τῆς ἐπηγγελμένης γῆς ἀποθανεῖν, αὐτός τε καὶ Ἀαρών.

« Ὅτι παρεπίκραναν τὸ πνεῦμα αὐτοῦ. » — Ἐλύπησαν τὴν ψυχὴν τοῦ Μωσέως γογγύζοντες καὶ ὑβρίζοντες αὐτὸν, καὶ ἀναγκασθεὶς εἶπε διστακτικῶς, « Μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξω ὑμῖν ὕδωρ ; »

« Καὶ διέστειλεν ἐν τοῖς χείλεσιν αὐτοῦ. » — Τὸν Μωσέως ἐξ ὀλιγωρίας λόγον διὰ τοῦ διέστειλεν ἤτοι ἤνοιξε τὰ χείλη αὐτοῦ εὐφήμως ἐδήλωσεν ὁ Δαυΐδ. Τινὲς δὲ τὸ διέστειλεν ἀντὶ τοῦ διστακτικῶς ἐλάλησε νενοήκασιν. Οὕτω δὲ τὸ ἐν τοῖς χείλεσιν ἔσται ἀντὶ τοῦ διὰ τῶν χειλέων. Οἶδε δὲ ἡ παλαιὰ Γραφὴ ἀντὶ τοῦ ἁπλῶς χρᾶσθαι λέγειν τὸ διαστέλλεσθαι.

« Καὶ ἐμίγησαν ἐν τοῖς ἔθνεσι, καὶ ἔμαθον τὰ ἔργα αὐτῶν. » — Ἔργα τὰ παράνομα καὶ ἀσεβῆ.

« Καὶ ἐδούλευσαν τοῖς γλυπτοῖς αὐτῶν· καὶ ἐγενήθη αὐτοῖς εἰς σκάνδαλον. » — Τὸ δουλεῦσαι τοῖς γλυπτοῖς ἐγένετο τοῖς Ἰουδαίοις εἰς πρόσκομμα καὶ πτῶσιν.

« Καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι. » — Καὶ ἐπλήσθη ἐξ ἀποκτάνσεως ἤτοι σφαγῆς ἡ γῆ διὰ τῶν αἱμάτων καὶ ἐμολύνθη διὰ τῶν θυσιῶν καὶ αἰσχρουργιῶν.

« Καὶ ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν. » — Ἀποστάντες γὰρ τοῦ Θεοῦ ἐκολλήθησαν τοῖς δαίμοσι, δι' ὧν εἰργάζοντο εἰδωλολατρειῶν τε καὶ ἀσελγειῶν.

« Πλεονάκις ἐῤῥύσατο αὐτούς. Αὐτοὶ δὲ παρεπίκραναν αὐτὸν ἐν τῇ βουλῇ αὐτῶν. » — Ἐν τῇ γνώμῃ αὐτῶν τῇ ἀχαρίστῳ καὶ πονηρᾷ.

« Καὶ ἐταπεινώθησαν ἐν ταῖς ἀνομίαις αὐτῶν. » — Κατεπτοήθησαν, ἠσθένησαν ἐν τῷ τὰ ἄνομα δρᾷν.

« Καὶ ἐμνήσθη τῆς διαθήκης αὐτοῦ· καὶ μετεμελήθη κατὰ τὸ πλῆθος τοῦ ἐλέους αὐτοῦ. — Μετέβαλε τὴν ὀργὴν εἰς οἶκτον, ὡς πολυέλεος.

« Καὶ ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμούς. » Τουτέστιν, ᾤκτειρεν αὐτούς.

« Ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς. » — Περιφανῶς ὥστε πάντας τοῦτο μαθεῖν τοὺς αἰχμαλωτεύσαντας αὐτούς· ὡς διάφορα γὰρ ἔθνη, αὐτοὺς ᾐχμαλώτευσεν.

« Σῶσον ἡμᾶς, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ ἐπισυνάγαγε ἡμᾶς ἐκ τῶν ἐθνῶν. » — Εἰς τὴν προτέραν ἱκεσίαν ἀνέδραμεν. Ἔθνη δὲ λέγει τὰ παράνομα, ἐν οἷς Ἰουδαῖοι διεσπάρησαν μετὰ τὴν εἰς Χριστὸν

A παρανομίαν. Προφητεύει δὲ διὰ τούτων ὁ Δαυΐδ ὅτι καὶ πιστεύσουσι τῷ Χριστῷ πάντες οἱ Ἰουδαῖοι καὶ εἰς τὴν μίαν καὶ καθολικὴν Ἐκκλησίαν αὐτοῦ ἐπισυναχθήσονται καὶ αὐτοί.

« Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου τῷ ἁγίῳ, τοῦ ἐγκαυχᾶσθαι ἐν τῇ αἰνέσει σου. » — Μέγα ὄντως καύχημα τὸ ὑμνεῖν τὸν Χριστόν.

« Εὐλογητὸς Κύριος, ὁ Θεὸς Ἰσραὴλ, ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος. » — Ἐρεῖ τὸ, « Εὐλογητὸς Κύριος. » Καὶ τοῦτο προφητικὸν, ἅπας γὰρ ὁ λαὸς, ὕστερον ὑμνεῖν τὸν Ἰησοῦν ὡς Θεόν.

## ΨΑΛΜΟΣ ΡΖ'.

« Ἀλληλούϊα. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Εἰπάτωσαν ὅτι χρηστὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. B

« Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου, οὓς ἐλυτρώσατο ἐκ χειρὸς ἐχθροῦ. » — Ἐχθρὸν νοητέον τὸν διάβολον· περὶ γὰρ τῶν Χριστὸν πιστευσάντων ὁ λόγος.

« Καὶ ἐκ τῶν χωρῶν συνήγαγεν αὐτούς. » — Ἐκ τῶν ἐθνικῶν χωρῶν εἰς μίαν Ἐκκλησίαν καὶ πίστιν.

« Ἀπὸ ἀνατολῶν καὶ δυσμῶν καὶ Βοῤῥᾶ καὶ θαλάσσης. » — Ἐκ τῶν τεσσάρων γὰρ περάτων τοῦ κόσμου συνήχθησαν.

« Ἐπλανήθησαν ἐν τῇ ἐρήμῳ ἐν ἀνύδρῳ. » — Ἐπλανήθησαν πρότερον ἐν τῇ πολιτείᾳ τῇ ἐρήμῳ καρπῶν ἀρετῆς, καὶ μὴ ἐχούσῃ πόμα θείας διδασκαλίας.

« Ὁδὸν πόλεως κατοικητηρίου οὐχ εὗρον. » — C Κατοικητηρίου πόλις ὁ οὐρανός· ὁ γὰρ ἐπίγειος κόσμος ἅπας παροικία ἐστίν. Ἡ δὲ πρὸς οὐρανὸν ἄγουσα ὁδὸς ἡ ὀρθὴ πίστις μετὰ τῶν ἀρετῶν.

« Πεινῶντες καὶ διψῶντες, ἡ ψυχὴ αὐτῶν ἐν αὐτοῖς ἐξέλιπεν. » — Ἦσαν δηλονότι· οὐκ εἶχον γὰρ θεογνωσίαν ἢ διδασκαλίαν τρέφουσαν καὶ ποτίζουσαν ψυχάς· τὸ δὲ ἐξέλιπε δηλοῖ τὸ ἠτόνησαν ἄγαν, ἐκ τῆς καθ' ὑπερβολὴν δηλαδὴ πείνης καὶ δίψης πνευματικῆς.

« Καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτούς. » — Ἐκέκραξαν οἱ προφῆται ὑπὲρ αὐτῶν, καὶ οἱ θεῖοι ἄγγελοι οἱ προεστηκότες τῶν ἐθνῶν.

« Καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἐῤῥύσατο αὐτούς. » — Ἐκ τῶν δαιμονικῶν τυραννίδων.

« Καὶ ὡδήγησεν αὐτοὺς εἰς ὁδὸν εὐθεῖαν· τοῦ πορευθῆναι εἰς πόλιν κατοικητηρίου. » — Τὴν εὐσεβῆ D καὶ ἐνάρετον διαγωγὴν τὴν ἄγουσαν εἰς τὸν οὐρανόν.

« Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ θαυμάσια αὐτοῦ υἱοῖς τῶν ἀνθρώπων. » — Τὸ ἐξομολογησάσθωσαν ὧδε δηλοῖ τὸ ἐξαγγειλάτωσαν.

« Ὅτι ἐχόρτασε ψυχὴν κενὴν, καὶ ψυχὴν πεινῶσαν ἐνέπλησεν ἀγαθοῖς. » — Κενὴν φησι τὴν ἐστερημένην τροφῆς καὶ πόσεως, πνευματικῆς δηλαδή.

« Καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου. » — Σκότος καὶ νὺξ θανάτου ψυχικοῦ ἡ ἄγνοια καὶ ἡ ἀπιστία πρὸς Θεόν.

« Πεπεδημένους ἐν πτωχείᾳ καὶ σιδήρῳ. » — Τῶν

OCR ABK / FR

ἀρετῶν καὶ σιδηροῖς εἴτουν ἰσχυροῖς τῶν ἁμαρτημά- A
των δεσμοῖς.

« Ὅτι παρεπίκραναν τὰ λόγια τοῦ Θεοῦ. » — Διὰ τῶν λογίων δηλοῖ τὸν λέγοντα· τούτων γὰρ ἀθετουμένων, παραλυπεῖται ὁ Θεός· λόγια δὲ Θεοῦ νοητέον νῦν τόν τε φυσικὸν νόμον, καθ' ὃν πάντες ἄνθρωποι τὴν τοῦ καλοῦ καὶ κακοῦ διάκρισιν ἔχομεν ἐκ Θεοῦ, καὶ τὸν δοθέντα τοῖς Ἰουδαίοις γραπτὸν νόμον, καὶ τοὺς λόγους τῶν προφητῶν.

« Καὶ τὴν βουλὴν τοῦ Ὑψίστου παρώξυναν. » — Εἴτουν τὸν βουλόμενον τὴν σωτηρίαν αὐτῶν Θεὸν παρώργισαν.

« Καὶ ἐταπεινώθη ἐν κόποις ἡ καρδία αὐτῶν. » — Καὶ κατεπτοήθησαν ἐν ταλαιπωρίαις τῆς ἁμαρτίας.

« Ὅτι συνέτριψε πύλας χαλκᾶς. » — Πύλαι ᾅδου στερεαὶ καὶ μοχλοὶ ἰσχυροὶ τὸ ἄφυκτον αὐτοῦ καὶ B
τὸ ἀδιεξόδευτον, ὅπερ ἀνέτρεψεν ὁ Χριστὸς, αὐτός τε ἀνελθὼν ἐκεῖθεν, καὶ κατεχομένας ψυχὰς ἐξαγαγών.

« Ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν. » — Ἤτοι ὁδευόντων ἀνομίᾳ.

« Πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν. » — Δι' ὑπερβολὴν καχεξίας ψυχικῆς πᾶν βρῶμα πνευματικὸν, πᾶσαν διδασκαλίαν ψυχωφελῆ ἐμίσησαν.

« Καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου. » — Πύλαι καὶ εἴσοδοι πρὸς θάνατον ψυχικόν.

« Καὶ τῶν ἁμαρτημάτων ὑπερβολαί. » — Ἀπέστειλε τὸν Λόγον, τὸν Υἱὸν αὐτοῦ ἀπέστειλεν ὁ Πατὴρ, καὶ ἰάσατο πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν ψυχῆς τε καὶ σώματος.

« Καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. » C
— Ἐκ τῶν ἁμαρτιῶν αὐτῶν.

« Καὶ θυσάτωσαν αὐτῷ θυσίαν αἰνέσεως, καὶ ἐξαγγειλάτωσαν τὰ ἔργα αὐτοῦ ἐν ἀγαλλιάσει. » — Τὰ κατορθώματα τῆς σωτηρίου ἐνανθρωπήσεως.

« Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις. » — Περὶ τῶν ἀποστόλων ὁ λόγος τῶν πρὶν ἁλιέων, ὅτε ἦσαν ἐν τῇ θαλάττῃ μετὰ τοῦ Ἰησοῦ, καὶ αὐτὸς ἐκάθευδε, καὶ τὸ πλοῖον ἐβυθίζετο ὑπὸ τῶν κυμάτων, καὶ διυπνισθεὶς ἐπετίμησε τῇ θαλάσσῃ καὶ τοῖς ἀνέμοις.

« Ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς. » — Ἐργασίαν ἁλιείας.

« Εἶπε, καὶ ἔστη πνεῦμα καταιγίδος. » — Προσέταξε, καὶ ἀνέστη λαῖλαψ ἀνέμου μεγάλη.

« Καὶ ὑψώθη τὰ κύματα αὐτῆς. » — Εἰς ὕψος ἤρθη D
τὰ κύματα τῆς θαλάσσης.

« Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων. » — Τὰ κύματα τότε νῦν μὲν σφόδρα ὑψοῦντο, νῦν δὲ λίαν ἐταπεινοῦντο. καθ' ὑπερβολὴν δὲ ὁ λόγος.

« Ἡ ψυχὴ αὐτῶν ἐν κακοῖς ἐτήκετο. » — Ἐν κινδύνοις ἐξελίμπανεν.

« Ἐταράχθησαν, ἐσαλεύθησαν ὡς ὁ μεθύων. » — Κλόνον καὶ παρατροπὴν ἔπαθον τῶν φρενῶν· οἱ γὰρ πρὸ ὀφθαλμῶν τὸν θάνατον ἤδη βλέποντες ἐν τῷ καθεστηκότι ἔχουσι τὸν λογισμόν.

« Καὶ πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη. » — Ἡ περὶ τὸ ναυτίλλεσθαι αὐτῶν ἐμπειρία ἠφανίσθη.

« Καὶ ἐπέταξε τῇ καταιγίδι, καὶ ἔστη εἰς αὔραν. » — Ἡ καταιγὶς ἔστη τῆς σφοδροτάτης ὁρμῆς, ὥστε γενέσθαι ταύτην τὴν αὔραν, ἤτοι πρᾶον καὶ γαληνιαῖον πνεῦμα.

« Καὶ εὐφράνθησαν ὅτι ἡσύχασαν. » — Ὅτι ἡσύχασαν τὰ κύματα.

« Καὶ ὡδήγησεν αὐτοὺς ἐπὶ λιμένα θελήματος αὐτῶν. » — Λιμὴν γὰρ ὄντως αἱ τοῦ Κυρίου ἐντολαὶ, τὸν ἐνεργοῦντα ταύτας τηροῦσαι ἀπείρατον ναυαγίου παντὸς ψυχικοῦ.

« Ὑψωσάτωσαν αὐτὸν ἐν ἐκκλησίᾳ λαῶν· καὶ ἐν καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν. » — Ἐν συνεδρίῳ ὑπερεχόντων.

« Ἔθετο ποταμοὺς εἰς ἔρημον. » — Τοὺς ποταμηδὸν εὐρροοῦντας ἐν λόγοις Ἕλληνας ἔθετο εἰς ἐρημίαν σοφίας, ἐπιστομιζόντων αὐτοὺς τῶν ἀγραμμάτων ἁλιέων.

« Καὶ διεξόδους ὑδάτων εἰς δίψαν. » — Καὶ τὰς πλημμύρας τῶν λόγων αὐτῶν εἰς ξηρασίαν.

« Γῆν καρποφόρον εἰς ἅλμην, ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. » — Καὶ τὴν γῆν τῶν Ἰουδαίων τὴν καρποφοροῦσαν τοὺς προφήτας εἰς ἀκαρπίαν ἔθετο· καὶ γὰρ ἄκαρπος ἡ ἁλμυρὰ γῆ. τοῦτο δὲ γέγονε διὰ τὴν κακίαν τῶν Ἰουδαίων.

« Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. » — Τὴν πρὶν ἔρημον θείας διδασκαλίας Ἐκκλησίαν τὴν ἐξ ἐθνῶν ἔθετο εἰς τὸ ἔχειν τε εἰς πλῆθος αὐτὴν τὰ τοῦ θείου λόγου νάματα καὶ προχέειν καὶ ἑτέροις αὐτά.

« Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας. » — Τοὺς πρὶν ἐνδεεῖς τροφῆς πνευματικῆς κατῴκισεν ὁ Χριστὸς ἐν τῇ ἐξ ἐθνῶν Ἐκκλησίᾳ αὐτοῦ.

« Καὶ συνεστήσαντο πόλεις κατοικεσίας. » — Πόλεις κατοικίας πνευματικῆς τὰς κατὰ τόπους Ἐκκλησίας τῶν πιστῶν φησίν.

« Καὶ ἔσπειραν ἀγρούς. » — Ἔσπειραν οἱ ἀπόστολοι τῷ σπόρῳ τοῦ κηρύγματος τὰς ἠγριωμένας πρότερον τῶν ἀνθρώπων ψυχάς.

« Καὶ ἐφύτευσαν ἀμπελῶνας. » — Τὰς ψυχὰς αὖθις νόησον ἀμπελῶνας καρποφορούσας βότρυας ἀρετῶν.

« Καὶ ἐποίησαν καρπὸν γενήματος. » — Γενήματος μυστικοῦ προσφερομένου τῷ Δεσπότῃ Χριστῷ καὶ τοῦτον εὐφραίνοντος.

« Καὶ εὐλόγησεν αὐτούς. » — Φησὶ γὰρ ὁ Λουκᾶς περὶ τῶν ἀποστόλων, ὅτι καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ εὐλόγησεν αὐτοὺς, δηλονότι δι' αὐτῶν καὶ τοὺς διαδόχους τῆς πίστεως αὐτῶν.

« Καὶ ἐπληθύνθησαν σφόδρα. » — Δέκα γὰρ καὶ ἑβδομήκοντα εἰς μυριάδας ἀναρίθμων ηὐξήθησαν.

« Καὶ τὰ κτήνη αὐτῶν οὐκ ἐσμικρύνθη. » — Κτήνη ἂν εἶεν τὰ πρόβατα, τὰ παρὰ τῶν ἀποστόλων καὶ τῶν διαδόχων αὐτοῦ ποιμαινόμενα διδασκάλων, ἤτοι ὁ κοινὸς Χριστιανικὸς λαός.

« Καὶ ὠλιγώθησαν καὶ ἐκακώθησαν ἀπὸ θλίψεως κακῶν καὶ ὀδύνης. » — Προλέγει τοὺς διωγμοὺς, τὴν ἐξ ἀναιρέσεως ὀλίγωσιν τῶν πιστῶν, καὶ τὴν ἐκ

OCR ABK / FR

θλίψεως τῶν πειρασμῶν, καὶ τὴν ἐντεῦθεν ὀδύνης κάκωσιν.

« Ἐξεχύθη ἐξουδένωσις ἐπ' ἄρχοντας αὐτῶν. » — Οἱ ἐξουσιάζοντες αὐτῶν οἱ βασιλεῖς ὁμοῦ καὶ διῶκται ἐξουδενώθησαν παρὰ τοῦ Θεοῦ ὡς ἀχρεῖοι.

« Καὶ ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ. » — Πλανηθῆναι παρεχώρησεν αὐτοὺς ἐν τοῖς ἀσεβέσι δόγμασιν ὡς ἀνιάτους.

« Καὶ ἐβοήθησε πένητι ἐκ πτωχείας. » — Τῷ ἐκ πτωχείας τῆς διὰ Χριστὸν πένητι λαῷ.

« Καὶ ἔθετο ὡς πρόβατα πατριάς. » — Πατριὰς ἤτοι φυλὰς ὀνομάζει τὰ συστήματα τῶν κατὰ τόπους ἐκκλησιῶν. Ἃ ἔθετο ὁ Κύριος, εἴτουν ἔταξεν ὡς οἰκεῖα πρόβατα, ὥστε ποιμαίνειν ταῦτα καὶ ὁδηγεῖν. Πατριὰς δὲ εἶπεν αὐτὰ διὰ τὴν ἐκ πίστεως συγγένειαν ἔχοντα Πατέρα ἕνα τὸν Θεόν.

« Ὄψονται εὐθεῖς καὶ εὐφρανθήσονται. » — Θεάσονται πληρούμενα τὰ ἤδη προφητευθέντα οἱ τὴν εὐθεῖαν ὁδεύοντες ἀσεβεῖς καὶ χαρήσονται.

« Καὶ πᾶσα ἀνομία ἐμφράξει στόμα αὐτοῦ. » — Ἀνομίαν λέγει τοὺς ἀνόμους καὶ ἀσεβεῖς.

« Τίς σοφὸς καὶ φυλάξει ταῦτα; » — Παρατηρήσει ταῦτα πιστεύων ὅτι γενήσονται.

« Καὶ συνήσουσι τὰ ἐλέη τοῦ Κυρίου. » — Γνώσονται ταῦτα ὅταν λάβωσι πέρας.

## ΨΑΛΜΟΣ ΡΖ'.

« Ὠδὴ ψαλμοῦ τῷ Δαυΐδ. Ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου· ᾄσομαι καὶ ψαλῶ ἐν τῇ δόξῃ μου. » — Ταῦτα καὶ ἐν τῷ νς' ψαλμῷ ῥητά.

« Ὅπως ἂν ῥυσθῶσιν οἱ ἀγαπητοί σου. » — Ἀγαπητοὶ περὶ ὧν φησι τὸ Εὐαγγέλιον· « Ἀγαπήσας γὰρ τοὺς ἰδίους ἐν τῷ κόσμῳ εἰς τέλος ἠγάπησεν αὐτούς· » τὰ δὲ λοιπὰ τὰ καθ' ἑξῆς καὶ ἐν τῷ νθ' ψαλμῷ.

## ΨΑΛΜΟΣ ΡΗ'.

« Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυΐδ. Θεός, τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς. » — Τῆς ἀνθρωπίνης φύσεως τὰ μέτρα πληρῶν ὁ Δεσπότης Χριστὸς εὔχεται πρὸς τὸν Πατέρα, καί φησι, « Τὴν μετὰ αἰνέσεως δέησίν μου μὴ παρέλθῃς ἐν σιωπῇ· » τουτέστι, μὴ ἀπρόσδεκτον ποιήσῃς, μὴ ἀνενέργητον.

« Ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. » — Ἁμαρτωλὸν καὶ δόλιον τὸν Ἰούδαν νοητέον, ὃς ἤνοιξε στόμα κατὰ τοῦ Σωτῆρος ὅτε συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ πρεσβυτέροις τοῦ λαοῦ περὶ τῆς προδοσίας αὐτοῦ.

« Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ. » — Εἰσάγει καὶ τοὺς μεθ' ὧν ὁ Ἰούδας συνελάλησεν, ἤγουν τοὺς ἀρχιερεῖς καὶ πρεσβυτέρους τῶν Ἰουδαίων, καί φησιν. « Ἐλάλησαν οὗτός τε κἀκεῖνοι, κατ' ἐμοῦ δόλους ῥάπτοντες ἐπιβουλάς. »

« Καὶ λόγοις μίσους ἐκύκλωσάν με. » — Πολλάκις γὰρ οἱ Ἰουδαῖοι κυκλοῦντες αὐτὸν ῥήματα μίσους ἐλάλουν, διασύροντες, ὑβρίζοντες, ἠρώτων κακοήθως.

« Καὶ ἐπολέμησάν με δωρεάν. » — Μάτην, ἀνευλόγως.

« Ἀντὶ τοῦ ἀγαπᾷν με ἐνδιέβαλλόν με. » — Δέον ἀγαπᾷν με καθ' ἑκάστην αὐτοὺς εὐεργετοῦντα καὶ λόγῳ καὶ ἔργῳ. Οἱ δὲ τοὐναντίον διεκωμῴδουν με, A πλάνον ἀποκαλοῦντες καὶ παράνομον, ἀντίθεον.

« Ἐγὼ δὲ προσηυχόμην. » — Ὑπὲρ αὐτῶν δηλονότι ἢ τὴν παρὰ σοῦ βοήθειαν ἐπικαλούμενος.

« Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν. » — Εἰργάσαντο κατ' ἐμοῦ κακὰ ἀνθ' ὧν εὐηργετήθησαν ἀγαθῶν.

« Καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. » — Ἀντὶ τῆς ἀγάπης ἧς ἠγάπων αὐτούς.

« Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν. » — Τὸ κατάστησον ἀντὶ τοῦ παραχώρησον. Παραχώρησον κατασταθῆναι, τουτέστι καταστήσεται· σχήματι γὰρ ἀρᾶς προφητεύει τὰ μέλλοντα· « Εἰσῆλθε γάρ, φησίν, εἰς αὐτὸν ὁ Σατανᾶς. »

« Καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. » — Στήσεται ἐκ δεξιῶν αὐτοῦ, τουτέστιν, οἰκειωθήσεται αὐτῷ.

B « Ἐν τῷ κρίνεσθαι αὐτὸν ἐξέλθοι καταδεδικασμένος. » — Ἐν τῷ κρίνεσθαι ὑπὸ τοῦ οἰκείου συνειδότος ἐξελεύσεται ἀπὸ τοῦ συνεδρίου, κατακεκριμένος καὶ ὑφ' ἑαυτοῦ καὶ ὑπ' ἐκείνων· « Ἥμαρτον γάρ, φησί, παραδοὺς αἷμα ἀθῷον. Οἱ δὲ εἶπον, Τί πρὸς ἡμᾶς; σὺ ὄψει. » Καταγνώσεως δὲ τὸ σὺ ὄψει.

« Καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν » — Εἰς ἀποτυχίαν, ἤγουν ἀποτεύξεται ὧν αἰτήσει διὰ τὴν δυστροπίαν αὐτοῦ.

« Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι. » — Τελευτήσει ταχέως.

« Καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. » — Τὴν ἀποστολικὴν ἐπισκοπὴν αὐτοῦ λήψεται ὁ Ματθίας.

C « Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ καὶ ἡ γυνὴ αὐτοῦ χήρα. » — Εἰπὼν ἄνω, τί πεποίηκεν αὐτῷ ὁ Ἰούδας; » ἐπήγαγε καί, τί τὸ Ἰουδαϊκὸν συνέδριον πεποίηκε πάλιν αὐτῷ· εἶτα τύπῳ ἀρᾶς τὰ ἐπισυμβησόμενα τῷ προδότῃ προαγορεύσας ἤδη προλέγει καὶ ὅσα τοῖς θεοκτόνοις ἐπισυμβήσονται· καὶ πρῶτον τῶν ἄλλων φησὶ τὴν ὑπὸ Ῥωμαίων ἀναίρεσιν αὐτῶν, καὶ τὸν τῶν γυναικῶν καὶ παίδων αὐτῶν ἀνδραποδισμὸν καὶ τὴν ἐκ τῆς αἰχμαλωσίας ἀπορίαν τῶν ἀναγκαίων.

« Ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν. » — Οὐδ' ἐν τοῖς οἰκοπέδοις ἤτοι τοῖς ἐρειπίοις τῶν οἰκημάτων αὐτῶν οἰκεῖν συγχωρηθήσονται. Δανειστὴς ὧδε τὸν ἁπλῶς λήπτην φησί· διὸ καὶ ὁ Σύμμαχος ἀντὶ τοῦ δανειστὴς πράκτωρ ἡρμήνευσε. Λέγει γοῦν τὸν φορολόγον· Οἱ γὰρ περὶ τῆς Ῥωμαϊκῆς D ἐξουσίας ἐπὶ τῷ λαμβάνειν τεταγμένοι τὸν τοῖς Ἰουδαίοις ἐπικείμενον φόρον, καὶ κατακεκρυμμένα τῶν Ἰουδαίων ἀκριβῶς ἐρευνήσαντες πάντα διήρπασαν.

« Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ. » — Οὔπω γὰρ τεσσαράκοντα διεληλυθότων ἐνιαυτῶν τὸ ὀνομαστὸν ὅπερ εἶχε καὶ ἔνδοξον ὁ τῶν Ἰουδαίων λαὸς τελείως ἀπώλεσεν.

« Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν· ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. » — Ἀνομίαν πατέρων λέγει τὸ ἀποκτεῖναι τοὺς προφήτας· « Πᾶν γάρ, φησίν, αἷμα δίκαιον ἐκχυθὲν ἀπὸ Ἄβελ ἕως Ζαχαρίου τοῦ προφήτου ἐκδικηθήσεται ἀπὸ τῆς γενεᾶς ταύτης. »

OCR ABK / FR

« Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου. » — Μήτρα (μητέρα) τοῦ εὐσεβοῦς τούτου λαοῦ τὴν ἀρχαίαν λέγει συναγωγὴν τὴν πολλάκις παραπικράνασαν τὸν Θεόν.

« Γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντός. » — Ἀνεπίληστοι ἔσονται παρὰ τῷ Θεῷ, ἡ ἀνομία δηλαδὴ καὶ ἡ ἁμαρτία.

« Καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν. » — Δῆλον ἐντεῦθεν ὡς περὶ πάντων ἐφεστηκότων φησίν. Οὐ γὰρ εἶπεν αὐτοῦ, ἀλλ' αὐτῶν. Διὰ δὲ τοῦ μνημοσύνου τὸ μνείας τυγχάνον ἐδήλωσεν ἐκ τῶν Ἰουδαίων, καὶ τοῖς πολλοῖς ᾀδόμενον ὡς ἐπίστημον.

« Ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος. » — Διότι οὐκ ἐμνήσθη ὧν εὐηργετήθη παρὰ Χριστοῦ, ὥστε ἐλεῆσαι αὐτὸν ὡς ἀδίκως κτεινόμενον.

« Καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχόν. » — Πένης καὶ πτωχὸς ὁ Κύριος διὰ τὴν εὐτέλειαν τῆς σαρκὸς, καὶ τὸ μὴ ἔχειν ποῦ κλίνειν τὴν κεφαλήν.

« Καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι. » — Κατὰ τὸ, « Μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ. »

« Καὶ ἠγάπησε κατάραν καὶ ἥξει αὐτῷ. » — Τὰ κακὰ γὰρ τὰ οἴκοθεν ἐκ τῶν οἰκείων πράξεων ἐπισυμβαίνουσι τοῖς αἱρουμένοις αὐτά.

« Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον. » — Διὰ τοῦ ἱματίου δηλοῖ τὴν περιοχὴν, διὰ τοῦ ὕδατος τὴν σφοδρότητα, διὰ τοῦ ἐλαίου τὴν μονιμότητα καὶ τὸ δυσέκνιπτον, διὰ δὲ τῆς ζ. . . . τὸ συνέχον καὶ συμπιέζον ἀεί.

« Τοῦτο τὸ ἔργον. » — Τοῦτο τὸ ἔργον, ἤγουν ἡ τιμωρία παρὰ Κυρίου τῶν συκοφαντούντων με καὶ τῶν μελετώντων ἐπίπονα καὶ θανατηρὰ κατ' ἐμοῦ.

« Ὑπερβατῶς, « Ποίησον μετ' ἐμοῦ τὸ ἔλεός σου, ὅτι ἀγαθὸν ἀεί. » Τὸ δὲ τῶν ἀνθρώπων ἔστιν ὅτε καὶ βλαβερόν. Παιδεύων δὲ ἡμᾶς ὁ Δεσπότης μετριοφρονεῖν, « Ποίησον, φησὶ πρὸς τὸν Πατέρα, τὸ ἔλεός σου μετ' ἐμοῦ, » οὐχ ὅτι ἄξιός εἰμι, ἀλλ' ὅτι ἐλεήμων εἶ καὶ φιλάνθρωπος.

« Τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου. » — Οὕτω ταχέως ἀνῃρέθην ὡς ἀναιρεῖται ἡ σκιὰ ἐν τῷ αὐτὴν παρελθεῖν.

« Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη, καὶ σὺ, Κύριε, ἐποίησας αὐτήν. » — Οὕτως εὐκόλως ἐξετινάχθην τῆς παρούσης ζωῆς ὑπὸ φθόνου ὡς τοῦ τυχόντος τόπου αἱ ἀκρίδες ἀπὸ ἀνέμου.

« Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν. » — Ἠλλοιώθη πρὸς σκληρότητα· τοῖς παλαιοῖς γὰρ ἔθος ἦν λουομένοις ἀλείφεσθαι ἐλαίῳ καὶ ἁπαλύνειν ἐντεῦθεν τὴν σάρκα.

« Ὁ δὲ δοῦλός σου εὐφρανθήσεται. » — Ὠνείδιζον γὰρ καὶ ἐνέπαιζον αὐτῷ οἱ μιαιφόνοι· ἔτι δὲ καὶ τὰς κεφαλὰς ἐκίνουν, λέγοντες, « Ὁ καταλύων τὸν ναὸν, » καὶ τὰ ἑξῆς.

« Περιβαλλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. » — Γνώτωσαν ὅτι ἡ βοήθειά σου ἐστὶν αὕτη ἡ ἐν ἐμοὶ γενησομένη βοήθεια, καὶ ὅτι σὺ ὁ Πατὴρ ἐβοήθησάς μοι ὡς ἠγαπημένῳ Υἱῷ, καὶ οὐ παρεῖδές με ὡς ἀντίθεον.

« Ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στό- A ματί μου· καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. » — Αἰσχυνθήσονται καὶ μετὰ τὴν ἐμὴν ἀνάστασιν, πλέον δὲ μετὰ τὴν παγκόσμιον.

« Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου. » — Ἐπὶ τῇ διὰ τοῦ ἐμοῦ πάθους σωτηρίᾳ τῶν ἀνθρώπων.

Διπλοῒς λέγεται χλαμὺς διπλουμένη ἐν τῷ φορεῖσθαι.

Καὶ οὕτως εὐχαριστεῖ τῷ Πατρὶ, καὶ αἰνεῖ αὐτὸν ἐν μέσῳ πολλῶν διὰ τῶν εὐαγγελικῶν λόγων αὐτοῦ.

Ἐκ τοῦ δεξιοῦ μέρους οἱ συμμαχοῦντες παρίστανται. Ἔσωσε δὲ αὐτὸν ἀναστήσας ἐκ τῶν νεκρῶν.

## ΨΑΛΜΟΣ ΡΘ'.

« Ψαλμὸς τῷ Δαυΐδ. » — « Εἶπεν ὁ Κύριος τῷ B Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου. » — Ὁ Πατὴρ εἴρηκε τῷ Υἱῷ ταῦτα μετὰ τὴν ἐκ γῆς εἰς οὐρανοὺς ἀναφοίτησιν. Ὥσπερ δὲ διὰ τοῦ Κύριος καὶ Κύριος τὸ ἰσότιμον δείκνυται, οὕτω καὶ διὰ τῆς ἐκ δεξιῶν καθέδρας· ὧν γὰρ ἡ καθέδρα κοινὴ, τούτων καὶ ἡ βασιλεία κοινή. Τὸ μὲν οὖν καθῆσθαι τὴν ἀνάπαυσιν δηλοῖ καὶ ἀπόλαυσιν τῆς θείας βασιλείας· τὸ δὲ ἐκ δεξιῶν τὴν γνησιότητα καὶ ὁμοτιμίαν.

« Ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. » — Ἐνταῦθα τὸ ἕως, καθάπερ πολλαχοῦ τῆς Γραφῆς, τὸ μέχρι μὲν τοῦδε δηλοῖ· τὸ δ' ὑφ' ἑξῆς οὐκ ἀναιρεῖται· τῆς γὰρ βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Ἐχθροὶ δὲ Χριστοῦ οἱ μὴ πιστεύοντες αὐτῷ, καὶ οἱ πιστεύοντες μὲν, οὐκ ὀρθῶς δὲ, καὶ οἱ δαίμονες οἳ πάντες ὁμοῦ ὑποταγήσονται τῷ Χριστῷ· C τοῦτο γὰρ δηλοῖ τὸ ὑποπόδιον τεθῆναι αὐτοῦ. Ὑποτάττει δὲ καὶ ὁ Πατὴρ καὶ ὁ Υἱός· κοινὴ γὰρ ἀμφοῖν ἡ ἐνέργεια.

« Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών. » — Ἡ ῥάβδος ποῦ μὲν τὴν κόλασιν δηλοῖ, ποῦ δὲ τὴν ποίμανσιν, ποῦ δὲ τὴν βασιλείαν, ἐνταῦθα δὲ τὴν δύναμιν. Δύναμιν δέ φησι δυνάμεως τὴν ἐπιτεταμένην δύναμιν. Σιὼν δὲ νοητέον τὸν οὐρανὸν, ἢ καὶ τὴν κάτω Ἱερουσαλὴμ, ὅθεν ἡ τῶν κατορθωμάτων δύναμις ἤρξατο καὶ ἡ τοῦ κηρύγματος.

« Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου. » — Ἐν σοὶ ἡ βασιλεία, οὐκ ἔξωθεν ἐπιγενομένη, ἀλλ' ἐνοῦσα τῇ φύσει τῆς θεότητός σου. Ἡμέρα δὲ δυνάμεως τοῦ Χριστοῦ, ὅτε πᾶσαν τὴν οἰκουμένην τῷ οἰκείῳ πα- D ραστήσει βήματι, ὅτε οἱ ἅγιοι αὐτοῦ λάμψουσιν ὑπὲρ τὸν ἥλιον.

« Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε. » — Διὰ τῆς γαστρὸς τὴν φυσικὴν παρέστησε γνησιότητα· μόνος γὰρ ὁ Λόγος γνησιότητι φυσικῇ Υἱός ἐστι τοῦ Θεοῦ. Διὰ δὲ τοῦ εἰπεῖν πρὸ ἑωσφόρου τὸ ἄχρονον ἐδήλωσε τῆς θείας γεννήσεως.

« Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται. » Ὁ μὲν ὅρκος τὴν βεβαίωσιν δηλοῖ, τὴν μεταβολὴν δὲ ἡ μεταμέλεια, γινομένην πολλάκις δι' οἰκονομίας τινός. Τί δὲ ὤμοσεν ὁ Θεός; Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα, μήτε ἀρχὴν ἡμερῶν ἔχων κατὰ τὴν θεότητα, μήτε ζωῆς τέλος, κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἤ τοι

OCR ABK / FR

Χριστοῦ ἱερωσύνῃ· καὶ γὰρ ἄρτου καὶ οἴνου τοῖς αὐτοῦ μαθηταῖς μετέδωκε κατὰ τὸν δεῖπνον τὸν μυστικὸν, ὡς τοῖς περὶ τὸν Ἀβραὰμ ὁ Μελχισεδέκ.

« Κύριος ἐκ δεξιῶν σου. » — Βοηθός σοι ὡς ἀνθρώπῳ.

« Συνέθλασεν ἐν ἡμέρᾳ ὀργῆς αὐτοῦ βασιλεῖς. » — Ἀντιχρονικῶς· ἐν τῇ τῆς κρίσεως γὰρ ἡμέρᾳ συντρίψει τοὺς ἀσεβεῖς βασιλεῖς ἐν ταῖς ἀποτεταγμέναις κολάσεσι. Δῆλον δὲ ὅτι καὶ τοὺς ὑπηκόους τῇ ἀσεβείᾳ αὐτῶν.

« Κρινεῖ ἐν τοῖς ἔθνεσι. » — Κρινεῖ τὰ ἔθνη.

« Πληρώσει πτώματα. » — Πολλοὺς καταβαλεῖ.

« Συνθλάσει κεφαλὰς ἐπὶ γῆς πολλῶν. » — Περιφραστικῶς ἀντὶ τοῦ πολλούς.

« Ἐκ χειμάῤῥου ἐν ὁδῷ πίεται, διὰ τοῦτο ὑψώσει κεφαλήν. » — Πειρασθήσεται καὶ διὰ τοῦτο δοξασθήσεται, χείμαῤῥος γὰρ ὁ πειρασμός· ὁδὸς δὲ ὁ παρὼν βίος· πόσις δὲ ἡ μέθεξις· ὕψωμα δὲ κεφαλῆς ὁ δοξασμός.

## ΨΑΛΜΟΣ ΡΙ.

« Ἀλληλούϊα. Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ. » — Τῷ γὰρ μὴ διεστραμμένῳ συλλόγῳ δῆλα τὰ ἔργα τοῦ Θεοῦ, ὁποῖά εἰσι τά τε κτίσματα, τά τε θαυματουργήματα.

« Μεγάλα τὰ ἔργα Κυρίου, ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ. » — Ἐξηκριβωμένα εἰς πάσας τὰς ἐντολὰς αὐτοῦ, ἤτοι ἱκανὰ λίαν εἰσὶ τὰ ἔργα τοῦ Θεοῦ παρασκευάσαι τοὺς ὀρθῶς φρονοῦντας εἰς τὸ ποιεῖν τὰ θεῖα προστάγματα.

« Ἐξομολόγησις καὶ μεγαλοπρέπεια αὐτοῦ. » — Πᾶν ἔργον Θεοῦ ἱκανὸν κινεῖν εἰς εὐχαριστίαν καὶ μεγαλοπρεπῆ αἴνεσιν τοῦ ποιήσαντος αὐτό.

« Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » — Παραμυθία τὸ ῥητὸν τοῖς ἀδικουμένοις.

« Μνείαν ἐποιήσατο τῶν θαυμασίων αὐτοῦ. » — Οὐ διέλιπε θαυματουργῶν.

« Τροφὴν ἔδωκε τοῖς φοβουμένοις αὐτόν. » — Τροφὴν πνευματικήν.

« Μνησθήσεται εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ. » — Μνημονεύσει διαπαντὸς τῆς πρὸς Ἀβραὰμ διαθήκης, ὥστε αὐτὴν ἐκτελέσαι κατὰ τὸν πρέποντα καιρὸν, καὶ ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ, ἤγουν ἐν τῷ Χριστῷ, εὐλογῆσαι πάντα τὰ ἔθνη.

« Ἰσχὺν ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ. » — Τὸ ἀνήγγειλε ἀντὶ τοῦ ἐφανέρωσεν.

Τοῦ δοῦναι αὐτοῖς κληρονομίαν ἐθνῶν. » — Ὥστε δοῦναι αὐτοῖς τὴν ἐπηγγελμένην γῆν.

« Ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις. » — Ἔργα αὐτοῦ περιφραστικῶς.

« Πισταὶ πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ. » — Ἐπεὶ ἀληθὴς ὁ Θεὸς καὶ δίκαιος, τί ἂν ψευδὲς ἢ ἄδικον ἐντελεῖσθαι ὥστε ἀπαράδεκτον εἶναι καὶ ἀνατραπήσεσθαι ὀφείλειν αὐτό; ἀξιόπιστοι γοῦν αἱ ἐντολαὶ τοῦ Θεοῦ καὶ πανάγιοι διαπαντὸς, ἐνταλθεῖσαι ἀψευδῶς καὶ δικαίως ὁμοῦ· κἂν γὰρ πολλαὶ τοῦ Μωσαϊκοῦ νόμου διαταγαὶ παρηλλάχθησαν, ἀλλὰ συγκαταβάσεως ἦσαν ἐκεῖναι καὶ οὐ καθολικῆς ἀποφάνσεως, οἰκονομίας, ἀλλ' οὐ τελείας νομοθεσίας. Ὅρα δὲ ὅτι οὐ τελείως ἀνετράπησαν, ἀλλ' ἐπὶ τὸ βέλτιον προήχθησαν καὶ τὸ ὑψηλότερον.

« Λύτρωσιν ἀπέστειλε τῷ λαῷ αὐτοῦ. » — Ὁ Πατὴρ τὸν Υἱὸν λυτρούμενον τῆς τυραννίδος τοῦ διαβόλου τοὺς ἐν ἀληθείᾳ ἐπεγνωκότας αὐτόν.

« Ἐνετείλατο εἰς τὸν αἰῶνα διαθήκην αὐτοῦ. » — Εἰς τὸν αἰῶνα οὖσαν διαθήκην αὐτοῦ λέγει τὴν εὐαγγελικήν.

« Ἅγιον καὶ φοβερὸν τὸ ὄνομα αὐτοῦ. » — Ὁ Χριστὸς γὰρ τοῖς μὲν εἰλικρινῶς πιστεύουσι κάθαρσις παντὸς μολυσμοῦ, τοῖς ἀπιστοῦσι δὲ τιμωρία καὶ κόλασις.

« Ἀρχὴ σοφίας φόβος Κυρίου. » — Τὸν στοιχειωτικὸν φόβον φησὶ θεμέλιον εἶναι τῆς ἀληθοῦς σοφίας, ἥτις ἐστὶν ἡ τῶν θείων ἐντολῶν φυλακή.

« Σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν. » — Τοῖς ἐργαζομένοις τὴν ἀληθῆ σοφίαν καὶ γνῶσις προσγίνεται ἀγαθή· διὰ γὰρ τῆς τῶν ἐντολῶν φυλακῆς θεοειδὴς γίνεται νοῦς. Ἡ πρᾶξις γὰρ θεωρίας ἐπίβασις. Ἀγαθὴ δὲ εἶπεν ἐπεὶ καὶ γνῶσίς ἐστι πονηρὰ, ὡς σοφία τοῦ κακοποιῆσαι.

« Ἡ αἴνεσις αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » — Ἡ ὕμνησις τοῦ Χριστοῦ ἀτελεύτητος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.

## ΨΑΛΜΟΣ ΡΙΑ'.

« Ἀλληλούϊα. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα. » — Διὰ τοῦτό φησι μακάριον οὐ τὸν ἁπλῶς φοβούμενον τὸν Θεὸν, καὶ τοῖς δαίμοσι γὰρ φοβερὸς ὁ Θεὸς, ἀλλὰ τὸν φοβούμενον τὸν Θεὸν, ὥστε ποιεῖν τὰς αὐτοῦ ἐντολὰς, καὶ οὐχ ἁπλῶς ποιεῖν, ἀλλὰ μετὰ προθυμίας· τοῦτο γὰρ διὰ τοῦ θελήσει δεδήλωκεν.

« Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ. » — Δυναμούμενοι ἐν τῷ κόσμῳ τούτῳ ἔσονται ὑπὸ Θεοῦ κατὰ τῶν ἐπηρεαζόντων οἱ τὸ γνήσιον τῆς πρὸς αὐτὸν ὁμοιώσεως δεικνύντες διὰ τοῦ τρόπου.

« Γενεὰ εὐθέων εὐλογηθήσεται. » — Δῆλον τοῦτο· καὶ γὰρ τῇ γενεᾷ τῶν διεστραμμένων οὐκ ἐπαινεῖται ὁ δίκαιος.

« Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ. » — Δόξα παρὰ Θεοῦ καὶ πλοῦτος ἐν ἀγαθοῖς ἔργοις.

« Καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » — Δικαιοσύνην λέγει νῦν τὴν καθόλου ἀρετήν.

« Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν· ἐλεήμων, καὶ οἰκτίρμων, καὶ δίκαιος. » — Ἔλαμψεν ἐν τῷ σκότει τῶν πειρασμῶν ἀναψυχῆς τοῖς ὀρθὰ φρονοῦσιν ὁ ἐλεήμων καὶ οἰκτίρμων καὶ δίκαιος ὁ Θεός.

« Χρηστὸς ἀνὴρ ὁ οἰκτίρμων καὶ κιχρῶν. » — — Ὁ δωρεὰν διδοὺς τοῖς ἀπόροις, καὶ δανείζων τοῖς χρήζουσι δανείου.

« Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. » — Οὗτος εὐθέτους ποιήσει τὰς ἀπολογίας αὐτοῦ ἐν τῇ μελλούσῃ κρίσει, τουτέστιν, οὐ καταδικασθήσεται.

« Ὅτι εἰς τὸν αἰῶνα οὐ σαλευθήσεται. » — Ὅτι διαπαντὸς ἀσάλευτος μενεῖ τοῦ ὀρθοῦ φρονήματος

OCR ABK / FR

τῆς εἰς Θεὸν πεποιθήσεως καὶ τῆς θεαρέστου διαγωγῆς.

« Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. » — Διὰ γὰρ τὰς ἀρετὰς αὐτοῦ μνήμης τυγχάνει διηνεκοῦς παρά τε Θεῷ καὶ τοῖς φρονοῦσι τὰ τοῦ Θεοῦ.

« Ἀπὸ ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται. » — Ἀπὸ ἀγγελίας φόβον ἐμποιῆσαι δυναμένης οὐ δειλιάσει.

« Ἐστήρικται ἡ καρδία αὐτοῦ, οὐ μὴ φοβηθῇ, ἕως οὗ ἐπίδῃ ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ. » — Οὐ μὴ φοβηθῇ ἕως ἂν ἐπίδῃ ἐπὶ τοὺς αἰσθητοὺς καὶ νοητοὺς ἐχθροὺς αὐτοῦ ἃ πείσονται, πολλῷ μᾶλλον οὐδὲ μετὰ ταῦτα· γραφικὸν γὰρ ἰδίωμα τὸ τὰ συννοούμενα παρασιωπᾷν.

« Ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν. » — Τὸ ἐσκόρπισε τήν τε τῆς μεταδόσεως ἐμφαίνει δαψίλειαν, καὶ τὸ σπορὰν εἶναι τὴν ἐλεημοσύνην, ἀποταμιευομένην τῷ ἐργαζομένῳ τὸν ἀνάλογον θερισμόν.

« Ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· τὸ κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ. » — Δικαιοσύνην ἐνταῦθα τὴν ἐλεημοσύνην φησί· κοινῷ γὰρ ὀνόματι πᾶσαν ἀρετὴν δικαιοσύνην οἶδε καλεῖν, ὡς ἐκπλήρωσιν ἐντολῆς. Δίκαιον γὰρ τοὺς βροτοὺς ἐκπληροῦν τὰ τοῦ Δεσπότου ἐντάλματα, καὶ ὅτι . . . αιοῦνται δύναται κατὰ τὴν μέλλουσαν κρίσιν ἡ ἀρετὴ τὸν ἐργάτην αὐτῆς. Καὶ ἅμα φησὶ δίκαια τὰ τοῦ Θεοῦ προστάγματα σύμπαντα, ὅς δὴ αὐτοδικαιοσύνη ἐστίν.

« Ἁμαρτωλὸς ὄψεται καὶ ὀργισθήσεται. » — Ἔλεγχον τῆς οἰκείας ἀπανθρωπίας τὴν τοῦ δικαίου κρίνων φιλανθρωπίαν.

« Τοὺς ὀδόντας αὐτοῦ βρύξει καὶ τακήσεται. » — Βρύξει μὲν τὴν ἔνδον ὀδύνην δεικνύς· οὐ τολμᾷ δὲ φθέγξασθαι· φραττούσης αὐτοῦ τὸ στόμα τῆς ἀρετῆς τῷ φθόνῳ τακήσεται.

« Ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται. » — Συναπόλλυται γὰρ τοῖς ἐπιθυμουμένοις πράγμασι φθαρτοῖς οὖσι· τίνος γὰρ τῶν ἀφθάρτων ἐπιθυμήσει ὁ ἁμαρτωλός;

## ΨΑΛΜΟΣ ΡΙΒ'.

« Ἀλληλούϊα. Αἰνεῖτε, παῖδες, Κύριον· αἰνεῖτε τὸ ὄνομα Κυρίου. » — Παῖδας τοὺς δούλους ὠνόμασεν.

« Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. » — Καὶ λόγοις καὶ ἔργοις, δοξαζόντων ἡμῶν τὸν Θεόν.

« Ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα Κυρίου. » - Οὐκ ἐν Παλαιστίνῃ μόνον· τὸ παγκόσμιον γὰρ προαγορεύει κήρυγμα.

« Ὑψηλὸς ἐπὶ πάντα τὰ ἔθνη Κύριος, καὶ ἐπὶ οὐρανοὺς ἡ δόξα αὐτοῦ. » — Ὑψηλὰ φρονούντων καὶ δογματιζόντων περὶ αὐτοῦ τῶν ἐθνῶν.

« Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν; » - Τοῦτο πρὸς χλεύην τῶν ψευδωνύμων θεῶν.

« Ὁ ἐν ὑψηλοῖς κατοικῶν. » — Τοῦτο διὰ τὰς οὐρανίους δυνάμεις τὰς ὁλοκλήρως ἐνεργούσας τὸ θέλημα τοῦ Θεοῦ, ἐπεὶ τὸ Θεῖον ἀπερίγραπτον.

« Κ ὶ τὰ ταπεινὰ ἐφορῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ A γῇ. » — Οὕτω συντακτέον. Τίς ὡς Κύριος ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ.

« Ὁ ἐγείρων ἀπὸ γῆς πτωχόν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα. » — Διὰ γῆς καὶ τῆς κοπρίας τὴν εὐτέλειαν δηλοῖ.

« Τοῦ καθίσαι αὐτὸν μετὰ ἀρχόντων, μετὰ ἀρχόντων τοῦ λαοῦ αὐτοῦ. » — Ὥστε σύνεδρον ποιῆσαι καὶ ὁμότιμον τοῖς ἄρχουσι τοῦ ὑπ' αὐτοῦ κτισθέντος λαοῦ. Νοεῖται δὲ τὸ ῥητὸν καὶ ἐπὶ τοῦ ἐκ τῆς τῶν παθῶν ἀτιμίας ὑψωθέντος καὶ τοῖς ἀποστόλοις ἰσοτίμου γεγονότος λαοῦ ἐθνικοῦ.

« Ὁ κατοικίζων στεῖραν ἐν οἴκῳ μητέρα ἐπὶ τέκνοις εὐφραινομένην. » — Ὁ τὴν στεῖραν ποιῶν οἰκεῖν ἐν οἴκῳ μητέρα. Τοῦτο δὲ καὶ ἐπὶ τῆς Ἐκκλησίας λαμβάνεται. Οἶκον δὲ τοὺς οἰκείους νοητέον. B

## ΨΑΛΜΟΣ ΡΙΓ'.

« Ἀλληλούϊα· ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. » — Μετὰ τὸ ἐξελθεῖν, φησί, τοὺς Ἰσραηλίτας ἐξ Αἰγύπτου, καὶ τὸ γένος τοῦ Ἰακὼβ ἐξ ἔθνους τοῦ Αἰγυπτιακοῦ ἐγένετο ἡ Παλαιστίνη ἀνάθημα τῷ Θεῷ, καὶ ὁ Ἰσραηλιτικὸς λαὸς ἐξουσιαζόμενος ὑπ' αὐτοῦ κατ' οἰκείωσιν.

« Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν. » — Ἡ Ἐρυθρὰ θάλασσα ἔγνω ἀπόρρητος τὴν θείαν δύναμιν, καὶ διῃρέθη. Τὸ τάχος δὲ τῆς διαιρέσεως διὰ τοῦ ἔφυγεν ὑπεδήλωσεν.

C « Καὶ σύ, Ἰορδάνη, ὅτι ἐπεστράφης εἰς τὰ ὀπίσω; » — Ἐπὶ Ἰησοῦ ὅτε ἀνεχαίτισε τὸ ῥεῦμα αὐτοῦ.

« Τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοί, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. » — Τὴν ὑπερβολὴν τῆς τηνικαῦτα χαρᾶς διὰ τούτων αἰνίττεται.

« Τί σοί ἐστι, θάλασσα, ὅτι ἔφυγες; » — Διὰ μὲν τὸ ὑπερφυὲς τοῦ πράγματος εἰς ἐρώτησιν σχηματίζει τὸν λόγον, διὰ δὲ τὸ ἄψυχον καὶ ἄλογον τῶν στοιχείων αὐτὸς ποιεῖται ὑπὲρ αὐτῶν τὴν ἀπόκρισιν.

« Ἀπὸ προσώπου Κυρίου ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ. » — « Ἐγὼ γάρ εἰμι, φησίν, ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ. »

« Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων. » D — Τοῦ μεταβάλλοντος τὴν πέτραν ἀπὸ τῆς κατὰ φύσιν σκληρότητος εἰς τὸ λιμνάζειν ὕδασι.

« Καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων. » — Παλιλλογεῖ συνήθως. Ἀκρότομον δὲ τὴν πέτραν εἶπεν, ὡς ἐκ τῶν ἄκρων μόλις ἀποθραυομένην σιδήρῳ διὰ τὴν ἄγαν ἀντιτυπίαν.

« Μὴ ἡμῖν, Κύριε, μὴ ἡμῖν, ἀλλὰ τῷ ὀνόματί σου δὸς δόξαν. » — Μὴ δοξάσῃς ἡμᾶς· ἀνάξιοι γάρ ἐσμεν· ἀλλὰ τὸ ὄνομά σου δόξασον ἐν τῷ ἀληθεῖ ἐλέει σου, ἤτοι ἐν τῷ κυρίως ἐλέει· τὸ γὰρ ἀνθρώπινον ἔλεος οὐ τοιοῦτον.

« Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου· μήποτε εἴπωσι τὰ ἔθνη, Ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; » —

OCR ABK / FR

Μήποτε ἀσθένειαν εἰς σὲ τὸν παντοδύναμον ὀνειδίσωσι τὰ ἔθνη. A

« Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον· βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. » — Τὰ μὲν εἴδωλα τῶν ἐθνῶν τοιαῦτα, καὶ οἱ τιμῶντες αὐτὰ οὕτως ἀνόητοι μηδὲ μιᾶς ἐπικουρίας ἀπολαύοντες, ἐφ' ὧν πεποίθασιν. Ἡμεῖς δὲ εἰς τὸν ὄντως πεποιθότες Θεὸν, καὶ τῆς αὐτοῦ βοηθείας εὐροιροῦμεν καὶ ἀντιλήψεως. Διαιρεῖ δὲ τὸν λαὸν εἴς τε τὸν ἁπλῶς Ἰσραηλιτικὸν, εἰς τὸν ἱερατικὸν, καὶ εἰς τοὺς ἐξ ἐθνῶν προσηλύτους.

« Κύριος μνησθεὶς ἡμῶν εὐλόγησεν ἡμᾶς, εὐλόγησε τὸν οἶκον Ἰσραήλ. » — Εὐφημεῖσθαι καὶ μεγαλύνεσθαι ἡμᾶς παρεσκεύασεν εὐεργετήσας μυρία.

« Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. » — Μικροὺς καὶ μεγάλους μὴ καθ' ἡλικίαν μόνον ὑποληπτέον, ἀλλὰ καὶ κατὰ δύναμιν καὶ δόξαν καὶ τὰ τοιαῦτα. B

« Προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν. » — Δῆλον δὲ ὅτι τῶν Χριστιανῶν ἡ προφητεία ὑπερεύχεται, τὸ δεύτερον πρόσωπον ἀποτείνουσα τὴν ψυχήν.

« Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν. » — Μέλλων γὰρ ὁ Χριστὸς ἀναληφθῆναι, τοὺς αὐτοὺς εὐλόγησε μαθητὰς καὶ δι' αὐτῶν ἅπαντας τοὺς πιστούς.

« Ὁ οὐρανὸς τοῦ οὐρανοῦ τῷ Κυρίῳ. » — Πρῶτος οὐρανὸς οἰκητήριον γέγονε τῷ Χριστῷ.

« Τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων. » — Εἰς κατοικίαν ἐν τῇ παρούσῃ ζωῇ.

« Οὐκ οἱ νεκροὶ αἰνέσουσί σε, Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδην. » — Νεκροὺς ὀνομάζει τοὺς ἀσεβεῖς ὧν ᾅδης ἔσται οἰκητήριον· ζῶντας δὲ τοὺς ὄντως εὐσεβεῖς ὧν ἐν οὐρανοῖς ἡ ἀνάπαυσις· οὗτοι γὰρ ἄξιοι τοῦ Κυρίου ὑμνηταὶ καὶ νῦν καὶ κατὰ τὸν μέλλοντα αἰῶνα τὸν ἀτελεύτητον. C

## ΨΑΛΜΟΣ ΡΙΔ'.

« Ἀλληλούϊα. Ἠγάπησα ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου· ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί· καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι. » — Εὐφράνθην, εἰδὼς ὅτι εἰσακούσεταί μου ὁ Θεὸς, ἐπεὶ καὶ πρότερον παρέσχε μοι τὸ οὖς αὐτοῦ· διὸ καὶ ἐν πάσαις ταῖς ἡμέραις τῆς ζωῆς μου ἀδιστάκτως ἐπικαλέσομαι αὐτόν.

« Περιέσχον με ὠδῖνες θανάτου· κίνδυνοι ᾅδου εὕροσάν με. » — Διηγεῖται οἷς περιπέπτωκε καὶ ἐσώθη ὑπὸ Θεοῦ. D

« Ὦ Κύριε, ῥῦσαι τὴν ψυχήν μου. » — Αἰτεῖται καὶ νῦν ῥυσθῆναι ὡς πρότερον.

» Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος. » — Παιδευτικὸς ὁ λόγος· « Μὴ ἀπογνῷς, φησὶν, ἁμαρτήσας· ἐλεήμων γὰρ ὁ Θεός· ἀλλ' ὅρα μὴ ἀναπέσῃς, ἐπεὶ καὶ δίκαιος. »

« Καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ. » — Δείκνυσιν ἐντεῦθεν ἐπιῤῥεπέστερον εἶναι πρὸς φιλανθρωπίαν τὸν Θεόν. Ὁ Θεὸς δὲ ἡμῶν εἴρηκε διὰ τοὺς ψευδωνύμους θεούς.

« Φυλάσσων τὰ νήπια ὁ Κύριος. » — Λείπει τὸ ἐστί. Τῆς θείας δὲ προνοίας ἐξαγγελτικὸν τὸ ῥητόν.

« Ἐταπεινώθην, καὶ ἔσωσέ με. » — Ἐταλαιπωρήθην τοῖς πειρασμοῖς, καὶ ἐῤῥύσατό με αὐτῶν.

« Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι Κύριος εὐηργέτησέ σε. » — Ἁρμόζουσι τὰ ῥητὰ τοῖς ἐξερχομένοις ἤδη τοῦ σώματος δικαίοις.

« Ὅτι ἐξείλετο τὴν ψυχήν μου ἐκ θανάτου, τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων καὶ τοὺς πόδας μου ἀπὸ ὀλισθήματος. » — Θάνατος ἡ ἁμαρτία, δάκρυα οἱ πειρασμοὶ, ὀλίσθημα ὁ παρὰ τῶν ἀοράτων ἐχθρῶν ὑποσκελισμός.

« Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων. » — Χώρα ζώντων ὁ μέλλων κόσμος, ἐν ᾧ οὐδεὶς ἐνεδρεύει· διὸ καὶ ἀκατάλυτος εἰς Θεὸν εὐαρέστησις.

## ΨΑΛΜΟΣ ΡΙΕ'.

« Ἀλληλούϊα. Ἐπίστευσα· διὸ ἐλάλησα. » — Ἐπίστευσα ὅτι εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων· διὰ τοῦτο καὶ ἀπεφηνάμην αὐτῷ ἐν τῷ τέλει τοῦ προλαβόντος ψαλμοῦ, ἀλλ' οὐκ ἐπήρθην. Ἐντεῦθεν δὲ λίαν ἐταπεινώθην· οἶδα γὰρ ἐμαυτὸν τῆς τοιαύτης εὐεργεσίας ἀνάξιον.

« Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. » — Ἐκπλαγεὶς ἐκείνην τὴν χώραν τῶν ζώντων ἥν μοι τὸ Πνεῦμα ὑπέδειξε διαῤῥήδην, εἰπὸν ὅτι πᾶσα ἡ ἀνθρωπίνη εὐδαιμονία οὐδὲν, ματαιότης γὰρ ἀληθῶς, πρὸς τὴν ἐκείνων μακαριότητα.

« Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι; Τί ἀνταποδώσω τῷ Κυρίῳ, ἀνθ' ὧν εὐεργεσιῶν δέδωκέ μοι;

« Ποτήριον σωτηρίου λήψομαι· καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. » — Ποτήριον σωτηρίου τὸν ὑπὲρ εὐσεβείας ὠνόμασε θάνατον ὡς σώζοντα. Φησὶν οὖν. Οὕτω τῆς εἰς Θεὸν εὐσεβείας ἀνθέξομαι ὡς εἰ τὸν ὑπὲρ αὐτῆς λαβεῖν θάνατον. Τοῦτο ἀνταποδώσω τῷ Κυρίῳ, καὶ εἰς τοῦτο δὲ ἐπικαλέσομαι τὸ ὄνομα τοῦ Κυρίου· καὶ γὰρ τὸ οὕτως ὑπὲρ εὐσεβείας ἀγωνίσασθαί με, δῶρόν ἐστι καὶ εὐεργέτημα τοῦ Θεοῦ.

« Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον παντὸς τοῦ λαοῦ αὐτοῦ. » — Τὰς ὑποσχέσεις μου ταύτας φανερῶς ἐνώπιον τοῦ λαοῦ ἐκτελέσω, ἄγων τούτους πρὸς μίμησιν.

« Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ἁγίων αὐτοῦ. » — Χαίρω ἀποθνήσκων ὑπὲρ Θεοῦ· τίμιος γὰρ παρὰ Θεῷ ὁ θάνατος τῶν ἀφωσιωμένων αὐτῷ.

« Διέῤῥηξας τοὺς δεσμούς μου. » — Δεσμοὺς ὀνομάζει τὰς ἐκ τῶν πειρασμῶν λύπας· θυσίαν δὲ αἰνέσεως τὴν εὐχαριστίαν καὶ ὕμνησιν.

« Σοὶ θύσω θυσίαν αἰνέσεως καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι. » — Ἀντὶ τοῦ, Τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι καὶ εἰς τοὺς ἑξῆς δηλαδὴ πειρασμούς.

## ΨΑΛΜΟΣ ΡΙΖ'.

« Ἀλληλούϊα. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. » — Ὑπὲρ πάντων γὰρ ἐνανθρωπήσας ὁ Κύριος καὶ θανὼν, ἄξιος ὑμνεῖσθαι καὶ παρὰ πάντων.



OCR ABK/FR

« Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς. » Ἰσχυρὸν γέγονε.

« Καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα. » Τὸ, « Ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, » καὶ τὸ, « Πύλαι ᾅδου οὐ κατισχύσουσι τῆς Ἐκκλησίας. »

## ΨΑΛΜΟΣ ΡΙΖ'.

« Εἰπάτω δὴ οἶκος Ἰσραὴλ ὅτι ἀγαθός· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Πάντες γὰρ τῆς ἀγαθότητος καὶ τοῦ ἐλέους ἀπήλαυσαν τοῦ Κυρίου.

Ἐκ θλίψεως ἐπεκαλεσάμην τὸν Κύριον, καὶ ἐπήκουσέ μου εἰς πλατυσμόν. » — Εἰς τὸ πλατῦναι ἀπὸ στενοχωρίας καὶ ἀγαγεῖν εἰς ἐλευθερίαν.

« Κύριος ἐμοὶ βοηθὸς, κἀγὼ ἐπόψομαι τοὺς ἐχθρούς μου. » — Τοὺς μὲν αἰσθητοὺς τοῖς αἰσθητοῖς ὀφθαλμοῖς, τοὺς δὲ νοητοὺς τοῖς νοητοῖς ἴδω τροπουμένους δηλονότι καὶ ἡττωμένους.

« Πάντα τὰ ἔθνη ἐκύκλωσάν με· καὶ ἐν τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. » — Ἔθνη νοητέον καὶ τοὺς πέριξ τῆς Παλαιστίνης ἀλλοφύλους, καὶ τῶν δαιμόνων τὰ πλήθη· καὶ ταῦτα γὰρ καθ' ἑνὸς δικαίου πολλάκις συνεπιστρατεύουσιν.

« Κυκλώσαντες ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. » — Διὰ μὲν τῶν ἐν κηρομέλιτι μελισσῶν τὸ σφοδρὸν τῆς προθυμίας αἰνίττεται τῶν ἐχθρῶν, διὰ δὲ τοῦ ἐν ξηραῖς ἀκάνθαις ἐκκαιομένου πυρὸς τὸ ἀκάθεκτον τῆς τούτων ὁρμῆς.

« Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν· καὶ ὁ Κύριος ἀντελάβετό μου. » — Ἤτοι ἐγγὺς γέγονε τοῦ πεσεῖν, εἴτε σωματικῶς εἴτε ψυχικῶς τῷ ὠθισμῷ τῶν ἐχθρῶν.

Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος· καὶ ἐγένετό μοι εἰς σωτηρίαν. » — Δι' αὐτοῦ γὰρ καὶ ἰσχύω καὶ δοξάζομαι, ὅτι ἐγένετό μοι σωτηρία.

« Φωνὴ ἀγαλλιάσεως καὶ σωτηρίας ἐν σκηναῖς δικαίων. » — Ἀπὸ κοινοῦ « καὶ ἐγένετό μοι φωνὴ ἀγαλλιάσεως, » τουτέστιν αἴτιος φωνῆς τὴν ἀγαλλίασιν καὶ τὴν σωτηρίαν ἥν μοι δεδώρηκεν ᾀδούσης, ἔνθα κατοικοῦσιν οἱ δίκαιοι.

« Δεξιὰ Κυρίου ἐποίησε δύναμιν· δεξιὰ Κυρίου ὕψωσέ με· δεξιὰ Κυρίου ἐποίησε δύναμιν. » — Ἡ τοῦ Θεοῦ ἰσχὺς δυνατόν με καὶ ἔνδοξον ἀπειργάσατο.

Οὐκ ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι· καὶ διηγήσομαι τὰ ἔργα Κυρίου. » — Οὐκ ἀποθανοῦμαι λοιπὸν ἀπὸ τῶν κυκλωσάντων με.

« Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος· καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. » — Τίνα τὰ ἔργα Κυρίου σωφρονίζων με εἴασε πειρασθῆναι· οὐ μὴν τέλεον ἐγκατέλιπεν, ὥστε καταχυριευθῆναι ὑπὸ τῶν πειρασμῶν.

« Ἀνοίξατέ μοι πύλας δικαιοσύνης· εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ. » — Αἱ τοῦ Χριστοῦ ἐκκλησίαι πολλαὶ οὖσαι τὸν ἀριθμὸν, τὴν δὲ πίστιν μίαν πύλαι δικαιοσύνης λέγονται, καὶ πύλη τοῦ Κυρίου· δι' αὐτῶν γὰρ ἡ πρὸς Θεὸν εἴσοδος γίνεται, τὴν ἀληθῆ δικαιοσύνην καὶ τὸν ὄντως Κύριον. Προφητεύει γοῦν ὁ Δαυΐδ, ὅτι ὁ πιστεύσας καὶ

A αὐτὸς ἐν ᾅδῃ καὶ τῆς ἐκεῖ Ἐκκλησίας γενόμενος τοῦ Χριστοῦ, ἢ καὶ τῶν ἐκκλησιαστικῶν, πολλαὶ γὰρ ἐν ᾅδῃ συναγωγαὶ πεπιστεύκασιν, οὕτως εἰσελεύσεται πρὸς Θεόν.

« Ὅπως εἰσελθὼν ἐν αὐταῖς. » — Τὸ ἐν αὐταῖς ἀντὶ τοῦ δι' αὐτῶν.

« Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. » — Τὸ ἐν αὐτῇ ἀντὶ τοῦ δι' αὐτῆς.

« Λίθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγεννήθη εἰς κεφαλὴν γωνίας. » — Λίθον λέγει τὸν Χριστὸν, οἰκοδομοῦντας δὲ τοὺς διδασκάλους τῶν Ἰουδαίων, ὡς ἐπὶ τῷ θεμελίῳ τοῦ νόμου προκεχειρισμένους. Κεφαλὴν δὲ γωνίας τὸν Κύριον, ἤγουν ἀκρογωνιαῖον, ὡς συναπτικὸν τῶν δύο λαῶν, τῶν πιστευσάντων ἔκ τε περιτομῆς καὶ ἐκ τῶν ἐθνῶν.

B Γωνίαν δὲ τὴν σύνοδον τῶν δύο λαῶν ἥτις ἐγένετο οὐ παρὰ ψιλοῦ ἀνθρώπου, ἀλλὰ παρὰ τοῦ Κυρίου. Καὶ ἔστι τὸ ἔργον θαύματος ἄξιον τοῖς γνῶναι ἠξιωμένοις αὐτό.

« Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. » — Ἡμέραν λέγει τὰ ἐν τῷ καιρῷ τῆς ἀναστάσεως κατορθώματα τοῦ Χριστοῦ.

Ὦ Κύριε, σῶσον δὴ, ὦ Κύριε, εὐόδωσον δή. » — Ἐπισπεύδει τὴν σωτηρίαν τῶν ἐν κόσμῳ, τῶν ἐν ᾅδῃ, καὶ ἐπὶ παραδόξῳ πράγματι εὔχεται τὴν εὐόδωσιν.

« Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. » — Ἤτοι ὄνομα ἔχων οὐ προφήτου ἀλλὰ Κυρίου Θεοῦ.

« Εὐλογήκαμεν ὑμᾶς ἐξ οἴκου Κυρίου. » — Ἡμεῖς

C οἱ προειδόντες εὐλογήκαμεν ὑμᾶς τοὺς ἐξ οἴκου Κυρίου ὄντας. Οἶκος δὲ Κυρίου ἡ Ἐκκλησία τῶν πιστῶν.

« Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. » — Θεός ἐστιν ὁ Χριστός· Κύριός ἐστιν ὁ Χριστὸς, καὶ ἐφάνη τοῖς ἀνθρώποις διὰ σαρκός.

« Συστήσασθε ἑορτὴν ἐν τοῖς πυκάζουσιν ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου. » — Ἑορτάσατε διὰ θυμάτων πνευματικῶν, πυκαζόντων ἤτοι καλυπτόντων, ὅ ἐστι πυκνούντων τῇ ἐπαλληλίᾳ τὸ θυσιαστήριον τῆς ψυχῆς. Ἕως τῶν κεράτων, ἤτοι τῶν ἄκρων αὐτοῦ, τουτέστι διὰ παμπληθείας ἑορτάσατο ἀρετῶν.

« Θεός μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι. Θεός μου εἶ σὺ, καὶ ὑψώσω σε. » Εἰ καὶ ἄνθρωπος γέ-

D γονας ἵνα σώσῃς με.

## ΨΑΛΜΟΣ ΡΙΗ'.

« Ἀλληλούϊα. Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ· οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου. » — Μακάριοι οἱ ἄμωμοι ὄντες ἐν τῷ παρόντι βίῳ. Τίνες δὲ οὗτοι; Οἱ πολιτευόμενοι κατὰ νόμον Θεοῦ.

« Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύρια αὐτοῦ· ἐν ὅλῃ καρδίᾳ ἐκζητήσουσιν αὐτόν. » — Οἱ μετ' ἐπιστασίας ἀναγινώσκοντες τὸν νόμον τοῦ Θεοῦ, ὥστε κατ' αὐτὸν ἀκριβῶς βιοτεῦσαι.

» Οὐ γὰρ οἱ ἐργαζόμενοι ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν. » — Οὗτοι ἐν ὅλῃ ψυχῇ θελή-

OCR ABK / FR

σουσι βαδίσαι πρὸς Θεὸν διὰ τῆς φυλακῆς τῶν αὐτοῦ ἐντολῶν.

« Σὺ ἐνετείλω τὰς ἐντολάς σου φυλάξασθαι σφόδρα. » — Οὐ γὰρ οἱ παρανόμως ζῶντες ἠδυνήθησαν πορευθῆναι ἐν ταῖς εἰς αὐτὸν φερούσαις ὁδοῖς· διὸ οὐ βαδιοῦσιν οὗτοι πρὸς Θεόν· ὁδοὶ δὲ Θεοῦ αἱ ἐντολαὶ αὐτοῦ αἱ ἄγουσαι πρὸς αὐτόν.

« Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου. » — Σὺ προσέταξας ἐν τῷ νόμῳ φυλάττειν τὰς ἐντολάς σου, ὥστε καὶ κατάραν ἐπήγαγες τοῖς μὴ ἐμμένουσιν ἐν πάσαις αὐταῖς. Εἴθε γοῦν κατευθυνθείησαν αἱ ὁδοὶ τῆς πολιτείας μου, ὥστε πληρῶσαι τὰς ἐντολάς σου.

« Τότε οὐ μὴ αἰσχυνθῶ. » — Ὅτε κατευθυνθῶσιν αἱ ὁδοί μου, ὡς εἴρηται, τότε οὐ μὴ αἰσχυνθῶ· διὰ δὲ τὸ μηδὲ μίαν παραβλέπειν ἐντολήν σου.

B « Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρδίας ἐν τῷ μεμαθηκέναι με τὰ κρίματα τῆς δικαιοσύνης μου. » — Ὅτε μάθω τὰς ἐντολάς σου ὥστε ποιεῖν αὐτάς, εὐχαριστῆσαι τότε δυνήσομαι ψυχῆς εὐθύτητι· καθότι γὰρ οὐ φυλάσσει τις τὸν νόμον σου, κατ' ἐκεῖνο σκολιὰν ἔχει τὴν οἰκείαν ψυχήν.

« Μή με ἐγκαταλίπῃς ἕως σφόδρα. » — Τὸ ἕως σφόδρα ἀντὶ τοῦ μέχρι τοῦ λίαν καὶ παντελῶς· τὴν τελείαν ἐγκατάλειψιν ὁ προφήτης ἀπεύχεται.

« Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου. » — Ἡ γὰρ φυλακὴ τοῦ νόμου τὸν βίον ὀρθοῖ τοῦ νέου, καὶ τὸ πρὸς τὸν τῆς ἁμαρτίας κρημνὸν ἐπιρρεπὲς τῆς νεότητος χάριν, οὐ δίκην, κατέχει καὶ ἀνατέλλει.

C « Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε· μὴ ἀπώσῃ με ἀπὸ τῶν ἐντολῶν σου. » — Εὔχεσθαι τῶν σῶν ἐντολῶν διαπαντὸς παρασκεύασον, ἀνάπτων μοι τὴν θέρμην τῆς αὐτῶν φυλακῆς, καὶ μὴ παραχωρήσῃς πόῤῥω με γενέσθαι αὐτῶν.

« Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι. » — Ἐν τῇ ψυχῇ μου ἐταμιευσάμην τὴν μνήμην τῶν ἐντολῶν σου, ἵνα μὴ ταύτας παραβῶ διὰ λήθην.

« Εὐλογητὸς εἶ, Κύριε· δίδαξόν με τὰ δικαιώματά σου. » — Ἄξιος ὑμνεῖσθαι παρὰ πάντων εἶ, Δέσποτα. Παρακαλῶ δὲ τὰς ἐντολάς σου μαθεῖν ἔτι βεβαιότερόν τε καὶ ὑψηλότερον.

« Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάντα τὰ κρίματα τοῦ στόματός σου. » — Διὰ τῶν χειλέων μου ἐδίδαξα τὰς ἐντολάς σου πάσας.

D « Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην ὡς ἐπὶ παντὶ πλούτῳ. » — Βαδίζων τὴν ὁδὸν τῶν ἐντολῶν σου, οὕτως εὐφράνθην ὡς πάντα πλοῦτον κτησάμενος.

« Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω· καὶ κατανοήσω τὰς ὁδούς σου. » — Ἐν ταῖς ἐντολαῖς σου συνεχῶς μελετήσω, κἀντεῦθεν ἀκριβέστερον γνώσομαι ταύτας.

« Ἀνταπόδος τῷ δούλῳ σου· ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου. » — Ἀντὶ τῆς ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχίας, καὶ τοῖς δικαιώμασί σου μελέτης, ἀπόδος ἀμοιβὴν τῷ δούλῳ σου. Τίς δὲ ἡ ἀμοιβή; Διαφεύξομαι τὸν θάνατον τῆς ψυχῆς, καὶ τηρήσω τὰς σὰς ἐντολάς. Εὐκτικὴν δὲ δύναμιν ἔχουσι τὰ ὁριστικά.

« Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου. » — Περίελε τὸ κάλυμμα τῶν τῆς διανοίας μου ὀφθαλμῶν, καὶ γνώσομαι τἀγκεκρυμμένα τῷ νόμῳ σου θαυμαστὰ νοήματα.

« Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ· μὴ ἀποκρύψῃς ἀπ' ἐμοῦ τὰς ἐντολάς σου. » — Παροδικῶς κέχρημαι τῷ παρόντι βίῳ· διὸ γνώρισόν μοι βαθύτερον τὰς σὰς ἐντολὰς ἵνα συντονώτερον τρέχω πρὸς ἣν ἐπισπεύδω ζωήν.

« Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. » — Σφόδρα ἐπεπόθησεν ἡ ψυχή μου τὰ κρίματά σου, ὥστε ἐπιθυμίαν ἔχειν αὐτῶν ἐν παντὶ καιρῷ.

« Ἐπετίμησας ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. » — Ἠπείλησας κόλασιν τοῖς ὑπερόπταις τοῦ νόμου· διὸ καὶ γέγραπται· « Ἐπικατάρατος ὃς οὐκ ἐμμένει πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά. »

« Καὶ γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ' ἐμοῦ κατελάλουν. » — Ἄρχοντας λέγει τοὺς αἰσθητούς τε καὶ νοητοὺς οἳ ὠνείδιζον αὐτῷ τὴν ἐν τῷ νόμῳ μελέτην ὡς ἄχρηστον. Ὁ δὲ συνεχέστερον ἐμποιεῖ τοιαύτην.

« Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου· ζῆσόν με κατὰ τὸν λόγον σου. » — Ἐκολλήθην τῇ γῇ, τουτέστιν ἐταπεινώθην σφόδρα· διὸ ζῆν με ποίησον κατὰ τὸν νόμον σου.

« Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκουσάς μου. » — Τὰς πράξεις μου ἐξηγορευσάμην ἐνώπιόν σου, τουτέστι τὰς ἁμαρτίας μου, καὶ ἐπήκουσάς μου ζητήσαντος ἄφεσιν· « Λέγε γὰρ σύ, φησί, τὰς ἀνομίας σου πρῶτος ἵνα δικαιωθῇς. »

« Δίδαξόν με τὰ δικαιώματά σου. » — Ἀκριβέστερον καὶ βαθύτερον.

« Ὁδὸν δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου. » Τὴν τρίβον τῶν ἐντολῶν σου γνώρισόν μοι, κἀγὼ ἐμμελετήσω, οἷς τεθαυματούργηκας, ὥστε διηγεῖσθαι ταῦτα καὶ μεγαλύνειν σε.

« Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας· βεβαίωσόν με ἐν τοῖς λόγοις σου. » — Ἐχαυνώθη ἀπὸ τῆς τῶν δαιμόνων ἐπαγομένης ἀκηδίας, εἰς τὸ συντόνως δηλαδὴ ταῖς ἐντολαῖς σου ἐμμελετᾷν. Στήριξόν με οὖν αὐτὸς εἰς τὴν μελέτην τῶν ἐντολῶν σου.

« Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με. » — Πρᾶξιν ἄδικον ἀπέλασον ἀπ' ἐμοῦ, καὶ ἐλέησόν με, καθὼς νόμος σοι ἐλεεῖν τὸν δεόμενόν σου ὁλοψύχως.

« Ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίματά σου οὐκ ἐπελαθόμην. » — Ὁδὸς ἀληθείας τὰ ἀληθινὰ δόγματα.

« Ἐκολλήθην τοῖς μαρτυρίοις σου, Κύριε, μή με καταισχύνῃς. » — Δυσαποσπάστως ἔχω τῶν σῶν ἐντολῶν. Μὴ οὖν παραχωρήσῃς αἰσχυνθῆναι ἐν τῷ ἡττηθῆναι ὑπ' ἐχθρῶν.

OCR ABK / FR

« Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου. » — Σπουδαίως ἐβάδισα τὴν ὁδὸν τῶν σῶν ἐντολῶν, ὅταν τῆς τῶν πειρασμῶν με στενοχωρίας ἀπήλλαξας.

« Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διαπαντός. » — Νομοθέτησον αὐτὴν ἐν τῇ ψυχῇ μου, τουτέστι συνιέναι με ποίησον ταύτην οὕτως ἀκριβῶς ὥσπερ νενομοθέτηται.

« Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου, καὶ μὴ εἰς πλεονεξίαν. » — Τρέψον τὴν ψυχήν μου εἰς τὴν ἀγάπην τῶν ἐντολῶν σου, καὶ μὴ εἰς κτῆσιν τῶν ἐν τῷ βίῳ πραγμάτων.

« Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ μὴ ἰδεῖν ματαιότητα· ἐν τῇ ὁδῷ σου ζῆσόν με. » — Ἀπόστησον τῆς διανοίας τὰ ὄμματα, ὥστε μὴ ἐμβλέψαι τῇ τοῦ βίου τερπνότητι, καὶ κατὰ τόν σοι δοθέντα πολιτεύεσθαι νόμον.

« Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου εἰς τὸν φόβον σου. » — Ἐῤῥίζωσον ἐν ἐμοὶ τὸν νόμον σου εἰς τὸ φοβεῖσθαί σε. Φόβον δὲ λέγει τὸ τελειωτικὸν οὗ πρόξενος ἡ τῶν ἐντολῶν φυλακή, ὥσπερ ταύτης ὁ στοιχειωτικός.

« Περίελε τὸν ὀνειδισμόν μου ὃν ὑπώπτευσα, ὅτι τὰ κρίματά σου χρηστά. » — Τὸν παρὰ τῶν δαιμόνων διὰ τὴν ἁμαρτίαν μοι προστριβέντα, ὃν ὑπεστάλην καὶ ἐφοβήθην· περίελε γοῦν τοῦτον· ἐπεὶ αἱ κρίσεις σου ἀγαθαί· τοῖς μετανοοῦσι γὰρ ἀνεξικακεῖς.

« Τὸ σωτήριόν σου κατὰ τὸν λόγον σου. » — Εἶπε γὰρ ἐν τῷ νόμῳ ἐλεεῖν καὶ σώζειν τοὺς φυλάσσοντας αὐτοῦ τὰ προστάγματα.

« Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί μοι λόγον ὅτι ἤλπισα ἐπὶ τοῖς λόγοις σου. » — Καὶ τοῖς ὀνειδίζουσί μοι τὴν ὑπὲρ ἀρετῆς κακοπάθειαν ἀποκριθήσομαι τοῦτον τὸν λόγον, Ἤλπισα ἐπὶ τοῖς λόγοις τοῦ Θεοῦ ὑπεσχημένου πολλὰ ἀγαθὰ τοῖς φυλάσσουσι τὰς αὐτοῦ ἐντολάς.

« Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας ἕως σφόδρα, ὅτι τοῖς κρίμασί σου ἐπήλπισα. » — Φυλάττων γὰρ τὰς ἐντολάς σου, ἐλπίζω ὅτι οὐ μὴ παραχωρήσῃς ἐκ τοῦ στόματός μου περιαιρεθῆναι τὴν ἀλήθειαν, ἕως τοῦ λίαν οὐ μὴ παραχωρήσῃς αὐτό, τουτέστιν οὐδὲ τὸ σύνολον.

« Διαπαντὸς εἰς τὸν αἰῶνα. » — Καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι ἀκραιφνέστατον.

« Καὶ ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα. » — Καὶ θλιβόμενος οὐκ ἐστενοχωρούμην, τὸ ἀγαπῆσαί με τὰς ἐντολάς σου παρηγορίαν μεγάλην ἡγούμενος.

« Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην. » — Καὶ ἐλάλουν τοὺς νόμους σου ἐνώπιον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην ὡς απ.... ἔχων τοῖς λόγοις μου τὴν διαγωγήν.

« Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα σφόδρα. » — Οὐ μόνον ἐμελέτων ἀναγινώσκων αὐτάς, ἀλλὰ καὶ ἔπραττον.

« Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου, ὧν A ἐπήλπισάς με. » — Μνήσθητι ἐπ' ἐμοὶ τῷ δούλῳ σου τὸν λόγον σου, ὅτι ἐλεήσεις καὶ σώσεις τοὺς φυλάσσοντας τὰ προστάγματά σου, ἐφ' ὃν λόγον ἐλπίζειν με ἐποίησας. Αὕτη ἡ ἐλπὶς παρηγόρησέ με ἐν τῇ κακοπαθείᾳ μου τῇ ἐκ τῶν πειρασμῶν. Ὁ δηλωθεὶς λόγος σου ἀνεζώωσέ με νεκρωθέντα ἤδη τοῖς πειρασμοῖς.

« Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα· ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα. » — Ὑπερηφάνους ὀνομάζει τοὺς ὑπερόπτας τοῦ νόμου.

« Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος, Κύριε, καὶ παρεκλήθην. » — Τῶν ἀπ' αἰῶνος ἤτοι ἀπ' ἀρχῆς κριμάτων σου πῶς πάντας τοὺς ἐπ' ἀρετῇ κακοπαθήσαντας ἐδόξασας ποικίλων ῥυσάμενος πειρασμῶν.

« Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν B ἐγκαταλιμπανόντων τὸν νόμον σου. » — Ἠθύμησα δι' αὐτοὺς ὅτι τε ἀθετοῦσι τὸν νόμον σου καὶ ὅτι ἀπόλλυνται.

« Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου ἐν τόπῳ παροικίας μου. » — Ἄδων τὰ δικαιώματά σου τὸν βίον διώδευον.

« Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου, Κύριε, καὶ ἐφύλαξα τὸν νόμον σου. » — Νύκτα λέγει τὴν αἰσθητὴν καὶ τὸν ζόφον τῶν πειρασμῶν.

« Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. » — Αὕτη ἡ μνήμη γέγονέ μοι ἀπὸ τοῦ σφόδρα ζητεῖν τὰ δικαιώματά σου.

« Μερίς μου εἶ, Κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου. » — Κληρονομία μου εἶ καὶ πλοῦτός μου, Κύριε· διὸ συνεθέμην φυλάξαι τὸν νόμον C σου.

« Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου· ἐλέησόν με κατὰ τὸ λόγιόν σου. » Ἐδεήθην σου ὁλοψύχως περὶ τῆς ἁμαρτίας μου.

« Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου. » — Ἐπεσκεψάμην τὰς ἐντολάς σου, καὶ οὕτως ἐπολιτευσάμην κατ' αὐτὰς ἵνα μὴ ἐκ συναρπαγῆς ποιήσω τὸ μὴ καθῆκον.

« Ἡτοιμάσθην καὶ οὐκ ἐταράχθην τοῦ φυλάξασθαι τὰς ἐντολάς σου. » — Παρεσκευάσθην καὶ ἡδραιώθην ὥστε φυλάξαι τὰς ἐντολάς σου· διὸ οὐκ ἐταράχθην τῇ ἐπιθέσει τῶν δαιμόνων.

« Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. » — Τὰς ἐπιβουλὰς D τῶν αἰσθητῶν τε καὶ νοουμένων ἐχθρῶν σχοινία ἐκάλεσεν.

« Μεσονύκτιον ἐξηγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. » — Ἐξηγειρόμην ὥστε εὐχαριστῆσαί σοι διὰ τὰς δικαίας κρίσεις σου ἃς ἐποίησας ἐμοί τε καὶ τοῖς ἐχθροῖς.

« Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. » — Τὸ μέτοχος ἀντὶ τοῦ κοινωνὸς φίλος.

« Τοῦ ἐλέους σου, Κύριε, πλήρης ἡ γῆ· τὰ δικαιώματά σου δίδαξόν με. » — Ἐπεὶ πάντας ἐλεεῖς, ἐλεήσας κἀμὲ δίδαξον τελεώτερον τὰς σὰς ἐντολάς.

OCR ABK / FR

« Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου σου, Κύριε, κατὰ τὸν λόγον σου. » — Εὐεργεσίαν ἐποίησας μετ' ἐμοῦ, καθὼς ἐν τῷ νόμῳ ἔφης εὐεργετεῖν τοὺς εὐαρεστοῦντάς σοι.

« Χρηστότητα καὶ παιδείαν καὶ γνῶσιν δίδαξόν με, ὅτι ταῖς ἐντολαῖς σου ἐπίστευσα. » = Χρηστότητα πρὸς τοὺς ὁμογενεῖς παιδείαν τὴν ἐν πρακτικῇ, γνῶσιν τὴν ἐν θεωρητικῇ. Τὸ ἐπίστευσα δὲ τὸ ἐπείσθην δηλοῖ.

« Πρὸ τοῦ με ταπεινωθῆναι ἐγὼ ἐπλημμέλησα· διὰ τοῦτο τὸ λόγιόν σου ἐφύλαξα. » — Ἥμαρτον εἴτε κατεκάμφθην τοῖς πειρασμοῖς· διὸ γοῦν ἐπειράσθην, ἐφύλαξά σου τὰς ἐντολὰς, ἵνα μὴ πάλιν ἁμαρτήσας πειρασθῶ.

« Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων· ἐγὼ δὲ ἐν ὅλῃ καρδίᾳ μου ἐξερευνήσω τὰς ἐντολάς σου. » — Πολλά με ἠδίκησαν οἱ παράνομοι.

« Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν· ἐγὼ δὲ τὸν νόμον σου ἐμελέτησα. » — Ἐσκληρύνθη κατ' ἐμοῦ ἡ καρδία αὐτοῦ δίκην γάλακτος πηγομένου εἰς τυρόν.

« Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου. » — Συμφέρον μοι γέγονεν ὅτι κατέκαμψάς με τοῖς πειρασμοῖς, ἵνα μάθω τὸ δίκαιόν σου, πῶς κολάζεις τοὺς ἁμαρτάνοντας.

« Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με· συνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου. Οἱ φοβούμενοί σε ὄψονταί με καὶ εὐφρανθήσονται, ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα. » Ὄψονταί με ὅτι εἰς τοὺς λόγους σου ἐπήλπισα, καὶ εὐφρανθήσονται.

« Ἔγνων, Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου, καὶ ἀληθείᾳ ἐταπείνωσάς με. » — Ἔγνων τῇ πείρᾳ ὅτι δίκαιαι αἱ κρίσεις σου, καὶ δικαιοσύνῃ ἐπείρασάς με.

« Γενηθήτω δὴ τὸ ἔλεός σου τοῦ παρακαλέσαι με κατὰ τὸ λόγιόν σου τῷ δούλῳ σου. » Τὸ λοιπὸν γενέσθω μοι τὸ ἔλεός σου ὥστε ψυχαγωγῆσαί με, καθὼς ἐν νόμῳ ἐπηγγείλω τῶν μετανοούντων ἀντιλαμ ἀνεσθαι.

« Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου, καὶ ζήσομαι, ὅτι ὁ νόμος σου μελέτη μού ἐστιν. » — Ἐλθέτωσάν μοι, διότι λοιπὸν ὁ νόμος σου μελέτη μού ἐστιν.

« Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ· ἐγὼ δὲ ἀδολεσχήσω ἐν ταῖς ἐντολαῖς σου. » — Αἰσχυνθήτωσαν ἐν τῷ ἡττηθῆναι.

« Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου. » — Εἴποτε ἀποπλανηθῶ τῶν ἐντολῶν σου.

« Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ. » — Ἀκριβῶς τὰ δικαιώματά σου φυλάττουσα, ἵνα μὴ τὸ συνειδὸς καταισχυνθῇ.

« Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου· εἰς τοὺς λόγους σου ἐπήλπισα. » — Πόθῳ σφοδρῷ προσδεχόμενος τὴν παρὰ σοῦ σωτηρίαν ἐκτήκομαι, εἰς αὐτὴν ἔτι βραδύνουσαν καὶ ἀναβαλλομένην ἀεὶ προσδοκῶν. Προσδοκῶ δὲ ταύτῃ τῇ ἐλπίδι σῶν ὑποσχέσεων· ἔφης γὰρ σωτὴρ ἔσεσθαι τοῖς τὰς σὰς φυ-

A λάσσουσιν ἐντολὰς καὶ ἀντιλήπτωρ τοῖς μετανοοῦσιν.

« Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου λέγοντες· Πότε παρακαλέσεις με; » — Ἐξελύθησαν οἱ τῆς ἐμῆς ψυχῆς ὀφθαλμοὶ καὶ ἠτόνησαν εἰς τὴν σὴν ἀφορῶντες ὑπόσχεσιν, καὶ ζητοῦντες πότε με ψυχαγωγήσεις ἀπαλλάξας τῶν πειρασμῶν.

« Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. » — Ὅτι ὥσπερ ἀσκὸς ἐν πάχνῃ πήγνυται καὶ σκληρύνεται, οὕτω καὶ αὐτὸς συνεπιέσθην καὶ κατεξηράνθην τοῖς πειρασμοῖς, καὶ τὰς δικαίας σου κρίσεις εἰς μνήμην ἔχω διαπαντός.

« Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; πότε ποιήσεις μοι ἐκ τῶν καταδιωκόντων με κρίσιν; »
B — Πόσαι εἰσί; Πάντως ὀλίγαι. Πότε ποιήσεις μοι δικαίωσιν ἀπὸ τῶν καταδιωκόντων με ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν πόῤῥω ἀπελάσας αὐτούς;

« Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου Κύριε. » — Ἐφθέγξαντό μοι παράνομοι πολυλογίας ἐναντίας τῷ νόμῳ σου, οἱ μὲν συμβουλεύοντες ἀνελεῖν τοὺς ἐχθρούς, οἱ δὲ συνεστραμμένα εἰσάγοντες δόγματα. Παρανόμους δὲ πρώτους ὑποληπτέον τοὺς δαίμονας.

« Πᾶσαι αἱ ἐντολαί σου ἀλήθεια· ἀδίκως κατεδίωξάν με· βοήθησόν μοι. » — Πᾶσαι ἀληθεῖς ἐν αἷς ἐκέλευσας μὴ ἀδικεῖν. Ἀδικουμένῳ οὖν βοήθησόν μοι.

« Παρὰ βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ· ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου. » — Παρ' ὀλίγον ἀνεῖλόν με, συντελέσαι παρασκευάσαντες τὴν
C ζωὴν ἐν τῷ τάφῳ. Ἐγὼ δὲ οὐδ' οὕτως ἀπέστην τῆς μελέτης καὶ φυλακῆς τῶν σῶν ἐντολῶν.

« Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ. » — Ἀεὶ τὸ πρόσταγμά σου ἀσάλευτον διαμένει ἐν τῷ οὐρανῷ· ἡ ἀλήθεια τοῦ τοιούτου προστάγματος διὰ πάσης γενεᾶς ἀληθεύει, μὴ μετακινουμένης τῆς ὁρισθείσης τάξεως τῷ οὐρανῷ.

« Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει. » — Ἔστησας τὴν γῆν, καὶ διαμένει καθὼς διετάξω· καὶ ἡ ἡμέρα δὲ καθὼς διετάξω διαμένει, αὐξομένη δηλαδὴ καὶ μειουμένη καὶ ἀεὶ τὴν νύκτα διαδεχομένη· πάντα γάρ σοι δουλεύει, συνελόντι εἰπεῖν, καὶ τῷ σῷ νεύματι ἄγεται.

« Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μού ἐστι, τότε
D ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου. » — Εἰ μὴ διότι ὁ νόμος σου μελέτη μού ἐστιν, ἐβοηθήθην, τότε ἂν ἀπωλόμην ψυχικῶς ὅτε ἐταπεινώθην καὶ κατεκάμφθην τοῖς πειρασμοῖς.

« Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με. » — Διὰ παντὸς μνημονεύσω τῶν προσταγμάτων σου τοῦ ποιῆσαι αὐτά· δι' αὐτῶν γὰρ ἐζώωσάς μου τὴν ψυχὴν ἤδη τοῖς πειρασμοῖς ἀποθνήσκουσαν.

« Σός εἰμι ἐγὼ, σῶσόν με· ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. » — Σὸς ἐγὼ δοῦλος, διότι τὰ δικαιώματά σου ἐξεζήτησα.

« Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με. » — Περιέμειναν ἐνεδρεύοντες.

OCR ABK / FR

« Τὰ μαρτυριά σου συνῆκα. » — Συνετίσθεις παρὰ A σοῦ, διότι τούτοις ψυχαγωγοῦμαι.

« Πάσης συντελείας εἶδον πέρας· πλατεῖα ἡ ἐντολή σου σφόδρα. » — Πάσης συνεργίας καὶ βοηθείας ἀνθρωπίνης ἔγνων τελευτήν· ἡ δὲ σὴ ἐντολὴ πάνυ εὐρύχωρος καὶ βοήθεια καὶ ἀτελεύτητος, προξενοῦσα τοῖς ταύτην φυλάσσουσι τὴν ἀπέραντον ἐκείνην ζωήν.

« Ὡς ἠγάπησα τὸν νόμον σου, Κύριε, ὅλην τὴν ἡμέραν μελέτη μού ἐστιν. » — Οἱ μὲν φόβῳ τιμωρίας πληροῦσι τὸν νόμον, οἱ δὲ διὰ δόξαν ἀνθρωπίνην, οἱ δὲ γνήσιοι τῆς ἀρετῆς τῇ περὶ τὸ ἀγαθὸν διαθέσει.

« Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν. » — Ἐκεῖνοι μὲν γὰρ δωρεὰν σπεύδουσιν ἀνελεῖν· ἐγὼ δὲ B οὐδὲ ἀμύνασθαι τούτους ἀνέχομαι· διὰ παντὸς γὰρ ἡ ἐντολή σου ᾠκειωμένη τυγχάνει καὶ πεφιλμένη (?) μοι.

« Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μού ἐστιν. » — Καὶ αὐτῶν τῶν διδασκάλων μου συνετώτερον καὶ σοφώτερον πεποίηκέ με τῶν σῶν ἐντολῶν ἡ μελέτη.

« Ὅτι σὺ ἐνομοθέτησάς με. » — Σὲ νομοθέτην ἐπιστάμενος καὶ οὐχ ἕτερον.

« Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας. » — Ἐκ τούτων γέγονα συνετός.

« Λύχνος τοῖς ποσί μου ὁ νόμος σου καὶ φῶς ταῖς τρίβοις μου. » — Πόδας καὶ τρίβους τὴν πολιτείαν καλεῖ.

« Ὤμοσα καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου. » — Τὴν βεβαίαν τῆς ψυχῆς ψῆφον ὅρκον ὠνόμασε· στάσιν δὲ τὴν ταύτης ἔτι ἑδραίωσιν.

« Ἐταπεινώθην ἕως σφόδρα, Κύριε· ζῆσόν με κατὰ τὸν λόγον σου. » — Ταπείνωσιν λέγει τὴν ἐκ τῶν πειρασμῶν, ἔκ τε τῆς ἑκουσίου κακουχίας κατάκαμψιν.

« Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον δή, Κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με. » — Τὰς ἑκουσίους ὑποσχέσεις μου, οἷον τὸν ὅρκον ὃν ὤμοσα, κατεύθυνον, Δέσποτα, καὶ δίδαξόν με τὰ προστάγματά σου, φυλάσσειν δηλονότι, καθὼς ὑπέσχημαι.

« Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην. » — Τὴν ψυχήν μου σοὶ ἐγχειρίζων πάντοτε σὲ ποιοῦμαι ταύτης φρουρόν. Καὶ διὰ τοῦτο οὐκ ἐπελαθόμην τοῦ νόμου σου, ἵνα μὴ ἐκπέσω ἀπὸ τῆς φυλακῆς σου.

« Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην. » — Διὰ τοῦτο οὐκ ἐπλανήθην, ἵνα μὴ ἐμπέσω ταῖς τῶν ὁρατῶν καὶ ἀοράτων ἁμαρτωλῶν παγίσιν, εἴτουν ἐπιβουλαῖς.

« Ἐκληρονόμησα τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μού εἰσιν. » — Κληρονομίαν ταῦτα ἐμαυτῷ ἐθέμην διηνεκῆ.

« Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν. » — Ἔτρεψα ἐμαυτὸν ποιῆσαι τὰς ἐντολάς σου ἀεὶ διὰ τὴν ἐπικειμένην ἀμοιβὴν τοῖς εὐαρεστοῦσί σοι.

« Βοηθός μου καὶ ἀντιλήπτωρ μου εἶ σύ· εἰς τοὺς λόγους σου ἐπήλπισα. » — Εἰς τὸν νόμον σου τεθάῤῥηκα τὸν ἐπηγγελμένον ἀγαθὰ τοῖς πληροῦσιν αὐτόν.

« Ἐκκλίνατε ἀπ' ἐμοῦ, πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ Θεοῦ μου. » — Οἱ πονηροὶ γὰρ ἄνθρωποι καὶ οἱ δαίμονες διὰ τῶν ἀτόπων αὐτῶν συμβουλῶν ἐνοχλοῦντες παρεμποδίζουσιν εἰς αὐτό.

« Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου, καὶ ζῆσόν με, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου. » — Μαθὼν ἔφης ἐν νόμῳ ὑπερασπίζειν τῶν φυλασσόντων αὐτόν, καὶ μὴ καταισχυνθῆναί με ποιήσῃς, ἀποτυχόντα τῆς ἐπὶ σοὶ ἐλπίδος μου.

« Βοήθησόν μοι, καὶ σωθήσομαι καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός. » — Σωθήσομαι ἀπὸ τῆς ἐπιβουλῆς τῶν ἐχθρῶν.

« Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας ἀπὸ τῶν δικαιωμάτων σου, ὅτι ἄδικον τὸ ἐνθύμημα αὐτῶν. » — Ἐφαύλισας καὶ ἀπώσω πάντας, οἳ ἀφίστανται τοῦ νόμου σου παρανομεῖν ἐνθυμούμενοι.

« Παραβαίνοντας ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου. » — Παραβάτας ἡγησάμην πάντας τοὺς ἁμαρτάνοντας ἐν τῷ κόσμῳ· διὸ ἵνα μὴ καὶ αὐτὸς παραβάτης λογισθῶ, τὸν νόμον σου ἠγάπησα.

« Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· C ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. » — Ἐκ τοῦ ἀναγινώσκειν τὰ κρίματά σου ἐφοβήθην μὲν κατὰ ψυχήν, οὐκ ἔχω δὲ τὸ σῶμα, τῷ τοιούτῳ φόβῳ συστελλόμενον. Καθήλωσον οὖν καὶ αὐτὸ τῷ φόβῳ σου τούτῳ, πρὸς τὸ μὴ κινεῖσθαι εἰς ἀτάκτους ὁρμὰς καὶ πράξεις ἀτόπους.

« Ἐποίησα κρίμα καὶ δικαιοσύνην· μὴ παραδῷς με τοῖς ἀδικοῦσί με. » — Ἐποίησα κρίσιν δικαίαν.

« Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθόν· μὴ συκοφαντησάτωσάν με ὑπερήφανοι. » — Προσκαρτέρησον, ἀνάσχου, μακροθύμησον τῷ δούλῳ σου ὑπὲρ ἀγαθοῦ, ὥστε διὰ μετανοίας ἀποτρίψασθαι τὴν ἁμαρτίαν. Μὴ συκοφαντησάτωσάν με οἱ αἰσθητοὶ καὶ νοητοὶ παράνομοι, ὡς οὐ διὰ τὴν πλημμεληθεῖσαν ἁμαρτίαν ταλαιπωρούμενον τοῖς ἀκουσίοις τε πειρασμοῖς, καὶ τῇ ἑκουσίῳ κακοπαθείᾳ.

D « Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ· διεσκέδασαν τὸν νόμον σου. » — Καιρὸς σοὶ τῷ Κυρίῳ ποιῆσαι ἐκδίκησιν δηλονότι... κατέλυσαν γάρ, ἤγουν λίαν ἠθέτησαν τὸν νόμον σου οἱ ἐχθροί, καὶ οὐκ ἔτι χρεία μακροθυμίας.

« Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον. » — Διότι διεσκέδασαν αὐτὸν ἐκεῖνοι, ἐγὼ μᾶλλον ἠγάπησα τοῦτον ὑπὲρ χρυσίον, ὑπὲρ λίθον ἅπαντα τίμιον· ἀπὸ γὰρ τοῦ τοπαζίου προτιμωμένου τότε τῶν ἄλλων τιμίων λίθων ἐδήλωσεν ἅπαντας.

« Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην· πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα. » — Διότι

OCR ABK / FR

οὕτω ταύτας ἠγάπησα, ἐθυνόμην πρὸς πάσας καὶ A εὐωδούμην.

« Θαυμαστὰ τὰ μαρτύριά σου· διὰ τοῦτο ἐξερεύνησεν αὐτὰ ἡ ψυχή μου. » — Θαυμασίως γὰρ πᾶν μὲν εἶδος ἀρετῆς παιδεύουσι, πᾶσαν δὲ κακίαν ἐλαύνουσιν.

« Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ καὶ συνετιεῖ νηπίους. » — Ἡ φανέρωσις, ἡ διασάφησις τῶν ἐντολῶν σου καὶ αὐτοῖς τοῖς νηπίοις τὸν νοῦν φῶς γνώσεως παρέχει καὶ σύνεσιν.

« Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν. » — Τῇ γὰρ τῶν θείων ἐντολῶν ἐπιθέσει τὸ στόμα τῆς ψυχῆς εἴτουν ἡ διάνοια πρὸς ὁλκὴν ἀνοίγεται, πνεύματος σοφίας τε καὶ συνέσεως.

« Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με κατὰ τὸ B κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. » — Ἐπίβλεψον ἐπ' ἐμὲ πειραζόμενον καὶ ἐλέησόν με, κατὰ τὸν ὅρον ὃν διέθου τοῖς ἀγαπῶσί σε, κρίνας ἐλεεῖν αὐτοὺς, καὶ μᾶλλον ὅταν ὦσιν ἐν πειρασμοῖς, καὶ βοηθεῖν αὐτοῖς.

« Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία. » — Τὴν πολιτείαν μου ἴθυνον κατὰ τὸν νόμον σου, καὶ μὴ πᾶσα, τουτέστι μηδὲ μία καταδουλωσάτω με ἀδικία ὥστε ποιῆσαι αὐτήν.

« Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου. » — Πρόσωπον Θεοῦ φησιν ὁ προφήτης τὴν θείαν ἐπισκοπήν.

« Διεξόδους ὑδάτων κατέβησαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου. » — Διέξοδοι ὑδάτων αἱ χαράδραι καὶ τὰ κοιλώματα. Φησὶν οὖν ὅτι Κοιλώματα ὑπεισήλθοσαν, ἤγουν ἐκοιλάνθησαν καὶ ἐτάκησαν οἱ ὀφθαλμοί μου πλῆθος δακρύων ἀπορρέοντες, διότι οὐκ ἐφύλαξαν τὸν νόμον σου οἱ παρανομοῦντες· γνώμῃ γὰρ συμπαθητικῇ τοὺς ἀθλίους ἀπεκλαιόμην.

« Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν σφόδρα. » Προσέταξας τὰς ἐντολάς σου, ἤγουν ἐξέθου τὸν νόμον σου, δικαιοσύνην αὐτόχρημα καὶ ἀλήθειαν.

« Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου. » — Ἐκτακῆναί με ἐποίησεν ὑπὲρ σοῦ δικαία ὀργή, καταφρονουμένου ὅτι ἐπελάθοντο τῶν ἐντολῶν σου οἱ δι' αὐτὸ τοῦτο ἐχθροί μου.

« Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦ- D λός σου ἠγάπησεν αὐτό. » — Καθαρὸς λίαν μώμου παντὸς ὁ νόμος σου καὶ ἀκίβδηλος.

« Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος· τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. » — Εὐχαριστεῖ ὁ Δαυὶδ τῷ Θεῷ, ὑπὲρ οὗ νεώτερος ὢν τῶν αὐτοῦ ἀδελφῶν, καὶ ἐξουδενωθεὶς παρὰ τοῦ πατρὸς ἐνώπιον Σαμουὴλ, ἐμνημόνευσε τῶν θείων ἐντολῶν παρὰ πάντας τοὺς προκριθέντας αὐτοῦ.

« Ἡ δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια. » — Ἡ ἐντολή σου δικαιοῖ αἰωνίως τὸν ταύτην φυλάσσοντα, καὶ ὅσα ὁ νόμος σου ἐπαγγέλλεται τηροῦσιν αὐτὸν, ἀψευδῆ εἰσι.

« Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με· ἐντολαί σου μελέτη μου. » — Κἂν θλίψεις εὗρόν με ποτε, κἂν πειρασμῶν ἀνάγκαι, μελέτη μου ἦσαν αἱ ἐντολαί σου, παρηγοροῦσαι καὶ τὸ ἄλγος ἐπικουφίζουσαι.

« Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα· συνέτισόν με, καὶ ζήσομαι. » — Οἱ γὰρ μὴ συνετισθέντες οὐδὲ ὄντως ζῶσι, φαύλην ζῶντες καὶ διεψευσμένην ζωήν.

« Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου, Κύριε· τὰ δικαιώματά σου ἐκζητήσω· » — εἰ ἐπακούσεις μου κεκραγότος ἐν θλίψεσι. Κραυγὴν δὲ λέγει πρόθυμον καὶ ὁλοσχερῆ τάσιν τῆς ψυχῆς πρὸς Θεόν.

« Προέφθασα ἐν ἀωρίᾳ καὶ ἐκέκραξα· εἰς τοὺς λόγους σου ἐπήλπισα. » — Προέλαβον τὸν ὄρθρον, μήπω τῆς ὥρας ἐπιστάσης, καθ' ἣν ἀνίστανται οἱ ἄνθρωποι, καὶ ἐκέκραξα πρὸς σε.

« Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ μελετᾷν τὰ λόγιά σου. » — Προέλαβον οἱ ὀφθαλμοί μου τὴν ἡμέραν πρὸς καιρὸν ὄρθρου, ὥστε ἀναγινώσκειν τὸν νόμον σου.

« Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμά σου ζῆσόν με. » — Ἐννόμως ζῆν με ποίησον.

« Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ· ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν. » — Ὅσον γὰρ ἐγγίζουσι τῇ ἀνομίᾳ, τοσοῦτον μακρύνουσι τοῦ νόμου σου.

» Ἐγγὺς εἶ, Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου, ἀλήθεια. » — Ἐγγὺς εἶ· πανταχοῦ γὰρ πάρει, καὶ C λανθάνει τῶν πραττομένων οὐδέν· διὸ πᾶσαι αἱ κρίσεις σου ἀψευδεῖς.

« Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά. » — Ἐξ ἀρχῆς καὶ ἐκ προοιμίων ἔγνων ὅτι ἀσάλευτα πεποίηκας τὰ ἐντάλματά σου· κἂν γὰρ παρὰ τοῦ Εὐαγγελίου καταλυθῆναι τὰ πλείω τοῦ νόμου δοκῇ, ἀλλ' οὐ κατὰ τὸν ἐγκεκρυμμένον νοῦν, κατὰ δὲ τὸ φαινόμενον καὶ σκιῶδες. Ἔγνων δὲ, φησὶ, τὸ ἀσάλευτον τῶν σῶν ἐντολῶν ἐξ αὐτῆς τῆς τῶν ἐντολῶν μου μελέτης καὶ καταλήψεως.

« Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με. » — Τὴν μετὰ τῶν πολεμούντων μοι κρίσιν μου.

« Διὰ τὸν λόγον σου ζῆσόν με. » — Διὰ τὸν νόμον σου ζωοποίησόν με, δι' ὃν κινδυνεύω ἀποθανεῖν, ἢ διὰ τὴν ὑπόσχεσίν σου, καθὼς εἴρηκας σώζειν τοὺς τυραννοῦντας τὸν νόμον σου.

« Πολλοὶ οἱ ἐκδιώκοντές με καὶ θλίβοντές με, ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα. » — Κἂν πολλοὶ ὁρατοί τε καὶ ἀόρατοι ἐχθροὶ κατατρέχωσί μου, ἀλλ' ἴσχυσαν οὐδόλως τοῦ νόμου σου παρατρέψαι με.

« Εἶδον ἀσυνετοῦντας καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο. » — Τῷ ζήλῳ κατησθιόμην ἀθετουμένου ὑπὸ τῶν ἀφρόνων τοῦ νόμου σου.

« Ἀρχὴ τῶν λόγων σου ἀλήθεια καὶ εἰς τὸν αἰῶνα πάντα τὰ κρίματα τῆς δικαιοσύνης σου. » — Καὶ ἡ

OCR ABK / FR

πρώτη ἀρχὴ τῶν λόγων σου ἀψευδής, καὶ αἰώνιοι A
πᾶσαι αἱ ἀποφάνσεις σου. » Τὰς κατὰ καιρὸν δὲ θείας ἐπαγγελίας φησίν.

« Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. » — Ἀδίκως οἱ πολέμιοι κατέδραμόν μου· ἀλλ' ἐγὼ ἐφειδόμην αὐτῶν, τὰς σὰς φοβούμενος ἐντολάς.

» Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. » — « Πολεμίων μνησθεὶς καὶ σκύλων ἐμνήσθη.

« Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου. » — Πολλάκις τῆς ἡμέρας ὕμνησά σε, διὰ τὰς δικαιώσεως κρίσεις.

« Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον. » — Πρὸς Θεὸν καὶ τοὺς ὁμογενεῖς. Σκάνδαλον δὲ λέγει τὸ πρόσκρουσμα B
καὶ τὸ ἐμπόδιον τῆς δηλωθείσης εἰρήνης.

« Ἐφύλαξα τὰς ἐντολάς σου καὶ τὰ μαρτύριά σου. » — Ἠγάπησα ταύτας, ἵνα ἔλθῃ μοι τὸ προσδοκώμενον.

« Ὅτι πᾶσαι αἱ ὁδοί μου ἐναντίον σου, Κύριε. » — Αἴτιον τῆς φυλακῆς αὐτῶν, ὅτι ὑπὸ σοὶ θεατῇ πολιτεύομαι.

« Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σού συνέτισόν με. » — Αὕτη ἡ δέησις, ἵνα σύνεσιν καὶ γνῶσιν λάβω εἰς τὸν νόμον σου.

« Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, Κύριε· κατὰ τὸ λόγιόν σου ῥῦσαί με. » — Ἀξίωμά φησι τὴν ἀξίωσιν καὶ παράκλησιν· λόγους δὲ ἐνταυθοῖ τὴν ὑπόσχεσιν.

« Ἐξερεύξαντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου. » — Ἐξενέγκοιεν ὕμνον εὐχαριστήριον ὅταν διδάξῃς με τὸν νόμον σου ἐντελῶς. »

« Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου ᾑρετισάμην. » — Παραγενέσθω ἐπὶ τῷ σῶσαί με.

« Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι. » — Ζήσεται τὴν ὄντως ζωὴν, καὶ αἰνέσει σε διηνεκῶς καὶ τὰ ἐντάλματά σου βοηθῆσαί μοι, φυλάξαντι ταῦτα. » Εὐκτικῶν δὲ δύναμιν ἔχουσι τὰ ῥητά.

« Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός· ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην. » — Εἰ γὰρ καὶ παρεδόθη ποτέ τινας, ἀλλὰ λήθην τούτων οὐ δέδεκτο παντελῆ· ἢ πλάνην φησὶν D
ὁ προφήτης τὴν ἐν τῷ καταδιώκεσθαι δίαιταν ἐν ὄρεσι, ζήτησιν δὲ τὴν πρὸς τὴν προτέραν κατοικίαν ἀνάκλησιν.

## ΨΑΛΜΟΣ ΡΙΘ'.

Ὠδὴ τῶν ἀναβαθμῶν. » — Αἱ τῶν ἀναβαθμῶν ᾠδαὶ πέντε καὶ δέκα οὖσαι, ἱστορικῶς μὲν περὶ τῆς ἐκ Βαβυλῶνος πρὸς Ἱερουσαλὴμ ἀναβάσεως προφητεύουσι τοῦ αἰχμαλώτου λαοῦ, ἱκετεύσαντος καὶ εἰσακουσθέντος, ἀναγωγικῶς δὲ περὶ τῆς εἰς τὴν ἄνω Ἱερουσαλὴμ ἀνόδου ἔκ γε τῆς τοῦ παρόντος βίου συγχύσεως ἐκδιδάσκουσι παρακαλεῖν τοὺς νοητοὺς αἰχμαλωτισθέντας εἰς δουλείαν παθῶν.

« Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου. » — Ἐν τῇ θλίψει τῆς αἰχμαλωσίας καὶ τῆς ἐκεῖθεν κακοπαθείας. Νόμῳ δὲ προφητείας ὡς παρεληλυθότα λέγει τὰ μέλλοντα. Προσώπῳ δὲ τοῦ εὐσεβεστέρου μέρους οἱ λόγοι.

« Κύριε, ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας. » — Ἄδικα χείλη κοινῶς μὲν πάντα τὰ παράνομά τε καὶ βλάσφημα, ἰδίως δὲ τὰ τῶν συκοφαντούντων· γλῶσσα δὲ δολία ἥ τε αὐτῶν τούτων καὶ ἰδικῶς ἡ τῶν ἐπιβουλευόντων.

« Τί δοθείη σοι καὶ τί προστεθείη σοι πρὸς γλῶσσαν δολίαν; » — Πρὸς τὸν ἱκετεύοντα φησὶν ὁ Προφήτης· Τί δοθήσεταί σοι ἀμυντήριον, τεθήσεταί σοι πρὸς τοιοῦτον πρᾶγμα δυσκαταγώνιστον, τὴν γλῶσσαν τὴν δολεράν; ἢ πάντως οὐδὲν ἀνθρώπινον ἀμυντήριον· τὰ βέλη δὲ τοῦ μόνου δυνατοῦ Θεοῦ, ἅτινά εἰσιν ἠκονημένα μετὰ καὶ ἀνθράκων ἐρημοποιῶν· διὸ ταῦτα μόνα τοὺς παρανόμους, καὶ τέμνειν καὶ καίειν καὶ ἀφανίζειν ἰσχύουσι. Βέλη δὲ καὶ ἄνθρακας τὰς διαφόρους τιμωρίας ὠνόμασεν.

« Οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη! » — Πάλιν ὁ λόγος ἀπὸ τοῦ ἱκετεύοντος, ἀποδυρομένου τὸ τῆς αἰχμαλωσίας πολυετές.

« Κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ. » Κατεσκήνωσα μέσον τῶν σκηνῶν Κηδάρ. Χώρα δέ ἐστιν αὕτη παρακειμένη Βαβυλωνίοις, οἰκήτορας ἔχουσα βδελυρούς, ἔνθα τοὺς Ἰουδαίους οἱ Βαβυλώνιοι σκηνοῦν ἔταξαν. Ἑρμηνεύεται δὲ Κηδὰρ σκοτασμός. Σκηνώματα δὲ σκοτασμοῦ ἡ ἐν τοῖς πάθεσι διατριβή.

C « Πολλὰ παρῴκησεν ἡ ψυχή μου. » — Πολλὰ ἔτη ἐν παροικίᾳ τῆς αἰχμαλωσίας διήγαγον.

« Μετὰ τῶν μισούντων τὴν εἰρήνην ἤμην εἰρηνικός. » — Ὁ λόγος ἡμᾶς παιδεύει καὶ μετὰ τῶν φιλονείκων εἰρηνεύειν τὸ ἐφ' ἑαυτοῖς.

« Ὅταν ἐλάλουν αὐτοῖς ἐπολέμουν με δωρεάν. » — Ὅταν ἐλάλουν εἰρηνικὰ, μάτην οἱ τῆς Κηδὰρ ἐπολέμουν με· ἐγὼ δὲ καὶ οὕτως εἰρήνευον.

## ΨΑΛΜΟΣ ΡΚ'.

« Ὠδὴ τῶν ἀναβαθμῶν. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου. Ἡ βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. » — Αὕτη ἡ ᾠδὴ προφητεύει ἃ ἔλεγον ἤδη τῆς Βαβυλῶνος ἐκστάντες, καὶ πρὸς Ἱερουσαλὴμ ἀναβαίνοντες. Ὄρη δὲ λέγει τοὺς οὐρανούς.

« Μὴ δῴης εἰς σάλον τὸν πόδα σου· μηδὲ νυστάξῃ ὁ φυλάσσων σε. » — Τρόπῳ φιλαδελφίας ἕκαστος ἑκάστου ὑπερεύχεται, μὴ σαλευθείη, λέγων, ἡ βάσις σου, τουτέστιν ἡ ὀρθὴ πολιτεία σου, μηδὲ διὰ τοῦτο ῥαθυμῆσαι περὶ τὴν φυλακήν σου ὁ φυλάσσων σε Θεός. Νυσταγμὸν δὲ Θεοῦ καὶ ὕπνον νοητέον τὴν ἐγκατάλειψιν ἐνταυθοῖ.

« Ἰδοὺ οὐ νυστάξει οὐδὲ ὑπνώσει ὁ φυλάσσων τὸν Ἰσραήλ. » — Εἰ βαίνει ὁ Ἰσραὴλ ἀσφαλῶς.

« Κύριος φυλάξει σε, Κύριος σκέπη σου, ἐπὶ χεῖρα δεξιάν σου. » — Κύριος φυλάξει σε οὕτω βαδίζοντα, Κύριος σκέπη σοι ἔσται παρὰ τὴν δεξιάν

OCR ABK / FR

σου χεῖρα, τουτέστι παραστάτης ἐκ δεξιῶν σου σταίη ὑπερασπίζων σου. A

« Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. » — Πρὸς ἔμφασιν εἶπε τοῦτο τῆς ἄκρας ἐπιμελείας. Ἐλλειπτικῶς δὲ εἴρηται τὸ ῥητόν. Τὸν δὲ ὅλον, οὐδὲ ἡ σελήνη τὴν νύκτα βλάψει· οὐ γὰρ οὐ συγκαίει ἡ σελήνη, καρηβαρίαν δὲ μᾶλλον ἐμποιεῖ καὶ ὠχρότητα.

« Κύριος φυλάξει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. » — Τὰ τῆς εἰσόδου καὶ τῆς ἐξόδου τὴν ἅπασαν δεδήλωκε τοῦ βίου ἀποστροφήν.

## ΨΑΛΜΟΣ ΡΚΑ'.

« Ὠδὴ τῶν ἀναβαθμῶν. Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι. Εἰς οἶκον Κυρίου πορευσόμεθα. » — Τοῦτο ἔλεγον ὁδεύοντες καὶ προκόπτοντες μετὰ περιχαρείας. B

« Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ. » — Ἀκούσαντες ὅτι πορευσόμεθα εἰς οἶκον Κυρίου, ἐδόξαμεν ἑστάναι ἐν Ἱερουσαλὴμ ὑπὸ τῆς τοῦ πόθου σφοδρότητος.

« Ἱερουσαλὴμ ᾠκοδομημένη ὡς πόλις. » — Ἡ Ἱερουσαλὴμ ἡ πάλαι οἰκήμασι κτιζομένη καθεκάστην ἐντὸς καὶ καταπυκνουμένη ὡς κατ' ἀλήθειαν πόλις.

« Ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό. » — Ἡ Ἱερουσαλὴμ ἧς τὰ μετόχια, τουτέστι τὰ οἰκήματα ὁμοῦ συνημμένα διὰ τὴν ἄγαν πυκνότητα.

« Ἐκεῖ γὰρ ἀνέβησαν αἱ φυλαὶ φυλαὶ Κυρίου μαρτύριον τῷ Ἰσραήλ. » — Ἐκεῖ πρὸ τῆς αἰχμαλωσίας ἀνέβαινον καὶ ἠθροίζοντο πᾶσαι αἱ ᾠκειωμέναι τῷ Κυρίῳ φυλαὶ Ἰσραηλιτικαί, κατὰ τὸν καιρὸν τοῦ Πάσχα, τῆς Πεντηκοστῆς καὶ τῆς Σκηνοπηγίας· διὰ μαρτύριον, εἴτουν θείαν κέλευσιν, διωρισμένην τῷ Ἰσραηλιτικῷ λαῷ. C

« Τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματι Κυρίου. » — Ἐπὶ τῷ εὐχαριστῆσαι διὰ τῆς νενομοθετημένης λατρείας.

« Ὅτι ἐκεῖ ἐκάθισαν θρόνοι κρίσιν, θρόνοι ἐπὶ οἶκον Δαυΐδ. » — Ἐν Ἱερουσαλὴμ ἱδρύνθησαν θρόνοι βασιλικοὶ εἰς τὸ κρίνειν τὸ Ἰσραὴλ ἔνθα ἦσαν τοῦ Δαυΐδ τὰ ἀνάκτορα.

« Ἐρωτήσατε δὴ τὰ εἰς εἰρήνην τῇ Ἱερουσαλήμ· καὶ εὐθηνία τοῖς ἀγαπῶσί σε. » — Προσαγορεύσατε δὴ τὴν Ἱερουσαλὴμ τὰ εἰρηνικά, τουτέστιν εἴπατε αὐτῇ, Εἰρήνη σοι, καὶ εὐπραγία μὴ μόνον τοῖς πολίταις σου, ἀλλὰ καὶ ἀπὸ τῶν πέριξ ἐθνῶν τοῖς εἰρήνην ἔχουσι μετὰ σοῦ. Ταῦτα δὲ πάντα προφητεῖαι. D

« Γενέσθω δὴ εἰρήνη ἐν τῇ δυνάμει σου. » — Δύναμιν λέγει τοὺς στρατιώτας, οἷς εἰρήνην τὸ μὴ ἔχειν πολέμιον.

« Καὶ εὐθηνία ἐν ταῖς πυργοβάρεσί σου. » — Εὐπραγία καὶ πλοῦτος τῶν πυργωμάτων ἡ ὀχυρότης.

« Ἕνεκα τῶν ἀδελφῶν μου καὶ τῶν πλησίον μου ἐλάλουν δὴ εἰρήνην περὶ σοῦ. » — Ὁ Δαυΐδ φησι πρὸς τὴν Ἱερουσαλὴμ ὅτι Διὰ τοὺς ὁμογενεῖς μου Ἰσραηλίτας ηὐχόμην εἰρήνην ἐν σοί, καὶ διὰ τὸν ἐν σοὶ ναὸν τοῦ Θεοῦ ἐξῃτησάμην ἱκετηρίαν σοι, ἵνα οἱ μὲν ἀπαλλαγῶσι τῶν δεινῶν, ὁ δὲ τὴν ἀρχαίαν ἀπολάβῃ εὐπρέπειαν.

## ΨΑΛΜΟΣ ΡΚΒ'.

« Πρός σε ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ. » — Τὸ εὐκτικὸν ἀντὶ μέλλοντος ἀοριστικοῦ. Καὶ οὗτοι δὲ ἔτι ὁδευόντων οἱ λόγοι.

« Ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως. » — Εἰς μακρὰν ὠνείδισαν μεγάλως καὶ ἐφαύλισαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες.

« Ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν. » — Τῆς εἰρημένης ἐξουδενώσεως.

« Τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. » — Ἀντιστραφείη δηλονότι.

## ΨΑΛΜΟΣ ΡΚΓ'.

« Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ· εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν ἐν τῷ ἐπαναστῆναι ἀνθρώπους ἐφ' ἡμᾶς. » — Ταῦτα ἤδη ἐπανελθόντων εἰς τὴν πατρίδα τὰ ῥήματα, ὅτε τὰ πλησιόχωρα ἔθνη φθόνῳ κινούμενα ἐπεστράτευσαν αὐτοῖς, μήπω κτισθείσης τῆς Ἱερουσαλήμ.

« Ἄρα τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς. » — Ὕδωρ λέγει τὴν ῥύμην αὐτῶν καὶ σφοδρὰν κίνησιν.

« Χείμαῤῥον διῆλθεν ἡ ψυχὴ ἡμῶν. » — Τὴν ἄτακτον φορὰν αὐτῶν διεφύγομεν.

« Ἄρα διῆλθεν ἡ ψυχὴ ἡμῶν τὸ ὕδωρ τὸ ἀνυπόστατον. » — Ὄντως διεφύγομεν τὴν ῥύμην αὐτῶν, τὴν ἀνυπόστατον.

« Ἡ παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν. » — Παγίδα λέγει τὰς ἐνέδρας καὶ μηχανάς.

« Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. » — Οὐχ ὅπλοις ἐβοηθήθημεν, ἀλλὰ τῇ ἐπικλήσει τοῦ ἀληθινοῦ Θεοῦ.

## ΨΑΛΜΟΣ ΡΚΔ'.

« Οἱ πεποιθότες ἐπὶ Κύριον ὡς ὄρος Σιών. » — Ὡς τὸ ὄρος Σιὼν ὑπάρχουσιν, ἀσφαλεῖς δηλονότι καὶ ἀπερίτρεπτοι.

« Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ. » — Οὐ περιτραπήσεται πᾶς ὁ κατοικῶν ἐν Ἱερουσαλὴμ παρ' ὅλον ἀφωρισμένον αἰῶνα.

« Ὄρη κύκλῳ αὐτῆς· καὶ ὁ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. » — Ἔχει μὲν καὶ τὴν ἀπὸ τῶν πέριξ ὀρέων ἀσφάλειαν, ἔχει δὲ καὶ τὴν ἀπὸ Θεοῦ φυλακήν.

Ὅτι οὐκ ἀφήσει Κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων. » — Αἰτίαν λέγει τῆς ἐκ Θεοῦ φυλακῆς· ἁμαρτωλοὺς δέ φησι τοὺς ἀσεβεῖς καὶ παρανόμους ὁποῖοί εἰσι πρώτως οἱ δαίμονες· ῥάβδον δὲ τὴν βασιλείαν ἢ τὰ ὅπλα· δικαίους δὲ τοὺς ἐν νόμῳ βιοῦντας.

« Ὅπως ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν. » — Ἵνα τοιαύτης ἀπολαύοντες παρὰ Θεοῦ φυλακῆς μὴ ἅψωνται παρανομίας, ἀλλὰ θεραπεύωσι τὸν εὐεργέτην.

« Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ. — Ἀγαθὰ ποίησον.

« Τοὺς δὲ ἐκκλίνοντας εἰς τὰς στραγγαλιὰς ἀπά-

OCR ABK / FR

ξει Κύριος μετὰ τῶν ἐργαζομένων τὴν ἀνομίαν. » Ἀπάξει εἰς κόλασιν ὁμοίως τοῖς παρανόμοις. Στραγγαλιὰς δὲ λέγει τὰς σκολιότητας.

« Εἰρήνη ἐπὶ Ἰσραήλ. » — Εἴη δηλονότι. Ἁρμόζει δὲ μᾶλλον ὁ ψαλμὸς τοῖς κατοικοῦσι τὴν ὑψηλὴν καὶ ἀκαθαίρετον Ἐκκλησίαν, ἧς κύκλῳ οἱ ὑψηλοὶ διδάσκαλοι τειχίζοντες αὐτὴν καὶ φυλάσσοντες, καὶ ὁ Χριστὸς κύκλῳ τοῦ λαοῦ αὐτοῦ.

### ΨΑΛΜΟΣ ΡΚΕ'.

« Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι. » — Ἐπιστραφέντες ὑπὸ Κυρίου εἰς τὴν πατρίδα ἡμεῖς οἱ αἰχμάλωτοι τῆς Σιὼν, ἐγενόμεθα λίαν εὔθυμοι.

« Τότε ἐπληρώθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως. » Χαρμοσύνων ῥημάτων, δηλούντων τὴν χαρὰν τῆς ψυχῆς.

« Τότε ἐροῦσιν ἐν τοῖς ἔθνεσιν· Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν. » — Τότε ἐροῦσι τὰ ἔθνη, Μεγάλα εἰργάσατο ὁ Κύριος διὰ τοῦ ποιῆσαι ἔλεος μετ' αὐτῶν.

« Ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι μεθ' ἡμῶν. » Ναὶ καὶ ὄντως ἐμεγαλούργησεν ὁ Θεὸς, ὡς τὰ ἔθνη φασίν.

« Ἐπίστρεψον, Κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάῤῥους ἐν τῷ νότῳ. » — Ἅπαντας μὲν ὁ Κύριος τοὺς Ἰουδαίους ἐπανελθεῖν ἐκέλευσεν εἰς Ἱερουσαλήμ· ἀλλὰ πολλοὶ τὴν ἐν Βαβυλῶνι παροικίαν μοχθηρίᾳ γνώμης προέκριναν, οὓς τὸν Κύριον ἐπιστρέψαι μετὰ πολλῆς ῥύμης, ὡς τοὺς χειμάῤῥους ῥύακας, διὰ τοῦ ὀμβροφόρου νότου, οἳ ἐπανελθόντες καθικετεύουσιν.

« Οἱ σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσι. » — Φησὶν ὁ Δαυΐδ· « Οἱ μετὰ δακρύων θεόθεν τὴν σωτηρίαν αἰτοῦντες ἐν χαρᾷ τὸ αἴτημα δέχονται. »

« Πορευόμενοι ἐπορεύοντο καὶ ἔκλαιον βάλλοντες τὰ σπέρματα αὐτῶν. » — Ἀπὸ τοῦ καθολικοῦ μετέβη πρὸς τὸ μερικὸν, Ἀπερχόμενοι, λέγων, εἰς Βαβυλῶνα οἱ αἰχμάλωτοι, ἐπορεύοντο μετὰ κλαυθμοῦ θεόθεν αἰτοῦντες τὴν τῆς αἰχμαλωσίας ἀπαλλαγήν. Ἐπανερχόμενοι δὲ ἐκεῖθεν, ἥξουσιν ἐν ἀγαλλιάσει, τοὺς καρποὺς τῶν μετὰ θρήνου δεήσεων κομιζόμενοι.

### ΨΑΛΜΟΣ ΡΚΖ'.

« Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον. » — Τὸν ναὸν καὶ τὴν πόλιν ἀρξάμενοι κτίζειν οἱ ἀπὸ τῆς αἰχμαλωσίας ἀνασωθέντες, ἐκωλύοντο παρὰ τῶν γειτονούντων ἐθνῶν ἄχρι καὶ τεσσαρακονταετίας, οὓς ὁ Προφήτης ἐπὶ τὸν Θεὸν καταφεύγειν σπεύδει, καὶ μὴ θαῤῥεῖν τῇ οἰκείᾳ σπουδῇ.

« Εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. » — Λοιπὸν ᾧ μηδὲ τὸν ἄρτον χωρὶς ὀδύνης ἐσθίετε εἰς μάτην ὑμῖν γίνεται τὸ ὀρθρίζειν εἰς τὴν οἰκοδομὴν καὶ ἐγείρεσθαι εὐθὺς μετὰ τὸ καθῆσθαι καὶ ταχύνειν ἐπὶ τὸ ἔργον.

« Ὅταν δῷ τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον. » — Ὅταν ὁ Θεὸς δῷ τοῖς ἠγαπημένοις ὑπ' αὐτοῦ ἄνεσιν καὶ ἀμεριμνίαν, οὐ μόνον ἀπαρτισθήσονται τὰ

A σπουδαζόμενα, ἀλλὰ καὶ διάδοχοι ἔσονται υἱοὶ, κλῆρος Θεοῦ χρηματίζοντες διὰ τὴν εὐσέβειαν.

« Ἰδοὺ ἡ κληρονομία Κυρίου, υἱοὶ ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός. » — Ὁ μισθὸς, ἤγουν ἡ ἀμοιβὴ τῆς ἀρετῆς, ἡ ἀπὸ τῆς καρπογονίας τῆς γαστρὸς δοθεῖσα.

« Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοὶ τῶν ἐκτετιναγμένων. » — Ὡς τὰ βέλη ἐν τῇ χειρὶ τοῦ δυνατοῦ φαίνονται φοβερὰ διὰ τὴν ἐκείνων ῥώμην, οὕτω καὶ οἱ υἱοὶ τῶν ἐκτετιναγμένων ἐκ τῆς αἰχμαλωσίας ἔσονται φοβεροὶ τοῖς ἐχθροῖς διὰ τὴν ἄμαχον ἰσχὺν τοῦ Θεοῦ. Τοιοῦτοι δὲ οἱ κατὰ πνεῦμα υἱοὶ, τῶν ἀπὸ τῆς αἰχμαλωσίας τῶν δαιμόνων ἐκτετιναγμένων διδασκάλων ἡμῶν, φοβεροὶ τοῖς δαίμοσιν.

« Μακάριος ὃς πληρώσει τὴν ἐπιθυμίαν αὐτοῦ ἐξ
B αὐτῶν. » — Ἐξ αὐτῶν προειρημένων, τῆς ἀμεριμνίας, τῆς εὐπαιδίας καὶ τῶν ἄλλων.

« Οὐ καταισχυνθήσονται ὅταν λαλῶσι τοῖς ἐχθροῖς αὐτῶν ἐν πύλῃ. » — Οἱ πληρώσαντες τὴν ἐπιθυμίαν αὐτῶν ἐξ ὧν εἴρηται. Ἔθος δὲ ἦν πρὸ τῶν πυλῶν τῆς πόλεως διαλέγεσθαι τοῖς τῶν ἐχθρῶν ἀγγελιαφόροις. Πύλαι δὲ τῆς ἄνω πόλεως αἱ ἐκκλησίαι καὶ ἐχθροὶ οἱ ἑτερόδοξοι.

### ΨΑΛΜΟΣ ΡΚΖ'.

« Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον. » — Κἂν δοῦλοι, κἂν βάρβαροι, κἂν ἀνάπηροι.

« Οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ. » — Ὁ γὰρ ἐν ἀληθείᾳ τὸν Θεὸν φοβούμενος τὰς αὐτοῦ τηρεῖ ἐντολάς.

C « Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι. » — Πρὸς τὸν φοβούμενον τὸν Θεὸν τρέπει τὸν λόγον. Καρποὺς δὲ τὰς χεῖράς φησιν, ἐκ μέρους τὸ πᾶν. μέρος δὲ τῆς χειρὸς ὁ καρπός. Λέγει γοῦν ὅτι Τὰς πράξεις κερδανεῖς.

« Ἡ γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν ταῖς κλίτεσι τῆς οἰκίας σου. » — Ἡ γυνή σου εὐθηνοῦσα τέκνοις, ὡς ἄμπελος βότρυσι. Τοῖς μὲν οὖν σωματικῶς Ἰουδαίοις εὐκταῖα καταλλήλως ἀγαθὰ τὰ σωματικά· τῷ δὲ πνευματικῷ Ἰσραὴλ γυνὴ μὲν νοεῖ ἡ σύζυγος ψυχὴ, κομῶσα ταῖς ἀρεταῖς, οἰκία δὲ τὸ σῶμα, υἱοὶ δὲ οἱ τῆς θεοσεβείας μιμηταὶ καὶ διάδοχοι, θάλλοντες ἐν αὐξήσει πνευματικῆς ἡλικίας καὶ κυκλοῦντες αὐτὸν διδάσκοντα καὶ ἐσθίοντα τοῖς ἐδέσμασι λογικοῖς.

« Ἰδοὺ οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβού-
D μενος τὸν Κύριον. » — Εὐλογίαν τὴν χάριν καὶ εὐεργεσίαν φησὶν ὡς εὐφημίας ἀξίαν.

Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν· καὶ ἴδοις τὰ ἀγαθὰ Ἱερουσαλὴμ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. » — Ἐπαινέσαι χαριτῶσαι ἐξ οὐρανοῦ.

« Καὶ ἴδοις υἱοὺς τῶν υἱῶν σου. — Ἀγαθὰ τῆς ἄνω Ἱερουσαλὴμ ἃ ὀφθαλμὸς οὐκ εἶδεν.

« Εἰρήνη ἐπὶ τὸν Ἰσραήλ. » — Εἰρήνη ἐπὶ τὸν πνευματικὸν Ἰσραὴλ τὸ τῆς ψυχῆς πρὸς ἑαυτὴν ἀστασίαστον.

### ΨΑΛΜΟΣ ΡΚΗ'.

« Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητός μου. » — Προσώπῳ τοῦ λαοῦ ταῦτα πολλάκις πολεμηθέν-

OCR ABK / FR

τος παρὰ τῶν πλησιοχώρων ἐθνῶν. Νεότητα δὲ λέγει τὴν ἀρχὴν τῆς ἀπὸ Βαβυλῶνος ἐπανόδου.

« Εἰπάτω δὴ Ἰσραήλ. » — Εἰπάτω διαῤῥήδην, ὅπως γνῶσι πάντες ἀφ' οἵων κινδύνων ἐῤῥύσατο ἡμᾶς ὁ Θεός.

« Καὶ γὰρ οὐκ ἠδυνήθησάν μοι. » — Οὐκ ἴσχυσαν ἐν ἐμοί.

« Ἐπὶ τοῦ νώτου μου ἐτέκταινον οἱ ἁμαρτωλοί. » — Οὐ μόνον φανερῶς, ἀλλὰ καὶ ἀφανῶς κατεσκεύαζον μηχανὰς καὶ ἐπιβουλὰς ἐπ' ἐμοί.

« Ἐμάκρυναν τὴν ἀνομίαν αὐτῶν. » — Ἐπὶ μακρὸν χρόνον ἐπολέμουν μοι.

« Κύριος δίκαιος συνέκοψεν αὐχένας ἁμαρτωλῶν. » — Κατέβαλε τὴν ὑψαυχενίαν τῶν ἀδίκως πολεμούντων ἐπικρατεστέρους ποιήσας ἡμᾶς.

« Αἰσχυνθήτωσαν καὶ ἀποστραφήτωσαν εἰς τὰ ὀπίσω πάντες οἱ μισοῦντες Σιών. » — Ἁρμόζει τὰ τοῦ ψαλμοῦ, καὶ περὶ τῆς Ἐκκλησίας λέγεσθαι τῶν πιστῶν.

« Γενηθήτωσαν ὡσεὶ χόρτος δωμάτων. » — Εὐμαραντότατος γὰρ οὗτος.

« Οὗ οὐκ ἐπλήρωσε τὴν χεῖρα αὐτοῦ ὁ θερίζων, καὶ τὸν κόλπον αὐτοῦ ὁ τὰ δράγματα συλλέγων. » — Ἤγουν ὃν οὐκ ἐθέρισέ τις ὡς προδιαφθαρθέντα.

« Καὶ οὐκ εἶπον οἱ παράγοντες· Εὐλογία Κυρίου ἐφ' ὑμᾶς. » — Καὶ ἐφ' οὗ χόρτου οὐκ εὐλόγησαν τοὺς θερίζοντας οἱ παροδεύοντες, ὡς ἔθος ἐν τῷ θερισμῷ, τοῦ ὡρίμου χόρτου καὶ καρποφόρου.

« Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου. » — Καὶ οὗτος τῶν παροδευόντων ὁ λόγος, Εὐλογίαν, λεγόντων, ἠνιξάμεθα ὑμῖν ἐν τῷ ἐπικαλεῖσθαι τὸν Κύριον.

## ΨΑΛΜΟΣ ΡΚΘ'.

« Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε, εἰσάκουσον τῆς φωνῆς μου. » — Ἐκ βάθους καρδίας, οὐκ ἐξ ἄκρων χειλέων.

« Ἐὰν ἀνομίας παρατηρήσῃς, Κύριε, τίς ὑποστήσεται; » — Ἐὰν ἀνομίας πάσας ἐξετάσῃς, τίς ὑπομενεῖ τὴν ἐξέτασιν ταύτην; ὅτι παρὰ σοὶ ὄντως ἐν σοί ἐστιν ὁ ἔλεος· διὸ μετὰ φειδοῦς ἐξετάζεις.

« Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε. » — Οὐ διὰ τὰ κατορθώματά μου προσεδόκησά σε Σωτῆρα, ἀλλ' ἵνα μὴ ἐξουδενωθῇ τὸ ὄνομά σου παρὰ τῶν πολεμίων, ὡς μὴ δυναμένου σώζειν τὸν λαόν σου.

« Ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου. » — Ἤλπισα εἰς τὴν ὑπόσχεσίν σου, ὅτι σώσεις τοὺς εὐαρεστοῦντάς σοι καὶ τοὺς μετανοοῦντας.

« Ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον. » — Οὐκ εἰς ἄλλο τι τῶν ἁπάντων.

« Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. » — Φυλακὴν πρωΐας ὀνομάζει τὸ τελευταῖον τεταρτημόριον τῆς νυκτός, ὡς τὴν πρωΐαν ἤδη μηνύον, καὶ λῆγον εἰς αὐτήν. Παραινεῖ τοίνυν ἐλπίζειν τὸν ὄντως Ἰσραὴλ ἐπὶ μόνον τὸν Κύριον παρ' ὅλην ζωήν· δεδήλωκε γὰρ τὴν κυκλοφορικὴν περίοδον παντὸς ἡμερονυκτίου A διὰ τοῦ εἰπεῖν, « Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτός· » ὅλης δηλονότι, καὶ πάλιν ἐπαναγαγεῖν ἀπὸ φυλακῆς πρωΐας καὶ εἰς τὸ ἑξῆς δηλαδή.

« Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις. » — Πηγὴ γὰρ οὗτος ὑπάρχει λυτρώσεως.

« Καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτῶν. » — Εἴπερ ὁ Ἰσραὴλ εἰς τὸ ἑξῆς εὐαρεστήσει.

## ΨΑΛΜΟΣ ΡΛ'.

« Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου. » — Σπεύδει ὁ ψαλμὸς μὴ ἐπαίρεσθαι.

« Οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου. » — Οὐκ ἀνέσπασα τὰς ὀφρῦς ἐξ ὑπερηφανίας.

« Οὐδὲ ἐπορεύθην ἐν μεγάλοις οὐδὲ ἐν θαυμασίοις B ὑπὲρ ἐμέ. » — Οὐδὲ τοῖς ἐνδόξοις καὶ ἀξιωματικοῖς, ἢ τοῖς ἐπὶ πλούτῳ θαυμαζομένοις, ἐπεθύμουν συναναστρέφεσθαι, τοῖς ὑπὲρ ἐμὲ οὖσιν, ἢ νομιζομένοις.

« Εἰ μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου. » — Ἀσυνδέτως καὶ ὑπερβατῶς ἀναγνωστέον. Ἐὰν οὐκ ἤμην ταπεινόφρων, ὡς τὸ τῆς θηλῆς ἤδη ἀπεχόμενον βρέφος ἐπὶ τὴν ἑαυτοῦ μητέρα, ἀλλὰ ἐπήρθην, ὄντως ἀποδοίης εἰς τὴν ψυχήν μου τὴν ἀμοιβὴν τῆς ἐπάρσεως.

« Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. » — Ἐμὲ μιμούμενοι.

## ΨΑΛΜΟΣ ΡΛΑ'.

« Μνήσθητι, Κύριε, τοῦ Δαυΐδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ. » — Ἱκετεύει ὁ ἐκ τῆς αἰχμα- C λωσίας ἐπανελθὼν λαός, ἀναστῆναι τὸν λαόν, εἰ καὶ μὴ δι' αὐτούς, ἀλλά γε διὰ τὸν πρόγονον τούτων Δαυΐδ ᾧ ἡ πραότης εἴπουν ἀνεξικακία προσῆν κατὰ τὸ ἐξαίρετον.

« Ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ. » — Μνήσθητι αὐτοῦ πῶς ὑπέσχηται τῷ Κυρίῳ, Οὐ μὴ ποιήσω τόδε καὶ τόδε ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ ἄξιον εἰς τὸ σκήνωμα αὐτοῦ τοῦ Θεοῦ Ἰακώβ, ἤτοι εἰς τὴν κιβωτόν.

« Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ· εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ. » — Τοῦ Ἐφραθᾶ οἶκος δηλονότι καλεῖται ἡ Βηθλεέμ, φέρουσα τοῦ προκατασχόντος ὄνομα. Φησὶν οὖν, ὅτι ἐζήλωσεν ὁ Δαυΐδ, καὶ ἐζήτει τόπον κατοικίαν τῷ κιβωτῷ, τουτέστι ναόν· ἐπειδὴ ἠκούσαμεν ἀπὸ τῶν Γραφῶν ἐνεχθῆναι αὐτὴν εἰς τὴν Βηθλεέμ, καὶ πάλιν εὕρο- D μεν ἀπὸ τῶν Γραφῶν αὐλιζομένην αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ, καὶ τῇδε κἀκεῖσε περιφερομένην, διὰ τὸ μὴ εἶναι τόπον ἀφωρισμένον αὐτῇ.

« Εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ· προσκυνήσωμεν εἰς τὸν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ. » — Προφητεῖαι ταῦτα, ὅτι ἀναστήσεται ὁ λαός, καὶ εἰσελεύσονται καὶ προσκυνήσουσι καὶ λατρεύσουσιν ὡς τὸ πρότερον. Εἰσὶ δὲ καὶ τοῦ Χριστοῦ σκηνώματα οἱ ἐν Παλαιστίνῃ τόποι. Τόπος δὲ ὅπου ἔστησαν οἱ πόδες αὐτοῦ, ὁ σταυρός.

« Ἀνάστηθι, Κύριε, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. » — Εἰς τὴν ἀνάπαυσίν σου, τουτέστιν εἰς τὸν ναόν σου, ἤγουν

OCR ABK / FR

εἰς οἰκοδομὴν αὐτοῦ, διεγέρθητι σὺ καὶ ἡ κιβωτὸς τῆς ἁγιωσύνης σου· δύναται γὰρ καὶ αὕτη· ἐπεὶ σὺ διὰ τοῦ νόμου σου ἐνοικεῖς ἐν αὐτῇ, καὶ ἁγιωσύνης πιμπλᾷς καὶ δυνάμεως. Ἐπισπεύδουσι ταυτὶ τὰ ῥητὰ καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν τοῦ Χριστοῦ καὶ πρὸς τὸν τῆς ἐν οὐρανῷ βασιλείας αὐτοῦ θρόνον ἀποκατάστασιν. Κιβωτὸς δὲ τῆς ἁγιωσύνης τοῦ Δεσπότου Χριστοῦ πρόσλημμα τὸ τῆς θεότητος σκήνωμα.

« Οἱ ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται. » — Ἀντὶ τοῦ ἐνδυσάσθωσαν. Δικαιοσύνην δὲ λέγει τὴν ἁγίαν λατρείαν, ἢ τὴν κατὰ τὸ Εὐαγγέλιον πολιτείαν. Ὁσίους δέ φησι τὸν λαὸν ὡς ἀφωσιωμένους τῷ Θεῷ.

« Ἕνεκεν Δαυῒδ τοῦ δούλου σου μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. » — Περιφραστικῶς, Τὸν χρισθέντα ὑπὸ σοῦ εἰς τὸ ἄρχειν ἡμῶν μὴ ἀποστρέψῃς ἄπρακτον ὑπὲρ τοῦ ναοῦ καὶ τῆς πόλεως καὶ τῆς βασιλείας δεόμενον μεθ' ἡμῶν, ἢ πρὸς τὸν Θεὸν καὶ Πατέρα φησὶν ὁ Δαυῒδ. Εἰ καὶ μὴ δι' ἄλλο τι, ἀλλά γε δι' ἐμὲ τὸν δοῦλόν σου μὴ ἀποστρέψῃς τὴν ἐπιφάνειαν τοῦ Χριστοῦ σου.

« Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου. » — Τὸν κυρίως βασιλέα χαρακτηρίζει τὸ νομοθετεῖν τοῖς ὑπηκόοις αὐτοῦ καὶ ῥυθμίζειν καὶ περιέπειν αὐτούς, καὶ ὑπεραποθνήσκειν αὐτῶν. Τοιοῦτος δὲ ὁ Χριστός, ὁ ἀληθὴς βασιλεὺς τοῦ Ἰσραήλ, ἐκ σπέρματος Δαυῒδ κατὰ τὴν μητέρα καθεστηκώς.

« Ἐὰν φυλάξωνται οἱ υἱοί σου τὴν διαθήκην μου, καὶ τὰ μαρτύριά μου ταῦτα ἃ διδάξω αὐτούς. » — Σαφὴς μὲν ἡ κατὰ τὸ πρόχειρον ἔννοια ἐνταυθοῖ, κατὰ δὲ ἀναγωγήν, ὡς ἀπὸ τοῦ Πατρὸς ὁ λόγος πρὸς τὸν Χριστόν· Ἐὰν τὰς διὰ σοῦ δεδιδαγμένας τηρήσωσιν οἱ διὰ πίστεως καὶ βαπτίσματος υἱοθετηθέντες σοι, οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ οἱ τούτων κατ' ἀλήθειαν μαθηταὶ τὴν ἀνάπαυσιν καὶ ἀπόλαυσιν τῆς αἰωνίου βασιλείας κληρονομήσουσιν.

« Αὕτη ἡ κατάπαυσίς μου εἰς αἰῶνα αἰῶνος. » — Αὕτη ἡ κατάπαυσις τοῦ Θεοῦ αἰώνιος, ἡ τῶν πιστῶν Ἐκκλησία ἧς ᾅδου πύλαι οὐ κατισχύσουσι.

« Τὴν θήραν αὐτῆς εὐλογῶν εὐλογήσω. » — Θήραν νοητέον τὸν πορισμὸν καὶ τὴν συγκομιδὴν τῆς τροφῆς, κυρίως δὲ τὴν θήρευσιν, δι' ἧς ἐζώγρουν τοὺς λαοὺς οἱ ἀπόστολοι. Τὸ δὲ εὐλογῶν εὐλογήσω ἐπίτασιν καὶ βεβαίωσιν ἐμφαίνει τῆς εὐλογίας καὶ χαριτώσεως.

« Τοὺς πτωχοὺς αὐτῆς χορτάσω ἄρτων. » — Χορτασμὸν μὲν ἄρτων λέγει τὸν ἁπλῶς πλουτισμόν· σωτηρίαν δὲ τὴν ὑγείαν τε καὶ ἀσφάλειαν. Πτωχοὶ δὲ τῆς Ἐκκλησίας οἱ πτωχοὶ τῷ πνεύματι, οὓς ὁ Θεὸς ἐμπλήσει τῆς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν ἀκηράτου τροφῆς· σωτηρία δὲ ἀληθὴς ἡ πρὸς Θεὸν διάβασις καὶ ἀποκατάντησις· ἀγαλλίασις δὲ ἡ τοῖς ὄντως ὁσίοις διαδεχομένη χαρὰ ἀνεκλάλητος.

« Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαυῒδ. » — Ἐν τῇ Σιὼν ἐκ τοῦ γένους Δαυῒδ ἀνατελῶ αὐτῷ κέρας, ὕψος, τιμήν, βασιλεύοντος τοῦ γένους αὐτοῦ. Ἐν τῇ Ἐκκλησίᾳ δὲ ἐξανέτειλεν ὁ Θεὸς ὕψος καὶ τιμὴν τῷ Δαυῒδ τὴν βασιλείαν τοῦ ἐξ αὐτοῦ καταγομένου Χριστοῦ.

« Ἡτοίμασα λύχνον τῷ Χριστῷ μου. » — Ἡδραίωσα ἐν τῷ βασιλεῖ μου Δαυῒδ λύχνον, εἴτουν εὔκλειαν καὶ λαμπρότητα τοῦ γένους αὐτοῦ. Τῷ σωτῆρι δὲ Χριστῷ καὶ Θεῷ λύχνος ἑτοιμασθεὶς ἡ κατασκευασθεῖσα αὐτῷ φαεινὴ τῇ λαμπρότητι τῆς ἀναμαρτησίας σάρξ, ἡ ἔχουσα ἐν ἑαυτῇ τὸ φῶς τῆς θεότητος. Λέγεται δὲ λύχνος καὶ τὸ Εὐαγγέλιον καὶ ὁ Πρόδρομος.

« Τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην. » — Ἐχθροὶ τοῦ Δαυῒδ οἱ ἐχθροὶ τοῦ γένους αὐτοῦ· ἐχθροὶ δὲ τοῦ Χριστοῦ οἱ δαίμονες, καὶ πάντες οἱ τῇ ἀληθείᾳ ἐχθραίνοντες· οἱ σύμπαντες αἰσχυνθήσονται, καὶ μάλιστα κατὰ τὴν παγκόσμιον ἀνάστασιν.

« Ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου. » —. Ἐπ' αὐτὸν ἀντὶ τοῦ κατ' αὐτὸν Δαυῒδ, ἤτοι κατὰ τὴν γενεὰν αὐτοῦ φαιδρυνθήσεται θάλλων ὁ ναός μου. Τινὲς δὲ κέρας καὶ λύχνον τὸν Ζοροβάβελ φασί, καὶ τούτου λέγουσι τοὺς ἐχθροὺς αἰσχυνθῆναι, καὶ ἐπὶ τῆς βασιλείας αὐτοῦ ἐξανθῆσαι τὸν ἀπομαρανθέντα πάλαι ναόν· ἀναγωγικῶς δέ, εἰς τὸν Χριστὸν ἐξανθήσει ἡ ἁγία Ἐκκλησία, ἡ ἁγιάζουσα τοὺς ὀρθῶς προσερχομένους, καὶ αὐτὸν ἐς ἄνθος καὶ εὐπρέπειαν.

## ΨΑΛΜΟΣ ΡΛΒ'.

« Ἰδοὺ δὴ τί καλόν, ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; » — Ἐπὶ τοῦ Ῥοβοὰμ διῃρέθησαν αἱ φυλαί, καὶ αἱ μὲν δέκα τῷ Ἱεροβοὰμ ἠκολούθησαν, αἱ δὲ δύο τὴν Δαυϊτικὴν ἠσπάσαντο βασιλείαν. Μετὰ μέντοι τὴν ἐκ Βαβυλῶνος ἐπάνοδον συνῆλθον πάλιν εἰς ὁμόνοιαν, περὶ οὗ προφητεύει ὁ Δαυῒδ, καὶ ἐπαινῶν τὸ τῆς ὁμονοίας χρῆμά φησι. « Τί καλὸν ὄντως ἢ τί δυνάμενον τέρπειν, ὡς τὸ κατοικεῖν ἀδελφοὺς ὁμοῦ, τουτέστιν ἐν ὁμονοίᾳ;

« Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα. » — Οὕτω καλὸν ἡ ὁμόνοια καὶ τερπνόν, ὡς τὸ νομικὸν μύρον, τὸ καλὸν μὲν ὡς ἅγιον, τερπνὸν δὲ ὡς εὐῶδες, ἐκεῖνο λέγει τὸ ἐπὶ κεφαλῆς χεόμενον τοῦ ἱερέως, καὶ ἀπὸ ταύτης ἐπὶ τὸν πώγωνα κατερχόμενον, καὶ ἐντεῦθεν ἐπὶ τὴν ὤαν ἤτοι τὸ στόμα τοῦ ἱματίου αὐτοῦ.

« Τὸν πώγωνα τὸν Ἀαρών. » — Τὸν πώγωνα τὸν τοῦ Ἀαρὼν εἴρηκε· διότι πρῶτος αὐτὸς ἐχρίσθη. Δύναται δὲ πάντα ἱερέα καλεῖν Ἀαρών, ὡς ἐξ Ἀαρὼν καταγόμενον.

« Ὡς δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών. » Ἀερμὼν ὄρος ἐστὶ παρακείμενον τῷ Λιβάνῳ, χιόνα πολλὴν ἔχον ἀεί. Ὅθεν ἀτμοὶ δρόσου ἀναδιδόμενοι θέρμην ἀποτελοῦσι, καὶ τοῖς ὄρεσι τῆς Σιὼν ἐπιπέμπουσι, ἣ καλὴν μὲν οὖσαν, ὡς ἀναγκαίαν τῇ γῇ, τερπνὴν δέ, ὡς ὁμαλῶς καὶ ἡδέως καταφερομένην. Ἐπεὶ οὖν ἐκ τοῦ Ἀερμὼν ἔχει τὴν

OCR ABK / FR

αἰτίαν τῆς γενέσεως ἡ δρόσος αὕτη, δρόσον Ἀερμὼν ἐκάλεσεν αὐτήν.

« Ὅτι ἐκεῖ ἐνετείλατο Κύριος τὴν εὐλογίαν, ζωὴν ἕως τοῦ αἰῶνος. » — Ἐκεῖ, τουτέστιν ἐν τῇ μεθ' ὁμονοίας οἰκήσει, καὶ τὴν αὐτοῦ χάριν ἐνετείλατο εἶναι ὁ Κύριος καὶ ζωὴν μακράν.

### ΨΑΛΜΟΣ ΡΛΓ'.

« Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. » — Ἐπεὶ ὁ πόλεμος πέπαυται καὶ ὁ ναὸς σὺν τῇ πόλει ἀνῳκοδόμητο, προτρέπεται ὁ ψαλμὸς εὐχαριστεῖν ἀεὶ τῷ Θεῷ τοὺς πληρωτὰς τῶν αὐτοῦ ἐντολῶν τῆς ἐν τῷ ναῷ στάσεως ἠξιωμένους ἀνατείνειν τὰς χεῖρας εἰς τὰ Ἅγια τῶν ἁγίων, μὴ μόνον ἐν ἡμέραις, ἀλλὰ καὶ ἐν νυξὶ, καὶ ἀγρυπνοῦντας εὐφημεῖν τὸν Θεὸν, εἶτα ὑπερεύχεται τούτων.

### ΨΑΛΜΟΣ ΡΛΔ'.

« Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύριον οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν. Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς Κύριος. » — Τοῖς γὰρ μὴ ἑστῶσιν ἐν τῷ ναῷ οὐκ ἐξῆν ὑμνεῖν τὸν Θεόν.

« Ψάλατε τῷ ὀνόματι αὐτοῦ ὅτι καλόν. » — Καλὸν τὸ ψάλλειν Θεῷ· καθαίρει γὰρ τοῦ ψάλλοντος τὴν ψυχήν.

« Ὅτι τὸν Ἰακὼβ ἐξελέξατο ἑαυτῷ ὁ Κύριος. » — Ἰακὼβ ὀνομάζει τὸν ἐξ Ἰακὼβ κατηγμένον λαὸν, ὃν ἐκ πάντων τῶν ἐθνῶν ἐξελέξατο καὶ ἀνέθηκεν ἑαυτῷ ὁ Κύριος.

« Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. » — Περιουσιασμόν φησι τὴν περιουσίαν, τὴν ὕπαρξιν, τὸν πλοῦτον.

« Ὅτι ἐγὼ ἔγνωκα ὅτι μέγας ὁ Κύριος, καὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς. » — Ἐγὼ, φησὶν, ἔγνωκα ἀκριβέστερον τὴν μεγαλωσύνην τοῦ Θεοῦ· τῶν γὰρ ἀναβεβηκότων ἐστὶν ἡ τοιαύτη γνῶσις.

« Πάντα ὅσα ἠθέλησεν ὁ Κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις. » — Θαλάσσας μὲν λέγει τοὺς διαφόρους κόλπους· ἀβύσσους δὲ τὰ κατώτατα, τὰ ἀνεξερεύνητα.

« Ἀνάγων νεφέλας ἐξ ἐσχάτων τῆς γῆς. » — Ὁ ἐξ αὐτοῦ τοῦ κατωτάτου βάθους τῆς γῆς βαρείας νεφέλας μετεωρίζων.

« Ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν. » — Εἰς τὸν ὑετὸν ἐποίησε καὶ ἀστραπὰς, καὶ τὰ φθαρτικὰ ἀλλήλων, τὸ ὕδωρ καὶ τὸ πῦρ, ὁμοῦ συνετήρησεν.

« Ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. » — Θησαυροὺς αὐτοῦ λέγει τοὺς ἀποκρύφους τόπους ὅθεν ἐξέρχονται οἱ ἄνεμοι, ἢ ὡς ἐκ θησαυρῶν αὐτοῦ διὰ τὸ εὔκολον τῆς ἐξαγωγῆς.

« Καὶ ἐξαπέστειλε σημεῖα καὶ τέρατα ἐν μέσῳ σου, Αἴγυπτε. » — Τὸ ἐν μέσῳ τὸ πανταχοῦ δηλοῖ καὶ τὸ φανερῶς.

« Ὃς ἐπάταξεν ἔθνη πολλὰ καὶ ἀπέκτεινε βασιλεῖς κραταιοὺς, τὸν Σηὼν βασιλέα τῶν Ἀμοῤῥαίων,
A καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν, καὶ πάσας τὰς βασιλείας Χαναάν. » — Τοὺς ἡγεμόνας τῶν τοιούτων ἐθνῶν.

« Κύριε, τὸ ὄνομά σου εἰς τὸν αἰῶνα· καὶ τὸ μνημόσυνόν σου εἰς γενεὰν καὶ γενεάν. » — Διὰ ταῦτα, φησὶ, τὸ ὄνομά σου καὶ ἡ μνήμη σου ἀΐδια ἔσονται παρὰ τοῖς εὐεργετηθεῖσιν.

« Ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ. » — Ἤ τοι ἐκδικήσει βλαπτόμενον παρ' ἐχθρῶν.

« Καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται. » — Ἱλεουμένοις αὐτῶν ἐπικαμφθήσεται καὶ ἀντιλήψεται τούτων.

« Τὰ εἴδωλα τῶν ἐθνῶν ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. » — Εἴδωλόν ἐστιν, οὐ τὸ πρωτότυπον, ἀνυπόστατον· εἰκὼν δέ ἐστιν, ἔχουσα πρωτότυπον ὑφεστώς.

B « Οἶκος Ἰσραὴλ, εὐλογήσατε τὸν Κύριον· οἶκος Ἀαρὼν, εὐλογήσατε τὸν Κύριον. » — Ὑμνήσατε πάντες διὰ τὰς δηλωθείσας εὐεργεσίας.

« Εὐλογητὸς Κύριος ἐκ Σιὼν ὁ κατοικῶν Ἱερουσαλήμ. » — Ἄξιος ὑμνεῖσθαι ὁ Κύριος ἀπὸ τῆς Σιὼν, ὃς ἐν τῇ Ἱερουσαλὴμ ἔχει τὸ οἰκητήριον, ἤτοι τὸν ναόν. Νοεῖται δὲ ὁ οὐρανὸς Ἱερουσαλὴμ καὶ Σιών.

### ΨΑΛΜΟΣ ΡΛΕ'.

« Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Εὐχαριστεῖτε τῷ Κυρίῳ ὑπὲρ τῶν μυρίων εὐεργεσιῶν αὐτοῦ, ὅτι τὸ ἔλεος αὐτοῦ αἰώνιόν ἐστι μὴ διακοπτόμενον πώποτε. Πρὸς
C ἐπίτασιν δὲ τοῦ τοιούτου ἐλέους ἀκροτελεύτιον ἐν πᾶσι τοῖς ἐφ' ἑξῆς τέθεικε στίχοις τὸ, « Ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. »

« Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Καὶ τῶν δαιμόνων, θεῶν ἤτοι τῶν εἰδώλων, ἢ τῶν ἐν αὐτοῖς ἐνεργούντων δαιμόνων αὐτός ἐστι Θεός· αὐτὸς γὰρ ἐκ μὴ ὄντων τὰ πάντα παρήγαγεν.

« Ἐξομολογεῖσθε τῷ Κυρίῳ τῶν κυρίων· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Αὐτὸς γὰρ βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων.

« Τῷ ποιήσαντι θαυμάσια μεγάλα μόνῳ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Τὸ μόνῳ πρὸς ἀντιδιαστολὴν κεῖται τῶν εἰδώλων τε καὶ δαιμόνων· ἕνα γὰρ Θεὸν καὶ Κύριον λέγει τὸν παντουργὸν
D καὶ παντοδύναμον.

« Τῷ ποιήσαντι τοὺς οὐρανοὺς ἐν συνέσει· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Σύνεσιν τὴν σοφίαν φησί.

« Τῷ στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Εἴρηται ἐν τῷ κγ' ψαλμῷ περὶ τούτου.

« Τὸν ἥλιον εἰς ἐξουσίαν τῆς ἡμέρας· ὅτι εἰς τὸ αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Εἰς τὸ ἐπικρατεῖν τῆς ἡμέρας· καὶ ὁ οὐρανὸς δὲ καὶ οἱ φωστῆρες καὶ ἡ ἡμέρα καὶ ἡ νὺξ καὶ τὰ καθόλου καὶ τὰ μέρος θαυμάσια πάντα δι' ἀγαθότητα καὶ ἔλεος γέγονε τοῦ Θεοῦ, καὶ αὐτῶν δοκούντων πάσχειν κακῶς

OCR ABK / FR

εὐεργετουμένων διὰ τοῦ τὴν κακίαν κολάζεσθαι καὶ ἐκτρίβεσθαι. A

« Τῷ πατάξαντι Αἴγυπτον σὺν τοῖς πρωτοτόκοις αὐτῶν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Τουτέστι τῷ ἐκπλήξαντι.

« Καὶ ἐξαγαγόντι τὸν Ἰσραὴλ ἐκ μέσου αὐτῶν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Ἐκ μέσου αὐτῶν τῶν Αἰγυπτίων. Χεῖρα δὲ καὶ βραχίονα τὴν δύναμιν ὀνομάζει.

« Τῷ καταδιελόντι τὴν Ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Διαιρέσεις λέγει τὰ κτήματα· εἰς δύο γὰρ μέρη διεῖλον αὐτήν.

« Καὶ ἐκτινάξαντι Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ εἰς θάλασσαν Ἐρυθράν· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Ἐκτίναξίν φησι τὴν ῥῆξιν καὶ καταπόντισιν.

« Τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν τῇ ἐρήμῳ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Καὶ τὸ διαβῆναι τὴν ἔρημον ἀβλαβῶς μέγιστον θαῦμα, μήτε λιμοῦ μήτε δίψης, μὴ καύσεως μὴ ψύχους, μὴ θηρίων, μή τινος ἄλλου δυνηθέντος αὐτοὺς λυμήνασθαι.

« Ὅτι ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν ὁ Κύριος· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. — Ταπεινουμένων ἡμῶν ἤτοι κακοπαθούντων· ἰδὼν γάρ, φησίν, εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ. Οἰκειοῦται δὲ τὰ τῶν προγόνων διδοὺς τροφὴν κατάλληλον ἑκάστῃ φύσει.

« Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ οὐρανοῦ· ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ. » — Εἰ καὶ τοῦ οὐρανοῦ καὶ τῶν ἐν οὐρανῷ ποιητὴς καὶ δεσπότης δηλονότι καὶ C τῶν ἐμπεριεχομένων τῷ οὐρανῷ, λέγεται δὲ ἰδίως τοῦ οὐρανοῦ, καὶ τῶν οὐρανίων Θεός, κατ' οἰκείωσιν, ὡς τῶν ἄνω δυνάμεων τῇ ἐκπληρώσει προκειμένων τοῦ θείου θελήματος.

## ΨΑΛΜΟΣ ΡΛΖ'.

« Ψαλμὸς τῷ Δαυὶδ Ἱερεμίου. » — Τουτέστι διὰ Ἱερεμίου. Ἀθετεῖται δὲ παρὰ τοῖς ἐξηγηταῖς ἡ ἐπιγραφὴ τοῦ παρόντος ψαλμοῦ· ὥσπερ καὶ τῶν δύο τῶν μετ' αὐτόν, ἐν οἷς τὸ τοῦ Ζαχαρίου ὄνομα ἐπιγέγραπται. Ἀθετοῦνται δὲ αἱ τοιαῦται ἐπιγραφαί, ὡς μήτε τῷ Ἑβραϊκῷ, μήτε τοῖς ἄλλων ἐξηγητῶν βιβλίοις ἐγκείμεναι, καὶ ὡς ἐντεῦθεν ὑποπτευόμεναι τοῦ μὴ εἶναι πάντας τοὺς ψαλμοὺς ποιήματα τοῦ Δαυΐδ. Μήποτε οὖν ἐπεὶ μόνος ὁ Δαυῒδ τὸ βασιλικὸν κατέχων ψαλτήριον ἔψαλλεν, D οἱ δὲ λοιποὶ ἀρχῳδοὶ ἑτέροις ὀργάνοις ἐχρῶντο πρὸς ψαλτῳδησιν, ἤρξατο μὲν ὁ Δαυῒδ τοὺς εἰρημένους ψάλλειν ψαλμούς, διά τινα δὲ περίστασιν ἐμποδισθείς, Ἱερεμίᾳ τινὶ καὶ Ζαχαρίᾳ τὸ ψαλτήριον ἐνεχείρισε, καὶ διὰ τῶν τοιούτων ἀνδρῶν ὡς δι' ἑαυτοῦ, τοὺς δηλωθέντας ψαλμοὺς ἐψαλτῴδησεν.

« Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών. » — Προσώπῳ τῶν αἰχμαλωτισθέντων ἐν Βαβυλῶνι ψαλτῳδῶν ὁ παρὼν συνετέθη ψαλμός. Οἱ αἰχμάλωτοι ὄντες ἔξω τῶν πόλεων ηὐλίζοντο.

« Ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν. » — Ἐν μέσῳ τῆς χώρας Βαβυλῶνος. Ὄργανον δὲ λέγει ψαλτήριον, κιθάραν καὶ τὰ λοιπά· καὶ γὰρ πρὸς ὕμνησιν θεοσεβείας ἐπεφέροντο ταῦτα.

« Ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν. » — Εἶπον ἡμῖν οἱ αἰχμαλωτεύσαντες ἀπὸ Ἰσραὴλ καὶ ἀπαγαγόντες εἰς Βαβυλῶνα, λόγους ᾠδῶν λαλῆσαι δηλονότι, καὶ ὕμνον ὑμνῆσαι δηλαδή.

« Καὶ οἱ ἀπαγαγόντες ἡμᾶς, Ὕμνον ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών. » — Λείπει τὸ λέγοντες.

« Πῶς ᾄσωμεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας ; » — Προσυπακουστέον τὸ εἴπομεν.

« Ἐὰν ἐπιλάθωμαί σου, Ἱερουσαλήμ, ἐπιλησθείη ἡ δεξιά μου. » — Ἐπιλαθοίμην τοῦ ἔχειν δεξιὰν B χεῖρα γεγονυίας αὐτῆς ἀναισθήτου τε καὶ ἀνενεργήτου.

« Κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ. » — Ἤγουν ἄλαλος γενοίμην. Ταῦτα δὲ καὶ ἡμεῖς περὶ τῆς ἄνω Ἱερουσαλὴμ νοεῖν ὀφείλομεν.

« Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου. » — Πάθοιμι ἅπερ εἶπον ἐὰν μὴ πρὸ τῶν ἄλλων ἁπάντων ἀνανάξωμαι ἐν τῇ μνήμῃ μου τὴν Ἱερουσαλήμ, ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου οὖσαν τῆς οἱασδήποτε, τουτέστι κεφάλαιον χαρᾶς μου καὶ πρώτην ἡδονήν.

« Μνήσθητι, Κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλήμ. » — Μνήσθητι τῶν ἡμετέρων συγγενῶν Ἀραβίων κατὰ τὴν ἡμέραν τῆς συμφορᾶς Ἱερουσαλήμ, πῶς διέκειντο δηλονότι, καὶ ἀπόδος αὐτοῖς.

« Τῶν λεγόντων, Ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς. » — Οἱ γὰρ Ἀράβιοι διὰ φθόνον συνεμάχησαν τοῖς Βαβυλωνίοις, καὶ κατασκαπτομένης τῆς Ἱερουσαλὴμ ἤπειγον αὐτοὺς ἀναμοχλεύειν καὶ τὰ θεμέλια.

« Θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος. » — Προφητεύει ταῦτα περὶ τῶν τυμβησομένων τῇ Βαβυλῶνι· ὅθεν καὶ ἀθλίαν ταύτην ὠνόμασεν.

## ΨΑΛΜΟΣ ΡΛΖ'.

« Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου, καὶ ἐναντίον ἀγγέλων ψαλῶ σοι. » — Τουτέστι μετὰ ἀγγέλων ὑμνήσω σε. Λέγεται δὲ καὶ ὁ ἱερεὺς ἄγγελος Κυρίου καὶ Θεός.

« Ἐξομολογήσομαι τῷ ὀνόματί σου ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου. » — Ὅτι ἀληθῶς με ἠλέησας, ἢ ὅτι ἀληθεύσεις ἐφ' οἷς ἐπηγγείλω μοι.

« Ὅτι ἐμεγάλυνας ἐπὶ πᾶν τὸ ὄνομα τὸ ἅγιόν σου. » — Ὅτι μέγα ἔδειξας ὄνομά σου εἰς πᾶν ὃ εἰργάσω.

« Πολυωρήσεις με ἐν ψυχῇ μου δυνάμει σου. » — Πολλῆς κηδεμονίας ἀξιώσεις, φυλάξεις κατὰ ψυχὴν διὰ τῆς δυνάμεώς σου.

« Ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντες οἱ βασιλεῖς τῆς γῆς. » — Οἱ εὐσεβεῖς δηλαδή.

« Ὅτι ἤκουσαν πάντα τὰ ῥήματα τοῦ στόματός σου. » — Τὰ διὰ τοῦ νόμου καὶ προφητῶν, τὰ διὰ

τοῦ Εὐαγγελίου καὶ τῶν ἀποστόλων· ἐντεῦθεν γὰρ ἡ A
εὐσέβεια ἡ ἀληθὴς εὐεργεσία τῆς ψυχῆς.

« Καὶ ᾀσάτωσαν ἐν ταῖς ὁδοῖς Κυρίου. » — Διὰ τῶν ᾠδῶν Κυρίου, ἤτοι τῶν εἰς Κύριον πεποιημένων ὑμνολογιῶν.

« Ὅτι μεγάλη ἡ δόξα Κυρίου, ὅτι ὑψηλὸς Κύριος, καὶ τὰ ταπεινὰ ἐφορᾷ. » — Ὑψηλὸς μὲν τὴν φύσιν, μέχρι δὲ τῶν εὐτελεστάτων καὶ φαυλοτάτων ἐκτείνει τὴν πρόνοιαν.

« Καὶ τὰ ὑψηλὰ ἀπὸ μακρόθεν γινώσκει. » — Καὶ τὰ μεγάλα τῶν πραγμάτων πόῤῥωθεν καὶ πρὸ τοῦ γενέσθαι ἐπίσταται.

« Ἐὰν πορευθῶ ἐν μέσῳ θλίψεως, ζήσεις με. » — Ἐὰν ἐμπεριληφθῶ κινδύνοις ζώων, διασώσεις με.

« Ἐπ' ὀργὴν ἐχθρῶν μου ἐξέτεινας χεῖράς σου. » — Ἐπὶ τὴν κατ' ἐμοῦ λύσσαν τῶν ἐχθρῶν μου ἐπήγαγες τὴν δύναμιν σου, καὶ κατέσβεσας αὐτήν· ἐμὲ δὲ ἔσωσας.

« Κύριος ἀνταποδώσει ὑπὲρ ἐμοῦ. » — Τοῖς ἐχθροῖς δηλαδή.

« Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα. » — Ἐπεὶ διηνεκὴς καὶ ἐλεήμων εἶ καὶ δημιουργὸς ἡμῶν, μὴ παρίδῃς ἡμᾶς ἐπικαλουμένους σε.

## ΨΑΛΜΟΣ ΡΛΗ'.

« Εἰς τὸ τέλος τῷ Δαυῒδ ψαλμὸς Ζαχαρίου ἐν τῇ διασπορᾷ. » — Προσώπῳ τοῦ βασιλέως Ἰωσίου προσευχομένου καὶ τὴν περὶ αὐτοῦ πρόγνωσιν ἐκπληττομένου καὶ θαυμάζοντος ὅπως ἐκ δυσσεβῶν βλαστήσας προγόνων ὅλως γέγονε τοῦ Θεοῦ.

« Κύριε, ἐδοκίμασάς με, καὶ ἔγνως με. » — Τουτέστι δοκίμως καὶ ἐπιστημόνως γινώσκεις με.

« Σὺ ἔγνως τὴν καθέδραν μου καὶ τὴν ἔγερσίν μου. » — Ἤτοι τὸν βίον μου· καὶ γὰρ ἐν ἀργίᾳ καὶ ἐνεργίᾳ σύμπας ὁ βίος.

« Σὺ συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν. » — Πρὸ τοῦ κινηθῆναι αὐτούς.

« Τὴν τρίβον μου καὶ τὴν σχοῖνόν μου σὺ ἐξιχνίασας. » — Τὴν ὁδὸν τοῦ βίου μου πᾶσαν καὶ τὸ μέτρον αὐτῆς ὅσον μὲν προέβη, ὅσον δὲ λείπεται, σὺ ἀκριβῶς οἶδας.

« Καὶ πάσας τὰς ὁδούς μου προεῖδες. » — Καὶ τὰς πράξεις μου πρὸ τοῦ γενέσθαι ἑώρακας ὡς ἑστώσας ἐνώπιόν σου.

« Ὅτι οὐκ ἔστιν δόλος ἐν γλώσσῃ μου. » — Οἶδας μετὰ τῶν ἄλλων ὡς οὐκ ἔστι πανουργία ἐν τοῖς λόγοις μου.

« Ἰδού, Κύριε, σὺ ἔγνως πάντα τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα. » — Σύ, Κύριε, συλλήβδην ἐπίστασαι σύμπαντα, τά τε γενησόμενα καὶ τὰ γεγονότα.

« Σὺ ἔπλασάς με, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου. » — Οὐ μόνον δεδημιούργηκας, ἀλλὰ καὶ τῇ προνοίᾳ σου σκέπεις με.

« Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ. » — Ἡ γνῶσις τῆς σῆς οὐσίας ἐμεγαλύνθη ὑπ ἐρέμὲ,ὑπὲρ τὴν ἐμὴν κατάληψιν γέγονεν.

« Ἐκραταιώθη, καὶ οὐ μὴ δύναμαι πρὸς αὐτήν. » — Ἰσχυροτέρα γέγονεν, ἢ ὥστε καταληφθῆναι ἐμοὶ λογισμοῖς· οὐ μὴ ἰσχύσω περιδράξασθαι αὐτῆς.

« Ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; » — Ἀπὸ τοῦ νῦν διδάσκει τὸ πανταχοῦ παρεῖναι τὸν Θεὸν τῇ δυνάμει καὶ τῇ προνοίᾳ καὶ πάντα πληροῦν. Πνεῦμα δὲ καὶ πρόσωπον Θεοῦ τὸν Λόγον κατὰ περίφρασιν. Ἀνάβασιν δὲ, φησί, καταβαίνουσι νοεράν.

« Ἐὰν ἀναλάβοιμι τὰς πτέρυγάς μου κατ' ὄρθρον καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης. » — Πτέρυγας ὀνομάζει τὴν ὀξυκινησίαν τοῦ νοός. Κατ' ὄρθρον δὲ εἴρηκε, διὰ τὸ νῆψιν τότε πλέον τὸν νοῦν. Ἔσχατον δὲ τῆς θαλάσσης τὰς ἀβύσσους φησί.

« Καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου. » — Ὁ γὰρ περιττὸς κἀκεῖ, φησίν, εὑρήσει τὴν δύναμίν σου ἔμπροσθέν μου καὶ
B κατάσχῃ με ἐν ἀφύκτῳ.

« Καὶ εἶπον· Ἄρα σκότος καταπατήσει με· καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου. » — Ἐλογισάμην οὖν, Ἄρα σκότος κατακαλύψαι δυνήσεται καὶ κρύψαι με ἀπὸ σοῦ· ἀλλὰ καὶ ἡ νὺξ φωτεινή ἐστι παρὰ τῷ Θεῷ, ὅς ἐστιν ἡ ἐμὴ τρυφή. Διὰ τούτων δὲ διδάσκει τὸ ἀλάθητον τοῦ Θεοῦ.

« Ὅτι σκότος οὐ σκοτισθήσεται ἀπὸ σοῦ, καὶ νὺξ ὡς ἡμέρα φωτισθήσεται. » — Ὅτι τὸ σκότος οὐχ ἕξει φύσιν σκότους ἐνώπιόν σου, ἀλλὰ καὶ ἡ νὺξ τὰ τῆς ἡμέρας ἐπιδείξεται ἴδια.

« Ὡς τὸ σκότος αὐτῆς, οὕτω καὶ τὸ φῶς αὐτῆς. » — Ὡς τὸ σκότος αὐτῆς τῆς νυκτὸς φωτεινὸν παρὰ σοί, κατὰ τὸν αὐτὸν τρόπον καὶ τὸ φῶς αὐτῆς τῆς ἡμέρας, μηδὲν πλέον ἔχον εἰς τὸ φαίνειν· ἴσα γὰρ καὶ
C ἄμφω παρὰ σοί.

« Ὅτι σὺ ἐκτήσω τοὺς νεφρούς μου. » — Οὐ μόνον τὰς πράξεις οὕτως οἶδας λίαν ἀληθῶς, ἀλλὰ καὶ τὰ κατώτερα καὶ βαθύτερα τῶν διαλογισμῶν μέρη μετὰ σοῦ ἔχεις ἀεὶ καθάπερ ἴδιον κτῆμα.

« Ἀντελάβου μου ἐκ γαστρὸς μητρός μου. » — Τί λέγω βάθη λογισμῶν; ὅλον ἐμὲ ἰδιοποιήσω ἐκ νηδύος μητρικῆς, οὐδὲ μία τὸ λοιπὸν κίνησις ἢ σώματος ἢ ψυχῆς πόῤῥω που τῆς σῆς καθέστηκε γνώσεως.

« Ἐξομολογήσομαί σοι ὅτι φοβερῶς ἐθαυμαστώθης. » — Εὐχαριστήσω σοι μόνον· μετὰ φόβου γὰρ τεθαύμακα τὴν σὴν σοφίαν καὶ οἰκονομίαν καὶ δύναμιν.

« Θαυμάσια τὰ ἔργα σου, καὶ ἡ ψυχή μου γινώ-
D σκει σφόδρα. » — Καὶ ἐγὼ γινώσκω λίαν τοῦτο, ὅτι θαυμαστά σοι τὰ ἔργα· ἐγὼ γὰρ ἐξετάζω περὶ αὐτῶν.

« Οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ. » — Οὐκ ἀφανής σοι καὶ ἄγνωστος τῶν ἐμῶν ὀστέων ἡ σύμπηξις, ἣν κατεσκεύασας ἀφανῶς ἐν τῇ νηδύϊ τῆς μητρός μου, οὐκ ἀφανὴς σοι πῶς ἔχει φύσεως.

« Καὶ ἡ ὑπόστασίς μου ἐν τοῖς κατωτάτοις τῆς γῆς. » — Ἀπὸ κοινοῦ τὸ, οὐκ ἐκρύβη ἀπὸ σοῦ, ἤγουν ἐν τῷ βάθει τῆς γῆς κρυπτομένη μετὰ θάνατον ἡ τοῦ σώματός μου ὑπόστασις οὐκ ἀφανὴς σοι, δηλονότι πῶς ἔχει φύσεως, τουτέστιν οἶδας ἀκρι-

OCR ABK / FR

δῶς καὶ τοὺς τῆς συμπήξεώς μου λόγους, καὶ τοὺς τῆς διαλύσεως.

« Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου. » — Καὶ τί λέγω σύμπηξιν καὶ διάλυσιν; αὐτὸ τὸ τὴν πρώτην ἀφορμὴν τῆς ἐμῆς γενέσεως δεδωκὼς σπέρμα μήπω τυχὸν ἐν τῇ μητρὶ μηδεμιᾶς ἐργασίας βρεφουργικῆς οὕτως οἶδας ὡς αὐτοτελῆ μου ὑπόστασιν.

« Καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται. » — Καὶ οὐ μόνον ἐμὲ γινώσκεις οὕτως, ὡς ἔφην, ἀλλὰ καὶ ἅπαξάπαντας· βιβλίον μὲν γὰρ Θεοῦ ἡ ἀκριβὴς γνῶσις· γραφὴ δὲ αὐτοῦ ἡ διηνεκὴς μνήμη. Τὸ γραφήσεται δὲ νῦν ἀντὶ τοῦ γεγραμμένοι εἰσί· τὰ πάντα γὰρ οἶδεν ὁ Θεὸς πρὶν γενέσεως αὐτῶν· ἐν μὲν οὖν τῷ βιβλίῳ τῆς ἁπλῆς γνώσεως γεγραμμένοι τυγχάνουσι σύμπαντες· ἐν δὲ τῷ κατ' οἰκείωσιν γνώσεως μόνοι οἱ δίκαιοι.

« Ἡμέρας πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς. » — Πάντες μέντοι γε οἱ ἐν τῇ βίβλῳ σου γεγραμμένοι πλασθήσονται πλάσιν ἡμέρας, ἤτοι πλάσιν ἡμερινήν, καὶ οὐδεὶς ἐν αὐτοῖς ἔσται, δηλονότι μὴ τοιαύτην πλάσιν πλασθείς. Τουτέστι, πᾶσα φύσις βροτῶν διὰ τῆς παλιγγενεσίας ἀναπλασθήσεται· περὶ ταύτης γὰρ νῦν ὁ προφήτης φιλοσοφεῖ, πλάσιν ἡμερινὴν ὀνομάζων αὐτὴν ὡς τοῦ σκότους τῶν παθῶν ἀπηλλαγμένην, ὡς μηδὲν ἔχουσαν κρυπτὸν ἐνεργούμενον, ὡς διάδοχον. Τὴν ζωὴν τῇ τοῦ θανάτου σκιᾷ κεκτημένην καὶ ἀκατάλυτον, ὡς πάντων ἁπλῶς καθαρεύουσαν διὰ τὴν πρώτην γένεσιν, πλάσιν νυκτερινὴν ὁ λόγος οἶδε καλεῖν.

« Ἐμοὶ δὲ λίαν ἐτιμήθησαν οἱ φίλοι σου, ὁ Θεός. » — Φίλοι Θεοῦ ὅσοι δι' ἀρετῆς οἰκειοῦνται αὐτῷ.

« Λίαν ἐκραταιώθησαν αἱ ἀρχαὶ αὐτῶν. » — Αἱ ἐξουσίαι αὐτῶν κραταιαί· κατακυριεύουσι γὰρ πάθους παντὸς καὶ κατὰ πάσης ἀεὶ κακίας ἐγείρουσι τρόπαια τῇ ἀμάχῳ ἰσχύϊ τῆς ἀρετῆς.

« Ἐξαριθμήσομαι αὐτούς, καὶ ὑπὲρ ἄμμον πληθυνθήσονται. » — Καὶ ὀλίγοι τῷ ποσῷ τυγχάνοντες, ἀπειροπληθεῖς ἐμοὶ καθεστήκασι· πολλαὶ γὰρ μυριάδες οὐκ εἰσὶν ἑνὸς τούτων ἀντάξιαι.

« Ἐξηγέρθην καὶ ἔτι εἰμὶ μετὰ σοῦ. » — Ἐξανέστην τῆς τῶν συμφορῶν καταπτώσεως, καὶ οὐκ ἀπέστην τῆς ἀρετῆς, ὅπερ πάσχουσιν ἐν εὐημερίᾳ πολλῇ.

« Ἐὰν ἀποκτείνῃς ἁμαρτωλούς, ὁ Θεός. » — Προσυπακουστέον τὸ εὖ ἔχει. Αἰτεῖ δὲ οὐ τὴν τῶν ἀνθρώπων φθοράν, ἀλλὰ τὴν τῆς κακίας ἀναίρεσιν.

« Ἄνδρες αἱμάτων, ἐκκλίνατε ἀπ' ἐμοῦ, ὅτι ἐρισταὶ ἐστε εἰς διαλογισμόν. » — Ὅτι ἔριδας καὶ μάχας ἀεὶ διαλογίζεσθε καὶ μελετᾶτε.

« Λήψονται εἰς ματαιότητα τὰς πόλεις σου. » — Οἰκήσουσιν, ὦ Κύριε, μάτην τὰς πόλεις σου οἱ τοιοῦτοι, μένοντες εἰς ἀρετὴν ἄκαρποι. Πᾶσα δὲ πόλις τοῦ Κυρίου, ἐπεὶ καὶ πᾶσα ἡ γῆ.

« Καὶ ἐπὶ τοῖς ἐχθροῖς σου ἐξετηκόμην. — Ἐδαπανῶμεν τῷ πυρὶ τοῦ κατ' αὐτῶν δικαίου θυμοῦ.

« Δοκίμασόν με, ὁ Θεός, καὶ γνῶθι τὴν καρδίαν μου· ἔτασόν με, καὶ γνῶθι τὰς τρίβους μου. » — Κατ' ἀρχὰς εἰπὼν πρὸς Θεὸν Ἐδοκίμασάς με,

A ἔγνως με, πῶς πάλιν φησί, Δοκίμασόν με καὶ γνῶθι τὴν καρδίαν μου; ἢ δῆλον ὅτι κἂν ἀποτείνῃ τὰ ῥήματα πρὸς Θεόν, ἀλλ' εἰς πληροφορίαν τῶν ἀκουόντων τοῦτο ποιεῖ καὶ ὠφέλειαν· ἐπεὶ καὶ ἡμεῖς πολλάκις εἰώθαμεν, ὁπότε τι πληροφορητικῷ διηγούμεθα πρὸς Θεὸν σχηματίζειν τὴν τοιαύτην διήγησιν· ὃ γοῦν λέγει τοῦτό ἐστιν, ὅτι Δεδοκιμασμένως καὶ ἀκριβῶς ἐπίσταται ὁ Θεός, ὡς οὐκ ἔστιν ἐν ἐμοὶ πρᾶξις ἄδικος· τὸ γὰρ εἰ δύναμιν ἔχει ἀρνήσεως.

« Καὶ ἴδε, εἰ ὁδὸς ἀνομίας ἐν ἐμοὶ καὶ ὁδήγησόν με ἐν ὁδῷ αἰωνίᾳ. » — Ἐπάγαγέ με πρὸς ζωὴν αἰώνιον.

## ΨΑΛΜΟΣ ΡΑΘ'.

« Εἰς τὸ τέλος, ψαλμὸς τῷ Δαυΐδ. Ἐξελοῦ με, B Κύριε, ἐξ ἀνθρώπου πονηροῦ· ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. » — Τὸ ἐλογίσαντο ἀντὶ τοῦ ἐμελέτησαν.

« Οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. » — Ἐν ὅλῳ τῷ βίῳ αὐτῶν ηὐτρεπίζοντο εἰς πολέμους. Πόλεμον δὲ ὀνομάζει πᾶσαν ἐπήρειαν, ἐν διανοίᾳ καὶ λόγῳ καὶ ἔργῳ θεωρουμένην.

« Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως. » — Ὤξυναν εἰς λόγους βλαπτικοὺς δίκην Ἰησοῦ.

« Ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. » — Λόγος ὀλέθριος ἐν τῷ στόματι αὐτῶν.

« Φύλαξόν με, Κύριε, ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. » — Χεῖρα καλεῖ τὴν ἐνέργειαν. Ἁμαρτίαν δὲ καὶ ἀδικίαν καὶ πονηρίαν C τὴν καθόλου κακίαν φησίν.

« Οἵτινες διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου. » — Τὸ τοῦ περιττόν· Οἵτινες ἐμελέτησαν ἐμποδίσαι τῇ κατὰ νόμον πορείᾳ μου.

« Ἔκρυψαν ὑπερήφανοι παγίδα μοι. » — Ὑπερήφανος πᾶς παράνομος ὡς ὑπερόπτης τοῦ νόμου.

« Καὶ σχοινία διέτειναν παγίδας τοῖς ποσί μου. » — Καὶ πολυπλόκοις ἐπιβουλαῖς ἥπλωσάν μοι τῆς κατὰ Θεὸν πορείας ἐμπόδια· ταῦτα γὰρ ὀνομάζει καὶ παγίδα καὶ σκάνδαλα.

« Ἐχόμενα τρίβου σκάνδαλα ἔθεντό μοι. » — Ἔγγιστα τῆς ὁδοῦ ἔθεντό μοι προσκόμματα ὥστε περιπεσεῖν με τούτοις ἀφυλάκτως βαδίζοντα.

« Εἶπα τῷ Κυρίῳ· Θεός μου εἶ σύ. » — Ἐν τοῖς τοιούτοις κινδύνοις μόνον ἐπεκαλεσάμην τὸν Κύριον, εἰπὼν αὐτῷ, Θεός μου εἶ σύ· μὴ παρίδῃς τὸ δη-D μιούργημά σου.

« Ἐνώτισαι, Κύριε, τὴν φωνὴν τῆς δεήσεώς μου. » — Δεομένου ῥυσθῆναι.

« Κύριε, Κύριε, δύναμις τῆς σωτηρίας μου. » — Δύναμις σώζουσά με.

« Ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. » — Μὴ μόνον βελῶν καὶ ξιφῶν, ἀλλὰ καὶ αὐτῆς τῆς ἡλιακῆς προσβολῆς, ἀθιγῆ τετήρηκάς με τῇ σκέπῃ σου. Ὁμολογῶ δὲ τὰς προσλαβούσας εὐεργεσίας εἰς ἀντίληψιν καὶ ἔτι αὐτὴν ἐπισπώμενος.

« Μὴ παραδῷ Κύριε, ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ. » — Ἀπὸ τῆς ἐπιθυμίας ἣν ἔχει κατ' ἐμοῦ ὁ ἁμαρτωλός, μὴ παραδῷς με αὐτῷ, τουτέστι

OCR ABK / FR

μὴ παραχωρήσῃς δρᾶσαί τι αὐτὸν, ὧν ἐπιθυμεῖ εἰς ἐμέ.

« Διελογίσαντο κατ' ἐμοῦ· μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν. » — Ἐμελέτησαν κατ' ἐμοῦ οἱ ἁμαρτωλοί· μὴ ἐάσῃς με ἀβοήθητον, ἵνα μὴ ἐπὶ πλέον ἐκ τῆς κατ' ἐμοῦ νίκης ἀλαζονεύσηται.

« Ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν. » — Τὸ κεφάλαιον τῆς κυκλωσάσης με ταύτης ἐπιβουλῆς ἡ μοχθηρὰ κατ' ἐμοῦ συμβουλὴ αὐτῶν πεσεῖται ἐπ' αὐτοὺς, καὶ ἀφανίσει αὐτούς.

« Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες. » — Ἄνθρακας ἐμπυρίους τὴν θεήλατον τιμωρίαν εἴρηκε νῦν.

« Ἐν πυρὶ καταβαλεῖς αὐτούς. » — Ἐν ταλαιπωροποιοῖς κακώσεσι, καὶ οὐ μὴ ὑπενέγκωσι ταύτης διὰ σφοδρότητα.

« Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. » — Τὸν ὑβριστὴν, τὸν ἐριστὴν, τὸν φλύαρον οὐ κατευοδωθῆναι γνωμολογεῖ.

« Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς διαφθοράν. » — Τὸν ἄδικον ἄνδρα τὰ κακὰ τούτου ἔργα ἀγρεύσουσιν εἰς ἀπώλειαν, οὐκ εἰς σωτηρίαν ὡς ἡ ἄγρα τῶν μαθητῶν τοῦ Κυρίου.

« Ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τοῦ πτωχοῦ καὶ τὴν δίκην τῶν πενήτων. » — Εἰ καὶ μὴ νῦν, ἀλλά γε κατὰ τὴν μέλλουσαν ζωὴν ποιήσει Κύριος τὴν τῶν καταδυναστευομένων ἐκδίκησιν.

« Πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου. » — Πλὴν καὶ τῆς ἐκδικήσεως βραδυνούσης οἱ δίκαιοι οὐ σκανδαλισθήσονται, ἀλλ' εὐχαριστήσουσι καὶ οὕτως, καὶ κατοικήσουσι σὺν σοὶ, τουτέστι, τῇ σῇ μνήμῃ συνέσονται. Τοὺς αὐτοὺς δὲ λέγει δικαίους καὶ εὐθεῖς.

## ΨΑΛΜΟΣ ΡΜ'.

« Κύριε, ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου· πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ἐν τῷ κεκραγέναι με πρὸς σέ. » — Ὁ προφήτης τὸν παρόντα ψαλμὸν καὶ τὸν πρὸ αὐτοῦ καὶ τὸν μετ' αὐτὸν, διωκόμενος ὑπὸ τοῦ Σαοὺλ, συντέθεικε. Κραυγὴν δὲ ὀνομάζει τὴν ἐπίτασιν τῆς πρὸς Θεὸν νοερᾶς ἐντεύξεως.

« Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου· ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινή. » — Εὐοδωθήτω, φησὶν, ἡ προσευχή μου ἔμπροσθέν σου ὡς θυμίαμα καὶ ἡ τῶν χειρῶν μου ἀνάστασις ὡς θυσία ἑσπερινή. Τοῦ μὲν νομικοῦ θυμιάματος ἡ προσαγωγὴ πολυτελῶς καὶ καθαρῶς κατεσκευασμένου καὶ εὐωδεστάτου τυγχάνοντος λίαν εὐπρόσδεκτος ἐδόκει Θεῷ· δύο δὲ θυσιῶν καθ' ἑκάστην τελουμένων, τῆς μὲν ἑωθινῆς, τῆς δὲ ἑσπερινῆς, ἡ ἑσπερινὴ τιμιωτέρα τῆς ἑωθινῆς ἐκρίνετο, ὡς ἐπισφράγισμα ταύτης καὶ τῆς ἡμερινῆς ἁπάσης ἱερουργίας ἀπαρτισμός. Λέγοι δ' ἂν καὶ οὕτως ὁ Προφήτης· Ἐλθέτω κατ' εὐθὺ καὶ ἀνεμποδίστως ἡ προσευχή μου ἔμπροσθέν σου, τουτέστιν, εἰς σὲ, ὥσπερ θυμίαμα εὐωδιάζουσα καὶ ἀποδεκτὰ, καὶ ἡ τῶν χειρῶν μου ἔπαρσις θυσία ὄντως λογισθήτω σοι, καὶ γενέσθω εὐπρόσδεκτος. Τὸ δὲ ἑσπερινὴ προσκείμενον τὸν καιρὸν εἴη ἂν δηλοῦν καθ' ὃν ἡ παροῦσα ψαλμικὴ δέησις συνεκτάσει χειρῶν τῷ Θεῷ προσενήνεκται.

« Θεοῦ, Κύριε, φυλακὴν τῷ στόματί μου, καὶ θύ- A ραν περιοχῆς περὶ τὰ χείλη μου. » — Φυλακὴν καὶ θύραν ἀσφαλείας, ἤγουν ἀσφαλίζουσαν, εἴρηκεν ἐκ παραλλήλου, τὴν ἐπιστασίαν τοῦ νοός· εἰδότος τίνα μὲν ἐκφέρειν τοῦ στόματος, τίνα δὲ κατέχειν ἔνδον χρεών· τοῦτο δὲ θείας ἐπικουρίας ἔργον οἶδε· δυσκάθεκτον γὰρ ἡ γλῶσσα καὶ ἡ ταύτης εὐκολία πολλῶν κακῶν αἰτία καθέστηκε.

« Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου εἰς λόγους πονηρίας τοῦ προφασίζεσθαι προφάσεις ἐν ἁμαρτίαις. » — Μὴ παραχωρήσῃς ἐκτραπῆναι τὴν καρδίαν μου εἰς πονηροὺς λογισμοὺς, ὥστε καὶ προφασίζεσθαι προφάσεις ἐν τῷ ἁμαρτάνειν ὡς τῆς μὲν πορνείας αἰτίαν ἡγεῖσθαι τὴν βίαν τῆς ἐπιθυμίας, τῆς κλοπῆς δὲ τὴν τῆς ἐνδείας ἀνάγκην καὶ ἄλλων ἁμαρτιῶν, ἄλλα γίνεσθαι αἴτια, καὶ μὴ τὸ κυρίως αἴτιον ὁμολο- B γεῖν, τὴν ῥαθυμίαν τῆς ψυχῆς καὶ τὴν αὐθαίρετον ἐπὶ τὰ φαῦλα ὁρμήν.

« Σὺν ἀνθρώποις ἐργαζομένοις τὴν ἀνομίαν. » — Τοῦ προφασίζεσθαι μετὰ τῶν παρανόμων· τούτων γάρ ἐστι τὸ προφασίζεσθαι μετὰ τὴν ἁμαρτίαν.

« Καὶ οὐ μὴ συνδυάσω μετὰ τῶν ἐκλεκτῶν αὐτῶν » — Καὶ εἰ βοηθήσεις μοι, οὐ μὴ συναυλισθῶ οὐδὲ αὐτοῖς τοῖς ὑπερέχουσι τῶν παρανόμων.

« Παιδεύσει με δίκαιος ἐν ἐλέει καὶ ἐλέγξει με. » — Φιλανθρωπευόμενος γὰρ παιδεύσει ὁ δίκαιος, τὴν σωτηρίαν τοῦ πλημμελήσαντος ἐκζητῶν. Κρείττων οὖν ἡ τοῦ δικαίου παιδεία καὶ ὁ ἐλεγμὸς ἢ τῶν ἁμαρτωλῶν ἡ φιλοφροσύνη.

« Ὅτι ἔτι ἡ προσευχή μου ἐν ταῖς εὐδοκίαις αὐτῶν. » — Οὐ μόνον φεύγω τοὺς παρανόμους καὶ ἀπωθοῦμαι τὴν θεραπείαν αὐτῶν, ἀλλ' ἔτι καὶ προσ- C εύχομαι κατὰ τῶν εὐδοκιῶν, ἤτοι θελήσεων αὐτῶν ἵνα μὴ τελεσθῶσιν αὗται.

« Κατεπόθησαν ἐχόμενοι πέτρας οἱ κριταὶ αὐτῶν. » — Ἀντιχρονικῶς καταποθήσονται οἱ δυνάσται αὐτῶν, ἤγουν ἀφανισθήσονται οἱ δυνάσται αὐτῶν. Ἤγουν ἀφανισθήσονται ἔγγιστα πέτρας, τουτέστι παραπλησίως πέτρᾳ καταποντιζομένῃ ἧς οὐδὲν ἴχνος ὑπολιμπάνεται.

« Ὡσεὶ πάχος γῆς ἐῤῥάγη ἐπὶ τῆς γῆς. » — Καθάπερ πάχος ἀρότρῳ διατεμνόμενον ῥήγνυται. καὶ σκορπίζονται ἐπάνω τῆς γῆς, οὕτω τὰ ὀστᾶ αὐτῶν διασκορπισθήσονται ἐν τῷ τάφῳ. Τοῦτον γὰρ ὠνόμασεν ᾅδην. Εὐχῆς δὲ δύναμιν ἅμα καὶ προφητείας ἔχουσι τὰ ῥητά.

» Ἐπὶ σοὶ ἤλπισα, μὴ ἀντανέλῃς τὴν ψυχήν μου. » D — Μὴ ἀνέλῃς τὴν ψυχήν μου, ἤγουν ἐμὲ, τουτέστι μὴ παραχωρήσῃς ἀναιρεθῆναί με ὑπὸ τῶν ἐχθρῶν. Ἡ δὲ ἀντὶ πρόθεσις ὥσπερ πολλάκις κἀνταῦθα παρέλκει. Νοοῦνται δὲ καὶ τὴν ὑπὸ δαιμόνων ἀναίρεσιν ἀπευχόμενα τὰ ῥητά.

« Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοί. » — Πεσοῦνται τῷ δικτύῳ τῆς κατ' ἐμοῦ αὐτῶν συσκευῆς.

« Κατὰ μόνας εἰμὶ ἐγὼ ἕως οὗ παρέλθω. » — Μεμονωμένος εἰμὶ ἀπ' αὐτῶν καὶ ἀναστροφῇ καὶ προαιρέσει μέχρις ἂν ἀποθάνω.

## ΨΑΛΜΟΣ ΡΜΑ'.

« Συνέσεως τῷ Δαυῒδ ἐν τῷ εἶναι αὐτὸν ἐν τῷ



OCR ABK/FR

σπηλαίῳ προσευχή. » — Σπήλαιον λέγει τὸ διπλοῦν A ὅπου φεύγων τὸν Σαοὺλ ὁ Δαυὶδ ηὐλίσατο κατὰ τὸ ἐνδότερον· εἶτα παρερχόμενος ὁ Σαοὺλ, κατεσκήνωσεν ἐν τῷ ἐξωτέρῳ ἀγνοῶν. Γνοὺς δὲ ὁ Δαυὶδ ὅτι συγκέκλεισται τοιαῦτα προσηύξατο.

« Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην. » — Φωνὴν κράζουσάν φησι κἀνταῦθα τὴν τοῦ νοὸς σύντονον ἔντασιν πρὸς Θεόν.

« Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέησίν μου. » — Ἐκκενώσω, προσθήσω.

« Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου, καὶ σὺ ἔγνως τὰς τρίβους μου. » — Ταῦτα ποιήσω ἐν τῷ κινδυνεύειν ἤτοι ἀποθνήσκειν. Σὺ δὲ, Κύριε, ἔγνως τὰς ὁδοὺς τῆς πολιτείας μου· μηδὲν γὰρ ἠδικηκὼς τοὺς ἐπιβουλεύοντας μάτην κινδυνεύω διὰ φθόνον.

« Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην ἔκρυψαν παγίδα B μοι. » — Ἐν τῇ ὁδῷ ταύτῃ τῆς φυγῆς κρυφίως ἐπελθόντες ἀπέκλεισάν μοι τὴν ἔξοδον.

« Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέβλεπον, καὶ οὐκ ἦν ὁ ἐπιγινώσκων με. » — Ἐκ τοῦ δεξιοῦ γὰρ μέρους εἰώθασιν οἱ φίλοι παρίστασθαι καὶ συμμαχεῖν. Ἀπεσκόπουν οὖν, φησὶν, εἰς τὰ δεξιὰ, καὶ οὐδεὶς γνωστὸς ἦν βοηθῶν.

« Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου. » — Ἐξέλιπεν ἀπ' ἐμοῦ καὶ τὸ δύνασθαί με φυγεῖν, καὶ οὐκ ἔστιν ὁ ἀναζητῶν με ὥστε ῥύσασθαι τῆς καθείρξεως τῶν ἐθνῶν.

Ἐκέκραξα πρὸς σὲ, Κύριε· εἶπα· Σὺ εἶ ἡ ἐλπίς μου. — Πανταχόθεν ἀπελπίσας εἶπα, Σὺ μόνος ἐλπίς μου, σὺ μόνος κλῆρός μου καὶ μετοχή μου, ἐν τῷ προσώπῳ τῆς γῆς, ἔνθα οἱ ζῶντες.

« Ῥῦσαί με ἐκ τῶν διωκόντων με· ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ. » — Ἐν ἀφύκτῳ μου C συγκλεισθέντος.

« Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου. » — Ἐξάγαγέ με, φησὶν, ἐκ τοῦ ἐν τῷ σπηλαίῳ συγκλεισμοῦ, ὥστε εὐχαριστῆσαί σοι.

« Πρόσσχες τὴν δέησίν μου· ὅτι ἐταπεινώθην σφόδρα. » — Τὴν πολλὴν κακουχίαν καὶ ταλαιπωρίαν εἰς ἱκεσίαν προβάλλεται.

« Ἐμὲ ὑπομενοῦσιν οἱ δίκαιοι ἕως οὗ ἀνταποδῷς μοι. » — Ἀκύλας· Ἐμὲ περιμενοῦσι δίκαιοι ἕως οὗ ἀμείψῃ με, τουτέστιν ἐκκρεμεῖς ἔσονται οἱ δίκαιοι ἐπ' ἐμοὶ, προσδοκῶντες ἀεὶ τὴν εἰς ἐμὲ σου εὐεργεσίαν, τὴν τῆς τοιαύτης μου ταλαιπωρίας καὶ ὑπομονῆς ἀντίδοσιν· ἔργα γὰρ ἀρετῆς τὸ τοῖς ἀδί- D κως πάσχουσι συναλγεῖν καὶ τὴν σωτηρίαν ἐκείνων λογίζεσθαι ἑαυτῶν.

## ΨΑΛΜΟΣ ΡΜΒ'.

« Ψαλμὸς τῷ Δαυὶδ, ὅτε καταδιώκει αὐτὸν Ἀβεσσαλὼμ ὁ υἱὸς αὐτοῦ. Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου· ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. » — Ὡς ἀληθής· ἐπαγγέλλω γὰρ εἰσακούειν τῶν ὀρθῶς ἐπικαλουμένων σε.

« Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. » — Ὡς τὸν ἀδικούμενον δικαιῶν.

« Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου. » — Μὴ δικαιολογηθῇς μετ' ἐμοῦ.

« Ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. — Ὅτι οὐκ ἀξιωθήσεται πᾶν ἄνθρωπος ἔμπροσθέν σου ζωῆς μετασχών· οὐδεὶς γὰρ ἀξίως, ἂν εὐηργέτηται παρὰ σοῦ, τὰς σὰς ἐφύλαξεν ἐντολάς.

« Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου. » — Τὸ μὲν προηγησάμενον ὅτι αἰτιολογικὸν, τοῦτο δὲ διηγηματικόν· ἐχθρὸς δὲ καὶ ὁ Ἀβεσσαλὼμ καὶ ὁ διάβολος.

« Ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. » — Κατέκαμψε σφόδρα.

« Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος. » — Ὡς νεκροὺς αἰωνίους, ἤτοι παλαιοὺς, ἐνέβαλέ μοι σκότει, τουτέστι λίαν ἐζόφωσε τὸν νοῦν μου ταῖς θλίψεσι.

« Καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου. » — Ἠθύμησεν ἐν ἐμοὶ ἡ ψυχή μου, καὶ ἠμηχάνησε καὶ ἀπενάρκησε τῇ τῆς λύπης ὑπερβολῇ.

« Ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. » — Θορυβηθεῖσα καὶ στροβηθεῖσα.

« Ἐμνήσθην ἡμερῶν ἀρχαίων. » — Ἐν αἷς εὐαρεστῶν τῷ Θεῷ καλῶς ἐφερόμην.

« Ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου. » — Ἀνελίττων παρ' ἐμαυτῷ τὰ θαυμάσια καὶ λογιζόμενος τοὺς παραδόξους ἀπαλλαγέντας τῶν συμφορῶν.

« Ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. » — Ἐν τοῖς δημιουργήμασί σου διέτριβον τῇ μνήμῃ. Καὶ εὑρίσκων αὐτὰ προνοίας τῆς καὶ παρὰ σοῦ τυγχάνοντα, εὔελπις ἦν· νῦν περιόψει με.

« Ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. » — Ἡ ψυχή μου πρὸς σὲ διψῶσα βοηθείας ὡς γῆ ἄνυδρος πρὸς ὑετὸν διψῶσα ὕδατος.

« Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου. » — Ἐξέλιπεν, ὅσον οὔπω ἀφῆκεν, εἰ μὴ ταχέως ἀκούσεις μου.

« Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ· καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. » — Καὶ γενήσομαι ὡσεὶ νεκρός.

« Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου· ὅτι ἐπὶ σοὶ ἤλπισα. » — Ἐπάγγειλαί μοι ταχέως τὸ ἔλεός σου.

« Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι. Ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. » — Ποίησον ἐγνωσμένην μοι τὴν πολιτείαν ἣν δεῖ πολιτεύεσθαί με. Γνῶσιν δὲ λέγει τὴν ἔμπρακτον, καθὼς καὶ παρακατιὼν φησι, « Δίδαξόν με τὸ θέλημά σου, οὐχ ὥστε εἰδέναι ἀλλ' ὥστε ποιεῖν. »

« Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. » — Ἐν ὁδῷ ὀρθῇ. Τοιαύτη δὲ ἡ τῆς ἀρετῆς.

« Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. » — Οὐ διὰ τὴν ἐμὴν ἀρετὴν, ἀλλὰ διὰ τὸ ὄνομά σου ζωοποίησόν με, νενεκρωμένον ἤδη ταῖς ἁμαρτίαις ὁμοῦ καὶ ταῖς συμφοραῖς.

« Ἐν τῇ δικαιοσύνῃ σου. » — Ἐν τῷ δικαιοῦν με τὸν ἀδικούμενον.

« Ὅτι ἐγὼ δοῦλός σού εἰμι. » — Πρὸς σὲ ἀεὶ κεχηνώς.

## ΨΑΛΜΟΣ ΡΜΓ'.

« Ψαλμὸς τῷ Δαυὶδ πρὸς τὸν Γολιάθ. » — Ἤγουν διὰ τὸν Γολιάθ. Εὐχαριστήριος ὁ ψαλμὸς πρὸς Θεὸν

OCR ABK / FR

μετὰ τὸ κατὰ τὸν Γολιὰθ τρόπαιον, ἄλλας τε νίκας A πολλάς.

« Εὐλογητὸς Κύριος ὁ Θεός μου. » Ὁ ῥυθμίζων καὶ εὐοδῶν τὰς χεῖράς μου ἐν παρατάξει, ἤως ἐν καιρῷ παρατάξεως.

« Ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον. » — Ὁ διδάσκων τοὺς δακτύλους μου ἐν καιρῷ πολέμου.

« Ἔλεός μου καὶ καταφυγή μου. » — Ἐλεήμων ἐστί μοι καὶ τὰ λοιπά.

« Ὁ ὑποτάσσων τὸν λαόν μου ἐπ' ἐμέ. » — Ἐν τῇ τῶν οἰκείων γὰρ ὑποταγῇ πολλῆς ἡμῖν δεῖ τῆς ἄνωθεν ῥοπῆς.

« Κύριε, τί ἐστιν ὁ ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ ; » — Ὅτι ἐχαρίσω αὐτῷ τὸ γινώσκειν σε Θεόν. B

« Ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτῷ ; » — Ὅτι γνωρίζῃ αὐτῷ Θεός. Ἐκ παραλλήλου δέ φησι τὰ αὐτά, μέγεθος τῷ λόγῳ περιτιθείς.

« Ἄνθρωπος ματαιότητι ὡμοιώθη. » — Διὰ τὸ σῶμα λέγει ταῦτα, καὶ τὸ μηδὲν τῶν ἀνθρωπίνων εἶναι βέβαιον.

« Αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσιν. » — Ταχέως παρέρχονται. Καὶ ὅταν δὲ πάρεισιν, οὐδὲ μίαν ἰσχὺν ἔχουσιν, ὥσπερ οὐδ' ἡ σκιά.

« Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι· ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται. » — Ἀνθρωποπρεπῶς ταῦτά φησιν, ἵνα διὰ τῶν φοβερῶν τούτων ῥημάτων καταπλήξῃ τοὺς καταφρονητὰς τοῦ Θεοῦ.

« Ἄστραψον ἀστραπὴν, καὶ σκορπιεῖς αὐτούς. » — Ἄστραψον ἀστραπὴν καὶ βέλη τὰς θεηλάτους C τιμωρίας καλεῖ. Νοοῦνται δὲ τὰ ῥητὰ καὶ περὶ τῆς πρώτης τοῦ Κυρίου ἐπιδημίας, καθὼς ἐν τῷ ιζ' ψαλμῷ περιείληπται· κἀκεῖ γὰρ κλίσεως οὐρανοῦ καὶ ὀρέων καὶ καπνοῦ καὶ βελῶν καὶ ἀστραπῶν μνεία γέγονε. Νοηθεῖεν δ' ἂν ταῦτα καὶ περὶ τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας.

« Ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς. » — Τὴν ἀντιληπτικήν σου δύναμιν.

« Ῥῦσαί με ἐξ ὑδάτων πολλῶν. » — Ὕδατα τροπικῶς τὴν σύῤῥοιαν τῶν πολεμίων φησίν.

« Ἐκ χειρὸς υἱῶν ἀλλοτρίων. » — Ὥσπερ υἱοὺς ἀνθρώπων τοὺς ἀνθρώπους φησὶν, οὕτω καὶ υἱοὺς ἀλλοτρίων τοὺς ἀλλοτρίους λέγοι ἂν τοὺς ἀπεξενωμένους αὐτοῦ δι' ἔχθραν, ἢ καὶ τοῦ Θεοῦ διὰ τὰς παρανομίας αὐτῶν. D

« Ὧν τὸ στόμα ἐλάλησε ματαιότητα. » — Ψεῦδος καὶ διαβολήν.

« Καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. » — Χεὶρ ἀδικίας ἡ ἐργαζομένη τὴν ἀδικίαν.

« Ὁ Θεὸς, ᾠδὴν καινὴν ᾄσομαί σοι. » — Ἐπὶ νέᾳ εὐεργεσίᾳ νέαν καὶ τὴν εὐχαριστήριον ᾠδὴν ᾄσω σοι.

« Ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψαλῶ σοι. » — Ὅταν πᾶσαν αἴσθησιν καὶ πᾶσαν ψυχῆς δύναμιν ἔχῃ τις τοῦ Θεοῦ, τότε δι' ἑαυτοῦ καὶ οὗτος ὡς διὰ ψαλτηρίου ψάλλει Θεῷ.

« Τῷ διδόντι τὴν σωτηρίαν τοῖς βασιλεῦσιν. » — Οὐχ ὅπλα γὰρ οὐδὲ στρατόπεδα πλὴν τῆς θείας ῥοπῆς δύναται σῶσαι αὐτούς.

« Τῷ λυτρουμένῳ Δαυῒδ τὸν δοῦλον αὐτοῦ ἐκ ῥομφαίας πονηρᾶς. » — Ἐκ πολέμου δεινοῦ, ἐκ θανάτου πικροῦ.

« Ὧν οἱ υἱοὶ ὡς νεόφυτα ἐν τῇ νεότητι αὐτῶν. » — Τὴν εὐημερίαν αὐτῶν ὑπογράφει καὶ τὸν πλοῦτον, ὧν, φησὶν, οἱ υἱοὶ εὐθαλεῖς ἀκμάζοντες ὡς νεόφυτα ηὐξημένα ἐν τῇ νεότητι αὐτῶν.

« Αἱ θυγατέρες αὐτῶν κεκαλλωπισμέναι· περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ. » — Ὁμοίως ναῷ ἢ ὡς δοκεῖν ὁμοίωμα ναοῦ κατὰ τὸν κόσμον καὶ τὸν καλλωπισμόν.

« Τὰ ταμιεῖα αὐτῶν πλήρη ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο. » — Ἐκβάλλοντα καὶ ἀποκενοῦντα εἰς ἕτερον, διὰ τὸ στενοχωρεῖσθαι τῷ πλήθει τῶν ἀποτεθησαυρισμένων.

« Τὰ πρόβατα αὐτῶν πολύτοκα πληθύνοντα ἐν ταῖς ἐξόδοις αὐτῶν. » — Ἔξοδον ὑποληπτέον τὴν ἐκ τῆς μήτρας ἐξέλευσιν, ἤγουν γέννησιν. Τὸ πληθύνοντα δὲ ἀντὶ τοῦ πληθυνόμενα, τουτέστι κατὰ τὴν μίαν ἑκάστην γέννησιν πολλὰ τικτόμενα καὶ οὐχ ἕνα· τοῦτο γὰρ δηλοῖ τὸ πολύτοκα παροξυτόνως εἰρημένον.

« Οὐκ ἔστι κατάπτωμα φραγμοῦ. » — Φραγμὸς λέγεται καὶ τὸ τεῖχος τῆς πόλεως καὶ ὁ τῆς οἰκίας τοῖχος.

« Οὐδὲ διέξοδος, οὐδὲ κραυγὴ ἐν ταῖς πλατείαις αὐτῶν. » — Οὐδὲ ἐκδρομὴ οὐδὲ θόρυβος ἐν ταῖς ὁδοῖς τῆς πόλεως αὐτῶν. Διὰ τούτων δὲ ὑπογράφει τὴν εἰρήνην τῶν ἁμαρτωλῶν καὶ τὸ ἀπολέμητον.

« Ἐμακάρισαν τὸν λαὸν ᾧ ταῦτά ἐστιν. » — Ἐμακάρισαν οἱ πολλοί.

« Μακάριος ὁ λαὸς οὗ Κύριος ὁ Θεὸς αὐτοῦ. » — Οὐ κυριεύει ὁ Θεὸς, οὐχ ἁπλῶς, ἀλλὰ πειθομένου ταῖς ἐντολαῖς αὐτοῦ.

## ΨΑΛΜΟΣ ΡΜΔ'.

Αἴνεσις τῷ Δαυΐδ. » — Αἴνεσις εἰς Θεὸν κοινὴ καὶ πᾶσιν ἁρμόζουσα.

« Ὑψώσω σε, ὁ Θεός μου, ὁ βασιλεύς μου· καὶ εὐλογήσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » — Ὕψωσιν καὶ εὐλογίαν οὐ μόνον τὴν διὰ θεολογίας καὶ ὑμνολογίας φησὶν, ἀλλὰ πλέον τὴν δι' ἀγαθοεργίας, δι' ἧς μᾶλλον μεγαλύνεται καὶ δοξάζεται ὁ Θεός.

« Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλοσύνης αὐτοῦ οὐκ ἔστι πέρας. » — Μέγας ὡς μεγαλουργός τε καὶ μεγαλοδραστήριος καὶ διὰ ταῦτα λίαν αἰνετός.

« Γενεὰ καὶ γενεὰ ἐπαινέσει τὰ ἔργα σου. » — Τοὺς ἐν τῇ παρούσῃ καὶ τῇ ἐπιούσῃ γενεᾷ φησι συνετούς. Ἔργα δὲ λέγει τά γε δημιουργήματα καὶ τὰ θαυματουργήματα.

« Καὶ τὴν δύναμίν σου ἀπαγγελοῦσιν. » — Πρῶτα μὲν παρ' αὐτοῖς μεγαλυνοῦσιν, εἶτα καὶ ἄλλοις διηγήσονται τὴν ἐν τοῖς ἔργοις σου καὶ ἐν τῷ εὐεργετεῖν, ἢ κολάζειν δύναμίν σου.

« Τὴν μεγαλοπρέπειαν τῆς δόξης τῆς ἁγιωσύνης σου λαλοῦσι· καὶ τὰ θαυμάσιά σου διηγήσονται. »

OCR ABK / FR

— Μεγαλοπρέπεια καὶ μεγαλωσύνη τὸ ὑπερέχον τῆς A φύσεως καὶ σοφίας καὶ δυνάμεως τοῦ Θεοῦ. Θαυμάσια δὲ ὅσα λαμπρά τε καὶ ἀξιοθαύμαστα. Φοβερὰ δὲ ὅσα φρικώδη καὶ ἀπειλητικά.

« Μνήμην τοῦ πλήθους τῆς χρηστότητός σου ἐξερεύξονται. » — Πεπεισμένοι μήτε τὴν ἀρετὴν ἀγέραστον φθῆναι, μήτε τὴν κακίαν ἀτιμώρητον.

« Καὶ τῇ δικαιοσύνῃ σου ἀγαλλιάσονται. » — Ἀπαγγέλουσι διήγησιν ἔχουσαν μνήμην τῆς πολλῆς ἀγαθότητος καὶ φιλανθρωπίας.

« Χρηστὸς Κύριος τοῖς σύμπασιν· ἐξομολογησάσθωσάν σοι, Κύριε, πάντα τὰ ἔργα σου. » — Εὐχαριστήτωσαν τὰ μὲν λογικὰ δι' ἑαυτῶν, τὰ δὲ ἄλογα καὶ τὰ ἄψυχα δια τῶν ὁρώντων αὐτὰ καὶ κατανοούντων.

« Καὶ οἱ ὅσιοί σου εὐλογησάτωσάν σε. » — Λόγῳ τε B καὶ βίῳ δοξαζέτωσάν σε οἱ ἀφωτισμένοι.

« Δόξαν τῆς βασιλείας σου ἐροῦσι, καὶ τὴν δυναστείαν σου λαλήσουσι. » — Διδάξουσι περὶ τούτων τοὺς ἀγνοοῦντας ὥστε γνώριμα ταῦτα τούτοις καταστῆναι.

« Ἡ βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. » — Διαιωνίζουσα καὶ πανταχοῦ τῶν γενεῶν ἐκτεινομένη.

« Πιστὸς Κύριος ἐν πᾶσι τοῖς λόγοις αὐτοῦ, καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. » — Βέβαιος καὶ ἀληθὴς ἐφ' οἷς λέγει, καὶ ἐφ' οἷς ποιεῖ ἄμεμπτος, μηδεμίαν μηδενὶ παρέχων βλάβην.

« Ὑποστηρίζει Κύριος πάντας τοὺς καταπίπτοντας καὶ ἀνορθοῖ πάντας τοὺς κατεῤῥαγμένους. » — C Τοὺς μὲν καταπεσεῖν μέλλοντας ἑδραιοῖ, ὥστε μὴ καταπεσεῖν, τοὺς δὲ καταπεπτωκότας ἀνιστᾷ, βουλομένους δηλαδὴ καὶ μὴ ἀντιτείνοντας.

« Οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, Κύριε. » — Ὅμοια ταῦτα τοῖς ἐν τῷ ργ' ψαλμῷ εἰρημένοις, τῷ πάντα προσδοκῶσι καὶ τοῖς ἑξῆς.

« Δίκαιος Κύριος ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ· καὶ ὅσιος ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. » — Δίκαιον ἐνταῦθα τὸν ἄπταιστον λέγει καὶ ἀνεπισφαλῆ· ὁδοὺς δὲ τὰς οἰκονομίας καὶ πράξεις ὡς εἶναι καὶ τὸν ἑξῆς στίχον τοῦ παρόντος ἑρμηνευτικόν.

« Ἐγγὺς Κύριος πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν, πᾶσι τοῖς ἐπικαλουμένοις αὐτὸν ἐν ἀληθείᾳ. » — Ἐγγὺς ὥστε σκέπειν καὶ ἀντιλαμβάνεσθαι· τὸ δὲ ἐν ἀληθείᾳ τὸ ὀρθῶς δηλοῖ καὶ ὡς χρή.

« Θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει. » — D Τὸ θέλημα γὰρ τοῦ φοβουμένου τὸν Κύριον οὐκ ἀπᾴδει τοῦ θείου θελήματος.

« Φυλάσσει Κύριος πάντας τοὺς ἀγαπῶντας αὐτόν. » — Φυλάσσει Κύριος τοὺς ἀληθῶς ἀγαπῶντας αὐτὸν ἀφ' ὧν προσήκει φυλάττειν αὐτούς.

« Καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει. » — Τοὺς δὲ ἀνεπιστρόφως ἁμαρτάνοντας ἐξολοθρεύσει Κύριος ἐκ τοῦ κλήρου τῶν ἀγαπώντων αὐτόν.

« Καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. » — Συνεκδοχικῶς τὸν ἄνθρωπον ὅλον λέγει, τὸν πιστὸν δηλαδή.

## ΨΑΛΜΟΣ ΡΜΕ'.

« Ἀλληλούϊα, Ἀγγαίου καὶ Ζαχαρίου. » — Ἀθετεῖται καὶ ἡ τοιαύτη προσθήκη. Εἴη δ' ἂν ἁρμόζον κἀνταῦθα τὸ εἰρημένον ἐν τῇ ἐπιγραφῇ τοῦ ρλς' ψαλμοῦ.

« Αἴνει ἡ ψυχή μου τὸν Κύριον· αἰνέσω Κύριον ἐν ζωῇ μου· ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. » — Ἐν πάσῃ μου τῇ ζωῇ.

« Οἷς οὐκ ἔστι σωτηρία. » — Οἷς οὐκ ἔστι τὸ σῶσαι ἑαυτοὺς ἐκ θανάτου. Εἰ δὲ ἑαυτοὺς οὐ σώζουσι, πῶς ἑτέρους δυνήσονται σῶσαι;

« Ἐξελεύσεται τὸ πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὴν γῆν αὐτοῦ. » — Δεικνύουσι πῶς οὐκ ἔστιν αὐτοῖς σωτηρία· ἐξελεύσεται γὰρ, φησὶν, ἡ ψυχὴ τοῦ ἄρχοντος καὶ ἐπιστρέψει, αὐτὸς δηλαδὴ, τουτέστι τὸ σῶμα αὐτοῦ, εἰς τὴν γῆν ἀφ' ἧς ἐλήφθη.

« Μακάριος οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. » — Μακάριος οὗ βοηθὸς ὁ Θεὸς τοῦ Ἰακὼβ, ἐφ' ὃν ὁ Ἰακὼβ πεποιθὼς ὅσης καὶ οἵας βοηθείας ἀπήλαυσεν.

« Τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν, τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς. » — Τοῦ βοηθοῦ λέγει τὴν δύναμιν.

« Τὸν φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα. » — Τὸν ἀεὶ ἀληθῆ καὶ ἐν ταῖς ἐπαγγελίαις τῶν εὐεργεσιῶν καὶ ἐν ταῖς ἀπειλαῖς τῶν τιμωριῶν.

« Ποιοῦντα κρίμα τοῖς ἀδικουμένοις. » — Ἐμοὶ γὰρ, φησὶν, ἐκδίκησις· ἐγὼ ἀνταποδώσω καὶ κατὰ τὴν μέλλουσαν δηλαδὴ κρίσιν, ἀλλὰ δὴ καὶ ἐνταῦθα.

« Διδόντα τροφὴν τοῖς πεινῶσιν. » — Τὴν σωματικήν τε καὶ τὴν πνευματικήν.

« Κύριος λύει πεπεδημένους. » — Πεπεδημένους οὐ μόνον ἐν συμφοραῖς βιωτικαῖς, ἀλλὰ καὶ ἐν σειραῖς ἁμαρτιῶν, καὶ τυφλοὺς οὐ μόνον τοὺς σωματικοὺς ὀφθαλμοὺς, ἀλλὰ καὶ τοὺς ψυχικοὺς καὶ κατεῤῥαγμένους οὐ μόνον ἐξ ὑγείας εἰς νόσον, καὶ εὐπραγίας εἰς δυσπραγίαν, ἀλλὰ καὶ ἐξ ἀρετῆς εἰς κακίαν. Πάντας τούτους εὐποιεῖ Κύριος, εἰ οὐκ ἀνθίστανται.

« Κύριος ἀγαπᾷ δικαίους. » — Δικαίους μὲν ὑποληπτέον ἄρτι τοὺς εἰς ἕξιν ἤδη πεφθακότας τῆς ἀρετῆς, προσηλύτους δὲ τοὺς ἀρτιπαγεῖς πρὸς αὐτόν.

« Ὀρφανὸν καὶ χήραν ἀναλήψεται. » — Ὀρφανὸν καὶ χήραν φησὶ τοὺς καταλιπόντας τὰ οἰκεῖα διὰ τὸν Κύριον· ἀνάληψιν δὲ τὴν ἰδιοποίησίν τε καὶ οἰκείωσιν.

« Καὶ ὁδὸν ἁμαρτωλῶν ἀφανιεῖ. » — Τὴν πρᾶξιν τῶν ἁμαρτωλῶν ἤτοι τὴν ἁμαρτίαν, τὴν κακίαν, τὴν πονηρίαν.

« Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα. » — Βασιλεύσει καὶ ὡς ἄνθρωπος.

« Ὁ Θεός σου, Σιὼν, εἰς γενεὰν καὶ γενεάν. » — Ἀπὸ κοινοῦ τὸ βασιλεύσει. Σιὼν δὲ νοητέον τὴν Ἐκκλησίαν τῶν πιστῶν.

## ΨΑΛΜΟΣ ΡΜϚ'.

« Ἀλληλούϊα, Ἀγγαίου καὶ Ζαχαρίου. » — Περὶ τῆς ἐκ Βαβυλῶνος ἐπανόδου ὁ παρὼν ἔοικεν εἶναι ψαλμός.

OCR ABK / FR

A « Αἰνεῖτε τὸν Κύριον, ὅτι ἀγαθὸς ψαλμός. » — Ὅτι ἀγαθὸν ὁ αἶνος, ἡ ὑμνολογία τοῦ Θεοῦ.

« Τῷ Θεῷ ἡμῶν ἡδυνθείη αἴνεσις. » — Ἡδεῖα λογισθείη, προσδεχθείη. Τοῦτο δὲ γίνεται, ὅταν ὁ αἰνῶν βίον ἔχῃ θεάρεστον.

« Οἰκοδομῶν Ἱερουσαλὴμ ὁ Κύριος. » — Ἔστι δηλονότι καὶ οὐκ ἄλλος οὐδείς.

« Τὰς διασπορὰς Ἰσραὴλ ἐπισυνάξει. » — Περὶ τῶν ὑποληφθέντων ἡ προφητεία· οὐ γὰρ ἀθρόοι πάντες συνήχθησαν.

« Ὁ ἰώμενος τοὺς συντετριμμένους τὴν καρδίαν. » — Ἀπὸ συμφορῶν δηλονότι καὶ πειρασμῶν.

« Καὶ δεσμεύων τὰ συντρίμματα αὐτῶν. » — Δεσμοὶ συντριμμάτων αἱ δι' ἔργων καὶ λόγων θεραπεῖαι, παρηγορίαι.

B « Ὁ ἀριθμῶν πλήθη ἄστρων καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν. » — Περὶ τῆς τοῦ Κυρίου χρηστότητος εἰπὼν, νῦν καὶ περὶ τῆς γνώσεως αὐτοῦ φησι καὶ δυνάμεως, ὁ τὸν ἀριθμὸν γινώσκων τοῦ πλήθους τῶν (?) καὶ ὀνόματα κατάλληλα τούτοις ἐπιτιθεὶς, ὃ τῆς ἀκριβοῦς καὶ οὐσιώδους γνώσεώς ἐστιν ἐμφαντικόν.

« Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ· καὶ τῆς συνέσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός. » — Μὴ ζήτει, φησὶ, πῶς ἐπισυνάξει τὸν ἐν τοσαύτῃ γῇ διεσπαρμένον, εἴτουν ἐσκορπισμένον λαὸν αὐτοῦ· μεγάλη γὰρ ἡ τοῦ Κυρίου δύναμις, καὶ ἡ σοφία αὐτοῦ ἄμετρος.

« Ἀναλαμβάνων πραεῖς ὁ Κύριος. » — Ἀνακτώμενος, φέρων, διαβαστάζων πατρικῶς τε καὶ κηδεμονικῶς.

C « Ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως γῆς. » — Καθαιρῶν σφόδρα τοὺς ὑπερηφάνους· τούτους γὰρ εἶπεν ἁμαρτωλοὺς, ὥσπερ πραεῖς τοὺς ταπεινοὺς τῇ καρδίᾳ.

« Ἐξάρξατε τῷ Κυρίῳ ἐν ἐξομολογήσει. » — Ἐξάρξατε αὐτῷ ᾠδῆς δηλονότι ἐν εὐχαριστίᾳ.

« Τῷ ἑτοιμάζοντι τῇ γῇ ὑετόν. » — Συνῳδὰ τοῖς ἐν τῷ ργ' ψαλμῷ· οἷον τὸ ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, καὶ ἑξῆς.

« Διδόντι τοῖς κτήνεσι τὴν τροφὴν αὐτῶν καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. » — Τῶν γὰρ κοράκων τοὺς οἰκείους ἐγκαταλιπόντων νεοσσοὺς δι' ὠμότητα καὶ μισοτεκνίαν, ὁ Θεὸς τῷ τῆς προνοίας ὑπερβάλλοντι τρέφεσθαι τούτους οἰκονομεῖ κεχηνότας ἄνω καὶ κράζοντας, καὶ διὰ τοῦ ἀέρος συνεφέλκοντας τοῖς στόμασιν αὐτῶν ζωΰφιά τινα πρὸς τροφήν.

D « Οὐκ ἐν δυναστείᾳ τοῦ ἵππου θελήσει· οὐδὲ ἐν ταῖς κνήμαις τοῦ ἀνδρὸς εὐδοκεῖ. » — Ἐπείπερ οἱ ἐκ τῆς αἰχμαλωσίας ἀσθενεῖς ἦσαν καὶ ἄοπλοι, θεραπεύει διὰ τούτων αὐτούς. Θέλησιν δὲ καὶ εὐδοκίαν τὴν θείαν λέγει ῥοπήν· δυναστείαν δὲ καὶ κνήμας τὴν δύναμιν.

## ΨΑΛΜΟΣ ΡΜΖ'

« Ἐπαίνει, Ἱερουσαλὴμ, τὸν Κύριον· αἴνει τὸν Θεόν σου, Σιών. » — Ἱερουσαλὴμ μὲν ἡ οἰκοδομηθεῖσα πόλις. Σιὼν δὲ τὸ ὄρος, ἐφ' οὗ αὕτη ᾠκοδόμητο· τῆς αὐτῆς δὲ ὀνόματα καὶ ἀμφότερα.

« Ὅτι ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου. » — Θεὶς αὐτοὺς ἀδιαρρήκτους τοῖς πολεμίοις.

« Εὐλόγησε τοὺς υἱούς σου ἐν σοί. » — Ἐχαρίτωσεν αὐτοὺς εἰς πλῆθος, εἰς ἰσχὺν, εἰς σύνεσιν, εἰς πλοῦτον, καὶ τὸ δὴ μέγιστον ἐν σοὶ συνηγμένους, μὴ διεσπαρμένους.

« Ὁ τιθεὶς τὰ ὅριά σου εἰρήνην. » — Τὰ ὁροθέσια τιθεὶς οὐ βουνοὺς, οὐ στήλας, ἀλλ' εἰρήνην ἐκ τοῦ ἀπελαύνειν σου πάντοθεν τὸν πόλεμον.

« Καὶ στέαρ πυροῦ ἐμπιμπλῶν σε. » — Καὶ εἰς πλησμονὴν διδοὺς σοι μὴ σῖτον ἁπλῶς, ἀλλὰ πιμελὴν σίτου· λέγει δὲ τὴν σεμίδαλιν.

« Ὁ ἐπιστέλλων τὰ λόγια αὐτοῦ τῇ γῇ· ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ. » — Λόγιον καὶ λόγον φησὶν ἐνταῦθα τὸ συνεκτικὸν τῆς ἐγκοσμίου ζωῆς πρόσταγμα θεῖον, οὗ τὸ δραστήριον διὰ τοῦ ἕως τάχους δραμεῖται δεδήλωκε.

« Διδόντος χιόνα ὡσεὶ ἔριον. » — Οὕτω πολλὴν καὶ οὕτως ἀθρόαν, ὡς ἐν βραχεῖ πᾶσαν καλύπτεσθαι τὴν γῆν, καθάπερ ὑπό τινος ἐρίου λευκοῦ.

« Ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος. » — Πολλὴν καὶ ἀθρόαν καὶ ταύτην.

« Βάλλοντος κρύσταλλον αὐτοῦ ὡσεὶ ψωμούς. » — Περὶ τῆς χαλάζης ὁ λόγος ἥτις ψωμοῦ κέρμασιν ἔοικε.

« Κατὰ πρόσωπον ψύχους αὐτοῦ τίς ὑποστήσεται; » — Καὶ τοῦτο θαυμαστὸν πῶς τοιοῦτον καὶ τοσοῦτον ψῦχος αἰφνίδιον.

« Ἀποστελεῖ τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά. » — Τὸ θεῖον νεῦμα καὶ πρόσταγμα.

« Πνεύσει τὸ πνεῦμα αὐτοῦ, καὶ ῥυήσεται ὕδατα. » — Πνεύσει ὁ ἄνεμος· τοῦτο γὰρ, φησὶ, πνεῦμα αὐτοῦ ὡς κτίσμα αὐτῆς, καὶ ἔλθῃ ὑετός.

« Ὁ ἀπαγγέλλων τὸ λόγιον αὐτοῦ τῷ Ἰακώβ. » — Νῦν φησι τὸ λόγιον αὐτοῦ καὶ δικαιώματα καὶ κρίματα· Ἰακὼβ δὲ καὶ Ἰσραὴλ τὸν ἐκεῖθεν κατηγμένον λαόν.

« Οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει. » — Τὸ οὐκ ἐποίησε παντὶ ἀντὶ τοῦ οὐδενὶ ἐποίησε.

« Καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. » — Οὐκ ἔδωκεν αὐτοῖς τὸν γραπτὸν νόμον εἰ μὴ μόνον τὸν φυσικόν.

## ΨΑΛΜΟΣ ΡΜΗ'

« Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις· αἰνεῖτε αὐτὸν, πάντες οἱ ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. » — Παγκόσμιον ὁ προφήτης τὸν θεῖον ὕμνον διὰ τῶν τελευταίων τριῶν τούτων ὑφαίνει ψαλμῶν, ἅμα μὲν οὐκ ὄντα δεικνὺς ἑαυτὸν μόνον ἱκανὸν πρὸς τὴν τοῦ Θεοῦ εὐφημίαν, ἅμα δὲ καὶ πάσης κτίσεως ὁρατῆς καὶ ἀοράτου ποιητὴν ἀνακηρύττων τὸν εὐφημούμενον. Ἐκ τῶν οὐρανῶν δὲ τοῦ πρώτου μὲν καλεῖ πρὸς αἴνεσιν τοῦ Κυρίου τὰ λειτουργικὰ πνεύματα ἀγγέλους καὶ δυνάμεις ὀνομάζων αὐτὰ, τὸ μὲν ὅτι τὰ θεῖα διαγγέλλουσι ῥήματα, τὸ δ' ὅτι δύνανται πληροῦν τὰ ἐπιταττόμενα· ἐκ τοῦ δευτέρου δὲ οὐρανοῦ καλεῖ τοὺς ἀστέρας, καὶ ἥλιον καὶ σελήνην καὶ φῶς· ἐκ τῆς γῆς δὲ προϊὼν καλεῖ πάλιν ὅσα κατὰ τὴν γῆν· καὶ καταλύει τὸν λόγον εἰς

OCR ABK / FR

τοὺς ἀνθρώπους τοὺς οὐρανίου τε καὶ γηηρᾶς οὐσίας μετέχοντας. Τέσσαρας δὲ τρόπους οἶδε δοξολογίας, ἕνα μὲν τὸν νοερὸν, οἷος ὁ τῶν ἀγγέλων, καὶ ὅταν ἡμεῖς κατὰ νοῦν θαυμάζωμεν καὶ μεγαλύνωμεν τὸν Θεόν· δεύτερον τὸν διὰ ῥημάτων· τρίτον τὸν διὰ τῆς ὄψεως καὶ κατανοήσεως τῶν ἔργων τοῦ Θεοῦ· ὅταν γὰρ αἰνοῦντα παρεισάγῃ τὰ κτίσματα, τότε δείκνυσιν ὡς ἕκαστον τῶν ὄντων καὶ γινομένων ἄξιον τῆς τοῦ Δημιουργοῦ σοφίας ἐστί· τέταρτον τὸν διὰ βίου καὶ ἔργων καθ' ὃν οἱ κατὰ Θεὸν ζῶντες ὑμνοῦσι τὸν Θεὸν, καὶ ἀπὸ μόνης τῆς αὐτῶν θεαρέστου διαγωγῆς. Τὸ δὲ ἐκ τῶν οὐρανῶν καὶ τὸ ἐν τοῖς ὑψίστοις, εἴτουν ἐν τοῖς ὑψηλοτάτοις μέρεσι δηλαδὴ, ταυτόν ἐστιν.

« Αἰνεῖτε αὐτὸν, ἥλιος καὶ σελήνη· αἰνεῖτε αὐτὸν, πάντα τὰ ἄστρα καὶ τὸ φῶς. » — Ἥλιον καὶ σελήνην καὶ ἄστρα φωτοδόχα νοητέον οὐράνια σώματα· φῶς δὲ τὸ γεγονὸς ἐν τῇ πρώτῃ ἡμέρᾳ, καὶ καταμερισθὲν εἰς αὐτὰ ἐν τῇ τετάρτῃ ἡμέρᾳ καθ' ἣν γεγόνασιν.

« Αἰνεῖτε αὐτὸν, οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑποράνω τῶν οὐρανῶν. » — Καὶ τοῖς πληθυντικοῖς ὀνόμασιν ἀντὶ ἑνικῶν ἡ Ἑβραῒς οἶδε χρῆσθαι διάλεκτος. Τὸ ὑπεράνω δὲ τοῦ στερεώματος κτίσμα, καὶ τὸν πρῶτον οὐρανὸν, κἂν μὴ βλέπωμεν, ἀλλὰ παρὰ τῆς θεοπνεύστου Γραφῆς διδασκόμεθα, καὶ οὕτω καὶ παρ' αὐτῶν ὑμνεῖται Θεὸς δι' ἡμῶν.

« Ἔστησεν αὐτὰ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. » — Ἀμετακίνητοι διὰ παντὸς ἔχειν τὴν τάξιν καὶ τὴν ἐνέργειαν αὐτὰ παρεσκεύασεν.

« Πρόσταγμα ἔθετο, καὶ οὐ παρελεύσεται. » — Ἔθετο αὐτοῖς πρόσταγμα τῶν ὅρων, καὶ οὐ τολμήσουσι τοῦτο παρεξελθεῖν.

« Αἰνεῖτε τὸν Κύριον ἐκ τῆς γῆς δράκοντες καὶ πᾶσαι ἄβυσσοι. » — Δράκοντας ὀνομάζει τὰ μεγάλα κήτη· ἀβύσσους δὲ τὰ πολυβενθῆ πελάγη.

« Πῦρ, χάλαζα, χιὼν, κρύσταλλος, πνεῦμα καταιγίδος τὰ ποιοῦντα τὸν λόγον αὐτοῦ. » — Τὰ διακονοῦντα ἐν τῷ προστάγματι αὐτοῦ καὶ μὴ ὡς ἔτυχε γινόμενα. Πῦρ δὲ νῦν λέγει τὴν ἀστραπήν.

« Ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ μόνου. » — Ὅτι ὑπερέχων ἐστὶ μόνος καὶ οὐκ ἄλλος Θεός.

« Ἐξομολόγησις αὐτοῦ ἐπὶ γῆς καὶ οὐρανοῦ. » — Ἡ εὐχαριστία καὶ ἡ δοξολογία αὐτοῦ ἐπὶ γῆς ἐν ἀνθρώποις καὶ ἐπ' οὐρανοῦ ἐν ἀγγέλοις.

« Καὶ ὑψώσει κέρας λαοῦ αὐτοῦ. » — Καὶ μεγαλυνεῖ τὴν δόξαν τοῦ οἰκείου λαοῦ.

« Ὕμνος πᾶσι τοῖς ὁσίοις αὐτοῦ τοῖς υἱοῖς Ἰσραὴλ, λαῷ ἐγγίζοντι αὐτῷ. » — Τὸ ὑμνεῖν αὐτῷ πρέπει τοῖς ἀφωσιωμένοις αὐτοῦ τοῖς ἀληθῶς Ἰσραηλίταις λαῷ ἐγγίζοντι, τουτέστιν ᾠκειωμένῳ αὐτῷ διὰ τῆς ὀρθῆς πίστεως καὶ τῆς ἄλλης θεαρέστου διαγωγῆς.

## ΨΑΛΜΟΣ ΡΜΘ'.

« Ἄσατε Κυρίῳ ᾆσμα καινόν· ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων. » — Οἱ κυρίως Ἰσραηλῖται τῆς ἄνω Σιὼν τὰ τέκνα χαρήτωσαν, ὅτι τοιοῦτον ἔχουσι ποιητὴν καὶ βασιλέα· ὑπὲρ αὐτῶν θέντα καὶ αὐτὴν τὴν ψυχήν.

« Αἰνεσάτωσαν τὸ ὄνομα αὐτοῦ ἐν χορῷ. » —

A Αἰνεσάτωσαν αὐτὸν ἐν εὐφωνίᾳ καὶ κοινῇ ὑμνῳδίᾳ.

« Ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐτῷ. » — Ἐν πράξει καὶ θεωρίᾳ· τύμπανον μὲν γὰρ ἡ νέκρωσις τῶν σωματικῶν ἡδονῶν· ψαλτήριον δὲ ἡ ἄνω τάσις τοῦ νοὸς, κἀκεῖθεν ἔλλαμψις καὶ ἐνήχησις· τὸ γὰρ ψαλτήριον ὄργανον ἄνωθεν ἔχει τῶν φθόγγων τὰς ἀφορμάς.

« Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ. » — Ῥέπει καὶ ἀγαθὸν θέλημα ἔχει.

« Καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ. » — Δοξάσει αὐτοὺς μετὰ καὶ τοῦ σῶσαι.

« Καυχήσονται ὅσιοι ἐν δόξῃ. Ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν. » — Ἐκαυχήσαντο μὲν οἱ ἐκ τῆς αἰχμαλωσίας ἐν τῇ δόξῃ τῆς ἀπὸ τῆς θείας συμ-
B μαχίας ἢ τὰ πέριξ αὐτῶν νενικήκασιν ἔθνη, τὰ κωλύοντα τὴν ἀνοικοδομὴν τοῦ ναοῦ καὶ τῆς πόλεως. Καὶ ἠγαλλιάσαντο κοιμηθέντες ἀφόβως τε καὶ ἡδέως τῇ τῶν πολεμίων ἀπαλλαγῇ. Καυχήσονται δὲ μᾶλλον οἱ ἀπόστολοι ἐν τῇ μελλούσῃ δόξῃ, καὶ ἀγαλλιάσονται ἐπὶ τῶν ηὐτρεπισμένων αὐτοῖς αἰωνίων μονῶν τε καὶ ἀναπαύσεων.

« Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν. » — Οἱ μὲν Ἰουδαῖοι ὑμνολογίας τοῦ Θεοῦ ᾄδοντες καὶ σπάθας συνέχοντες κατέκοπτον τοὺς ἐχθρούς· οἱ δὲ ἀπόστολοι ταῖς δι' ὕμνων καὶ θεολογίας θεοπρεπέσι φωναῖς καὶ ταῖς πραγματικαῖς ἀρεταῖς ἐτροποῦντο τοὺς δαίμονας.

« Τοῦ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς. » — Ὑπὲρ τοῦ ποιῆσαι τὸν Θεὸν ἐκ-
C δίκησιν εἰς τὰ ἔθνη, ἀνθ' ὧν ἠδίκουν τοὺς Ἰουδαίους. Ἐλεγμοὺς δὲ πάλιν εἰς τοὺς Ἰουδαϊκοὺς λαοὺς ἤτοι τὰς φυλὰς, ἐλεγχομένας ὅτι διὰ τὰς ἁμαρτίας αὐτῶν ἄχρι τότε κατεπονοῦντο. Τοὺς ἀποστόλους δὲ ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἐξ ἐθνῶν ἐν τῷ ῥύσασθαι αὐτοὺς τῆς τυραννίδος τοῦ διαβόλου. Ἐλεγμοὺς δὲ ἐν τοῖς λαοῖς τῶν Ἰουδαίων ἐν τῷ ἐλέγχειν αὐτοὺς παρανόμους καὶ θεομάχους καὶ πρὸς τὸ φῶς τῆς ἀληθείας τυφλώττοντας.

« Τοῦ δῆσαι βασιλεῖς αὐτῶν ἐν πέδαις καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς. » — Ὑπὲρ τοῦ τὸν Θεὸν μὴ μόνον ἀπώσασθαι τοὺς πολεμίους, ἀλλὰ καὶ τοὺς βασιλεῖς καὶ ἄρχοντας αὐτῶν δεσμιώτας δοῦναι τοῖς Ἰουδαίοις· τοὺς ἀποστόλους δὲ, τοῖς ἰσχυροῖς δεσμοῖς τῆς πίστεως δῆσαι καὶ αὐτοὺς
D τοὺς βασιλεῖς καὶ ἄρχοντας τῶν ἐθνῶν, ἢ τοὺς πρότερον ἐξουσιάζοντας τῶν ἐθνῶν δαίμονας καὶ ἐντίμους ὄντας αὐτοῖς ἀνενεργήτους ποιῆσαι τὸ λοιπὸν ἐν τοῖς ἔθνεσι.

« Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον. » — Ὑπὲρ τοῦ ποιῆσαι τὸν Θεὸν ἐν τοῖς ἔθνεσι καὶ ἐν τῷ λαῷ κρίσιν ἀνάγραπτον βιβλίοις. Αὕτη δέ ἐστιν ἡ ἔνδικος ἀπώλεια τῶν ἐθνῶν. Τοὺς ἀποστόλους δὲ ποιῆσαι ἐν τοῖς ἐξ ἐθνῶν νόμους ἐγγράφους πολιτείας θεοφιλοῦς.

« Δόξα αὕτη ἐστὶ πᾶσι τοῖς ὁσίοις αὐτοῦ. » — Ἰουδαίοις μὲν δόξα τὸ οὕτως νικῆσαι παραδόξως διὰ τῆς συμμαχίας τοῦ Θεοῦ, τοῖς ἀποστόλοις δὲ

OCR ABK / FR

καὶ πᾶσι τοῖς αὐτῶν μιμηταῖς τὸ τοιαῦτα κατορθῶσαι. A

ΨΑΛΜΟΣ ΡΝʹ.

« Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ. » — Διὰ τοὺς ἁγίους αὐτοῦ ὅτι τοιαύτην ἀγγελικὴν πολιτείαν εἰς τὸν βίον εἰσῆγον.

« Αἰνεῖτε αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ. » — Διὰ τὸ στερέωμα τὸ παρὰ τῆς δυνάμεως αὐτοῦ γεγονός.

« Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ. » — Διὰ τὰς δυνάμεις ἃς ἐργάζεται.

« Αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ. » — Διὰ τὸ ἄπειρον τῆς αὐτοῦ μεγαλειότητος.

« Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος. » — Τοῖς μὲν Ἰουδαίοις χρεὼν ἦν ἐν πᾶσι μουσικοῖς ὀργάνοις ὑμνεῖν τὸν Θεόν· ἡμῖν δὲ τοῖς Χριστιανοῖς ἐν πᾶσι μέλεσι σώματος. Τοῦτο δὲ πῶς; εἰ καὶ χεῖρες καὶ πόδες καὶ ὀφθαλμοὶ καὶ πάνθ' ἁπλῶς τὰ μέλη τοῦ σώματος τὴν οἰκείαν ἐνέργειαν ἐκτελεῖ πρὸς δοξολογίαν καὶ τιμὴν τοῦ πεποιηκότος.

« Αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ. » — Χορδὰς, οἶμαι, λέγει τὰς τῆς μουσικῆς· αὕτη γὰρ πολύχορδος μᾶλλον. Ὄργανον δὲ ἰδίως τὸ παρ' ἡμῖν οὕτω καλούμενον.

« Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. » — Πᾶσα ψυχὴ, τουτέστι πᾶς ἄνθρωπος, συνεκδοχικῶς πᾶσα.

# INDEX ANALYTICUS

AD

# NICEPHORI BLEMMIDÆ EPITOMEN LOGICAM

(Hujus voluminis col. 685-1103.)

*Revocatur Lector ad numeros grandiores textui Latino insertos.*


## A

Abductio ad impossibile, quid 246.
Ab uno (ἀφ' ἑνὸς) vocabula quæ dicantur, 21.
Accidentis definitiones, 112, 136. Accidens interdum etiam essentiæ proprium declarat, 114. Accidens et accidentale differunt, 146. Accidentis non est syllogismus, 389.
Activæ philosophiæ partes, 3, 60. 61 finis 62.
Activæ (πρακτικαί), artes quæ, 229.
Activa verba unde et quomodo judicanda, 227.
Ad unum (πρὸς ἕν), quæ dicantur, 29.
Ad aliquid (τὰ πρός τι), definiuntur, 214, 239 Eorum relatio multiplex. 215. Propria, primum et secundum, 216. Tertium, 218. Quartum, 220. Omnia ad convertentia dicuntur) 218. Quomodo in illis redditio sit facienda, 219. Eorumdem conversio. 220. Simul sunt natura. *ibid.* Coexsistunt et se mutuo tollunt, 230. Dividuntur pluribus modis, 231, 222.
Æquale non recipit magis et minus, 217.
Affirmatio quid. 300. Affirmatio ex transpositione, quæ, 302. Cur ita dicatur, 302, 394.
Agere quid, 229. Agere et pati non sunt contraria, 230.
Albi proprium, 205.
Alteratio, motus species, 193.
Animal quid, 107, 165.
Animæ potentiæ vegetantis quæ et quot, 33, 34. Vitales et appetentes, *ibid.* Cognoscentes, *ibid.* Animæ divisio et subdivisio, 61. Anima partim separatur, partim inseparabilis est a materia, 63.
Anypostaton duo significat, 154.
Apprædicatum quid, 271.
Ars proprium finem ut plurimum assequitur, 290. Ex opinione cum ratione et dianœa consistit, 39. Artis triplex definitio, 31, 32.
Arithmetica quid. 60.
Asperum quid, 208.
Astronomia quid, 60.
Αὐτοψία quid et unde, 38.

## C

Caro Domini non est hypostasis, sed enhypostatos, 155.
Casus (αὐτόματον) quid, 291. Casus nominis. 278. Casus verbi, *ibid.*
Categoria cur sic dicat, 130, 135. *Vide* Prædicamentum.
Commune quatuor modis dicitur, 119.
Conceptus mentis duplex, 49. Conceptus descriptio, 260. Cur passio animæ dicatur, 36. Conceptus qui veri, qui falsi, 260.
Connexum (συνημμένον) quid, 361, 362.
Contemplativæ philosophiæ partes, 56. Objectum, 57. Finis, 62.
Contemplari quid et quotuplex, 282.
Contingens triplex, 290. Ut plurimum, ex æquo, ut minimum, *ibid.*
Contingens utrumvis acciderit. (ὁπότερ' ἔτυχε), cur sic dictum, *ibid.*
Contradictio (ἀντίφασις), unde dicta, 269. Quid, 247, 269. Dividit verum et falsum, 248.
Contraria quid, 210. Contraria vel utraque sunt species vel alterum ab altero est extrema prolapsio, 239.
Contraria immediata quæ et quotuplicia, 240. Contrariorum tria consectaria, 242. Contrariorum continentia sunt ad aliquid, 241. Contrariorum supremum genus qualitas, 243.
Conversio (ἀντιστροφή) unde dicta, 32. Conversio in terminus quæ, *ibid.* In syllogismis quæ, *ibid.* In propositionibus quæ, 322. Contingens, *ibid.* Cum contrapositione, 323. Simplex. *ibid.* Propositionis universalis affirmantis, 324. Universalis negantis, *ibid*, Particularis affirmantis, particularis negantis, universalis negantis in materia contingenti, 325.
Corpus et substantia et quantitas, diverso respectu, 188.
Cynici unde dicti, 53.
Cyrenaici unde dicti, *ibid.*

## D

Definitionis definitio. 8. Definitionis virtus, 9. Vitium 10. Proprie dicta definitio a descriptoria definitione differt, 12. Definitionis descriptoriæ utilitas, *ibid.* Definitiones sumuntur aut ex genere et differentiis constituentibus, *ibid.* Aut ex materia et forma, 13. Aut ex subjecto et fine simul, 14. Aut ex subjecto solo et fine solo, *ibid.* Definitionum (ὁρισμῶν καὶ ὅρων), appellatio translatitia, 15. Definitiones definitis primo et essentialiter in sunt, 114.


OCR ABK / FR

Toto (in) quid, 317. Non in toto quid, 318.
Transposita affirmatio et negatio de quibus dicatur, 394. Cur ita dicatur, 302, 394.

U

Ubi quid et quotuplex, 126.
Unum uni est contrarium, 242.
Universalia eodem semper se modo habent, 124.

V

Verbum quid, 253. Verba sunt κατὰ συνθήκην, id est ex instituto et compositione, 255, 256. Non sunt natura, *ibid.* Quid significent, 258. Verba quid vocent logici, *ibid.* Verba per se nec verum nec falsum significant, 259. Verborum primæ et secundæ et quædam tertiæ personæ cur verum vel falsum significent, 128, 129. Verba duplicem significationem important, 301.
Verum quid, 261.
Visio citra intervallum et distantiam operatur, 375.
Vita duplex, alia quidem naturalis, alia vero electitia, 44.
Voluntas quid et qualis animae potentia, 34.
Voluptarii unde dicti, 53.
Vox articulata et inarticulata, 77. Articulata quæ, 255. Inarticulata quæ, *ibid.* Vox significationis expers, 77. Vox significativa et prædicativa quid, *ibid.* Vocis prædicativæ subdivisio, *ibid.* Quinque vocum ordo, 78, 79. Quinque voces magis sunt rationales, quam prædicativæ, 135. Voces simplices neque verum dicunt, neque mentiuntur, 127, 259, 260. Voces natura sunt, 256. Vox simplex, dictio, terminus, nomen et verbum subjecto idem sunt, sed schesi differunt, 261.

# INDEX ANALYTICUS

AD

# NICEPHORI BLEMMIDÆ EPITOMEN PHYSICAM

(Hujus voluminis col. 1005-1319.)

*Revocatur Lector ad numeros grandiores textui Latino insertos.*

A

Actu esse quid, 39, 40, 45.
Actu esse duplex, 47. Actu esse et actus differunt, 45.
Æquinoctialis circulus quis, 287. Æquinoctiali circuli medietas semper supra terram, 331. Æquinoctialis sub polo fit et arcticus et horizon, 366.
Æquinoctium verum quando fiat, 350, 352. Autumnale quando, 351, 352.
Aer quis et quomodo moveatur, 256. Aeris partes, 145. Aeris pars terræ vicina, qualis, 144.
Æternitas quid, 270.
Æther quid et unde dictus, 281. Ætheris pars alia sincera, alia minus sincera, 145.
Ætherii corporis locus, 144. Quæ non agunt, et non aguntur, quotuplicia, 27.
Anima quid, 38.
Animalia quomodo moveantur, 64, 54, 55, 64.
Anni pluviosi, ventosi, et squalidi, 101.
Antœci qui, 337, 338. Antœcorum communia et diversa 364.
Antiperistasis quid, 170.
Antipodes qui, 337, 338. Ad antipodes nobis omnia inversa sunt, 362, 1.
Aqua figuræ orbicularis est, 334.
Aquarum causæ quæ in terram decidunt, et ex terra redduntur, 175.
Aquarum differentiæ, 179.
Aqua supra firmamentum infinitæ multitudinis, 187, 275.
Arctici et Antarctici circuli qui, 347. Mutantur pro locorum variatione, 287, 348.
Argestes qualis ventus, et quibus aliis nominibus vocetur, 194.
Aspirationes ex terra quid, 199, 200.
Augmentatio naturalis quomodo fiat, 56, 88. Quomodo mathematica, 56.
Augmentatio et alteratio differunt, 89.
Auri generatio, 254.

B

Boreas quis ventus, et quomodo vocetur, 193.
Britannorum nox quanta et qualis tempore solstitii æstivi, 364.

C

Cœcias ventus, 193.
Calefacta prius et celerius et vehementius refrigerantur, 173.
Canopus stella, 340.
Capra quid vocetur, 148.
Casus est in iis quæ fiunt alicujus gratia, 29, et quæ secundum naturam fiunt, 30. Est et in brutis operationibus. Ibid, 15, est æquivocum, 31, 15.
Catægis, 199.
Causa et principium differunt, 3, 24.
Causa multis modis dicitur, 3.
Causæ propriæ, quæ, 4.
Causarum divisiones variæ, 24.
Causa cujusque rei suprema, id est præcipua, inquirenda, 27. Causæ ita assignandæ ut effectis conveniant, 29, quædam sibi invicem sunt causæ, 29. Causæ per accidens quæ, 29.
Causæ plures, quin et omnes in eodem effecto considerantur, 28.
Ceadas apud Lacedæmonios quid, 119.
Centrum, circuli et principium et finis et medium, 66.
Circulus omnium planarum figurarum prima, 267.
Circulorum ratio ad propriam diametrum, 296, 341.
Circuli tropici cur ita dicti, 287. Ubique idem sunt, et æquinoctialis, *ibid.* 16.
Clepsydra qui veteribus, 369.
Clima sub æquatore quale, 347, 362.
Climatum enumeratio, 363.
Climata in quibus dies bimestris, trimestris, et major efficitur, 365.
Cœlum Græcis οὐρανός, cujus Græcæ appellationis etymologia proponitur, 258.
Cœlum generatum, id est, conditum est, 63. Cœlum primum omnes creaturas sensibiles et intelligibiles continet, 258.
Cœlum primum non est firmamentum, 259. Cœlum an sit corpus quintum, 260, 361. Cœlum stelliferum multi pro sphæra inerrante habuerunt, 261.
Cœlum primum stellis carens non est simplex, 262.
Cœlum est compositum, compositione scilicet meliore, 268. In cœlo ignis prædominatur, 260, 263, 277. Cœli figura rotunda, 267.
Cœli partes, 269. Cœlum Peripateticis ingenitum et incorruptibile, 269.
Cœlum ex Platonis sententia ortum est, 270. Cœlum primum et stellarum expers quale, 375. Quomodo inventum, 378.
Color puniceus et purpureus quomodo fiat, 221.
Coma seu crinis stellarum qui apparet circa stellas non inest ipsis stellis, 156.
Coma seu crinis alias movetur simul cum stellis, alias non movetur simul, 156.

OCR ABK / FR

ulterior divisio et sic deinceps, 293. Signa non sunt unius et ejusdem temperamenti, 297. Semper sex signa supra horizontem sunt, 330.
Situs duplex, 108, 112. Situs ejus quod movetur quid, 111. Situs etiam in corporeis ratione ordinis intelligitur, 112.
Sol qualis stella, 376. Contrariarum passionum suo motu causa est, 165. Quomodo moveatur, 289. Terra major et quidem plus quam centies sexagies sexies, 303. Oriens et occidens cur major videatur, 307. Alias alios colores habet, et quare, 308. Ubi sol altior, ibi luna terræ vicinior, 320. Duplici suo motu dies et noctes, et horas anni efficit, 345. Quartas zodiaci æquales partes æquali tempore non percurrit, 354. Quibus in signis diutius moretur, 355. Plus septemdecim vicibus distat a luna, quam ipsa distat a terra, 313, 376.
Solis defectus quomodo fiat, 304, 303.
Solis defectus totalis quando fiat, 305. Particularis, 306. Qualis defectus solis fuerit tempore passionis Christi, *ibid.*
Solis magnitudo quomodo inventa, 307.
Solis paralleli circuli quomodo se habeant, 346. Secundum inclinationem mundi mutantur, 348.
Solari circulus quis, 289, 379. Ad zodiacum est excentricus, 354. Qui circa solare lumen occupantur diutius, cur et quomodo visu læduntur, 232.
Specula nubium qualia, 227, 239, 240.
Spectrorum in cœlo apparentium divisio, 129, 225.
Sphæra omnium figurarum solidarum prima 267,
Sphæræ planetarum et secundum et supra naturam moventur, 70. Sphæræ errantes quales, 281. Quomodo moveantur, 283. Sphæræ septem erraticarum stellarum, 284. Earumdem ordo et motus periodicus, 286. Sphæræ planetarum eccentricæ, 320. Sphærarum quæ primæ sphæræ contrario motu feruntur quæ sit perfectio, 296.
Sphæra aplanes seu inerrans quæ, 281.
Squalor quid, 204.
Squalidis annis pluviosi succedunt, 164.
Stagna quid, 180. Stagnorum seu lacuum differentiæ, 181. Stagnum seu lacus sub monte Caucaso, 182.
Statio est actus, 68.
Stella barbata quid, 135.
Stellæ prosilientes, 148, 149, 151. Stellæ omnes densæ sunt et splendidæ, 281. Habent figuram sphæricam, 282. Circa suum centrum et axem ex Platonis sententia convertuntur, 282.
Stellarum divisio, 376.
Stellæ inerrantes tribus motibus moventur, 283. Similiter et erraticæ, 284, 378. Stellæ erraticæ, cur ita dictæ, 283, 378. Non sunt fixæ in firmamento, 377. Non moventur inordinate, 289. Flexuose et tortuose moventur, *ibid.* Solarem circulum permutant, 290. Sublimiter deprimuntur, humiliter deprimuntur: humiliter attolluntur, sublimiter attolluntur, *ibid.* Quinque figurationibus ad se invicem figurantur, *ibid.* Ad quodvis a sole intervallum recedunt, exceptis Venere et Mercurio, 292. Conjunctionem cum sole faciunt diversis temporibus, *ibid.* Erraticarum stellarum domus, 297. Exaltationes et dejectiones, et adversitates, 297, 299. Erraticarum stellarum ordo et motus periodicus, 285, 390.
Stellæ orientes et occidentes cur puniceæ appareant, 221.
Strobilus ventus, quis, 200.
Subsolanus quibus aliis nominibus vocetur, 194.
Substantiæ nihil esse contrarium quomodo intelligendum, 11.
Substantiæ intentionis et remissionis ratione dicitur, 11.
Succensio quid, 144, 147, 371. Succensionis divisio, 145.
Syenes incolæ qualem umbram habeant tempore solstitii æstivi, 308.

T

Tactus primus omnium sensuum, 118.
Tangere se invicem quæ dicantur, 127.
Tempus quid, 112, 113. Tempus non tantum motionum, sed et quietum mensura est, 114. Tempus quare numerus, 115. Temporis divisio, 116. Tempus præsens quid, *ibid.* Temporis partes primario æternitatis sunt, 370.
Terra centri rationem obtinet ad firmamentum, 329, 330, 333. Etiam ad solarem sphæram, 331. Sed non etiam ad lunæ sphæram, 332. Orbicularis figuræ est, 333. Ejus quinque sunt partes, quas zonas vocant, 335. Ejusdem ambitus quantus, 330, 341. Diameter quanta, *ibid.*
Terræ motus quomodo fiat, 201. Et quando, 202, 203. Fiunt et squalidis et pluviosis temporibus, 204. Terræ motus tremulus, 205. terræ motus pulsui et palpitationi similis, *ibid.* Terræ motuum plures species, 207. Terræ motibus analoga etiam in mari fiunt, 208.
Thule (in) dies maximus est menstruus, 364. Et tropicus æstivus cum arctico coincidit, 366.
Thyella quid, 199.
Tonitru quid, 211. Tonitruorum soni varii et dispares, 212.

U

Umbra calathoides, cylindroides, conoides; umbra terræ conoides seu turbinata est, 303. Umbra terræ cum sole semper circumit, 360. Corporum a sole illuminatorum umbræ cum umbra terræ circumaguntur, *ibid.*
Unum idemque contrariorum causa est, 12.
Unum idemque et ens et non ens dicitur diverso respectu, 18.

V

Vacuum quid et quotuplex, 367, 368, 371.
Vacuum in mundo non est, 368.
Vapor quid, 147, 164. Vaporis duplex locus, 163. Non evehitur sursum nisi cœlo sereno exsistente, 166.
Veneris nomina et motus, 285, 390.
Ventorum materia, 193.
Venti sunt ibi minimi, ubi flare incipiunt, 193. Ventorum motus obliquus est, 194.
Venti duodecim, 194.
Venti qui sereni, 195. Humidi, sicci nivales, æstuosi, fulgura afferentes, grandinosi, ecnephiæ seu procellosi, 196. Sibi mutuo officiantes, 197. Orientales, 198. Occidentales, *ibid.* Septentrionales, *ibid.* Meridionales, *ibid.* Apogæi, encolpiæ, typhonici, ecnephiæ, æquatores, rectos flatus habentes, reflexis præditi flatibus, etesiæ seu anniversarii, ornithiæ seu avarii, 199. Eorum quæ videntur in cœlo et alias etiam, alia secundum subsistentiam, alia tantum specietenus sunt, 232. Quod videtur, etiamsi sit splendidum, tamen diversi coloris apparitionem exhibere potest, 235.
Virtutes et extremis, et extrema sibi invicem contrariantur, 72.
Visio quomodo fiat, 226, 227. Visio quibus rebus opus habeat ut perficiatur, 232.
Visus lumen opus habet etiam externo lumine, 228. Visus operatur per corradiationem seu collucescentiam, 232.
Vortex, Græce τυφῶν, quid, 114, 216. Vorticis effecta 216.

Z

Zodiacus circulus quis, et cur ita dicitur, 288, 392. Dividitur in tres circulos, 388. Parallos secat inæqualiter, 353.
Zonæ terræ quinque, 335. Zonarum temperatarum divisio, 336. Zonarum circumferentia etiam in firmamento supputatur, 294.

OCR ABK / FR

sbyteris ut ad imperatorem communis utilitatis causa simul conveniant. 513

ATHANASII CP. PATRIARCHÆ DE NECESSARIA EPISCOPORUM RESIDENTIA EPISTOLÆ OCTO. Latine edidit Turrianus ad calcem libri de residentia pastorum, 4°, Florentiæ 1537. 513

EPISTOLA I. — Athanasius patriarcha Constantinopolitanus, episcopo Cretæ, volenti proficisci ad episcopatum suum. 513

EPIST. II. — Athanasius patriarcha Constantinopolitanus, episcopo Sardensium. 516

EPIST. III. — Gratia et pax tibi a Deo omnipotente. Athanasius patriarcha Constantinopolitanus episcopo Apameæ. 518

EPIST. IV. — Athanasius patriarcha episcopo Apameæ. 519

EPIST. IV. — Athanasius patriarcha episcopo Apameæ. 519

EPIST. V. — Athanasius, patriarcha Constantinopolitanus, episcopis ad diœceses suas proficiscentibus. 521

EPIST. VI. — Ejusdem ad imperatorem, ut jubeat episcopis ire ad suas diœceses. 525

EPIST. VII. — Ejusdem ad eumdem imperatorem, de eadem re. 526

EPIST. VIII. — Ejusdem ad eumdem, de eadem re. 527

*NICEPHORUS BLEMMIDA.*

*Notitia ex Fabricii Biblioth. Gr. 1527.* 527

DE PROCESSIONE SPIRITUS SANCTI. 533

Oratio I. — Demonstrans sanctorum Patrum testimoniis per Filium, et ex Filio Spiritum sanctum dici, ad Jacobum Bulgariæ archiepiscopum. 533

Oratio II. — De nonnullis dogmaticis quæstionibus, ad pium imperatorem Constantinopolitanum, Theodorum Ducam Lascarim. 565

*Editorum Patrologiæ Monitum* 585

NICEPHORI BLEMMIDÆ SERMO ad monachos monasterii ab ipso exstructi, ex tertio ipsius libro De fide. 585

NICEPHORI BLEMMIDÆ MONACHI ET PRESBYTERI QUOD IN EMATHIIS EST MONASTERII EPISTOLA UNIVERSALIOR ET AD MULTOS, de Marchesina, impp. Joannis Ducæ pellice, quam templo ejecerat Blemmida. 603

*De Nicephori Blemmidæ oratione politica editoris Romani monitum.* 609

ORATIO QUALEM OPORTEAT ESSE REGEM. 611

*Ejus orationis textus alter.* 657

NICEPHORI BLEMMIDÆ EPITOMES ISAGOGICÆ LIBER PRIMUS. 675

*Joannis Wegelini Augustani epistola nuncupatoria textui Græco, anno 1605 Augustæ Vindelicorum edito, præmissa.* 675

*Lectori benevolo.* 679

*Joannis Wegelini Augustani epistola nuncupatoria, textui Latino Logicæ, anno 1607 Augustæ Vindel. edito præfixa.* 683

*Epitomes Logicæ capitula.* 685

EPITOME LOGICA. 687

Prooemium. 687

CAP. I. — De definitione. 691

CAP. II. — De divisione. 702

CAP. III. — De experimento, experientia, arte et scientia ; ubi etiam de animæ potentiis. 710

CAP. IV. — Quænam sint philosophiæ definitiones. 719

CAP. V. — De conceptu mentis. 723

CAP. VI. — De sectis. 726

CAP. VII. — Quæ sit philosophiæ divisio. 730

CAP. VIII. — De univocis, diversivocis et diversis, æquivocis item et multivocis et denominavitis. 738

CAP. IX. — De quinque vocibus. 746

CAP. X. — De genere et specie, ubi etiam de schesi. 754

CAP. XI. — De genere et specie, ubi etiam de individuis. 739

CAP. XII. — De differentia et accidente. 767

CAP. XIII. — De proprio ; in quo etiam de communi. 778

CAP. XIV. — De prædimentis. 782

CAP. XV. — Adhuc de prædicamentis. 787

CAP. XVI. — De iis quæ prædicantur ; ubi etiam de iis quæ sunt in aliquo. 798

CAP. XVII. — De uno, eodem et diverso ; ubi etiam de hypostasi. 803

CAP. XVIII. — De priore et posteriore et simul. 810

CAP. XIX. — De substantia. 815

CAP. XX. — Adhuc de substantia. 822

CAP. XXI. — De quanto, ubi etiam de motu. 831

CAP. XXII. — De quali et qualitate. 843

CAP. XXIII. — De iis quæ sunt ad aliquid. 854

CAP. XXIV. — De facere, pati et habere. 863

CAP. XXV. — De oppositis. 871

CAP. XXVI. — De nomine et verbo. 880

CAP. XXVII. — De oratione et propositionibus. 895

CAP. XXVIII. — De materiis quæ in propositionibus considerantur, et de prædefinitione seu signo. 903

CAP. XXIX. — De imprædefinitis propositionibus. 918

CAP. XXX. — De affirmatione et negatione. 922

CAP. XXXI. — De syllogismo et conversione. 931

CAP. XXXII. De tribus figuris. 942

CAP. XXXIII. — De prima figura. 947

CAP. XXXIV. — De secunda et tertia figura. 951

CAP. XXXV. — De secundæ et tertiæ figuræ reductione ad primam, et de abductione et impossibile. 963

CAP. XXXVI. — De hypotheticis seu conditionalibus syllogismis. 974

CAP. XXXVII. — De sophismatis in dictione. 982

CAP. XXXVIII. De sophismatis extra dictionem. 986

CAP. XXXIX. — De elencho, et quod omnes paralogismi ad ignorationem elenchi reducantur. 994

CAP. XL. — De propositionibus et syllogismis. 999

NICEPHORIS BLEMMIDÆ EPITOMES ISAGOGICÆ LIBER II. 1005

*Joannis Wegelini Augustani Præfatio, textui Græco, anno 1605, Augustæ vindelicorum edito, præmissa,* 1005

*Joannis Wegelini Augustani Præfatio, textui Latino, Aug. Vind. anno 1605, edito præmissa.* 1015

EPITOME PHYSICA. 1023

CAP. I. — De naturalibus principiis et causis. 1023

CAP. II. — De materia et forma et privatione. 1034

CAP. III. — De causis et effectis, ubi etiam de fortuna et casu. 1039

CAP. IV. — De motu et quiete ; ubi etiam de entelechia, ac eo quod potentia et actu est. 1050

CAP. V. — Adhuc de motu et quiete. 1062

CAP. VI. — De generatione et corruptione. 1078

CAP. VII. — De natura. 1090

CAP. VIII. Adhuc de natura. 1094

CAP. IX. — De loco et tempore. 1099

CAP. X. — De infinito. 1110

CAP. XI. — De elementis. 1114

CAP. XII. — De flammis ardentibus quæ in cœlo apparent, et de iis quæ capræ et faces et stellæ discurrentes vocantur. 1127

CAP. XIII. — De cometis et lacteo circulo. 1135

CAP. XIV. — De pluvia grandine, nive, rore et pruina. 1142

CAP. XV. — De fontibus et fluviis. 1151

CAP. XVI. — De mari. 1155



OCR ABK / FR

CAP. XVII. — De ventis et reliquis flatibus. 1163
CAP. XVIII. — De terræ motu. 1171
CAP. XIX. — De tonitruis et fulguribus, ecnephia et typhone, et prestere et fulmine. 1177
CAP. XX. — De ostentis quæ in cœlo conspiciuntur. 1187
CAP. XXI. — De area, et primum de visione. 1190
CAP. XXII. De iride. 1199
CAP. XXIII. — De virgis et parheliis, insuper de metallicis in terra et fossilibus. 1210
CAP. XXIV. — De cœlo et quod mundus non sit æternus. 1214
CAP. XXV. — De ætere et stellis. 123
CAP. XXVI. — De sole. 1250
CAP. XXVII. — De luna. 1255
CAP. XXVIII. — De terra et ejus zonis, ac primum quod terra ad cœlestem sphæram, quin et ad ipsam solarem centri rationem obtineat. 1270
CAP. XXIX. — De diebus et noctibus et quatuor anni horis. 1282
CAP. XXX. — De habitationibus. 1291
CAP. XXXI. — De vacuo. 1299
CAP. XXXII. — Ex expositione in Psalmum octavum. 1303

EXPOSITIO IN PSALTERIUM. 1321

FINIS TOMI CENTESIMI QUADRAGESIMI SECUNDI.

Sancti Amandi (Cher). — Ex Typis de DESTENAY.

OCR ABK / FR